



PATRUM


NOVA BIBLIOTHECA.



1. Theodorus ep. Mops. ex cod. Column. vat. 45.



2. Petrus laodicenus ex cod. vat. 1445.



3. Theodorus Studita ex cod. parisiensi 269.



4. Subscriptio codicis vat. 1997.



5. Idem Th. Studita ex cod. vat. 2094.


6. Origenes ex cod. vat. 1802.


7. Didymus ex eodem cod. vat. 1802.


8. Vita Costantini M. ex cod. vat. 974.


9. Anastasius antiochenus ex cod. vat. 659.


10. Iohannes diaconus ex cod. vat. 696.

NOVAE PATRUM BIBLIOTHECAE

TOMUS SEPTIMUS

CONTINENS IN PARTE I.

THEODORI MOPSUESTENI

IN XII. PROPHETAS COMMENTARIUM ET ALIA.

PRAEIT BASILII NEOPATRENSIS IN OMNES PROPHETAS SPECIMEN.

IN PARTE II.

ORIGENIS, DIDYMI, HIPPOLYTI, APOLLINARIS, POLYCHRONII

SCHOLIA IN PROVERBIA, ESAIAM, ET EZECHIELEM
CUM DIDYMI UBERIORIBUS IN PSALMOS.

IN PARTE III.

BONIZONIS EPISCOPI EXCERPTA CANONICA.

DEUSDEDIT CARDINALIS

CONTRA INVASORES ET SIMONIACOS.

ed- Angelus Maius

ROMAE

TYPIS SACRI CONSILII PROPAGANDO CHRISTIANO NOMINI.

M·DCCC·LIV.

EDITORIS PRAEFATIO.

I. De sacrorum librorum obscuritate (quam in prophetis praecipue comperiri necesse est) Polychronius apamensis episcopus breve olim capitulum scripsit, quod nos in antiquissimo codice vaticano observatum, et a Photio etiam inter amphilochianas quaestiones quas edidimus relatum, ante hos annos in Scriptorum veterum primo volumine collocavimus. Quam nunc rem commemorare non fuit inutile, ut maior hinc laus ad Polychronii fratrem Theodorum nostrum mopsuestenum redundet, cuius tam planam tamque perspicuam prophetarum minorum interpretationem efferimus, quorum plerumque elocutio, si nuda spectetur, paene prae ceteris sacrosanctae scripturae auctoribus obscuritatis caligine premi videtur. Et nihilominus luminosus adeo vir Theodorus librum ipse quoque de obscura locutione (bibliorum ut puto) conscripserat, ab Ebediesu in catalogo suo memoratum, quo scripto fratri suo Polychronio suppetias fortasse ferebat. Sed nonne vero, dicet aliquis, aliae etiam extant ad hos salebrosos prophetas explanationes? Extant sane, ut publici libri docent, utque aliàs nominatim recensui; mirumque est quod intra quinquaginta circiter annos, nempe ab extrema saeculi quarti parte, ad medium fere saeculum quintum (quod hercle doctius ecclesiae aevum fuit) floruerunt nobilissimi prophetarum horum interpretes Theodoro nostro contemporanei 1. S. Hieronymus. 2. Rufinus, ut vulgo in codicibus librisque scribitur. 3. S. Cyrillus alexandrinus. 4. Theodoretus. Horum inquam omnium videmus typis impressos luculentos commentarios, quos cum Mopsuesteno nostro conferre, perutile iucundumque lectori fore puto: quibus ego etsi nihil detrahere volo, aio nihilominus nostrum hunc videri scribendi arte non inferiorem, limpitudine autem et naturali quadam facilitate prope gratiorem. Felicem rursus aetatem illam praedico, quae praeter hos quinque, tulit et alios nunc deperditos eorumdem prophetarum interpretes, scilicet Didymum, teste Hieronymo de vir. ill. c. 109; Chrysostomum, quem se legisse ait in praefatione sua Rufinus, pariterque Ephraemius antiochenus apud Photium (cod. 129. ed. p. 820.); Eudociam denique augustam, ut idem in codice 184. tradit Photius. Quod si vera est parisiensis codicis 142. inscriptio, latet ibi coaevi praedictis Epiphanii in Nahumum commentatio. Nam cuiusnam saeculi homo is fuerit, cuius nos olim fragmenta tria recitavimus (Script. vet. VII. p. 68.) hoc titulo: Ἐβίωνος ἐκ τῆς περὶ προφητῶν ἐξηγήσεως, *Ebionis ex enarratione in prophetas*, non facile definietur: etenim in codice nobili vaticano, quem iterum inspeximus, scribitur perspicue Ἐβίωνος, ita ut cogitandum videatur de Ebione Iohannis apostoli contemporaneo. Sane Ebionaei, auctore authentico Epiphanio (haer. XXX. 18.) ceteros prophetas detestantes, unum Christum agnoscebant prophetam, de quo uno reapse tria illa fragmenta loquuntur. At vero Labbeus (conspect. op. Damasc. p. 50.) legebat in codice gallicano Εὐβίωνος. Utra lectio sit verior, Deus scit; sed certe et Eubion antiquus homo fuit, quandoquidem Anastasius presbyter, apud quem fragmenta illa servata sunt, ad prisca saecula pertinet, nec fere Mopsuesteno recentior iudicandus est. Anastasio autem contemporaneus fuit Hesychius, cuius multae sparsim ad prophetas adnotationes in vaticanis codicibus latent.

II. Verumtamen ut ad Mopsuestenum nostrum redeamus, hominis quidem historiam, tota antiquitate et praesertim in oriente famigerati, in alia nos Scriptorum collectione T. VI. adumbravimus, deque librorum eius multitudine, meritis, ac

reprehensionibus, satis ut puto diximus, et nobis nunc plura dicendi otium fecimus. Quia tamen pleraque nonnisi graece in lucem antea extulimus, visum est tanto auctore diutius homines graece ignaros non fraudare: itaque antiquae nostrae promissionis memores totum impigre latinum fecimus, tamque spisso opere magnam huius voluminis partem implevimus. Et scopus quidem Mopsuesteni est, iudaicam praesertim historiam illustrare; ita tamen ut propheticum spiritum, et relationem ad Christum praecipuis in locis agnoscat ac fateatur: quamquam saepe κατ' ἔκβασιν, id est secundum pleniorem in Christo christianisque rebus vaticiniorum eventum: quod genus interpretandi, etsi aliis quoque ss. bibliorum interpretibus non plane insolitum, in Theodoro tamen suspectum aliquando fuit; et id sane nonnisi pie sinceraque cum fide a christiano scriptore fieri debet. Quam ob rem noster visus est aliquibus ἰουδαιόφρων; quamquam ipse Christo se firmiter credere, et eius deitatem oeconomiaeque mysterium religiose venerari, liquido demonstrat, puta pp. 139. 150. 191. Utrum vero et hebraice sciverit, non satis constat; sed syriacae saltem dialecti non fuit ignarus, quoniam syrum ex hebraico interpretem non semel exagitat ac refutat pp. 241. 252. 263. At ipse certe LXX. interpretes unice sequitur, admiratur, ac laudat p. 252. Praeterea variam et curiosam eruditionem sponte deditaque opera vitare se dicit p. 136. 159. 227, et prophetarum tantummodo vocibus explanandis incumbere.

III. Hoc nos opus in vaticano, olim columnensi, mirae integritatis et antiquitatis codice invenimus, et cum alio insuper vaticano, nec antiquo tamen nec integro, interdum contulimus. Testes quidem operis erant, synodus quinta oecumenica act. 4; deinde Ebediesu in catalogo cap. 19.; quotquot denique operis codices nomen nostri Theodori inscriptum habent. Et quidem Ebediesu ait Theodorum scripsisse hoc opus ad quendam *mar Turim*, ut scribit Echellensis Ebediesu editor; at vero Assemanus in altera editione scribebat *mar Tyrium*, numquam immemor sui syriatici *mar;* ego vero ausim contra Assemanum emendare *Martyrium*, Chrysostomi adeoque etiam Theodori aequalem, et postea Antiochiae patriarcham, quae fuit Theodori patria; ideoque pronum creditu est, missum ab eo opus ad civem ut versimile est suum, illustrem adeo virum, qui antiochenas demum infulas consecutus est. Quod si quis quaerat cur passim Theodorus in codicibus *antiochenus* potius quam *mopsuestenus* dicatur; hanc causam esse puto; quod Mopsuestiae episcopi duo fuerunt Theodori, prior antiquior qui secundae antiochenae synodo subscripsit; posterior hic celeberrimus noster, qui distinctionis gratia vocitabatur ex patria sua antiochenus. Sic ego in codicibus fieri video de Iohanne Xiphilino patriarcha constantinopolitano eius nominis octavo, qui pariter distinctionis gratia dicitur *chalcedonensis*, a patria vel fortasse a priore episcopatu, ut coniecturaliter iudico. Certe duos Anthimos qui aetate mea constantinopolitanam cathedram insederunt, haud numerali nota apud Graecos distingui audio, sed priorem *ephesium* ubi fuit antea exarchus episcopus; alterum *thessalonicensem*, a priore item episcopatu, nominari.

IV. Promisimus olim partem Theodori non modicam commentarii in psalmos, ex codicibus vaticanis sumendam, efferre; verum ea res breviorem postea ambitum, ob illas causas nacta est, quas apto in loco diximus, ubi quicquid eius operis interim in manus venit, post prophetas exposuimus. Feliciores in Theodori commentario ad Iohannem fuimus, cuius ingentem reapse tractum cum peculiari animi voluptate in lucem protraximus. Neque tamen nunc repetere placuit, partes illas non modicas in epistolam ad Romanos, quas graece quarto Spicilegii romani volumini

olim inseruimus: neque item complures illas, quae cum latine tantum extarent vel in synodi quintae actis, vel apud Leontium in basnagiana Canisii editione, nos primi graece in sextum Scriptorum veterum tomum contulimus. Lectores ergo utantur feliciter novis his celeberrimi ss. bibliorum commentatoris divitiis, quas pontificiae bibliothecae codicibus acceptas debent: meminerintque, rerum quidem historiam ne in prophetis quidem esse perimendam, ut Cyrillus ipse et Chrysostomus et Gregorius PP., aliique patres monent: Christum tamen praecipue eiusque ecclesiam, qui est sacrae scripturae scopus, nostraeque salutis negotium, prae oculis habeant.

Est autem ordo, quem codex vat. tenet, commentariorum Theodori apud nos hic:

Sequuntur fragmenta in psalmos p. 390. Et in Iohannis evangelium p. 396–408.

De Basilii neopatrensis in XVI. prophetas commentario.

V. Sed iuvat alium diversi a Theodoro generis prophetarum interpretem, hactenus orbi litterario, quod sciam, incognitum, breviter saltem memorare; cuius nos nonnisi prooemium in praecedente volumine edidimus. Is est Basilius, neopatrensis in Thessalia episcopus, quem cum in quodam ms. catalogo patmensium codicum nominari observassem, in vaticana deinde bibliotheca comperi, Patmo insula huc fortasse devectum. Integer hic commentarius non minores tantum, sed et maiores prophetas explanat, et adversus Iudaeos pertinacissimos Christi osores ac negatores perpetuo decertat, prophetica dicta prope omnia ad christianam ecclesiam trahens. Iamque non hominem tantummodo, verum etiam aetatem eius cognoscimus, nempe decimi primordia saeculi, quandoquidem in excerptis, quae mox subiungemus, bis de Simeonis bulgari rebus tamquam recentibus, immo praesentibus, loquitur, deque eius exitiali calamitate. Is est autem Simeon Bulgarorum princeps, byzantini imperii hostis infestissimus, ad quem multas deprecativas Nicolaus I. patriarcha scripsit epistolas, inter illas quas nos in Spicil. rom. T. IX. edidimus. Basilii prooemio, ut diximus, nuper edito, nunc addemus prologum a nescio quo codici vaticano praepositum: deinde et pauca commentarii specimina subiungemus.

Ὑπόθεσις ἤτοι πρόλογος τῆς ὑποκειμένης Βασιλείου μητροπολίτου νέων Πατρῶν πραγματείας, ἐν ᾗ καὶ εἰς ἀποτροπὴν ἰουδαίων καὶ αἱρετικῶν ἐκ τοῦ παλαιοῦ εἰς βεβαίωσιν τῆς θείας ἐνανθρωπήσεως τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δι' αἰνιγμάτων πολυειδῶς ἐκλαμβάνει.

Ὁ ὑπερούσιος καὶ ἀνενδεὴς καὶ ἀπρόσιτος, οὐσιοποιὸς καὶ δημιουργὸς καὶ κηδεμὼν τῆς τε νοουμένης κτίσεως, καὶ τῆσδε τῆς ὁρωμένης, ὁ κυριεύων οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, τὸ ἀπαράλλακτον τῆς ἀνακαταλήπτου πατρικῆς οὐσιότητος ἐναργὲς ὁμοίωμα, καὶ λαμπεδὼν ἰσοδύναμος, Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν, ὁ ἦν ἀπ' ἀρχῆς καὶ ὢν καὶ συνεσόμενος τῷ πατρὶ, ἐπὶ τὸ καθ' ἡμᾶς ἀμεταβόλως ἐληλυθὼς, καὶ ὑποτυπώσας δι' αὐτουργίας καὶ διδάξας ἐνθέως ἃ ὁσημέραι τῶν ἀνθρώπων ἡ φύσις ἀβαρῶς κατορθοῦσα τύχοι τῆς μακαρίας καὶ ἀειζώου καὶ ἀδιαρρεύστου τρυφῆς, διεσάφησε διαῤῥήδην ὧδέ πως, ἐρευνᾶτε τὰς γραφάς· ἐν αὐταῖς γὰρ δοκεῖτε ζωὴν αἰώνιον ἔχειν· ταύτην τὴν θεόφθεγκτον ῥῆσιν ἀκηκοὼς ῥήτωρ ὁ πυρίπνους παρεγγυᾷ προσέχειν τῇ

ἀναγνώσει· σὺν αὐτῷ δὲ καὶ μετ' αὐτὸν οἱ μακάριστοι καὶ θεοφόροι πατέρες ἐμπεδοῦντες κελεύουσι προσέχειν ταῖς θείαις γραφαῖς, ὡς τῆς δι' αὐτοῦ ἄτερ τριβῆς, οὔτε πίστιν ὀρθὴν, οὔτε πρᾶξιν ἐπαινετὴν κατορθῶσαι δυνάμεθα, ἐν πᾶσιν ἔχοντες ἀρωγὸν τὴν ἄνωθεν δι' εὐχῆς ἐμπράκτου κατερχομένην νοητὴν φρικτωρίαν καὶ δύναμιν. Τοιγαροῦν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἐλάχιστοι, πόθον ἔχοντες οὐκ ὀλίγον τοῦ μηδὲν τῶν θεοπνεύστων γραφῶν ἐλλείπειν ἡμᾶς, εἰ καὶ τὰ μάλιστα περὶ τὸ πρακτικὸν ἀμελοῦμεν, ἐσπεύσαμεν τὰ τῶν ἁγίων ἑκκαίδεκα προφητῶν ἔπη κατατάξαι τῇδε τῇ βίβλῳ, τὰ μὲν γλαφυρώδη καὶ δύσληπτα, εὐκρινῆ καὶ σαφῆ Βασιλείου μητροπολίτου νέων Πατρῶν καθιστῶντος, τὰ δὲ καθ' ἱστορίαν καὶ πρᾶξιν ἐγκείμενα, ὡς τοῖς πολλοῖς εὔληπτα ἀπολύτως καλλιγραφοῦντες 1), ἵνα μηδὲν ἐλλιπὲς εἴη τῷ προφητικῷ λόγῳ, καὶ λυπῇ τοὺς ἀναγινώσκοντας· καὶ αὐτὰ δὲ ἅπερ ὁ προῤῥηθεὶς θεσπέσιος Βασίλειος διετράνωσεν, οὐκ αὐτοκινήτως ἡρμήνευσεν, ὥς φασι, ἀλλ' ἄνωθεν ἐμπνευσθεὶς, συλλελοχὼς τὸν νοῦν, καὶ ἀφορμὴν εἰληχὼς ἐκ τῶν διδασκαλιῶν τῶν θεομύστων πατέρων εἰς ἃ ἐν παρεξηγήσει ἡρμήνευσαν. Ὁπόσα δὲ καὶ οὗτος ἐξ ἑκάστου προφήτου ἡρμήνευσε κεφάλαια, εἰσὶ ταῦτα. Τοῦ Ὠσηὲ κεφάλαια τεσσαράκοντα καὶ ἕν. Τοῦ Ἰωὴλ κεφάλαια δεκαδύο. Τοῦ Ἀμὼς κεφάλαια ιε΄. Τοῦ Ἀβδιοῦ κεφάλαια τέσσαρα. Τοῦ Ἰωνᾶ κεφάλαια γ΄. Τοῦ Μιχαίου κεφάλαια κε΄. Τοῦ Ναοὺμ κεφάλαια ζ΄. Τοῦ Ἀββακοὺμ κεφάλαια λδ΄. Τοῦ Σοφονίου κεφάλαια ς΄. Τοῦ Ἀγγαίου κεφάλαια γ΄. Τοῦ Ζαχαρίου κεφάλαια λδ΄. Τοῦ Μαλαχίου κεφάλαια κ΄. Τοῦ Ἡσαΐου κεφάλαια σπς΄. Τοῦ Ἱερεμίου κεφάλαια οδ΄. Τοῦ Ἰεζεκιὴλ κεφάλαια μθ΄· Τοῦ Δανιὴλ κεφάλαια μ΄. Μετὰ δὲ τὴν συμπλήρωσιν ἑνὸς ἑκάστου προφητικοῦ λόγου, εὑρήσεις αὐτοῦ τοῦ προφήτου ἐν ἐπιτόμῳ διηγήσει Δωροθέου ἐπισκόπου Τύρου τήν τε γέννησιν αὐτοῦ καὶ ἀναστροφὴν καὶ τὴν κοίμησιν· οὐ μὴν δὲ ἀλλὰ καὶ ἑτέρων προφητῶν, ὧν οὐχ εὑρίσκονται βίβλοι. Ἀναγκαῖον δὲ ἡγοῦμαι καὶ αὐτὴν τὴν ὑπόθεσιν ἐντάξαι τῷδε τῷ διηγήματι, ἣν ἐποιήσατο ὁ μακαρίτης καὶ θεῖος οὗτος ἀνὴρ ὁ προμνημονευθεὶς Βασίλειος, ἐμφαίνουσαν τίνος χάριν, καὶ ὅθεν, ἐπὶ τὴν τοιαύτην ἑρμηνείαν ἐλήλυθεν· ἔχει δὲ ἡ ὑπόθεσις ἐπὶ λέξεως τάδε.

Sequitur ibi in codice prooemium ipsius Basilii auctoris. Nunc praeclara quaedam heic proferemus commentarii excerpta, si quis ea forte cum Mopsuesteno comparare voluerit; et primum historica.

Ad Oseam cap. IV. 3. Πενθήσει ἡ γῆ καὶ σμικρινθήσεται. Commentator de suis temporibus loquens. Διενθυμήθητε τὸν ἑσμὸν τῶν κατοικούντων τὰς πόλεις καὶ τὰς νήσους τὸ πρὶν, καὶ τὴν νῦν αὐτῶν ἐρημίαν, καὶ γνώσεσθε πῶς ἐσμικρύνθησαν οἱ κατοικοῦντες τὴν γῆν· καὶ μαθήσεσθε σαφῶς ἐντεῦθεν τὴν τῶν προφητικῶν λογίων ἀλήθειαν· πόσαι γὰρ μυριάδες ὤλοντο ἀπὸ σκύθου τοῦ Συμαιώνου ἐν τῇ ἐμῇ χώρᾳ τῇ εὐγαίῳ Ἑλλάδι, κἂν ταῖς ἀγχιτέρμοις ἐπαρχίαις, τῇ τε Μακεδονίᾳ καὶ Θρᾴκῃ, δι' ἁμαρτίας πληθυσμόν; καὶ ἰδοὺ πόλεις καὶ κῶμαι καὶ ὁλόκληροι χῶραι ἀοίκητοι καὶ ἐρύπιοι, ἐξ ἀδικημάτων καὶ ἀσελγημάτων λυγρῶν τῶν ἐν αὐταῖς κατοικούντων.

Cod. f. 33. Ad Michaeam cap. VI. 9. Φωνὴ κυρίου τῇ πόλει ἐπικληθήσεται. Comment. Φωνὴ κυρίου, ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ καὶ πατρὸς τῇ πόλει κληθήσεται· τῷ χριστιανισμῷ δι' ἁγίου πνεύματος κληθήσεται ἐν τῷ ἁγίῳ βαπτίσματι, καὶ σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ· ἔστι δὲ Θεούπολις ἡ Ἀντιόχεια, ἐν ᾗ τὸ πρῶτον χριστιανοὶ ἐπεκλήθησαν χάριτι· πρὸ τούτου γὰρ γαλιλαῖοι ἐλέγοντο· ἔστι καὶ ἡ Κωνσταντινούπολις τὸ βασίλειον ἔχουσα· ἔστι καὶ Χριστόπολις κεκληρωμένη εὐσεβῶς τὸ ἐπώνυμον εἰς ἐπίδοξον. (Fuit autem Christopolis in Macedonia. Videsis indicem fabricianum episcopatuum B. Gr. T. XIII.)

1) Scholion. Τοῦτο δ' ἡμεῖς οὐ ποιοῦμεν ἐν τῷδε τῷ βιβλίῳ, ἤτοι οὐ καλλιγραφοῦμεν τὰ μόνα καθ' ἱστορίαν καὶ οὐ μετ' ἐξηγήσεως κείμενα.

Cod. f. 42. Ad Abdiam v. 4. Κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν. Comment. Ὅπου ἐὰν ἑαυτὸν ἀποκρύψῃς, οὐ λάθῃς, κἂν Καζαρόφρων γένῃ, κἂν Ῥωσόφρων, κἂν ἐς Πάτζικας (infra Πάτζακ.) τραπῇς, ἐκεῖθεν σε Χριστὸς ἐκμοχλεύσας ὀλέσει.

Cod. f. 58. Ad Sophoniam cap. III. 9. Μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν. Comment. Ἐπὶ λαοὺς πολλοὺς Ἰούδα καὶ ἐθνῶν δέδωκε κύριος κατάρχειν πάντων αὐτῶν γλῶσσαν τὴν Ῥωμαίων, ἐκεῖθεν ἑαυτῷ ἐκλεξάμενος τὸ βασίλειον· καὶ οὕτως ἐπικέκληνται πάντες τὸ ὄνομα κυρίου Χριστιανοὶ λεγόμενοι. (Mopsuesteni explanatio p. 266. satis differt.)

Cod. f. 64. Ad Zachariam cap. VIII. 20. Comment. Μία καὶ μία πόλις ἐστὶν ἡ πάλαι Ῥώμη, καὶ ἡ νέα Κωνσταντινούπολις. (Aliter Mopsuestenus p. 327. cum adn.)

Cod. f. 71. Ad Zachariam cap. XIV. 20. Ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου. Comment. Τοὺς τιμίους ἥλους σημαίνει, οὓς ἡ μακαρία Ἑλήνη Κωνσταντίνῳ τῷ θείῳ βασιλεῖ τῷ υἱῷ αὐτῆς εὑροῦσα δέδωκε, καὶ ἐποίησε σαλιβάριον τῷ ἵππῳ αὐτοῦ, καὶ δι' αὐτοῦ ἐνίκα τοὺς πολεμίους. (Aliter omnino Mopsuestenus p. 361.)

Cod. f. 82. Ad Esaiam cap. II. 2. Ἔσται ἐν ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος τοῦ κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ. Comment. Ἐμφανὲς γέγονε τὸ ὄρος κυρίου ἡ νέα Ἱερουσαλὴμ, ἡ νέα Ῥώμη, ἡ Κωνσταντίνου τοῦ μεγάλου πόλις, ἐν ταῖς ἐσχάταις ἡμέραις, καὶ παντί που περίβλεπτος ἐν ὅλῳ τῷ κόσμῳ· διότι Χριστὸς ἐν αὐτῇ οἰκεῖν τε καὶ βασιλεύειν ἡρετίσατο ἀεί· ὁ δὲ οἶκος τοῦ θεοῦ ἡ ἐπ' ἄκρων τῶν ὀρέων, ἡ μεγάλη ἐκκλησία ἐστίν· ἐπ' ἄκρων γὰρ τῶν ὀρέων, κατὰ κορυφῆς ἵδρυται, μέγα θαῦμα καὶ ἀμίμητον πάσαις γενεαῖς ἔργον ὑπάρχουσα, ἥτις καὶ καλεῖται τὸ τοῦ Χριστοῦ ὄνομα Σοφία, οἱονεὶ ὁ τοῦ θεοῦ λόγος, ὑψωθήσεται, ἔφη ὁ βλέπων, ὑπεράνω τῶν βουνῶν, καθὼς ὁρᾶται πάντοθεν πέριξ ὡς ὄρος θεοῦ ὑπεράνω ὑπερέχουσα τῶν ἑπτὰ βουνῶν τῶν λόφων. Ὑπερύψωται δὲ καὶ τὸ θεῖον ὄρος οἴκου κυρίου, ἐν ᾧ αὐτὸς μετὰ σώματος κεκάθικεν, ὑπεράνω τῶν οὐρανίων ἀγγελικῶν δυνάμεων, ἡ Θεοτόκος ἐμφανέστατα. (Vides testimonium pro summa dignitate Deiparae, vel etiam pro eius in caelum assumptione.)

Cod. f. 165. Ad Hieremiam cap. IV. 15. Φωνὴ ἀναγγέλλοντος ἐκ Δὰν ἥξει. Comment. Ἔστι δὲ ταῦτα γῆ τοῦ Δὰν, καὶ φυλὴ καὶ λαὸς αὐτοῦ, ἡ ἀπὸ Χαζάρων καὶ μέχρι τοῦ Δανουβίου ὁρᾶται· ὅτι ἐξ ἀρχῆς ὁ Δὰν, ὁ καὶ Ἐδὼμ, ἐν τούτοις κατῴκησε, καὶ τὸ μιαρώτατον γένος αὐτοῦ, ἀφ' οὗ γε εἰσὶ τὰ πολύσπορα ταῦτα ἔθνη, Χάζαρος, Ῥὼς, Σμορδὰς, Πάτζακες, Τοῦρκοι οἱ καὶ Ἄῤῥαβες, Οὖννοι οἱ καὶ Κότραγες (Vide Theophanem ed. paris. p. 297.) οἱ δὲ καὶ Βούλγαρες· καὶ οὕτως ὠνομάσθησαν καὶ ποταμοὶ αὐτῶν, καὶ πόλεις αἱ ἀπὸ τοῦ Δὰν ᾠκισμέναι, Δάναϊς, Δάναπρις, Δάναστρις, Δανούβιος.

Cod. f. 176. Ad Hieremiam cap. XXV. 12. Ἐκδικήσω ἐπὶ τὸν βασιλέα Βαβυλῶνος etc. Comment. Ἐν ᾧ γὰρ μέτρῳ, αὐτὸς εἴρηκε, μετρεῖς, ἀντιμετρηθήσεταί σοι· Οἱ γοῦν Σκύθαι πικρῶς κατεπαναστάντες τοῖς Ῥωμαίοις ἡμῖν, ᾐχμαλώτευσαν χρόνοις οὐκ ὀλίγοις ἀνδραποδίσαντες, καὶ πολλὰς πόλεις ἑλόντες ἐν ψευδορκίᾳ, ἃς καὶ ἀναμοχλεύσαντες ἐξαυτῆς ἤγαγον αὐτὰς τῇ θεηλάτῳ γαίᾳ τῆς δεινῆς Βουλγαρίας, καὶ τοι φρικτοῖς ὅρκοις ὀμωμοκότες, καὶ ἀσφαλῶς τὸν λαὸν τοῦ θεοῦ ἐμπεδώσαντες, κἀκεῖσε πολλαῖς ἀνάγκαις καὶ παλιῤῥοίαις τὸ ἀνθρώπινον ἅπαν ὤλετο· ὁ ὁ θεὸς ὁ δίκαιος ἔνδικος θᾶττον ἐπισκεψάμενος, τὰς ἰδίας αὖθις ἑκάστῳ πατρίδας ἀπέδωκε, καὶ τὴν ἀνθυποστροφὴν ἐποιήσατο, δεινὸν τῷ τυράννῳ μόρον τῷ Συμαιώνῳ ἐπιστησάμενος· εἶτα τὴν ἔνδικον ἄμυναν ἐπαγαγὼν, τὴν Σκυθίαν ἅπασαν χερσὶ πολεμίων ἀνήλωσε καὶ ἠφάνισε καὶ πατάξας ἁμαρτήσαντας λαοὺς διὰ χειρὸς ἁμαρτωλῶν, ἐπεστράφη λοιπὸν, καὶ ἐξεζήτησε τὸ αἷμα αὐτῶν ὁ κύριος· ὅρα οὖν καὶ σκόπει ὁ τύραννος, σκόπει καὶ φρίξον, καὶ τοῦ δεινοῦ ἀπόσχου, ἵνα μὴ πάθῃς ἴσα ἔργων ὧν πέπραχας.

Cod. f. 199. Ad Daniehelem cap. II. 41. Βασιλεία διῃρημένη ἔσται etc. Comment. Τὴν ἀπὸ τῆς παλαιᾶς Ῥώμης ἐπὶ τὴν νέαν Ῥώμην διαίρεσιν αἰνίττεται, καὶ ὅτι ἡ τῆς νέας κραταιωθεῖσα τὴν παλαιτάτην πρωθυστέραν πεποίηκεν etc. Εἰ γὰρ καὶ μιᾷ τῇ πίστει ὁμονοοῦσιν οἱ νῦν ἐν τῷ χριστιανισμῷ ὄντες βασιλεῖς, ἤτοι ὁ νέας καὶ ὁ παλαιᾶς, ἀλλ' οὐκ ἐν βουλῇ, ὡς οὐδὲ οἱ ἀπ' αὐτῶν χριόμενοι, οἵ εἰσιν ὁ Σκύθης, καὶ εἴτινες ἄλλοι· πλὴν ἡ νέα Ῥώμη πάντας ὑπερέξει. (Viden' religiosis statum, fastumque simul byzantinum?)

Exin loca quaedam theologica adnotabimus, citata tantum, brevitatis gratia, codicis pagina.

Cod. f. 10. b. De ss. Eucharistia. Φάγεται ἐν ἀγαθῇ κοινωνίᾳ τὰ ἔθνη μετὰ ἀγγέλων θεοῦ, καὶ τῶν πιστευσάντων ἐξ Ἰούδα τῆς ἀχράντου γνώσεως αὐτοῦ τοῦ Χριστοῦ, καὶ τοῦ τιμίου ἐν μεθέξει σώματος καὶ αἵματος γενήσονται. Item f. 43. Σῶμα τοῦ Χριστοῦ, ὡς ἄρτον· καὶ τὸ θεόβλυτον αὐτοῦ αἷμα, πόμα. Postremo f. 57. ad Sophoniam cap. I. 7. Ἡ κατὰ νόμον ἱερωσύνη ηὐλόγηται διὰ τῆς ἐν τῇ χάριτι λατρείας, καὶ ἀναιμάκτου ἱερουργίας τοῦ Χριστοῦ· προφερεστέρα γάρ ἐστιν αὕτη τοῦ πάλαι νόμου διὰ Μελχισεδὲκ; τοῦ εἰς τύπον Χριστοῦ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως, μυστικῶς εὐλογηθεῖσα etc. Οὕτω δὲ καὶ ἡτοίμασε τὴν θυσίαν αὐτοῦ· οὕτω καὶ ἡμῖν παρέδωκε θύειν αὐτῷ τὴν ἀναίμακτον ἱερουργίαν· καὶ οὕτως ἡγίασε καὶ ἁγιάζει τοὺς κλητοὺς αὐτοῦ· ὅτι οἱ μὲν κατὰ Λευΐ, διὰ κτηνοθύτου αἵματος· οἱ δὲ τοῦ Χριστοῦ, μᾶλλον δὲ καὶ αὐτὸς, δι' ἀναιμάκτου θυσίας· τοῦτο γὰρ ὁ Μελχισεδὲκ τῷ βουκκακράτῳ πεποίηκεν, ὅτε τὸν Ἀβραὰμ ηὐλόγησεν· ὁ ἁγιασμὸς οὖν οὗτος θεόθεν ἡμῖν παρεσχέθη· αὐτὸς γὰρ ἁγιάζει ἡμᾶς, καὶ δι' ἡμῶν τῶν ἱερέων αὐτοῦ ὁ αὐτὸς πάντας.

De Trinitate contra Iudaeos loquitur f. 11. et 59. seq. De divina oeconomia f. 90. et 151. Contra haereses f. 45. 51. 110. Primo loco permultas enumerat haereses, sed nihil novi. Secundus locus ita se habet, ad Habacuci verba cap. II. 15. Ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ. Comment. Πρὸς τοὺς θεομάχους αἱρετικοὺς αὕτη ἡ ἀρά ἐστιν, ὅτι οὐ μόνον ἑαυτῆς, ἀλλὰ δὴ καὶ πολλῶν παραίτιοι ἀπωλείας γίνονται· ποτίζουσι γὰρ τὸν πλησίον ἀνατροπὴν θολερὰν, τύφλωσιν νοὸς, καὶ χωρισμὸν ἀπὸ θεοῦ· αἵρεσις οὖν ἐστι τύφλωσις, καθ' ἣν ὁ ὁρῶν οὐχ ὁρᾷ etc. Δοκοῦμεν οὖν ἕκαστος κατὰ τὴν ἰδίαν ἀρέσκειαν κρίνοντες τῶν πραγμάτων τὰς φύσεις, ἀρέσκειν τάχα καὶ τῷ θεῷ· καὶ διὰ τοῦτο τὸν κατ' ἀλλήλων ἀναῤῥιπίζουσι πόλεμον ἐν τῇ πρὸς ἀλλήλους διαφωνίᾳ, καὶ ταῖς τῶν ἀντικειμένων ὑπολήψεων καὶ δοξῶν ἑτερότησιν· ἀλλ' ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ. Denique f. 110. Τινὲς ἔδοξαν ματαιοπονήσαντες εἰπεῖν, μετὰ τὴν συντέλειαν ἔσεσθαι ἀνάκλησιν ἁμαρτωλῶν ἐκ κολάσεως ἐν χιλίοις ἔτεσι, ὧν ἐστιν Ὠριγένης ὁ ἄθλιος, καὶ οἱ ἀμφ' αὐτὸν ἄλλοι ματαιόφρονες, οἱ τὰς ἀλόγους μετεμψυχώσεις λογικοῖς ἐφαρμόσαντες ἀθεότητι· τινὲς δὲ αὐτῶν ἐτόλμησαν εἰπεῖν καὶ δαίμονας ἀποκαθίστασθαι πάλιν εἰς τὸ ἀρχαῖον ἀξίωμα, ὅπερ δύσκολον.

Contra Iudaeos plurimae sunt Basilii nostri invectiones. Unam proferam ad Zachariam cap. XII. 11. cod. f. 70. Τὴν ἐκ πολεμίων ἐκτομὴν λέγει, ἣν ἰουδαῖοι ἔπαθον διὰ τὰς ἀπείρους κακίας αὐτῶν, καὶ τοῖς ἑπτὰ ἐκδικουμένοις ὡς ὁ Κάϊν περιπεπτώκασι· τί δὲ τὰ ἑπτὰ ἐκδικούμενά ἐστιν ἐν αὐτοῖς, σαφηνίσομεν ὧδε. α'. Ὅτι οὐκ ὀρθῶς διείλοντο τὰ τῷ θεῷ εἰς θυσίαν ὄντα ἐξαίρετα, ἀλλ' αὐτοὶ πάντα ἐθοίνιζον ἰουδαῖοι· β'. Ὅτι καὶ ἁμαρτάνοντες ἀνασφῆλαι πρὸς ἐπιστροφὴν καὶ μετάμελον οὐκ ἐβουλήθησαν· γ'. Ὅτι φθόνῳ προστετηκότες φονᾷν ἤθελον, ὡς ἐπί τινι θρασυνόμενοι μανίᾳ παρὰ τὸ δίκαιον· δ'. Ὅτι δόλῳ τὴν εἰς θεὸν εὐσέβειαν ἔχοντες, ἔργῳ τὴν ἑαυτῶν κακίαν ἀπιθείᾳ ἐδήλωσαν. ε'. Ὅτι ἐπ' αὐτὸν τὸν ὄντα λόγον τοῦ θεοῦ

καὶ θεὸν τὴν μιαιφονίαν παρανόμως εἰργάσαντο. ς'. Ὅτι ψευδοπρεπεῖς ὄντες, ἑαυτοὺς διεψεύσαντο, τοῦ ἀποῤῥαγῆναι τοῦ θεοῦ προθυμούμενοι. ζ'. Ὅτι πρὸς οὐδὲν τὴν ἄμυναν δοκοῦντες, ἀνθ' ὧν ἐτόλμησαν εἰσεπράχθησαν, ἄχος εὑρόντες καὶ ὄλεθρον etc. Brevius ad Amosum cap. VIII. 4. Cod. f. 25. contra eosdem Iudaeos. Τὸ φιλοκερδὲς ἰουδαίων ἐστηλίτευσεν ὧδε, ὅτι δὲ καὶ δι' αὐτὸ ἐλαύνουσιν ἑαυτοὺς ὡς ἀραβικοὺς λύκους (alibi eosdem Iudaeos dicit λυκογνώμους) οἱ φιλόπλουτοι ἁρπάζοντες, ἀδικοῦντες etc.

Ad crisim biblicam quod attinet, duo saltem insigniora loca exhibebimus, contra interpretem Aquilam.

Cod. f. 18. Ad Oseam cap. VII. 1. Κλέπτης etc. Comment. Κλέπτης ἐστὶν ὁ Ἀκύλας, ὃς ἐν τῇ ὁδῷ τῆς ἰδίας πλανήσεως καὶ ἀπωλείας αὐτοῦ ἐξέδυσεν ὡς λῃστὴς τοὺς Ἑβραίους πάσης θεογνωσίας, μεταστρέψας τὴν γραφὴν μεθόδῳ τῆς ἀπατηλῆς αἱρέσεως αὐτοῦ, καὶ παραδοὺς τοῖς ὁμοίοις· συνάδουσι γὰρ αὐτῷ τοῖς ἐνδιαστρόφοις ῥήμασιν αὐτοῦ· οὗτος γὰρ ὁ Ἀκύλας ἐξ Ἑλλήνων ὤν, τῶν ἔξω γνῶσιν ἔχων, τῇ τοῦ διαβόλου μαστραπότητι, μετὰ τὸ βαπτισθῆναι καὶ χριστιανὸν γενέσθαι, περιτμηθεὶς καὶ ἰουδαΐσας μετέστρεψεν, ὡς ἀνωτέρω εἴρηται, τὰς θείας γραφὰς, κακῶς διδάξας τοὺς Ἑβραίους τῇ μοναρχίᾳ ἐπερείδεσθαι.

Cod. f. 68. Ad Zachariam cap. XI. 12. de paschali caena quam Dominus anticipavit ita scribit Commentator. Εἰδὼς ὁ πάντα εἰδὼς τὴν ἐκείνων μοχθηρίαν, καὶ τὴν οἰκονομίαν εἰς συμπέρασμα εἶναι, ἵνα μὴ δοκῇ ὡς ἀντίθεος εἶναι, μυστικώτερόν πως τὸ πάσχα ἐποίησεν· ἐγίνωσκε γὰρ ὅτι οὐκ ἦν αὐτῷ εὔθετος ἡ τοῦ σαββάτου ἐκείνου ἡμέρα τότε, ἐπεὶ ἦν τὸ πάσχα τῶν ἰουδαίων· μᾶλλον δὲ βουλόμενος τὸ νομικὸν καταπαῦσαι, καὶ τὸ αὐτοῦ εἰσαγαγεῖν, ὅπερ καὶ γέγονε, τῇ τῆς πέμπτης ἑσπέρᾳ ἐν τῷ τοῦ Ἰακώβου οἴκῳ λοιπὸν τὸ πάσχα πεποίηκεν· ὅπερ ἰδὼν Ἰούδας, ἔχων τὴν ἐλεεινὴν τοῦ διαβόλου γνώμην, καὶ ὡς φιλάργυρος ἡττηθεὶς, ἀπὸ τοῦ δείπνου ἔδραμεν εἰς τοὺς ἀλιτηρίους ἐκείνους ἀρχιερεῖς Ἀννᾶν καὶ Καϊάφαν, ἔτι καθεζομένων αὐτῶν ἐπὶ τοῦ δείπνου, καὶ τὸ μυστήριον εἶπεν αὐτοῖς, ὅτι, φησὶν, ὁ Ἰησοῦς τὸ πάσχα νῦν ἐποίησεν· οἵ τινες ἀκούσαντες καὶ τῷ χόλῳ ζέσαντες, ἐξαυτῆς ἐζήτουν κρατῆσαι τὸν Ἰησοῦν. Mox de illo celebri apud Matth. XXVII. 9. Hieremiae testimonio, ita pergit commentari. Ἴσθι ὅτι ἐν τῷ κειμένῳ Ἱερεμίου τοῦτο οὐχ εὗρον· διὰ δὲ τὸ ἐμφέρεσθαι ἐν τῷ ἁγίῳ εὐαγγελίῳ τόδε τὸ ῥῆμα, τέθεικα τοῦτο· τὸ δὲ ἐκλελεῖφθαι τὸ ῥῆμα ἐν Ἱερεμίᾳ, ἴσθηθι ὅτι πολλὰ παρεσύλησαν οἱ ἀπὸ τῆς θεοκτονίας τοῦ κειμένου, καὶ μάλιστα ὁ ἐμβρόντητος Ἀκύλας· διὸ καὶ σωζομένων ἔτι τῶν προφητικῶν, οἱ θεῖοι εὐαγγελισταὶ ταῦτα ἐν εἰδήσει ἔχοντες ἔγραψαν· μὴ γὰρ νομίσῃς εἶναι ἀργύρια ἐν χαράγματι λ'· ὁ γὰρ τοῦ κεραμέως ἀγρὸς, ἐράστιος ἀγρὸς ἦν καὶ ἀξιότιμος, ὅθεν ἡ τοῦ ματαίου πλούτου ἀγάπησις εἷλξε τὸν προδότην δι' αὐτὰ τὸν διδάσκαλον προδοῦναι. (Addatur haec prophetici testimonii explicatio tot illis veterum a Calmeto in commentario ad Matthaeum recitatis.)

En autem totius commentarii optima clausula cod. f. 207.

Ταῦτα δὲ κατὰ τὸ ἡμῖν ἐφικτὸν, ὦ γνήσιοι, ἐκτεθείκαμεν, εἰς οἰκοδομὴν καὶ ὠφέλειαν πολλὴν τῆς Χριστοῦ ἐκκλησίας ἁγίας· εἰ δὲ τι παρέλειπε, μηδεὶς θαυμάσει· οὐδὲ γὰρ ἐν τοῖς μεθ' οὗ χρεία ἐστὶ κατὰ ψυχὴν τοῖς ἐντευξομένοις, καὶ οὐ πάντα λυσιτελήσει πᾶσι τὰ μυστικώτατα γινωσκόμενα· παρήκαμεν οὖν ἑκοντὶ τὰ πολλοῖς μὴ ἁνδανοῦντα· οὐ γὰρ πᾶσι σπουδῆς ἄξια πάντα· ἐν δὲ τοῖς ὀφείλουσι τὸ μακαριστὸν φύσει ἀποδιδόαμεν τέρμα· ἐπὶ τοῦτο καὶ τὴν ὁρμὴν ἐξ ἀρχῆς συστάνοντες, εἰς Χριστὸν τὸν λόγον ἐπεδειξάμεθα, καὶ ἀγῶνα τὸν ἐσθλὸν προτεθήκαμεν τοῦ

δεῖξαι καὶ δηλῶσαι, ὅτι ἧκε καὶ ἔπαθε, καὶ θανὼν ἀνέστη, καὶ ἀνῆλθεν εἰς οὐρανοὺς μετὰ σαρκὸς, καὶ αὖθις ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ὅτι θεὸς ἰσχυρὸς, κτίστης τε καὶ ποιητὴς τῶν ἁπάντων ὁ Χριστός ἐςι, προαιώνιος, συναΐδιος τῷ πατρὶ καὶ τῷ πνεύματι, καὶ νέος καὶ πρόσφατος διὰ τὴν σάρκα· εἷς ὁ αὐτὸς υἱὸς ὁ μονογενὴς ἐκ πατρὸς, πρὸ αἰώνων μὲν δίχα μητρὸς, ἐπ' ἐσχάτων δὲ δίχα πατρὸς, ἀτρέπτως, ἀφύρτως, ἀσυγχύτως, ὑπὸ ἁγίων ἀγγέλων ἀνυμνούμενος, καὶ ὑπὸ πάσης κτίσεως δοξαζόμενος.

Ὑμεῖς δὲ, ὦ θεία Χριςοῦ νεολαία, τὸ εὐσεβὲς καὶ χριστώνυμον ποίμνιον, ἡ θεόπλοκος καὶ χρυσοπαμποίκιλος σειρὰ, φυλάξασθε τὴν καλὴν αὐτῷ παρακαθήκην τῆς πίστεως ἀσινῆ καὶ ἀμείωτον· κἂν δέοι παθεῖν διὰ Χριστὸν, ὑποίσωμεν, ἵνα στεφανωθῶμεν καὶ λαμπρυνθῶμεν· κἂν δέοι δι' αὐτὸν ἀποθανεῖν, ἀποθάνωμεν, ἵνα καὶ συζήσωμεν, καὶ συνδοξασθῶμεν αὐτῷ τῷ δι' ἡμᾶς παθόντι, θανόντι, ταφέντι, καὶ ἀναστάντι· πάντα τὰ ἐν κτήσει δῶμεν τοῖς ἐθέλουσι, μόνην δὲ τὴν εὐσεβῆ ἡμῶν μὴ προώμεθα πίστιν. Ἀποδῶμεν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ θεοῦ τῷ θεῷ. Τὸν θεὸν φοβεῖσθαι μὴ ἐλλείπωμεν, ἀγαπητοὶ, ὁ γὰρ φόβος αὐτοῦ φυλακτήριόν ἐστι μέγα· ἐκκλίνει γὰρ πᾶς ἀπὸ κακοῦ, καὶ ποιεῖ ἀγαθὸν ὁ φοβούμενος τὸν κύριον· τοῦτο σκοπήσωμεν, καὶ ἓν φοβηθῶμεν, τὸ μὴ τοῦ θεοῦ φοβεῖσθαί τι πλέον. Χριστὸν φιλήσωμεν ὡς ὁ Πέτρος, καὶ αὐτὸν ὑπὲρ πάντα ποθήσωμεν, τὸ μόνον ἐράσμιον, τὸ ἀκρότατον ἐφετὸν, τὸ φῶς τὸ ἀνύκτερον. Τὸ πνεῦμα τὸ ἅγιον αἰδεσθῶμεν, καὶ αὐτὸ τιμήσωμεν, ὅπερ ἐν ἁγίῳ μετέσχομεν τῷ βαπτίσματι· τοὺς τῆς ψυχῆς ἡμῶν ἄρνας ἐν ἀκακίᾳ, τοὺς τοῦ νοός τε λογισμοὺς ἀγαθοὺς αὐτῷ εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ ἐνενέγκωμεν, ἐν ἀγαθαῖς ἐργασίαις ταῖς πρακτικαῖς ἀρεταῖς κατακαλλυνόμενοι· ἐποφθῶμεν αὐτῷ καθ' ἑκάστην μὴ κεναῖς ταῖς τῆς ψυχῆς χερσὶν, ἀλλ' ἔτι καλὸν ἐν δικαιοσύνῃ σωφροσύνῃ καὶ ἀληθείᾳ μεθ' ἡμῶν ἐπιφέροντες. Σεβασθῶμεν ὁλοψύχως τὴν ἐγγυητρίαν τῶν ψυχῶν ἡμῶν, τὴν σωσίκοσμον ἐλπίδα, τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν, τῶν δικαίων τὸ ἀγαλλίαμα, τῶν ἀγγέλων τὸ πολυέραστον ἐγκαλλώπισμα, Μαρίαν τὴν ἄχραντον θεοτόκον, τὴν ἁγίαν παρθενομητρόθεον, τὴν μεγάλην προστασίαν τοῦ γένους τῶν ἀνθρώπων. Τιμήσωμεν τοὺς θεοῦ ἁγίους ἀγγέλους, καὶ σεβασθῶμεν τοὺς τῷ θρόνῳ τοῦ κυρίου παρισταμένους, τοὺς φύλακας τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ἐπὶ τοῦτο δὲ πρὸς θεοῦ τεταγμένους. Τιμήσωμεν τοὺς ἁγίους μαθητὰς καὶ ἀποστόλους Χριςοῦ, ὡς ὑπὲρ ἡμῶν πολλὰ κοπιάσαντας. Μακαρίσωμεν τοὺς θείους προφήτας, οἳ βλέποντες προεσκίρτων καὶ συνέχαιρον τῇ ἡμῶν ἀναβιώσει, οἱ Χριστὸν σαφῶς προφητεύοντες. Τιμήσωμεν τοὺς σοφοὺς διδασκάλους τῆς οἰκουμένης ἀρχιερεῖς, ἱερεῖς, καὶ μονάζοντας, τοὺς θεῷ εὐσεβῶς εὐαρεστήσαντας. Σεβασθῶμεν τοὺς ὑπὲρ τῆς εὐσεβοῦς πίστεως μάρτυρας ἁγίους καὶ δικαίους τοὺς ἀπ' αἰῶνος, οἵ τινες διὰ Χριςὸν τὸ αἷμα ἐξέχεαν. Ἐπὶ πᾶσι τούτοις, εἰς θεὸν τὸ σέβας καὶ τὴν τιμὴν καὶ τὴν προσκύνησιν ἀποδώσωμεν. Ἀγαπήσωμεν ἀλλήλους, καὶ ἀλλήλων τὰ πταίσματα συγχωρήσωμεν, ἵνα καὶ ἡμῖν ἀφεθῇ τὰ πολλὰ παραπτώματα· ἀλλήλους τιμήσωμεν, ἵνα καλῶς βιοτεύσωμεν. Ὁ καιρὸς τῆς συντελείας ἐγγίζει 1)· νήφειν προσήκει· ἐπὶ θύραις τὸ τέλος, μὴ ἀμελῶμεν· δόξαν δὲ καὶ εὐχαριστίαν καὶ προσκύνησιν οἱ πιστοὶ ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1) Existimarunt multi veteres post millesimum annum fore Christi secundum adventum.

TABULA PALAEOGRAPHICA.

Numeri tantummodo tres ad hunc tomum pertinent; scilicet 1. Theodorus mopsuestenus 6. Origenes. 7. Didymus. Reliqui numeri subsequentibus tomis usui erunt.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ἙΡΜΗΝΕΙΑ ΩΣΗΕ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Εἰς ἔλεγχον τῶν ἀβασανίστως ἐπιβάλλειν ταῖς προφητικαῖς ἐπιχειρούντων φωναῖς, καὶ μὲν Cod. column. XLV, p. 1.
καὶ πρὸς κατασκευὴν τῆς ἑξῆς, ἀρξώμεθα τῆς τῶν προφητικῶν σαφηνείας, θεοῦ διδόντος,
ἀπὸ τοῦ Ὠσηὲ τὴν ἀρχὴν ποιησάμενοι, ὃν καὶ πρῶτον εἶναι τῷ χρόνῳ συμβέβηκε τῶν λοιπῶν
προφητῶν. τοῦ γὰρ μακαρίου Δαυῒδ, καθ' ἃ πρόσθεν ἔφθην εἰπὼν (1), ἐν ψαλμοῖς ἁπά-
σας τὰς περὶ τὸν λαὸν ἐσομένας μεταβολὰς ἐπιόντος προδήλως, σιγὴ μὲν τὸν ἐν μέσῳ χρόνον
κατεῖχεν, ἅτε ἀρκούντως ἅπαντα προειρηκότος ἐκείνου· ἐπειδὴ δὲ ἐπιστῆναι τὸν καιρὸν συνέβη
καθ' ὃν ἤρξαντο κακῶς πάσχειν αἱ δέκα φυλαί, τῶν Ἀσσυρίων αὐτὰς πολιορκούντων, ἄχρις
οὗ παντελῶς αὐτὰς τῶν οἰκείων τόπων ὁ Σενναχηρεὶμ ἀφελὼν εἰς ἀλλοτρίους μετῴκισε τόπους·
τά τε πόρρωθεν τῷ μακαρίῳ Δαυῒδ προειρημένα περὶ τῶν τῷ λαῷ συμβησομένων χαλε-
πῶν, τὴν ἀρχὴν ἐντεῦθεν ἐδέχετο· ὅπερ οὖν ἐπὶ τὸν κατὰ τὸν Ἐζεκίαν ἐγίνετο καιρόν, τὸν Ἰούδα
φυλῆς βασιλεύοντα σὺν τῇ Βενιαμὶν, προεβάλετο τῶν πραγμάτων ἐγγύθεν ὄντων ἡ θεία
χάρις τοὺς προφήτας, καὶ πρό γε τῶν λοιπῶν τὸν Ὠσηὲ μηνύοντα τὰ περὶ αὐτοὺς θεόθεν * ἐσόμενα, καθάπερ τινὰ ὑπόμνησιν ποιούμενον τῶν παρὰ τῷ Δαυῒδ πάλαι τε εἰρημένων καὶ p. 2.
πρόπαλαι, ὡς ἂν τῶν τε ἐσομένων χαλεπῶν τοὺς Ἰσραηλίτας ἀποφήνειεν αἰτίους, ἀποστάντας
μὲν τῆς περὶ τὸν θεὸν θεραπείας τε καὶ γνώσεως, περὶ δὲ τὰ εἴδωλα καὶ τοὺς δαίμονας
ἅπασαν ἔχοντας τὴν σπουδήν· δῆλον τε ποιήσειεν ὅτι οὐκ ἔκ τινος συντυχίας γίνεται ταῦτα·

* l. m. θειόθεν.

THEODORI ANTIOCHENI

MOPSUESTIAE EPISCOPI COMMENTARIUS INTEGER

IN OSEAM PROPHETAM.

Contra eos qui temere prophetica verba tractanda suspiciunt, atque ut viam posterioribus muniam, adgrediar, Deo adiutore, ad res propheticas explanandas, capto initio ab Osea, qui et princeps inter reliquos prophetas aetate est. Nam ex quo beatus David, sicut ego in superioribus dixi, cunctas quae populo eventurae erant rerum publicarum conversiones manifeste in psalmis enarraverat, silentium intermedia tempora occupavit; quia scilicet nihil ab illo vaticinante praetermissum fuerat. Sed enim statim ac tempus adfuit, quo coeperunt adversa pati decem tribus, Assyriis eas prementibus, donec funditus avitis eversas sedibus Sennacherimus in extranea loca transtulit; quum iam, inquam, factum esset initium calamitatum, quas genti impendere multo ante David praedixerat; Ezeciae nimirum aetate, qui Iudae et Beniamini tribubus imperitabat; divina gratia, rebus iam instantibus, prophetas publice misit, primumque in his Oseam, qui quidquid divinitus illis eventurum erat nunciaret: quique in memoriam veluti revocans praedictas olim a Davide calamitates, harum mox futurarum culpam Israhelitis imponeret, a Dei cultu ac notione iam pridem aversis, atque ad idola daemonesque perquam studiose conversis:

(1) Videlicet in commentario suo ad psalmos, cuius ingentes reliquias nos volumine hoc vel alio exhibebimus.

πόρρωθεν δὲ εἴρητο τε καὶ προώριστο τῷ θεῷ γενέσθαι, τῆς τούτων αὐτῶν ἐπισταμένῳ κακίαν,
καὶ τὰ περὶ αὐτοὺς ὅντινα τρόπον προσῆκεν οἰκονομεῖν εἰδότι σαφῶς, εἰς προπαρασκευὴν τῆς
τοῦ δεσπότου Χριστοῦ δείξεώς τε καὶ παρουσίας· ὥστε γὰρ δῆλον ἅπασιν γενέσθαι ὅτι τὴν περὶ τὸν
λαὸν κηδεμονίαν διὰ τὸν ἐξ αὐτῶν προσδοκώμενον φανήσεσθαι ποιεῖται, ἐκδίδωσι μὲν
τὰς δέκα φυλὰς τῇ τῶν ἀσσυρίων αἰχμαλωσίᾳ· φυλάττει δὲ ἐπὶ τῶν τόπων τὴν Ἰούδα μόνην,
ἐξ ἧς περ ἤμελλεν ὁ δεσπότης ἀναφαίνεσθαι τὸ κατὰ σάρκα Χριστός· ἣν περ οὖν εἰς αἰχμα-
λωσίαν ὕστερον ἀπαχθεῖσαν διὰ τὰς αὐτῶν ἐκείνων παρανομίας ὑπὸ Ναβουχοδονόσορ τοῦ βα-
σιλεύσαντος τῶν βαβυλωνίων, ἐπανελθεῖν παραδόξως πεποίηκεν· ἐπανελθόντων μὲν καὶ
ἐκ τῶν λοιπῶν φυλῶν τινῶν εὐαριθμήτων ἐξ ἑκάστης, τῆς Ἰούδα δὲ μόνης ἐπαναχθείσης ὅλης·
ὡς ἂν γένοιτο δῆλον ὅτι ἠδύνατο μὲν βουληθεὶς ὁ θεὸς καὶ τοὺς λοιποὺς ἅπαντας ἐπαναγα-
p. 3. γεῖν ὁμοίως ταύτῃ· ἀμελήσας δὲ τῶν λοιπῶν, περὶ ταύτην ἅπασαν ἔθετο τὴν φροντίδα, ἀφ᾽
ἧς περ ἤμελλεν ὁ δεσπότης ἀναδείκνυσθαι Χριστὸς, ἐπὶ κοινῇ τῇ πάντων φανούμενος σω-
τηρίᾳ· κατὰ δὲ τοῦτον τὸν λόγον καὶ αἱ τῶν προφητῶν μηνύσεις ἐτύγχανον ἀναγκαῖαι, δηλοῦσαι
ὅτι πάλαι τε δεδογμένα τῷ θεῷ, καὶ διὰ τοῦ μακαρίου Δαυὶδ εἰρημένα, νῦν λαμβάνει
πέρας, ἀπορρήτως ἅπαντα οἰκονομοῦντος τὰ περὶ αὐτοὺς τοῦ θεοῦ· ὅπερ οὖν καὶ ὁ μακάριος
Ὠσηὲ ποιῶν ὁ προφήτης, τὰ περὶ τὸν λαὸν ὑπὲρ ὧν ἠσέβουν κατὰ θείαν ἐσόμενα βουλὴν
μηνύει σαφῶς· ἄρχεται δὲ οὕτως.

ΚΕΦ. Α΄.

v. 1. "Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὠσηὲ τὸν τοῦ Βεηρὶ, ἐν ἡμέραις Ὀζίου καὶ Ἰωάθαμ
καὶ Ἄχαζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ υἱοῦ Ἰωὰς βασιλέως

atque ut idem palam faceret, haud casu aliquo haec mala contingere, sed multo ante edicente ac decernente Deo, cui et Israhelitarum improbitas explorata erat, et simul comperta ratio, qua cum his agendum erat, ob viam parandam Christi domini ostensioni atque adventui. Deus etenim ut omnes certiores faceret, se populi curam gerere propter eum qui ex huius genere oriturus expectabatur, idcirco tradidit decem tribus assyriacae captivitati, unicam vero retinuit in suis sedibus Iudae tribum, de qua dominus exiturus erat secundum carnem Christus. Quam item captivam deinceps abductam propter pares iniquitates a Nabuchodonosoro Babyloniorum rege, redire mirabiliter voluit: quicum etiam de reliquis tribubus exiguus numerus postliminio reversus est: interim dum una Iudae tribus cum suo populo omni in patriam se recepit: quo perspicuum fieret, volenti Deo possibile fuisse reliquas universas haud secus quam istam revocare: verumtamen neglectis ceteris, ad hanc unam curas suas contulisse, ex qua dominus proditurus erat Christus, quum denique pro communi salute conspiciendum se daret. His ita se habentibus, prophetarum quoque vaticinia necessaria erant, quorum ope notum fieret, poenas olim a Deo decretas atque a beato Davide praedictas, nunc demum inflictum iri, arcana Dei providentia cunctas populi vices moderante. Atque ob hanc videlicet causam beatus quoque propheta Oseas manifeste significat quae Deo mandante eventura populo erant propter eius impietatem. Sic autem incipit.

CAP. I.

"Verbum Domini quod factum est ad Oseam filium Beeri, in diebus Oziae et Ioathami et Achazi et Ezeciae regum Iudae, et in diebus Hieroboami Ioaso nati

Ἰσραήλ. „ Ὡς ἐπιγραφή τις ἐστὶν αὕτη τοῦ βιβλίου περιεκτική, δηλοῦσα τόν τε προφήτην οὗ περ ἐστὶ τὰ εἰρημένα, καὶ τὸν καιρὸν καθ' ὃν εἴρηκε ταῦτα. λόγον δὲ κυρίου τὴν ἐνέργειαν ἁπανταχοῦ λέγει τὴν θείαν τὴν ἐφ' ὁτῳοῦν δήποτε γιγνομένην. ὡς τὸ " τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν * „ ἵνα εἴπῃ ὅτι τῇ ἐνεργείᾳ συνέστησαν τῇ θείᾳ. θείαν δὲ ἐνέργειαν κἀνταῦθα λέγει, καθ' ἣν ἀποκάλυψις τῶν ἐσομένων ἐγίνετο τῷ προφήτῃ· ἀφ' ἧς περ αὐτῷ καὶ τὸ λέγειν τε καὶ μηνύειν τὰ ἐσόμενα δύναμις ὑπῆρχεν. εἰς δήλωσιν δὲ ἀκριβεστέραν, καὶ τὸ τοῦ πατρὸς προσέθηκεν ὄνομα. ἀναγκαίως δὲ λέγει καὶ τὸν καιρὸν, ἐν ᾧ περ κατὰ τὴν ἀποκάλυψιν τὴν ἐγγινομένην αὐτῷ θεόθεν ἐμήνυε τὰ ἐσόμενα. λέγει δὲ ὅτι καθ' ὃν καιρὸν Ὀζίας τε ἐβασίλευε καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίας· ἀφ' ὧν σκοπήσειεν ἄν τις εἰκότως ὅτι οὐχ ὑπὸ μίαν τινὰ ἁρμονίαν συγγέγραφεν τὸ βιβλίον ὁ προφήτης, ἀλλ' ἐν διαφόροις καιροῖς τὰς περὶ τῶν ἐσομένων ἀποκαλύψεις δεχόμενος, ἐποιεῖτο τῶν ἐσομένων τὴν μήνυσιν· ὑπομιμνησκόμενός τε περὶ τῶν αὐτῶν πολλάκις διὰ τῆς ἀποκαλύψεως τῆς θείας, καὶ δὴ καὶ λέγων αὐτὰς πρὸς τὸν λαὸν, εἰς δήλωσιν τῶν ἐσομένων. ὃν περ δὴ τρόπον καὶ ὁ μακάριος Δαυὶδ εἰς τὴν αὐτὴν ὑπόθεσιν φαίνεται πλείστους ψαλμοὺς εἰρηκώς, ὧν ἕκαστον κατὰ τὴν ἐγγιγνομένην ἀποκάλυψιν τε αὐτῷ καὶ ὑπόμνησιν τῇ τε πνεύματος ἐνεργείᾳ συνετίθει τε καὶ πρὸς τὴν ἑτέρων ἐξεφώνει χρείαν· αὐτός τε περὶ τῶν αὐτῶν ἀποκαλύψεις δεχόμενος πολλάκις καὶ λέγων ἀκολούθως, ὁσάκις δὲ τῶν αὐτῶν ἀποκαλύψεων ἠξιοῦτο. εἰρηκὼς δὲ τοὺς τῆς Ἰουδαίας βασιλέας, ὁπηνίκα πρὸς τὸ προφητεύειν διήγειρεν ἡ θεία χάρις τὸν Ὡσηὲ, λέγει καὶ τὸν ἐν τῷ Ἰσραὴλ, τουτ' ἔστι τὸν ἐν δέκα φυλαῖς βασιλεύοντα τότε Ἱεροβοὰμ, τὸν τοῦ Ἰωὰς υἱὸν, ἔγγονον δὲ τοῦ Ἰωάχαζ, ὃς υἱὸς ἐγεγόνει τοῦ Ἰηοῦ, ὃς ἐπὶ τιμωρίᾳ τοῦ τε Ἀχαὰβ καὶ πάσης αὐτοῦ τῆς οἰκείας διὰ τοῦ προφήτου Ἐλισαίου προβαλόμενος, ὁ θεὸς ὑπέσχετο ἄχρι τετάρτης διαδοχῆς ἐπὶ τῆς βασιλείας ἔσεσθαι τοὺς ἐξ αὐτοῦ γιγνομένους· ὧν τρίτος μὲν ἦν

* Ps. XXXII. 6.

p. 4.

regis Israhelis. „ Hic titulus quidam est, libri argumentum habens, simulque declarans et a quo propheta et quo tempore dicantur haec. Verbum autem Domini pro vi divina ubique dicit scriptura, quacumque in re se exserat. Velut illud: " verbo Domini caeli firmati sunt „ quasi dicat, vi divina eos fuisse compactos. Porro vim divinam heic quoque dicit, a qua futurorum revelatio prophetae fit, dicendique virtus exhibetur, atque ante significandi quae ventura erant. Iam ob sui pleniorem notitiam, patris quoque nomen adscribit: tum etiam necessario tempus adnotat, quo secundum impertitam sibi divinitus revelationem res posteras praecinebat. Praefinit igitur tempus quo regnaverunt Ozias et Ioathamus et Achazus et Ezecias. Unde quivis cognoscere queat, haud una continuatim serie scriptum fuisse hunc a propheta librum; sed prout variis temporibus futurorum notiones excipiebat, sic vaticinia edidisse; facta haud semel earumdem rerum mentione pro divinis ad se oraculis, quae in populo vulgabat, ut hunc futuri admoneret. Similiter beatum quoque Davidem eodem argumento complures cecinisse psalmos videmus, quorum singulos pro caelesti mentis illustratione atque spiritali admonitione compositos ad vulgi usum pronunciabat: et ipse videlicet earumdem rerum revelationes saepe recipiens, et consequenter evulgans, quotiescumque his oraculis dignus habebatur. Iam ubi dixit Oseas quinam essent Iudae reges, quo tempore ad prophetandum divina gratia excitatus fuit; ait etiam illum qui Israheli, id est decem tribubus, tunc imperabat Hieroboamum, Ioasi filium, nepotem Ioachasi, Iehu abnepotem: quem postremum ad Achaabi eiusque domus poenam Deus excitaverat per prophetam Elissaeum: eidemque promiserat fore ut posteri eius usque ad quartam generationem regno po-

p. 5. ὁ Ἱεροβοάμ, υἱὸς μὲν τοῦ Ἰωάς, ἔγγονος δὲ τοῦ Ἰωάχαζ· τέταρτος δὲ γέγονε Ζαχαρίας
ὁ τοῦ Ἱεροβοὰμ υἱός, ὃς ἐπὶ ἓξ βασιλεύσας τοῖς μησὶ τετελεύτηκεν· πέρας μὲν ἐπ' αὐτοῦ
τῆς ἐπαγγελίας λαβούσης τῆς θείας, μεταστάσης δὲ λοιπὸν ἀπὸ τοῦ γένους τοῦ Ἰοὺ τῆς βασιλείας
ἐπὶ τὸν Σελλήμ, οὐ τῆς αὐτῆς ὑπάρχοντα συγγενείας· παρεληλύθει μὲν οὖν εἰς τὴν τοῦ Ἰσραὴλ
βασιλείαν ὁ Ἱεροβοάμ, Ὀζίου βασιλεύοντος τῆς Ἱερουσαλήμ· ἐξ ἐκείνου τοῦ χρόνου τὸ κακῶς
πράττειν ἔλαβον τὴν ἀρχὴν αἱ τῶν δέκα φυλῶν, ἄχρις οὗ παντελῶς αὐτὰς αἰχμαλώτους
λαβὼν μετῴκισεν ὁ τῶν Ἀσσυρίων βασιλεύς· ὥστ' ἂν εἰκότως κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὴν
προφητείαν τὸν Ὠσηὲ παρεληλυθέναι, τῶν τε προῤῥήσεων ὑπομιμνήσκοντα τοῦ μακαρίου
Δαυίδ, καὶ μνημονεύοντα ἐγγύθεν ἐσόμενα τὰ δὴ πόῤῥωθεν εἰρημένα περὶ αὐτῶν· καὶ μετὰ
ταῦτα φησίν.

v. 2. „ Ἀρχὴ λόγου κυρίου πρὸς Ὠσηέ· „ Δῆλον ὅτι ἐντεῦθεν τῆς πρὸς αὐτὸν ἀποκαλύ-
ψεως ἤρξατο ὁ θεός· κελεύει τε αὐτῷ γυναῖκα πόρνην ἀγαγέσθαι, καὶ δὴ καὶ τεκνώσασθαι
ἐξ αὐτῆς· καὶ τὴν αἰτίαν προστίθησι· „ διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν
τοῦ κυρίου· „ τὸ μὲν οὖν παρασκευάζειν τινὰ τῶν οὐχ ἁρμοδίων εἶναι δοκούντων τοῖς πολλοῖς
τοὺς προφήτας ποιεῖν τὸν θεόν, ὡς τὸν Ἡσαΐαν γυμνὸν ἀνυπόδητον ἐκέλευσεν ἐν μέσῳ
p. 6. παριέναι πάντων, καὶ ὁπόσα δὴ τοιαῦτα, πρόδηλον ἔχει τὴν αἰτίαν· ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν
μὲν λόγων παρέργως ἀκούειν εἰώθαμεν, ἐκταραττόμεθα δὲ πρὸς τὴν τῶν γινομένων τε καὶ
ὁρωμένων καινότητα· καὶ μάλιστα ὅτ' ἂν ἀπῳδὰ τοῦ τρόπου τοῦ ποιοῦντος ὑπάρξῃ, εἰκότως ὁ
θεὸς διὰ τὸ τῶν ἰουδαίων δυσπειθὲς παρασκευάζει πολλάκις τοὺς προφήτας τοιαῦτα τινὰ
διαπράττεσθαι, ἵν' ἐκ τῆς τῶν γινομένων καινότητος ἐπιστρεφόμενοί πως οἱ τοῦ λαοῦ μανθάνωσι
τε τὴν αἰτίαν καὶ παιδεύωνται τὸ δέον· ἐκέλευσε τοίνυν τῷ προφήτῃ πόρνην ἀγαγέσθαι
γυναῖκα· καινὸν γὰρ ἦν τὸ τὸν προφήτην ἑλέσθαι γυναῖκα τοιαύτην εἰς γάμου λαβεῖν κοινω-
νίαν, ὅπερ οὖν αὐτῷ ποιῆσαι προσέταξεν ὁ θεός· ἐπειδὴ αὐτῷ τε τῷ προφήτῃ εἰς κοινωνίαν

tirentur: quorum quidem tertius erat Hieroboamus, Ioasi filius, Ioachasi nepos; quartus autem fuit Zacharias Hieroboami filius, qui post sex regni menses obiit, in quo exitum habuit divinum vaticinium; translata deinceps regia dignitate a Iehu genere ad Sellemum, qui haud eiusdem cognationis erat. Quum itaque capessivisset Israhelis regnum Hieroboamus, et Ozias Hierosolymis imperaret, cladibus coeperunt adfici decem tribus, donec eas prorsus servitio addictas migrare coëgit rex Assyriorum. Quare commodo tempore vaticinatum venit Oseas, praesagiorum beati Davidis memoriam refricans, atque ea iam proxima nuntians, quae multo ante de ipsis praedicta fuerant. Pergit autem dicere.

" Initium verbi Domini ad Oseam. ,, Patet, hinc Dei coepisse fieri ad illum revelationes: qui mandat ei ut coniugem meretricem ducat, ex eaque liberos procreet: cuius rei causam quoque addit " quia, inquit, fornicans fornicabitur terra a Domino. ,, Sane Deus quaedam a prophetis facienda curat, quae multis praeter decorum esse videntur: veluti cum Esaiam coram omnibus iussit nudum et excalceatum incedere. Sed hoc et alia eiusmodi evidenti consilio peracta fuerunt. Nam quia plerique audire sermones oscitanter solemus; gestorum vero atque visorum novitate terremur, praesertim si haec absona a facientis more sint; merito Deus propter Hebraeorum incredulitatem dat saepe operam ut talia prophetae faciant; nempe ut perculsum novitate operum vulgus, causam rerum discat atque officium doceatur. Mandavit ergo prophetae ut meretricem uxorem duceret. Porro novum erat feminam eiusmodi a propheta adsumi in matrimonii convictum: id quod eum

γάμου γυναῖκα λαβεῖν κατὰ νόμον ἐξὸν· τήν τε πόρνην λαμβάνων σωφρονεῖν ἐπαίδευεν ὡς
εἰκός· ἀνάγκη γὰρ ἦν ξενίζεσθαι μὲν ἅπαντας, ὅτι ἀνὴρ τοῦ προσήκοντος πολλὴν ἐπιμέ-
λειαν ἔχων, καταλιπὼν τὰς ἐν σεμνότητι πως εἶναι δοκούσας, εἰς γάμου κοινωνίαν εἵλετο
πόρνην λαβεῖν· ἡ δὲ τοῦ γινομένου καινότης ἀφορμὴν ἐδίδου τῷ προφήτῃ τὰ προσήκοντα
λέγειν πρὸς αὐτούς· πρός τε πολλῇ τῇ παραθέσει μείζονα φαίνεσθαι τὸ τοῦ θεοῦ αἱρεῖσθαι
οὕτως ἀγνωμόνων ἀνδρῶν εἰς ἐπιμέλειαν ἑαυτὸν καθιέναι· εἴ γε καὶ τὸν προφήτην θαυμαστὸν p. 7.
ἦν ἐπειλημμένου τοῦ προσήκοντος εἰς πόρνης ὁμιλίαν χωρεῖν· ἐπειδὴ τοίνυν φησὶν ἐπιμε-
λοῦμαι τῶν ἰσραηλιτῶν πορνικὸν τρόπον πάντοτε ἐπιδεδειγμένων περὶ ἐμέ, καὶ καθ' ἑκάστην
ἡμέραν ἄχρι τοῦ δεῦρο ταύτην ἐπιτεινόντων τὴν γνώμην, καὶ παρὰ πάντας ἀνθρώπους
αὐτοὺς εἰς οἰκειότητα εἱλόμην τὴν ἐμήν· μετ' οὐ πολὺ δὲ ἔλεγχον τῆς περὶ ἐμὲ γνώμης ἀκριβὲς
παρέξονται τὴν ἐπαγομένην αὐτοῖς ὑπ' ἐμοῦ τιμωρίαν· ὅτε τῇ αἰχμαλωσίᾳ παραδιδό-
μενοι παντελῶς ταύτης ἀπαλλοτριοῦνται τῆς γῆς· ἐν ἧπερ οἰκοῦντας ἐπιμελείας τε τῆς ἐμῆς
ἀξιουμένους ἐπὶ τῶν νόμων μένειν ἐκέλευσα τῶν ἐμῶν· ὅνπερ δὴ τρόπον καὶ ταῖς γυναιξὶν ἔθος
εἰς κοινωνίαν λαμβανομέναις, ἐπὶ τῶν γαμικῶν μένειν νόμων· ἐφ' ἅπασι δὲ τούτοις, οὐ τὴν
προσήκουσαν τῶν γινομένων αἴσθησιν ἔχουσιν, οὔθ' ὧν ποιοῦσιν, οὔθ' ὧν πείσονται δικαίως·
φέρε δὴ σὺ προφῆτα τῇ τοῦ γινομένου καινότητι ἔλεγχον τῆς παρ' αὐτῶν πραττομένης ποι-
ῆσαι ἀτοπίας.

Πείθεται δὴ τούτοις ὁ προφήτης, καὶ ἄγεται πρὸς γάμον πόρνην, ἧς καὶ τὸ ὄνομα καὶ v. 3
τὸν πατέρα λέγει, ὡς μὴ πλάσμα ψιλόν τι δοκοίη τὸ λεγόμενον, ἱστορία δὲ ἀληθὴς πραγ-
μάτων· γίνεται δὲ αὐτῷ καὶ υἱὸς ἐκ ταύτης, ὃν ἐκέλευσεν Ἰεζραὴλ ὀνομασθῆναι· οὕτω δὲ v. 4.
τὸ χωρίον ἐλέγετο ἐν ᾧ τε Ναβουθαὶ τὴν παράνομον ὑπομεμένηκε σφαγήν· καὶ μὴν καὶ p. 8.
Ἰεζάβελ κατεσφάγη, δίκας τῆς ἐπ' αὐτῷ τίνουσα παρανομίας· αὐτήν τε καὶ ἅπαν τὸ γένος

reapse Deus facere iusserat. Et prophetae quidem licebat legitimi coniugii societatem optare: verumtamen is scortum etiam sibi copulatum, pudicitiam, ut par erat, edocuit. Necesse porro erat mirari omnes, quod vir officii valde studiosus, omissis quae pudicitiae laude florebant, nuptias meretricis adpetivisset. Iamvero rei huius novitas occasionem prophetae praebebat, quae opus erat Iudaeis dicendi; praetereaque gravi exemplo monstrandi, quale quantum esset consilium Dei, qui tam ingratorum hominum curam ultro suscepisset: siquidem et prophetam mirum erat, qui frugi vitam elegerat, ad scorti nuptias proruere. Videlicet et ego, inquit Deus, Israhelitis studeo, qui meretricio prorsus more mecum agunt, singulisque hactenus diebus hanc mentem retinent; quos tamen ego prae ceteris hominibus in meam familiaritatem receperam. Sed enim hi paulo post de animo erga me suo coarguentur a poena quam eis imponam, cum traditi captivitati, funditus hac regione evertentur, quam huc usque beneficio meo incolentes, iussi fuerant meis praeceptis obtemperare: haud secus quam feminas in coniugium adsumptas, nuptialibus legibus insistere mos est. Praeter haec omnia, hi haud iustum gestarum rerum sensum habent, neque cum animis suis reputant quid vel faciant vel merito passuri sint. Quare age tu, propheta, facinoris novitate susceptam ab his absurditatem coargue.

Morem iusso gerit propheta, scorto nubit, cuius etiam nomen patremque notat; ne forte quod dictum est, putum figmentum, sed ut vera historia habeatur. Nascitur ei quoque filius ex hac coniuge, quem Iezrahelem vocari iubet. Ita vero dicebatur fundus, ubi Nabuthes iniqua nece periit: et quidem etiam Iezabel ibidem caesa fuit, ut patrati illic sceleris poenas penderet: quia videlicet ipsam cum uni-

τοῦ Ἀχαὰβ ἀντὶ τῆς παρανομίας ταύτης κατὰ πρόσταγμα θεῖον ἀπολέσαντος τοῦ Ἰηοῦ. " Μικρὸν
γάρ, φησιν, καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὴλ ἐπὶ τὸν οἶκον Ἰηοῦ, καὶ καταπαύσω βασιλείαν
οἴκου Ἰσραήλ· ,, ἀνθ' ὧν γάρ, φησιν, εἰς βασιλείαν ὑπ' ἐμοῦ προχειρισθεὶς ὁ Ἰηοῦ, ἅπαν τοῦ
οἴκου Ἀχαὰβ ἀπώλεσεν τὸ γένος, ὑπέρ τε τῆς ἀσεβείας καὶ τῆς παρανομίας ἣν κατὰ τοῦ Να-
βουθαὶ ἐπὶ τοῦ προῤῥηθέντος τετόλμηκε τόπου· εἶτα οὐ σωφρονισθεὶς ἐπὶ τούτοις, οὐδ' ἀφ'
ὧν ἴσχυσε καθ' ἑτέρων παρανενομηκότων ἐφυλάξατο τὴν παρανομίαν· ἅπαντες δὲ οἱ ἐφεξῆς
τοῦ Ἰσραὴλ βασιλεύσαντες τὴν τοῦ Ἀχαὰβ ἐμιμήσαντο γνώμην· μετ' οὐ πολὺ δὴ πᾶσαν
παύσω τοῦ Ἰσραὴλ τὴν βασιλείαν· ἐπεὶ μὴ δὲ οἷόν τε ἦν οἰκεῖον ἔχειν βασιλέα τοὺς ὑπὸ
v. 5. τὴν αἰχμαλωσίαν τυγχάνοντας τοῦ λοιποῦ. " Συντρίψω δὲ καὶ τὸ τόξον τοῦ Ἰσραὴλ ἐν τῇ
κοιλάδι τοῦ Ἰεζραήλ· ,, ἐκ τοῦ μέρους πᾶσαν αὐτῶν καλέσας τὴν χώραν· ἵνα εἴπῃ ὅτι πᾶσαν
αὐτῶν τὴν δύναμιν ἄπρακτον ἐργάσομαι ἐν τοῖς οἰκείοις τόποις ὑποχειρίους τοῖς πολεμίοις
ἐργασάμενος, λέγει δὲ τοῖς ἀσσυρίοις.

v. 6. Εἶτα λέγει ὅτι γέγονεν αὐτῷ καὶ θυγάτηρ ἐκ τῆς αὐτῆς γυναικός, ἣν οὐκ ἠλεημένην
p. 9. κληθῆναι κελεύει, ὑπόμνημά τι παρεχομένην διὰ τῆς οἰκείας προσηγορίας τοῦ μηδενὸς
ἐλέους τεύξεσθαι τοὺς ἰσραηλίτας, ἐπὶ παντελεῖ δὲ παραδοθήσεσθαι αἰχμαλωσίᾳ, οὐ τῇ
δυνάμει τῶν πολεμίων, ἀλλ' αὐτοῦ γε αὐτοῖς πολεμοῦντος τοῦ θεοῦ προδήλως· τοῦτο γὰρ δηλοῖ
v. 7. τὸ " ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς. ,, Εἰς μείζονα δὲ ἀπόδειξιν τοῦ γνώμῃ φησὶν ἐμῇ
ταῦτα γίνεσθαι περὶ αὐτούς, παρέξομαι τὰ κατὰ τὸν Ἰούδαν, οὓς ἐλεήσω τοὺς ὑπὸ τῶν ἀσσυρίων τῶν
ἐκείνους αἰχμαλωτευσάντων τὰ ὅμοια κινδυνεύοντας παθεῖν· καὶ περισώσω τῇ δυνάμει
τῇ ἐμῇ, οὐ τόξῳ καὶ ξίφει ἢ πολέμῳ, ἀλλ' οὐδὲ τινὶ ἀνθρωπίνῃ συμμαχίᾳ βοηθουμένους
καθάπαξ, μόνῃ δὲ τῇ ἐμῇ δυνάμει τὸν τοσοῦτον κίνδυνον διαφεύγοντας· ὅπερ δὴ καὶ γέ-
γονεν, ἀγγέλου διὰ τῆς νυκτὸς ἀθρόον ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν ἀσσυρίων

versa Achaabi familia propter illam impietatem divino mandato Iehu leto dedit. Brevi, inquit, poenas sanguinis apud Iezrahelem fusi reposcam a Iehu domo, finemque imponam regno Israhelis: quia, ait, Iehu ad regni honorem a me provectus, cunctam quidem Achaabi stirpem delevit, propter scelus atque maleficium, quod praedicto in loco contra Nabuthem fuerat patratum: verumtamen ipse non satis hinc emendatus, ne ab iis quidem se continuit criminibus, quae in ceteris reis vindicaverat: cunctique qui postea fuerunt Israhelis reges, mores Achaabi imitati sunt. Ergo ociter universum Israhelis regnum extinguam. Nam fieri non poterat ut ii regem haberent, qui deinceps in captivitate vitam erant acturi. " Conteram quoque arcum Israhelis in valle Iezrahelis. ,, A parte universam ipsorum regionem appellans: nempe ait, se cunctas illorum vires irritas redditurum in patrio solo, hostibus eos subiicientem, nempe Assyriis.

Deinde ait propheta natam sibi ex eadem femina filiam, quam " absque misericordia ,, vocari iubet; quae satis admoneret per suam ipsius appellationem, fore ut nullam Israhelitae consequerentur misericordiam, sed generali servitio irretirentur, haud equidem hostium viribus, verum ipsius Dei manifeste pugnantis. Hoc enim significant verba " adversans adversabor illis. ,, Atque ut magis, inquit, demonstrem, voluntate mea haec illis accidere, addam Iudae mentionem, cuius contra miserebor, cum in idem discrimen ab Assyriis vocabitur, qui Israelem faciunt captivum: servaboque illum virtute mea, non arcu vel ense aut bello, neque ullo prorsus hominum auxilio fretum, sed mea solius vi tanto periculo ereptum. Id quod revera contigit, angelo noctu centum octoginta milia Assyriorum acervatim occi-

ἀνελόντος· ὡς τραπῆναι μὲν πρὸς φυγὴν τοὺς λοιποὺς, ἀναντίῤῥητον δὲ τοὺς ἐπὶ τῇ Ἱερου-
σαλὴμ δέξασθαι τὴν σωτηρίαν. Τίκτεται δὲ πάλιν καὶ ἕτερος υἱὸς, ὃν εἰς τὴν τῶν εἰρημένων v. 8.
βεβαίωσιν, οὐ λαὸν κελεύει κληθῆναι· καὶ τὴν αἰτίαν λέγει· “ ὅτι ὑμεῖς οὐ λαός μου, καὶ v. 9.
ἐγὼ οὐκ εἰμὶ ὑμῶν· „ ὑμεῖς τε γὰρ ἀπαλλοτριωθήσεσθε τῆς ἐμῆς κηδεμονίας λοιπὸν, κἀγὼ
δὲ ὡς ἂν ἀλλοτρίους ὄντας τοῖς ἐπικειμένοις ἐκδώσω κακοῖς· εἶτα ἐπάγει· “ ὅτι ἦν ἀριθμὸς v. 10.
τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, καὶ οὐκ ἐκμετρηθήσεται, οὐ δὲ ἐξαριθμηθή- p. 10.
σεται· „ μεῖζον γὰρ ἦν τὸ θαῦμα καὶ σαφῆ τῆς θείας ὀργῆς τὸν ἔλεγχον παρεχόμενον, εἰ
τοσούτους ὄντας ἀθρόον αἰχμαλωσίᾳ παρεδίδου, μηδὲν ἐξ αὐτῶν τοσούτων ὄντων ὠφελεῖσθαι
οἵους τε ὄντας.

Εἶθ᾽ ὅπερ ἔθος τοῖς προφήταις, καὶ μὲν καὶ τῷ μακαρίῳ Δαυὶδ τὸ ἐν μέσῳ τῶν λυπηρῶν καὶ τὰ ἡδέα μηνύειν, τήν τε ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐπὶ ψυχαγωγίᾳ τῶν ἐν τοῖς χείροσι γινομένων “ καὶ ἔσται φησὶν ἐν τῷ τόπῳ οὗ ἐῤῥήθη αὐτοῖς, οὐ λαός μου ὑμεῖς, αὐτοὶ κληθήσονται υἱοὶ θεοῦ ζῶντος· „ οὕτω καὶ ὁ μακάριος Δαυὶδ τὰ κατὰ τοὺς ἀσσυ-
ρίους εἰπὼν, ἐπάγει· * τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι κύ- * Ps. XIII. 7.
ριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ· * * Ps. CXXV. I.
δεικνὺς ὅτι ἔσται καιρὸς, ὁπηνίκα τὴν αἰχμαλωσίαν λύσει πάντως αὐτοῖς ὁ θεός· τὸ γὰρ αὐτὸ δὴ κἀνταῦθα φησὶν, ὅτι ἔνθα δὴ ἐκλήθησαν οὐ λαὸς, τουτέστι ἀπεῤῥίφησαν τῆς προνοίας τῆς ἐμῆς, ἐνταῦθα δὴ κληθήσονται υἱοὶ θεοῦ ζῶντος· ἵνα εἴπῃ τεύξονται πάλιν τῆς οἰκειώσεως τῆς ἐμῆς· καλῶς εἰπὼν τὸ ἐν τῷ τόπῳ, ἀφ᾽ οὗπερ αὐτοὺς ἀφελὼν εἰς τὸν αὐτὸν
ἐπανάγειν ἤμελλεν πάλιν· ἐπάγει γοῦν εἰς μείζονα τοῦ λεγομένου σαφήνειαν· “ καὶ συναχθή- v. 11.
σονται οἱ υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτὸ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν, καὶ p. 11.
ἀναβήσονται ἐκ τῆς γῆς· „ λέγει δὲ ὅτι μετὰ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τῶν τῆς Ἰούδα

dente; ita ut reliqui se in fugam coniecerint, incolae autem Hierosolymorum liberam salutem consecuti sint. Paritur rursum alter filius, quem dictorum causa confirmandorum iubet vocari “ non populus meus; „ causamque nominis addit: quippe vos haud iam populus meus eritis, neque ego vester ero (Deus): vos enim a cura mea deinceps alieni eritis, quos ego tamquam extraneos impendentibus tradam adversitatibus. Deinde adiungit, numerum filiorum Israhelis fuisse veluti immensurabilem maris harenam et innumerabilem. Maius quippe miraculum erat, et manifestum divinae irae argumentum exhibens, si tanti numeri populum in captivitatem confertim dederet, nemine in tanta multitudine ad ferendam opem idoneo.

Deinde, uti mos est prophetis, et quidem etiam beato Davidi, cum molestis dulcia nunciandi, conversionemque ad laetiora, propter malis laborantium solamen; “ et erit, inquit, in loco ubi dictum illis fuerat, vos non populus meus, iidem vocabuntur filii Dei viventis. „ Sic etiam beatus David de assyriacis rebus locutus, ad extremum addit “ quis dabit ex Sion salutare Israhel? Cum averterit Dominus captivitatem populi sui, exultabit Iacob, et laetabitur Israhel. „ Docens adfore tempus, quo captivitatem eorum Deus expediat. Nunc idem dicitur, futurum scilicet ut ubi Israhelitae vocati fuerant non populus, id est a Dei providentia abiecti; ibidem appellentur filii Dei viventis, id est eius amicitiam recuperent. Et praeclare dicitur “ in loco isto „ ex quo postquam illos Deus transtulerat, in eundem rursus erat reducturus. Subiicit igitur ad maiorem sui dicti declarationem “ et congregabuntur in unum filii Iudae atque Israhelis, facientque sibi principatum unum, et ascendent de regione. „ Nempe ait fore, ut depulso a Iudae tribu babylonici servitii iugo,

φυλῆς, μία τις ἁπάντων γενήσεται ἐλευθερία· ὅτι δὴ ὑπὸ μίαν ἔσονται τὴν ἀρχὴν, οὐκέτι διῃρημένοι, καθάπερ πρότερον, ὑπὸ μίαν δὲ ὄντες τὴν ἀρχήν· τῶν πάντων μὲν ἡγεῖσθαι τὴν Ἰούδα φυλὴν, ἐν βασιλείᾳ δὲ καὶ ἀρχῇ καθεστάναι τοὺς ἐξ ἐκείνης τυγχάνοντας τῆς φυλῆς· εἶτα ἐπάγει " ὅτι μεγάλη ἡμέρα τοῦ Ἰεζραήλ· ,, ἐπειδὴ γὰρ εἶπεν ὅτι ὑπὲρ τούτου δώσουσι δίκας, τοῦτο βούλεται εἰπεῖν, ὅτι τούτων δὴ τῶν ὑπὲρ τῆς πρόσθεν αὐτῶν ἀσεβείας πεπονθότων κακῶς, φοβερά τις ἔσται καὶ ἐπίδοξος ἡ ἡμέρα ἐκείνη, καθ' ἣν παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα, τῆς ἐπανόδου τεύξονται ἐπὶ τὰ οἰκεῖα· καὶ τίς ἡ ἀπόδειξις;

ΚΕΦ. Β'.

v. 1. " Εἴπατε τῷ ἀδελφῷ ὑμῶν, λαός μου· καὶ τῇ ἀδελφῇ ὑμῶν, ἠλεημένη· ,, εἴπατε ἀντὶ
τοῦ ἐρεῖτε, ἵνα εἴπῃ ὅτι ἐναλλαγήσεται αὐτοῖς τὰ ὀνόματα· ἁρμόσει γὰρ αὐτοῖς φησὶ τὸ
λαὸς λέγεσθαι καὶ ἐλεημένη, ὡς ᾠκειωμένοις τε καὶ τῆς φιλανθρωπίας ἀπολαύουσι τότε τῆς
v. 2. ἐμῆς· εἶτα ἀπὸ τῆς προκειμένης εἰκόνος, τοῦ λόγου τὴν ἀφορμὴν λαβών· " κρίθητε φησὶ,
πρὸς τὴν μητέρα ὑμῶν κρίθητε· ὅτι αὐτὴ οὐ γυνή μου, κἀγὼ οὐκ ἀνὴρ αὐτῆς· ,, ἐπὶ μὲν
p. 12. γὰρ τῆς προκειμένης εἰκόνος, εὔδηλον ὅτι μητέρα μὲν τὴν πόρνην καλεῖ, τέκνα δὲ τὰ ἐξ
αὐτῆς ὡς εἰκὸς γεννηθέντα· ἐνταῦθα δὲ μητέρα μὲν λέγει τὴν συναγωγὴν τῶν ἰουδαίων, ἣν
ἄνωθεν ὡσανεὶ μνηστευσάμενός τε καὶ συνάψας ἑαυτῷ τῇ κηδεμονίας ὑπερβολῇ ἐξήγαγέ
τε τῆς Αἰγύπτου, καὶ ἐλευθερίας ἀξιώσας εἰς τὴν ἔρημον ἤγαγεν, ἐπὶ τῷ τὴν θεοσέβειαν ἐκ-
παιδεῦσαι εἰς μείζονα σχέσιν ἀγαγεῖν ἑαυτοῦ· καθὰ καὶ ὁ μακάριος Δαυὶδ φησί· * " μνή-
* Ps. LXXIII. 2. σθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώσω ῥάβδον κληρονομίας σου· ,, τέκνα
δὲ ταύτης τὸν κατὰ διαδοχὴν ἐξ αὐτῆς συστάντα λαόν· ὡς γὰρ οἱ πατέρες οἱ τότε λέγονται τῶν

una omnium libertas sit: atque omnes sub uno sint principatu, haud iam ut antea divisi, sed unius imperii ditioni obnoxii, cui praesit Iudae tribus; et qui de hoc genere sunt, in regia dignitate constituantur. Deinde addit " quia magna dies Iezrahelis. ,, Nam cum dixit poenas ab eis datum iri, hoc intellexit, fore nimirum ut postquam suorum scelerum causa male mulcati fuerint, tum demum terribilis veluti atque illustris evadat dies illa, qua praeter omnem humanam spem reditum in patriam consequentur. Quaenam vero est eius rei demonstratio?

CAP. II.

" Dicite fratri vestro, populus meus; et sorori vestrae, misericordiam consecuta. ,, Dicite, pro dicetis: scilicet ait fore ut illis immutentur nomina: nominibus autem facta significat. Congruet enim ipsis, ait, vocari populo, et clementiam consecuto; tamquam familiaribus et clementia mea tunc fruentibus. Deinde a proposita imagine ansam dicendi capiens, " ferte, inquit, ferte sententiam contra matrem vestram; quia ipsa haud uxor mea, nec ego vir eius. ,, Iam secundum dictam imaginem perspicuum est, matrem ab eo vocari meretricem illam, filios autem sine dubio eos qui de eadem nati erant. Sed tamen heic matrem dicit Iudaeorum synagogam, quam superiore tempore tamquam sibi desponsam atque copulatam eximia providentia eduxerat ex Aegypto, ac libertate dignatus in desertum usque transtulerat; ut ibi eam doceret pietatem erga se maiore cultu ac specie expromere. Sicuti etiam beatus ait David " memor esto congregationis tuae, quam possedisti ab initio. Redemisti virgam hereditatis tuae. ,, Synagogae vero liberos ait, generatum ex ea populum. Reapse illius temporis homines dicuntur parentes recentiorum: " nam pa-

μετὰ ταῦτα· οἱ γὰρ πατέρες ὑμῶν φησὶ τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον *, οὕτω καὶ μήτηρ ἡ ταύτης συναγωγὴ καλοῖτο ἂν δικαίως, ἀφ᾽ ἧς περ τὸ μετὰ ταῦτα σύστημα γέγονε τῶν ἰουδαίων· ὀνειδίζων οὖν αὐτοὺς τὴν μοχθηρίαν τοῦ τρόπου, καλῶς φησὶν ὅτι ἄνωθεν ἐστὲ μοχθηροί, καὶ τῇ μητρὶ σαφῶς ἐοικότες τῇ οἰκείᾳ· εἰ γοῦν τις τὰ τῶν τότε κρίνοι καὶ τὰ νῦν, πολλὴν αὐτῶν εὑρήσει σαφῶς τὴν συγγένειαν· ἐκείνων μὲν μετὰ τὸ τοσούτων καὶ τηλικούτων τυχεῖν ἀγαθῶν, τολμησάντων μόσχον τε κατασκευάσαι καὶ εἰπεῖν, οὗτοι οἱ θεοί σου Ἰσραὴλ οἱ ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου· ὑμῶν δὲ καθ᾽ ὁμοιότητα ἐκείνων καταλελοιπότων μὲν τὴν γνῶσιν τὴν ἐμήν, τοῦ τοσαύτην ὑμῶν πάντοτε πεποιημένου κηδεμονίαν, ἐπὶ δὲ τὴν τῶν εἰδώλων θερα- p. 13.
πείαν τραπέντων· ὥστ᾽ ἂν ἁρμοδίως ὑμᾶς παρεικασθῆναι τῇ πόρνῃ· ἐπεὶ μήτε ὑμῖν οὕτω διακειμένοις ἁρμόττον τὸ ἐμοὺς ἔτι καλεῖσθαι· ἐγώ τε ἀπηλλοτριωμένος ὑμῶν ἐξ αὐτῶν δείκνυμαι τῶν πραγμάτων· τοιγαροῦν τί;

“ Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου, καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς· „ μακρὰν γὰρ αὐτοὺς ἐμαυτοῦ καταστήσω διὰ τῆς αἰχμαλωσίας, καὶ διὰ τῆς πόῤῥω τῶν τόπων ἀπαγωγῆς· ὡς μηκέτι θεωρεῖν αὐτὴν παρ᾽ ἐμοὶ τὴν πορνείαν ἐκτελοῦσαν τὴν οἰκείαν· μήτε μὲν τὴν μοιχείαν ἣν μετὰ πολλῆς ἐργάζεται τῆς ἀκολασίας, ἅπασαν ἑαυτὴν προθεῖσα τοῖς εἰδώλοις· τοῦτο γὰρ λέγει, τὸ ἐκ μέσου μαστῶν αὐτῆς, ὡς ἂν τῶν πορνῶν δι᾽ ὑπερβολὴν ἀκολασίας τοὺς μαστοὺς τοὺς ἰδίους τοῖς ἐρασταῖς παρεχουσῶν· καὶ καθ᾽ ἑξῆς τὰ ἀκόλουθα λέγων “ ὅπως ἂν ἐκδύσω αὐτὴν καθὼς ἐν ἡμέραις τῆς γεννήσεως αὐτῆς. „ Πάντα v. 3
τὸν κόσμον φησὶν ἀφελών, ὃν διὰ τῆς ἐμῆς αὐτῇ περιέθηκα κηδεμονίας, ἐν ἐκείνῳ καταστήσω τῷ σχήματι, ἐν ᾧπερ ἦν ἐπὶ τῆς Αἰγύπτου τὸ πρῶτον συστᾶσα, ὅτε ἐν ἀνάγκαις ἦν καὶ πόνοις καὶ δουλείᾳ πικρᾷ· γένεσιν γὰρ αὐτῆς τὸν καιρὸν ἐκεῖνον καλεῖ· ἐπειδὴ τῆς ἰουδαϊκῆς p. 14.
συναγωγῆς ἀρχὴ τῆς συστάσεως ὁ καιρὸς ἦν ἐκεῖνος· “ καὶ θήσω αὐτὴν ὡς ἔρημον, καὶ τάξω

* Ioh. VI. 31.

tres vestri, inquit, manducaverunt manna in deserto, et mortui sunt. „ Sic etiam matris nomine congregatio haec iure appellabitur, ex qua postera gens Iudaeorum propagata est. Exprobrans itaque illis morum improbitatem recte ait: fuistis ab antiquo pravi, vestraeque matri apprime similes. Iam si quis vetera cum praesentibus conferet, multam inde eliciet ac perspicuam similitudinem: nempe quod illi tot tantisque beneficiis adfecti, conflato audaciter vitulo, dixerint: “ hi sunt dii tui, Israhel, qui te ex Aegypto eduxerunt. „ Vos vero, Deus inquit, illorum exemplis usi, abiecta notitia mei, qui tantam vestri sollicitudinem gessi, ad idolorum cultum conversi estis: quo fit ut apte vobis accommodetur meretricis imago. Iamvero vos hac animorum pravitate imbutos haud par est diutius meos vocari: et quidem ego a vobis abalienatus sum. Quid ergo?

“ Auferam fornicationem eius a conspectu meo, et adulterium eius e medio uberum eius. „ Scilicet procul me gentem hanc abigam, proiectam in captivitatem atque ad longinqua loca translatam: ne diutius apud me videam scortationes eius et adulteria cupidissime admissa, dum se idolis totam addicit. Id enim significat “ e medio uberum eius „ tamquam si scorta per nimiam lasciviam cum amatoribus suis ita versentur. Atque his consentanea prosequitur: “ ut eam vestibus spoliem, faciamque ut in diebus nativitatis eius. „ Omni ornatu, inquit, detracto, quem ei propter meum studium circumdederam, in speciem illam restituam, qua utebatur cum primum in Aegypto crevit, in angustiis nimirum atque laboribus atque acerbo servitio degens. Nativitatem enim eius appellat tempus illud, quoniam iudaicae nationis tunc initia fuerunt. “ Et ponam eam quasi solitudinem, et statuam eam quasi

αὐτὴν ὡς γῆν ἄνυδρον· ,, Οὕτως παντὸς ἐστερημένην ἀγαθοῦ, ὥσπερ ἡ ἔρημος καὶ ἄνυδρος
γῆ καρπῶν ἄμοιρός ἐστι παντελῶς· " Καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει· ,, πάντων ἐστερημένην
v. 4. τῶν ἀγαθῶν, καὶ ἐφιεμένην μὲν αὐτῶν ὡς εἰκὸς, τυγχάνουσαν δὲ οὐδενός· " Καὶ τὰ τέκνα αὐτῆς
v. 5. οὐ μὴ ἐλεήσω, ὅτι τέκνα πορνείας ἐστίν· ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν, κατῄσχυνεν ἡ τε-
κοῦσα αὐτά· ,, ἐν δὲ τοσούτοις ἐξεταζομένων κακοῖς ἔλεον οὐ ποιήσομαι· ὅπερ οὖν ἐπὶ τῆς Αἰ-
γύπτου τότε πεποίηκα, ἐπειδὴ οὗτοι τὰ ἀνάλογα τῇ μητρὶ πεφρονήκασι τῇ οἰκείᾳ· καὶ ἡ μήτηρ
δὲ αὐτῶν ἄνωθεν τοιαύτην ἐπιδειξαμένη περὶ ἐμὲ τὴν γνώμην, αἰσχύνῃ καὶ τὰ τεχθέντα ἐξ
αὐτῆς περιβέβληκεν, ἅτε μιμησάμενα τὴν μητρῴαν κακίαν· " ὅτι εἶπε πορεύσομαι ὀπίσω
τῶν ἐραστῶν μου, τῶν διδόντων μοι τοὺς ἄρτους μου, καὶ τὸ ὕδωρ μου, καὶ τὰ ἱμάτιά μου καὶ τὰ
ὀθόνιά μου, τὸ ἔλαιόν μου, καὶ πάντα ὅσα μοι καθήκει· ,, ἐκδεδώκασι γὰρ ἅπαντες ἑαυτοὺς
τῇ τῶν δαιμονίων θεραπείᾳ, παρ᾽ αὐτῶν ἔχειν ἅπαντα εἰπόντες ὁπόσα περ αὐτοῖς πρόσεσιν
ἀγαθὰ, ἃ προδήλως ἔχουσι παρ᾽ ἐμοῦ τοῦ ποιητοῦ τῶν ἁπάντων· ἐραστὰς δὲ αὐτῆς τοὺς δαί-
p. 15. μονας εἶπεν, ὡς ἂν καὶ τῶν ἐκείνων ἐκφήνειεν σπουδὴν, ἣν περὶ τῆς ἀπωλείας ἔχουσι τῶν ἀν-
θρώπων, καὶ τούτων τὴν μανικὴν περὶ ἐκείνους γνώμην· καθ᾽ ἣν ὡς θεούς τε καὶ πάντων
αὐτοῖς αἰτίους τῶν ἀγαθῶν περιέπειν ἐτόλμων.

v. 6. " Διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς
αὐτῆς, καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ. ,, Τοιγαροῦν ἀδιεξοδεύτοις αὐτοὺς περιβαλῶ κακοῖς
τούτου γε ἕνεκεν, ἵν᾽ ὥσπερ εἴ τις ἔνδον ἀπειλημμένος τῶν τε ὁδῶν ἀνῳκοδομημένων, καὶ
σκόλοψι πολλοῖς διειλημμένων καὶ χαλεποῖς, ἀδύνατον ἔχοι τὴν ἔξοδον· οὕτω τῇ βαρύ-
τητι τῶν πολέμων τῇ τε αἰχμαλωσίᾳ καὶ τῶν ἐκεῖθεν καταχεθέντες ἀνάγκαις μὴ δὲ μίαν
v. 7. εὑρίσκοιεν διέξοδον τῶν κακῶν. " Καὶ διώξεται τοὺς ἐραστὰς αὐτῆς, καὶ οὐ μὴ καταλάβῃ
αὐτούς· καὶ ζητήσει αὐτοὺς, καὶ οὐ μὴ εὕρῃ αὐτούς. ,, Τότε καλέσουσι μὲν εἰς βοήθειαν οὓς

terram aqua carentem. ,, Sic nimirum ab omni re bona derelictam, veluti desertam terram atque inaquosam, omnisque fructus expertem. " Sitique eam perimam ,, omnibus orbatam bonis, eorumque oppido cupidam, nullius tamen potientem. Liberorum eius non miserebor, quia germina scortationum sunt: scortata est enim mater eorum, turpiter egit quae peperit eos. ,, His vero exercitos malis nulla prosequar misericordia; secus ac olim in Aegypto me gessi: quoniam isti parem matri suae mentem induerunt. Mater enim dum eiusmodi olim contra me animum gerit, ignominia perfudit partus suos, qui maternam malitiam imitati sunt. " Quia dixit: ibo post amatores meos, qui dant mihi panes meos, et aquam meam, et vestimenta mea, et linum meum, et oleum meum, et omnia quae mihi usui sunt. ,, Cuncti enim daemoniorum famulatui se addixerunt, atque his bona sua accepta referunt, quae mea tamen evidenter beneficia sunt, qui res omnes creavi. Iam amatores eorum daemonas dicit, ut daemonum declaret libidinem perdendi homines; atque horum furiosum erga daemonas studium, quos deorum instar atque ut omnium bonorum auctores impudenter colebant.

" Propter hoc ecce ego sepiam viam eius vallo, et obstruam exitus eius, ita ut semitam non inveniat. ,, Quamobrem inevitabilibus irretiam eos malis. Veluti si quis intro conclusus, viis undique obstructis, multaque sude circumvallatis et asperis, impossibilem haberet exitum; sic bellorum pondere et captivitate et angustiis ex ea consequentibus nullum invenient malorum effugium. " Et sectabitur amatores suos, neque tamen apprehendet eos; quaeret eos, neque inveniet. ,, Tunc invocabunt daemonum, quos coluerunt, auxilium; quin tamen opis quicquam nanciscan-

ἐθεράπευον δαίμονας· περιέσεσθαι δὲ αὐτοῖς κέρδος ἐκεῖθεν οὐδέν. “ Καὶ ἐρεῖ, πορεύσομαι καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε ἢ νῦν. „ τότε δὴ τὴν πλάνην ἐπιγνώσονται τὴν οἰκείαν, καὶ ὡς ἄμεινον ἦν αὐτοῖς τῆς ἐμῆς ἀντέχεσθαι θεραπείας,
ἢ περὶ τὴν τῶν δαιμόνων ἀπάτην εἰλεῖσθαι. “ Καὶ αὐτὴ οὐκ ἔγνω ὅτι ἐγὼ δέδωκα αὐτῇ τὸν v. 8.
σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον καὶ ἀργύριον καὶ χρυσίον ἐπλήθυνα αὐτῇ· αὐτὴ δὲ ἀργυρᾶ καὶ p. 16.
χρυσᾶ ἐποίησε τῇ Βαάλ. “ Μαθήσονταί τε ὡς πολλήν τινα τὴν ἄγνοιαν ἐνόσουν, ἐκείνοις λογιζόμενοι τῶν προσόντων ἀγαθῶν αὐτοῖς τὴν αἰτίαν· ἅπερ οὖν αὐτοῖς σαφῶς παρ' ἐμοῦ τοῦ ποιητοῦ τῶν ἁπάντων διαρκῶς ἐχορηγεῖτο, οὐ καρποὺς παρέχοντος μόνον, ἀλλὰ καὶ ἀργύρεον καὶ χρυσίον, ἔκ τε τῆς κατὰ τὴν Αἴγυπτον ἐξόδου, καὶ μὴν καὶ κατὰ πολλὰς ὕστερον ἀφορμὰς ἐπέχον· ἀφ' ὧν οὐκ ὤκνουν εἴδωλα κατασκευάζοντες ἑαυτοῖς, σεμνήν τινα διὰ τὴν τῆς ὕλης πλεονεξίαν τὴν θεραπείαν αὐτῶν ἡγεῖσθαι.

“ Διὰ τοῦτο ἐπιστρέψω καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ. „ Τοιγαροῦν πολλὴν v. 9.
ἐν αὐτοῖς ἐργάσομαι τὴν ἀκαρπίαν· ἐν ᾧ δὴ μάλιστα καιρῷ τὴν προσδοκίαν αὐτῶν τῆς ἀπολαύσεως ἔχουσιν, τότε δὴ πάντας αὐτῶν ἀθρόον ἀφαιρούμενος τοὺς καρπούς, τῇ ποικιλίᾳ τῶν εἰωθότων λυμαίνεσθαι τοῖς τοιούτοις, ἐρυσίβῃ οἷον εἰπεῖν καὶ χαλάζῃ καὶ τοῖς τοιούτοις, ὁπόσα ἀθρόον συμβάντα πολλάκις τῶν φαινομένων καρπῶν παντελῆ ἀπώλειαν εἰργάσατο· ὥστε ὃν οὐκ ἔγνωσαν αἴτιον αὐτοῖς τῶν ἀγαθῶν, τῇ ἐπαγομένῃ τιμωρίᾳ, καὶ τῇ τῶν δοθέντων
ἀφαιρέσει, γνῶναι σαφῶς. “ Καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύ- p. 17.
πτειν τὴν ἀσχημοσύνην αὐτῆς. „ Πάντα ὁπόσα διαφόρως αὐτοῖς παρ' ἐμοῦ χορηγούμενα ἐκόσμει τε καὶ εὐπρεπεστέρους ἐδείκνυ τῶν τῆς ἀπολαύσεως λοιπῶν ἀνθρώπων, ταῦτα ἀφελών,
ἀτιμοτέρους ἐργάσομαι πάντων. “ Καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν v. 10.
ἐραστῶν αὐτῆς· καὶ οὐδεὶς οὐ μὴ ἐξέληται αὐτὴν ἐκ χειρός μου. „ Ὥστε διὰ τῆς τιμωρίας τῆς

tur. “ Dicetque: revertar ad priorem virum meum, quicum beatius quam praesenti tempore vixi. „ Errorem suum tum denique agnoscent, secumque melius actum fore, si cultui meo adhaesissent, quam si ad daemonum superstitiones semet demisissent. “ Quippe haud noverat ipsa se frumentum a me acceptum tulisse, vinoque et oleo, argento et auro a me fuisse repletam. Interim ipsa argenteas aureasque oblationes Baali dicavit. „ Discent denique magna se inscitia laboravisse, dum idolis bonorum suorum causam imputarent, quae tamen a me, rerum omnium auctore, abunde ipsis suppeditabantur: neque enim fruges tantummodo iis suffeci, verum etiam argentum atque aurum, tum exeuntibus ex Aegypto, tum aliis postea permultis eventibus. At vero ipsi conflatis ex hac materia idolis, non dubitarunt vani cultus observationem, ob metalli praestantiam, plurimi facere.

“ Propterea revertar, et tollam triticum meum in tempore suo. „ Grandem scilicet ipsis creabo sterilitatem: nam quo potissimum tempore frui bonis sperant, tunc omni repente erepto eis fructu, consuetorum varietate damnorum obruam, rubigine (puta), grandine et huiusmodi aliis, quae subito ingruentia, saepe frugibus iam sese ostendentibus supremum exitium inferunt: ut quem bonorum suorum auctorem non agnoverant, ex impacta saltem poena, et rei datae ablatione manifeste cognoscant. “ Et auferam vestimenta mea, et linteamina mea, ne operiant ignominiam eius. „ Quaecumque a me multifariam collata ornabant eos, et lautiores ceteris faciebant qui haec possident hominibus, haec inquam auferens, despectissimos omnium praestabo. “ Et nunc revelabo immunditiam ipsius in conspectu amatorum eius, et nemo eruet eam de manu mea. „ Atque ita ultio mea manifestio-

ἐμῆς σαφεστέραν ἅπασιν αὐτῶν γνῶναι τὴν παρανομίαν ἣν εἰργάζοντο, ἀφεστῶτες μὲν ἐμοῦ,
τῇ τῶν δαιμόνων δὲ προσανέχοντες θεραπείᾳ· ὧν ἐπ' ὄψεσι βαρυτάτας δέξονται παρ' ἐμοῦ
τὰς τιμωρίας, οὐδὲ μιᾶς ὑπ' αὐτῶν βοηθείας ἀξιοῦσθαι οἷοί τε ὄντες· ἐπεὶ καὶ κρείττων
v. 11. πάσης τῆς ἐπαγομένης αὐτοῖς παρ' ἐμοῦ τιμωρίας ἡ δύναμις. " Καὶ ἀποστρέψω πάσας τὰς
εὐφροσύνας αὐτῆς, καὶ πάσας τὰς ἑορτὰς αὐτῆς, καὶ τὰς νουμηνίας αὐτῆς, καὶ τὰ σάββατα
αὐτῆς, καὶ πάσας τὰς πανηγύρεις. „ Οὐδὲ γὰρ οὖν πανηγύρεως καὶ ἑορτῆς ἢ τινὸς εὐφροσύνης
ἕξουσιν ἔτι καιρὸν, ἅτε τῇ αἰχμαλωσίᾳ παραδιδόμενοι, καὶ ταῖς τῶν κατεχόντων ἀνάγκαις
v. 12. πιεζόμενοι ποικίλως. " Καὶ ἀφανιῶ ἄμπελον αὐτῆς, καὶ τὰς συκᾶς αὐτῆς, ὅσα εἶπε μι-
p. 18. σθώματά μου ἐστὶ ταῦτα ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου. „ Πάντας δὴ τοὺς καρποὺς αὐτῶν
ἀφελοῦμαι, ὧν τοῖς δαίμοσιν ἐλογίζοντο τὴν δόσιν. " Καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον. „
Ὥστε τὴν ἀφαίρεσιν αὐτῶν μεγίστην εἶναι μαρτυρίαν τῆς παρανομίας αὐτῶν τῆς πρόσθεν, καθ'
ἣν τοῖς δαίμοσιν ἐλογίζοντο ἐκεῖνα, ὧν καὶ τῆς δόσεως καὶ τῆς ἀφαιρέσεως κύριος ἤμην ἐγώ·
" Καὶ καταφάγεται αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑρπετὰ
τῆς γῆς. „ Εἰς λύμην αὐτὰ προθήσω πᾶσιν, ὥστε μηδὲν ἐξ αὐτῶν ἀπόνασθαι τούτους· θηρία
γὰρ ἀγροῦ, καὶ πετεινὰ οὐρανοῦ, καὶ ἑρπετὰ γῆς, τὸ πολύτροπον εἰπεῖν ἐβουλήθη τῶν λυμαίνεσθαι
μελλόντων αὐτοῖς πολεμίων· ἐπειδὴ τὸ μὲν θηρίον, τῇ ὠμότητι βλάπτειν ἕτοιμον· τὰ
πετεινὰ δὲ, τῷ πᾶσιν ἐφίπτασθαι οἷς ἂν ἐθέλῃ ῥᾳδίως· τὰ ἑρπετὰ δὲ, τῇ βαρύτητι τῆς λύμης.
v. 13. " Καὶ ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλὶμ, ἐν αἷς ἐπέθυεν αὐτοῖς, καὶ περιε-
τίθετο τὰ ἐνώτια αὐτῆς, καὶ τὰ καθόρμια αὐτῆς, καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ
δὲ ἐπελάθετο, λέγει κύριος. „ Ταῦτα δὲ πείσονται δίκας διδόντες ὑπὲρ ὧν τοῖς εἰδώλοις
προσεῖχον, οἷς δὴ τὰς θυσίας τε προσῆγον, καὶ πανηγύρεις ἐπὶ τῇ τούτων θρησκείᾳ συνί-
p. 19. στων, κόσμον τε περιτιθέμενοι πλεῖστον, καὶ πανηγύρεις συνιστῶντες ἐπὶ τῇ τῶν δαιμόνων θε-

rem cunctis reddet culpam qua se irretiverunt, dum me derelicto ad daemonum cultum se contulerunt: cuius causa, gravissimas palam luent poenas, nulla daemonum ope potiri valentes: etenim inflicti illis a me supplicii longe validior vis est. " Et avertam cunctas laetitias eius, et neomenias ipsius ac sabbata, omnesque sollemnitates. „ Neque sollemnitatis igitur neque ullius festi, neque cuiuslibet gaudii tempus deinceps eis erit, iam videlicet captivitati traditis, et dominorum violentia varie pressis. " Et destruam vineam eius ac ficus, de quibus ipsa dixerat: hae sunt mercedes meae, quas mihi amatores mei dederunt. „ Cunctos plane fructus eis eripiam, quos acceptos daemonibus referebant. " Atque ea ponam in testimonium. „ Nempe haec spoliatio maximum erit testimonium praeteritae iniquitatis, qua bona illa a daemonibus se habere dicebant, quorum tamen dandorum et auferendorum arbiter ego eram. " Et vorabunt ea ferae agri, et volatilia caeli, et reptilia terrae. „ Cuncta passim vastanda obiiciam, ita ut nihil utile superfuturum iis sit. Agri feris, caeli avibus, terrae serpentibus varietatem denotare voluit hostium, qui illos pessum erant daturi. Nam ferae quidem saevitia nocendo imminent: aves iis quae volunt facile involant: serpentium denique gravissimum nocumentum est.

" Et ulciscar super eam dies Baalim, quibus nempe his idolis immolabat: et inaures suas moniliaque sua circumponebat: suosque amatores sectabatur, mei oblita, dicit Dominus. „ Haec nimirum patientur, poenas luendo, propterea quod idolis adhaeserint, quibus sacrificia quoque obtulerunt, et sollemnitates illorum cultui dedicarunt, plurimum circumponentes ornatum, coetusque celebres ad daemonum superstitionem convocantes, nullam vero mei memoriam retinentes. Dicit au-

θεραπείᾳ, ἐμοῦ δὲ μνήμην ἔχοντες οὐδεμίαν· λέγει γὰρ τοῖς μὲν Βααλὶμ τοῦτ' ἔστι τοῖς εἰδώ-
λοις, ἐκ μέρους τὰ πάντα λέγων· ἐραστὰς δὲ συνήθως ὀνομάζει τοὺς δαίμονας· εὔδηλον
γὰρ ὅτι ἐν τῇ τῶν εἰδώλων θεραπείᾳ δαίμονες ἦσαν οἱ θεραπευόμενοι παρ' αὐτῶν. “ Διὰ v. 14.
τοῦτο ἐγὼ πλανῶ αὐτὴν, καὶ τάξω αὐτὴν ὡς ἔρημον. „ Αἰχμαλωσίᾳ παραδώσω, φησὶν,
ὥστε αὐτὴν πάντων ἔρημον οὖσαν τῶν ἀγαθῶν πλανᾶσθαι κατὰ τὰς ὁδοὺς, ἃς πρότερον οὐκ
εἰδυῖα, νῦν ἀνύειν ὑπὸ τῆς συμφορᾶς ἠναγκάζετο· εἶτα καταμίγνυσιν τῇ ἀποφάσει τῆς τιμω-
ρίας καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, καθὼς ἔθος τοῖς προφήταις ποιεῖν, μιμουμένοις
καὶ κατὰ τοῦτο τὸν μακάριον Δαυὶδ ὃς ἐν ψαλμοῖς ὁμοῦ τε πολλάκις τὰς συμφορὰς ἔλεγε,
καὶ τὴν λύσιν ὑπισχνεῖτο· ὡς ὅταν ἐπὶ τοῦ τριακοστοῦ λέγῃ ψαλμοῦ· * “ ἐλέησόν με κύριε, ὅτι * Ps. XXX. 10.
θλίβομαι· ἐταράχθησαν ἐν θυμῷ οἱ ὀφθαλμοί μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου· ὅτι ἐξέ-
λιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς· „ καὶ καθ' ἑξῆς τὰ ὅμοια τούτοις·
εἶτα προβαίνων τοῦ λόγου κατὰ βραχέα φησίν· „ εὐλογητὸς κύριος ὅτι ἐθαυμάστωσε τὸ ἔλεος
αὐτοῦ ἐν πόλει περιοχῆς· „ καὶ καθ' ἑξῆς δὲ τὰ ὅμοια τούτοις· πολλὰ δὲ τοιαῦτα ἐπὶ τῶν ψαλμῶν
εὕροι τις ἄν· ἅπερ οὖν ἀναγκαίως ἐζήλωσαν οἱ προφῆται, πολλὴν τοῖς ἀκούουσι παρεχό- p. 20.
μενοι τὴν χρείαν· ὡς ἂν διὰ μὲν τῶν τῆς συμφορᾶς ῥημάτων, φοβοῖεν· διὰ δὲ τῆς τῶν ἀγαθῶν
ἐπαγγελίας, εὐέλπιδας ποιοῖεν.

Τί οὖν φησί; “ Καὶ λαλήσω ἐπὶ τὴν καρδίαν αὐτῆς· „ παρακαλέσω φησὶν αὐτὴν v. 15.
μετὰ τοῦτο, ἀπαραμυθήτοις παλαίουσαν τοῖς κακοῖς. “ Καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς
ἐκεῖθεν. „ Ἀποκαταστήσω πάλιν αὐτὴν ἐπὶ τὴν τῶν προτέρων ἀπόλαυσιν, τῆς αἰχμαλωσίας
ἐκσπάσας. “ Καὶ τὴν κοιλάδα Ἀχὼρ, διανοῖξαι σύνεσιν αὐτῆς. „ Ὥστε ὁπόσα κατ' ἐκεῖ-
νον πεπόνθασι τὸν τόπον, συντελέσαι λοιπὸν αὐτοῖς εἰς βελτίωσιν καὶ διόρθωσιν τῶν προει-
ληφότων πταισμάτων· αἰσθήσονται γὰρ, ὡς εἰκὸς, ἐκ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς, ὅτι καὶ

tem Baalim, loco idolorum, in parte omnia complexus: tum et amatores more solito dicit pro daemonibus; constat enim, in idolorum obsequio reapse daemones cultos fuisse. “ Idcirco ego seducam illam, et instar deserti ponam. „ Captivitati eam tradam, inquit, ita ut bonis omnibus spoliata vagetur in viis, quas antea nesciebat, nunc autem calamitose decurrere cogitur. Mox tamen poenae decreto conversionem quoque in melius commiscet, qui est prophetarum mos, sic etiam beatum Davidem imitantes, qui saepe in psalmis calamitates pariter dicebat, et solutionem pollicebatur. Veluti cum in trigesimo psalmo ait: “ miserere mei, Domine, quoniam tribulor. Turbati sunt in furore oculi mei, et anima mea ac venter meus. Quia defecit in dolore vita mea, et anni mei in gemitibus. „ Tum et deinde alia his similia. Paulo post tamen, dicere pergens, ait: “ benedictus Dominus, qui mirificavit misericordiam suam in civitate munita. „ Et mox item alia huiusmodi. Multa his paria in psalmis comperire est, quae prophetae necessario studio faciebant, non modicam audientibus creantes utilitatem: nempe ut calamitatis praedictione territarent, bonorum autem denunciatione in spem erigerent.

Quid ergo ait? “ Et loquar ad cor eius. „ Solabor, inquit, illam quae inconsolabilibus conflictatur malis. “ Et dabo ei possessiones suas ibidem. „ Restituam illam in priorum bonorum usum, captivitate liberans. “ Et vallem Achor ad aperiendam intelligentiam ipsius. „ Ita ut quaecumque illo in loco perpessi fuerunt, ea deinceps ad restitutionem in meliorem statum et priorum cladium sublevationem vertantur. Sentient enim, ut par est, ex hac in melius conversione, quod et illa tristia non incuria mea experti fuerint, sed quia cadendo oportuit illos peccatorum

τῶν λυπηρῶν οὐκ ἐπειράθησαν δι' ἀμέλειαν ἐμήν, ἀλλ' ἐπειδὴ πταίσαντας αἴσθησιν ἐχρῆν
τῶν ἁμαρτημάτων λαβεῖν τῶν οἰκείων· τὸ γὰρ κοιλάδα Ἀχώρ, τόπον ἔοικε λέγειν ἐν ᾧ δὴ
μάλιστα τὴν βαρυτάτην ἐδέξαντο τοῦ πολέμου τροπήν· ὡς ἀκολουθῆσαι τήν τε αἰχμαλω-
σίαν, καὶ τὰ ἐκεῖθεν κακὰ λοιπόν· ὡς εἰκὸς, ἐκ μέρους κατὰ τὸ εἰωθὸς πᾶσαν αὐτῶν καλῶν
p. 21. τὴν χώραν· ἐν ᾗ πλεῖστα ὅσα παρὰ τῶν πολεμίων ὑπομεμενηκότες κακὰ, ἐπὶ τὴν αἰχμα-
λωσίαν ἀπήχθησαν ὑπὸ τῶν πολεμίων. “ Καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας νηπιό-
τητος αὐτῆς, καὶ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου. ,, Ἐπειδὴ γὰρ ὑπερ-
ηφανίαν λέγει τὸ ἀποστῆναι τέ καὶ ἀμελῆσαι τοῦ θείου, ταπείνωσιν λέγει τὴν ἐπίγνωσιν τοῦ
προσήκοντος· καὶ τὸ ὡς δεσπότην τε καὶ κριτὴν καὶ κύριον τῶν ἁπάντων φοβεῖσθαι δικαίως·
τοιούτων οὖν φησὶν ἐν τῷ καιρῷ τεύξεται τῆς συμφορᾶς, καθ' ὁμοιότητα τῶν κατὰ τὴν Αἴγυ-
πτον γεγονότων, οἱ τῇ τῶν πλίνθων ἐργασίᾳ συντριβόμενοι, ἐπέγνωσάν τε ὅθεν προσῆκε τὴν
τούτων εὑρέσθαι λύσιν· καὶ ἐβόησαν ἅπαντες πρὸς θεόν· ὥστε αὐτὸν ἐπινεύσαντα ταῖς τῶν βοών-
των αἰτήσεσι μετὰ μεγάλου τοῦ θαύματος παρασχεῖν αὐτοῖς τὴν οἰκείαν βοήθειαν· καθ'
ὁμοιότητα δὴ φησὶν ἐκείνων ἔσται καὶ τὰ νῦν· οὕτω σωφρονιζομένων τε ὑπὸ τῆς συμφορᾶς,
καὶ ἐπιγινωσκόντων τὸν αἴτιον τῶν ἀγαθῶν· καὶ αἰτούντων μὲν τὴν βοήθειαν ἐκεῖθεν, μετὰ πολ-
λῆς δὲ τῆς εὐκολίας τυγχανόντων αὐτῆς.
v. 16. “ Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, καλέσει με ὁ ἀνήρ μου, καὶ οὐ καλέσει
v. 17. με ἔτι Βααλίμ· καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλὶμ ἐκ τοῦ στόματος αὐτῆς· καὶ οὐ μὴ μνη-
p. 22. σθῶσιν οὐκέτι τῶν ὀνομάτων αὐτῶν. ,, Τότε δὴ φησὶν ἐπιγνώσονται κηδεμόνα οἰκεῖον, καὶ
πάντων ἀποστάντες τῶν λοιπῶν, τῇ θεραπείᾳ προσέξουσι τῇ ἐμῇ, πάσης τῆς τῶν εἰδώλων
ἀφιστάμενοι θεραπείας· ὡς μὴ δὲ μίαν μνήμην αὐτοὺς ἔχειν ἐκείνων ἔτι, μηδέ τινα λόγον
αὐτῶν ποιεῖσθαι τοῦ λοιποῦ· τὸ δὲ οὐ καλέσει με ἔτι Βααλὶμ, ἐπειδὴ θεὸς ἦν ὁ ταῦτα λέγων,
οὐκέτι φησὶ τὴν ὀνομασίαν τὴν ἐμὴν ἐπιθήσουσι τοῖς Βααλίμ· ἅτε τῆς μὲν ἀπάτης κεχωρι-

suorum sensum percipere. Nam vallem Achor, locum dicere videtur, in quo praesertim gravissimam acceperant belli cladem: ex qua consecuta fuerat captivitas cum propria malorum sequela. Atque ex hac loci parte, totam videtur ipsorum designare regionem; in qua postquam innumera ab hostibus mala perpessi fuerant, in captivitatem denique ab iisdem abducti fuerunt. “ Et humiliabitur illic iuxta dies infantiae suae, et iuxta dies ascensionis ipsius de terra Aegypti. ,, Quoniam superbiae nomine indigitat apostasiam neglectumque Dei, humiliationem vicissim dicit officii proprii cognitionem, iustumque Dei, ut principis, iudicisque ac domini, timorem. Hunc ergo, ait, calamitatis tempore fructum nanciscetur, prout olim in Aegypto usuvenit, cum opere latericio faciendo attriti, agnoverunt undenam malorum solutionem petere deberent; cunctique ad Deum clamaverunt; quo facto, Deus annuens clamantium precibus, non sine grandi miraculo suum eis auxilium suppeditavit. Praesentia, inquit, pari ac illa vetera conditione fient: his videlicet calamitate emendatis, et eum qui causa bonorum est agnoscentibus, indidemque opem poscentibus, pronaque impetrantibus facilitate.

“ Eritque die illa, dicit Dominus, vocabit me, vir meus, et non vocabit me diutius Baalim. Auferamque nomina Baalim ex ore eius, nec recordabuntur ulterius nominum eorum. ,, Tunc proprium, inquit, curatorem agnoscent, cunctisque aliis omissis, ad cultum meum accedent, ab omni idolorum obsequio recedentes; in tantum ut nullam illorum memoriam retineant, vel minimam posthinc curam gerant. Quod vero ait, non vocabunt me amplius Baalim, quoniam Deus erat qui

σμένοι τῶν ἐκείνων, πρὸς ἐμὲ δὲ ὁρᾷν ἐγνωκότες τοῦ λοιποῦ τὸν ὄντως θεόν. “ Καὶ διαθή- v. 18.
σομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ μετὰ τῶν πετεινῶν τοῦ
οὐρανοῦ, καὶ μετὰ τῶν ἑρπετῶν τῆς γῆς. „ Τοὺς πρότερον φησὶν αὐτοῖς ἐπιβουλεύοντας, καὶ πολε-
μίως ἔχοντας πρὸς αὐτοὺς, παρασκευάσω τὴν πρὸς αὐτοὺς ἑλέσθαι φιλίαν. “ Καὶ τόξον καὶ
ῥομφαίαν καὶ πόλεμον συντρίψω ἀπὸ τῆς γῆς· „ πάσης αὐτοὺς πολέμου πείρας ἐκτὸς κατα-
στήσω. “ Καὶ κατοικιῶ αὐτοὺς ἐπ' ἐλπίδι. „ παρασκευάσω γὰρ ἐκ τῶν προσγινομένων αὐτοῖς
ἀγαθῶν, καὶ περὶ τῶν μετὰ ταῦτα χρηστότερα ἐλπίζειν. “ Καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν v. 19.
αἰῶνα· καὶ μνηστεύσομαι ἐμαυτῷ ἐν δικαιοσύνῃ καὶ ἐν κρίμασι καὶ ἐν ἐλέῳ καὶ ἐν οἰκτιρ-
μοῖς. „ Ἐν τῇ οἰκειότητί σε πάλιν κατατάξω τῇ ἐμῇ· παρέξω δέ σοι φησὶ τὴν οἰκείωσιν p. 23.
τὴν ἐμὴν, ἐπιμελόμενός τε τοῦ δικαίου, καὶ κολάζων τοὺς ἠδικηκότας σε κατὰ τὸν τῆς αἰχμα-
λωσίας καιρὸν, κρίνων τε ἅπασι μετὰ τοῦ δικαίου· καὶ μὴν καὶ ἐλέῳ τὰ κατὰ σὲ διοικῶν.
“ Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν κύριον. „ Δέξομαι τὴν οἰκείωσιν v. 20.
ὑμῶν λοιπὸν πεπιστευκότων τέ μοι καθὼς προσῆκε θεῷ, καὶ δεσπότην ἐπιγινωσκόντων οἰκεῖον.
“ Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, ἐπακούσομαι τῷ οὐρανῷ, καὶ ὁ οὐρανὸς v. 21.
ἐπακούσεται τῇ γῇ, καὶ ἡ γῆ ἐπακούσεται τῷ σίτῳ καὶ τῷ οἴνῳ καὶ τῷ ἐλέῳ· καὶ αὐτὰ ἐπακού-
σεται τῷ Ἰσραήλ· καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς, καὶ ἐλεήσω τὴν οὐκ ἠλεημένην· καὶ
ἐρῶ τῷ οὐ λαῷ μου, λαός μου εἶ σύ· καὶ αὐτὸς ἐρεῖ, κύριος ὁ θεός μου εἶ σύ. „ Τότε δὴ
πολλὴν ἕξετε καὶ τὴν καρπῶν τὴν ἀφθονίαν· ὁ μὲν γὰρ ἀὴρ κατὰ γνώμην ἐμὴν παρέξει τῇ γῇ
τὸν ὑετόν· οὐρανὸν γὰρ τὸν ἀέρα καλεῖ· ὡς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅταν λέγῃ, ἵνα εἴπῃ τὰ
τέμνοντα τὸν ἀέρα· ἡ δὲ ὡς εἰκὸς ἀρδομένη τοὺς καρποὺς ἀφθόνως παρέξεται τοὺς οἰκείους·
ἐκ δὲ τούτων ἄφθονον ὁ Ἰσραὴλ τὴν ἀπόλαυσιν κτήσεται τῶν ἐκ τῆς γῆς ἀγαθῶν· παρα-

ita loquitur, haud ultra, inquit, nomen meum Baalim imponent; quandoquidem ab idolorum errore regressi, ad me in posterum didicerunt respicere verum Deum. “ Curaboque eis foedus die illa cum feris agri, et cum caeli volucribus, et cum terrae reptilibus. „ Illa, inquit, quae ipsis antea insidiabantur, et hostili animo erant, dabo operam ut eisdem amicitia iungantur. “ Arcumque et gladium ac bellum tota regione conteram. „ Nempe illos omni belli molestia expediam. “ Et habitare eos faciam cum spe. „ Dabo operam, ut ex iam impetratis bonis, meliora etiam se postea consecuturos sperent. “ Et sponsabo te mihi in sempiternum: et sponsabo mihi in iustitia, in iudiciis, et in misericordia, et in miserationibus. „ Te, inquam, in amicitiam meam reponam; tibique familiaritatem meam restituam; aequo iure agens, et eos qui tibi captivitatis tempore iniurii fuerunt puniens, iustumque de omnibus iudicium ferens, res tuas denique benigne regens. “ Et sponsabo te mihi in fide, et cognosces Dominum. „ Vos, inquam in necessariorum numero posthinc habebo, qui et mihi credidistis prout Deo par est, meque vestrum dominum agnovistis.

“ Eritque die illa, dicit Dominus, exaudiam caelum, et caelum exaudiet terram, et terra exaudiet triticum et vinum et oleum, et haec exaudient Israhelem. Seramque eam mihi in terra, et miserebor eius cuius non eram misertus. Dicamque populo non meo, populus meus es tu: et ipse dicet, dominus Deus meus es tu. „ Tunc certe multam habebitis frugum ubertatem: etenim aër, me volente, imbrem telluri demittet; quippe caelum pro aëre dicit, veluti cum caeli volucres dicit, nempe illas quae aërem findunt. Terra autem rite irrigata fructus suos abundanter praebebit: quorum lauto Israhel usu fruetur, id est terrae bonorum. Faciamque ut

σκεδάσω τε πάλιν αὐτοὺς τὴν γῆν οἰκεῖν τὴν ἰδίαν, ἧσπερ οὖν ἀφῃρέθησαν πρόσθεν, ὡς ἂν
p. 24. αὐτόθι διάγοντες τῆς ἐμῆς ἐπιμελοῖντο θεραπείας· τοῦτο γὰρ λέγει τὸ σπερῶ αὐτὴν ἐμαυτῷ
ἐπὶ τῆς γῆς· ἐκ μεταφορᾶς τῶν σπειρόντων βουληθεὶς εἰπεῖν ὅτι κατὰ πάσης αὐτοὺς ἐκτενῶ
πάλιν τῆς γῆς τῆς οἰκείας, μετὰ ἀσφαλείας τε οἰκοῦντας ἐν αὐτῇ, καὶ τῶν ἐμοὶ προσηκόντων
ἀντεχομένους λοιπόν· ἔσται δὲ ταῦτα, ἐπειδὴ μεταβολὴν τὴν ἐπὶ τὸ κρεῖττον τὰ καθ' ὑμᾶς
διὰ τῆς κηδεμονίας δέχεται τῆς ἐμῆς· ὡς ἐλεεῖσθαι μὲν τὴν οὐκ ἠλεημένην· λαὸν δὲ εἶναι τὸν οὐ
πρότερον λαόν· ὅπερ οὖν εἰκότως αὐτοῖς προσέσται, ἐπειδὴ κἀκεῖνοι τῆς πρότερον ἀποστάν-
τες πλάνης ἐπιγνώσονταί τε τὸ δέον, καὶ μετὰ λαμπρᾶς ἐροῦσι τῆς φωνῆς, ὅτι αὐτὸς δὴ μόνος
ἐστὶν αὐτῶν ὄντως κύριος τε καὶ θεός, ὁ τῶν ἁπάντων μὲν ποιητὴς καὶ δεσπότης, ἰδίαν δὲ
αὐτοῖς ἄνωθεν τὴν οἰκείαν νείμας κηδεμονίαν.

ΚΕΦ. Γ'.

v. 1. « Καὶ εἶπε κύριος πρός με, ἔτι πορεύθητι καὶ ἀγάπησον γυναῖκα ἀγαπῶσαν πονηρὰ
καὶ μοιχαλίν· καθὼς ἀγαπᾷ ὁ θεὸς υἱοὺς Ἰσραήλ, καὶ αὐτοὶ ἀποβλέπουσιν ἐπὶ θεοὺς ἀλλο-
τρίους, καὶ φιλοῦσι πέμματα μετὰ σταφίδων. „ Εὔδηλον ὃ πολλάκις εἰρήκαμεν κἀντεῦθεν, ὅτι
μὴ ἐν συγγραφῆς εἴδει κατὰ μίαν ἁρμονίαν συγγέγραπται τὰ τῶν προφητῶν· διῃρημένως δὲ
p. 25. εἴρηται κατὰ τὸν τῶν ἀποκαλύψεων ὧν ἐδέξαντο καιρόν· ἐφ' αἷς καὶ τὰ πρὸς τὸν λαὸν ἀναγ-
καίως προσήγοντο λέγειν ταῖς ἀποκαλύψεσιν ἑπόμενοι ταῖς θείαις· εἰρηκὼς γὰρ τὴν λῆψιν τῆς
κατ' ἐκεῖνα εἰκόνος ἐπ' ἐλέγχον τοῦ λαοῦ ῥηθέντα, δικαίως ἑτέραν ἀποκάλυψιν ἐνταῦθα
διηγεῖται πάλιν, ἣν παρὰ θεοῦ δεξάμενος ἐκτίθεται ἀναγκαίως· τὸ γὰρ εἶπε κύριος
πρός με, τοῦτο δηλοῖ, θεοῦ λέγοντος εἶναι φωνὴν τὴν γεγενημένην ἀποκάλυψιν αὐτῷ θειόθεν·
εἶπεν οὖν μοι, φησί, περὶ γυναῖκα ἔχειν μοιχαλίδα καὶ παντοίων ἐργάτιν κακῶν· ὡς ἂν μί-

propriam regionem denuo incolant, qua antea privati fuerant; atque ita ibi degentes cultum mihi exhibebunt. Id enim significant illa verba, seram eam mihi in terra: metaphora a seminatoribus sumpta dicere volens, se illos tota rursus regione patria sparsurum, in qua secure habitabunt, debitisque erga me officiis fungentur. Quae quidem ita evenient; quia res vestrae, me curante, meliore conditione esse coeperunt; adeo ut misertum sit illius quae extra misericordiam fuerat; factusque sit populus, qui antea non erat populus. Atque ita iure optimo his fiet, quia et ipsi vetere errore relicto, debitum suum agnoscent, claraque voce dicent, solum esse ipsorummet vere dominum ac Deum, eum qui omnium creator est, specialemque eis curam suam caelitus tribuit.

CAP. III.

" Dixitque mihi Dominus: adhuc vade, et dilige mulierem diligentem mala et adulteram: haud secus quam Deus filios Israhelis diligit, dum ipsi ad deos alienos respiciunt, diliguntque cupedias et vinacea. ,, Hinc quoque exploratum fit, quod multoties diximus, non ad scriptionis formam, unoque tenore, prophetarum oracula fuisse conscripta; sed ex intervallo dictata, secundum acceptarum tempora revelationum: quarum instinctu ad populum necessario verba faciebant, divinis illuminationibus consectanei. Nam cum superius enarrasset oblatam sibi illarum rerum ob populi vituperationem imaginem, merito nunc revelationem alteram pariter exponit, quam utpote a Deo sibi immissam, nequit reticere. Etenim verba, dixit Dominus, hoc significant, nimirum Dei loquentis vocem veluti esse, factam illam sibi

μιμητὴς εἴη καὶ τοῦτο τῆς γνώμης, ἣν περὶ τοὺς υἱοὺς Ἰσραὴλ ἀποσώζειν ἐσπούδακα, πάσῃ μοχθη-
ρίᾳ συζῶντας, καὶ σαφῆ τὴν ἑαυτῶν ἐπιδεικνυμένους μοιχείαν· οἳ περὶ διαφόρους ἐσπουδά-
κασι θεοὺς τοὺς παρὰ τοῖς ἔθνεσι νομισθέντας ψευδῶς, περὶ πολλοῦ ποιούμενοι τὸ τὴν παρ'
αὐτοῖς νενομισμένην θεραπείαν προσάγειν· τοῦτο γὰρ λέγει τὸ πέμματα μετὰ σταφίδων· ἵνα
εἴπῃ ἄρτους οὓς ποικίλως κατασκευάζοντες σταφίσι τε καὶ τοῖς τραγήμασι μιγνύντες, κατά τι
τῶν περὶ ταῦτα ἐχόντων ἔθος, προσέφερον τοῖς εἰδώλοις· τὸ γὰρ φιλοῦσι πέμματα μετὰ στα-
φίδων, ἀντὶ τοῦ δι' ἡδονῆς ἐστὶν αὐτοῖς ταῦτα ποιεῖν ἐπὶ τιμῇ τῶν εἰδώλων· ἔστι δὲ αὐτῷ τὰ p. 26.
μὲν πρότερα εἰρημένα πρὸς ἔλεγχον μᾶλλον τῶν δέκα φυλῶν· οἱ καταλείποντες τὸν θεὸν
τοῖς εἰδώλοις προσεῖχον· ταυτὶ δὲ πρὸς ἔλεγχον τῶν τῇ βασιλείᾳ προσηκόντων τῆς Ἰουδαίας·
οἳ τὸν ναὸν ἔχοντες παρ' ἑαυτοῖς, καὶ δὴ καί τινα σπουδὴν διά τε πανηγύρεων καὶ θυσιῶν ἐν-
δεικνύμενοι περὶ τὸν ὄντως θεὸν, μοιχευομένης δίκην τὴν περὶ τὰ εἴδωλα θεραπείαν
συνῆπτον τῇ ἐνδείξει τῆς περὶ τὸ θεῖον σπουδῆς.

Εἶτα λέγει " καὶ ἐμισθωσάμην ἐμαυτῷ πέντε καὶ δέκα ἀργυρίου, καὶ γομὸρ κριθῶν, v. 2.
καὶ νεβὲλ οἴνου. ,, Τῇ ἀκριβολογίᾳ χρησάμενος εἰς δήλωσιν τοῦ γεγονότος ὄντως· ἀναγ-
καῖον δὲ καὶ τοῦ ἐμισθωσάμην τὸ ὑπόδειγμα, ἐπεὶ καὶ ὁ θεὸς ἐπὶ μεγάλαις δωρεαῖς τε καὶ
μισθοῖς τοὺς ἰουδαίους ἑαυτῷ συνῆψεν. " Καὶ εἶπον πρὸς αὐτὴν, ἡμέρας πολλὰς καθίσῃ v. 3.
ἐπ' ἐμοὶ, καὶ ἐγὼ ἐπὶ σοὶ, καὶ οὐ μὴ πορνεύσῃς, οὐδὲ μὴ γένῃ ἀνδρί. ,, Ὡς ἂν καὶ τοῦ θεοῦ
οὐκ ἐπ' ὀλίγον ἀλλ' ἐπὶ μακρῷ τῷ χρόνῳ προσέχειν τε αὐτῷ βουληθέντος τοὺς ἰουδαίους,
καὶ τὴν κηδεμονίαν αὐτοῖς ὑποσχομένου τὴν οἰκείαν· οὕτω τε αὐτοὺς βουληθέντος μὴ πρὸς τὰ
εἴδωλα νεύειν, ἐπὶ δὲ τῆς περὶ αὐτὸν μένειν εὐνοίας. Εἶτα λέγει " διότι ἡμέρας πολλὰς
καθίσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, p. 27.
οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων. ,, Ὡς γὰρ ἐκείνης οὐκ ἐπὶ τῶν συνθηκῶν

divinitus revelationem. Mandavit ergo mihi mulierem habere adulteram, et cuiusvis malorum generis operatricem: ut haec etiam repraesentatio quaedam sit mentis, quam ego erga Israhelis filios retinere studui, quamquam omni improbitati deditos, suumque aperte adulterium ostentantes: qui diis falso apud ethnicos reputatis student; magnopere satagentes constitutas illic religiones exsequi: id enim significant verba cupediae cum vinaceis; quasi dicat panes variae laboratos, cum passis nimirum uvis, admixtis bellariis, quos more suo quodam idolis offerebant: nam cupedias cum vinaceis appetere, dictum est pro voluptate quam honorandis idolis capiunt. Porro superiora dicta fuere praesertim ad decem tribuum reprehensionem, quarum populus derelicto Deo, se idolis addixerat: haec autem ad reprehensionem pariter illorum pertinent, qui in Iudaeae regno vivebant: namque et hi, quamquam templum apud se haberent, nec non aliquam observantiam sollemnitatum ac sacrificiorum prae se ferrent in veri Dei honorem, nihilominus instar adulterae, idolorum cultum, cum demonstratione studii erga Deum copulabant.

" Et mercede conduxi eam mihi quindecim argenteis, et coro hordei ac mensura vini. ,, Minuta hac locutione utitur ad verae rei gestae demonstrationem. Item opus fuit mercedis exemplo, quia Deus quoque magnis donis atque mercedibus Iudaeos sibi addixerat. " Dixique ei: dies multos expectabis me, et ego te; et non fornicaberis, neque viro eris. ,, Quasi Deus quoque non paulisper sed diuturno tempore Iudaeos velit sibi adhaerere, quibus vicissim curam suam promittit: ita mandans quominus ad idola declinent, sed erga se benivolentiam retineant. Postea dicit: " quia dies multos sedebunt filii Israhelis sine rege, et sine principe, et sine

μεινάσης τῶν οἰκείων, τῇ δὲ πορνικῇ γνώμῃ πρὸς ἑτέρους νοσάσης, οὕτως ἐνταῦθα λέγει ὅτι
παρόμοια δὴ καὶ τῶν Ἰουδαίων περὶ ἐμὲ πεποιηκότων, τιμωρίαν αὐτοῖς ἀνάλογον ἐπάξω,
ἐφ' ἱκανῷ μὲν τῷ χρόνῳ παραδοὺς αἰχμαλωσίᾳ, παρασκευάσας δὲ πάντων τῶν κατὰ τὴν
χώραν τὴν οἰκείαν ἐρήμους εἶναι παντελῶς· ὡς βασιλέως μὲν οἰκείου ἐκτὸς εἶναι καὶ ἄρχοντος,
ἅτε ὑφ' ἑτέρῳ βασιλεῖ τεταγμένους, ὥσπερ αἰχμαλώτους γεγονότας δουλεύειν ἀνάγκη·
ἀφαιρεῖσθαι δὲ αὐτῶν καὶ τὰς θυσίας καὶ τὴν τοῦ θυσιαστηρίου χρείαν, καὶ πᾶσαν τὴν ἱερατικὴν
λειτουργίαν· διὰ τὸ γεγονότας αἰχμαλώτους πόῤῥω καθεστάναι τῶν τόπων ἐν οἷς ἱερατεύειν
Θεῷ νενομισμένον ὑπῆρχεν, ἀμοιρεῖν δὲ καὶ τῆς ἐπὶ τοῖς ἀπορουμένοις διὰ τῶν προφητῶν
v. 5. δηλώσεως· ὅπερ οὖν πρότερον ἐτύγχανον ποικίλως. " Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ
Ἰσραὴλ, καὶ ζητήσουσι κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν. ,, Τηνικαῦτα,
φησὶν, αἰσθόμενοι τῶν οἰκείων κακῶν, μεταβαλοῦνται τὴν γνώμην, τὴν τοῦ Θεοῦ μετιόντες γνῶσιν
τε καὶ θεραπείαν σπουδῇ· καὶ δὴ καὶ βασιλέα στέρξουσιν ἔχειν τὸν ἐκ τῆς τοῦ Δαυὶδ διαδοχῆς·
p. 28. ταῦτα γὰρ ὡς μετὰ τὴν ἐπάνοδον ἐσόμενα λέγει, ὅτε ὑφ' ἑνὶ βασιλεῖ τῷ Ζοροβάβελ ἐτύγ-
χανον ἅπαντες ἐκ τοῦ Δαυὶδ καταγομένῳ, οὐκέτι ζηλοῦντες τὴν γνώμην ἐκείνην, καθ'
ἣν ἀποστᾶσαι τῆς βασιλείας τῶν διαδόχων τοῦ μακαρίου Δαυὶδ, αἱ δέκα φυλαὶ βασιλέας εἵ-
λοντο ἑτέρους. " Καὶ ἐκστήσονται ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν. ,, Εἰς
ἔκστασιν δὲ καταστήσονται πάντες τῇ ὑπερβολῇ τοῦ θαύματος, ἀναλογιζόμενοι ὁπόσων αὐτοῖς
ἀγαθῶν διὰ τῆς προνοίας τῆς θείας, ἐνεγένετο τυχεῖν· ἐν δὲ τούτοις καὶ τὰ πρὸς ἔλεγχον τῶν
κατὰ τὴν Ἰουδαίαν εἰπὼν, κοινὸν λοιπὸν πρὸς ἅπαντας ποιεῖται τὸν λόγον, ποτὲ μὲν τούτους,
ποτὲ δὲ ἐκείνους, ποτὲ δὲ ἅπαντας ἐλέγχων κοινῇ.

sacrificio, et sine altari, ac sine manifestationibus. ,, Namque, ut si illa mulier in foedere suo non permansisset, sed meretricio animo ad alios declinasset; ita heic dicit, si paria Iudaei mihi fecerint, poenam iis dignam imponam, longo quidem tempore captivitati tradens, et omnium patriae regionis rerum faciens egentes: rege scilicet vel principe proprio expulso, ipsisque alteri regi suppositis, cui captivos factos servire necesse erit: simulque auferri sacrificiorum ritum, et altaris usum, et sacerdotale omne ministerium: quia captivi procul iis locis consisterent, ubi Deo sacra facere legitimum erat; et dubiorum quoque solutione, quae prophetarum ore fiebat, carerent; quaque antea multifariam fruebantur. " Et post haec revertentur filii Israhelis, et quaerent dominum Deum suum, et Davidem regem suum. ,, Tunc, inquit, malorum suorum sensu tacti, sententiam commutabunt, et Dei scientiam cultumque studiose adsciscent. Sed et regem habere optabunt ex Davidis successione. Haec enim ceu post reditum eventura dicit, cum sub uno rege Zorobabele extiterunt omnes, ex Davide stirpem ducente; deposita iam sententia illa, qua olim a beati Davidis regiis successoribus deficientes decem tribus, alios sibi delegerant. " Et stupebunt super bonis eius in novissimis diebus. ,, Exstasim quandam patientur omnes summa rerum admiratione, reputantes qualia illi quantaque bona a Dei providentia consecuti sint. His ad incolarum Iudaeae reprehensionem dictis, communem deinde ad omnes orationem convertit, modo hos, modo illos, modo cunctos simul obiurgans.

ΚΕΦ. Δ΄.

Διὸ φησίν· “ ἀκούσατε λόγον κυρίου, υἱοὶ Ἰσραὴλ, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τοὺς v. 1.
κατοικοῦντας τὴν γῆν· διότι οὐκ ἔστιν ἀλήθεια, οὐδὲ ἔλεος, οὐδὲ ἐπίγνωσις θεοῦ ἐπὶ τῆς γῆς· v. 2.
ἀρὰ καὶ ψεῦδος καὶ φόνος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ᾽ αἵμασι
μίσγουσιν. ,, Ἀλλὰ γὰρ ἐπὶ τούτοις φησὶν ἀκούσατε κρινομένου τοῦ θεοῦ πρὸς ὑμᾶς καὶ δει-
κνύντος οἵοις τε καὶ ἡλίκοις αὐτοῦ τὴν κηδεμονίαν ἠμείψατε κακοῖς· φροντίζει μὲν γὰρ ἀλη-
θείας οὐδεὶς ἐν ὑμῖν, ἀλλ᾽ οὐδὲ φιλανθρωπίας ὑμῖν λόγος· ἐπεὶ μὴ δὲ τῆς θείας γνώσεως p. 29.
ἔχετε φροντίδα· ἀπάτη δὲ καὶ τὰ πάσης ἄξια κατάρας, φόνος τε καὶ κλοπὴ καὶ μοιχεία
διὰ πάσης χύδην ἐπιτηδεύεται τῆς γῆς· τοσαύτην ὑμῶν ἐχόντων περὶ τὸ φονεύειν ἀλλήλους τὴν
σπουδὴν, ὥστε ἀεὶ τοῖς προειληφόσι τὰ καθ᾽ ἑξῆς μιγνῦναι τὰ αἵματα. “ Διὰ τοῦτο πεν- v. 3.
θήσει ἡ γῆ, καὶ σμικρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. ,, Ἐν πένθει πᾶσα γενή-
σεται διὰ τὸ μέγεθος τῶν ἐπιγινομένων αὐτοῖς κακῶν· οὕτω τῶν πολεμίων ἀναιρούντων
αὐτοὺς ἀφειδῶς, ὥστε εἰς ἐλάττωσιν περιστῆναι τὸν τῶν οἰκούντων ἀριθμόν· τοῦτο γὰρ λέγει τὸ
σμικρυνθήσεται ἡ γῆ σὺν τοῖς κατοικοῦσιν αὐτήν. “ Σὺν τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ τοῖς
ἑρπετοῖς τῆς γῆς, καὶ σὺν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. ,, Τροπικῶς λέγει κατὰ τὸ εἰωθὸς, ὅτι
συναπολοῦνται καὶ οἱ ἐν αὐτοῖς δυνατοὶ τοῖς λοιποῖς, οἱ θηρίων τε δίκην ἐπηρεάζοντες
τοῖς ἀσθενεστέροις· καὶ ὥσπερ τινὰ πτηνὰ ἀθρόον, ταῖς τῶν πενήτων ἁρπαγαῖς ἐπιόντες· καὶ οὐχ
ἧττον ἑρπετῶν βλάπτειν ἐσπουδακότες τοὺς πέλας. “ Καὶ ἰχθύες τῆς θαλάσσης ἐκλείψουσιν. ,, p. 30. v. 4.
Ἅπαντες συντόμως εἰπεῖν οἱ καθ᾽ ὁμοιότητα τῶν τῆς θαλάττης ἰχθύων πληροῦντες τὴν γῆν ἄρ-
δην ἀπολοῦνται. Τούτοις ἐπάγει· “ ὅπως μηδεὶς μήτε δικάζηται, μήτε ἐλέγχηται μηδείς. ,,
Τοσαύτη δέ φησιν ἅπαντα ἐρημία καθέξει, ὡς μήτε τὸν δικάζοντα εἶναι λοιπὸν, μήτε τὸν τὰ

CAP. IV.

Idcirco ait: “ audite verbum Domini, o Israhelis filii, quia iudicium Domino cum habitatoribus terrae: non est enim veritas, et non est misericordia, neque scientia Dei in terra. Maledictum, et mendacium, et homicidium, et furtum, et adulterium inundaverunt terram, et sanguis sanguini commixtus est. ,, Age iam audite, inquit, iudicio vobiscum disceptantem Deum, atque ostendentem quali quantaque malitia providentiam eius remunerati sitis. Nemo quippe vestrum veritatis curam gerit, neque ullam caritatis erga homines rationem habet: siquidem ne de Dei quidem scientia solliciti estis; sed fraus et execrabilia prorsus opera, homicidium, furtum atque adulterium passim in terra exercentur; mutuisque caedibus tantopere indulgetis, ut semper cum praecedentibus cruor subsequens misceatur. “ Propter hoc lugebit terra, et minuetur cum omnibus qui habitant eam. ,, In luctu terra omnis versabitur, propter ingruentium malorum magnitudinem; dum ii tam immaniter ab hostibus trucidantur, ut nonnisi exiguus incolarum numerus supersit: id enim valent verba, minuetur terra cum habitantibus eam. “ Cum feris agri, cum reptilibus terrae, et cum caeli volucribus. ,, Tropice more suo dicit, fore ut cum plebe principes quoque eiusdem pereant, qui ferarum instar infirmioribus nocebant: et ceu aves quaedam diripiendis pauperibus subito involabant; vel denique serpentium ritu proximos quosque vulnerare studebant. “ Maris quoque pisces deficient. ,, Cuncti, ut uno verbo dicam, qui, tamquam mare pisces, sic terram replebant, funditus disperibunt. His addit: “ ut nemo vel iudicetur, vel arguatur quisquam. ,,

ἑτέρων διορθουμένων πταίσματα· μιᾷ τῇ τῆς αἰχμαλωσίας συμφορᾷ κατεχομένων ἁπάν-
των ὁμοίως. " Ὁ δὲ λαός μου ὡς ἀντιλεγόμενος ἱερεύς· „ πάσης ἀποπεσὼν τῆς πρόσθεν
ἀξίας, καὶ οὐδενὶ λόγῳ φαινόμενος ἄξιος· ὥσπερ ἂν εἴ τις ἱερεὺς εἰς ἀντίῤῥησιν πεσὼν,
ἀθετοῖτό τε καὶ ἀτιμάζοιτο παρὰ πάντων. " Καὶ ἀσθενήσει ἡμέρας. „ Ἐπὶ πλεῖστον ἐν
v. 5. ἀσθενείᾳ ὑπὸ τῶν ἐπικειμένων γενήσεται κακῶν. " Καὶ ἀσθενήσει προφήτης μετὰ σοῦ νυκτός. „
Καὶ οἱ ταῖς προῤῥήσεσι ταῖς ψευδέσι πρὸς ἀπάτην ὑμῶν πρότερον κεχρημένοι, ἐν ἀσθε-
νείᾳ πλεῖστοι καὶ αὐτοὶ γενήσονται· ὑπὸ τῆς κατεχούσης αὐτοὺς συμφορᾶς, ὥσπερ νυκτερινῷ
τινὶ περιβαλλόμενοι σκότῳ, καὶ τῆς ἀπάτης ἄχρηστον ἑαυτοῖς τὴν ἐπιτήδευσιν ὁρῶντες.
" Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου. „ Οὕτως ἐν ἀγνοίᾳ καὶ πλάνῃ καθεστῶσαν ἀεί.
v. 6. " Ὡμοιώθη ὁ λαός μου ὡς οὐκ ἔχων ἐπίγνωσιν. „ Ἐμιμήσασθε δὴ ταύτην καὶ ὑμεῖς,
οὐδένα τῆς ἐπιγνώσεως τῆς ἐμῆς ἔχοντες λόγον. " Ὅτι καὶ σὺ ἐπίγνωσιν ἀπώσω, ἀπώσομαί
p. 31. σε κἀγὼ τοῦ μὴ ἱερατεύειν μοι· „ ὥσπερ γὰρ ὑμεῖς ἀποβεβλήκατε τὴν γνῶσιν ἑαυτῶν τὴν
ἐμὴν, οὕτω κἀγὼ τῆς περὶ ἐμὲ θεραπείας ὑμᾶς ἐκβαλῶ, μακρὰν διὰ τῆς αἰχμαλωσίας
ποιήσας τῶν τόπων, ἐν οἷς ἱερατεύειν ὑμᾶς προσῆκον ἦν ἐμοί· τοῦτο λέγει τὸ ἀπώσομαί σε
τοῦ μὴ ἱερατεύειν μοι· ἐπειδὴ γὰρ κοινὸν ἁπάντων κέρδος ἡ ἱερατεία, καθὼς ὁ μακάριος
λέγει Παῦλος, διὰ τοῦτο ὀφείλει ὥσπερ ὑπὲρ ἑαυτοῦ, οὕτως καὶ τῶν τοῦ λαοῦ προσφέρειν ἀγνοη-
* Hebr. VII. 12. μάτων· εἰκότως ἅπαντας ἀποβάλλεσθαι τῆς ἱερωσύνης λέγει, πεπαυμένης ἐκείνης· * ἐπειδὴ
ὥσπερ γινομένη κοινὸν εἶχε τὸ κέρδος, οὕτω καὶ παυομένη κοινὴν ἀποτελεῖ τὴν ζημίαν.
" Καὶ ἐπελάθου νόμου Θεοῦ σου· ἐπιλήσομαι τέκνων σου κἀγώ. „ Παραλογισαμένους τὰ νό-
v. 7. μιμα τὰ ἐμὰ, ἐν οὐδενὶ ποιήσομαι λόγῳ. " Κατὰ τὸ πλῆθος αὐτῶν, οὕτως ἥμαρτόν μοι. „
Καὶ γὰρ πολλοί τινες καὶ ἀναρίθμητοι διὰ τῆς κηδεμονίας γεγονότες τῆς ἐμῆς, δέον ἐπιγνώ-

Tanta inquit omnium rerum vastitas erit, ut neque deinceps iudex supersit, nec qui aliorum crimina corrigat: cunctis una captivitatis calamitate aeque obrutis. " Populus autem meus tamquam sacerdos, cui contradicitur. „ Dignitate omni deciduus, nulloque iam habitus respectu dignus: veluti si quis sacerdos in controversiam incidat, et deponatur, atque apud omnes dehonestetur. " Et infirmus erit interdiu. „ Diutissime in infirmitate versabitur incumbentium malorum. " Et infirmus erit propheta tecum noctu. „ Et qui falsis antea praedictionibus ad vos decipiendos abutebantur, plerique omnes infirmabuntur; ab obruente eos calamitate, nocturnis veluti tenebris occupati, fraudis suae inutile iam molimen cernentes. " Nocti assimilavi matrem tuam. „ Adeo haec in inscitia atque errore semper versatur!

" Visus est populus meus tamquam non habens scientiam. „ Vos quoque eiusdem imitatores facti, nullam scientiae meae rationem habuistis. " Quia et tu repulisti scientiam, repellam te ego quoque, quominus sacerdotio mihi fungaris. „ Sicuti vos scientiam meam mente vestra eiecistis, sic ego quoque vos a cultu meo expellam, procul vos propter captivitatem ab iis locis submovens, in quibus rem mihi sacram a vobis fieri constitutum fuerat. Hoc significant verba: repellam te quominus sacerdotio fungaris mihi. Nam quia commune lucrum est sacerdotium, prout beatus Paulus ait, ac propterea debet sacerdos tum pro se tum etiam pro populi ignorantiis offerre; merito cunctos de sacerdotio expelli dicit, siquando hoc desinit: nam sicuti dum existit, communem praebet utilitatem; sic desinens, commune detrimentum parit. " Et oblita es legis Dei tui; obliviscar filiorum tuorum et ego. „ Eos qui legitima mea transgredientur, nihili aestimabo. " Secundum mul-

σκειν τὸν ταύτης αὐτοῖς αἴτιον γεγονότα τῆς δωρεᾶς· οἱ δὲ ἀνάλογον τῷ πλήθει τῶν οἰκείων
τὴν εἰς ἐμὲ παρανομίαν ἐπεδείξαντο, πολλήν τινα καὶ ἀμέτρητον αὐτὴν ἐργασάμενοι. Τί οὖν;
" Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι. „ Ἀπὸ τῶν προτέρων ἀγαθῶν εἰς χειρόνων πεῖ-
ραν αὐτοὺς καταστήσω. " Ἁμαρτίας λαοῦ μου φάγονται. „ Ἵνα εἴπῃ ὅτι τοιαῦτα δὲ ὁ λαὸς p. 32. v. 8.
ὁ ἐμὸς ἡμαρτηκὼς εἰς ἐμὲ, ἀνάλογον ὧν πεποίηκε λήψεται τὸν καρπόν· τοιούτων ἀπολαύσας
καρπῶν, οἷά περ ἔσπειρε· τὸ γὰρ ἁμαρτίας λαοῦ μου φάγονται, ἀντὶ τοῦ τοιούτων ἀπολαύσουσιν
οἱ τοῦ λαοῦ μου οἷά περ ἥμαρτον.

" Καὶ ἐν ταῖς ἁμαρτίαις αὐτῶν λήψονται ἄλλοι ψυχὰς αὐτῶν. „ Ὑπὲρ γὰρ ὧν ἡμάρ-
τανον εἰς ἐμὲ, δι' ἑτέρων δώσουσι δίκην τῶν ἐπιέναι μελλόντων αὐτοῖς πολεμίων. " Καὶ
ἔσται καθὼς ὁ λαὸς, οὕτως καὶ ὁ ἱερεύς. „ Ἐν τοσαύτῃ συγχύσει τε καὶ συμφορᾷ διὰ τῆς v. 9.
αἰχμαλωσίας γενήσονται, ὡς μηδὲ μίαν εἶναι ἱερατεύοντός τε καὶ τοῦ ὑπὸ τὴν ἱερωσύνην
διαφοράν· ἅτε μηδενὸς μὲν τῶν ἐν ἱερατείᾳ θείᾳ προσηκόντων γινομένου τότε, πάντων δὲ
τῇ τῆς αἰχμαλωσίας συμφορᾷ περικειμένων ὁμοίως. " Καὶ ἐκδικήσω ἐπ' αὐτοὺς τὰς ὁδοὺς
αὐτῶν, καὶ τὰ διαβούλια αὐτῶν ἀνταποδώσω αὐτοῖς. „ Τιμωρήσομαι γὰρ αὐτοὺς ἀνάλογα
οἷς τε ἐβουλεύοντο ἐπιτελεῖν καὶ προῄρηντο. " Καὶ φάγονται καὶ οὐ μὴ ἐμπλησθῶσιν. „ v. 10.
Ἄπαυστον ἕξουσι τῶν κακῶν τὴν πεῖραν, ἀεὶ τοῖς προτέροις προστιθεμένων ἑτέρων· ἐκ μετα-
φορᾶς αὐτὸ εἰπὼν τῶν ἐπειδὰν φαγόντες μὴ κορεσθῶσιν, ἐσθιόντων πάλιν· ἵνα εἴπῃ ὅτι καὶ
οὗτοι ἐν πείρᾳ γενήσονται τῶν κακῶν· καὶ τῶν προτέρων γεγονότων, πάλιν ἔσται δεύτερα· p. 33.
πέρας δὲ τῶν γινομένων οὐκ ἔσται· τὸ γὰρ φάγονται κἀνταῦθα εἶπεν ὡς ἐν τοῖς ἀνωτέροις
ἁμαρτίας λαοῦ μου φάγονται, ἀντὶ τοῦ πειραθήσονται. " Ἐπόρνευσαν καὶ οὐ μὴ κατευθυν-
θῶσιν· „ Ἐπειδὴ γὰρ ἀπέστησαν μου παντελῶς, οὐδὲν αὐτοῖς εἰς δέον ἐκβήσεται. " Διότι

titudinem eorum, sic peccaverunt mihi. „ Quum multi, immo innumerabiles, ob providentiam meam facti essent, aequum profecto erat ut huius muneris auctorem cognoscerent; at illi contra, parem numero suo iniquitatem adversus me exprompserunt, multam scilicet et infinitam patrantes. Quid ergo? " Gloriam eorum in ignominiam commutabo. „ A prioribus bonis deiectos, peiora faciam experiri. " Peccata populi mei comedent. „ Quasi dicat, talia populus meus quum in me peccaverit, congruum factis suis fructum percipiet; tales nempe fructus capiens, quale semen iecit. Nam locutio, peccata populi mei comedent, perinde est atque, talibus perfruetur populus meus, qualia peccavit.

" Et in iniquitatibus eorum accipient alii animas ipsorum. „ Namque ob ea quae in me peccarunt, ultionem ab aliis patientur hostibus, qui consurgent. " Et erit sicut populus, sic sacerdos. „ In confusionem tantam calamitatemque devenient propter captivitatem, ut nulla sit sacerdotis ab eo qui sub sacerdotio est discrepantia; quatenus nihil tunc ad sacerdotale ministerium pertinens fiet, cunctis servitutis infortunio indifferenter correptis. " Et ulciscar super eos vias eorum, et cogitationes eorum reddam ipsis. „ Puniam eos congrua his, quae cogitarunt facere ac voluerunt, vindicta. " Et comedent, et non replebuntur. „ Indesinenter mala experientur, aliis alia excipientibus. Utitur autem metaphora eorum qui comestione non satiati, rursus comedunt; ut dicat, fore ut hi etiam mala experiantur; et peractis prioribus, fore ut posteriora superveniant: nullumque finem impositum iri. Nam verbum " comedent „ heic item eo sensu dicit quo in superioribus " peccata populi mei comedent, id est experientur. Fornicati sunt, et non recte eis erit. „ Nam quia a me omnino recesserunt, nihil iis bene eveniet. " Quoniam Domi-

v. 11. τὸν κύριον ἐγκατέλιπον, τοῦ φυλάξαι πορνείαν· καὶ οἶνον καὶ μέθυσμα ἐδέξατο καρδία
λαοῦ μου. ,, Ἀμελήσαντες γὰρ τοῦ θείου παντελῶς, πολλὴν ἐπιμέλειαν τῆς περὶ τὰ εἴδωλα
ἐποιοῦντο σπουδῆς· ὥστε μεθύοντας αὐτοὺς τοῖς κακοῖς, μὴ δὲ αἴσθησιν τῆς παρανομίας λοιπὸν
ἔχειν τῆς ἰδίας.

v. 12. “ Ἐν συμβόλοις ἐπηρώτων, καὶ ἐν ῥάβδοις αὐτοῦ ἀπήγγελλον αὐτῷ. ,, Ἃ κατὰ τὸ ἑλ-
ληνικὸν ἔθος ἐποίουν λέγει, ὅτι οἱ μὲν ἐπηρώτων τοὺς δαίμονας, εἴτε τοὺς τούτων ἱερέας,
διὰ συμβόλων μανθάνειν βουλόμενοι, τί τῶν αὐτοῖς ἀναγκαίων, οἳ κατὰ τὸ εἰωθὸς αὐτοῖς
ῥάβδοις τισὶ κεχρημένοι μετὰ ἀπάτης τῶν ἐρωτήσεων τὴν ἀπόκρισιν ἐποιοῦντο. “ Πνεύματι
πορνείας ἐπλανήθησαν, καὶ ἐξεπόρνευσαν ἀπὸ τοῦ θεοῦ αὐτῶν. ,, Πορνικῇ χρησάμενοι γνώμῃ,
v. 13. πρὸς πλάνην εἶδον ἀποστάντες τοῦ θεοῦ παντελῶς. “ Ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐθυσία-
p. 31. ζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον ὑποκάτω δρυὸς καὶ λεύκης καὶ δένδρου συσκιάζοντος, ὅτι καλὸν
σκέπη. ,, Εἶτα ἐπὶ τὰ ὄρη τε καὶ τοὺς βουνοὺς ἀνέτρεχον, αὐτόθι θυσίας ἐπιτελοῦντες τοῖς
δαίμοσι· καὶ δένδρων τὰ μεγάλα τε καὶ σύσκια ἐκλεγόμενοι, αὐτόθι τὴν ἀπάτην ἐπλήρουν τὴν
οἰκείαν, μέγα τι καὶ σεμνὸν νομίζοντες εἶναι τὸ μέγεθος τῆς ἀπὸ τῶν δένδρων σκιᾶς· ὥστε καὶ
πρὸς τὴν ἀσέβειαν ἐπιτηδείως ἔχειν αὐτὰ νομίζειν. “ Διὰ τοῦτο πορνεύσουσιν αἱ θυγατέρες
v. 14. ὑμῶν, καὶ αἱ νύμφαι ὑμῶν μοιχεύσουσι· καὶ οὐ μὴ ἐπισκέψωμαι ἐπὶ τὰς νύμφας ὑμῶν ὅτ᾽
ἂν πορνεύσωσι, καὶ ἐπὶ τὰς νύμφας ὑμῶν ὅτ᾽ ἂν μοιχεύσωσιν· ὅτι καὶ αὐτοὶ μετὰ τῶν πορνῶν
συνεφέροντο, καὶ μετὰ τῶν τετελεσμένων ἔθυον· καὶ ὁ λαός ὁ (1) συνιὼν συνεπλέκετο μετὰ πόρνης. ,,
Ἀναλόγους δὴ τοῖς πλημμελήμασι τοῖς οἰκείοις δώσετε τὰς δίκας· ἐπειδ᾽ ἂν κατασχόν-
τες ὑμῶν οἱ πολέμιοι, εἰς τὰς προσηκούσας ὑμῖν θυγατέρας τε ἐξυβρίζωσι καὶ νύμφας·
ὧν γινομένων οὐδένα ποιήσομαι λόγον· ἐπείπερ δικαίως ὑπομένετε ταῦτα, συμφυρέντες

num dereliquerunt, ut fornicando inhaererent. Fornicationem, vinum et ebrietatem cor populi mei excepit. ,, Quippe Deo prorsus neglecto, multam circa idolorum diligentiam exprompserunt: adeo ut malis ebriati, ne sensum quidem iniquitatis suae habeant.

“ In auspiciis interrogabant, et in virgis suis annuntiabant ei. ,, More, inquit, ethnicorum agebant, qui daemones interrogabant, sive horum sacerdotes, ex auspiciis discere volentes quae ipsis opus erant: quorum erat consuetudo ut virgis quibusdam utentes, fraudulenter ad interrogata responderent. “ Spiritus fornicationis decepit eos, et fornicati sunt a Deo suo. ,, Fornicariam habentes mentem, ad errorem a Deo prorsus aversi declinaverunt. “ Super vertices montium sacrificabant, et super colles accendebant thymiama: subtus quercum et populum et umbrosam arborem, quia bonum erat umbraculum. ,, Deinde ad montes collesque currebant, ibique daemonibus sacrificia faciebant, magnasque et umbrosas arbores deligebant, ubi suas perversitates peragerent; magnum quid et sanctum putantes esse arborum amplitudinem ac densitatem, et suae impietati commodum existimantes. “ Ideo fornicabuntur filiae vestrae, et sponsae vestrae adulterae erunt. Et non visitabo super filias vestras cum fuerint fornicatae, et super sponsas vestras cum adulteraverint: quoniam et ipsi cum meretricibus conversabantur, et cum initiatis immolabant. Et populus intelligens adhaerebat meretrici. ,, Dignas delictis vestris poenas dabitis, cum vobis potiti hostes, filiabus vestris ac uxoribus stupra inferent, quorum ego factorum nullam geram sollicitudinem; quia merito haec patiemini, qui

(1) Cod. σοῦ, fortasse pro μοῦ. Vulgatus lat. legebat οὐ, *non*. Sed Theodorum nostrum legisse apparet ὁ, prout habet etiam codex nobilissimus vat. 1209.

τε τῇ πορνικῇ πλάνῃ, καὶ κοινωνίαν ποιησάμενοι πρὸς ἀλλήλους ἐπὶ τῷ καταλιπεῖν μὲν
ἐμὲ, προσέχειν δὲ τοῖς εἰδώλοις· ὥστε τελεσθῆναι μὲν πολλοὺς ἐξ ὑμῶν τὴν παρὰ τοῖς Ἕλλησι p. 35.
νενομισμένην μύησιν· θυσίας δ' ἐπ' ἐκείνοις ὡς ὑπὲρ μεγίστων τινῶν ἐπιτελεῖν ἀγαθῶν·
ἅπας τε συντόμως εἰπεῖν, ὁ λαὸς ὁ μάλιστα πάντων συνιέναι τὸ δέον ὀφείλων καὶ θεὸν
ἐπιγινώσκειν τὸν ἑαυτοῦ ποιητὴν, τὴν μετὰ τοιούτων εἵλετο κοινωνίαν οἳ τὴν μοχθηρὰν ταύτην
καὶ ἀκόλαστον ἐξετέλουν πορνείαν, θεοῦ μὲν ἀποστάντες, δαίμοσι δὲ προσανέχοντες θεραπείαν.

“ Σὺ δὲ Ἰσραὴλ μὴ ἀγνόει, καὶ Ἰούδα μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα, καὶ μὴ ἀναβαί- v. 15.
νετε εἰς τὸν οἶκον Ὤν, καὶ μὴ ὀμνύετε ζῶντα κύριον. ,, Ἀλλὰ γὰρ μὴ οὕτω πάντες χαλε-
πὴν νοσεῖτε τὴν ἄγνοιαν, ὥστε ἀνιέναι μὲν εἰς Γάλγαλα ἐπὶ θεραπείᾳ τοῦ αὐτόθι ἱδρυ-
μένου εἰδώλου, προσποιεῖσθαι δὲ τιμᾶν τὸν ἀΐδιον καὶ ὄντως ὄντα θεόν· δέον εἰδέναι, ὡς
συνιέναι ταῦτα ἀλλήλοις, τῶν ἀδυνάτων· πολλὴ δὲ διαφορὰ ἀϊδίου τε θεοῦ καὶ εἰδώλου τοῦ χθὲς
ὑπ' ἀνθρωπείων κατασκευασθέντος χειρῶν· καὶ ὡς τῷ γε τὸν ἀΐδιον ὁμολογοῦντι θεὸν
ἀφεστάναι προσῆκον εἴη πάντων πεπλασμένως τὴν ὀνομασίαν ἐπαγομένων ταύτην· οἷόν
πέρ ἐστι τὸ Ὤν εἴδωλον· οὗπερ εἰς τὸν οἶκον εἴσιτε τὴν οὐχ ἁρμοδίαν αὐτῷ προσάγοντες
θεραπείαν. “ Ὅτι ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ. ,, Δίκην γὰρ δαμά- v. 16.
λεως κινήσει τῆς φυσικῆς ἐπιθυμίας πρὸς ἀταξίαν νευσάσης, ἀπέστητε μὲν τῆς δουλείας τῆς p. 36.
ἐμῆς, ἀκολάστῳ δὲ γνώμῃ πρὸς τὴν τῶν εἰδώλων ἐνεύσατε θεραπείαν. “ Νῦν νεμήσει
αὐτοὺς κύριος ὡς ἀμνὸν ἐν εὐρυχώρῳ. ,, Διασκορπίσω τοίνυν αὐτοὺς τῇδε κἀκεῖσε περιά-
γων τῇ τῶν πολεμίων ἐφόδῳ, ὡς μηδὲν ἀμνοῦ διαλλάττειν ἐν μεγίστῃ χώρᾳ διατρέχοντος
τε καὶ πλανωμένου καὶ τὴν οἰκείαν ἐπιζητοῦντος μητέρα· τὸ γὰρ σκορπίσειν λέγει, ἀπὸ τῶν
διανεμόντων (1) τι ἀφειδῶς καὶ διασκορπιζόντων. “ Μέτοχος εἰδώλων Ἐφραίμ. ,, Τὴν πρὸς v. 17.

fornicario errore vos irretivistis, coniurantes simul, ut me derelicto ad idola accedatis; in tantum, ut multi ex vobis constitutas quoque apud ethnicos initiationes susceperint, et sacrificia his consueta tamquam pro grandi aliquo bono peragant. Atque ut summatim dicamus, universus populus, qui maxime omnium cordatus esse debuerat, et Deum ceu proprium creatorem agnoscere, illorum societatem praetulit, qui hanc improbam intemperantemque fornicationem patrabant, a Deo aversi, et daemonibus cultum exhibentes.

" Tu vero Israhel ne ignores, et Iuda ne pergatis in Galgala, neque in domum On ascendatis, et ne iuretis viventem Dominum. ,, Ne sic, inquam, omnes pessimo laboretis inscitiae morbo, ut in Galgala ad adorandum veniatis constitutum illic idolum; et simuletis honorare tamquam aeternum illum qui verus Deus non est. Cum scire oporteat, impossibile esse haec simul consistere: multa enim est differentia aeterni Dei ab idolo, quod heri manus hominum fabricaverunt: confitentique aeternum Deum prorsus esse abstinendum ab iis qui ficte hanc gerunt obtrusam appellationem: cuiusmodi est On idolum, cuius fanum aditis, haud convenientem ei cultum deferentes. " Quoniam sicut vacca asilo percussa, insanivit Israhel. ,, Vaccae instar naturalis cupidinis motu ad incontinentiam tendentis, a servitio meo discessistis, lascivaque mente ad idolorum cultum deflexistis. " Nunc pascet eos Dominus quasi agnum in latitudine. ,, Dispertiar itaque illos, hac et illac circumagens in hostium incursione, adeo ut ab agno non differant qui in spatiosa regione oberrat matrem suam requirens. Nam pascet, pro dispertietur, ait; capta metaphora ab iis qui profuse dispertiuntur aliquid atque dispergunt. " Par-

(1) Graece νέμω refertur ad διανέμω. Sed latine non ita se haberet *pascet* ad *dispertietur*.

τὰ εἴδωλα εἵλοντο κοινωνίαν· Ἐφραὶμ γὰρ πολλαχοῦ τε ἑτέρωθι κἀνταῦθα ἐκ μέρους τὸν
Ἰσραὴλ ὀνομάζει, ἐκ τῆς δυνατωτέρας φυλῆς ἐν ταῖς δέκα τὴν ὀνομασίαν τιθείς· ὡς τό,
υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις. " Ἔθηκαν ἑαυτοῖς σκάνδαλα. ,, Αὐτὸς
v. 18. ἐπενόησεν ἑαυτῷ τὰς ἐπὶ τὸ χεῖρον ἐκτροπάς· πῶς δὲ; τίνα τρόπον; " Ἡρέτισε χαναναίους. ,,
Τὴν ἐκείνων ζηλώσας ἀσέβειαν. " Πορνεύοντες ἐξεπόρνευσαν. ,, Ἐντεῦθεν παντελῶς
ἔνευσαν πρὸς τὸ χεῖρον. " Ἠγάπησεν ἀτιμίαν ἐκ φρυάγματος αὐτῆς. ,, Πολλῇ τῇ ἀπο-
p. 37. νοίᾳ χρησάμενοι, καὶ τῇ ὑπεροψίᾳ τῇ κατ' ἐμοῦ, τὴν τῶν εἰδώλων εἵλοντο θεραπείαν, ἣ
v. 19. πάσης αὐτοῖς ἀτιμίας πρόξενος ἔσται. " Συστροφὴ πνεύματος αὐτοὺς συνελεῖ ἐν ταῖς πτέρυξιν
αὐτῆς. ,, Ὡς γὰρ ἱπτάμενον τὸ ὄρνεον ταῖς πτέρυξι ταῖς οἰκείαις τὸ ἀέριον ἐλαῦνον πνεῦμα,
μετάρσιον αἴρεται τῇ πτήσει, οὕτως ὑπὸ τῆς ὀργῆς οὗτοι ληφθέντες τῆς ἐμῆς ὡσανεὶ μετέωροι
γεγονότες μετὰ πολλῆς ἀπαχθήσονται τῆς ὕβρεως εἰς αἰχμαλωσίαν. " Καὶ καταισχυνθήσον-
ται ἐκ τῶν θυσιαστηρίων αὐτῶν. " Ὥστε αὐτοὺς τότε αἴσθησιν λαβεῖν ὅτι ματαίαν καὶ ἐπι-
βλαβῆ τὴν περὶ τὰ θυσιαστήρια τῶν εἰδώλων εἶχον σπουδήν.

ΚΕΦ. Ε'.

v. 1. " Ἀκούσατε ταῦτα οἱ ἱερεῖς, καὶ προσέχετε οἶκος Ἰσραήλ, καὶ οἶκος τοῦ βασιλέως ἐνω-
τίζεσθε. ,, Δῆλον ὅτι πάλιν ἐνταῦθα ἐξ ἀποκαλύψεως ἑτέρας ἀρχὴν τῆς παρούσης διαλέ-
ξεως ποιεῖται, πρός τε τοὺς ἱερέας καὶ τὸν Ἰσραήλ, καὶ τοὺς τῆς βασιλικῆς οἰκίας ἅπαντας
λέγων. " Διότι πρὸς ὑμᾶς ἐστι τὸ κρίμα. ,, Ὑμᾶς γὰρ ἐλήλυθα ὑπὸ τὴν κρίσιν ποιησόμενος
τὴν ἐμήν, καὶ δίκας ὑπὲρ ὧν τετολμήκατε ληψόμενος παρ' ὑμῶν. " Ὅτι παγὶς ἐγενήθητε
v. 2. τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέ-
πηξαν. ,, Διαφόρους φησὶν ὑποβολὰς κατὰ τῶν προφητῶν ἐτεκτήνασθε τῶν ἐμῶν, δίκην τῶν τὰ

ticeps idolorum Ephraïm. ,, Scilicet cum idolis communicavit. Et saepe alibi et nunc etiam Ephraimum pro Israhele dicit, ex potentiore inter decem tribus nomen assumens, sicut illud: filii Ephraimi intendentes ac iaculantes arcubus. " Scandala sibi posuerunt. ,, Ipse sibi conversionem ad deteriora excogitavit. Quamobrem, vel quomodo? " Provocavit Chananaeos ,, illorum impietatem aemulatus. " Fornicantes fornicati sunt. ,, Exin in peius omnino ruerunt. " Dilexerunt ignominiam ob fastum eius. ,, Multa utentes insania et adversus me superbia, idolorum religionem amplexi sunt, quae omnimodam ipsis ignominiam asperget. " Turbo spiritûs quasi sibilus extollet eos in alis suis. ,, Sicut volucer, aëreum spiritum alis suis impellens, in sublime volando fertur; sic isti ab ira mea correpti, et quasi per aërem raptati, multa cum violentia in captivitatem abripientur. " Et probro adficientur ex altaribus suis. ,, Tunc demum intelligent, stulto se ac noxio circa idolorum altaria studio defunctos.

CAP. V.

" Audite hoc sacerdotes, et attendite domus Israhel, et domus regis auscultate. ,, Manifestum est, hinc quoque rursus, ex alia revelatione initium sequentis dictionis facere, sacerdotes simul, et Israhelem, et regiae familiae cunctos alloquens. " Quia vobis iudicium est. ,, Ad vos enim veni ut iudicium meum exerceam, et poenas de ausibus vestris lata sententia sumam. " Quia laqueus factis estis in specula, et quasi rete in Itabyrio extensum, quod venatores praedae causa fixerunt. ,, Varias, inquit, prophetis moliti estis insidias, et venatorum more qui rete ad capiendam

δίκτυα ἁπλούντων ἐπὶ θήραν τῶν ἀγρευομένων, διαφόροις αὐτοὺς περιβάλλειν ἐσπουδακότες κακοῖς· σκοπιὰν γὰρ, τὸν προφητῶν τὸν σύλλογον λέγει· ὡς παρὰ τῷ Ἐζεκιὴλ τὸ, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ *. “ Ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμι. ,, Ἀλλ' ἐπειδὴ δυσχεραί- * Ezech. III. 17.
νοντες ἐφ' οἷς ἐμήνυον ὑμῖν ἐκεῖνοι τὰ ἐσόμενα τοιαῦτα κατ' αὐτῶν ἐμηχανᾶσθε, αὐτὸς ἐπάξω τὴν τιμωρίαν, παιδεύων ὑμᾶς ἐφ' οἷς ἡμαρτήκατε, ἣν καὶ ἄκοντες ὑποδέξεσθε
πάντως. “ Ἐγὼ ἔγνων τὸν Ἐφραίμ, καὶ Ἰσραὴλ οὐκ ἄπεστιν ἀπ' ἐμοῦ. ,, Καὶ γὰρ ἐπίσταμαι v. 3.
τὰ γινόμενα παρ' αὐτῶν ἀκριβῶς, ἅτε πάντοτε αὐτοῖς παρών. “ Διότι νῦν ἐξεπόρνευσεν Ἐφραίμ, ἐμιάνθη Ἰσραήλ. ,, Οἶδα τοίνυν αὐτοὺς τέλεον ἀποστάντας ἐμοῦ, καὶ ἐν τῇ τῶν εἰ-
δώλων μιανθέντας λατρείᾳ. “ Οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν v. 4.
θεὸν αὐτῶν, ὅτι πνεῦμα πορνείας ἐστὶν ἐν αὐτοῖς· τὸν δὲ κύριον οὐκ ἐπέγνωσαν. ,, Οὐδὲ γὰρ μεταβαλλόμενοι γνώμην ἔσχον τοῦ νεῦσαι πρὸς ἐμὲ, ἐπειδὴ παντελῶς πρὸς τὸ χεῖρον ἐξώκειλαν, οὐδένα λόγον ἐθέλοντες ἐμοῦ ποιεῖσθαι. “ Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ. ,, Ἀλλὰ γὰρ ταύτης δὲ τῆς παροινίας καὶ τῆς ὕβρεως ἣν ἐπαροίνουν ἀποστάντες ἐμοῦ, καὶ προσανέχοντες τοῖς εἰδώλοις, ἀξίαν δώσουσι δίκην, αὐτοὶ θεαταὶ τῆς οἰ-
κείας γινόμενοι ταπεινώσεως, εἰς ἣν διὰ τῆς τιμωρίας καταστήσονται τῆς ἐμῆς. “ Καὶ Ἰσραὴλ v. 5.
καὶ Ἐφραὶμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν· καὶ ἀσθενήσει καὶ Ἰούδας μετ' αὐτῶν. ,, p. 39.
Ἅπαντες κοινῇ πλημμελοῦντες, κοινῇ καὶ τὴν τιμωρίαν ὑπομένουσιν, ὑπὲρ ὧν τὴν γνῶσιν
ἠδίκουν τὴν ἐμήν. Οὕτω καὶ ὁ μακάριος λέγει Παῦλος τὸ *, τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ * Rom. I. 18.
κατεχόντων· ἵνα εἴπῃ τῶν τὴν ἀλήθειαν τῇ πρὸς τὸ χεῖρον ἀδικούντων ἐκτροπῇ.

“ Μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ ἐκζητῆσαι τὸν κύριον, καὶ οὐ μὴ εὕρωσιν v. 6.
αὐτόν· ἐκκέκλικε γὰρ ἀπ' αὐτῶν, ὅτι τὸν κύριον ἐγκατέλιπον. ,, Κἂν θυσίας δὲ προσά- v. 7.
γωσι, τούτοις ἐξιλεοῦσθαι νομίζοντες τὸ θεῖον, οὐδὲν ἐντεῦθεν ἕξουσι πλέον, ἐκτετραμμένοι

praedam extendunt, diversis illos implicare malis studuistis. Nam speculam appellat prophetarum coetum; veluti apud Ezechielem: speculatorem dedi te domui Israhelis. “ Ego vero eruditor vester sum. ,, Sed quia vos moleste ferentes quae illi vobis eventura canebant, talia adversus eos machinati estis, equidem peccatis vestris poenam imponam, quam inviti licet sine dubio patiemini. “ Ego novi Ephraimum, et Israhel a me non abest. ,, Opera enim illorum probe scio, utpote qui numquam illis non adsum. “ Quia nunc fornicatus est Ephraimus, contaminatus est Israhel. ,, Vidi illos prorsus a me recessisse, et idolorum religione se polluisse. “ Non dederunt cogitationes suas ut revertantur ad me, quia spiritus fornicationis ipsis inest, et Dominum non cognoverunt. ,, Neque resipiscentibus mens fuit ad me revertendi, quia in vitium toto homine incurrerant, nullum mei respectum habere volentes. “ Et humiliabitur arrogantia Israhelis in faciem eius. ,, Atqui vesaniae huius atque arrogantiae, qua adversus me insanierunt apostasia sua a me, et accessu ad idola, dignas luent poenas, cum suam depressionem spectabunt, in quam me ulciscente devenient. “ Et Israhel atque Ephraimus infirmabuntur in iniquitatibus suis. Iudas pariter cum ipsis infirmabitur. ,, Cuncti communiter peccantes, communiter quoque poenam perferent, propterea quod adversus scientiam meam iniurii fuerunt. Sic etiam beatus ait Paulus: eorum, qui veritatem in iniustitia detinent; nempe eorum, qui veritati faciunt iniuriam sua ad vitium perversione.

“ Cum ovibus suis ac vitulis pergent ad quaerendum Dominum, et non invenient eum; etenim ab ipsis declinavit, postquam Dominum dereliquerunt. ,, Etiamsi hostias adduxerint, his putantes propitium sibi numen reddere, nihil inde

πάντως αὐτοὺς τοῦ θεοῦ· ὑπὲρ ὧν ἀφέντες αὐτὸν, παντελῶς τοῖς εἰδώλοις προσεῖχον. " Ὅτι
τέκνα ἀλλότρια ἐγέννησαν ἑαυτοῖς. ,, Καὶ γὰρ καὶ τοῖς ἔθνεσι παρὰ τὸ διατεταγμένον ἐπι-
μιγέντες, ἐξ ἀλλοφύλων ἐτεκνώσαντο ἐπιμιξίας· τοῦτο γὰρ αὐτοῖς καὶ ὁ μακάριος Δαυὶδ
* Ps. CV. 35. ἐγκαλεῖ λέγων· * " καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι· ,, κἀνταῦθα τοίνυν τὴν παντελῆ πρὸς
τοὺς ἀλλοτρίους ἐπιμιξίαν δηλοῖ, τὸ τέκνα αὐτοῖς ἐξ αὐτῶν γενέσθαι. " Νῦν καταφάγεται
αὐτοὺς ἡ ἐρυσίβη καὶ τοὺς κλήρους αὐτῶν. ,, Ἵνα εἴπῃ ὅτι δίκην τε ἐρυσίβης αὐτούς τε καὶ τὰ
v. 8. προσόντα αὐτοῖς ἅπαντα παραδώσω φθορᾷ. " Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνούς·
ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ὤν. ,, Ἐν ἅπασι δέ φησι τοῖς τόποις ἐν
p. 40. οἷς τὴν ἀσέβειαν εἰργάζεσθε τὴν οἰκείαν, ἀφέντες τὰς συνήθεις σπουδὰς, βοήσατε μᾶλλον,
v. 9. τὰ περὶ ὑμᾶς ὑπὲρ τούτων ἐσόμενα μηνύοντες κακά· ποῖα ταῦτα; " Ἐξέστη Βενιαμὶν,
Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένετο ἐν ἡμέραις ἐλέγχου. ,, Ἀπὸ μὲν γὰρ τοῦ Βενιαμὶν τὴν τῆς Ἰου-
δαίας λέγει βασιλείαν· ἐκ δὲ τοῦ Ἐφραὶμ τὰς δέκα μηνύει φυλάς· οὐ τοῦτο δὲ λέγει, ὅτι ὁ
μὲν ἐξέστη, ὁ δὲ εἰς ἀφανισμὸν ἐγένετο· ἀλλ' ἵνα κοινῇ ἐπ' ἀμφοτέρων εἴπῃ τὸ συναμφό-
τερον, ὅτι ἐκστήσονται καὶ εἰς ἀφανισμὸν ἔσονται· " καὶ ἐν ἡμέραις τοῦ ἐλέγχου ,, λέγει δὲ ἐν τῇ
ἐφόδῳ τῶν πολεμίων, ἣν ἐπάξει τὰς παρανομίας αὐτῶν ἐλέγχων προδήλως· ἐκστήσονται
οὖν, φησιν, ἐκπληττόμενοι τῆς περὶ αὐτοὺς μεταβολῆς τὸ ἀθρόον, ὑφ' ἧς ἀφανισθήσονται παν-
τελῶς· ἐμοῦ τούς τε πολεμίους αὐτοῖς ἐπάγοντος, καὶ τὴν ἐπιτελουμένην παρ' αὐτοῖς ἐλέγ-
χοντος παρανομίαν· τὸ δὲ τὸ κοινὸν κατὰ διαίρεσιν λέγειν, εὕροι ἄν τις συνεχὲς καὶ παρὰ
* Ps. LXXXVII. 2. τῷ μακαρίῳ Δαυίδ· ὡς ὅταν λέγῃ· * ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου· οὐκ ἐν
ἡμέρᾳ μὲν βοᾶν λέγων, ἐν νυκτὶ δὲ ἐναντίον φθέγγεσθαι τοῦ θεοῦ· ἀλλ' ἵνα εἴπῃ ὅτι ἡμέρας
καὶ νυκτὸς ἐκέκραξα ἐναντίον σου· κατὰ διαίρεσιν τοίνυν εἶπε τὸ κοινόν· οὕτω κἀνταῦθα λέγει·
τὸ ἐξέστη Βενιαμὶν, Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένετο· ἵνα εἴπῃ ὅτι κατὰ κοινοῦ ἐξέστησάν τε,

proficient, Deo prorsus illos aversante; quandoquidem eo dimisso, idolis totos se dediderunt. " Quia filios alienos sibi genuerunt. ,, Nam et cum gentibus praeter praescriptum coniugia miscentes, ex alienigenarum copula liberos susceperunt. Ergo hinc etiam omnimodam illorum cum alienigenis commixtionem ostendit, quia ex his etiam liberi ipsis nati sint. Hoc enim illis improperat etiam beatus David dicens: " et commixti sunt inter gentes. ,, " Nunc devorabit eos rubigo, nec non hereditates ipsorum. ,, Dicit nimirum se tamquam rubigini traditurum eos exitio cum patrimonio universo. " Clangite bucina super colles, sonate super excelsa, praedicate in domo On. ,, Cunctis inquit locis, ubi impietatem vestram patrastis, omissis consuetis ritibus, clamate potius, quô vobis eventura mala portendatis. Quaenam haec? " Obstupuit Beniamin, Ephraim in desolatione fuit, in diebus correptionis. ,, Beniamini nomine, Iudaeae regnum dicit; Ephraimo autem, decem denotat tribus. Neque vero ait illum obstupuisse, hunc autem desolatum; sed de utroque communiter utrumque dicit, nempe quod obstupescent et desolabuntur. " In diebus correptionis ,, id est in hostium incursu, quos ipse adducet, ut populi sui perversitatem palam castiget. Obstupescent ergo, ait, mirantes subitam rerum suarum catastrophem, in qua funditus destruentur; me hostes eis immittente, et peractam ab ipsis transgressionem puniente. Iam rem communem diaeresi dici, passim comperire est etiam apud beatum Davidem, velut cum ait: die clamavi, et nocte coram te; non ait se interdiu clamare, et noctu coram Deo loqui; sed ait potius, interdiu noctuque clamavi coram te. Ergo per figuram diaereseos rem communem dixit. Sic etiam hoc loco ait: obstupuit Beniamin, Ephraim in desolatione fuit; ut communi

καὶ εἰς ἀφανισμὸν γεγόνασιν. " Ἐν ταῖς φυλαῖς Ἰσραὴλ ἔδειξα πιστά. „ Ταῦτα δὲ ἐπά- p. 41.
γων αὐτοῖς, ἐλέγξω τῶν ἀπειλῶν τῶν ἐμῶν τὸ ἀληθὲς καὶ βέβαιον, αἷς διὰ τῶν προφη-
τῶν γινομέναις ἠπίστουν· αἰσθήσονται δὲ ἐκ τῆς πείρας ὅτι πάντα ἦν πιστά τε καὶ ἀψευδῆ
τὰ λεγόμενα.

" Ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια. „ Ὥσπερ γὰρ οἱ τὰ σημεῖα τῆς τῶν v. 10.
χωρῶν διαιρέσεως ἀφαιροῦντες λυμαίνονται τοῖς τῆς δεσποτείας δικαίοις, οὕτως ὑμεῖς φησὶ
πολλῆς οὔσης διαιρέσεως μεταξὺ ἐμοῦ τε καὶ τῶν εἰδώλων, τὴν προσήκειν μὲν ἐμοὶ τὴν θεοῦ
τιμήν τε καὶ ὀνομασίαν, ἐκείνοις δὲ οὐδ' ὅλως, ἄρραγῆ δίκαια πολλοῖς τε καὶ ποικίλοις διη-
ρημένα τρόποις, τό γε ἐφ' ὑμῖν διελύσατε, τὴν ἐμοὶ πρέπουσαν ὀνομασίαν τε καὶ τιμὴν
περιάψαντες ἐκείνοις. " Ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου. „ Φοβερᾷ γ' οὖν τινὶ
χρήσομαι τῇ κατ' αὐτῶν ὁρμῇ τετολμηκότων τοιαῦτα, δίκην ὕδατος ἐπικλύσας αὐτοὺς τῷ
πλήθει τῶν πολεμίων. " Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησε τὸ κρίμα. „ v. 11.
Οὐδένα λόγον εἶχον τοῦ δικαίου· ἕκαστος δὲ καθὼς ἴσχυεν ἠδίκει τὸν ἕτερον, πεπατηκότες τὸ
δίκαιον, καὶ μηδένα τούτου ποιούμενοι λόγον· ὡς καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις· * " κατελεί- * Luc. XI. 42.
πετε τὴν ἀγάπην καὶ τὴν κρίσιν καὶ τὸν ἔλεον (1). „ Ἵνα εἴπῃ ὅτι λόγον οὐδένα ἔχετε τῆς ἀγάπης p. 42.
καὶ τοῦ δικαίου καὶ τῆς φιλανθρωπίας· καὶ ἀντίδικον δὲ, τὸν ἀδικούμενον ὁ κύριος φαίνεται καλῶν·
ὡς τὸ * " ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ· „ τοῖς ἀδικοῦσι παραινῶν πάσῃ δυνάμει τοὺς * Matth. V. 25.
ἀδικουμένους ὑπ' αὐτῶν θεραπεύειν. " Ὅτι ἤρξατο πορεύεσθαι ὀπίσω τῶν ματαίων. „ Ταῦτα
δὲ διεπράττοντο ἐξότε περὶ τὴν τῶν εἰδώλων προσανέχειν εἵλοντο θεραπείαν, ἅτε μηδένα τῶν
νόμων τῶν ἐμῶν καὶ τοῦ προσήκοντος ἔτι ποιούμενοι λόγον· " Καὶ ἐγὼ ὡς ταραχὴ τῷ Ἐφραὶμ, v. 12.
καὶ ὡς κέντρον τῷ οἴκῳ Ἰούδα. „ Ἐν πολλῇ ταραχῇ διὰ τῶν πολεμίων αὐτοὺς καταστήσω,

ambobus dictione dicat, obstupuerunt et desolati sunt. " In tribubus Israhelis ostendi fidelia. „ Haec nimirum illis impingens, minarum mearum veritatem firmitatemque comprobabo, quibus a prophetarum intentatis isti non crediderunt: sentient autem experimento edocti fidelia omnia ac veracia fuisse quae dicta fuerant.

" Facti sunt principes Iudae quasi terminos transferentes. „ Quemadmodum illi, qui divisionum in campis signa auferunt, dominii iuri nocent; sic vos, inquit, quum tanta esset inter me atque idola intercapedo, quatenus mihi debetur honor et nomen divinum, illis vero nequaquam; firma iura, multisque ac variis distincta modis, vos quidem pro virili parte dissolvistis, nomen meum honoremque idolis attribuendo. " Super eos effundam quasi aquam impetum meum. „ Terribili quodam impetu ferar in eos, qui talia sunt ausi, aquae instar eos inundans multitudine hostium. " Oppressit Ephraimus adversarium suum, conculcavit iudicium. „ Nullam iustitiae rationem habuerunt: unusquisque pro viribus vim iniustam alteri intulit, ius conculcantes ac pro nihilo habentes. Sicut Dominus in evangeliis: " dereliquistis caritatem et iudicium ac misericordiam; „ pro eo ac dicat: nihil pensi habetis caritatem, iustitiam, ac benignitatem. Nam et adversarium videtur dicere Dominus pro eo qui laesus fuit; velut: " esto benivolus adversario tuo celeriter: „ monet scilicet offensores ut omnino conentur abs se laesos placare. " Quia coepit abire post vana. „ Ita quippe se gerebant, ex quo idolorum superstitioni se addixerunt, omissa legum mearum observantia, omnique officio. " Et ego quasi conturbatio Ephraimo, et

(1) Animadverte praeclaram lectionem ἔλεον, cuius vestigia alibi non inveniebam, ne in vaticano quidem praenobili 1209, nec in vulgato. Praeclaram dixi immo pretiosam lectionem, quia *misericordia* argumentum fructusque est *caritatis*, quae ibi praecedit.

ὥσπερ τινὶ βαρεῖ κέντρῳ τῷ ἐκεῖθεν ὀδύναις πλήττων αὐτούς· εὔδηλον γὰρ ὅτι οὐχὶ τὸ μὲν τῷ Ἐφραὶμ, τὸ δὲ τῷ Ἰούδᾳ λέγει· κατὰ κοινοῦ δὲ ἀμφοτέροις τήν τε ταραχὴν ἐποίησεν καὶ τὸ κέντρον φησὶ, καθὼς καὶ ἐν τοῖς ἀνωτέροις ἐδείξαμεν.

v. 13. “ Καὶ εἶδεν Ἐφραὶμ τὴν νόσον αὐτοῦ, καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ· καὶ ἐπορεύθη Ἐφραὶμ
πρὸς Ἀσσυρίους, καὶ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα Ἰαρείμ· καὶ αὐτὸς οὐκ ἠδυνήθη ῥύ-
σασθαι ὑμᾶς. „ Τότε δὴ τῶν οἰκείων αἰσθήσονται κακῶν· τοῦτο γὰρ λέγει νόσον καὶ ὀδύνην· ὅτ'
ἂν ἀπάγηται μὲν αἰχμάλωτος εἰς Ἀσσυρίους ὁ Ἐφραὶμ, ἀποστέλλων δὲ πρέσβεις ἐπὶ
p. 43. τὸν τῶν Αἰγυπτίων βασιλέα, μὴ δὲ μίαν ἐκεῖθεν κομίζηται βοήθειαν. “ Καὶ οὐ μὴ διαπαύσῃ
v. 14. ἐξ ὑμῶν ὀδύνη· διότι ἐγώ εἰμι ὡς πάνθηρ τῷ Ἐφραὶμ, καὶ ὡς λέων ἐν τῷ οἴκῳ Ἰούδα·
καὶ ἐγὼ ἁρπῶμαι καὶ πορεύσομαι καὶ λήψομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. „ Ἐν ἀπαύστοις
μενεῖτε κακοῖς, ἐπειδὴ ὡς ἂν ἢ πάνθηρ τε καὶ λέων ὑμῖν ἔσομαι, μετὰ πολλῆς ὑμᾶς τῆς
ὀξύτητος ἁρπάζων τε καὶ ἀπάγων διὰ τῆς τῶν πολεμίων ἐφόδου· οὐδενὸς ἀπαλλάττειν ὑμᾶς
v. 15. τῶν ἐπικειμένων κακῶν οἵου τε ὄντος. “ Πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ
ἀφανισθῶσι. „ Ἀκολούθως τῇ εἰκόνι τῇ προκειμένῃ καὶ τοῦτο ἐπήγαγεν· ἐπειδὴ τῶν τοιούτων θηρίων ἴδιόν ἐστι μετὰ ὀξύτητος μὲν ἁρπάζειν τε καὶ ἀφαιρεῖν τὸ προσπίπτον, ἀπιέναι δὲ ἐπὶ τὴν μάνδραν τὴν οἰκείαν, εἶτα αὐτόθι κατεσθίειν τε καὶ καταναλίσκειν τὸ ληφθέν· πρὸς ἓν τὸ ὡς πάνθηρ καὶ λέων, ἀπέδωκε καὶ τοῦτο· ἀντὶ τοῦ, ἁρπάσας ὑμᾶς διὰ τῶν πολεμίων, καὶ αἰχμαλώτους καταστήσας, κατ' ἐμαυτὸν ἔσομαι, οὐκ ἐπιστρεφόμενος πρὸς τὰ γινόμενα, οὐδέ τινα νέμων ὑμῖν βοήθειαν, ἄχρι ἂν ὑπὸ τῶν κατεχόντων παντελῆ τὴν ἀπώλειαν ὑπομείνητε. “ Καὶ ἐπιστρέψουσι καὶ ζητήσουσι τὸ πρόσωπόν μου. „ Τότε γὰρ δὴ κἀκεῖνοι μεταβαλόμενοι τῆς βοηθείας δεήσονται τῆς ἐμῆς.

quasi stimulus Iudae. ,, In grandi eos hostium causa perturbatione constituam, belli doloribus quasi gravi stimulo illos compungens. Porro satis constat, quod haud alterum de Ephraimo dicat, alterum de Iuda, sed communem ambobus minatur conturbationem ac stimulum, ut iam in superioribus demonstravimus.

“ Et vidit Ephraimus languorem suum, et Iudas dolorem suum. Et abiit Ephraimus ad Assyrios, misitque legatos ad regem Iarim, et ipse non potuit sanare vos. ,, Tunc enimvero mala sua persentient: haec enim appellat languorem atque dolorem; cum videlicet captivus abducetur ad Assyrios Ephraimus: qui ad Aegyptiorum quidem regem legatos miserat, sed nullam inde opem impetraverat. “ Et non desinet vester dolor; quoniam ego quasi panthera Ephraimo, et quasi leo domui Iudae: ego rapiam et vadam et tollam, nec qui eruat erit. ,, In continuis perseverabitis malis; etenim tamquam panthera leoque vobis ero, multa vos cum celeritate rapiens et abducens per hostium incursionem; quin vos aliquis incumbentibus malis possit subtrahere. “ Ibo et revertar ad locum meum, donec dispereant. ,, Consentaneum propositae similitudini hoc quoque dicit: quandoquidem ferarum huiusmodi hic mos est, ut cum velocitate rapiant, et quod occurrerit auferant; mox ad speluncam suam abeant, ibique devorent praedam atque consumant. Ergo ad pantheram et leonem haec quoque verba retulit; pro eo ut diceret: postquam vos hostium manu praedatus fuero, et captivos fecero, mecum ipse habitabo, neque ad gestam rem respiciam, nulloque modo vobis opitulabor, donec ab oppressoribus vestris supremum exitium patiamini. “ Tunc demum convertentur, et faciem meam requirent. ,, Tunc sane et illi resipiscentes opem meam implorabunt.

ΚΕΦ. ϛ'.

“ Ἐν θλίψει αὐτῶν προσορθριοῦσι πρός με λέγοντες· πορευθῶμεν καὶ ἐπιστρέψωμεν v. 1.
πρὸς τὸν κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς πέπαικεν καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσεται·
ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐναντίον
αὐτοῦ, καὶ γνωσόμεθα. ,, Ὑπὸ γὰρ τῶν ἐπικειμένων αὐτοῖς θλίψεων μετὰ πολλῆς ὁρμήσουσιν v. 2.
ἐπ' ἐμὲ τοῦ ὀξύτητος· σφόδρα γε θαῤῥοῦντες ὅτι πατάξας αὐτοὺς καὶ ἰάσομαι πάντως, θε- v. 3.
ραπείαν τε ἐπάξω τοῖς συμβεβηκόσιν αὐτοῖς κατάλληλον τραύμασι, μετὰ πολλῆς τῆς ὀξύ-
τητος καὶ τῆς εὐμαρείας εἰς διόρθωσιν ἄγων παντελῆ τὰ κατ' αὐτούς· τοῦτο γὰρ λέγει τὸ
ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα· οὕτως γὰρ ἡμᾶς φησὶ
συντόμως ἰάσεται, ὥστε ἐν δύο καὶ τρισὶν ἡμέραις τὸ μήκιστον, εἰς τὴν παλαιὰν ἡμᾶς ἀπο-
καστῆναι πάλιν εὐπραγίαν· τὸ δὲ καὶ γνωσόμεθα, ἀντὶ τοῦ ἐν ἀπολαύσει τῶν κρειττόνων ἐσό-
μεθα· ὡς τὸ *, ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, ἀντὶ τοῦ ἐν τῷ ζῆν με κατέστησας. “ Διώξομεν * Ps. XV. 11.
τοῦ γνῶναι τὸν κύριον. ,, Μετὰ σπουδῆς αὐτοῦ τῆς γνώσεως ἐπιμελησόμεθα. “ Ὡς ὄρθρον ἕτοι-
μον εὑρήσομεν αὐτόν. ,, Τευξόμεθα γὰρ αὐτοῦ τῆς βοηθείας δίκην ὄρθρου, ὡς ἂν ἐκ σκότους
εἰς φῶς μεταβαλόντα τὰ ἡμέτερα. “ Καὶ ἥξει ἡμῖν ὡς ὑετὸς πρώϊμος τῇ γῇ. ,, Ἄφθο-
νον παρέξει τῶν ἀγαθῶν τὴν χορηγίαν, δίκην τῶν ἐκ γῆς ἀναδιδομένων καρπῶν, ὅτ' ἂν κατὰ
πάντα καιρὸν ἐπιτηδείου τυγχάνῃ τοῦ ὑετοῦ.

“ Τί σοι ποιήσω Ἐφραίμ; τί σοι ποιήσω Ἰούδα; τὸ δὲ ἔλεος ὑμῶν ὡς νεφέλη πρωϊνή, p. 45. v. 4.
καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη. ,, Ἀρχὴ τίς ἑτέρα καὶ αὕτη διαλέξεως, ἣν πρὸς τὸν λαὸν
ὁ προφήτης ἐποιήσατο, ἐξ ἧς ἐδέξατο ἀποκαλύψεως, τὴν ἀφορμὴν τοῦ λόγου λαβών· τί δὲ
προσῆκεν ὑμῖν φησὶ παρ' ἐμοῦ γενέσθαι, οὕτω παρανομεῖν ἐσπουδακόσιν; ἐγὼ μὲν γὰρ ἐλεεῖν

CAP. VI.

“ In tribulatione sua mane vigilabunt ad me dicentes: revertamur ad dominum Deum nostrum; quia ipse percussit, et sanabit nos; vulneravit, et medebitur nobis: sanos nos praestabit post biduum, tertia die resurgemus, vivemusque coram illo, et sciemus. ,, Propter incumbentes ipsis tribulationes multa cum celeritate ad me current; magnopere confidentes, fore ut qui eos percusserim, pariter omnino sanem, et acceptis convenientem vulneribus medicinam faciam, cito admodum et expedite res eorum prosperitati restituens. Hoc enim denotant verba: sanabit nos post biduum, et tertia die resurgemus. Tam brevi, inquit, nos sanabit, ut ad summum biduo vel triduo in antiquam nos reponat valetudinem. Dictio vero “ et sciemus ,, ponitur pro, meliore conditione erimus. Veluti illud: “ notas mihi fecisti vias vitae ,, id est in vita me constituisti. “ Persequamur, ut cognoscamus Dominum. ,, Studiose scientiam eius conquiramus. “ Quasi paratum diluculum inveniemus eum. ,, Adiutorium eius nanciscemur quasi diluculum, quasi nimirum e tenebris res nostrae in lucem transferantur. “ Venietque ad nos quasi imber telluri matutinus aut serotinus. ,, Uberem praebebit bonorum largitionem, veluti de terra fructus proveniunt, quae omni tempore idoneum imbrem obtinuerit.

“ Quid faciam tibi, Ephraime? quid faciam tibi, Iuda? Misericordia vestra quasi nubes matutina, et quasi ros mane pertransiens. ,, Hoc quoque alterum adlocutionis initium est, quam ad populum fecit propheta, ex accepta revelatione occasionem dicendi sumens. Quid oportuit, inquit, a me vobis fieri, qui tam stu-

ὑμᾶς θέλω· τὰ δὲ πραττόμενα παρ' ὑμῶν οὐκ ἐᾷ γίγνεσθαι τοῦτο, τὴν τιμωρίαν ἀναγκαίως ἕλκοντα ἐφ' ὑμᾶς· κἂν εἰ δὲ (1) ἐλεεῖν ὑμᾶς ἐβουλόμην, ἀνάγκη ταύτην ἀτελῆ μένειν ἐφ' ὑμῖν τὴν γνώμην, ἀφ' ὧν διαπράττεσθε ἀφανῆ γιγνομένην πάντως· ὡς ἂν εἰ νεφέλη τις
v. 5. ἢ δρόσος ἕωθεν πρὸς ὀλίγον φανέντα, παραχρῆμα διαλυθείη. " Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου. ,, Καί τοι γε, φησὶν, ἐγὼ καὶ τοῖς προφήταις τοῖς ἐμοῖς, οὓς ὑπὲρ τῆς ὑμετέρας ἀπέστελλον χρείας, θανάτου πρόξενος ἐγιγνόμην· ἐπειδὴ ἐγὼ μὲν αὐτοὺς ὑπομιμνήσκειν ὑμᾶς περὶ τῶν δεόντων ἐκέλευον· ἐκεῖνοι δὲ πειθόμενοι μὲν ἦσαν πρὸς ὑμᾶς· αὐτοὶ δὲ οὔτε τῶν λεγομένων οὔτε τοῦ πέμποντος ἐμοῦ τινὰ ἔχοντες αἰδῶ, ποικίλοις αὐτοὺς περιεβάλετε θανάτοις· τὸ οὖν ἀπεθέρισα καὶ ἀπέ-
p. 46. κτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου, ἀντὶ τοῦ αἴτιος αὐτοῖς δι' ὧν ἐπέταττον ποιεῖν ἐγινόμην τούτου· οὐ γὰρ τοῦτο λέγει ὅτι αὐτὸς διὰ τῆς οἰκείας φωνῆς τοιαῦτα διετίθει τοὺς προφήτας, ἀλλ' ἵνα εἴπῃ ὅτι δι' ὧν ἐπέταττον αὐτοῖς πρὸς ὑμᾶς παραγίνεσθαι, μικροῦ γε
* Ps. XLIII. 19. τοῦτο αὐτὸς εἰργαζόμην· οἷόν ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ *, " ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου· ,, οὐχ ὅτι αὐτὸς ἐξέκλινεν, ἀλλὰ τῷ συγχωρῆσαι πρὸς τοσοῦτον πεῖραν αὐτοὺς ἐλθεῖν κακῶν, αὐτῷ προσλογιζόμενος τοῦ γιγνομένου τὴν αἰτίαν. " Καὶ τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται. ,, Ἀλλ' οὐ γὰρ ἀνεκδίκητον ταύτην ὑμῶν ἐάσω τὴν παρανομίαν· λήψομαι δὲ δίκας παρ' ὑμῶν· ὥστε ἐξ ὧν ὑπομένειν μέλλετε κακῶν, φωτὸς ἐνδηλότερον ἅπασι γενέσθαι, ὅτι τῇ εἰς τοὺς προφήτας γεγενημένῃ παρ' ὑμῶν παρανομίᾳ κείνων, τοῖς
v. 6. τοσούτοις ὑμᾶς περιβέβληκα κακοῖς· καὶ δεικνὺς ὅτι οὐκ ἀλόγως αὐτὸ διαπράττεται. " Διότι ἔλεον θέλω ἢ θυσίαν, καὶ ἐπίγνωσιν θεοῦ ἢ ὁλοκαύτωμα. ,, Ἐγὼ μὲν γὰρ ὡς καὶ θυσιῶν καὶ ὁλοκαυτωμάτων προστιθεὶς τὸ εὐτελὲς ὑμῖν ποιῆσαι, καὶ πρὸς ἐπίγνωσιν ἀγαγεῖν τὴν

diose peccastis? Equidem vestri misereri vellem, sed facinora vestra non sinunt, quae necessariam poenam vobis attrahunt: etiamsi enim misericorditer vobiscum agere cogitem, carere hanc effectu voluntatem meam oportet, quia facta vestra frustraneam prorsus efficiunt. Veluti siquae nebula aut ros mane brevi appareat, statim dissolvitur. " Propterea succidi prophetas vestros, et occidi eos verbo oris mei. ,, Profecto ego, inquit, etiam prophetis meis, quos utilitatis vestrae causa mittebam, necis ministrator fui: siquidem ego illos admonere vos de officio vestro mandabam; et illi quidem vos adhortabantur; sed vos contra, nullam sive dicentium sive mei mittentis reverentiam habentes, variis eos mortibus adfecistis. Itaque vocabula succidi et occidi eos verbo oris mei, ponuntur pro, causa ego his fui rei huiusmodi propter impositum ipsis mandatum. Non ergo ait, se voce propria sic interfecisse prophetas, sed quia propter demandatum iis apud vos officium, ipse propemodum neces illas exsequutus sum. Velut etiam apud beatum Davidem: " declinasti semitas nostras a via tua: ,, non quod ipse semitas declinaverit; sed quia permisit in tantum illos devenire malorum, ideo sibi rei causam quodammodo attribuit. " Et iudicium meum quasi lux egredietur. ,, Atqui non impunem praevaricationem hanc vestram esse sinam; nam poenas a vobis reposcam; ita ut ex iis quae patiemini malis, luce clarius cunctis fiat, me vestrum adversus prophetas crimen ulciscentem, tantis vos malis implicuisse. Ceteroqui ut ostendat se non absque ratione id agere, " quia misericordiam inquit volo et non sacrificium, et scientiam Dei plus quam holocausta. ,, Etenim ego ceu si vellem sacrificiorum quoque et holocaustorum vilita-

(1) Cod. οὐδὲ, quod visum est corrigendum; quamquam plerumque codex est emendatissimus, firmaque et optima manu scriptus.

ἐμὴν, ἔπεμπον τοὺς προφήτας· ἐπειδὴ δὲ τοιαῦτα αὐτοὺς διατιθέντες κακοῖς ἠμείβεσθε
τὰ παρ' ἐμοῦ γινόμενα, δώσετε τῶν παρανομημάτων δίκην δικαίαν· ἐλέου γὰρ τὸ καὶ p. 47.
ὑπὲρ τῶν πασχόντων κακῶς τιμωρίᾳ περιβάλλειν τοὺς ἀδικοῦντας. " Αὐτοὶ δὲ εἰσὶν ὡς ἄν- v. 7.
θρωπος παραβαίνων διαθήκην, ἐκεῖ κατεφρόνησάν μου. „ Μεμενήκατε γὰρ ἐπὶ τῆς βά-
σεως (1) τῆς οἰκείας, τῶν μὲν ἄνωθεν ὑμῖν συντεθέντων πρὸς ἐμὲ λόγον οὐδένα ποιούμενοι,
καταπεφρονηκότες δέ μου παντελῶς· ὥστε καὶ τοὺς ὑπομιμνήσκοντας ὑμᾶς περὶ τούτου τῶν
προφητῶν ἀνελεῖν.

" Γάλγαλα πόλις ἐργαζομένη μάταια. „ Αἰτία δὲ τούτων ὑμῖν ἡ Γάλγαλα, παρ' v. 8.
ἣ τὴν ἐπιβλαβῆ καὶ μάταιον περὶ τὰ εἴδωλα σπουδὴν ἐπιδείκνυσθε· οὕτω γὰρ καὶ ἀνωτέρω
λέγει, μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα τὴν πόλιν· καὶ ἐργάζεσθε λέγει μάταια, τὰ ἐν αὐτῇ
γινόμενα σημαίνων· " Ταράσσουσα ὕδωρ. „ Οἱ τὸ διειδὲς καὶ καθαρὸν τῆς εὐσεβείας ἐν
τῇ γνώσει διαφαινόμενον τῇ ἐμῇ, τῇ τῶν εἰδώλων ἐπιθολοῦντες ἐπιμιξίᾳ. " Καὶ ἡ ἰσχύς v. 9.
σου ὡς ἀνδρὸς πειρατοῦ. „ Ἡ πᾶσαν τὴν δύναμιν τὴν οἰκείαν ἐν τῇ τῶν ἀπατωμένων ἐπι-
δείκνυται βλάβῃ· ὃν δὴ τρόπον καὶ τοῖς πειραταῖς ἔθος ἐστὶ περὶ τὴν ἑτέρων ἐσπουδακέναι
βλάβην, καὶ τὴν οἰκείαν δύναμιν διὰ τῆς ἑτέρων διαδείκνυσθαι ἀπωλείας. " Ἔκρυψαν
ἱερεῖς ὁδόν· ἐφόνευσαν Σίκιμα· ὅτι ἀνομίαν ἐποίησαν. „ Ἐκ παραθέσεως βούλεται τὴν τού-
των ἐπιδεῖξαι κακίαν· ὅτι οἱ μὲν πατέρες, φησὶν, οἱ ὑμέτεροι (λέγει δὲ τοὺς υἱοὺς Ἰακὼβ,
Λευΐ τε καὶ Σιμεὼν) ἵνα (2) πορνικὴν ἐπήρειαν ὑπομείνασαν ἴδωσιν αὐτῶν τὴν ἀδελφὴν, τοσαύ- p. 48.
την ἔσχον τὴν ἀγανάκτησιν ἐπὶ τῷ γεγονότι, ὥστε λαθραίως μὲν καὶ μετὰ δόλου διαλεχθῆναι Gen. XXXIV.
τοῖς Σικιμίταις προσποιούμενοι φιλίαν· τοῦτο γὰρ λέγει τὸ ἔκρυψαν ὁδόν· καιροῦ δὲ λαβό-
μενοι, πάντας κατ' αὐτὸν ἀνεῖλον ὑπὲρ τοῦ γεγονότος. " Ἐν τῷ οἴκῳ τοῦ Ἰσραὴλ εἶδον v. 10.

tem vobis suadere, atque ad mei agnitionem adducere, prophetas mittebam. Nunc quia sic illos tractantes, malam mihi retributionem obtulistis, iustam peccatorum vindictam perferetis. Nam misericordiae officium quoque est, propter eos qui male sunt passi, supplicium iniuriosis decernere. " Ipsi autem tamquam homo pactum transgrediens, illic me contempserunt. „ Vos autem in transgressione vestra perseverastis, neglecto quod mecum pepigistis antiquo foedere, meque prorsus despecto, adeo ut prophetas quoque id vobis commemorantes interfeceritis.

" Galgala civitas quae operatur vana. „ Causa horum vobis Galgala, apud quam noxium vanumque idolorum studium expromitis. Sic enim et in superioribus dixit, ne abieritis in Galgala civitatem; neque vana operemini, ait; ut quae in ea patrantur, significet. " Quae conturbat aquam. „ Illi qui limpitudinem et puritatem piae religionis, in mei agnitione apparentem, idolorum admixtione inquinant. " Et fortitudo tua, viri piratae. „ Quae vim suam videlicet in errantium damno demonstrat; quemadmodum mos est piratis, aliorum damnis incumbere, suasque vires in ceterorum pernicie ostendere. " Celarunt sacerdotes viam, occidione Sicima peremerunt, quia iniquitatem patraverant. „ Exemplo vult illorum nequitiam explanare; quia, patres vestri, inquit (dicit autem Iacobi filios Levim ac Simonem) postquam fornicariam iniuriam sorori suae illatam viderunt, tanta rei indignatione exarserunt, ut oblique quidem ac subdole Sicimitas sint adlocuti, amicitiam simulantes: id enim innuunt verba " viam celarunt „ sed idoneo captato tempore, cunctos uno impetu propter illud flagitium interemerunt. " In domo Israhelis vidi hor-

(1) Ita cod. βάσεως, sed mendose, ut arbitror, pro παραβάσεως.
(2) Videtur deesse μὴ, vel scribendum esse ὅτ' ἂν εἶδον.

φρικώδη, ἐκεῖ πορνείαν τοῦ Ἐφραίμ. ,, Καὶ τὰ μὲν ἐκείνων φησὶ τοιαῦτα· νῦν δὲ ἐν ἅπαντι
τῷ Ἰσραὴλ φρίκης εἶδον μεστὰ, πορνείαν ἁπάντων οὐκ ἐν σώματι συστᾶσαν, ἀλλ' ἐν δια-
φθορᾷ ψυχῆς καὶ ἀποστάσει θεοῦ. " Ἐμιάνθη Ἰσραὴλ, καὶ Ἰούδας ἀφῆκε θερισμὸν αὐτοῦ. ,,
Πάντες πρὸς μίαν εἶδον παρανομίαν τῇ τῶν εἰδώλων μιανθέντες θρησκείᾳ· καὶ πάντες
ἀτελῆ καὶ διεφθαρμένην τὴν ἑαυτῶν ἀπέδειξαν σωτηρίαν· ὡς γὰρ εἴ τις γεωργὸς τελειω-
θέντων σπερμάτων, καὶ τοῦ καρποῦ τὸν θερισμὸν ἀπαιτοῦντος, ἤδη πρὸς ῥαθυμίαν ἰδὼν,
ἀπολέσειεν μὲν τὰ γεωργηθέντα, κενὸν δὲ πάντα τὸν προειληφότα πόνον διὰ τῆς οἰκείας
ἀποφήνειεν ῥαθυμίας· οὕτως ὑμεῖς, φησὶ, τοσούτων καὶ τηλικούτων ἀπολελαυκότες ἀγαθῶν,
ἐξεληλυθότες Αἰγύπτου, διαβάντες τὴν ἔρημον, νόμον δεξάμενοι, τὴν γῆν ἀπειληφότες τὴν
ἐπηγγελμένην, τὸν τῇ θρησκείᾳ πρέποντα κτησάμενοι τόπον· ὅτε τοὺς καρποὺς ἐχρῆν
p. 49. λοιπὸν τῷ θεῷ προσκομίζειν, τότε πάντα τὰ ὑπὲρ ὑμῶν γεγονότα περιττὰ διὰ τῆς ἑαυτῶν
ἀπεδείξατε κακίας· ἀφέντες μὲν τὸ ἀποδιδόναι τῷ θεῷ τοὺς ὑπὲρ τῶν τοσούτων καὶ τηλι-
κούτων εὐεργεσιῶν καρποὺς, περὶ δὲ τὴν τοῦ χείρονος ἐκτροπὴν ἀσχοληθέντες ὅλοι δι'
* Es. V. 4. ὅλων· ὅμοιόν ἐστι τούτῳ καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ· * ἔμεινα ἵνα ποιήσῃ σταφυλὴν, ἐποίησε
v. 11. δὲ ἀκάνθας. " Ἄρχου τρυγᾷν σεαυτῷ ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ λαοῦ
μου, ἐν τῷ ἰᾶσθαί με τὸν Ἰσραήλ. ,, Ὥστε δεῖν ὑμῖν πάλιν ἑτέρας ἀρχῆς, ἣν δι' ὑπερ-
βάλλουσαν φιλανθρωπίαν ἐγὼ παρέξω, ἐκ τῆς αἰχμαλωσίας ὑμᾶς παρὰ πᾶσαν ἀν-
θρωπίνην ἐπανάγων ἐλπίδα· τότε δὴ λοιπὸν πρὸς τὸ κρεῖττον ὁρᾷν ἐθέλοιτε, ἀρχῆς ὑμῖν
ἑτέρας δεήσει· ἵνα κἂν γ' οὖν τὴν τότε δωρεὰν αἰσχυνθέντες τὸ μέγεθος, περὶ τὴν τοῦ
κρείττονος ἑαυτοὺς ἐπιμέλειαν τρέψητε τοῦ λοιποῦ, τότε μὲν δὴ τοῦτο φησὶν ποιεῖν ὑμῖν
ἐξέσται· τὸ γὰρ ἄρχου, λέγει ἀντὶ τοῦ ἄρξασθαι δυνήσῃ, βουληθεὶς πρὸς τὸ δέον ἰδεῖν·
νῦν δὲ τί;

ribilia; ibi fornicationem Ephraimi. ,, Et res quidem illorum ita se habuit. Nunc vero in universo Israhele plena horroris aspexi; fornicationem universalem, non corporis sed corruptae animae atque a Deo apostaticae. " Contaminatus est Israhel, et Iudas omisit messem suam. ,, Cuncti ad praevaricationem spectabant, idolorum cultu polluti: cuncti infirmum ac profligatum salutis suae negotium esse ostendebant. Nam veluti si quis agricola peractis seminationibus, et iam frugibus messem postulantibus, mox ignaviae se dederet, agricolationem suam pessumdaret, praeteritum omnem laborem inertia sua futilem redderet; sic vos, inquit, tot tantisque bonis potiti, egressi Aegypto, emenso deserto, lege accepta, promissam terram adepti, et in conveniente religioni loco constituti; cum iam fructus oportebat ad Deum ferre, tunc omnia vestri gratia acta, per malitiam vestram cassa effecistis; omissa videlicet post tot taliaque beneficia fructuum redditione, factaque ad vitium universali atque omnimoda perversione. Paria his apud Esaiam: expectavi ut faceret uvam, fecit autem spinas. " Incipe fruges colligere, cum ego convertero captivitatem populi mei, et Israhelem sanavero. ,, Quamobrem vobis novo initio opus est, quod ego per summam benignitatem vobis concedam, dum praeter spem omnem humanam de captivitate vos reducam. Nam certe si volueritis ad meliorem vitam intendere, novo vobis initio opus est; ut si denique acceptorum munerum magnitudine pudefacti, in virtutis studio deinceps versemini, id vobis factitare liceat. Nam verbum, incipe, dicit pro, incipere poteris, cum volueris ad officium spectare. Nunc vero quid?

ΚΕΦ. Ζ'.

“ Καὶ ἀποκαλυφθήσεται ἡ ἀδικία Ἐφραὶμ, καὶ ἡ κακία Σαμαρείας, ὅτι εἰργάσαντο v. 1.
ψευδῆ. „ Πρόδηλος ἅπασιν ἡ παρανομία ἣν εἰργάζεσθε ἅπαντες, καὶ ὅτι ἀποστάντες
μου, πρὸς τὸ ψεῦδος ἑωρᾶτε, διὰ τῆς τιμωρίας ἣν ὑπομένετε δικαίως ὑπὲρ ὧν παρενο- p. 50.
μεῖτε τοιαῦτα· πῶς καὶ τίνα τὸν τρόπον; “ Καὶ κλέπτης πρὸς αὐτὸν εἰσελεύσεται, ἐκδιδύ- v. 2.
σκων λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ, ὅπως συνᾴδωσιν ᾄδοντες ἐν τῇ καρδίᾳ αὐτῶν. „ Ὡς γὰρ
ἂν εἴ τις κλέπτης ἢ λῃστὴς ἐν ὁδῷ ποτε περιτυχὼν ἐκδύσειεν τοὺς προστυχόντας, καὶ εἰς
οἰκίαν εἰσελθὼν τὰ ἐνόντα λάβοι· οὕτω, φησὶν, ἐπελθόντες ὑμῖν οἱ πολέμιοι ἅπαντα τά τε
κατ᾽ οἰκίαν τά τε ἔξω προσόντα ὑμῖν αἱροῦσιν, τὰ μὲν ἀφαιροῦντες, τὰ δὲ ἀφανίζοντες
παντελῶς· ὥστε ἅπαντας ὑμᾶς ὑπὸ τῆς συμφορᾶς κατεχομένους, ᾄσματα θρήνου μεστὰ κατὰ
ταυτὸν ᾄδειν, ὀδυνωμένους τε κατὰ καρδίαν ἐπὶ τοῖς γινομένοις, καὶ ὀλοφυρομένους δι᾽
ὀλοφυρτικῶν ῥημάτων ἐπὶ τῷ μεγέθει τῶν συμφορῶν τῶν συμβαινουσῶν ὑμῖν. “ Νῦν ἐκύ-
κλωσεν αὐτοὺς τὰ διαβούλια αὐτῶν, ἀπέναντι τοῦ προσώπου μου ἐγένοντο. „ Ἁπάντων δὴ
τῶν μετὰ πολλῆς αὐτῶν ἐπιτετηδευμένων τῆς κακίας μνήμην λαβὼν, περιβαλῶ μεγίστοις αὐ-
τοὺς κακοῖς· ἀνάλογον οἷς βουλευόμενοι μετὰ πολλῆς ἀναιδείας ἐπ᾽ ὄψεσι διεπράττοντο ταῖς
ἐμαῖς. “ Ἐν ταῖς κακίαις ηὔφραναν βασιλεῖς, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας. „ Ὥστε v. 3.
πολλὴν τοῖς ἐναντίοις εἴτε βασιλεῦσιν εἴτε ἄρχουσιν ἡδονὴν ἐγγενέσθαι, οἳ κατακρατήσουσι p. 51.
τε αὐτῶν καὶ αἰχμαλώτους λήψονται, ὑπὲρ ὧν τε διεπράττοντο κακῶν· καὶ ὅτι δὴ τὴν ἐμὴν
ἀφέντες γνῶσιν, τὴν ψευδῆ καὶ ἀπατηλὴν τῶν δαιμόνων μετῄεσαν θρησκείαν. “ Πάντες v. 4.
μοιχεύοντες, ὡς κλίβανος καιόμενος εἰς πέψιν. „ Συμφώνως γὰρ ἅπαντες τῆς γνώσεως
ἀποστάντες τῆς ἐμῆς μοιχικήν τινα γνώμην ἀνεδέξαντο, πρὸς τὴν τῶν δαιμόνων ἀποκλίναντες

CAP. VII.

“ Et revelabitur iniquitas Ephraimi, et Samariae malitia, quia operati sunt mendacium. „ Quam operamini omnes nequitiam, dum a me digressi ad mendacium spectatis, ea manifesta cunctis fiet a poena, quam merito ob haec flagitia luetis. Quam ob rem, aut quomodo? “ Et fur ingredietur ad eum, latro spolians in via, ut concinant canentes in corde suo. „ Nam veluti si quis fur aut latro in via aliquando occurrens viatores spoliet, et aedes ingressus rem domesticam auferat; sic, inquit, supervenientes vobis hostes, omnia quae sive domi sive extra possidetis capient, partim asportantes, partim funditus consumentes; ita ut vos omnes calamitate pressi, càntilenas lamento plenas simul concinatis, cum gemitibus cordis ob huiusmodi eventum, et cum vocis ululatibus, propter infortuniorum gravitatem quae vos corripuerunt. “ Nunc circumdederunt eos cogitationes suae; coram facie mea factae sunt. „ Iam vero omnium ab ipsis patratorum malitiam in memoriam revocans, gravibus eos malis irretiam; merito quidem propter multam qua prae oculis meis ita egerunt impudentiam. “ Iniquitatibus suis laetificaverunt reges, mendaciis suis principes. „ Contigit enim, ut hinc multam tum reges tum principes caperent voluptatem; qui idcirco eos superabunt captivosque abducent, propter peccata adamussim quae commiserunt; et quia scientia mei omissa, falsum et fraudulentum daemonum cultum adsciverunt. “ Omnes adulterantes, quasi clibanus succensus ad coquendum. „ Concorditer omnes a scientia mei recedentes, adulterinam veluti sententiam susceperunt ad daemonum cultum declinandi; clibanique instar ad co-

θεραπείαν· καὶ δίκην κλιβάνου πρὸς πέψιν ἐκκεκαυμένου, μετὰ θερμῆς τινὸς τῆς προθυμίας
πρὸς τὴν ἀκολασίαν ῥέποντες ἐκείνην. “ Κατακαύσει αὐτοὺς ἀπὸ τῆς φλογός. “ Ἀλλὰ γὰρ
ἐξ αὐτῆς δὲ ταύτης καταναλωθήσονται τῆς γνώμης. “ Ἀπὸ φυράσεως στέατος ἕως τοῦ ζυ-
μωθῆναι αὐτὸ ὅλον, αἱ ἡμέραι τῶν βασιλέων ὑμῶν. ,, Ὡς γὰρ εἰ στέας ληφθέν τε καὶ ἐμ-
βληθὲν ἀλεύρῳ ζυμοῖ τε καὶ ἐναποτελεῖ τὸ σύμπαν, οὕτως ἐξότε περ τὴν παράνομον ταύτην
κατεστήσασθε βασιλείαν, ἀπὸ τοῦ Ἱεροβοὰμ λαβόντες τὴν ἀρχήν, πρὸς τὴν αὐτὴν γνώμην τῆς
κακίας ἅπαντες ἐνεύσατε ὁμοίως.

v. 5. “ Ἤρξαντο ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου· ,, Οἵ τε γὰρ ἄρχοντες αὐτῶν μέθαις καὶ οἰνο-
φλυγίαις προσεῖχον, ἀκράτῳ κατὰ πάντων ὡς ἐκ τοιαύτης παροινίας τῷ θυμῷ κεχρη-
p. 52. μένοι. “ Ἐξέτειναν τὴν χεῖρα αὐτῶν μετὰ λοιμῶν. ,, Πρὸς πλεονεξίαν ἑώρων, κοινωνίαν ἑλό-
v. 6. μενοι πρὸς ἅπαντας τοὺς διεφθαρμένους τὸν τρόπον. “ Διότι ἀνεκαύθησαν ὡς κλίβανος αἱ
καρδίαι αὐτῶν, ἐν τῷ καταῤῥάσσειν αὐτοὺς ὅλην τὴν νύκτα. ,, Ἐξεκαίοντο γὰρ δίκην κλι-
βάνου τὴν διάνοιαν ἐκ τῆς μέθης ἧς δι' ὅλης ἐπετήδευον τῆς νυκτός. “ Ὕπνου Ἐφραὶμ ἐνε-
πλήσθη. ,, Ὡς ἐκ μέθης τοίνυν τοιαύτης δίκην τῶν ὕπνῳ βαρεῖ κατεχομένων, οὐδένα τοῦ
προσήκοντος ἐποιοῦντο λόγον. “ Πρωῒ ἐγενήθη, καὶ ἀνεκαύθη ὡς πυρὸς φέγγος· πάντες
ἐθερμάνθησαν ὡς κλίβανος καιόμενος. ,, Ἡμέρας γὰρ ἐπιλαμβανούσης, τῶν αὐτῶν ἥπτοντο
πάλιν, ἀναπτόμενοί τε δίκην πυρός, καὶ ὥσπερ τις κλίβανος διαθερμαινόμενοί τε, καὶ
v. 7. διεγειρόμενοι πρὸς τὴν τῶν ἀτόπων ἐργασίαν. “ Καὶ πῦρ κατέφαγε τοὺς κριτὰς αὐτῶν. ,,
Κατάλληλον τοίνυν ὑπομένουσι τὴν τιμωρίαν, δίκην πυρὸς πάντων τῶν ἀρχὴν ἐν αὐτοῖς
ὑπειλημμένων τῇ τῶν πολεμίων παραδιδομένων σφαγῇ. “ Πάντες οἱ βασιλεῖς αὐτῶν
ἔπεσον. ,, Ἀπωλείᾳ καὶ σφαγῇ παραδοθήσονται πάντες. Τίνος ἕνεκεν; “ Οὐκ ἦν ἐν αὐτοῖς
ὁ ἐπικαλούμενος πρός με. ,, Ἐπειδὴ καὶ σύμφωνον εἶχον τὴν γνώμην, οὐδένα λόγον ἐμοῦ
v. 8. ποιεῖσθαι καθάπαξ ἐθέλοντες. “ Ἐφραὶμ ἐν τοῖς λαοῖς αὐτὸς συνανεμίγνυτο. ,, Τοῦτο καὶ

quendum succensi, fervido quodam animi impetu ad illud flagitium decurrerunt. “ Exuret eos in flamma. ,, Sed enim hoc ipso consilio suo consumentur. “ Fermento arvinae, donec fermentetur totum, dies regum vestrorum. ,, Veluti si quis sumptam arvinam in farinam coniiciat, tota haec fermentatur, et universam massam perficit; ita ex quo illegitimum hoc constituistis regnum, capto initio abs Hieroboamo, in unam eandemque sententiam cuncti pariter conspirastis.

“ Coeperunt principes furere a vino. ,, Principes eorum crapulae et ebrietati indulgebant, ira immodica adversus omnes tamquam crapulati utentes. “ Extenderunt manum suam cum pestilentibus. ,, Avarae cupiditati mentem intenderunt, inita cum pessimis omnibus societate. “ Ideo exarserunt ut clibanus corda eorum, dum tota nocte agitantur. ,, Mentem more clibani inflammatam gerebant a crapula, cui tota nocte vacarunt. “ Somno repletus est Ephraimus. ,, Ergo tamquam ex crapula huiusmodi somno gravi correpti, nullius honesti officii curam gerebant. “ Mane factum est, et succensa est quasi ignis lux: calefacti sunt omnes quasi clibanus ardens. ,, Die succedente, rursus in eodem opere erant, quasi igne inflammati, et quasi clibanus calefacti, atque ad turpia facta incitati. “ Et ignis devoravit iudices eorum. ,, Meritam ergo poenam sustinent, dum igni veluti, quicumque apud eos regnabant, hostili sunt traditi caedi. “ Cuncti reges eorum ceciderunt. ,, Exitio et caedi omnes tradentur. Cur? “ Nemo erat inter eos, qui invocaret me. ,, Quia una mente erant, nullumque prorsus habere mei respectum volebant. “ Ephraimus commixtus est populis. ,, Hoc etiam beatus improperat David, dicens: commixti

ὁ μακάριος αὐτοὺς αἰτιᾶται Δαυὶδ λέγων· καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι· * καὶ γὰρ ἦν ἀπει- p. 53 * Ps. CV. 35.
ρημένη παντελῶς αὐτοῖς ἐκ τοῦ νόμου ἡ πρὸς τοὺς ἀλλοτρίους ἐπιμιξία· εἰκότως οὖν αὐτοῖς ὀνει-
δίζει κἀνταῦθα τοῦτο. " Ἐφραὶμ ἐγένετο ἐγκρυφίας οὐ μεταστρεφόμενος. „ Οὕτως ἀμε-
τάβλητος τὸν τρόπον ἐπὶ τῆς αὐτῆς μεμενηκὼς κακίας, ὥσπερ ἐκεῖνο μένειν εἴωθεν ἀμε-
τακίνητον ἐφ' οὗπερ τέτακται τόπου. " Κατέφαγον ἀλλότριοι τὴν ἰσχὺν αὐτοῦ. „ Ὑπομένει v. 9.
τοίνυν ἀνάλογον τὴν τιμωρίαν· παρανόμως γὰρ τοῖς ἀλλοτρίοις ἐπιμιγεὶς, ὑπ' αὐτῶν ἐκείνων
ἀφανισθήσεται παντελῶς. " Αὐτὸς δὲ οὐκ ἔγνω· καὶ πολιὰ ἐξήνθησεν αὐτῷ, καὶ αὐτὸς οὐκ
ἔγνω. „ Ἐπειδὴ γὰρ διαμεμένηκεν ἐπὶ τῆς τῶν προσηκόντων ἀγνοίας, οὐδὲ τῷ μακρῷ
χρόνῳ πρὸς τὸ δέον ἐλόμενος ἰδεῖν, διὰ τοῦτο πείσεται τοιαῦτα.

" Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ οὐκ ἐπέστρεψαν v. 10.
πρὸς κύριον τὸν θεὸν αὐτῶν, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι τούτοις. „ Ὑπὲρ ὧν τοίνυν
ἐξύβρισαν εἰς τὸ θεῖον, οὕτως ἀναιδῶς καὶ ἀμεταθέτως περὶ τὴν τῶν δαιμόνων ἐσχηκότες θε-
ραπείαν, καὶ τὴν περὶ ἐκείνους σπουδὴν προτιμήσαντες τῆς περὶ τὸ ὄντως θεῖον, ὄψονται τὴν
ταπείνωσιν τὴν οἰκείαν, ἣν ὑπομένουσι δικαίως, οὐδὲ ἐκ μεταβολῆς νεῦσαι πρὸς τὸν θεὸν p. 54.
βουληθέντες. " Καὶ ἦν Ἐφραὶμ ὡς περιστερὰ ἄνους οὐκ ἔχουσα καρδίαν· Αἴγυπτον ἐπεκα- v. 11.
λοῦντο, καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν. „ Οἵα πέρ ἐστιν ἡ περιστερὰ μὴ δὲ τῶν οἰκείων γεν-
νημάτων ποιουμένη λόγον· ὧν ἀφαιρουμένη, ἐπὶ τῶν αὐτῶν τόπων νεοττεύειν εἴωθεν πάλιν,
οὐδὲ μίαν ἔχουσα προμήθειαν τῆς ἀφαιρέσεως τῶν γινομένων, οὕτω δὴ καὶ οὗτοι γεγόνασιν,
αἴσθησιν τῆς ἀπωλείας οὐ λαμβάνοντες τῆς οἰκείας, ἀλλ' ἀναμένοντες μὲν τὴν ἐκ τῶν αἰγυπτίων
βοήθειαν, τυγχάνοντες δὲ οὐδενός· ἅτε μετὰ μεγάλης τῆς δυναστείας τῶν ἀσσυρίων αἰχμαλώ-
τους αὐτοὺς ἀπαγόντων ἐπὶ τὰ οἰκεῖα. " Καθὼς ἂν πορεύωνται, ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ v. 12.
δίκτυόν μου· καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ ἄξω αὐτούς. „ Διαφυγεῖν αὐτούς φησι τὴν ἐκείνων
αἰχμαλωσίαν, τῶν ἀδυνάτων· ἐπειδὴ ὥσπερ τινὶ δικτύῳ τῇ ἀποφάσει περιβαλὼν αὐτοὺς,

sunt inter gentes. Interdictum quippe per legem eis omnino erat, quominus alienigenis commiscerentur; ideoque id merito heic etiam illis exprobrat. " Ephraimus factus est subcinericius panis, qui non reversatur. " Adeo inconversus in eadem permansit malitia, sicut ille manere solet immobilis in quocumque ponitur loco. " Comederunt alieni robur eius. „ Sustinet ergo debitam punitionem: sceleste enim alienigenis commixtus, ab ipsis funditus exterminabitur. " Ipse autem nescivit; cani effloruerunt ei, et ipse ignoravit. „ Quia in officii sui ignorantia perseveravit, ne a longaevitate quidem ad bonam frugem converti passus, idcirco haec perpetietur.

" Et humiliabitur arrogantia Israhelis in facie eius, nec reversi sunt ad dominum Deum suum, et non quaesierunt eum in omnibus his. „ Quoniam itaque erga Deum contumeliosi fuerunt, dum sic impudenter ac pertinaciter daemonum superstitioni adhaeserunt, illorumque sequelam vero Deo antetulerunt, videbunt humiliationem suam, quam merito sustinent, postquam ne in catastrophe quidem ad Deum inclinare voluerunt. " Eratque Ephraimus quasi columba insipiens, non habens cor: Aegyptum invocabant, et ad Assyrios abierunt. „ Qualis est columba, quae ne de pullis quidem suis sollicita est; quibus sibi ablatis, iisdem locis nidificare rursus solet, futurorum improvida quia aeque eripi poterunt; sic et isti se habuerunt, nullum sensum exitii sui capientes, sed expectantes Aegyptiorum auxilia, quae non impetrarunt; dum interea grandi cum potestate Assyrii eos abducebant captivos in regionem suam. " Et cum profecti fuerint, expandam super eos rete meum: quasi volucres caeli detraham eos. „ Fugere ab illorum, inquam, servitute prorsus non

δίκτυ πετεινῶν εἰς τὴν αἰχμαλωσίαν ἀπάξω. “ Παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν. ,, Τοιαῦτα γὰρ αὐτοῖς ἐπάξω κακὰ, ὥστε καὶ τὴν ἀκοὴν τῶν ἐπελευσομένων αὐτοῖς κακῶν βαρυτάτην οὖσαν, ἀρκεῖν εἰς παιδείαν αὐτοῖς.

v. 13. Καὶ τί τὸ τούτων αἴτιον πάλιν λέγων. “ Οὐαὶ αὐτοῖς ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δεί-
p. 55. λαιοί εἰσιν ὅτι ἠσέβησαν εἰς ἐμέ· ὑπὲρ γὰρ τῆς εἰς ἐμὲ παρανομίας πείσονται ταῦτα· ἐγὼ δὲ
ἐλυτρωσάμην αὐτοὺς, καὶ αὐτοὶ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. ,, Καὶ γὰρ ἄνωθεν ἐγὼ μὲν
αὐτοὺς εὖ ἐποίουν, αὐτοὶ δὲ τὴν ἀγνωμοσύνην περὶ ἐμὲ ἐπεδείκνυντο τὴν οἰκείαν· ἀπήλλαξα
μὲν γὰρ αὐτοὺς τῆς ὑπὸ Αἰγυπτίοις δουλείας, ἐκεῖνοι δὲ πᾶν ὅ τι βλάσφημον ἐφθέγγοντο εἰς
ἐμέ· ποτὲ μὲν μόσχον ἐργαζόμενοι καὶ λέγοντες· οὗτοι οἱ θεοί σου Ἰσραὴλ, οἱ ἐξηγαγόν σε
ἐκ τῆς Αἰγύπτου· ποτὲ δὲ ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐρρύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύ-
v. 14. σθησαν, μὴ ἄρτον δυνήσεται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ; “ Καὶ οὐκ
ἐβόησαν πρός με αἱ καρδίαι αὐτῶν. ,, Νεῦσαι δὲ πρός με εἰλικρινεῖ τῇ διανοίᾳ, καὶ
ἀναμεῖναι τὴν παρ' ἐμοῦ δωρεὰν, εἰς νοῦν οὐκ ἐβάλοντο. “ Ἀλλὰ ὠλόλυζον ἐν ταῖς κοίταις
αὐτῶν; ἐπὶ σίτῳ καὶ οἴνῳ κατετέμνοντο. ,, Τοὐναντίον μὲν οὖν καὶ εἰς τὴν γῆν τῆς ἐπαγγε-
λίας εἰσεληλυθότες, καὶ τῆς παρ' ἐμοῦ δοθείσης αὐτοῖς ἀναπαύσεως τετυχηκότες, κοίτην γὰρ
αὐτῶν τοῦτο καλεῖ, μηδένα λόγον ἐμοῦ ποιούμενοι, περὶ τὴν τῶν δαιμόνων ἠσχολοῦντο θερα-
πείαν, ὀλολύζοντές τε καὶ κατατεμνόμενοι κατὰ τὸ παρ' ἐκείνοις εἰθισμένον· ἅπερ οὖν ἐπλή-
v. 15. ρουν, αὐτοῖς λογιζόμενοι τῶν δεδομένων αὐτοῖς ἀγαθῶν παρ' ἐμοῦ τὴν χορηγίαν. “ Ἐπαι-
p. 56. δεύθησαν ἐν ἐμοί. ,, Ὑπὲρ δὴ τούτων ὧν εἰς ἐμὲ παρηνόμουν δέξονται παρ' ἐμοῦ τὴν
προσήκουσαν παιδείαν αὐτάρκη. Διδάσκει δὲ αὐτοὺς ὡς παρηνόμουν τοιαῦτα ποιοῦντες.
“ Καὶ ἐγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά. ,, Καὶ ὅτι ὁ

licebit; quia ego, reti veluti, decreto meo illos comprehensos, in captivitatem quasi totidem aves abducam. “ Castigabo eos ipso suae tribulationis auditu. ,, Tanta illis inferam mala, ut vel ipsa permolesta eventurorum malorum auditio sufficiat ad correptionem.

Atque horum causam mox dicens “ vae eis, inquit, quoniam resilierunt a me! Infelices sunt, quia impie egerunt in me: utique propter suas erga me offensas, haec patientur. Equidem eos redemeram, at ipsi locuti sunt contra me mendacia. ,, Olim ego eis bene feceram, at ipsi ingrati adversus me extiterunt. Subduxi eos servitio Aegyptiorum, at ipsi nullum blasphemiae genus adversus me non dixerunt: nunc fabricato vitulo dicentesque: hi dii tui, Israhel, qui te Aegypto eduxerunt: nunc postquam (Moyses) petram percusserat, et aquae effluxerant, et torrentium instar inundaverant; adhuc tamen dicebant: num Dominus dare panem poterit, mensamque apparare populo suo? “ Neque ad me clamaverunt corda eorum. ,, Ad me vero sincera mente declinare, et donativum expectare, non cogitarunt. “ Sed ululabant in cubilibus suis: super tritico et vino secabantur. ,, Contra vero, ne postea quidem quam in promissam terram devenerant, data a me ipsis requie potiti, hanc enim cubile eorum nuncupat, nihil de me solliciti, daemonum superstitioni vacabant, ululantes semetque secantes, pro more illic consueto: quae dum agerent, accepta ferebant daemonibus bona illa quae ego largitus fueram. “ Eruditi fuerunt a me. ,, Ob haec autem quae contra me peccaverunt, congruam sufficientemque me auctore castigationem nanciscentur. Porro eis demonstrat, quod ita se gerentes peccaverint. “ Ego roboraveram brachia eorum, at ipsi in me cogitaverunt malitiam. ,, Ego enimvero robur omne iis adversus hostes indideram; at ipsi turpe quod-

μὲν τὴν ἰσχὺν ἅπασαν αὐτοῖς παρέχων κατὰ τῶν πολεμίων ἤμην ἐγώ· οἱ δὲ πᾶν ὅ τι ἄτοπον
καὶ ἀσεβείας μεστὸν μετήεσαν ἀσεβοῦντες εἰς ἐμέ. " Ἐπεστράφησαν εἰς οὐθέν. „ Μεταβαλο- v. 16.
μένους γὰρ αὐτοὺς διὰ τῆς ὀργῆς καὶ τῆς τιμωρίας τῆς ἐμῆς ἔδειξα ὄντας τὸ μηθέν. " Ἐγένοντο
εἰς τόξον οὐ τεταμένον. „ Ὥστε μηδὲν αὐτοὺς διαλλάττειν τόξου οὐκ ἐντεταμένην ἔχοντος
τὴν νευρὰν, ὅπερ ἀνωφελές ἐστι τοῖς πολεμοῦσι, μέχρις ἂν ἐπὶ τούτου τοῦ σχήματος ᾖ· οὕτως
ἔσονται ἄπρακτοι κατὰ τῶν πολεμίων καὶ ἀσθενεῖς· τοῦτο οὖν λέγει τὸ ἐπαιδεύθησαν ἐν ἐμοί,
ἵνα εἴπῃ ὅτι οὐχ ὁμολογοῦντας ὧν ἔλαβον παρ᾽ ἐμοῦ τὴν ἀπόλαυσιν τῇ ἐπὶ τὸ χεῖρον μετα-
βολῇ, τὸ δέον αὐτοὺς ἐπαίδευσα, σαφῆ τῆς παρανομίας αὐτῶν παρεχόμενος αὐτοῖς τὴν
ἀπόδειξιν. " Πεσοῦνται οἱ ἄρχοντες αὐτῶν ἐν ῥομφαίᾳ, δι᾽ ἀπαιδευσίαν γλώσσης αὐτῶν. „
Οὗτοι μὲν οὖν ἀσθενήσουσιν· οἱ πολέμιοι δὲ τοσαύτην ἕξουσι κατ᾽ αὐτῶν τὴν ἰσχὺν, ὥστε καὶ p. 57.
τοὺς ἄρχοντας αὐτῶν σὺν τοῖς λοιποῖς ἀνελεῖν, ὑπὲρ ὧν ἀπαιδεύτως ἐφθέγγοντο κατ᾽ ἐμοῦ.

ΚΕΦ. Η΄.

" Οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτου ἐπὶ φάρυγγι αὐτῶν· ὡς γῆ ἄβατος, ὡς v. 1.
σάλπιγξ, ὡς ἀετὸς ἐπ᾽ οἶκον κυρίου. „ Ταῦτα δὴ πείσονται μιμησάμενοι τῶν πατέρων αὐτῶν τὴν γνώμην, οἳ κατὰ τὴν Αἴγυπτον ἐξεφαύλιζον τὰς εἰς αὐτοὺς γεγενημένας παρὰ τοῦ θεοῦ δωρεάς· ἀβάτῳ γὰρ ἔσονται παραπλήσιοι, τῇ ἐρημίᾳ παραδοθέντες παντελεῖ, εἰς ἣν καταστήσονται, τῆς πολεμικῆς σάλπιγγος ἐπ᾽ αὐτοὺς ἠχούσης μέγα, καὶ τὴν τῶν πολεμίων ἔφοδον μέλλουσαν γνωριζούσης, ἣ μετὰ πολλῆς αὐτοῖς ἐπελεύσεται τῆς ὀξύτητος, δίκην ἀετοῦ ἀθρόον ἐφισταμένου τοῖς θηρωμένοις· οὕτω γὰρ δὴ καὶ οἱ πολέμιοι ἐπελεύσονται, τούτους τε ἀφανίζοντες, καὶ τὸν οἶκον πυρπολοῦντες τὸν θεῖον· τοῦτο δὲ προστέθεικεν εἰς ἀπόδειξιν τοῦ μεγέθους τῆς ὀργῆς, ὅτι μὴ δὲ τοῦ οἴκου φείδεται τοῦ οἰκείου, ἐκδιδοὺς αὐτὸν εἰς ἀφανισμὸν μετὰ τῶν λοιπῶν

libet et impietate scatens cum offensa mea patraverunt. " Conversi sunt in nihilum. „ Conversos illos, ob iram meam poenamque a me impositam, nihil esse ostendi. " Facti sunt quasi arcus minime intentus. „ Ita ut nihil differant ab arcu intentum nervum non habente; qui saneinutiles bellatori est, quamdiu hac conditione est. Sic erunt inertes adversus hostes atque imbecilli. Hoc itaque significant verba: eruditi sunt a me; nempe eos non confitentes bonorum a me acceptam possessionem, immo in peius conversos, debitum officium docui, perspicuam iniquitatis suae faciens illis demonstrationem. " Cadent principes eorum gladio propter imperitiam linguae suae. „ Hi ergo infirmabuntur: hostes autem tam validis erunt viribus, ut etiam illorum principes cum reliquis sint interfecturi; propterea quod inscite adversus me verba effutiebant.

CAP. VIII.

" Haec est subsannatio eorum in terra Aegypti in gutture eorum, ut terra invia, ut tuba, ut aquila super domum Domini. „ Haec sane patientur, dum parentum suorum imitantur sententiam, qui in Aegypto teruntii aestimabant accepta a Deo beneficia: nam locis inviis similes erunt, desertioni omnimodae traditi, in qua constituentur dum tuba bellica clamose super eos clangit, et imminentem hostium incursum nunciat, qui quidem quam citissime aderunt, more aquilae praedae suae subito involantis. Sic utique et hostes advenient, qui populum destruent, et Dei domum inflammabunt. Hoc autem addidit, ob irae ostendendam magnitudinem, quod nempe ne propriae quidem domui parcet, sed excidio eam praeter reliqua hostibus

τοῖς πολεμίοις· εἶτα καὶ ἀνθ' ὅτου ταῦτα γενήσεται δηλῶν. “ Ἀνθ' ὧν παρέβησαν τὴν δια-
θήκην μου, καὶ κατὰ τοῦ νόμου ἠσέβησαν. ,, Ἐπεὶ καὶ ἄτοπον ἡγούμην τούτων παραβάντων τὴν
διαθήκην τὴν ἐμὴν, καὶ παντελῶς εἰς τὸν νόμον ἠσεβηκότων τὸν ἐμὸν, τοῦ οἴκου φείδεσθαι ὃν
v. 2. ἐῤῥύπουν τε καὶ ἐμόλυνον τῇ ἐπιβάσει τῇ οἰκείᾳ. “ Πρὸς ἐμὲ κεκράξονται· ὁ θεὸς, ἐγνώ-
p. 58. καμέν σε. ,, Τότε ὑπὸ τῶν πραγμάτων καὶ τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας, ἄκοντες τὴν
v. 3. δύναμιν ὁμολογήσουσι τὴν ἐμήν. “ Ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθὰ, ἐχθρὸν κατεδίωξαν. ,,
Πείσονται μέν τοι τοιαῦτα δικαίως οἱ περὶ τὴν δόσιν τῶν ἀγαθῶν τῶν παρ' ἐμοῦ γεγονότες
ἀγνώμονες· καί τοι γε ὁπότε παρεῖχον αὐτοῖς τὴν ἐμὴν βοήθειαν, μετὰ πολλῆς τῆς εὐμαρείας
κρατοῦντες τῶν ἐχθρῶν τῶν οἰκείων.

v. 4. “ Ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι. ,, Οὕτω δὲ
με παντελῶς παρελογίσαντο, ὡς καὶ τὸν παρ' ἐμοῦ δοθέντα βασιλέα παραγραψάμενοι,
αὐτοὶ βασιλείαν κατεστήσαντο ἰδίαν, οὐδένα τὸν περὶ ἐμὲ ποιησάμενοι λόγον· τοῦτο γὰρ
λέγει τὸ οὐκ ἐγνωρίσαντο. “ Τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν ἑαυτοῖς
εἴδωλα, ὅπως ἐξολοθρευθῶσιν. ,, Καὶ τὴν μὲν παρ' ἐμοῦ βασιλείαν, τήν τε περὶ τὸν
νόμον παρεγράψαντο θεραπείαν, βασιλείαν δὲ ἰδίαν καταστησάμενοι· λέγει δὲ τὴν ἐπὶ τῶν
δέκα φυλῶν γεγονυῖαν, ἀρξαμένην ἀπὸ τοῦ Ἱεροβοὰμ, ὃς καὶ τὰς δαμάλεις πρῶτος
αὐτοῖς κατεσκεύασεν· ἀκόλουθα τῇ περὶ τὴν ἐκλογὴν τῆς βασιλείας ἀτοπίᾳ διαπραττό-
p. 59. μενοι, εἴδωλα πολλά τε καὶ ποικίλα τὰ μὲν ἐκ χρυσοῦ κατεσκεύασαν, τὰ δὲ ἐξ ἀργύρου·
ἀφ' ὧν οὐδὲν ἕτερον ἀλλ' ἢ τὸν ἀφανισμὸν κερδανοῦσι τὸν οἰκεῖον· καὶ ἐπειδὴ τὴν τῆς βασιλείας
αὐτοῖς ὠνείδισε καινουργίαν, ὅθεν δὴ καὶ τῶν δαμάλεων ἐτολμήθη πρῶτον, ἀκολούθως
v. 5. ἐπάγει. “ Ἀπόῤῥιψον τὸν μόσχον σου Σαμάρεια· παρωξύνθη ὁ θυμός μου ἐπ' αὐτούς. ,,
Ἀπόστηθι δὴ τῆς περὶ τὰς δαμάλεις ἀσεβείας· οὐδὲ γὰρ ὡς ἔτυχεν ὤργισμαι ἐπὶ τῇ τῶν γεγο-
v. 6. νότων παρανομίᾳ. “ Ἕως τίνος οὐ μὴ δύνωνται καθαρισθῆναι ἐν τῷ Ἰσραήλ; καὶ αὐτὸ

tradet. Deinde cur haec eventura sint declarans: “ quia transgressi sunt, inquit, foedus meum, et contra legem meam sceleste egerunt. ,, Etenim absurdum existimavi, postquam hi pactum meum violaverant, et omni impietate adversus legem meam praevaricati fuerant, templo parcere, quod isti gressu suo inquinaverant atque polluerant. “ Ad me clamabunt: Deus, cognovimus te. ,, Tunc rebus ipsis, et imposita a me his poena convicti, potentiam meam fatebuntur inviti. “ Quia Israhel aversatus est bona, inimicum persecuti sunt. ,, Merito haec patientur, qui conlatis a me beneficiis ingrati fuerunt. Atqui eo tempore, quo ego illis opem tuli, facile admodum hostes suos superarunt.

“ Sibimet ipsis regnaverunt, non per me imperaverunt, et mihi minime notificaverunt. ,, Tantopere insanierunt, ut datum a me regem exauctorantes, ipsi proprium sibi regem constituerint, nihil iam de iure meo solliciti: id enim denotat dictio: nequaquam notificaverunt. “ Argentum suum, et aurum suum fecerunt sibi idola, ut dispereant. ,, Et institutum a me regnum, et legitimam religionem aboleverunt, ut regnum sibi proprium constituerent. Dicit vero illud decem tribuum, cuius initium Hieroboamus, qui et iuvencas primus ipsis fabricavit: haeque consentanea regni novi absurditati idola multa ac varia ex auro argentoque sibi efformarunt; a quibus aliud nihil quam exterminium suum consequentur. Et quoniam illis regni novi institutionem exprobravit, unde iuvencarum facinus ortum erat, consequenter addit: “ Abiice vitulum Samaria; concitatus est furor meus adversus eos. ,, Recede a iuvencarum impio cultu; neque enim mediocriter patrato sceleri

τέκτων ἐποίησε, καὶ οὐ θεός ἐστιν. ,, Ἀλλ' οὐδὲ ὁ μακρὸς χρόνος ἐξεπαίδευσέ σε τὸ δέον;
οὐδὲ ἀπέθου τὸν τοσαύτης ἀσεβείας τὸν ῥύπον; κεχήνας δὲ περὶ εἴδωλα ἐξ ἀνθρωπίνων γινό-
μενα χειρῶν, ἃ πότε ἂν εἰκότως νομισθεῖεν θεοὶ, τοιαύτην ἔχοντα τῆς ὑπάρξεως τὴν αἰτίαν;
" Διότι πλανῶν ἦν ὁ μόσχος σου Σαμάρεια. ,, Καὶ οὐ δεδύνησαι συνιδεῖν ὅτι ἡ τῶν δα-
μάλεων κατασκευὴ πλάνης σοι τῆς ἀπὸ θεοῦ γέγονεν αἰτία, ὥστε καὶ διὰ τοῦτο χρῆναι μισεῖν
αὐτὰ δικαίως;

" Ὅτι ἀνεμόφθορα ἐστὶ, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά· δράγμα οὐκ ἔχον v. 7.
ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον· ἐὰν δὲ καὶ ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό. ,, Διαλλάττει γὰρ
οὐδὲν τῶν γεννημάτων ἐκείνων, ἃ ὑπὸ καύσωνος ἀνέμου ξηρανθέντα τε καὶ διαφθαρέντα, p. 60.
ἄχρηστα παντελῶς ἐστὶ πρὸς διατροφὴν ἀνθρώποις· φθορὰ μὲν γὰρ αὐτὰ διαδέχεται καὶ
ἀπώλεια· ἔστι δὲ ἀνωφελὲς ἀνθρώποις, ἄλευρον εἰς διατροφὴν ἐπιτήδειον οὐ δυνάμενον ποιεῖν·
εἰ δ' ἄρα τι καὶ γένοιτο, ὡς φαῦλον εἰς βρῶσιν προστίθεται ἀλόγων· τὸν αὐτὸν γὰρ δὴ τρόπον
καὶ ἡ περὶ τὰ εἴδωλα θεραπεία ἐπιβλαβὴς μέν ἐστι καὶ ὄνησιν παρέχουσα οὐδὲ μίαν· ὥστε εἴ
τι καὶ περίεστιν ὑμῖν ἑτέρωθεν, τῶν πολεμίων ἔσται καὶ τοῦτο κέρδος διὰ τὴν ἐνοῦσαν ὑμῖν
ἀσέβειαν. " Κατεπόθη Ἰσραήλ· νῦν ἐγένετο ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον· ὅτι αὐτοὶ v. 8.
ἀνέβησαν εἰς ἀσσυρίους. ,, Παντελῆ γὰρ ἀφανισμὸν ὑπὲρ τούτων ὑπομενεῖτε, ληφθέντες ὑπὸ v. 9.
ἀσσυρίων· ὥσπερ τι σκεῦος παντελῶς ἄχρηστον ἐν τοῖς ἀλλοφύλοις ἔσεσθε, οὐδενὸς ἀξιούμενοι
λόγου. " Ἀνέθαλε καθ' ἑαυτὸν ἐμοί. ,, Ἐπέδωκαν εἰς πλῆθος διὰ τῆς ἐμῆς κηδεμονίας,
καὶ οὐδένα ποιεῖσθαι μου λόγον ἐθέλοντες, τοσούτων ἀγαθῶν ὄντος αὐτοῖς αἰτίου, αὐθαδείᾳ
πάντα διεπράττοντο κατὰ τὸ δοκοῦν ἑαυτοῖς· τοῦτο γάρ ἐστι τὸ καθ' ἑαυτόν. " Ἐφραὶμ δῶρα
ἠγάπησεν. ,, Καὶ οὐδὲ τοῖς παροῦσιν ἀρκούμενοι πρὸς πλεονεξίαν ἑώρων. " Διὰ τοῦτο παραδο- v. 10.

irascor. " Quousque tandem emundari non poterunt in Israhele? Idolum hoc artifex fecit, et non est Deus. ,, Siccine, ne temporis quidem diuturnitas te docuit officium tuum? neque tantae impietatis maculam eluisti? sed idola manuum humanarum opus admiraris, quae sane quandonam dii credi poterunt, quum talem habeant existentiae suae causam? " Propterea fallax est vitulus tuus, o Samaria. ,, Nondum itaque potuisti cognoscere, iuvencarum fabricam tibi causam aberrandi a Deo extitisse, quam ob rem iusto eas odio prosequi debeas?

" Quia corrupit (semina) ventus, excipiet ea subversio. Culmus farinae efficiendae vim non habens: quam si forte fecerit, vorabunt eam alieni. ,, Haud differt (idololatria) a germinibus illis, quae aestuoso vento exsiccata et corrupta, nutriendis hominibus prorsus sunt inepta: etenim corruptio et exitium manet haec: sunt quippe inutilia, quia farinam alendo aptam ex se promere nequeunt; nam si forte hinc aliquid efficiatur, id iumentis pabuli causa proiicitur. Pari namque ratione, idolorum servitus noxia est, et nullam certe utilitatem suppeditat. Quod si quid aliunde vobis supersit, id quoque lucro hostibus cedet, propter haerentem vobis impietatem. " Devoratus est Israhel; nunc factus est in nationibus quasi vas inutile; quia ipsi ascenderunt ad Assyrios. ,, Supremum quippe exterminium hanc ob causam patiemini, mancipia Assyriis facti: vasis instar ad omnia inutilis inter alienigenas versabimini, et flocci fiemini. " Germinavit apud se ipsum mihi. ,, Cum in multitudinem providentia mea excrevissent, neque idcirco me pensi habere vellent, qui tantorum ipsis bonorum causa extiti, cuncta audacter agebant libito suo: id enim denotat dictio, apud se ipsum. " Ephraimus munera dilexit. ,, Ne his quidem quae sibi aderant contenti, plus habere satagebant. " Idcirco tradetur natio-

δοθήσεται ἐν τοῖς ἔθνεσιν. ,, Εἰκότως ἄρα ὑπὸ τοῖς ἐχθροῖς γεγονότες αἰσθήσονται ὧν τε
p. 61. ἠσέβουν εἰς ἐμὲ, ὧν τε ἠδίκουν. “ Νῦν εἰσδέξομαι αὐτούς. ,, Ἀναμένω γὰρ αὐτοὺς ἐν τῇ
τῶν Ἀσσυρίων χώρᾳ· εἰς ἐκείνην διὰ τῆς αἰχμαλωσίας ἕλκων αὐτοὺς, ὥστε τῶν ἀσεβημάτων
τῶν οἰκείων αἴσθησιν λαβεῖν τότε· πῶς καὶ τίνα τρόπον; “ Καὶ κοπάσουσι μικρὸν τοῦ χρίειν
βασιλέα καὶ ἄρχοντας. ,, Παύσονται γὰρ τοῦ τὰς παρανόμους ταύτας βασιλείας τε καθιστά-
ναι καὶ ἀρχὰς, τῇ αἰχμαλωσίᾳ παιδευόμενοι τε, καὶ τῆς παρανομίας αἴσθησιν λαμβά-
νοντες τῆς οἰκείας.

v. 11. “ Ὅτι ἐπλήθυνεν Ἐφραὶμ θυσιαστήρια, εἰς ἁμαρτίας ἐγένοντο αὐτῷ. ,, Καὶ γὰρ εἰκό-
τως ὑπομένουσιν ταῦτα, ὑπὲρ ὧν τὴν ἀσεβῆ βασιλείαν κατεστήσαντο ἐκείνην· ἐπειδὴ ταύτην
εὗρον ὁδὸν τοῦ πολυειδῆ τῶν εἰδώλων εὑρέσθαι τὴν θεραπείαν, πολλά τε ἑαυτοῖς ἐγεῖραι καὶ ποι-
v. 12. κίλα θυσιαστήρια, ἐν οἷς δὴ μάλιστα πλημμελήσαντες δικαίως δώσουσι δίκας. “ Κατα-
γράψω αὐτῷ πλῆθος, καὶ τὰ νόμιμα αὐτοῦ. ,, Τοῦτο γὰρ δὴ τῶν θυσιαστηρίων τὸ πλῆθος καὶ τῶν
νόμων τῶν καινῶν ὧν εὕραντο περὶ τὴν τῶν εἰδώλων θρησκείαν, ὥσπερ ἔγγραφόν τινα κατηγο-
ρίαν ἀποθήσομαι κατ' αὐτῶν δικαίαν· ἐπὶ τοῖς τοσούτοις παρανομήμασι τὴν ἀπόφασιν κατ'
αὐτῶν ἐξάγων. “ Εἰς ἀλλότρια ἐλογίσθη θυσιαστήρια τὰ ἠγαπημένα. ,, Καὶ γὰρ δὴ καὶ τὰ
p. 62. θυσιαστήρια ἃ πολλὴν τὴν ἀγάπην ἐπεδείκνυντο μετὰ τῆς σπουδῆς, ὑπὸ τὴν τῶν πολεμίων γενήσεται
v. 13. ἐξουσίαν. “ Διότι ἐὰν θύσωσι θυσίαν καὶ φάγωσι κρέα, κύριος οὐ προσδέξεται αὐτά. ,,
Εἰ γὰρ δὴ καὶ πειρῷντο θυσίαις ἐξιλάσκεσθαι τὸ θεῖον, ἀπογευόμενοι τῶν ἐν ταῖς θυσίαις κρεῶν
κατὰ τὸ εἰωθὸς, οὐδὲ τούτων ἔσται τις λόγος τῷ θεῷ, οὐδὲ τινὰ ὑπὲρ τούτων αὐτοῖς τῶν παρα-
νομημάτων χαριεῖται λύσιν. “ Νῦν μνησθήσεται τῶν ἀδικιῶν αὐτῶν, καὶ ἐκδικήσει τὰς ἁμαρ-
τίας αὐτῶν. ,, Μεμνημένος γὰρ ὧν ἠσέβουν, ἵλεως μὲν αὐτοῖς οὐκ ἔσομαι, ἀναλόγους δὲ
τῶν παρανομημάτων αὐτοῖς ἐπάξω τὰς τιμωρίας. “ Αὐτοὶ ἀπέστρεψαν εἰς Αἴγυπτον, καὶ
εἰς Ἀσσυρίοις ἀκάθαρτα φάγονται. ,, Ἐν δὲ τούτοις τοῖς δυοῖς αἰτήσουσι μὲν ἐξ Αἰγύπτου

nibus. ,, Digne profecto sub iugo hostium positi agnoscent quae in me impie egerint, et quae inique patraverint. “ Nunc excipiam eos. ,, Expectabo scilicet eos in regione Assyriorum, in quam captivos pertrahendos curabo, ut tum demum impietatum suarum sensum capiant. Sed quamobrem, et quomodo? “ Et aliquamdiu cessabunt ab ungendo regem ac principes. ,, Desinent haec impia regna principatusque constituere, captivitate eruditi, et nequitiae suae sensu concepto.

“ Quia multiplicavit Ephraimus altaria, facta sunt ei in peccatum. ,, Merito haec patiuntur, postquam impium illud regnum constituerunt, atque hanc viam excogitarunt multiformem sibi adinveniendi idolorum culturam; nec non multa aedificandi sibi diversaque altaria, apud quae potissimum delinquentes iustas poenas persolvent. “ Scribam ei multitudinem, et legitima eius. ,, Hanc enim altarium multitudinem legumque novarum, quas invenerunt circa idolorum culturam, iustae adversus eos accusationis instar, scripto comprehensam, habebo: quibus verbis sententiam ob tanta crimina de illis fert. “ Velut aliena computata sunt altaria dilecta. ,, Namque et altaria, quae multo digna amore studioque videbantur, sub hostium venient potestatem. “ Quia si immolaverint hostiam, et comederint carnes, Dominus non suscipiet eas. ,, Nam etsi forte hostiis conentur placare Deum, gustatis sacrificiorum ritu solito carnibus, nulli hoc Deo curae erit, neque ullam peccatorum gratificabitur remissionem. “ Nunc recordabitur iniquitatis eorum, et ulciscetur peccata eorum. ,, Memor eorum quae impie egerunt, non propitiabor illis, sed dignas peccatis ipsorum poenas imponam. “ Ipsi ad Aegyptum se converterunt,

βοήθειαν, ὠφέλειαν δὲ ἐντεῦθεν καρπώσονται οὐδὲ μίαν· αἰχμάλωτοί τε ἀπαγόμενοι εἰς
ἀσσυρίους, καὶ τὰ ὡς ἐν αἰχμαλωσίᾳ πειρώμενοι κακίας. “ Καὶ ἐπελάθετο Ἰσραὴλ τοῦ v. 14.
ποιήσαντος αὐτὸν, καὶ ᾠκοδόμησε τεμένη· καὶ Ἰούδας ἐπλήθυνε πόλεις τετειχισμένας· καὶ
ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ, καὶ καταφάγεται τὰ θεμέλια αὐτῶν. ,, Τοῦ μὲν γὰρ
πεποιηκότος αὐτοὺς λόγον ἔχειν οὐκ ἐβούλοντο, τεμένη δὲ ἐπὶ τῇ τῶν εἰδώλων ᾠκοδόμουν
θεραπείᾳ· εἶτα ἐπὶ τούτοις τὰς πόλεις τείχεσιν ὀχυροῦν ἐπειρῶντο, ὡς ἂν τούτῳ τινὰ λύσιν
εὑρήσοντες τῶν κακῶν· ὀνήσει δὲ αὐτοὺς οὐδὲ ταῦτα οὐδέν· ἐπειδὴ τοιαύτην καὶ οὕτω φοβερὰν p. 63.
αὐτοῖς τὴν διὰ τῶν πολεμίων ἐπάξω τιμωρίαν, ὥστε πυρὸς δίκην ἅπαντας ἐπινεμομένην,
μόνον οὐκ ἐκ βάθρων ἁπάσας αὐτῶν ἀφανίσαι τὰς πόλεις.

ΚΕΦ. Θ΄.

“ Μὴ χαῖρε Ἰσραὴλ, καὶ μὴ εὐφραίνου καθὼς οἱ λαοὶ, ὅτι ἐπόρνευσας ἀπὸ κυρίου τοῦ v. 1.
θεοῦ σου. ,, Οὐ τοίνυν παραπλησίως τοῖς λοιποῖς ἀνθρώποις ἁρμόττον ὑμῖν εὐφραίνεσθαι καὶ
χαίρειν· ἐπειδὴ οἱ μὲν οὐδὲ μίαν ἐδέξαντο διδασκαλίαν πρὸς εὐσέβειαν αὐτοὺς ἄγειν οἵαν
τε οὖσαν· ὑμεῖς δὲ μετὰ πολλὴν παίδευσιν τε καὶ ἐπίγνωσιν τοῦ θεοῦ, μοχθηρίᾳ γνώμης τῆς
προσγεγονυίας ὑμῖν γνώσεως ἀποστάντες, ἐπὶ τὴν τῶν εἰδώλων ἐτράπητε θεραπείαν. “ Ἠγά-
πησας δόματα ἐπὶ πᾶσαν ἅλωνα σίτου. ,, Καὶ δὴ καὶ ἀπαρχὰς ἐξ ἁπάντων προσῆγες
τοῖς δαίμοσιν, αὐτοῖς λογιζόμενος τῶν δοθέντων τὴν αἰτίαν. “ Καὶ ἅλων καὶ ληνὸς οὐκ ἔγνω v. 2.
αὐτούς. ,, Δώσετε τοίνυν δίκην ἀξίαν, τῶν καρπῶν τὴν ἀφαίρεσιν. “ Οὐ κατῴκησαν ἐν τῇ v. 3.
γῇ τοῦ κυρίου. ,, Οὐδὲ γὰρ ἐπὶ τῆς γῆς τῆς δοθείσης ὑμῖν μενεῖτε· τὸ γὰρ οὐ κατῴκησαν, ἀντὶ
τοῦ οὐ κατοικήσουσι, τῇ ἐναλλαγῇ τοῦ χρόνου συνήθως χρησάμενος, καθὰ καὶ παρὰ τῷ μα-
καρίῳ Δαυὶδ ἐν πολλοῖς ἡμῖν δέδεικται τοῦτο. Κατῴκησεν Ἐφραὶμ Αἴγυπτον, καὶ ἐν ἀσσυ-

et apud Assyrios polluta comedunt. ,, Inter has aerumnas petent quidem ab Aegypto auxilium, at nullum inde emolumentum capient; sed captivi in Assyriam abacti, servitutis experientur mala. “ Et oblitus est Israhel factoris sui, et aedificavit delubra. Et Iudas multiplicavit urbes munitas: et mittam ignem in civitates eius, et devorabit fundamenta illarum. ,, Creatori suo nullum deferre obsequium voluerunt, sed delubra aedificaverunt ob idolorum culturam. Mox urbes insuper moenibus communire tentabant, quasi aliquod malis remedium ita inventuri. Sed neque haec eis proderunt hilum: tantam enim tamque terribilem, hostium manu, illis poenam infligam, quae ignis instar cunctos consumens, a fundamentis propemodum urbes ipsorum cunctas delebit.

CAP. IX.

“ Noli laetari Israhel, noli exultare sicut populi, quia fornicatus es a domino Deo tuo. ,, Nequaquam decet vos, aeque ac reliquos homines, laetari atque gestire: etenim illi nullam acceperunt doctrinam quae ad veram ipsos religionem ducere posset: vos autem post disciplinam multam, Deique notitiam, mente laeva a scientia vobis tradita recedentes, ad idolorum cultum deflexistis. “ Dilexisti munera super omnem aream tritici. ,, Utique etiam primitias frugum omnium daemonibus obtulisti, quibus datorum tibi bonorum causam imputabas. “ Et area ac torcular non novit eos. ,, Meritam referetis poenam, fructuum privationem. “ Non habitaverunt in terra Domini. ,, Ne in terra quidem vobis concessa manebitis. Namque habitaverunt dicit pro habitabunt, consueta temporum enallage utens, sicut apud beatum

p. 64. v. 4. ἐίοις ἀκάθαρτα φάγονται. ,, Φυγάδες δὲ ἐπὶ τὴν Αἴγυπτον γεγονότες, ἐκεῖθεν ἄκοντες τῇ
τῶν Ἀσσυρίων αἰχμαλωσίᾳ παραδοθήσεσθε πάντες. " Οὐκ ἔσπεισαν τῷ κυρίῳ οἶνον, καὶ
οὐχ ἥδυναν αὐτῷ. ,, Καὶ περὶ μὲν τὰς τῶν εἰδώλων προσφορὰς τοσαύτην ἐπεδείκνυντο τὴν
σπουδὴν καὶ τὴν φιλοτιμίαν, ὥστε ἀπὸ πάσης ἅλωνος αὐτοῖς ἀπαρχὰς διδόναι· τῷ δὲ θεῷ
τῷ πάντων αὐτοῖς αἰτίῳ τῶν ἀγαθῶν, οὐδὲ σπονδὰς οἴνου προσάγειν εἵλοντο πώποτε, οὐδέ
τι ποιῆσαι τῶν ὅσα ἥδειν ἠδύναντο τὸν θεὸν διὰ τὴν τῶν ποιούντων πρόθεσιν· ὡς γὰρ ὁ μα-
* Ps. CIII. 34. κάριος λέγει Δαυίδ *, ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἀντὶ τοῦ ἡδεῖα αὐτῷ καὶ προσηνὴς
φανείη· οὕτως ἐνταῦθα λέγει, οὐχ ἥδυναν αὐτῷ, ἀντὶ τοῦ οὐδὲν τῶν αὐτῷ κεχαρισμένων
εἵλοντο πώποτε ποιῆσαι· εἶτα δεικνὺς ὅτι ὀνειδίζων αὐτοῖς τὴν γνώμην λέγει, οὐ μὴν τοῦ
θείου τούτοις τερπομένου.

" Αἱ θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς· πάντες οἱ ἐσθίοντες αὐτὸν μιανθήσονται. ,,
Τοσοῦτον δὲ ἀφέστηκε τοῦ δεῖσθαι θυσιῶν, ἢ ταύταις ὁρίζεσθαι τὴν οἰκείαν τιμὴν, ὥστε κἂν εἰ
προσαγάγοιεν θυσίας, οὐ δέξεται ταύτας θεός· ἀλλ' ὥσπερ ἂν εἴ τις τοῖς πενθοῦσι προσαγά-
γοι τροφὴν, χαλεπὴν ἡγοῦνται τὴν δοκούντων ἅπασιν ἡδέων τὴν ὄψιν, τῇ τοῦ πένθους μνήμῃ νυτ-
p. 65. τόμενοι, καὶ οὐδὲ προσίεσθαι τῆς προκειμένης ἀνεχόμενοι τροφῆς· καὶ πᾶς δὲ ὅστις οὖν ἐν πένθει
μεταλαμβάνειν ἀναγκαζόμενος τροφῆς, ὥσπερ τινὰ μιασμὸν ἢ λύμην ἡγούμενος τὴν τρο-
φὴν, οὐ προσίεται ταύτην· οὕτω τὰς προσαγομένας αὐτῷ θυσίας, εἰ δή τι τοιοῦτο ποιεῖν
ἐθέλοιεν, ὁρᾷ ὁ θεός· ἡδέως μὲν αὐτὰς παρὰ τῶν εὐγνωμόνως προσαγόντων δεχόμενος,
χαλεπὴν δὲ τὴν προσκομιδὴν τῶν φαύλων καὶ τὴν ὄψιν εἶναι νομίζων, τῇ μνήμῃ τῆς ἀσεβείας, ᾗ
συζῶντες, ἐν εἰρωνείᾳ τινὶ προσάγειν δοκοῦσι τὴν θυσίαν. " Διότι οἱ ἄρτοι αὐτῶν, ταῖς ψυχαῖς
αὐτῶν, οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον κυρίου. ,, Πᾶσα τοίνυν προσκομιδὴ ἣν ἂν ποιῶνται,

quoque Davidem id saepe usuvenire nos demonstravimus. " Habitavit Ephraimus in Aegypto, et apud Assyrios polluta comedunt. ,, Postquam exules in Aegypto fueritis, illinc omnes ad assyriacam captivitatem transferemini. " Non libaverunt Domino vinum, nec ei placuerunt. ,, Et ferendarum utique ad idola oblationum studium tantum ac liberalitatem prae se gerebant, ut ex omni area primitias illis darent: verumtamen bonorum omnium datori Deo, ne vini quidem libamina offerre umquam voluerunt, nec quicquam agere quod Deo iucundum esse potuisset, pro dantis certe proposito. Nam sicut ait beatus David: iucundum sit ei eloquium meum; id est dulce et acceptabile videatur; ita hoc loco, non placuerunt ei, dicitur pro, nihil ei gratum facere umquam voluerunt. Deinde ut demonstret, se illorum mentem increpare, non autem Deum rebus huiusmodi delectari, ait:

" Sacrificia eorum quasi panis luctus ipsis erunt; omnes qui comedent eum contaminabuntur. ,, Tantum abest, ut Deus sacrificiis indigeat, vel his contineatur honor eius, ut etiamsi aliquis ei hostias offerat, non sit has recepturus Deus. Sed quemadmodum si quis lugentibus alimenta afferat, hi nihilominus tristem existimant horum aspectum, qui omnibus iucundus est, quia luctus sui memoria compunguntur, neque attingere oblatos cibos volunt; rursusque quemadmodum quisquis in luctu versans, si cibum capere forte adigatur, habet hunc piaculi ac detrimenti loco, neque ori admovere patitur; ita Deus oblata sibi sacrificia (si quis ita agere voluerit) spectat sane libenter et recipit quae a benivolis dantur; sed molestum sibi iudicat oblationis, quae a malis fiunt, aspectum; atque ob impietatis, in qua illi versantur, memoriam, ironice illi quodammodo videntur hostiam offerre. " Quia panes eorum, animabus ipsorum: non intrabunt in domum Do-

εἰς αὐτοὺς ἀποστραφήσεται, δεκτὴ θεῷ κατ' οὐδένα γινομένη τρόπον· τοῦτο γὰρ λέγει τὸ οὐκ
εἰσελεύσονται εἰς τὸν οἶκον κυρίου· ἀντὶ τοῦ οὐκ ἔσται δεκτὰ θεῷ, οὐδὲ παρόντα αὐτὰ τῷ
κυρίῳ λογιεῖται, πόῤῥωθεν ἀποπεμπόμενος ὡς ἐξ ἀσεβοῦς προσαγόμενα γνώμης· ὡς γὰρ
ὁ θεὸς πρὸς τὸν Καϊν κακῶς προσκεκομικότα λέγει· * πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ * Gen. IV. 7.
ἄρξεις αὐτοῦ· ἀντὶ τοῦ, σοὶ ἀπέστραπται τὰ προσκομισθέντα, καὶ αὐτὸς αὐτῶν ἔσο κύριος·
ἐγὼ δέδεγμαι καθάπαξ οὐδέν· οὕτως ἐνταῦθα λέγει· οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν, ἀντὶ
τοῦ τὰ προσκομιζόμενα παρ' αὐτῶν, αὐτοῖς ἔσται, οὐκ ὄντα θεῷ δεκτά· ἄρτους δὲ ὠνό-
μασε τὰς προσφορὰς, ἐκ μέρους ἁπάσας λέγων τὰς προσφορὰς, ἐπειδὴ καὶ ἄρτους p. 66.
προσφέρειν εἰώθεσαν· ὡς καὶ ἀνωτέρω φησὶν, ἠγάπησαν πέμματα μετὰ σταφίδων.

“ Τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ κυρίου; „ Τοιοῦτοι δὲ v. 5.
περὶ θεὸν γεγονότες, τίνα ἀποφυγὴν εὑρήσετε τῶν κακῶν κατὰ τὴν ἡμέραν ἐκείνην, ἐν ᾗπερ
ἂν ἡ πανήγυρις τε καὶ ἑορτή τις ἐπιτελεῖται τῷ θεῷ ἐπὶ τῇ ἀναιρέσει τῇ ὑμετέρᾳ, ὡς ἂν
ἐχθρῶν αὐτοῦ καὶ πολεμίων κατασφαττομένων δικαίως; “ Διὰ τοῦτο ἰδοὺ πορεύσονται ἐκ v. 6.
ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς· τὸ ἀργύ-
ριον αὐτῶν ὄλεθρος κληρονομήσει αὐτὸ, ἄκανθαι ἐν τοῖς σκηνώμασιν αὐτῶν. „ Ὑμεῖς
μὲν γὰρ μετὰ πολλὴν ταλαιπωρίαν ἣν ὑπομένετε εἰς τὴν Αἴγυπτον ὡς ἐπί τινα καταφεύ-
γοντες σωτηρίαν, ἐκπαθήσεσθε ὑπὸ τῶν ἀσσυρίων εἰς τὴν παρ' ἐκείνοις ἀπαγόμενοι αἰχμα-
λωσίαν· διελεύσεσθε γὰρ τὰς τῆς Αἰγύπτου πόλεις, ποικίλων ὑμᾶς διαδεχομένων κινδύνων·
τοῦτο γὰρ λέγει Μέμφις καὶ Μαχμὰς, ἵνα εἴπῃ ὅτι διελεύσεσθε τῆς Αἰγύπτου τὰς πόλεις,
συντριβόμενοί τε καὶ ἀπολλύμενοι ὑπὸ τῶν ἀσσυρίων· ἀπολεῖται γὰρ καὶ τὰ προσόντα ὑμῖν
ἅπαντα· τάς τε πόλεις ὑμῶν καὶ τὰς χώρας τοσαύτη καταλήψεται ἐρημία, ὥστε ἀκάνθας p. 67.
αὐτόθι φύεσθαι μηδενὸς οἰκοῦντος. “ Ἥκουσιν αἱ ἡμέραι τῆς ἐκδικήσεώς σου, ἥκουσιν ἡ ἡμέραι v. 7.

mini. „ Quaelibet ergo oblatio quam fecerint, ad ipsos revertetur; nam Deo certe nullatenus acceptabilis erit: sic enim valent verba: non intrabunt in domum Domini; id est Deo accepta non erunt, neque sibi praesentia reputabit, sed longe repellet, ceu cum malo mentis habitu oblata. Nam sicut Caino Deus prave offerenti dixit: ad te conversio eius, et tu dominaberis illius; id est ad te revertuntur oblata, tu horum esto dominus; ego enim nihil prorsus admisi: ita hoc etiam loco ait: panes eorum, animabus ipsorum; id est quae ipsi attulerint, sunto illis, quia Deo non sunt acceptabilia. Panum autem nomine nuncupavit oblationes, ex parte cunctas appellans oblationes; nam et reapse panes offerri consuetum erat; sicut et in superioribus dixit: offerebant placentas cum vinaceis.

“ Quid facietis in die sollemni, in die festivitatis Domini? „ Tales cum erga Deum fueritis, quodnam effugium invenietis malorum die illa, qua sollemnem veluti conventum ac festum celebrabit Dominus ob vestrum peractum supplicium, qui tamquam eius adversarii et hostes iure meritoque perempti fuistis? “ Quapropter ecce abibunt de miseria Aegypti, et excipiet eos Memphis, et sepeliet eos Machmas. Argentum eorum possidebit interitus, spinae in tabernaculis ipsorum. „ Enim vero vos post miseriam quam pertulistis in vestro ad Aegyptum, quasi ad salutis locum, perfugio, abstrahemini illinc ab Assyriis ad serviendam apud ipsos servitutem. Pertransibitis Aegypti urbes, varia permutantes pericula: nominat autem Memphim et Machmas, ut dicat transituros eos per Aegypti urbes, adflictos et perditos ab Assyriis. Peribunt autem simul vestra omnia; tantaque vestras urbes atque regiones occupabit solitudo, ut illic nemine habitante spinae succrescant.

τῆς ἀνταποδόσεώς σου. „ Ὑπομενεῖς δὲ ταῦτα τότε ἐγγίζοντος τοῦ καιροῦ καθ' ὃν ἐκδικη-
θῆναί σου χρὴ τὴν ἀσέβειαν, καὶ ἀποδοθῆναί σοι πρέποντα ὧν διαπραττόμενος ἠσέβεις.
" Καὶ καθίσεται Ἰσραὴλ ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκώς, ἄνθρωπος ὁ πνευματο-
φόρος. „ Ἐν τοσούτοις δὴ γενήσῃ τοῖς κακοῖς, ὥστε μηδὲν ἀπεοικέναι ψευδοπροφήτου, εἰς
ἔκστασιν πολλὴν ἐκ τῆς τοῦ πονηροῦ πνεύματος ἐνεργείας καταστάντος, καὶ οὐδὲ τῶν παρόντων
αἴσθησιν ἔχοντος· οὕτως ἔξω τῶν σαυτοῦ φρενῶν ἐκ τοῦ μεγέθους γενήσῃ τῶν κακῶν· τίνος
ἕνεκεν; " Ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία. „ Ἐπειδὴ πολλῇ μὲν ἀδικίᾳ
συνέζης, πολλῇ δὲ τῇ περὶ τὰ εἴδωλα μανίᾳ σαυτὸν ἐκδεδώκεις παντελῶς.
v. 8. " Σκοπὸς Ἐφραὶμ μετὰ θεοῦ· προφήτης παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς αὐτοῦ. „
Ἐχρῆν μὲν γάρ σε σκοπὸν εἶναι τοῦ καλοῦ ἑτέροις, καὶ μετὰ θεοῦ διδάσκειν τοὺς λοιποὺς τὸ δέον,
ἅτε παρ' αὐτοῦ μεμαθηκότα τοῦτο· γέγονας δὲ τὸ ἐναντίον ὁδὸς ἅπασιν τοῦ χείρονος· ὥστε
μηδὲν ἀπεοικέναι χαλεπῆς παγίδος κινδύνῳ περιβαλλούσης τοὺς ἐμπίπτοντας· οὕτως
p. 68. ἅπασι νόμος ἐγίνου τῆς ἀσεβείας. " Μανίαν ἐν οἴκῳ θεοῦ αὐτοῦ κατέπηξεν. „ Εἰδωλολα-
τρείας γὰρ πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας ἐπλήρωσας· οἶκον γὰρ θεοῦ τὴν γῆν τῆς ἐπαγγελίας
v. 9. καλεῖ, ὡς οἰκουμένην ὑπὸ θεοῦ. " Ἐφθάρησαν κατὰ τὰς ἡμέρας βουνοῦ. „ Καὶ μετέστητε
πάντες ἐκ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον, διαφθορὰν ἐννοιῶν ὑπομεμενηκότες, οὐδὲν ἀπεοι-
κυῖαν τῶν ποτὲ κατὰ τὴν ἔρημον ἀσεβησάντων, οἳ μόσχον ποιήσαντες ἔλεγον· οὗτοι οἱ θεοί σου
Ἰσραὴλ οἳ ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου· ἡμέρας γὰρ τοῦ βουνοῦ τὸν καιρὸν ἐκεῖνον καλεῖ·
ἀκολούθως οὖν ἐκείνοις διεφθάρητε, ἀντὶ τοῦ τὴν αὐτὴν ἐκείνοις ἐδέξασθε νόσον. " Μνησθή-
σεται τῶν ἀδικιῶν αὐτῶν, ἐκδικήσει ἁμαρτίας αὐτῶν. „ Ἀκολούθως τοίνυν μνήμην τῶν ἀσε-
βειῶν ὑμῶν ποιησάμενος, λήψεται δίκας παρ' ὑμῶν ἀναλόγους οἷς ἡμαρτήκατε εἰς αὐτόν.
v. 10. *cod. σκοπόν. " Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, καὶ ὡς σῦκον * ἐν συκῇ πρόϊμον εἶδον πα-

" Veniunt dies ultionis, veniunt dies retributionis. „ Haec autem tunc perferes, propinquante iam tempore, quo tuam oportet impietatem ulcisci, et iniqua opera tua remunerari. " Et sedebit Israhel tamquam propheta insaniens, tamquam homo spiritu agitatus. „ In tantum malorum devenies, ut nihil differas a falso propheta in gravem extasim mali spiritus operatione coniecto, ac ne illa quidem sentiente quae ante pedes sunt. Adeo deiectus mente eris, propter malorum gravitatem! Cur? " Multitudine iniquitatum tuarum multiplicata fuit insania. „ Quia nempe multa cum iniquitate vixisti, teque omnino idolorum insaniae addixisti.

" Scopus Ephraimus cum Deo: propheta laqueus tortuosus super omnes vias eius. „ Oporteret sane te esse ceteris exemplar et quasi scopum honesti, Deoque iuvante docere alios virtutem, quam tu ipse a Deo didiceras; sed contra factus es ad vitium via; ita ut nihil a tristi laqueo differas incurrentibus periculoso. Sic omnibus impietatis regula existis. " Insaniam in domo Dei sui defixit. „ Idololatriâ universam terram promissionis implesti: nam Dei domum terram promissionis appellat, utpote a Deo habitatam. " Corrupti sunt sicut in diebus collis. „ Cuncti a virtute ad vitium conversi estis, mentis corruptionem experti haud dissimilem illis qui in deserto irreligiosi fuerunt, quique vitulo conflato dicebant: hi sunt dii tui, o Israhel, qui te eduxerunt de terra Aegypti. Nam dies collis tempus illud appellat. Igitur haud secius illis corrupti estis, id est parem illis morbum contraxistis. " Recordabitur iniquitates eorum, ulciscetur peccata eorum. „ Consequenter itaque, revocata iniquitatum vestrarum memoria, sumet de vobis poenas, peccatis vestris congruas. " Quasi uvam in deserto inveni Israhelem, et quasi ficum in

τέρας αὐτῶν. „ Ἐγὼ μὲν οὖν τοσαύτην ἐπεδειξάμην περὶ τοὺς πατέρας αὐτῶν διάθεσιν,
μεθ' ὅσης ἂν ἢ ἐν ἐρήμῳ σταφυλὴν ἴδοι τις παρὰ πᾶσαν εὑρὼν ἐλπίδα, ἢ σῦκον ἐπὶ τοῦ
δένδρου πρὸ τοῦ εἰωθότος φανὲν καιροῦ. “ Αὐτοὶ δὲ εἰσῆλθον πρὸς Βεελφεγὼρ, καὶ ἀπηλλο-
τριώθησαν εἰς αἰσχύνην, καὶ ἐγένοντο ὡς οἱ ἐβδελυγμένοι. „ Οἱ πρὸς τὴν τοῦ εἰδώλου προσ-
κύνησιν νεύσαντες, τὴν ἀλλοτρίωσιν εἵλοντο τὴν ἀπ' ἐμοῦ, οὐδὲν ἕτερον ἢ αἰσχύνης ἑαυτοὺς πάσης p. 69.
δεικνύντες ἀξίους, ὅτι ἀπὸ Θεοῦ τοῦ τοσούτων αὐτοῖς ἀγαθῶν αἰτίου γεγονότος, ἐπὶ εἴδωλον
μετέστησαν, οὗ μηδὲν εἰλήφεσαν ἀγαθόν· ὅθεν δὲ καὶ βδελυκτοὶ γεγόνασιν, ὑπὸ τοῖς ἐχθροῖς
πεπτωκότες τοῖς οἰκείοις. Ταῦτα περὶ ἐκείνων εἰπὼν, ἐπάγει.

“ Ἐφραὶμ ὡς ὄρνεον ἐξεπετάσθη. „ Βουλόμενος ἐκεῖνο στῆσαι, τὸ ἐφθάρησαν κατὰ τὰς v. 11.
ἡμέρας τοῦ βουνοῦ· ἀκολούθως γὰρ δή, φησιν, καὶ οὗτοι τοῖς πατράσι τοῖς ἑαυτῶν μετὰ τοσαύτην
κηδεμονίαν ἧς ἔτυχον παρ' ἐμοῦ, ὀρνέου δίκην ἀπέπτησαν τῆς γνώμης. “ Αἱ δόξαι αὐτῶν
ἐκ τοκετῶν καὶ ὠδίνων καὶ συλλήψεων. „ Εἶτα τοιαῦτα ἀσεβοῦντες, μακαριστοὺς ἑαυτοὺς
νομίζουσιν εἶναι ἐπὶ τῇ πολυπληθίᾳ· τοῦτο γὰρ λέγει τὸ ἐκ τοκετῶν καὶ ὠδίνων καὶ συλλήψεων·
ἐπειδὴ ἐκ συλλήψεως καὶ ὠδῖνος καὶ τοκετοῦ πρόεισι τὸ τικτόμενον. “ Διότι καὶ ἐὰν ἐκ- v. 12.
θρέψωσι τὰ τέκνα αὐτῶν, ἀτεκνωθήσονται ἐξ ἀνθρώπων. „ Οὐ συλλογιζόμενοι ὅτι κἂν
εἰς ἄκραν ἀφίκοιντο τὰ τικτόμενα τελείωσιν, οὐδὲν αὐτοῖς ἐκ τούτου γενήσεται πλέον· περι-
αχθήσονται γὰρ ταῖς τοῦ πολέμου σφαγαῖς εἰς ἀτεκνίαν. “ Διότι καὶ οὐαὶ αὐτοῖς, διότι ἀφῆκα
αὐτούς. „ Ἐμοῦ γὰρ τῆς κηδεμονίας αὐτοὺς χωρίσαντος τῆς ἐμῆς, ὄλεθρος αὐτοὺς μένει καὶ
ἀπώλεια. “ Σάρξ μου ἐξ αὐτῶν. „ Καί τοι γε τοσαύτη μοι τις ἦν ἡ σχέσις περὶ αὐτοὺς τὸ p. 70.
πρότερον, ὥστε νομίζειν ἐξ αὐτῶν εἶναι με· τοιαύτην τε περὶ αὐτοὺς ἔχειν τὴν γνώμην, οἵαν
εἰκὸς ἔχειν τοὺς ἔκ τινων ὑπειληφότας εἶναι. “ Ἐφραὶμ ὃν τρόπον εἶδον εἰς θήραν παρέστη τὰ v. 13.
τέκνα αὐτοῦ· καὶ Ἐφραὶμ τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ. „ Ἀλλὰ τοιαύ-

ficulnea praecocem patres vestros vidi. ,, Equidem tantum exprompsi erga patres vestros affectum, quantum quisque experitur si forte in deserto uvam videat praeter omnem spem oculis oblatam, vel ficum in arbore ante consuetum tempus extantem. “ Ipsi autem intraverunt ad Beelphegor, et abalienati sunt in confusionem, et facti sunt abominabiles. ,, Qui ad adorandum idolum declinaverunt, a me semet abalienarunt, nulla re alia quam confusione dignos se ostendentes, quoniam a Deo tantorum illis bonorum auctore ad idolum transfugerunt, a quo nihil boni acceperant. Quare et abominabiles facti, sub hostium suorum iugum missi sunt. Postquam haec de illis dixit, addit:

“ Ephraimus quasi avis avolavit. ,, Vult nimirum ostendere illud: corrupti sunt sicut in diebus collis. Isti enim aeque ac patres eorum post tantam meam providentiam, avis instar a sententia propria avolarunt. “ Gloriae ipsorum a partubus, ab uteris, et a conceptibus. ,, Deinde cum tanta peccaverint, beatos se existimant ob populi multitudinem: id enim denotatur per verba partubus, uteris, conceptibus; quandoquidem ex conceptu, uteri gestatione, partuque res nata existit. “ Propterea, quantumvis filios suos enutrierint, absque liberis fient inter homines. ,, Non considerant, quod etiamsi ad perfectum statum nati filii pervenerint, nihil inde lucrabuntur: etenim belli caedibus ad orbitatem redigentur. “ Sed et vae eis, quoniam eos dereliqui! ,, Me illos patrocinio meo spoliante, exitium ipsos manet atque perditio. “ Caro mea ex eis. ,, Attamen ego olim tanto eos affectu diligebam, ut me quasi consanguineum ipsorum existimarem: talique erga eos animo essem, quales eos esse oportet qui ab aliquo naturam suam acceperunt. “ Ephraimus, quemadmodum vidi,

τὴν ἔχοντός μου περὶ αὐτοὺς πρότερον τὴν σχέσιν, ἐπειδὴ πρὸς τὸ χεῖρον ἐξάπτισαν παν-
τελῶς, τἀναντία αὐτοῖς τῶν πρόσθεν συμβήσεται, καὶ ὥσπερ θήρα τῶν πολεμίων χερσὶ
v. 14. παραδοθήσονται· ὑφ' ὧν κεντούμενοί τε ἀναιρεθήσονται καὶ τιτρωσκόμενοι πάντες. " Δὸς
αὐτοῖς κύριε· τί δώσεις αὐτοῖς; δὸς αὐτοῖς μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηρούς. ,, Δικαίαν
δὲ καὶ ἁρμόττουσαν ταύτην ὑπομενοῦσι τιμωρίαν, τὸ ἀτεκνίᾳ τε αὐτοὺς περιβληθῆναι, καὶ τὰ
τικτόμενα ἐκτρέφειν μὴ δύνασθαι· ὡς ἂν τοιούτους ὄντας παντελὴς ἀπώλεια λάβοι.
v. 15. Εἶθ' ὡς ἂν τὰ παρὰ τοῦ θεοῦ αὐτοῖς ἐπαχθησόμενα δικαίως εἰπών, ἐπάγει λοιπὸν τὰ
ἑξῆς. " Πᾶσαι αἱ κακίαι αὐτῶν ἐν Γαλγάλοις· ὅτι ἐκεῖ αὐτοὺς ἐμίσησα διὰ τὰς κακίας τῶν
ἐπιτηδευμάτων. ,, Αὐτόθι πᾶν εἶδος ἀσεβείας μετήεσαν, ὑπὲρ ὧν δὴ καὶ ἐμίσουν τοιαῦτα
πράττοντας δικαίως. " Ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς. ,, Τῆς γῆς φησὶ τῆς ἐπαγγελίας
p. 71. αὐτοὺς ἐκβαλῶ· οἶκον ἑαυτοῦ καλῶν γῆν πᾶσαν, ὡς ἐν αὐτῇ διάγειν ἑλόμενος. " Οὐκέτι
μὴ προσθῶ τοῦ ἀγαπῆσαι αὐτούς· πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες. ,, Μένω δὲ βέ-
βαιον ἔχων περὶ αὐτοὺς τὸ μῖσος, ἐπειδὴ πάντες μὲν νενεύκασιν εἰς ἀπείθειαν· ἡγοῦνται
v. 16. δὲ μάλιστα τῶν κακῶν οἱ ἀρχὴν ἐν αὐτοῖς δοκοῦντες. ,, Ἐπόνεσεν Ἐφραΐμ, τὰς ῥίζας αὐτοῦ
ἐξηράνθη· καρπὸν οὐκέτι οὐ μὴ ἐνέγκῃ. ,, Ἐκ μεταφορᾶς τῶν δένδρων εἶπεν ὅτι ἄρδην
ἀπολοῦνται, καθ' ὁμοιότητα ἐκείνων ἃ τῆς ῥίζης διαφθαρείσης ξηραίνεται παντελῶς, καρπὸν
οὐκέτι φέρειν οἷά τε ὄντα. " Διότι ἐὰν καὶ τεκνώσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα τῆς
v. 17. κοιλίας αὐτῶν. ,, Ἀφανιῶ γὰρ δὴ καὶ τοὺς ἐξ αὐτῶν ἅπαντας, φησίν. " Ἀπώσεται αὐτοὺς
ὁ θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν. ,, Ἀλλοτρίους γὰρ
πάντας αὐτοὺς τῆς οἰκείας ἐργάσεται κηδεμονίας, οὐ βουληθέντας ἀκοῦσαι τε αὐτοῦ καὶ πρὸς
μεταμέλειαν ἰδεῖν· ὑπὲρ ὧν δὴ ληφθέντες, αἰχμάλωτοι παρὰ τοῖς ἀλλοτρίοις ἔσονται, τῇδε
κἀκεῖσε περιάγειν τε καὶ πλανᾶσθαι ὑπὸ τῆς ἄγαν ἐνδείας ἠναγκασμένοι.

in praedam obtulit filios suos. Ephraimus, inquam, eduxit ad interfectionem filios suos. ,, Nihilominus, etiamsi tam bene erga eos affectus antea fuerim; quia mox ad nequitiam omnimodam declinaverunt, contraria prioribus experientur, ac veluti praeda hostium manibus tradentur, a quibus omnes vulneribus confossi interibunt. " Da eis, Domine. Quid eis dabis? Da eis vulvam sine liberis, et ubera arentia. ,, Iustam convenientemque perferent huiusmodi poenam, nempe ut sterilitate multentur, nec liberos enutrire queant; donec, tales cum sint, generali interitu pereant.

Dein postquam iuste a Deo infligenda ipsis mala edixit, subiungit reliqua. " Omnes nequitiae eorum in Galgalis, quia ibi exosos habui eos propter malitiam adinventionum. ,, Ibi omne genus impietatis sectati sunt, ideoque eos ita se gerentes merito odi. " De domo mea eiiciam eos. ,, De terra, inquit, promissionis eos expellam; domum suam appellans universam regionem, quia ibi habitare decreverat. " Haud ultra addam ut diligam eos: cuncti principes inobedientes. ,, Iram adversus eos retinebo, quia cuncti ad inobedientiam deflexerunt: duces vero ad malitiam sunt, qui principatum inter eos tenere videntur. " Doluit Ephraimus, radices eius exsiccatae sunt. ,, Sumpta ab arboribus metaphora, dicit funditus illos perituros, quemadmodum illae corrupta radice prorsus exarescunt, neque ulterius fructum ferre valent. " Quod et si genuerint, interficiam desiderabilia uteri eorum. ,, Cunctos, inquit, ex eis natos perdam. " Abiiciet eos Deus, quia non audierunt eum, et erunt vagi in nationibus. ,, Alienos faciet omnes a cura sua, qui noluerunt ei auscultare, et ad paenitentiam respicere. Quamobrem bello capti, apud extraneos captivi erunt, et hac illac circumagi et errare propter extremam egestatem cogentur.

ΚΕΦ. Ι΄.

“ Ἄμπελος εὐκληματοῦσα Ἰσραήλ. „ Διήλλαττεν οὐδὲν ὁ Ἰσραὴλ τῷ πλήθει κλή- v. 1.
μασι πλείστοις τε καὶ μεγίστοις κομώσης ἀμπέλου. “ Ὁ καρπὸς εὐθηνῶν αὐτῆς. „ Καὶ ἐπε-
δίδοσαν καθ᾽ ἑκάστην ἡμέραν εἰς πλῆθος, πολλῶν ὄντων τῶν ἐξ αὐτῶν τικτομένων διὰ τὴν p. 72.
περιοῦσαν αὐτοῖς εὐπραγίαν. “ Κατὰ τὸ πλῆθος τῶν καρπῶν αὐτοῦ, ἐπλήθυνεν θυσια-
στήρια. „ Οἱ δὲ τὴν πολυπληθίαν, ἣν περ διὰ τῆς εὐλογίας καθίσαντο τοῦ θεοῦ, ἠμείβοντο
ἀσεβείας ἐπιτάσει πολλῇ· ἀνάλογον γὰρ τοῦ ἀριθμοῦ τοῦ οἰκείου, ἐπὶ τιμῇ τῶν εἰδώλων ἀνίστων
θυσιαστήρια. “ Κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ, ᾠκοδόμησε στήλας. „ Καὶ πολλῶν ἀπο-
λαύοντες τῶν ἐκ τῆς γῆς ἀγαθῶν, στήλας ἀντ᾽ ἐκείνων ἐπὶ θεραπείᾳ τῶν εἰδώλων ἀνίστων.
“ Ἐμέρισαν καρδίας αὐτῶν. „ Καὶ τοσαύτη τις ἦν αὐτῶν ἡ περὶ τὰ εἴδωλα μανία, v. 2.
ὥστε διαιρεῖσθαι τὴν διάνοιαν αὐτοῖς ἐν τῇ περὶ τὰ εἴδωλα σπουδῇ, τῶν μὲν ταῦτα τῶν δὲ
ἐκεῖνα θεραπεύειν ἐσπουδακότων. “ Νῦν ἀφανισθήσονται. „ Ὑπομένουσι δὲ δικαίαν ὑπὲρ
τούτων τὴν ἀπώλειαν. “ Αὐτὸς κατασκάψει τὰ θυσιαστήρια αὐτῶν. „ Ὁ γὰρ ἀμελούμενος
παρ᾽ αὐτῶν θεὸς, αὐτὸς ἀνατροπὴν ἐργάσεται πάντων τούτων, ἃ μετ᾽ ἀσεβείας ἐπὶ τῇ τῶν
εἰδώλων ἀνίστων θεραπείᾳ. “ Ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν. „ Ἀσθενήσουσι δὲ κἀκεῖναι
καθαιρεθεῖσαι.

“ Διότι νῦν ἐροῦσιν, οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν θεόν· ὁ δὲ βασι- v. 3.
λεὺς τί ποιήσει ἡμῖν; λαλῶν ῥήματα προφάσεις διαθήσεται διαθήκην. „ Νῦν γὰρ αἰσθή- v. 4.
σονται τῆς ἑαυτῶν ἀβουλίας, μεθ᾽ ἧς εἵλοντο βασιλέα παρὰ τὸ δοκοῦν τῷ θεῷ· καὶ ὅτι ὑπὲρ p. 73.
ὧν οὐ φοβηθέντες τὸν θεὸν, βασιλείαν ἀνέδειξαν κενήν τινα καὶ παράνομον, ἀπεναντίας τῇ
τοῦ Δαυὶδ διαδοχῇ κατ᾽ ἐπαγγελίαν βασιλευούσῃ θείαν, ἀφῄρηται μὲν αὐτῶν ἡ βασιλεία,

CAP. X.

“ Vitis frondosa Israhel. „ Ob populi sui multitudinem haud est dissimilis Israhel viti palmitibus plurimis maximisque comanti. “ Fructus eius abundans. „ Multido eorum quotidie augetur, multis inde nascentibus ob lautam felicitatem. “ Iuxta ubertatem fructuum suorum multiplicarunt altaria. „ Hi tamen exuberantiam populi, quam Dei benedictione erant adepti, remunerati sunt grandi impietatis incremento: parem enim numero suo, in idolorum honorem altarium copiam exstruxerunt. “ Quot erant terrae suae bona, totidem statuit simulacra. „ Multis terrae bonis fruentes, pro his simulacra honorandis idolis erexerunt. “ Corda sua diviserunt. „ Tantaque illorum erga idola extitit devotionis insania, ut mens ipsorum circa idolorum studium varia fuerit; aliis haec, aliis illa idola colentibus. “ Nunc interibunt. „ Iustam perferent ob haec punitionem. “ Ipse suffodiet altaria eorum. „ Etenim neglectus ab eis Deus omnia haec subvertenda curabit, quae impie ad idolorum cultum erexerant. “ Male eveniet titulis eorum. „ Hi quoque corruent in destructionem.

“ Propterea nunc dicent: non est rex nobis, quia non timuimus Deum. Rex autem quid faciet nobis? Loquens verba quasi praetextûs, foedus disponet. „ Nunc enim inconsiderantiam suam agnoscent, qua regem sibi delegerunt praeter Dei voluntatem: et quod omisso timore Dei, vanum quoddam et illegitimum regnum sibi constituerunt, adversus Davidis successionem iuxta Dei promissum regnantem: ideoque et hoc ipsorum regnum deletum est, omnesque captivitati traditi; nullumque

αἰχμαλωσίᾳ δὲ παραδέδονται πάντες· κέρδος δὲ αὐτοῖς ἐκ τοῦ βασιλέως προσγέγονεν οὐδέν· τοὐναντίον μὲν οὖν ἀπατηλοῖς χρησάμενος ῥήμασι, διαθήκην μοχθηρὰν τινὰ μετ᾽ αὐτῶν ἐποιήσατο· ὥστε ἀποστῆναι μὲν τοῦ θεοῦ, προσκυνεῖν δὲ τὰς ὑπ᾽ αὐτοῦ κατασκευασθείσαις δαμάλεσιν. " Ἀνατελεῖ ὡς ἄγρωστις κρίμα ἐπὶ χέρσον ἀγροῦ. ,, Κρινεῖ γὰρ ὁ θεὸς τὴν παράνομον αὐτῶν τόλμαν, τοιαύτην ἐπαγαγὼν αὐτοῖς ἀντὶ τούτου τὴν τιμωρίαν, ὡς ἀνθῆσαι τε, καὶ μεγίστην τινὰ καὶ φοβερὰν φανῆναι τὴν κατ᾽ αὐτῶν γινομένην κρίσιν τοῦ θεοῦ· οὐχ ἧττον ἢ ἄγρωστις ἀθρόον φυεῖσα πολλὴν ἐν χέρσῳ ποιήσαιτο τὴν ἐπίδοσιν τῆς οἰ-
v. 5. κείαν. " Τῷ μόσχῳ τοῦ οἴκου Ὢν παροικήσουσιν οἱ κατοικοῦντες Σαμάρειαν. ,, Προσε-
δρεύσουσι μὲν γὰρ ἅπαντες ταῖς θεραπευομέναις ὑπ᾽ αὐτῶν δαμάλεσι τῶν κακῶν ἐπεληλυθό-
των, ἐλπίδι τοῦ τινὸς τυχεῖν βοηθείας ἐκεῖθεν. " Ὅτι ἐπένθησεν ὁ λαὸς αὐτοῦ ἐπ᾽ αὐτόν. ,,
Ὄνησιν δὲ ἐντεῦθεν δέξεται οὐδεμίαν· τοὐναντίον μὲν οὖν καὶ αὐτὰς πενθήσουσι τὰς δαμά-
p. 74. λεις, τὴν καθαίρεσιν αὐτῶν ὁρῶντες φοβερὰν τινὰ ταῖς τῶν πολεμίων γινομένην χερσίν.
" Καὶ καθὼς παρεπίκραναν αὐτόν, ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ. ,, Πολλῇ μὲν γὰρ
οἱ πολέμιοι χρήσονται κατὰ τῶν εἰδώλων τῇ ἀτιμίᾳ· πολλῆς δὲ τινὸς πλησθήσονται τῆς ἡδονῆς
ὁρῶντες αὐτῶν ἀφῃρημένην τὴν δόξαν, ἣν τὸ πρότερον εἶχον ψευδῶς παρὰ τοῖς ἐσπουδα-
* Ps. XXXVII. 17. κόσιν αὐτὰ θεραπεύειν· ὡς ὁ μακάριος λέγει Δαυίδ· * μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθροί μου·
ἀντὶ τοῦ μὴ ἡσθεῖεν, τὰ δοκοῦντα αὐτοῖς ἐκβάντα θεασάμενοι εἰς ἐμέ· οὕτως ἐνταῦθα λέγει
τὸ ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ, ἀντὶ τοῦ ἡσθήσονται ὁρῶντες αὐτὰ τῆς δόξης ἀφῃρη-
μένα τῆς οἰκείας. " Ὅτι μετῳκίσθησαν ἀπ᾽ αὐτοῦ. ,, Πᾶσαν γὰρ αὐτῶν ἀφῃρημένην ὁρῶσιν
τὴν δόξαν ἣν πρόσθεν εἶχον οὐ δικαίως.

v. 6. " Καὶ αὐτὸν εἰς Ἀσσυρίους δήσαντες, ἀπήνεγκαν ξένια τῷ βασιλεῖ Ἰαρείμ. ,, Οἱ
γὰρ δὴ πρότερον αὐτὰ θεραπεύειν δοκοῦντες, ἐπικειμένους τοὺς Ἀσσυρίους ὁρῶντες, ἅτε ἐκ
χρυσοῦ κατεσκευασμένας τὰς δαμάλεις, συντρίψαντές τε καὶ συνδήσαντες, ὡς ἂν εἰ χρυσὸν

ipsis a rege suo emolumentum extitit. Nihilominus hic (rex) fraudulentis verbis utens, improbum foedus quoddam cum illis iniverat, nempe a Deo recedendi, et fabricatas a se iuvencas adorandi. " Orietur sicut gramen iudicium in inculto agro. ,, Iudicabit Deus facinus illorum iniquum, poenam tantam ob id eis imponens, ut efflorescat quodammodo, gravissimumque et terribile visurum sit Dei contra hos iudicium: haud aliter quam repente natum in deserto solo gramen, multum statim incrementum capit. " Apud vitulum domus On morabuntur, qui habitant Samariam. ,, Adsidebunt utique omnes cultis a se iuvencis, ingruentibus malis, opis alicuius illinc impetrandae spe. " Quia luxit super eum populus eius. ,, Sed nullam inde referet utilitatem: immo potius et ipsas lugebunt iuvencas, dum illarum destructionem spectant, terribilem enimvero, hostium manibus perpetratam. " Et quemadmodum illum irritaverant, gaudebunt super gloria eius. ,, Multam hostes idolis facient ignominiam: multaque veluti redundabunt voluptate, dum ereptam his gloriam conspicient, quam antea, fallacem licet, habebant abs suorum adorantium studio. Sicut beatus ait David: ne supergaudeant mihi inimici mei; ac si dicat: ne iucundentur, dum suos adversus me successus vident. Ita hoc loco, gaudebunt super gloria eius, ponitur pro, iucundabuntur videntes idola proprio honore spoliata. " Quia migraverunt ab eo. ,, Cunctam enim suam ablatam gloriam vident, quam immerito antea tenebant.

" Atque ipsum alligantes tulerunt munera regi Iarim. ,, Qui antea colere idola videbantur, nunc irruptionem Assyriorum videntes, fabricatas auro iuvencas conte-

κοινὸν ἀποκομίζειν μέλλοντες ἀποίσουσιν ὥσπερ τι ξένιον τῷ βασιλεῖ τῶν αἰγυπτίων, βοή-
θειαν εὑρέσθαι τινὰ προσδοκῶντες ἐκεῖθεν· τοῦτο γὰρ αὐτοῖς πολλαχοῦ φαίνεται ὀνειδίζων
ὁ προφήτης, ὅτι τὴν παρὰ τῶν αἰγυπτίων βοήθειαν ἀνέμενον ματαίως. Τί δὲ γενήσεται; p. 75.
“ Ἐν δόματι Ἐφραὶμ δέξεται αἰσχύνην. ,, Ὑπὲρ γὰρ τῆς δόσεως καὶ τῆς τοῦ ξενίου προσκο-
μιδῆς, αἰσχυνθήσεται ὁ Ἐφραὶμ, ὡς οὐδὲν ὠφελήσας, ἀλλὰ μάτην τῇ σπουδῇ χρησά-
μενος ταύτῃ. “ Ἐν τῇ βουλῇ αὐτοῦ αἰσχυνθήσεται Ἰσραήλ. ,, Ἀποτεύξεται τῆς προσδο-
κίας ὡς εἰκὸς τῆς οἰκείας. “ Ἀπέρριψε Σαμάρεια βασιλέα ἑαυτῆς ὡς φρύγανον ἐπὶ προσ- v. 7.
ώπου ὕδατος. ,, Τῆς μὲν γὰρ μηχανῆς ἐκείνης καὶ τῆς ἐπιχειρήσεως ἀποίσονται κέρδος οὐδέν·
κρατηθήσονται αἰχμάλωτοι πάντες, ληφθέντος αὐτῶν καὶ τοῦ βασιλέως, ὃς δίκην φρυ-
γάνων ἐν ὕδατι φερομένων ὑπὸ τῶν ἀσσυρίων ληφθεὶς, εἰς τὴν ἀλλοτρίαν ἀπαχθήσεται χώραν,
ἀγόμενος ἧπερ ἂν τοῖς λαβοῦσι δοκῇ. “ Καὶ ἐξαρθήσονται βωμοὶ Ὢν, ἁμαρτήματα τοῦ v. 8.
Ἰσραήλ. ,, Παύσεται ἡ περὶ τὰ εἴδωλα θεραπεία, δι' ὧν ἡμάρτανεν εἰς θεὸν ὁ Ἰσραήλ.
“ Ἄκανθαι καὶ τρίβολοι ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν. ,, Ἐν τοσαύτῃ γενήσεται
ἐρημίᾳ, ὡς μηδενὸς ἐπιβαίνοντος, ἀκάνθας καὶ τριβόλους ἐν τοῖς τῶν θυσιαστηρίων εἶναι
τόποις. “ Καὶ ἐροῦσι τοῖς ὄρεσι καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς πέσετε εἰς ἡμᾶς. ,, Ἐπι-
θυμήσουσιν ὑπὸ τούτοις γεγονότες σύντομον ὑπομεῖναι τὴν ἀπώλειαν, ἢ τὴν κατὰ μέρος ἀνέ- p. 76.
χεσθαι τιμωρίαν.

“ Ἀφ' οὗ οἱ βουνοὶ ἥμαρτον Ἰσραήλ. ,, Ἐντεῦθεν αὐτοῖς καὶ ἡ περὶ τὸ ἁμαρτάνειν v. 9.
γέγονε σπουδὴ, ἐκ τοῦ τὸν θεὸν ἀφέντας περὶ τοὺς βουνοὺς καὶ τὴν τῶν εἰδώλων ἔχειν θεραπείαν.
“ Ἐκεῖ ἔστησαν. ,, Ἀλλὰ γὰρ παύεται αὐτῶν ἡ παρανομία διὰ τῆς τιμωρίας. “ Οὐ μὴ
καταλάβῃ αὐτοὺς ἐν τῷ βουνῷ. ,, Ἀφέξει γὰρ αὐτοὺς ἡ αἰχμαλωσία τῆς περὶ τοὺς βουνοὺς
σπουδῆς· ὡς μηκέτι μὲν ἐν τῇ τῶν βουνῶν εὑρίσκεσθαι θεραπείᾳ, ἀσχολεῖσθαι δὲ περὶ τὰ ἐκ
τῆς αἰχμαλωσίας κακά. “ Πόλεμος ἐπὶ τέκνα ἀδικίας ἦλθεν. ,, Ταῦτα γὰρ ἔσται ὑπὲρ

rent atque colligabunt, ut tamquam profanum aurum deferant munus regi Aegyptiorum, aliquid inde opis sperantes. Id enim videtur eis saepe exprobrare propheta, quod ab Aegyptiis auxilium frustra expectarent. Quid autem fiet? “ In domo Ephraimus capiet ignominiam. ,, Propter oblationem munusque illud confundetur Ephraimus, nullo emolumento potitus, sed eo officio temere functus. “ In consilio suo verecundabitur Israhel. ,, Expectatione sua merito frustrabitur. “ Abiecit Samaria regem suum sicut sarmentum super faciem aquae. ,, Machinationis illius ac facinoris nullum referent lucrum: tenebuntur captivi omnes, rege quoque ipsorum capto: qui tamquam sarmenta in aquis agitata, ab Assyriis comprehensus in alienam asportabitur terram, hac illac circumductus prout victoribus libitum fuerit. “ Et disperdentur arae On, peccatum Israhel. ,, Cessabit idolorum cultura, quorum causa peccavit Israhel contra Deum. “ Spinae ac triboli ascendent super altaria eorum. ,, In tanta erunt haec solitudine, ut nemine iam accedente, spinae ac tribuli in altarium locis futuri sint. “ Et dicent montibus: operite nos; et collibus: cadite super nos. ,, Optabunt sub his sepulti compendiarium perpeti exitium, potius quam particulatim puniri.

“ Ex quo colles sunt, peccavit Israhel. ,, Hinc eis extitit peccandi voluntas, quia nempe Deo relicto, in collibus superstitionem idolorum exercebant. “ Ibi steterunt. ,, Sed ecce scelus eorum desinit propter punitionem. “ Non comprehendet eos in colle. ,, Scilicet eos captivitas a frequentandis collibus prohibebit: atque in collium religionibus iam non invenientur, captivitatis aerumnis occupati. “ Bellum

v. 10. ὧν ἠδίκουν, καὶ ἠσέβουν ἐπενεχθέντος αὐτοῖς τοῦ πολέμου τῶν Ἀσσυρίων. “ Παιδεύσω αὐτοὺς
κατὰ τὴν ἐπιθυμίαν μου. „ Ἐπάξω τοίνυν αὐτοῖς κακὰ παιδεύειν αὐτοὺς ἀρκούντως δυνά-
μενα· δι᾽ ὧν παιδευθέντες αἰσθήσονται τῆς ἑαυτῶν κακίας. “ Καὶ συναχθήσονται ἐπ᾽ αὐτοὺς
λαοὶ ἐν τῷ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀδικίαις αὐτῶν. „ Πολὺ γὰρ πολεμίων πλῆθος
ἐπ᾽ αὐτοὺς ἀθροίσω, παιδεύω αὐτοὺς ὑπὲρ ὧν ἐμοῦ τε ἠμέλουν, καὶ τοῖς εἰδώλοις προσεῖχον.
v. 11. “ Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾷν νεῖκος. „ Δίκην δαμάλεως ἀποσκιρτώσης
καὶ κατακρατεῖν τῶν δαμαζόντων ἐθελούσης, οὕτως ἀφιστάμενος τοῦ θεοῦ καὶ οὐκ εἴκων
τῷ συζυγῷ τῆς δουλείας. “ Ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλος τοῦ τραχήλου αὐτῆς. „
p. 77. Πᾶσαν αὐτῆς ἀφελῶ τὴν εὐπρέπειαν, ἐφ᾽ ᾗ μέγα ἐφρόνει. “ Ἐπιβιβῶ τῷ Ἐφραίμ. „
Ὡσανεὶ δαμάλεως ἐριστικῆς ἐπιβήσομαι κατὰ τὴν δύναμιν τὴν ἐμήν. “ Παρασιωπήσομαι τὸν
Ἰούδαν. „ Παραπέμψομαι Ἰούδαν ἐν κακοῖς ἐξεταζόμενον, οὐδὲ μίαν αὐτῷ νέμων βοήθειαν·
* Ps. XXVII. 1. οἷόν ἐστι παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ, μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ· * ἀντὶ τοῦ μὴ παρα-
πέμψῃ τὰ κατ᾽ ἐμὲ, ἐν χαλεποῖς ἐξεταζόμενον πράγμασιν. “ Ἐνισχύσει αὐτῷ Ἰακώβ. „
Ἐπιδείξομαι τὴν ἰσχὺν τὴν ἐμὴν παντὶ τῷ Ἰσραήλ· οὐ γὰρ ἄδηλον ὅτι καὶ Ἰακὼβ καὶ Ἰσραὴλ
τὸ ἔθνος ἅπαν καλεῖται τῶν Ἰουδαίων, ἐκ τοῦ προπάτορος αὐτῶν ἀμφοτέραις ὀνομαζό-
μενον ταῖς προσηγορίαις· ὃς λεγόμενος πρότερον Ἰακὼβ, μετὰ τὴν ὀπτασίαν, Ἰσραὴλ ἐπε-
* Ps. LXXVII. 70. κλήθη· ὡς καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ *, ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέ-
λαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐξόπισθεν τῶν λοχευομένων προσελάβετο
αὐτὸν, ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ· ἀμφοτέραις ταῖς
προσηγορίαις τὸ ἰουδαϊκὸν ἔθνος εἰρηκότι σαφῶς.
v. 12. “ Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, καὶ θερίσατε εἰς καρπὸν ζωῆς. „ Πράττετε τοίνυν
p. 78. ἃ πάσης δικαιοσύνης ἐστὶν ἔργα· ἐκ γὰρ τῶν τοιούτων σπερμάτων ἔνεστι ζωῆς θερίσαι καρπόν.
“ Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως. „ Ἕως ἐστὶ καιρὸς, τῆς ἀληθείας μετέλθετε τὴν γνῶσιν,

filiis iniquitatis supervenit. ,, Haec illis evenient ob iniustitiam atque impietatem, bellum inferentibus Assyriis. “ Iuxta desiderium eorum, corripiam eos. ,, Adducam eis itaque mala, quae corripiendo sufficiant, a quibus eruditi propria peccata agnoscent. “ Et congregabuntur super eos populi, cum corripientur propter duas iniquitates suas. ,, Grandem hostium multitudinem adversus eos congeram: corripiam eos quia et me neglexerunt, et idolis adhaeserunt. “ Ephraimus vitula docta diligere contentionem. ,, Instar vitulae resilientis, et superare domitores volentis, sic iste a Deo recessit, nec ipsi servitutis socio cedens. “ Ego autem veniam super pulcritudinem colli eius. ,, Omnem ei formositatem detraham, qua superbiebat. “ Ascendam super Ephraimum. ,, Tamquam vitulae contentiosae insistam viribus meis. “ Reticebo Iudam. ,, Iudam omittam, id est calamitatibus exerceri sinam, nullo auxilio suppeditato. Sicut est apud beatum Davidem: ne taceas a me, id est ne me omittas, dum asperis versor in rebus. “ Roborabitur ei Iacob. ,, Ostendam vires meas universo Israheli: neque enim obscurum est, Iacob atque Israhelis nominibus totam Iudaeorum gentem nuncupari, ex sui progenitoris duplici appellatione ita nominatam: qui antea dictus Iacob; post visionem, Israhel est appellatus. Sicut etiam apud beatum Davidem: elegit Davidem servum suum, sustulitque eum de gregibus ovium; de post foetantes accepit eum; pascere Iacob servum suum, et Israhelem hereditatem suam: ambabus appellationibus iudaicam gentem sine dubio dicens.

“ Seminate vobis ad iustitiam, metite ad fructum vitae. ,, Facite ergo omnimodae iustitiae opera: ex his enim seminibus fructum vitae metere licet. “ Accen-

περὶ τοῦ καιροῦ τῆς τιμωρίας, ἐν ὅσῳ δυνατὸν μεταμεληθέντας, κερδᾶναι τῶν κακῶν τὴν
πεῖραν. “ Ἐκζητήσατε τὸν κύριον ἕως τοῦ ἐλθεῖν ὑμῖν γεννήματα δικαιοσύνης. „ Φροντίδα
πᾶσαν ποιήσασθε τῶν τῷ θεῷ δοκούντων, ὡς ἂν προσγένοιτο ὑμῖν καρπώσασθαι τὴν δι-
καιοσύνην. “ Ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὸν καρπὸν αὐτῆς ἐτρυγήσατε, ἐφάγετε v. 13.
καρπὸν ψευδῆ; „ Παύσασθε δὴ τοῦ τοιαῦτα ποιεῖν· ὁποῖα δὴ τὸ πρότερον ἐποιεῖτε, παρα-
πεμπόμενοί τε καὶ ἡσυχάζοντες ἐπὶ ἀσεβείᾳ γινομένῃ τοσαύτῃ, δέον ἀγανακτεῖν ἐπ'
αὐτῇ, ἧς τὸν καρπὸν ἐκομίσασθε ἀπάτης καὶ βλάβης μεστόν. “ Ὅτι ἤλπισας ἐν τοῖς ἅρ-
μασί (1) σου, ἐν πλήθει δυνάμεών σου· καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα
τὰ τετειχισμένα σου ἀφανισθήσεται. „ Σὺ μὲν γὰρ ᾤου τὴν δύναμιν ἀρκεῖν σοι τὴν οἰκείαν
εἰς τὸν κατὰ τῶν ἐναντίων πόλεμον· πρὸς τοὐναντίον δὲ πάντα ἐκβέβηκεν, ἀπωλείας κατε-
χούσης πάντα τὸν λαὸν, ὡς καὶ τὰς τετειχισμένας καθαιρεθῆναι πόλεις. “ Καθὼς ἠφανίσθη v. 14.
ὁ ἄρχων Σαλμανὰ ἐν τῷ οἴκῳ τοῦ Ἀρβεὴλ ἐν ἡμέραις πολέμου· μητέρα ἐπὶ τέκνοις ἠδά- p. 79.
φισαν· οὕτως ποιήσω ὑμῖν οἶκος Ἰσραὴλ, ἀπὸ προσώπου τῆς κακίας ὑμῶν. „ Ὁποῖον γὰρ v. 15.
δὴ τότε ὑπέμειναν ἀφανισμὸν ἐκεῖνοι, βαρυτάτου μὲν αὐτοῖς ἀφανισμοῦ γεγονότος καὶ τοῦ
πολέμου, ἀναιρεθέντων δὲ σὺν τοῖς τέκνοις τῶν γεννησάντων, τοιοῦτον ὑπομενεῖτε καὶ νῦν ὑμεῖς
οἱ τοῦ Ἰσραὴλ, ἀνάλογον τῆς κακίας ὑμῶν δεχόμενοι τιμωρίαν· ἔοικε δέ τι λέγειν μετὰ πολ-
λῆς ὠμότητος παρ' αὐτῶν γεγονὸς κατὰ τὸν καιρὸν ἐκεῖνον· οὗ γνωρίμου τυγχάνοντος αὐτοῖς
ὡς εἰκὸς ἐποιήσατο μνήμην· ὅτι οἷα δὴ πεποιήκατε τότε δι' ὑπερβάλλουσαν κακίαν, τοιαῦτα
πείσεσθε νῦν ὑμεῖς δικαίως.

dite vobis scientiae lumen. „ Dum tempus habetis, veritatis scientiam adquirite: ante punitionis tempus, quantum fieri poterit, poenitentia redimite malorum perpessionem. “ Quaerite Dominum, donec vobis veniant fruges iustitiae. „ Omni cura id satagite quod Deo placet, ut vobis iustitiam lucrari contingat. “ Cur dissimulastis impietatem, et fructum eius vindemiastis, fallacem fructum comedistis? „ Desinite facere qualia olim egistis, dissimulantes reticentesque in tanta quae fiebat impietate, cum contra ei irascendum fuisset, ex qua fructum errore ac nocumento plenum carpsistis. “ Quia sperasti in curribus tuis, in exercituum tuorum multitudine; ecce orietur perditio populo tuo, et omnes munitiones tuae destruentur. „ Tu quidem existimabas sufficere tibi vires tuas ad hostile bellum; sed omnia contra evenerunt, quia populum universum corripuit pernicies; in tantum ut cunctae etiam munitae civitates sint deletae. “ Sicut vastatus fuit Salmana in domo Arbelis belli tempore, matre super filios allisa. Sic faciam vobis, domus Israhelis, a conspectu malitiae vestrae. „ Quale tunc pertulerunt illi excidium, gravi facta ruina ac bello, interfectis una cum liberis genitoribus; tale nunc quoque nunc experiemini, o filii Israhelis, congruum malitiae vestrae luentes supplicium. Videtur autem dicere insignem aliquam saevitiam per illud tempus ab illis actam, de qua ipsis cognita, ut credendum est, facit mentionem: nempe dicens, qualem tunc perpetrastis summam nequitiam, talem nunc ultionem merito patiemini.

(1) Animadvertamus praeclaram lectionem ἅρμασι *curribus*, quam reapse requirit versiculi contextus et mos biblicus geminandi sententiam in hemistichiis. Confirmatur haec lectio *curribus* ab arabico interprete in polyglottis, nec non ab italica vetere, et a gr. alex. et barber. apud Sabaterium. Attamen ipse codex celeber vat. 1209, cum eius romana editione, et communi graeco textu, habent ἁμαρτήμασι *peccatis*. Veteres autem versiones, atque ipse hebraicus textus, plus minus ad graecam communem lectionem accedunt. Sed et aliam varietatem non reticebimus. Retro enim p. 44. v. ult. in textu biblico erat σκοπόν, prout vulgo in editionibus graecis; at Mopsuestenus in commentario demonstrabat se legisse σῦκον *ficum*, quam verissimam Mopsuesteni lectionem confirmant itala lat. vet. *ficum*, vulgata lat. *prima poma ficulneae*, et sic orientales variarum linguarum textus.

ΚΕΦ. ΙΑ'.

v. 1. “ Ὄρθρου ἀπερρίφησαν. ,, Μετὰ πολλῆς πεσοῦνται τῆς ταχύτητος· “ ὡς ὄρθρος (1)
ἀπερρίφη βασιλεὺς Ἰσραήλ. ,, Δίκην ὄρθρου πρὸς ὀλίγον φανέντος, εἶτα παυσομένου, ὁ
p. 80. βασιλεὺς αὐτῶν πεσεῖται. “ Διότι νήπιος Ἰσραήλ, καὶ ἐγὼ ἠγάπησα αὐτόν· καὶ ἐξ Αἰγύπτου
μετεκάλεσα αὐτούς, οὕτως ᾤχοντο ἀπὸ προσώπου μου· αὐτοὶ τοῖς Βααλὶμ ἔθυον, καὶ τοῖς
γλυπτοῖς ἐθυμίων. ,, Νήπιον καλεῖ τὸν Ἰσραὴλ ἀπὸ τοῦ κατὰ τὴν Αἴγυπτον καιροῦ, ὁπηνίκα
συνεστάναι τε καὶ τῆς ἐπιμελείας ἤρξατο τυγχάνειν τῆς θείας· ἐγὼ μὲν γάρ φησιν εὐθὺ καὶ κατὰ
πρώτας ἄρτι συνίστασθαι ἀρξαμένων πολλὴν ἐποιησάμην τὴν πρόνοιαν, ὥστε αὐτοὺς καὶ ἐκ-
σπάσαι τῆς Αἰγύπτου· οἱ δὲ ἀνάλογον τῇ περὶ αὐτοὺς ἀγάπῃ τε καὶ ἐπιμελείᾳ τὴν ἑαυτῶν ἐπε-
δείξαντο κακίαν, εὐθὺς ἀποστάντες ἐμοῦ, καὶ τραπέντες ἐπὶ τὸ χεῖρον, καὶ δὴ καὶ τοῖς εἰδώ-
v. 3. λοις ἅπασαν τὴν ἐμοὶ προσήκουσαν νείμαντες σπουδήν. “ Καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραίμ. ,,
Καί τοι γε διεσπαρμένους ὑπὸ τῶν κακῶν κατὰ τὴν Αἴγυπτον, ἐγὼ διὰ τῆς ἐπιμελείας τῆς ἐμῆς
εἰς ταὐτὸν συνήγαγον. “ Καὶ ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου. ,, Καὶ τῆς ἐπιμελείας
αὐτὸν κατὰ τὴν δύναμιν ἠξίωσα τὴν ἐμήν. “ Καὶ οὐκ ἔγνωσαν ὅτι ἴαμαι αὐτούς. ,, Οἱ δὲ
v. 4. ἐπιγνῶναι με τὸν τοσούτων αὐτοὺς ἀπαλλάξαντα κακῶν, οὐκ ἐβουλήθησαν. “ Ἐν διαφθορᾷ
ἀνθρώπων εἵλκυσα αὐτούς, ἐν δεσμοῖς ἀγαπήσεώς μου. ,, Οὐδ᾽ ὅτι κατὰ τὸν νόμον ἀνθρώ-
πων διαφθείρεσθαι μέλλοντας ἐξέσπασα πάντας αὐτούς, ἀπορρήτως τῇ ἀγάπῃ συσφίγξας
τῇ ἐμῇ. “ Καὶ ἔσομαι ὡς ῥαπίζων ἄνθρωπον ἐπὶ τὴν σιαγόνα αὐτοῦ. ,, Οὕτω βαρείας αὐ-
τοῖς ἐποίσω τὰς πληγὰς καὶ τὰς τιμωρίας ἀντὶ τῆς ἀφροσύνης ταύτης, ὥσπερ οὖν βαρὺ κατὰ
προσώπου δέχεσθαι φερομένας πληγάς. “ Ἐπιβλέψομαι πρὸς αὐτόν, καὶ δυνήσομαι αὐτῷ. ,,
p. 81. Τρέψω γὰρ ἐμαυτὸν ὅλον εἰς τιμωρίαν αὐτοῦ, ἵνα τούτῳ γ᾽ οὖν γνοίη τὴν ἰσχὺν τὴν ἐμήν.

CAP. XI.

“ Mane abiecti sunt. ,, Valde velociter cadent. “ Ceu matutinum tempus abiectus fuit rex Israhelis. ,, Velut mane brevi apparens, et mox desinens, ita rex eorum cadet. “ Quia puer Israhel, et ego dilexi eum. Ut ex Aegypto vocavi eos, sic abierunt a facie mea: ipsi Baalim immolabant, et sculptilibus adolebant. ,, Puerum appellat Israhelem, a tempore quo fuit in Aegypto, cum in populum excrescere coepit, et cura divina frui. Ego, inquit, statim et tunc primum incipientis consistere multam gessi providentiam, ita ut etiam Aegypto extraxerim: illi autem aequalem amori meo ac patrocinio suam exprompserunt nequitiam, statim a me discedendo, et ad vitium declinando, totumque suum, quod mihi debebant, studium idolis impendendo. “ Et ego colligavi Ephraimum. ,, Dispersos sub aerumnis per Aegyptum, ego cura mea in unum congregavi. “ Suscepique eum in brachium meum. ,, Congrua meae potentiae tutela dignatus sum. “ Et non cognoverunt quod sanarem eos. ,, At ipsi me, qui tantis eos liberavi malis, agnoscere noluerunt. “ In corruptela hominum traxi eos vinculis caritatis meae. ,, Quum lege hominum perituri fuissent, eripui ipsos omnes, arcano modo amori meo copulans. “ Eroque velut exalapans hominem in maxilla eius. ,, Tam graves illis imponam plagas et castigationes propter hanc insaniam, quam molestum est recipere in faciem inflictas verberationes. “ Respiciam ad eum, eique valebo. ,, Totum me convertam ad castigationem eius, ut sic certe fortitudinem meam cognoscat.

(1) Deest in bibliis ὡς ὄρθρος. Attamen et interpunctio codicis, et commentarius, ad biblia referunt.

“ Κατῴκησεν Ἐφραὶμ Αἴγυπτον· καὶ Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ. ,, Αὐτοὶ μὲν γὰρ v. 5.
φυγάδες ἐπὶ τὴν Αἴγυπτον ἀπελεύσονται, οἰόμενοι τὴν Ἀσσυρίων κερδαίνειν τὴν ἔφοδον·
ὀνήσουσι δὲ οὐδέν· ἐπειδὴ κατὰ τὸ ἐμοὶ δοκοῦν καταχρατήσουσι πάντως αὐτῶν ἐκεῖνοι. Ταῦτα
δὲ πείσονται διὰ τί; “ Ὅτι οὐκ ἠθέλησαν ἐπιστρέψαι. ,, Ἐπειδὴ ἀνένδοτοι μεμενήκασιν ἐν
τῇ ἑαυτῶν κακίᾳ, μεταβολὴν οὐδὲ μίαν ἐπιδείξασθαι βουληθέντες. “ Καὶ ἠσθένησεν ἐν v. 6.
ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ. ,, Τοιγαροῦν οὐδὲν ἰσχύσουσι
μαχόμενοι πρὸς τοὺς πολεμίους, οὐδέ τινα παρέξουσι ταῖς ἑαυτῶν πόλεσι σωτηρίαν· ἐπειδὴ
πάντα τὰ ὅπλα, καὶ πᾶσα παρασκευὴ πολεμικὴ ἄτονος καὶ περιττὴ φανεῖται, ἀντιπράτ-
τοντος μὲν αὐτοῖς ἐμοῦ διὰ τὴν αὐτῶν κακίαν, ἐπάγοντος δὲ αὐτοῖς ἐπὶ τιμωρίᾳ τοὺς
Ἀσσυρίους. “ Καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν. ,, Τῶν οἰκείων βουλευμάτων ἀπολαύ-
σουσι, τιμωρίαν ὑπομένοντες ἀξίαν. “ Καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς κατοικίας v. 7.
αὐτοῦ. ,, Οὐ γὰρ μένουσιν ἐπὶ τῆς οἰκήσεως τῆς ἰδίας, οὐδὲ ἀσφαλὲς τὸ κατοικητήριον ἕξουσι
τὸ αὐτόθι· ἐπειδὴ πάντας αὐτοὺς ὥσπερ ἐκκρεμεῖς ὄντας, καὶ οὐδὲ μίαν ἔχοντας βάσιν,
ἀθρόον συναρπάσας ὁ Ἀσσύριος εἰς αἰχμαλωσίαν ἀπάξει. “ Καὶ ὁ θεὸς ἐπὶ τὰ τίμια p. 82.
αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ αὐτόν. ,, Πᾶν γὰρ ὅτι ποτὲ παρ' αὐτῷ τίμιόν τε καὶ
σπουδῆς ἄξιον εἶναι δοκεῖ, τοῦτο ὁ θεὸς ἀφανιεῖ τῷ θυμῷ τῷ οἰκείῳ· ὥστε πρὸς τὴν ἐσχάτην
ταπείνωσιν ἅπαντας ἀγαγεῖν.

“ Τί σε διαθῶ Ἐφραίμ; ὑπερασπιῶ σου Ἰσραήλ; ,, Ἀλλὰ γὰρ τί με προσήκει ἐπὶ v. 8.
τοσούτοις καὶ τηλικούτοις κακοῖς διαπράξασθαι περὶ σέ; βοηθῆσαι σοι ὡς ἐν μεγίστοις ἐξετα-
ζομένῳ κακοῖς. “ Τί σε διαθῶ Ἐφραίμ; ὡς Ἄδαμα θήσομαί σε καὶ ὡς Σεβοείμ. ,,
Ἀλλ' ἐκείνου γε οὐκ ὄντα σε ἄξιον τυχεῖν εὑρίσκω· τοὐναντίον μὲν οὖν ἐκ τῶν πεπραγ-
μένων δικαίαν ἐπαχθησομένην σοι τιμωρίαν εὑρίσκων, εἰ τὴν καταστροφὴν ὑπομείνειας
ἥνπερ Σόδομά τε καὶ Γόμορρα καὶ Ἄδαμα καὶ Σεβοεὶμ γενέσθαι τότε συνέβη. ,, Μετεστράφη v. 9.

“ Habitavit Ephraimus in Aegypto, Assyrius ipse rex eius fuit. ,, Ipsi quidem profugi ad Aegyptum ibunt, putantes se Assyriorum incursionem vitare, sed hilum non proficient: etenim me volente, omnino illis potientur Assyrii. Cur vero patientur haec? “ Quoniam noluerunt converti. ,, Quia firmiter in malitia sua perseverarunt, nullam prae se ferre mutationem volentes. “ Et debilitatus est gladio in civitatibus suis, et cessavit manibus suis. ,, Itaque pugnando cum hostibus nihil valebunt, neque ullam salutis partem civitatibus suis conferent: quia arma omnia omnisque apparatus bellicus, invalidus supervacuusque videbitur, me resistente ob eorum nequitiam, poenaeque causa adducente ipsis Assyrios. “ Et comedent de cogitationibus suis. ,, Consiliorum suorum fructum capient, digno adfecti supplicio. “ Et populus eius suspensus in incolatu suo. ,, Non enim manebunt in proprio incolatu, neque tutum sibi habitaculum habebunt: quoniam eos omnes tamquam pendulos nullamque basim habentes, subito corripiens Assyrius in captivitatem abiget. “ Et Deus super pretiosa eius irascetur, et non exaltabit eum. ,, Quicquid apud eum pretiosum est, et affectu dignum videtur, hoc Deus furore suo destruet, donec ad extremam miseriam cunctos redigat.

“ Quid tibi faciam, Ephraime? protegam te Israhel? ,, Quid a me tibi feri oportet ob talia tantaque mala? Ferre ne opem in maximis malis constituto? “ Quid tibi faciam, Ephraime? Sicut Adamae tibi faciam, et sicut Seboimo. ,, Auxilio certe te dignum non iudico: contra vero dignum tibi impositum iri supplicium cognosco, si catastrophen illam patieris, quae Sodomae, Gomorrhae, et Adamae et Seboimo

ἡ καρδία μου, ἐν τούτῳ συνεταράχθη ἡ μεταμέλειά μου· οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ
μου· οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραίμ. ,, Ἀλλὰ γὰρ καὶ σφόδρα ταύτης ὑμᾶς
ὄντας ἀξίους εὑρίσκων τῆς τιμωρίας, μεταβέβλημαι τὴν διάνοιαν ἐφ' ὑμῖν, καὶ συντετα-
ραγμένος πως τῇ ὄψει τῆς ὑμετέρας συμφορᾶς, πρὸς μεταμέλειαν ἕλκομαι, ὥστε με ἀπο-
p. 83. στῆναι μὲν τοῦ θυμοῦσθαι λοιπόν, μὴ ἀνέχεσθαι δὲ καταλιπεῖν ὑμᾶς ἀφανισμῷ παντελεῖ παρα-
διδομένους. " Διότι θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος ἐν σοί; ,, Θεός γάρ εἰμι ὁ πάντα τε
πεποιηκώς, καὶ πάντων ὡς οἰκείων κηδόμενος ἔργων· κατ' οὐδὲν ὑπάρχων παραπλήσιος
τοῖς καθ' ὑμᾶς τε καὶ ἐν ὑμῖν στρεφομένοις. " Ἅγιος καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν. ,,
Ἐγὼ γὰρ ἀπήλλαγμαί τε καὶ ὑπέρκειμαι πάντων τῶν ἀνθρωπίνων πραγμάτων· οὐκ ἐν πό-
λεσι διάγων κατὰ νόμον ἀνθρώπων, οὐδὲ τὰς αὐτόθι διατριβὰς μεθ' ὑμῶν εἰθισμένος ποιεῖ-
σθαι· ὅθεν οὐδὲ κοινωνῶ τῆς γνώμης ὑμῖν καὶ τῇ κακίᾳ ᾗ συζῆν ἐσπουδάκατε· τοὐναντίον γὰρ
καὶ δικαίαν ὑπέχειν μέλλοντες τιμωρίαν, ἀπαλλάττειν δι' ὑπερβολὴν ἐλέους τοὺς πάσχοντας
προάγομαι ταύτης.

v. 10. " Ὀπίσω κυρίου πορεύσονται. ,, Ὡς ἐπὶ τῇ προκειμένῃ τοῦ θεοῦ φωνῇ τὴν ἐπαγωγὴν
ὁ προφήτης πεποίηται ταύτην, τοιοῦτό τι λέγων· ὅτι ἐπειδὴ δὴ λοιπὸν προσήκει τῷ τοιούτῳ,
καὶ πάντα πράττειν κατὰ τὸ δοκοῦν τῷ θεῷ οὕτως ἡμέρῳ τε ὄντι καὶ φιλανθρώπῳ περὶ ὑμᾶς.
" Ὡς λέων ἐρεύξεται, καὶ ἐκστήσονται τέκνα ὑδάτων. ,, Εἰ γὰρ δὴ τοιούτους παράσχοιμεν
ἑαυτούς, δίκην λέοντος τινὸς φοβεροῦ τοῖς κτήνεσιν, ἐξοίσει τὴν οἰκείαν φωνὴν ἐπὶ πάντας
ἐκείνους, οὓς δίκην ὑδάτων ὑμῖν κατὰ τὸ πλῆθος τὸ οἰκεῖον ἐπεληλυθότας, εἰς ἔκστασιν πάν-
v. 11. p. 84. τας καταστήσει τῷ φόβῳ τῷ οἰκείῳ. " Καὶ ἥξουσι ὡς ὄρνεον ἐξ Αἰγύπτου, καὶ ὡς περιστερὰ
ἐκ γῆς ἀσυρίων· καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, λέγει κύριος. ,, Πανταχόθεν γὰρ αὐτοὺς ἐπανάξειν, τῆς κατεχούσης ἀπαλλάξας αἰχμαλωσίας, καὶ τούς τε παρὰ

contigit. " Conversum est cor meum, pariter conturbata est poenitudo mea: non agam secundum iram furoris mei, non sinam deleri Ephraimum. ,, Sed enim quamquam vos apprime dignos poena huiusmodi esse comperio, meam de vobis sententiam muto; et conturbatus quodammodo a calamitate vestra, ad poenitentiam trahor, ut a furore deinceps desinam, neque vos sinam supremo exitio interire. " Quoniam Deus ego sum, et non homo in medio tui. ,, Deus quippe sum omnium creator, et rerum omnium tamquam mearum tutor: neque ullatenus vestri similis et illorum qui inter vos versantur. " Sanctus, et non ingrediar civitatem. ,, Ego alienus sum humanis cunctis rebus ac superior: non dego in urbibus humano more, neque illic incolatum vobiscum tenere soleo. Quamobrem neque voluntatum vestrarum sum particeps, neque malitiae in qua vivere satagitis. Nam contra potius, etiamsi debitum subituri eratis supplicium, per summam tamen misericordiam do operam ut id nequaquam patiamini.

" Post Dominum ambulabunt. ,, Praedictae veluti Dei locutioni hoc subtexit additamentum propheta, ita ferme dicens: oportere in posterum Deum sectari, atque omnino agere secundum Dei beneplacitum tam erga vos clementis atque benigni. " Quasi leo rugiet, et formidabunt filii aquarum. ,, Si tales nosmet exhibuerimus, ipse more leonis bestiis terribilis, vocem suam emittet contra illos omnes, qui ritu aquarum multitudine sua ingruunt, eosque attonitos omnes terrore suo faciet. " Et venient quasi avis ex Aegypto, et quasi columba de terra Assyriorum: et collocabo eos in domibus suis, dicit Dominus. ,, Undique enim se eos redacturum, a captivitatis pressura liberos, tum qui apud Assyrios erant captivi, tum

ἀσσυρίοις αἰχμαλώτους, τούς τε ἐν Αἰγύπτῳ τε φυγάδας, δίκην ὀρνέων ἀποκαταστήσειν
πάντας εἰς τὰ οἰκεῖα ὁ θεὸς ὑπισχνεῖται. “ Ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραῒμ, καὶ ἐν v. 12.
ἀσεβείᾳ οἶκος Ἰσραὴλ καὶ Ἰούδα· νῦν ἔγνω αὐτοὺς ὁ θεός· καὶ λαὸς ἅγιος κληθήσεται θεοῦ. „
Πρότερον μὲν γὰρ ἐπειδὴ πρὸς τὸ ψεῦδος καὶ τὴν τῶν εἰδώλων ἀποκλίναντες θεραπείαν ἐν ἀσεβείᾳ διῆγον ἅπαντες, οὐδένα τὸν περὶ ἐμὲ ποιούμενοι λόγον, ἀναγκαίως αὐτοὺς τοῖς κακοῖς περιβέβληκα ἐκείνοις· μεταμελομένους δὲ καὶ πρὸς τὸ κρεῖττον ἰδόντας, οἰκειώσομαι ἅπαντας· τοῦτο γὰρ λέγει τὸ, ἔγνω αὐτούς· καὶ ἐξ αὐτῶν ἐμοὶ φανήσονται τῶν πραγμάτων ὄντες, ἅτε τοσούτων καὶ τηλικούτων ἀγαθῶν διὰ τῆς ἐμῆς ἀξιούμενοι βοηθείας· τὰ μὲν δὴ παρ' ἐμοῦ τοιαῦτα παρέχειν ἕτοιμος ἐγώ· τί δέ;

ΚΕΦ. ΙΒ'.

“ Ὁ δὲ Ἐφραῒμ πονηρὸν πνεῦμα. „ Ἵνα εἴπῃ προαίρεσις μοχθηρά· πνεῦμα γὰρ πολ- v. 1.
λαχοῦ καλεῖ τὴν προαίρεσιν· ὡς τὸ, πνεύματι πορνείας ἐπλανήθησαν· * καὶ πνεῦμα εὐθὲς * Os. IV. 12.
ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· * καὶ Χαλὲβ ὁ τοῦ Ἰεφονὴ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὅτι ἐγενήθη p. 85. * Ps. L. 12.
πνεῦμα ἕτερον ἐν αὐτῷ *. “ Ἐδίωξε καύσωνα ὅλην τὴν ἡμέραν. „ Διηνεκῶς γὰρ ἐπετέλει * Num. XIV. 24. XXVII. 18.
τοιαῦτα, ἃ καύσωνος δίκην λυμαινομένους τοῖς καρποῖς, ἐπάγειν αὐτοῖς ἦν αὐτάρκη τὴν φθοράν. “ Κενὰ καὶ μάταια ἐπλήθυναν. „ Καὶ πλῆθος εἰδώλων κατεστήσαντο ἀνωφελῶν
παντελῶς καὶ βλάβης μεγίστης αἰτίων. “ Καὶ διαθήκην μετὰ ἀσσυρίων διέθετο, καὶ ἔλαιον * *cod. ἔλεον.
εἰς Αἴγυπτον ἐνεπορεύετο. „ Εἶτα κακοῖς ὑπὲρ τούτων περιπεπτωκὼς, ποτὲ μὲν δι' ἀσσυρίων, ποτὲ δὲ δι' αἰγυπτίων ἤλπιζεν ἀγαθοῦ τινὸς τεύξεσθαι· καὶ πρὸς ἐκεῖνον μὲν φιλίας συνθήκας ἐβούλετο ποιεῖσθαι, παρὰ δὲ τούτου συμμαχίαν ᾔτει· ὠφελεῖτο δὲ ἐξ ἁπάντων τούτων
οὐδέν. “ Καὶ κρίσις τῷ κυρίῳ πρὸς Ἰούδαν τοῦ ἐκδικῆσαι τὸν Ἰακώβ. „ Ὁ γὰρ θεὸς αὐτὸς v. 2.

qui in Aegyptum profugerant: avium instar cunctos ad propria revocaturum promittit Deus. “ Circumdedit me mendacio Ephraimus, et impietate domus Israhelis ac Iudae. Nunc novit eos Deus, et populus sanctus vocabitur Dei. „ Antea quidem, quoniam ad falsitatem atque idolorum obsequium impie omnes declinaverant, nullum mei respectum habentes, necessario eos malis illis irretivi: sed nunc resipiscentes, et melioris frugis studiosos, familiares mihi omnes faciam. Id enim valet locutio illa, novi eos. Et quidem in numero esse meorum, facta ipsa docebunt, quoniam tot tantaque bona me adiuvante adsequentur. Certe ad huiusmodi ipsis exhibenda beneficia paratus sum. Quid porro?

CAP. XII.

“ Ephraimus autem malus spiritus. „ Mala nimirum voluntas: nam spiritum saepe appellat voluntatem; veluti: spiritus fornicationis decepit eos. Et spiritum rectum innova in visceribus meis. Et Chaleb Iephoni filius, et Iesus Navi, quoniam spiritus alius fuit in illo. “ Persecutus est aestum tota die. „ Semper enim talia agebat, quae more aestus frugibus noxii, adferre ipsis perniciem poterant. “ Inania et vana multiplicaverunt. „ Magnum numerum idolorum constituerunt, inutilium prorsus, immo maximi detrimenti causam praebentium. “ Et foedus cum Assyriis inibat, et oleum in Aegypto mercabatur. „ Deinde in haec mala coniectus, modo ab Assyriis modo ab Aegyptiis sperabat boni aliquid consequi: et cum illis quidem amicitiae foedus iungere volebat, ab his autem belli societatem petebat: sed nihil ab his omnibus est consecutus. “ Et iudicium Domini cum Iuda, ut ul-

ἥκει διὰ τῶν πραγμάτων κριθησόμενος πρὸς αὐτοὺς, καὶ ἐκδικῶν τὰ μὴ δεόντως αὐτοῖς
πεπραγμένα· τὸν Ἰακὼβ γὰρ κἀνταῦθα λέγει τὸ ἔθνος τῶν Ἰουδαίων, ὅπερ οὖν καὶ Ἰακὼβ
καὶ Ἰσραὴλ ἐκαλεῖτο κατὰ τὴν τοῦ προπάτορος αὐτῶν ὀνομασίαν, ὡς ἐν τοῖς ἀνωτέροις
ἐδείξαμεν· ὅθεν ἐπάγει. " Κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀνταπο-
δώσει αὐτῷ. „ Ἵνα εἴπῃ ὅτι ἀνάλογον ὧν πταίουσιν αὐτοῖς ἐπάξει τιμωρίαν· εἶτα καὶ κατὰ
v. 3. παράθεσιν τοῦ προπάτορος τὴν τούτων ἐλέγχει κακίαν. " Ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελ-
p. 86. φὸν αὐτοῦ. „ Ὁ μὲν γὰρ καὶ πρὸ τῆς γεννήσεως ἐνεδείκνυτο τῷ σχήματι τὴν ἀπάτην, μεθ'
ἧς ἤμελλεν ἀντιποιηθήσεσθαι τῶν πρωτοτοκίων. " Καὶ ἐν κόποις αὐτοῦ ἴσχυσε πρὸς θεόν. „
Καὶ πολλοὺς ὑπομείνας πόνους τε καὶ πλάνας, τῆς πρὸς θεὸν οὐκ ἠνέσχετο εὐνοίας ἐκστῆναι.
v. 4. " Καὶ ἐνίσχυσε μετὰ ἀγγέλου, καὶ ἠδυνήθη. „ Καὶ δὴ καὶ τοῦ ἀδελφοῦ τὴν ἐπιβουλὴν ὑφορώ-
μενος, ὀπτασίας ἠξιώθη ἀγγέλου, πρὸς ὃν παλαίειν δοκῶν ὤφθη δυνατός· ἀλλὰ τὰ μὲν
ἐκείνου τοιαῦτα· τὰ δὲ τούτων τῶν ἀπογόνων τοῦ ἐκείνου ὁποῖα;

" Ἔκλαυσαν καὶ ἐδεήθησάν μου. „ Ἐν δάκρυσιν ἅπαντες εἰσὶ καὶ δεήσεσιν, ἀπαλλα-
γὴν αἰτοῦντες τῶν κακῶν ἐν οἷς ὑπὲρ τῆς ἀσεβείας ἐξετάζονται τῆς οἰκείας· ποίας ταύτης;
" Ἐν τῷ οἴκῳ Ὢν εὗρόν με. „ Περὶ γὰρ τὴν τῶν εἰδώλων ἠσχολοῦντο θεραπείαν, ἐν ὀνο-
μασίᾳ μὲν τιμῶντες ἐμῇ ὧν οὐδὲν αὐτῇ προσήκειν οἴους τε ὄντας· ὡς αὐτόθι δὲ παρόντα
τιμῶντες ἐμὲ τὸν οὐ παρόντα· τὸ οὖν, ἐν τῷ οἴκῳ Ὢν εὗρόν με, ἀντὶ τοῦ ὡς ἐκεῖ με παρόντα
ὑπείσκοντες· ὃν τιμᾶσθαι παρ' αὐτῶν ὡς θεὸν ἐχρῆν, οὕτω τῷ εἰδώλῳ προσῆγον τήν τε
ὀνομασίαν καὶ τὴν τιμὴν τοῦ θεοῦ. " Καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς. „ Αὐτόθι δὲ τὴν ἀπό-
v. 5. φασιν ὑπὲρ ὧν ἠσέβουν ἐδέξαντο δικαίαν. " Ὁ δὲ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ἔσται μνη-
p. 87. μόσυνον αὐτοῦ. „ Ἀλλὰ γὰρ περιπεσεῖται τοιούτοις ἀφ' ὧν ἐπιγνώσεται τὸν ὄντως θεόν, με-
γίστην τε αὐτοῦ διαπαντὸς ἕξει τὴν μνήμην, ὃς πεποίηκέ τε αὐτοὺς, καὶ εὐηργέτηκε πάντοτε,

ciscatur Iacob. „ Deus ipse venit, factis utique iudicium de illis peracturus, et quae praeter officium egerunt vindicaturus. Nam Iacob hoc quoque loco dicit universam Iudaeorum gentem, quae et Iacob et Israhel appellabatur, de sui progenitoris nomine, ut iam in superioribus diximus. Unde addit: iuxta vias eius, et iuxta adinventiones eius reddet ei. „ Pro eo ac dicat: se congruam peccatis eorum poenam impositurum. Deinde et progenitoris exemplo, horum redarguit improbitatem. " In utero supplantavit fratrem suum. „ Profecto ille ante etiam nativitatem portendit eo corporis motu fraudem, qua affectaturus erat primogeniti iura. " Et in laboribus suis valuit erga Deum. „ Multos perpessus labores ac fraudes, non sustinuit a Dei benivolentia recedere. " Et viribus valuit cum angelo (luctari), et potens fuit. „ Fratris insidias suspicans, visione angeli dignatus fuit, cum quo luctari visus, potens apparuit. Ac res illius ita se habuerunt. Quid vero eius posteri?

" Fleverunt, et me deprecati sunt. „ In luctu omnes versantur, precibusque nituntur aerumnas avertere, quibus ob suam impietatem premuntur. Quaenam est haec? " In domo On invenerunt me. „ Idolorum cultui vacabant, nomine meo colentes illa quae huic appellationi ius nullum habebant. Illic, inquam, quasi praesentem me colebant, qui aberam. Ergo dictio, in domo On me invenerunt, ponitur pro: quasi ibi me praesentem invenissent, quem coli ab ipsis tamquam Deum oportebat, interim idolo exhibebant appellationem simul et honorem Dei. " Et ibi facta sunt verba ad eos. „ Sententiam illic propter impie facta iustam audierunt. " Et dominus Deus omnipotens erit memoriale eius. „ Sed enim in talia incidet, unde verum Deum cognoscere discet, eiusque maximam omni tempore memoriam reti-

καὶ δὴ καὶ νῦν ἀσεβήσαντας παιδεύσας ἐπὶ τὸ κρεῖττον μεταβαλεῖ κατὰ τὴν δύναμιν τὴν
οἰκείαν. " Καὶ σὺ ἐν θεῷ σου ἐπίστρεψον· ἔλεος καὶ κρίμα φυλάσσου· καὶ ἔγγιζε πρὸς τὸν θεόν v. 6.
σου διαπαντός. ,, Γνησίαν τοίνυν ἐπίδειξαι τὴν ἐπὶ θεὸν μεταβολὴν, καὶ ἐπιμελοῦ φι-
λανθρωπίας καὶ τοῦ δικαίου· σπούδαζε δὲ ἀεὶ τῷ θεῷ συνεῖναι· καὶ τῆς μὲν περὶ τοῦτον ἀντεχό-
μενος θεραπείας, ὅπερ ὀφείλεσθαι ταύτην συμβέβηκε δικαίως· τῆς δὲ περὶ τὰ εἴδωλα σπου-
δῆς ἀπεχόμενος παντελῶς. ,, Χαναὰν, ἐν χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας· καταδυναστεύειν v. 7.
ἠγάπησε. ,, Εἰς ἐπιστρέφειαν αὐτοὺς διʼ ἐκείνων ἐκκαλεσάμενος, ὀνειδίζει πάλιν αὐτοῖς τὴν
κακίαν ἐνταῦθα· ἀπεδείχθητε γάρ φησιν οὐδὲν ἐλαττούμενοι τῶν Χαναναίων, οὓς ἐκβαλὼν τῆς
χώρας ὁ θεὸς, διὰ τὴν περιοῦσαν αὐτοῖς ἀσέβειαν τε καὶ κακίαν, ὑμᾶς ἀντεισήγαγεν· ἔτι
πρὸς ἀδικίαν τε βλέποντες, καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας τοὺς ἀσθενεστέρους κατὰ τὴν προσοῦ-
σαν ὑμῖν ἐκθλίβοντες δυναστείαν.

" Καὶ εἶπεν Ἐφραὶμ, πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ. ,, Εἶτα ἐξ ἀδι- v. 8.
κίας συλλέγων χρήματα, ἥδεται ἐπὶ τῷ πλουτεῖν, καὶ δὴ καὶ τὴν ἐξ αὐτῶν ἀπόλαυσιν ἡδεῖαν p. 38.
ἡγεῖται. " Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ διʼ ἀδικίας ἃς ἥμαρτεν. ,, Δέον
ἀναλογίσασθαι ὅτι πάντα δὴ ταῦτα ἃ μετὰ παρανόμων συνήγαγε πόνων, ἀπολεῖται πάντα
ὑπὲρ τῆς ἀδικίας μεθʼ ἧς αὐτὰ συνήγαγεν· ἐπειδʼ ἂν θεὸς τῶν παρανομημάτων, ἐν οἷς ἐξε-
ταζόμενοι διετέλουν, δίκας αὐτοὺς εἰσπράττεσθαι βούληται. " Ἐγὼ δὲ κύριος ὁ θεός σου v. 9.
ἀνήγαγόν σε ἐκ τῆς Αἰγύπτου. ,, Ἔδει δέ σε πάσης ἀπέχεσθαι ἀδικίας τῆς κατὰ τῶν πενήτων,
ἀναλογιζόμενον ὅτι σε ἐν δουλείᾳ καθεστῶτα πικρᾷ, ἐξέβαλον τῆς Αἰγύπτου. " Ἔτι κατοι-
κιῶ σε ἐν σκηναῖς καθὼς ἐν ἡμέρᾳ ἑορτῆς. ,, Καὶ δὴ καὶ οἴκησιν σοι παρέχον, ἵνα εἴπῃ
τῆς γῆς τῆς ἐπαγγελίας τὴν ἀπόλαυσιν, ἑορτάζειν σοὶ παρέχων ἐν τῇ τῶν προσγεγονότων
ἀπολαύσει· τὸ γὰρ κατοικιῶ, ἀντὶ τοῦ κατῴκισα λέγει, τῇ ἐναλλαγῇ τοῦ χρόνου συνήθως

nebit, qui et ipsos creavit, et beneficiis continuis prosecutus est, et nunc etiam criminibus impiatos castigando nititur ad meliorem frugem convertere. " Et tu ad Deum convertere, misericordiam et iudicium custodi, et appropinqua Deo tuo semper. ,, Genuinam itaque ostende ad Deum conversionem: caritas erga homines, et iustitia tibi curae sint: da operam ut semper cum Deo sis: cuius si cultum retinueris, merito fructum inde capies; ita tamen ut ab idolorum obsequio prorsus abstineas. " Chanaan, in manu eius statera iniquitatis; opprimere praepotenter dilexit. ,, Postquam eos praedictis verbis ad conversionem invitaverat, rursus heic malitiam exprobrat. Nihilo meliores, inquit, apparuistis Chananaeis, quibus Deus regione ob ipsorum impietatem nequitiamque eiectis, vos illuc introduxit. Nihilominus vos ad iniustitiam incumbitis, multoque studio infirmiores opprimitis, quos vestrae potentiae viribus male mulcatis.

" Et dixit Ephraimus: verumtamen dives effectus sum, inveni solamen mihi. ,, Atqui ex iniustitia congesta pecunia, gaudet divitiis suis, quarum dulcem usum existimat. " Nullus labor eius invenietur ipsi, propter iniquitates quas peccavit. ,, Atqui reputare debuerat, omnia haec quae iniustis coacervavit laboribus, peritura omnino fore, propter iniquitatem qua ea collegerat: nempe cum Deus criminum, quorum illi sunt convicti, poenas sumere volet. " Et ego dominus Deus tuus eduxi te ex Aegypto. ,, Sane oportebat abstinere te ab opprimendis iniuste pauperibus, reputantem quod in amara servitute cum degeres, Aegypto te abegi. " Adhuc habitare te faciam in tabernaculis, sicut in die sollemnitatis. ,, Quin etiam habitaculum tibi obtuli, id est promissae terrae iucundum usum, festalem tibi laetitiam

* Ps. LIV. 17. χρησάμενος· συνήθες δὲ τοῦτο καὶ ἐπὶ τῶν ψαλμῶν ἐδείξαμεν αὐτάρκως· οἷον ἐστὶ τὸ *, ἐγὼ
v. 18. δὲ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου· οἷς ἐπάγει· ἑσπέρας καὶ πρωῒ καὶ
μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου· καίτοι γε τὸ εἰσή-
κουσε τῷ εἰσακούσεται οὐκ ἀκόλουθον· εἰ γὰρ γέγονε, τί δὴ γενέσθαι αἰτεῖ; ἀλλὰ καὶ τὸ πρότερον
p. 89. τὸ, καὶ ὁ κύριος εἰσήκουσέ μου, λέγει ἀντὶ τοῦ εἰσακούσεται· καὶ ὅλως καὶ πολὺ καὶ κεχυμένον
ἐν τοῖς ψαλμοῖς ἐκ τοῦ ἰδιώματος εὑρίσκεται τοῦ ἑβραϊκοῦ· ὅθεν δὴ καὶ παρὰ τοῖς προ-
* Is. LIII. 7. φήταις ὡς εἰκὸς τὸ αὐτὸ δὴ τοῦτο εὕροι τις ἄν· ὡς ὅταν λέγῃ *, ὡς πρόβατον ἐπὶ σφαγὴν
ἤχθη, ἀντὶ τοῦ εἰπεῖν ἀχθήσεται.

v. 10. “ Καὶ ἐλάλησα πρὸς τοὺς προφήτας· καὶ ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προ-
φητῶν ὡμοιώθην. „ Ἐγὼ δὴ τότε καὶ προφήτας ἀνέδειξα, καὶ ὀπτασιῶν ἠξίωσα τοὺς τότε
πλείστων, πολυτρόπως τε ἐπιφαινόμενος τοῖς τότε δικαίοις, Μωϋσεῖ τε λέγω καὶ Ἰησοῦ τῷ
Ναυῆ καὶ τοῖς κατ᾽ ἐκείνους· ἅπαντα δὲ ταῦτα πράττειν αἱρούμενος προθύμως, ὧν ἐχρῆν
v. 11. μεμνημένους, ἀρκεῖσθαι τοῖς δοθεῖσι, μὴ μετὰ ἀδικίας ἀφαιρουμένους τὰ ἑτέρων. “ Εἰ μὴ
Γαλαὰδ ἐστὶν, ἄρα ψευδεῖς ἦσαν ἐν Γαλγάλοις. „ Ταῦτα δή φησιν· εἰ μὲν ἐκ Γαλαὰδ
ὑμῖν ὑπῆρξε καὶ Γαλγάλων, ἵνα εἴπῃ ἐκ τῶν εἰδώλων, εἶχεν ἄν τινα ἀπολογίαν ὑμῖν τὰ
νῦν πραττόμενα· εἰ δὲ μήτε ἐκ Γαλαὰδ ὑμῖν, μήτε ἐκ Γαλγάλων, τουτέστιν εἰ μὴ ἐκ
τῶν εἰδώλων ὑμῖν προσγέγονε, πῶς οὐ πρόδηλον ὅτι τῷ ψεύδει προσεστήκατε; νῦν τὴν ἀλή-
θειαν ἀφέντες, ἀποστάντες μὲν τοῦ εὐεργέτου, νεύσαντες δὲ πρὸς τοὺς ὠφεληκότας οὐδέν· εἶτα
p. 90. τούτοις μετὰ τῶν παρ᾽ ὑμῖν ἀρχόντων τὰς θυσίας ἐπιτελοῦντες· ἀπὸ γὰρ Γαλαὰδ καὶ Γαλ-
γάλων τὰ εἴδωλα λέγει· ὡς καὶ ἀνωτέρω φησὶ, μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα, ἵνα εἴπῃ
μὴ περὶ τὰ εἴδωλα ἔχετε, ἀπὸ τοῦ τόπου τὰ ἐν αὐτοῖς θεραπευόμενα λέγων· οὕτως καὶ

praebens in bonorum tuorum usufructu. Namque habitare faciam, posuit pro, habitare feci, solita temporum enallage utens: quem morem esse quoque psalmorum, satis iam demonstravimus. Veluti est illud: ego autem ad Deum clamavi, et Dominus exaudivit me. Quibus addit: vespere et mane ac meridie narrabo et annunciabo, et vocem meam exaudiet. Atqui prius, exaudivit, subsequenti, exaudiet, non est consentaneum. Nam si factum est, cur fieri postulat? Sed enim prius illud, et Dominus exaudivit me, dicit potius pro exaudiet me. In summa, saepe passimque hic hebraicus idiotismus occurrit. Quare et apud prophetas, ut par est, rem eandem observare cuilibet licebit; veluti: ut ovis ad occisionem ductus est; pro, ducetur.

“ Et locutus sum ad prophetas, et ego visiones multiplicavi, et in manibus prophetarum assimilatus sum. „ Ego et prophetas tunc protuli, et visionibus plurimis illius temporis homines dignatus sum, et multifariam iustis illis apparui, Moysi inquam, et Iesu filio Navi, et contemporaneis. Quae cum omnia libenter fecissem, oportebat sane horum memores, datis esse contentos, neque per iniustitiam aliena rapere. “ Si Galaad non est, utique falsi fuerant in Galgalis. „ Hoc dicit: siquidem ex Galaad et Galgalis vobis superesset, id est ex idolis, haberent fortasse defensionem aliquam vestra opera: sin vero neque ex Galaad neque ex Galgalis, id est si nihil ab idolis vobis accessit, quid ni sit exploratum vos rei falsae adhaesisse? Nunc veritatem deseruistis, a benefactore vestro recessistis, atque ad nihil profuturos (deos) accessistis, quibus sacrificia cum principibus vestris offertis. Nam Galaad et Galgalorum nominibus idola dicit. Sicut et retro ait: ne abeatis in Galgala, id est ne ad idola accedatis; a loco, cultos illic deos dicens. Heic pariter Galaad

ἐνταῦθα Γαλαὰδ μέμνηται καὶ Γαλγάλων, ἐν οἷς πολλή τις ἡ περὶ τὰ εἴδωλα θεραπεία
ἐγίνετο· ἀπὸ οὖν τῶν τόπων τὴν τῶν εἰδώλων σημαίνει θεραπείαν· τοῦτο λέγων, ὅτι τοσούτων
ὑμῖν ὑπαρξάντων παρ' ἐμοῦ, ἐκ δὲ τῶν δαιμόνων καὶ τῶν εἰδώλων οὐδενός, ἐξ ἀπάτης ἄρα
καὶ τῆς περὶ τὸ ψεῦδος ῥοπῆς, ἐμοῦ μὲν ἀφεστήκατε, περὶ δὲ τὰς ἐκείνων ἔχετε θυσίας.
“ Καὶ τὰ θυσιαστήρια αὐτῶν ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ. ,, Ἔσται γὰρ ὑμῖν οὐδὲν ὄφελος
τῆς περὶ ἐκεῖνα φησὶ σπουδῆς, ἐπειδὴ ἅπαντα ταῦτα παντελῶς ἀφανίσει διὰ τῶν πολεμίων
ὁ θεός· ἐπειδὴ γὰρ ἡ χελώνη ἐν ὕδατι εἴωθε διαιτᾶσθαι, ἐν χέρσῳ δὲ ληφθεῖσα διαφθείρεται
πάντως, τῶν θυσιαστηρίων ἐβουλήθη τῷ ὑποδείγματι τὴν διαφθορὰν ὑποδεῖξαι.

Καὶ πάλιν τῇ τῶν προγόνων παραθέσει δεικνὺς αὐτοὺς ἀσεβοῦντας. “ Ἀνεχώρησεν v. 12.
Ἰακὼβ εἰς πεδίον Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικὶ, καὶ ἐν γυναικὶ ἐφυλάξατο. ,,
Εἵλετο μὲν γὰρ ἐκεῖνος δι' ἀρετὴν καὶ τὴν τῶν πρωτοτοκίων εὐλογίαν, τῶν οἰκείων φυγὰς
γεγονὼς περὶ τὴν Συρίαν εἰλεῖσθαι, καὶ ὑπομεῖναι μὲν τὴν παρὰ τοῦ Λαβὰν δουλείαν· μετὰ p. 91.
ταλαιπωρίας δὲ πολλῆς καὶ πρὸς γάμον ἐλθεῖν γυναικὸς, ἵνα μὴ χαναναίαν ἀγάγηται
παρὰ τὸ τοῦ πατρὶ δοκοῦν· καὶ τοσαύτην ὑπέμεινεν ταλαιπωρίαν, φυλαττόμενος τὸ παρὰ
τὰ νόμιμα τῶν προγόνων, καὶ τὸ δοκοῦν τῷ θεῷ γυναῖκα ἀγάγεσθαι· ὅπερ οὐ πεποίηκεν
ὁ ἀδελφὸς ἐκείνου χαναναίας ἀγαγόμενος παρὰ τὸ θεῷ τε δοκοῦν καὶ τοῖς γονεῦσι. “ Καὶ v. 13.
ἐν προφήτῃ ἀνήγαγε κύριος τὸν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυλάχθη. ,,
Ἐπειδὴ δὲ μετ' ἐκεῖνα πάντα κατελήλυθεν εἰς τὴν Αἴγυπτον, τοσαύτην τῶν ἐξ ἐκείνου κη-
δεμονίαν ἐποιήσατο, ὥστε τῇ τοῦ προφήτου Μωϋσέως ὑπουργίᾳ ἀναγαγεῖν τε ἅπαντας ἐκ τῆς
Αἰγύπτου, καὶ κατὰ τὴν ἔρημον αὐτοὺς διὰ τῆς ἐπιμελείας φυλάξαι τῆς οἰκείας, ἄχρι τοῦ καὶ εἰς τὴν
γῆν εἰσαγαγεῖν τῆς ἐπαγγελίας. “ Ἐθύμωσέ με Ἐφραὶμ καὶ παρώργισεν. ,, Τοιούτων δὲ v. 14.
γεγονότες προγόνων, καὶ τοσούτων δι' ἐκείνους παρ' ἐμοῦ τετυχηκότες ἀγαθῶν, εἰς ὀργὴν

memorat et Galgala, in quibus idolorum cultus frequentabatur: a locis, inquam, idolorum cultum denotat. Summa autem sermonis est, quod tantis a me acceptis beneficiis, nullis vero a daemonibus atque idolis, sequitur ut fraude illecti et falsitatis affectu, a me recesseritis, et illorum sacrificia frequentetis. “ Et altaria eorum quasi testudines in solo campestri. ,, Nullum capietis vestri erga illa studii emolumentum, quia haec omnia manu hostium destruet Deus. Nam quia testudo sub aquis habitare solita, in sicco deprehensa prorsus perit; hoc exemplo voluit altarium excidium designare.

Sed ecce denuo ex maiorum comparatione demonstrans nepotes peccare “ fugit, inquit, Iacob in campum Syriae, et servivit Israhel ob uxorem, et in uxore fuit observans. ,, Maluit ille propter virtutem et primogeniti benedictionem, domo profugus per Syriam vagari, et apud Labanum servitutem perferre: et cum gravi aerumna ad nuptias pervenire uxoris, ne chananaeam duceret praeter patris sui voluntatem: tantamque aerumnam exantlavit, ut instituta maiorum servaret, et Dei circa uxorem ducendam placitum: quod contra fecerat frater eius, chananaeis uxoribus ductis praeter Dei et parentum voluntatem. “ Et per prophetam eduxit Dominus Israhelem de terra Aegypti: et per prophetam servatus est. ,, Quoniam post illa omnia descenderat Israhel in Aegyptum, tantam posterorum eius tutelam Deus gessit, ut prophetae Moysis ministerio cunctos ex Aegypto reduxerit; quos etiam in deserto providentia sua conservavit, donec in promissam terram induceret. “ Ad iracundiam me provocavit Ephraimus et exacerbavit. ,, Tales cum fuerint progenitores, et illorum gratia tot hi a me bona sint consecuti, nihilominus iram mihi

με κατέστησαν πλείστην, ἀγνώμονες μὲν περὶ ἐμὲ γεγονότες τὸν τοσαῦτα αὐτοὺς εὖ πεποιηκότα· περὶ δὲ τὴν τῶν εἰδώλων τραπέντες θεραπείαν, ὧν οὐδὲν εἰλήφασι κέρδος. " Καὶ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἐκχυθήσεται. „ Τοιγαροῦν ἐπ' αὐτὸν ἡ ὑπὲρ τῶν παρανομημάτων
p. 92. τραπήσεται τιμωρία. " Καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει αὐτῷ κύριος κατὰ τὸν λόγον Ἐφραίμ. „ Τῆς διαβολῆς ἧς διὰ τῆς οἰκείας ἀσεβείας προσετρίψατο τῷ θεῷ, δίκας αὐτὸν εἰσπράξεται δικαίας, ἀνάλογον οἷς ἐφθέγξατο κατ' αὐτοῦ.

ΚΕΦ. ΙΓ'.

v. 1. " Δικαιώματα ἔλαβε καὶ αὐτὸς ἐν τῷ Ἰσραήλ· καὶ ἔθετο αὐτὰ τῷ Βαὰλ καὶ ἀπέθανε. „
Δεξάμενος γὰρ αὐτὸς ἐκ τοῦ νόμου Μωϋσέως τὰς διατάξεις ὧν πράττειν προσῆκον ἦν
αὐτὸν, εἰς τὸν Βαὰλ μετέστησεν ἁπάσας, τὴν ἐμοὶ προσήκουσαν κατὰ νόμον θεραπείαν ἐπ'
v. 2. ἐκεῖνα μεταγαγών· ὑπὲρ ὧν δὴ θανάτου πρόξενος γέγονεν ἑαυτῷ. " Καὶ νῦν προσέ-
θεντο τοῦ ἁμαρτάνειν, καὶ ἐποίησαν ἑαυτοῖς χωνευτὰ ἐκ χρυσίου καὶ τοῦ ἀργυρίου αὐτῶν κατ'
εἰκόνα εἰδώλων, ἔργα τεκτόνων συντετελεσμένα αὐτοῖς. „ Ἐπιμεμενήκασι δὲ τῇ ἀσεβείᾳ,
τὰ μὲν ἐκ χρυσοῦ τὰ δὲ ἐξ ἀργύρου εἴδωλα κατασκευάσαντες ἀνθρωπίναις γεγονότα χερσίν·
εἶτα τοσαύτην περὶ ταῦτα ἐπιδείκνυνται τὴν σπουδὴν, ὥστε τί; " Αὐτοὶ λέγουσι θύσατε
ἀνθρώποις· μόσχοι γὰρ ἐκλελοίπασιν. „ Ὥστε μετὰ πολλὰς θυσίας ἃς διὰ τῶν ἀλόγων
προσῆγον, οὐκ ἀρκεσθέντας τῷ πλήθει τῶν θυμάτων ἐκείνων, ἔτι καὶ εἰς ἀνθρώπους
* Ps. CV. 37. μεταστῆσαι τῆς θυσίας τὴν ἐπιχείρησιν· οὕτω καὶ ὁ μακάριος λέγει Δαυίδ· * καὶ ἔθυσαν τοὺς
v. 3. υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. " Διὰ τοῦτο ἔσονται ὡς νεφέλη πρωϊνὴ,
p. 93. καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη, καὶ ὡς ἀράχνη ἀποφυσωμένη λαίλαπι ἀπὸ ἅλωνος,
καὶ ὡς ἀτμὶς ἀπὸ ἀκρίδων. „ Ὥσπερ γὰρ νεφέλη τις ἢ δρόσος ἑωθινὴ διαλυθεῖσα παν-
τελῶς ἀφανίζεται, ἀράχνη τε ἐν ἅλωνι καθεστῶσα ὑπὸ συστροφῆς ἀνέμου, καὶ μὴν καὶ ἀτμὶς

maximam commoverunt, ingratos mihi se praebentes tanto benefactori; atque ad idola potius conversi, a quibus nihil lucri perceperant. " Et sanguis eius super eum effundetur. „ Quapropter in ipsum recidet delictorum poena. " Et opprobrium eius restituet ei Dominus, iuxta Ephraimi sermonem. „ Calumniae, quam impietate sua Deo aspersit, iustas luet poenas congruasque verbis quae contra eum iactavit.

CAP. XIII.

" Iustificationes accepit et ipse in Israhele; sed eas apposuit Baali, et mortuus est. „ Nam cum ipse ex lege Moysis religionis colendae ritus accepisset, ad Baalim cunctos transtulit, debitum mihi ex lege cultum in idola conferens: quo facto, mortem sibi indixit. " Et nunc addiderunt ad peccandum, et fecerunt sibi conflatilia ex auro argentoque suo in forma idolorum, quae sunt ab artificibus confecta opera. „ Perseverarunt in impietate, idola aurea et argentea humanarum manuum artificio fabricantes. Mox huiusmodi erga idola studium quousque tandem intenderunt? " Immolate, aiunt, homines, quia vituli defecerunt. „ Ita ut post tot sacrificia quae ex brutis animalibus obtulerant, non contenti victimarum illarum multitudine, homines quoque sacrificiorum materiam effecerint. Sic etiam beatus ait David: et immolaverunt filios suos ac filias suas daemonibus. " Idcirco erunt quasi nubes matutina, et sicut ros antelucanus praeteriens, et quasi aranei tela turbine exsufflata de area, et sicut vapor a locustis. „ Sicut enim nebula aliqua aut ros matutinus dissolutione prorsus disparent; et aranei tela quae forte in area sit, venti

βραχεῖα πρὸς ὀλίγον φανεῖσα ἀπὸ πτήσεως ἀκρίδων, οὕτως ἀθρόον ἀφανισθήσεσθε πάν-
τες ὑπὸ τῆς ὀργῆς τῆς ἐμῆς.
“ Ἐγὼ δὲ κύριος ὁ θεός σου, στερεῶν οὐρανὸν καὶ κτίζων γῆν· οὗ αἱ χεῖρες ἔκτισαν v. 4.
πάσας τὰς στρατιὰς τοῦ οὐρανοῦ· καὶ οὐ παρέδειξα σοι τοῦ πορεύεσθαί σε ὀπίσω αὐτῶν· καὶ ἐγὼ
ἀνήγαγόν σε ἐκ τῆς Αἰγύπτου· καὶ θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ· καὶ σώζων οὐκ ἔστι πάρεξ ἐμοῦ. ,,
Μάλιστα δέ σοι τὴν τιμωρίαν ἐποίσω * τὴν προκειμένην δικαίως, ὅτι πρὸς τὰ εἴδωλα νενευ- *cod. ἐποίσει.
κας ἀποστὰς ἐμοῦ, ὃς ποιητὴς τῶν ἁπάντων ὤν, τοῦ τε κατ᾽ οὐρανὸν καὶ τῶν κατὰ γῆν, ὁπηνίκα
σε ἐξήγαγον τῆς Αἰγύπτου, τοῖς πλήθεσι καὶ τοῖς μεγέθεσι τῶν θαυμάτων ἐκείνων, τῆς τε κατε-
χούσης ἀπαλλάττων δουλείας, καὶ τὴν ἐμὴν εἰδέναι διδάσκων δύναμιν, παρενεγγύησα σα-
φῶς ἑτέρῳ μὲν μηδενὶ μὴ τῶν κατὰ γῆν μὴ τῶν κατ᾽ οὐρανὸν φωστήρων νέμειν τὴν θεοῦ προση-
γορείαν, ἐμὲ δὲ μόνον ὁμολογεῖν τε καὶ εἰδέναι θεόν, ὃς καὶ σώζειν καὶ ἀπαλλάττειν τῶν ἐπι-
κειμένων κακῶν δύναμαι μόνος, ἅτε τῶν ἁπάντων κύριος ὑπάρχων· ὡς ἂν μὴ λόγους p. 94.
εἶναι καὶ ῥήματα νομίζῃς τοὺς νόμους τοὺς ἐμούς, ἐκ δὲ τῆς ἀληθείας καὶ τῶν πραγμάτων
συγκειμένους δικαίως. “ Ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀοικήτῳ κατὰ τὰς νομὰς v. 5.
αὐτῶν. ,, Ἐξαγαγὼν δέ σε τῆς Αἰγύπτου, καὶ κατὰ τὴν ἔρημον τῇ ἐμαυτοῦ κηδεμονίᾳ διήγαγον v. 6.
ἐν ἀοικήτῳ γῇ· καὶ ἐν ᾗ δὴ νομαὶ θηρίων τε ἦσαν καὶ ἑρπετῶν, οὐδενὸς ὑστερηθῆναι τῶν
ἀναγκαίων ἐάσας. “ Καὶ ἐνεπλήσθησαν εἰς πλησμονήν, καὶ ὑψώθησαν αἱ καρδίαι αὐτῶν·
ἕνεκεν τούτου ἐπελάθοντό μου. ,, Εἶτα εἰσεληλυθότες εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ τοσούτων
παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα ἀπολελαυκότες ἀγαθῶν, μεγάλοι τε παρὰ πᾶσι τοῖς
κατὰ τὴν οἰκουμένην δειχθέντες ἀνθρώποις, διὰ τῶν περὶ αὐτοὺς ἐξ ἐμοῦ γεγονότων, οὐκέτι
μνήμην εἶχον ἐμοῦ τοῦ δεδωκότος αὐτοῖς τῶν τοσούτων ἀγαθῶν τὴν ἀφθονίαν.

turbine abripitur, itemque levis vapor brevi apparens abs locustarum volatu; sic vos repente omnes ab ira mea destruemini.

“ Ego autem dominus Deus tuus, qui firmavi caelum, et terram condidi, cuius manus creaverunt omnem militiam caeli; quique hanc haud tibi ostendi ut ambulares post eam; ego inquam eduxi te Aegypto; tu vero nullum Deum praeter me habebis; neque qui te salvet, excepto me. ,, Supradictam quidem potissimum poenam tibi merito inferam, quia declinasti ad idola, deserto me; qui cum sim creator omnium caelique et terrae, quo tempore te Aegypto eduxi, tanta cum miraculorum illorum multitudine ac magnitudine, servitutis pressura sublevans, et potentiae meae notitiam te docens, tunc inquam palam mandavi tibi, ut nulli rei terrestri nullique caelesti luminari appellationem Dei tribueres, meque solum confitereris ac scires esse Deum, qui et salvare et eripere ex instantibus malis, utpote omnium dominus, solus queo. Quamobrem cave ne veluti sermones quosdam ac verba existimes esse leges meas, sed potius rerum veritate recte concretas. “ Ego pavi te in deserto, in terra inhabitabili, iuxta pascua eorum. ,, Postquam te Aegypto eduxi, in deserto quoque providentia mea te sum comitatus, in terra habitatoribus cassa; ubi quum nihil aliud esset praeter ferarum et serpentium pascua, nihil tibi necessarium deesse sivi. “ Et saturati abunde sunt, et elevata sunt corda eorum, ideoque mei sunt obliti. ,, Post haec promissam terram ingressi, tantisque praeter quamlibet humanam spem, bonis fruentes, et magnum prae ceteris mundi incolis nomen adepti, propter mea circa ipsos opera, attamen mei memores non fuerunt, qui tantam iis bonorum copiam contuleram.

v. 7. " Καὶ ἔσομαι αὐτοῖς ὡς πάνθηρ καὶ ὡς πάρδαλις κατὰ τὴν ὁδὸν ἀσσυρίων. ,, Τοιγαροῦν
δίκην πάνθηρος αὐτοὺς καὶ παρδάλεως, μετὰ πολλῆς τῆς ὀξύτητος συντρίβων τε καὶ ἀπολλὺς,
v. 8. ὑπὸ τὴν τῶν ἀσσυρίων αἰχμαλωσίαν ἐλάσω πάντας. " Ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκος
p. 95. ἀπορουμένη. ,, Καὶ δίκην ἄρκου τῶν γεννημάτων στερηθείσης τῶν οἰκείων, καὶ ἐπὶ πολλῆς τῆς
ἐπ᾽ ἐκείνοις ἀπορίας τοῖς ἀπαντῶσι λυμαινομένης, πλείστων ὅσων αὐτῶν ἐργάσομαι τὸν
φόνον. " Καὶ διαῤῥήξω συγκλεισμὸν καρδίας αὐτῶν. ,, Καὶ πάντας δὲ τοὺς διαλογισμοὺς
αὐτῶν οὓς παρ᾽ ἑαυτοῖς συνέχοντες, μετὰ πολλῆς ἠσέβουν τῆς ἐπιμελείας, περιττοὺς ὄντας καὶ
ματαίους, διὰ τῆς ἐπαγομένης αὐτοῖς ἐλέγξω τιμωρίας. " Καὶ φάγονται αὐτοὺς ἐκεῖ σκύμ-
νοι δρυμοῦ, καὶ θηρία ἀγροῦ διασπάσει αὐτούς. ,, Οὕτω γὰρ αὐτοὺς τῇ τῆς σφαγῆς ποικιλίᾳ
καταναλώσουσιν οἱ πολέμιοι, ὡσανεὶ λέοντες τινὲς ἐκ δρυμοῦ, ἤ τινα ἕτερα παραπλήσια
v. 9. τούτοις θηρία, ἀθρόα τοῖς ὀδοῦσιν ἐπιπεσόντα διασπάσειεν ἅπαντας. " Τῇ διαφθορᾷ σου
Ἰσραὴλ, τίς βοηθήσει σοι; ,, Ἀλλὰ γὰρ ὑπὸ τοσούτων διαφθειρόμενος τε καὶ ἀπολλύμενος
κακῶν, τίνα ἂν εὕροις βοήθειαν;

v. 10. " Ποῦ ὁ βασιλεύς σου οὗτος, καὶ διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσί σου· καὶ κρινάτω
v. 11. σε, ὃν εἶπας δός μοι βασιλέα καὶ ἄρχοντα· καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου. ,, Οὐδὲ
γὰρ ἐκ βασιλικῆς ἐπιμελείας ἢ στρατηγίας ἀποίσει τι κέρδος· ἔσται γὰρ καὶ οὗτος ἄτονος εἰς
βοήθειαν, ἀντιπράττοντος ἐμοῦ· καίτοι γε ἐμοὶ δοκοῦν ἡγούμενόν σου τὸν Σαμουὴλ ἄνδρα
δίκαιον, καὶ μετὰ πάσης ἀρετῆς τήν τε ἱερωσύνην καὶ τὴν ἡγεμονείαν διέποντα τοῦ λαοῦ,
p. 96. παρεγράψασθε παντελῶς, παραπλησίως τοῖς λοιποῖς ἔθνεσι φήσαντες δεῖν ἔχειν βασιλέα,
ὃς ἀρκέσει πρὸς τοὺς ὑπὲρ ὑμῶν πολέμους τοῖς ἀλλοτρίοις· ἀλλὰ γὰρ ἥκει καιρὸς, ἐν ᾧ τῆς
ἀβουλίας αἰσθήσεσθε τῆς οἰκείας· οὐ γάρ τι ὄφελος παρέξουσιν ὑμῖν οἱ βασιλεύειν ἐν ὑμῖν
δοκοῦντες, ἅτε πασῶν τῶν ἐν ὑμῖν πόλεων ὑπὸ μίαν ἀπώλειαν πεσουμένων· οὐ τοίνυν οὐδὲ

" Eroque illis ut panthera, et sicut pardus in via Assyriorum. ,, Propterea pantherae more pardique, velociter admodum eos conteram perdamque, cunctos videlicet in Assyriorum trahens captivitatem. " Occurram eis quasi ursa destituta catulis. ,, Ursae more, cui sui sublati sint catuli, et ob grave illorum desiderium quotquot occurrerint discerpentis, ego quoque magnam eorum occidionem faciam. " Et disrumpam conclusionem cordis eorum. ,, Et eorum omnes cogitationes, quas intra se continentes, studiose admodum peccabant, supervacuas ac vanas per inflictam poenam coarguam. " Et devorabunt eos ibi catuli silvae, et bestiae agri discerpent eos. ,, Sic eos variis caedibus consument hostes; veluti leones de saltu, aut aliae huiusmodi ferae, subito irruentes dentibus omnes lacerarent. " Corruptioni tuae, Israhel, quis auxiliabitur? ,, Tantis fractus perditusque malis, quodnam auxilium invenies?

" Ubi hic rex tuus? Nunc salvet te in omnibus urbibus tuis. Iudex esto tuus, de quo dixisti: da mihi regem et principem: dedique tibi regem in ira mea. ,, Neque enim ex regio aut militari regimine quicquam lucraberis: erit quippe et hoc invalidum ad defensionem, repugnante me. Nam cum mihi placuisset dare vobis praesidem Samuhelem, virum iustum et omni virtute praeditum, qui sacerdotium simul et principatum populi administraret, vos eum omnino deposuistis; aeque ac reliquas gentes, oportere vos habere regem dicentes, qui vobis usui esset ad bella contra alienigenas. Atqui tempus adest, quo inconsiderantiam vestram agnoscetis: nihil enim vobis proderunt hi qui regnare apud vos videntur, siquidem vestrae omnes urbes una eademque ruina corruent. Nemo igitur tibi iudex erit, quasi imme-

τις αὐτῶν κρινεῖ σοι, ὡς ματαίαν παρὰ τῶν πολεμίων ἐπανάστασιν ὑπομένοντι, καί τινα παρέξει βοήθειαν ἐπὶ τούτοις· ἐπειδὴ τοῦτο πρὸς τῶν οἰκείως τοῖς βασιλεῦσιν ἔθος ποιεῖν εἰς τὴν τῶν ἀδικουμένων βοήθειαν· πολέμιοι δὲ οἱ νῦν πλεῖστον ὅσον τῶν βασιλευόντων ἐν ὑμῖν ὄντες δυνατώτεροι· ὁπηνίκα δὲ ᾐτεῖτε ὡς ἐπ' ἀγαθῷ ληψόμενοι τοῦ βασιλέως τὴν ἀρχὴν, θυμούμενος ἐπὶ τῇ μοχθηρίᾳ τῆς γνώμης τῆς ὑμετέρας, ὅμως ἐπέτρεψα λαβεῖν τὸν βασιλέα, ὡς ἂν μὴ ἀντιπράττειν ὑμῖν τὰ κάλλιστα ὑπὲρ ἑαυτῶν διαπραττομένοις δοκοίην. " Καὶ ἀνέσχον ἐν τῷ θυμῷ μου. ,, Θυμούμενος δὲ καὶ νῦν ἐπί τε ἐκείνῃ καὶ τῇ καθεξῆς παρανομίαις ὑμῶν, ἀφεῖλον μὲν ὑμῶν τὴν ἐμὴν συμμαχίαν· εἴασα δὲ ὑμᾶς ἐξ αὐτῶν μαθεῖν τῶν πραγμάτων, πόσῳ δὲ ἄμεινον ὑμῖν ἦν ὑπὸ τοῖς παρ' ἐμοῦ προχειριζομένοις ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἄγεσθαι πάντοτε, ἢ βασιλικῇ πιστεύειν αὐτοὺς δυναστείᾳ.

" Συστροφὴ ἀδικίας Ἐφραὶμ ἐν κεκρυμμένῃ ἁμαρτία αὐτοῦ· ὠδῖνες ὡς τικτούσης ἥξου- v. 12. p. 97.
σιν αὐτῷ. ,, Καὶ ἐπειδὴ διὰ πάντων ἐδείχθητε (ἀπὸ γὰρ τοῦ Ἐφραὶμ εἰωθότως ὡς ἀπὸ μέ- v. 13.
ρους λέγει τὸ πᾶν) πολλήν τινα τὴν συστροφὴν καὶ τὴν ἐπιμέλειαν ἔχοντες τοῦ ποικίλως ἀσεβεῖν τε καὶ ἁμαρτάνειν εἰς ἐμὲ, ἐν μελέτῃ τε τῇ κατὰ διάνοιαν ἐστὶν ὑμῖν τὸ ἁμαρτάνειν (τοῦτο γὰρ ἐγκεκρυμμένην ἁμαρτίαν λέγει, τὸ τὰ τῆς ψυχῆς βουλεύματα ἄδηλα τοῖς ἐκτὸς ὑπάρχειν) ὑπὲρ δὴ τούτων φησὶ τοιαύταις περιπεσεῖσθε τιμωρίαις, ὥστε δίκην γυναικὸς ὠδινούσης ἐν τῷ τίκτειν συνέχεσθαι τῇ τῶν ἐπεληλυθότων ὑμῖν κακῶν ὀδύναις. ,, Οὗτος ὁ υἱός σου ὁ φρόνιμος; ,, Ταῦτα τῆς συνέσεως ὑμῶν τὰ ἔργα, οἱ οὐκ ἠδυνήθητε διακρῖναι πόσον ἐστὶ τὸ διάφορον ἐμοί τε ἀρέσκειν, καὶ ὑπὸ τὴν ἐπιμέλειαν εἶναι τὴν ἐμὴν, ἢ πρὸς τὰ εἴδωλα νεύειν, καὶ τἀναντία τοῖς ἐμοὶ δοκοῦσι; " Διότι νῦν οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων αὐτοῦ. ,, Τοιγαροῦν τοιαῦτα βουλευσάμενοι, ἐνεγκεῖν οὐ δυνήσεσθε τὴν ἀπώλειαν τὴν οἰκείαν. Εἶτα τῶν
κακῶν ὑπισχνούμενος καθὼς εἴωθε τὴν λύσιν, ἐπάγει. " Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτοὺς, καὶ v. 14.

ritam ab inimicis adgressionem patiaris; neque ullum in hoc rerum statu auxilium praebebit: quamquam hoc potissime regum erga suos officium est, ut iniurias eorum ulciscantur: nunc vero hostes mirum quantum regibus vestris potentiores sunt. Sed tamen cum petistis, tamquam aliquid boni accepturi, regis dignitatem, indignans ego licet vestrae voluntatis improbitati, nihilominus ut regem haberetis indulsi, ne forte viderer vestrae optimae deliberationi contradicere: toleravi, inquam, in ira mea. Et nunc pariter iratus tum illi veteri tum posterioribus vestris iniquitatibus, meum vobis auxilium subduxi: sivique vos ex ipsis discere rebus, quanto melius fuerat ab illis, quos ego pro vestra salute elegeram, semper gubernari, quam regiae vos committere potestati.

" Vortex iniquitatis Ephraimus, cum occulto peccato suo: dolores quasi parturientis venient ei. ,, Et quia in omnibus demonstrastis (namque Ephraimi nomine, more suo, tamquam ex parte totum dicit) vehementem quendam impetum ac sedulitatem multifariam impie agendi peccandique adversus me, mentisque vestrae cogitatio in delicto tota defigitur (hoc enim dicit occultum peccatum, nempe quia animi deliberationes ignotae externis sunt) propterea, inquit, in tot tantasque incidetis poenas, ut quasi mulier in partu dolens, futuri sitis propter ingruentium malorum cruciatus. " Hiccine filius tuus prudens? ,, Haeccine sapientiae vestrae opera, qui discernere nescivistis, quantum intersit inter gratiam meam ac tutelam, et declinationem ad idola atque ad opera voluntati meae contraria? " Quamobrem nunc non subsistet in contritione filiorum suorum. ,, Propterea cum talia deliberaveritis, tolerare perditionem vestram non poteritis. Exin porro malorum,

ἐκ θανάτου λυτρώσομαι αὐτούς. „ Ἀλλὰ γὰρ καὶ μετὰ πάντα ταῦτα παιδεύσας αὐτοὺς τῇ
p. 98. τιμωρίᾳ, ἐξ αὐτοῦ μικροῦ τοῦ θανάτου πάντας ὑμᾶς ἐξέλωμαι παρὰ πᾶσαν ἀνθρωπίνην
ἐλπίδα. “ Ποῦ ἡ δίκη σου θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη; „ Ὥστε σοι τότε λέγειν ἐξεῖναι
ταυτὶ τὰ ῥήματα, ὁρῶντι τὸν τῶν ποικίλον ἐκεῖνον θάνατον ἐπαγαγόντων σοι τὴν τιμωρίαν,
λέγει δὲ τῶν ἀσσυρίων. “ Παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν σου. „ Τεύξῃ γὰρ παρα-
κλήσεως ἐπὶ τοῖς τοσούτοις κακοῖς, ἣ νῦν μὲν ἄδηλος ἐστί σοι τέως, ὄψει δὲ αὐτὴν ἐξ αὐ-
τῶν τότε τῶν πραγμάτων.

v. 15. “ Διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ. „ Τινὲς οὕτως ἐνόησαν ὅτι τοὺς ἰσραηλιτῶν
κατήγαγε μὲν εἰς αἰχμαλωσίαν τὰς δέκα φυλὰς, τοὺς δὲ τῆς Ἰουδαίας ἀφῆκε· τοῦτο δὲ οὐ
κατὰ γνώμην γέγονε τῷ ἀσσυρίῳ, ὅς γε ἠβουλήθη τήν τε Ἱερουσαλὴμ καὶ τοὺς τῆς Ἰουδαίας
τὰ ὅμοια διαθεῖναι· ἐκωλύθη δὲ τῇ δυνάμει τῇ θείᾳ καὶ τῇ τοῦ ἀγγέλου πληγῇ· ὥστε οὐκ
αὐτὸς διέστειλεν, ἀλλ' ἠβουλήθη τὸ μέγεθος τῶν κακῶν εἰπεῖν ὁ προφήτης, ἐν οἷς ἐξετα-
σθήσονται ὑπὸ τοῦ ἀσσυρίου ληφθέντες, εἰς ἀπόδειξιν ὧν αὐτοῖς ὁ θεὸς παρέξει, τιμωρεῖσθαι
μέλλων ὕστερον ἐκείνους· ἐπειδὴ τοίνυν αἰχμαλώτους αὐτοὺς λαβὼν ὁ ἀσσύριος διέσπειρεν
αὐτοὺς τῇδε κἀκεῖσε ἐνοικίσας διαφόροις τόποις, ὡς ἂν μὴ δὲ ἀλλήλοις παρέχειν τινὰ
p. 99. δύναιντο συμμαχίαν, μὴ δὲ ἐκ συμφωνίας περὶ τῆς ἐκεῖθεν ἀπαλλαγῆς βουλεύοιντο ἔτι·
* Ps. CXLVI. 2. οὕτω δὲ λέγει καὶ ὁ μακάριος Δαυίδ· * τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει· ἵνα εἴπῃ
* Ps. CVI. 2. ὅτι διεσπαρμένους αὐτοὺς τῇδε κἀκεῖσε, ἐπανάξει παρὰ πᾶσαν ἐλπίδα· καὶ ἑτέρωθι δέ· *
εἰπάτωσαν δὴ οἱ λελυτρωμένοι ὑπὸ κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν
χωρῶν συνήγαγεν αὐτοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης. „ Δηλῶν ὅπως
ἦσαν πολλαχοῦ διεσπαρμένοι· τοῦτο δὴ λέγει κἀνταῦθα ὅτι οὗτος ὁ λαβὼν ὑμᾶς αἰχμα-
λώτους, καὶ εἰς ἀλλοτρίαν χώραν ἀπαγαγὼν, εἰς πολλοὺς ποικίλοις διέσπειρε τόποις· ὡς ἂν

ut solet, promittens solutionem, pergit dicere: “ de manu inferni liberabo eos, de morte redimam eos. „ Iam vero post haec omnia, poena iam eruditos, ex ipsa propemodum morte vos omnes eruam, praeter omnem humanam spem. “ Ubi ultio tua, mors? ubi stimulus tuus, inferne? „ Tunc a te dici haec verba licebit, cum multiformem illum interitum cernes hominum, qui tibi poenam intulerunt, nempe Assyriorum. “ Consolatio abscondita est ab oculis suis. „ Habebis certe malorum tantorum solamen, quod nunc tibi adhuc ignotum est, sed ex ipsis demum rebus gestis innotescet.

“ Quia hic inter fratres dividet. „ Nonnulli existimarunt, Assyrium abduxisse in captivitatem decem tribus, sed Iudaeae incolas dimisisse. Atqui de hoc non cogitavit Assyrius, qui immo voluit Hierosolymis et Iudae incolis paria facere, sed divina potentia impeditus fuit et angeli clade. Non ergo ille divisit; sed propheta nihil aliud dicere vult quam malorum gravitatem, quibus exercebuntur capti ab Assyrio; vultque demonstrare cuiusmodi Deus dabit supplicia, quum suo tempore faciet illorum castigationem. Etenim reapse Assyrius captivos Israhelitas hac illac dispersit diversis locis, quominus ullum praestarent mutuum auxilium, neque collatis consiliis de reditu illinc cogitarent. Sic etiam beatus David ait: dispersiones Israhelis congregabit; nempe ut dicat: dispersos eos hac et illac, praeter omnem spem adunabit. Et alibi: dicant qui redempti sunt a Domino, quos redemit de manu inimici, et de regionibus congregavit eos, a solis ortu et occasu, ab aquilone et mari; ita significans fuisse illos multis locis dispersos. Ergo heic quoque dicit: hic qui vos captivavit, et in alienam regionem deportavit, multis variisque vos sparsit locis; ne

μὴ ἐπὶ ταὐτὸν ἠθροισμένοι παράκλησιν ἔχειν τινὰ δοκοίητε· ἐπιτείνοιτο δὲ μᾶλλον ὑμῖν τὰ κακὰ κατὰ διαφόρους διῃρημένοις τόπους.

Ταῦτα εἰρηκὼς εἰς ἀπόδειξιν τῆς τε δυνάμεως καὶ τῆς ὠμότητος ἧπερ ἐχρήσατο κατ' αὐτῶν ὁ Ἀσσύριος, ἐπάγει. " Ἐπάξει κύριος ἄνεμον καύσωνα ἐκ τῆς ἐρήμου ἐπ' αὐτὸν, καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ, καὶ ἐξερημώσει τὰς πηγὰς αὐτοῦ, καὶ πάντα αὐτοῦ τὰ σκεύη τὰ ἐπιθυμητά. ,, Ἐπάξει γὰρ αὐτοῖς πολέμιον, λέγει δὲ τὸν τῶν Βαβυλωνίων βασιλέα ὃς ὥσπερ ἔκ τινος πόρρωθεν κειμένης χώρας, δίκην ἀνέμου καύσωνος ἀθρόον ἐπελθὼν, ὅλον αὐτὸν ἀφανιεῖ διόλου· τήν τε εὐπραγίαν αὐτοῦ, καὶ τὴν τῶν προσόντων ἀγαθῶν ἀφθονίαν, εἰς ἐρημίαν μεταστήσας· καὶ πάντα δὴ τὰ προσόντα αὐτοῖς, καὶ πολλῆς ἠξιωμένα τῆς σπουδῆς ἀφανιεῖ καθάπαξ· πρὸς γὰρ τὸ, ποῦ ἡ δίκη σου θάνατε, ποῦ τὸ κέντρον σου ᾅδη, ἐπῆκται· διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ· καὶ τὰ ἑξῆς· ὥστε εἶναι διὰ μέσου, τὸ παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν σου, δηλοῦντος ὅτι γενήσεται τοῦτο ὃ νῦν αὐτοῖς ἄδηλόν ἐστι τέως. Εἶτα τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν εἰρηκὼς, λέγει πάλιν τὴν νῦν καθέξουσαν αὐτοὺς τιμωρίαν.

ΚΕΦ. ΙΔ'.

" Ἀφανισθήσεται Σαμάρεια, ὅτι ἀντέστη πρὸς τὸν θεὸν αὐτῆς· ἐν ῥομφαίᾳ πεσοῦν- v. 1.
ται, καὶ τὰ ὑποτίτθια αὐτῶν ἐδαφισθήσονται, καὶ αἱ ἐν γαστρὶ αὐτῶν ἔχουσαι διαρραγήσονται. ,,
Τότε μὲν οὖν φησὶν ἐκεῖνα παρέξει παρὰ πᾶσαν ἐλπίδα τοῖς γεγονόσιν αἰχμαλώτοις· πρὸ
δέ γε ἐκείνων καταλήψεται νῦν αὐτοὺς ἀπώλεια βαρυτάτη, ὑπὲρ ὧν ἐναντία εἵλοντο τῷ θεῷ·
πολέμου γὰρ ἐν πείρᾳ καταστήσονται πικροτάτου, ὡς μήτε τῶν ἔτι γαλακτοτροφουμένων παιδίων
ἔλεον εἶναι πολεμίοις, μήτε μὴν τῶν γυναικῶν τῶν ἐγκύων· καὶ ἐπειδήπερ αὐτοὺς τῇ μνήμῃ τῶν

in eadem statione adunati solamen aliquod habere videremini; sed augeri vobis potius aerumnam voluit in diversitate locorum constitutis.

Iam vero his dictis ob vim saevitiamque ostendendam, qua usi fuerunt adversus eos Assyrii, prosequitur. " Adducet Dominus urentem ventum ex deserto super ipsum, et siccabit venas eius, et fontes eius desolabit, atque omnia vasa eius desiderabilia. ,, Adducet ei hostem, dicit autem Babyloniorum regem, qui tamquam ex aliqua longinqua regione, in venti urentis similitudinem repente superveniens, universum Israhelem omnino delebit; eiusque prosperitatem, bonorumque affluentiam, in vastitatem convertet; eiusdemque omnes facultates, et quicquid maiori pretio habebatur, funditus destruet. Nam verbis, ubi ultio tua, mors? ubi stimulus tuus, inferne? subiungitur: propterea hic inter fratres dividet, et reliqua; ita tamen ut intermedia sint verba illa: consolatio abscondita est ab oculis tuis; significante propheta, eventurum illud quod eatenus latebat. Sed enim postquam ipsorum in meliorem statum dixit conversionem, loquitur rursus de mox correptura eosdem poenali calamitate.

CAP. XIV.

" Destruetur Samaria, quoniam in Deum suum rebellavit. Gladio cadent; tum illorum lactentes solo allidentur; et foetae ipsorum scindentur. ,, Tunc ergo, inquit, praedicta beneficia insperato conferet Dominus captivis. Sed ante illud tempus corripiet eos exitium gravissimum, propterea quod contraria Deo fecerint: namque acerbissimum experientur bellum, in tantum ut ne lactentium quidem parvu-

καταληψομένων αὐτοὺς κακῶν ἐσωφρόνισεν αὐταρκῶς, ἀκολουθῶν τῇ ἐπαγγελίᾳ ἣν ἐν τοῖς
v. 2. p. 100. ἀνωτέροις ἐποιήσατο, τὴν ἐσομένην αὐτοῖς λύσιν τῶν λυπηρῶν μηνύων, ἐπάγει. " Ἐπιστρά-
φηθι Ἰσραὴλ πρὸς κύριον τὸν θεόν σου, διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. „ Ἀλλὰ γὰρ
νῦν δὴ νεῦσον πρὸς τὸν θεὸν, καὶ τὰ αὐτῷ δοκοῦντα ἀναλογισάμενος, ὑπὲρ ὧν ἠσέ-
βεις, εἰς ὅσην κατηνέχθης ἀσθένειαν· καὶ λαβὼν παρ' ἐλπίδα τῶν περιπεπτωκότων κακῶν
v. 3. τὴν λύσιν, ἐπιμελεῖσθαι λοιπὸν σπούδαζε τοῦ προσήκοντος. " Ἀναλάβετε μεθ' ἑαυτῶν
λόγους, καὶ ἐπιστράφητε πρὸς κύριον τὸν θεὸν ὑμῶν· εἴπατε αὐτῷ, δύνασαι πᾶσαν ἀφαιρεῖν
ἁμαρτίαν· ὅπως μὴ λάβητε ἀδικίαν, καὶ ἵνα λάβητε ἀγαθά. „ Τοιούτοις δή τισι πρὸς ἀλ-
λήλους χρήσασθε τοῖς λόγοις, δι' ὧν νεύσετε μὲν ὅλοι δι' ὅλων πρὸς θεόν· ἀναμφίβολον
δὲ ἕξετε τὴν πίστιν, τοῦ πάσας ἀφαιρεῖν ὑμῶν τὰς ἁμαρτίας αὐταρκῶς ἔχειν τὸν θεὸν, εἴπερ
οὖν ὑμᾶς μεταμελομένους ἐπὶ τοῖς συμβαίνουσιν ἴδοι κακοῖς· ὡς ἂν μηκέτι πρὸς ἀσέβειαν
νεύοντες, ἄφθονον ἔχοιτε τῶν ἀγαθῶν παρὰ θεοῦ τὴν χορηγίαν· καὶ προτρέψασθε πάντες ἀλ-
λήλους διηνεκεῖς αὐτῷ τοὺς ὕμνους καὶ τὰς εὐχαριστίας ὑπὲρ τῶν ὑπαρξάντων ὑμῖν ἀπο-
δοῦναι καλῶν.

v. 4 " Ἀσσὺρ οὐ μὴ σώσῃ ἡμᾶς, ἐφ' ἵππων οὐκ ἀναβησόμεθα, οὐκέτι οὐ μὴ εἴπωμεν,
θεοὶ ἡμῶν τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν. „ Οὔτε γὰρ τῆς τοῦ Ἀσσυρίου λοιπὸν δεησόμεθα βοη-
p. 100. a. θείας, ἀνώτεροι καθεστῶτες αὐτοῦ διὰ τὴν θείαν κηδεμονίαν· οὔτε ἵπποις χρησάμενοι νεύ-
σομεν πρὸς φυγήν· πάρεστι γὰρ ὁ βοηθῶν θεός· πόῤῥωθεν δὲ ἐσόμεθα καὶ τῆς πλάνης ἐκείνης
λοιπὸν, ὥστε τὰ παρ' ἡμῶν γινόμενα θεοὺς ὀνομάζειν. " Ὅτι ἐν σοὶ ἐλεήσει ὀρφανόν. „
Ἐπιμελεῖσθε δὲ μετὰ τῆς εἰς θεὸν εὐγνωμοσύνης, καὶ τῆς εἰς τοὺς δεομένους συμπαθείας.
v. 5. " Ἰάσομαι τὰς κατοικίας αὐτῶν, ἀγαπήσω αὐτοὺς ὁμολόγως, ὅτι ἀπέστρεψεν ἡ ὀργή μου
ἀπ' αὐτῶν. „ Εἰ γὰρ δὴ τοιαῦτα φησὶ ποιεῖς, ἀκούσῃ τοῦ θεοῦ ταῦτα ἐπαγγελλομένου τε περὶ

lorum miserturi sint hostes, neque mulierum gravidarum. Age vero postquam eos eventurorum malorum commemoratione satis ad modestiam composuit, nunc promissioni insistens quam in superioribus fecit, futuramque illis molestiarum solutionem portendens, ait. " Convertere, Israhel, ad dominum Deum tuum, quoniam infirmatus es in iniquitatibus tuis. „ Age iam, respice modo ad Deum; et voluntatem eius considerans, in quantam veneris ob delicta tua infirmitatem cognosce: et cum insperato incumbentium malorum solutionem sis nactus, da operam ut debitis officiis in posterum defungaris. " Tollite vobiscum verba, et convertimini ad dominum Deum vestrum. Dicite ei: potes omne auferre peccatum: ut ita non assumatis iniquitatem, sed capiatis bona. „ Hos quodammodo sermones inter vos mutuo serite, quibus omnes per omnia ad Deum tendatis: certaque fide credatis posse Deum vestra omnia peccata delere, si certe vos paenitentes in contingentibus viderit calamitatibus: atque iam omni impietate omissa, uberem impetrabitis bonorum a Deo largitionem. Simulque invicem exhortemini, ad perpetuos illi hymnos et gratiarum actiones ob ea quae possidetis bona, attollendos.

" Assur non salvabit nos: super equos non ascendemus: haud ultra dicemus opificiis nostris, dii nostri estis. „ Non enim Assyrii deinceps indigebimus auxilio, facti iam ei superiores ob divinum patrocinium. Neque equis utentes ad fugam spectabimus: adest enim auxiliator Deus. Tum et ab illo errore procul postea erimus, eos quos ipsi fecimus, deos appellandi. " Quia in te miserebitur pupilli. „ Date operam ut una cum benivolo sinceroque erga Deum affectu, egentium quoque misereamini. " Sanabo habitationes eorum: diligam eos manifeste, quia aver-

σοῦ καὶ ποιοῦντος· καὶ ὅτι ἀποδώσει μέν σοι τὴν παλαιὰν οἴκησιν ἐπὶ τῆς αὐτῆς ἐξουσίας·
ἴσην δὲ καὶ ὁμοίαν περὶ πάντας ἐπιδείξεται τὴν ἀγάπην, ἅτε πᾶσαν ὀργὴν ἀφελὼν ἀφ'
ὑμῶν. “ Ἔσομαι ὡς δρόσος τῷ Ἰσραήλ. ,, Οὕτως αὐτὸν ἐκθρέψων τῇ παρ' ἐμοῦ κηδε- v. 6.
μονίᾳ, ὥσπερ ἡ δρόσος ἐκτρέφειν εἴωθε τοὺς καρπούς. “ Ἀνθήσει ὡς κρίνον. ,, Ἐπίδοξος
ἔσται παρὰ πᾶσι. “ Καὶ βαλεῖ τὰς ῥίζας αὐτοῦ ὡς ὁ Λίβανος. ,, Εἰς πολυπληθίαν ἐπι-
δώσει, δίκην ἐκείνου τοῖς κέδροις στενοχωρουμένου. “ Πορεύσονται οἱ κλάδοι αὐτοῦ. ,, Ἐκτα- v. 7 p. 101.
θήσονται ἐπὶ πλεῖστον εὐπραγίας οἱ ἐξ αὐτοῦ. “ Καὶ ἔσται ὡς ἐλαία κατάκαρπος, καὶ ἡ
ὀσφρασία αὐτοῦ ὡς λιβάνου. ,, Αὐτός τε διὰ τῆς ἐμῆς κηδεμονίας ἀεὶ θάλλων ἔσται τοῖς
καρποῖς, καὶ λιβανωτοῦ δίκην ἡδὺς τοῖς ἀκούουσι τὰ περὶ αὐτοῦ ἀγαθά. “ Ἐπιστρέψουσι καὶ v. 8.
καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ, καὶ ζήσονται, καὶ στηριχθήσονται, σίτῳ. ,, Ἐπανελθόντες
ἀπολαύσουσι τῶν οἰκείων, καὶ διαμένουσι ἄφθονον τῶν καρπῶν ἔχοντες τῇ ἐμῇ κηδεμονίᾳ τὴν
χορηγίαν. “ Καὶ ἐξανθήσει ὡς ἄμπελος τὸ μνημόσυνον αὐτοῦ· ὡς οἶνος Λιβάνου· ,, Οὕτως
ἡδὺς ὢν καὶ προσηνὴς τοῖς ὁρῶσιν, ὡς ἄμπελος τε ἀνθοῦσα, καὶ οἶνος ὁ κατὰ τὸ ὄρος τοῦ
Λιβάνου γίγνεσθαι εἰωθώς.

“ Τῷ Ἐφραὶμ, τί αὐτῷ ἔτι καὶ εἰδώλοις; ἐγὼ ἐταπείνωσα αὐτὸν, καὶ ἐγὼ κατισχύσω v. 9.
αὐτόν. ,, Οὐκέτι δή σοι κοινωνίαν οὐδὲ μίαν προσήκειν εἶναι πρὸς τὰ εἴδωλα, ἐπειδὴ μὴ
δὲ δεηθήσῃ τι ἐκείνων· ἐγὼ γὰρ ὑπὲρ τῆς περὶ ἐκεῖνα σπουδῆς σε ταπεινώσει περιβαλὼν,
μεταμεληθέντα ἐπὶ τῆς παλαιᾶς ἀνέδειξα εὐπραγίας. “ Ὡς ἄρκευθος πυκάζουσα ἐξ
ἐμοῦ ὁ καρπός σου εὑρήσεται. ,, Ἐπειδὴ ἀειθαλές ἐστι τὸ δένδρον τοῦτο, λέγει ὅτι ὡς ἐκεῖνο
διὰ παντὸς τὴν ἐκ τῶν φύλλων ἔχει κόμην, οὕτως ἔσονται καὶ οὗτοι διηνεκῆ τῶν ἀγαθῶν ἔχοντες
τὴν ἀφθονίαν, ὧν αὐτοῖς διὰ τῆς ἐμῆς κηδεμονίας ἀπόλαυσις προσέσται· Ἀκολούθως δὲ πᾶσι p. 102.
τούτοις ἐπήγαγεν ὁ προφήτης. “ Τίς σοφὸς, καὶ συνήσει ταῦτα; ἢ συνετὸς, καὶ γνώσεται v. 10.

sus est furor meus ab eis. ,, Si ita, inquit, te gesseris, audies Deum haec promittentem atque facientem, teque in antiquum habitaculum restituentem cum potestate eadem: aequalem denique similemque priori erga omnes ostendet amorem, quoniam omnem iram suam a vobis avertit. “ Ero quasi ros Israheli. ,, Sic illum mea cura nutriam, ceu ros fruges alere solet. “ Florescet sicut lilium. ,, In honore apud omnes erit. “ Mittet radices suas quasi Libanus. ,, Excrescet in multitudinem, haud secus quam ille cedris densatur. “ Ibunt rami eius. ,, Dilatabitur prosperitas nepotum eius. “ Et erit quasi olea fructifera, et odor eius quasi turis. ,, Ipse ob curam meam semper fructibus pullulabit, et turis instar suavis erit audientibus prosperitates eius. “ Revertentur atque sedebunt sub umbra eius: vivent et roborabuntur tritico. ,, Post reditum fruentur rebus suis, ac perseverabunt uberem habentes a mea providentia frugum largitionem. “ Et efflorescet quasi vitis memoriale eius, et quasi vinum Libani. ,, Ita suavis erit et iucundus spectantibus, ceu vitis florens, et ut vinum quod in Libano monte gigni solet.

“ Ephraimo, quid ei ulterius et idolis? Ego humiliavi eum, et ego roborabo eum. ,, Nullam iam tibi esse communionem cum idolis decet, quia nec illis prorsus indigebis. Ego vero, qui ob illorum studium te humiliaveram, postea paenitentem veteri prosperitati restitui. “ Sicut iuniperus condensa, ita fructus tuus ex me invenietur. ,, Quia haec arbor semper virescit, ait: sicut illa semper foliorum coma frondescit, sic et istos fore in perpetua bonorum ubertate, quorum usus eis a mea providentia continget. Consentanee vero his omnibus, addit propheta. “ Quis sapiens, et intelliget ista? quis intelligens, et cognoscet haec? quia rectae viae Do-

αὐτά; ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς. „ Ἀλλὰ γὰρ ὄντως ἄν τις ἀποφαίνοιτο σοφὸν καὶ συνετὸν εἶναι τὸν τῶν εἰρημένων ἔχοντα τὴν γνῶσιν, καὶ περὶ ταῦτα ἐσπουδακότα, ἀφ' ὧν ἐξέσται κεχωρισμένους τε αὐτοὺς τοῦ κακοῦ καὶ σπουδῇ μετιόντας τὸ καλὸν, ἐν ἀπαλλαγῇ μὲν τῶν χειρόνων, ἐν ἀπολαύσει δὲ καθιστάναι τῶν κρειττόνων· ἐπειδήπερ ἅπαντα τὰ παρὰ τοῦ θεοῦ πραττόμενα, ὀρθότητος γέμει πολλῆς, μεθ' ἧς καὶ πταίουσιν ἐπάγει τιμωρίαν· καὶ μεταμελομένους, περισώζειν ἐπίσταται· δικαίους τε ἀποφαίνοιτο ἄν τις τοὺς ἐν τούτοις ὄντας, καὶ ἐξ ἑκατέρου τούτων ὠφελεῖσθαι ἐπισταμένους· καὶ σωφρονεστέρους μὲν ἐν ταῖς τιμωρίαις γινομένους, εἰς προτροπὴν δὲ ἀρετῆς λαμβάνοντας τὴν ἐκ τῆς μεταμελείας προσγινομένων ἀγαθῶν τὴν ἀπόλαυσιν· ἀσεβεῖς δ' ἂν ἀποφήνοιτο κατὰ πάντα καὶ παντοίων ἀξίους κακῶν ἐκείνους, οἳ μηδὲν ἰσχύουσιν τούτων, τῇ πρὸς τὸ χεῖρον προσεστηκότες ῥοπῇ, καὶ συνιέναι διὰ τοῦτο τῶν δεόντων οὐδὲν οἷοί τε ὄντες. Ἑρμηνεία Ὠσηὲ τοῦ προφήτου.

ΕΡΜΗΝΕΙΑ ΙΩΗΛ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

p. 103. Πρόκειται μὲν ἡμῖν τοῦ μακαρίου Ἰωὴλ τοῦ προφήτου τῆς σαφηνείας ἀπάρξασθαι νῦν· ἔστι δὲ ὑπόθεσις αὐτοῦ τῶν λόγων, κοινῶς εἰπεῖν, ἣ καὶ πάντων τῶν προφητῶν, τὰ περὶ τὸν λαὸν ἐσόμενα μηνύειν ἐσπουδακότων, κατὰ τὴν ἐγγινομένην αὐτοῖς περὶ τοῦτο τοῦ ἁγίου πνεύματος χάριν· ὧν ἀρχὴ μὲν γέγονε, καθὰ καὶ πρότερον ἔφην, ὁ μακάριος Δαυὶδ πάλαι καὶ πρόπαλαι καὶ πολὺ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως ἅπαντα τὰ περὶ τὸν λαὸν ἐσόμενα κατὰ διαφόρους καιροὺς εἰρηκώς· τὸ αὐτὸ καὶ παρὰ τῶν λοιπῶν ἐγίνετο προφητῶν τὰ παρ' ἐκείνου πρὸ πολλῶν ῥηθέντα τῶν χρόνων ὕστερον λεγόντων, καὶ πρὸς αὐτῇ γε τῇ τῶν πραγμάτων ἐκβάσει μικροῦ· ὡς ἂν ὁμοῦ τε τῶν προειρημένων ὑπομιμνήσκοιεν ἀπαν-

mini, et iusti ambulabunt in eis. „ Reapse exploratum est, illos esse sapientes atque intelligentes, qui praedictarum rerum scientiam habent, et earumdem studio tenentur; quarum praesidio seiuncti a vitio, et virtutis participes, deteriora vitabunt, et fruentur melioribus. Nam cuncti Dei actus rectitudine multa redundant, qua dirigente peccatoribus quoque poenam infert; et postea paenitentes, salvare scit. Iam vero iustos illos esse compertum est, qui hoc vitae genere sunt, et utrimque iuvari sciunt: qui modestiores a castigationibus facti, hortamentum sibi ad virtutem iudicant, bonorum post paenitentiam impetratorum usufructum. Impios autem esse constat omnino, et quibuslibet malis dignos illos, qui nihil horum cognoscere valent, ob constantem suam ad vitium inclinationem; et propterea quicquam honestum ac debitum intelligendi haud compotes. Commentarius in Oseam prophetam (explicit.)

COMMENTARIUS IN IOHELEM PROPHETAM.

Propositum nobis est beati Iohelis explanationem nunc exordiri. Est vero sermonum eius argumentum, ut generaliter dicam, idem quod omnium prophetarum, eventura populo praedicere satagentium, pro collata ipsis hac in re sancti Spiritus gratia: quorum prophetarum primus, quemadmodum retro aiebam, beatus David olim, immo valde antiquitus, et multo ante rerum exitum, cuncta populo diversis temporibus eventura edixit: quod idem a reliquis etiam prophetis factum est, qui antiquiore admodum tempore ab illo dicta, posterius adfirmarunt, paulo nimirum ante ipsarum rerum eventum: ut simul et de praedictis admonefacerent omnes, et

τας, καὶ δὴ πλησίον ἐσόμενα λέγοντες, τῶν προειρημένων μηνύοιεν τὴν ἀλήθειαν· διαφόρων δὲ ὄντων, καὶ κατὰ διαφόρους συμβάντων καιροὺς ἐκείνων, ἃ τῷ μακαρίῳ πρόσθεν ἔφαμεν εἰρῆσθαι Δαυίδ, ἀναγκαίως τῶν προφητῶν ἕκαστος κατὰ μὲν τὸ πλεῖστον ἐκεῖνα φαίνεται λέγων, ὧν ἐγγύθεν ἐπ' αὐτῶν ἡ ἔκβασις ἐδηλοῦτο πραγμάτων· συνῆπτον δὲ ἔκ τινος ἀκο- p. 104.
λουθίας ἐπὶ τοῦτο προαγόμενοι, καί τινα τῶν μετὰ τοῦτο ἐσομένων, εἰρημένα δηλονότι καὶ τὰ αὐτὰ τῷ μακαρίῳ Δαυίδ· ὁ γοῦν μακάριος Ὠσηὲ τά παρά τε τῶν Ἀσσυρίων καὶ Βαβυλωνίων ὕστερον περὶ τὸν λαὸν ἐσόμενα λέγει, σωφρονίζειν αὐτοὺς τῇ μνήμῃ πειρώμενος ἐκείνων· ὁ δὲ Ἰωὴλ μέμνηται μὲν καὶ αὐτὸς τῶν αὐτῶν, ἅτε καὶ κατὰ τὸν αὐτὸν καιρὸν τῷ Ὠσηὲ γεγονώς, καὶ περὶ τῶν αὐτῶν εἰπεῖν κατὰ τὴν ἀποκάλυψιν τὴν πνευματικὴν ἐπιτετραμμένος· προστίθησι δὲ καὶ τὰ μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον εὐθὺς αὐτοῖς γεγονότα· ὁπηνίκα σκυθικὸν μὲν ἔθνος αὐτοῖς ἐπελήλυθεν, οὗπερ οὖν οἱ περὶ τὸν Γὼγ ἐξῆρχον, ἄρδην ἅπαντας ἀπολέσαι βουλόμενον· ὤφθησαν δὲ οἱ ἰουδαῖοι τῇ θείᾳ συμμαχίᾳ κρείττους ἐκείνων· εἴρηται δὲ καὶ περὶ τούτων τῷ μακαρίῳ Δαυὶδ ἐν ψαλμοῖς.

ΚΕΦ. Α'.

“ Λόγος κυρίου, ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ. „ Προγραφή τίς ἐστι καὶ αὕτη v. 1.
παραπλησίως τῷ Ὠσηὲ, δηλοῦσα ὅτι ἐξ ἀποκαλύψεως τινὸς ἐγγεγονυίας αὐτῷ, θειόθεν
κινούμενος λέγει τὰ ἑξῆς, εἰς ὠφέλειαν συντείνοντα τοῦ λαοῦ. “ Ἀκούσατε ταῦτα οἱ πρεσβύ- v. 2.
τεροι, καὶ ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν γῆν, εἰ γέγονε τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν. „
Ὡς ἂν ῥαθυμότερον διακειμένους περὶ τὰ λεγόμενα, διεγείρειν τῷ φόβῳ τῶν μηνυομένων p. 105.
πειρᾶται, ὥστε καὶ προοίμιον αὐτῷ τῶν λόγων εἶναι τὴν ἀπειλήν· πρὸς ἅπαντας δὴ, φησὶ, τοὺς τὴν γῆν οἰκοῦντας τῆς ἐπαγγελίας ποιοῦμαι τὸν λόγον· καὶ πρό γε τῶν ἄλλων πρὸς

ea iam in proximo esse adserentes, vaticiniorum demonstrarent veritatem. Quumque varia essent, variisque contingentia temporibus, quae a beato diximus praedicta Davide; necessario unumquemque prophetam plerumque ea dicere apparet, quorum sibi propinquior demonstrabatur exitus. Connectebant autem, consentanea quadam rei serie ad id deducti, nonnulla etiam posthinc futura, sed haec ipsa a beato Davide dicta. Beatus itaque Oseas quae ab Assyriis ac Babyloniis eventura posterius populo erant, dicit; emendare hunc connitens rerum illarum mentione. Iohel vero easdem ipse quoque res commemorat; quippe per idem tempus vivens quo Oseas, atque in eodem argumento versari spiritali revelatione permotus. Addit etiam quae post reditum Babylone statim Iudaeis contigerunt, cum gens scythica eis supervenit, cuius dux Gog erat, omnesque funditus extinguere volebat. Ceteroquin Iudaei, Deo suppetias ferente, victores extiterunt: qua de re beatus quoque David in psalmis verba fecit.

CAP. I.

“ Verbum Domini, quod factum est ad Iohelem Bathuhelis filium. „ Hic pariter titulus quidam est, aeque ac apud Oseam, demonstrans prophetam ex revelatione ipsi oblata divinitus commotum, quae sequuntur dicere ad populi utilitatem directa. “ Audite hoc senes, et auribus percipite omnes habitatores terrae: si facta sunt talia in diebus vestris. „ Quasi ad dicta audienda segniores, excitare praedictionis terrore conatur; quare et initium verborum suorum capit a minis. Ad omnes certe, inquit, terrae incolas praedicationis sermonem instituo, in primis vero

τοὺς ἐν ὑμῖν πρεσβυτέρους, καί τι καὶ πλέον εἰδέναι διὰ τὸν μακρὸν ὀφείλοντας χρόνον, εἰ
δέ τι τοιοῦτο γεγονὸς, ἢ κατὰ τὸν ὑμέτερον καιρὸν, ἢ κατὰ τὸν τῶν ὑμετέρων πατέρων ἐπίστασθε,
ὁποῖα δὴ νῦν ὑμῖν ἐποίσει θεὸς, ἐπὶ μακρῷ μὲν ὑμῶν ἀνασχόμενος τῷ χρόνῳ, ἀνεχό-
μενος δὲ μηκέτι, ἐπεὶ μηδὲν ὑμᾶς ἐκ τῆς ἀνεξικακίας ὠφελουμένους ὁρᾷ, τοὐναντίον μὲν
v. 3. οὖν καὶ προκόπτοντας ἐπὶ τὸ χεῖρον. " Περὶ αὐτῶν τοῖς τέκνοις ὑμῶν διηγήσασθε, καὶ τὰ
τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν εἰς γενεὰν ἑτέραν. ,, Τοιοῦτο γὰρ δὴ τῶν
νῦν ἐπελευσομένων ὑμῖν τὸ μέγεθος κακῶν, ὥστε δεῖν ὑμᾶς διὰ τῶν διαδόχων τῶν οἰκείων
εἰς τοὺς μετέπειτα παραπέμψαι τὴν γνῶσιν, ἵν' ἡ τῶν πραγμάτων καινότης τῇ ἀκοῇ σω-
φρονίζειν δύναιτο κἀκείνους.

v. 4. " Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρίς· καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος
κατέφαγεν ὁ βροῦχος· καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. ,, Τροπικῶς
βούλεται τὰ ἐπεληλυθότα αὐτοῖς εἰπεῖν κακά· καὶ ὡς ἀεὶ τοῖς μετὰ ταῦτα τὰ πρότερα ἐπε-
τείνετο· ἐλήλυθε μὲν γάρ φησι Θεγλαφασὰρ ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ὃς δίκην κάμπης
p. 106. οὐκ ὀλίγα μέρη τῶν προσηκόντων ὑμῖν ἐδήωσεν· μετ' ἐκεῖνον Σαλμανασὰρ ὥσπερ ἀκρὶς
τις πλέον ἐπινεμηθεὶς τὰ ὑμέτερα· ἐπ' ἐκείνοις Σενναχηρεὶμ βρούχου δίκην κοινὸν ἀφανι-
σμὸν ἐπάγων ταῖς δέκα φυλαῖς Ἰσραήλ· ἐπεληλυθεν ὥσπερ τις ἐρυσίβη πρὸς τοῖς λοιποῖς ὁ
βαβυλώνιος, ὃς καὶ τοὺς τῆς Ἰουδαίας λαβὼν, κοινὸν ἁπάντων τῆς αἰχμαλωσίας πεποίηκε
v. 5. τὸ κακόν· εἶτα τί βούλεται τούτων ἡ μήνυσις; " Ἐκνήψατε οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν, καὶ
κλαύσατε πάντες οἱ πίνοντες οἶνον εἰς μέθην· ὅτι ἐξῆρται ἐκ στόματος ὑμῶν εὐφροσύνη
καὶ χαρά. ,, Ἀπόθεσθε δὴ τὴν μέθην, ὑφ' ἧς κατεχόμενοι νῦν διὰ τὴν πρὸς τὸ χεῖρον
ῥοπὴν, οὐδὲ συνορᾶν ἐθέλετε τὸ δέον· καὶ μετάστητε εἰς δάκρυα καὶ θρήνους, εἴ πως τῇ
μεταμελείᾳ τὴν παλαιὰν ἀποσμήξετε μέθην· ἐπειδὴ γὰρ οὐκέτι χαίρειν ὑμᾶς καὶ εὐφραί-

ad seniores, qui plura scire ob suam longaevitatem debent: rogo, inquam, an par aliquid vel aetate vestra vel patrum vestrorum contigisse sciatis, quale nunc vobis Deus facturus est, qui longo quidem tempore vos sustinuit, sed iam diutius non tolerabit; quia nihilo vos meliores ob patientiam suam effectos videt, immo contra in deterius etiam ruentes. " Super hoc filiis vestris narrate, et filii vestri filiis suis, et filii eorum generationi alteri. ,, Tanta enim est eventurorum nunc vobis malorum magnitudo, ut vos oporteat per successores vestros ad posteros notitiam transmittere, quô rerum gestarum novitas illos quoque modestiores possit efficere.

" Residua erucae comedit locusta, et residua locustae comedit bruchus, et residua bruchi comedit rubigo. ,, Figurate vult superventura ipsis dicere mala, et quod semper priora posterioribus augebuntur. Venit enim, inquit, Theglaphasar Assyriorum rex, qui erucae instar non paucas rerum vestrarum partes pessumdedit. Post illum Salmanasar, ceu quaedam locusta magis adhuc vestras opes depopulatus est. Deinde Sennacherimus quasi bruchus generale exitium decem tribubus intulit. Postremus omnium tamquam rubigo supervenit babylonius (Nabuchodonosor) qui Iudaeae quoque incolis captis, communem fecit captivitatis aerumnam. Porro quid sibi vult harum rerum denunciatio? " Expergiscimini ebrii ex vino vestro, et plorate omnes qui bibitis vinum ad ebrietatem: quia ablatum est ex ore vestro gaudium et laetitia. ,, Pellite ebrietatem, qua nunc occupati, propter vestram ad vitia proclivitatem, quod factu opus est haud vultis conspicere: et ad lacrymas ploratumque convertimini, si forte paenitentia antiquam abstergere poteritis ebrietatem. Nam quia gaudere vos ulterius atque laetari non sinunt casus, melius est paenitentes

νεσθαι τὰ συμβησόμενα ἐᾷ, ἄμεινον εἰς μεταμέλειαν τῷ τε θρήνῳ χρήσασθαι καὶ τοῖς δά-
κρυσιν, ὡς ἂν ἐντεῦθεν κουφισμός τις ὑμῖν γένοιτο τῶν κακῶν· εἶτα μηνύων ὑπὲρ ὅτου
ταῦτα, φησίν.

“ Ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον· οἱ ὀδόντες αὐτοῦ, v. 6.
λέοντος· καὶ αἱ μύλαι αὐτοῦ, ὡς σκύμνου αὐτοῦ. ,, Ἐπεληλύθασι γὰρ τῇ χώρᾳ τῇ ἐμῇ πο-
λέμιοι πολλοί τε καὶ δυνατοὶ, οἳ λεόντων οὐδὲν ἀφεστήκασι, τοῖς ὀδοῦσι καὶ ταῖς μύλαις ταῖς
οἰκείαις κατασφαττόντων τε καὶ καταναλισκόντων τῶν κτηνῶν τὰ ἐμπίπτοντα, οὕτως ἀφανί- p. 107.
ζοντές τε καὶ χειρούμενοι τοῖς ὅπλοις. “ Ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμὸν, καὶ τὰς
συκᾶς μου εἰς συγκλασμόν. ,, Πάντα τὸν Ἰσραὴλ, ὃν ἀμπέλου δίκην περιεῖπον, καὶ διὰ
τῆς ἐπιμελείας ἐγκαλλωπίζων τῆς ἐμῆς, ἠφάνισέ τε καὶ ἀπώλεσε παντελῶς σὺν ταῖς ἐν
μέσῳ συκαῖς, ἃς συνέθριψεν ἁπάσας· αἰνίττεσθαι δὲ βούλεται τοὺς ἐν αὐτοῖς ὑπερέχοντας
πλούτῳ τε καὶ δυνάμει, ἐκ τοῦ τὰ τοιαῦτα δένδρα ὑπερφέρειν τῶν φυτῶν τῆς ἀμπέλου
δοκεῖν. “ Ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν, καὶ ἔρριψεν· ἐλεύκασε τὰ κλήματα αὐτῆς. ,,
Πᾶσαν αὐτὴν ἐκπεριελθὼν οὕτως ἀνέσπασέν τε καὶ εἰς αἰχμαλωσίαν ἀπήγαγεν, ὡς μηδὲν
ἀπεοικέναι πάντας κλημάτων λευκανθέντων τε καὶ ξηρανθέντων παντελῶς μετὰ τὸ τὴν
ἄμπελον ἐκσπασθῆναι. “ Θρηνήσει πρός με ὑπὲρ νύμφην περιεζωσμένην σάκκον ἐπὶ v. 8.
τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν. ,, Τότε τῆς παρανομίας αἰσθήσονται τῆς οἰκείας, καὶ μετὰ
μεγάλων νεύσεσι πρός με τῶν θρήνων ἀνακλαυσόμενοι τὰ συμβεβηκότα αὐτοῖς κακά·
οὐχ ἧττον ἢ γυνὴ νεωστὶ συναφθεῖσα πρὸς γάμον, εἶτα ἀθρόον ἀποβαλοῦσα τὸν ἄνδρα,
ἣ βαρύτερον τὸ πάθος τῆς ἀφαιρέσεως ἐργάζεται ἡ ὀξύτης. “ Ἐξῆρται θυσία καὶ σπονδὴ v. 9. p. 108.
ἐξ οἴκου κυρίου. ,, Ἐνταῦθα περιδήλως τὰ ὑπὸ τῶν Βαβυλωνίων περιεσόμενα αὐτοῖς
μηνύει κακά· τότε γὰρ ἐπαύσατο ἡ ἐν τῷ ναῷ τοῦ θεοῦ ἐκτελουμένη λειτουργία, ὁπηνίκα τόν
τε οἶκον ἐνέπρησεν ὁ Βαβυλώνιος, καὶ τοὺς ἐπὶ τῆς πόλεως αἰχμαλώτους ἔλαβεν ἅπαντας.

ploratu lacrymisque uti, ut hinc vobis levatio aliqua malorum contingat. Deinde significans quamobrem haec, pergit dicere.

“ Gens enim ascendit super terram meam fortis et innumerabilis: dentes eius, leonis; et molares eius, ut catuli leonis. ,, Supervenerunt regioni meae hostes multi ac validi, a leonibus nihil differentes, qui dentibus suis molaribusque conterunt atque consumunt quaecumque obviam fiunt animalia. Sic nimirum hostes armis suis invadunt atque devastant. “ Posuit vineam meam in dissipationem, et ficulneas in confractionem. ,, Universum Israhelem, quem quasi vitem colebam, meaque cura ornabam, destruxit funditusque perdidit, cum interpositis ficulneis, quas omnes confregit. Vult autem innuere eminentiores inter Israhelitas divitiis atque potentia, quoniam hae arbores extolli supra vitis plantas videntur. “ Scrutando scrutatus est illam, albos fecit palmites eius. ,, Totam illam invadens sic evulsit et in servitutem abduxit, ut captivi homines nequaquam differrent a palmitibus albescentibus planeque exsiccatis postquam vitis subversa fuit. “ Planget ad me plus quam sponsa sacco accincta super virum virginalem suum. ,, Tunc iniquitatis suae sensum percipient, et cum magnis ad me respicient gemitibus, quae ipsis evenerunt mala deplorantes; haud secus quam mulier nuper nuptiis copulata, mox repente privata viro, cui graviorem facit dolorem privationis celeritas. “ Ablatum est sacrificium et libatio de domo Domini. ,, Heic manifeste eventura a Babyloniis mala significat: tunc enim desiit solita fieri in Dei templo liturgia, cum et aedificium combussit Babylonius, et cives omnes captivavit.

v. 10. “ Πενθεῖτε οἱ ἱερεῖς οἱ λειτουργοῦντες θυσιαστηρίῳ, ὅτι τεταλαιπώρηκε σῖτος, ἐξη-
v. 11. ράνθη οἶνος, ὠλιγώθη ἔλαιον, κατῃσχύνθησαν γεωργοί· θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ
v. 12. καὶ κριθῆς, ὅτι ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ· ἡ ἄμπελος ἐξηράνθη, καὶ συκαῖ ὠλιγώθη-
σαν· ῥοιὰ καὶ φοίνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν. „ Ἁρμόττων
μὲν οὖν τοῖς ἱερατεύουσι τῷ θυσιαστηρίῳ ὁ θρῆνος, ὅτι παντελὴς ἀφορία κατέχει τὰς
πεδιάδας, ἀφ᾽ ὧν τάς τε ἀπαρχὰς καὶ τὰς δεκατὰς κομιζόμενοι, τῶν ἀναγκαίων εἶχον
τὴν ἀφθονίαν· ἁρμόττων δὲ οὐχ ἧττον θρῆνος καὶ τῇ γῇ πάντων ἀφῃρημένῃ τῶν καρπῶν·
ὡς καὶ τοῖς γεωργοῦσι τὴν γῆν, αἰσχύνην ἐντεῦθεν περιγίνεσθαι, ὅτι δὴ πεπόνηκασι μάτην·
καὶ πᾶσι δὲ τοῖς ἐπὶ τῆς χώρας κτήμασιν ὁμοίως, ὅτι μή τε τῶν ἀπὸ γῆς γιγνομένων,
p. 109. μήτε τῶν ἐν δένδρεσι τικτομένων εἰσκομιζόμενόν τι κατὰ τὸ εἰωθὸς δυνατὸν ἰδεῖν. “ Ὅτι
κατῄσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων. „ Ἵνα εἴπῃ ὅτι μηδενὶ πρόσεστιν ἀφορμὴ τοῦ
χαίρειν, αἰσχυνομένοις εἰ μὴ πένθοιεν ἐπὶ τοσούτοις καὶ τηλικούτοις κακοῖς· διὰ πάντων δὴ
τούτων ἀκαρπίᾳ βαρυτάτῃ κατειλῆφθαι δείκνυσι τῶν Ἰσραηλιτῶν τὴν χώραν, ὡς εἶναι δι-
πλοῦν τὸ κακόν· πολεμίων τε αὐτοὺς διατιθέντων τὰ χείριστα, καὶ τῆς γῆς πᾶσαν ἀρνη-
σαμένης τῶν καρπῶν τὴν φοράν· τί οὖν ἐπὶ τούτοις;

v. 13. “ Περιζώσασθε καὶ κόπτεσθε οἱ ἱερεῖς, θρηνεῖτε οἱ λειτουργοῦντες θυσιαστηρίῳ· εἰσέλ-
θετε, ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες θεῷ· ὅτι ἀπέσχηκεν ἐξ οἴκου θεοῦ ὑμῶν θυσία
καὶ σπονδή. „ Ἐφ᾽ ἅπασι δὲ μάλιστα πρέπον ὑμῖν τοῖς εἰς τὴν ἱερωσύνην προβεβλημένοις
περιθέσθαι μὲν σάκκον, οὐκ ἀφαιροῦντας αὐτὸν, οὔτε εἰ καθεύδοιτε, οὔτε μὴν εἰ τὴν λει-
τουργίαν ἐκτελοίητε τὴν θείαν· θρήνῳ δὲ προσανέχειν καὶ κοπετῷ, ὑπὲρ ὧν ἅπασα πέπαυται
v. 14. ἡ καθηκόντως ἀπονεμομένη τῷ θεῷ θεραπεία. “ Ἁγιάσατε νηστείαν. „ Ἐπειδὴ ἅγιον
λέγεται τὸ ἐξαίρετον καὶ τῶν πολλῶν κεχωρισμένον, ἁγιάσατε νηστείαν λέγει, ἀντὶ τοῦ πρὸς
p. 110. ταύτην ἑαυτοὺς ἐκτάξατε, καὶ πάντων ἀφέμενοι τε καὶ χωρισθέντες παντελῶς, ἀφορίσατε

“ Lugete, sacerdotes qui altari ministratis, quoniam miserum est triticum, exsiccatum vinum, imminutum oleum, confusi agricolae. Lugete praedia propter triticum et hordeum, quia periit messis agri, vitis exaruit, ficulneae sunt imminutae, arbor malogranata et palma et malus et omnia ligna agri exaruerunt. „ Congruus sacerdotibus et altaris ministris luctus, quia generalis sterilitas campos tenet, unde primitias ac decimas percipientes, rei necessariae copiam habebant. Congruus haud minus luctus terrae quoque frugibus carenti, unde agricolis creatur confusio, quia frustra laboraverunt: pariterque cunctis terrae praediis, quia nullum terrae proventum, nullum arborum partum more solito collectum videre est. “ Quoniam gaudium confuderunt filii hominum. „ Pro eo ut dicat: nemini adest laetandi occasio, pudenti scilicet nisi in talibus tantisque malis luctum agat. Per haec omnia demonstrat gravissimam sterilitatem Israhelitarum regioni contigisse, duplicemque aerumnam fuisse; hostibus scilicet eam pessime devastantibus, et ipsa terra frugum fertilitatem negante. Quid ergo post haec?

“ Accingite vos et plangite sacerdotes, lamentamini qui ministratis altari: ingredimini, dormite in saccis dum in Dei ministerio versamini: quia recessit a domo Dei vestri sacrificium et libatio. „ Prae omnibus decet vos potissimum, sacerdotio fungi sortitos, sacco vestiri, neque id umquam deponere, sive cubetis, sive etiam rem sacram peragatis; sed gemitibus luctuique indulgere; propterea quod qui rite Deo exhibebatur cultus omnino desiverit. “ Sanctificate ieiunium. „ Quoniam sanctum dicitur, quidquid est selectum et a multitudine separatum, ideo sanctificate

καὶ τάξατε πρὸς τὴν ταύτης ἐκπλήρωσιν ἑαυτούς. " Κηρύξατε θεραπείαν. ,, Καὶ μηνύσατε
πᾶσιν, ὅπως ἂν τῶν ἀνθρωπείων ἀφέμενοι πραγμάτων, τῇ τῆς θείας προσανέχοιεν θερα-
πείᾳ. " Συναγάγετε πρεσβυτέρους, πάντας τοὺς κατοικοῦντας τὴν γῆν εἰς οἶκον θεοῦ ὑμῶν, καὶ v. 15.
κεκράξατε πρὸς κύριον ἐκτενῶς, οἴμοι, οἴμοι, οἴμοι εἰς ἡμέραν, ὅτι ἐγγὺς ἡμέρα κυρίου. ,,
Καὶ πάντας δὴ ἐπὶ τῆς ὑμετέρας χώρας ἡγεῖσθαι τῶν λοιπῶν ὡς εἰκὸς, κοινῇ μὲν εἰσελθεῖν
εἰς τὸν οἶκον ἐπείχθητε τοῦ θεοῦ, ἐν ὅσῳ περ ὑμῖν ἔστιν ἄδεια τοῦ εἰσιέναι· μετὰ πολλῶν δὲ ἀνα-
βοήσατε τῶν στεναγμῶν· τοῦτο γὰρ λέγει, οἴμοι, οἴμοι, οἴμοι· εὐχόμενοι μὴ εἰς πεῖραν ἐλθεῖν
τῆς ἡμέρας ἐκείνης, ἣν οὐ πόῤῥω συμβέβηκεν εἶναι κατὰ τὴν ἀπειλὴν τὴν θείαν. " Καὶ ὡς
ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει. ,, Ὡς ἂν μὴ ἐπαλλήλοις ὑμῖν περιπεσεῖν ἐγγένηται
τοῖς κακοῖς. " Ὅτι κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν βρώματα ἐξηράνθη, καὶ ἐξ οἴκου θεοῦ v. 16.
ὑμῶν εὐφροσύνη καὶ χαρά. ,, Ἵνα μὴ αὐτόπται γένησθε τῶν κακῶν ἐκείνων, ὅτι πολλὴ
μέν τις ἔσται καὶ μεγίστη τῶν καρπῶν ἡ ἀφορία· προστεθήσεται δὲ τὸ χείριστον ἁπάντων τὴν
πᾶσαν ἀφῃρῆσθαι τοῦ οἴκου τοῦ θεοῦ τὴν καθήκουσάν τε καὶ ὀφειλομένην τῷ θεῷ θεραπείαν, p. 111.
ἣ πλείστης ὅσης εὐφροσύνης τε καὶ χαρᾶς πληροῦν ἠδύνατο τοὺς πρὸς τὸ δέον ὁρῶντας.
" Ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν. ,, Αὗται μὲν γὰρ ὑπὸ τῆς κατεχούσης v. 17.
ἐνδείας συνελαυνόμεναι πρὸς τὸ σκιρτᾶν τε νεύουσι καὶ ταράττεσθαι, ὑπὸ μὲν τῆς φύσεως
τὴν τροφὴν ἐπιζητοῦσαι, ὑπὸ δὲ τοῦ μὴ παρεῖναι τὸ τρέφον, πρὸς ἄτακτον κινούμεναι σκίρ-
τησιν. " Εὐρώτιασε σιτοδοχεῖα ἀπὸ τῶν χρισμάτων αὐτῶν. ,, Ἐπειδὴ ἔθος περιχρίεσθαι
τοῦ σίτου τὰς ἀποθήκας ἀσφαλείας ἕνεκεν, οὐκ ἐνόντων φησὶ τῶν ἐμβαλλομένων, εὐρῶτα
ὁ ἐπιχριόμενος ἕξει πηλὸς, ἐκ τοῦ μηδὲν ἀποτίθεσθαι καθάπαξ. " Ἠφανίσθησαν θησαυροί. ,,
Πᾶς τόπος ὅντινα δήποτε εἰσδέχεσθαι καρπὸν εἰωθὼς, περιττὸς ἔσται, οὐκ ὄντων τῶν ἐμ-

ieiunium dicit, id est ad hoc vos comparate, omissisque omnibus et prorsus seiuncti, dedite vos ac disponite ad ieiunii observantiam. " Praedicate cultus officium. ,, Indicite omnibus, ut humanis negotiis omissis, Dei cultui celebrando intersint. " Congregate senes, omnesque terrae incolas ad domum Dei vestri, et clamate ad Dominum vehementer: heu mihi! heu mihi! heu mihi in die! quia prope dies Domini. ,, Et omnes, qui in regione vestra praecedere aliis ob aetatem debent, coadunantes, quos et reliquos sequi par est, gregatim Dei domum ingredi impellite, quamdiu vobis adhuc ingrediendi copia est. Cum multis autem clamate gemitibus; id enim praedicta locutio heu mihi, heu mihi, heu mihi, significat; orantes ne diem illam experiri cogamini, quae haud procul abest, iuxta divinam comminationem. " Et quasi miseria de miseria veniet. ,, Ne sine intercapedine malis corripiamini. " Quia ante oculos vestros alimenta exaruerunt, item de domo Dei vestri gaudium atque laetitia. ,, Ne spectatores malorum illorum sitis, quia multa erit immo maxima frugum sterilitas. Pessimus omnium accedet cumulus, cessatio omnimoda in Dei templo congrui debitique Deo cultus, qui gaudio plurimo atque laetitia replere poterat honesti studiosos.

" Subsultaverunt iuvencae in praesepibus suis. ,, Hae quippe premente fame coactae, subsultare ac perturbari incipient, naturaliter alimoniam quaerentes; qua negata, ad inconditas subsultationes moventur. " Computruerunt horrea ab unctionibus suis. ,, Quia mos erat ungendi apothecas tritici, causa conservationis, si deficiet quicquid illuc ingerendum erat, putrescet illitum lutum, quum nihil omnino sit intus repositum. " Destructi sunt thesauri. ,, Quilibet locus recipere fruges solitus, supervacaneus erit, cum non sint quae reponi debeant. " Suffossa sunt tor-

βάλλεσθαι ὀφειλόντων. " Κατεσκάφησαν ληνοί. ,, Περιτταὶ καὶ αὗται φανοῦνται, οὐδενὸς
v. 18. εἰσκομιζομένου. " Ὅτι ἐξηράνθη σῖτος, τί ἀποθήσομεν ἑαυτοῖς; ,, Ἀπὸ μέρους τοῦ σίτου
τοὺς πάντας εἰπεῖν ἠβουλήθη καρπούς· εἰς γὰρ βεβαίωσιν τῶν προειρημένων τοῦτο βούλεται
λέγειν, ὅτι τῶν καρπῶν παντελῶς ἀφῃρημένων, περιττὸς πᾶς ἔσται τόπος δέχεσθαι τοὺς
p. 112. καρποὺς εἰωθὼς, οὐκ ὄντων τῶν ἀποτίθεσθαι μελλόντων. " Ἔκλαυσε βουκόλια βοῶν, ὅτι
οὐχ ὑπῆρχε νομὴ αὐτῶν· καὶ τὰ ποίμνια τῶν προβάτων ἠφανίσθησαν. ,, Ἀφῄρηται τῶν κτηνῶν
v. 19. ἡ συνήθης κατὰ χώραν τροφή. " Πρὸς σὲ κύριε βοήσομαι ὅτι πῦρ ἀνήλωσε τὰ ὡραῖα τῆς
ἐρήμου, καὶ φλὸξ ἀνῆψε πάντα τὰ ξύλα τοῦ ἀγροῦ. ,, Κοινῇ γὰρ πάντες ἐπὶ τοῖς κατέχουσι
κακοῖς παρὰ σοῦ τῶν τηλικούτων κακῶν αἰτησόμεθα τὴν λύσιν, ὅτι δίκην πυρὸς ἅπασα ἡ
χώρα σὺν τοῖς οὖσι δένδροις ἠφάνισται· ὡραῖα γὰρ τῆς ἐρήμου λέγει τοὺς ἐν τοῖς ὄρεσι τό-
πους πρὸς σπερμάτων καταβολὴν ἐπιτηδείους ὄντας, οὓς εἰώθασι κοινῷ λόγῳ ὀροπέδια
καλεῖν· ἵνα οὖν εἴπῃ· ὅτι πᾶς τόπος καὶ πᾶν ξύλον ἠφάνισται, ὡς ὑπὸ πυρός τινος καταπε-
v. 20. φλεγμένα. " Καὶ τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψε πρὸς σὲ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων. ,,
Ἀπολεῖται φησὶ τῇ δίψῃ τὰ κτήνη, τῶν πηγῶν ἐκ τῆς ἄγαν ἀνομβρείας ὕδωρ οὐ δυναμέ-
νων ἐκπέμπειν· εἶτα τῇ πλατύτητι δηλώσας τῶν κακῶν τὸ πλῆθος, ἐπάγει τὰ ὅμοια
τοῖς προκειμένοις.

ΚΕΦ. Β′.

v. 1. " Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ συναχθήτωσαν (1)
v. 2. p. 113. πάντες οἱ κατοικοῦντες τὴν γῆν· διότι πάρεστιν ἡ ἡμέρα κυρίου· ὅτι ἐγγὺς ἡ ἡμέρα σκότους καὶ
γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης. ,, Τῇ τοίνυν σημασίᾳ τῆς σάλπιγγος κατὰ τὸ νόμιμον

cularia. ,, Haec quoque videbuntur superflua, cum nemo quicquam adferat. " Quum arefactum sit triticum, quid nobis reponemus? ,, A parte, id est a tritico, cunctos vult denotare fructus. Namque ad antea dictorum confirmationem hoc dicere vult, nempe quod frugibus cunctis ablatis, supervacuus erit omnis locus iis excipiendis consueto more paratus, quum quod reponatur desit. " Fleverunt armenta boum, quia non erant eis pascua: et greges ovium disperierunt. ,, Iumentorum consueta per agros alimenta defecerunt. " Ad te, Domine clamabo, quia ignis consumpsit speciosa deserti, et flamma cuncta ligna agri succendit. ,, Cuncti simul in tantis constituti malis, a te poscimus illorum solutionem, quia velut igne universa regio cum suis arboribus vastata est. Nam deserti speciosa dicit locos in montibus seminationi idoneos, qui vulgari loquela dici solent planitiae montanae. Vult ergo dicere, omnem locum omneque ligni genus tamquam igne fuisse inflammatum. " Sed et bestiae agri ad te suspexerunt, quoniam arefactae sunt aquarum scaturigines. ,, Pereunt, inquit, siti iumenta, fontibus iam, ob pluviae defectum, aquam emittere non valentibus. Postquam igitur lato sermone exposuit malorum multitudinem, similia praedictis subtexit.

CAP. II.

" Clangite tuba in Sione, praedicate in monte sancto meo, congregentur omnes habitatores terrae, quia adest dies Domini, quia prope est dies tenebrarum et caliginis, dies nebulae et turbinis. ,, Tubae itaque signo dato, iuxta ritum legiti-

(1) Videmus pulcram lectionem συναχθήτωσαν confirmatam a subsequente commentario, nec non in lect. var. graec. apud polyglott., pro communi συγχυθήτωσαν.

ἔθος χρησάμενοι, πάντας ἐπὶ τὸ Σιὼν συναγάγετε ὄρος, ἔνθα μοι τὴν θρησκείαν ἀποδί-
δοσθαι ἔθος· αὐτόθι τὸν ἔλεον αἰτοῦντες τὸν θεῖον, ἐπειδὴ οὐ πόῤῥω συμβέβηκεν εἶναι τὴν ἠπει-
λημένην ὑμῖν ἡμέραν παρὰ τοῦ θεοῦ, ἣ σκότους αὐτάρκης καὶ γνόφου πάντας πληρῶσαι, ὡς
ἐν νεφέλῃ τινὶ καὶ ὁμίχλῃ πάντα καθεστῶτα ὁρᾶν οὐχ οἵους τε ὄντας· καλῶς δὲ ἐπὶ Σιὼν
ὄρος ἅπαντας καλεῖ, ἐν ᾧπερ κατὰ τὸ μωσαϊκὸν ἔθος θεραπεύεσθαι τέτακτο τὸ θεῖον· ὡς
ἂν καὶ τοὺς τῶν δέκα φυλῶν ἀπολελοιπότας μὲν τὴν αὐτόθι τοῦ θείου θεραπείαν, τὴν δαμά-
λεσι δὲ κατὰ τὴν τοῦ Ἱεροβοὰμ προσανέχοντας συμβουλὴν, ἐνζεύξῃ· νῦν γοῦν τῆς μανίας
ἀποστάντας ἐκείνης, πρὸς τὸ Σιὼν ὄρος ἰδεῖν, καὶ τὸν τοῦ παντὸς κύριον αὐτόθι θερα-
πεύεσθαι τεταγμένον, ἵν᾽ οὕτω τῶν προσδοκωμένων αὐτοῖς κακῶν λάβοιεν τὴν λύσιν· τοῦτο
γὰρ δὴ καὶ προσγεγονὸς ἐπὶ τοῦ Σενναχηρεὶμ Ἐζεκίου βασιλεύοντος τῶν Ἰουδαίων τοῖς περὶ
τὸν τόπον ἐκεῖνον οἰκοῦσιν, εὕροι τις ἂν προδήλως. “ Ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη
λαὸς πολὺς καὶ ἰσχυρός· ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος· καὶ μετ᾽ αὐτὸν οὐ προστε-
θήσεται, ἕως ἐτῶν εἰς γενεὰς γενεῶν. ,, Δίκην γὰρ ὄρθρου κατὰ τὸν οἰκεῖον καιρὸν ἅπασαν p. 114.
πληρώσαντος τὴν γῆν, ἀναρίθμητός τις ἐπελεύσεται λαὸς τῶν πολεμίων ἅπαντα πληρῶν
τὰ ὄρη, ᾧ μή τε γέγονε παραπλήσιος πρότερον, ἀλλ᾽ οὐδὲ ἔσται ῥᾳδίως. ,, Τὰ ἔμπροσθεν v. 3.
αὐτοῦ πῦρ ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ. ,, Ἅπαντα κυκλόθεν διὰ τῆς
οἰκείας ἐπιβάσεως ἀφανιεῖ, δίκην πυρός. “ Ὡς παράδεισος τρυφῆς ἡ γῆ ἔμπροσθεν
αὐτοῦ, καὶ τὰ ὀπίσω αὐτοῦ πεδίον ἀφανισμοῦ. ,, Οὓς μὲν γὰρ οὔπω τόπους ἐπελήλυθεν, ἴδοι
τις ἂν παραδείσου μηδὲν ἀπεοικότας, τῷ τε πλήθει τῶν οἰκούντων, καὶ τῷ τῶν οἰκοδομη-
μάτων κάλλει· παραγενομένου δὲ, ἀθρόον ἅπασαν ἐκείνην ἀφανιζομένην ἐστὶν ἰδεῖν τὴν
εὐπρέπειαν. “ Καὶ ἀνασωζόμενος οὐκ ἔστιν ἐπ᾽ αὐτοῦ. ,, Χαλεπὸν γ᾽ οὖν τινὶ διαφυγεῖν τὴν
ὁρμὴν τὴν ἐκείνου.

“ Ὡς ὅρασις ἵππων, ἡ ὅρασις αὐτῶν· καὶ ὡς ἵππος, οὕτω καταδιώξονται· ὡς φωνὴ v. 4.

mum, cunctos ad Sionem montem congregate, ubi mihi cultum exhiberi mos est; illic meam implorantes misericordiam, quia haud procul est quam Deus comminatus est dies, quae cunctos tenebris atque caligine opplere potis est; adeo ut videre nihil possint, utpote rebus omnibus nebula ac turbine obvolutis. Recte autem ad Sionem montem omnes advocat, in quo lex mosaica coli Deum debere constituit. Quare et decem tribus derelicto loci eius divino cultu, iuvencis secundum Hieroboami consilium, eundem detulerunt. Nunc itaque hortatur, ut ab insania illa recedentes, ad Sionem montem respiciant, et ad universalem dominum ibi coli iussum, ut sic ab imminentibus sibi malis liberari impetrent. Revera hoc contigisse sub Sennacherimo, Ezecia regnante in Iudaea, illius loci incolis comperire est. “ Quasi mane expandetur super montes populus multus et fortis: similis ei non fuit a saeculo, et post eum non adiicietur usque ad annos in generationes generationum. ,, Ceu mane, quod suo tempore universam occupat terram, innumerabilis quidam hostium populus superveniet, omnes occupans montes, cui neque similis fuit antea, neque facile erit postea. “ Ante faciem eius ignis vorans, et post eum exurens flamma. ,, Cuncta in circuitu ascensu suo destruet, velut ignis. “ Quasi hortus voluptatis terra coram eo, et post eum campus desolatus. ,, Quos locos nondum invasit, ii videntur haud horto dissimiles, tum incolarum multitudine, tum elegantia aedificiorum: verumtamen post illius adventum, totam illam statim amoenitatem deletam videre est. “ Neque est qui sit incolumis ab eo. ,, Difficile ergo est quemquam illius impetum effugere.

v. 5. ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται· καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιούσης
καλάμην· καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον. ,, Τὸ ὡς οὐ κατὰ
Ps. LXXII. 1. ὁμοίωσιν λέγει, ἀλλὰ κατὰ ἀφήγησιν· οἷον ἐστὶ τό, ὡς (1) ἀγαθὸς τῷ Ἰσραὴλ ὁ θεὸς *,
ἀντὶ τοῦ ἀγαθός. τοῦτο γὰρ δὴ κἀνταῦθα λέγει· ὅτι πολλὴν μέν ἐστιν ἰδεῖν αὐτῷ προσοῦσαν
p. 115. τὴν ἵππον· φοβεροὶ δέ τινες οἱ ἐπὶ τῶν ἵππων ἐλαύνοντες κατὰ τῶν ἐναντίων· ἅρματά τε αὐτῷ
πλεῖστα ἄχρι τῶν ὑψηλοτάτων χρώμενα ταῖς ἐφόδοις· ἀπεοίκασί τε οὐδὲν πυρὸς ἐπινεμομένου
καλάμην, οὕτως ἅπαντας ἐπιόντες οὓς βούλονται τόπους· εἰσὶ γὰρ πολλοί τινες καὶ ἄγαν ἀν-
v. 6. δρεῖοι, παντὸς μᾶλλον εἰς πόλεμον παρεσκευασμένοι. " Ἀπὸ προσώπου αὐτοῦ συντριβή-
σονται λαοί· πᾶν πρόσωπον ὡς πρόσκαυμα χύτρας. ,, Πλείστους γ' οὖν ὡς εἰκὸς διὰ τῆς
οἰκείας ὁρμῆς ἀφανιοῦσιν· ὥστε δοκεῖν ἅπαντας τοὺς ὑποπεπτωκότας αὐτῷ ἐοικέναι χύτρᾳ
ὑπὸ πυρὸς κατακεκαυμένῃ· καὶ ἐπιμένων τῷ διηγεῖσθαι τὰ κατ' αὐτόν, ὡς ἂν μείζονα
v. 7. τοῖς ἀκούουσιν ἐνθείη τὸν φόβον. " Ὡς μαχηταὶ δραμοῦνται, καὶ ὡς ἄνδρες πολεμισταὶ
ἀναβήσονται ἐπὶ τὰ τείχη. ,, Μετὰ πολλῆς μὲν ὀξύτητος ἐπὶ τὰς μάχας ὁρμῶσι· μετὰ
πολλοῦ δὲ τοῦ θράσους καὶ τοῖς τείχεσιν ἐπελεύσονται τῶν πόλεων, οὐδὲ τὴν ἐκεῖθεν ὑφορώ-
v. 8. μενοι βλάβην. " Ἕκαστος ἐν τῇ αὐτοῦ ὁδῷ πορεύεται, καὶ οὐ μὴ ἐκκλίνωσι τὰς τρίβους
αὐτοῦ, καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται. ,, Συντεταγμένοι κέχρηνται τῷ
πολέμῳ, οὐδενὸς δεξιὰ οὐδὲ ἀριστερὰ ἐκκλίνοντος πώποτε· ἀλλ' ἑκάστου μὲν τὴν ὡρισμένην
τε καὶ τεταγμένην ἀνύοντος ὁδόν· πάντων δὴ μετὰ πολλῆς τῆς συμφωνίας ἐπὶ τὸν πόλεμον
p. 116. τὴν ὁρμὴν ποιουμένων. " Καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται, καὶ ἐν τοῖς
βέλεσιν αὐτῶν πεσοῦνται, καὶ οὐ μὴ συντελεσθῶσιν. ,, Μέγιστον καὶ τοῦτον πρὸς ἀπόδειξιν
τοῦ πρὸς πόλεμον παρεσκευάσθαι, τὸ μὴ δὲ πώποτε τῶν ὅπλων ἔξω γίνεσθαι τῶν οἰκείων·
τοῦτο γὰρ λέγει τό, οὔτε ὁδοιποροῦντες ἀποτίθενται τὰ ὅπλα, ἥδιον αὐτῶν ἀνεχόμενοι τὸ βά-

" Quasi aspectus equorum, aspectus eorum: et quasi equitatus, sic persequentur. Sicut sonitus curruum super vertices montium exsilient, et sicut sonitus flammae ignis devorantis stipulam, et velut populus multus ac fortis in acie instructus. ,, Particula, sicut, non similitudinis causa ponitur, sed narrative. Quale est illud: sicut (quam) bonus Israheli Deus, pro, bonus. Id enim etiam hoc loco dicit, multum nempe conspici comitantem ei equitatum. Sunt autem ii terribiles qui equis insidentes irruunt in hostes. Currus item ei plurimi, usque ad sublimia decurrentes. Nihil porro differunt ab igne stipulam depascente: adeo cunctos quos volunt pervadunt locos. Plurimi sunt et strenui, atque apprime ad bellum instructi. " A facie ipsius conterentur populi: omnis vultus quasi adustio ollae. ,, Plurimos itaque, ut par est, impetu suo destruent; adeo ut cuncti sub eo cadentes visuri sint ollae ab igne tostae similes. Tum pergens adhuc de eo loqui, ut maiorem audientibus incutiat metum " ut bellatores, inquit, current; quasi viri pugnaces moenia conscendent. ,, Multa cum celeritate in proelia ruent; multa item cum audacia urbium muris insilient, spreto illinc damni periculo. " In sua quisque via graditur, neque a propria deflectit semita, nec a fratre suo discedit. ,, Ordinata utuntur acie, nemo dextrorsum aut sinistrorsum usquam declinat: sed singuli definitam imperatamque terunt viam: omnes vero summa concordia ad proelium ruunt. " Armis suis gravati incedent, et in iaculis suis cadent, et non finientur. ,, Hoc quoque plurimum interest ob demonstrandam ad bellum promptitudinem, si quis numquam extra propria arma sit. Dicit enim: ne in itinere quidem arma deponunt, liben-

(1) Pace tua, Theodore, aio videri mihi hoc loco ὡς particulam admirandi.

ρεις, ἢ ἄοπλοι δεικνύμενοι τοῖς ὁρῶσιν· οὔτε εἰ πρὸς ἀνάπαυσιν νεύοιεν ποτὲ, ἔξω τῶν ὅπλων γίγνονται τῶν οἰκείων· τὸ γὰρ πεσοῦνται, ἀντὶ τοῦ ἀναπεσοῦνται καὶ ἀνακλιθήσονται λέγει· βουλόμενος εἰπεῖν ὅτι μετὰ τῶν ὅπλων καὶ πορεύονται καὶ ἀνακλίνονται· διὸ καλῶς ἐπήγαγε, καὶ οὐ μὴ συντελεσθῶσιν· ἀντὶ τοῦ, πέρας οὐκ ἴσασιν τοῦ πολέμου, πάντοτε δὴ ἐν ὅπλοις τε εἰσὶ καὶ πολέμοις.

“ Τῆς πόλεως ἐπιλήψονται, καὶ ἐπὶ τῶν τειχέων αὐτῶν δραμοῦνται, ἐπὶ τὰς οἰκίας v. 9.
ἀναβήσονται, καὶ διὰ θυρίδων εἰσελεύσονται ὡς κλέπται. ,, Μετὰ πολλῆς μὲν τῆς δυνά-
μεως χειροῦνται τὰς πόλεις, οὐδὲ ἀνατρέχειν ὀκνοῦντες μετὰ τῶν ὅπλων ἐπὶ τὰ τείχη· εἰσελη-
λυθότες δὲ ἅπασαν ἐπινέμονται τὴν πόλιν, ὥστε καθ᾽ ἑκάστην οἰκίαν καὶ διὰ θυρῶν καὶ διὰ
θυρίδων εἰσιέναι, ἐπὶ τῷ πάντα ἀφελεῖν τὰ ἐνόντα· τὸ γὰρ ὡς κλέπται, τοῦτο λέγει· ἀντὶ
τοῦ ἐπὶ τῷ πάντα ἀφελεῖν καὶ κλέψαι. “ Πρὸ προσώπου αὐτοῦ συγχυθήσεται ἡ γῆ, καὶ v. 10.
σεισθήσεται ὁ οὐρανὸς, ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ τὰ ἄστρα δύσουσι τὸ φέγγος p. 117.
αὐτῶν. ,, Ἔοικε μὲν ὁ προφήτης ὑπερβολικῶς τὰ πολλὰ λέγειν, εἰς μείζονα ἔκπληξιν τῶν
ἀκουόντων· ἐπειδὴ ὁποῖα ποτ᾽ ἂν ᾖ τὰ λεγόμενα, λείπεται τῶν ἔργων· δῆλος δέ ἐστι κἀν-
ταῦθα, οὐ τὰ στοιχεῖα λέγων συγχεῖσθαι καὶ μετατίθεσθαι, ἀλλ᾽ ἐπειδὴ τοῖς ἐν κακοῖς ἐξε-
ταζομένοις ἴδιόν ἐστι τὰς ὑπολήψεις πρὸς τὴν κατέχουσαν μεθίστασθαι πολλάκις ἀνάγκην·
τοῦτο οὖν λέγει, ὅτι συγχύσεως μὲν πληρωθοῦνται, ἐπιόντος αὐτοῦ τὰ κατὰ γῆν· δοκεῖ δὲ τοῖς
ἐν τῇ γῇ τοιαῦτα πάσχουσι παρ᾽ αὐτοῦ, καὶ ὁ οὐρανὸς σαλεύεσθαι, καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη,
καὶ τὰ ἄστρα μηκέτι φαίνειν, τῆς τῶν κακῶν βαρύτητος ἀφαιρουμένης τῶν πασχόντων τὴν φω-
τὸς τὴν αἴσθησιν. “ Καὶ κύριος δώσει φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως αὐτοῦ· ὅτι v. 11.
πολλή ἐστι σφόδρα ἡ παρεμβολὴ αὐτοῦ· ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ· διότι μεγάλη ἡ ἡμέρα
τοῦ κυρίου, μεγάλη καὶ ἐπιφανὴς σφόδρα· καὶ τίς ἐστιν ἱκανὸς αὐτῇ; ,, Ἐπιφθέγγεται δὲ τοῖς
γινομένοις καὶ ὁ θεὸς, οὗπερ οὖν γνώμῃ ταῦτα διὰ τὴν οἰκείαν πείσεσθε κακίαν· ὥστε τότε μὲν

tius eorum pondus gerentes, quam se inermes spectantibus exhibentes: nam neque si forte pausam aliquam capiant, sine armis suis sunt. Etenim, cadent, posuit pro, procident aut recumbent: dicere volens, quod armati et incedunt et recumbunt: ideoque pulcre addidit, et non finientur, id est nullum finem bellandi agnoscunt, in armis semper proeliisque versantur.

“ Urbem capient, et super moenia eius discurrent: domos conscendent, et per fenestras intrabunt quasi fures. ,, Magnis viribus urbes domant, neque non audent currere ad moenia cum armis, et per ianuas fenestrasque ingredi, ut quicquid est intus auferant. “ A facie eius confundetur terra, commovebitur caelum, sol et luna obtenebrabuntur, et stellae recondent splendorem suum. ,, Videtur propheta hyperbolice multa dicere, ut maiore audientes pulset terrore. Nam cuicuimodi sint haec verba, minora rebus sunt. Apparet autem hoc etiam loco prophetam haud ita loqui quasi elementa confundantur et transferantur, sed quia mos est eorum qui malis exercentur, mentis ideas ad suas praesentes saepe angustias transferre. Dicit igitur fore ut homines confusione repleantur, Domino in terram adventante. Videtur ergo illis, qui talia a Deo in terra patiuntur, et caelum concuti, et sol ac luna et sidera iam non relucere, malorum scilicet gravitate patientibus eripiente lucis sensum. “ Et Dominus dabit vocem suam ante faciem exercitus sui: quia multa sunt nimis castra eius, quia fortia opera verborum eius: magnus enim dies Domini, magna et illustris valde, et quis sustinebit eam? ,, Loquetur praeter facta haec ipse Dominus, cuius voluntate, haec propter vestram nequitiam patie-

ὑμᾶς γνῶναι πᾶσαν αὐτοῦ τὴν παράταξιν ταύτην οὖσαν, ὅπερ οὗ κεκίνηται γνώμη· γνῶναι
δὲ καὶ ὅση ἐστὶ τῶν λόγων αὐτοῦ ἡ ἰσχὺς, πάλαι μὲν εἰρηκότος ὅτε περ ἠπιστεῖτε τοῖς λεγο-
p. 118. μένοις· ὕστερον δὲ αὐτὰ ἐξάξοντος εἰς ἔργον, καὶ δείξαντος ὅτι πᾶς λόγος αὐτοῦ ἔργον
ἐστὶν ἰσχυρόν· ὅτι τε οὕτω μεγάλη καὶ ἐπιφανὴς ἡ τῶν ἐπιόντων ὑμῖν κακῶν ἡμέρα· τότε ἔσται
κατὰ τὴν γνώμην τὴν θείαν, ὡς μὴ δὲ εἶναι τινὰ δυνατὸν τῶν τότε γινομένων κακῶν ὑποφέρειν
τὸ μέγεθος· διηγησάμενος δὲ τῶν πολεμίων τὴν βαρύτητα ἐν τούτοις, ἐπάγει.

v. 12. “ Καὶ νῦν λέγει κύριος ὁ θεὸς ὑμῶν, ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας
v. 13. ὑμῶν, ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ· καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ
μὴ τὰ ἱμάτια ὑμῶν· καὶ ἐπιστράφητε πρὸς κύριον τὸν θεὸν ὑμῶν· ὅτι ἐλεήμων καὶ οἰκτίρ-
μων ἐστὶ, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. „ Ἀλλὰ γὰρ καὶ τούτων
οὕτως ἐχόντων, φέρε δὴ πάντες μεταβαλώμεθα τὸν λογισμὸν ἐκ τοῦ χείρονος ἐπὶ τὸ κρεῖτ-
τον, καὶ νεύσωμεν ἅπαντες ὁλοκλήρῳ τῇ διανοίᾳ πρὸς θεὸν, νηστείαις τε καὶ κλαυθμῷ
καὶ κοπετῷ κεχρημένοι· καὶ μὴ τὰ ἱμάτια τὰ ἑαυτῶν διαῤῥηγνύντες, διόπερ ἔθος ὑμῖν
οὐκ ἐκ διαθέσεως πολλάκις ποιεῖν· τὰς καρδίας δὲ ἑαυτῶν διανοίγοντες τε καὶ γυμνὰς
προσάγοντες τῷ θεῷ· ὡς ἂν τὴν παλαιὰν ἀποθέμενοι κακίαν, δῆλοι γένησθε τῆς περὶ
αὐτὸν ἀντεχόμενοι γνώμης· οὐ γὰρ ἀπεικὸς, ἄγαν ὄντα φιλάνθρωπον καὶ πολλῇ τῇ ἀνεξι-
p. 119. κακίᾳ περὶ τοὺς ἁμαρτάνοντας κεχρημένον, μεταγνῶναι ἐπὶ τοῖς κακοῖς, οἷς ἐπαγαγεῖν
v. 14. ὑμῖν ἐβουλεύσατο. „ Τίς οἶδεν εἰ ἐπιστρέψει καὶ μετανοήσει καὶ ὑπολείψεται (1) ὀπίσω αὐτοῦ
εὐλογίαν θυσίαν καὶ σπονδὴν κυρίῳ τῷ θεῷ ὑμῶν; „ Εἰ γὰρ καὶ μὴ πᾶσιν ὑμῖν δῆλον εἶναι
τοῦτο συμβέβηκεν ὑπὸ τῆς συνειδήσεως πληττομένοις τῆς οἰκείας, ἀλλὰ σφόδρα γε εἰδέναι
προσῆκεν ἡμᾶς, ὡς εἰ μεταβαλοίμεθά τε καὶ νεῦσαι βουληθείημεν πρὸς αὐτὸν, μετα-

mini: quamobrem tunc vos noveritis totam hanc eius esse aciem, cuius voluntate movetur. Scietis etiam quanta sit verborum eius vis, olim loquentis, cum vos verbis non credebatis, quae postea in rem contulit; ostenditque, quemlibet sermonem eius perinde esse ac forte opus: quandoquidem adeo magna et illustris est supervenientium vobis malorum dies. Tunc res pro divina voluntate fiet, nec quisquam malorum illorum ferre poterit molem. Quibus verbis postquam hostium graves vires exposuit, subiungit.

“ Et nunc dicit dominus Deus vester: convertimini ad me toto corde vestro, in ieiunio et in fletu et in planctu, et scindite corda vestra, et non vestimenta vestra: et convertimini ad dominum Deum vestrum, quia benignus et misericors est, et longanimis ac multae misericordiae, et flexibilis super iniquitatibus. „ Sed enim quamquam res ita se habeant, agesis cuncti studia nostra a vitio ad virtutem convertamus, cuncti inquam tota mente ad Deum inclinemur, ieiuniis fletu et planctu occupati: neque vestes nostras scindamus, qui mos vester saepe est sine animi affectu; sed corda vestra pandite, Deoque nuda exhibete; ut vetere malitia deposita, vestram circa Deum mentem demonstretis. Neque enim est incredibile, quum sit valde benignus, et multa erga peccantes patientia uti solitus, fore ut mala retrahat quae vobis imponere cogitabat. “ Quis novit, num convertatur, et paeniteat, et relinquat post se benedictionem, sacrificium, et oblationem domino Deo vestro? „ Quamquam haud vobis omnibus id exploratum esse contingit, qui conscientia vestra vulneramini, attamen apprime nobis constare oporteret, quod si convertamur atque ad eum declinare voluerimus, ipsum quoque paenitebit malorum

(1) Cod. 1. manu ὑπολήψεται, at 2. ὑπολείψεται quae est communis lectio.

μεληθήσεται μὲν καὶ αὐτὸς ἐφ' οἷς καθ' ἡμῶν ἀπεφήνατο· χαριεῖται δὲ ἡμῖν ἐν τῷ μετὰ
ταῦτα χρόνῳ τῶν οἰκείων ἀγαθῶν τὴν χορηγίαν· τοῦτο γὰρ εὐλογίαν φησίν· ὧν πρῶτον ἡμῖν
ἔσται γνώρισμα τὸ μεταλαβεῖν τῆς ἐξουσίας τοῦ θυσίας τε καὶ σπονδὰς αὐτῷ κατὰ τὸ εἰωθὸς
προσάγειν· εὔδηλον γὰρ ὅτι εὐλογεῖν λέγεται ὁ θεὸς, τῷ ταῖς οἰκείαις εὐεργετεῖν δωρεαῖς·
ὅθεν καὶ εὐλογίαν τὴν τοιαύτην κέκληκε δωρεάν· εἶτα ἐπάγει.

" Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγά- v. 15.
γετε λαὸν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα v. 16
μαστούς· ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. ,, Τοιαύτῃ
γάρ φησι καὶ οὕτω φιλανθρώπῳ γνώμῃ τοῦ θεοῦ κεχρημένου, τοῦτο ποιητέον ἡμῖν· τὸ πάντας
μὲν ἐπὶ τὸ Σιὼν ὄρος ταῖς τῶν σαλπίγγων συναγαγεῖν σημασίαις· ἀφορίσαι δὲ καὶ κηρύξαι p. 120.
νηστείαν ἐπὶ θεραπείᾳ τοῦ θείου· συναγαγεῖν δὲ ἅπαντα τὸν λαὸν, ὡς ἂν ἀθροισθέντας εἰς
ἐκκλησίαν ἐκτάξειαν ἑαυτοὺς ἐπὶ τῇ μεταμελείᾳ τῆς γνώμης· παρόντων μὲν τῶν παλαιο-
τέρων καθ' ἡλικίαν, παρόντων δὲ καὶ τῶν νηπίων ἄχρι τῶν θηλαζόντων· καὶ μὴν τῶν νεωστὶ
γεγαμηκότων ἀφισταμένων τῆς γαμικῆς εὐφροσύνης διὰ τὴν τῆς μετανοίας ἐπιμέλειαν· ὥστε
συντόμως εἰπεῖν ἅπασαν ἡλικίαν καὶ πάντα ὅντινα οὖν ἐν ὅτῳ δήποτε καθεστῶτα παρεῖναι
τῇ μεταμελείᾳ, τῶν λοιπῶν ἀφεμένους ἁπάντων. " Ἀνὰ μέσον τῆς κρηπῖδος καὶ τοῦ θυ- v. 17.
σιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες κυρίῳ· καὶ ἐροῦσι, φεῖσαι κύριε τοῦ λαοῦ σου,
καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ μὴ κατάρξαι αὐτῶν ἔθνη· ὅπως μὴ εἴπω-
σιν ἐν τοῖς ἔθνεσι, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; ,, Πάντες δὲ πρὸ τοῦ θυσιαστηρίου στάντες οἱ
πρὸς τὸ τῆς ἱερωσύνης ἔργον προβεβλημένοι, καὶ εἰς τὴν λειτουργίαν ἐκτεταγμένοι τὴν θείαν,
μετὰ κλαυθμῶν αἰτείτωσαν παρὰ τοῦ θεοῦ τὴν καταλλαγήν· ὡς ἂν φείσαιτο τότε τοῦ λαοῦ τοῦ
οἰκείου, καὶ μὴ παντελῶς αὐτοὺς ἐκδοίη τῇ τῶν ἐθνῶν ἐξουσίᾳ, μὴ δὲ καταλίποι παρὰ τοῖς
ἔθνεσιν ὀνειδιζομένους, ὅτι δὴ μάτην ἐπὶ τῇ πρὸς θεὸν σεμνυνόμεθα οἰκειώσει· τούτοις

quae nobis se illaturum ostenderat; nobisque potius futuro tempore beneficia largiturum: hanc enim dicit benedictionem: quorum beneficiorum primum erit notitia, quod copia nobis sit sacrificia ac libationes ei ritu solito offerendi. Perspicuum est enim Deum dici benedicere, quum suis donis bene alicui facit. Deinde addit.

" Clangite tuba in Sione, sanctificate ieiunium, praedicate cultum, congregate populum, sanctificate ecclesiam, eligite senes, congregate parvulos ubera sugentes: egrediatur sponsus de cubili suo, et sponsa de thalamo suo. ,, Quoniam Deus tam clemente sententia est, hoc nobis faciendum superest: tubarum nimirum signis cunctos ad Sionem montem convocare: decernere ac predicare ieiunium in honorem Dei: universum populum congregare, ut in ecclesia adunati ad paenitentiam mentis se comparent: adstantibus aetate grandioribus, adstantibus item parvulis, usque ad ubera sugentes: nec non novis nuptis a coniugali gaudio ad paenitentiae studium conversis: uno verbo, omni aetatis gradu, et cuiusvis loci incola, accedente ad paenitentiam, reliquo omni praetermisso negotio. " Inter vestibulum et altare plorabunt sacerdotes ministri Domini, et dicent: parce Domine populo tuo, et ne des hereditatem tuam in opprobrium, ne dominentur eis nationes; ne inter gentes dicatur: ubinam est Deus eorum? ,, Cuncti ante altare consistentes, qui sacerdotii funguntur munere, et divinae liturgiae sunt addicti, cum fletu postulent a Deo propitiationem, ut tunc parcat populo suo, neque eum potestati nationum tradat, neque his irridendum permittat, quasi inaniter Dei familiaritate gloriemur.

v. 18. ἐπάγει. "Καὶ ἐζήλωσε κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ." Οὐχ ὡς ἤδη
p. 121. γεγονὸς μηνύων, ἀλλὰ τὸ ἐσόμενον λέγων· ζηλώσει γὰρ καὶ φείσεται ὑμῶν, φησὶν, εἰ μεταμελομένους τε ἴδοι, καὶ τὰ προκείμενα ποιοῦντας· ἐνήλλακται δὲ ὁ χρόνος κατὰ τὸ ἑβραϊκὸν ἰδίωμα, ἀντὶ τοῦ φείσεται τὸ ἐφείσατο εἰπόντος· ὅπερ οὖν καὶ ἀπὸ τῶν ψαλμῶν ἐν ἑτέροις ἐδείξαμεν· πρόδηλον γὰρ ὅτι οὐ γεγονότα λέγει, ἐξ ὧν μετὰ τὴν μήνυσιν ταύτην αὐτοῖς ἐπελήλυθε τὰ κακά.

v. 19. "Καὶ ἀπεκρίθη κύριος καὶ εἶπεν τῷ λαῷ αὐτοῦ· ἰδοὺ ἐγὼ ἐξαποστέλλω ὑμῖν τὸν σῖτον
v. 20. καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον· καὶ ἐμπλησθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκέτι εἰς ὀνειδισμὸν
ἐν τοῖς ἔθνεσι· καὶ τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ' ὑμῶν· καὶ ἐκδιώξω αὐτὸν εἰς γῆν ἄνυδρον· καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην· καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην· καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ, καὶ ἀναβήσεται ὁ βρόμος αὐτοῦ." Τὸ ἀπεκρίθη κύριος καὶ εἶπεν, ἀντὶ τοῦ ἀποκριθήσεται καὶ ἐρεῖ, ἐνηλλαγμένου κἀνταῦθα τοῦ χρόνου· βούλεται γὰρ εἰπεῖν ὅτι τήν τε τῶν καρπῶν ἀφθονίαν ὑμῖν μεταμεληθεῖσιν ἀποδώσει πάντως, τοὺς πολεμίους τε τροπώσεται τοὺς ὑμετέρους, ὅπερ οὖν καὶ πεποίηκε μετὰ τὴν
p. 122. ἐπάνοδον ὁ θεός· καθὰ καὶ ὁ μακάριος Δαυὶδ τὴν ἐπάνοδον τοῦ λαοῦ προλέγων, πρῶτον
* Ps. LXIV. 2. et seq. μὲν εἶπεν· * σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ· καὶ ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ σου· δεικνὺς ὅτι τε ἐπανελεύσονται εἰς τὰ οἰκεῖα, καὶ ὅτι τὴν συνήθη θεραπείαν ἐν τῷ ναῷ πάλιν ἀποδώσουσι τῷ θεῷ· μετὰ δὲ τοῦτο ἐπάγει· ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτὴν, ἐπλήθυνας τοῦ πλουτῆσαι αὐτήν· καὶ τὰ ἑξῆς· τὴν ἀφθονίαν λέγων τὴν τότε προσεσομένην αὐτοῖς· τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα εἰπὼν τῆς εὐθηνίας τὴν ἀπόδοσιν, λέγει ὅτι οὐκ ἐάσω ὑμᾶς ὑπὸ τοῖς ἔθνεσιν εἶναι οὐκέτι· τὸ γὰρ οὐ δώσω ὑμᾶς ἐν τοῖς ἔθνεσιν οὐκέτι εἰς ὀνειδισμὸν, τοῦτο λέγει· ἀλλὰ γὰρ καὶ δίκας λή-

His addit. "Et zelatus est Dominus terram suam, et pepercit populo suo." Haud hoc tamquam factum adfirmat, sed futurum dicit. Zelabitur enim, inquit, et parcet vobis, si paenitentes viderit, et supra dicta feceritis: est vero temporis enallage, cum idiotismo hebraico dicente propheta, pepercit, pro parcet; id quod imitatione psalmorum fieri, alibi ostendimus. Constat enim non de re acta dici, quandoquidem reapse mala iuxta praedictionem ipsis supervenerunt.

"Et respondit Dominus, dixitque populo suo: ecce ego mitto vobis frumentum et vinum et oleum, et replebimini eis: et non dabo vos ultra ad opprobrium in gentibus. Et eum qui ab aquilone est, procul faciam a vobis, et expellam eum in terram aquis carentem. Et disperdam faciem eius in mare primum, et posteriora eius in mare novissimum. Et ascendet putredo eius, et ascendet foetor eius." Verba respondit Dominus et dixit, ponuntur pro respondebit et dicet, permutato heic quoque tempore. Dicere quippe vult, fore ut paenitentibus vobis abundantiam frugum sine dubio concedat, vestrosque hostes in fugam coniiciat; quod revera post reditum Deus praestitit. Sicut etiam beatus David, populi reditum praedicens, primo quidem ait: te decet hymnus, Deus, in Sion, et tibi reddetur votum in Hierusalem; et sanctum templum tuum, mirabile in aequitate tua; demonstrans redituros in propria, solitumque Deo cultum in templo rursus reddituros. Et post haec, addit: visitasti terram, et inebriasti eam, multiplicasti locupletare eam, et reliqua; ubertatem dicens quae tunc illis obveniet. Eodem modo heic etiam, postquam annonae copiam daturum se dixit, ait: non sinam vos gentibus diutius subesse. Nam verba: non dabo vos nationibus ulterius ad opprobrium, hoc significant,

ψομαι φησὶ παρὰ τῶν ἐπεληλυθότων ὑμῖν, ἐρημίᾳ τε αὐτοὺς καὶ ἀφανισμῷ παντελεῖ· παρα-
διδούς· πρῶτον μὲν γὰρ διὰ Βαβυλωνίων τιμωρήσομαι Ἀσσυρίους· μετ᾽ ἐκεῖνο δὲ Βαβυλω-
νίους διὰ Περσῶν παντελῶς ἀπολέσω· τοσαύτην δὲ αὐτῶν ἐργάσομαι τὴν ἀπώλειαν, ὥστε
δίκην τῶν ἀποθνησκόντων τε καὶ παντελῶς νεκρουμένων, τήν τε σῆψιν αὐτῶν καὶ τὴν δυσω-
δίαν μηδένα διαλαθεῖν· τὴν γὰρ σαπρίαν καὶ τὸν βρόμον, τοῦτο λέγει, ὡς ἐπιτεθνηκότων
ἤδη καὶ νεκρῶν κειμένων· τὸ δὲ ἀναβήσεται, ὅτι πᾶσιν ἐξάκουστος ἔσται φησί· τούτων δὲ
πάντων αἴτιόν τι; “ ὅτι ἐμεγαλύνθη τὰ ἔργα αὐτοῦ. „ Δείξει γὰρ τῶν οἰκείων ἔργων τὸ μέ- p. 123.
γεθος ὁ θεὸς ἐν τῇ περὶ αὐτοὺς τιμωρίᾳ· εἶτα ἀκολούθως ἐπάγει.

“ Θάρσει γῆ, χαῖρε καὶ εὐφραίνου· ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι· θαρσεῖτε κτήνη v. 21.
τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου· ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ· ἄμπε- v. 22.
λος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. „ Ἐν εὐφροσύναις μὲν οὖν ἔσται ἡ γῆ ἐπὶ τῷ με-
γέθει τῶν παρὰ τοῦ θεοῦ γινομένων, ἀπειληφυῖα τῶν καρπῶν τῶν οἰκείων τὴν φοράν· οὐδὲν
ἧττον καὶ τὰ τοῦ πεδίου κτήνη δαψιλῆ τῆς νομῆς ἔχοντα τὴν ἀπόλαυσιν· καὶ πρὸς ἅπασί γε
ὅτι καὶ ὁ ἐκ τῶν ξύλων καρπὸς δαψιλὴς παρέχεται τοῖς δεομένοις. “ Καὶ τὰ τέκνα Σιὼν v. 23.
χαίρετε, καὶ εὐφραίνεσθε ἐπὶ τῷ κυρίῳ θεῷ ὑμῶν· ὅτι ἔδωκεν ὑμῖν βρώματα εἰς δικαιο-
σύνην· καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον καθὼς ἔμπροσθεν· καὶ πλησθήσονται αἱ v. 24.
ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου. „ Ἃ γὰρ ἐν τοῖς ἀνωτέροις εἶ-
πεν ἀφῃρῆσθαι, ταῦτα νῦν ἀποδίδοσθαι λέγει· πάντες γάρ φησιν οἱ περὶ τὸ Σιὼν ὄρος συλ-
λεγόμενοί τε, καὶ τὴν καθήκουσαν τῷ θεῷ πληροῦντες θεραπείαν, δίκαιοι εἶεν ἂν εὐφραί-
νεσθαι, τὴν ἀφθονίαν τε τῶν καρπῶν ἀπολαβόντες, ἣν δικαίως αὐτοῖς μεταμεληθεῖσιν ὑπὲρ p. 124.
ὧν ἥμαρτον παρέσχηκεν ὁ θεὸς, καὶ ὅτι τῶν ὑετῶν αὐτοῖς εὔκαιρον καὶ αὐτάρκη παρέξεται τὴν
χρείαν· ὥστε καὶ τὰ ἐκ γῆς φυόμενα τῶν σπερμάτων, καὶ τοὺς ἐκ ξύλων καρποὺς, μετὰ πολ-
λῆς αὐτοῖς περιγίνεσθαι τῆς περιουσίας. “ Καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κατέφαγεν v. 25.

Immo etiam poenas de adgressoribus vestris sumam, eosque vastitati supremoque exitio tradam. Nam primo per Babylonios puniam Assyrios: postea Babylonios Persarum manu prorsus extinguam: tantumque illorum excidium faciam, ut ritu morientium et occidione occisorum, sanies eorum ac foetor neminem lateat: nam putredo et foetor hoc dicunt, tamquam nuper mortuorum et cadaverum proiectorum. Tum et verbum, ascendet, pro, audietur, dicit. Horum vero omnium quaenam causa est? “ quia magnificata sunt opera tua. „ Demonstrabit quippe Dominus operum suorum magnitudinem hostium punitione. Dehinc consentanee ait.

“ Confide, terra; gaude et laetare, quoniam magnificavit Deus, ut faceret. Confidite iumenta campi, quia germinarunt prata deserti: quia lignum edidit fructum suum, vitis et ficulnea protulerunt vigorem suum. „ Gaudio gestiet terra ob Dei operum magnitudinem, accepta ab eo frugum fecunditate: neque secius iumenta campi copiosam pascui habentia fruitionem; praeterque haec omnia, ligni quoque fructus copiosus praebebitur indigentibus eo. “ Et filii Sionis gaudete atque laetamini in domino Deo vestro, quia dedit vobis escas ad iustitiam, pluetque vobis imbrem matutinum ac serotinum, sicut antea. Et implebuntur areae frumento, et redundabunt torcularia vino et oleo. „ Quae antea dixit ereptum iri, ea nunc danda adfirmat. Cuncti enim qui circa Sionem montem sunt congregati, et convenientem Deo cultum exhibent, laetari merentur, frugum abundantia potiti, quam iuste ipsis deccatorum suorum paenitentibus Deus adtribuit; quibus etiam imbrium tempestivam sufficientemque usuram exhibebit; adeo ut germinantia tellure semina, et ligno-

ἡ ἀκρὶς καὶ ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ ἡ κάμπη, ἡ δύναμίς μου ἡ μεγάλη ἣν ἐξαπέ-
v. 26. στειλα εἰς ὑμᾶς· καὶ φάγεσθε ἐσθίοντες, καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ
θεοῦ ὑμῶν, ὃς ἐποίησε μεθ' ὑμῶν θαυμάσια· καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν
v. 27. αἰῶνα· καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι· καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ
οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ· καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου ἔτι εἰς τὸν αἰῶνα. ,, Ὁπόσα
τοίνυν ἐπεληλυθότες οἱ πολέμιοι τῶν προσηκόντων κατανάλωσαν διαφόρως τε καὶ ποικίλως·
εὔδηλον γὰρ ὅτι ἀκρίδα καὶ βροῦχον καὶ ἐρυσίβην καὶ κάμπην ταῦτα καλεῖ· ταῦτα ὑμῖν ἀπο-
καταστήσω, ὥστε ὑμᾶς πλουσίαν ἔχοντας τῶν δεδομένων τὴν ἀπόλαυσιν, ὀφειλομένους ἀποδι-
δόναι τῷ θεῷ τοὺς ὕμνους, ὑπὲρ ὧν δὴ μεγάλων καὶ θαυμαστῶν πεποίηκεν εἰς ὑμᾶς· ὡς
μηκέτι μὲν ὑμᾶς αἰσχύνεσθαι ἐφ' οἷς ἀβοήθητοι παρ' ἐμοῦ μεμενήκατε, τοσούτοις περιπε-
p. 125. πτωκότες κακοῖς· ἀκριβῆ δὲ δύνασθαι ὑμᾶς ἐξ αὐτῶν τῶν πραγμάτων λαβεῖν τὴν ἐπί-
γνωσιν, ὅτι ἐν ὑμῖν εἰμι· ἅτε καὶ δεσπότης ὑμῶν καὶ κηδεμὼν μόνος ὑπάρχων.
v. 28. " Καὶ ἔσται μετὰ ταῦτα ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφη-
τεύσουσιν οἱ υἱοὶ, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνυπνίοις ἐνυπνιασθή-
v. 29. σονται· καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται· καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας
v. 30. μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι· καὶ δώσω τέ-
v. 31. ρατα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μεταστρα-
φήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην
v. 32. καὶ ἐπιφανῆ· καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται· ὅτι ἐν τῷ ὄρει
Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καθότι εἶπε κύριος· καὶ εὐαγγελιζόμενοι
οὓς κύριος προσκέκληται. ,, Παρέξω δὴ πᾶσι φησὶ πλουσίαν τὴν κηδεμονίαν τὴν ἐμήν· τοῦτο
γὰρ λέγει τὸ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου· τὸ ἐπὶ τῆς παλαιᾶς διαθήκης πνεῦμα μὲν

rum fructus multa cum exuberantia illis obveniant. " Et reddam vobis annos quos comedit locusta, bruchus, et rubigo, et eruca: fortitudo mea magna quam misi ad vos. Et comedetis vescentes, et saturabimini, et laudabitis nomen Dei vestri, qui fecit mirabilia vobiscum: et non confundetur populus meus in sempiternum. Et cognoscetis quia in medio Israhelis ego sum: et ego dominus Deus vester, et non est alius praeter me. Et non confundetur ultra populus meus in sempiternum. ,, Quanta igitur de necessariis supervenientes hostes varie ac multifariam consumpserint (patet enim locustae nominibus, ac bruchi, et rubiginis, et erucae, hostes denotari) totidem ego restituam, ut sic vos lautum habentes datarum rerum usum, debitos retribuatis Deo hymnos, propter grandia ac mirabilia quae vestri causa patravit. Iamque vos diutius non erubescetis, quasi absque auxilio a me destituti, in eiusmodi aerumnas incurreritis: plenamque poteritis ex rebus ipsis notitiam capere, me inter vos versari, qui reapse dominus vester et tutor solus sum.

" Et erit post haec: effundam de Spiritu meo super omnem carnem: et prophetabunt filii vestri et filiae vestrae: senes vestri somnia somniabunt, et iuvenes vestri visiones videbunt. Sed et super servos meos et ancillas meas in diebus illis effundam de Spiritu meo. Et dabo prodigia in caelo et super terram, sanguinem et ignem et vaporem fumi. Sol convertetur in tenebras et luna in sanguinem, ante quam veniat dies Domini magnus et illustris. Et erit: omnis qui invocaverit nomen Domini, salvabitur; quia in monte Sione et in Hierusalem salvus erit, sicut dixit Dominus: et evangelizati quos Dominus vocaverit. ,, Praestabo cunctis, inquit, amplam tutelam meam: id enim denotant verba, effundam de Spiritu meo. Ceteroqui

ἅγιον μοναδικὸν ἐν ὑποστάσει κεχωρισμένως τῶν λοιπῶν, θεοῦ τε ὂν καὶ ἐκ θεοῦ οὐκ ἐπισταμένων (1)· πνεῦμα ἅγιον καὶ πᾶν ὅτι δή ποτε τοιοῦτο, τὴν χάριν αὐτοῦ καὶ τὴν κηδεμονίαν καὶ
τὴν διάθεσιν καλούντων· ὡς καὶ ψυχὴν ὅτ' ἂν ἐπὶ θεοῦ λέγῃ, τὰς νεομηνίας ὑμῶν καὶ τὰ p. 126.
σάββατα ὑμῶν μισεῖ ἡ ψυχή μου· τὴν διάθεσιν γὰρ λέγει καθ' ἣν ἐμίσει τὰς ἑορτάς· τοιοῦτόν ἐστι, τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· κηδόμενος γάρ μου, φησὶ, διὰ πολλὴν ἀγαθότητα παρέξεις ταῦτα· τοιοῦτόν ἐστι, τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ· ἵνα εἴπῃ τὴν περὶ ἐμὲ κηδεμονίαν μὴ ἀφέλῃς· καὶ ὅσα τοιαῦτα, ἵνα μὴ μηκύνωμεν εἰς οὐδὲν δέον τὴν γραφήν· τοιοῦτο δή τι κἀνταῦθα φησὶν, ὅτι οὕτω πλουσίαν τότε τὴν κηδεμονίαν ὑμῖν παρέξω τὴν ἐμὴν, ὥστε ἅπαντας ἀξιουμένους ὀπτασιῶν δύνασθαί τι καὶ περὶ τῶν ἐσομένων μηνύειν· ἐφ' ἅπασι δὲ ἐν οὐρανῷ τε καὶ ἐπὶ γῆς ἐργάσομαι θαυμαστὰ, φόνον πολὺν τῶν ἐναντίων, τήν τε κατ' αὐτῶν τιμωρίαν, καὶ δὴ καὶ ἀτμίδα καπνοῦ τὴν θείαν ὑπεμφαίνουσαν ὀργήν· μεταβληθήσονται δὲ καὶ ἥλιος εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα κατὰ τὴν τῶν ὁρώντων ὑπόνοιαν· ἣν διὰ τὸ μέγεθος τῶν ἐπιγινομένων αὐτοῖς ὑπομένουσι κακῶν· καὶ ταῦτα δὴ γενήσεται πρὸ τῆς ἡμέρας ἐκείνης, ἣν ἐπιφανῆ διὰ τῆς τῶν ἐναντίων ἐργάσεται τιμωρίας· ἐν οἷς ἅπασι τεύξονται τῆς σωτηρίας οἱ τὴν ὀνομασίαν ἐπικαλούμενοι τὴν θείαν· οἳ καὶ ἐπὶ τὸ ὄρος Σιὼν καὶ ἐπὶ τὴν Ἱερουσαλὴμ ἀναβήσονται σεσωσμένοι· ἐπειδὴ
ταῦτα ἐπηγγείλατο ὁ θεὸς, καὶ εὐαγγελίσασθαι δέδωκεν ἐκείνοις, ὁπόσους εἰς τὴν ἐπάνοδον p. 127.
προσκέκληκε ταύτην· ἡ μὲν δὴ πρόχειρος τῆς λέξεως ἔννοια αὕτη.

sub vetere testamento nesciebant homines Spiritum sanctum in persona propria distinctum a ceteris, Dei Spiritum, et ex Deo: sed Spiritum Dei, et Spiritum sanctum, et aliam quamlibet huiusmodi appellationem, pro Dei gratia et providentia atque affectu accipiebant: sicut animam quum ea de Deo dicitur; veluti, neomenias vestras et sabbata vestra odit anima mea; videlicet (animam) pro affectu dicit, quo sollemnitates oderat. Tale est et illud: Spiritus tuus bonus deducet me in terram rectam; curam quippe mei gerens, inquit, cum bonitate multa mihi haec praebebis. Item illud: Spiritum sanctum tuum ne auferas a me: id est, ne tuam a me providentiam submoveas: et quotquot sunt locutiones huiusmodi; ne scriptum nostrum absque ulla utilitate producamus. Sic etiam hoc loco ait: tam amplam vobis exhibebo tutelam meam, ut omnes visionum facti compotes, significare aliquid de rebus futuris queant. Praeter haec omnia vero, in caelo et super terram mirabilia faciam, multam hostium occidionem ac punitionem: immo et fumi vaporem, qui divinam praefigurat iram. Vertentur autem sol in tenebras, et luna in sanguinem, iuxta spectantium phantasiam, quam ob malorum gravitatem experientur. Atque haec evenient ante diem illum, quem hostium punitione reddet illustrem. Inter quae omnia, consequentur tamen salutem hi qui divinum nomen invocaverint: qui et in montem Sionem ac Hierusalem ascendent incolumes: quandoquidem haec Deus promisit, et nunciari concessit illis, quotquot ad hunc reditum vocavit. Atque hic est obvius locutionis huius sensus.

(1) Audacius dicere hoc videtur Mopsuestenus de Spiritu sancto, quasi ignoto prorsus cunctis sub lege Moysis hominibus; quamquam se aliquatenus mox corrigit, citata Petri apostoli concione. Controversiam hanc theologicam mira eruditione more suo pertractat summus Petavius de Trinitate lib. II. 7. prolatis in medium patrum plurimis testimoniis, quibus addendus videtur etiam Iosephus in hypomnestico lib. II. cap. 66. et 67. Nos vero de hac re iterum dicturi sumus ad Aggaeum atque ad Zachariam, ubi liberiorem hanc sententiam suam Mopsuestenus repetet.

* Act. II. 16. Ὁ δέ γε μακάριος αὐτῇ Πέτρος ἐχρήσατο πρὸς Ἰουδαίους διαλεγόμενος * ἐπὶ τῇ τοῦ ἁγίου πνεύματος καθόδῳ, μάλα εἰκότως· ἐπειδὴ σκιὰν μὲν ἁπάντων τῶν μελλόντων εἶχεν ὁ νόμος· κηδεμονίας δὲ ὁ λαὸς ἠξιοῦτο διὰ τὴν τῶν φανησομένων προσδοκίαν ἐν τῇ τοῦ δεσπότου Χριστοῦ παρουσίᾳ· καὶ ἦν τὰ μὲν ἐπ' ἐκείνων μικρὰ πάντα καὶ ὡς ἐν σκιᾷ γινόμενα· ὥστε καὶ ὑπερβολικῶς εἰρῆσθαι μᾶλλον ἢ τὰ πράγματα εἶχεν· ἡ δὲ τῶν εἰρημένων ἀλήθεια τὴν ἔκβασιν ἐφαίνετο ἐπὶ τοῦ δεσπότου λαμβάνουσα Χριστοῦ, ὁπηνίκα πάντα ἦν μεγάλα καὶ φόβου μεστὰ, καινά τε ὄντως καὶ παράδοξα, καὶ πλεῖστον ὅσον ὑπερβαίνοντα τὰ ἐν νόμῳ γινόμενα· ὡς αἰνίγματος μὲν τὰ ἐπὶ τῆς παλαιᾶς διαθήκης τάξιν ἐπέχειν, ἀληθείας δὲ εἶναι τῶν ἐπὶ τοῦ δεσπότου Χριστοῦ γινομένων τὸ μέγεθος· οὕτως ὁ μακάριος λέγει Δαυὶδ περὶ τοῦ λαοῦ, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδην, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν· ὅπερ οὐκ ἐπὶ τῶν πραγμάτων νοεῖσθαι δυνατὸν, μεταφορικῶς δὲ ἤτοι ὑπερβολικῶς λέγει, ὅτι ἐξήρθη κινδύνου ἢ διαφθορᾶς· ἡ δὲ τοῦ πράγματος ἀλήθεια τῶν εἰρημένων ὑπὸ τοῦ
p. 128. δεσπότου δείκνυται Χριστοῦ, ὅτε οὔτε τὴν ψυχὴν αὐτοῦ καταλειφθῆναι γέγονε εἰς ᾅδην ἀποκαταστᾶσαν τῷ σώματι διὰ τῆς ἀναστάσεως· οὔτε τὸ σῶμα διαφθορὰν τινὰ ὑπομεμένηκεν· ὡς μὴ μόνον ἐπὶ τοῦ οἰκείου μεῖναι σχήματος, ἐν ᾧ δὴ τετελεύτηκεν, ἀλλὰ γὰρ καὶ εἰς ἀθάνατον καὶ ἄφθαρτον μεταστῆναι φύσιν· ὡς εἶναι ἐκεῖνο μὲν αἴνιγμα, τοῦτο δὲ ἀλήθειαν· διόπερ ἐχρήσατο τῇ φωνῇ καὶ ὁ μακάριος Πέτρος, ὡς ἂν τότε μὲν κατά τινα αἰτίαν μεταφορικῶς εἰρημένῃ, νῦν δὲ ἀληθῆ τὴν ἔκβασιν ἐπ' αὐτῶν λαβούσῃ τῶν πραγμάτων· ὥστε καὶ πολλῷ πλέον δεῖν τοῖς νῦν πιστεύειν, ἢ τότε ἐθαύμαζον ἐκεῖνο.

Πολλῶν δὲ τοιούτων ὄντων ἐπὶ τῆς θείας γραφῆς, παρόμοιον προδήλως ἐστὶ καὶ τὸ παρόν· ὁ μὲν γὰρ δεσπότης θεὸς κατὰ τὴν τότε συνήθειαν Ἰουδαίοις διαλεγόμενος διὰ τοῦ

At enim beatus Petrus eam adhibuit Iudaeos alloquens, de sancti Spiritus descensu, iure admodum: namque umbra futurarum omnium rerum lex fuit: tum et populus Dei providentia dignus habebatur, propter eventuum expectationem in Christi domini adventu. Erantque res quidem illorum omnes exiguae, et tamquam in umbra contingentes, adeo ut quod ad illos adtinet, hyperbolice potius dicta fuerint, quam re ipsa se haberent. Sed dictorum veritatem exitum suum habuisse compertum est in Christo, quo tempore grandia omnia, et terrore plena, vereque nova et inexpectata fuere, et mirum quantum superiora iis quae in lege facta sunt: adeo ut res veteris testamenti, aenigmatis locum teneant; veritatis autem, rerum sub Christo actarum magnitudo. Sic beatus David de populo dicit, quod derelicta non fuerit anima eius in inferno, neque caro eiusdem viderit corruptionem: quod in rerum natura cogitari non potest; sed metaphorice sive hyperbolice dicit ereptum fuisse periculo corruptionis. Attamen dictarum rerum veritas in Christo domino apparuit, cuius neque animae derelinqui contigit in inferno, revocatae nimirum in corpus propter resurrectionem: neque corpus corruptionem ullam expertum est: ita ut non solum propriam retinuerit figuram, in qua mortuum fuerat, sed etiam in immortalem incorruptibilemque naturam translatum sit: ita ut vetera illa sint aenigma, Christus autem veritas. Quamobrem ea locutione usus est etiam beatus Petrus, quasi olim quidem quamdam ob causam metaphorice dicta fuerit, nunc autem verum exitum in ipsis rebus nacta sit: ut multo magis oporteat praesentibus credere, quam olim ea res admirationi erat.

Cum vero multa huiusmodi in divina scriptura ferantur, consimile hoc quoque manifeste est. Nam dominus Deus secundum veterem consuetudinem Iudaeos pro-

προφήτου, τὴν οἰκείαν αὐτοῖς παρέχεσθαι δαψιλῶς ἔλεγε κηδεμονίαν, καὶ τὰ ἑξῆς δὲ καθ'
ὃν ἡρμηνεύκαμεν τρόπον· ἐκβέβηκε δὲ ἅπαντα μετὰ τῆς ἀληθείας ἐπὶ τοῦ δεσπότου Χριστοῦ·
ὅτι καὶ ἥλιος ὄντως ἐσκοτίσθη, καὶ σελήνη δὲ σὺν ἐκείνῳ· καὶ μεγάλα μὲν ἐν οὐρανῷ, πολλὰ
δὲ ἐν τῇ γῇ γέγονε τέρατα· αἷμά τε ἀνεφάνη τοῦ δεσπότου Χριστοῦ τὸ σωτήριον· καὶ πῦρ κατὰ
τὴν ἰδέαν τοῦ φοιτήσαντος πνεύματος τὴν ἐνέργειαν μηνύον, ὅπερ οὖν καὶ ἀτμὶς προηγεῖτο
καπνοῦ, εἰς ἔλεγχον τῆς καταληψομένης τοὺς τὸν σταυρὸν τετολμηκότας τιμωρίας· τότε δὴ p. 129.
καὶ μετέσχον ἅπαντες τῆς τοῦ ἁγίου πνεύματος χάριτος, ποικίλων τε καὶ πολλῶν χαρισμάτων ἀξιωθέντες· ὧν οἱ μὲν προηγόρευον τὸ μέλλον, οἱ δὲ πλεῖστα ὅσα κατειργάζοντο εἰς πίστωσιν τε τοῦ μεγέθους τῶν γινομένων, καὶ εἰς ἔλεγχον τῆς δόξης τῆς περὶ τὸν δεσπότην Χριστόν· ὡς τοῦτο δὴ τὸ πάλαι διὰ τοῦ προφήτου μεταφορικῶς ἢ ὑπερβολικῶς εἰρημένον, πραγμάτων τὴν δεῖξιν, μετὰ τοῦ καὶ ἐλαττοῦσθαι τῶν πραγμάτων τὸν λόγον· ἡ μὲν οὖν αἰτία, εἴτε ταύτης τῆς φωνῆς, εἴτε καὶ τῶν λοιπῶν, ὁπόσας ἐφ' ἑτέρων εἰρημένας παρὰ τοῖς προφήταις, εἰς τὴν κατὰ τὸν δεσπότην Χριστὸν ἐξέλαβον οἰκονομίαν οἱ μακάριοι ἀπόστολοι, τοιαύτη τις
ἂν ὑποληφθείη * δικαίως· ὡς ἂν καὶ ἡ τῶν τότε πραγμάτων ἱστορία φαίνοιτο μὴ πεπλα- * cod. λειφθ.
σμένη, καὶ τῶν νῦν τὸ μέγεθος ἐκ παραθέσεως ἐκείνων ἐλέγχοιτο μᾶλλον· δεικνύοιτό τε ἀκριβῶς διὰ πάντων, ὅτι ἔστι μέν τις ἐκείνων οἰκειότης πρὸς ταῦτα· λείπεται δὲ ὅμως τοσοῦτον τῶν παρόντων τὰ προειληφότα, ὅσον σκιὰν λείπεσθαι σώματος ἀνάγκη, κἂν εἰ
προσήκειν αὐτῷ τι δοκοίη (1). Ὁ δέ γε προφήτης ἐπειδὴ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον p. 130.
διὰ τῶν προρρηθέντων ἐμήνυσεν, τά τε προσεσόμενα αὐτοῖς κατ' ἐκεῖνον τὸν καιρὸν ἀγαθὰ ποικίλως, ἀκολουθότατα, ἑξῆς ἐπάγει.

phetae ore adloquens, suam abunde praestiturum curam adfirmabat, et reliqua quomodo antea explanavimus: evenerunt autem vere omnia in Christo domino, quia et sol obtenebratus fuit, et luna cum illo: et grandia in caelo, multaque etiam in terra extiterunt prodigia: et salutaris sanguis Christi domini visus est: et ignis figura, advenientis Spiritus operationem significans, cui etiam praecessit fumi vapor, ob illam portendendam poenam quae audaces crucifixores correptura erat. Tunc sane participaverunt omnes sancti Spiritus gratiam, variis ac multis charismatibus digni sunt habiti: quorum alii praedicebant futura, alii plurima patrabant prodigia ob rerum gestarum confirmandam magnitudinem, et gloriam Christi domini ostentandam. Quo fit ut hoc olim a propheta metaphorice aut hyperbolice dictum, nunc manifestam habeat rerum ostensionem, ita tamen ut verba a rebus superentur. Causa igitur, cur sive hanc locutionem, sive reliquas, quotquot de aliis subiectis apud prophetas dictae sunt, de Christi domini incarnati mysterio beati apostoli intellexerint, causa inquam haec merito existimari potest. Atque ita nec veterum rerum historiam constat esse confictam; et praesentium magnitudo comparatione illarum magis arguitur: atque ex his omnibus accurate demonstratur, quamdam intercedere illarum cum his necessitudinem; sic tamen ut praeterita tantum a praesentibus superentur, quantum umbra a corpore debet, quamquam illa huic aliquantum congruat. Age vero, propheta postquam a Babylone reditum praedictis verbis portendit, nec non varia eventura per illud tempus Israhelitis bona, consentanee admodum ita pergit dicere.

(1) Dicit haec cum didascalica dignitate Theodorus; quae tamen merito omnibus non placuerunt, nempe quod prophetiae multae nonnisi secundum effectum, κατ' ἔκβασιν, ad res christianas spectaverint.

ΚΕΦ. Γ´.

v. 1. « Ὅτι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὡς ἂν ἐπιστρέψω τὴν
v. 2. αἰχμαλωσίαν Ἰούδα καὶ Ἱερουσαλήμ, συνάξω πάντα τὰ ἔθνη, καὶ κατάξω αὐτὰ εἰς τὴν
κοιλάδα Ἰωσαφάτ· καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου καὶ τῆς κληρονο-
v. 3. μίας μου Ἰσραὴλ, οἳ διεσπάρησαν ἐν τοῖς ἔθνεσι, καὶ τὴν γῆν μου καταδιείλοντο· καὶ ἐπὶ
τὸν λαόν μου ἔβαλον κλήρους· καὶ ἔδωκαν τὰ παιδάρια πόρναις, καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ οἴνου καὶ ἔπινον. » Λέγει δὲ τὰ μετὰ τὴν ἐπάνοδον ἐν τούτοις μελλόντων, τήν τε περὶ τὸν Γὼγ τὴν ἄνοδον, ἣν ποιήσονται μετὰ πολλοῦ πλήθους ὁρμήσαντες κατὰ τῆς Ἱερουσαλήμ, καὶ τὴν ἀπώλειαν ἣν ὑπὲρ τοῦ τολμήματος ὑπομένουσι τούτου· ἐπειδὰν γάρ φησιν ἐπαναγάγω ὑμᾶς ἐπὶ τὴν Ἱερουσαλήμ, συνελεύσεται μὲν πολλὰ πολλαχόθεν ἔθνη ἐφ᾽ ὑμᾶς· λέγει δὲ ὅτι συνάξω πάντα τὰ ἔθνη, οὐχ ὅτι αὐτοὺς ἄγει, ἀλλ᾽ ἐπειδὴ εἴασε αὐτοὺς τὴν πρόθεσιν εἰς ἔργον ἐκβαλεῖν τὴν οἰκείαν· ἐτιμωρήσατο δὲ ἐπικεχειρηκότας τῇ κατὰ τῶν Ἰσραηλιτῶν ἀνόδῳ· καὶ πεποιήκασι μὲν οὐδὲν ὧν ἐβούλοντο εἰς τοὺς Ἰουδαίους, φοβερὰν δὲ τινὰ καὶ παράδοξον
p. 131. ὑπομεμενήκασι τῇ τοῦ θεοῦ ῥοπῇ τὴν τιμωρίαν· διὰ τοῦτο αὐτὸς συναγαγεῖν πάντα τὰ ἔθνη
λέγει· τοῦτο βουλόμενος εἰπεῖν, ὅτι εἴασα αὐτοὺς τῇ μοχθηρᾷ ἑαυτῶν χρήσασθαι γνώμῃ, καὶ
ὁρμῆσαι κατὰ τῆς Ἱερουσαλήμ, ὡς ἂν αὐτόθι δίκας αὐτοὺς εἰσπραξάμενος, τῆς τε περὶ τὸν
* cod. ἑαυτοῦ. λαὸν κηδεμονίας καὶ τῆς ἐμαυτοῦ * δυνάμεως ἀπόδειξιν παράσχωμαι πᾶσιν. Εἰπὼν γοῦν
συνάξω πάντα τὰ ἔθνη, ἐπήγαγεν· καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφάτ· τουτέστιν ἐκεῖ αὐτοὺς ἄξω εἰς τὴν Ἱερουσαλήμ, καὶ αὐτόθι ὥσπερ τινὰ δίκην πρὸς αὐτοὺς ὑπὲρ τοῦ λαοῦ τοῦ ἐμοῦ συγκροτήσας τιμωρήσομαι δικαίως, ὑπὲρ ὧν κατ᾽ αὐτῶν διεπράξαντο, ἁπανταχοῦ τε αὐτοὺς διασπεῖραι βουληθέντες, καὶ διελέσθαι μὲν τὴν γῆν ἐν ἥπερ κατὰ γνώμην ᾤκουν

CAP. III.

" Quia ecce ego in diebus illis et tempore illo, cum convertero captivitatem Iudae et Hierusalem, congregabo omnes gentes, et deducam eas in vallem Iosaphat: et disceptabo cum eis ibi super populo meo, et hereditate mea Israhele, qui dispersi sunt in nationibus, quae regionem meam diviserunt: et super populum meum miserunt sortes, et tradiderunt pueros meretricibus, et puellas vendebant pro vino ut biberent. „ Significat quae Israhelitis post reditum erant eventura, Gogique incursionem, quam cum ingenti multitudine adversus Hierusalem faciet, et cladem quam ob hanc audaciam erat experturus. Nam postquam, inquit, reduxero vos Hierusalem, multae undique conspirabunt contra vos gentes. Dicit autem, congregabo omnes gentes, non quod ipse sit eas adducturus, sed quod iis permissurus propositum proprium exsequi. Et quidem illos puniit qui Israhelitarum reditui infesti fuerunt: neque tamen illi voluntati suae obsequi valuerunt contra Iudaeos, sed terribilem potius et insperatam a Dei viribus poenam retulerunt. Propterea dicit se congregasse omnes gentes, nempe dicere volens, sivisse ut sua perversa uterentur sententia, et contra Hierusalem impetum facerent, ut sumpto illic de iis supplicio, et tutelae erga populum, et suae potentiae specimen exhiberet. Iam postquam dixit, congregabo omnes gentes, addidit: et deducam eas in vallem Iosaphat, id est eo loco, inquit, agam eos adversus Hierusalem, ibidemque ultionem quasi concinnans pro populo meo, pro dignitate puniam, ob ipsorum facinora, quod nempe illum quaqueversus spargere voluerint, regionemque partiri in qua

τὴν ἐμὴν ἐμοὶ προσήκουσαν· διελέσθαι δὲ κλήρῳ καὶ αὐτοὺς ἐκείνους· τετολμήκασι δὲ πρὸς ἅπασι καὶ τοὺς ἐξ αὐτῶν εἴτε παῖδας εἴτε καὶ κόρας ἀποδίδοσθαι· ὡς ἂν δὴ ἐκείνων εἰς πόρνας τε τὴν οἰκείαν ἀκολασίαν ἐκπληροῖεν, καὶ πολλὴν ἔχοιεν τῆς μέθης τὴν ἀφθονίαν· ταῦτα τῶν περὶ τὸν Γὼγ ἕνεκεν εἰρηκὼς, ἐπάγει.

“ Καὶ τί ἐμοὶ καὶ ὑμῖν Τύρος καὶ Σιδὼν καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων; μὴ ἀνταπό- v. 4.
δομα ὑμεῖς ἀνταποδίδοτέ μοι, ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοί; ὀξέως καὶ ταχέως ἀντα-
ποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν· ἀνθ' ὧν τὸ ἀργύριόν ἐλάβετε, καὶ τὰ v. 5.
ἐπίλεκτα καὶ τὰ καλὰ εἰσηνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν· καὶ τοὺς υἱοὺς Ἰούδα καὶ τοὺς υἱοὺς v. 6. p. 132.
Ἱερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν·
ἰδοὺ ἐγὼ ἐξεγερῶ αὐτοὺς ἐκ τοῦ τόπου, οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ· καὶ ἀνταποδώσω τὸ ἀπό- v. 7.
δομα ὑμῶν εἰς τὰς κεφαλὰς ὑμῶν· καὶ ἀποδώσομαι τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας
ὑμῶν εἰς χεῖρας υἱῶν Ἰούδα· καὶ ἀποδώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν, εἰς ἔθνος μακρὰν v. 8.
ἀπέχον, ὅτι κύριος ἐλάλησεν. ,, Ἐπειδὴ γὰρ τοὺς περὶ τὸν Γὼγ ἐπιόντας ἑωρακότες τὴν Ἱερουσαλὴμ, Τύριοί τε καὶ Σιδώνιοι πάντες τε οἱ περίοικοι τῶν ἀλλοφύλων, καιρὸν ἔχειν ᾠήθησαν τοῦ παντελῶς ἀπολέσαι τοὺς Ἰσραηλίτας, μνησικακοῦντες αὐτοῖς ὑπὲρ ὧν πεπολεμήκασι τε πολλάκις, καὶ κεκρατήκασιν αὐτῶν διὰ τῆς θείας ῥοπῆς, τοῦτο λέγει, ὑμεῖς δὲ τίνος ἕνεκεν μνησικακοῦντες, καὶ καιρὸν εὑρόντες τοῦ τὰ δοκοῦντα διαπράξασθαι, τοιαῦτα κατὰ τῶν ἐμοὶ προσηκόντων τετολμήκατε; ἴστε γὰρ ὅτι ὀξέως ὑμῖν ἐπάξω τὴν ὑπὲρ τῆς γνώμης ταύτης τιμωρίαν, ἀνθ' ὧν ἅπαντα τὰ προσόντα τούτοις λαβόντες, εἰς τοὺς ναοὺς εἰσηνέγκατε τοὺς ὑμετέρους· ἔτι δὲ καὶ τοὺς υἱοὺς αὐτῶν διαπωλήσαντες, ἐλπίδι τοῦ πάντας αὐτοὺς
τῶν ὁρίων ἐκβαλεῖν τῶν οἰκείων· ὧν περ οὖν ὑμᾶς εἰσπράξομαι δίκας· ἀπαλλάξω γὰρ p. 133.
τούτους τῆς κατεχούσης αὐτοὺς ἀνάγκης· νῦν δὲ καὶ κρείττους ἐργάσομαι τῶν πολεμίων· ὥστε καὶ

meo iuri obnoxia habitabat, et ipsos simul incolas sortito dividere: per summum denique scelus illorum quoque pueros atque puellas in prostibulis ponere, ut suam explerent libidinem, multamque haberent pergraecandi copiam. His circa Gogum dictis, pergit porro.

“ Verum quid mihi et tibi ac toti alienigenarum Galilaeae? Numquid ultionem vos retribuetis mihi? aut iram in corde retinetis adversus me? Cito velociterque reddam vicissitudinem vobis super capita vestra; pro eo quod argentum meum aurumque cepistis, et selecta quaeque ac pulcra in delubra vestra intulistis, et Iudae filios filiosque Hierusalem vendidistis filiis Graecorum, ut eiiceretis eos de finibus suis. Ecce ego suscitabo eos de loco, in quo vendidistis eos: et convertam retributionem vestram in capita vestra: et vendam filios vestras ac filias vestras in manus filiorum Iudae: vendentque eos in captivitatem genti longinquae; quoniam Dominus locutus est. ,, Quandoquidem Gogi exercituum adversus Hierusalem visa incursione, Tyrii Sidoniique et omnes finitimi alienigenae, idoneum tempus oblatum sibi existimaverant perdendi funditus Israhelitas, quibus clam irascebantur, propter bella secum gesta, et illorum Deo adiuvante victorias; idcirco ait: vos autem cur irae tenaces, et occasionem nacti voluntatem vestram explendi, cur inquam contra mei iuris populum audaciam sumitis? Certe velim sciatis, me cito vestrum hoc consilium puniturum; propterea quod illorum opes cunctas capientes, in templa vestra contulistis: insuper et ipsorum filios vendidistis, non sine spe populum universum finibus suis expellendi: cuius facinoris mihi poenas dabitis: namque illos ex angustiarum suarum pressura expediam, immo et hostium nunc victores efficiam:

ὑμῖν ἀποδοῦναι, ἀνθ' ὧν εἰς αὐτοὺς τετολμήκατε, λαβεῖν τούς τε υἱοὺς ὑμῶν καὶ τὰς θυγα-
τέρας αἰχμαλώτους· καὶ δὴ καὶ ἀποδόσθαι αὐτοὺς μακρὰν που, ὅθεν οὐδὲ δυνατὸν ὑμῖν
αὐτοὺς ἀνασώσασθαι ἔτι. Ταῦτα πρὸς τοὺς Τυρίους τε καὶ Σιδωνίους καὶ τοὺς περιοικοῦντας
ἅπαντας παρενθεὶς, ὡς ἂν κατ' ἐκεῖνον τὸν καιρὸν ἐπικεχειρηκότας συμπρᾶξαι τοῖς ἀμφὶ
τὸν Γὼγ ἐπὶ τῇ κατὰ τῶν Ἰουδαίων ἀπωλείᾳ, ἔχεται τῆς οἰκείας ἀκολουθίας, καί φησι.

v. 9. “ Κηρύξατε ταῦτα ἐν τοῖς ἔθνεσιν· ἁγιάσατε πόλεμον· ἐξεγείρατε τοὺς μαχητάς·
v. 10. προσαγάγετε καὶ ἀναβαίνετε πάντες ἄνδρες πολεμισταί· συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς
ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας· ὁ ἀδύνατος λεγέτω ὅτι ἰσχύω ἐγώ· συν-
v. 11. αθροίζεσθε καὶ εἰσπορεύεσθε πάντα τὰ ἔθνη κυκλόθεν, καὶ συνάχθητε ἐκεῖ· ὁ πρᾶος ἔσται
πολεμιστής. ,, Ὡς γὰρ εἶπεν ἀνωτέρω ὅτι συνάξω αὐτοὺς διὰ τὴν προῤῥηθεῖσαν αἰτίαν,
οὕτω κἀνταῦθα ὡς ἂν αὐτὸς αὐτοῖς ἐγκελευόμενος· ἅπαντες δή φησιν ὁπόσοι ταύτην ἔχετε
τὴν γνώμην κατὰ τῶν ἐμοὶ προσηκόντων, μετὰ πολλῆς μὲν συνάχθητε τῆς σπουδῆς· συγκρο-
p. 134. τήσατε δὲ πρὸς αὐτοὺς πόλεμον· καὶ δὴ καὶ τὰ τῆς γεωργίας ὄργανα εἰς ὅπλων μετάθετε
χρῆσιν, ὡς ἂν ἀρκοῦντα μὲν ἔχοιτε τὰ ὅπλα τῷ πλήθει τῶν ἐπιόντων· διὰ πλειόνων εὔ-
κολον ὑμῖν εἴη, καθὰ προῄρησθε, πάντων ἐργάσασθαι τῶν Ἰσραηλιτῶν τὴν ἀπώλειαν.
v. 12. Εἶτα τοῦ διεγεῖραι πρὸς τὸν πόλεμον αὐτοὺς τὴν αἰτίαν λέγων. “ Ἐξεγειρέσθω καὶ ἀναβαι-
νέτω πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, ὅτι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ
ἔθνη κυκλόθεν. ,, Πᾶσι γὰρ ὑμῖν κατὰ ταυτὸν συνελθεῖν βουλομένοις κατὰ τῶν τὴν Ἱερουσαλὴμ
οἰκούντων, ἐπιτρέπω τοῦτο ποιεῖν· ὡς ἂν αὐτόθι δίκας ὑμᾶς εἰσπραξαίμην τοῦ τε τολμήμα-
τος καὶ τῆς ἐπιχειρήσεως ταύτης, ἅπαντας πανταχόθεν ποικίλοις ἀνελὼν θανάτοις. Τί οὖν;
v. 13. “ Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκεν ὁ τρυγητός· εἰσπορεύεσθε, πατεῖτε, διότι
πλήρης ἡ ληνὸς, ὑπερχεῖται τὰ ὑπολήνια· ὅτι ἐπληθύνθη τὰ κακὰ αὐτῶν. ,, Τοσοῦτος

ut sic vos remunerer pro vestris adversus eos facinoribus; filiique vestri ac filiae in servitutem rapiantur, ac procul divendantur, unde eos recuperare sit vobis impossibile. His veluti vaticicinio suo interpositis circa Tyrios ac Sidonios, cunctosque finitimos, qui per illud tempus Gogo ad Iudaeorum perniciem faverant, sermonis sui seriem prosequitur sic.

“ Praedicate haec in gentibus, sanctificate bellum, suscitate pugnatores, accedite et ascendite omnes bellatores: concidite aratra vestra in gladios, et falces vestras in lanceas: infirmus dicat, fortis ego sum: congregemini et venite omnes gentes de circuitu, et illuc coacervemini: qui mansuetus erat, fiat bellator. ,, Sicut antea dixerat, se illos ob praedictam causam collecturum, ita nunc more imperantis idem eisdem dicit. Cuncti, inquit, qui hac mente estis adversus meos, multa cum festinatione congregemini, bellum contra hos conflate, et ipsa agriculturae instrumenta ad armorum usum accommodate, ut sufficientem multitudini militum armorum copiam habeatis. Sic aucto numero, facile vobis erit, prout vultis, Israhelitarum omnium excidium perpetrare. Deinde causam exponens, ob quam illos ad bellum suscitaverit “ consurgant, inquit, et ascendant omnes gentes in vallem Iosaphat, quia ibi sedebo ut iudicem omnes gentes in circuitu. ,, Omnes vos, qui simul vultis adversus Hierusalem incolas proeliari, id ego ut agatis sinam; quia illic poenas de audacia et facinore isto sumam, omnes quaqueversus variis mortibus absumens. Quid ergo?

“ Mittite falces, quoniam adest vindemia: introite, calcate, quia plenum est torcular, redundant supposita solia. ,, Tanta erit illorum occidio, tantaque strages

γὰρ ἔσται φόνος αὐτῶν καὶ τοσαύτη στάσις πάντων αὐτῶν κατ᾽ ἀλλήλων ὁπλιζομένων, ὥστε
τοῖς τὴν Ἰουδαίαν οἰκοῦσιν ὑμῖν μὴ πολέμου δεῖν· ἀλλὰ γὰρ οἴεσθαι τρυγητόν τινα παρεῖναι,
ἐν ᾧπερ δρεπάνων χρεία· δὲ καὶ τῶν πατούντων τὴν ληνόν, ὡς ἂν ἐκθλιβόμενος οἶνος
ἐκρέῃ· τοιοῦτο γὰρ δή τι καὶ νῦν γίγνεται· ἐπειδὴ γὰρ ὁ πόλεμος τῇ δυνάμει κατορθοῦται p. 135.
ἐμῇ, καὶ πάντες ἔκκεινται ταῖς σφαγαῖς, ὑμᾶς χρὴ παρόντας ὁρᾶν τρυγητοῦ μὲν δίκην ὥσπερ
τινας βότρυας τεμνομένους τε, καὶ ἐπ᾽ ἀλλήλοις πίπτοντας ταῖς σφαγαῖς· καθ᾽ ὁμοιότητα δὲ
ληνοῦ πατουμένης ὑπορρεόμενον τὸ τῶν ἀναιρουμένων αἷμα· οὕτως αὐτῶν τὰ κακὰ πληθυν-
θήσεται, καὶ τοσοῦτος αὐτῶν ὁ φόνος γενήσεται, οὐχ ὑμῶν πολεμούντων, ἀλλ᾽ ἐκείνων εἰς
ἀλλήλους τὰς οἰκείας τρεπόντων δεξιάς, κατὰ τὸ δοκοῦν ἐμοί. Εἶτα καὶ τὰ ἑξῆς ἀκολούθως λέγει.
“ Ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς ἡμέρα κυρίου ἐν τῇ κοιλάδι v. 14.
τῆς δίκης. ,, Φοβεροὶ γὰρ ἦχοί τινες ἐκ τοῦ πλήθους τῶν ἀναιρουμένων ἐπὶ τῆς κοιλάδος
γενήσονται ταύτης, ἐν ᾗ δὴ τὰς δίκας αὐτοὺς εἰσπράξομαι τοῦ καθ᾽ ὑμῶν τολμήματος·
κοιλάδα γὰρ δίκης τὴν τοῦ Ἰωσαφὰτ ἐκάλεσεν, ἀπὸ τῆς τιμωρίας τῆς αὐτόθι μελλούσης
ἐπάγεσθαι ἐκείνοις παρὰ τοῦ θεοῦ. “ Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ οἱ ἀστέρες v. 15.
δύσουσι τὸ φέγγος αὐτῶν. ,, Ἀκολούθως εἶπεν, ὅτι τοῖς ἀναιρουμένοις οὐκ ἔσται φῶς· ὅπως
δὴ ταῦτα γενήσεται δηλῶν, ἐπάγει. “ Ὁ δὲ κύριος ἀνακράξεται ἐκ Σιών· ἀνακράξεται, v. 16.
καὶ ἐκ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὁ δὲ κύριος φείσε-
ται τοῦ λαοῦ αὐτοῦ· καὶ ἐνισχύσει κύριος τοὺς υἱοὺς Ἰσραήλ· καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ v. 17. p. 136.
θεὸς ὑμῶν, κατασκηνῶν ἐν Σιὼν ἐν ὄρει ἁγίῳ μου. ,, Αὐτὸς γάρ φησιν ὁ θεὸς ὁ ἐν Σιὼν
προσάγεσθαι τὴν νόμιμον θεραπείαν τάξας ἑαυτοῦ, μεγάλην κατ᾽ αὐτῶν ἀφήσει τὴν φωνήν·
ἀφ᾽ ἧς δὴ μικροῦ καὶ οὐρανὸς δόξει συσσείεσθαι, καὶ γῆ ἐκ τοῦ παραδόξου τῶν γινομένων, καὶ
τῆς τοσαύτης σφαγῆς οὕτω παραδόξως ἐκτελουμένης, ἣν ποιήσεται θεός, τῶν οἰκείων φειδό-

hostium in mutuam caedem arma vertentium, ut vobis Iudaeae incolis pugnare non sit necessarium: vindemiam quandam instare putetis, cui recidendae falcibus opus est: item opus erit calcantibus torculare, ut expressum vinum effluat: nam et nunc simile quid fieri contingit. Quia enim bellum potentia mea feliciter geritur, et omnes caedibus contraduntur, vos quidem spectaculo adesse decet, spectantes tamquam in vindemia racemorum instar veluti caesos, et mutuis stragibus humi prostratos, et quasi de torculari calcato effluentem occisorum sanguinem. Sic eorum mala cumulabuntur; tantaque fiet ipsorum occidio, haud pugnantibus vobis, sed illis contra se mutuo dextras vertentibus. Deinde et reliqua consentaneo tenore prosequitur.

“ Sonitus exauditi sunt in valle iudicii, quia prope est dies Domini in valle iudicii. ,, Nam sonitus quidam terribiles ex occisorum in hac valle multitudine fient, in qua poenas ab eis reposcam sui contra vos ausus. Etenim iudicii vallem dicit Iosaphati vallem, a poena quae illic a Deo hostibus imponenda erat. “ Sol et luna simul obscurabuntur, et stellae retrahent splendorem suum. ,, Non incongrue dicit, occisis lumen defuturum. Quomodo autem haec fient declarans, ait: “ Dominus autem de Sione clamabit; clamabit et ex Hierusalem dabit vocem suam: et caelum ac terra concutientur. Dominus autem parcet populo suo, et roborabit Dominus filios Israhelis. Et scietis quia ego dominus Deus vester, habitans in Sione in monte sancto meo. ,, Ipse, inquit, Dominus, qui sibi in Sione legitimum cultum exhiberi constituit, magnam adversus hostes vocem emittet, a qua caelum ac terra quassari propemodum videbuntur, ob eventuum mirabilitatem, tantamque stragem

μένος, καὶ ἰσχυροὺς αὐτοὺς κατὰ τῶν ἐναντίων ἀποδεικνύς· ὡς ἂν ἅπασι γένοιτο δῆλον, ὅτι ὄντως
ἐστὶ δὴ θεὸς τῶν ἁπάντων, καὶ κύριος ὁ ἐν τῷ ὄρει τῷ Σιὼν θεραπεύεσθαι εἰωθώς.

v. 18. “ Καὶ ἔσται Ἱερουσαλὴμ ἁγία· καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐτῆς οὐκέτι· καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη γλυκασμόν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα· καὶ
πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα· καὶ πηγὴ ἐξ οἴκου κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ
τὸν χειμάρρουν τῶν σχοίνων. „ Ἡ μὲν γὰρ Ἱερουσαλὴμ ἁγία ἐξ αὐτῶν φανήσεται τῶν πραγ-
μάτων, οὐδενὸς ἐπιβαίνειν αὐτῇ ἀλλοφύλου τολμῶντος ἔτι· ἅπασι δὲ Ἰουδαίοις ἐπὶ τῆς γῆς οἰ-
κοῦσι τῆς ἐπαγγελίας πολλή τις ἀφθονία τῶν ἀγαθῶν ἔσται, ὡς καὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς
καρποὺς δὴ πολλούς τινας καὶ ποικίλους παρέχειν αὐτοῖς· τάς πηγάς τε συνήθως τῶν οἰκείων
p. 137. ὑδάτων παρέχειν τὸν πλοῦτον, αἱ εἰωθυῖαι ἐκ τοῦ ναοῦ τοῦ θείου χορηγεῖσθαι δωρεαί, καὶ πηγάζειν
ἄφθονον τῶν ἀγαθῶν τὸν πλοῦτον τοῖς αὐτόθι τε εἰσιοῦσι, καὶ τὰ καθήκοντα τῷ θεῷ πληροῦν
ἐσπουδακόσι· ταύτην γὰρ λέγει πηγὴν ἐξ οἴκου κυρίου ἐξελεύσεσθαι· τοσαύτη τις ἔσται ὥστε
v. 19. ἄχρι καὶ τῶν πόρρωθεν τὴν φιλοτιμίαν ἐκτείνειν. Εἶτα εἰπὼν ὅτι καὶ “ Αἴγυπτος ἀφανισθήσεται,
καὶ ἡ Ἰδουμαία δὲ σὺν ἐκείνῃ, ὑπὲρ ὧν πεπράχασί τε καθ' ὑμῶν, καὶ πολλοὺς ὑμῶν ἀδί-
v. 20. κως ἀνεῖλον· „ ἐπάγει. “ Ἡ δὲ Ἰουδαία ἐν βεβαίῳ τῆς οἰκείας εὐπραγίας ἔσται οἰκουμένη
v. 21. ἐν τῇ Ἱερουσαλὴμ ὑπὸ τῶν οἰκείων. „ Οἷς προστίθησι. “ Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν,
καὶ οὐ μὴ ἀθωώσω· καὶ κύριος κατασκηνώσει ἐν Σιών. „ Ἵνα εἴπῃ, τούς τε ἐπιχειροῦντας
τι κατ' αὐτῶν ἔτι τιμωρίαις περιβαλῶ ταῖς ἐσχάταις· διαμενῶ τε ἐν αὐτοῖς δεικνὺς ἐμαυ-
τὸν τῇ λοιπῇ διὰ τῆς ἀπορρήτου κηδεμονίας, ἣν πολλήν τινα παρέχων αὐτοῖς εἰς τὸν ἔπειτα
διατελέσω χρόνον.

tam inopinate editam, Dei opera, interim suis parcentis, fortesque in conspectu hostium ostendentis: ut omnibus manifestum fiat, ipsum vere Deum esse universalem, et dominum illum in Sione monte coli solitum.

“ Et erit Hierusalem sancta, et alienigenae non transibunt per eam amplius. Et erit die illa, stillabunt montes dulcedinem, et colles fluent lacte, et omnes emissiones Iudae fluent aquis: et fons de domo Domini egredietur, et irrigabit torrentem funiculorum. „ Sanctam esse Hierusalem ex rebus ipsis gestis constabit, nemine abhinc alienigena ad illam ascendere audente. Cunctis autem Iudaeis promissam terram incolentibus bonorum ubertas erit, quia et montes et colles multos ipsis ac varios fructus praebebunt: fontes item consuetam aquarum suarum copiam suppeditabunt; solita dicens ex Dei templo dona erogari, et indidem effluentes uberes bonorum divitias accedentibus illuc, et debita Deo officia complere satagentibus. Hic est enim qui a propheta dicitur de domo Domini fons egressurus. Hic inquam tantus erit, ut usque ad longinquos copiam suam extensurus sit. Mox postquam dixit: “ et Aegyptus desolabitur, et Idumaea similiter ob sua contra vos facinora, et propter multos ex vobis contra fas interfectos „ addit: “ et Iudaea in sua firma felicitate habitabitur a propriis incolis in Hierusalem. „ Quibus superaddit: “ et requiram sanguinem eorum, quem inultum esse non sinam. Et Dominus habitabit in Sione. „ Quasi dicat: quotquot adversus Israhelitas aliquid adgressi fuerint, supremis adficiam suppliciis. Et permanebo cum istis, praesentiam meam arcana providentia demonstrans, quam copiosam in omne aevum abhinc eisdem praestabo.

ΕΡΜΗΝΕΙΑ ΑΜΩΣ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Πρόδηλον μὲν οὖν ὅτι καὶ μακάριος Ἀμὼς ὁ προφήτης, ὃν ἑρμηνεύειν θεοῦ χάριτι
πρόκειται νῦν ἡμῖν, περὶ τῶν τῷ λαῷ συμβησομένων διὰ πάσης μικροῦ τῆς προφητείας p. 138.
λέγει, ἅ τε παρὰ τῶν Ἀσσυρίων πείσονται πρότερον αἱ δέκα φυλαὶ μηνύων, καὶ ἃ περὶ
τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰούδα φυλὴν, εἴτ' οὖν τοῖς λοιποῖς τοῖς τῆς βασιλείας ἐκείνης, ὑπὸ
τῶν Βαβυλωνίων γίγνεσθαι ἤμελλεν· τούτου δὲ λόγος ἦν τοῖς προφήταις οὐχ ἁπλῶς, ἀλλ'
ἐπειδὴ πᾶσαν τὴν περὶ τὸν λαὸν ἐπιμέλειαν ὑπὲρ τῆς τοῦ δεσπότου Χριστοῦ δείξεως ὁ θεὸς
ἐποιεῖτο, ἐπὶ κοινῇ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ κατὰ τὸν οἰκεῖον γενησομένης καιρόν· τούτου
γὰρ ἕνεκεν αὐτοὺς καὶ ἀφώρισε τῶν ἐθνῶν, καὶ περιτομῇ διέκρινε, καὶ οἰκείαν ἔχειν παρεσκεύασε
χώραν, καὶ ἀφωρισμένως ἐν τῷ ὄρει τῷ Σιὼν διὰ τῆς νομικῆς διατάξεως, τὴν περὶ αὐτὸν
προσέταξε ποιεῖσθαι θεραπείαν, ἵν' ἐκ τοιούτων κατὰ τὰς προφητικὰς μηνύσεις, καὶ τὴν ἄνω-
θεν ἐπὶ τούτοις περὶ τὸν λαὸν γεγενημένην διάταξιν, φανεὶς ὁ δεσπότης Χριστὸς, δῆλον
ἅπασιν ἐργάσηται τοῖς ἀνθρώποις, ὅτι οὐχ ὕστερον ἐκαινοτόμησεν ὁ θεὸς τὴν ἁπάντων ἀν-
θρώπων σωτηρίαν, ἀλλ' ἄνωθεν καὶ πρὸ μακρῶν τῶν χρόνων τοῦτο προωρισμένον κατὰ τὸν
μακάριον Παῦλον * ἔχων παρ' ἑαυτῷ, ἐξελέξατο μὲν τὸν Ἀβραάμ, συνέστησε δὲ τὸ ἐξ * Rom. I. 2.
ἐκείνου γένος, ἐπιμέλειαν δὲ αὐτοῦ καθ' ὃν εἰρήκαμεν πεποίηται τρόπον· ἵν' ἐξ αὐτῶν ὕστε-
ρον ὁ δεσπότης Χριστὸς τὸ κατὰ σάρκα ἐπὶ τῇ πάντων ἀνθρώπων φανεὶς σωτηρίᾳ, δῆλος p. 139.
ὑπάρχῃ κατὰ τὸν ἄνωθεν ὁρισμὸν ἐπὶ τὴν οἰκονομίαν παρεληλυθώς.

Ὑπὲρ δὴ τούτου καὶ μετοικισθῆναι τὸν λαὸν διὰ τῆς αἰχμαλωσίας παρεσκεύασεν ὅλον, καὶ ἐπανήγαγεν ἐξ αὐτῶν οὓς ἐβούλετο, ὧν περ οὖν ἡγεῖτο ἡ Ἰούδα φυλὴ μόνη, ἡ πᾶσα τὴν

IN AMOSUM PROPHETAM COMMENTARIUS.

Perspicuum est, beatum quoque Amosum prophetam, ad quem interpretandum Deo favente nunc adgredimur, de futuris populi (hebraei) casibus per universam fere prophetiam loqui: ea scilicet innuere, quae primo ab Assyriis passurae erant decem tribus mala; tum etiam illa quae Hierosolymis, Iudaeque tribui, ceterisque regni eius partibus a Babyloniis eventura erant. De his autem rebus non sine causa prophetae verba faciebant, sed quia Deus curam eximiam populi gerebat, propterea quod Christus dominus ad communem omnium hominum peragendam salutem suo tempore adventurus erat. Idcirco Hebraeos Deus ab ethnicis separavit, et circumcisione distinxit, et propriam habere voluit regionem, seorsumque in Sion monte ex legitima forma religiosum sibi ab eis cultum exhiberi mandavit. Sic enim futurum erat, ut secundum propheticas promissiones atque olim ordinatam conguenter his vaticiniis populi administrationem, Christus dominus in orbem veniens cunctos mortales certiores faceret, haud nuper demum de salute hominum procuranda Deum cogitavisse; sed quum antiquitus longisque ante temporibus id apud se, teste beato Paulo, habuisset decretum, segregavisse sibi Abrahamum, ex eoque gentem conflasse; curamque huius sicuti iam dictum est, gessisse; ut ex hoc postea genere Christus dominus secundum carnem pro communi apparens salute, manifeste videretur secundum vetera decreta ad redemptionis opus venisse.

Propterea quoque populum universum in captivitatem abducendum curavit Deus, ex eaque revocandam partem populi quam ipse voluit, cuius deinde prin-

ἐπάνοδον δεξαμένη, ἐπειδήπερ ἐξ αὐτῆς ἤμελλεν ἀναφαίνεσθαι τὸ κατὰ σάρκα ὁ δεσπότης Χριστός· τῶν λοιπῶν γάρ τοι φυλῶν ἀφ' ἑκάστης ἑπόμενοι ταύτῃ, συνανῆλθον ὀλίγοι· ἵνα διὰ μὲν τῆς γεγενημένης αἰχμαλωσίας καὶ τῆς ἐπανόδου τοῦτον ἀποτελεσθείσης τὸν τρόπον, δῆλος γένηται τῆς περὶ τὸν λαὸν ἐπιμελείας ὁ σκοπὸς τοῦ θεοῦ, ὑπὲρ τοῦ φανησομένου γε ἐξ αὐτῶν ἐπὶ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ, πάντα ποιοῦντος· ὥστε δὲ μὴ εἰς ἀπόγνωσιν παντελῆ καταστάντας ἐπιμιγῆναι τοῖς ἔθνεσι τὴν αἰχμαλωσίαν ὑπομεμενηκότας ἐκείνην, χώραν δὲ μηκέτι μήτε τὴν ἐπάνοδον ἔχειν, μήτε τὸν ἀπὸ τῶν λοιπῶν ἐθνῶν χωρισμόν, ἄνωθεν διὰ τῶν προφητῶν καὶ τὴν αἰχμαλωσίαν ἐσομένην ἐμήνυσε καὶ τὴν ἐπάνοδον ἐπ' ἐκείνῃ· ἵνα ταῖς ἐλπίσι κρατούμενοι ταύταις, καὶ μετὰ τὴν συμβᾶσαν αἰχμαλωσίαν τὴν ἐπάνοδον ἀναμένωσιν· ὅπερ οὖν καὶ γέγονε καθ' ὃν ἔφαμέν τε τρόπον, καὶ ὑπὲρ ἧς εἰρήκαμεν αἰτίας.
p. 140. Διὰ τοῦτο πάλαι μὲν καὶ πρόπαλαι τῷ μακαρίῳ Δαυὶδ εἴρητο ταῦτα διὰ πολλῶν τῶν ψαλμῶν· ἐγγίζοντος δὲ τοῦ καιροῦ τῶν πραγμάτων, τοὺς προφήτας ἀνέδειξεν ἡ θεία χάρις, νῦν μὲν ἐφεστῶτα τῶν ἀσσυρίων μηνύοντας τὰ κακά, αὖθις δὲ ἐπ' ἐκείνοις τὰ παρὰ βαβυλωνίων ἐσόμενα δηλοῦντας· ἐφ' ἅπασι τε λέγοντας τὴν ἐπάνοδον, ἕτερά τε ὁπόσα τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον γεγονότων μηνύεσθαι προσῆκον ἦν· ἐπεὶ δὲ ἡ τῶν προτέρων ἔκβασις ἀκολούθως ταῖς προῤῥήσεσι γιγνομένη, πίστις ἦν τῶν μετὰ ταῦτα προειρημένων τε, κατὰ τὴν πρόῤῥησιν ὡς εἰκὸς ἐσομένων.

Ἐντεῦθεν ἅπαντες τά τε παρὰ τῶν βαβυλωνίων γεγονότα φασίν· ἐπειδὴ κἂν εἰ διῃρημένας τὰς ἐφόδους ταύτας γενέσθαι συνέβη, πρότερον μὲν ἀσσυρίων ἐπεληλυθότων, βαβυλωνίων δὲ ὕστερον, τῶν τε πραγμάτων καιρός τις γέγονεν ἐν μέσῳ, ἀλλὰ μία γε ἦν ἡ παντελὴς αἰχμαλωσία ἀρξαμένη μὲν ἀπὸ τῶν ἀσσυρίων περὶ τὰς δέκα φυλάς, περαιωθεῖσα δὲ περὶ τὰς ὑπολοίπους, αἳ τῆς Ἰούδα βασιλείας ἐτύγχανον, ἐπὶ τῆς βαβυλωνίων

cipatum sola tenuit Iudae tribus, quae universa reditu digna fuit, quoniam ex ipsa orturus erat cum carne Christus dominus: nam de reliquis tribubus pauci e singulis redierunt. Sic enim tum e captivitate tum e reditu hac ratione curato patefaciendus erat divinae circa populum providentiae scopus, haec omnia satagentis propter inde venturum universalis salutis auctorem Christum. Ergo ne Iudaei captivitatem illam perpessi, spe omni deposita, confunderentur gentibus; sibique patriam, aut reditum ad illam, haud iam superesse crederent; neve suae ab ethnicis secretionis obliviscerentur; olim ore prophetarum tum futuram captivitatem significavit Deus, tum ex eadem postliminium: ut hac spe retenti, ubi accidisset captivitas, reditum expectarent, qui reapse eo quem diximus modo ac suprascriptam ob causam contigit. Quamobrem olim et iamdiu haec a beato Davide compluribus in psalmis dicta fuerant: propinquante autem gerendarum rerum tempore prophetas misit divinus favor, nunc quidem impendentia ab Assyriis praecinentes mala, mox autem babylonicam superventuram Iudaeis calamitatem significantes: post haec omnia tamen spondentes reditum; nihilque eorum, quae per id tempus scire commodum erat, reticentes. Porro rerum superiorum exitus prognosticis consentaneus, fidem faciebat fore ut postea quoque praedicta, sine dubio ad vaticinii normam evaderent.

Hinc fit ut prophetae cuncti et res assyriacas et subsecutas mox babylonicas loquantur: nam etsi hae diversae fuerunt incursiones, Assyriis primo, deinde Babyloniis expeditionem facientibus; hisque eventibus aliquantum temporis spatium interpositum fuit, nihilominus una fuit universalis captivitas, orsa ab Assyriis con-

πολιορκίας· τούτου μὲν οὖν ἕνεκεν οἵ τε λοιποὶ ταῦτα μηνύουσι, καὶ περὶ ταῦτα τὴν πᾶσαν
εἶχον τοῦ λόγου σχολήν· πλὴν ὅσα βραχέα οὐ πολύ γε τούτων ἀπεσπασμένα προσετίθεσαν p. 141.
τοῖς λεγομένοις· πεποίηκε δέ τι τοιοῦτο καὶ ὁ παρὼν προφήτης, τὴν μὲν προφητείαν ἅπα-
σαν ἐν τοῖς περί τε τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν ἐσομένοις παρά τε ἀσσυρίων καὶ βαβυλω-
νίων πεποιημένος προδήλως· ἐν βραχέσι δὲ κατὰ τὸ προοίμιον ἐπιμνησθεὶς καὶ τῶν ὅσα περὶ
τοὺς περιοίκους πολλὴν τοῖς ἰσραηλίταις τὴν ἐπήρειαν, κατὰ τὸν αὐτὸν ἤμελλεν γίνεσθαι και-
ρόν· ὡς ἂν δῆλον ποιήσειεν, ὅτι οὐκ ἀφειδίᾳ τινὶ καὶ ἀμελείᾳ καὶ μεταβολῇ γνώμης τοῖς τε
τῶν ἀσσυρίων καὶ τοῖς τῶν βαβυλωνίων ἐκδέδωκε συμφοραῖς τὸν λαόν, ἐπανορθώσασθαι δὲ
αὐτῶν τὰς ἀσεβείας βουλόμενος· ὅς γε καὶ τῶν περιοίκων τοὺς ἡμαρτηκότας εἰς αὐτοὺς κατὰ
τὸν αὐτὸν ἐτιμωρήσατο χρόνον· οὐκ ἄν ποτε δίκας ὑπὲρ τούτων εἰσπραξάμενος ἐκείνους, εἰ
μὴ πλεῖστόν τινα τούτων ἐποιεῖτο τὸν λόγον· ἀλλ' ἐν μὲν τῇ τῶν ἠδικηκότων τιμωρίᾳ τὴν περὶ
τούτους ἐδείκνυ κηδεμονίαν· τὰ δὲ περὶ τούτους αὐτοὺς κακὰ δῆλος γέγονεν ἐπάγων οὐκ ἀφει-
δίᾳ τε καὶ ὑπεροψίᾳ καὶ μίσει, ἀλλ' ἐπιμελείᾳ τε καὶ σωφρονισμῷ καὶ διορθώσει καὶ τῇ ἐπὶ
τὸ κρεῖττον ἐπαναγωγῇ· ἡ μὲν οὖν ὑπόθεσις αὕτη τοῦ βιβλίου.

Οὕτω μὲν ἅπαντα τὰ περὶ τὸν λαὸν εἰρηκότος τοῦ προφήτου, ἐν ὀλίγοις δὲ μηνύοντος p. 142.
ἃ κατὰ τὸν καιρὸν καὶ μάλιστα παρὰ τῶν Βαβυλωνίων περὶ τοὺς ἀστυγείτονας ἤμελλε γίνε-
σθαι, ὑπὲρ ὧν εἰς αὐτοὺς πεπλημμελήκεσαν, δι' ἣν ἔφην αἰτίαν· ποιεῖται δὲ καὶ τὴν προφη-
τείαν οὐκ ἐν Ἱερουσαλὴμ ἀλλ' ἐν τοῖς τῶν ἐθνῶν τόποις πλησίον τοῦ Ἰσραὴλ ἐν Βαιθὴλ τε
τῷ ἱερῷ, ἔνθα δὴ τοῖς εἰδώλοις ἐπετέλουν οἱ τοῦ Ἰσραὴλ τὰς θυσίας· ἐν μὲν γὰρ τῇ Ἱε-
ρουσαλὴμ προφητεύων, οὐκ ἂν ἐγένετο δῆλος, οὔτε τῷ Ἰσραὴλ οὔτε τοῖς λοιποῖς ἔθνεσιν,
ἐφ' οἷς ἤμελλε λέγειν περὶ αὐτῶν· ἐπεὶ μὴ δὲ ἐπιβαίνειν τῆς Ἱερουσαλὴμ ἠνείχετό τις ἐκεί-

tra decem tribus; absoluta vero contra reliquas, quae regnum Iudae constituebant, a Babyloniis urbis expugnatoribus. Idcirco ceteri etiam prophetae haec portendunt, atque in his omnis eorum sermo versatur; si paucas aliquot res excipias, neque a praedictis valde discrepantes, quas obiter appinxerunt. Sic facit etiam hic, quem in manibus habemus, propheta, qui suum omne vaticinium ad mala ab Assyriis Babyloniisque Israheli Iudaeaque inferenda manifeste convertit: ita tamen ut breviter circa prohoemium quaedam etiam damna commemoret, quae a finitimis populis sub idem tempus passuri erant Israhelitae. Sic autem Deus demonstrabat, haud se crudelitate aliqua vel incuria vel consilii volubilitate populum assyriaca ac babylonica calamitate implicuisse; sed quia hunc a sceleribus revocare studebat: quandoquidem etiam finitimos, qui huic populo iniurii fuerant, eodem tempore poenae subiecit: in quos haudquaquam animadvertisset, nisi populum suum plurimi faceret. Quare Deus in peccantium supplicio declarat suam erga electos curam, quibus plagas imponit haud saevitia vel contemptu vel odio exstimulatus, sed providentiae causa et erudiendi emendandique studio, atque ut ad frugem meliorem revocet. Hoc est igitur libri argumentum.

Atque ita omnia quae ad populum spectant dixit propheta, et breviter etiam significavit, quidnam adversi proximis urbi populis Babylonii apprime impósituri eadem occasione essent, propter illorum erga electos iniurias; cuius rei iam causam diximus. Edit autem vaticinium haud Hierosolymis sed in ethnicorum locis, circa fines Israhelis prope Baethelis fanum, ubi hostias idolis Israhelitae litabant. Nam si Hierosolymis vaticinatus esset, res neque Israheli innotuisset, neque populis reliquis, de quibus erat verba facturus; quorum nemo Hierosolyma ventitare solebat:

νων· ἐν ᾗ τοῖς προῤῥηθεῖσι τόποις τὴν προφητείαν ποιούμενος, ἀναγκαίως καὶ τῷ Ἰσραὴλ καταφανὴς ἦν καὶ τοῖς ἔθνεσιν οἵ γε πλησίον ἦσαν· καὶ πολλάκις ἐκ τῆς περὶ τὰ εἴδωλα θεραπείας ἐπεμίγνυντο ἀλλήλοις· ὡς ἂν ἅπαντες, περὶ ὧν τοὺς λόγους ἐποιεῖτο, εἰδεῖεν τε τὰ περὶ αὐτῶν λεγόμενα, καὶ πρὸ τῶν πραγμάτων δεξάμενοι τὴν προφητείαν, ἐγγύθεν τε ἰδόντες τὴν ἔκβασιν, μείζονα τὴν πίστιν ἔχοιεν τῆς ἐνεργούσης ἐν τοῖς προφήταις χάριτος θείας.

Τὸ μέν τοι γε παρά τινων λεγόμενον ὅτι Ὀζίαν τὸν βασιλέα οὐκ ἤλεγξαν οἱ προφῆται τοῖς τῆς ἱερωσύνης ἔργοις ἐπιχειροῦντα, καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπαύθησαν ἅπαντες p. 113. τοῦ προφητεύειν, σφόδρα μοι μυθῶδες εἶναι φαίνεται μᾶλλον· ἥ τε γὰρ τοῦ Ὠσηὲ βίβλος οὕτως ἔχει· λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὠσηὲ τὸν τοῦ Βεηρὶ ἐν ἡμέραις Ὀζίου, καὶ τὰ ἑξῆς· παρὰ Ἡσαΐᾳ τε τῷ προφήτῃ οὕτως φησίν· ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ ἐν βασιλείᾳ Ὀζίου, καὶ τὰ ἑξῆς· καὶ παρὰ τῷ παρόντι δὲ προφήτῃ οὕτω φησίν· λόγοι Ἀμὼς οἳ ἐγένοντο ἐν Καριαθαρεὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ἐπὶ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα· πῶς οὖν οἷόν τε ἦν ἐν ταῖς ἡμέραις Ὀζίου πεπαῦσθαι τῆς προφητείας κατ' ἐκείνων λόγον, ὁπότε καὶ Ὠσηὲ καὶ Ἡσαΐας καὶ Ἀμὼς ἐν ταῖς ἐπιγραφαῖς τῶν οἰκείων βίβλων δηλοῦνται ἐν ἡμέραις Ὀζίου πεποιημένοι τὴν προφητείαν; πρὸς τῷ κἀκεῖνο δῆλον εἶναι ὅτι οὔτε κατὰ τὴν πνευματικὴν ἀποκάλυψιν ἐλέγξαι κελευόμενοι τὸν Ὀζίαν, ἀνεβάλλοντο ἄν ποτε οἱ προφῆται, ταῖς θείαις ἀποκαλύψεσι πειθόμενοι μᾶλλον, ἢ τὸν πλημμελοῦντα αἰδούμενοι βασιλέα· μὴ τετυχηκόσι τε πρὸς τοῦτο ἀποκαλύψεως, οὐδεὶς ἂν μέμψαιτο δικαίως, οὐκ ἐπικεχειρηκόσι πράγματι μὴ ἐξ ἀποκαλύψεως θείας αὐτοῖς δειχθέντι, οἵ γε διὰ πάντων εἰώθεισαν ταῖς πνευματικαῖς ἀποκαλύψεσιν ἑπόμενοι, κατ' ἐκείνας μὲν καὶ λέγειν τι καὶ μὴ λέγειν· παρ' ἐκείνας δὲ μή τε

praedictis contra in locis vaticinans, necessario tum Israheli tum finitimis ethnicis innotescebat, qui saepe ob idolorum cultum invicem frequentabant. Sic cuncti, quorum causa sermones serebat, et ea quae de se dicebantur resciebant; cognitoque ante res gerendas vaticinio, moxque viso exitu, firmiorem fidem inspiranti prophetas divinae gratiae adhibituri erant.

Age vero quod aiunt nonnulli, Oziam regem a prophetis reprehensum non fuisse cum sacerdotii munera obire ausus est; atque ob eam causam propheticum spiritum cunctis esse subtractum; valde id mihi fabulosum videtur. Nam et Oseae liber sic habet: verbum Domini quod factum est ad Oseam Beeri filium in diebus Oziae, et reliqua. Tum apud Isaiam prophetam sic dicitur: visio oblata Isaiae Amosi filio, quam contra Iudam urbemque Hierosolymorum vidit, sub Ozia rege, et reliqua. Et praesenti in libro denique sic: sermones Amosi, qui facti sunt in Cariatharim de Thecue, quos vidit super Hierosolymis in diebus Oziae Iudae regis. Qui igitur fieri potest, ut in Oziae diebus divinandi vis prophetis erepta fuerit, quemadmodum istorum interpretum opinio fert; siquidem et Oseas et Isaias et Amosus in suorum librorum titulis, se in diebus Oziae prophetavisse declarant? Tum vero exploratum est, si divina forte revelatione prophetae iussi fuissent Oziam castigare, nequaquam id fuisse recusaturos, divino potius lumini obtemperantes, quam peccatorem regem reverentes: sin autem de obiurgando rege haud divinitus fuerunt admoniti, nemo eos merito vituperet, qui rem non attigerint, quam eis divina revelatio non demonstraverit. Est enim prophetarum perpetuus mos spiritalibus revelationibus obsequendi, sive ex earum instinctu loquendum sit sive tacendum: ita ut praeter illas neque dicant quicquam neque reticeant, atque ab iis ne latum qui-

λέγειν μή τε σιγᾷν οὐκ ἄν ποτέ τι, οὔ τε μή τε εἰπεῖν ἑλόμενοι παρ' ἐκείνας· τοῦτο μὲν οὖν παρὰ πολλοῖς (1) οὐκ οἶδ' ὅπως φερόμενον, καὶ σφόδρα μοι δόξαν ἐναντίως ἔχειν ταῖς τῶν βίβλων γραφαῖς, σιωπῇ παραδραμεῖν οὐ καλῶς ἔχειν ἡγησάμην· τοῦ δὲ βιβλίου τῆς προφητείας παντὸς περί τε τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν ἠσχολημένου, καὶ τὰ τούτοις τε κἀκείνοις συμβάντα, πρότερον μὲν ὑπὸ τῶν Ἀσσυρίων, ὑπὸ Βαβυλωνίων ὕστερον, ἐν ὀλίγοις δὲ κατὰ τὸ προοίμιον μνήμην ἔχοντος τῶν εἰς τοὺς περιοίκους συμβησομένων κακῶν, τὴν μὲν περὶ τὸν λαὸν αἰτίαν εἶναι φαμέν, ἣν καὶ πρότερον εἰρήκαμεν, ὑπὲρ ἧς δὴ πᾶσαν ἔνειμεν αὐτοῖς τὴν οἰκείαν κηδεμονίαν ὁ θεός, διὰ τὸν ἐξ αὐτῶν ἀναδείκνυσθαι μέλλοντα τὸ κατὰ σάρκα δεσπότην Χριστὸν, ἐπὶ τῇ πάντων φανούμενον σωτηρίᾳ· προστεθεῖσθαι δὲ τῶν λοιπῶν τὰ περὶ τοὺς περιοίκους ἐσόμενα, εἰς ἔλεγχον τοῦ μὴ δὴ τὰ κατὰ τὸν λαὸν ἀφειδίᾳ τὸν θεὸν πεποιηκέναι· ὅπου γε καὶ ὑπὲρ τῶν εἰς αὐτοὺς παρανομίας δίκας εἰσπράττεται ἑτέρους· ἀρκτέον δὲ τοῦ βιβλίου λοιπὸν ἔχοντος οὕτως.

ΚΕΦ. Α'.

“ Λόγοι Ἀμὼς, οἳ ἐγένοντο ἐν Καριαθιαρεὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ἐπὶ Ἱερουσαλὴμ, v. 1.
ἐν ἡμέραις Ὀζίου τοῦ βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς βασιλέως
Ἰσραὴλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. ,, Τοῦτο μὲν οὖν καθὰ κἀν τοῖς λοιποῖς εἰρήκαμεν p. 146.
προφήταις προγραφῆς τινὸς τάξιν ἐπέχει, δηλούσης τί ποτε βούλεται ἡ βίβλος, παρ' ὅτου
τε καὶ περὶ τίνων εἴρηται καὶ πότε· θαυμαστὸν δὲ οὐδὲν, εἰ λόγοι εἶπεν οὓς εἶδεν ἐπὶ Ἱερουσα-
λήμ· καί τοι γε μέλλων κἀκεῖνα λέγειν ὁπόσα περὶ τὸν Ἰσραὴλ, τοῦτ' ἔστι τὰς δέκα γε-
γονε φυλὰς, καὶ μὲν καὶ περὶ τοὺς περιοίκους οὐχ ἧττον· ἀλλ' ὡς ἂν κυριώτατον μὲν ἀπάν-

dem unguem discedere soleant. Hanc igitur opinionem, quae nescio cur multorum mentes pervasit, quaeque mihi sacris litteris magnopere adversari videtur, silentio praeterire haud aequum existimavi. Iam universi huius vaticinii liber circa Israhelem et Iudam vertitur, nempe circa utriusque adversitates, quae primo ab Assyriis deinde a Babyloniis contigerunt. Breviter etiam mentionem initio complectitur malorum quae finitimos correptura erant. Et quidem cur hebraeo populo haec evenerint, causam diximus in praecedentibus, Deo curam suam illi impendente, propter eum, qui inde exorturus erat secundum carnem, Christum dominum, communis salutis parentem. Praeponuntur autem reliquis res finitimis populis eventurae, ut palam fiat nihil Deum contra suum populum fecisse saevitia commotum; quandoquidem de iis, qui hunc adflixerant, poenas repoposcit. Sed iam initium faciendum libri est, qui ita se habet.

CAP. I.

“ Sermones Amosi, qui facti sunt in Cariatharim de Thecue, quos vidit super Hierosolymis, in diebus Oziae Iudae regis, et in diebus Hieroboami Ioaso geniti, regis Israhelis, ante terrae motum biennio. ,, Verba haec, sicuti in ceteris prophetis diximus, tituli cuiusdam vice funguntur, qui libri scopum et continentiam et auctorem aetatemque declarat. Neque est mirandum quod dixerit, sermones quos vidit super Hierosolymis, etsi casus quoque narraturus erat Israheli, id

(1) Hanc, quam reprehendit Theodorus opinionem, prae se ferunt Chrysostomus ad Isaiae cap. VI, Hieronymus epist. XVIII. 1, et Procopius item in commentario ad praedictum Isaiae locum. Sane obiurgatum a sacerdotibus Oziam dicit sacer textus, non a prophetis.

των ἡγούμενος ἐστὶ τὰ κατὰ τὴν Ἱερουσαλὴμ, εἶτ' οὖν τὸν περὶ αὐτὸν λαόν· ἦν δὲ οὗτος ἡ τοῦ
Ἰούδα φυλή, καθὼς ἐν τοῖς πρόσθεν εἰρήκαμεν· τῶν λοιπῶν δὲ ἐξ ἀκολουθίας λεγομένων
τε καὶ γιγνομένων δι' ἐκεῖνον· οὕτως ἀπὸ τοῦ κυριωτάτου τῆς προφητείας ἐδήλωσε τὴν αἰτίαν·
v. 2. ἀρχόμενος μέν τοι τῆς προφητείας οὕτω φησίν. " Κύριος ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ
Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ· καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων· καὶ ἐξηράνθη ἡ κο-
ρυφὴ τοῦ Καρμήλου. „ Θαυμασιώτατα ἐντεῦθεν ἤρξατο τοῦ λόγου· ἐπειδὴ γὰρ οὐκ ἐν τῇ Ἱε-
ρουσαλὴμ, ἀλλ' ἐν ἐκείνοις ἐφθέγγετο τοῖς τόποις, οἳ τῶν τε ἐθνῶν καὶ τῆς βασιλείας τοῦ
Ἰσραὴλ ἐτύγχανον ὄντες, εἰκότως προστέθεικε τὸ, ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἱερουσαλὴμ
ἔδωκε φωνὴν αὐτοῦ· ὡς ἂν μὴ τοῖς περὶ τὸν τόπον ἐκεῖνον θρησκευομένοις δαίμοσιν ἐπι-
p. 146. γράφειν μέλλοιεν οἱ ἀκούοντες τῶν λεγομένων τὴν αἰτίαν· εἰδεῖεν δὲ ἅπαντες ὅτι γνώμῃ θεοῦ
ταῦτα φθέγγεται, ὃς τῶν ἁπάντων ποιητής τε καὶ κύριος ὢν, ἐν τῷ Σιὼν ὄρει τὴν καθή-
κουσαν αὐτῷ θρησκείαν κατὰ τὴν νομικὴν διάταξιν πληροῦσθαι προσέταξε· τῷ τε προφήτῃ
νῦν εἰπεῖν ταῦτα διδοὺς, καὶ κατὰ καιρὸν τῶν μηνυομένων τὴν ἔκβασιν εἰς ἔργον ἐκφέρων· τὸ
δὲ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλου, ἵνα εἴπῃ ὅτι
ἐκ τῆς ἀποφάσεως τῆς ἐκείνου πάντες τε οἱ περίοικοι σὺν τοῖς ἡγουμένοις μεταστήσονται εἰς
πένθος· καὶ μὴν καὶ τοῦ Ἰσραὴλ σὺν ἐκείνοις, οὓς κορυφὴν ὠνόμασεν τοῦ Καρμήλου, ὡς
περὶ ἐκεῖνον οἰκοῦντας τὸν τόπον, καὶ εἰς οὐδὲν δέον τῇ ὑπεροχῇ κεχρημένους· εἶτα μερίζων
τὸν λόγον ἀνὰ μέρος, περὶ ἑκάστου τῶν περιοίκων λέγει.
v. 3. " Καὶ εἶπεν κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ ταῖς τέσσαρσιν (1) οὐκ
ἀποστραφήσομαι αὐτήν, ἀνθ' ὧν ἔπριζον ἐν πρίοσι σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γα-
v. 4. λααδιτῶν; καὶ ἀποστελῶ πῦρ εἰς τὸν οἶκον Ἀζαὴλ, καὶ καταφάγεται θεμέλια υἱοῦ Ἀδέρ·

est decem tribubus, nec non finitimis populis, eventuros: sic enim egit, quia potissimas omnium res urbis Hierosolymorum existimabat, nempe eius populi, qui ex Iudae tribu constabat, sicuti iam in superioribus diximus: quum interim ceterorum ratio in praedicti gratiam haberetur. Sic ergo a principali re, vaticinii sui causam ostendit, quod ita exorditur. " Dominus de Sion locutus est, ex Hierosolymis vocem suam emisit. Luxerunt pascua pastorum; exaruit Carmeli cacumen. „ Mire admodum his verbis loqui coepit: nam quia non Hierosolymis, sed in illis loquebatur locis, quos ethnici regnumque Israhelis occupabant, statim prudenter addidit, de Sion locutus est, ex Hierosolymis vocem suam emisit: ne forte auditores rerum a se dicendarum cultis per ea loca daemonibus causam imputarent: immo potius universi agnoscerent, se Dei voluntate verba illa facere; qui quum omnium factor dominusque sit, congruam sibi religionem in Sione monte exhiberi legitimis ritibus iusserat: idemque prophetam ad haec dicenda nunc excitaverat, suoque tempore vaticinia in rem conlaturus erat. Iam verba luxerunt pascua pastorum, exaruit Carmeli cacumen, significant fore ut cum praedictis finitimi omnes non sine suis ducibus ad luctum vertantur: et quidem etiam Israhel cum illis, quos Carmeli cacumen appellavit, quia circa locum illum incolebant, ac praeter omne officium superbia exultabant. Deinde subdiviso particulatim sermone, de singulis finitimis pergit dicere.

" Dixitque Dominus: super tribus sceleribus Damasci et super quatuor non aversabor eam? quia serris ferreis praegnantes galaaditidas dissecuerunt. Ignem immit-

(1) Obscurus videbatur Hieronymo hic prophetae locus epist. LIII. 8. Sed en Mopsuestenus more suo perspicue atque indubitanter explanabit.

καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ· καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου Ὢν· καὶ κατα- v. 5.
κόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤῥάν· καὶ αἰχμαλωτευθήσεται λαὸς Συρίας ἐπίκλητος, λέγει
κύριος. ,, Τὸ ἐπὶ τῶν τρισὶ καὶ τέσσαρσι λέγει ἀντὶ τοῦ τῶν ἄγαν πολλαῖς· ἐπειδὴ γὰρ ὁ μετὰ p. 147.
τὸν ἕνα καὶ δύο ἀριθμὸς πληθυντικὸς καλεῖται (1), τρισὶ μὲν λέγει τῶν πολλαῖς, τέσσαρσι
δὲ τὴν ἐπίτασιν τοῦ πλήθους· βούλεται δὲ εἰπεῖν ὅτι πολλὰς ἀσεβείας τῆς Δαμασκοῦ παρεῖδεν·
ἐπιμένοντας δὲ καὶ ἐπὶ πλεῖστον ἐκτείνοντας τὴν ἀσέβειαν, μὴ ἀποστρέφεσθαι καὶ μισεῖν, οὐκέτι
δυνατόν· εἶτα καταλιπὼν τὰς λοιπὰς αὐτῶν παρανομίας, τὴν εἰς τοὺς ἰσραηλίτας παρ᾽
αὐτῶν γεγενημένην λέγει· ὡς ἂν δείξειεν ὅτι κἂν πολλὰ ἠσεβήκασιν, ἀλλ᾽ ὑπὲρ τούτων
μάλιστα αὐτοὺς τιμωρήσεται, ὧν πολλὴν ποιεῖσθαι ἐσπούδακε τὴν κηδεμονίαν· τὸ οὖν τῶν
γαλααδιτῶν, ἐκ μέρους βούλεται τῶν ἰσραηλιτῶν εἰπεῖν· ἐπειδὴ τοῦ Ἰσραὴλ μέρος ἦν ἡ
Γαλαάδ· ἐπειδὴ τοίνυν, φησὶ, τοσαύτην ἐξέτειναν κατ᾽ αὐτῶν τὴν παρανομίαν, ὡς καὶ τὰς
ἐγκύους αὐτῶν σιδηροῖς πρίοσι διατέμνειν· ἔοικε δὲ τοῦτο λέγειν εἰς ἀπόδειξιν τῆς ὠμότητος
αὐτῶν, δι᾽ ἣν οὐδὲ τῶν ἐγκύων ἐφείδοντο, ἤτοι πρίοσιν ὄντως αὐτὰς ἢ ξίφεσιν ἀνατέμνοντες
πολέμου νόμῳ· ὅπερ οὖν εἶπεν ἐν πρίοσι σιδηροῖς, εἰς μείζονα ἔμφασιν τῶν γινομένων· ὑπὲρ
δὴ τούτων φησὶν αὐτοῖς ἐπάξω τοὺς ἀφανίζοντας, ὡς καὶ τὰ βασίλεια αὐτῶν καθαιρεθῆ- p. 148.
ναι· τοῦτο γὰρ λέγει θεμέλια υἱοῦ Ἀδέρ· πᾶσαν τε τῆς μητροπόλεως αὐτῶν τὴν ἰσχὺν ἀφαιρη-
θῆναι· ὅπερ δηλοῖ τὸ συντρίψω μοχλοὺς Δαμασκοῦ· καὶ δὴ καὶ πάντας τοὺς ἐξ αὐτῶν
ἀφανιῶ, ὥστε καὶ τοὺς ἐκ τῆς Χαῤῥὰν παροικοῦντας αὐτοῖς ἀφανίσαι, πολλὴν αὐτοῖς ἐκ τῆς
οἰκείας δυνάμεως ὑποπτευομένους παρέχειν βοήθειαν· καὶ συντόμως εἰπεῖν ἅπαντας τοὺς
τῆς βασιλείας ἐκείνης, οἷς ἐπίκλην ὄνομα Συρία, αἰχμαλωσίᾳ παντελεῖ παραδώσω.

tam in Azahelis domum, qui fundamenta filii Aderi consumet. Damasci vectes confringam, disperdam incolas agri, quorum etiam tribum succidam de viris Charran: captivus abducetur populus Syriae nuncupatus, ait Dominus. ,, Dicit autem super tribus et quatuor, nempe pro multis. Nam quia numerus post unum et duo pluralis dicitur, verbo tribus multos denotat, verbo autem quatuor multitudinem exaggerat. Significat autem se multa Damasci scelera neglexisse: verumtamen cum eius cives in impietate perstarent eamque cumularent, iam fieri non posse quin eos a se repelleret atque odio prosequeretur. Exin ceteris eorum sceleribus omissis, illud commemorat quod adversus Israhelitas commiserant: nempe ut ostendat, etiamsi hostes multa peccaverint, tamen eos potissime se puniturum populi sui causa, de quo magnopere sollicitus erat. Igitur galaaditidas feminas dicens, partem pro toto appellat: pars enim Israhelis Galaad. Causa puniendi fuit, quod tantum adversus Israhelem scelus expromserant, ut ipsas populi huius praegnantes serris ferreis dissecuerint. Videtur autem hoc dicere ut hostium crudelitatem demonstret, qui ne gravidis quidem feminis pepercissent, sive eas reapse serris, sive gladiis more belli conciderint: ita ut locutio serris ferreis ad praegravandam facinoris emphasim adhibeatur. Quamobrem, inquit, immittam eis hostes, a quibus cuncti ceu igne absumentur; et quidem regia quoque ipsorum sedes delebitur; hoc enim innuit dictio fundamenta Ader: atque omne metropoleos eorum robur subtraham; id quod significat dictio vectes Damasci confringam. Ita demum eos omnes funditus destruam, ut finitimos quoque Charran incolas simul deleam, quorum scilicet vires Damasco videbantur validum praesidium exhibere. Ut breviter dicam, cunctos regni eius incolas, qui Syriae vocabulo indigitantur, servitio addicendos curabo.

(1) Notissimum est Graecos praeter singularem ac pluralivum, duali quoque uti numero.

v. 6. “ Τάδε λέγει κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀπο-
στραφήσομαι αὐτοὺς, ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν Σολομῶν, τοῦ συγ-
κλεῖσαι εἰς τὴν Ἰδουμαίαν; ,, Τὸ αὐτὸ λέγει κἀνταῦθα, ὅτι πολλὰς ἀσεβείας ἐργασαμέ-
νων καὶ ἐπιμενόντων τῇ μοχθηρίᾳ τῆς γνώμης, οὐκ ἀνέξομαι ἔτι· μάλιστα δὲ αὐτοὺς τιμω-
ρήσομαι, ὑπὲρ ὧν τοῦ Σολομῶντος αἰχμαλώτους λαβόντος τοὺς τῆς Ἰδουμαίας, καὶ ὑπὸ
τὴν τῶν Ἰσραηλιτῶν πεποιηκότος ἐξουσίαν, ὡς καὶ πλεῖστον αὐτοὺς ἐπὶ τούτου διαμεῖναι τοῦ
σχήματος, ἐπεληλυθότες οὗτοι ἀφεῖλον τε τὴν αἰχμαλωσίαν ἐκείνην πολέμου νόμῳ, καὶ
συνηνάγκασαν ἐπὶ τὴν Ἰδουμαίαν ἀπελθεῖν πάλιν· καὶ γὰρ κἀνταῦθα πλημμέλειαν αὐτῶν
p. 149. v. 7. λέγει τὴν περὶ τοὺς Ἰσραηλίτας εἰργάσαντο· τί οὖν; “ Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη
v. 8. Γάζης, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς, καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου,
καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ Ἀκκαρὼν, καὶ ἀπο-
λοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει κύριος. ,, Τὴν αὐτὴν ἐπάξω καὶ τούτοις τιμω-
ρίαν φησί· πῦρ γὰρ κἀνταῦθα τὸν πόλεμον λέγει ὡς ἂν οὕτως αὐτοὺς ἐπινεμόμενον· ὃς περιε-
λεῖ μὲν τῆς Γάζης τὰ τείχη, ἐκ βάθρων δὲ ἅπασαν ἀνασπάσει τὴν πόλιν, ἀφανιεῖ τε τοὺς
κατοικοῦντας αὐτὴν μετὰ τῶν τήν τε Ἄζωτον καὶ τὴν Ἀσκάλωνα οἰκούντων· οὐκ ἀφέξομαι δὲ
οὐδὲ τῶν ἐν Ἀκκάροις· μνημονεύεται γὰρ τῆς Γάζης ὡς ἐξαρχούσης τῶν ἐν τοῖς ἀλλοφύλοις
σατραπειῶν· καὶ κοινοῦ λέγει τὴν τιμωρίαν ἅπασιν ἐπελεύσεσθαι τοῖς ἀλλοφύλοις· ὅθεν ἐπάγει·
καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει κύριος· ,, ἵνα εἴπῃ ὅτι συντόμως
ἅπαντας ἀφανιεῖ τοὺς ἀλλοφύλους, ὥσπερ ἐν τοῖς ἀνωτέροις αἰχμαλωτευθήσεσθαι ἔφη πάν-
τα τὸν λαὸν τὸν ἐπίκλητον Συρίας.
v. 9. “ Τάδε λέγει κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστρα-
φήσομαι αὐτὴν, ἀνθ᾽ ὧν συνέκλεισαν αἰχμαλωσίαν τοῦ Σολομῶν εἰς τὴν Ἰδουμαίαν, καὶ

“ Haec ait Dominus: super tribus Gazae sceleribus et super quatuor, non aversabor eos, propterea quod ipsi mancipaverint captivitatem Salomonis, ut eam concluderent in Idumaeam? ,, Id ipsum heic quoque dicit; nempe quod illos sceleribus cumulandis deditos, atque in animi pravitate obfirmatos, iam diutius non feret: immo potissimum puniet, quia quum Salomon in captivitatem Idumaeos redegisset, atque Israhelis ditioni adiecisset, ita ut Idumaei diu in hac conditione permanserint; illi supervenientes, captivitatem illam iure belli dissolverint, hosque iterum in Idumaeam secedere iusserint. Nimirum hinc etiam propheta arguit hostium scelus adversus Israhelitas. Quid ergo? “ Immittam in moenia Gazae flammam, quae illam a fundamentis consumet: delebo Azoti cives: Ascalonis populum destruam: Accaroni manus inferam: reliquiae alienigenarum peribunt, dicit Dominus. ,, Easdem his quoque poenas, inquit, imponam. Nam et hoc loco ignem pro bello dicit, quod scilicet hostes ceu flamma vorabit, Gazae moenibus exitium inferet, cunctamque urbem a fundamentis subruet, eiusque incolas perdet, cum Azoti Ascalonisque civibus. Neque ipsi Accaroni, inquit, parcam. Memorata scilicet Gaza, quae satrapiarum exterarum princeps erat, generaliter praedicit eventuram cunctis alienigenis cladem. Quamobrem subdit: “ alienigenarum reliquiae peribunt, ait Dominus: ,, quo dicto breviter significat fore ut omnes exteri pereant; sicuti in superioribus populum universum, Syriae nomine nuncupatum, in servitutem redactum iri praedixit etc.

“ Haec ait Dominus: super tribus Tyri sceleribus et super quatuor, non aversabor eam, propterea quod concluserunt captivitatem Salomonis in Idumaeam, et

οὐκ ἐμνήσθησαν διαθήκης ἀδελφῶν; καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Τύρου, καὶ καταφάγε- v. 10.
ται τὰ θεμέλια αὐτῆς. ,, Καὶ γὰρ καὶ τούτων ἐπὶ πολὺ φησὶν ἀνασχόμενος, ἐπὶ πλεῖστον p. 150.
ἐκτεινόντων τὴν ἀσέβειαν οὐκ ἀνέξομαι τὴν οἰκείαν, καὶ μάλιστα γε πάντων ὅτι τὴν τοῦ Σολομῶντος αἰχμαλωσίαν εἰς τὴν Ἰδουμαίαν παρεσκεύασαν, κεκοινωνηκότες τῆς παρανομίας ταύτης τοῖς ἀλλοφύλοις· οὓς ἐχρῆν μάλιστα ἀποσχέσθαι τοῦ τὶ τοιοῦτοι διαπράξασθαι, εἰς μνήμην ἐληλυθότας τῶν συνθηκῶν, ἃς ὅ τε Σολομὼν καὶ ὁ αὐτῶν βασιλεὺς ὑπὲρ φιλίας ἐποιήσαντο πρὸς ἀλλήλους, ὧν οὐδένα ποιησάμενοι λόγον, τοιαῦτα πεπράχασι νῦν· ὑπὲρ ὧν δὴ κατὰ γνώμην ἐμὴν ἐπελθὼν ὁ πόλεμος, τὰ τείχη τε αὐτῶν περιελεῖ, καὶ πᾶσαν ἀφανιεῖ τὴν πόλιν.

" Τάδε λέγει κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ἰδουμαίας καὶ ἐπὶ ταῖς τέσσαρσιν v. 11.
οὐκ ἀποστραφήσομαι αὐτήν, ἕνεκεν τοῦ διῶξαι αὐτὸν ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ· καὶ ἐλυμήνατο μήτραν ἐπὶ τὴν γῆν· καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην ἑαυτοῦ· καὶ τὸ ὅρμημα αὐτοῦ ἐφύλαξεν εἰς νῖκος (1); ,, Πλεῖστα ὅσα ἠσεβηκότας ἐνεγκών, ἐπὶ πλεῖστον ἀσεβούντων οὐκ ἀνέξομαι· καὶ μάλιστα γε ὑπὲρ ὧν πόλεμον κατὰ τῶν Ἰσραηλιτῶν ἐκίνησαν, οὐδὲ τὴν συγγένειαν αἰσχυνθέντες τὴν πρὸς αὐτούς, καὶ ὅτι ἐξ ἀδελφῶν ἦσαν αὐτοί τε καὶ οὗτοι, οἱ μὲν ἐκ τοῦ Ἡσαῦ, οἱ δὲ ἐκ τοῦ Ἰακὼβ καταγόμενοι· τοῦτο γὰρ εἶπε τὸν ἀδελφὸν αὐτοῦ· τὸ δὲ ἐλυμήνατο μήτραν ἐπὶ τῆς γῆς, λέγει ἀντὶ τοῦ κατέσφαξαν ἅπαντας καὶ εἰς γῆν κατ-
ήνεγκαν· ὅπερ ἦν εἰς τὴν τεκοῦσαν αὐτοὺς μήτραν πλημμελούντων· ἐπειδὴ γὰρ ἀδελφοὺς p. 151.
ὠνόμασεν ὡς ἐξ ἀδελφῶν γεγενημένους, λύμην μήτρας ὠνόμασε τὴν τῶν ἀδελφῶν ἀναίρεσιν, ὡς ἂν εἰς τὴν κοινὴν μητέρα τοῦτο λυμηναμένων τῷ τρόπῳ· πεποιήκασί τε φησὶν εἰς αὐτοὺς φρίκης μεστά, ἵνα μείζονα τὴν μαρτυρίαν τῆς ἑαυτῶν ὠμότητος παράσχωνται τοῖς ὁρῶσι·

non sunt recordati foederis fratrum? Et immittam ignem in moenia Tyri, et devorabit fundamenta eius. ,, Quum haec diu, inquit, patienter tulerim, iam diutius prolongantes impietatem suam non feram; praesertim quia Salomonis captivos in Idumaeam transferendos curarunt, commune hoc scelus habentes cum alienigenis. Atqui captivis haec minime facere debuerunt, foederis memores, quod Salomon et illorum rex amicabiliter inter se contraxerant; cuius prorsus immemores, nunc ita se gesserunt: propter quod me volente hostis adveniens, moenia eorum subvertet, totamque urbem destruet.

" Haec dicit Dominus: super tribus Idumaeae sceleribus et super quatuor, non aversabor eam, propterea quod ipsi persecuti sint gladio fratrem suum? Et vulvam humi labefactavit, et rapuit in testimonium horrorem suum, et impetum servavit usque ad victoriam. ,, Quum plurima peccantes tulerim, iam ulterius delinquentes non feram: praesertim quia bellum adversus Israhelitas commoverunt, neque cognationem cum illis reveriti sunt, et quod ex fratribus utrique progeniti essent, ex Esau videlicet atque Iacob. Id enim denotat dictio fratrem suum. Iam verba: vulvam humi labefactavit, dicit pro: interemerunt omnes et humi prostraverunt: quod perinde erat atque in maternam vulvam peccare. Nam quia fratres nuncupavit, utpote ex fratribus natos, vulvae excidium appellavit fratrum occisionem, quasi isthoc modo in communem matrem peccassent. Patrarunt autem adversus illos horribilia, quo maius testimonium crudelitatis suae spectantibus perhiberent. Sed et impetu multo ac vehementi in eos irruerunt, odium suum ad finem

(1) Nobis placeret magis lectio complutensis εἰς νεῖκος *ad contentionem*.

καὶ δὴ καὶ ὁρμῇ πολλῇ τινὶ καὶ σφοδρᾷ κατ' αὐτῶν ἐχρήσαντο, ἄχρι τέλους τὴν αὐτὴν τοῦ
μίσους περὶ αὐτοὺς ἐπιδειξάμενοι γνώμην· τὸ γὰρ ἐφύλαξεν εἰς νῖκος, τοῦτο λέγει· ὑπὲρ δὲ
v. 12. τούτων τί; “ Καὶ ἐξαποστελῶ πῦρ εἰς Θαιμὰν, καὶ καταφάγεται θεμέλια τειχέων αὐτῆς. ,,
Θαιμὰν τῶν Ἰδουμαίων ἦν ἡ περίβλεπτος πόλις· ἐπάξω τοίνυν αὐτοῖς φησὶ τὸν πόλεμον,
ὃς τὴν μεγίστην αὐτῶν καὶ βασιλικωτάτην πόλιν παντελῶς ἀφανιεῖ, ἐκ βάθρων αὐτὴν μετὰ
τῶν τειχῶν ἀνασπάσας.

v. 13. “ Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν καὶ ἐπὶ ταῖς τέσσαρσιν
οὐκ ἀποστραφήσομαι αὐτοὺς, ἀνθ' ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν,
v. 14. ὅπως ἂν πλατύνωσι τὰ ὅρια αὐτῶν; καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ῥαββά· καὶ κατα-
p. 152. φάγεται τὰ θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σαλευθήσεται ἐν ἡμέρᾳ συν-
v. 15. τελείας αὐτῆς, καὶ πορεύσεται Μελχὸμ ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες
αὐτῶν ἐπὶ τὸ αὐτὸ, λέγει κύριος. ,, Τὰ ὅμοια δὴ καὶ περὶ τούτων εἰπὼν, ὑπὲρ τούτου μά-
λιστα ἀγανακτεῖν λέγει κατ' αὐτῶν, ὅτι τῶν Ἰσραηλιτῶν τὰς ἐγκύους ἀνέσχιζον, τὴν Δα-
μασκηνῶν ὠμότητα μιμούμενοι· ἐλπίδι τοῦ ἀπολλύειν μὲν ἅπαν τὸ ἔθνος διὰ τῆς εἰς
τὰς ἐγκύους παρανομίας· κτᾶσθαι δὲ τὴν ἐκείνων χώραν, ὡς ἂν μείζονα τὴν οἴκησιν ἐργά-
σαιντο τὴν οἰκείαν· ἐπελεύσεται δὴ φησὶν ὑπὲρ τούτων ὁ πόλεμος, πάντα μὲν ἀφελὼν τὰ
Ῥαββὰ τείχη, ἡ μητρόπολις αὐτῶν ὑπάρχει· ἐκ βάθρων δὲ ἀνασπῶν τὴν πόλιν, καὶ τοσοῦτον
ἐξάπτων κατ' αὐτῶν τὸν πόλεμον, ὡς ἀφορήτους ἐπὶ τοῖς γινομένοις τὰς τῶν πασχόντων
ὀλολυγὰς ἀποτελεῖσθαι· αὐτὴ μὲν οὖν ἀπώλειαν ὑπομενεῖ παντελῆ· τὸ δὲ εἴδωλον αὐτῶν
Μελχὸμ οὕτω προσαγορευόμενον ἀπαχθήσεται αἰχμάλωτον κἀκεῖνο σὺν ἅπασι τοῖς τε
ἱερατεύουσι καὶ τοῖς ἄρχουσι τοῦ λαοῦ.

usque contra eos demonstrantes: nam servavit usque ad victoriam, hunc sensum habet. Propter haec autem quid? “ Et immittam ignem in Thaeman, et vorabit fundamenta moenium eius. ,, Thaeman Idumaeorum erat urbs spectabilior. Adducam itaque illis bellum, quod maximam illorum et imperiosissimam urbem prorsus consumet, atque a fundamentis cum moenibus suis convellet.

“ Haec dicit Dominus: super tribus sceleribus filiorum Ammonis et super quatuor non aversabor eos, propterea quod dissecuerint praegnantes Galaaditarum, ut dilatarent terminos suos? Et succendam ignem super moenia Rabbae, et devorabit fundamenta eius cum ululatu in die belli, et conquassabitur in die consummationis eius. Et ibit Melchom in captivitatem, sacerdotes eius principesque simul, dicit Dominus. ,, Paria de his quoque dicens, irasci tamen potissimum illis dicit, quia Israhelitarum praegnantes dissecuerant, Damascenorum saevitiem imitati; sperantes scilicet totam gentem perdere per hoc adversus foetas scelus: illorum insuper regionem possidere, ut latiorem incolatum haberent. Sed superveniet, inquit, ob haec hostis, qui Rabbae moenia destruet, quae erat illorum metropolis. Porro urbe a fundamentis pereunte, tantoque ardente bello, intolerabiles ob eam rem extollentur patientium ululatus. Urbs itaque supremum exitium experietur: ipsorum autem idolum, Melchom appellatum, abducetur pariter captivum cum sacerdotibus cunctis ac principibus populi.

ΚΕΦ. Β'.

“ Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωὰβ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀπο- v. 1.
στραφήσομαι αὐτὸν, ἀνθ' ὧν κατέκαυσαν ὀστᾶ βασιλέως Ἰδουμαίας εἰς κονίαν; „ Ὅτι
μὲν οὖν διὰ πάντων τῶν λοιπῶν παρανομίας λέγει τῶν ἐθνῶν, ἃς κατὰ τοῦ Ἰσραὴλ ἐμηχα-
νήσαντο, δῆλον· οὐ μὴν οὐδὲ ἐνταῦθα τῶν προκειμένων ἐναλλάξας ἀκολουθίαν, ἐπ' ἐκ- p. 153.
δικίᾳ τοῦ βασιλέως Ἰδουμαίας ἐπάγει ταῦτα φησίν· ὅς γε καὶ Ἰδουμαίοις τὰ ὅμοια ἐν
τοῖς ἀνωτέροις ἠπειληκὼς ὤφθαι· ἀλλ' ἐπειδὴ ὁ μὲν τῶν Ἰδουμαίων βασιλεὺς ἠβουλήθη
ποτὲ πρὸς εἰρήνην καὶ φιλίαν νεῦσαι τῶν Ἰσραηλιτῶν, ἀγανακτήσαντες δὲ ἐπὶ τούτοις οἱ
Μωαβῖται ἐπεστράτευσαν τε κατὰ τῆς Ἰδουμαίας ἀπεχθείᾳ τῶν Ἰσραηλιτῶν, καὶ νενικηκότες
ὥσπερ τινὰ θυσίαν ἐπινίκιον τοῖς εἰδώλοις τοῖς οἰκείοις τοῦ βασιλέως τῆς Ἰδουμαίας προσ-
ήγαγον τὴν σφαγὴν, ἔτι καὶ ὁλοκαυτώσαντες αὐτὸν ἐπὶ τῇ θυσίᾳ· τοῦτο οὖν λέγει τὸ κατ-
έκαυσαν ὀστᾶ βασιλέως Ἰδουμαίας εἰς κονίαν, τὴν προσαγωγὴν λέγων καὶ τὴν σφαγὴν ἐφ'
ᾗπερ ὥσπερ ὁλοκαυτοῦντες αὐτὸν εἰς κονίαν αὐτοῦ τὰ ὀστᾶ μεταβεβλήκασιν· ὀργίζεσθαι μὲν
οὖν κατὰ τῶν Μωαβιτῶν λέγει, ὑπὲρ τῆς αἰτίας δι' ἣν ἀπεχθείᾳ τῇ πρὸς τοὺς Ἰσραηλίτας
τοσαύτην ἐπεδείξαντο κατὰ τοῦ βασιλέως τῆς Ἰδουμαίας τὴν ὀργήν· ὑπὲρ δὲ τούτων τί;
“ Ἐξαποστελῶ πῦρ ἐπὶ Μωὰβ, καὶ καταφάγεται θεμέλια τῶν πόλεων αὐτοῦ· καὶ ἐναπο- v. 2.
θανεῖται ἐν ἀδυναμίᾳ Μωὰβ μετὰ φωνῆς καὶ μετὰ κραυγῆς σάλπιγγος· καὶ ἐξολοθρεύσω κρι-
τὰς ἐξ αὐτοῦ, καὶ πάντας ἄρχοντας αὐτοῦ ἀποκτενῶ μετ' αὐτοῦ, λέγει κύριος. „ Ἐπελεύ- v. 3.
σεται γάρ φησιν ὁ πόλεμος, πάσας αὐτῶν ἀφανίζων τὰς πόλεις· ὡς εἰς ἐσχάτην κατεν- p. 154.
εχθέντας ἀσθένειαν, καὶ μὴ δὲ ἀρκοῦντας πρὸς τὸ μέγεθος τῶν ἐπαγομένων αὐτοῖς κακῶν,
μετὰ μεγίστης τινὸς φωνῆς τε καὶ κραυγῆς τῶν πολεμικῶν σαλπίγγων θάνατον ὑπομεῖναι· συν-

CAP. II.

“ Haec dicit Dominus: super tribus sceleribus Moab et super quatuor non aversabor eum, eo quod combusserit ossa regis Idumaeae usque ad cinerem? „ Quod in reliquis cunctis dicat nationum iniquitates, quas contra Israhelem molitae sunt, exploratum est. Et quidem hoc item loco haud mutato sermonis tenore, ob vindicandum Idumaeae regem haec se adiungere ait; quum tamen in superioribus paria interminatus Idumaeis videatur. Sed quia rex Idumaeae aliquando voluit pacem amicitiamque cum Israhelitis componere, indignati ob id Moabitae bello appetiverunt Idumaeam odio Israhelitarum: et cum victores extitissent, ceu victoriale quoddam sacrificium idolis suis regis Idumaeae obtulerunt mactationem, immo ipsum et holocaustum in ara fecerunt. Id enim valent verba: combusserunt ossa regis Idumeae usque ad cinerem, oblationem dicens et caedem, in qua ipsum holocausti ritu cremantes, ossa eius in cinerem redegerunt. Ait ergo Deus, indignari se Moabitis, quia odio Israhelitarum, tantam adversus Idumaeae regem iram exseruerunt. Quid inde porro? “ Inmittam ignem in Moab, et devorabit fundamenta urbium eius. Et morietur in virium infirmitate Moab cum clamore et clangore tubae. Et disperdam iudices ab eo, eiusdemque principes omnes interficiam cum ipso, dicit Dominus. „ Adventabit enim, inquit, hostis cunctas eorum civitates vastaturus; adeo ut ad extremam redacti miseriam, neque ferendae magnitudini inflictorum malorum pares, cum clamore maximo inter bellicarum tubarum clangorem mortem oppetituri sint. Atque ut summatim dicam, tantum erit illorum exi-

τόμως τε εἰπεῖν, τοσοῦτος ὄλεθρος αὐτῶν ἔσται, ὡς μὴ κριτὴν αὐτῶν μὴ δὲ ἄρχοντα περιλειφθῆναι μηδένα, πάντων αὐτῶν ἀπολωλότων καθάπαξ.

Οὕτω δὲ τὰ τοῖς περιοίκοις συμβησόμενα ὑπὲρ τῆς εἰς τοὺς Ἰσραηλίτας παρανομίας εἰρηκὼς ὁ προφήτης, τρέπεται λοιπὸν ἐπὶ τὰ τοῦ λαοῦ συμβησόμενα, δεικνὺς ὅτι ἐκεῖνοι τε ὑπὲρ τῆς εἰς τούτους ἀδικίας ἤμελλον τιμωρεῖσθαι, ὡς ἂν εἰς θεὸν ὥσπερ προσήκειν αὐτοὺς συνέβαινε τοῦτο πλημμελοῦντες τῷ τρόπῳ· οὗτοί τε οὐ διαφεύξονται τὴν τιμωρίαν ἀγνώμονες περὶ θεὸν γεγονότες· μέμνηται μέν τοι πρότερον τῆς τοῦ Ἰούδα φυλῆς ὡς ἂν μάλιστα τιμωρίας ἀξίων, ὑπὲρ ὧν περὶ τὸν ναὸν τυγχάνοντες τὸ θεῖον, οὐδενὸς ἧττον ἠσέβουν· λέγει δὲ
v. 4. οὕτως. " Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ
ἀποστραφήσομαι αὐτούς; ,, Ἠσεβηκότας καὶ τούτους πολλάκις μισεῖν λέγων, ἐπειδήπερ ἐπι-
μεμενήκασι τῇ ἑαυτῶν ἀσεβείᾳ· εἶτα καὶ τὴν αἰτίαν λέγων τῆς τιμωρίας " ἕνεκεν τοῦ ἀπώ-
p. 155. σασθαι αὐτοὺς τὸν νόμον κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο· καὶ ἐπλάνησεν
ἑαυτοὺς τὰ μάταια αὐτῶν ἃ ἐποίησαν, οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν. ,,
Καὶ γὰρ καὶ οὗτοι τῶν μὲν νόμων καὶ τῶν προσταγμάτων τῶν ἐμῶν οὐδένα λόγον ποιεῖσθαι ἠβού-
λοντο, τῇ δὲ τῶν εἰδώλων προσανεῖχον θεραπείᾳ, ἀκόλουθα τοῖς ἑαυτῶν ἐργαζόμενοι πα-
v. 5. τράσι. Τί οὖν; " Ἐξαποστελῶ πῦρ ἐπὶ Ἰούδαν, καὶ καταφάγεται θεμέλια Ἱερουσαλήμ. ,,
Ἀφανιῶ, φησί, διὰ τῶν πολεμίων τούς τε τῆς βασιλείας ἅπαντας ἐκείνης, καὶ τὴν Ἱερουσαλὴμ σὺν αὐτοῖς. Εὔδηλον δὲ ὅτι περὶ τῶν βαβυλωνίων ταῦτα φησίν· ἐκεῖνοι γὰρ τήν τε Ἱερουσαλὴμ κατήγαγον, καὶ τοὺς τῆς Ἰούδα φυλῆς ἔλαβον αἰχμαλώτους· καί τοι γε ἐν τοῖς μετὰ ταῦτα τὰ εἰς τὸν Ἰσραὴλ, εἴτ' οὖν τὰς δέκα φυλὰς, μηνύων κακὰ, τῶν ἀσσυρίων ὡς εἰκὸς ἐπιμέμνηται, οἵπερ οὖν αὐτοὺς καὶ αἰχμαλώτους λαβόντες ἀπῆλθον· ὡς δῆλον εἶναι ὅτι μίαν τινὰ αἰχμαλωσίαν ἡγεῖται τὴν περὶ τὸν λαὸν ὑπό τε ἀσσυρίων γεγενημένην καὶ

tium, ut neque iudex eorum aliquis neque princeps superfuturus sit, cunctis eodem tempore occidione deletis.

Sic autem narratis quae finitimis eventura erant ob ipsorum adversus Israhelitas iniquitatem, convertit se mox propheta ad res populo quoque suo eventuras; demonstrans quod sicut illi puniendi erant ob suam contra populum peculiariter Deo addictum iniquitatem; ita etiam populus poenam non effugiet ingrati sui erga Deum animi. Meminit vero in primis tribus Iudae, quam praecipue poena dignam censet, propterea quod circa Dei templum habitans, nihilo tamen minus irreligiosa erat. Sic autem fatur. " Haec dicit Dominus: super tribus sceleribus filiorum Iudae et super quatuor non aversabor eos? ,, Peccantes hos saepenumero odisse se dicit, quia in impietate sua perseverarunt. Mox etiam poenae causam dicit: " propterea quod abiecerint legem Domini, et mandata eius non custodiverint. Et deceperunt eos vana (idola) sua quae fecerant, post quae abierant patres eorum. ,, Namque et hi nullam mandatorum meorum rationem habere voluerunt, et idolorum cultui se addixerunt, consentanea patribus suis facientes. Quid ergo? " Immittam ignem in Iudam, et Hierusalem fundamenta vorabit. ,, Perdam, inquit, hostium manu cunctos regni illius cives, et Hierusalem cum ipsis. ,, Exploratum est prophetam haec de Babyloniis dicere, qui Hierusalem demoliti sunt, et Iudae tribum captivam transtulerunt. Ceterum in sequentibus, de Israhelis id est decem tribuum malis loquens, Assyrios ut par est nominat, qui tribus illas abduxerunt captivas. Quamobrem apparet unam veluti existimari a propheta populi captivitatem ab Assyriis ac Babyloniis peractam: quamquam reapse alii fuere qui decem tribus ceperunt,

τῶν Βαβυλωνίων· εἰ γὰρ ἕτεροι μὲν ἦσαν οἱ τὰς δέκα λαβόντες φυλὰς, οἱ Ἀσσύριοι, λέγω·
Βαβυλώνιοι δὲ οἱ τὴν τῆς Ἰούδα λαβόντες φυλῆς· καί τις καὶ χρόνος ἐν μέσῳ γεγόνει·
ἐπειδὴ τοῦ παντὸς λαοῦ τὴν αἰχμαλωσίαν τοῦτον συνέβη πληρωθῆναι τὸν τρόπον· ἀρξαμένην
μὲν ἀπὸ τῶν δέκα, περαιωθεῖσαν δὲ εἰς τὴν τοῦ Ἰούδα φυλῆς· διόπερ καὶ οἱ προφῆται τὰ
περὶ τὸν λαὸν ἐσόμενα ἐξαγγέλλοντες, ποτὲ μὲν ἐκείνων, ποτὲ δὲ μέμνηνται τούτων, ὡς p. 156.
ἀμφοτέρων εἰς τὸν λαὸν συντελούντων, πρὸς μίαν τε τινὰ τοῦ κοινοῦ τὴν αἰχμαλωσίαν ἀνα-
φερομένων, κἂν εἰ διῃρημένοις πως γεγόνει τοῖς καιροῖς.

“ Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀπο- v. 6.
στραφήσομαι αὐτόν; ,, Εἶτα εἰρηκὼς ὅτι ὑπὲρ ὧν ἐπιτεταμένως ἠσέβουν ἀποστρέφεται δικαίως,
λέγει καθεξῆς καὶ τὰ τούτων πλημμελήματα πλεῖστα γε ὄντα. “ Ἀνθ᾽ ὧν ἀπέδοντο δί-
καιον ἀργυρίου. ,, Δίκαιον οὐ τὸν κατ᾽ ἀρετὴν λέγει νῦν, ἀλλὰ τὸν ᾧπερ ἐπὶ τῆς κινουμένης
ἀμφισβητήσεως δίκαια προσῆν· ἵνα εἴπῃ ὅτι χρημάτων προεδίδοσαν τὴν τοῖς δικαίοις
ὠχυρωμένους· καὶ ἐπιτείνων τὸ λεγόμενον “ καὶ πένητα ἕνεκεν ὑποδημάτων τῶν πατούντων
ἐπὶ τὸν χοῦν τῆς γῆς. ,, Ἄχρι γὰρ τοσούτου φησὶ τὴν αἰσχροκερδίαν ἐξέτειναν τὴν ἑαυτῶν, ὥστε
τῶν πενήτων προδιδόναι τὸ δίκαιον ὑπὲρ εὐτελεστάτων λημμάτων· τοῦτο γὰρ δηλοῖ τὸ ὑπο-
δημάτων τῶν πατούντων ἐπὶ τὸν χοῦν τῆς γῆς· ὅπερ ἦν ἔλεγχος σαφὴς τοῦ μηδένα λόγον
ποιεῖσθαι τοῦ δικαίου, εἴ γε καὶ ἐπ᾽ εὐτελέσι αὐτὰ λήμμασι διεπράττοντο εὐκόλως. “ Καὶ v. 7.
ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν. ,, Τῶν αὐτῶν λέγει, ὅτι οὐ μόνον οὐκ ἐπήμυνον αὐτοῖς
δίκαια αἰτοῦσιν, ἀλλὰ καὶ προσέπληττον ἀδεῶς· ὅθεν ἐπάγει. “ Καὶ ὁδὸν ταπεινῶν ἐξέ-
κλιναν. ,, Καὶ τῶν πεπραγμένων αὐτοῖς φησὶν ὀρθῶς ἐχόντων, μετέτρεπον εἰς τοὐναντίον τὴν p. 157.
κρίσιν, ἀμελοῦντες αὐτῶν διὰ τὴν ταπεινότητα. “ Καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο v. 8.
πρὸς τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν· καὶ τὰ ἱμάτια

Assyrii scilicet: Babylonii autem, qui Iudae tribum abstulerunt: et quidem tempus aliquod intercessit: sic tamen universi populi contigit compleri captivitatem, coeptam a decem tribubus, et in Iudae tribu absolutam. Quare et prophetae eventuras populo res denunciantes, modo illos modo hos memorant, quia ambo populum unum constituunt, atque ad unam communiter captivitatem traducti fuerunt; etiamsi haec distinctis temporibus contigit.

“ Haec dicit Dominus: super tribus sceleribus Israhelis, et super quatuor non aversabor eum? Postquam dixit, se illos propter continuata peccata iuste aversari, narrat in sequentibus illorum iniquitates plurimas: “ propterea quod vendiderint argento iustum. ,, Iustum nunc non dicit hominem virtute ornatum, sed illum cui in litium controversia ius aequum reddendum erat. Ait igitur propter pecuniam proditos fuisse homines, quibus aequitas iuris favebat. Intendensque adhuc verba ait: “ et pauperem propter calceamenta quae terrae pulverem calcant. ,, Usque adeo, inquit, turpe lucrum suum ampliaverunt, ut pauperum ius propter vilissima munera venderent. Id enim valeant verba: propter calceamenta, quae terrae pulverem calcant, quod sane indicium manifestum erat, nullam aequi haberi rationem, si tam facile ob vilia munuscula ita se gerebant. “ Et pugno verberabant capita pauperum. ,, Loquitur de iisdem, aitque non solum defensos non fuisse ius petentes pauperes, sed licenter etiam verberatos. Unde addit: “ et viam humilium declinabant. ,, Quumque illorum acta recte se haberent, contrariam sententiam tulerunt, despicatui habentes ipsorum humilitatem. “ Et filius ac pater eius ingrediebantur ad eandem puellam, ut contaminarent nomen Dei sui. Et vestimenta sua funiculis alligantes,

αὐτῶν δεσμεύοντες χοινίοις παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου· καὶ οἶνον ἐκ
συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ θεοῦ αὐτῶν. „ Δι' ὑπερβολὴν ἀσελγείας οὐδένα λόγον
οὐδὲ τῶν τῆς φύσεως ποιούμενοι νόμων, πατήρ τε καὶ υἱὸς ἀδεῶς συνεμίγνυντο ταῖς αὐταῖς·
τοσαύτης βλασφημίας παραίτιοι γινόμενοι τῷ θεῷ, ὃν ἐπικαλεῖσθαι ἐδόκουν· καὶ δὴ σκη-
νὰς ἐξ ἱματίων κατασκευάζοντες πλησίον τοῦ θυσιαστηρίου, καὶ οὐδὲ τὴν ἐγγύτητα ἐντρεπό-
μενοι τῶν ἁγίων, τήν τε ἀκολασίαν ἐξεπλήρουν ταύτην· καὶ ἐκ τῆς τῶν πενήτων ἐπηρείας
ἃς πολυτρόπως ἠδίκουν, ἑορτὴν τινὰ μετὰ μέθης ἐν τῷ τοῦ θεοῦ συνίστων οἴκῳ.
v. 9. “ Ἐγὼ δὲ ἐξῆρα τὸν Ἀμορραῖον ἐκ προσώπου αὐτῶν· οὗ ἦν καθὼς ὕψος κέδρου τὸ
ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν ὡς δρύς· καὶ ἐξῆρα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν, καὶ τὰς ῥίζας
v. 10. αὐτοῦ ὑποκάτωθεν· καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου· καὶ περιήγαγον ὑμᾶς ἐν τῇ
ἐρήμῳ τεσσαράκοντα ἔτη, τοῦ κατακληρονομῆσαι τὴν γῆν Ἀμορραίων· καὶ ἔλαβον ἐκ τῶν υἱῶν
p. 158. ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν. „ Καὶ ταῦτα διεπράττεσθε,
v. 11. τῶν εὐεργεσιῶν οὐ μεμνημένοι τῶν ἐμῶν, οὔθ' ὅτι τὸν Ἀμορραῖον οὕτως μέγαν τε ὄντα καὶ
δυνατὸν παντελῶς ἠφάνισα, οὐδὲ λείψανον αὐτοῦ τι καταλιπὼν ἐπὶ τῆς γῆς· οὐδ' ὅτι δου-
λεύοντας ὑμᾶς ἐξήγαγον ἐξ Αἰγύπτου· οὔθ' ὅτι κατὰ τὴν ἔρημον τεσσαράκοντα ὑμᾶς ἔτη
διέθρεψα ποικίλως· ὥστε τὴν τῶν Ἀμορραίων γῆν τὴν οὐδὲν ὑμῖν προσήκουσαν εἰς κτῆσιν παρα-
σχεῖν· ἐφ' οἷς ἅπασι προφητικῆς τε χάριτος ἐνίοις ὑμῶν ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ μεταδέ-
δωκα· καὶ δὴ καὶ τινὰς τῶν ἐν ὑμῖν ἐπιλεξάμην, ὡς ἂν ἐπιμελεστέρῳ τε καὶ κρείττονι προσ-
ανέχοιεν βίῳ, κόσμον ἅπασι φέροντες τοῖς λοιποῖς. Καὶ ἐπειδὴ ταῦτα πρόδηλα πᾶσιν ἦν,
ὁμοίως εἰπὼν “ μὴ οὐκ ἔστι ταῦτα υἱοὶ Ἰσραὴλ, λέγει κύριος; „ οὐ γὰρ δυνατὸν ὑμῖν
v. 12. φησὶν ἀρνεῖσθαι ταῦτα οὕτως ἔχοντα. Ἀκολούθως τοῖς ἀνωτέροις ἐπάγει. “ Καὶ ἐποτίζετε τοὺς
ἡγιασμένους οἶνον· καὶ τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες, οὐ μὴ προφητεύσητε. „ Διε-

faciebant velamina iuxta altare: et vinum de calumniis bibebant in domo Dei sui. „ Propter immanem libidinem, naturae leges pensi non habebant, paterque ac filius proterve iisdem feminis miscebantur: tantae se blasphemiae apud Deum reos facientes, quem invocare videbantur. Quin etiam papiliones ex suis vestibus sibi apud altare tendebant, ne loci sancti quidem propinquitatem reverentes, ibique hanc libidinem explebant. Tum de pauperum damno, quos multiplici iniustitia vexabant, sollemnitatem sibi quodammodo non sine crapula intra Dei domum constituebant.

“ Et tamen ego sum qui exterminavi Amorrhaeum a facie eorum, cuius altitudo sicut cedri proceritas erat, et robur ut quercus: abstulique fructum eius desuper, et radices eius subter. Ego sum qui vos de regione Aegypti eduxi, et quadraginta annis in deserto circumduxi, ut Amorrhaeorum regionem possideretis. Assumpsique de filiis vestris in prophetas, et de iuvenibus vestris in sanctificationem. „ Vos inquam talia patrastis beneficiorum meorum immemores: nec quod ego Amorrhaeum talem tantumque ac potentem prorsus destruxerim, nullis eius relictis in terra vestigiis: nec quod vos servituti mancipatos de Aegypto eduxerim: nec annis quadraginta multifariam vos in deserto aluerim; donec Amorrhaeorum regionem nullo humano iure ad vos pertinentem potestati vestrae tradidi. Praeter haec omnia, nonnullos vestrum, publicae utilitatis causa, propheticae quoque gratiae feci participes: denique et ex vobis aliquos delegi, qui accuratiori meliorique vitae generi addicti, ornamento ceteris essent. Et quia haec omnibus perspicua erant, pariter addit: “ numquid non ita est, filii Israhelis, dicit Dominus? „ Profecto haec verissima, negari a vobis nequeunt. Tum superioribus consentanee addit. “ At vos

μένετε γὰρ προδήλως εἰς τὴν χάριν ἐξυβρίζοντες τὴν ἐμήν, τούς τε πρὸς ἀκριβέστερον
ἀφωρισμένους βίον ἀναγκάζοντες οἴνου μετέχειν καὶ τῶν λοιπῶν ὁπόσων διὰ τὴν ἐπαγγελίαν
ἀπέχεσθαι ἐσπούδαζον τὴν οἰκείαν, καὶ αὐτοὺς προφήτας προδήλως κωλύοντες τὸ ἔργον ἐκτελεῖν
τὸ οἰκεῖον· ὑπὲρ δὴ τούτων τί;

“ Διὰ τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν, ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ γέμουσα v. 13. p. 159.
καλάμης· καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως· καὶ ὁ κραταιὸς οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ· v. 14.
καὶ ὁ μαχητὴς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ· καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ· καὶ ὁ ὀξὺς τοῖς v. 15.
ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ· καὶ ὁ ἱππεὺς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ· καὶ ὁ κραταιὸς οὐ
μὴ εὕρῃ τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις. ,, Τοιαύτας ὑμῖν ἐπάξω τὰς τιμωρίας, ὥστε v. 16.
δίκην ἁμάξης ἄγαν πεφορτισμένης καὶ πολλὴν ἐκ τοῦ βάρους τῶν ἐπικειμένων ἐν τῷ ἕλκεσθαι τὸν τρισμὸν ἀποτελούσης, πιεζομένους ὑμᾶς τῷ βάρει τῶν κακῶν, ὀλολυγαῖς τε καὶ στεναγμοῖς μετὰ πολλῆς κεχρῆσθαι τῆς ἐπιτάσεως· ὡς μή τε τῷ πρὸς δρόμον ἠκονημένῳ δυνατὴν εἶναι τὴν ἀπὸ τῶν κακῶν φυγήν, μή τε τῷ ἰσχυρῷ τῆς προσούσης εἶναι τι δυνάμεως ὄφελος, μή τε τῷ περὶ μάχην καὶ πόλεμον παρεσκευασμένῳ δυνατὸν εἶναι ἐντεῦθεν εὑρέσθαι τινὰ σωτηρίαν· ἀνυπόστατον δὲ εἶναι τὸ πρᾶγμα καὶ τῷ περὶ τὴν τοξείαν ἐμπείρῳ· μὴ δύνασθαι δὲ μὴ δὲ ὀξύτητι ποδῶν κεχρημένον εὑρέσθαι τινὰ σωτηρίαν· ἀλλὰ μὴ δὲ ἐφ' ἵππων ἐλαύνειν εἰδότα· τούς τε ἐπὶ ἰσχύϊ μέγα φρονοῦντας, μὴ δὲ εὑρίσκειν ὅπως ἂν τῇ μενούσῃ χρήσαιντο δυνάμει· ταῦτα εἰς ἀπόδειξιν τοῦ μεγέθους τῶν κακῶν εἰρηκώς, ἐπάγει.
“ Ὁ γυμνὸς φεύξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος. ,, Ἵνα εἴπῃ ὅτι ὁ πενέστατος p. 160.
καὶ δι' ὑπερβολὴν ἀπορίας τε καὶ εὐτελείας, οὐδὲ ἐν λόγῳ τοῖς λοιποῖς ὑπάρχων, οὗτος μόνος εὕρετο ἂν τότε σωτηρίαν, ἀμελούντων αὐτοῦ τῆς συλλήψεως, διὰ τὴν εὐτέλειαν, τῶν πολεμίων· εἶτα ἐπισυνάπτει τοῖς εἰρημένοις.

sanctificatis viris vinum propinastis: et prophetis mandastis dicentes: ne prophetetis. ,, Vos quidem in gratiam meam constanter iniurii fuistis, dum et homines vitae puriori deditos, participare vinum coëgistis, nec non reliqua omnia, a quibus secundum propositum suum abstinere volebant: denique etiam prophetas, quominus opere suo fungerentur, prohibuistis. Quid inde porro?

“ Quapropter ecce ego volvo subter vos, quemadmodum volvitur plaustrum stipula plenum. Et peribit fuga a cursore: et fortis non possidebit vires suas: et pugnator non salvabit animam suam: et sagittarius non sustinebit: et velox pedibus suis non salvabitur: et eques non salvabit animam suam: et validus non inveniet cor suum in potentatibus. ,, Tales ego vobis poenas adducam, ut plaustri instar valde onusti, et propter grave onus impositum, dum trahitur, stridorem edentis, pressos vos malorum pondere, ululatibus ac gemitibus, multa cum vocis contentione, indulgere opus sit. Tum neque expedito ad cursum fugere mala licebit, neque forti suae vires proderunt, neque ad pugnam bellumque paratus salutem consequi potis erit: sed et sagittandi peritus impossibile negotium habebit: neque si quis pedum pernicitate valet, salutem consequetur: neque item equos agitare doctus: postremo ne ii quidem qui suis viribus valde confidunt, rationem invenient qua haerentem sibi virtutem exserant. His ob malorum magnitudinem demonstrandam dictis, pergit porro. “ Ille qui nudus est die illa effugiet, dicit Dominus. ,, Pro eo ac dicat: pauperrimus quisque, et ob egestatem vilitatemque suam nullo in pretio apud alios habitus, hic solus salute potietur, negligentibus eum comprehendere vilitatis causa hostibus. Mox ante dictis sequentia connectit.

ΚΕΦ. Γ'.

v. 1. “ Ἀκούσατε τὸν λόγον τοῦτον ὃν ἐλάλησε κύριος ἐφ᾽ ὑμᾶς, οἶκος Ἰσραήλ, καὶ κατὰ
πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ τῆς Αἰγύπτου λέγων· πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν φυλῶν τῆς
v. 2. γῆς· διὰ τοῦτο ἐκδικήσω ἐφ᾽ ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν. ,, Μὴ δὲ πάρεργα φησὶ
ποιήσεσθε ταῦτα δὴ τὰ περὶ ὑμῶν ἀποπεφασμένα παρὰ τοῦ θεοῦ· ἐπειδὴ ὁ πάντας ὑμᾶς
τῆς ἐν Αἰγύπτῳ δουλείας ἀπαλλάξας, ἐξαίρετόν τε τότε παρὰ πάντας ἀνθρώπους περὶ
ὑμᾶς τὴν κηδεμονίαν ἐπιδειξάμενος, οὗτος δὴ καὶ νῦν ἀποφαίνεται ταῦτα περὶ ὑμῶν δι-
καίαν ἀπειλῶν τὴν τιμωρίαν, ὑπὲρ ὧν οὕτως ἀγνώμονες περὶ τὸν τοσοῦτον γεγόνατε εὐεργέ-
v. 3. την. “ Εἰ πορεύσονται δύο ἐπὶ τὸ αὐτὸ καθόλου, ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς. ,, Εἰς βε-
βαίωσιν τῶν εἰρημένων, καὶ ἀπόδειξιν τοῦ μὴ ὡς ἔτυχεν εἰρῆσθαι τὰ εἰρημένα, ἐπάγει ταυτὶ
τοιοῦτο τί λέγων· εἰ ἐγχωρεῖ, φησὶ, δύο κατὰ ταυτὸν μακρὰν ἀνύοντας ὁδὸν διὰ παντὸς ἀλ-
λήλοις κρύψαι τῆς ὁδοῦ τὴν αἰτίαν, καὶ μὴ κοινώσασθαι ἑαυτοὺς περὶ ταύτης, καὶ δὴ καὶ κοινῇ
p. 161. γνώμῃ τὴν ὁδοιπορίαν ἀνύσαι, ἐνδέξεται καὶ τοὺς πολεμίους μὴ κατὰ γνώμην τοῦ θεοῦ ἐλθεῖν
v. 4. ἐφ᾽ ὑμᾶς. “ Εἰ ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ, θήραν οὐκ ἔχων· εἰ δώσει σκύμνος
φωνὴν αὐτοῦ καθόλου, ἐὰν μὴ ἁρπάσῃ τι. ,, Εἰ ἐνδέχεται φησὶ λέοντα ἢ ἐκ τῆς μάνδρας
βοῆσαι τῆς οἰκείας, μὴ θήρας ἔχοντα προσδοκίαν· εἰ καὶ ἑωρακότα τι, μὴ ἁρπάσαι· καὶ
γὰρ καὶ σκύμνον πάλιν τὸν λέοντα λέγει· ὡς ὅτ᾽ ἂν εἴπῃ· τί ἐστιν ἄνθρωπος, ἢ υἱὸς ἀν-
* Ps. VIII. 5. θρώπου *, εἰ τοίνυν ταῦτα φησὶν οἷόν τε γενέσθαι, ἐνδέχεται καὶ τὸν πολέμιον τὸν ὑμέτερον
v. 5. τῇ ἐφ᾽ ὑμᾶς ὁρμῇ χρήσασθαι, μὴ πάντας ὑμᾶς ὥσπερ τινὰ συλλαμβάνοντα θήραν. “ Εἰ
πεσεῖται ὄρνεον ἐπὶ τὴν γῆν ἄνευ ἰξευτοῦ· εἰ καθήσεται παγὶς ἐπὶ τῆς γῆς, ἄνευ τοῦ συλ-
λαβεῖν τι. ,, Ὡς γὰρ τά τε ὄρνεα φησὶν ὑπὸ ἰξευταῖς λαμβάνεσθαι εἴωθεν· αἵ τε παγίδες

CAP. III.

“ Audite verbum hoc, quod locutus est Dominus super vos, o domus Israhelis, et adversus omnem tribum quam Aegypto eduxi, dicens: verumtamen vos cognovi de cunctis tribubus terrae: idcirco ulciscar super vos omnia peccata vestra. ,, Neque perfunctorie haec aestimetis a Deo de vobis pronunciata: nam qui vos omnes de Aegypti servitute liberavit, singularem prae cunctis hominibus sollicitudinem vestri ostendens, idem nunc quoque ad vos loquitur iustam minitans poenam, eo quod ingrati benefactori tanto extiteritis. “ Si omnino ambulabunt duo pariter, quin inter se mutuo revelent? ,, Ad dictorum confirmationem, demonstrandumque haud temere haec dicta fuisse, subnectit sequentia huiusmodi: si fieri potest, inquit, ut duo longam pariter emetientes viam, invicem celent profectionis causam, neque hanc inter se communicent, ut coniuncta sententia iter absolvant; si hoc inquam fiet, tum etiam hostes absque Dei voluntate vos adgredientur. “ Si rugiet in silva leo, nisi habuerit praedam; si dabit catulus eius vocem suam omnino, nisi aliquid rapuerit. ,, Si fieri potest ut leo de spelunca sua clamet, nisi ferae capiendae immineat; vel si aliquid videat, non rapiat. Nam etiam vocabulo *catulus* leonem denuo dicit: veluti ubi dicitur: quid est homo, aut filius hominis? Si ergo, inquit, haec fieri possint, tunc continget etiam, ut hostis vester adversus vos impetum faciat, quin simul omnes vos tamquam praedam venaticam capiat. “ Si cadet avis in terram absque aucupe; si demittetur laqueus in terra, quin aliquid comprehendat. ,, Sicut enim, inquit, aves ab aucupibus capi solent; et laquei tunc

τηνικαῦτα ἐκπίπτειν, ἐπειδ' ἂν τι καὶ συλλαμβάνειν μέλλωσιν, οὕτω καὶ ὑμᾶς τὸ τοσοῦτο
μεῖναι τῶν κακῶν ἀνάγκη, τῶν πολεμίων κατὰ γνώμην θείαν ἐπιόντων τε καὶ συλλαμβανο-
μένων, καὶ δὴ καὶ εἰς αἰχμαλωσίαν ἀπαγόντων ὑμᾶς. " Εἰ φωνήσει σάλπιγξ ἐν πόλει, v. 6.
καὶ λαὸς οὐ πτοηθήσεται. „ Εἰ ἐνδέχεται ἀθρόον σάλπιγγος ἐν πόλει βοησάσης, μὴ πᾶσι
πτόησιν ἐγγίνεσθαι ἐπὶ τῇ τῶν γινομένων ἀδηλίᾳ, ἐνδέξεται καὶ ὑμᾶς ἀθορύβως καὶ ἀβλα-
βῶς τῆς πολεμικῆς ἀκοῦσαι σάλπιγγος. " Εἰ ἔσται κακία ἐν πόλει, ἣν κύριος οὐκ ἐποίησεν. „ p. 162.
Ὡς δὲ ταῦτα ἀδύνατον μὴ καθ' ὃν ἔφη γίνεσθαι τρόπον, οὕτως ἀδύνατον καὶ τὰ περὶ τὴν
πόλιν τὴν ὑμετέραν συμβῆναι κακὰ, μὴ θεοῦ ἐπαγαγόντος ὑμῖν.

" Διότι μὴ ποιήσῃ κύριος ὁ θεὸς πρᾶγμα, ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν αὐτοῦ πρὸς v. 7.
τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. „ Οὐ τοίνυν οὐδὲ ἡμεῖς μάτην φθεγγόμεθα, ἀλλ' ὅποσα
θεὸς δέδωκεν ἡμῖν εἰπεῖν· ὃς πρὸ τῶν πραγμάτων βούλεται δι' ἡμῶν μηνύεσθαι τὰ ἐσό-
μενα, καὶ ἅπερ εἰς παίδευσιν ἐπάγειν μέλλει τὴν ὑμετέραν· ὡς ἂν εἰδείητε τῶν ἐπαγομένων
ὑμῖν κακῶν τὴν αἰτίαν, παρ' ὅτου τε καὶ ὑπὲρ ὧν ἐπάγεσθαι μέλλει. " Λέων ἐρεύξεται, καὶ v. 8.
τίς οὐ φοβηθήσεται; κύριος ὁ θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει; „ Οὔτ' οὖν λέοντος
φθεγγομένου μέγα, δυνατὸν μὴ φόβῳ λαμβάνεσθαι τὰ κτήνη· θεοῦ τε ἀποφαινομένου, οὐκ
ἔστιν ἡμᾶς μὴ μετὰ δέους ὑπηρετεῖσθαι τοῖς αὐτῷ δοκοῦσιν. " Ἀπαγγείλατε χώραις ἐν Ἀσσυ- v. 9.
ρίοις, καὶ ἐπὶ τὰς χώρας ἐν γῇ Αἰγύπτου· καὶ εἴπατε, συνάχθητε ἐπὶ τὰ ὄρη Σαμαρείας,
καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς, καὶ καταδυναστείαν ἐν αὐτῇ· καὶ οὐκ ἔγνω ἃ
ἔσται ἐναντίον αὐτῆς, λέγει κύριος. „ Ὡς γὰρ πιστωσάμενος τὸ κατὰ γνώμην θεοῦ μηνύειν v. 10.
αὐτοῖς τὰ ἐσόμενα, πάντες δή φησιν ἀσσύριοί τε καὶ αἰγύπτιοι ἥκετε ἐπὶ τὴν Σαμάρειαν
ὀψόμενοι ἡλίκῃ κατὰ τῶν ἀσθενεστέρων κέχρηνται τῇ δυναστείᾳ· οὐκ ἀναλογιζόμενοι οἷα πεί- p. 163.
σονται ὑπὲρ τούτων, ὀργιζομένου κατ' αὐτῶν τοῦ θεοῦ· γνώσεσθε γὰρ ὅτι δικαίαν αὐτοῖς ὑπὲρ

excidere cum aliquid comprehensuri sunt; ita et vos tantum malorum perpeti necesse erit, hostibus divina voluntate irruentibus et comprehendentibus, immo et in captivitatem vos abducentibus. " Si clanget tuba in civitate, et populus non expavescet. „ Si fieri potest ut tuba in civitate clangente, consternatio non accidat iis qui rei causam ignorant; tunc vos quoque poteritis intrepidi atque indemnes bellicam audire tubam. " Si erit aerumna in civitate, quam Dominus non effecerit. „ Sicut ista impossibile est non ante dicto modo fieri, ita impossibile est civitati vestrae quamlibet aerumnam accidere, nisi eam Deus vobis adduxerit.

" Quamobrem non faciet Deus quicquam, nisi revelaverit disciplinam suam servis suis prophetis. „ Itaque ne nos quidem temere apud vos loquimur, sed quae Deus nobis commisit dicenda; qui ante rerum eventum, vult per nos significare futura, et quae ad correptionem vestram acturus est; ut noscatis inflictorum malorum causam, et quo auctore et quam ob rem eventura sint. " Leo rugiet, et quis non timebit? Dominus locutus est, et quis non prophetabit? Nec leone igitur magnam vocem edente, fieri potest ut bestiae non expavescant: neque Deo revelante, fieri potest quominus nos cum timore obsequamur voluntati eius. " Annuntiate regionibus apud Assyrios, et provinciis in terra Aegypti, et dicite: congregamini super montes Samariae, et videte mirabilia multa in medio illius, et oppressionem in ea: et ignorat quae imminent coram ipsa, ait Dominus. „ Quasi iam fidem impetrasset, se voluntate Dei populo significare futura; omnes, inquit, Assyrii atque Aegyptii venite Samariam, et videte, quanta ibi sit infirmiorum oppressio; dum non reputat fore ut iustam sibi propter sua facinora Deus poenam

ὧν διαπράττονται τοιαύτην ἐπάγει τὴν τιμωρίαν· πεπολιορκηκότες γὰρ αὐτοὺς ἀσσύριοι, τοὺς
καταπεφευγότας ἐξ αὐτῶν ἐπὶ τὴν Αἴγυπτον, ἐξείλκυσάν τε ἐκεῖθεν, καὶ ἐπ' αὐτῆς ἐπι-
* Os. IX. 6. μωρήσαντο τῆς Αἰγύπτου· ὡς καὶ παρὰ τῷ Ὠσηὲ φησὶν *, ὅτι πορεύσονται ἐκ ταλαιπωρίας
Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς· διὰ τοῦτο οὖν πρὸς
ἐκείνους φησὶν, ὡς ἂν μαθεῖν ὀφείλοντας τῆς τιμωρίας αὐτῶν τὴν αἰτίαν. “ Οἱ θησαυρί-
ζοντες ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν. „ Πολλῇ γὰρ τινὶ καὶ ἀμετρήτῳ κέ-
χρηνται τῇ κατὰ τῶν πενήτων ἀδικίᾳ, διαφόρως αὐτοὺς περιβάλλοντες ταῖς ἐπηρείαις.
v. 11. “ Διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεός. Τύρος καὶ κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται,
καὶ κατάξει ἐκ σοῦ τὴν ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου. „ Ὑπὲρ δὴ τούτων φησὶν
ἐπάγει τὸν ἀσσύριον ὑμῖν ὁ θεὸς, ὃς Τύρον τε καὶ πᾶσαν σου τὴν περικειμένην γῆν, ἵνα
εἴπῃ πάντας τοὺς περιοικοῦντας, ἐρήμους ἐργάσεται· ὡς μὴ δὲ μίαν ἐλπίδα μὴ δὲ σοὶ
p. 164. σωτηρίας ὑπολείπεσθαι ὑπὸ τοσούτου πολιορκουμένῳ πολεμίου· ἀφανίσας γὰρ ἅπαντα τὰ τῶν
περιοίκων, ἅπασαν καὶ σοῦ δι' ἁρπαγῆς ποιήσεται τὴν χώραν· ὡς μηδὲν περιλειφθῆναι τῶν
v. 12. λόγου πως ἀξίων εἶναι δοκούντων ἐν σοί. Εἶτα καὶ τῆς ἀπωλείας αὐτῶν ἧς ὑποστήσονται τὴν
βαρύτητα σημαίνων “ τάδε λέγει κύριος, ὃν τρόπον ὅτ' ἂν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόμα-
τος λέοντος δύο σκέλη ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοι-
κοῦντες ἐν Σαμαρείᾳ κατέναντι φυλῆς Δαμασκοῦ. „ Τοσαύτη γὰρ ὑμῶν φησὶ γενήσεται ἡ
ἀπώλεια, ὥστε ἄγαν ὀλίγων περισωθέντων, μηδὲν ἀπεοικέναι τὸ πρᾶγμα προβάτου λη-
φθέντος τε ὑπὸ λέοντος καὶ καταναλωθέντος ἐπὶ τοσοῦτον, ὥστε μόγις βραχέα τινὰ μέρη
ἐξ αὐτοῦ δυνηθῆναι τὸν ποιμένα ἐκπεπτωκότα τοῦ στόματος τοῦ λέοντος λαβεῖν· καὶ ταῦτα
γε, ὧν ὑπερορᾷ ὡς ἀσάρκων τε καὶ πρὸς τροφὴν οὐκ ἐπιτηδείων· τοῦτο γὰρ λέγει τὸ δύο
σκέλη ἢ λοβὸν ὠτίου· οὕτως ὀλίγοι τινὲς καὶ εὐτελεῖς ἐν τῷ πολέμῳ περιλειφθήσονται τούτῳ,
ἐκ τῶν τὴν Σαμάρειαν οἰκούντων κατέναντι τῶν Δαμασκηνῶν· οὓς ὁμοίως ἑαυτοῖς ἀπολλυ-

talem imponat. Nam cum Assyrii eam obsederunt, illos etiam qui illinc ad Aegyptios profugerant, indidem retraxerunt, et apud ipsam Aegyptum puniverunt: sicut etiam apud Oseam dicitur, quod ex Aegypti calamitate procedent, et excipiet eos Memphis, et eos Machmas sepeliet. Propterea igitur ad eos loquitur, ut poenae suae causam cognoscant. “ Qui thesaurizant iniquitatem et miseriam in regionibus suis. „ Multam enim et immodicam adversus pauperes iniquitatem exercuerunt, multimodis eos adficientes iniuriis.

“ Propterea haec dicit Dominus: Tyrus, et in circuitu terra tua desolabitur, et detrahetur ex te fortitudo tua, et diripientur regiones tuae. „ Ea propter, inquit, adducet vobis Assyrium Deus, qui Tyrum, et universam tuam in circuitu terram, id est proximos omnes, in solitudinem rediget: in tantum, ut nulla spes tibi reliqua salutis sit, tali tantoque hoste obsidente; qui post omnia finitimorum absumpta, tuam quoque regionem praedando depopulabitur, ut nihil tibi aestimabile superfuturum sit. Deinde gravitatem quoque exitii quod patientur significat. “ Haec dicit Dominus: quemadmodum si extrahat pastor de ore leonis duo crura aut extremum auriculae, sic eruentur filii Israhelis, qui habitant Samariae, ex adverso tribus Damasci. „ Tanta, inquit, vestra fiet ruina, ut paucis admodum salvatis, res nihil differre videatur, ac si ove a leone comprehensa et adeo consumpta, vix exiguae eius partes a pastore possint ore leonis excidentes colligi: quas quidem is contemnit, utpote excarnificatas et alimoniae non idoneas. Hoc enim denotatur per duo crura et extremum auriculae. Sic nimirum pauci oppido et humiles ex hoc

μένους ὄψονται ὑπὸ τῶν πολεμίων· καὶ γὰρ καὶ τῆς Τύρου πρότερον καὶ νῦν τῆς Δαμασκοῦ μνήμην
ἐποιήσατο, εἰς ἀπόδειξιν τοῦ μεγέθους τῶν κακῶν· ὅτι μὴ δὲ τῶν περιοίκων ἔνεστι τινὰ ἐν τῇ
τῶν Ἀσσυρίων ἐφόδῳ διαφυγεῖν· καὶ γὰρ εἶχεν αὐτοῖς χώραν τὸ λεγόμενον ἁπάντων ἐκείνων p. 165.
ἐν προοιμίοις δεδηλωκότι τὴν ἀπώλειαν.

" Ἱερεῖς ἀκούσατε καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰακώβ, λέγει κύριος ὁ θεὸς ὁ παν- v. 13.
τοκράτωρ· διότι ἐν τῇ ἡμέρᾳ ὅτ' ἂν ἐκδικῶ ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτόν· καὶ ἐκδι- v. 14.
κήσω ἐπὶ τὰ θυσιαστήρια Βαιθήλ· καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου καὶ πε-
σεῖται ἐπὶ τὴν γῆν· καὶ συγχέω καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον ἐπὶ τὸν οἶκον τὸν θε- v. 15.
ρινόν· καὶ ἀπολοῦνται οἱ οἶκοι οἱ ἐλεφάντινοι, καὶ ἀφανισθήσονται ἕτεροι πολλοί, λέγει κύριος. „
Ταῦτα δή φησιν ἀκουέτωσαν μάλιστα πάντων οἱ τὴν ἀσεβῆ τοῖς εἰδώλοις πληροῦντες ἱερα-
τείαν· ὡς ἂν ἐντεῦθεν ἤδη μάθοιεν ὅτι ὁπότ' ἂν δίκας εἰσπράττηται τῆς ἀσεβείας τὸν λαὸν
ὁ θεός, καὶ τὰ θυσιαστήρια πάντα κατασκαφήσεται εἰδώλων, ἔργον τοῦ πολέμου γινόμενα·
τὸ γὰρ Βαιθὴλ ἀπὸ μέρους ἠβουλήθη τὰ εἴδωλα εἰπεῖν· τὸ δὲ κατασκαφήσεται τὰ κέρατα τοῦ
θυσιαστηρίου, καὶ πεσεῖται ἐπὶ τὴν γῆν· ἵνα ὅτι πᾶν τὸ μέγεθος αὐτῶν, καὶ πᾶσα ἡ περι-
φάνεια ἣν εἶχον ἐκ τῆς τῶν ἀσεβῶς θρησκευόντων αὐτοῖς ἐπιμελείας, ἀφανισθήσεται παντε-
λῶς· καὶ γὰρ δὴ καὶ τοὺς οἴκους αὐτῶν καθελῶ, φησίν, ἐκ βάθρων· περίπτερον μὲν γὰρ
λέγει τὸν χειμερινόν, ὡς περιβεβλημένον πανταχόθεν διὰ τὴν τοῦ κρύους προσβολήν· βούλεται p. 166.
δὲ εἰπεῖν ὅτι πάντας πανταχόθεν ἀφανιῶ τοὺς οἴκους· ὡς μὴ θερινῶν μὴ χειμερινῶν μέρος
ἐν αὐτοῖς περιλειφθῆναι· καὶ τοὺς ἐπιδόξους δὲ ἐν αὐτοῖς τῶν οἴκων παντελῶς ἀφανιῶ, τοῦτο
γὰρ λέγει τοὺς ἐλεφαντίνους, οἳ μετὰ πολλῶν ἑτέρων πεσοῦνται, ἅτε μιᾶς ἀποφάσεως κατὰ
πάντων ἐκφερομένης ὑπὸ τοῦ θεοῦ.

bello supererunt, de illis nempe qui Samariam incolunt ex adverso Damascenorum; quos perinde ac se, ab hostibus mactari videbunt. Namque et Tyri antea et nunc Damasci meminit, ut magnitudinem malorum ostendat; et quod nemo ne de finitimis quidem in Assyriorum incursione evadet. Tunc enim evenit quod in prohoemio patefecerat, nempe omnium illorum exitium.

" Sacerdotes, audite et contestamini in domo Iacob, dicit dominus Deus omnipotens: quia in die qua ulciscar iniquitates Israhelis super eum, ulciscar et super altaria Baethelis, et suffodientur cornua altaris, et humi decident: et conteram atque percutiam domum pinnatam super domum aestivam: et peribunt domus eburneae, aliaeque multae dissipabuntur, dicit Dominus. „ Haec, inquit, ii praecipue audiant qui impio idolorum sacerdotio funguntur: ut hinc iam discant, quod cum Deus a populo poenas impietatis exiget, tunc omnia etiam idolorum altaria suffodientur, belli ludibrium effecta. Nam verbo Baethel idola dicere voluit, a parte totum. Dicit autem suffossum iri cornua altaris et humi casura, quia tota illorum magnitudo, et tota pompa, quam a sacrilegorum adorantium cura habebant, funditus destruetur. Nam et illorum, inquit, domos a fundamentis convellam. Porro pinnatam dicit pro hiemalem, quia de domo loquitur undique circumsepta propter frigoris externam vim. Vult autem dicere, ubique se demoliturum domos, ita ut neque aestivae partes illarum remaneant neque hiemales. Immo etiam nobiliores apud eos aedes prorsus destruam; id enim innuit vocabulum eburneae; quae item multis cum aliis corruent, eo quod unum adversus cunctas decretum Dei latum sit.

ΚΕΦ. Δ'.

v. 1. " Ἀκούσατε τὸν λόγον τοῦτον δαμάλεις τῆς Βασανίτιδος, αἱ ἐπὶ τοῦ ὄρους Σαμαρείας,
αἱ καταδυναστεύουσαι πτωχοὺς, καὶ καταπατοῦσαι πένητας, καὶ λέγουσαι τοῖς κυρίοις ἑαυτῶν,
ἐπίδοτε ἡμῖν ὅπως πίωμεν. ,, Ἐντεῦθεν τρέπει πρὸς τὰς γυναῖκας τὸν λόγον, αἳ πρὸς
ἄπρακτον καὶ ὑπερήφανον νεύσασαι βίον, τούς τε πένητας ἠδίκουν ἐκ τῆς περιούσης δυναστείας·
τούτῳ συγκεχρημέναι, καὶ δὴ καὶ κατάρχουσαι τῶν ἀνδρῶν τῶν οἰκείων, εἰς ὑπουργίαν ἀπρεπῶν
ἐχρῶντο πραγμάτων· οἷόν τι καὶ παρὰ τῆς Ἰεζάβελ ἐφαίνετο γεγονὸς, ὅτε ὁ μὲν Ἀχαὰβ
τὴν ἀντίῤῥησιν ᾐδέσθη τοῦ Ναβουθαὶ δικαίαν οὖσαν· ἡ δὲ μιαρῷ καὶ ἀναιδεῖ καὶ φονικῷ τρόπῳ
χρωμένη, οὐδὲ ἀνελεῖν ὤκνησε τὸν Ναβουθαὶ, ὡς ἂν ἀφέλοιτο αὐτοῦ τὸν ἀμπελῶνα, ὃν εἰκότι
λόγῳ διδόναι οὐκ ἠνείχετο· καλεῖ δὲ αὐτὰς δαμάλεις μὲν τῆς Βασανίτιδος, ὡς ἂν ἀγρίων
p. 167. μάλιστα καὶ ἀνημέρων οὐσῶν τῶν ἐν ἐκείνῳ τῷ τόπῳ τρεφομένων δαμάλεων· εἰρηκὼς δὲ τὴν
εἰς τοὺς πένητας αὐτῶν ἀδικίαν, ἐπήγαγε τὸ, αἱ λέγουσαι τοῖς κυρίοις ἑαυτῶν, ἐπίδοτε
ἡμῖν ὅπως πίωμεν· ἵνα εἴπῃ ὅτι οὐδὲ τοῖς ἑαυτῶν ἀνδράσιν, οὓς ἐχρῆν ὡς ἡγουμένους αἰ-
δεῖσθαι διὰ τὴν τῆς φύσεως τάξιν, ὀκνοῦσαι πρὸς τὴν ἀσέλγειαν τὴν ἑαυτῶν ἀποκεχρῆσθαι·
μόνον δὲ οὐκ ἐπιτάττουσαι αὐτοῖς ἅπαντα ποιεῖν ὁπόσα περ ἂν πρὸς τὴν αὐτῶν ἀσέλγειαν
v. 2. συνεργῇ· τί οὖν; " Ὀμνύει κύριος κατὰ τῶν ἁγίων αὐτοῦ, διότι ἡμέραι ἔρχονται ἐφ' ὑμᾶς,
v. 3. καὶ λήψονται ὑμᾶς ἐν ὅπλοις· καὶ τοὺς μεθ' ὑμῶν εἰς λέβητας ὑποκαιομένους ἐμβαλοῦσι· καὶ
ἐξενεχθήσεσθε γυμνοὶ, γυνὴ καὶ ὁ ἀνὴρ ἀπέναντι ἀλλήλων· καὶ ἀποῤῥιφήσεσθε εἰς τὸ ὄρος
Ἀρμανὰ, λέγει κύριος. ,, Ἀπεφήνατο φησὶν ὁ θεὸς ἃ μὴ δὲ μεταβολὴν δυνατὸν δέξα-
σθαι· τοῦτο γὰρ τὸ ὀμνύει δηλοῖ· ὅτι παρέσται καιρὸς ἐν ᾧ τούτων δώσετε δίκας· ἐπιθήσονται
γὰρ ὑμῖν πολέμιοι, οἳ λαβόντες ὑμᾶς αἰχμαλώτους, ἀνηκέστοις ἐμβαλοῦσι κακοῖς, ὥστε κατὰ
ταυτὸν πάντων τῶν προσόντων νῦν ἀγαθῶν γυμνωθέντας, ὁμοῦ τάς τε τοιαῦτα ἐργαζομέ-

CAP. IV.

" Audite verbum hoc, vaccae Basanitidis, quae estis in monte Samariae, quae opprimitis pauperes, et conculcatis egenos, quae dicitis dominis vestris: date nobis ut bibamus. ,, Abhinc ad mulieres convertit sermonem, quae inerti ac superbo vitae generi intentae, pauperibus iniurias faciebant praepotentia sua. Tali more utentes, et viris suis etiam dominantes, his abutebantur ad indigna patranda auxiliaribus: quod factum a Iezabele apparuit, cum Achaabus contradictionem reveritus est, utpote iustam, Nabuthis; illa autem scelesto et impudente cruentoque modo utens, ne occidere quidem dubitavit Nabuthem, ut eius vineam usurparet, quam ille aequa de causa concedere recusaverat. Vocat autem ipsas vaccas Basanitidis, quia feroces admodum saevaeque nutriebantur illo in loco vaccae. Iam postquam dixit de iniquitate erga pauperes, addit: quae dicunt dominis suis, date nobis ut bibamus. Nempe ut significet, illas ne viris quidem suis, quos ut rectores revereri naturae lege oportebat, verecundari ad luxuriam suam abuti: illis propemodum imperantes omnia facere quae ipsarum libidini favebant. " Iurat Dominus per sanctos suos, quoniam dies veniunt super vos, et tollent vos in armis, et eos qui vobiscum sunt in ollas succensas iniicient: et eiiciemini nudi, mulier atque vir, coram invicem: et proiiciemini in montem Armanam, dicit Dominus. ,, Decrevit Dominus rem quae mutari non potest: hoc enim denotat verbum iurat; tempus adfore quo de his poenas dabitis: supervenient enim vobis hostes, qui vos captivatos in-

νας γυναῖκας, καὶ σὺν ὑπηρετουμένους αὐταῖς πρὸς τὰ τοιαῦτα ἄνδρας, αἰχμαλώτους
ἐπὶ τὴν τῶν Ἀσσυρίων ἀπαχθῆναι χώραν· Ἀρμανὰ γὰρ τὸ Ἀρμενίων ὄρος καλεῖ, ὅπερ p. 168.
ὑπὸ τὴν Ἀσσυρίων ὂν ἐτύγχανε τότε βασιλείαν.

“ Εἰσήλθετε εἰς Βαιθὴλ, καὶ ἠνομήσατε· καὶ εἰς Γάλγαλα, καὶ ἐπληθύνατε τοῦ ἀσε- v. 4.
βῆσαι· καὶ ἠνέγκατε πρωῒ θυσίας ὑμῶν, καὶ εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν· καὶ
ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίαν. ,, Ἐνταῦθα καὶ περὶ τὰ εἴδωλα v. 5.
αὐτοῖς σπουδὴν ὀνειδίζει· τοῦτο γὰρ λέγει τὸ εἰς Βαιθὴλ καὶ εἰς Γάλγαλα εἰσήλθετε· ἐκ τούτου
εἰωθότως τὴν περὶ τὰ εἴδωλα θεραπείαν δηλῶν· καὶ μετὰ πολλῆς μὲν ἠσεβεῖτε τῆς προθυ-
μίας· προσήγετε δὲ σπουδῇ καὶ τὰς θυσίας· τὸ δὲ εἰς τὴν τριημερίαν, ἢ διὰ τριῶν ἡμερῶν
εἰπεῖν βούλεται, εἰς δήλωσιν τοῦ συνεχῶς τὴν προσαγωγὴν τῶν θυσιῶν ποιεῖσθαι· ἢ τρόπον
τινὰ καθ' ὃν τὰς θυσίας ἐπετέλουν τότε τοῖς εἰδώλοις· αὐτόθι δὲ καὶ τὰς δεκάτας προσε-
φέρετε, καὶ νόμον τινὰ ἀναγινώσκετε τὸν ὑμῖν δοκοῦντα· τὰς συνθήκας ἐπ' αὐτοῦ πρὸς τὰ
εἴδωλα ποιούμενοι· καὶ συντόμως εἰπεῖν ἅπαντα δὴ ἃ προσῆκον ἦν ὑμᾶς κατὰ τὸν νόμον τὸν
θεῖον ἐπὶ τῆς Ἱερουσαλὴμ ἀποπληροῦν τῷ θεῷ, ταῦτα ἐν τοῖς προῤῥηθεῖσι τόποις καὶ περὶ
τὰ εἴδωλα κατὰ μίμησιν τῶν ἐμοὶ διατεταγμένων ποιοῦντες· οἷς καλῶς ἐπάγει. “ Ἀπαγγεί-
λατε ὅτι ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ἰσραὴλ, λέγει κύριος ὁ θεός. ,, Γενέσθω δὴ πᾶσι κατα-
φανὴς αὐτῶν ἡ περὶ τὰ τοιαῦτα σπουδὴ, ὡς ἂν καὶ ὑπὲρ ὅτου διδόασι δίκας, γένοιτο δῆλον· p. 169.
τί γάρ; “ Καὶ ἐγὼ δώσω ὑμῖν γομφιασμὸν ὀδόντων ἐν πάσαις ταῖς πόλεσιν ὑμῶν, καὶ ἔν- v. 6.
δειαν ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει κύριος. ,, Καὶ
γὰρ καὶ συντριβὴν ὑμῶν ἐργάσομαι πλείστην, καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ περιβαλῶ· καὶ
οὐδὲ ἐπὶ τούτῳ σωφρονισθέντες νεύσετε πρός με· γομφιασμὸν γὰρ ὀδόντων τὴν ἄγαν συντρι-
βὴν λέγει· ὡς καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ *, ὁ θεὸς σὺν ὀδόντας αὐτῶν συντρίψει * Ps. LVII. 7.

tolerandis irretient malis: quia nempe cunctis simul spoliati bonis, cum pravi moris mulieribus, et cum subservientibus ad peccandum viris, captivi ad Assyriorum regionem ducemini. Armanam vero dicit montem Armeniorum, qui tunc in ditione Assyriorum erat.

“ Introistis in Baethel, et impie egistis. In Galgala, et multiplicastis praevaricationem. Adtulistis mane victimas vestras, in triduum decimas vestras. Et legerunt deforis legem, et invocaverunt confessionem. ,, Hoc loco sedulitatem erga idola illis exprobrat: id enim valent verba, in Baethel atque Galgala introistis; ita idolorum cultum de more significans: et quidem alacriter admodum praevaricantes, sacrificia sedulo adtulistis. Iam in triduum dicit, vel tres dies intelligens ob ostendendam frequentiam qua sacrificia offerebant: vel peculiarem aliquem modum, quo sacrificia apud idola peragebant. Illuc autem decimas quoque intulistis, et legem quandam pro libito vestro legistis; et foedera super hac apud idola fecistis: atque ut summatim dicam, omnia illa quae vos decebat secundum divinam legem Hierosolymis praestare Deo, haec in praedictis locis erga idola, ex institutionum mearum norma fecistis. Quibus praeclare subiungit. “ Annunciate, quoniam haec dilexerunt filii Israhelis, dicit Dominus. ,, Omnibus exploratum sit istorum erga idola studium, ut simul constet quamobrem poenas luerint. Quid vero? “ Et ego dabo vobis stuporem dentium in cunctis urbibus vestris, et indigentiam panum in omnibus locis vestris; et non revertemini ad me, dicit Dominus. ,, Equidem multam faciam vestri contritionem, et plurima necessariarum rerum egestate premam; neque tamen idcirco emendati ad me declinabitis. Nam dentium stuporem dicit, pro

ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος. βουλόμενος τὴν ὑπερ-
βάλλουσαν εἰπεῖν συντριβὴν, ὡς ἄχρι τῶν ὀδόντων ἐσομένην καὶ τῶν γομφίων.
v. 7. “ Καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ θερισμοῦ· καὶ βρέξω ἐπὶ
πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω· μερὶς μία βραχήσεται· καὶ μερὶς ἐφ' ἣν οὐ
v. 8. βρέξω, ξηρανθήσεται· καὶ συναθροισθήσονται * δύο καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν
ὕδωρ, καὶ οὐ μὴ ἐμπλησθῶσι· καὶ οὐκ ἐπεστράφητε πρός με, λέγει κύριος. ,, Ἀφεῖλον
δὲ ὑμῶν καὶ τὸν ὑετὸν, ὥστε ἀκαρπίᾳ περιπεσεῖν μεγίστῃ· τὸ γὰρ πρὸ τριῶν μηνῶν τοῦ θερι-
σμοῦ, τοῦτο λέγει· ἐπειδὴ ἡ ἐκ τότε ἄχρι τέλους γινομένη ἀβροχία, παντελῆ μὲν τῶν καρ-
πῶν ἐργάζεται τὸν ἀφανισμὸν, οὔτε ἐκτρέφεσθαι, οὔτε πιαίνεσθαι οἵων τε ὄντων· κωλύει δὲ
p. 170. καὶ τὴν ἐπιτηδείαν τοῖς κτήνεσι νομὴν ἀναδίδοσθαι ἐκ τῆς γῆς· τὰ δὲ ἑξῆς ἀπὸ τοῦ εἰωθότος
λέγει· ἐπειδὴ ἐν ταῖς ἄγαν ἀβροχίαις συμβαίνει τινὰ πολλάκις γίνεσθαι συστροφὴν μικρὰν
τοῦ ἀέρος· καί τινα ὑετὸν εὐτελῆ κατά τινας διῃρημένους γίγνεσθαι τόπους· ὧν οὐδὲν ὄφελος
πρὸς τὴν σύστασίν ἐστι τῶν καρπῶν· οὐ δοθήσεται τοίνυν ὑμῖν αὐτάρκης πρὸς τὴν χρείαν τῶν
ὑετῶν ἡ χορηγία, ἀλλὰ βραχύ τι κατὰ μέρος γενήσεται· ὡς τὸ μὲν δοκεῖν βεβρέχθαι, τὴν δὲ
καθάπαξ εἶναι ξηράν· τοῖς καρποῖς δὲ ὄφελος ἐκ τῆς βραχείας καταγωγῆς προσγίνεσθαι μηδέν·
μάλιστα δὲ ἔδειξε τὴν ἀβροχίαν τῷ εἰπεῖν, ὅτι καὶ πόλεις ἐπὶ τὸ αὐτὸ δύο τε καὶ τρεῖς πολ-
λάκις γενόμεναι ἀπελεύσονται εἰς τόπον ἐν ᾧπερ μάθωσι εὑρίσκεσθαί πως ὕδωρ, οὐ τὴν
χρείαν ἅπασαν οὐδ' οὕτω κομιζόμενοι, βραχείας δὲ τινὸς ψυχαγωγίας ἀπολαύοντες ἐκεῖ-
v. 9. θεν· ἀλλ' οὐδὲ ἐκ τούτων ἔσεσθε ἑαυτῶν φησὶ βελτίους. “ Ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν
ἰκτέρῳ, καὶ ἐπληθύνατε τοῦ ἀσεβῆσαι. ,, Νόσοις ὑμᾶς περιέβαλον ποικίλαις, ὑμεῖς δὲ ἐπε-
τείνετε τὴν ἀσέβειαν. “ Οὓς ἐπληθύνατε κήπους ὑμῶν καὶ ἀμπελῶνας ὑμῶν καὶ συκῶνας
ὑμῶν καὶ ἐλεῶνας ὑμῶν κατέφαγεν ἡ κάμπη· καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει

* cod. συναθροισθήσεται.

gravi contritione; sicut etiam apud beatum Davidem: Deus conteret dentes eorum in ore ipsorum: molas leonum confregit Dominus. Vult scilicet summam contritionem dicere, et quasi ad dentium stuporem deventuram.

“ Et ego prohibui a vobis imbrem, cum adhuc tres menses superessent ad messem. Et pluam super unam civitatem, et super alteram civitatem non pluam. Et convenient duae civitates in civitatem unam ut bibant aquam, et non satiabuntur. Et vos ad me non estis reversi, dicit Dominus. ,, Subtraxi autem vobis imbrem, quamobrem in maximam sterilitatem incidistis: nam locutio, tribus ante messem mensibus, hoc significat: etenim eo toto intervallo continuata siccitas, universalem frugum facit perniciem, quae neque ali neque pinguescere queunt: prohibet denique, quominus idonea armentis pascua suppetant. Reliqua autem pro more contingente dicit: quia in nimiis siccitatibus, aëris quoque saepe contingit aliquem fieri turbinem, et exiguam pluviam sparsis decidere locis, cuius tamen nulla est erga frugum incrementum utilitas. Non dabitur ergo vobis usui sufficiens pluviarum copia, sed vix tenuis particula erit, ut alius quidem locus humectari videatur, alius omnino sit aridus; nihil fruges iuvante hac exigua ministratione. Evidenter vero defectum imbrium depinxit, dum ait civitates simul duas vel tres turmatim abituras in locum, ubi aquam inveniri didicerint: neque quantum sibi usui foret illinc reportaturas, breve illic solamen expertas. Neque vos idcirco meliores fiemini. “ Percussi vos ardore et aurugine, et impietatem vestram multiplicastis. ,, Variis vos mortibus implicui, vos vero impietatem auxistis. “ Quos multiplicastis hortos vestros, et vineas vestras, et ficeta vestra, et oliveta vestra, devoravit eruca; et ne sic

κύριος. „ Πάντας ὑμῶν ἠφάνισα τῇ κάμπῃ τοὺς καρπούς· μεμενήκατε δὲ οἱ αὐτοὶ καὶ οὕτως.
“ Ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανί- v. 10.
σκους ὑμῶν μετὰ αἰχμαλωσίας ἵππων σου· καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν p. 171.
τῇ ὀργῇ μου, καὶ οὐδ᾽ οὕτως ἐπεστρέψατε πρός με, λέγει κύριος. „ Καὶ καταπεφευγότας δὲ
ὑμᾶς ἐπὶ τὴν Αἴγυπτον ἐλπίδι σωτηρίας, αὐτόθι περιβαλῶ θανάτοις τε καὶ σφαγαῖς· ἔτι
καὶ τοὺς περιλιμπανομένους ἐξ ὑμῶν μετὰ πάντων δὴ τῶν προσόντων αὐτοῖς εἰς αἰχμαλω-
σίαν ἀπάγων· ἅπαν τε ὑμῶν τὸ πλῆθος ὥσπερ τινὶ πυρὶ καταναλίσκων τῇ διὰ τῶν πο-
λεμίων ὑμῖν ἐπαγομένῃ τιμωρίᾳ· μετανοήσετε δὲ οὐδὲ τότε.

“ Κατέστρεψα ὑμᾶς καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμοῤῥα· καὶ ἐγένεσθε ὡς v. 11.
δαλὸς ἐξεσπασμένος ἐκ πυρός· καὶ οὐδ᾽ οὕτως ἐπεστρέψατε πρός με, λέγει κύριος. „
Τὸ τελευταῖον παντελῆ τὴν ἐρημίαν ὑμῖν ἐπήγαγον παραπλησίως Σοδόμοις τε καὶ Γομόῤ-
ῥοις· ὥστε ὑμᾶς δίκην δαλοῦ καταπεφλεγμένου πεπυρῶσθαί τε καὶ περιβεβλῆσθαι τοῖς ἐπα-
χθεῖσι κακοῖς· ἀλλ᾽ οὐδὲ ἐκ τούτων σωφρονισμόν τινα δεδύνησθε δέξασθαι· τοσαῦτα εἰρηκώς,
ὧν ἐπαχθέντων αὐτοῖς οὐ γεγόνασι βελτίους, ἐπάγει. “ Διὰ τοῦτο οὕτως ποιήσω σοι Ἰσραήλ· v. 12.
πλὴν ὅτι οὕτως ποιήσω σοι, ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν θεόν σου Ἰσραήλ· διότι ἰδοὺ ἐγὼ v. 13.
στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν χριστὸν αὐτοῦ· ποιῶν
ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς· κύριος ὁ θεὸς, ὁ παντοκράτωρ p. 172.
ὄνομα αὐτῷ. „ Ἀλλ᾽ εἰ καὶ τοιοῦτοι γεγόνατε περὶ ἐμὲ, ἀλλ᾽ ἐγώ γε μετὰ τὴν πεῖραν τῶν
κακῶν ἐκείνων, ἐπὶ τὸ κρεῖττον μεταστῆσαι βεβούλευμαι τὰ καθ᾽ ὑμᾶς, εἴ περ οὖν τότε
σωφρονέστεροι ἐκ τῶν τοσούτων γεγονότες κακῶν νεῦσαι πρὸς ἐμὲ βουληθείητε· ὁ γὰρ τὸ ἀέ-
ριον πνεῦμα μαλακόν τε ὂν καὶ διαλελυμένον χαῦνόν τε καὶ ἀραιὸν παντελῶς ἐπὶ τοσοῦτον
συστρέφειν δυνάμενος, ὥστε καὶ τὸν ἐκεῖθεν ἀποτελούμενον κτύπον τῆς βροντῆς ἀνύποιστον

quidem reversi estis ad me, dicit Dominus. „ Fructus ego omnes vestros eruca absumpsit: vos tamen iidem qui antea mansistis. “ Immisi vobis mortem in via Aegypti, occidique gladio iuvenes vestros, cum equorum vestrorum captivitate: et traduxi ignem per castra vestra in ira mea; et ne sic quidem reversi estis ad me, dicit Dominus. „ Profugos vos ad Aegyptum spe salutis, illic mortibus caedibusque implicabo: insuperque reliquos omnes ex vobis cum omni re sua familiari in captivitatem abducendos curabo: vestram omnem multitudinem igne veluti consumens, per hostilem persecutionem. Et ne tunc quidem resipiscetis.

“ Subverti vos, sicut subvertit Deus Sodoma et Gomorrha, et facti estis sicut torris erutus de igne; et ne sic quidem conversi estis ad me, dicit Dominus. „ Postremo generalem vobis vastitatem intuli aeque ac Sodomis et Gomorrhis; fecique vos, torris instar ardentis, molestis implicari et exuri calamitatibus; sed neque ab his emendationem aliquam potuistis accipere. His dictis, quod nempe ob eos casus, non sint facti meliores, addit. “ Quapropter sic faciam tibi, Israhel: postquam sic fecero tibi, praepara te ut invoces Deum tuum, Israhel. Quia ecce ego firmans tonitruum, et creans spiritum, et annuntians hominibus christum eorum: faciens mane et nebulam, et gradiens super eccelsa terrae, dominus Deus, nomen ei omnipotens. „ Sed quamquam tales erga me fuistis, ego tamen postquam illa mala experti fueritis, res vestras in meliorem statum convertere cogito. Si ergo modestiores ab his malis effecti, respicere ad me volueritis; sicut aërius spiritus quum sit mollis et resolutus, levis rarusque omnino, nihilominus adeo in turbinem convolvi potest, ut editus illinc tonitrui fragor terrae incolis fiat intolerabilis;

ἐπὶ τοῖς κατὰ γῆν, ὁ αὐτὸς δὲ καὶ τὴν καθ' ὑμᾶς μεταβολὴν ἐργάσομαι πλείστην, ἐκ τῶν
ἀνελπίστων ὑμῖν σωτηρίαν ἐκφαίνων μεγίστην· μηνύω τέ σοι Κῦρον τὸν Περσῶν βασιλέα,
ὃς παρ' ἐμοῦ προχειρισθήσεται ἐπὶ τοῦτο, ὡς ἂν πλείστων ὅσων κρατήσας, λύσειέν τε ὑμῖν
τὰ κατέχοντα κακὰ, καὶ ἐπανελθεῖν κελεύσειεν εἰς τὰ οἰκεῖα· ὁ γὰρ τὸν ὄρθρον ἐργαζόμενος
ἐκ σκότους, καὶ ὁμίχλην συνίστασθαι τὲ ἐῶν, καὶ ὑπὸ ταῖς ἀνατολαῖς διαλύων τοῦ ἡλίου,
ἐν ὕψει τε καὶ ὑπεράνω πάντοτε τυγχάνων τῆς γῆς, ὁ αὐτὸς διαλύσω μὲν ὑμῖν ὥσπερ τι
σκότος τὰς συμφορὰς· ἐκφανῶ δὲ ἡμέρας δίκην τὴν ἐπὶ τοῖς ἀγαθοῖς ἡδονήν· πᾶσαν τὲ
ἀντιπεράτλευσαν ὑμῖν βαρύτητα ἀφελὼν, ἐπιδείξω διὰ τῆς περὶ ὑμᾶς κηδεμονίας σαφῶς
p. 173. ἐμαυτὸν ὑπερκείμενον τῶν ἁπάντων· ἅτε κύριος τὲ καὶ ποιητὴς τῶν ἁπάντων ὑπάρχων· δι'
ὅλου δὲ ἐκ τῶν καθόλου παρ' αὐτοῦ γινομένων ἐπιστώσατο τὰ παρόντα. Οὐ θαυμαστὸν δὲ εἰ
χριστὸν κέκληκε τὸν Κῦρον, οὐ τοὺς κεχρισμένους μόνον, πάντας δὲ τοὺς ἐξειλεγμένους ὅπως
ποτὲ ταύτῃ καλεῖν εἰωθὼς τῇ φωνῇ· ὡς τὸ, μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφή-
* Ps. CIV. 5. ταις μου μὴ πονηρεύεσθε· * χριστοὺς γὰρ ἐνταῦθα οὐ κεχρισμένους καλεῖ τοὺς περὶ τὸν Ἀβραάμ,
ὡς δὲ ἐξειλεγμένους μόνον.

ΚΕΦ. Ε'.

v. 1. " Ἀκούσατε τὸν λόγον τοῦτον, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς θρῆνον· οἶκος Ἰσραὴλ ἔπε-
v. 2. σεν· οὐκέτι μὴ προσθῇ τοῦ ἀναστῆναι· παρθένος τοῦ Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτῆς· οὐκ
ἔστιν ὁ ἀνιστῶν αὐτήν. „ Μηνύσας διὰ τῶν προκειμένων τὴν λύσιν τῶν κακῶν, ἀπειλεῖ πάλιν
καθὼς εἴωθε τὴν τιμωρίαν· διὰ ταύτης μὲν φοβῶν τε καὶ σωφρονίζων, δι' ἐκείνου δὲ πρὸς
μετάνοιαν ἐκκαλούμενος· θρήνου δὴ, φησὶν, ἄξια τὰ καθ' ὑμᾶς· πεπτώκατε γὰρ διὰ τὰς
οἰκείας παρανομίας πτῶμα μέγιστον, ἀφ' οὗ μὴ δὲ λύσιν ἔνεστιν ἐλπίσαι κατά γε τὸ μέ-

ita etiam ego maximam in vobis conversionem rerum faciam, ex insperato maximam vobis salutem ostentans. Denuntio itaque tibi Cyrum Persarum regem, qui a me idcirco eligetur, ut maximo imperio potitus, finem malis vestris imponat, et reditum in propria imperet. Nam qui mane facio de tenebris, et nebulam conflari sino, quam ortu solis dissipo, sublimisque omnino supra terram resideo, idem ego vestras aerumnas quasi tenebras quasdam dissolvam, et quasi diem, prosperitatis voluptatem faciam illucescere: et quamlibet vobis molestam gravitatem dispellens, hac mea providentia palam me cunctis superiorem ostendam: sum etenim dominus factorque omnium. Sic igitur per universalia illa a se facta, praesentium fecit fidem. Non est autem mirandum, quod christum appellaverit Cyrum; quandoquidem non unctos tantummodo, sed electos quoslibet hoc indigitare vocabulo scriptura solet. Velut illud: nolite tangere christos meos, et in prophetis meis nolite malignari. Christos enim hoc loco non unctos dicit, sed ipsum Abrahamum, qui electus tantummodo fuerat.

CAP. V.

" Audite verbum istud, quem ego scilicet assumo super vos, planctum: domus Israhelis cecidit, non adiiciet amplius ut resurgat: virgo Israhelis proiecta est in terram suam, non est qui erigat eam. „ Significata in praecedentibus malorum solutione, minatur iterum more suo punitionem; hac quidem terrens et ad modestiam componens, illa autem ad paenitentiam invitans. Fletu, inquit, dignae res vestrae sunt: lapsu gravissimo propter vestras praevaricationes corruistis, unde suble-

γεθος τῶν συμβάντων. “ Διότι τάδε λέγει κύριος, ἐκ πόλεως ἐξ ἧς ἐξεπορεύοντο χί- v. 3.
λιοι, ὑπολειφθήσονται ἑκατόν· καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατόν, ὑπολειφθήσονται ἐν αὐτῇ
δέκα τῷ οἴκῳ Ἰσραήλ. ,, Τοσαύτη γὰρ ὑμῶν γενήσεται ὑπὸ τῶν πολεμίων ἡ σφαγή, ὥστε
μόλις μὲν ἑκατὸν ἀπὸ χιλίων· μόλις δὲ δέκα ἐξ ἑκατὸν καθ' ἑκάστην εὑρίσκεσθαι πόλιν. p. 174.
“ Διότι τάδε λέγει κύριος πρὸς τὸν οἶκον Ἰσραήλ· ἐκζητήσατέ με, καὶ ζήσεσθε· καὶ μὴ v. 4.
ἐκζητεῖτε Βαιθήλ, καὶ εἰς Γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου μὴ ἀνα- v. 5.
βαίνετε· ὅτι Γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθήσεται, καὶ Βαιθὴλ ἔσται ὡς οὐχ
ὑπάρχουσα. ,, Συμβουλεύω τοίνυν ὑμῖν ἰδεῖν μὲν πρὸς ἐμέ, ἀποστῆναι δὲ Βαιθήλ τε καὶ
Γαλγάλων καὶ τοῦ φρέατος τοῦ ὅρκου, ἐν οἷσπερ συντρέχετε νῦν, εἴδωλά τε καὶ δαίμονας
θεραπεύοντες ἐν τοῖς τόποις ἐκείνοις, εὖ εἰδότες ὡς ἐρημία καὶ ταῦτα λήψεται πάντα μεθ'
ὑμῶν. “ Ἐκζητήσατε τὸν κύριον, καὶ ζήσεσθε· ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος τοῦ v. 6.
Ἰωσήφ, καὶ καταφάγῃ αὐτόν, καὶ οὐκ ἔσται ὁ σβέσων τὸν οἶκον Ἰσραήλ. ,, Ἀφέμενοι δὲ τού-
των, θεῷ προσανέχετε, ὥστε μὴ τὴν τιμωρίαν τὴν παρὰ τοῦ θεοῦ δίκην πυρὸς ἅπαντας
ὑμᾶς καταφλέξαι· οὐ γὰρ οἷόν τε ταῦτα ὑμῖν ἐπιπέμποντος τοῦ θεοῦ, εὑρεθῆναι τὸν ἀμύ-
ναι δυνάμενον.

“ Ὁ ποιῶν εἰς ὕψος κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν. ,, Οὐδὲ γὰρ ἀπιστεῖν v. 7.
ὑμᾶς προσήκει τινὶ τῶν ἀπειλουμένων ἢ ὑπισχνουμένων ὑμῖν παρὰ τοῦ θεοῦ· ἐπειδὴ αὐτός ἐστιν
ὁ κρίμα καὶ δικαιοσύνην εἰς ὕψος τε ποιῶν καὶ εἰς γῆν τιθείς· ἵνα εἴπῃ ὅτι οὗτός ἐστιν ὁ
ἀδικουμένοις ὑμῖν ὑπὸ τῶν πολεμίων κρῖναι δυνάμενος· καὶ τιμωρήσασθαι μὲν αὐτοὺς τοσαῦτα
ὑμῖν ἐπάγοντας κακά, δεῖξαι δὲ τὴν δικαιοσύνην καὶ τὴν κρίσιν, ἣν ὑπὲρ ὑμῶν τῶν ἐπὶ γῆς p. 175.
ὄντων ποιεῖται, μεγάλην τε οὖσαν καὶ ὑψηλὴν καὶ παντὸς γέμουσαν θαύματος. Καὶ εἰς πί-
στωσιν τῶν αὐτῶν, ἐπάγει πάλιν. “ Ὁ ποιῶν πάντα καὶ μετασκευάζων. ,, Καὶ γὰρ καὶ ποιεῖν v. 8.

vatum iri nulla spes, quum tanta sit tristium casuum magnitudo. “ Propterea haec dicit Dominus: ex qua urbe egrediebantur mille, relinquentur in ea centum: et ex qua egrediebantur centum, relinquentur in ea decem domui Israhelis. ,, Tanta enim vestri ab hostibus strages fiet, ut vix centum de mille, vix decem de centum in unaquaque urbe comperiendi sint. “ Propterea haec dicit Dominus domui Israhelis: quaerite me, et vivetis: et nolite quaerere Bethel, et in Galgala nolite intrare, et ad puteum iuramenti ne ascendatis: quia Galgala captivata captivabuntur: et Bethel erit quasi non existens. ,, Consulo igitur vobis ut ad me spectetis, abstineatis a Bethel et Galgalis et a puteo iuramenti, ad quae nunc concurritis, idola et daemones illis locis adoraturi: scitote enim, haec omnia vobiscum in solitudinem redactum iri. “ Quaerite Dominum, et vivetis: ne Iosephi domus succendatur ut ignis, qui devoret eam; et non erit qui extinguat domum (ardentem) Israhelis. ,, Omissis illis, Deo adhaerete, ne punitio a Deo, quasi ignis, vos omnes comburat: neque, si Deus mala haec vobis immiserit, invenire defensorem vobis licebit.

“ Qui facit in excelso iudicium, et iustitiam in terra posuit. ,, Haud decet vos quibuslibet Dei ad vos minis vel promissionibus fidem negare: ipse enim est qui iudicium atque iustitiam tum in excelso exercet, tum etiam in terra collocavit. Nimirum dicit: hic est, qui vobis patientibus iniuriam ab hostibus ius reddere potest: et illos quidem punire qui tanta inferunt mala; demonstrare autem iustitiam atque iudicium, quod pro vobis regionis huius incolis exseret, magnum atque excelsum et omni mirabilitate plenum. Confirmansque dicta, ait: “ qui facit omnia, et transformat. ,, Revera enim et omnia facere ex nihilo, et facta transmutare, ut

ἅπαντα οὐκ ὄντα, καὶ γεγονότα μεταβάλλειν εἰς ὅ τι βούλεται, δύναται ῥᾳδίως. “ Καὶ
ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν θανάτου, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων. „ Οὗτος κινδύ-
νους θάνατον ἐπάγοντας εἰς εὐφροσύνην λαμπράν τινα καὶ ἡδεῖαν μεταβάλλειν αὐτάρκης·
τούς τε ἐν λαμπρότητι τε εἶναι δοκοῦντας, σκότῳ διὰ τῶν συμφορῶν περιβάλλειν δύναται
ῥᾳδίως· βούλεται γὰρ κἀνταῦθα ἐκ τῶν καθόλου συστῆσαι, ὅτι αὐτάρκης καὶ τὰ κατ' αὐτοὺς
ὡς βούλεται μεταβαλεῖν· καὶ ποτὲ μὲν ἐκ συμφορῶν εἰς εὐημερίαν μετάγειν· ποτὲ δὲ ἐξ
εὐημερίας εἰς συμφορὰς καθιστᾶν. “ Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκ-
χέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, κύριος ὁ θεὸς, ὁ παντοκράτωρ ὄνομα αὐτῷ. „ Οὗτος
ὁ καὶ τὸ τῆς θαλάττης ὕδωρ αἴρων τε διὰ τῶν νεφελῶν καὶ κατὰ πάσης ἐκχέων τῆς γῆς, αὐτάρ-
κης καὶ νῦν τὴν τῶν Ἀσσυρίων στρατιὰν, θαλάττης μέγεθος μιμουμένην, ἐφ' ὑμᾶς διὰ τῆς
v. 9. ὀργῆς ἐκχέαι τῆς οἰκείας, ὃς τῶν ἁπάντων κύριος ὢν αὐτάρκης τὰ δοκοῦντα ποιεῖν. “ Ὁ διαι-
ρῶν συντριμμὸν ἐπ' ἰσχύν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. „ Οὗτος καὶ θλίψιν
p. 176. τὴν ἐνοχλοῦσαν διαλύων, ἰσχυροὺς ἀπεργάζεται καὶ τοὺς ἐκ τῶν κακῶν ἠσθενηκότας· ταλαι-
πωρίας τε τοὺς ἄγαν δοκοῦντας μεγάλα δύνασθαι ἀθρόον πληροῖ· ὃς βουληθεὶς καὶ τὰ
καθ' ὑμᾶς μετέβαλε τε ἐκ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον· καὶ πάλιν ἐκ τοῦ χείρονος ἐπὶ
τὸ κρεῖττον βουληθεὶς μεταβαλεῖ ῥᾳδίως.
v. 10. “ Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο. „ Ἄρχεται λοιπὸν
ἐντεῦθεν τὰς παρανομίας αὐτῶν ἐξηγεῖσθαι· τοὺς μὲν οὖν προφήτας ἐν διορθώσει τὰς παρα-
νομίας αὐτῶν ἐλέγχειν προστεταγμένους ἐμίσουν· ἐβδελύττοντο δὲ καὶ ὁπόσα περ ἔλεγον αὐ-
τοῖς, συμβουλεύοντες χωρίζεσθαι μὲν τῶν κακῶν, αἱρεῖσθαι δὲ τὰ κρείττω· τὸ δὲ ἐν πύλαις
οὕτω φησίν· ἔθος ἦν τὸ παλαιὸν καὶ τὰς τῶν ἀναγκαιοτάτων πραγμάτων βουλὰς τοὺς
κατὰ πόλιν ἐν ταῖς πύλαις ποιεῖσθαι· καὶ τοῖς ἐχθροῖς πρεσβευομένοις παρά τινος, πρὸς αὐτοὺς
p. 177. ἐν ἐκείνοις ἀποκρίνεσθαι τοῖς τόποις· καὶ δὴ καὶ τὰς μείζους τῶν κρίσεων αὐτόθι ποιεῖσθαι,

voluerit, expedite potest. “ Qui convertit in mane tenebras mortis, et diem nocte obtenebrat. ,, Ipse potest mortalia pericula in splendidum iucundumque gaudium convertere; et eos qui in splendore versari videntur, aerumnarum tenebris facile obruere. Vult enim hoc loco ex generalibus concludere, posse Deum res quoque illorum pro suo libito commutare; et modo ex aerumnis in prosperitatem, modo contra ex prosperitate in aerumnam transferre. “ Qui vocat aquam maris, et effundit super faciem terrae, dominus Deus, nomen ei omnipotens. ,, Ipse, qui maris aquam nubibus attollit, et per universam terram effundit, valet nunc etiam Assyriorum exercitum, amplitudinem maris imitantem, contra vos ira sua effundere, cum sit dominus universalis, et quicquid sibi libuerit peragere valens. “ Qui dividit contritionem super fortitudinem, et miseriam super munitionem adducit. ,, Ipse pressuram molestam sublevans, validos reddit etiam illos, qui calamitatibus sunt debilitati: vicissimque subita miseria complet qui magnis viribus pollere videntur. Is cum voluit, res vestras a meliore statu transtulit ad deteriorem: rursusque siquando voluerit, in meliorem facile revocabit.

“ Odio habuerunt in portis arguentem, et sermonem sanctum abominati sunt. ,, Abhinc rursus incipit iniquitates illorum exponere. Prophetas quidem, peccata ipsorum coarguere atque emendare a Deo iussos, oderant: et abominabantur quaecumque hi apud eos concionabantur, hortando ad vitiorum fugam, et virtutis amorem. Dictio autem in portis, sic intelligenda. Mos priscus fuit, gravissimae cuiusque rei consultationes a civibus in portis urbis fieri: et hostium etiam de re aliqua legatio-

ὡς ἂν ἅπασι τοῖς κατὰ τὴν πόλιν εἰσιοῦσί τε καὶ ἐξιοῦσι δι᾽ αὐτῆς καταφανῆ γίγνοιτο τὰ πραττ-
όμενα· διὰ τοῦτο ὁ μακάριος λέγει Δαυίδ, οὐ καταισχυνθήσονται ὅτ᾽ ἂν λαλῶσι τοῖς
ἐχθροῖς αὐτῶν ἐν πύλαις· * ἐπειδὴ αὐτόθι τὰς ἀποκρίσεις τὰς πρὸς τοὺς ἔξωθεν ἐποιοῦντο· * Ps. CXXVI. 5.
καὶ ἠδολέσχουν κατ᾽ ἐμοῦ οἱ καθήμενοι ἐν πύλῃ· * ὡς αὐτόθι τὰς πλείστας εἰωθότων αὐτῶν * Ps. LXVIII. 13.
ποιεῖσθαι συνόδους· τὸν αὐτὸν δὴ τρόπον ἐνταῦθα τοὺς ἐν πύλαις ἐλέγχοντας λέγει· ὡς ἂν
τῶν προφητῶν αὐτόθι τὰ κατὰ γνώμην θείαν κηρύττειν αὐτοῖς ἐσπουδακότων· ἔνθα δὴ καὶ
πᾶσιν ἐγίνετο καταφανῆ τὰ λεγόμενα, οὐ τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ τοῖς ἔξωθεν, ὅπως
ποτὲ εἰς τὴν πόλιν ἀφικνουμένοις· εἶτα καὶ καθεξῆς τὰς παρανομίας λέγων ἐκείνας, ἃς καὶ
πρόσθεν εἰρήκει. " Διὰ τοῦτο ἀνθ᾽ ὧν κατεκονδυλίζετε πτωχόν, καὶ δῶρα ἐκλεκτὰ ἐδέ- v. 11.
ξασθε παρ᾽ αὐτοῦ, οἴκους ξεστοὺς ᾠκοδομήσατε, καὶ οὐ μὴ οἰκήσητε ἐν αὐτοῖς· ἀμπελῶνας
ἐπιθυμητοὺς ἐφυτεύσατε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν. ,, Ἐπειδὴ ἐπετρίβετε μὲν τοῖς
πτωχοῖς τὰ κακά, τὰ κάλλιστα δὲ τῶν παρ᾽ αὐτοῖς δι᾽ ἁρπαγῆς ποιούμενοι, οἴκους τε εὐ-
πρεπεῖς ἐκ τῆς ἀδίκου κατεσκευάσατε συλλογῆς, καὶ δὴ καὶ ἀγροὺς μετὰ πολλῆς ἐξειργάσασθε
τῆς ἐπιμελείας· εὖ ἴστε ὡς οὐκ ἀπολαύσετε τῶν οὕτως ἐξ ἀδικίας περιγεγονότων ὑμῖν· οὔτε γὰρ
ἐπὶ τῶν οἴκων μενεῖτε ἐκείνων· οὔτε μὴν τοὺς τῶν τοιούτων ἀγρῶν ὑποδέξεσθε καρπούς.

" Ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν, καταπατοῦντες v. 12.
τὸ δίκαιον, λαμβάνοντες ἀλλάγματα, καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. ,, Οὐδὲ γάρ
με λέληθεν τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν τε ἀσεβειῶν καὶ τῶν ἁμαρτιῶν τῶν ὑμετέρων·
οὐθ᾽ ὅτι τὸ δίκαιον ἀντηλλάττεσθε χρημάτων· ἃ παρὰ τῶν ἀδικούντων κομιζόμενοι, τὰς p. 178.
τῶν πενήτων κρίσεις εἰς τοὐναντίον ἐτρέπετε τῆς ἀληθείας· κἀνταῦθα δὲ τὸ ἐν πύλαις προσ-
τέθεικεν, κατὰ τὸ πρόσθεν εἰρημένον ἡμῖν. " Διὰ τοῦτο ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπή- v. 13.
σεται· ὅτι καιρὸς πονηρός ἐστι. ,, Ἐπαχθείσης τοίνυν τῆς ἀπειλουμένης τιμωρίας ὑμῖν,

nibus, iisdem in locis respondere. Immo etiam maiora iudicia ibidem exercebant, ut cunctis urbem ingredientibus vel egredientibus tractata negotia innotescerent. Propterea beatus dicit David: non confundentur, cum loquentur inimicis suis in portis: quia ibi responsiones exteris dabant. Item: et garriebant adversus me qui sedebant in porta; utpote qui plerumque illic coetus suos habere solebant. Pari nunc modo arguentes in portis dicit: quasi ibi curarent prophetae voluntates Dei praedicare, ubi cunctis quae dicebantur manifesta fiebant, neque civibus tantum verum etiam exteris si quando ad urbem venirent. Deinde in sequentibus de iniquitatibus illis loquitur, quas et antea dixerat. " Idcirco, pro eo quod pugno pauperem percutiebatis, et dona electa accepistis ab eo, domos laevigato lapide aedificastis, in eis non habitabitis: vineas desiderabiles plantastis, et vinum earum non bibetis. ,, Quoniam mala pauperibus inflixistis, et eorum quaeque optima diripuistis, aedesque speciosas ex iniusta compilatione aedificastis, nec non agros multa sedulitate excoluistis; probe scitote vos his cum iniustitia adquisitis non fruituros: nam nec in illis domibus permanebitis, neque ex huiusmodi agris fruges percipietis.

" Quia cognovi multa scelera vestra, et gravia peccata vestra: iustitiam vos conculcantes, accipientes pacta pretia, pauperes in portis deprimentes. ,, Haud me latet multitudo ac magnitudo scelerum et peccatorum vestrorum, neque quod munera cum iustitia commutastis, quibus acceptis, pauperum iudicia contra veritatem praevaricati estis. Atque hic etiam portarum mentionem intulit, iuxta quod antea diximus. " Ideo qui intelligit, tempore illo tacebit, quia tempus malum est. ,, Ergo cum poena minaciter vobis praedicta advenerit, ii qui intelligere prout par

ἅπαντες οἱ τὸ δέον συνιέναι οἷοί τε ὄντες, ὥσπερ ἐκπεπληγμένοι ἐπὶ τῷ μεγέθει τῶν κα-
κῶν, ἀξιοῦσιν ἡσυχίαν παρεῖναι, τὸν καιρὸν ὑπειληφότες καθ' ὃν ἔσεσθαι πόῤῥωθεν μεμή-
v. 14. νυται ταῦτα. " Ἐκζητήσατε τὸ καλὸν καὶ μὴ τὸ πονηρὸν, ὅπως ζήσητε· καὶ ἔσται μεθ' ὑμῶν
v. 15. οὕτως κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὃν τρόπον εἴπατε μεμισήκαμεν τὰ πονηρὰ, καὶ ἠγα-
πήκαμεν τὰ καλὰ, καὶ ἀποκαταστήσατε ἐν πύλαις κρίμα, ὅπως ἐλεήσῃ κύριος ὁ θεὸς ὁ
παντοκράτωρ τοὺς καταλοίπους τοῦ Ἰωσήφ. „ Ἀλλὰ γὰρ ἐν ὅσῳ τούτου καιρὸς, συμβουλεύω
πᾶσιν ἀποστῆναι μὲν τοῦ χείρονος, ἑλέσθαι δὲ τὸ κρεῖττον· οὕτω γὰρ ὑμῖν περιέσται τῶν ἀγα-
θῶν ἡ ἀπόλαυσις, τοῦ θεοῦ τὴν οἰκείαν παρέχοντος κηδεμονίαν, ὑπὲρ ὧν ἑλόμενοι τὰ καλὰ,
ἀπεστράφητε τὰ χείρω· καὶ εἴ γε τὴν παλαιὰν διαλλάξαντες γνώμην, ἐν ταῖς πύλαις κατὰ τὸ εἰωθὸς
τὰς κρίσεις ἐθέλετε ποιεῖσθαι δικαίας, τεύξεσθε τῆς θείας φιλανθρωπίας περισωζούσης ὑμῶν
p. 179. τοὺς πλείστους· Ἰωσὴφ δὲ ἐνταῦθα τὰς δέκα λέγει φυλὰς, ἀπὸ τῆς ἡγουμένης ἐν αὐτοῖς, τῆς
τοῦ Ἐφραὶμ λέγω, ὃς ἦν υἱὸς τοῦ Ἰωσήφ.
v. 16. " Διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ἐν πάσαις πλατείαις κοπετὸς,
καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται θρῆνος, οὐαὶ, οὐαί. „ Ἐπειδὴ δὲ οὐ τούτων ὑμῖν λόγος,
θρήνων καὶ κοπετῶν ἔσται μεστὰ τά τε κατὰ πόλιν καὶ κατὰ χώραν, ἀπὸ τοῦ πλήθους τῆς γινομέ-
v. 17. νης ὑπὸ τῶν πολεμίων σφαγῆς. " Κληθήσεται γεωργὸς εἰς πένθος καὶ εἰς κοπετὸν καὶ εἰς
εἰδότας θρῆνον· καὶ ἐν πάσαις ὁδοῖς κοπετός· διότι διελεύσομαι διὰ μέσου σου, λέγει κύ-
ριος. „ Καὶ γεωργοὶ δὲ τῶν κατὰ γῆν ἀφέμενοι ἔργων, περὶ κοπετοὺς καὶ πένθη καὶ θρήνων
ἀσχοληθήσονται ποικιλίαν, τήν τε σφαγὴν τῶν πολεμίων καὶ τῆς γῆς τὴν ἀκαρπίαν κατὰ ταυτὸν
θρηνοῦντες· ταῦτα δὲ πείσονται θεοῦ διὰ τῶν πολεμίων εἰς μέσους αὐτοὺς εἰσιόντος, καὶ τοῖς
v. 18. τοσούτοις καὶ τηλικούτοις περιβάλλοντος κακοῖς. " Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου·
καὶ ἵνα τί ὑμῖν αὕτη ἡ ἡμέρα τοῦ κυρίου; καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς. „ Ἐπειδὴ γὰρ
πολλοὶ πρὸς τὸ χεῖρον παντελῶς ἐκτετραμμένοι, ὡσανεὶ ψευδομένων ἐφ' οἷς ἐμήνυον τῶν

est sciunt, malorum veluti magnitudine attoniti, malent silentium tueri, tempus hoc esse putantes quo illa longe ante praedicta eventura erant. " Quaerite bonum et non malum, ut vivatis: et sic erit vobiscum dominus Deus omnipotens. Sicut dixistis, odite malum et diligite bonum, et restituite in portis iudicium: ut misereatur dominus Deus omnipotens reliquiarum Iosephi. „ Verumtamen quamdiu tempus superest, consulo vobis omnibus ut a vitio recedatis, et virtutem amplectamini. Sic enim vobis continget prosperitate frui, Deo suam praestante tutelam, propterea quod honesto studentes, a deteriore via resilistis. Et si vetere mutata sententia in portis more solito iusta volueritis exercere iudicia, consequemini divinam clementiam, quae plurimos vestrûm salvabit. Iosephum autem heic dicit decem tribus, a praecipua inter illas, Ephraimi dico, qui filius Iosephi fuit.

" Propterea dicit dominus Deus omnipotens: in omnibus plateis planctus, et in omnibus viis dicetur lamentatio, vae! vae! „ Sed quia praedictas monitiones pensi non habuistis, lamentationum ac planctuum plena erit urbs et regio, propter editae ab hostibus stragis magnitudinem. " Vocabitur agricola ad luctum et planctum, et ad illos qui lamentari sciunt: et in cunctis viis planctus; quia transibo per medium tui, dicit Dominus. „ Agricolae etiam omisso agresti opere, planctibus variis et luctibus et lamentationibus occupabuntur, editam simul lugentes ab hostibus stragem, et terrae infructuositatem. Haec autem patientur, Deo per medios illos cum exercitu hostili transeunte, et talibus tantisque malis obruente. " Vae desiderantibus viam Domini! Cur vobis haec dies Domini? Ipsa quidem haud lux est

προφητῶν, ἐτόλμων λέγειν, ὅτι ἐλθέτω δὴ τὰ κακὰ ἃ φατὲ καὶ μηνύετε, εἰ δή τις ἀλή-
θεια πρόσεστι τοῖς λόγοις ὑμῶν· τοῦτο λέγει, ἐλεεινότατοί φησιν ἐστὲ τὴν ἡμέραν ἐκείνην ἐπι- p. 180.
ζητοῦντες, ἣν οὐ πιστεύοντες ἐλεύσεσθαι, ὄψεσθε τῇ πείρᾳ, ζοφερὸν ὑμῖν τῷ πλήθει τῶν
κακῶν ἐπάγουσαν σκότος· εἶτα καὶ ὑποδείγματι τὸ εἰρημένον πιστούμενος.

“ Ὃν τρόπον ἐὰν ἐκφύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ v. 19.
ἡ ἄρκος· καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον, καὶ ἀπερείσῃ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ
αὐτὸν ὄφις· οὐχὶ σκότος ἡ ἡμέρα τοῦ κυρίου, καὶ οὐ φῶς; καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῆς; ,, v. 20.
Δι' ὑποδείγματος γὰρ ἠβουλήθη τῆς ἡμέρας τὴν χαλεπότητα ἐπιδεῖξαι· ὡς γὰρ εἴ τις, φησί,
καθ' ὁδὸν μὲν ἀκούσας λέοντος ἔφοδον, ἐπὶ τὴν πόλιν καταδράμοι· ἐμπεσὼν δὲ ἄρκῳ κατὰ
τὴν πόλιν τοὺς ἐμπίπτοντας λυμαινομένῃ, ἐπὶ τὴν οἰκίαν εἰσπηδήσας τὴν οἰκείαν, λύσιν εὑ-
ρέσθαι τινὰ τῶν κακῶν ἐλπίζῃ· εἶτα πῶς ἐπί τινι χρείᾳ τῷ τοίχῳ προσαγαγὼν τὴν χεῖρα
τὴν οἰκείαν, ἀθρόον ὑπὸ ὄφεως δηχθείη, οὐκ ἀνάγκη τῷ τοιούτῳ μετὰ τοσαύτην πεῖραν κα-
κῶν καὶ θόρυβον τοσοῦτον, ἀφύκτῳ περιπεπτωκότι τῇ πληγῇ τοῦ ὄφεως, σκότος εἶναι τὴν ἑτέ-
ροις φαινομένην ἡμέραν; οὐδὲ διορᾷν μέντοι τῶν παρόντων ἐκ τῶν ὀφθαλμῶν ὁρῶντι τῶν
οἰκείων; οὕτω δὴ καὶ ὑμεῖς φησιν ἀκούσαντες μὲν πανταχόθεν τῶν πολεμίων τὴν ἔφοδον ἐπὶ p. 181.
τὴν πόλιν εἰσελεύσεσθε· ἐκ δὲ τοῦ κατ' αὐτὴν θορύβου διαταραχθέντες, ὃν ἀνάγκη τῶν πολε-
μίων ἐφεστώτων γίνεσθαι ἐν αὐτῇ, εἰς τοὺς οἴκους εἰσελεύσεσθε τοὺς οἰκείους, περιέσται δὲ
οὐδὲν οὐδὲ ἐκ τούτου πλέον ὑμῖν, ἐκ τῶν μυχῶν τῆς οἰκίας ἐπὶ τὴν αἰχμαλωσίαν ἐξελκόντων
ὑμᾶς τῶν πολεμίων· πῶς δὴ τοῖς ταῦτα πάσχουσιν, οὐ σκότος εἶναι τὸν καιρὸν ἐκεῖνον ἀνάγκη;
εἶτα εἰς τὴν τῆς μοχθηρίας αὐτῶν ἀπόδειξιν ἐπάγει. “ Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν, v. 21.
καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν. ,, Διὰ δὲ τὴν τοῦ τρόπου μοχθηρίαν ὑμῶν, καὶ

sed tenebrae. ,, Quoniam multi improbitati prorsus dediti, quasi falsa prophetae vaticinarentur, dicere audebant: veniant sane quae vos dicitis ac portenditis mala, si certe verbis vestris veritatis aliquid inest; ait nunc propheta: miserabiles apprime estis, qui diem illam expetitis, quam venturam non credentes, experimento videbitis quantas vobis per malorum multitudinem adducet tenebras. Deinde similitudine etiam dictum suum confirmans;

“ Quemadmodum, inquit, si fugiat homo a facie leonis, et occurrat ei ursa: et festinet ingredi domum, et dum innititur manibus suis super parietem, mordeat eum coluber; numquid non tenebrae dies Domini, et non lux? et caligo et non splendor in ea? ,, Hac similitudine voluit diei illius terribilitatem ostendere. Veluti, inquit, si quis in via audiens leonis incursum, urbem versus diffugiat: tumque in ursam, quae circa urbem occurrentes laniabat, incidens, in domum suam spe mali vitandi properet; moxque ibi necessitate aliqua parieti manum suam impingens, repente a colubro mordeatur; nonne huic, post tantam malorum experientiam tantumque periculum, inevitabili demum colubri morsu icto, diem illam, quae ceteris lux apparet, tenebras videri necesse est? ita ut nihil coram oblatum propter malorum angustias cernat, mortem vero propemodum oculis suis praesentem spectet? Sic omnino vos, inquit, audita hostium quaqueversus incursione, ad urbem vosmet recipietis: ibi vero tumultu turbati, quem fieri imminentibus hostibus necesse est, domos vestras introibitis, sed ne id quidem plus vobis proderit: ex angulis enim aedium extractos abducent vos hostes in captivitatem; iam vero talia patientibus, quid ni tenebras diem illam videri necesse erit? Posthinc ob illorum improbitatem demonstrandam, addit. “ Odi, repuli festivitates vestras, et non

τὰς ἑορτὰς ἃς ἐπιτηδεῖν ἐπὶ τιμῇ δοκεῖτε τῇ ἐμῇ διὰ μίσους ἔχω, καὶ οὐ προσίεμαι ταύτας.
v. 22. “ Διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας ὑμῶν, οὐ προσδέξομαι· καὶ σωτηρίου
ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι. ,, Κἂν θυσίας οὖν ἢ ὁλοκαυτώματα προσφέρητε, τὴν
ἐκ τῆς ἐπιφανείας τῆς ἐμῆς σωτηρίαν ἐλπίζοντες διὰ τούτων λαβεῖν, οὔτε δέξομαι, ἀλλ' οὐδὲ
v. 23. προσέξω τοῖς γινομένοις ὅλως· τί οὖν; “ Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν
ὀργάνων σου οὐκ ἀκούσομαι. ,, Παῦσαι δὴ καὶ τὰς ἐκ τῶν ψαλμῶν ᾠδὰς ἐπ' ἐμοὶ ποιούμενος,
ἐπεὶ μὴ δὲ τούτου μοι λόγος.
v. 24. “ Καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ ἡ δικαιοσύνη ὡς χειμάρρους ἄβατος. ,, Πρὸς
p. 182. γὰρ τὸν βίον φησὶν ὁρῶν τὸν ὑμέτερον, καὶ κατ' ἐκεῖνον τὴν κρίσιν τὴν καθ' ὑμᾶς ποιούμενος,
ὁρῶ δικαιοτάτην ὑμῖν ἐπαχθησομένην τὴν τιμωρίαν, ἣν καὶ ἐπάξω πᾶσιν ὑμῖν, χειμάρρου
v. 25. δίκην ἀδιεξοδεύτου διὰ τὸ μέγεθος παντελῶς. “ Μὴ σφάγια καὶ θυσίας προσηνέγκατε
τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ; ,, Ὅτι γὰρ μηδείς μοι θυσιῶν λόγος,
ἐκεῖθεν μάλιστα εἰδέναι προσῆκον ἦν ὑμᾶς, ἀφ' ὧν ἐπὶ τεσσαράκοντα τοῖς ἔτεσι κατὰ τὴν
ἔρημον, τοιοῦτο μὲν παρὰ τῶν πατέρων ἤτησα τῶν ὑμετέρων οὐδέν· αὐτὸς δὲ ἐπιμέλειαν αὐτῶν
v. 26. τὴν προσήκουσαν ποιούμενος διετέλουν. “ Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον
v. 27. τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, σὺν τύποις οὓς ἐποιήσατε ἑαυτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δα-
μασκοῦ, λέγει κύριος ὁ θεὸς, ὁ παντοκράτωρ ὄνομα αὐτῷ. ,, Ἀλλὰ γὰρ συλλογίζεσθαι τὸ
δέον οὐ βουλόμενοι, θυσίαις με ἐκμειλίττεσθαι προσδοκᾶτε, ἄνδρες ἐμοῦ μὲν οὐδένα ποιού-
μενοι λόγον, τοῖς εἰδώλοις δὲ προσανέχειν ἐσπουδακότες· Μολὸχ γὰρ εἴδωλον λέγει παρ' αὐ-
τοῖς θρησκευόμενον· σκηνὴν δὲ τοῦ Μολὸχ, ἵνα εἴπῃ ὅτι περιέπετε τῶν εἰδώλων τὸν ναὸν, καὶ
περὶ τοῦτον ἔχετε· καὶ δὴ καὶ περὶ ἄστρου θεραπείαν ἀσχολεῖσθε, θεοῦ προσηγορίαν αὐτῷ
p. 183. περιτεθεικότες· φασὶ δὲ τὸν ἑωσφόρον οὕτω κατὰ τὴν Ἑβραίων καλεῖσθαι γλῶτταν· καὶ δὴ καὶ

odorabor in coetibus vestris. ,, Propter morum vestrorum improbitatem, sollemnitates etiam quas ad mei honorem celebrare creditis, odio habeo, neque eas excipio. “ Quod si mihi obtuleritis holocausta et sacrificia vestra, non suscipiam, et salutare conspectus vestri non respiciam. ,, Etiamsi igitur sacrificia vel holocausta obtuleritis, salutem ex respectu meo sperantes ob haec impetrare, non admittam, neque quicquid feceritis pensi habebo. Quid ergo? “ Transfer a me sonitum carminum tuorum: psalmum organorum tuorum non audiam. ,, Desine psalmorum carmina mihi componere, quoniam ne haec quidem mihi cordi sunt.

“ Et volvetur quasi aqua iudicium, et iustitia quasi torrens invius. ,, Dum vestram considero vitam, et secundum hanc iudicium meum de vobis instituo, iustissimam video a me vobis impositum iri punitionem, quam reapse vobis omnibus adducam, quasi torrentem amplitudine sua prorsus intransibilem. Num hostias et sacrificia obtulistis mihi in deserto quadraginta annis, o domus Israhelis? ,, Quod nulli curae mihi victimae sint, inde vos potissimum poteratis cognoscere, quod quadraginta annis in deserto, nihil huiusmodi a patribus vestris exegi: et tamen ego perpetuam illorum curam gessi. “ Et admisistis tabernaculum Molochi, et sidus Dei vestri Rhemphan, simulacra quae vobis formastis. Et transferam vos ultra Damascum, dicit dominus Deus, cui nomen omnipotens. ,, Vos tamen de honestate cogitare nolentes, sacrificiis delinire me speratis, qui ceteroqui nullam mei rationem habetis, sed idolis studiose adhaeretis. Molochum vero dicit adoratum ab eis idolum: tabernaculum vero Molochi, id est idoli templum, frequentatis, eique curam impenditis: immo et sideris cultui vacatis, cui Dei appellationem attribuistis.

περὶ τὰ εἰκονίσματα ἃ τῶν ἑαυτῶν κατεσκευάσατε χερσί, περὶ ταῦτα τὴν πᾶσαν ἄγετε σχολήν· εἶτα εἰδώλοις προσανέχοντες, καὶ μηδένα τῆς ἐμῆς θεραπείας ποιούμενοι λόγον, ἐκμειλίξεσθαί με προσδοκᾶτε ταῖς θυσίαις, ὧν οὐδὲν ὑμῖν γενήσεται ὄφελος· ἀπαχθήσεσθε γὰρ αἰχμάλωτοι εἰς τόπους πολύ γε τῶν περὶ ὑμᾶς ἀφεστῶτας τόπων· τὸ γὰρ Δαμασκοῦ τοῦτο λέγει· ἵνα ἀπὸ μέρους τοὺς ἄγαν ἀπῳκισμένους εἴπῃ τόπους· ὁ γοῦν μακάριος Στέφανος ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων, πρὸς Ἰουδαίους τῇ μαρτυρίᾳ ταύτῃ χρησάμενος, μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος ἔφη *, τοὺς ἐνταῦθα μηνυομένους τόπους σαφέστερον εἰ- * Act. VII. 43.
ρηκώς (1). Καὶ ἐπειδὴ περὶ ταῦτα τὴν σχολὴν εἶχον ἀφεστῶτες θεοῦ, ἐπάγει.

ΚΕΦ. ς'.

“ Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιών, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας. „ Ἀλλὰ v. 1.
γὰρ ἐλεεινότατοι πάντων ἐστὲ οἱ τὸ μὲν Σιὼν ὄρος καὶ τὸν ἐν αὐτῷ θρησκευόμενον παρεγράψατε θεόν· τῇ Σαμαρείᾳ δὲ καὶ τοῖς αὐτόθι ἱδρυμένοις προσέχετε εἰδώλοις. “ Ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον ἑαυτοῖς, οἶκος τοῦ Ἰσραήλ. „ Οὐκ ἀναλογισάμενοι ἡλίκα
παρέσχεν ὑμῖν, ὃς ἐπὶ τοῦ Σιὼν ὄρους ἅπασαν αὐτῷ προσάγεσθαι τὴν θρησκείαν προστάξας ὁ p. 184.
θεός· οὐδ' ὅτι πλεῖστα ὅσα ἔθνη τε καὶ τοὺς τούτων ἄρχοντας περικόψας τε καὶ ἀφανίσας παντελῶς, τὴν ἐν τοῖς ἐκείνων τόποις εἴσοδόν τε καὶ οἴκησιν παρέσχεν ὑμῖν· καὶ δεικνὺς τῆς θείας
δωρεᾶς τὸ μέγεθος ὁπόσον ἐστί “ Διάβητε πάντες καὶ ἴδετε εἰς Χαλάνην, καὶ διέλθετε ἐκεῖ- v. 2.
θεν εἰς Αἰθὰμ τὴν μεγάλην, καὶ κατάβητε ἐκεῖθεν εἰς γῆν τῶν ἀλλοφύλων, τὰς κρατίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων, εἰ πλείονά ἐστι τὰ ὅρια αὐτῶν τῶν ὑμετέρων ὁρίων. „ Περιέλ-

Hebraicae linguae periti aiunt hunc esse luciferum. Quin adeo apud simulacra etiam, quae vestris manibus fabricastis, tempus omne consumitis. Iamvero qui idolis adhaeretis, et nullam religionis meae sollicitudinem geritis, placare me tamen sacrificiis speratis, quae nihil certe vobis proderunt: abducemini enim in loca a vestris sedibus longe distantia; id enim vocabulo Damasci innuit; nempe a parte, quaelibet loca longinqua. Beatus ergo Stephanus in sanctorum apostolorum actibus, testimonio hoc in sermone ad Iudaeos utens, transferam vos ultra Babylonem, ait; loca heic designata apertius nominans. Et quia a Deo apostatae circa idola tempus terebant, addit.

CAP. VI.

“ Vae contemnentibus Sionem, et confidentibus in monte Samariae! „ Sed enim vos infelicissimi, qui Sionem montem et excultum in ipso Deum deseruistis; Samariae vero constitutisque illic idolis adtenditis! “ Vindemiarunt primitias gentium, et ingressi sunt sibi ipsis, domus Israhel. „ Non reputantes quanta vobis contulit ille qui in Sione monte omnem sibi exhiberi cultum iussit Deus: nec quod plurimas gentes earumque principes caedens et omnino destruens, ingressum in ea loca vobis incolatumque concessit. “ Transite in Chalanem, et videte: et ite inde in Emath magnam: et descendite illinc in terram alienigenarum, et ad optima quaeque regni horum: si latiores termini eorum terminis vestris sunt. „ Peragrate

(1) Ita Stephanum cum Amoso breviter ingenueque conciliat Theodorus. Placet autem heic Grotius: « Lucas rem magis spectans quam verba, *ultra Babylonem* ait; recte, nam Assyria et Armenia, in quam » transportati fuerunt Israhelitae, ultra Damascum et Babylonem sunt. » Neque displicet Vatablus qui interpretatur hebraicum מהלאה לדמשק *in regionem a vestra remotissimam*. Conf. etiam Simon. lex.

θετε γάρ φησι τῶν τε ἀλλοφύλων καὶ πάντων δὴ τῶν περιοίκων τὴν χώραν· καὶ δὴ καὶ τὰς μεγίστας τῶν ἐν αὐτοῖς πόλεων ἰδόντες, δοκιμάσατε τό τε χώρας τῆς ὑμετέρας τὸ μέγεθος καὶ τὸ πλάτος, καὶ δὴ καὶ τὸ ἐκείνων· ὡς ἂν ἐκ παραθέσεως γνοίητε ὅσην ὑμῖν παρὰ πάντας ἐκείνους εἰς οἴκησιν δέδωκε γῆν, ὡς ἂν μετὰ πολλῆς ἐπ' αὐτῆς διάγοιτε τῆς εὐρυχωρίας· εἶτα πάλιν ὀνειδίζει τὰς ἀτόπους πράξεις αὐτοῖς.

v. 3. “ Οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ ἐγγίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευ-
v. 4. δῶν· οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐ-
τῶν· οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ
v. 5. p. 185. ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα· οἱ
v. 6. πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι· καὶ οὐκ ἔπασχον ἐπὶ τῇ
συντριβῇ τοῦ Ἰωσήφ. ,, Ἀλλὰ γὰρ ὑμεῖς εἰς πεῖραν ἐλεύσεσθε τῆς ἡμέρας ἐκείνης, ἣ μέγιστον
ὑμῖν ἑσμὸν ἐπάγει κακῶν· οἱ τὰ μὲν σάββατα μετιέναι προσποιεῖσθε, οὐκ εὐσεβείας ἕνε-
κεν, ἀλλ' ὥστε εἰς παρανομίαν καταχρήσασθαι τῇ ἀργίᾳ· πολὺν δὲ ἄχρι τῶν κλινῶν καὶ τῶν
ἐν αὐταῖς στρωμνῆς τόν τε πλοῦτον ἐπιδεικνύμενοι καὶ τὴν ἀσέλγειαν, ἐκ τῆς τῶν πενήτων
ἁρπαγῆς, ἐρίφους τε καὶ βόας καὶ παντοῖα κατεσφάττετε ζῶα· ὀργάνων τε ᾠδαῖς καὶ κρό-
τοις κεχρημένοι χειρῶν· οἶνον τε προσφέρεσθε διυλισμένον ὡς ἂν πλείονος ὑμῖν ἐμφορεῖσθαι
δυνατὸν ὑπάρχῃ· καὶ δὴ καὶ μύροις καταχρίεσθε ἐκλεκτοῖς· καὶ ταῦτα δὴ μετῄειτε, διαμένειν
ὑμῖν τὴν ἀπόλαυσιν αὐτῶν προσδοκῶντες, καὶ οὐδὲ πώποτε ὑμῶν ἀποστήσεσθαι· οὐκ ἀναλογι-
ζόμενοι τὲ οἵαν τινὰ ὑπὲρ τούτων ὑπομενεῖτε τὴν τιμωρίαν· συντριβὴν γὰρ τοῦ Ἰωσὴφ κἀν-
ταῦθα πάλιν ἀπὸ μέρους τοὺς πάντας λέγει· ἵνα εἴπῃ ὅτι εἰς ἔννοιαν οὐ λαμβάνετε τὴν
v. 7. p. 186. νῦν συντριβὴν ἣν ὑπὲρ τούτων ὑπομενεῖτε. “ Διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρ-
v. 8. χῆς δυναστῶν· καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφραίμ· ὅτι ὤμοσε κύριος καθ'

enim, inquit, alienigenarum et finitimorum omnium regionem: et postquam maximas ipsorum urbes lustraveritis, aestimate vestrae regionis magnitudinem ac latitudinem prae illis: ut comparando noscatis, quantam vobis prae illis omnibus ad habitandum terram concesserit, ut in ea spatiose admodum vitam degeretis. Postea rursus improbos illorum actus vituperat.

“ Venientes in diem malam, propinquantes et attingentes falsa sabbata: dormientes in lectis eburneis, et lascivientes in stratis suis: comedentes haedos de gregibus, et lactentes vitulos de medio armentorum: plaudentes ad vocem organorum, quasi stabiles res existimarunt et non fugaces: bibentes vinum defaecatum, et unguentis primis peruncti: et nihil patiebantur super Iosephi contritione. ,, Verumtamen vos diem illam experiemini, quae maximum vobis malorum examen adducet: qui sabbata observare simulatis, non religionis gratia, sed ut ad peccandum otio abutamini: multum insuper in lectis etiam statisque luxum lasciviamque ex pauperum rapina ostentantes, haedorum quoque ac boum, et cuiusvis generis animalium macellum instruitis: et inter organorum cantica et manuum plausus vinum apponitis defaecatum, quô bibere largius possitis: denique unguentis quoque selectis ungimini. Haec autem faciebatis, sperantes constantem illorum usum, et numquam vobis defuturum: nec reputare voluistis qualis et quanta vobis poena foret sustinenda. Nam Iosephi contritionem heic quoque dicit partem pro Israhele toto: id est in mentem vobis non venit contritionis, quam nunc ea propter patimini. “ Ideo nunc captivi erunt sub principatu dynastarum: et auferetur hinnitus equorum ex Ephraimo. Quia iuravit Dominus per semet ipsum dicens: dominus Deus

ἑαυτοῦ λέγων· κύριος ὁ θεὸς τῶν δυνάμεων, διότι βδελύσσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν Ἰακὼβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ ἐξαρῶ πόλιν σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. „ Ἐπειδὴ γὰρ οὐδένα λόγον τῶν ἀπειλουμένων ποιεῖσθε, αὐτῇ τῇ πείρᾳ γνώσεσθε τῶν μηνυομένων τὴν ἀλήθειαν· ἀπαχθήσεσθε γὰρ ἅπαντες αἰχμάλωτοι ὑπὸ ἀρχόντων δύναμιν περιβεβλημένων πολλήν· ὥστε καὶ τὴν παρασκευὴν ὑμῶν τὴν πολεμικὴν σὺν τοῖς ἵπποις ἀφανισθῆναι παντελῶς· ἐπειδὴ γὰρ πᾶσαν ὑμῶν τὴν παρανομίαν βδελύττεται θεὸς, ἣν ἐφ' ὕβρει γε αὐτοῦ πληροῦν οὐκ ὀκνεῖτε, ὥστε καὶ τὰς πόλεις ὑμῶν καὶ τὰς χώρας τῆς ἀσεβείας πεπληρῶσθαι ταύτης, εἰκότως ἁπάσας ὑμῶν σὺν ταῖς χώραις τὰς πόλεις μετὰ τῶν οἰκούντων ἀφανιεῖ· εἶτα εἰς ἀπόδειξιν τοῦ μεγέθους τῆς ἐρημώσεως λέγει.

“ Καὶ ἔσται ἐὰν ἀπολειφθῶσι δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ, ἀποθανοῦνται· καὶ ὑπολει- v. 9.
φθήσονται οἱ κατάλοιποι, καὶ λήψονται οἱ οἰκεῖοι αὐτῶν· καὶ παραβιῶνται τοῦ ἐξενεγκεῖν τὰ
ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου· καὶ ἐρεῖ τοῖς προεστηκόσι τοῦ οἴκου, εἰ ἔτι ὑπάρχει παρὰ σοί· καὶ ἐρεῖ, v. 10.
οὐκέτι· καὶ ἐρεῖ, σίγα, ἕνεκεν τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα κυρίου. „ Ἔστι μὲν ἐκ τῆς ἑρμη- p. 187.
νείας ἀσάφεια πολλὴ συμπεπλεγμένη τῷ ῥητῷ· καὶ παρέοικέ τε τῷ ἐν τῇ κτίσει, ἔνθα
περὶ τῶν συνθηκῶν λέγει, ἃς Λάβαν τε καὶ Ἰακὼβ ἐποιήσαντο πρὸς ἀλλήλους *, ἐπὶ τῷ τῶν * Gen. XXX. 31.
προβάτων τὰ τικτόμενα, τὰ μὲν τοῦτον τὰ δ' ἐκεῖνον ἔχειν· ἐπεὶ κἀκεῖνο ἀσαφὲς μέν ἐστιν ἐν τῇ λέξει· ὁ δὲ νοῦς ἐπὶ τῆς ἑρμηνείας δέχεται τὴν σαφήνειαν· ἀνάγκη δὲ καὶ τούτου τὸν νοῦν ἐκθεῖναι, ἀσαφῶς δηλούμενον ἐν τῇ λέξει· βούλεται γὰρ εἰς ἀπόδειξιν τῆς καταληψομένης αὐτοὺς ἐρημίας ὡς ἄγαν οὔσης μεγίστης τοῦτο εἰπεῖν· ὅτι πολλάκις, φησὶν, ἐξ οἰκίας μεγίστης πολυανθρώπου μόγις ὑπολειφθήσονται δέκα, τῶν λοιπῶν ἀναιρεθέντων ἐν τῷ πολέμῳ ποικίλως· οἷόν τι καὶ ἐν τοῖς ἀνωτέροις φησίν· ὅτι ἐκ μὲν τῶν ἑκατὸν, δέκα μένουσιν· ἑκατὸν δὲ, ἐκ τῶν χιλίων· εἶτα φησὶν ἀποθανόντων τὰ σώματα καὶ ἔνδον κειμένων ἐξενεγ-

virtutum, abominor ego contumeliam Iacobi, et regiones eiusdem odi, destruamque urbem cum omnibus incolentibus ipsam. ,, Quia minas flocci facitis, experimento ipso agnoscetis praedictionum veritatem: abigemini enim captivi omnes sub principibus magna potestate praeditis: quare omnis vester apparatus bellicus cum equis prorsus disperibit. Nam quia vestram omnem nequitiam abominatur Deus, quam in eius contumeliam consummare non dubitatis, ita ut urbes aeque ac regiones sceleribus his redundent, merito urbes vestras omnes ac regiones cum incolis vastabit. Deinde ob ostendendam solitudinis magnitudinem ait. “ Et erit, si remanserint decem viri in una domo, morientur: et remanebunt reliqui: et sument domestici eorum: et conabuntur efferre domo ossa eorum: et dicet iis qui praesunt domui, num adhuc apud te est? Et dicet: nequaquam. Et dicet: tace, ut non nomines nomen Domini. ,, Profecto his dictis inest obscuritas multa ad explanandum: videturque locus similis illi in genesi ubi de conventione sermo est Labani et Iacobi inter se, circa ovium partus, utros horum hic vel ille haberet: nam certe et illud laborat in verbis obscuritate, nec nisi interpretando, sensus eius deducitur ad claritatem. Oportet autem et praesentis dicti sensum exponere, obscura dictione nobis recitatum. Nimirum haec ait propheta, significare volens maximam fore vastitatem. Nam saepe, inquit, in ampla ac numerosa familia vix decem remanebunt homines, ceteris belli multifariam interfectis: quomodo et in superioribus dixit, de centum decem superfuturos; et de mille, centum. Tum mortuis inquit ceteris, ii qui superfuerint, sedulam dabunt operam ut omnia extinctorum corpora quae intus iacent, efferant ac sepulturae tradant. Hoc autem ait, quia mul-

κεῖν τε καὶ παραδοῦναι ταφῇ· τοῦτο δὲ λέγει ὡς καὶ τοῦ πολέμου πολυτρόποις ποιοῦντος τὰς
σφαγάς, καὶ τῶν ἀναιρουμένων ποικίλως ἐν διαφόροις μέρεσι τῆς οἰκείας κειμένων· ὡς ἐν
τοιαύτῃ ἡ καταστάσει καί τινων τῶν τῆς οἰκίας μερῶν κατασπωμένων τε καὶ πιπτόντων τοῖς
p. 188. σώμασι· διὸ καὶ τὸ παραβιάζονται εἶπεν· δεικνὺς ὅτι παραβεβιασμένον καὶ οὐκ εὔκολον ἐπι-
χειροῦσι πρᾶγμα, τὰ σώματα ἅπαντα βουλόμενοι ταφῇ παραδοῦναι· εἶτα φησίν· ἀπει-
πόντες πρὸς τὸ τῶν ἐξενεχθέντων πλῆθος νεκρῶν, λόγους δή τινας ποιήσονται πρὸς ἀλλή-
λοις διαμφισβητοῦντες· εἴ τε ἄρα πάντα ἐξενήνεγκται τὰ σώματα, εἴ τε καὶ ἔτι εἴη κεί-
μενα ἄταφα· προεστηκότας γὰρ τῆς οἰκίας αὐτοὺς τοὺς ὑπολειφθέντας ἐξ ἁπάντων λέγει τοὺς
δέκα· οἷον εἰπεῖν ὡς ἂν πρὸς ἀλλήλοις ἐρωτῶντας τε ταῦτα· ἐπειδὰν γὰρ αὐτοῖς ἐγγένηταί
πως πάντα τε ἐκβαλεῖν καὶ ταφῇ παραδοῦναι τὰ σώματα, γνώσονται μὲν οὐκέτι ὄντας
νεκρούς· ὁρῶντες γὰρ τὴν κατέχουσαν τὸν οἶκον ἡσυχίαν ἔκ τε τοῦ πλήθους τῶν ἀπολωλότων καὶ
τῆς τῶν οἰκούντων ἐρημίας, ἄγαν ὑπολειφθέντων ὀλίγων ἐξ οἰκίας τε τοσαύτης καὶ πλήθους
τῶν οἰκούντων αὐτήν· σιωπῇ δέ τινι κατασχεθέντες ἐπὶ τοσούτοις καὶ τηλικούτοις γεγονόσι
κακοῖς· καὶ μόνον οὐκ ἀφωνίᾳ ληφθέντες διὰ τὴν τῶν ἐπεληλυθότων κακῶν ὑπερβολήν, ἀνα-
λογιοῦνται τότε δὴ τῶν γεγονότων τοσούτων καὶ τηλικούτων κακῶν τὴν αἰτίαν· καὶ ὅτι ὑπὲρ ὧν
δι' ἀμελείας ἔσχον τὴν τοῦ θείου θεραπείαν, ἀπωσάμενοί τε τὴν ὀνομασίαν τοῦ πάντων κυρίου,
p. 189. προσανέσχον εἰδώλοις, ταῦτα δὴ αὐτοῖς ἐπελήλυθε τὰ κακά, αἰχμαλωσία τε, καὶ οἴκων
κατάπτωσις, καὶ πλῆθος ἀναιρεθέντων, καὶ οἰκούντων ἐρημία· ἐπάγει γ' οὖν ὥσπερ εἰς βε-
βαίωσιν τῶν εἰρημένων.

v. 11. “ Διότι ἰδοὺ κύριος ἐντέλλεται, καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι, καὶ τὸν
οἶκον τὸν μικρὸν ῥήγμασιν. ,, Ὡς γὰρ τὴν αἰτίαν λέγων, δι' ἣν τοσοῦτος ἔσται πόνος τοῦ τὰ
σώματα τῶν ἀποθανόντων ἐξενεχθέντα παραδοθῆναι ταφῇ, προσέταξε φησὶν ὁ θεός, καὶ
διὰ τοῦτο πάντα οἶκον μέγαν τε μικρόν, τὸν μὲν μερικαῖς παραδώσει βλάβαις· τοῦτο γὰρ

timodis in bello strages fiunt, et varie occisi in diversis aedium partibus iacent: acciditque interdum, ut hoc rerum statu partes quoque aedium nonnullae convellantur et in corpora decidant. Ideo etiam, conantur, dixit; ut significet laboriosum nec facile habere negotium eos qui cadavera omnia mandare sepulturae voluerint. Deinde ait: lassitudine confecti ob elatorum cadaverum multitudinem, verba quaedam facient, mutuo altercantes, num omnia exportata sint corpora, an adhuc aliqua insepulta iaceant. Et quidem domui praesidentes denotat illos qui ex universo numero, decem remanserant. Quasi ergo mutuis sermonibus ita loquentes introducit. Postquam vero cuncta efferre et sepelire cadavera potuerint, tum demum nullum iam remanere de extinctis cognoscent, dum altum aedium silentium videbunt, ob occisorum multitudinem et inquilinorum solitudinem, paucis admodum relictis in tam magna domo tantoque habitantium numero. Quare taciturni in talibus tantisque malis fient; ac prope amissa voce, propter aerumnae summam gravitatem, mente tum revolvent, quaenam tam dirorum malorum causa extiterit: quod nempe, divino cultu neglecto, contemptoque universalis Domini nomine, idolis se addixerint, idcirco haec sibi evenisse mala, captivitatem, aedium ruinam, interfectorum multitudinem, habitantium solitudinem. Addit ergo quasi ad dictorum confirmationem.

“ Ideo ecce Dominus mandat, et percutiet domum magnam ruinis, et domum parvam scissionibus. ,, Quasi causam dicens, cur tantus futurus sit labor mortuorum corpora efferendi ac sepulturae tradendi, propterea Deus, inquit, domos omnes seu magnas seu parvas, partim aliquo detrimento adficiet; id enim de-

λέγει ῥήγμασι· τὸν δὲ τοῖς καθόλου· τὸ γὰρ θλάσμασι τοῦτο δηλοῖ· οὐ γὰρ τοῦτο λέγει, ὅτι
τὸν μὲν μέγαν θλάσμασι, τὸν δὲ μικρὸν ῥήγμασι πατάξει· ἀλλ᾽ ὅτι οὔτε μέγας οἶκος
διαφεύξεται τὴν τιμωρίαν, οὔτε βραχύς· διαφόρως δὲ οἱ μὲν, ἐκ μέρους δέξονται τὴν βλά-
βην· οἱ δὲ, καὶ κατενεχθήσονται παντελῶς· οἷα δὴ γίνεσθαι πέφυκεν ἐν πολέμῳ καὶ πολιορκίᾳ
πολλῇ. Καὶ τὸ τῶν εἰρημένων ἀναντίῤῥητον δεικνὺς ἐπάγει. “ Εἰ διώξονται ἐν πέτραις ἵπποι. ,, v. 12.
Ἀλλ᾽ οὔτε ἵππους τις κατὰ πετρῶν ἐλάσειεν ἂν, ἀλλ᾽ ἔνθα συνεργεῖν τὸν τόπον συμβαίνει τῷ
δρόμῳ ἵππων· οὔτ᾽ ἂν ὑμῖν ἐπεγίνετο ταῦτα, εἰ μὴ τὴν αἰτίαν αὐτοὶ παρέχετε τοῦ τοιαῦτα
παθεῖν. “ Εἰ παρασιωπήσονται ἐν θηλείαις. ,, Οὐ μὲν οὐδὲ ἐν μέσῳ θηλειῶν ἵπποι γε- p. 190.
γονότες, ἡσυχίαν ἀγάγοιεν, παρουσῶν τῶν δέξασθαι τὴν ἐξ αὐτῶν ὁρμὴν οἵων τε οὐσῶν· ὥστε
οὐδὲ τοὺς πολεμίους ἡσυχίαν ἀγαγεῖν ἐφ᾽ ὑμῖν δυνατὸν, τὴν ἀφορμὴν διὰ τῆς παρανομίας
δεδωκότων ὑμῶν τοῦ τοιαῦτα γενέσθαι παρ᾽ αὐτῶν εἰς ὑμᾶς. “ Ὅτι ἐξεστρέψατε εἰς θυμὸν
κρίμα, καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν. ,, Νῦν γὰρ, φησὶν, ἀφ᾽ ὧν διεπράξασθε, πεί-
σεσθε τοιαῦτα, εἰς ὀργὴν συγκινήσαντες τὸν θεὸν, ὥστε κρῖναί τε τὰ καθ᾽ ὑμᾶς· καὶ ἐπειδὴ
δικαίαν οἶδεν ὑφέξοντας τὴν τιμωρίαν, τὴν τοσαύτην ἐπαγαγεῖν ὑμῖν τῶν κακῶν τὴν πικρίαν·
λέγει δὲ πάλιν καὶ τὰ παρ᾽ αὐτῶν οὐ δεόντως γινόμενα, ὑπὲρ ὧν δὴ τὰ προῤῥηθέντα ἐπε-
λεύσεται αὐτοῖς κακά. “ Οἱ εὐφραινόμενοι ἐπ᾽ οὐδενὶ λόγῳ ἀγαθῷ· οἱ λέγοντες, οὐκ v. 13.
ἐν τῇ ἰσχύϊ ἡμῶν ἔχομεν κέρατα; ,, Ταῖς μὲν γὰρ τῶν προφητῶν συμβουλαῖς προσέχειν
οὐκ ἐθέλετε ὑπομιμνησκόντων ὑμᾶς ἁμαρτάνοντας, καὶ ἐπαναγόντων ἐπὶ τὸ δέον· τῇ δὲ
οἰκείᾳ δυνάμει λογισάμενοι τὸ πάντοτε πάντων κεκρατηκέναι τῶν ἐχθρῶν, ἐν οὐδενὶ τῶν ἀπει-
λουμένων τίθεσθε τὴν βαρύτητα, ὡς ἂν ἀρκοῦντες καὶ νῦν ἀντιστῆναι τοῖς πολεμίοις· τί οὖν;
“ Διότι ἰδοὺ ἐγὼ ἐπεγείρω ἐφ᾽ ὑμᾶς, οἶκος Ἰσραὴλ, φησὶ κύριος ὁ θεὸς, στρατιῶν v. 14.
ἔθνος· καὶ ἐκθλίψουσιν ὑμᾶς τοῦ μὴ εἰσελθεῖν εἰς Αἱμὰθ, καὶ ἕως τοῦ χειμάῤῥου τῶν δυσμῶν. ,, p. 191.

notatur verbo scissionibus; partim universali, nam verbum ruinis hoc dicit. Neque tamen divise dicit, domum magnam ruinis, parvam scissionibus percutiet; sed, neque magnam domum neque exiguam absque poena fore: ceterum diverse, alias quidem domos detrimentum passuras, alias omnino fore prosternendas, prout in bello diuturnaque obsidione usuvenit. Et dictorum certitudinem ostendens, subdit. “ Si persequentur in petris equi. ,, Nemo certe equos per petras aget, sed illuc potius ubi locus favere equorum cursui potest. Sic ne vobis quidem haec contigissent, nisi causa patiendi ea per vos extitisset. “ Si reticebunt ad feminas. ,, Neque profecto in medio feminarum equi quiescent, praesentibus illis quae illorum impetum admittere possunt. Sic neque hostes ad vos adgrediendum inertes erunt, vestris peccatis occasionem praebentibus ut ita contra vos se gerant. “ Quia convertistis in furorem iudicium, et fructum iustitiae in amaritudinem. ,, Nunc en, inquit, vestris digna factis haec patiemini, Deo ad iram commoto ut iudicio de vobis decernat: et quia vos poenam meritos scit, hanc malorum vobis inferet amaritudinem. Mox denuo inhoneste ab iis acta recitat, quorum causa praedicta mala evenient. “ Qui nullo bono verbo laetamini: qui dicitis, nonne ex nostra fortitudine cornua habemus? ,, Prophetarum consiliis non vultis auscultare, qui vos peccantes commonefaciunt, atque ad honestum revocant: sed vestris viribus semper tribuentes de hostibus cunctis victoriam, nihili aestimatis minarum gravitatem, quasi nunc quoque obsistere hostibus valeatis. Quid ergo?

“ Idcirco en ego suscito adversus vos, domus Israhelis, gentium exercitum, qui vos conterent, quominus ingrediamini in Aemath, et usque ad occidentis tor-

Ὑπὲρ δὴ ταύτης ὑμῶν φησὶ τῆς γνώμης, ὁ πάντων τῶν ἁπανταχοῦ δυνατῶν κύριος, ἐπαγερεῖ ἐχθροὺς πολεμίους ὑμῖν, μεγίστην ἐπάξοντας τῶν κακῶν τὴν πεῖραν, ὡς ἀπὸ Αἰμὰθ (λέγει δὲ τόπον ὁρίων προκείμενον τῶν αὐτοῖς προσηκόντων) ἄχρι πέρατος τῶν ὁρίων ὑμῶν ἅπαντας περιέχειν τὸ κακόν· λέγει γοῦν ἐν ταῖς βασιλείαις περὶ Ἱεροβοὰμ τοῦ Ἰωὰς, ἐφ' οὗπερ καὶ ὁ προφήτης γέγονεν ἐπὶ αὐτός. Ἀπεκατέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Αἰ-
IV. Reg. XIV. 25. μὰθ ἕως τῆς θαλάσσης τῆς πρὸς ἑσπέραν *. Ὡς δῆλον εἶναι ὅτι πέρατα τῶν ἰσραηλιτικῶν ὁρίων ἦν τὰ ταῖς ὀνομασίαις δηλούμενα ταύταις· βούλεται γὰρ εἰπεῖν ὅτι ἐκεῖθεν ἀρξάμενον τὸ κακὸν πάντας ὑμᾶς ἐπελεύσεται, ὡς μηδενὸς δυνηθέντος τῶν πολεμίων τὰς χεῖρας διαφυγεῖν, ἐξ αὐτῶν τῶν πραγμάτων αἴσθησιν ὑμᾶς λαβεῖν, ὅτι οὔτε πρότερον τί κατὰ τῶν πολεμίων δίχα τῆς θείας ἰσχύσατε ῥοπῆς· καὶ νῦν ἐν τοσαύτῃ πείρᾳ καθέστητε κακῶν, ἐπειδὴ τῆς αὐτοῦ βοηθείας ἔξω γεγόνατε· τούτοις ἀποκάλυψιν προστίθησιν ἣν εἶδεν ὁ προφήτης εἰς βεβαίωσιν τῶν εἰρημένων.

ΚΕΦ. Ζʹ.

v. 1. p. 192. « Οὕτως ἔδειξέ μοι κύριος· καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη ἑωθινὴ, καὶ ἰδοὺ βροῦ-
v. 2. χος εἷς, Γὼγ ὁ βασιλεύς· καὶ ἔσται, ἐὰν συντελέσῃ τοῦ φαγεῖν τὸν χόρτον τῆς γῆς· καὶ εἶπον,
v. 3. κύριε κύριε, ἵλεως γενοῦ· τίς ἀναστήσει τὸν Ἰακὼβ, ὅτι ὀλιγοστός ἐστι; μετανόησον κύριε ἐπὶ
τούτῳ· καὶ τοῦτο οὐ μὴ γένοιτο, λέγει κύριος. „ Τεθεάσθαι γὰρ ἀκρίδων τε καὶ βρούχων λέγει πλῆθος, ὧν τὸ μὲν τὸν ἀσσύριον, τὸ δὲ τὸν βαβυλώνιον ἐδήλου, ὡς ἂν ἐπελευσομένων τε καὶ ἀφανιούντων ἅπαντα, ἀκρίδος τε καὶ βρούχου δίκην· ἀλλ' ὡς εἶδον, φησὶ, τὸ πλῆθος αὔταρκες ὂν ἅπαντα ἀφανίσαι τὸν ἐκ τῆς γῆς ἀναδιδόμενον καρπὸν, προσπεσὼν, φησὶν, ᾔτησα συγγνώμην δοθῆναι τοῖς πταίσμασι τοῖς ἡμετέροις, ὁρῶν μὲν τὴν ἀπολο-

rentem. „ Ob has ergo cogitationes vestras, omnium quotquot ubique sunt potentium dominus, hostes vobis suscitabit, qui maximam vobis malorum vim adducent, ita ut ab Aemath (dicit autem locum terminalem finitimis illorum obiectum) usque ad finium vestrorum extremitatem, universalis futura sit calamitas. Ergo loquitur sub regnis Hieroboami Ioaso geniti, cuius reapse aetate hic ipse propheta vixit. « Constituit (Hieroboamus Ioasi filius) fines Israhelis ab introitu Aemath, atque ad mare occidentale: ita ut constet fines israheliticos fuisse, qui his nominibus denotantur. Dicere autem vult, mala illinc initio ducto, vos quoque omnes correptura, quia nemo hostium manus evadere poterit. Atque hinc ex rebus ipsis cognoscetis, ne praeterito quidem tempore quicquam vos, absque Dei potentia, adversus hostes valuisse. Ecce enim nunc, subtracto illius auxilio, in tanta malorum pressura versamini. Hic subnectit propheta revelationem quam vidit, ad dictorum suorum confirmationem.

CAP. VII.

« Haec ostendit mihi dominus Deus. Et ecce foetus locustarum, et ecce bruchus unus, Gog rex. Et erit, si compleverit vorare foenum terrae. Et dixi: Domine, Domine, propitius esto. Quis suscitabit Iacobum? quoniam modicus est. Poeniteat te, Domine, super hoc. „ Vidisse se ait locustarum bruchorumque multitudinem: et illae quidem Assyrios, hi vero Babylonios denotabant: quia venturi erant, et omnia quasi locustae et bruchi consumpturi. Sed cum vidi, inquit, multitudinem talem omni terrae fructui vastando parem; procidens, inquit, veniam postulavi pec-

μένων τὸ πλῆθος, ὁρῶν δὲ τῶν περιλειφθέντων τὴν ὀλιγότητα· ἀνέλπιστον δὲ λοιπὸν ἡγού-
μενος καὶ τῶν μεμενηκότων τὴν σωτηρίαν, εἰ μὴ θεὸς ἵλεως τοῖς ἁμαρτήμασι γεγονὼς τοῖς
ἡμετέροις, ἐπὶ τὸ κρεῖττον μεταβάλοι τὰ πράγματα· οὐκ ἐδέξατο δέ, φησι, τὴν δέησιν
ταύτην ὁ θεός, ἐπειδὴ μείζονα ἱλασμοῦ τῶν ἁμαρτηθέντων αὐτοῖς ἡγεῖτο τὸ πλῆθος· οὐ χρὴ
δὲ θαυμάζειν εἰ εἶπε Γὼγ ὁ βασιλεύς, ἐπειδὴ καὶ ἀσσυρίοις πρότερον, καὶ βαβυλωνίοις
μετ' ἐκεῖνο, πολλοὶ καὶ τῶν σκυθικῶν ἐθνῶν συνέπραττον εἰς τὸν πόλεμον· ὧν περ οὖν
ἐβασίλευεν ὁ Γώγ, οὗπερ ἐμνημόνευσεν οὐχ ὡς ἄρχοντος τοῦ πολέμου τότε, ἀλλ' ὡς τοῖς ἄρ-
χουσι συμμαχοῦντος· οὐ γὰρ ἄδηλον ὅτι καὶ ὁ ἀσσύριος πρότερον ἐθνῶν πολλῶν ἐκράτει, p. 193.
καὶ μετ' ἐκεῖνον ὁ βαβυλώνιος· οὓς ἅπαντας μετὰ τῶν σατραπῶν τῶν οἰκείων, εἴτ' οὖν βασι-
λειῶν, οὐκ ἀπεικὸς ἦν καὶ παρεῖναι καὶ συμπράττειν αὐτοὺς τῷ πολέμῳ. Εἶτα πάλιν ἑτέραν
ἀποκάλυψιν λέγει.

“ Οὕτως ἔδειξέ μοι κύριος ὁ θεός· καὶ ἰδοὺ ἐκάλεσεν τὴν δίκην ἐν πυρὶ κύριος, καὶ v. 4.
κατέφαγε τὴν ἄβυσσον τὴν πολλήν, καὶ κατέφαγε τὴν μερίδα· καὶ εἶπον, κύριε κόπασον δή, τίς v. 5.
ἀναστήσει τὸν Ἰακὼβ ὅτι ὀλιγοστός ἐστι; μετανόησον κύριε ἐπὶ τούτῳ· καὶ τοῦτο οὐ μὴ γένη- v. 6.
ται, λέγει κύριος ὁ θεός. ,, Ἐθεασάμην γάρ φησι πάλιν τὸν θεόν, καλοῦντα τὴν δίκην
καθ' ἣν ἅπασι δικάζειν εἴωθε τοῖς ἀνθρωπίνοις, μετὰ ἀκριβείας τε καὶ ἐξετάσεως πολλῆς
τὰ κατ' αὐτοὺς οἰκονομεῖν εἰωθώς· ἐκάλεσε δὲ ἐν πυρί, ἐπειδὴ τοιαύτης τιμωρίας ἡγεῖτο
τὰ πεπραγμένα· ἀφ' οὗ δή, φησι, τὸ τῶν Ἰσραηλιτῶν πλῆθος ἀβύσσῳ παρεοικὸς κατα-
ναλισκόμενον ἰδών, πάλιν ἐβόησα γενέσθαι τινὰ μείωσιν αἰτῶν τοῦ κακοῦ· ἀπεφήνατο δὲ
ἔσεσθαι τοῦτο θεός. Ἀλλὰ καὶ τρίτην ἀποκάλυψιν λέγει. “ Οὕτως ἔδειξέ μοι κύριος· καὶ v. 7.
ἰδοὺ ἀνὴρ ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου· καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας· καὶ εἶπε κύριος v. 8.
πρός με· ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ· οὐκέτι μὴ προσθῶ τοῦ

catis nostris dari, cernens perditarum rerum numerositatem, et superstitum paucitatem. Immo vero de reliquiarum quoque desperavi salute, nisi Deus peccatis nostris propitiatus, rem in melius commutaret. Verumtamen non admisit precem hanc Deus, quia maiorem peccatorum nostrorum numerum existimavit, quam ut misericordiam vellet impertiri. Iam nemo miretur quod Gogum regem memoret: etenim et antea Assyriis, et Babyloniis postea, multi de scythicis quoque populis auxiliares belli erant: quorum rex erat Gogus; cuius facit mentionem non tamquam belli ducis, sed tamquam regnatoribus suppetias ferentis. Scimus autem Assyrium prius, et deinde Babylonium, multis imperavisse populis: quos omnes cum satrapis suis seu regiis praefecturis, non est incredibile bello socios interfuisse. Aliam rursus recitat abhinc revelationem.

“ Sic ostendit mihi dominus Deus. Et ecce vocavit iudicium in igne Dominus: et devoravit abyssum multam: et devoravit partem. Et dixi: Domine desine modo. Quis suscitabit Iacob, quia modicus est? Poeniteat te, Domine, super hoc! At hoc non fiet, dicit dominus Deus. ,, Vidi, inquit, rursus Deum vocantem iudicium, quo res hominum iudicare solet: namque horum omnia severe et multa cum inquisitione scrutandi mos ei est. Porro in igne vocavit, quia tali poena digna facta existimavit. Quo igne Israhelitarum multitudinem (quam abysso comparat) cum absumi viderem, rursus exclamavi, deminutionem aliquam mali postulans. Nihilominus Deus non annuit. Sed iam tertiam quoque narrat revelationem. “ Sic ostendit mihi Dominus: ecce vir stans super murum adamantinum, et in manu eius adamas. Et dicit Dominus ad me: quid tu vides, Amos? Et dixi: adamantem.

v. 9. παρελθεῖν αὐτόν· καὶ ἀφανισθήσονται οἱ βωμοὶ τοῦ γέλωτος· καὶ αἱ τελεταὶ Ἰσραὴλ ἐρημω-
p. 194. θήσονται· καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ἱεροβοὰμ ἐν ῥομφαίᾳ. ,, Ἔδειξε γάρ μοι τινά,
φησίν, ἐπ᾽ ἀδαμαντίνου τείχους ἑστῶτα, ἔχοντα ἐπὶ τῆς χειρὸς ἀδάμαντα· ἦν δὲ ταῦτα σημεῖα
τοῦ στεῤῥὰν καὶ ἄλυτον ἐξενηνέχθαι κατὰ τῶν Ἰσραηλιτῶν παρὰ τοῦ θεοῦ τὴν ἀπόφασιν, ἅτε τοῦ
ἀδάμαντος τῇ στεῤῥότητι τὰ λοιπὰ νικῶντος· μετὰ πάσης τοίνυν φησὶ τῆς στεῤῥότητος ἐπάξω
τῷ λαῷ τὰ κακά, οὐκέτι παρατρέχειν αὐτοῦ τὰς παρανομίας ἀνεχόμενος· ἀφανισθήσονται
δὲ οἱ βωμοὶ πάντες, ἐν οἷς ἐπὶ τῇ τῶν εἰδώλων θεραπείᾳ τὴν ἡδονὴν ἐκαρποῦντο· καὶ πάντα
δή φησι συντόμως ἐρημίᾳ παραδοθήσεται ὁπόσα νῦν παρ᾽ αὐτῶν ἐπὶ θρησκείᾳ τῶν δαι-
μόνων πληροῦται· καὶ δὴ καὶ πᾶσαν τοῦ βασιλεύοντος ὑμῶν νῦν Ἱεροβοὰμ ἀφανιῶ τῷ
πολέμῳ τὴν δύναμιν· ἔοικε δὲ οἶκον Ἱεροβοὰμ ἐνταῦθα τὴν βασιλείαν ἅπασαν λέγειν, ἐκ
τοῦ κρατοῦντος ἅπαν σημήνας τὸ ἔθνος· δήλου γε ὄντος ὡς ἐν τοῖς μετὰ τὸν Ἱεροβοὰμ
*cod. ἥττων. χρόνοις ἡ τῶν * ἀσυρίων ἔφοδος γέγονε κατὰ τοῦ Ἰσραήλ.

v. 10. Τοιαῦτα δὴ τοῦ προφήτου μεμηνυκότος ἐπελεύσεσθαι τῷ ἔθνει τοῦ Ἰσραήλ, ὑπὲρ ὧν
ἠσέβουν τε καὶ παρενόμουν ποικίλων, Ἀμεσίας ὁ ἐν Βαιθὴλ ἱερατεύων καὶ τῆς τοσαύτης
ἀσεβείας ἡγούμενος παντὶ τῷ λαῷ, συνιδὼν ὡς ἐπὶ πλέον ταῦτα παρὰ τοῦ προφήτου λε-
p. 195. γόμενα, ἀμελεστέρους εἶναι περὶ τὴν τῶν εἰδώλων θεραπείαν παρασκευάσει τοὺς πλείους, ἅτε
τῷ φόβῳ προκατεχομένους τῶν μηνυομένων παρὰ τοῦ προφήτου, πειρᾶται μὲν αὐτὸν τὸν
βασιλέα Ἱεροβοὰμ ἐπὶ τὸν προφήτην παροξῦναι, ὡς πλεῖστα ὅσα κατά τε αὐτοῦ καὶ πάσης
αὐτοῦ λέγοντα τῆς βασιλείας· καὶ ὅτι μὴ δὲ τὴν ἀκοὴν οἷόν τε ὑπενεγκεῖν τοῦ μεγέθους τῶν
v. 11. ἀπειλουμένων ἔσεσθαι παρ᾽ αὐτοῦ· μηνύει γὰρ θάνατον μὲν τοῦ βασιλέως, αἰχμαλωσίαν δὲ
παντὸς τοῦ λαοῦ· ἦν δὲ τὸ περὶ τοῦ βασιλέως προδήλως ψευδές, ἐπεὶ μὴ δὲ εἴρητό πω τι
τοιοῦτο τῷ προφήτῃ· συνέπλεξεν δὲ ὅμως αὐτὸ τῇ περὶ τὸν λαὸν ἀποφάσει, ὡς ἂν τοῦτο

Et dixit Dominus ad me: ecce ego impono adamantem in medio populi mei Israhelis; nequaquam ultra addam ut pertranseam eum. Et destruentur arae risûs, et initiationes Israhelis desolabuntur: et consurgam adversus domum Hieroboami cum gladio. ,, Demonstravit mihi quendam, inquit, super adamantino muro stantem, qui manu item adamantem tenebat. Porro haec erant indicia firmae atque insolubilis a Deo latae adversus Israhelitas sententiae, nimirum uti adamas duritie sua omnia superat. Cum omni igitur, inquit, firmitate adducam populo mala, nec diutius dissimulare peccata eius patiar. Destruentur autem arae omnes, apud quas idola colendo voluptatis fructum capiebant. Et omnia ut breviter dicam vastitati tradentur, quotquot nunc ab ipsis ob daemonum culturam fiunt. Quin et universam regnantis nunc Hieroboami potentiam bello pessumdabo. Videtur autem heic domum Hieroboami dicere pro toto regno; ex principe gentem totam significans. Porro exploratum est, Hieroboami temporibus evenisse Assyriorum expeditionem contra Israhelem.

Cum haec propheta genti Israhelis eventura praedixisset, propter varias perpetratas impietates atque nequitias, Amesias qui apud Bethel sacerdos erat, et tanti sceleris populo universo dux; animadvertens quod si ea ulterius propheta dicere pergeret, segniores in idolorum cultu plurimos faceret, quippe qui vaticiniorum prophetae iam tenebantur metu, conatus est regem Hieroboamum in prophetam concitare, quasi plurima adversus ipsum totumque regnum dicentem: quarum minarum ne auditu quidem tolerari immanitatem posse: praedicere enim regis mortem, et universi populi captivitatem. Manifestum id tamen mendacium erat, ad regem

μᾶλλον παροξύνειεν τὸν βασιλέα· ὡς δὲ οὐκ εἶχε τὸν βασιλέα πειθόμενον ὁ Ἀμεσίας, δεί-
σαντά τι κατὰ τοῦ προφήτου ποιῆσαι κακὸν, ἀφ᾽ ὧν ἐγνώκει παρά τε Ἡλίου καὶ Ἐλισσαίου
προφητευόντων τε ἤδη καὶ γεγονότων· καὶ μάλιστα ἐπειδὴ γνώμῃ τοῦ Ἐλισσαίου, Ἰοὺ τὸν
προπάτορα τὸν ἑαυτοῦ ἐπ᾽ ἐκδικίᾳ τῆς Ἰεζάβελ τε καὶ Ἀχαὰβ παρανομίας παρεληλυθότα
εἰς τὴν βασιλείαν ἠπίστατο, ἣ καὶ εἰς αὐτὸν ἐλήλυθεν ἀπὸ τῶν πρὸς ἐκεῖνον γεγενημένων
ἐπαγγελιῶν παρὰ τοῦ θεοῦ· αὐτὸς λοιπὸν τῇ οἰκείᾳ αὐθαδείᾳ πρὸς τὸν Ἀμὼς ὁ Ἀμεσίας
φησίν. “Ὁ ὁρῶν βάδιζε, ἐκχώρησον σὺ εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προ- v. 12.
φητεύσεις· εἰς δὲ Βαιθὴλ οὐκέτι προσθήσεις τοῦ προφητεῦσαι· ὅτι ἁγίασμα βασιλέως ἐστὶ καὶ v. 13.
οἶκος ἐστὶ βασιλείας.„ Εἰρωνικῶς ἔφη τὸ ὁ ὁρῶν· ἐπειδὴ γὰρ οὕτως ἐκάλουν τοὺς προ- p. 196.
φήτας, ὡς ἐξαιρέτους τινὰς ὄψεις κατ᾽ ἐνέργειαν θείαν δι᾽ ἀποκαλύψεως ὁρῶντας· καθὰ
καὶ ἐν ταῖς βασιλείαις φησὶν, ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν ὁ βλέπων· * εἰρω- * I. Reg. IX. 9.
νικῶς εἶπε τὸ ὁρῶν ἀντὶ τοῦ ὁ ταῦτα ἐπαγγελλόμενος· ἄπιθι δὴ ἐντεῦθεν εἰς τὴν Ἰούδα γῆν,
ἐν ᾗ δὴ χώρᾳ ἔξεστι σοι ταῦτα λεγόμενα· τῶν δὲ ἐνταῦθα τόπων ἀπόσχου, ἐπειδὴ ἀφώρισται
πάντα τὰ ἐνθάδε τῇ τοῦ Ἰσραὴλ βασιλείᾳ· καὶ οὐ θεμιτόν σοι ἐκ τῆς Ἰούδα φυλῆς ὄντι
ἐνταῦθα παρεῖναι τε καὶ λέγειν τὰ δοκοῦντα, διαταράττειν τε τὴν βασιλείαν οὕτω τὴν παρ᾽ ἡμῖν.

Πρὸς ἃ δὴ ὁ προφήτης κατὰ θείαν ἀποκάλυψιν ἀπεκρίνατο ταῦτα. “Οὔτε προφήτης v. 14.
ἤμην, οὔτε προφήτου υἱός.„ Οὔτε γὰρ ὡς τέχνην τινὰ μεμάθηκα ταύτην, οὔθ᾽ ὡς κληρο-
νομίαν ἐδεξάμην τοῦτο παρὰ τοῦ πατρός· ἐπειδὴ χάριτος ἐστὶ τὸ ἔργον θείας, καὶ προσγί-
νεται οἷς ἂν αὐτὸ προσεῖναι βούληται θεός. “Ἤμην δὲ αἰπόλος ἐγὼ καὶ συκάμινα κνίζων.„
Ἵνα εἴπῃ περὶ νομὴν τε αἰγῶν ἀσχολούμενος, καὶ δὴ καὶ κατὰ τὸ ἐνδεχόμενον τὴν γῆν γεωρ-
γῶν· συκάμινα μὲν γὰρ ἀντὶ τῶν σύκα λέγει· καθὼς καὶ ὁ μακάριος Δαυὶδ φησίν· * ἀπέ- *Ps. LXXVII. 47.
κτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ· εὔδηλον γὰρ p. 197.

quod adtinet; nihil enim eiusmodi propheta dixerat: verum Amesias id callide dictis de populo implicuit, ut regem magis exasperaret. Cum rem tamen regi non persuaderet, timenti prophetam laedere, propter ea quae evenisse noverat sub prophetis nuperis Elia atque Elissaeo; praecipueque quia voluntate Elissaei Ieum avum suum ob ulciscendum Iezabelis et Achaabi scelus, ad regnum adsumptum sciebat, quod usque ad se, iuxta factas illi a Deo promissiones, devenerat; post haec, inquam, propria instinctus audacia ita ipse Amesias cum Amoso expostulavit. “ O videns, perge, recede in regionem tuam, et ibi vive, et ibi prophetabis. Et in Bethel non adiicies ultra ut prophetes: quia sanctificatio regis est, et domus est regni. „ Ironice dixit, o videns. Quia enim sic vocabant prophetas, utpote peculiares quasdam visiones, Deo per revelationem operante, videntes; sicut etiam in regum libris dicitur, a populo appellari prophetam, qui antea dicebatur videns; ironice, inquam, dicit, o videns, pro, o qui haec nuncias, abi hinc in terram Iudae, qua certe in regione constabunt tibi quae dicis: modo ab his locis absistas, ubi omnia ad israhelitici regni ius pertinent: neque tibi fas est homini de tribu Iudae heic diversari, et pro libito loqui, nostrumque regnum conturbare.

Ad quae propheta pro facta sibi divina revelatione respondit: “ neque propheta eram, neque prophetae filius. „ Haud ego quasi artem quandam eam rem didici, nec veluti hereditatem a patre accepi: nam divinae gratiae hoc negotium est, et iis quos Deus voluerit contingit. “ Eram autem caprarius ego, et sycamina vellicans. „ Id est pascendis capris occupatus, nec non terram pro facultate colens. Sycamina pro ficubus dicit: sicut etiam beatus David: occidit grandine vitem eorum,

ὅτι μετὰ τῶν ἀμπέλων οὐ συκάμινα ἀλλὰ συκᾶς ἀπολωλέναι ἐδήλου· τὸ δὲ κνίζων ἀντὶ τοῦ
περισκάλλων λέγει καὶ γεωργῶν· ἠβουλήθη δὲ ἐκ μέρους τῶν συκαμίνων εἰπεῖν, ὅτι τῷ νέ-
v. 15. μειν αἶγας καὶ πρόβατα καὶ γεωργεῖν προσανεῖχον ἀεί. Ἀλλά με τῶν προβάτων, φησίν,
ἀποσπάσας ὁ θεὸς (ὡς δῆλον ἐστὶν ὅτι τὸ αἰπόλος εἶπεν, ὡς ἂν κατὰ ταυτὸν καὶ αἶγας καὶ
πρόβατα νέμων) προφητεύειν ἐκέλευσε καὶ μηνύειν ἅπασι τὰ περὶ τὸν λαὸν ἐσόμενα παρ'
αὐτοῦ· ἅπερ οὐκ ἐμὸν ἦν εἰδέναι, ἀλλὰ τοῦ διδάσκοντος μόνου θεοῦ, εἴς γε ἀπόδειξιν τῆς τῶν
v. 16. εἰρημένων ἀληθείας. Ἄκουε δὴ τὰ περὶ σαυτοῦ· αὐτὸς μὲν γάρ μοι κελεύεις ἀποστῆναι τοῦ
προφητεύειν ἐνταῦθα· ὡς ἂν μὴ δήμους ἐπὶ τὴν ἀκρόασιν τῶν τοιούτων συλλέγοιμι διδα-
v. 17. σκαλιῶν. Ἴσθι δὲ πάντα γενησόμενα τὰ ῥηθέντα παρ' ἐμοῦ· ἐπελεύσονται γὰρ οἱ πολέμιοι,
οἳ πρὸς πολλοῖς ἑτέροις οἷς ποιήσουσι κακοῖς, καὶ τῇ σῇ γυναικὶ χρήσονται μέσῃ τῇ πόλει
ἀτίμως ἐξυβρίζοντες εἰς αὐτήν· οἱ ἐκ σοῦ τε σφαγήσονται πάντες σὺν πολλοῖς ἑτέροις· ἡ
προσοῦσά τέ σοι γῆ ἐν μέτρῳ παραδοθήσεται ἑτέροις τοῖς μέλλουσι τὰ ἐνθάδε κατέχειν.
" Καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις. ,, Τελευτήσεις δὲ αὐτὸς παρ' ἀλλοφύλοις ἀνθρώποις
p. 198. καὶ παρανόμοις (τοῦτο γὰρ λέγει ἀκαθάρτῳ) εἰς οὓς μετὰ τῶν λοιπῶν αἰχμάλωτος ἀπαχθήσῃ
πάντων· ταῦτα εἰρηκώς, τὴν ἐπὶ τούτοις αὐτῷ δειχθεῖσαν ἀποκάλυψιν ἐπάγει.

ΚΕΦ. Η'.

v. 1. " Ἔδειξε γάρ μοι, φησὶ, κύριος· καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ· καὶ εἶπε κύριος πρός με,
v. 2. τί σὺ βλέπεις Ἀμώς; καὶ εἶπον, ἄγγος ἰξευτοῦ. ,, Ἐδήλου δὲ ἡ ὄψις ὅτι δίκην ὀρνέου
ἰξευτοῦ ληφθέντος τέχνῃ, ἅπας ὁ Ἰσραὴλ ὑπὸ τῶν πολεμίων συλληφθεὶς αἰχμάλωτος
ἀπαχθήσεται, οὐδενὸς αὐτὸν τῶν κατεχόντων ἀφαιρεῖσθαι οἵου τε ὄντος· ὥσπερ οὖν οὐδὲ τὸ
ληφθὲν ὑπὸ τοῦ ἰξοῦ στρουθίον ἀποστῆναι δυνατὸν λοιπὸν, ἐπειδὴ παντὸς ἰξοῦ δυνατώτερον

et sycaminos eorum pruina. ,, Patet autem, cum vitibus non sycamina sed ficus periisse, ab eo dici. Vocabulum item vellicans, pro sarriens dicit et operâ excolens. Voluit autem particulari hac sycaminorum mentione dicere se pascendis capris et ovibus et agriculturae deditum semper fuisse. Verumtamen Deus me ab ovibus, inquit, abstractum (unde constat, eum pariter capras ovesque pavisse) prophetare iussit, et omnibus significare, quae populo imminebant a Deo: quae quidem non mearum erat virium ut scirem, sed solius docentis Dei, ob demonstrandam oraculorum veritatem. Nunc audi, quae ad te attinent: tu quidem mihi mandas ut a prophetando his in locis abstineam, ne plebem ad has audiendas doctrinas congregem. Sed scias velim, cuncta a me dicta exitum habitura. Venient hostes, qui praeter multa alia quae patrabunt mala, tua quoque abutentur uxore in media urbe, inhoneste eam violantes: nati tui occidentur omnes cum aliis multis: et ager tuus funiculo divisus tradetur aliis qui loca ista possessuri sunt. " Tuque in terra immunda morieris. ,, Tu ipse morieris apud extraneos homines et scelestos (id enim valent verba, in terra immunda) ad quos cum reliquis omnibus captivus ducêris. His dictis, revelationem quoque his de rebus acceptam subiungit.

CAP. VIII.

" Ostendit enim mihi Dominus: et ecce vas aucupis. Et dixit Dominus mihi: quid tu vides, Amos? Et dixi: vas aucupis. ,, Iam vero significabat visio, fore ut instar avis aucupii arte captae, universus Israhel comprehensus atque captivus abduceretur, quin aliquis eum de manu tenentium possit eripere: quod si captus a

ἡ τῶν ἐπιόντων δυναστεία καθέξει τε αὐτοὺς καὶ εἰς τὴν αἰχμαλωσίαν ἀπάξει· ἐπάγει γ' οὖν.
" Καὶ εἶπεν κύριος πρός με· ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραήλ· οὐκέτι μὴ προσθῶ v. 3.
τοῦ παρελθεῖν αὐτόν· καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ. „ Τὴν γὰρ τῶν δειχθέντων εἶπε
δύναμιν· ἥκει τοίνυν φησὶν ὁ καιρὸς καθ' ὃν τῇ τιμωρίᾳ παραδοθήσονται πάντες· καὶ παύ-
σεται δὲ μετ' ἐκείνων καὶ ἡ ἀσέβεια, καὶ ἡ τῆς ἀσεβείας καὶ ἡ τῆς παρανομίας ἐπιμέλεια
πάσης· οὐ γὰρ ἔτι ἀνέξομαι παραφέρειν αὐτῶν τὰ κακά, καὶ ἀνεκδίκητα τοιαῦτα ὄντα ἐᾶν·
ἅψεται μέν τοι καὶ τοῦ ναοῦ τὸ κακόν, ἐπειδὴ σὺν τῇ πάντων ἀπωλείᾳ πυρὶ παραδοθή-
σεται καὶ ἐκεῖνος· δῆλον δέ ἐστιν, ὃ πολλάκις ἔφην, ὅτι ἐν τῇ μηνύσει τῶν κακῶν, κἂν
τὰ περὶ τὸν Ἰσραὴλ λέγῃ, ἀλλ' ἐπισυνάπτει καὶ τὰ τῆς Ἰούδα φυλῆς ἐπὶ τῶν Βαβυλωνίων p. 199.
ἐσόμενα, ὅτε δὴ καὶ τὴν Ἱερουσαλὴμ ἁλῶναι καὶ τὸν ναὸν ἐμπρησθῆναι συνέβη. " Ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ, λέγει κύριος, πολὺς ὁ πεπτωκώς· ἐν παντὶ τόπῳ ἐπιρρίψω σιωπήν. „ Τότε
δή φησι πολὺς μὲν ἁπανταχοῦ γενήσεται θάνατος, καὶ ἀναρίθμητοι τῶν πιπτόντων ἔσονται
αἱ σφαγαί, τῶν μὲν ἀνῃρημένων, τῶν δὲ αἰχμαλώτων ληφθέντων· σιωπὴ δὲ ὑπὸ τῆς ἄγαν
ἐρημίας καθέξει τὰ πάντα· εἶτα πάλιν ὑπόμνησιν τῶν παρανομιῶν ὧν ἐπετέλουν ποιεῖται.

" Ἀκούσατε δὴ ταῦτα οἱ ἐκθλίβοντες εἰς τὸ πρωῒ πένητα, καὶ καταδυναστεύοντες v. 4.
πτωχὸν ἀπὸ τῆς γῆς· οἱ λέγοντες, πότε διελεύσεται ὁ μήν, καὶ ἐμπολήσομεν; καὶ πότε ἥξει v. 5.
τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρούς, τοῦ ποιῆσαι μικρὸν τὸ μέτρον, καὶ μεγαλῦναι στάθ-
μιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον, τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχούς, καὶ ταπεινὸν ἀνθ' ὑπο- v. 6.
δημάτων, καὶ ἀπὸ πάσης πράσεως ἐμπορευσόμεθα; „ Ταῦτα δή, φησί, μάλιστα πάντων
εἰρῆσθαι πρὸς ὑμᾶς νομίσατε, οἳ διὰ παντὸς μὲν ταῖς ἀδίκοις κεχρημένοι δυναστείαις εἰς
τὴν τῶν πενήτων ἀδικίαν, ἀναμένοντες δὲ ἑκάστου μηνὸς τὴν συμπλήρωσιν ἐπὶ τῷ τὰς παρα-

visco passer aufugere iam non poterit, ita quum visco validior sit adgredientium potentia, comprehendet Israhelitas et in servitium deportabit. " Et dixit Dominus mihi: venit finis super populum meum Israhelem: non adiiciam ultra ut pertranseam eum: et ululabunt lacunaria templi. „ Demonstratarum sibi rerum vim dicit. Venit ergo, ait, tempus quo de omnibus poenae sumentur, et eorum cessabit libertas atque potentia: simulque desinet ipsorum impietas, et omne irreligiositatis ac peccati studium: non enim iam patiar dissimulare illorum nequitiam, neque haec inulta sinam. Templum quoque attinget calamitas, quia et ipsum in communi exitio igne inflammabitur. Porro apparet, quod iam saepe dixi, in praedictione malorum, etiamsi de Israhele sit sermo, attamen a propheta connecti etiam ea quae tribui Iudae a Babyloniis imminebant, quo tempore et Hierusalem capi et incendi templum contigit. " Illa die, dicit Dominus, multi cadentes. In omni loco proiiciam silentium. „ Tunc, ait, ubique erit mors, et innumerae cadentium erunt caedes, partim occisorum partim in captivitatem abductorum. Silentium denique propter summam solitudinem omnia occupabit. Deinde rursus iniquitatum, quas frequentabant, facit mentionem.

" Audite haec qui conteritis mane pauperes, et opprimitis in terra egenum: qui dicitis: quandonam transibit mensis, et negotiabimur? Quandonam venient sabbata, aperiemusque thesauros, ut faciamus mensuram parvam, et augeamus pondus, faciamusque stateram iniustam, ut possideamus pecunia pauperes, et egenum pro calceamentis, et omni venditionis genere negotiemur? „ Haec vobis maxime dicta existimate, qui iniustis semper oppressionibus pauperes atteritis, expectantes cuiusque mensis finem ob exigendos iniquos usurarum vestrarum quaestus: qui

νόμοις τῶν οἰκείων δανεισμάτων ἐργασίας συλλέξαι· ἀναμένετε δὲ καὶ τὰ σάββατα, οὐχ
p. 200. ἵνα τῷ θεῷ ἑορτάσητε ἐν αὐτοῖς, ἀλλ' ἵνα τὴν ἐμπορείαν δαψιλεστέραν ποιήσησθε, ἀποχρη-
σάμενοι τῷ καιρῷ τῆς ἑορτῆς, θησαυρούς τε ἑαυτοῖς ἀδίκους συλλέξητε, μέτρα τε καὶ σταθμία
μικρὰ καὶ μεγάλα ποιοῦντες, ὡς ἂν ἑκατέροις πρὸς τὴν ἑαυτῶν κεχρημένοι καπηλείαν,
συλλέξητε ἀργύριον ἐκ τῆς τῶν πενήτων ἀδικίας, λημμάτων μὲν οὐδὲ τῶν εὐτελεστάτων
ἀπεχόμενοι· τοῦτο γὰρ λέγει τὸ ἀνθ' ὑποδημάτων· ἀπὸ παντὸς δὲ συναλλάγματος σπο-
v. 7. ποιοῦντες τί ὑμῖν προσγενήσεται κέρδος· τοῦτο γὰρ λέγει τὸ, ἀπὸ πάσης πράσεως ἐμπορευ-
σόμεθα. Κατὰ δὴ ταύτης ὑμῶν τῆς ὑπερηφανίας (ὑπερηφανίαν γὰρ ὀνομάζει τὴν εἰς τοὺς πέ-
νητας ἀδικίαν, ἣν εἰργάζοντο μὴ συλλογιζόμενοι τοῦ θεοῦ τὴν δίκην) ἀπόφασιν ἐξήνεγκε
βεβαίαν ὁ θεὸς καὶ ἀμετάπτωτον· τὸ γὰρ ὀμνύει κύριος, τοῦτο δηλοῖ, ὡς οὐ παραδώσει λήθῃ
v. 8. παντελῶς τὰ παρ' αὐτῶν γινόμενα· μόνον δὲ οὐχὶ πᾶσαν συγκινήσας τὴν γῆν, τοσούτοις τῇ
τῶν πολεμίων ἐφόδῳ περιβαλεῖ τοῖς κακοῖς, ὥστε πένθει κατέχεσθαι πάντας, ἐπὶ τῷ με-
γέθει τῆς ἐπελθούσης αὐτοῖς συμφορᾶς· δίκην γὰρ τοῦ κατ' Αἴγυπτον ποταμοῦ πλημμυροῦντος
τε καὶ πάλιν ὑποχωροῦντος, ἐπελεύσεται τε ὑμῖν ὁ πολέμιος ἅπαντας ὑμᾶς ἀπολλύς·
v. 9. καὶ δὴ καὶ λαβὼν αἰχμαλώτους ἐπὶ τὴν οἰκείαν ἀπάξει χώραν. Τότε δὴ, φησὶν, ὁ μὲν ἥλιος
p. 201. ἐν τῷ μεσαιτάτῳ τῆς ἡμέρας ἀφανὴς εἶναι δόξει τοῖς ἐν ἀνάγκαις καθεστῶσι· σκότος δὲ
v. 10. ἅπαντας τοὺς ἐπὶ τῆς γῆς δόξει κατέχειν, διὰ τὸ μέγεθος τῶν κακῶν. Καὶ τὰς μὲν παρα-
νόμους ἑορτὰς ἀφέντες, τῷ πένθει προσέξετε· ἀντὶ δὲ τῶν παλαιῶν ᾀσμάτων θρήνῳ χρή-
σεσθε πολλῷ· ἀντὶ δὲ τῆς μαλακῆς ἐσθῆτος, σάκκον περιθήσεσθε ἐπὶ τῷ πένθει τῶν παρόν-
των κακῶν· τοῦ δὲ παλαιοῦ κόσμου τῆς κεφαλῆς ἀμελήσαντες, τὴν ἀφαίρεσιν τῶν τριχῶν, ὡς
ἐν τοσούτοις ὑμῖν ἁρμόζειν οἰήσεσθε τοῖς κακοῖς· ἅπαντες τε συντόμως εἰπεῖν ὡς ἐπὶ πένθει
μονογενοῦς υἱοῦ ἠγαπημένου διατελέσετε ὑπὸ τῆς κατεχούσης ὀδύνης, τῶν περιεχόντων ἑαυτοὺς
v. 11. κακῶν θρηνοῦντες τὸ μέγεθος· καὶ τὰ ἑξῆς δὲ ἐπὶ τούτοις ἐσόμενα, ὡς βαρύτερα δηλῶν

item expectatis sabbata, non ut Deo per haec feriemini, sed ut utiliorem mercaturam faciatis, abutentes festali tempore: atque ut iniustos thesauros vobis coacervetis, et mensuras atque stateras parvas magnasque faciatis, ut utrisque in nundinis vestris utamini: quô pecuniam ex pauperum oppressione corradatis, ne a vilissimis quidem muneribus abstinentes; id enim denotat dictio, pro calceamentis: atque ex qualibet mercatura aliquid lucrari curantes. Id quippe valent verba: omni venditionis genere negotiemur. Iam adversus hanc vestram superbiam (superbiam enim nominat iniustitiam contra pauperes, quam perpetrabant, de Dei vindicta non cogitantes) firmum tulit Deus decretum atque immutabile. Nam dictio, iurat Dominus, hoc significat, quod omnino oblivioni non tradet facta illorum: immo toto veluti terrarum orbe commoto, tantis eos per hostium incursionem obruet malis, ut omnes in luctu futuri sint, magnitudine pressi calamitatis. More enim aegyptiaci fluminis inundantis et mox recedentis, invadet vos hostis generaliter vastans, comprehendensque captivos ad suam regionem asportabit. Tunc vero, inquit, sol meridie obscuratus videbitur iis qui in angustiis versantur; tenebrisque omnes se teneri putabunt propter malorum magnitudinem. Tunc omissis vitiosis sollemnitatibus, luctui vacabitis: et pro antiquis canticis, largo fletui indulgebitis: pro molli veste, sacco induemini praesentium malorum indice: et vetere capitis ornatu omisso, calvitiem malis vestris congruam esse putabitis. Cuncti, ut summatim dicam, tamquam in luctu dilecti unigeniti propter excruciantem dolorem degetis, incumbentium vobis malorum magnitudinem complorantes. Tum et alia praeter haec eventura, gra-

ὁ προφήτης· παρέσονται γάρ φησιν ἡμέραι, ἐν αἷς οὐκ ἐνδείᾳ τροφῆς τε καὶ ποτοῦ περιπε-
σεῖσθε μόνον, ἀλλὰ γὰρ τὴν βαρυτάτην ἔνδειαν ὑπομενεῖτε, οὐδὲ μιᾶς φωνῆς ἀξιούμενοι
θείας, τῶν διὰ προφητῶν εἰωθυίας γίνεσθαι ἐπὶ ψυχαγωγίᾳ τῶν ἐν δεινοῖς καθεστώτων· λέγει
δὲ τὸ καὶ παρὰ τῷ μακαρίῳ ῥηθὲν Ὠσηὲ τῷ προφήτῃ· * ὅτι καθήσονται οἱ υἱοὶ Ἰσραὴλ * Os. III. 4.
οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ
ἱερατείας, οὐδὲ δήλων, ἐν οἷς σημαίνει τὸ μετὰ τὴν αἰχμαλωσίαν τὴν ἐν Βαβυλῶνι γενομέ- p. 202.
νην ἅπαντα αὐτῶν ἀφαιρεθῆναι ταῦτα· τὸ αὐτὸ δὴ καὶ νῦν ὁ προφήτης δηλοῖ, ὅτι παρα-
δοθήσεσθε τοῖς κακοῖς· τότε τοὺς προφήτας ἐπιζητεῖτε ὧν νῦν ἀμελεῖτε· καὶ ἐπιθυμοῦντες
μαθεῖν εἴ τινα μεταβολὴν ἐπὶ τὸ κρεῖττον δέξεται τὰ καθ' ὑμᾶς. " Σαλευθήσεται γάρ, v. 12.
φησι, τὰ ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦν-
ται ζητοῦντες τὸν λόγον κυρίου, καὶ οὐ μὴ εὕρωσιν αὐτόν. „ Ἵνα εἴπῃ ὅτι πᾶν τὸ πλῆθος
ἐκεῖνο τοῦ Ἰσραὴλ τὸ ἄπειρον ποικίλως διαταραχθήσεται ἁπανταχοῦ, ζητοῦν που τίς προ-
φήτης φανεῖται κατὰ γνώμην θεοῦ μηνύων αὐτοῖς τὰ ἐσόμενα· οὗπερ οὖν οὐ τεύξονται τότε.
Εἶτα φησὶν ἀφανισθήσεται παντελῶς πᾶν ὅ τι κάλλιστον ὑμῖν φαίνεται νῦν καὶ σπουδῆς v. 13.
ἄξιον· ἀπολοῦνται μὲν γὰρ αἱ μετὰ πολλῆς ἐπιμελείας νῦν παρθενευόμεναι παρ' ὑμῖν· ἀπο-
λοῦνται δὲ καὶ οἱ ἐπὶ νεότητι μάλιστα θαυμαζόμενοι· πείσεσθε δὲ ταῦτα ὑπὲρ τίνος; " Οἱ v. 14.
ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας, καὶ λέγοντες ζῇ ὁ θεὸς Δὰν, καὶ ζῇ ὁ θεός σου Βηρ-
σαβεέ· καὶ πεσοῦνται, καὶ οὐ μὴ ἀναστῶσιν ἔτι. „ Ὑπὲρ ὧν ἀφέντες θεὸν τὸν τοῦ παντὸς
κύριον, τὰ ἐν Σαμαρείᾳ εἴδωλα θεραπεύειν ἔσπευδον, καὶ ταῦτα ἐκάλουν θεούς· ὑπὲρ
τούτων πεσοῦνται πτῶμα ἀδιόρθωτον παντελῶς· εἶτα πάλιν ἀποκάλυψιν ἑτέραν λέγει.

viora adhuc significans propheta, venient inquit dies, quibus non penuria tantum cibi potusque laborabitis, sed et gravissimam aliam patiemini penuriam, quia nempe nullum impetrabitis divinum oraculum, ex eorum numero quae per prophetas fieri solebant, ad aerumnosorum solatium. Ait nimirum, quod etiam apud beatum Oseam prophetam dicitur: sedebunt filii Israhelis sine rege, sine magistratu, sine sacrificio, sine altari, sine sacerdotio, sine oraculis: quibus verbis significat cuncta haec captivitatis babylonicae tempore fuisse sublata. Idem vero nunc propheta nunciat, nempe: aerumnis trademini, et tunc prophetas expetetis, quos nunc negligitis; scire cupientes num aliqua in melius commutatio vos maneat. " Commovebuntur aquae a mari usque ad mare: a borea ad orientem discurrent quaerentes verbum Domini, neque id invenient. „ Id est omnis illa Israhelis innumera multitudo sparsim ubique agitabitur, quaerens an uspiam propheta aliquis appareat, Dei voluntate nuncians sibi eventura; quem tamen tunc non invenient. Deinde, peribit ait funditus quicquid nunc praestantissimum vobis videtur et desiderabile: peribunt vestrae nunc omni cura custoditae virgines: peribunt etiam formosissimi iuvenes. Haec autem quam ob causam patiemini? " Qui iurant per propitiationem Samariae, dicuntque: vivit Deus Dan; et vivit Deus tuus, Bersabea: et cadent, et non resurgent. „ Quia derelicto Deo omnium domino, Samariae idola venerari studuerunt, eaque deorum nominibus appellaverunt; ideo corruent lapsu prorsus irreparabili. Deinde aliam recitat revelationem.

ΚΕΦ. Θ'.

v. 1. « Εἶδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου· καὶ εἶπε, πάταξον ἐπὶ τὸ ἱλαστήριον,
p. 203. καὶ σεισθήσεται τὰ πρόπυλα· καὶ διάκοψον εἰς κεφαλὰς πάντων· καὶ τοὺς καταλοίπους αὐτῶν
ἐν ῥομφαίᾳ ἀποκτενῶ· οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων· καὶ οὐ μὴ σωθῇ ἐξ αὐτῶν ἀνα-
σωζόμενος. ,, Ἐθεασάμην γάρ φησιν ἑστῶτα μὲν πρὸ τοῦ θυσιαστηρίου τὸν θεὸν, δῆλον
ὅτι τοῦ ἐν Ἱερουσαλήμ· λέγοντα δέ μοι πλῆξαι τὸ ἱλαστήριον, ἵνα εἴπῃ τὸ θυσιαστήριον·
ἱλαστήριον γὰρ αὐτὸ καλεῖ ὡς ἐπὶ ἱλασμοῖς τῶν θυσιῶν προσαγομένων· ἐν δὲ τὸ κελευ-
σθῆναι πατάξαι τὸν προφήτην, σημεῖον τοῦ πληγήσεσθαί τε αὐτὸ καὶ πείσεσθαι· ἐπάγει γοῦν
καὶ σεισθήσεται τὰ πρόπυλα, ἵνα ἐκ μέρους εἴπῃ ὅτι ἅπας ὁ ναὸς διασαλευθήσεται ἅμα
τῇ πληγῇ ταύτῃ· ἐπείπερ ἀνάγκη ἦν κοινωνεῖν τῆς βλάβης τοῦ θυσιαστηρίου τὸν οἶκον ὅλον·
σημεῖά τέ, φησιν, ἔνθες τινὰ τῶν ἁπάντων κεφαλαῖς, ὡς ἂν εἴη γνώρισμα τοῦ ἐντεῦθεν ἤδη
καταστεσημάνθαι πάντας, ὡς παραδοθησομένους μὲν τῇ ἀπωλείᾳ, οὐδενὸς δὲ διαφευξο-
μένου τὸν κίνδυνον ἐκεῖνον· ὡς γὰρ ἐν τῇ Αἰγύπτῳ σημεῖον δέδωκε τὸ ἐπὶ τῶν φλιῶν τοῦ
αἵματος, εἰς διάκρισιν τῶν τε ἀπολλυμένων καὶ τῶν σωζομένων, οὕτως ἐνταῦθα κελεύει ση-
μεῖον αὐτὸν τι ἐπὶ τῆς κεφαλῆς τῶν ἁπάντων ποιῆσαι κατὰ τὴν ἀποκάλυψιν τὴν θείαν, εἰς ἀπό-
v. 2. δειξιν τοῦ πάντας παραδεδόσθαι τῷ θανάτῳ· ὅπερ πρὸς βεβαίωσιν ἐπάγει, ὅτι κἂν εἰς
p. 204. v. 3. τὸν ᾅδην κατενεχθῶσιν, ἐκεῖθεν αὐτοὺς ἀνέλκω· κἂν εἰς τὸν οὐρανὸν ἀνέλθωσιν, ἐκεῖ αὐτοὺς
κατάγω· κἂν εἰς τὰς διαδύσεις κρυβῶσι τοῦ Καρμήλου, (ἵνα εἴπῃ τῶν ὀρῶν, ἐκ μέρους
λέγων τὸ πᾶν) ἀνιχνεύσας αὐτοὺς πάντας παραδώσω τῇ αἰχμαλωσίᾳ· κἂν ἐπὶ τὸ βά-
θος ἀπέλθωσι τῆς θαλάσσης, διὰ τῶν ἐκεῖθεν αὐτοὺς ἀπολῶ θηρίων· καὶ μετὰ τὸ πλῆθος
δὲ τῶν κακῶν ὧν πείσονται πάντες εἰς αἰχμαλωσίαν ἀπαχθέντες, ἐκεῖ κατὰ τὴν ἐντολὴν τὴν
ἐμὴν ἀπολοῦνται ὡς εἰκός· οἷς ἐπάγει.

CAP. IX.

" Vidi Dominum stantem super altare. Et dixit: percute super propitiatorium, et commovebuntur vestibula. Et dixit: incide in capita omnium: et reliquos ex ipsis gladio occidam, non effugiet ex eis, qui fugerit; neque salvabitur ex eis, qui incolumis evaserit. ,, Vidi, inquit, stantem super altare Deum; super illud videlicet quod Hierosolymis erat; et mandantem mihi ut propitiatorium percuterem, quod pro altari dicit; propitiatorium nempe appellatum, quia ibi sacrificia fiebant ad propitiandum. Quod autem iubetur propheta illud percutere, indicium erat fore ut reapse percuteretur et caderet. Addit ergo: et commovebuntur vestibula, ut nominata parte dicat totum templum quassatum iri hac percussione: necesse enim erat ut altaris detrimentum universo templo commune fieret. Et signa, inquit, in omnium capitibus pone, ut indicia sint, iam abhinc omnes signatos esse, ut exitio tradantur, quin periculum illud quisquam effugiat. Sicut enim in Aegypto signum Deus dedit sanguinem postibus domorum illitum, ob distinguendos neci addictos a salvandis; ita nunc mandat prophetae ut signum quoddam in capite omnium imprimat, iuxta divinam revelationem, ut cunctos morti traditum iri demonstret. Quod ut confirmet, addit: etiamsi usque ad infernum descenderint, inde eos educam: et si ascenderint usque in caelum, inde eos detraham: et si in cavernis abscondantur Carmeli (id est montium, partem dicens pro universitate) ego eos vestigans captivitati tradam: et si in maris profunditatem abierint, beluis ibi laten-

“ Καὶ στηριῶ τοὺς ὀφθαλμούς μου εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθά. „ Ἀντὶ τοῦ ἐπιμενῶ v. 4.
προσέχων αὐτοῖς, οὐχ ὥστε τινὸς αὐτοῖς ἀγαθοῦ μεταδοῦναι, ἀλλ' ὥστε εἰς παντοίαν αὐτοὺς
καταστῆσαι πεῖραν κακῶν· ἐπειδήπερ τούτων ἑαυτοὺς ἀξίους διὰ τῶν ἔργων ἀπέφηναν τῶν οἰ-
κείων· ἔστι γάρ, φησι, θεὸς ὁ τοῦ παντὸς ποιητὴς τε καὶ κύριος, ὃς ἅπασαν μὲν αὐτάρκης v. 5.
σαλεῦσαι τὴν γῆν διὰ μόνης ἁφῆς· τὸ αὐτὸ δὲ τοῦτο καὶ τῆς γῆς ἐργάσεται ταύτης, ἀποφάσει
τινὶ πᾶσαν αὐτὴν σαλεύων καὶ πρὸς ἐρημίαν πολλὴν καθιστάς, ὡς πένθει πάντας κατα-
σχεθῆναι τοὺς οἰκοῦντας αὐτήν· ἐπειδὴ δίκην τοῦ κατ' Αἴγυπτον ποταμοῦ ἐπελθὼν αὐτοῖς
ὁ πολέμιος πολλοὺς ἀνελεῖ, καὶ περισύρας εἰς τὴν αἰχμαλωσίαν ἀπάξει τοὺς λοιπούς· εἶτα p. 205.
εἰς βεβαίωσιν τῶν εἰρημένων “ ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγ- v. 6.
γελίαν αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν. „ Οὗτος φησὶν ὁ πάντοτε μὲν ἐν οὐρανῷ δεικνύμενος,
οὗπερ ἄνεισί τε ἀεὶ καὶ διάγει, πάντων ὑπερκείμενος, ἅπαντα δὲ βεβαιῶν ὅποσα περ ἂν
ἐπὶ γῆς ποιεῖν ἐπαγγέλληται πάντως· οὗτος ὁ τὸ μὲν ὕδωρ τῆς θαλάσσης λαμβάνων τε
καὶ ἐπὶ γῆς ἐκχέων ἁπάσης· τὸ αὐτὸ δὲ καὶ νῦν διαπραττόμενος, τὸ τὸν Ἀσσύριον θαλάσσῃ
προσεοικότα τῷ πλήθει ἐπαγαγεῖν τῇ γῇ τῇ ὑμετέρᾳ· ταῦτα γὰρ ἔργα θεοῦ τοῦ πάντων
κυρίου τε καὶ ποιητοῦ· εἶτα βουλόμενος τὴν ἀγνωμοσύνην αὐτῶν ἐκ τῆς περὶ αὐτοὺς ἐπιδεῖξαι
γνώμης τοῦ θεοῦ, ἐπάγει.

“ Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστέ μοι υἱοὶ Ἰσραήλ, λέγει κύριος; „ Οὐ παραπλη- v. 7.
σίους Αἰθιόπων ἔθεμην ὑμᾶς ἐμαυτῷ; οὓς γε οὐδὲ φαίνομαί τι νείμας ἐξαίρετον ἐγώ.
“ Οὐ τὸν Ἰσραὴλ ἀνήγαγον ἐκ γῆς Αἰγύπτου; „ Οὐδὲ γὰρ ὥσπερ ὑμᾶς ἀπὸ τῆς Αἰγύπτου
λαβών, τῆς τε δουλείας ἀπήλλαξα τῆς πικρᾶς ἐκείνης, καὶ γῆς ἀπέφηνα τοσαύτης τε καὶ
τοιαύτης κυρίους τῆς οὐ προσηκούσης ὑμῖν, οὕτω δή τι περὶ Αἰθίοπας ὤφθην πεποιηκώς.

tibus consumam. Et post tot quae passi fuerint mala, turmatim omnes in captivitatem abducti, illic meo iussu merito peribunt. His addit.

“ Et obfirmabo oculos meos super illos in mala, et non in bona. „ Pro eo ac si dicat: perseverabo illis instare, nec boni aliquid impertiar, sed eos omne malorum genus faciam experiri; quandoquidem horum se dignos operibus suis comprobarunt. Est enim Deus creator omnium ac dominus, qui universum potest vel solo tactu quassare orbem terrarum. Atque hoc idem huic quoque regioni faciet, decreto quodam totam concutiens, atque in vastam solitudinem redigens, ita ut eius incolae omnes luctu corripiantur. Nam instar fluvii aegyptiaci, invadens eos hostis, multos interficiet, et reliquos vi pertrahens in captivitatem abiget. Tum dicta confirmans: “ qui aedificat in caelo ascensionem suam, et promissionem suam super terram fundat. „ Hic, ait, qui semper in caelo se ostendit, quô ascendit ibique degit, cunctis supereminens, omnia confirmans quaecumque in terra se omnino facturum promiserit: hic qui aquam de mari extollit et in universam terram effundit: idem nunc quoque agit, dum Assyrium, multitudine sua mare exaequantem in regionem vestram immittit. Sunt enim haec Dei opera domini universalis et creatoris. Deinceps, ut ex hac Dei sententia vecordiam Israhelitarum coarguat, addit.

“ Numquid ut filii Aethiopum vos estis mihi, filii Israhelis? „ Num similes filiis Aethiopum apud me vos constitui; quibus ego quidem nihil peculiare contulisse videor. “ Nonne Israhelem de terra Aegypti eduxi? „ Neque enim, sicuti vos de Aegypto sumens, acerbo illo servitio exemi, talisque ac tantae et nihil ad vos pertinentis regionis dominos feci; ita par aliquid Aethiopibus fecisse visus sum. “ Et alienigenas de Cappadocia, et Syros de Bothro? „ Bothrum nonnulli aiunt

« Καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους ἐκ Βόθρου (1); » Τὸ μὲν ἐκ
p. 206. Βόθρου τινὲς ἔφασαν λέγεσθαι, τουτέστιν ἐκ Καρῶν (2) τῶν νῦν οὕτω λεγομένης, ποτὲ δὲ Χαῤῥάν· περιττὴν δὲ οὖσαν τὴν ἀκριβολογίαν ταύτην ἀφεὶς, τῷ μηδὲν πρὸς τὸ νόημα συντελεῖν, ὅστις ποτὲ ἂν ὁ δηλούμενος τόπος ἐν τούτοις ᾖ, τὸ σημαινόμενον ἐπὶ τοῦ παρόντος ἐρῶ· οὐ γὰρ τοῦτο λέγει ὅτι τοὺς ἀλλοφύλους ἀνήγαγον ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους ἐκ Βόθρου· τὸ γὰρ ἐναντίον βούλεται δεικνῦναι, ὅτι οὐδὲν τοιοῦτο παρέσχηκεν ἑτέροις, οἷον δὴ τούτοις, ὥστε μείζονα καὶ παρὰ τούτων τὴν εὐγνωμοσύνην εἰς αὐτὸν παρὰ πάντας χρῆναι φυλάττεσθαι· δήλου γε ὄντος κἀκείνου, ὡς εἴπερ ἀναγαγὼν ἦν καὶ ἑτέρους παραπλησίως τούτοις, πάντως ἄν τινα καὶ πρόνοιαν ἔλεγε περὶ αὐτοὺς γεγενῆσθαι, μετὰ τοῦ καὶ τὸν τῆς προνοίας τὸν σκοπὸν εὔγνωστον ἅπασιν εἶναι· ἐπεὶ καὶ τὸν Ἰσραὴλ οὐχ ἁπλῶς ἀνήγαγε τῆς Αἰγύπτου, ἀλλ' ὥστε διὰ πολλῆς ἀγαγὼν τῆς ἐπιμελείας, ἐπιτήδειον ἐργάσασθαι πρὸς τὸ ἐκεῖθεν τὴν ἁπάντων φανῆναι σωτηρίαν, τὸν δεσπότην Χριστόν.

Τί οὖν ἐστιν ὅ φησι; μεταστάσεις πλεῖσται γεγόνασιν ἐκ τόπων εἰς τόπους· οἷον δή τι καὶ παρὰ τοῦ Θάῤῥα τοῦ πατρὸς τοῦ μακαρίου γέγονεν Ἀβραάμ, ἐξελθόντος μὲν ἐκ γῆς Χαλδαίων, ἐληλυθότος δὲ εἰς Χαῤῥὰν, εἶτα τετελευτηκότος αὐτόθι· ὅθεν δὴ καὶ μεταστῆναι γέγονε λοιπὸν τὸν Ἀβραὰμ ἐπὶ τὴν Παλαιστίνην· οὐκ ἄδηλον δὲ ὡς καὶ ὁ μακάριος Ἰακὼβ
p. 207. μετὰ πάντων τῶν προσηκόντων αὐτῷ ἐπὶ τὴν Αἴγυπτον μετέστη· τοσοῦτο δή τι γέγονε καὶ περὶ ἑτέρους ὡς εἰκός· καί τινες ἐκ Καππαδοκίας ὁρμώμενοι, ἐπὶ τοὺς τόπους τῶν ἀλλοφύλων μεταστάντες, ἐγκατεμίγησαν ἐκείνοις καὶ γεγόνασιν αὐτῶν μέρος· ἐκ Βόθρου τε πάλιν εἰς Σύρους ἕτεροι μεταστάντες, παρ' αὐτοῖς τε διέμειναν, καὶ τὴν ἐπιμιξίαν ἐδέξαντο τὴν πρὸς ἐκείνους· βουλόμενος τοίνυν εἰπεῖν ὁ θεὸς ὅτι μηδενὶ τοιαῦτα δεδώρηται, ὁποῖα περ αὐτοῖς, εἶπε

dici pro iis quae nunc appellantur Carae, aliàs vero Charran. Ego vero hac superflua disquisitione omissa, quae nihil sensui intelligendo prodest, quicumque demum heic denotetur locus, praesentis textus significatum exponam. Quippe haud dicit: alienigenas ex Cappadocia eduxi, et Syros ex Bothro; sed contrarium potius adfirmat, se nempe nullum eiusmodi beneficium aliis contulisse, cuiusmodi Israhelitis; ita ut hos oportuisset gratiorem prae ceteris animum erga Deum conservare. Namque et illud exploratum est, quod si forte etiam illos pari modo in libertatem vindicasset, omnino providentiam quandam circa eosdem adhibuisse diceret, cuius providentiae scopus cunctis facile esset compertus. Sed enim Israhelem, non simpliciter tantum ex Aegypto eduxit, sed multa cura illi adstitit, quô idoneum redderet, ut ex ipso salus universalis appareret Christus dominus.

Ergo quid demum dicit? Migrationes multae de locis in alia loca fuerunt; veluti Tharrae, qui beati Abrahami pater fuit, quique de regione Chaldaeorum egressus, in Charran migravit, atque ibi deinde mortuus est. Unde et contigit ut postea Abrahamus transiret in Palaestinam. Constat etiam beatum Iacob cum universa progenie in Aegyptum incolatum suum transtulisse. Simile quiddam et aliis contigit, ut credibile est: et quidam de Cappadocia egressi, et ad loca alienigenarum migrantes, mixti sunt illis, parsque eorum evaserunt. Ex Bothro item ad Syros alii transgressi, apud eos manserunt, et cum ipsis coaluerunt. Volens itaque Deus dicere ne-

(1) Βόθρον heic intelligere videtur nomen proprium Theodorus probabilius fortasse, quam Hieronymus, qui appellativum apud LXX. iudicabat in comm. ad hunc locum. En verba: *pro Cyrene, Aquila et quinta editio ipsum verbum hebraicum posuerunt CIR: septuaginta foveam, id est* βόθρον: *Theodotio parietem: Symmachus Cyrenem, quem et nos in hoc loco sequuti sumus.*

(2) Videlicet ex hebraico קיר.

μὲν ὅτι οὐκ ἐν τάξει εἶχον ὑμᾶς Αἰθιόπων, ἐκ μέρους τὰ ἔθνη βουλόμενος ἅπαντα εἰπεῖν·
καὶ ὅτι μηδένα τῶν αὐτῶν ἀξιώσας ὤφθαι ποτέ· ἀνήγαγον γάρ φησιν ὑμᾶς μόνους ἐκ τῆς Αἰγύ-
πτου, μετὰ πολλῶν μὲν θαυμάτων, πολλῆς δὲ παραδοξοποιΐας· ἤγαγον τε εἰς γῆν τοσαύ-
την καὶ τηλικαύτην, ἧς ὑμᾶς ἀπέφηνα κυρίους οὐδὲν ὑμῖν προσηκούσης· οὐ μὴν οὐδὲ εἰς
ταύτην οὕτως ἐληλύθατε, ὥσπερ οἱ ἀλλόφυλοι ἐκ Καππαδοκίας ἐπιμεμιγμένοι, ἢ ἐκ Βό-
θρου τοῖς Σύροις· μεταστάσεις γάρ τινας ὑπομεμενήκασιν ἐκεῖνοι, οὐδὲν ἐχούσας παράδοξον,
οὐδέ τινα ἐμὴν ἐξαίρετον ἐπιμέλειαν δεικνύσας περὶ αὐτούς· πρὸς τῷ καὶ ἐν προσηλύτων
τάξει διάγειν αὐτοὺς, παρ' οἷς περ εἰσίν· ὑμᾶς δὲ δῆλον μὲν μεθ' ὅσων ἐξέβαλον τῶν θαυ-
μάτων· ὅπως δὲ διήγαγον τὴν ἔρημον, ὅπως δὲ εἰσήγαγον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὅσης δὲ p. 208.
ὑμᾶς γῆς πεποίηκα κυρίους, ἅπαντας τοὺς ἐπ' αὐτῆς πρότερον ὄντας ἀνελών· ὅσης δὲ καὶ
διετέλεσα μεταδιδοὺς ὑμῖν ἐπιμελείας παρὰ πάντας ἀνθρώπους· ὑπὲρ ὧν ἄγαν ὀφείλον-
τες αἰδῶ μοι νέμειν τινὰ, οὐδένα λόγον τῶν ἐξ ἐμοῦ γεγενημένων εἰς ὑμᾶς ἐπιδεδειγμένοι
φαίνεσθε· τί οὖν;

" Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρτωλόν· καὶ ἐξαρῶ αὐτὴν v. 8.
ἀπὸ προσώπου τῆς γῆς· πλὴν ὅτι εἰς τέλος οὐ μὴ ἐξαρῶ τὸν οἶκον Ἰακὼβ, λέγει κύριος. ,,
Ὑπὲρ μὲν οὖν ταύτης τῆς ἀγνωμοσύνης ἀφελῶ τε ὑμᾶς τῆς γῆς, καὶ εἰς αἰχμαλωσίαν
ἀπάξω τὴν οὕτω πονηρὰν βασιλείαν· οὐ μὴν ἀνέξομαι παντελῆ τὸν ἀφανισμὸν ὑμῶν ἀπερ-
γάσασθαι, μεμνημένος τῆς γνώμης τῆς ἐμῆς μεθ' ἧς τοσαύτην ἔνειμα τὴν ἐπιμέλειαν.
" Διότι ἰδοὺ ἐγὼ ἐντέλλομαι, καὶ λικμήσω τὸν οἶκον Ἰσραὴλ ἐν πᾶσι τοῖς ἔθνεσιν, ὃν τρό- v. 9.
πον λικμᾶται ἐν τῷ λικμῷ· καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν. ,, Δίκην γὰρ τῶν
λικμώντων ἅλωνα καὶ χωριζόντων τοῦ ἀχύρου τὸν σῖτον, παραδώσω μὲν ὑμᾶς εἰς αἰχμα-

mini se tanta beneficia largitum, quanta Israhelitis, primo ait se eos haud illo ordine apud se habuisse, quo Aethiopes, a parte scilicet cunctas gentes denotans: tum dicere pergit se nullius parem umquam curam gessisse: solos enim vos Aegypto eduxi multis cum miraculis et insperato prorsus agendi modo: deduxique in talem tantamque regionem, cuius vos dominos feci quamquam nullo iure ad vos pertinentis. Neque tamen ad praedictam terram eo modo pervenistis, quo alienigenae ex Cappadocia miscelli, vel Syri de Bothro, venerunt: etenim hi migrationes quasdam fecerunt, nihil mirabile habentes, neque ullum meum prae se ferentes peculiarem favorem: praeter quam quod isti in proselytorum ordine sunt apud illos, quibuscum versantur. At enim vos quantis ego prodigiis liberaverim, notissimum est: quomodo per desertum deduxerim, quomodo in promissam terram introduxerim, et quantae vos possessores regionis fecerim, omnibus qui illam antea incolebant peremptis: quantam denique vobis prae cunctis hominibus et quam constantem curam impenderim. Quorum omnium causa, cum eximium mihi deberetis obsequium, nullum tamen beneficiorum erga vos meorum respectum ostendistis. Quid ergo?

" Ecce oculi domini Dei super regnum peccans, et auferam illud a facie terrae: verumtamen non in finem auferam domum Iacob, dicit Dominus. ,, Propter hunc sane ingratum animum, auferam vos de terra, et in captivitatem expellam tam nequam regnum: non tamen patiar plenum vestri consummari exitium, memor voluntatis meae, qua tantam vobis curam impendi. " En ego praecipiam, et ventilabo domum Israhelis, quemadmodum ventilatur in ventilabro, et non cadet fragmentum super terram. ,, Ritu ventilantium in area, et secernentium a palea triticum, tradam vos gentibus in captivitatem: haud vero absolutam vestri perniciem

λωσίαν τοῖς ἔθνεσι· παντελῆ δὲ ὑμῶν τὸν ἀφανισμὸν οὐκ ἐργάσομαι, περισώζων οὓς ἂν
v. 10. ἀξίους δοκιμάσω τοῦ τῆς σωτηρίας ταύτης τυχεῖν. “ Ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρ-
p. 209. τωλοὶ τοῦ λαοῦ μου, οἱ λέγοντες οὐ μὴ ἐγγίσῃ οὐδὲ μὴ ἔλθῃ ἐφ᾽ ἡμᾶς τὰ κακά. „ Ἀφανιῶ
γὰρ τῷ πολέμῳ αὐτοὺς πρὸς τὸ χεῖρον νεύοντας, καὶ οὐκ οἰομένους κατὰ τὰς τῶν προφητῶν
μηνύσεις ἐπελεύσεσθαί τι τῶν λυπούντων αὐτούς. Οὕτω διὰ πάντων τὰ ἐπελευσόμενα τῷ
λαῷ μηνύσας κακά, ἅτε παρὰ τῶν ἀσσυρίων περὶ τὰς δέκα συμβαίνειν ἔμελλε φυλάς,
ἅτε παρὰ τῶν βαβυλωνίων ὕστερον εἰς αὐτοὺς λοιπούς, μηνύει καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν
μετ᾽ ἐκεῖνο μεταβολήν, καί φησιν.
v. 11. “ Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω
αὐτὴν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος· ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων,
καὶ πάντα τὰ ἔθνη ἐφ᾽ ἃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτά, λέγει κύριος ὁ ποιῶν
πάντα ταῦτα. „ Ἀλλὰ γὰρ μετὰ τὴν τῶν λυπηρῶν πεῖραν μεταβαλῶ πάντα ἐπὶ τὸ κρεῖτ-
v. 12. τον, καὶ ἀνεγερῶ τὴν Δαυὶδ τὴν πεπτωκυῖαν βασιλείαν· καὶ πάλιν ἐξ αὐτῆς ἡγούμενον δώσω
παντὶ τῷ λαῷ· ὡς μὴ μόνον τούτων αὐτοὺς ὑπολειφθέντας, ἀλλὰ γὰρ καὶ πολλοὺς τῶν ἐναντίων
ὑπὸ τῆς γινομένων ἐκπλήξεως κινουμένους θεὸν ὁμολογῆσαι τὸν τοῦ παντὸς ποιητήν τε καὶ
κύριον· ταῦτα γὰρ ἀποφαίνεται ὁ καὶ πρὸς πέρας ἄξων αὐτὰ θεός· ἐνταῦθα μὲν οὖν τὰ
κατὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος λέγει, ὅτι δὴ βασιλέα ἐκ τοῦ Δαυὶδ ὄντα τὸν Ζορο-
p. 210. βάβελ ἐπανιόντες ἐπὶ τὰ οἰκεῖα ἔμελλον ἅπαντες ἔχειν· ὁ μέν τοι γε μακάριος Ἰάκω-
Act. XV. 16. βος ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων * ἐπὶ τοῦ δεσπότου Χριστοῦ φαίνεται τῇ φωνῇ συγ-
κεχρημένος ταύτῃ, ἅτε καὶ τὴν ἔκβασιν ἀληθῆ λαβούσῃ τότε ὁπηνίκα ὄντως ἡ βασιλεία
πεπτωκυῖα τοῦ Δαυὶδ ἀνέστη, καὶ πᾶσαν ἀποβαλοῦσα σάθρωσιν ἐν τελειότητι κατέστη· τότε
δὴ καὶ τὴν βεβαίωσιν εἴληφεν ἡ βασιλεία τῆς τοῦ Δαυὶδ διαδοχῆς, παραπλησίαν ταῖς τοῦ αἰῶνος
ἡμέραις, ὅτε περ ἐν διηνεκεῖ τὴν σύστασιν εἶχεν· καὶ μὲν καὶ τὸ τὴν ἐπίγνωσιν τὴν θείαν ἐγ-

faciam, conservans illos quos hanc impetrandi salutem dignos iudicabo. “ Gladio morientur omnes peccatores populi mei, qui dicunt: non appropinquabunt neque venient super nos mala. „ Bello enim eos perdam, qui improbitati sunt dediti, et non credunt fore ut iuxta prophetarum vaticinia triste aliquid sibi eveniat. Postquam sic hactenus, eventura populo mala propheta praedixit, tum quae ab Assyriis decem tribus passurae erant, tum quae postea reliqui a Babyloniis, praedicit etiam ipsorum post illa in melius conversionem, aitque.

“ Die illa suscitabo tabernaculum Davidis quod cecidit, et reaedificabo illud sicut dies saeculi: ut exquirant me reliqui hominum, et gentes omnes, super quibus invocatum est nomen meum, dicit Dominus qui haec omnia facit. „ Age vero post molestiarum perpessionem, omnia in melius mutabo, et prostratum Davidis regnum excitabo: rursusque ex ipso dabo ducem universo populo: ita ut non hi solum ruinae superstites, sed alii multi de numero contrariorum, rerum harum stupore perculsi, Deum confessuri sint universi mundi factorem ac dominum. Quippe haec palam decernit is qui eadem ad exitum perducet Deus. Heic igitur res circa reditum Babylone agendas dicit; et quod regem Davide oriundum Zorobabelem omnes in propria reduces habituri sint. Beatum quin etiam Iacobum in sanctorum apostolorum actibus de Christo domino hanc eandem locutionem usurpasse apparet, quoniam ea verum exitum tunc habuerat cum reapse collapsum Davidis regnum resurrexit, omnique vetere corruptela abiecta, perfectum statum recuperavit. Tunc enimvero cepit regnum posterorum Davidis firmitatem, parem diebus aeter-

γενέσθαι τοῖς τε λοιποῖς τῶν ἀνθρώπων καὶ πᾶσι δὲ τοῖς ἔθνεσιν, ἐπ' αὐτῶν ὦφθαι τῶν πραγμάτων τὸ ἀληθές· ὥστε εἰρῆσθαι μὲν παρὰ τοῦ προφήτου τὴν φωνὴν τὰ κατὰ τὴν ἐπάνοδον ἐσόμενα μηνύοντος τέως· τὸ δὲ τῶν εἰρημένων ἀληθὲς καὶ βέβαιον καὶ ἀσάλευτον ἐπὶ τοῦ δεσπότου Χριστοῦ δεικνύμενόν τε καὶ συστὰν δικαίαν εἰληφέναι ἐκ τοῦ μακαρίου Ἰακώβου τῆς φωνῆς τὴν χρῆσιν (1).

Εἶτα καὶ καθόλου μηνύων τὰ τότε αὐτοῖς παρεσόμενα καλὰ, παραπλησίως τοῖς λοιποῖς προφήταις λέγει τὸ καὶ τῶν καρπῶν τὴν ἀφθονίαν αὐτοῖς προσέσεσθαι παντελῶς, ὡς τὸν ἐξ ἅλωνος συλλεγομένους καρποὺς διαδέχεσθαι τὸν τρύγην, ὡρίμων μὲν αὐτοῖς ἀποδιδομένων τῶν καρπῶν, μόνον δὲ οὐχὶ καὶ τῶν ὀρῶν καὶ τῶν βουνῶν πολλὴν αὐτοῖς παρεχόντων p. 211. τὴν ἀφθονίαν, πλεῖστα τε ὅσα ἐκφυόντων καλά· καὶ τὴν μὲν αἰχμαλωσίαν λύσω, φησίν, τοῦ λαοῦ, ὥστε λαβόντας τε ἄδειαν, καὶ γενομένους ἐν τοῖς οἰκείοις, καὶ τὰς οἰκείας κατὰ τὸ παλαιὸν ἀνορθῶσαι σχῆμα, καὶ τὴν γῆν κατεργασαμένους τὸν ἐξ αὐτῆς κομίζεσθαι καρπόν· ἐν βεβαίῳ τε αὐτοὺς καταστήσω τῆς οἰκείας γῆς· τοῦτο γὰρ λέγει τὸ καταφυτεύσω αὐτοὺς ἐν τῇ γῇ αὐτῶν, καὶ οὐκ ἐάσω τῆς οἰκείας ἔξω γενέσθαι χώρας ἔτι, ἧσπερ οὖν αὐτοὺς κυρίους ἀπέφηνα τὴν ἀρχήν· τὸ γὰρ οὐ μὴ ἐκσπασθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς αὐτῶν ἧς ἔδωκα αὐτοῖς, τοῦτο δηλοῖ· ἵνα εἴπῃ ὅτι οὐ γενήσονται αὐτῆς ἔτι πόῤῥω· ὥστε τῇ αἰχμαλωσίᾳ ὥσπερ τινὶ κατεχόμενοι σκέπῃ, μὴ δὲ ὁρᾶν δύνασθαι τὴν οἰκείαν γῆν· ταῦτα δέ φησιν ἀπόφασις τε καὶ ἔργον θεοῦ τοῦ ποιητοῦ τε πάντων καὶ κυρίου.

nis, quia perpetuum statum obtinuit. Praeterea et Dei quoque notitiam apud reliquos homines cunctasque gentes diffundendam fuisse, res ipsae gestae verum demonstrarunt. Quamobrem prophetae quidem vox res post reditum eventuras hactenus dixit: attamen dictorum veritas, et firmitas, et immobilitas, ac perpetuitas, in Christo domino ostensa et consistens, iustam beati Iacobi dicto auctoritatem praebuit.

Deinde et generaliter praedicens quae tunc Israhelitis eventurae erant prosperitates, ceterorum ritu prophetarum dicit, adfore illis omnimodam frugum copiam, ita ut coacervatas areae fruges exceptura sit vindemia, maturis semper concessis fructibus; et ipsis propemodum montibus collibusque copiam suppeditantibus, et omni re bona affluentibus. Captivitatem populi dissolvam, ut securi sint, et postliminio fruantur, et suas urbes in antiquam formam restaurent, et agricolae terrae a se cultae fructus percipiant. Firmiter eos in sua patria stabiliam; id enim sonat dictio: et plantabo eos in terra eorum; et non sinam ulterius extra patriam regionem fieri, cuius ipsos ab initio dominos feci. Nam verba, et non evellentur ultra de terra sua, quam eis dedi, hoc significant; id est procul illa non amandabuntur, prout tunc evenerat quum propria captivitate tamquam velamine impediti, ne aspicere quidem patriam suam poterant. Hoc est, inquit, decretum opusque Dei rerum omnium creatoris ac domini.

(1) Heic, et alibi, et praesertim in prologo ad Ionam, videmus Theodorum nostrum haud ita *ἰουδαιόφρονα* esse, ut quibusdam interdum visus fuit, sed prophetarum de Christo vaticinia agnoscere et explicare.

ΕΡΜΗΝΕΙΑ ΑΒΔΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Ἀπεχθῶς ἄνωθεν Ἰδουμαῖοι πρὸς τοὺς Ἰσραηλίτας εἶχον, περὶ πολλοῦ τε αὐτῶν ποιούμενοι τὴν ἀπώλειαν, καὶ ἐπὶ ταῖς προσγιγνομέναις αὐτοῖς ἡδόμενοι συμφοραῖς, ὥστε καὶ συμ-
p. 212. πράττειν πρὸς ἅπαντα τοῖς ἐπιοῦσιν αὐτοῖς, ἤδη ποτὲ κατὰ θείαν συγχώρησιν ἐν πείρᾳ καθίσαντο κακῶν· γεγόνεσαν γὰρ Ἰσραηλῖται μὲν ἐκ τοῦ Ἰακὼβ κατάγοντες τὸ γένος, Ἰδουμαῖοι δὲ ἐκ τοῦ Ἡσαῦ, ἀδελφοὶ δὲ ἦσαν οὗτοι υἱοὶ τοῦ Ἰσαάκ· καὶ ἐπειδὴ κατὰ θείαν κρίσιν τῶν πρωτοτοκίων ἐπὶ τὸν Ἰακὼβ μετεληλυθότων, διὰ μίσους τε εἶχεν αὐτὸν ὁ Ἡσαῦ, καὶ ἀνελεῖν καιροῦ λαβόμενος ἠβούλετο, παρασκευάζει μὲν τὸν Ἰακὼβ εἰς τὴν Χαῤῥὰν ἀπελθεῖν ἡ μήτηρ, ὡς ἂν πόῤῥω γεγονότος λωφήσειεν ἡ ὀργὴ τοῦ Ἡσαῦ· καὶ δὴ καὶ θείας προνοίας ἀξιωθεὶς ὁ Ἰακὼβ παντελῶς διέφυγε τοῦ ἀδελφοῦ τὴν βλάβην· μετελήλυθε δὲ ὅμως εἰς τοὺς ἐξ αὐτῶν ἡ ἔχθρα· διέμειναν τε οἱ ἐκ τοῦ Ἡσαῦ κατάγοντες τὸ γένος Ἰδουμαῖοι πολεμίως πρὸς τοὺς Ἰσραηλίτας ἔχοντες ἐκ τοῦ Ἰακὼβ καταγομένους, ὡς ἔφην ἤδη· ποικίλως τοίνυν τὴν κατ' αὐτῶν ἔχθραν ἐπιδεικνύμενοι, οὐδὲν ἧττον τὴν αὐτὴν ἐπεδείξαντο γνώμην καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν ἀσσύριοί τε Ἰσραηλίταις, καὶ βαβυλώνιοι ὕστερον τῇ τε Ἱερουσαλὴμ καὶ τοῖς τῆς Ἰούδα φυλῆς ἐπελθεῖν συνέβη· ὥστε καὶ πλεῖστα ὅσα ἐπί τε τῶν Ἰουδαίων ἀπωλείᾳ τοῖς βαβυλωνίοις συμπρᾶξαι· ἐντεῦθεν ὁ μακάριος Δαυὶδ τὰ κατὰ
*Ps. CXXXVI. 1. Βαβυλῶνα προφητεύων λέγει μέν· * ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, καὶ τὰ ἑξῆς· δι' ὧν ἐδείκνυ τὰ κατὰ τὴν αἰχμαλωσίαν ἐκείνην αὐτοῖς συμβε-
p. 213. * v. 7. βηκότα κακά· ἐπειδὴ δὲ καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν ἤμελλε μηνύειν, ἐπάγει· * μνήσθητι κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων ἐκκενοῦτε ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς· εὔδηλον γὰρ ὅτι υἱοὺς Ἐδὼμ τοὺς Ἰδουμαίους λέγει, ἀμφοτέραις ταύταις

COMMENTARIUS IN ABDIAM PROPHETAM.

Inimici iamdiu Israhelitarum Idumaei erant, valdeque hi optabant illorum excidium, atque eorumdem adversis casibus laetabantur: immo cum ipsorum quoque hostibus perpetuo conspirabant, postquam Deo permittente Israhelitae variis cladibus adfici coeperant. Porro Israhelitae a Iacob genus trahebant, Idumaei ab Esau, qui fratres erant Isaaco geniti. Iam quia divino iudicio ius natu maioris ad Iacob transierat, atque ob id invisum habebat Iacobum Esau, eumque interficere, si occasio tulisset, moliebatur, dedit operam mater ut Iacob Charras peregrinaretur, dum interim eo submoto quiesceret Esau furor. Et Iacob quidem divina providentia tectus plane vitavit impendens a germano exitium; sed tamen manavit in posteros horum odium: retinueruntque Esau progenies Idumaei hostiles animos adversum Israhelitas de Iacob, ut dixi, progenitos. Quumque multifariam iam prodidissent simultatem illam, tum etiam mentem suam aperuerunt quo tempore Assyrii contra Hierosolyma Iudaeque tribum, expeditionem fecerunt. Tunc sane plurima ad Iudaeorum perniciem fecerunt, cum Babyloniis conspirantes. Quare et beatus David res babylonicas praedicens ait: super flumina Babylonis, illic flevimus; et reliqua. Quibus verbis mala per illam captivitatem Iudaeis eventura significavit. Verumtamen quia meliorem quoque rerum ordinem restituendum dicturus erat, addidit: memento Domine filiorum Edomi, qui in die Hierosolymorum aiebant, exi-

καλουμένους τῆς προσηγορίαις, ὡς πολλαχοῦ τε ἐκ τῆς θείας ἔνεστι μαθεῖν γραφῆς· καὶ οὐδὲν
ἧττον ἐκ τῆς τῶν βασιλειῶν ἱστοριῶν ὅτι Ἀμεσίας ἐπάταξε τὴν Ἐδὼμ ἐν πολέμῳ· εἶτα ἀπέ-
στειλε μὲν πρὸς τὸν Ἰσραὴλ βασιλέα ἐπὶ πόλεμον αὐτὸν ἐκκαλούμενος· ὁ δὲ ὑβριστικῶς
ἀποκρινάμενος πρὸς αὐτὸν, πρὸς τοῖς λοιποῖς καὶ τοῦτο φησί· * πατάξας ἐπάταξες τὴν Ἰδου- * IV. Reg. XIV. 10.
μαίαν· καὶ ἐπῆρε σε ἡ καρδία σου ἡ βαρεῖα· οὓς ἐν τοῖς ἀνωτέροις εἶπε τοῦ Ἐδὼμ ἔφη, Ἰδου-
μαίους ἐν τούτοις εἰπών· μνήσθητι τοίνυν φησὶ τῶν Ἰδουμαίων, ὁποῖα δὴ καθ' ἡμῶν πεποιή-
κασιν, οἳ τὸν καιρὸν τῆς συμφορᾶς τῆς ἡμετέρας, πρόφασιν τῆς ἑαυτῶν ἐποιήσαντο κακίας·
ὥστε τοῖς ἐπεληλυθόσιν ἡμῖν συνεπιχύειν, εἴ πως ἅπασαν ἐκ βάθρων ἀνασπάσειαν τὴν
πόλιν, καὶ μηδὲ λείψανον αὐτῆς τι καταλίποιεν ἔτι· καὶ ἐπάγει· * θυγάτηρ Βαβυλῶνος ἡ *Ps. CXXXVI. 8.
ταλαίπωρος, μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν· p. 214.
δεικνὺς ὅτι τότε δὴ καὶ Ἰδουμαίοις ὑπὲρ τῆς γνώμης ἐκείνης ἐπάξει τὴν τιμωρίαν ὁ θεός· ὁπη-
νίκα δὴ τὴν μὲν Βαβυλωνίων καταστάσει δυναστείαν, τὴν βασιλευομένην πόλιν αὐτῶν ἅμα
τῷ τε βασιλεῖ καὶ πᾶσι τοῖς οἰκοῦσιν αὐτὴν παραδοὺς τοῖς Πέρσαις *, ὥστε καὶ παθεῖν παρ' * Sub Cyro.
αὐτῶν ἐκεῖνα ἅπερ οὖν κατὰ τῆς Ἱερουσαλὴμ πεποιήκεσαν ἤδη· Ἰσραηλίτας δὲ τῆς κατεχούσης
ἀπαλλάξας αἰχμαλωσίας εἰς τὴν οἰκείαν χώραν ἐπαναγάγῃ πάλιν.

Ἐπειδὴ τοίνυν πολλάκις διὰ τῶν προφητῶν ὁ θεὸς τὰ καταληψόμενα τοὺς Ἰσραηλί-
τας ἔφη κακὰ, πρότερον μὲν ὑπὸ Ἀσσυρίων, ὑπὸ Βαβυλωνίων δὲ μετ' ἐκεῖνο, ὅτι τε
αἰχμάλωτος ἅπας ὁ Ἰσραὴλ τοῦτον ἀπαχθήσεται τὸν τρόπον· πολλὴν δὲ, ὡς ἔφην, ἐπὶ τῶν
καιρῶν ἐκείνων τὴν οἰκείαν ἐπεδείξαντο συνεργίαν Ἰδουμαῖοι, καιρὸν ἐπιτήδειον εἰληφέναι
νομίσαντες εἰς τὸ πανωλεθρεὶ πάντας ἀπολέσαι τοὺς ἐκ τῆς ἰσραηλιτικῆς ὡρμημένους συγ-
γενείας· ὅπερ ἦν θεῷ πολεμούντων προδήλως, ὃς τόν τε Ἰακὼβ τῆς τῶν πρωτοτοκίων

nanite exinanite a fundamentis urbem. Perspicuum est filios Edomi a Davide intelligi Idumaeos, qui utraque appellatione utebantur, ut saepenumero ex divina scriptura cognoscere licet; et quidem ex regnorum libris historicis. Quarta enim historia dicit ab Amesia caesum fuisse in acie Edomum; deinde missam ab eo legationem ad Israhelis regem, ut ad proelium eum provocaret: hunc autem cum stomacho respondisse illi inter cetera: extulit te superbia cordis tui, propterea quod clade adfeceris Idumaeam. Quos in superioribus dixit Edomi filios, nunc Idumaeos dicit historia. Itaque David memento, ait, quanta Idumaei contra nos fecerint, qui calamitatis nostrae tempore abusi sunt tamquam ansa ad suam expromendam malitiam; quique hostibus nostris vires addiderunt, ut universam a fundamentis eruerent urbem, nihilque in ea reliquum esse paterentur. Addiditque: filia Babylonis misera! felix qui reddet tibi retributionem quam nobis retribuisti! significans fore ut eodem tempore Idumaeis quoque ob huiusmodi ipsorum mentem poenas Deus imponeret: nimirum quo tempore Deus Babyloniorum imperium eversurus erat, regiamque horum urbem cum rege cunctisque incolis, Persarum potestati traditurus, ut ab his eo iure tractarentur, quod ipsi pridem contra Hierosolyma exercuerant: expeditis interim captivitate Israhelitis atque in patriam restitutis.

Quandoquidem ergo Deus correptura Israhelitas mala prophetarum ore saepe praedixerat, primo quidem ab Assyriis imponenda, iterum a Babyloniis cum universus Israhel migrare patria iussus est; et quia valde, ut dixi, per id tempus Idumaei cum hostibus consenserunt, dum idoneam nacti occasionem se crederent perdendi funditus omnes quicumque de israhelitica stirpe essent (qua in re et Idumaei sine dubio Deo adversabantur, qui Iacobum maioris natu privilegio dignatus fuerat,

ἠξίωσεν εὐλογίας, καὶ πάντων τῶν ἐκεῖθεν καταγομένων πολλήν τινὰ καὶ ἐξαίρετον πεποι-
ημένος διατετέλεκε τὴν ἐπιμέλειαν· ἀθυμεῖν τε ἐπὶ τούτοις εἰκὸς ἦν τοὺς Ἰσραηλίτας, εἰ ἐκ
p. 215. τοῦ τὴν εὐλογίαν τῶν πρωτοτοκίων κατὰ θείαν κομισαμένου ψῆφον καταγόμενοι, τοιαῦτα πά-
σχοιεν παρὰ τῶν ἐκ τοῦ προπάτορος οἰκείου τῆς εὐλογίας ἀποβληθέντων τῆς θείας· ἀναγκαίως
τὸν μακάριον προφήτην Ἀβδίαν ἐπὶ τούτῳ κεκίνηκεν ὁ θεός, ὡς ἂν διὰ πάσης αὐτοῦ τῆς
προῤῥήσεως τὴν καταληψομένην Ἰδουμαίους μηνύσειεν τιμωρίαν· ὁπηνίκα ἂν ἐπὶ τὸ κρεῖττον
μεταγαγεῖν τὰ Ἰσραηλιτῶν δοκιμάσῃ θεός, ἐπαναγαγών τε αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας
καὶ τῇ χώρᾳ πάλιν ἀποδιδοὺς τῇ οἰκείᾳ, ὥστε καὶ τὴν Ἱερουσαλὴμ ἀνοικοδομῆσαι, καὶ τὸν ναὸν
ἐν αὐτῇ κατασκευάσαι, ἐν ᾧ δὴ μάλιστα προσῆκεν αὐτοὺς συνιέναι πάλιν, τὴν καθήκουσαν
ἐκ τῆς νομικῆς διατάξεως ἀποπληροῦντας αὐτόθι τῷ θεῷ θρησκείαν· νῦν τε γὰρ οὐ μικρὰν
ἡ τούτων μήνυσις τὴν ψυχαγωγίαν παρείχετο τοῖς ἀδικουμένοις· καὶ μετὰ τὴν τῶν μηνυθέντων
ἔκβασιν, ἔτι μᾶλλον ἐπείθοντο τὸ γνώμῃ θεοῦ πάλαι τε ταῦτα εἰρῆσθαι· καὶ πρὸς ἔργον
ὕστερον ἐκβεβηκέναι, ἅπερ ἦν ἄμφω τῆς περὶ αὐτοὺς κηδεμονίας ἔλεγχος τοῦ θεοῦ· ὥστε οὐκ
ἄδηλον εἶναι ὅτι προμηθείᾳ τοῦ λαοῦ καὶ ταύτην ἐποιεῖτο τὴν μήνυσιν· οὗ δὴ πολλὴν ὑπὲρ τῆς
σωτηρίας, ὡς πολλάκις ἔφην, ἐποιεῖτο τὴν ἐπιμέλειαν ὁ θεός.

v. 1. “ Ὅρασις Ἀβδιοῦ. „ Οὐδὲν κατὰ τὴν δύναμιν διαλλάττει τοῦτο, τοῦ λόγος κυρίου·
p. 216. λόγον γάρ τε κυρίου τὴν ἐνέργειαν ὀνομάζει τοῦ θεοῦ, καθ' ἣν τῇ πνευματικῇ χάριτι τὰς
ἀποκαλύψεις οἱ προφῆται τῶν ἐσομένων ἐδέχοντο· καὶ ὅρασιν τὸ αὐτὸ δὴ τοῦτο καλεῖ τὴν
ἀποκάλυψιν τὴν θείαν, καθ' ἣν ἐνεγίνετο αὐτοῖς τῶν ἀδήλων δέχεσθαι τὴν γνῶσιν· ἐπειδὴ
γὰρ καὶ θεωρίας τινὰς ἀποῤῥήτως διὰ τῆς πνευματικῆς ἐνεργείας ἐπὶ τῆς ψυχῆς ἐδέχοντο τῆς
οἰκείας οἱ προφῆται, καὶ τὴν διδασκαλίαν τῶν ἐσομένων ὡς παρά τινος λαλοῦντος ὑπή-
κουον, κατὰ τὴν ἐγγινομένην αὐτοῖς ἐνέργειαν ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου· διὰ τοῦτο καὶ ὅρασιν

cunctosque huius posteros peculiari magnaque cura complectebatur; et ipsos Israhelitas magnopere moerere par erat, quia posteri eius qui divino decreto primogeniti tulerat benedictionem, haec patiebantur ab iis qui cum suo parente benedictione divina exciderant) ob haec, inquam, necessario Deus beatum prophetam excitavit Abdiam, qui universo suo vaticinio eventuram Idumaeis poenam significaret, quum Deo aliquando visum foret res Israhelitarum in pristinam prosperitatem vindicare; a servitio scilicet expedire, suaeque patriae reddere, ut Hierosolyma instaurarent templumque reficerent: in quo maxime decebat iterum congregari eos, ut ibi legitimis erga Deum religionibus operarentur. Et quidem nunc haud exiguo moerentibus solatio erat horum eventuum praedictio: tum vero post vaticiniorum exitum multo magis credituri erant, haec olim Dei voluntate praedicta, et deinde verba in rem collata fuisse. Quae res utraque comprobabat Dei erga eos providentiam; certioresque eosdem faciebat, haec a Deo vaticinia fuisse edita gentis gratia, de cuius incolumitate magnam, ut saepe dixi, curam gerebat.

“ Visio Abdiae. „ Nihil huius vocabuli vis differt a dictione: sermo Domini. Quippe sermonem scriptura appellat eam virtutem, per quam spiritali munere notitiam rerum futurarum prophetae excipiebant. Visionem scilicet dicit pro divina revelatione, cuius ope illis contingebat, ut arcanorum scientiam consequerentur. Nam quia et theorias quasdam inenarrabiliter spiritali opera in animam excipiebant prophetae, tum etiam doctrinam futurarum rerum tamquam ab aliquo loquente audiebant, pro sancti Spiritus agente in iis virtute; idcirco et visionem dicit scriptura et sermonem Domini; immo etiam, ut mihi videtur, auditum: propterea quod

αὐτὸ καὶ λόγον κυρίου καλεῖ· καὶ ἀκοὴν δὲ ὡς εἰκὸς, ἅτε τῆς πνευματικῆς διδασκαλίας, ὥσπερ ἀκοῇ τινὶ, δεχομένων τὴν γνῶσιν· ὅθεν καὶ ὁ μακάριος Ἡσαΐας ὁ προφήτης φησί· * * Is. LIII. 1. κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; ἵνα εἴπῃ τῇ γνώσει τῶν δειχθέντων ἡμῖν, καὶ ὧν ἐδιδάχθημεν θειόθεν· ἀκολουθότατα δὲ καὶ ὁ μακάριος Παῦλος ταύτην τε θεϊκῶς τὴν φωνὴν ἐπήγαγεν· * ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ· δεικνὺς ὅτι οὐκ ἄλλως * Rom. X. 17. δυνατὸν τὴν τοιαύτην ἀκοὴν προσγίνεσθαι τοῖς προφήταις, ἀλλ' ἢ διὰ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας· καὶ ὁ μακάριος δὲ φησὶ Δαυίδ· * κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, * Ps. XLVIII. 5. ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου· ἵνα εἴπῃ ὅτι ὑποθεὶς τὴν ἀκοὴν καὶ δεξάμενος θειόθεν τὴν γνῶσιν, διαπορθμεύσω τοῖς ἀνθρώποις τῶν προσηκόντων τὴν διδασκαλίαν· κἀνταῦθα τοίνυν ἐπειδὴ εἶπεν ὅρασις Ἀβδιοῦ, ὁ προγραφή τίς παραπλησίως τοῖς λοιποῖς ἦν p. 217. τοῦ βιβλίου δήλωσιν ἔχοντος οὗ τινος ἦν τὰ λεγόμενα, ὅπως τε τὴν τοιαῦτα λέγειν δύναμιν εἰληφότος, ἄρχεται τῶν τῆς προφητείας ῥημάτων οὕτως.

“ Τάδε λέγει κύριος ὁ θεὸς τῇ Ἰδουμαίᾳ. „ Δηλοῖ περὶ ὧν ἡ προφητεία γίνεται. “ Ἀκοὴν ἤκουσα παρὰ τοῦ κυρίου. „ Τῶν δὲ ἐσομένων, φησὶ, κατὰ τὴν Ἰδουμαίαν ἀδήλων μὲν ὄντων ἀνθρώποις, μετὰ πολὺν δὲ ἐσομένων τὸν χρόνον, παρὰ τοῦ θεοῦ δέδεγμαι τὴν διδασκαλίαν· εἶτα τίς ἀκοή; “ Καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλε. „ Περιοχὴν λέγει τὸ κύκλῳ τι περιέχον, οἷον τεῖχος ἢ τι τοιοῦτο· οὕτω λέγει τὸ, τίς ἀπάξει με εἰς πόλιν περιοχῆς *; ἵνα εἴπῃ εἰς πόλιν τετειχισμένην, τουτέστι περιεχομένην τῷ τείχει κύκλῳ· ταύτην * Ps. CVII. 11. οὖν φησὶν ἤκουσα τὴν ἀκοὴν, ὅτι ὥσπερ τινὰ περιοχὴν τὸ πρόσταγμα ἐξαπέστειλε τὸ οἰκεῖον εἰς τὰ ἔθνη ὁ θεὸς, ἅπαντας αὐτοὺς ἐν κύκλῳ κατὰ τῆς Ἰδουμαίας συλλέγων. “ Ἀνάστητε καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. „ Κατὰ ἀποσιώπησιν τὸ λέγων νοεῖται, ἵνα ᾖ καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν λέγων, ἀνάστητε καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς

spiritalis doctrinae notitiam, auditionis cuiusdam instar, recipiebant. Quare beatus quoque Isaias propheta ait: Domine quis credidit auditui nostro? nempe notitiae rerum nobis demonstratarum, et quas divinitus edocti sumus. Convenientissime item beatus Paulus hanc divinitus protulit locutionem: fides ex auditu, auditus autem per verbum Dei: significans, haud aliter accidere posse prophetis auditionem huiusmodi, nisi a sancti virtute Spiritus. Tum etiam beatus David ait: inclinabo ad parabolam aurem meam, aperiam in psalterio propositionem meam: nempe quam aure praebita divinitus hausero cognitionem, eam mox ad homines perferam, ut officiorum fiat disciplina. Igitur quod heic dicitur “ visio Abdiae „ is est quidam (ut in ceteris prophetis usuvenit) titulus libri, qui nomen eius prae se fert a quo ista dicuntur, simulque innuit quanam auctor virtute loquendi imbutus, verborum propheticorum hoc initium faciat.

“ Haec dicit dominus Deus Idumaeae. „ Significantur ii, de quibus prophetia fit. “ Auditionem audivi a Domino. „ Adversos Idumaeae casus, arcanos adhuc hominibus, sed tamen post diutinum tempus eventuros, a Deo edoctus sum. Iam quae res audita? “ Et septum inter gentes misit. „ Septum dicit quo aliquid circumcluditur, murum puta, aut aliquid huiusmodi. Sic ait scriptura: quis deducet me in urbem septi, id est in urbem munitam, seu muro circumdatam. Ergo hanc, ait, audivi auditionem, a Deo scilicet missum praeceptum eius, septi instar, ad cunctas orbiculatim gentes contra Idumaeam congregandas. “ Surgite et consistamus contra eam belligerantes. „ Sub reticentia intelligitur “ dicens „: nempe septum inter gentes misit, dicens: surgite et consistamus contra eam belligerantes. Tamquam si

p. 218. πόλεμον· ὡσανεὶ τοῦ θεοῦ ταῦτα λέγοντός τε, καὶ κελεύοντος, καὶ πανταχόθεν ἐπ' αὐτὴν τὰ
ἔθνη συλλέγοντος· καὶ δὴ καὶ στρατηγεῖν αὐτοῖς μέλλοντος ἐν τοῖς κατὰ τῆς Ἰδουμαίας πο-
λέμοις· οἷόν τι καὶ ὁ μακάριος Δαυίδ· τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; καὶ τίς ὁδη-
γήσει με ἕως τῆς Ἰδουμαίας; οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; ἵνα εἴπῃ ὅτι ὁ θεός
μοι εἰς τοὺς κατὰ τῆς Ἰδουμαίας στρατηγήσει πολέμους· ἰδίωμα δὲ τοῦτο καὶ παρὰ τῷ μακα-
ρίῳ Δαυὶδ εὕροι τις ἂν κατὰ ἀποσιώπησιν σημαίνεσθαι τὸ λέγων ἢ λέγοντες ἢ τι τοιοῦτο·
* Ps. II. 1. οἷόν ἐστι τὸ *, ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν; οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχον-
τες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ· διαρρήξωμεν τοὺς δεσμοὺς
αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν· καὶ γὰρ κἀνταῦθα κατὰ ἀποσιώπησιν τὸ
λέγοντες νοεῖται, εἰς δήλωσιν τῆς γνώμης μεθ' ἧς τὴν παράνομον ἐκείνην εἰργάζοντο πρᾶ-
* Ps. CXIX. 1. ξιν· τοιοῦτον ἐστὶ καὶ τὸ *, πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου·
κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας· κατὰ ἀποσιώπησιν
γὰρ κἀνταῦθα φησὶ τὸ λέγων, ἵνα ᾖ, πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα λέγων,
p. 219. κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας· τὸ γὰρ εἰσήκουσέ
μου, διὰ μέσου κατὰ ἀνταπόδοσιν εἴρηται τοῦ παντός· οὕτως οὖν κἀνταῦθα λέγει· ὅτι συνέλεξεν
ὁ θεὸς τὰ ἔθνη, ὥσπερ τινὶ φωνῇ τῷ ἐπιτάγματι τῷ οἰκείῳ διεγείρων αὐτοὺς εἰς τὸν κατὰ
τῆς Ἰδουμαίας πόλεμον· εἶτα ὡς τὸν πόλεμον δηλώσας, ἐπάγει πρὸς τὴν Ἰδουμαίαν αὐτήν.
v. 2. “ Ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς ἔθνεσιν· ἠτιμωμένος εἶ σὺ σφόδρα. „ Πολλὴν
σου φησὶ διὰ τῶν πολεμίων τὴν σφαγὴν ἐργασάμενος, εἰς ὀλίγους σου περιστήσω τὸ ἔθνος·
ὥστε πάντων ἐλάττονας εἶναι καὶ ἐν ἀτιμίᾳ καθεστάναι πολλῇ· ὡς ὑπὸ πολλῶν τε πεπολιορ-
v. 3. κημένον καὶ μυρίοις περιβληθέντα κακοῖς· εἶτα τίς ἡ αἰτία; “ Ἡ ὑπερηφανία τῆς καρ-
δίας σου ἐπῆρέ σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν, ὑψῶν τὴν κατοικίαν αὐτοῦ· λέγων

Deus haec diceret iuberetque, et undique contra Idumaeam gentes colligeret, immo belli gerendi ducem se fore reciperet. Veluti etiam beatus David: quis me transferet in urbem septi? quis me deducet usque in Idumaeam? nonne tu, Deus, qui nos repulisti? Nempe ait, Deum sibi ducem futurum bellorum contra Idumaeam. Hunc loquendi modum observare licet apud beatum eundem Davidem, cum per reticentiam intelligitur, dicens vel dicentes, aut locutio eiusmodi. Veluti: quare fremuerunt gentes, et populi meditati sunt inania? adstiterunt reges terrae, et principes convenerunt in unum adversus dominum et adversus Christum eius. Dirumpamus vincula eorum, et proiiciamus a nobis iugum ipsorum. Nam et heic per reticentiam vox dicentes intelligitur, ad consilii patefactionem, quo impium illud susceperunt facinus. Simile et illud: ad Dominum cum tribularer clamavi, et exaudivit me. Domine, libera animam meam a labiis iniquis et a lingua dolosa. Heic quoque sub reticentia innuitur “ dicens. „ Nimirum, ad Dominum cum tribularer clamavi, dicens; Domine, libera animam meam a labiis iniquis et a lingua dolosa. Nam quod medium interponitur exaudivit me, id utrique membro responsionem facit. Sic igitur hoc loco dicit, congregavisse Deum gentes, ceu voce quadam, praecepto suo, easque ad bellum Idumaeae inferendum concitavisse. Deinde bello veluti indicto, pergit loqui contra Idumaeam.

“ Ecce minimam dedi te in gentibus; vehementer comtempta es. „ Magna tui, inquit, caede edita, ad modicam te gentem redigam, ita ut omnium minima fias, multaque ignominia noteris; hostium numero oppressa, atque innumeris malis obruta. Quaenam porro rei causa fuit? “ Superbia cordis tui te extulit incolentem

ἐν τῇ καρδίᾳ αὐτοῦ, τίς με κατάξει ἐπὶ τὴν γῆν; „ Ἐπειδὴ γὰρ ὄρειον ᾤκουν χώραν οἱ Ἰδουμαῖοι, μᾶλλον τοῦτο λέγει ὅτι ἀμέτρως ἐπήρθης τὴν διάνοιαν, ἐν καταδύσεσι μὲν οἰκῶν πετρῶν, πολλὴν δέ σου καὶ μεγίστην ὡς οὖν πεποιηκὼς τὴν οἴκησιν· καὶ δὴ καὶ οἰόμενος οὐκ ἄν ποτε ἔσεσθαι τὸν δυνάμενόν σε τῆς προσούσης ἐκβαλεῖν εὐπραγίας· ὑπὲρ ὧν δὴ πείσῃ τὰ εἰρημένα, ἵνα αἴσθῃ μάτην οἰόμενος εἶναί τι θείας ἀντιπραττούσης βουλῆς. “ Ἐὰν με- p. 220.
τεωρισθῇς ὡς ἀετὸς, καὶ ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε v. 4.
λέγει κύριος. „ Ὥστε κἂν ἀετοῦ δίκην εἰς ὕψος ἀρθῇς, ὃς πολὺ τῶν ὀρῶν ὑπερίπτασθαι πέφυκε, καὶ ἐν μέσῳ τῶν ἄστρων διὰ τὴν ὑπερβολὴν τῆς περιφανείας σαυτὸν καταστήσῃς, οὐκ ἀρκέσεις πρὸς τὴν δύναμιν τὴν ἐμὴν, ὅτ᾽ ἄν σε κατασπᾶν ἐθέλω.

“ Εἰ κλέπται εἰσῆλθον πρὸς σὲ, εἰ λῃσταὶ νυκτὸς, ποῦ ἂν ἀπεῤῥίφης; οὐκ ἂν ἔκλεψαν v. 5.
τὰ ἱκανὰ αὐτοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σὲ, οὐκ ἂν ὑπελίποντο ἐπιφυλλίδα; πῶς v. 6.
ἐξηρευνήθη Ἡσαῦ, καὶ κατελήφθη αὐτοῦ τὰ κεκρυμμένα; „ Εἰ μὲν οὖν κλέπται τινὲς οἱ λεληθότως ἐν τῇ νυκτὶ λῃστεύειν εἰωθότες εἰς τὴν οἰκείαν ἐπεισῆλθον τὴν σὴν, βραχέα τινὰ λαβόντες, τυχὸν ἐξῆλθον ἄν· σὺ δὲ οὐκ ἂν ἀπεῤῥίφης τῆς οἰκίας, ἐπειδὴ τῆς οἰκήσεώς σε ἀποστερεῖν οἱ διὰ λῃστείας τὰ προστυχόντα ἀφελόμενοι οὐκ ἠδύναντο· καὶ ἐπὶ τρύγην δὲ τινὲς εἰς ἀμπελῶνα εἰσεληλυθότες, πάντως ἄν τινα καρπὸν κατέλιπον ἐν τοῖς ἀμπέλοις· τὸ δέ γε νῦν σοι συμβησόμενον οὐ τοιοῦτον ἔσται· ἐπελεύσονται γὰρ πολέμιοι οἱ τοσοῦτον σου κατακρατήσουσιν; ὥστε ἅπαντα ἐξερευνήσαντες τὰ προσόντα σοι, μὴ δὲ τῶν κεκρυμμένων ἀκέραιον ἀφεῖναι τί παρὰ σοί· οὕτω πάντα ὑπὸ τὴν ἐξουσίαν ἔσται τῶν ἐκείνων, καὶ πάντα δοκοῦντα p. 221.
ἀπελεύσονται λαβόντες· εἶτα εἰς ἔλεγχον τῆς ἐπιτάσεως τοῦ κακοῦ· “ ἕως τῶν ὁρίων σου v. 7.
ἐξαπέστειλάν σε πάντες οἱ ἄνδρες τῆς διαθήκης σου· ἀντέστησάν σοι, ἠδυνήθησαν πρὸς σέ. „

rupium specus, in sublimi habitaculo stantem, animoque tuo volutantem, quis me in terram detrahet? „ Quandoquidem Idumaei montana in regione degebant, hoc fere dicit: ingentes admodum spiritus geris, quia scopulorum recessus occupas, ibique spatiosam ac maximam, ut certe arbitraris, stationem tenes: et sane neminem fore credis qui te praesenti prosperitate deiicere queat. Quamobrem quae dicta sunt, patieris; ut sentias frustra temet aliquid esse putasse, invita Dei voluntate. “ Etiamsi aquilae instar alta petas, et si mediis in astris nidum statuas, illinc ego te detraham, dicit Dominus. „ Sublimis feraris licet, aquilae more quae montes supervolare procul solet; in mediis quamvis sideribus gloriae tuae magnitudo te collocet, viribus meis minime obsistes, statim ac te deturbare voluero.

“ Si fures ad te venissent nocturnive latrones, ubinam proiecta fuisses? nonne furati essent sufficientia sibi? Et si vindemiatores ad te ingressi fuissent, nonne tibi racemum reliquissent? Quomodo lustratus est Esau, deprehensaque sunt occulta eius! „ Si fures aliqui, clam noctu furari soliti in domum tuam inrupissent, paucis direptis fortasse discessissent; tu tamen haudquaquam aedibus pulsus fuisses; tuis enim te laribus ii qui furto tumultuario aliquid diripiunt spoliare non possent. Item siqui vindemiae causa vineam introissent, nihilominus partem aliquam fructus in vite reliquissent. Verumtamen rei nunc tibi eventurae alia ratio est: supervenient enim hostes, qui tantopere tui potientur, ut omnia tua scrutati, nihil tibi, reconditum licet, incolume esse sinant. Adeo cuncta in eorum potestatem devenient, qui quidquid libitum fuerit depopulati, tum demum abscedent. Deinde ob mali gravitatem declarandam ait: “ usque ad terminos tuos dimiserunt te viri omnes foederis tui; obsisterunt tibi; vires suas contra te intenderunt. „ Qui iure

Καὶ γὰρ καὶ οἱ πρότερον συνθήκας φιλίας τε καὶ συμμαχίας ἔχοντες πρὸς σὲ, θεασάμενοί σου τῆς συμφορᾶς τὸ μέγεθος, οὕτω τῆς τῶν ἐναντίων ἔσονται μοίρας, ὥστε σε σὺν ἐκείνοις πάντων ἐξωθῆσαι τῶν ὁρίων τῶν σῶν, χάριτι τῶν πολεμίων ἐπὶ τὴν αἰχμαλωσίαν ὠθοῦντας· οἳ καὶ ἀντιστήσονταί σοι, καὶ δυνήσονται τοῖς πολεμίοις συμπράττοντες τοῖς σοῖς· καὶ τὸ αὐτὸ πάλιν ἑτέρως λέγων· “ ἄνδρες εἰρηνικοί σου οἱ συνεσθίοντές σοι, ἔθηκαν ἔνεδρα ὑποκάτω σου· οὐκ ἔστι σύνεσις ἐν αὐτῷ. ,, Οἱ φιλίαν ἀσπαζόμενοι πρὸς σὲ καὶ ἁλῶν σοι κοινωνοῦντες, αὐτοί σοι λόχους ὑφανοῦσιν, εἰς ἀπώλειαν ἄγοντες, ἐπειδὴ δι' ὑπερβάλλουσαν ἄνοιαν οὐδὲ διακρίνειν τοὺς ὄντως φίλους ἐπίστασαι τῶν ἐχθρῶν.

v. 8. “ Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας, καὶ σύνεσιν ἐξ
v. 9. ὄρους Ἡσαῦ· καὶ πτοηθήσονται οἱ μαχηταί σου ἐκ Θαιμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ
v. 10. ὄρους Ἡσαῦ, διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου Ἰακώβ· καὶ καλύψει
p. 222. σε αἰσχύνη, καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα. ,, Ἀπολοῦνται δὴ πάντες οἱ ἐν ὑμῖν περὶ τὰ
πολεμικὰ σοφοί τε καὶ δυνατοί τινες αὐχοῦντες εἶναι· οἵ τε μέγα φρονοῦντες ἐπὶ ταῖς μάχαις
ἐν Θαιμὰν, ἣ μεγίστη τῶν πόλεων εἶναι δοκεῖ τῶν ὑμετέρων· νικηθέντες τῷ φόβῳ τῶν ἐπε-
ληλυθότων κακῶν εἰς πτόησιν καταστήσονται καὶ δειλίαν· τοσαύτη τῶν ἀνθρώπων ἀπώλεια
γενήσεται τῶν ὑμετέρων, ὑπὲρ ὧν αὐτοὶ τοὺς ἀδελφοὺς τοὺς ἰδίους ἐκ τοῦ Ἰακὼβ κατάγον-
τας τὸ γένος, ὃς ἀδελφὸς ἦν τοῦ ὑμετέρου προγόνου, παρανόμοις ἐκδεδώκατε ταῖς σφαγαῖς·
v. 11. ὑπὲρ δὴ τούτων αἰσχύνη τε περιβληθήσῃ, καὶ παντελῆ τὴν ἀπώλειαν ὑπομενεῖς. “ Ἀφ' ἧς
ἡμέρας ἀντέστης ἐξ ἐναντίας ἐν ἡμέρᾳ αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ· καὶ
ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ, ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἦς ὡς εἷς ἐξ
αὐτῶν. ,, Τῶν δὲ ἐπελευσομένων σοι κακῶν ἐξ ἐκείνου δέδεξαι τὴν ἀπόφασιν, ἐξότε περ
τοιαῦτα κατὰ τῶν ἀδελφῶν τετόλμηκας τῶν οἰκείων· ὅτε μὲν ἀλλότριοι αὐτοὺς αἰχμαλώτους

amicitiae mutuique praesidii tecum antea copulati erant, statim ac calamitatis tuae gravitatem senserint, ad hostium partes transibunt; cumque his conspirantes finibus tuis te propellent, dum hostibus gratificantur, atque in captivitatem extrudent. Hi totis viribus adversabuntur, atque hostibus suppetias ferent. Id ipsum alibi denuo dicit: “ homines tui pacifici, qui tecum epulis accumbebant, insidias tibi collocaverunt. Nulla est prudentia eius. ,, Qui tecum amicitia iuncti, communi mensa utebantur, machinationes tibi struxerunt quae in perniciem ducerent: quia pro tua summa stultitia ne germanos quidem amicos ab inimicis discernere nosti.

“ Illa die, inquit Dominus, pessum dabo sapientes in Idumaea, intellectum in monte Esau: cadent bellatores tui e Thaeman, ita ut exterminetur homo ex monte Esau, propter caedem atque nequitiam quam in Iacob fratrem tuum exseruisti: ignominia oppleberis, atque in aeternum deleberis. ,, Leto occumbent quicumque apud vos rei bellicae periti feruntur vel fortitudinem iactant: quique proeliis in Thaeman pugnatis gloriantur, quae maxima videtur urbium vestrarum; hi metu instantium malorum fracti, animos ultro despondebunt. Tanta fiet civium vestrorum clades! propterea quod ipsi fratres vestros, ex Iacob progenitos, qui vestri progenitoris germanus fuit, immeritis cladibus adfecistis. Idcirco, inquam, probro suffundemini, supremumque exitium adibitis. “ Ex quo die adversarius constitisti: quo die alienigenae in captivitatem redigebant potentiam eius; extraneique ingrediebantur portas eius, superque Hierosolyma sortes mittebant; tu quoque eras tamquam unus ex illis. ,, Eventurorum tibi malorum eo tempore causam tibi conciliasti, ex quo adversus fratres tuos talia facere ausus es: cum extranei servitio eos mancipa-

ἐλάμβανον, σὺ δὲ ἀντέστης ἐξ ἐναντίας· ἵνα εἴπῃ, ἐν τῇ τῶν ἐχθρῶν ἔταξας σαυτὸν μερίδι· καὶ ἀλλογενεῖς μὲν αὐτῶν εἴς τε τὰς λοιπὰς πόλεις εἰσῄεσαν, καὶ πρὸς ταῖς λοιπαῖς, καὶ τὴν Ἱερουσαλήμ· καὶ δὴ καὶ κλήρῳ τὰ ἐνόντα διενείμαντο πάντα· σὺ δὲ ἐκοινώνεις τοῖς τοιαῦτα τολμῶσιν.
“ Καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων· καὶ μὴ ἐπίχαιρε ἐπὶ τοὺς υἱοὺς v. 12. p. 223.
Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν· καὶ μὴ μεγαλορρημονήσῃς ἐν ἡμέρᾳ θλίψεως αὐτῶν· μηδὲ
εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ πόνων αὐτῶν· καὶ μὴ ἐπίδῃς καὶ σὺ ἐπὶ τὴν συναγωγὴν v. 13.
αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν, μὴ δὲ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας
αὐτῶν· μὴ δὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν, v. 14.
μὴ δὲ συγκλείσῃς τοὺς φεύγοντας αὐτῶν ἐν ἡμέρᾳ θλίψεως. ,, Τὸ μὲν ἐπίδῃς ἀντὶ τοῦ ἵνα μὴ ἐφησθῇς λέγει, ἵνα μὴ ταῦτα φησὶ ποιῇς· ἀκολούθως γὰρ τοῖς ἀνωτέροις εἰπεῖν βούλεται, ὅτι ὑπὲρ τούτων δώσεις δίκην, καὶ τὴν μηνυομένην ὑπομενεῖς τιμωρίαν· ἐπειδὴ ἐπέχαιρες ταῖς τῶν ἀδελφοῦ συμφοραῖς· καθ᾽ ὃν ἐκεῖνοι καιρὸν τὴν ὑπὸ τῶν ἀλλοτρίων ὑπέμενον ἀπώλειαν· καὶ ἐν ἀνάγκαις αὐτῶν ἐξεταζομένων ἐφθέγγου ῥήματα οἷα εἰκὸς ἐπὶ τῇ αὐτῶν ἡδόμενος ἀπωλείᾳ· τὸ γὰρ μεγαλορρημονήσῃς τοῦτο λέγει· καὶ ἐν ἀνάγκαις ὄντων ἐκείνων εἰσῄεις καὶ αὐτὸς εἰς τὴν πόλιν μετὰ τῶν λοιπῶν, τὰ ἐνδεχόμενα κακὰ διαθήσων αὐτούς· κἂν εἴ τινες δὲ αὐτῶν διαφυγεῖν πως ἠδύναντο, τὴν σωτηρίαν τούτῳ πορίζεσθαι προσδοκῶντες, καὶ τούτους ἀπολλύειν ἐσπούδαζες, συλλαμβανόμενός τε τοὺς φεύγοντας ἐξ αὐτῶν καὶ παραδιδοὺς τιμωρίᾳ· τοῦτο γὰρ λέγει τὸ μὴ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν, μὴ δὲ συγκλεί- p. 224.
σῃς τοὺς φεύγοντας αὐτῶν ἐν ἡμέρᾳ θλίψεως· δι᾽ ὅλων βουλόμενος εἰπεῖν ὅτι ὑπὲρ ὧν ἥσθης ἐπὶ τῇ τῶν Ἰσραηλιτῶν ἀπωλείᾳ ἀδελφῶν ὄντων σῶν, καὶ δὴ καὶ τοῖς πολεμίοις συνέπραξες κατ᾽ αὐτῶν, καὶ ἥσθης ἐπὶ τοῖς αὐτῶν κακοῖς, διαφόροις τε αὐτοὺς καὶ αὐτὸς κατὰ τὴν οἰκείαν δύναμιν περιβέβληκας τοῖς κακοῖς, ὑπὲρ τούτων δὴ τὴν μέλλουσαν ὑπομενεῖς τιμωρίαν· ὅθεν ἐπάγει.

bant, tu ex adverso constiteras, id est te in hostium partes conieceras. Utique alienigenae cunctas urbes, atque in his Hierosolyma, occupaverunt; manubiasque sortibus diviserunt; tu vero talia audentium particeps eras.

“ Neque despicias fratris tui diem, in die alienigenarum; neque laeteris super Iudae filiis in die ferali eorum; neque superbe loquaris in die calamitatis eorum; neque ingrediaris portas populorum in die cladis eorum; neque despicias congregationem eorum in die quo interibunt; neque inveharis in potentiam eorum in die quo peribunt; neque steteris in exitibus eorum, ut evadentes perdas; neque fugam eorum impedias in die calamitoso eorum. ,, Verbum despicias pro ne delecteris usurpat, idest cave talia facias. Superioribus enim consonans dictis, significat fore ut poenas pro his maleficiis des, praedictamque animadversionem perferas: quia laetatus es fratrum tuorum adversis casibus, quo tempore hi ab hostibus vastabantur: dumque angustiis vexarentur, verba effutiebas, quae solent ii qui alieno exitio gaudent. Hoc enim significat superbe loqui. Atque in eorum pressuris tu urbem cum hostibus ingrediebaris, ut fratrum cladem augeres. Quod si qui forte viam fugae nanciscerentur, in qua unice spem salutis collocabant, hos tu quoque perdere satagebas; capiens nimirum profugos, ac punientibus tradens. Hoc enim significat, neque steteris in exitibus eorum, ut evadentes perdas, neque fugam eorum impedias in die calamitatis eorum. Atque horum dictorum generalis sententia haec est: quia fratrum tuorum Israhelitarum exitio laetatus es; quia suppetias hostibus contra illos tulisti; malisque eorumdem gavisus es; atque eos pro facultate tua detrimentis adfecisti; idcirco paratum tibi lues supplicium. Quare addit.

v. 15. “ Διότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτω ἔσται σοι· τὸ
ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου. „ Ἥκει γὰρ ὁ καιρὸς καθ' ὃν ἅπαν-
τας μὲν τιμωρήσεται τοὺς ὁπιδήποτε πεπραχότας εἰς αὐτούς, μάλιστα δὲ πάντων βαρεῖαν
ἐπάξει σοι τὴν τιμωρίαν, ἀνάλογόν σοι τὴν συμφορὰν ἐπάγων οἷς πεποίηκας κατ' αὐτῶν.
v. 16. “ Διότι ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος μου τὸ ἅγιον, πίονται πάντα τὰ ἔθνη οἶνον· πίονται καὶ
ἀναβήσονται, καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες. „ Αὐτός τε γὰρ ὑπὲρ ὧν εἰς τὸ ὄρος τὸ
ἐμὸν τούς οἰκοῦντας ἐν αὐτῷ τοιαῦτα τετόλμηκας, δέδεξαι τὴν τιμωρίαν· οἱ κοινωνήσαντες
τέ σοι τῆς γνώμης ταύτης καὶ τῶν πράξεων, ὡς εἰκὸς κοινωνήσουσι τῆς τιμωρίας, παντελεῖ λη-
p. 225. φθέντες ἀπωλείᾳ, ὡς μηδὲν ἀπεοικέναι τῶν καθάπαξ οὐκ ὄντων· τὸ μὲν γὰρ ἔπιες καὶ πίον-
* Ps. LXXIV. 9. ται, τὴν τιμωρίαν δηλοῖ τὴν αὐτοῖς τε ἐπαχθησομένην καὶ τοῖς λοιποῖς· ὡς τὸ * ποτήριον ἐν
χειρὶ κυρίου, οἴνου ἀκράτου, πλῆρες κεράσματος· καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο· πλὴν ὁ τρυ-
γίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς· τὸ δὲ ἐπὶ τὸ ὄρος μου τὸ
ἅγιον, ἵνα εἴπῃ, ὑπὲρ ὧν εἰς τὸ ὄρος τὸ ἐμὸν εἴς τε τοὺς οἰκοῦντας ἐν αὐτῷ τοιαῦτα τε-
v. 17. τολμήκατε, δέδεξαι τὴν τιμωρίαν· οἱ κοινωνήσαντες τέ σοι τῆς γνώμης ταύτης καὶ τῶν πρά-
ξεων, ὡς εἰκὸς κοινωνήσουσι τῆς τιμωρίας, παντελεῖ ληφθέντες ἀπωλείᾳ. “ Ἐν δὲ τῷ ὄρει
Σιὼν ἔσται ἡ σωτηρία, καὶ ἔσται ἅγιον, καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κλη-
ρονομήσοντας αὐτούς. „ Περὶ μὲν οὖν ὑμᾶς τε καὶ τοὺς κεκοινωνηκότας ὑμῖν τῆς γνώμης,
ταῦτα γενήσεται· προσωθήσονται δὲ καὶ πάσης ἀνάγκης ἔξω γενήσονται ἐν τῷ ὄρει τῷ Σιὼν
πρότερον πολεμηθέντες· ὥστε ὄντως αὐτὸ διὰ τῆς τούτων βοηθείας ἅγιον φανῆναι· ἐπεὶ καὶ
πάντας τοὺς πρότερον αὐτῶν κεκρατηκότας ὑποχειρίους ἕξουσιν οἱ ἀπόγονοι τοῦ Ἰακώβ, οὓς
ἐπολεμεῖτε ἔνθεν ὑμεῖς μετὰ τῶν λοιπῶν.
v. 18. “ Καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, καὶ ὁ οἶκος Ἰωσὴφ φλόξ, ὁ δὲ οἶκος Ἡσαῦ εἰς

“ Quia prope est dies Dómini super omnes gentes. Quae aliis fecisti, eadem tibi fient: retributio tua retribuetur in caput tuum. „ Adest enim tempus quo Deus puniet omnes qui aliquando Israhelitis male fecerunt. Et quidem tibi prae ceteris gravem imponet poenam, paremque maleficiis quae in fratres tuos commisisti. “ Quia quemadmodum bibisti super montem sanctum meum, sic bibent omnes populi vinum: bibent et ascendent; eruntque sicut non existentes. „ Nam et ipse propterea quod contra montem meùm incolasque eius invectus es, supplicio non carebis. Qui sententiae tuae factorumque participes fuerint, iidem poenae quoque socii erunt, internecivo traditi exitio, ita ut ab iis non differant qui nulli sunt. Nam verba bibisti et bibent, animadversionem significant in Idumaeam aliosque hostes expromendam. Veluti, calix in manu Domini plenus misto. Et inclinavit ex hoc in hoc; verumtamen faex eius non est exinanita: bibent omnes peccatores terrae. Memorat autem montem sanctum suum, significans fore ut propter crimina adversus eum montem incolasque eius patrata, poenae obnoxii fiant Idumaei: et qui cum eorum consiliis rebusque gestis conspiraverunt, iidem ad supplicii societatem vocentur, capitalique vindicta puniantur. “ In Sion autem monte salus erit et sanctitas, et possidebit Iacob qui se possederant. „ Vobis itaque sociisque consiliorum vestrorum haec accident. Incolumes autem erunt, atque omni adversitate carebunt in monte Sion qui antea bellis appetebantur: atque ita mons ille propter horum securitatem sanctus videbitur: immo vero cunctis dominabuntur, qui se antea devicerant, Iacob posteri; quibus nimirum vos nuper vestrique socii molesti armis fuistis.

“ Et erit domus Iacob ignis, et domus Ioseph flamma; et domus Esau stipula:

καλάμην· καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς, καὶ καταφάγονται αὐτούς. ,, Οὕτω γὰρ κρατήσουσιν p. 226.
ἁπάντων οἱ Ἰσραηλῖται τῶν Ἰδουμαίων, ὥστε δίκην πυρὸς καλάμην ἀναλίσκοντος ἅπαντας
αὐτοὺς ἀφανίσαι τῷ κράτει τοῦ πολέμου. " Καὶ οὐκ ἔσται πυρφόρος τῷ οἴκῳ Ἡσαῦ, ὅτι
κύριος ἐλάλησεν. ,, Ἐπειδὴ πῦρ ἔφη τὸν Ἰσραὴλ ἔσεσθαι τῷ Ἡσαῦ ὡσεὶ πάντας ἂν
αὐτοὺς ἀναλίσκειν μέλλοντα τῷ πολέμῳ, διὰ τοῦτο οὐκ ἔσται πυρφόρος φησὶ τῷ οἴκῳ
Ἡσαῦ· ἀντὶ τοῦ οὐδεὶς ἔσται ἐν αὐτοῖς ὃς διαθεῖναί τι δυνήσεται τοὺς Ἰσραηλίτας κακόν·
ἀλλὰ πείσονται μὲν παρ' αὐτῶν οὐ τὰ τυχόντα· ἀμύνασθαι δὲ ἑαυτοῖς, ἢ ποιῆσαί τι πρὸς
βλάβην ἐκείνων, οὐ δυνήσονται καθάπαξ οὐδέν· ἃ δὴ πάντα γενήσεται πάντως, ἐπειδὴ
θεός ἐστιν ὁ ἀποφηνάμενος γενέσθαι. Καὶ ἐπειδήπερ ἐν τοῖς ἀνωτέροις ἔφη ὅτι κατακληρο-
νομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κατακληρονομήσοντας αὐτοὺς, πλατύτερον αὐτὸ βουλόμε-
νος εἰπεῖν, λέγει ὅτι οἱ μὲν ἐν Ναγὲβ Ἰσραηλῖται κατακληρονομήσουσι τοὺς προσήκοντας v. 19.
τόπους τῷ Ἡσαῦ· οἱ ἐν Σιφηλᾷ δὲ τοὺς τῶν ἀλλοφύλων· κομιοῦνται δὲ καὶ τὴν οἰκείαν χώραν
ὡς εἰκός· οἱ μὲν τοῦ Ἐφραῒμ τὸ τῆς Σαμαρείας πεδίον· τὴν Γαλααδῖτιν δὲ ὁ Βενιαμίν· τῆς τε
μετοικίας αὐτῶν τῆς ἐπὶ τὰ οἰκεῖα, ἀρχὴ μὲν αὐτοῖς γενήσεται ἡ Σαρεφθῶν χώρα· τέλος
δὲ ἡ Ἐφραθά· βούλεται δὲ εἰπεῖν ὅτι πάντας τῶν Χαναναίων τοὺς ἐν μέσῳ καθέξουσι τόπους, v. 20.
οὕς περ οὖν καὶ πρότερον εἶχον· οὕτω δὲ καὶ τὰς ἐν Ναγὲβ πόλεις ἑαυτῶν ὑποδέξονται ἁπά- p. 227.
σας ἅπαντες συντόμως εἰπεῖν οἱ τῷ Σιὼν ὄρει προσήκοντες, καὶ τὴν αὐτόθι τῷ θεῷ προσ-
ήκουσαν θρησκείαν ἐκτελοῦντες· αὐτοί τε πάσης τεύξονται σωτηρίας· καὶ μεγίστην τινὰ τοῖς τοῦ
Ἡσαῦ τὴν τιμωρίαν ἐπάξουσιν, ἀνθ' ὧν πεπόνθασιν παρ' αὐτῶν· οἷς ἐπήγαγεν ἅπασιν ἐν v. 21.
αὐτῷ συμπεράνας τὴν προφητείαν. " Καὶ ἔσται τῷ κυρίῳ ἡ βασιλεία. ,, Ἵνα εἴπῃ, ὅτι διὰ
πάντων ὧν τε εὖ πάσχουσιν Ἰσραηλῖται καὶ ὧν ὑπομένουσι, δίκας διδόντες οἱ παρανενομη-
κότες εἰς αὐτοὺς, φανεῖται βασιλεὺς ἀληθὴς ὁ θεὸς, ὁ κύριος τε καὶ ποιητὴς τῶν ἁπάντων,
κατ' ἐξουσίαν ἃ βούλεται περί τε τοὺς οἰκείους καὶ περὶ τοὺς ἀλλοτρίους εἶναι δοκοῦντας ποιῶν.

et succendentur in eis, vorabuntque eos. ,, Sic, inquit, Idumaeos omnes superabunt Israhelitae, ut instar ignis stipulam absumentis, eosdem belli vi deleturi sint. " Et non erit flammiger in Esau domo, quia Dominus locutus est. ,, Quoniam ignem dixit Israhelem Esau fore, veluti si omnes eius opes bello esset consumpturus, idcirco non erit, inquit, flammiger in Esau domo: id est nemini Idumaeo licebit male facere Israhelitis; sed illi quidem ab his quaelibet perpetientur, quin tamen iniurias ulcisci queant, vel quicquam ad illorum perniciem moliri. Haec adamussim omnia fient; Dei enim oraculo futura esse dicuntur. Et quoniam in superioribus dixit, fore ut domus Iacob eos possideat, qui se possederant; explicatius iam id dicere volens ait, Israhelitas Nagebi incolas hereditatis iure capturos proximos Esau locos; Siphelae item cives Israhelitas, regionem alienigenarum occupaturos: praeter quam quod patriam quoque regionem, uti par est, obtinebunt; nempe Ephraimitae Samariae planitiem, Beniamitae Galaaditidem. Iamvero postliminii eorum initium regio Sareptae erit, finis Ephratha. Nempe ait possessuros eos intermediam omnem Chananaeorum regionem. Cunctas item finitimas Nagebi urbes recuperabunt omnes hi, ut summatim dicam, qui Sion monti sunt proximi, ibique legitimam persolvunt Deo religionem. Atque hi summam salutem adepti, maximas ab Esau posteris iniuriarum veterum reposcent poenas. Quibus omnibus addit prophetiae clausulam: " et erit Domino regnum. ,, Videlicet tum Israhelitarum prosperitate, tum impiorum hostium supplicio, Deus vere rex comprobabitur, dominusque et creator omnium, qui seu suorum, seu etiam illorum, qui videntur alieni, pro suae voluntatis arbitrio, vitam fortunasque temperat.

ΕΡΜΗΝΕΙΑ ΙΩΝΑ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Εἷς καὶ ὁ αὐτὸς τῆς τε παλαιᾶς καὶ νέας διαθήκης ὑπάρχων θεὸς ὁ δεσπότης καὶ ποιητὴς
τῶν ἁπάντων, πρὸς ἕνα σκοπὸν ὁρῶν, τά τε κατ᾽ ἐκείνην ᾠκονόμησε καὶ τὰ κατ᾽ αὐτήν·
p. 228. πάλαι μὲν ἔχων βεβουλευμένον παρ᾽ ἑαυτῷ τὸ τὴν μέλλουσαν ἐκφῆναι κατάστασιν, ἥπερ
τὴν ἀρχὴν ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν ἀνέδειξεν οἰκονομίᾳ· ἀναγκαῖον δὲ νομίσας, ἐν
ταύτῃ δὴ τῇ παρούσῃ λέγω, πρότερον ἡμᾶς γενέσθαι, εἶθ᾽ ὕστερον εἰς ἐκείνην μεταστῆναι
διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως· ὡς ἂν ἐκ παραθέσεως μᾶλλον γνοίημεν τῶν τε δειχθησο-
μένων τὸ μέγεθος ἀγαθῶν· εἶθ᾽ ὡς ἂν τοῦτο γένηται δῆλον, καὶ μὴ καινόν τι νομίζοιτο
ὕστερον βεβουλεῦσθαί τε καὶ δεδοκιμακέναι περὶ ἡμῶν, διὰ πολλῶν μὲν ἤδη καὶ ἑτέρων ἐνα-
πέθετο τοῖς ἀνθρώποις τοῦ δεσπότου Χριστοῦ τὴν παρουσίαν, ὥστε πάντας Ἰουδαίους πόρρωθεν
ἀπεκδέχεσθαι ταύτην· οὐδενὸς δὲ ἧττον ἔκ τε τῶν κατὰ τὸν Ἀβραὰμ καὶ τὸν Δαυὶδ εἴργασται
τοῦτο, πρὸς οὓς ἐπαγγελίας ἐποιήσατο, τῷ μὲν, ὅτι ἐνευλογηθήσεται ἐν τῷ σπέρματι αὐτοῦ
πάντα τὰ ἔθνη· τῷ δὲ, ὅτι διηνεκῆ παρέξει τοῖς ἐξ αὐτοῦ τὴν βασιλείαν· ἅπερ οὖν τῷ μὲν
δοκεῖν τὸν λαὸν ἐμήνυε τὸν ἐφ᾽ οὗπερ ταῦτα πληροῦσθαι ἤμελλεν· ἡ δὲ τῶν πραγμάτων ἀλή-
θεια ἐπὶ τῶν κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομηθέντων ἐδείκνυτο λαβοῦσα τὸ πέρας, ἐφ᾽
οὗπερ καὶ τὸ ἐνευλογηθῆναι τὰ ἔθνη γέγονεν ἀληθῶς, καὶ διηνεκῆ δὲ καὶ ἀσάλευτον εἶναι
τῷ σπέρματι τὴν βασιλείαν· διὰ δὲ τοῦτο καὶ ἡ περὶ τὸν λαὸν ἐπιμέλεια τοῦ θεοῦ πολλή τις
p. 229. γέγονεν, ἐπειδὴ πάντες ἐπὶ ταῖς ἐπαγγελίαις φυλαττόμενοι ταῖς εἰρημέναις, τὴν προσδοκω-
μένην παρουσίαν ἀνέμενον τοῦ δεσπότου Χριστοῦ· ἀλλὰ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας πλεῖστα
ὅσα ἐπὶ τῆς παλαιᾶς διαθήκης κατὰ τοῦτον ᾠκονόμησε τὸν τρόπον, ὡς ἂν καὶ τοῖς τότε μεγί-

COMMENTARIUS IN IONAM PROPHETAM.

Unus idemque veteris ac novi testamenti Deus, dominus et creator omnium, uno scopo sibi proposito, illius pariter atque huius temporis curam gessit: olim quidem habens firmum apud se propositum futurum rerum statum ad exitum perducendi; cuius initium Christi domini incarnatione fecit: necessarium tamen iudicavit, praesentem antea conditionem nos experiri, tum ad futuram transferri per resurrectionem a mortuis: nempe ut ex comparatione magis nobis innotesceret promissorum magnitudo bonorum. Deinde quo id consilium palam fieret, neque aliquid novi excogitatum postea decretumque videretur, aliis quoque permultis indiciis Christi domini adventum hominibus portenderat, ita ut Iudaei omnes hunc iamdiu expectarent. Neque id minus ex oraculis Abrahamo Davidique editis conficiebatur, quibus promiserat; illi quidem, fore ut omnes gentes in semine eius benedicerentur; huic autem, fore ut posteris eius perpetuum regnum attribueretur. Quae itaque secundum populi existimationem significabant illum, cuius causa hae res efficiendae erant, ea reapse in Christi domini incarnatione comperta sunt exitum habere: in quo etiam gentibus vere contigit benedici, et perpetuum inconcussumque generis regnum fieri. Propterea etiam Dei providentia circa populum multa fuit, quoniam omnes promissionum dictarum memores, exoptatum Christi domini praestolabantur adventum. Atque haec causa fuit, cur plurima in vetere testamento Deus secundum eiusmodi administraverit rationem: ita ut gesta illa tum eius tem-

στην τὰ γινόμενα παρέχοιτο τὴν ὠφέλειαν, καὶ μήνυσιν τινὰ τῶν πραγμάτων ἔχῃ τῶν ὕστερον διαχθησομένων· μετὰ τοῦ καὶ τὴν ὑπεροχὴν τῶν δευτέρων πρὸς τὰ πρότερα πλείστην τινὰ φανήσεσθαι οὖσαν· εὑρίσκετό τε κατὰ τοῦτον τὸν τρόπον τύπος τίς τὰ παλαιὰ τῶν ὕστερον, ἔχοντα μέν τινα μίμησιν πρὸς ταῦτα, μετὰ τοῦ καὶ χρείαν ἐν τοῖς οἰκείοις παρέχεσθαι καιροῖς· δηλούμενα δὲ ἐξ αὐτῶν τῶν πραγμάτων ὁπόσον ἠλάττωνται ταῦτα.

Ἐξήγαγε μὲν οὖν τῆς Αἰγύπτου τὸν Ἰσραὴλ ὁ θεὸς καὶ πάσης τῆς πικρᾶς ἐκείνης ἀπήλλαξε δουλείας· ἐργασάμενος δὲ θάνατον τῶν πρωτοτόκων πολὺν, διὰ τοῦτο τὰ τῶν Ἰσραηλιτῶν περιέσωσε παντελῶς· ἅπερ οὖν καὶ σημείῳ διέκρινε πρὸς τὸ μηδὲν παραπλήσιον τοῖς αἰγυπτίοις παθεῖν· ἦν δὲ τοῦτο ἡ ἐπὶ τῶν φλιῶν τοῦ αἵματος χρίσις· ταῦτα δὲ πολλὴν μὲν τοῖς Ἰσραηλίταις γινόμενα τότε παρείχετο τὴν ὠφέλειαν τοῖς γε καὶ ἐν ἀπολαύσει τοιούτων καθισταμένοις· προεσημαίνετο δέ πως ὡς ἐν τύποις τὸ καὶ τὸν δεσπότην Χριστὸν οὕτως ἡμᾶς ἀφαιρήσεσθαι οὐ τῆς Αἰγύπτου δουλείας, ἀλλὰ τῆς τε τοῦ θανάτου καὶ τῆς ἁμαρτίας· ἅπερ οὖν p. 230. ἡμῖν παρέσχε τῇ χρίσει τοῦ αἵματος τοῦ οἰκείου· τοῦτο γὰρ ὑπὲρ ἁπάντων ἐκχέας, καὶ τὸν θάνατον ὑποστὰς τὸν ὑπὲρ ἡμῶν, εἰργάσατό τε τῶν νεκρῶν τὴν ἀνάστασιν, καὶ παρέσχεν ἅπασιν ἡμῖν τὸ πάσης τῆς ἐνταῦθα δουλείας ἀπαλλαγεῖσιν, ἀπεκδέχεσθαι τῆς τε ἀθανασίας καὶ τῆς ἀφθαρσίας καὶ τῆς ἀναμαρτησίας τὴν ἀπόλαυσιν· μεθ' ὧν οὐ γῆν ἐπαγγελίας οἰκήσομεν, ὡς ἐκεῖνοι, ἀλλ' ἐν τῇ τῶν οὐρανῶν ἐσόμεθα βασιλείᾳ· ὁπόσον δὲ τούτων πρὸς ἐκεῖνο τὸ διάφορον, καὶ ὅτι ἐκείνων μὲν ἐπ' ὀλίγον ἐγίνετο τὸ κέρδος, τούτων δὲ μεγίστων τε ὄντων καὶ πολλῶν διηνεκὴς ἡ ὠφέλεια τοῖς λαβοῦσιν προσέσται, ἐξ αὐτῶν ἅπασι δῆλον καθέστηκε τῶν πραγμάτων· οὕτω καὶ τοὺς ἐπταικότας τῶν Ἰσραηλιτῶν τιμωρίαις ἐπέβαλεν ἐπὶ τῆς ἐρήμου· ὡς ἂν ἔν τισι τύποις παιδεύων ἡμᾶς δεδοικέναι τὴν ἁμαρτίαν, ὡς ἱκανὴν τε οὖσαν τοῖς χείροσιν ἡμᾶς περιβαλεῖν.

poris hominibus maximam praeberent utilitatem, tum etiam significationem haberent gerendarum postea rerum: praeter quam quod excellentia simul quam plurima novi prae vetere testamento apparitura erat. Compertum est igitur hoc modo, vetera esse typum quemdam posteriorum, non sine aliqua eorumdem imitatione, et cum idoneo suis temporibus usu: sed tamen re ipsa demonstrantia, quantopere illa praesentibus minora fuerint.

Deus igitur ex Aegypto Israhelem eduxit, omnique illa acerba servitute expedivit: editaque ingenti primogenitorum caede, hinc rem israheliticam integrae saluti restituit: quos populos miraculo etiam discriminavit, dum Hebraeos nihil simile Aegyptiis pati voluit: id quod accidit ob cruoris in postibus aspersionem. Haec, inquam, multum eius aetatis Israhelitis emolumentum exhibuerunt, quibus eiusmodi bono frui datum fuit. Id autem portendebat, typi scilicet instar, fore ut Christus dominus liberaret nos haud ex Aegypti servitio, sed mortis atque peccati: quod quidem nobis Christus praestitit proprii sanguinis aspersione. Hoc enim ille pro omnibus fuso, et nece pro nobis obita, mortuorum resurrectionem patravit: fecitque ut nos omni hac servitute soluti, immortalitatis et incorruptibilitatis et impeccantiae bonum reciperemus: quo impetrato, haud iam promissam terram, ut illi, incoleremus, sed in regno versaremur caelorum. Iam quantum haec ab illis differunt! Israhelitae ad breve temporis spatium bona illa consequebantur; nos haec, quae multa sunt et maxima, cum aeterna utilitate tenemus: id quod ex omni rerum ipsarum natura compertum est. Sic etiam peccantes in eremo Israhelitas poenae subiecit Deus, ut his veluti exemplaribus peccatorum formidinem nobis incuteret, quorum causa in deteriorem solemus conditionem incidere.

* I. Cor. X. 11. Τοῦτο δὲ ὁ μακάριος δηλοῖ Παῦλος λέγων * ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκεί-
νοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. Οὕτω διὰ
τῆς νομικῆς διατάξεως, τοῖς τε θυσίαις καὶ τῷ αἵματι τῶν ἀλόγων ζώων ἔταξεν ὠφελεῖσθαι
p. 231. τοὺς χρωμένους· ἵν' ἐκ παραθέσεως ἡμῖν τὸ πιστεύειν μειζόνως προσῇ, ὅτι μεγίστων ἀγα-
* Hebr. IX. 13. θῶν ἐν τῷ αἵματι τευξόμεθα τοῦ δεσπότου Χριστοῦ· ὅθεν ὁ μακάριος λέγει Παῦλος· * εἰ
γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει
πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος
αἰωνίου ἄμωμον ἑαυτὸν προσήνεγκε τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν
ἔργων; ἐκ γὰρ τῆς τοῦ δεσπότου Χριστοῦ διαφορᾶς πρὸς τὰ ἄλογα ζῶα, ἀρκούντως ἡμᾶς ἐπι-
στώσατο, ὅτι πολλῷ πλέον ἡμᾶς τούτοις προσήκει πιστεύειν ἢ ἐπ' ἐκείνοις ἐπίστευον οἱ τότε·
καὶ κατὰ τὴν ἔρημον δὲ τῶν Ἰσραηλιτῶν δι' ἀπείθειαν τοῖς τῶν ὄφεων ἀπολλυμένων πληγαῖς,
ἐκέλευσεν ὁ θεὸς τῷ μακαρίῳ Μωσῇ χαλκοῦν ἀπεργάσασθαι ὄφιν, ὡς ἂν ἐπ' αὐτὸν
ἀποβλέποντες οἱ πληττόμενοι τῆς βλάβης τῶν πληττόντων ῥαδίαν δέχοιντο τὴν λύσιν· δυνα-
μένου μὲν τοῦ θεοῦ καὶ τοῦ πλήττεσθαι παντελῶς ἔξω ποιῆσαι, ἢ ἑτέραν γοῦν τινα εὑρέσθαι
τῆς πληγῆς ἰατρείαν· βουληθέντος δὲ ἐν ἀπεικονίσματι τῶν πληττόντων τῆς βλάβης δέχεσθαι
αὐτοὺς τὴν λύσιν· ἵνα μὴ σφόδρα θαυμάζωμεν εἰ τῷ θανάτῳ τοῦ δεσπότου Χριστοῦ λύων
p. 232. τὸν θάνατον ὁ θεὸς, ἀθάνατον ἡμῖν διὰ τῆς ἀναστάσεως παρέχεται τὴν ζωήν· ὅθεν καὶ ὁ
* Ioh. III. 14. κύριος φησί· * καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν
υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον·
δεικνὺς ὅτι ὃν περ τρόπον τότε τῶν πληττόντων τὸ μίμημα τὴν ἀπὸ τῆς πληγῆς ἰᾶτο βλά-
βην, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ὁ πάντας ἀνθρώπους ἐπινεμόμενος θάνατος, ἐπὶ τοῦ
δεσπότου Χριστοῦ γεγονὼς, οὐκ αὐτῷ μόνον, ἀλλὰ γὰρ καὶ πᾶσιν ἀνθρώποις τοῦ θανάτου
παρέξει τὴν λύσιν.

Id quod beatus docet Paulus dum ait: haec omnia illis in imagine contingebant; scripta autem sunt ad eruditionem nostram, in quos termini saeculorum devenerunt. Atque ita legalibus institutis curavit, ut illi cum fructu victimis et brutorum animantium sanguine uterentur: atque ut eo exemplo fides nostra roboraretur, fore nimirum ut bona maxima per Christi domini sanguinem consequeremur. Quare beatus ait Paulus: si enim sanguis taurorum et hircorum, et cinis vitulae aspersus, qui eo utuntur sanctificat ad carnis emundationem; quanto magis sanguis Christi, qui per aeternum spiritum Deo se obtulit immaculatum, conscientiam nostram a mortuis operibus perpurgabit? Nam Deus per Christi domini a brutis animantibus differentiam satis nos facit certiores, multo nos magis novis his debere confidere, quam illi veteribus confidebant. Iam quum Israhelitae in eremo propter suam incredulitatem colubrorum morsibus interirent, mandavit Deus beato Moysi, ut aeneum conflaret colubrum; quem qui vulnerati respicerent, damni sui medicinam facilem recepturi erant. Atqui quum Deo liceret vel Israhelitas a morsibus omnino defendere, vel aliam quamlibet suppeditare ictus medelam; nihilominus eos voluit a mordentium imagine remedium referre: quo minime miraremur, si morte Christi domini Deus mortem destruens, immortalem nobis per corporum resurrectionem compararet vitam. Quare et Dominus ait: sicuti Moyses exaltavit serpentem in solitudine, ita exaltari oportet filium hominis, ut omnis qui credit in illum non pereat, sed habeat vitam aeternam. Quibus verbis docet, sicut olim mordentium imago damnum vulneris persanabat, sic nunc mortem, quae omnes homi-

Οὕτω δὲ καὶ κατὰ τὸν μακάριον γέγονεν Ἰωνᾶν τὸν προφήτην, ὃν Ἰουδαίων ἀπειθούντων καὶ προσίεσθαι τὰς προφητείας οὐκ ἐθελόντων, ἐπὶ τὰ ἔθνη μετελθεῖν παρεσκεύασεν ὁ θεός· εἶτα διὰ τριῶν τε ἡμερῶν καὶ νυκτῶν παραδόξως ἐπὶ τοῦ κήτους αὐτὸν διασώσας, ἤγαγέ τε εἰς τὴν πόλιν τὴν μυρίων πλήρη κακῶν· καὶ παρεσκεύασε κηρύξαντα τὴν μετάνοιαν, σωτηρίας ἅπασι τοῖς αὐτόθι πρόξενον γενέσθαι· ἵν᾽ ἐκ παραθέσεως μὴ ἀπιστοίημεν, εἰ καὶ ὁ δεσπότης Χριστὸς διὰ τῶν ἴσων ἡμερῶν ἀδιάφθορος φυλαχθεὶς, καὶ ἐκ νεκρῶν ἀναστὰς, ἐν ἀθανάτῳ ζωῇ κοινὴν ἅπασι τοῖς ἔθνεσι, καὶ ταῦτα γε ἀπειθούντων Ἰουδαίων, τὴν ἐκ τῆς μετανοίας παρέχεται σωτηρίαν· ὅθεν καὶ ὁ κύριος ποτὲ μὲν φησίν· * ὥσπερ γὰρ ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας ἐποίησε καὶ τρεῖς νύκτας, οὕτω δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς ποιῆσαι τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· ποτὲ δέ· * ἄνδρες νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην, ὅτι ἤκουσαν τοῦ κηρύγματος Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε· δῆλον ὅτι ἐστὶ μέν τις μίμησις τῶν πραγμάτων, πολὺ δὲ τὸ διάφορον τούτων πρὸς ἐκεῖνα· καὶ ὅτι παραπλησίως μὲν οὗτοι τοῖς τότε Ἰουδαίοις ἀπιστοῦντες μένουσι, δέχεται δὲ τὰ ἔθνη τὴν ἐκ τοῦ κηρύγματος σωτηρίαν. Ἐπὶ δὴ τούτοις σαφῶς ὁ μακάριος προβέβληται Ἰωνᾶς· οὐδὲ γὰρ ἂν ὁ προφήτης οὕτως ἔμεινεν ἀπειθὴς τῷ θεῷ, ὡς μὴ ἑλέσθαι τι ποιῆσαι τῶν εἰρημένων αὐτῷ· καὶ ταῦτα ἐπὶ σωτηρίᾳ γε τοσούτων πεμπόμενος ἀνθρώπων· ἀλλ᾽ οὐδὲ ἀπειθοῦντα πειραθῆναι πάντως τῶν κατὰ τὴν θάλατταν ἦν ἀνάγκη κακῶν· ὥστε καὶ ἐμβληθῆναι κήτει, καὶ ἐπ᾽ * αὐτοῦ παραδόξως σωθῆναι, καὶ παραδοξότερον ἔτι τὴν ἐκεῖθεν ἀνάδυσιν ὑπομεῖναι· δυναμένου γε τοῦ θεοῦ ἑτέρως ὀκνοῦντα καὶ ἀπειθοῦντα τὸν προφήτην ἐπὶ τὸ δέον ἐγεῖραι· ὥσπερ οὖν αὐτὸν ἐπί τε τοῦ Μωσέως ἔγνωμεν * ποιοῦντα ὀκνοῦντος

* Matth. XII. 40. p. 233.
* v. 41.
* ita cod., non ὑπ.
* Exod. II. II.

nes depascebatur, postquam ea Christo domino accidit, non huic solum sed cunctis hominibus mortis remedium esse allaturam.

Sic etiam contigit beato prophetae Ionae, quem Iudaeis incredulis, neque eius oracula recipientibus, ad gentes transgredi iussit Deus: deinde tribus diebus totidemque noctibus mirabiliter intra cetum conservavit incolumem, perduxitque in urbem innumeris sceleribus redundantem: nempe ut is paenitentiam praedicans, conciliator salutis incolis fieret; nos autem hoc exemplo eruditi minime negaremus, Christum dominum pari temporis spatio sine corruptione servatum; qui mox e mortuis ad immortalem vitam revocatus, communem cunctis ethnicis (Iudaeis interim incredulitatem retinentibus) paenitentiae merito salutem exhibuit. Unde et Dominus aliquando dixit: sicut enim Ionas in ventre ceti tres dies totidemque noctes transegit; ita oportet filium hominis tres dies in corde terrae totidemque noctes manere. Aliquando vero: viri ninivitae consurgent, et generationem hanc condemnabunt; propterea quod ipsi pronas aures praedicanti Ionae praebuerunt: ecce autem plus quam Ionas heic est. Porro rerum imitatio evidenter constat; quamquam multa est priscarum a novis discrepantia. Profecto Iudaei praesentes, haud secus quam illi veteres, in incredulitate perseverant; dum salutarem gentes recipiunt praedicationem. His evidenter de causis beati Ionae persona excitata est. Alioqui enim non tam incredulus Deo perstitisset propheta, ut nihil eorum faceret quae iubebatur, praesertim quum ad tot hominum curandam salutem mitteretur. Sed neque ita incredulum experiri eum opus erat marinam illam calamitatem, ceto nimirum obiici, prodigiose intra hunc servari, multo vero prodigiosius illinc exitum nancisci. Quippe Deo licebat aliter ad officium cogere renuentem incredulumque prophetam: sicut ab eo factitatum novimus, quo tempore Moyses apostolatus ministerium

20

* Hier. I. 6. πρὸς τὴν ὑπουργίαν τῆς ἀποστολῆς· ἐπί τε τοῦ Ἱερεμίου * φεύγοντος ὁμοίως κἀκείνου τῆς ὑπουργίας
p. 234. τὸ μέγεθος· ἀλλὰ γὰρ διὰ πραγμάτων οὕτω καινῶν τε καὶ παραδόξων προδήλως τὸν μακάριον Ἰωνᾶν ἀγαγεῖν ἐβουλήθη, ἐπειδὴ τύπον αὐτὸν τῶν κατὰ τὸν δεσπότην Χριστὸν ἤμελλεν ἀποφαίνειν· ὡς ταύτης ἕνεκεν τῆς αἰτίας διὰ τοσαύτης ἀπίστου καινότητος ἐνεχθεὶς, ἀξιόπιστος γένοιτο, τοῦ τοσούτου πράγματος τὸν τύπον ἐκφαίνων ἐν αὐτῷ.

Προηγουμένην μὲν οὖν τῶν κατὰ τὸν μακάριον Ἰωνᾶν οὕτως παραδόξων γεγονότων ταύτην αἰτίαν εἴποι τις ἄν· ἑπομένην δὲ κἀκείνην ἐκ τοῦ τύπου τὴν ἀρχὴν λαβοῦσαν· ἀθυμεῖν γὰρ οὐχ ὡς ἔτυχεν ἀνάγκη τοὺς προφήτας ἦν, ὅτι συνεχῶς πρὸς τὸν λαὸν παρὰ τοῦ θεοῦ πεμπόμενοι, ἐμήνυόν τε αὐτοῖς τὰ ἐσόμενα, καὶ τὰς ἐπαχθησομένας τιμωρίας ἠπείλουν· καὶ πάντα δὴ τὰ πρὸς διόρθωσιν αὐτῶν συντελοῦντα μετὰ πολλῆς διεπράττοντο τῆς σπουδῆς· ἤνυον δὲ πλέον οὐδὲν, τῆς τῶν Ἰσραηλιτῶν κακίας ἀντιπραττούσης τῇ διὰ τῶν προφητῶν ἐπιμελείᾳ παρὰ τοῦ θεοῦ περὶ αὐτοὺς γινομένῃ· ἀφ᾽ οὗ δὴ καὶ περιττὸν ὡς εἰκὸς ᾤοντο τὸν ἑαυτῶν εἶναι πόνον· καὶ δὴ καὶ πρὸς ἀπόγνωσιν παντελῆ τῶν ἀνθρωπείων ἐχώρουν πραγμάτων· ὡς τῶν μὲν ἐθνῶν πρὸς τὸ χεῖρον ἅπαξ νευόντων, τῶν δοκούντων δὲ εἰς τὴν γνῶσιν
p. 235. ἐξειλέχθαι τὴν θείαν, οὐδὲν ἐλαττουμένων τῇ τε ἀσεβείᾳ, καὶ τῇ τῶν τρόπων μοχθηρίᾳ ἐκείνων· οὕτω δὴ διακειμένους αὐτοὺς ψυχαγωγῆσαι βουλόμενος ὁ θεὸς, ὁ πολλὴν μὲν πάντων ἀνθρώπων ἐπιμέλειαν ποιούμενος, ἐξαίρετον δέ τινα νέμων τοῖς αὐτοῦ τὴν κηδεμονίαν, πολλάκις μὲν ἐδήλωσεν αὐτοῖς τὴν ἐπὶ τῆς δείξεως τοῦ δεσπότου Χριστοῦ γενησομένην μεταβολὴν τῶν ἀνθρωπείων πραγμάτων, ὅτε δὴ πάντες ἤμελλον ἐκ τοῦ χείρονος θείᾳ χάριτι νεύειν ἐπὶ τὸ κρεῖττον· τὸ τελευταῖον δὲ καὶ τὴν παράδοξον ταύτην ἐργασίαν διὰ τῶν κατὰ τὸν προφήτην Ἰωνᾶν πεποίηται, εἰς διδασκαλίαν τε καὶ ψυχαγωγίαν πάντων τῶν προφητῶν δι᾽ ὧν ἔργοις ἔπειθεν αὐτοὺς, ὡς ἀληθῆ μὲν ἔσται τὰ κατὰ τὸν δεσπότην Χριστόν· καὶ ὅτι πάντες ἄνθρωποι θείᾳ χάριτι τότε μετανεύσονται πρὸς τὸ δέον· νῦν μὲν Ἰουδαίων ἀνενδότως

devitabat; itidemque cum Hieremias eiusdem operis magnitudinem extimescebat. Plane igitur constat, libitum fuisse Deo tam insolitis tamque miris casibus Ionam exercere, quô typum eum exhiberet gerendarum in Christo domino rerum: ita ut hanc ob causam per tam incredibilem novitatem deductus, dignus fide evaderet, propterea quod tanti operis figuram in semet ipso gerebat.

Praecipuam itaque prodigiorum, quae beato Ionae acciderunt, causam hanc dicere licet: proximam alteram, quae de typo similiter manat. Necesse enim erat haud mediocriter animum despondere prophetas, qui continenter ad populum a Deo missi futura canebant, imponendasque poenas minitabantur, et quidquid demum emendandis moribus conduceret, magna sedulitate praestabant: ceteroqui nihil proficiebant, obnitente Israhelitarum malitia adversus ea studia prophetarum, quos Deus illorum causa excitaverat. Quamobrem hi merito iam inutilem existimabant laborem suum, ac de rebus humanis prorsus desperabant: nempe, quia ethnici quidem in vitia constanter ruerent; ille autem populus, qui ad divinam videbatur delectus scientiam, impietate et morum colluvie haud ethnicis cederet. Maestos itaque Deus prophetas ut recrearet, qui omnium utique hominum multam gerit curam, peculiarem tamen providentiam electis impendit, saepenumero significavit illis futuram in Christi domini adventu conversionem humanorum morum: quo tempore omnes divinae gratiae instinctu a vitio ad virtutem respecturi erant. Tum ad extremum hoc quoque admirabile in propheta Iona patravit opus ad omnium prophetarum eruditionem atque solatium: quos re ipsa certiores fecit de indubio Christi

ἐχόντων περὶ τὴν τοῦ χείρονος αἵρεσιν, διὰ τὸ συγχωρεῖν οὕτω τὸν θεόν, εἰς ἔλεγχον τῆς ἀνθρωπίνης προαιρέσεως τε καὶ ἀσθενείας· ἐπὶ δὲ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας ὅτι ἂν τὴν οἰκείαν βούληται δεικνύναι χάριν ὁ θεός, ἁπάντων ἀνθρώπων τὴν διαπαντὸς πρὸς ἀσέβειαν νευόντων, τὴν ἐπὶ τὸ κρεῖττον λαμβανόντων ῥοπήν· ὡς καὶ ὁ μακάριος Παῦλος φησὶν * * Rom. XI: 32.
ὅτι συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· δεικνὺς p. 236.
ὅτι ἐκ τῶν προειληφότων τὴν ἐπὶ τὸ χεῖρον τῶν ἀνθρώπων ἐπαιδεύθημεν ῥοπήν, ἵνα μάθωμεν ὅτι θείας χάριτος δεόμεθα πρὸς τὸ διαγνῶναί τε καὶ προθεῖναι πάντων τὸ κρεῖττον.

Τούτου γε ἀπόδειξιν αὐτάρκη παρέσχετο τοῖς προφήταις τὰ παρόντα, ἐν τοῖς κατὰ τὸν Ἰωνᾶν μάλιστα τοῦτο χρῆναι δειχθῆναι νομίζων· ὃς τύπον ἐν ἑαυτῷ τινὰ τῶν περὶ τὸν δεσπότην ἐσομένων παρέσχε τὸν Χριστόν· ἀποστέλλει μὲν γὰρ αὐτὸν εἰς Νινευὴ τὴν πόλιν μεγάλην οὖσαν καὶ πολυανθρωποτάτην, καὶ τῶν ἐν ἀσσυρίοις βασιλίδα τυγχάνουσαν· ἐν ᾗ πάντες πρὸς ἀσέβειαν τε ἑώρων, καὶ μοχθηρῷ προσανεῖχον βίῳ, τρυφαῖς τε καὶ ἀνέσεσι καὶ ἀκολασίαις καὶ πάσῃ συζῶντες παρανομίᾳ· κελεύει δὲ τὴν τῆς πόλεως μηνῦσαι καθαίρεσιν, εἰ μὴ νεύσειαν πρὸς τὸ δέον· εἶτα παρεσκεύασε πάντας ἐκείνους ἀθρόον φωνῆς ἀκηκοότας τοῦ προφήτου, ὃν οὐχ ὅστις ἦν ἠπίσταντο, ἀλλ' οὐδὲ μετὰ θαυμάτων φανέντα εἶδον, ὥστε ἔκπληξιν αὐτοῦ τινὰ λαβεῖν· ἐντεῦθεν μεταθεμένους τῆς πρόσθεν γνώμης ἀπὸ μόνης τῆς ἀπειλῆς πρὸς τὸ κρεῖττον ἰδεῖν, ἐθνικοὺς τε ὄντας καὶ οὐδὲν διδασκαλίας εἶδος εἰς θεοσέβειαν ἠκουσης πρότερον δεδειγμένους· ὡς ἂν δηλώσειεν ἐκ τῶν παρόντων, ὅτι κατὰ τοῦτον τὸν τρόπον ἐπὶ p. 237.
τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας ἅπαντα τὰ ἔθνη τῇ οἰκείᾳ χάριτι νεῦσαι παρασκευάσει πρὸς τὸ κρεῖττον, κἂν ἀπειθεῖν ἐθέλωσιν Ἰουδαῖοι τῇ τῆς εὐσεβείας διδασκαλίᾳ.

adventu, et de omnium hominum per id tempus ad bonam frugem reditu: Iudaeis interim valde ad vitia incumbentibus; Deo ita permittente ob demonstrandum mentis humanae liberum arbitrium ac fragilitatem: sed denique sub Christi adventum, quo tempore suam Deus gratiam patefacturus erat, cuncti homines, qui nunc prorsus impietati dediti erant, ad virtutem cursum directuri erant. Quare etiam beatus Paulus ait, conclusisse Deum omnia sub peccato, ut fide iustificemur: significans quemadmodum a maioribus nostris ad sectanda vitia inclinati fuerimus; quô scilicet cognosceremus gratia nobis opus esse ad discernendam atque anteponendam cuivis rei virtutem.

Quarum rerum idoneam in praesenti demonstrationem prophetis exhibuit, eam scilicet quam in Ionae praecipue casibus exprimendam curavit, qui quamdam rerum in Christo domino efficiendarum imaginem in se ipso gestavit. Mittit enim eum Deus in magnam urbem Niniven, populo copiosissimam, Assyriorum regiam sedem; cuius cuncti cives non sine religionis contemptu pravum vitae genus agitabant, otio, luxuria, intemperantia, atque omnimodis vitiis diffluentes: iubetque ut urbis excidium nunciet, nisi incolae ad officium convertantur. Exin curavit Deus, ut ii repente omnes audita prophetae voce (quem antea minime noverant, neque nunc prodigiis communitum cernebant, ita ut eius admiratione aliqua percellerentur) curavit, inquam, Deus ut priore ingenio mutato, minarumque vi impulsi, ad saniora consilia mentem intenderent; quantumvis ethnici, et qui nullam verae pietatis speciem hactenus prae se tulerant. Res ergo praesens docebat, fore ut eadem ratione circa domini Christi adventum populi omnes, vi gratiae eius, de virtutis studio cogitarent; Iudaeis licet obstinata incredulitate doctrinam pietatis respuentibus.

Ἐντεῦθεν ὁ μακάριος προφήτης ἔκ τε τῶν παρόντων συνιδὼν ὡς τῆς ἐσχάτης ἄξιοι φανοῦνται τιμωρίας Ἰουδαῖοι, ἐκ τοσαύτης διδασκαλίας μηδεμίαν δεξάμενοι διόρθωσιν, εἰ Νινευῖται ἀσεβείᾳ συζῶντες καὶ στρεφόμενοι, ἀθρόον ἐκ μηνύσεως μόνης μεταθέμενοι φαίνοιντο πρὸς τὸ κρεῖττον· καὶ ὅτι τούτων δὴ πρὸς ἀπόδειξιν γιγνομένων τῶν κατὰ τὸν δεσπότην ἐσομένων Χριστὸν, τὸ αὐτὸ δὲ τοῦτο πολλῷ πλέον συμβήσεται, ὁπότ' ἂν τὰ μὲν ἔθνη τῇ θείᾳ καλούμενα χάριτι ῥέπῃ πρὸς τὴν εὐσέβειαν, Ἰουδαῖοι δὲ μένωσιν ἀπειθεῖς καὶ μὴ δεχόμενοι τὸν δεσπότην Χριστὸν, οὗ τὴν μήνυσιν καὶ τὴν διδασκαλίαν ἄνωθεν φερομένην εἶχον παρ' ἑαυτοῖς· ὅτι τε ἐντεῦθεν κληρονόμοι μὲν ἀποφανθήσονται τῆς βασιλείας τῶν οὐρανῶν οἱ πανταχοῦ γῆς οἰκοῦντες ἄνθρωποι, ἐξωθήσονται δὲ τῆς δωρεᾶς ταύτης διὰ τὴν οἰκείαν ἀπείθειάν τε καὶ ἀσέβειαν Ἰουδαῖοι, καί τοι γε δόξαντες ἐν τοσαύτῃ διδασκαλίᾳ τοῦ κρείττονος γεγενῆσθαι, ἀναγκαίως ἠθύμει, πένθους ἄξιον πανταχόθεν ὁρῶν τὸ πρᾶγμα, καὶ συναλγῶν
p. 238. μὲν Ἰουδαίοις εἰκότως, τοιούτοις τε οὖσι καὶ τοσαῦτα μέλλουσι ὑπομένειν· ὀδυρόμενος δὲ εἰ καὶ νῦν ἐκ τῆς τῶν Νινευιτῶν παραθέσεως, τιμωρίας ἄξιοι φαίνοιντο· καὶ μετὰ τοῦτό γε παντελῆ τὴν ἀποβολὴν ὑπομένοιεν, παραθέσει τῶν τε ἁπανταχοῦ γῆς ὄντων ἐθνῶν, καὶ προσιέναι τῇ τῆς εὐσεβείας μελλόντων διδασκαλίᾳ· εἰ γὰρ ὁ μακάριος Παῦλος ὀδύρεται αὐτῶν ἀποβολὴν, καὶ τὴν ἐσχάτην ἔφασκε τιμωρίαν ὑπομένειν ἡδέως, ὥστε τούτους πρὸς τὸ δέον ἰδόντας, μὴ τὴν τοσαύτην ἐπ' αὐτοῖς γεγενημένην ἐπιμέλειαν παρὰ τοῦ θεοῦ περιττὴν ἀπο-
* Rom. IX. 1. φῆναι· ἀλήθειαν γὰρ λέγω ἐν Χριστῷ *, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ, ὅτι λύπη μοί ἐστι μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου· ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται· ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ διαθήκη καὶ ἡ νομο-

Quamobrem beatus propheta ex praesenti re cognoscebat, fore ut extremo viderentur supplicio digni Iudaei, qui tanto a magisterio nullam vitae emendationem contraxerant; dum interim Ninivitae omni quondam improbitate polluti ac volutantes, statim solo praedicationis terrore ad meliorem frugem traducti fuissent. Quumque haec intelligeret fieri, ob ea significanda quae circa Christi domini adventum futura erant; rem multo graviorem eventuram videbat, quum ethnici divina gratia vocati ad pietatem confluerent; Iudaeis nihilominus incredulitatem suam retinentibus, neque Christum dominum recipientibus, cuius ceteroqui significationem atque doctrinam caelitus immissam apud se habebant: atque hinc regni caelestis heredes declaratum iri homines, qui ubique terrarum habitarent; exclusum autem iri ab hac donatione propter suam incredulitatem impietatemque Iudaeos, qui tamen videbantur in tam inclyto virtutis magisterio versari. Haec necessario prophetae animum torquebant, luctuosum usquequaque negotium cernentis, vicemque Iudaeorum ut par erat dolentis, qui tanta dignitate quum essent, in talia ruituri erant. Rursus propheta maerebat, quia praesenti Ninivitarum comparatione digniores poena fiebant Iudaei: tum in posterum districto repudio dimittendi erant, prae reliquis ubique terrarum existentibus populis ad religionis verae doctrinam accessuris. Nam si beatus Paulus luget eorum reiectionem, ac supremo se occursurum supplicio libenter eorum causa ait, ut his ad officium revocatis efficeret non inutilem tantam Dei providentiam; vere enim in Christo dico, non mentior, testimonium perhibente mihi conscientia mea in Spiritu sancto, quoniam tristitia est mihi magna et continuus dolor cordi meo. Optabam enim ego ipse anathema esse a Christo pro fratribus meis, qui sunt cognati mei secundum carnem, qui sunt Israhelitae; quo-

θεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν· πῶς οὐ πρόδηλον ὅτι τὴν αὐτὴν ἔχοντες καὶ οἱ προφῆται γνώμην, ὠδύροντό τε ἐπὶ τούτοις καὶ ἐθρήνουν; εἴτε τῶν τότε γιγνομένων ἕνεκεν, εἴτε καὶ τῶν μηνυομένων ἔσεσθαι ὕστερον.

Ὑπὲρ γὰρ τούτου καὶ τὴν φυγὴν ὁ προφήτης εἵλετο, οἰόμενος διαφεύξεσθαί τε τὴν πρὸς τοὺς νινευΐτας μήνυσιν, καὶ κωλύσειν τὰ ἐντεῦθεν ἐσόμενα, ἀφ᾽ ὧν δὴ σαφῶς ἡ τῶν Ἰου- p. 239.
δαίων ἐπεδείκνυτο κακία· ἔλεγχος δὲ τῶν εἰρημένων τὰ μετὰ ταῦτα· νινευΐται γὰρ οἱ μετὰ τοσαύτης ἑτοιμότητος τὴν ἐπὶ τὸ κρεῖττον δεξάμενοι μεταβολήν, ἐπεστράτευσαν τε μετ᾽ οὐ πολὺ τοῖς Ἰσραηλίταις, καὶ τοὺς λοιποὺς αἰχμαλώτους λαβόντες, πλείστην ἔχον καὶ τὰ Ἱεροσόλυμα πορθῆσαι σπουδήν· ὑπὲρ ὧν δὴ καὶ τιμωρίαν ἐδέξαντο παρὰ τοῦ θεοῦ μεγίστην, ἣν Ναοὺμ ὁ προφήτης μεμηνυκὼς καταλέλοιπεν ἐν βιβλίοις· ὥστε τὴν μὲν τοῦ Ἰωνᾶ προφητείαν, καὶ τὰ τότε περὶ τοὺς νινευΐτας γεγονότα, μήνυσιν τῆς θείας χάριτος εἶναι, καθ᾽ ἣν οὕτω ῥᾳδίαν τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐδέξαντο πάντες· τὴν δὲ τοῦ Ναοὺμ δήλωσιν ἔχειν τῆς αὐτῶν ἐκείνων μοχθηρίας, ἀφ᾽ ἧς ἐπικεχειρήκασί τε τοσούτοις κακοῖς, καὶ τιμωρίαν ὑπὲρ ἁπάντων ἐδέξαντο τὴν ἀξίαν· καὶ ταῦτα μὲν ἐξ ἁπάντων τῶν περὶ τὸν μακάριον Ἰωνᾶν γεγονότων τε πρότερον καὶ εἰρημένων, ὕστερον ἐπὶ τῆς καινῆς διαθήκης, καθὰ πρόσθεν ἐδείκνυμεν, εἰκότως γνοίη τις ἄν· τὰ δέ γε τότε γεγονότα τε καὶ διὰ τῆς τοῦ βιβλίου δηλούμενα συγγραφῆς, ἃ δὴ καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον μεγίστην τοῖς τότε τήν τε ὠφέλειαν παρέσχετο καὶ χρείαν, ἐξ αὐτῶν εἰσόμεθα τῶν κατὰ μέρος, ὧν περ οὖν καὶ τῆς ἑρμηνείας ἁψόμεθα θεοῦ διδόντος.

rum adoptio est in filios, et gloria et testamentum et legislatio et cultus et promissiones; quorum patres, et ex quibus est Christus secundum carnem, qui est super omnia Deus benedictus in saecula, amen. Nonne hinc constat, prophetas quoque eadem animi adfectione praeditos, ingemuisse super his atque luxisse, sive ob ea quae evenerant, sive ob ea quae portendebantur?

Propter hoc fugam quoque propheta maturavit, sperans se necessitatem vitaturum faciendae ad Ninivitas praedictionis, atque hinc impediturum quominus ea contingerent, quae manifestam iudaicae malitiae patefactionem allatura erant. Iam quae consecuta sunt, dictis meis suffragium addunt. Namque Ninivitae, qui tanta alacritate ad virtutem mentem converterant, bellicam expeditionem adversus Israhelitas paulo post susceperunt; reliquisque etiam in captivitatem abactis, summa vi vastitatem Hierosolymis ipsis inferre conati sunt: quam ob rem poenas quoque maximas Deo luerunt, quas qui praedixerat Nahumus propheta scriptis quoque commendavit. Igitur Ionae prophetia, nec non ea quae per id tempus Ninivitis acciderunt, significationes divinae gratiae fuerunt, cuius impulsu tam proclivem cuncti ad virtutem conversionem experti sunt. Nahumi vero prophetia demonstrat eorumdem Ninivitarum improbitatem, cuius instinctu tanta mala capessiverunt, iustasque demum scelerum omnium poenas sustinuerunt. Atque haec, quae beato Ionae olim acciderunt, vel de eodem dicta sunt, ea inquam omnia in novo postea testamento instaurata, sicuti iam dixi, iure meritoque videre est. Age vero res illas, quae tunc gestae libelloque commendatae fuerunt, et quae ei tempori plurimum emolumentum atque usum exhibuerunt, ex eisdem singillatim cognoscemus, quarum iam interpretationem Deo auspice adgrediemur.

ΚΕΦ. Α'.

p. 240. v. 1. “ Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων· ἀνάστηθι καὶ πορεύ-
v. 2. θητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη κραυγὴ τῆς κακίας
αὐτῶν πρός με. „ Ἀποκάλυψιν θείαν ἐδέξατο, φησὶν, Ἰωνᾶς ὁ προφήτης εἰς Νινευὴ τὴν
πόλιν ἀπελθεῖν τε καὶ κηρύξαι ἐν αὐτῇ, ὡς μεγάλα γε αὐτῶν παρανομούντων, καὶ τοιαῦτα
οἷα ἱκανὰ τῷ μεγέθει συγκινῆσαι τὸν θεόν· μεγίστην δὲ ἄγαν οὖσαν τὴν πόλιν καὶ ὑπὸ πλή-
θους στενοχωρουμένην, καὶ τὴν ἐν ἀσσυρίοις ἁπασῶν τότε περιφανεστέραν οὖσαν, ἀναγκαῖον
ἦν ἐξ ἀκοῆς τοῖς κατὰ τὴν Ἰουδαίαν ἐγνῶσθαι· ὅθεν δὴ καὶ ὡς ἐπὶ γνωρίμην αὐτὸν ἀποστέλλει
πόλιν, ὡς οὐκ ὄψει γε δηλαδὴ ἀκοῇ μόνον αὐτὴν εἰδότα· ἐνταῦθα μὲν οὖν τοῦτο μόνον φησὶν
ὅτι κήρυξον ἐν αὐτῇ· δῆλον δὲ ὡς ἐπὶ τούτῳ γε ἐπέμπετο ἐπὶ τῷ καὶ τὴν καταστροφὴν ἀπει-
λῆσαι τῇ πόλει, καὶ νουθετῆσαι τοὺς οἰκοῦντας ἅπαντας πρὸς μετάνοιαν ἰδεῖν, ὡς οὕτω
γε κερδανοῦντας τῆς πόλεως τὴν καταστροφήν· τῆς θείας γραφῆς τὰ πολλὰ συντέμνειν εἰω-
θυίας, ὅτ᾽ ἂν τοῖς ἀναγινώσκουσι τὰ ἀκόλουθα συλλογίζεσθαι δυνατὸν ὑπάρχῃ· οὔτε γὰρ
ἐπειδὴ ἐνταῦθα εἶπε κήρυξον ἐν αὐτῇ, ἀπέστειλε τὸν προφήτην τοῦτο μόνον εἰπὼν ὁ θεὸς,
p. 241. καὶ οὐ διδάξας ὅ τι ποτὲ κηρύξαι προσῆκον ἦν αὐτόν· οὔθ᾽ ὅτ᾽ ἂν λέγῃ ἔτι τρεῖς ἡμέραι,
καὶ Νινευὴ κατασκαφήσεται, ἐκεῖνο μόνον εἰπεῖν ὁ προφήτης ἐκελεύσθη, ἀλλ᾽ ὥστε τῇ
μηνύσει τῆς καταστροφῆς βελτίονας αὐτοὺς ἀπεργάσασθαι· ἐλπίδα λαβόντας τοῦ, εἰ μετα-
μεληθεῖεν, κερδᾶναι τὴν ἀπειλήν· ἐπεὶ καὶ περιττὸν ἦν ἀπειλεῖν τὴν καταστροφὴν, εἰ γενέσθαι
πάντως αὐτὴν ἔχρην, οὐδὲν τῆς ἀπειλῆς κέρδος· ὥστε ἢ μεταβαλομένους γοῦν κερδᾶναι τὴν
τιμωρίαν, ἢ μὴ μεταβαλομένους δικαίως αὐτὴν ἐπαχθεῖσαν παρὰ θεοῦ ἐκ τῆς αὐτῶν δεί-
κνυσθαι κακίας.

CAP. I.

“ Et factum est verbum Domini ad Ionam Amathi filium dicens: surge et vade Niniven in urbem magnam, atque ibi praedica, quod eius scelerum clamor ad me usque conscenderit. „ Oraculum, inquit, divinum Ionas propheta accepit, ut abiret in urbem Niniven, ibique praedicaret; cuius cives tantopere tamque graviter peccabant, ut Dei iracundiam commoverint. Iam quum illa urbs maxima esset et populo confertissima, atque assyriacarum omnium illustrissima, necesse erat eam fama Iudaeis innotuisse: quare et Deus prophetam veluti ad cognitam urbem mittit, haud visu tamen sed auditu tantummodo notam. Heic autem unum hoc dicit, nempe ut in ea praedicet. Atqui insuper constat missum eum fuisse ad minitandum quoque urbi excidium, admonendosque incolas omnes, ut de paenitentia cogitarent, ceu si hoc pacto urbis eversionem vitaturi essent. Solent enim divinae scripturae multa congestim dicere, quotiescumque legentibus ratiocinio colligere consequentia licet. Neque sane cum in praesenti dixit, praedica, hoc uno verbo prophetam instructum misit Deus, quin simul doceret, quaenam ab eo posthinc praedicanda essent. Neque cum dixit, tres adhuc dies, et Ninive subvertetur, id tantummodo propheta dicere iussus fuit, sed dare operam ut praedictione excidii ad saniorem eos mentem revocaret; spe oblata, si ipsos paeniteret, fore ut minas irritas redderent. Alioqui inutile fuisset minitari exitium, si id necessario eventurum erat. Hic erat ergo minarum fructus, nempe ut vel paenitentes ultionem effugerent, vel pertinaces cognoscerent iuste inflictas a Deo poenas ob hanc ipsam illorum improbitatem.

Ταῦτα δὲ καὶ ὁ προφήτης εἰδὼς, Θαρσεῖς φησὶν ἔφυγεν ἐκ προσώπου κυρίου· οὐκ ἂν v. 3.
γε τοῦτο πεποιηκὼς εἰ τὴν καταστροφὴν ἐσομένην πάντως ἠπίστατο, καὶ ἐπὶ τούτῳ γε ἀπεστάλ-
θαι, ὡς ἂν μηνύσειεν μόνον ἐσόμενον τὸ τοσοῦτο κακὸν, οὐδενὸς ἐσομένου καθάπαξ βελτίο-
νος ἐντεῦθεν. Θαρσεῖς δὲ οἱ μὲν ἔφασαν λέγεσθαι τὴν Ταρσὸν, ἀπὸ τῆς κατὰ τὴν ἐκφώνησιν
ἐγγύτητος ὡς ἔοικε πλανηθέντες. Ταρσὸς μὲν γὰρ παραθαλασσία πόλις οὐκ ἔστιν· τὴν δὲ
προσηγορίαν ταύτην εἰς δήλωσιν παραθαλασσίων πόλεων εἴωθεν ἡ θεία λέγειν γραφή·
ὡς παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ, ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς· * ὅπερ * Ps. XLVII. 8.
οὖν ἐπὶ μὲν τῆς παραθαλασσίου * πόλεως καὶ παρ' αὐτὴν ἐχούσης ἔσω τὰ πλοῖα λέγεσθαι p. 242. * ita heic cod: ιου. At supra ια.
δυνατὸν, ἐπὶ δὲ τῆς ἀπῳκισμένης ὅσον περ ἡ Ταρσὸς ἀφεστῶσα φαίνεται τῆς θαλάσσης, οὐ-
δαμῶς ἁρμόττον· ἕτεροι δὲ τὴν Ῥόδον ἔφασαν· ἀλλ' ἐγώ γε πᾶσαν τὴν ἀκριβολογίαν ταύτην
περιττὴν εἶναι πρὸς τὸ προκείμενον νομίζω, ἅτε τοῦ κατὰ τὸν προφήτην διηγήματος ἐρρω-
μένου δὴ πάντως ὁμοίως, ἣν τινὰ δή ποτε εἴ τις εἶναι νομίζοι τὴν πόλιν· ἐπισημαντέον δὲ
ἐκεῖνο μᾶλλον, ὅτι οὐκ εἶπεν ἔφυγεν ἐκ τοῦ θεοῦ, ἀλλ' ἐκ προσώπου κυρίου· οὐ γὰρ θεὸν
φεύγειν ὁ προφήτης ᾤετο, πάντων αὐτὸν δεσπότην καὶ ποιητὴν εἶναι νομίζων, καὶ πανταχοῦ
παρεῖναι πιστεύων· ἐπειδὴ δὲ ἐπὶ τοῦ Σιὼν ὄρους ἅπασαν αὐτῷ προσάγεσθαι τὴν λατρείαν
προσέταξεν ὁ θεὸς, ὑπόνοιαν Ἰουδαίοις ἐντεθεικὼς ὡς αὐτόθι γε καὶ οἰκῶν καὶ τὴν ἐπιφά-
νειαν ποιούμενος τὴν οἰκείαν· καὶ σκήνωμα δὲ τοῦ θεοῦ διὰ ταύτην τὴν αἰτίαν ἥ τε πόλις Ἰε-
ρουσαλὴμ ἐλέγετο, καὶ ἡ γῆ δὲ πᾶσα τῆς ἐπαγγελίας, ὡς ἂν ἐν ἁπάσῃ τε οἰκοῦντος τοῦ
θεοῦ καὶ πᾶσαν αὐτὴν ἐφορῶντος· διὰ τοῦτο ἐκ προσώπου τοῦ κυρίου πεφευγέναι λέγει τὸν
προφήτην, τὸν τῆς χώρας ἐκείνης ἐν ᾗπερ ἐποιεῖτο τὴν οἰκείαν ἐπιφάνειαν ὁ θεὸς ἐκβάντα,
εἰς ἑτέραν τινὰ καὶ ἀπῳκισμένην χώραν ἀπελθεῖν οὕτω δηλῶν· τοῦτο γὰρ ὁ προφήτης ἐποίει·
ὡς ἄχρι μὲν ἐν ἐκείνῃ διῆγε τῇ χώρᾳ ἐπιφαινομένου πάντως αὐτῷ τοῦ θεοῦ καὶ διεγείροντος p. 243.
αὐτὸν ἐφ' ὅ περ ἐβούλετο· εἰ δὲ πόρρω γένοιτο, κερδαίνων τὴν ἐνόχλησιν ἐκείνην· ὡς ἂν

Harum, inquit, rerum propheta gnarus, fugiebat a facie Domini in Tharsis. Porro id omnino non factitavisset, si exitium sine dubio futurum nosset, et si unice ad calamitatem nunciandam missus fuisset, ita ut nihil boni consequeretur. Iam Tharsis nonnulli aiunt significare Tarsum, nominis propinquitate ut videtur decepti. Tarsus enim haud est maritima urbs: illo autem nomine maritimas urbes designare scriptura solet, veluti apud beatum Davidem: vento valido conteres naves Tharsis: id quod de maritima urbe naves apud se habente dici potest; remotae autem, ceu Tarsus est, a mari non congruit. Alii Rhodum intelligunt. Ego vero omnem hanc curiositatem existimo supervacaneam, ac prophetae historiam aeque firmam, quamlibet quisque civitatem cogitet. Illud potius animadversione dignum est, quod non dixerit fugit a Deo, sed a facie Domini. Neque enim propheta se a Deo fugere opinabatur, quem omnium dominum creatoremque sciebat, atque ubique praesentem credebat. Sed quoniam in Sion monte universum sibi cultum adhiberi Deus iusserat, opinione quadam Iudaeis immissa, quasi ibi incoleret, suumque ibidem aspectum revelaret (quare et Hierosolyma et regio omnis promissa dicebatur ob eam causam tentorium Dei, ceu si hanc universam occuparet incolatu suo Deus, eamdemque oculis perlustraret); idcirco a facie Domini fugisse prophetam ait scriptura, qui excesserat ea regione, in qua semet Deus revelabat. Nempe his verbis in aliam quamvis remotam terram secessisse propheta dicitur: qui reapse ita se gesserat, ceu si in iudaica regione manenti appariturus omnino Deus esset, seque ad iussa facienda excitaturus: contra si procul fieret, cariturum se molestia sperabat:

μηδὲ ἐπιφαίνεσθαι ἐν ἑτέροις τόποις ἀνεχομένου τοῦ θείου· ὅπου καὶ Ἰουδαῖοι ἐπὶ τῆς αἰχμαλωσίας ὄντες, περιττὰς ἡγοῦντο καὶ τὰς θυσίας καὶ τὴν λατρείαν ἅπασαν τὴν τῷ θεῷ προσαγομένην, ὡς τό γε ἐπιφαίνεσθαι τοῖς ἐκεῖ τόποις, μὴ δὲ δέχεσθαι τὰ αὐτόθι εἰς τὴν αὐτοῦ πληρούμενα τιμὴν ἀνεχομένου· δῆλος δὲ ἦν ὁ προφήτης πρὸς τὸ πρᾶγμα ὀκνῶν, διὰ τὸ συνορᾶν μὲν ὡς ἐπὶ ποσὶν αὐτὸν ἀποστέλλει πάντως χρησταῖς ἐλπίσιν· οὐκ ἂν γε ἐπὶ δὴ μόνης πέμψας αὐτὸν καταστροφῆς, εἰ μή τι καὶ ἀγαθὸν ἐντεῦθεν οἰκονομεῖν ἐβούλετο· τῶν ἄγαν δὲ ἀτόπων εἶναι νομίσας εἰ πρῶτον ἀνθρώποις ὀφθεὶς τοῖς οὐ πρότερον αὐτὸν ἐπισταμένοις, εὐθὺ τινὸς ψεύστου καὶ ἀπατεῶνος ἀπενέγκοιτο δόξαν· τοῦτο δὲ καὶ αὐτὸς ἐν τοῖς μετέπειτα διὰ τῶν οἰκείων δηλῶν φαίνεται ῥημάτων.

Κατέβη μὲν οὖν εἰς τὴν Ἰόππην ὁ προφήτης ταύτης ἕνεκα τῆς αἰτίας· αὐτόθι δὲ πλοῖον
ἐπὶ Θαρσεῖς ἀπιὸν εὑρών, τόν τε μισθὸν δέδωκε τῆς ἀπονοίας, καὶ ἐμβὰς μετὰ τῶν λοιπῶν
p. 244. ἐπὶ Θαρσεῖς ἐξέπλει· ὡς ἂν αὐτόθι τὴν ἐνόχλησιν μέλλων ἐκκλίνειν τὴν θείαν, οὐκ ἐπιφαι-
νομένου τε αὐτῷ ἐν ἀλλοτρίοις τόποις τοῦ θεοῦ, καὶ ἐπείγοντος ἐπὶ τὸ προκείμενον ἀπελθεῖν·
* ita cod. ἐπειδὴ δὲ κατὰ τὴν θάλατταν ἐγίνετο πλέων, δῆλον αὐτὸν οἷον * ὁ θεὸς ὅτι περιττὴν τινὰ καὶ
v. 4. ματαίαν ὑπέμεινε τὴν φυγήν, σφοδρὸν πνεῦμα κινήσας, τοσοῦτον ἐπὶ τῆς θαλάσσης εἰργά-
σατο τὸν κλύδωνα, ὥστε καὶ συντριβῆναι κινδυνεύειν τὸ πλοῖον οὐ φέρον τῶν κυμάτων τὴν
v. 5. βίαν· φόβος ἐκ τούτου τοὺς ἐν αὐτῷ εἴληφεν ὡς εἰκός· ἕκαστος τε πρὸς ὃν ἡγεῖτο θεόν,
καὶ ᾧπερ θρησκεύειν εἰώθει, τῇ φωνῇ κεχρημένος ἀπαλλαγὴν ᾔτει τοῦ παρόντος γενέσθαι
κινδύνου· ἐπιτεινομένου δὲ τοῦ κλύδωνος, καὶ τὰ ἐνόντα τῷ πλοίῳ κατὰ τὸ εἰωθὸς τοῖς χειμα-
ζομένοις ἀπέρριψαν εἰς τὴν θάλασσαν, εἴ πως κουφισθὲν διαφύγοι τὸν κίνδυνον τὸ πλοῖον.
Τούτοις ἐπάγει. “ Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδεν ἐκεῖ καὶ ἔρεγχεν. „
Οὐχ ὅτι μετὰ τὸ ἐκεῖνα γενέσθαι εἰς τὸ πλοῖον κατελθὼν ἐκάθευδεν· γελοῖον γὰρ εἰ ταραχῆς

quasi nimirum aliis in locis Deus semet revelare non pateretur. Atque ita Iudaei dum captivi detinerentur, victimarum quoque vel cuiusvis religionis Deo exhibendae nullum fructum esse putabant: ceu si Deus illis in locis neque apparere neque honorem religiosum sibi adhibitum soleret admittere. Perspicuum porro est prophetam ad id negotium torpuisse, propterea quod eum Deus quidem non sine praeclara spe mittebat; (neque enim unius excidii causa nunciandi misisset, nisi hinc quoque boni aliquid moliretur extundere;) sed tamen ipse valde absurdum putabat, si forte homo subito superveniens his qui se antea non noverant, continuo nebulonis cuiusdam et circulatoris famam contraheret: id quod ipsemet in consequentibus mox sermonibus satis ostendit.

Hac de causa descendit Ioppen propheta, deprehensaque navi Tharsis versus tendente, naulum exsolvit contumaciae suae, et cum reliqua turba conscendens Tharsis navigabat, ceu si ibi divina molestia liber esset futurus, quia Deus alienis in regionibus minime sibi occursurus esset, neque necessitatem certi loci adeundi impositurus. Iam ubi in altum progressus fuit, declaravit illi Deus quam inutilem quamque stultam fugam capessivisset: graviorem enim commovens ventum, tantam in mari conflavit procellam, ut infringi navis periclitaretur, quae vim fluctuum non ferebat. Hinc pavor navigantes, ut par erat, corripuit; et apud suum quisque creditum deum, quem patria religione colebat, praesens vitae discrimen elatis clamoribus deprecabatur. Tum se intendente procella, sarcinas quoque quotquot impositae fuerant de more in mare iaciebant, si forte onere levata navis periculum evaderet. His addit scriptura. “ Ionas autem in sentinam navis descenderat, ibique dor-

τοσαύτης γινομένης καὶ πάντων περὶ τῆς σωτηρίας κινδυνευόντων τῆς οἰκείας, εἰς ὕπνον ἑαυτὸν
ἐκεῖνος ἐδίδου· ἀλλὰ γὰρ τοῦτο μὲν εὐθὺς ἐπιβὰς πεποίηκε τοῦ πλοίου· ἡ δὲ γραφὴ τὰ κατὰ τὸν κλύ- v. 6.
δωνα διηγησαμένη, ὕστερον ἐπήγαγε τὰ παρὰ τοῦ προφήτου κατ᾽ ἐκεῖνον γινόμενα τὸν καιρόν· p. 245.
ὅτι τε ὁ πρωρεὺς ὡς ἐν ταραχῇ τοσαύτῃ καθεύδοντα τὸν προφήτην ἰδεῖν ἀπεληλυθώς,
διήγειρέ τε αὐτόν, καὶ ἐθαύμαζεν ὅτι τοσούτου γινομένου κακοῦ, μηδεμίαν αἴσθησιν ἔχοι τῶν
κατεχόντων αὐτοὺς κακῶν, ἀλλ᾽ ὡς ἀδείᾳ πολλῇ καθεύδει τε καὶ ῥέγχει· ὑπεμίμνησκε δὲ αὐτὸν
ἀναστάντα τὸν θεὸν καλεῖν τὸν ἴδιον, εἴ πως ὑπ᾽ αὐτοῦ γοῦν διασωθεῖεν· ὧν δὲ ὁ μὲν προφήτης
οὐδὲν διεπράττετο· τοῦτο σφαλερὸν εἶναι νομίζων δεήσεις προσάγειν τούτῳ οὗ περ πεφεύγει.
Ἐπετείνετο δὲ τοῦ κλύδωνος τὸ κακόν· ἐδοκίμασαν λοιπὸν κλήρῳ διαγνῶναι τὸν τοῦ v. 7.
παρόντος αἴτιον κακοῦ· τοῦτο δὲ ἐδήλου μὴ κοινὸν κατὰ πάσης θαλάσσης εἶναι τὸν χειμῶνα, ἀλλὰ
περὶ αὐτό γε μόνον τὸ πλοῖον τὴν σύμπασαν ταραχὴν κινεῖσθαι· ἀφ᾽ οὗ περ οἱ ἐν αὐτῷ
λογιζόμενοι τὴν αἰτίαν, κλήρῳ διαγνώσκειν τὸν αἴτιον ἐβούλοντο τῶν κακῶν· τυχὸν καὶ τοῦ
δεσπότου θεοῦ ταύτην αὐτοῖς ἐμβεβληκότος τὴν διάνοιαν, ὡς ἂν ἀκολούθως τὰ λοιπά γε
πραχθείη· οἱ μὲν γὰρ ἐχρήσαντο τοῖς κλήροις· ἐδείκνυτο δὲ ὁ μακάριος Ἰωνᾶς τῶν γεγο-
νότων αἴτιος· ἐφ᾽ ᾧ δὴ καὶ θαυμάσαντες οἱ ναυτικοὶ λοιπόν, εἰ τοιοῦτο τί πεπραγμένον
αὐτῷ τυγχάνοι ὥστε καὶ τοσοῦτον γεννῆσαι κακόν, μετὰ σφοδρᾶς τῆς ἐπιτιμήσεως καὶ μονονουχὶ
δικαστικῷ λοιπὸν κεχρημένοι τῷ σχήματι, ὡς ἂν πρὸς ἄνθρωπον καταδεδικασμένον ἤδη v. 8. p. 246.
τῷ κλήρῳ διαλεγόμενοι, ἀπῄτουν μαθεῖν ὅτι περ αὐτῷ πεπραγμένον εἴη, τί δὲ καὶ
ἐπιτήδευμα μετίει, ὅθεν τε ἔρχοιτο, καὶ ὅποι περ ἄπεισιν, ἐκ ποίας τε ὁρμᾶται χώρας,
καὶ ᾧ τινι ἔθνει προσήκει τῶν ἀνθρώπων· πρὸς οὓς σαφῶς ἀπεκρίνετο· “ δοῦλος κυρίου
ἐγώ εἰμι, καὶ κύριον τὸν θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. ,, v. 9.

miens stertebat. ,, Non quod post commotam tempestatem in inferiora navis dormitum descenderit: esset enim ridiculum, si tanta perturbatione coorta, cunctisque de salute periclitantibus, ipse somno se tradidisset: verumtamen id egerat statim ac navim conscendit; at scriptura postquam procellam narravit, postremo loco dixit, quae propheta priore tempore fecerat. Pergit porro dicere, ut gubernator ad prophetam videndum venerit, qui in tanta omnium trepidatione dormiebat; eumque excitaverit, miratusque fuerit, quod in eo procinctu nullum ipse ingruentium malorum sensum perciperet; sed veluti profunda securitate stertens dormiret. Ergo illum admonuit, ut expergiscens Deum suum invocaret, si forte ab eo servarentur.

Sed enim quum propheta nihil eiusmodi ageret, quia intutum existimabat precibus eum obtundere a quo fugiebat; quumque vis tempestatis augesceret; decreverunt nautae, quisnam esset eius mali auctor, sortito exquirere. Hinc satis intelligimus haud generalem fuisse toto mari procellam, sed circa illud unum navigium undarum strepitum desaevisse: qua re ad suspicandam causam commoti nautae, calamitatis eius reum sibi discernendum sortibus putaverunt: domino fortasse Deo hanc illis cogitationem ingerente, ut consequenter reliqua peragerentur. Ergo quum nautae sortes iecissent, beatus Ionas praesentis adversitatis causa demonstratus est. Id quod deinde nautae mirantes, quodnam scilicet ille tam grave facinus admisisset, ut tanti mali auctor existeret, et iam vehementi obiurgatione ac prope iudiciali formula utentes, atque hominem ceu iam sorte damnatum arguentes; certiores fieri volebant, quidnam ipse patrasset, quam artem profiteretur, unde digrederetur, quonam tenderet, qua patria oriundus esset, vel cui hominum genti adfinis. Quibus ille aperte respondit: “ servus Domini ego sum, dominum Deum caeli colo, qui

Ὡς γὰρ ἐκείνων περὶ εἴδωλα ἐχόντων, αὐτὸς τὸ τῆς οἰκείας θρησκείας ἐξαίρετον ἐδήλωσεν
εἰπὼν ὅτι δοῦλος εἴη τοῦ θεοῦ, τουτέστι φροντίδα ἔχων πᾶσαν τῆς θεραπείας ἐπιμελεῖσθαι
τῆς αὐτοῦ· οὐ γὰρ δὴ κατὰ τὸ κοινὸν εἶπε δοῦλος, καθ᾽ ὃ καὶ τοὺς ναύτας ἦν ἀνάγκη δούλους
εἶναι τοῦ θεοῦ ὑπ᾽ αὐτοῦ γεγονότας· εἶτα καὶ τὸ ἰδιάζον λέγων τοῦ θεοῦ ὃν ἐθρήσκευε, τὸν τοῦ παντὸς
φησὶ ποιητὴν ἐγὼ σέβομαι, ὃς καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης καὶ πάντων ποιητής ἐστιν.
v. 10. Ἐφοβήθησαν οἱ ἄνδρες ἀκηκοότες ταῦτα, ὡς ἂν τοῦ πάντων ποιητοῦ κατ᾽ αὐτῶν κεκινη-
μένου· ὅθεν καὶ τὸν προφήτην ἠρώτων τί τοῦτο ἐποίησας; καὶ ἐπειδήπερ ἔγνωσαν αὐτὸν ἐκ τοῦ
θεοῦ πεφευγέναι τὴν ὑπόμνησιν ἐκκλίνοντα τὴν ἐκεῖθεν, εἶτα τῷ παρόντι σὺν αὐτοῖς περιπε-
p. 247. πτωκέναι κακῷ, ὡς ἂν γνοίη πανταχοῦ παρόντα τε τὸν θεόν, καὶ ὁμοίως ἁπανταχοῦ τὰ δο-
v. 11. κοῦντα ἐργαζόμενον, καὶ μὴ δὲ οἷόν τε εἶναι φυγεῖν τὸν τοιοῦτον· πρὸς αὐτὸν δὴ λοιπὸν τὸν
προφήτην φασίν· “ τί σοι ποιήσομεν, καὶ κοπάσει ἡ θάλασσα ἀφ᾽ ἡμῶν; „ ἐκ γὰρ τῶν εἰρη-
μένων τὰ περὶ αὐτὸν ἐγνωκότες, καὶ ὅτι ὑπηρέτης τε καὶ προφήτης ἐστὶ τοῦ θεοῦ, καὶ δὴ καὶ τὰ
πράγματα συνᾴδοντα τοῖς λεγομένοις ἐγνωκότες, παρ᾽ αὐτοῦ μαθεῖν ἐβουλήθησαν τί δὴ
προσῆκεν αὐτοὺς διαπράξασθαι καὶ ἀπαλλαγῆναι τοῦ παρόντος κακοῦ. Καὶ ἐπάγει “ ὅτι ἡ
θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα· „ δεικνὺς ὅτι προσθήκην ἀεὶ τὰ τοῦ
χειμῶνος ἐδέχετο, ὡς ἂν μὴ ἐν ἀμελείᾳ οἱ κατὰ τὸ πλοῖον θεῖεν τὸ γινόμενον· εἶτα φησί.
v. 12. “ Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατε καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θά-
λασσα ἀφ᾽ ὑμῶν· διότι ἔγνωκα ἐγὼ ὅτι δι᾽ ἐμὲ ὁ κλύδων οὗτος ὁ μέγας ἐστὶν ἐφ᾽ ὑμᾶς. „
Ἐγὼ μὲν γὰρ φησὶ τούτων αἴτιος ὑμῖν εἰμὶ τῶν κακῶν· συμβουλεύω δὲ ὑμῖν ῥίψαι με εἰς τὴν
θάλασσαν, ὡς ἂν ἐγὼ δοίην δίκας ὑπὲρ ἃ ἥμαρτον εἰς θεόν, αὐτοί τε λύσιν τῶν κατεχόντων
v. 13. λάβοιτε κακῶν· ἀλλ᾽ ἐκεῖνοί γε σφαλερὸν εἶναι νομίζοντες ἄνδρα τοσοῦτον καὶ θεῷ προσή-
κοντα εἰς θάλατταν ἁπλῶς ἐκρίπτειν, ἐφιλονίκουν εἴ πως οἷόν τε ἐπὶ τὴν γῆν ἐπανελθόν-

mare et aridam fecit. ,, Nam quia illi idololatrae erant, peculiarem ipse religionem suam declaravit, dum se Dei servum dixit; studiosum nempe summopere cultus, qui eum decebat, praestandi. Neque enim generali quadam ratione se dixit servum, cuiusmodi alios quoque nautas opus erat Dei esse servos, a quo fuerant creati. Deinde et singularem notionem edidit eius Dei cui erat devotus; nimirum ait se colere Deum a quo caelum, terra, mare, resque omnes creatae fuerunt.

Quo audito, expaverunt homines, quod nimirum universae naturae conditor contra se commotus fuisset. Quamobrem prophetam sciscitabantur, quodnam crimen patravisset. Mox ubi hunc fugere a Deo cognoverunt, atque ab eius admonitionibus declinare; ideoque in praesentem cum ipsis calamitatem incurrisse, ut cognosceret Deum ubique interesse, nulloque loco non sua placita facere, neque fieri posse, ut mortalis quisquam ab eius potestate discedat; prophetam deinde nautae rogabant: " quid tibi faciemus ut mare nobis sedetur? ,, Nam ex dictis cognita hominis persona, nempe quod famulus et propheta Dei esset; quum facta quoque verbis consentanea comperissent, ab eo discere voluerunt, quid a se fieri oporteret ob impetrandam praesentis mali fugam. Porro addit scriptura, mare vehementius ferbuisse, fluctusque maiores extulisse; tempestatis scilicet incrementum significans, cuius causa rem negligere nautae non poterant. Deinde addit: " dixitque eis Ionas, tollite me et iacite in mare, quod ilico vobis sedabitur: novi enim procellam ingentem hanc mei causa vobis excitatam. ,, Ego, inquit, horum vobis origo malorum sum: quare suadeo ut me in profundum mergatis, quo poenas dem culpae meae in Deum, vosque necis laqueo expediamini. Verumtamen illi periculosum

τες, ὅπως τοῦ πλοίου τὸν προφήτην ἐξαγαγεῖν· ἐπειδὴ δὲ τοῦτο ποιεῖν οὐκ ἠδύναντο ἐπιτει- p. 248.
νούσης αὐτοῖς τὸν χειμῶνα τῆς θαλάσσης, ἀπολογησάμενοι τῷ θεῷ ὑπὲρ οὗ δὴ πράττειν
ἤμελλον, οὕτω τῇ θαλάσσῃ τὸν προφήτην ἐνέβαλον.

Λέγει γὰρ οὕτως· “ καὶ ἀνεβόησαν πρὸς κύριον καὶ εἶπαν, μηδαμῶς κύριε, μὴ ἀπολώ- v. 14.
μεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σὺ
κύριε ὃν τρόπον ἐβούλου πεποίηκας. „ Μὴ γὰρ δή φησι τιμωρίαν ἡμῖν ἐπαγάγῃς ὡς ἂν δί-
καιον μάτην ῥίπτουσιν εἰς θάλασσαν, ἐπειδὴ ἡμῖν μὲν ἦν περὶ πλείστου σωθῆναι τὸν ἄνδρα·
οὐ γέγονε δὲ τοῦτο, ὡς ἔοικέ σοι μὴ δοκοῦν, ἀφ' ὧν ἐπιτεινόμενος ὁ κλύδων ποιεῖν ἡμᾶς
τὰ εἰς σωτηρίαν τοῦ ἀνθρώπου οὐκ εἴα· οὕτω τε διὰ τούτων ἀπολογησάμενοι τῷ θεῷ τῶν v. 15.
ῥημάτων, ἐνέβαλον τὸν Ἰωνᾶν εἰς τὴν θάλασσαν· καὶ εὐθὺς ὁ κλύδων ἅπας ἐπαύσατο· ὥστε
καὶ φόβῳ μεγάλῳ κατασχεθῆναι τοὺς ἄνδρας, θεασαμένους τὴν ἐξουσίαν τοῦ πάντων κυρίου, v. 16.
ὃς καὶ συνεκίνησε τὴν θάλασσαν ὡς ἐβούλετο, καὶ βουληθεὶς αὐτὴν εὐθὺ καὶ παραχρῆμα πᾶσαν
εἰς γαλήνην μετέστησεν· εἶτα ἐπάγει· “ ὅτι καὶ ἔθυσαν τῷ κυρίῳ καὶ ηὔξαντο εὐχάς· „ οὐχ
ὅτι παραυτὰ ἔθυσαν τῷ κυρίῳ λέγων· οὐ γὰρ ἐπὶ τοῦ πλοίου θυσίας ἤμελλον ἐπιτελεῖν,
ἀλλ' ἵνα εἴπῃ ὅτι τῶν εἰδώλων παντελῶς ἀποστάντες, ἀνέθεσαν αὐτοὺς τῇ τοῦ θεοῦ λατρείᾳ, καὶ p. 249.
ὑπέσχοντο τοῦ λοιποῦ τῆς αὐτοῦ δουλείας ἀνθέξεσθαι, αὐτῷ τε καὶ τὰς καθηκούσας προσάξειν
θυσίας· τοῦτο γὰρ λέγει τὸ ηὔξαντο εὐχάς.

ΚΕΦ. Β'.

Ὁ μὲν οὖν Ἰωνᾶς ἐπὶ πλεῖστον ἐπὶ τῆς θαλάσσης ἐφέρετο· προσέταξε δὲ ὁ θεὸς κήτει v. 1.
μεγάλῳ ἐπὶ τῆς θαλάσσης φερόμενον καταπιεῖν τὸν Ἰωνᾶν, ὅπερ ἐν τῇ κοιλίᾳ τρεῖς ἡμέρας
τε καὶ νύκτας πεποίηκεν ἀδιάφθορος παντελῶς ὁ προφήτης· ὥστε καὶ αὐτὸν θαυμάσαντα,

existimantes talem virum Deique familiarem in mare temere abiicere, dabant strenue operam, si fieri posset ut ad litus navim appellentes, prophetam exponerent. Sed quum id adsequi nequivissent, graviorque maris aestus fieret, praefati apud Deum rei, quam acturi erant, excusationem, ita demum prophetam in mare deiecerunt.

Quippe ait scriptura: “ exclamaverunt ad Dominum: ne pereamus, Domine, ob huius hominis vitam, neque sanguinem innocuum nobis imputes: quia tu, Domine, prout tibi libitum fuit rem gessisti. „ Ne poenas, inquiunt, de nobis sumas, quasi hominem iustum sine causa in mare iecerimus: nobis enim magnopere in votis erat hominem conservare: sed aliter tibi visum inde constat, quod aucta procella, haud nos sivisti saluti hominis consulere. His pro se apud Deum peroratis, Ionam mari merserunt: atque ilico procellae omnis fervor quievit: unde et gravi terrore correpti sunt vectores, supremi Domini potentia agnita, qui mare pro libito commoverat, eodemque mox libito quietum praestiterat. Exin additur, quod “ et Domino sacrificaverint, et vota conceperint. „ Non quod ibi statim Domino sacra fecerint; neque enim in navi hostias oblaturi erant: sed scriptura significat, vectores illos plane ab idolis defecisse, seque Dei cultui addixisse; fide data, se deinceps in eius famulatu futuros, debitasque victimas immolaturos. Id enim significat vota concipere.

CAP. II.

Porro Ionas mari perdiu iactabatur, donec Deus ceto grandi mandavit, ut naufragum devoraret: cuius in ventre tres dies mansit tresque noctes incorruptus plane propheta; ita ut ipse mirans suam intra cetum incolumitatem et integrita-

ὅτι περ ἀβλαβὴς ἐπὶ τοῦ κήτους πεφύλακται καὶ ἀδιάφθορος παντελῶς, ὡς ἐν οἰκίσκῳ τινὶ
v. 2. μετὰ πολλῆς τυγχάνοντα τῆς ἀσφαλείας, ἐπὶ προσευχὴν ἐτράπη, ἣν ἐκ τῆς κοιλίας τοῦ
v. 3. κήτους ἀνέπεμπε τῷ θεῷ· τὰ δὲ τῆς προσευχῆς ῥήματα τοῦτον ἔχει τὸν τρόπον. " Ἐβόησα
πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας, φωνῆς μου. „
Ἐν βαρυτάτῃ θλίψει τυγχάνων καὶ ἐν αὐτῷ γε τῷ ᾅδῃ γεγονὼς τῇ τῶν κακῶν ἀπογνώσει,
v. 4. ἐβόησά τε πρὸς σὲ καὶ οὐκ ἀπέτυχον τῆς αἰτήσεως. " Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας
θαλάσσης, καὶ ποταμοί με ἐκύκλωσαν· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ'
ἐμὲ διῆλθον. „ Ἀποφυγόντα γὰρ τὴν ὑπουργίαν τὴν σὴν, ἐμπεσεῖν τε τῇ θαλάττῃ πεποίηκας,
καὶ πολλοῦ τινὸς πειραθῆναι τοῦ κλύδωνος· ὑφ' οὗ δὴ ἄγαν ταραττομένης τῆς θαλάττης
v. 5. p. 250. ποταμῶν δίκην ἐντεῦθεν ἐπέῤῥει μοι τῶν κυμάτων τὰ ὕδατα. " Καὶ ἐγὼ εἶπον· ἀπῶσμαι
ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιον σου; „ Ὑπὸ γοῦν
τῆς τῶν κακῶν ἀμηχανίας ἐκβεβλῆσθαι τῆς προνοίας ᾤμην τῆς σῆς, καὶ οὐδεμίαν εἶχον ἐλ-
πίδα λοιπὸν τοῦ γενόμενος ἐν τῷ ναῷ σου τῷ ἁγίῳ τὴν καθήκουσαν ἀποτίσαι σοι θρησκείαν·
v. 6. ἅτε πόῤῥω τε αὐτοῦ τυγχάνων, καὶ βαρυτάτοις περιεσοιχισμένος κακοῖς. " Περιεχύθη μοι
ὕδωρ ἕως ψυχῆς μου. „ Αὐτῆς μου τῆς ψυχῆς καθίκετο τῶν περικεχυμένων ἡ ταραχή.
" Ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. „ Τὸ τελευταῖον ὑπ' αὐτῆς κατεπόθην τῆς ἀβύσσου.
" Ἔδυ ἡ κεφαλή μου εἰς χισμὰς ὀρέων. „ Διαλλάττειν τε οὐδὲν ἐδόκουν ἐμαυτῷ τῶν ἐν
διαιρέσεσιν ὀρέων βαρυτάταις ληφθέντος, εἶτα τῶν ὀρέων ἐπὶ ταυτὸν συνεληλυθότων, οὐδε-
v. 7. μίαν ἀποφυγῆς εὑρίσκοντι λοιπὸν ἐλπίδα. " Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτο-
χοι αἰώνιοι. „ Εἶτα ἐκεῖθεν διεδέξατό με τὸ κῆτος, καὶ γῆν τινὰ οἰκεῖν ἐδόκουν, ἐξ ἧς
ἀποφυγεῖν τῷ κατεχομένῳ δυνατὸν οὐδαμῶς ὑπῆρχεν· ἀβλαβὴς μὲν ἔνδον τῇ θείᾳ προ-
νοίᾳ φυλαττόμενος, τὴν ἐκεῖθεν τε ἔκδυσιν ἥτις ἂν γένοιτο οὐκ εὑρίσκων.

tem, dum ibi ceu in domuncula quadam tute degit, conversus ad preces est, quas ex ceti ventre ad Deum fudit: quarum precum haec verba sunt. " Clamavi ad dominum Deum meum, qui me exaudivit: emissam de ventre inferi clamoris mei vocem auscultasti. „ Gravissima pressura irretitus, atque in ipsis inferis, desperatis scilicet malis, versans, clamavi ad te; neque irrita fuit postulatio mea. " Proiecisti me in profundum maris cor, undaeque me concluserunt; omnes aestus tui fluctusque super me transierunt. „ Qui perfuga eram ab obedientia tua, curasti ut in mare inciderem, ibique ingentem experirer procellam: qua dum mare, fluminis instar, agitatur, ego quidem aquarum vorticibus quaqueversus obruebar. " Et ego dixi, reiectus sum procul oculis tuis. Num denuo videbo templum sanctum tuum? „ His me malis quum expedire nequirem, exclusum me reputabam a providentia tua; nullamque praeterea spem fovebam, fore ut in templum tuum reversus legitima perfungerer religione. Quippe illinc longissime aberam, gravissimis implicitus calamitatibus. " Offusae mihi sunt aquae usque ad animam. „ Circumstantium malorum terrores ad ipsam animam penetraverunt. " Ima me vallavit abyssus. „ Denique gurgite absorptus sum. " Caput meum in fissuras montium demissum est. „ Nihil mihi differre videbar ab iis qui in cavernis montium altissimis detinentur, ita ut coeuntibus in se montibus, nulla spes evadendi reliqua sit. " Descendi infra humum, cuius vectes aeterna retinacula sunt. „ Tum ibi me excepit cetus, intra quem terram quandam videbar incolere, unde evadere detento homini prorsus non licebat. Ceteroqui incolumis intus divino nutu servor, quamquam exitum nullum nanciscor.

« Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρός σε κύριε ὁ θεός μου. » Ἀλλὰ γὰρ μόνης
τῆς σῆς ἐστὶ δυνάμεως τῆς ὑπειλημμένης αὐτόθι φθορᾶς ἀπαλλάξαι μου τὴν ζωήν. « Ἐν v. 8. p. 251.
τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην. » Μικροῦ γὰρ ἀφιεὶς τῇ ἀπορίᾳ
τὴν ψυχὴν, τὴν σὴν ᾔτουν βοήθειαν. « Καὶ ἔλθοι πρός σε ἡ προσευχή μου εἰς ναὸν ἅγιόν σου. »
Αὐτὸς τέ μου δέξαι τὴν προσευχὴν ἐν τῷ ναῷ καθεστὼς τῷ οἰκείῳ, οὐθέν σε τῆς διαστάσεως
τῶν τόπων ἀμύνειν μοι κωλυούσης. « Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγ- v. 9
κατέλιπον. » Οἱ μὲν γὰρ τὴν ναυτικὴν μετιόντες ἐργασίαν, καί τοι γε εἰδώλοις προσέχον-
τες, καὶ περὶ τὴν ἀπάτην ἐκείνην ἠσχολημένοι, ἠβουλήθησάν μου τινὰ ποιήσασθαι φειδώ· νι-
κηθέντες δὲ ὑπὸ τῶν κακῶν, τῆς γνώμης ἀπέστησαν ἐκείνης, ὁρῶντες οὐκ ἐν αὐτοῖς βιωτὸν,
εἰ μὴ τῆς ἐγγύτητος ἀπαλλαγεῖεν τῆς ἐμῆς. « Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογή- v. 10.
σεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτήριον τῷ κυρίῳ. » Ἀλλὰ γὰρ παντα-
χόθεν μόνῃ τῇ χάριτι τῇ σῇ φυλαχθεὶς, καὶ τὴν ἀπαλλαγὴν τοῦ θανάτου λαβὼν, ὕμνους τε
καὶ εὐχαριστίας ἀποτίσω σοι, ὑπὲρ ὧν τῇ προνοίᾳ διασέσωσμαι τῇ σῇ. Τὰ μὲν δὴ τῆς εὐ-
χῆς τοῦ προφήτου ῥήματα ταῦτα· τὸ δὲ κῆτος πνεύματι θείῳ τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηρὰν ἤμε-
σεν, καθὼς ἐδόκει τοῦτο γενέσθαι τῷ θεῷ· τῆς γὰρ ἐσχάτης ἐστὶν ἀνοίας τοσούτων τῶν περὶ v. 11.
αὐτὸν παραδόξως γεγονότων, καὶ μάλιστά γε πάντων τῆς ἐν τῷ κήτει σωτηρίας, τὴν ἐκ τοῦ p. 152.
κήτους ἔξοδον πολυπραγμονεῖν τοῦ προφήτου, λογισμῷ τε οἴεσθαι καταλαμβάνειν ἀνθρω-
πίνῳ, καὶ διὰ φωνῆς τῆς ἡμετέρας λέγειν ὅπως ἐγένετο.

ΚΕΦ. Γʹ.

Μέν τοι γε θεὸς ἐπὶ τῆς ξηρᾶς γεγονότι τῷ προφήτῃ πάλιν ἀπελθεῖν εἰς τὴν Νινευὴ κε- v. 1.
λεύει, καὶ κηρύξαι δὴ ἐκεῖνα ἃ πρόσθεν αὐτῷ εἴρητο παρ' αὐτοῦ· ἀφ' οὗ δὴ μάλιστα δεί- v. 2.

" Utinam se emergat a corruptione vita mea ad te domine Deus meus! „ Tuae profecto tantummodo virtutis est, a tenaci illo exitio eripere animam meam. " Quum iam me desereret spiritus meus, Domini memor fui. „ Quum iam in angustiis animam agerem, tuam poposci opem. " Veniat utinam ad te in templum tuum oratio mea! „ Ipse excepisti preces meas tuo in templo residens; nihil te locorum distantia, quominus mihi ferres opem, prohibuit. " Qui vanitatibus dant operam atque mendaciis, misericordiam dereliquerunt. „ Hi qui nauticam vitam exercent et idola observant, atque eiusmodi fraudulentiis vacant, optarunt quidem mihi quodammodo parcere: verumtamen adversitate victi, de sententia sua decesserunt; certiores facti haud sibi vitam superfuturam, nisi a mea se vicinia seiungerent. " Ego vero cum voce laudis atque praeconii sacrificabo tibi: quaecumque vovi solvam, pro salute recepta, tibi Domine. „ Equidem tua sola gratia servatus et morte ereptus, hymnos tibi et gratiarum actiones reddam, qui curae tuae salutem acceptam fero. Atque haec fuit prophetae oratio. Cetus autem a sancto Spiritu instinctus Ionam in litore evomuit, sicuti Deo visum erat ut fieret. Summae enim insaniae foret, post tot circa Ionam patrata miracula, praecipueque post retentam intra ceti viscera vitam, prophetae demum eodem ex ceto exitum humano ingenio intelligibilem, aut nostra voce explicabilem, reputare.

CAP. III.

Iam ubi in litore propheta stetit, rursum Deus praecepit illi ut Niniven iret, idque ibi praedicaret quod eidem antea in mandatis dederat. Unde potissimum de-

κνυται ὅτι οὐχ ἁπλῶς εἶπεν αὐτῷ κηρύττειν " ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται· ,,
εἰ καὶ μετὰ συντομίας αὐτὸ λέγειν οὕτως ἡ θεία δοκεῖ γραφή· ἀλλ' ὥστε καὶ δηλῶσαι ὅτι ἀπει-
λεῖ ταῦτα συμβήσεσθαι, εἰ μὴ μεταμεληθεῖεν ἀποστάντες τοῦ χείρονος· διὸ φησὶν " κήρυξον
ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν ὃ ἐγὼ ἐλάλησα πρὸς σέ· ,, ἅπασαν αὐτῷ ση-
μαίνων τὴν διδασκαλίαν ἣν ἐπέταξεν ἐν τοῖς πρόσθεν αὐτῷ πρὸς τοὺς νινευίτας ποιήσασθαι.
v. 3. Ὁ μὲν δὴ προφήτης ἅτε τῇ πείρᾳ λοιπὸν σωφρονισθεὶς ἠπείγετο πρὸς πέρας ἀγαγεῖν τὰ
παρὰ τοῦ θεοῦ προσταχθέντα· λέγει δὲ ὅτι ἡ πόλις ἦν μεγίστη τῷ θεῷ· ἵνα εἴπῃ ὅτι τῇ θείᾳ
προνοίᾳ εἰς μέγεθος αὐξηθεῖσα· ὡς διδάξειεν ἂν ἡμᾶς μηδὲν οἴεσθαι δυνατὸν εἶναι κατὰ τὸν
p. 253. βίον τοῦτον εἰς περιφάνειαν καταστῆναι, μὴ θεοῦ παρέχοντος τὴν οἰκείαν κηδημονίαν. " Ἦν
δὲ φησὶν ὡσεὶ ἡ πορεία ὁδοῦ ἡμερῶν τριῶν. ,, Οὐχὶ τὸ μῆκος αὐτῆς τοσοῦτον εἶναι λέγων, ἀλλ'
ὡς τοσούτων ἡμερῶν δεομένους τὴν πᾶσαν αὐτὴν ἐκπεριελθεῖν τε ἐν κύκλῳ καὶ κατιδεῖν οἵα
v. 4. τίς ἐστιν βουλομένους σαφῶς· ἐπάγει γοῦν. " Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν
ὡσεὶ πορείας ἡμέρας μιᾶς· ,, ἵνα εἴπῃ ὅτι εἰσεληλυθὼς εἰς τὴν πόλιν ὁ προφήτης, καὶ κατά
τινος μέρους ἀρξάμενος τῆς πόλεως ἐκπεριῄει τε αὐτήν, καὶ ὡσεὶ μίαν ἡμέραν πεποίηκε
κηρύττων τε καὶ λέγων, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται· καὶ τὰ λοιπὰ δὴ
ὁπόσα λέγειν αὐτὸν καθέκαστον μέρος τῆς πόλεως πρὸς τοὺς παρόντας ἐπὶ διδασκαλίᾳ τῶν
ἀκουόντων ἀκολούθως ἐνῆν.
v. 5. Τούτοις ἐπάγει· " καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ θεῷ· ,, δεικνὺς ὅτι ἐκ τοῦ μέ-
ρους τῆς πόλεως ἀρξαμένου τοῦ προφήτου ποιεῖσθαι τὸ κήρυγμα, εἰς ἅπαντάς τε ὁ λόγος
διεδόθη μετὰ πολλοῦ τοῦ τάχους· καὶ δὴ πάντες ἀναμφίβολον ἐπὶ τοῖς λεγομένοις τὴν γνώμην
δεξάμενοι μετὰ πολλοῦ τοῦ φόβου τοῖς λεγομένοις ἐπείθοντο· δείκνυσι δὲ καὶ τὸ ἐπίστευσαν οἱ
ἄνδρες Νινευὴ τῷ θεῷ ὅτι οὐχ ἁπλῶς τοῦτο μόνον ἔλεγεν ὅτι ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ

monstratur, haud simpliciter Ionae Deum mandavisse ut praedicaret " adhuc tres dies, et Ninive subvertetur; ,, (quamquam id breviter sic videtur scriptura dicere); verum etiam ut minaciter quae eventura erant significaret, nisi paenitentes cives a vitiis recederent. Idcirco ait: " praedica ibi praedicationem, de qua tecum antea locutus sum. ,, Quibus verbis universam illi doctrinam innuit, qua superiore sermone praeceperat ut Ninivitas imbueret. Porro autem propheta experientia rerum iam eruditus festinabat ut Dei iussis obtemperaret. Ait vero scriptura " urbem illam fuisse maximam coram Deo: ,, nempe significat, eam divina providentia fuisse auctam: atque ita nos docet, quominus humanum quicquam putemus in gloriam venire posse, nisi id Deus cura sua dignetur. " Erat autem, inquit, veluti iter trium dierum: ,, haud sane intelligens tantam eius fuisse longitudinem; sed quod tot diebus opus esset ad eam circumeundam, atque ad eiusdem speciem, si quis vellet, curiose observandam. Subdit ergo: " coepitque Ionas progredi intra urbem quasi itinere unius diei. ,, Narrat scilicet, prophetam urbem ingressum, atque in eiusdem parte quadam praedicare orsum, circumisse tamdiu, donec unam veluti insumsit diem praedicans atque dicens: " adhuc tres dies, et Ninive subvertetur; ,, et reliqua quaecumque ab eo dici par erat in singulis urbis partibus ad civium eruditionem.

His addit: " et crediderunt incolae Ninivitae Deo. ,, Coepta per prophetam in quadam urbis parte praedicatione, celeriter admodum inter omnes diditus sermo significatur; ita ut vulgo homines certam ex dictis suscipientes sententiam, consternati magnopere monitis obtemperaverint. Praeterea, quod Ninivitae cives Deo crediderint, id satis indicat, haud simpliciter dixisse prophetam " adhuc tres dies

καταστραφήσεται· οὐ γὰρ ἀπὸ μόνης ταύτης τῆς φωνῆς πιστεύειν εἶχον τῷ θεῷ, ἀνδρὸς ξένου καὶ p. 254.
ἀγνώστου αὐτοῖς παντελῶς τὴν καταστροφὴν μὲν ἀπειλοῦντος, προστιθέντος δὲ οὐδὲν, οὐδ' ὑφ'
ὅτου περ ἀπεσταλμένος εἴη διδάσκοντος τοὺς ἀκούοντας· ἀλλ' εὔδηλον ὅτι καὶ θεοῦ ἐμέμνητο
τοῦ πάντων κυρίου, καὶ ἀπεστάλθαι ἔλεγε παρ' αὐτοῦ· καὶ τὸ κήρυγμα ἐποιεῖτο τῆς καταστρο-
φῆς, πρὸς μεταμέλειαν αὐτοὺς ἐκκαλούμενος· ὧν περ οὖν δεξάμενοι τὴν διδασκαλίαν,
εἰκότως πιστεύειν ἐλέγοντο τῷ θεῷ· οὗ τήν τε ἀπόφασιν καὶ τὴν διδασκαλίαν δεξάμενοι κατὰ
τὴν τοῦ προφήτου φωνὴν πρὸς τὸ κρεῖττον εἶδον· ὥστε καὶ πολλήν τινα καὶ σύντονον τὴν μετα-
μέλειαν ἐπιδείξασθαι· νηστείαν γὰρ ἀνὰ τὴν πόλιν ἐκήρυξαν ὥς φησι, καὶ σάκκους πάντες ἐν-
δυσάμενοι μικροί τε καὶ μεγάλοι πενθικῷ κεχρημένοι τῷ σχήματι, ἵλεω γενέσθαι τὸν θεὸν
αὐτοῖς ἐξῄτουν· ἐπειδὴ δὲ καὶ ἄχρι τοῦ βασιλέως ἐληλυθὼς ὁ λόγος, οὐδὲ ἐκεῖνος ἀμε- v. 6.
λήσας φαίνεται τοῦ πράγματος· ἀλλὰ μικρὰ τοῦ βασιλικοῦ φροντίσας ἀξιώματος, τόν τε
θρόνον ἀφεὶς τὸν οἰκεῖον, καὶ τὴν βασιλικὴν στολὴν ἀποῤῥίψας, σάκκον καὶ αὐτὸς περιθέμενος,
ἐπὶ σποδοῦ καθεζόμενος διετέλει· προστάγματά τε ἑξῆς παρά τε τοῦ βασιλέως καὶ τῶν κατ' v. 7.
αὐτὴν * ἀρχόντων ἐξετέθη τοῦ μὴ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ πρὸς ὑπηρεσίαν αὐτοῖς * ita cod.
τεταγμένα ζῶα παντοίας τε τροφῆς καὶ ποτοῦ διαμένειν ἐκτός· καὶ οὐ μέχρι τούτων ἔστησαν v. 8.
τὴν μεταμέλειαν, ἀλλὰ γὰρ καὶ τῶν πάλαι κακῶς αὐτοῖς πεπραττομένων ἀποστάντες, πάσης τε
τῆς εἰς ἑτέρους ἀδικίας χωρίσαντες αὐτοὺς, σφόδρα γε ἀνέμενον τὸ καὶ τὸν θεὸν ἐφ' οἷς ἀπε-
φήνατο κατ' αὐτῶν μεταγνόντα λῦσαι τὴν ἐξενεχθεῖσαν ἀπόφασιν παντελῶς· τίς γάρ φησιν v. 9.
εἶδεν εἰ μετανοήσει καὶ παρακληθήσεται ὁ θεὸς, καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ
μὴ ἀπολώμεθα; ἅπερ οὖν οὐχ οἷόν τε λέγειν αὐτοὺς μὴ ἐκ τῶν τοῦ προφήτου δεδιδαγμένους
φωνῶν· τοῦτο δὴ καὶ γενέσθαι φησὶν ὁ προφήτης· καὶ ἐπειδήπερ εἶδεν αὐτοὺς ὁ θεὸς ἀπο- v. 10.
στάντας μὲν τῶν χείρων, νεύσαντας δὲ πρὸς τὸ κρεῖττον, ἔλυσε καὶ αὐτὸς τὴν ἀπόφασιν ἥν
περ οὖν ἐξενηνόχει κατ' αὐτῶν.

et Ninive subvertetur. ,, Neque enim ob hanc unam voculam credere Deo poterant, si homo peregrinus ipsisque prorsus incognitus exitium minatus esset, nihil autem praeterea addidisset: neque docuisset auditores, quo mittente venisset. Sed enim exploratum est, prophetam et Dei meminisse omnium domini, et se missum ab eo confirmavisse: et praeconium exitii fecisse, atque ad paenitentiam esse adhortatum: quarum rerum notitia imbuti, merito dicti sunt credidisse Deo; cuius decretum magisteriumque excipientes, prophetae voce nunciatum, ad virtutem resipuerunt, ita ut multae vehementisque paenitentiae signa ediderint. Ieiunium enim per civitatem, ut ait, indixerunt, saccumque omnis aetas induit, lugubri habitu Dei clementiam implorantes. Quumque ad ipsum usque regem sermo devenisset, ne is quidem rem parvi fecit; sed regia spreta dignitate, throno relicto, regalique veste abiecta, saccum et ipse induit, atque in cinere sedit: scriptumque a rege edictum est et a civitatis principibus, ut non solum homines verum etiam iumenta illorum servitio addicta omni pabulo potuque carerent. Neque hactenus illorum paenitentia stetit; sed omni ante actae vitae maleficio omisso, mutuisque imposito iniuriis fine, magnopere sperabant, fore ut ipse quoque Deus paenitens perlatum decretum funditus antiquaret. “ Quis enim, inquit scriptura, novit num forte immutetur mitigeturque Deus, atque ab aestu furoris sui recedat, nobis incolumibus? ,, Quae sane dici ab eis non potuerunt, nisi propheticis vocibus fuissent edocti: id quod reapse factum propheta dicit. Iam postquam eos cognovit Deus vitiis omissis ad virtutem tendere, decretum ipse quoque quod in eos tulerat abrogavit.

ΚΕΦ. Δ'.

v. 1. « Ἐπὶ τούτοις ἐλυπήθη, φησὶν, ὁ Ἰωνᾶς λύπην μεγάλην καὶ συνεχύθη. » Εἰκότως
διεταράττετο γὰρ ὡς ἀπατεὼν καὶ ψεύστου δόξαν μέλλων ἀποφέρεσθαι παρ' αὐτοῖς, ὅτι ὁ
μὲν εἴσω τριῶν ἡμερῶν ἠπείλησεν ἔσεσθαι τὴν καταστροφήν· ἐγένετο δὲ οὐδέν· εἶτα καὶ πρὸς τὸν
v. 2. θεὸν ἀποβλέψας ἔλεγεν. « Οὐχ οὗτοι οἱ λόγοι μου ἦσαν ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ
τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσεῖς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων εἶ καὶ οἰκτίρμων, μα-
κρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. » Σαφῶς γὰρ ἐδήλωσεν ὅτι τοῦτο καὶ
p. 256. τῆς φυγῆς αὐτῷ γέγονεν αἴτιον, τὸ εἰδέναι ὅτι φιλάνθρωπος ὢν, εἰ μεταβαλλομένους ἴδοι,
τὴν ἀπόφασιν πάντως ἀλλάξει τὴν οἰκείαν· ὅτι τε ἐντεῦθεν αὐτῷ περιέσται τὸ ψεύστου τινὸς καὶ
v. 3. ἀπατεῶνος δόξαν λαβεῖν παρ' αὐτοῖς· ὅθεν ἐπάγει. « Καὶ νῦν δέσποτα κύριε λάβε τὴν
ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλόν μοι τὸ ἀποθανεῖν με μᾶλλον ἢ ζῆν με. » Διὰ δὲ τούτου,
φησὶ, τὸν θάνατον αἱρετώτερον κρίνω τοῦ μετὰ δόξης τοιαύτης ζῆν παρὰ τοῖς ἀνθρώποις· ὁ
μὲν οὖν θεὸς ὁ καὶ πρὸς τοὺς μετανοοῦντας φιλάνθρωπος καὶ τοῖς οἰκείοις ἥμερος ἄγαν,
v. 4. ἐντρεπτικῶς ἐπιτιμῶν τῷ προφήτῃ φησὶν « εἰ σφόδρα λελύπησαι; » Ἀντὶ τοῦ ἔοικας ἀθυ-
μεῖν τοσούτων σεσωσμένων· δέον ἀντισηκοῦν τῇ ὑπολήψει τῇ σαυτοῦ τὴν πάντων σωτηρίαν,
καὶ αἱρετώτερον νομίζειν αὐτόν σε τοιοῦτον ὑποληφθῆναι, ἢ τοσούτων ἀπώλειαν γενέσθαι.
v. 5. Ὁ δὲ προφήτης ἐξεληλυθὼς τῆς πόλεως, ἐκαθέζετο κατάντικρυ, σκηνὴν ἑαυτῷ ποι-
ήσας, καὶ ὑπὸ ταύτην διάγων, ἄχρις ἴδοι τί ποτε ἄρα γένοιτο πλέον περὶ τὴν πόλιν· τῆς γὰρ
ἀπειλῆς τὸ μέγεθος ἀναλογιζόμενος ὑπελάμβανε τί τὸ τυχὸν καὶ ἔσεσθαι μετὰ τοῦτο· εἶτα
v. 6. προσέταξεν ὁ θεὸς κολόκυνθαν ἀθρόον ἐκφυεῖσαν, ἅπασαν τὴν σκηνὴν ἐν ᾗπερ ἦν ὁ
p. 257. προφήτης πληρῶσαι σκιᾶς· ὡς καὶ αὐτὸν δοκεῖν οἰκίας τινὸς σκέπην ἔχειν τῷ πλήθει τῶν

CAP. IV.

« His gestis, pergit scriptura dicere, magnum contraxit Ionas maerorem, eique animus perturbatus est. » Neque immerito. Timebat enim ne vani et mendacis opinionem apud Ninivitas acquireret: quandoquidem ipse quidem futurum minatus erat intra tres dies excidium; nihil autem inde consecutum est. Mox Deum suspiciens aiebat: « nonne hic erat sermo meus, dum adhuc in patria regione versarer? ideoque fugam in Tharsis maturaveram; quia te clementem noveram et misericordem, patientem admodum et indulgentem, atque obliviscendis iniuriis facilem. » Perspicue demonstrat hanc sibi fugae causam fuisse, quia mutatum iri decretum noverat, si Deus clementissimus immutari vidisset homines; se vero fallacis hominis ac deceptoris famam aucupaturum. Quare ait: « nunc, potens Domine, spiritum mihi eripe, quia mori mihi quam vivere satius est. » Optabilior enim mihi, inquit, mors est, quam in hac hominum opinione versari. Tum Deus paenitentium amator, suisque admodum mitis, pudorem Ionae incutiens, increpuit dicens: « num tibi magnopere dolet animus? » Nempe maerere videris, quod tanta hominum multitudo conservata sit. Atqui deberes communem salutem aequi bonique consulere prae fama tua; tuique nominis maculam, quam tot hominum exitium, malle.

Tunc urbe propheta egressus, coram resedit, tuguriolo ibi constructo: in quo manens, numquid praeterea civitati fieret, observabat: minarum enim gravitatem secum reputans, existimabat hinc aliquid consecuturum. Mox iussit Deus ut cucurbita repente nata tugurium totum, in quo propheta versabatur, umbra obtege-

φύλλων· καὶ δὴ καὶ τὸν καρπὸν πανταχόθεν ἀθρόον ἐκκρεμάμενον, πλείστην τινὰ παρεῖχεν
αὐτῷ τὴν ψυχαγωγίαν· ἥσθη τοῦτο τὸν προφήτην ὡς εἰκὸς τερφθέντα τῷ παραδόξῳ τῆς τε
θέας καὶ τῆς χρείας τοῦ γεγονότος· ὡς δὲ πολλὴν ἐπὶ τῷ πράγματι τὴν ἡδονὴν εἶχε, καὶ
ἀρκοῦσαν τινὰ κομίζεσθαι τὴν ψυχαγωγίαν ἐντεῦθεν ἐδόκει, ἀθρόον πάλιν ἐπιτάγματι θείῳ v. 7.
σκώληξ ἐγγεγονὼς τῷ φυτῷ ἅπαν ἀθρόον αὐτὸ ἀνήλωσεν τε καὶ ἐξήρανεν παντελῶς· τὸ
γὰρ σκώληκι ἑωθινῇ λέγει, ἵνα εἴπῃ ὅτι ἕωθεν προστάγματι θείῳ σκώληξ ἀθρόον ἐκφυεὶς
ἐπὶ τοῦ φυτοῦ ἀπεξήρανεν ἅπαν· ὥστε ἀνατείλαντος τοῦ ἡλίου σφοδροτάτην αὐτῷ τὴν ἡλιακοῦ
καύσωνος ἐπιπεσεῖν τὴν ἀκτῖνα. “ Λέγει γοῦν ὅτι προσέταξεν ὁ θεὸς πνεύματι καύσωνος v. 8.
συγκαίοντι, καὶ ἐπάταξεν ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ, καὶ ὠλιγοψύχει, καὶ ἀπελέγετο τὴν ψυχὴν
αὐτοῦ· ,, δεικνὺς ὅτι οὐ κατὰ τὸ εἰωθὸς οὐδὲ ὁ καύσων ἐγένετο, ἀλλὰ προστάγματι θείῳ βα-
ρυτάτην αὐτῷ τὴν φλόγα ἔπεμψεν, ὡς ἂν μείζονα τοῦ συμβάντος τὴν αἴσθησιν λαβὼν ἔτι
μᾶλλον ἀλγήσειεν ὁ προφήτης, μικροῦ γοῦν ἀφιέναι τὴν ψυχὴν ὑπὸ τοῦ καύσωνος κινδυνεύων·
τοῦτο γάρ ἐστιν τὸ καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ. Ἔφη πρὸς τὸν θεόν· “ καλόν μοι τὸ
ἀποθανεῖν ἢ ζῆν. ,, Τοιοῦτό τι λέγων ὅτι ψυχαγωγίαν τινὰ τῶν συνεχόντων ἔδοξα κακῶν p. 258.
ἔχειν τὸ φυτόν· εἶτα ἀθρόον τὸ μὲν ἀπελήλυθεν· ἐγὼ δὲ τῇ μοχθηρίᾳ τῆς ὑπολήψεως
προσεκτησάμην τοῦ καύσωνος τὴν βαρύτητα καὶ τὸν ἐνοχλοῦντα κίνδυνον ἐντεῦθεν· πῶς
οὖν οὐ τοῦ ζῆν βέλτιον τὸ ἀποθανεῖν, εἰ τοσούτοις μέλλοιμι παλαίειν κακοῖς;

Διὸ δή φησι πρὸς αὐτὸν ὁ θεός· “ εἰ σφόδρα λελύπησαι ἐπὶ τῇ κολοκύνθῃ; ,, Τούτου v. 9.
δὲ εἰπόντος, ἕως θανάτου λυπεῖσθαι· οὕτως αὐτῷ καὶ ἐράσμιον ἔδειξε τὸ φυτὸν ὁ θεός, καὶ
τὴν ἐπὶ τῇ ἀπωλείᾳ τοῦ φυτοῦ λύπην αὐτῷ μείζονα πεποίηκεν ἐγγενέσθαι, ἐπὶ τῷ παρα-
θέσθαι μειζόνως αὐτοῦ τὴν ἐπὶ τῇ σωτηρίᾳ τῆς πόλεως λύπην ἐλέγξαι κάκιστα γεγενημένην.
Ἐπάγει· “ εἶτα σὺ μέν, φησί, τοσοῦτον ὑπὲρ τῆς κολοκύνθης ἤλγησας, οὐδένα κάματον εἰς v. 10.

ret: quare Ionas putabat quandam se domum habere densitate foliorum circumseptam. Et quidem poma quoque adfatim undique dependentia maximam animo praebebant oblectationem. His, inquam, propheta magnopere laetabatur. Sed enim dum eo miraculo, reique aspectu atque usu fruitur, dum multa ob id voluptate perfunditur, atque hac sibi recreatione beatus videtur; divino repente nutu vermiculus plantae innatus, hanc confestim corrupit atque exsiccavit. Iam hunc vermiculum scriptura matutinum vocat, ut significet genus serpentis matutino tempore Deo volente in arbore geniti, hanc penitus exsiccavisse: ita ut orto mox sole, vehemens in Ionam solaris flammae inciderit radius. Pergit scriptura dicere: “ praecepit Deus spiritui calido urenti ut saeviret in Ionae caput; qui animo concidens, iam vitam respuebat. ,, Ita vero intelligimus haud consuetum hunc fuisse calorem, sed flammam gravissimam divino consilio immissam; cuius causa maiorem solito patiens propheta sensum, vehementius angebatur, parumque aberat, quin vitam amitteret vi caloris. Hoc enim significat “ vitam respuebat. ,, Ait igitur Deo: “ melius mihi mori quam vivere. ,, Quibus verbis hoc quodammodo aiebat: malorum mihi solamen haec planta fuit; sed eadem mox defecit. Ego vero praeter famam pessimam, caloris quoque molestiam et discrimen patior. Quid ni igitur mori malim quam vivere, qui tantis obtundor malis?

Quamobrem ait illi Deus: “ num tu magnopere maeres propter cucurbitam? ,, quo respondente, se mortiferis angi doloribus; (adeo iucundam fecerat prophetae arborem Deus, idemque tantam de illius exitio tristitiam creaverat; ut hoc exemplo maerorem hominis de civitatis salute iniustissimum coargueret;) subdit Deus:

22

τὴν σύστασιν αὐτῆς εἰσενεγκών; ἐν νυκτὶ γὰρ ἀθρόον γεγονυῖα, ἀθρόον ἐν νυκτὶ καὶ τὴν ἀπώ-
v. 11. λειαν δέδεκται· ἐμοὶ δὲ πῶς οὐ πλείονα ἁρμόττον φειδὼ Νινευὴ τῆς πόλεως ἔχειν, τῆς οὕτω
μεγίστης, ὡς δώδεκα μυριάδας αὐτὴν οἰκεῖν ἀνθρώπων οὐκ ἐγνωκότων δεξιὰ ἢ ἀριστερά; „
ἵνα εἴπῃ νηπίων· τοῖς τοιούτοις γὰρ οὐκ ἐγνωκότας δεξιὰ ἢ ἀριστερὰ λέγει, τοὺς διὰ νηπιότητα οὐκ
ἀκριβῆ τῶν πραγμάτων διάκρισιν ἔχοντας, οὐδὲ ἐν ἁμαρτίαις ποτὲ ὡς γεγονότας, ἅτε τῆς
p. 259. ἡλικίας οὐ δεχομένης τοῦτο· λέγει μὲν γὰρ αὐτὸ εἰς ἀπόδειξιν τοῦ πλήθους τῶν οἰκούντων τὴν
πόλιν· ἔνθα γὰρ τοσοῦτο τῶν νηπίων ἦν τὸ πλῆθος, πόσον δὴ τὸ τῶν τελείων ἀνθρώπων ἦν;
τοὺς δέ γε λοιποὺς ἅπαντας παραλιπὼν ὁ θεός, τὸν τῶν νηπίων εἶπεν ἀριθμόν· οἳ ὁμο-
λογουμένως ἐφαίνοντο, οὐκ ὄντες ἄξιοι τοῦ τι κακὸν παθεῖν, ἅτε μηδὲ ἡμαρτηκότες τί τέως·
οὐ γὰρ δή φησιν εἴποις ἂν ὅτι καὶ τοσοῦτον ἀριθμὸν νηπίων οὐδὲν ἡμαρτηκότων ἀπολέσθαι
προσῆκον ἦν· ὥστε κἂν εἰ μὴ τῶν τελείων φειδώ, γοῦν τῶν νηπίων μνησθῆναι μᾶλλον ἐχρῆν,
ἐπὶ τῷ μηδὲν κακὸν τὴν πόλιν παθεῖν. Προσέθηκε δὲ τὸ ‟ καὶ κτήνη πολλά· „ ὡς ἂν καὶ
τούτων ἀβλαβῶν φυλάττεσθαι ὀφειλόντων δικαίως τοῖς ἐπὶ τῆς πόλεως διασωζομένοις τῶν
ἀνθρώπων.

ΕΡΜΗΝΕΙΑ ΜΙΧΑΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

ΚΕΦ. Α΄.

Παραπλήσια τοῖς περί τε Ὠσηὲ καὶ Ἀμὼς καὶ τοὺς λοιποὺς ὁπόσοι ταυτὰ τούτοις προεφήτευσαν, δῆλός ἐστι καὶ ὁ μακάριος προφητεύων Μιχαίας· τὰ γὰρ περὶ τὸν λαὸν ἐσόμενα παρά τε τῶν ἀσσυρίων καὶ τῶν βαβυλωνίων πνευματικῇ κινούμενος τῇ χάριτι καὶ αὐτὸς

‟ tune tantopere cucurbitae causa maeres, qui eidem excolendae nullum laborem impendisti? una enim nocte repente nata, ilico una nocte interitum passa est; me vero cur magis non decuit miserari Niniven, tanti populi civitatem, ut duodecim ibi sint myriades hominum, qui laevam a dextera non discernunt? „ Pueri nimirum infantes intelligendi sunt, qui reapse laevae dextraeque discrimen nullum agnoscunt: quique ob aetatis infirmitatem nulla de re iudicare queunt; ideoque ne culpae quidem obnoxii fuerunt, aetate nondum patiente. Sic autem Deus locutus est ob declarandam incolarum copiam. Ubi enim infantium tantus erat numerus, quantus demum adultorum cogitandus est? Iam ceteris praetermissis, Deus lactentium memoravit numerum, quorum sine dubio propter innocentiam nullum erat poenae meritum. Nemo certe dixerit simplicium parvulorum tantam multitudinem aequo iure fuisse perdendam. Quamobrem etiamsi forte adultorum nullá fuisset miseratio, puellorum utique meminisse oportuit, quò nihil mali urbi fieret. Adiecit Deus, ‟ et iumenta multa; „ ceu si merito haec quoque servari incolumia debuissent, ob civium, quibus erat parcitum, commoditatem.

COMMENTARIUS IN MICHAEAM PROPHETAM.

CAP. I.

Similia Oseae et Amoso et reliquis, quotquot his paria prophetaverunt, apparet beatum quoque vaticinari Michaeam. Etenim eventura populo ab Assyriis atque

προαγορεύειν πειρᾶται, εὐθὺς ἐκ προοιμίων κοινὸν περὶ παντὸς τοῦ Ἰσραὴλ ποιούμενος p. 260.
τὸν λόγον, τῶν τε δέκα λέγω φυλῶν, ὧν τὴν Σαμάρειαν ἐξάρχειν συνέβαινε, καὶ τῶν δύο ὧν
περ οὖν ἡ Ἱερουσαλὴμ ἡγεῖτο· φαίνεται δὲ καὶ κατὰ τοὺς αὐτοὺς καιροὺς προφητεύων ἐκείνοις,
τουτέστιν ἐν ἡμέραις Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου τῶν βασιλέων Ἰούδα. “ Ἐν γὰρ ταύταις v. 1.
ταῖς ἡμέραις γεγενῆσθαι λόγον κυρίου φησὶ πρὸς Μιχαίαν τὸν μωραϊθίτην· „ τουτέστιν ἐνερ-
γείας τετυχηκέναι θείας· τίνος ἕνεκεν; “ ὑπὲρ ὧν εἶδε περὶ Σαμαρείας καὶ περὶ Ἱερου-
σαλήμ· „ ἵνα εἴπῃ παντὸς τοῦ ἰσραηλιτικοῦ λαοῦ, τῆς τε βασιλείας τῶν δέκα φυλῶν, καὶ τῆς
τῶν δύο ὧν περ ἡγεῖσθαι τὴν Ἰούδα συνέβαινε φυλὴν, τῶν ἐκ τοῦ μακαρίου Δαυὶδ κατὰ τὴν πρὸς
αὐτὸν γεγενημένην ἐπαγγελίαν βασιλευόντων αὐτῆς· ὑπὲρ δὴ τούτων καὶ τῶν περὶ αὐτοὺς
ἐσομένων ἐνεργείᾳ θείᾳ τὴν ἀποκάλυψιν δεξάμενος ὁ Μιχαίας λέγει ταῦτα, ἅπερ οὖν
εἰπεῖν ἐπὶ τῆς ἀποκαλύψεως ἐδιδάχθη τῆς θείας, ἀρξάμενος οὕτως. “ Ἀκούσατε λαοὶ πάν- v. 2.
τες λόγους. „ Ἀκολούθως τὸ λαοὶ πάντες, ἵνα εἴπῃ πᾶς ὁ Ἰσραὴλ ὁ ταῖς δύο βασιλείαις
προσήκων· ὅθεν ἐπήγαγε· “ καὶ προσεχέτω ἡ γῆ καὶ πάντες οἱ ἐν αὐτῇ· „ τουτέστιν ἡ ἰσραη-
λιτικὴ χώρα πᾶσα· εἴτ᾽ οὖν οἱ ταύτην οἰκοῦντες, ἄνωθεν ἐκ τῆς πρὸς τοὺς πατέρας ἐπαγ-
γελίας τοῦ θεοῦ δεδομένης αὐτοῖς. “ Καὶ ἔσται κύριος ὁ θεὸς ἐν ὑμῖν εἰς μαρτύριον. „ p. 261.
Διαλέγεται δὲ φησὶν ὑμῖν δι᾽ ἡμῶν ὁ θεὸς, διαμαρτυρίαν τινὰ περὶ τῶν ἐσομένων ποιού-
μενος· ἐπειδὴ πολλάκις ὑμῖν τὰ προσήκοντα διαλεχθεὶς, οὐδὲ μίαν μεταβολὴν δεξα-
μένους ἐπὶ τὸ κρεῖττον εἶδεν· ὡς ἂν φαίνοιτο ὁ μὲν πάντα τὰ πρὸς ὑμετέραν πεποιηκὼς
ὠφέλειαν, ὑμεῖς δὲ οὐδὲν θελήσαντες ἑαυτῶν γενέσθαι βελτίους, ἐφελκυσάμενοι δὲ μόνον ἐφ᾽
ἑαυτοὺς τὰ κακά. “ Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. „ Ἀναγκαία ἡ προσθήκη· ἐπειδὴ γὰρ
πρὸς ἅπαντας κοινῇ διαλέγεται, πολλὴ δὲ ἦν ἡ περὶ τὰ εἴδωλα τῶν δέκα φυλῶν θερα-
πεία, ἐφ᾽ ᾗ καὶ οἴκους κατεσκευάσαντες, ὡς θεοὺς διὰ τῶν εἰδώλων θεραπεύειν ἐπειρῶντο

Babyloniis, spiritali permotus gratia ipse quoque praedicere nititur, statim ab exordio communem de universo Israhele sermonem instituens, de tribubus inquam decem, quarum regni caput erat Samaria, et de duabus quarum metropolis Hierusalem. Patet autem iisdem quibus superiores prophetavisse temporibus, id est diebus Ioathami, Achaazi, et Ezeciae regum Iudae; etenim “ his diebus ait factum esse verbum Domini ad Michaeam moraithitem „ id est se divinam expertum esse operationem. Cur? “ Ob ea quae vidit de Samaria et Hierusalem „ de universo scilicet israhelitico populo, seu de decem tribuum regno, et de duabus quarum principatum tenebat ipsa Iudae tribus, beati Davidis posteris iuxta Dei promissum in ea regnantibus: de quibus eorumque rebus, accepta divinitus revelatione Michaeas haec dicit, quae Deo ut diximus revelante didicerat, sic exordiens. “ Audite verba, populi omnes. „ Consentanee, populi omnes, ut universum Israhelem denotet qui ad regna duo pertinebat. Quamobrem addidit: “ attendatque terra, et omnes qui in ea sunt „ id est israhelitica tota regio, sive eius incolae, quorum illa patribus divino promisso tradita fuit. “ Et erit dominus Deus vobis in testimonium. „ Loquitur vobis per nos Deus, testimonium quoddam rebus futuris dans: ex quo vos saepe ad honesta adhortatus, nullam in melius conversionem perspexit. Quare apparet illum quidem nihil vestrae utilitatis causa non molitum, vos vero nihilo meliores fieri voluisse, sed mala in vos tantummodo provocasse. “ Dominus de domo sancta sua. „ Necessarium additamentum sancta; nam quia generatim omnes alloquitur, multus autem erat apud decem tribus idolorum cultus, cuius causa fanis etiam constructis, daemones honoribus divinis colendos curabant, recte dixit:

τῶν δαίμονας, καλῶς προσέθηκε τὸ κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ· δηλῶν ὅτι κοινῇ πρὸς ἅπαντας ποιεῖται τοὺς λόγους, παρὰ θεοῦ ταῦτα εἰπεῖν ἀπεσταλμένος τοῦ ἐν Ἱερουσαλὴμ τὸν οἶκον ἔχοντος τὸν ἴδιον· ὃν καὶ ἅγιον διὰ τῆς ἐνεργείας ἀπέφηνε τῆς οἰκείας. Εἶτα καὶ προστίθησι.

v. 3. “ Διότι ἰδοὺ κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ· καὶ καταβήσεται καὶ ἐπιβήσεται
v. 4. ἐπὶ τὰ ὕψη τῆς γῆς· καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ· καὶ αἱ κοιλάδες τακήσον-
p. 262. ται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. ,, Προϊὼν
γὰρ ἐκ τοῦ ὄρους ἐκείνου φησὶν ὁ θεὸς, τῆς οἰκήσεως τῆς οἰκείας τόπον ἀπέφηνεν, ἁπάσης μὲν
κατακρατήσει τῆς γῆς τῆς ἰσραηλιτικῆς λέγων, πρὸς ἣν ὁ λόγος αὐτῷ· ἐν ταραχῇ δὲ τοὺς
ἐν αὐτῇ καταστήσει δυνατούς· τούτους γὰρ ὄρη διὰ τὸ ὑπερέχον καλεῖ, καὶ τοὺς λοιποὺς δὲ
ἅπαντας· κοιλάδας γὰρ τοὺς ταπεινοτέρους ὀνομάζει· δίκην κηροῦ πυρὶ προσωμιληκότος
καταναλίσκων αὐτούς· δήλου γε ὄντος ὅτι οὐκ ἐκείνους μὲν σαλεύεσθαι λέγει, τὰς κοιλάδας
δὲ τήκεσθαι, ἀλλὰ κατὰ τὸ ἰδίωμα τὸ ἑβραϊκὸν, ὃ πολλάκις ἐπεδείξαμεν, κατὰ διαίρεσιν λέ-
γων τὸ κοινὸν, ὅτι πάντας καὶ δυνατοὺς καὶ τὸν λοιπὸν δῆμον ἐπελεύσεται ἡ ὀργὴ ἡ θεία,
σαλεύουσα τε αὐτοὺς καὶ ἀφανίζουσα δίκην κηροῦ πυρὶ προσωμιληκότος· κατασπάσει τε
αὐτοὺς εἰς τιμωρίαν, δίκην ὕδατος σφοδροῦ τε καὶ ῥαγδαίου ἐξ ὕψους ἐπὶ τὰ κατώτερα
v. 5. φερομένου· ἡ δὲ τούτων αἰτία “ δι᾿ ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι᾿ ἁμαρτίαν οἴκου
Ἰσραήλ. ,, Εἶτα ἐπάγει. “ Τίς ἡ ἀσέβεια Ἰακώβ; οὐχ ἡ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία
οἴκου Ἰούδα; οὐχ ἡ Ἱερουσαλήμ; ,, Ἐκείνων τε γὰρ ἡ ἀσέβεια δήλη ἐν Σαμαρείᾳ συλλεγο-
μένων ἐπὶ τῇ τῶν εἰδώλων θεραπείᾳ, οὗ δὴ μάλιστα τοὺς ἐπὶ τούτῳ κατεσκευασμένους
εἶχον ναούς· καὶ τούτων δὲ ἡ παρανομία οὐχ ἧττον δήλη, οἱ τὴν Ἱερουσαλὴμ ἔχοντες ἐν ἑαυτοῖς
p. 263. οὐδὲ τὸν ναὸν αἰσχυνόμενοι τῆς τῶν εἰδώλων ἀπείχοντο θεραπείας· εἶτα τὰς τιμωρίας ἀπα-
ριθμούμενος.

Dominus de domo sancta sua: demonstrans se ad omnes communiter verba facere, ob id a Deo missus qui Hierosolymis domum habet suam, quam sanctam propter insitam ei virtutem definit. Postea pergit dicere.

Quia ecce Dominus egreditur de loco suo: et descendet atque ascendet super excelsa terrae. Et commovebuntur montes subter eum, et valles liquescent sicut cera a facie ignis, et sicut aqua quae decurrit in praeceps. ,, Procedens enim ex illo, inquit, monte Deus, habitationis suae locum ostendit, eumque universae Israhelitarum regioni dominari dicit, quam propheta alloquitur. Conturbabit autem proceres eius; hos enim montes ob suam eminentiam appellat; nec non et reliquos omnes: nam valles classem hominum humiliorum nominat. Patet autem haud divisim dicere montes commotos et liquefactas valles, sed hebraico idiotismo quem saepe docuimus, per diaeresim dicit commune, quod nempe omnes proceres reliquamque plebem divina ira corripiet, commovens destruensque cerae more igni admotae: pertrahetque ad poenam instar aquae vehementis impetuose ex alto ad inferiora ruentis. Horum autem causa est: “ propter scelus Iacob haec omnia, et propter peccatum domus Israhelis. ,, Mox addit: “ quodnam scelus Iacob? nonne Samaria? Et quodnam peccatum domus Iudae? nonne Hierusalem? ,, Illorum quidem manifesta erat impietas qui Samariae congregabantur ad idolorum cultum, cuius praecipue causa illic aedificata fana habebant. Sed et horum iniquitas haud minus constabat, qui Hierosolymis templum apud se habentes, hoc despecto, ab idolorum cultu non abstinebant. Deinde punitiones enumerans;

“ Καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν ἀμπελῶνος· καὶ v. 6.
κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω. „ Καταστήσω
δὲ Σαμάρειαν εἰς ἐρήμωσιν πολλὴν, ὥστε χώρας δίκην γεωργεῖσθαι, σκηνάς τε ἐπ' αὐτῆς
θεῖναι ἐπὶ φυλακῇ τῶν καρπῶν· ἀφανιῶ γὰρ αὐτῆς τὰς οἰκοδομὰς παντελῶς ἐκ βάθρων
αὐτὰς ἀνασπάσας· ἀφ' οὗ δὴ πάντως ἕψεται κἀκεῖνα. “ Καὶ πάντα τὰ γλυπτὰ αὐτῆς v. 7.
κατακόψουσι. „ Τότε δὴ καὶ τῶν ματαίων πόνων ἑαυτῶν ὄψονται τὴν ἀπώλειαν, καθαιρού-
μενα ὑπὸ τῶν πολεμίων ὁρῶντες ἃ κατεσκεύασαν εἴδωλα. “ Καὶ πάντα τὰ μισθώματα
αὐτῆς ἐμπρήσουσιν ἐν πυρί. „ Πάντα τὸν κόσμον τὸν περικείμενον τοῖς τε εἰδώλοις καὶ τοῖς
ναοῖς ἀφανιοῦσιν ἐν πυρὶ, ὃν ὥσπερ τινὰ μισθὸν ἐτέλουν τοῖς δαίμοσι. “ Καὶ πάντα τὰ
εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμόν· διότι ἐκ μισθωμάτων πόρνης συνήγαγε, καὶ ἐκ μι-
σθωμάτων πόρνης συνέστρεψε. „ Πορνικῇ γὰρ χρησάμενοι γνώμῃ, καὶ ἀποστάντες μὲν ἐμοῦ,
νεύσαντες δὲ πρὸς τὰ εἴδωλα, μισθώματα τινὰ τῶν ἑαυτῶν ἀθροίζοντες πορνείας, προσέ-
φερον ἐκεῖνα τῇ τῶν εἰδώλων θεραπείᾳ, ἃ δὴ πάντα κατὰ ταυτὸν ἀφανιῶ. “ Ἕνεκεν τούτου v. 8.
κόψεται καὶ θρηνήσει, πορεύσεται ἀνυπόδετος καὶ γυμνή. „ Ἐν θρήνοις ἔσται καὶ κοπετοῖς p. 264.
αἰχμαλωσίᾳ παραδοθεῖσα μεγίστῃ· τοῦτο γὰρ λέγει τὸ γυμνὴ καὶ ἀνυπόδετος, ὅτι οὕτως
αἰχμάλωτος ἀπαχθήσεται, παντὸς ἀφαιρεθεῖσα τοῦ προσόντος αὐτῇ κόσμου. “ Ποιήσεται v. 9.
κοπετὸν ὡς δρακόντων, καὶ πένθος ὡς θυγατέρων σειρήνων· ὅτι κατεκράτησεν ἡ πληγὴ
αὐτῆς· διότι ἦλθεν ἕως Ἰούδα, καὶ ἥψατο ἕως πύλης λαοῦ μου ἕως Ἱερουσαλήμ. „ Τὸ ὡς
δρακόντων καὶ σειρήνων λέγει κατὰ τὸ μυθολογούμενον παρ' ἐνίοις· τοῦτο βουλόμενος εἰ-
πεῖν, ὅτι ἐκεῖνα δὴ τὰ ἐν μύθῳ παρὰ τῶν πολλῶν λεγόμενα, ἐπ' αὐτῶν ὑπομένουσι
τῶν ἔργων, τὴν βαρεῖαν αὐτοῖς ἐπαχθῆναι παρ' ἐμοῦ τὴν πληγὴν, ἥτις ἀπὸ τῆς Σαμαρείας
ἀρξαμένη ἐπὶ τὸν Ἰούδαν μετελεύσεται ἁπτομένη καὶ τῆς Ἱερουσαλήμ· ἐπεὶ κἀκείνην
ὕστερον εἷλον Βαβυλώνιοι.

“ Et ponam Samariam quasi pomorum custodiam, et quasi plantationem vineae: et detraham in voraginem lapides eius, et fundamenta eius revelabo. „ Constituam Samariam in solitudinem vastam, ita ut campi instar in ea agricoletur, et tuguria ibi fiant ob pomorum custodiam: etenim ego aedificia eius omnia destruam a fundamentis evertens; ex quo illa omnia sequentur. “ Et omnia sculptilia eius concidentur. „ Tunc etiam vanorum opificiorum suorum excidium cernent, deleta scilicet cernent ab hostibus quae fabricaverant idola. “ Et omnes mercedes eius igne comburentur. „ Exuretur igne ornatus omnis idolis circumpositus atque templis, quem illi quasi mercedem quandam daemonibus persolvebant. “ Et omnia idola eius ponam in perditionem: quia ex mercedibus meretricis congregavit, et ex mercedibus meretricis convertit. „ Meretricia mente a me recedentes, et ad idola accedentes, mercedes quasdam ex ipsorum coacervantes fornicatione, idolorum cultui offerebant: quae ego omnia simul disperdam. „ Propter hoc planget et lamentabitur, ibit discalceata et nuda. „ In lamentis erit et luctibus captivitati maximae tradita; id enim significant verba, nuda et discalceata; nempe quod hoc modo captiva abducetur, omni suo ornamento spoliata. “ Faciet planctum quasi draconum, et luctum quasi filiarum sirenarum. „ Verba quasi draconum et sirenarum, ait secundum nonnullorum fabulas; dicere volens fore ut illa quae in fabulis apud multos iactantur, ipsi re vera sustineant, dum ego gravem iis poenam imponam, quae a Samaria incipiens, ad Iudam perveniet, et ipsam attinget Hierusalem; quoniam et hanc postremo Babylonii ceperunt.

v. 10. “ Οἱ ἐν Γὲθ μὴ μεγαλύνεσθε, καὶ οἱ ἐν Ἀκεὶμ μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου καταγέ-
λωτα. ,, Ἐπὶ τοὺς περιοίκους τῶν ἐθνῶν τρέπει τὸν λόγον· περὶ ὧν καὶ ὁ μακάριος Ἀμὼς
ἔφη, ὡς τὰ αὐτὰ τοῖς Ἰσραηλίταις πεισομένων ὑπὸ τῶν Ἀσσυρίων κἀκείνων· οἱ τοίνυν, φη-
σὶν, ἐν ἐκείναις ταῖς πόλεσι μὴ μεγάλα φρονεῖτε, τὰς τούτων ὁρῶντες συμφορὰς, μὴ δὲ πο-
λὺν ἐπ' αὐτοῖς ἐγείρετε γέλωτα. “ Γῆν καταπάσασθε εἰς καταγέλωτα. ,, Ἁρμόττον γὰρ
v. 11. p. 265. ὑμῖν καταπάσασθαι κόνιν, ὑπὲρ ὧν ἑτέροις ἔσεσθε γέλως· πῶς καὶ τίνα τὸν τρόπον; “ Κατοι-
κούσης καλῶς, καθελῶ τὰς πόλεις αὐτῆς. ,, Ὅπως γὰρ ἂν νομίσητε εὖ τὰς πόλεις οἰκεῖν
τὰς ἰδίας ὡς ἐν ἀσφαλεῖ καθεστῶτες, ὄψεσθε πασῶν τὴν καθαίρεσιν. “ Οὐκ ἐξῆλθε κατοι-
κοῦσα Αἰνὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. ,, Ἀλλὰ κἀκεῖνοι, φησὶν, ὁρῶντες ἐκ γειτόνων
ὄντας τοὺς Ἰσραηλίτας, καὶ τοιούτοις περιπεπτωκότας κακοῖς, οὐκ ἐβουλήθησαν προελθόντες
τῶν ἰδίων, κοινωνῆσαι τοῦ πένθους αὐτοῖς, ἡδόμενοι δὲ ἐπὶ ταῖς συμφοραῖς αὐτῶν διετέλουν
κἀκεῖνοι. Τί οὖν; “ λήψεσθε ἐξ ὑμῶν πληγὴν ὀδύνης. ,, Ἀλλ' ἐπειδὴ τοῖς ἀλλοτρίοις οὐ
συνηλγήσατε κακοῖς, αὐτοὶ πληγὴν ὀδυνηρὰν δεξάμενοι, δίκην δώσετε τῆς μοχθηρᾶς γνώ-
μης ἐκείνης, καθ' ἣν τοῖς ἀλλοτρίοις ἐφήδεσθε κακοῖς. “ Τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ
v. 12. ὀδύνας; ,, Καὶ γὰρ οὐδὲ οἷόν τε ἀγαθοῦ τινὸς μετέχειν τοὺς ἐν ὀδύναις οἰκοῦντας, διὰ τὸ
μέγεθος τῶν ἐπενεχθέντων αὐτοῖς κακῶν· εἶτα εἰς ἀπόδειξιν τοῦ ῥηθέντος. “ Ὅτι κατέβη
v. 13. κακὰ παρὰ κυρίου ἐπὶ πύλας Ἱερουσαλὴμ, ψόφος ἁρμάτων καὶ ἱππευόντων. ,, Τοσαύτη
γάρ φησιν ἐπὶ πάντας ἔσται ἡ ὀργὴ τοῦ θεοῦ, ὥστε μὴ δὲ τῆς Ἱερουσαλὴμ τότε γενέσθαι φειδὼ
κυκλουμένης ὑπό τε ἁρμάτων καὶ ἵππων καὶ πάσης τῆς πολεμίας χειρός.
p. 266. Εἶτα ἀποστρέφει τὸν λόγον ἐπὶ τὴν Λαχὶς πόλιν οὖσαν τῆς Ἰούδα βασιλείας καὶ πολλῶν
παρανομιῶν μεστὴν, καί φησιν. “ Κατοικοῦσα Λαχὶς, ἀρχηγὸς ἁμαρτίας αὕτη ἐστὶ τῇ θυ-
γατρὶ Σιών· ὅτι ἐν σοὶ εὑρέθησαν αἱ ἀσέβειαι τοῦ Ἰσραήλ. ,, Ἴσθι δὴ καὶ σὺ, φησὶ, τὰ συμ-
βησόμενά σοι κακὰ, ἢ τῇ Ἱερουσαλὴμ (θυγατέρα γὰρ Σιὼν ταύτην ὀνομάζει) ἡγεμὼν

“ Qui in Geth, nolite magnificari; et qui in Acim, nolite reaedificare ex domo in risum. ,, Finitimos populos hic respicit sermo, de quibus etiam beatus Oseas aiebat, fore ut paria Israhelitis ii quoque ab Assyriis paterentur. Qui ergo, inquit, in urbibus illis versamini, ne superbiatis dum Israhelitarum aerumnas spectatis, neque altum cachinnum super his extollatis. “ Terra aspergite derisionem vestram. ,, Congruum vobis aspergite pulverem, quia ceteris risui eritis. Cur, aut quomodo? “ Destruam civitates eius, quae bene habitat. ,, Qui bene creditis civitates vestras habitare, quasi tuto in loco constituti, harum omnium destructionem videbitis. “ Non est egressa habitatrix Aenan, deplorare domum proximam sibi. ,, Illi quidem videntes propinquos suos Israhelitas, tantis malis mersos, his gratulantes perstabant. Quid ergo? “ Accipietis ex vobis plagam doloris. ,, Sed quia alienis non condoluistis malis, ipsi quoque acerbam accipientes plagam, poenas improbae illius mentis dabitis, qua alieni gavisi estis malis. “ Quis faciet bonorum initium, si habitet in doloribus? ,, Profecto fieri nequit, ut ii aliquo bono fruantur, qui in doloribus versantur, incumbente ipsis malorum mole. Mox dicta confirmans: “ quia descenderunt mala a Domino in portas Hierusalem, strepitus curruum et equitatus. ,, Tanta, inquit, ingruet in omnes ira Dei, ut ne Hierosolymis quidem parcendum sit, curribus et equitatu et omni hostili vi obsessis.

Postea sermonem convertit ad Lachis urbem regni Iudae, peccatorum multitudine redundantem, aitque. “ Quae habitas Lachis, princeps peccati haec est filiae Sionis; quia in te inventa sunt scelera Israhelis. ,, Scito et tu, inquit, quae tibi

ἦλθε τῶν κακῶν, οὐδὲν διαλλάττουσα τῆς περὶ τὴν Σαμάρειαν τῇ τῆς ἀσεβείας γνώμῃ. “ Διὰ v. 14
τοῦτο δώσεις ἐξαποστελλομένους ἕως κληρονομίας Γὲθ, οἴκους ματαίους· οἶκοι ματαίων εἰς
κενὸν ἐγένοντο τοῖς βασιλεῦσιν Ἰσραήλ. „ Ὑπὲρ δὴ τούτων τὴν αὐτὴν αἰχμαλωσίαν ὑπο-
μένεις καὶ σύ· τὸ γὰρ δώσεις ἐξαποστελλομένους, λέγει ἀντὶ τοῦ ἀποστέλλεις εἰς αἰχμαλωσίαν,
ἐξ ἑαυτῆς τὰ αὐτὰ μὲν πεισομένη τοῖς τὴν Γὲθ οἰκοῦσιν, πάντων δέ σοι τῶν ἐπ' ἀσεβείᾳ
κατεσκευασμένων οἴκων διαφθειρομένων· ὅνπερ δὴ τρόπον καὶ οἱ κατὰ τὴν Σαμάρειαν διε-
φθάρησαν οἶκοι τῶν εἰδώλων. “ Ἕως τοὺς κληρονόμους ἀγάγω σου. „ Ὑπομένεις δὴ ταῦτα v. 15.
ἐμοῦ τοὺς πολεμίους ἄγοντος, οἳ τῶν σῶν ἀγαθῶν ἔσονται κληρονόμοι. “ Κατοικοῦσα Λά-
χις, κληρονομία ἕως Ὀδολλὰμ ἥξει, δόξα τῆς θυγατρὸς Σιών. „ Οἱ καὶ τὴν Λάχις κτήσον-
ται, καὶ ἄχρις Ὀδολλὰμ τὴν κληρονομίαν ἐκτενοῦσι τὴν οἰκείαν· ἵνα εἴπῃ πᾶσαν καθέξουσι
τὴν γῆν τῆς ἐπαγγελίας· πρὸς οἷς καὶ ἡ ἐπίδοξος εἶναι δοκοῦσα διὰ τὸν ἐν αὐτῇ ναὸν ληφθή- p. 267.
σεται ἡ Ἱερουσαλήμ.

Τινὲς δὲ ἔφασαν πρὸς τὴν Λάχις λέγειν ταῦτα τὸν προφήτην, ὡς τὸν Ἀμεσσίαν ἀνελοῦσαν τὸν βασιλέα· ἐπειδὴ τοῦτο πρῶτον ἐτολμήθη παρ' αὐτοῖς τὸ οἰκεῖον ἀνελεῖν βασιλέα· πρότερόν γε ἐν τῇ τῶν δέκα φυλῶν βασιλείᾳ τούτου γεγονότος πολλάκις· ἔστι δὲ πανταχόθεν μῦθον καὶ πλάσμα τὸ ῥηθὲν ἰδεῖν, εὑρημένον ὑπὸ τῶν τὰς προφητικὰς οὐ νενοηκότων φωνάς· οὔτε γὰρ Ἀμεσσίας πρῶτος ἐκ τῶν τῆς Ἰούδα βασιλευσάντων φυλῆς ἐξ ἐπιβουλῆς ἀνῃρέθη, Ἰώας τοῦ πατρὸς αὐτοῦ πρότερον ἀναιρεθέντος οὕτως, ὡς ἡ τῶν βασιλειῶν ἱστορία δηλοῖ λέ-
γουσα· * ὅτι ἀνέστησαν οἱ δοῦλοι τοῦ Ἰώας, καὶ ἐποίησαν σύνδεσμον, καὶ συνῆψαν ἐπ' αὐτὸν, * IV. Reg. XII. 20.
καὶ ἐπάταξαν αὐτόν· οὕσπερ οὖν καὶ Ἀμεσσίας ὁ τούτου υἱὸς παρελθὼν εἰς τὴν βασιλείαν εἷλεν
ὕστερον, τὸν φόνον ἐκδικῶν τοῦ πατρὸς τοῦ οἰκείου· περὶ οὗ καὶ αὐτοῦ φησί· * καὶ ἐγένετο ὡς ἐκρα- * cap. XIV. 5.
ταιώθη ἡ βασιλεία ἐν τῇ χειρὶ Ἀμεσσίου, ἐπάταξε τοὺς παῖδας αὐτοῦ τοὺς πατάξαντας

evenient mala, quae malitiae dux fuisti urbi Hierusalem (nam filiam Sionis hanc nominat,) nihil differens a Samaria mentis tuae perversitate. “ Propterea dabis emissarios super hereditatem Geth, domos vanas: domus vanorum in vacuum factae sunt regibus Israhelis. ,, Ea propter tu quoque captivitatem sustines: nam dabis emissarios dicit pro, mittis in captivitatem, tui causa paria incolis Geth passura, cunctis quae ad impietatem struxisti aedificiis tibi pereuntibus; quemadmodum apud Samariam quoque deiecta sunt fana idolorum. “ Usque ad heredes tuos te adducam. ,, Haec pateris, me tibi hostes adducente, qui tui erunt heredes. “ Quae habitas Lachis, hereditas usque ad Odollam veniet, gloria filiae Sionis. ,, Hi Lachis ipsam tenebunt, et usque ad Odollam extendent hereditatem suam: id est totam occupabunt promissam regionem. Et super haec, illa etiam gloriosa propter conditum in ea templum, capietur Hierusalem.

Nonnulli dixerunt, haec loqui prophetam contra Lachis, quia regem Amessiam occiderat: nam primo eiusmodi in illa urbe facinus fuit proprii regis occidendi; quum apud decem tribuum regnum id saepe iam accidisset. Atqui hoc totum fabulosum falsumque videre est, ab iis excogitatum qui prophetica verba non intellexerunt. Nam nec primus Iudae tribus regum Amessias proditione fuit interemptus; nam Ioasus pater eius antea hoc modo fuerat extinctus, ut regum historia tradit, dicens: insurrexerunt servi Ioasi, et coniuratione in eum structa, percusserunt eum: quos quidem ipse Amessias, illius filius, regno potitus postea cepit, patrem suum ulciscens: de quo ipso ait scriptura: et factum est, postquam regnum in Amessiae manu confirmatum fuit, percussit servos suos qui patrem ipsius

τὸν πατέρα αὐτοῦ· καὶ τὸν Ἀμεσσίαν δὲ οὐχ οἱ ἐν Λάχις ἀνελόντες φαίνονται· λέγει γὰρ οὕτως·
καὶ συνεστράφη σύστρεμμα ἐπὶ Ἀμεσσίαν ἐν Ἱερουσαλήμ· καὶ ἔφυγεν εἰς Λάχις, καὶ ἐθανά-
p. 268. τωσαν αὐτὸν ἐκεῖ· καὶ ἦραν ἐπὶ τὸν ἵππον, καὶ ἐτάφη ἐν Ἱερουσαλήμ· σαφῶς δηλώσας ὅτι
ἐπανέστησαν αὐτῷ τινὲς ἐπὶ τῆς Ἱερουσαλὴμ, οἳ καταφυγόντα εἰς τὴν Λάχις ἀποστείλαντες
ἀνεῖλον· τοῦτο μὲν οὖν ἄντικρυς φαίνεται πλάσμα· πρὸς δὲ τὴν Λάχις ὁ προφήτης ποιεῖται
τὸν λόγον, ἐξ ἐκείνης ὡς ἀπὸ μέρους τὰ περὶ τὴν Ἰούδα βασιλείαν συμβησόμενα λέγων·
ὃν περ οὖν τρόπον καὶ τὰ περὶ Σαμάρειαν εἶπεν· ὡς ὑπὲρ ἀμφοτέρων καὶ ἑωρακὼς καὶ λέ-
γων, καθὰ τὸ προοίμιον ἐδήλου σαφῶς· πρὸς ἣν ἀκολούθως ὁ προφήτης ἑαυτῷ φησί.
v. 16. “ Ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα σου τὰ τρυφερά· ἐμπλάτυνον τὴν ξύρησίν σου ὡς ἀετὸς,
ὅτι ἠχμαλωτεύθησαν ἀπὸ σοῦ. „ Πενθεῖν γάρ σοι φησὶν ἁρμόττον τὴν αἰχμαλωσίαν τῶν
σῶν· οἱ πρότερον μὲν ὡς ἐν οἰκείοις μετὰ πολλῆς διῆγον τῆς τρυφῆς, νῦν δὲ τῶν τῆς αἰχμα-
λωσίας πειραθήσονται κακῶν· τὸ δὲ πλάτυνον τὴν ξύρησίν σου ὡς ἀετὸς, λέγει ἐπειδὴ ἅπαντα
κατὰ καιρὸν ἀποβάλλειν τοῦτο τὸ ὄρνεον τὰ οἰκεῖα λέγεται πτερά· εἶτα καὶ λέγει κατὰ τὰ εἰωθὸς
τῶν κακῶν τὴν αἰτίαν.

ΚΕΦ. Β΄.

v. 1. “ Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν· καὶ ἅμα
p. 269. τῇ ἡμέρᾳ συνετέλουν αὐτά. “ Ἀντὶ τοῦ διετέλουν τοιαύτας ἐν ἑαυτοῖς συστρέφοντες ἐννοίας,
ἀφ' ὧν τούτοις ἑαυτοῖς ἀπεγέννησαν τοὺς κόπους, ἀνατυποῦντες μὲν ἐπὶ τῆς κοίτης τῆς ἰδίας
τῶν ἀτόπων τὴν ἐργασίαν· ἡμέρας δὲ γενομένης, πέρας τοῖς μοχθηροῖς αὐτῶν ἐπιτιθέντες βου-
v 2. λεύμασι. “ Διότι οὐκ ἦραν πρὸς τὸν θεὸν χεῖρας αὐτῶν· καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρ-
παζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα, καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα

percusserant. Praeterea Amessiam non videntur Lachis cives occidisse. Sic enim scriptum est: et revoluta est contritio adversus Amessiam in Hierusalem, qui fugit in Lachis. Missique sunt post eum homines ad Lachis, qui ipsum ibi interfecerunt, sublatumque in equo, Hierosolymis sepelierunt. Ex quo manifeste ostenditur consurrexisse adversus eum quosdam de Hierosolymis, fugientemque in Lachis missis hominibus occidisse. Sic ergo evidens fabula convicta est. Porro Lachis propheta alloquitur, in eius nomine, tamquam in parte, res Iudae regno eventuras narrans: quemadmodum et de Samaria locutus est; utpote qui de utroque simul regno et visionem viderat et loquebatur, sicut vaticinii exordium perspicue ostendit. Iam de Lachis sic pergit propheta dicere: “ decalvator et tondetor super filios delicatos tuos: dilata calvitium tuum, sicut aquila, quoniam captivi abducti sunt ex te. „ Lugere enim te oportet captivitatem tuorum, qui antea tamquam in patria delicate vivebant, nunc vero captivitatis mala gustabunt. Iam, dilata calvitium tuum ut aquila, ait quia haec avis certo tempore cunctas suas abiicere traditur pennas. Deinceps more suo causam malorum recitat.

CAP. II.

“ Facti sunt cogitantes labores, et operantes mala in cubilibus suis, et luce matutina consummabant ea. „ Id est, has animo versabant cogitationes, unde ipsis hi parti sunt labores, imaginantes in lecto suo protervos actus, et mox illucescente die consilia improba in rem conferentibus. “ Quoniam non extulerunt ad Deum manus suas, et concupiebant agros, et diripiebant virum ac domum eius, virum

καὶ τὴν κληρονομίαν αὐτοῦ. „ Πρὸς μὲν γὰρ θεὸν ἀφορᾶν οὐκ ἐβούλοντο, οὐδέ τινα λόγον τῶν
παρ' αὐτοῦ νενομοθετημένων ποιεῖσθαι· περὶ δὲ τὰς τῶν ἀλλοτρίων ἐπιθυμίας ἠσχολοῦντο, καὶ
τῶν ἀπροστασιάστων καὶ πενήτων διήρπαζον τὰ κτήματα, εἰς ἄτοπον τῇ ἑαυτῶν κατακε-
χρημένοι δυναστείᾳ. " Διὰ τοῦτο τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν v. 3.
ταύτην κακά, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρθοί· ἐξαί-
φνης, ὅτι καιρὸς πονηρός ἐστιν. „ Ὑπὲρ δὴ τούτων ὑμῶν τῶν τε βουλευμάτων καὶ τῶν πράξεων
τοιαύτην ὑμῖν ἐποίσω τιμωρίαν, ἀφ' ἧς οὐδὲ ἀνανεῦσαι ὑμῖν ἔσται δυνατόν· διαμενεῖτε
δὲ συγκεκαμμένοι παντελῶς καὶ κάτω νεύοντες ὑπὸ τοῦ μεγέθους τῶν ἐπικειμένων κακῶν.

" Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ληφθήσεται ἐφ' ὑμᾶς παραβολὴ καὶ θρηνηθήσεται θρῆνος, v. 4. p. 270.
ἐν μέλει λεγόντων· ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν, μερὶς λαοῦ μου κατεμετρήθη ἐν σχοι-
νίῳ· καὶ οὐκ ἦν ὁ κωλύσων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ ἀγροὶ ὑμῶν διεμετρήθησαν. „ Τότε δὴ
θρῆνος ὑμῖν ὀδυνηρὸς ἁρμόσει· τὸ γὰρ ἐν μέλει τοῦτο λέγει, ὃν ποιήσεσθε τὴν ἑαυτῶν θρη-
νοῦντες ταλαιπωρίαν, ὁρῶντες τὴν μερίδα τὴν οἰκείαν, τουτέστι τὴν ὑμῖν προσήκουσαν γῆν ὑπὸ
ἀλλοτρίων κατεχομένην τε καὶ διαιρουμένην, οὐδενὸς ὄντος τοῦ κωλύειν ταῦτα γινόμενα
δυναμένου, τούς τε ἀγροὺς ὑμῶν οὓς ἐκ πλεονεξίας κατεσχήκατε, ὁρῶντες ὑμῶν μὲν ἀφαιρου-
μένους, ἐν διανομῇ δὲ ἑτέροις παραδιδομένους· εἶτα ἐπάγει. " Διὰ τοῦτο οὐκ ἔσται σοι βάλ- v. 5.
λων σχοινίον κλήρῳ. „ Ἐπειδὴ τὸ σχοινίον ἐπὶ τῆς διαμετρήσεως εἴωθε λέγειν, ἀπὸ τῶν ἐν
τῷ μετρεῖν τοῖς σχοίνοις κεχρημένων· ὡς ὅτ' ἂν λέγῃ *, σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατί- * Ps. XV. 6.
στοις· ἵνα εἴπῃ ὅτι διεμετρήθη μοι καὶ ἐπέλαχεν ἐν κλήρῳ τὸ κάλλιστον μέρος τῆς γῆς· τοῦτο
λέγει ὅτι ὄψεσθε τὰ ὑμέτερα ἑτέροις μὲν λαμβάνοντας καὶ διαμετροῦντας, ὑμέτερον δὲ ἐξ
ἁπάντων ὑπάρχον οὐδέν· ἐν ὑμῖν οὖν οὐδεὶς ἔσται μετρῶν, οὐδὲ κλῆρον βάλλων· ἐπειδὴ
πάντα μὲν ὑμῶν ἀφαιρεθήσεται, ἔσται δὲ ἑτέρων· καὶ ὑμεῖς μὲν ἐκ πολλῶν κτημάτων ἔσε-

inquam et hereditatem eius. ,, Namque ad Deum respicere nolebant, neque ullam mandatorum eius rationem habebant, et alienae rei inhiabant, et pauperum ac patrocinio carentium facultates diripiebant, potentia sua ad iniquitatem abutentes. " Propterea haec dicit Dominus: ecce ego cogito super tribum istam mala, ex quibus non auferetis colla vestra, et non ambulabitis erecti subito: quia malum tempus est. ,, Propter vestra haec consilia et actus, talem vobis poenam edicam, ex qua respirare vobis non licebit: sed curvi omnino manebitis et humo proni sub incumbentium malorum pondere.

" Illa die sumetur super vos parabola, et planctus plangetur in cantico, dicendo: miseria miseri facti sumus: pars populi mei funiculo dimensa est, et non erat qui prohiberet eum ut averteretur. Agri vestri divisi fuerunt. ,, Tunc vos acerba lamentatio decebit: nam canticum id denotat, quod cantabitis vestram deplorantes miseriam, portionem vestram videntes, id est vestri iuris regionem, ab alienis occupatam atque divisam, nemine id prohibere valente; et agros quos praepotenter obtinueratis, vobis ereptos cernentes, et alios dominos vestra sibi partientes. Deinde addit. " Ideo non erit vobis iaciens in hereditate funiculum. ,, Quoniam funiculus in dimensione dici solet, quia illo utuntur homines ad dimetiendum; velut ait psalmista: funiculi mihi ceciderunt in optimis; ac si dicat: dimensum mihi fuit, et optima terrae pars hereditati obtigit; idcirco ait: bona vestra cernetis ab aliis capi atque distribui; vobis autem nihil esse reliquum. Sic igitur nemo inter vos erit cui dimetiatur vel sortem iaciat, quia vestra omnia auferentur, et aliena fient. Vos, inquam, ex tot opibus nullius rei possessionem retinebitis, sed omnia in aliorum

p. 271. ὥστε κύριοι οὐδενός· ὄψεσθε δὲ αὐτὰ ὑπὸ τὴν ἑτέρων γινόμενα δεσποτείαν· καὶ ἑτέρους κατ᾽
ἐξουσίαν διανεμομένους τὰ ὑμέτερα.

v. 6. " Ἐν ἐκκλησίᾳ κυρίου μὴ δακρύετε δάκρυσιν, μηδὲ δακρυέτωσαν ἐπὶ τούτοις· οὐ γὰρ
v. 7. ἀπώσεται ὀνείδη λέγων· οἶκος Ἰακώβ, παρώργισεν πνεῦμα κυρίου. „ Μὴ τοίνυν συνιόν-
τες δάκρυσι κεχρῆσθε οὐ μεταμελείας, ἀλλ᾽ ἀλγοῦντες μὲν ἐπὶ τῷ μεγέθει τῶν συμβεβη-
κότων ὑμῖν κακῶν· τρόπον δέ τινα καὶ αἰτίασιν προσάγοντες τῷ θεῷ, καὶ λέγοντες ὅτι οὐκ
ἡμεῖς μόνον θεὸν παρωργίσαμεν, οὐδὲ παρ᾽ ἡμῶν μόνων τὰ ἄτοπα πέπρακται· τί δήποτ᾽
οὖν; ἕτεροι μὲν τὰ δοκοῦντα ποιοῦσιν εἰς ἡμᾶς, ἡμεῖς δὲ πάσχομεν μόνον; οὐδὲ γὰρ ἔσται τι
φησὶν ἐκ τούτων τῶν ῥημάτων ὄφελος ὑμῖν, οὐ δὲ ἐκ τῆς αἰτιάσεως ταύτης διαφεύξεσθε μὲν
τῶν κακῶν τὴν πεῖραν, παύσεσθε δὲ ἐπὶ τοῖς συμβεβηκόσιν ὀνειδιζόμενοι κακοῖς· ταῦτα μὲν
οὖν φησὶ μὴ ποιεῖτε· τί δέ; " Εἰ ταῦτα ἐπιτηδεύματα αὐτοῦ ἐστιν, οὐχὶ οἱ λόγοι αὐτοῦ κα-
λοί εἰσι μετ᾽ αὐτοῦ, καὶ ὀρθοὶ πεπόρευνται; „ Ἐκεῖνο δὲ μᾶλλον ἀποβλέψατε, ὅτι ὁ ταῦτα
ἐπάγων ὑμῖν θεὸς, οὐδὲν παραλέλοιπε τῶν δεόντων· ἀλλὰ καὶ λόγοις ἐχρήσατο τοῖς προσή-
κουσι πρὸς ὑμᾶς· καὶ ἐδίδαξεν ὑμᾶς πολλάκις ἃ δεῖ ποιεῖν· καὶ τῇ μηνύσει τῆς μελλούσης
τιμωρίας ἀποστῆσαι τῆς κακοπραγίας ὑμᾶς ἠβουλήθη· ὑμεῖς δὲ οὐκ ἐθελήσαντες προσέχειν
p. 272. τοῖς λεγομένοις, τὴν τῶν θεοῦ λόγων τὴν ὀρθότητα καὶ τὴν δικαιοκρισίαν ἐπεδείξατε σαφῶς, οἳ
πρότερον μὲν ὑμᾶς βελτιοῦν ἠβούλοντο τῇ μηνύσει, ἐπειδὴ δὲ οὐκ ἐπείσθητε, ἀναγκαίως
ὑμῖν οὐ μεταμεληθεῖσι τὴν ἀλήθειαν ἐπέδειξαν τὴν οἰκείαν.

v. 8. Εἶτα καὶ ἐκτείνων τὴν κατηγορίαν. " Καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη
κατέναντι τῆς εἰρήνης αὐτοῦ. „ Ὑμεῖς δὲ ἄνωθεν ἔχθραν τινὰ καὶ πολεμίαν γνώμην εἵλεσθε
πρὸς ἐμὲ, πείθεσθε μὲν τοῖς λεγομένοις οὐκ ἐθέλοντες, πολεμοῦντες δὲ τῇ οἰκείᾳ εἰρήνῃ
μᾶλλον ἤπερ ἑτέρῳ· τῆς γοῦν ἀπειθείας τῆς ἑαυτῶν κέρδος εἰλήφατε, τὸν παρόντα πόλεμον.

dominatum transire videbitis: alios, inquam, pro suo quaesito iure, bona vestra inter se tribuere.

" In ecclesia Domini nolite flere lacrymis, neque lacrymentur super his: non enim abiiciet opprobria qui dicit: domus Iacob ad iram provocavit spiritum Domini. „ Nolite ergo in coetibus vestris lacrymari sine paenitentia, sed dolentes tantummodo de malorum vestrorum gravitate: et cum Deo propemodum expostulando, dicentes: non nos soli Deum irritavimus, neque nos tantum prave nos gessimus. Quid? Ceteri quidem pro libito nos vexant, nos vero soli passivi? Atqui ex his verbis nullam vos utilitatem capietis: neque ob hanc querelam vitabitis malorum experimentum, atque a maledicendo ob supervenientia mala cessabitis. Haec, inquit, nolite facere. " Si hae sunt ordinationes eius, nonne boni sunt sermones eius cum ipso, rectique procedunt? „ Illud potius considerate, Deum qui talia vobis intulit, nihil debitum omisisse; sed et idoneis verbis vos esse allocutum, et saepe officium docuisse, et futurae poenae praedictione a maleficiis vos retrahere voluisse. At vos dictis auscultare renuentes, verborum Dei rectitudinem et aequitatem manifeste comprobastis, qui primo quidem emendare vos voluit praedictionibus; sed postquam non obtemperastis, necessario vobis non paenitentibus veritatem dictorum suorum comprobavit.

Deinde amplians invectionem, ait. " Et antea populus meus cum inimicitia restitit contra pacem suam. „ Sed vos iam olim inimicitiam quandam, hostilemque adversus me sententiam suscepistis, obedire dictis noluistis, vestraeque pacis magis, quam alterius cuiuslibet, adversarii extitistis. Ergo vestrae contumaciae lu-

" Τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδα, συντριμμὸν πολέμου. ,, Πάντα τὰ
προσόντα τοῖς πένησιν ἀφῃρεῖσθε, καὶ πᾶσαν αὐτῶν ἀγαθὴν ἐξεκόπτετε ἐλπίδα· ὑπὲρ ὧν
δὴ τοῦ παρόντος πολέμου τὴν συντριβὴν καθ' ἑαυτῶν κεκινήκατε· πῶς καὶ τίνα τὸν τρόπον;
" Διὰ τοῦτο οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἀποῤῥιφήσονται ἐκ τῶν οἰκιῶν τρυφῆς αὐτῶν, διὰ τὰ v. 9.
πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. ,, Ἅπαντες γὰρ οἱ ἐξάρχειν δοκοῦντες διὰ τὴν
δυναστείαν ἐν τῷ λαῷ ὑπὲρ τῆς εἰς τοὺς πένητας ἀδικίας, ἐξωσθήσονται τῶν οἴκων οἷς ἐνε-
τρύφων, πλοῦτον ἐκ τῶν πενήτων συλλέγοντες πλεῖστον· οἱ δὲ δίκας τῆς μοχθηρᾶς πράξεως p. 273.
δώσουσι, τὸ ἔξω γενέσθαι τούτων δεσποτείας, ἃ κακῶς προσεκτήσαντο. Τί οὖν; " Ἐγγί- v. 9.
σατε ὄρεσιν αἰωνίοις. ,, Ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις ἕνεκεν ἀκα- v. 10.
θαρσίας· διεφθάρητε φθορᾷ· κατεδιώχθητε, οὐδενὸς διώκοντος. ,, Οὐχ ὑπολέλειπται
τοίνυν ὑμῖν οὐδὲ μάχης πρὸς τοὺς πολεμίους πρόφασις, ὑπὸ θεοῦ παραδεδομένοις διὰ
τὴν μοχθηρίαν τὴν οἰκείαν· ἄπιτε δὲ ἐπὶ τὰ ὅρια τῶν πολεμίων, ἃ πόῤῥωθεν ὑμῖν ηὐτρέ-
πισεν ὁ θεὸς, ὡς ἂν μετ' αἰχμαλωσίας οἰκοίητε ἐν αὐτοῖς· τυχεῖν γάρ σε τῆς ἐνταῦθα
ἀναπαύσεως, τῶν ἀδυνάτων· ἐπειδὴ ὑπὲρ ὧν ἀκαθαρσίᾳ συνεζῆτε πολλῇ κατά τε τὴν
ἀσέβειαν, κατά τε τὴν τῶν πράξεων μοχθηρίαν, τῇ τῶν πολεμίων διαφθορᾷ παρεδόθητε
εἰς ἣν συνελαύνεσθε, οὐκ ἀνθρώπων ὑμᾶς ἀπαγόντων, ἀλλὰ θεοῦ τοῦ τὴν τιμωρίαν ὁρί-
σαντος ταύτην ὑμῖν.

Καὶ τὴν αἰτίαν λέγων τῆς τῶν πεπραγμένων αὐτοῖς διαφθορᾶς " πνεῦμα ἔστησε ψευδές· ,, v. 11.
γέγονε δέ σοι φησὶ πάντων αἴτιον τὸ πιστεύειν τῇ τῶν ψευδοπροφητῶν ἀπάτῃ. " Ἐστάλαξέ
σοι εἰς οἶνον καὶ μέθυσμα. ,, Ἐκείνου γὰρ ἀπεστάλαξέ σοι ταυτηνὶ τὴν τιμωρίαν, ἀφ' ἧς
μεθύοντος διενήνοχας οὐδὲν, τῇ ποικιλίᾳ περιαγόμενος τῶν κακῶν· ἐδείξαμεν ἤδη δὲ ἑτέ- p. 274.
ρωθι ὅτι τὸν οἶνον ἐπὶ τῆς τιμωρίας λέγει. " Καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου συναγό- v. 12.

crum cepistis praesens bellum. " Pellem eius excoriaverunt, ut spem eriperent, contritionem belli. ,, Quicquid fuit apud pauperes eripuistis, omnemque illorum bonam spem praecidistis: quam ob causam belli huius contritionem adversus vos concitastis. Cur, vel quomodo? " Propterea duces populi mei eiicientur ex aedibus deliciarum suarum: propter malas adinventiones suas eiecti sunt. ,, Cuncti qui principari videntur sua in populum dominatione, et in pauperes iniquitate, eiicientur domibus in quibus deliciabantur, ubi plurimas pauperum opes coacervaverant; et hanc nequitiae suae poenam luent, quod earum rerum possessu excident, quas iniuste obtinuerant. Quid ergo? " Propinquate montibus aeternis. ,, Surge et proficiscere, quia non heic tibi requies propter immunditiam: corrupti estis putredine: fugistis, nemine persequente. Vobis itaque ne pugnandi quidem adversus hostes praetextus supererit, quoniam his a Deo ob nequitiam vestram traditi fuistis. Proficiscimini ergo ad hostium fines, quos multo antea vobis paravit Deus, ut illic captivi incolatis: nam te hoc loco diutius quiescere, impossibile est; quandoquidem propter vitae vestrae impuritatem sive irreligiose sive improbe agendo, hostibus vestris ad perniciem traditi estis, ad quam ducemini; haud hominibus vos trahentibus, sed ipso Deo qui hanc vobis poenam decrevit.

Tum causam corruptelae illorum dicens: " spiritus, inquit, statuit mendacium. ,, Causa tibi horum omnium fuit, fidem adhibuisse falsorum prophetarum fraudi. " Stillavit tibi in vinum et ebrietatem. ,, Ex illo tibi instillavit hanc punitionem, qua factus es ebrio similis, malorum variorum multitudine circumactus. Et quidem alibi nos ostendimus, vinum dici a scriptura interdum pro punitione.

μένος συναχθήσεται Ἰακὼβ σὺν πᾶσιν. „ Ἐκ δὲ ταύτης τῆς κακῶς ὑμῖν ἐγγινομένης ἀπά-
της τῶν ψευδοπροφητῶν, ἅπαντες εἰς τὴν παροῦσαν ἠθροίσθητε τιμωρίαν, ἣν οὐδαμῶς διαφυ-
γεῖν ὑμῖν δυνατόν. " Ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ Ἰσραὴλ, ἐπὶ τὸ αὐτὸ
θήσομαι τὴν ἀποστροφὴν αὐτῶν. „ Ἅπαντας τοίνυν ὑμᾶς, τούς τε πρότερον ληφθέντας ὑπὸ
τῶν Ἀσσυρίων, καὶ τοὺς ὕστερον, ἀναμένω τῇ τοσαύτῃ παραδιδομένους τιμωρίᾳ, εἰς ἣν
κατὰ ταυτὸν τῶν τόπων ἀφαιρηθέντες τῶν οἰκείων, ἀποστραφήσεσθε εἰς αἰχμαλωσίαν ἀπαγόμενοι.
" Ὡς πρόβατα ἐν θλίψει, ὡς ποίμνια ἐν μέσῳ κοίτης αὐτῶν ἐξαλοῦνται ἐξ ἀνθρώπων. „
Τοσοῦτο γὰρ ὑμῖν ἐμπεσεῖται δέος ἐκ τῆς ἐφόδου τῶν πολεμίων, ὥστε μηδὲν ὑμᾶς ἀπεοικέναι
προβάτων, ἃ καθεύδοντα ἀθρόον ἐπιστάντος λύκου, εἰς ταραχήν τε καθίστανται καὶ
v. 13. δέος, περὶ τῆς σωτηρίας ἀγωνίαν ἀναγκαζόμενα τῆς οἰκείας. " Ἀνάβηθι διὰ τῆς κοπῆς
πρὸ προσώπου αὐτῶν· διέκοψαν καὶ διῆλθον πύλην, καὶ ἐξῆλθον δι' αὐτῆς· καὶ ἐξῆλθεν
ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν. „ Ἐπειδὴ γὰρ οἱ Βαβυλώνιοι ἐπὶ πολὺ τὴν Ἱερου-
p. 275. σαλὴμ πολιορκοῦντες, μηχανήμασι τὴν πόλιν λαβόντες διένεμον τὸ τεῖχος, οὕτω τε τὴν
εἰς τὴν πόλιν εἴσοδον ἑαυτοῖς πραγματευσάμενοι, ἅπαντας μετὰ τοῦ βασιλέως διὰ τῆς πύλης
ἐπὶ τὴν αἰχμαλωσίαν ἐξήγαγον, τοῦτο λέγει· ἄνιθι δή φησι καὶ ὅρα τὸ τεῖχος σου διατετμη-
μένον, ὃ διακόψαντες οἱ πολέμιοι ματαίαν σοι τὴν ὑποπτευομένην ἐντεῦθεν ἀσφάλειαν
πεποιήκασιν· ἅπαντας γὰρ τοὺς ἐν τῇ πόλει μετὰ τὴν τῶν πεπτωκότων ἀναίρεσιν, διὰ τῆς πύ-
λης, ἣν ἀνάγειν οὐκ ἐβούλεσθε, λαβόντες αἰχμαλώτους ἐξῆλθον, προηγουμένου τῆς αἰχμα-
λωσίας τοῦ βασιλεύειν αὐτῶν πρότερον δοκοῦντος. Καὶ πῶς ταῦτα ποιῆσαι δυνήσονται οἱ
πολέμιοι; " Ὁ δὲ κύριος ἡγήσεται αὐτῶν· „ ἐπειδὴ θεὸς αὐτοῖς ἐν τοῖς καθ' ὑμῶν στρα-
τηγεῖ πολεμίοις. Εἶτα καὶ ὑπὲρ ὧν ταῦτα πείσονται πάλιν λέγων.

" Et erit, de stilla populi huius, congregatione congregabitur Iacob cum omnibus. „ Ob hanc autem male vobis insinuatam a falsis prophetis fraudem, cuncti simul ad hanc adacti poenam fuistis, quam non licet effugere. " Suscipiendo suscipiam reliquos Israhelis, in id ipsum ponam aversionem eorum. „ Cunctos ergo vos tum antea captos ab Assyriis, tum postea, expectabo tali poenae contraditos, ad quam propriis avulsi sedibus avertemini, in captivitatem abrepti. " Sicut oves in tribulatione, quasi greges in medio cubilis sui, exsilient ex hominibus. „ Tantus vobis ingruet pavor ab hostium incursu, ut haud dissimiles futuri sitis ovium quae dormientes, irruente repente lupo, tumultu et consternatione turbantur, de salute sua trepidare coactae. " Ascende per divisionem ante faciem eorum: diviserunt et transierunt portam, et per eam excesserunt: et rex eorum exivit ante ipsos. „ Postquam Babylonii Hierusalem diu obsederunt, expugnataque demum urbe machinis moenia diviserunt, atque ingressu sibi patefacto, cunctos una cum rege per portam in captivitatem expulerunt; hoc ait: ascende, vide murum tuum divisum, quem hostes demolientes vanam tibi speratam ab hoc salutem effecerunt. Omnibus enim in urbe superstitibus, post occisorum stragem captivatis, per portam quam reserare noluistis, exierunt, praeeunte in captivitatem illo qui antea rex eorum esse videbatur. At enim quomodo haec hostes patrare poterunt? " Dominus dux illorum erit. „ Dominus imperatoris vice fungitur apud inimicos vestros. Deinde cur haec patiantur, rursus ait.

ΚΕΦ. Γʹ.

“ Καὶ ἐρεῖ· ἀκούσατε δὴ αἱ ἀρχαὶ τοῦ Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ· οὐχ v. 1.
ὑμῖν ἐστι τοῦ γνῶναι τὸ κρίμα; „ Συμπράξει γάρ φησι καθ᾽ ὑμῶν τοῖς πολεμίοις, ταύτας
ὑμῖν τὰς αἰτίας ἐπάγων, καὶ πρὸς ἅπαντας τούς τε ἐξάρχοντας ἐν ὑμῖν καὶ τοὺς λοιποὺς
λέγων, ὅτι πάντων μάλιστα ὑμᾶς ἐχρῆν διακρίνειν τὸ δέον, καὶ ἀποστρέφεσθαι μὲν τὸ χεῖ-
ρον, αἱρεῖσθαι δὲ τὸ κρεῖττον, ἅτε ἁπάντων μὲν τοῦτο παρ᾽ ἐμοῦ δεδιδαγμένων διά τε τῆς
νομικῆς διατάξεως καὶ τῶν λοιπῶν, ὁπόσα δὴ πρὸς τοῦτο πεποίηκα πολλάκις· ἐπὶ τούτῳ δὲ p. 276.
καὶ τῶν ἀρχόντων εἰς τὴν ἐξουσίαν παρεληλυθότων ταύτην. “ Οἱ δ᾽ ἔτι μισοῦντες τὰ καλὰ, v. 2.
καὶ ζητοῦντες τὰ πονηρὰ, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ᾽ αὐτῶν, καὶ τὰς σάρκας
αὐτῶν ἀπὸ τῶν ὀστῶν αὐτῶν. „ Οἱ δὲ τοὐναντίον ὧν ἐδιδάχθητε διαπράττεσθε, ἀποστρεφό-
μενοι μὲν τὰ καλὰ, ἐργαζόμενοι δὲ τὰ χείρω, καὶ πᾶσαν εἰς τοὺς πένητας τε καὶ εὐτελε-
στέρους ἀδικίαν ἐπιδεικνύμενοι τῷ πάντα τὰ προσόντα αὐτοῖς ἀφαιρεῖσθαι ποικίλως. Τί
οὖν; “ Ὃν τρόπον κατέφαγον τὰς σάρκας τοῦ λαοῦ μου, καὶ τὰ δέρματα αὐτῶν ἀπ᾽ αὐτῶν v. 3.
ἐξέδειραν, καὶ τὰ ὀστᾶ αὐτῶν συνέθλασαν, καὶ ἐμέλισαν ὡς σάρκας εἰς λέβητα, καὶ ὡς
κρέα εἰς χύτραν, οὕτως κεκράξονται πρὸς κύριον, καὶ οὐκ εἰσακούσεται αὐτῶν, καὶ ἀποστρέψει v. 4.
τὸ πρόσωπον αὐτοῦ ἀπ᾽ αὐτῶν ἐν τῷ καιρῷ ἐκείνῳ, ἀνθ᾽ ὧν ἐπονηρεύσαντο ἐν τοῖς ἐπι-
τηδεύμασιν αὐτῶν ἐπ᾽ αὐτοῖς. „ Ἐπειδὴ γάρ φησιν ὑμεῖς πάντα τὰ τῶν πενήτων ἀφῃρεῖ-
σθε, ποικίλως αὐτοὺς ἀδικοῦντες καὶ ἄγχοντες καὶ συντρίβοντες, διὰ τοῦτο τῆς ἐφόδου τῶν πολε-
μίων γινομένης καλέσετε μὲν ὑπὸ τῆς ἀνάγκης τὸν θεὸν, οὐ δὲ μιᾶς δὲ τεύξεσθε τῆς ἐκεῖ-
θεν βοηθείας· ἀλλὰ μὲν εἰ μὴ δὲ προσβλέπειν ὑμῖν αἱρούμενος, παντελῶς δὲ τοῖς κατέχου-
σιν ἐκδιδοὺς κακοῖς, ἐπειδὴ τοιαῦτα ἄτοπα καὶ τοσαύτης ἀδικίας μεστὰ πεπραχόσι σύνοιδεν p. 277.
ὑμῖν· εἰρηκὼς δὲ ἅ τε ἔπραττον, καὶ ἃ πείσονται ὑπὲρ τούτων, τοῖς τῶν ψευδοπροφητῶν πε-
πιστευκότες λόγοις, ἐπ᾽ αὐτοὺς πάλιν τοὺς ψευδοπροφήτας τρέπει τὸν λόγον, καὶ φησί.

CAP. III.

“ Et dicet: audite principes Iacob, et reliqui domus Israhelis: numquid non vestrum est cognoscere iudicium? „ Auxiliabitur, inquit, vestris hostibus, has vobis obiiciens causas, et cunctis principibus vestris, et reliquis, dicens debuisse vos apprime officium vestrum discernere, vitium aversari, virtutem amplecti, quoniam haec omnia ego vos docueram tum legis constitutione, tum aliis quae saepe ob hunc finem edixi. “ Vos autem odio habetis bonum, et appetitis malum, diripitis eorum pelles desuper eis, et carnes ex ossibus eorum. „ Vos vero contrarium doctrinae acceptae facitis, aversantes bonum, perpetrantes mala, totamque vestram in pauperes humilioresque exercentes iniquitatem, cunctas eorum multimodis diripiendo facultates. Quid ergo? “ Sicut populi mei carnes comederunt, et pelles ei detraxerunt, et ossa comminuerunt, et conciderunt sicut carnes in lebete, et sicut carnem in olla; sic ad Dominum clamabunt, qui non exaudiet eos, avertetque faciem suam ab ipsis tempore illo, quoniam nequiter egerunt in adinventionibus suis. „ Quia vos, inquit, omnia pauperibus eripuistis, varie illos fraudantes, opprimentes atque conterentes, ideo facta hostium incursione invocabitis quidem necessitate premente Deum, nullum tamen impetrabitis ab eo auxilium: immo ne respicere quidem vos volet, et instantibus omnino malis contradet, propterea quod tam indigna, tamque plena iniustitiae operari vos cognovit. Iam postquam dixit quae fece-

v. 5. “ Τάδε λέγει κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου, τοὺς δάκνον-
τας ἐν τοῖς ὀδοῦσιν αὐτῶν, καὶ κηρύσσοντας ἐπ' αὐτοῖς εἰρήνην· καὶ οὐκ ἐδόθη εἰς τὸ στόμα
αὐτῶν. ,, Ταῦτα δέ φησι περὶ τῶν ψευδοπροφητῶν λέγει θεός, οἳ διαφόροις τῶν ἑαυτῶν
ἀπάταις ἐξάγοντες τοῦ προσήκοντος τὸν λαόν, μονονουχὶ κατήσθιον αὐτοὺς αὐτοὶ δι' ὧν
ἔλεγον τέ καὶ ἔπραττον, ἐπὶ ταῦτα αὐτοὺς ἐκκαλούμενοι ὑπὲρ ὧν τὴν τοσαύτην ἤμελλον δέ-
χεσθαι τιμωρίαν· διετέλουν γὰρ εἰρήνην αὐτοῖς ἐπαγγελλόμενοι, καὶ ὡς οὐδὲν ὑπὲρ ὧν ἁμαρ-
τάνουσι πείσονται κακὸν, κατὰ τὰ ῥήματα τῶν προφητῶν· ταῦτα δὲ οὐ κατὰ γνώμην τὴν ἐμὴν
ἐπηγγέλλοντο εἰρήνην, ἣν οὐ ἐδιδάχθησαν λέγειν παρ' ἐμοῦ. Ἀφ' ὧν δή τι πεποιήκασιν;
“ Ἡγίασαν ἐπ' αὐτῶν πόλεμον. ,, Ἐπαγγελλόμενοι γὰρ εἰρήνην, πόλεμον αὐτοῖς ἐπήγγ-
v. 6. ειραν, ὃν ἀφώρισαν εἰς τὸ κατ' αὐτῶν γενέσθαι. “ Διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ ὁράσεως,
καὶ σκοτία ὑμῖν ἔσται ἐκ μαντείας· καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας, καὶ συσκοτάσει
v. 7. p. 278. ἐπ' αὐτοὺς ἡ ἡμέρα· καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια, καὶ καταγελασθήσονται
οἱ μάντεις, καὶ καταλαλήσουσι κατ' αὐτῶν πάντες αὐτοί· διότι οὐκ ἔσται ὁ ἐπακούων αὐτῶν. ,,
Ὑπὲρ δὴ τούτων ὧν ὁρᾶν τε καὶ μαντεύεσθαι προσεποιοῦντο τὸν λαὸν ἀπατῶντες, σκοτίᾳ αὐτοί τε καὶ οἱ πειθόμενοι περιβληθήσονται πάντες· ὥστε αὐτοῖς μὴ δὲ τὸν ἥλιον φαίνειν δοκεῖν ὑπὸ τοῦ μεγέθους τῶν κακῶν ἐσκοτισμένοις· αὐτοί τε γὰρ οἱ τὰ τοιαῦτα ὁρᾶν τε προσποιούμενοι καὶ λέγειν, αἰσχύνῃ περιβληθήσονται, τῶν πραγμάτων ἐναντίων οἷς ἔφασκον δεικνυμένων· γέλως τε πολὺς ἐπ' αὐτοῖς παρὰ πάντων γενήσεται, οὐδενὸς οὐδὲ προσέχειν ἐπὶ τοῖς παρ' αὐτῶν λεγομένοις ἐθέλοντος, διὰ τὸ τῇ πείρᾳ μαθεῖν ὅσων αὐτοῖς διὰ τῆς ἀπάτης τῆς ἰδίας γεγόνασιν αἴτιοι κακῶν.

v. 8. “ Ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος ἐν πνεύματι κυρίου, καὶ κρίματος καὶ δυνα-
στείας τοῦ ἀπαγγεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ, καὶ τῷ Ἰσραὴλ ἁμαρτίας αὐτοῦ. ,, Ἐγὼ

rint, et quae sint propterea passuri, quia falsorum prophetarum verbis crediderunt, contra ipsos denuo falsos prophetas sermonem convertit, et ait.

“ Haec dicit Dominus super prophetas, qui seducunt populum meum, qui mordent dentibus suis, et praedicant eis pacem: atqui haec tradita non est ori eorum. ,, Haec de falsis prophetis dicit Deus, qui multifariam fraudibus populum ab honesto abducentes, eum propemodum vorant fabulationibus suis et actibus, ad ea illos provocantes quorum causa punitioni fient obnoxii. Constanter autem pacem illis nunciabant, et quod peccatorum suorum causa nihil mali forent passuri, iuxta verba prophetarum. Sed enim haud sincera mente loquentes, pacem meam nunciabant, quam promittere edocti a me non fuerant. Unde quid confecerunt? “ Sanctificaverunt super eos bellum. ,, Dum pacem nunciant, bellum ipsi concitarunt, quod contra eos fieri definierunt. “ Propterea nox vobis ex visione erit, et tenebrae vobis erunt ex divinatione: et occumbet sol super prophetas, et obtenebrabitur super eos dies. Et confundentur qui vident somnia, et risui erunt arioli, et obtrectabunt iis omnes; quia non erit qui illos audiat. ,, Pro eo quod se videre et divinare, populum decipientes, simulabant, tenebris ipsi et eis credentes cuncti obruentur: adeo ut ne sol quidem splendere eis visurus sit magnitudine malorum obtenebratis: et hi qui eas visiones videre et narrare simulant, pudore suffundentur, rebus contra illorum adfirmationem testantibus: tum et multus de iis risus existet, nemine iam verbis eorum praebere aurem volente; postquam experimento didicerunt, quantarum eis aerumnarum, fraude sua, causa extiterint.

“ Verumtamen ego repletus sum fortitudine in spiritu Domini, et iudicio ac

δὲ πᾶσαν ἐκείνην τὴν ἀπάτην ἀφεὶς, πνεύματος ἁγίου πλήρης γεγονὼς, διακρίνειν τὸ ἐπί-
σταμαι τὸ δέον, καὶ μετὰ πολλῆς τῆς ἰσχύος καὶ τῆς παῤῥησίας προάγομαι, τὸν λαὸν ὑπὲρ ὧν
ἥμαρτέ τε καὶ ἠσέβησεν ἐλέγχειν, εἰδὼς ὅτι τοῦτο αὐτοῖς λυσιτελήσει μᾶλλον εἰς σωφρονι-
σμὸν, τῇ τε μνήμῃ τῶν ἁμαρτηθέντων καὶ τῇ ἀπειλῇ τῶν ἐσομένων, πρὸς τὸ δέον ἐνάγεσθαι
δυναμένοις. " Ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου v. 9. p. 279.
Ἰσραήλ. „ Ὑπὲρ δὴ ταῦτα τούτου φησὶ κοινὸν πρός τε τοὺς ἡγουμένους καὶ τοὺς λοιποὺς
ἅπαντας ποιοῦμαι τὸν λόγον, ὀνειδίζων ὑμῖν τὰ πεπραγμένα· ποῖα δὴ ταῦτα; " Οἱ βδε-
λυσσόμενοι κρίμα, πάντα τὰ ὀρθὰ διαστρέφοντες. „ Οἱ τὸ μὲν κεκριμένως διαγινώσκειν
ἐκ τοῦ κακοῦ τὸ κρεῖττον ἀποστρεφόμενοι, ἐν διαβολῇ δὲ τιθέμενοι καὶ τὰ παρ' ἑτέρων λεγό-
μενά τε καὶ πραττόμενα εἰς δέον, ὥστε καὶ τοῖς ἡμῶν προφητῶν ἀπειθεῖν λόγοις. " Οἱ οἰ- v. 10.
κοδομοῦντες Σιὼν ἐν αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. „ Πεπληρώκατε πᾶσαν αὐτὴν
φόνων καὶ ἀδικίας. " Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ v. 11.
ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν κύριον ἐπανε-
παύοντο λέγοντες, οὐχὶ κύριος ἐν ἡμῖν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. „ Οἱ μὲν
γὰρ ἐξάρχοντες οὐδένα τοῦ δικαίου ποιεῖσθαι λόγον ἐθέλοντες, χρημάτων ἐν ταῖς κρίσεσιν ἐπώ-
λουν τὸ δίκαιον· οἱ δὲ ἐν τῷ ἱερατεύειν καθεστῶτες, ἐξ ἀδικίας χρήματα τῇ προφάσει
τῆς ἱερατείας, ὥσπερ τινὰς μισθοὺς συλλέγειν ἐπειρῶντο· καὶ μὴν καὶ οἱ ψευδοπροφῆται τοῖς
χρήμασιν ἡδόμενοι πρὸς τὸ κεχαρισμένον τοῖς παρέχουσι τὰς μαντείας ἐποιοῦντο· εἶτα
τοσαῦτα ἐργαζόμενοι κακὰ, προσεποιοῦντο τῷ θεῷ ἑαυτοὺς ἐπιτρέπειν, θεὸν ἐν ἑαυτοῖς p. 280.
ἔχειν λέγοντες· καὶ οὐχ οἷόν τε εἶναι τοιούτων ἠξιωμένους, πειραθῆναι τῶν κατὰ γνώμην θεοῦ παρ'
ἡμῶν μηνυομένων κακῶν. Τί οὖν;
" Διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ εἰς ὀπωροφυ- v. 12.

potestate, ut annuntiem Iacob impietates eius, et Israheli peccata eius. „ Ego vero omni illa fraude exclusa, spiritu divino plenus, discernere honestum valeo, multoque cum robore ac fiducia pergo populum de peccatis atque impietatibus coarguere; sciens id illis ad emendationem profuturum, quia peccatorum memoria et futuri comminatione ad bonam frugem perduci poterunt. " Audite haec, duces domus Iacob, et reliqui domus Israhelis. „ De hoc, inquit, communem orationem ad duces reliquosque omnes habeo, facta vestra vobis exprobrans. Quaenam vero haec? " Qui abominamini iudicium, et omnia recta pervertitis. „ Qui a malo bonum distinguere recusatis, calumniantes insuper aliorum recte dicta et facta, usque adeo ut ne nostris quidem, qui prophetae sumus, verbis credatis. " Qui aedificatis Sionem in sanguinibus, et Hierusalem in iniquitatibus. „ Qui eam replestis caedibus et iniustitia. " Principes eius cum muneribus iudicabant; et sacerdotes eius cum mercede respondebant; et prophetae eius cum argento divinabant, et super Dominum requiescebant dicentes: nonne Dominus in nobis est? non venient super nos mala. „ Principes nullam aequi iuris rationem habere volentes, vendebant id in iudiciis. Tum et sacerdotes, pecuniam iniustam, sacerdotii praetextu, ceu mercedes quasdam colligere nitebantur. Denique falsi etiam prophetae, pecunia delectati, ad gratiam vaticinia edebant donantibus. Talibus vero ac tantis onerati peccatis, simulabant se Deo addictos, Deumque in se habere: nec fieri posse aiebant ut tanto Dei munere praediti, mala illa experirentur umquam, quae a nobis prophetis portenduntur. Quid ergo?

" Ideo, vestri causa, Sion quasi ager arabitur, et Hierusalem quasi custodia

λάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ. „ Ἐπειδὴ τοίνυν τοῖς μὲν ἡμετέροις
ἀπειθεῖτε λόγοις κατὰ γνώμην θεοῦ γιγνομένοις, τοῖς ψευδοπροφήταις δὲ προσέχοντες τοσ-
αύτας ἀσεβείας τε καὶ παρανομίας καθ' ἑκάστην ἅπαντες ἡμέραν ἐπιτελεῖτε, διὰ τοῦτο
εἴσεσθε τῶν ἡμετέρων λόγων τὴν ἀλήθειαν, καὶ ὅτι τοσαύτη τις ἐρημία καταλήψεται τότε
Σιὼν ὄρος καὶ τὴν ἐπ' αὐτοῦ πόλιν, ὡς τὸ μὲν ἀγροῦ δίκην γεωργεῖσθαι, τὴν δὲ σκηνῆς διαλ-
λάττειν μηδὲν ἐπὶ ὀπωρῶν φυλακῇ κατεσκευασμένης, τῶν οἰκοδομημάτων αὐτῇ παντα-
χόθεν κατερριμμένων, πᾶν τε συντόμως εἰπεῖν τὸ ὄρος ἐν ᾧπερ ὁ τοῦ θεοῦ οἶκος ἐστὶν,
οὐδὲν διοίσει τόπου συμφύτου, τοσούτων ἐκ τῆς ἐρημίας ἀναδιδομένων αὐτόθι φυτῶν. Ἀλλὰ
γὰρ ἄχρι τούτου τὰς ἐπαγομένας αὐτοῖς συμφορὰς εἰρηκὼς, λέγει λοιπὸν καὶ οἷα τὰ περὶ
αὐτοὺς μετὰ τὴν ἅλωσιν ἔσται· ὅσην τε ἕξει τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν· ὅπερ οὖν εἰωθὸς
p. 281. ὂν τοῖς λοιποῖς προφήταις, καὶ τῷ μακαρίῳ Δαυὶδ πολλάκις ἐδείξαμεν, τὸ μηνύειν μετὰ
τὴν τῶν χαλεπῶν πεῖραν τὰ ἡδέα, εἶτα πάλιν λέγειν τὰ λυπηρὰ, ἵνα τῇ συνεχείᾳ τῆς μνή-
μης δι' ἀμφοτέρων αὐτοὺς παιδεύωσι, σωφρονίζοντες μὲν τῇ μνήμῃ τῶν λυπηρῶν, προ-
τρεπόμενοι δὲ τῇ μηνύσει τῶν χρηστοτέρων τῆς ἐλπίδος ἀντέχεσθαι τῆς θείας· λέγει τοίνυν.

ΚΕΦ. Δ'.

v. 1. “ Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος τοῦ οἴκου κυρίου, ἕτοιμον ἐπὶ
τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν· καὶ σπεύσουσιν ἐπ' αὐτὸ
v. 2. λαοὶ, καὶ πορεύσεται ἔθνη πολλά· καὶ ἐροῦσι, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ
εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ· καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις
v. 3. αὐτοῦ· ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ· καὶ κρινεῖ ἀνὰ
μέσον λαῶν πολλῶν, καὶ ἐλέγξει ἔθνη ἰσχυρὰ ἕως μακράν. „ Ἀλλὰ γὰρ μετὰ τὴν πεῖραν

pomarii erit, et mons templi quasi lucus in saltu. „ Quoniam itaque nostris discreditis verbis, quae ex Dei sententia protulimus, et falsis prophetis auscultantes, tot iniquitates ac praevaricationes quotidie committitis; propterea nostrorum verborum veritatem cognoscetis; quia tanta tunc in Sione monte et in imposita ei civitate solitudo fiet; ut ille quidem agri instar arandus sit, haec autem haud dissimilis futura sit tugurio custodiendis pomis erecto; urbanis nempe aedificiis ubique prostratis: atque ut compendio dicam, mons in quo domus Dei est, nihil a plantato loco differet, tot illis propter solitudinem pullulantibus plantis. Iam vero narratis hactenus inflictis Israhelitis poenis; dicit deinceps res eorum post capturam futuras; nimirum quantam habituri sint in melius conversionem. Quem morem fuisse reliquorum prophetarum, nominatimque beati Davidis, saepe ostendimus: nimirum praedicendi post aerumnarum cruciatum iucunda: deinde rursus tristia dicendi, ut hac continua memoria, utroque modo eos erudirent, corripientes tristium mentione, hortantes autem nuncio rerum benigniorum, spem erga Deum fovere. Dicit ergo.

CAP. IV.

“ Et erit novissimis diebus conspicuus mons domûs Domini, praeparatus in verticibus montium, et sublimis super colles. Et prorperabunt ad eum populi, pergentque gentes multae, et dicent: venite, ascendamus in montem Domini, et ad domum Dei Iacob. Et demonstrabunt nobis viam eius, et ibimus in semitis eius: quia de Sione egredietur lex, et verbum Domini de Hierusalem. Et iudicabit inter

τῶν κακῶν ἐν ἧπερ γενήσονται πρότερον μὲν ὑπὸ Ἀσσυρίων αἰχμαλωτισθέντες, ὑπὸ Βαβυλωνίων δὲ ὕστερον, τοσαύτη μεταβολὴ περὶ τὸν τόπον γενήσεται τοῦτον, ὥστε περιφανὲς ἅπασι τὸ ὄρος γενέσθαι, ἐν ᾧπερ οἰκεῖν ἐπείληπται θεός, ἁπάντων τε ὑπερκείμενον δειχθῆναι τῶν ὀρέων καὶ πλεῖστον ὅσον ὑπεραῖρον πάντα μὲν ὄρη, πάντας δὲ βουνοὺς, διὰ τὴν ἐκ τῆς θείας κηδεμονίας ἐν αὐτῷ γινομένην δόξαν· συναχθήσονται δὲ πολλοὶ πολλαχόθεν καὶ τῶν ἀλλοτρίων ἐπειγόμενοι τοῦτο δὴ τοῦ θεοῦ καταλαβεῖν τὸ ὄρος, ἐν ᾧπερ οἰκεῖν δοξάζεται p. 282. θεός· ἐνταῦθα τε παιδευθῆναι ὃν δὴ τρόπον προσῆκεν αὐτοὺς πολιτεύεσθαι, ὅπως τε βιοῦν κατὰ τὸ δέον· ὥστε νόμον εἶναι καὶ τοῖς ἑτέροθι τὸν ἐνταῦθα κρατοῦντα νόμον, φωνῆς τε θείας δοκεῖν ἀκούειν ἅπαντας ἀφ' ἧς προσῆκεν τοῖς Ἱερουσαλὴμ πολιτεύεσθαι νομίμοις· ταῦτα δὲ οἰήσονται δικαίως, ὁρῶντες τοῦ θεοῦ τὴν δύναμιν ἣν ἐπιδείξεται, πολλοὺς τῶν κακῶς διατεθεικότων ἡμᾶς ὑπὸ τὴν κρίσιν ἄγων τὴν οἰκείαν, ἐλέγχων τε καὶ τοὺς ἄγαν εἶναι δοκοῦντας ἰσχυρούς, κἂν εἰ πόρρωθεν εἶναι δοκοῖεν, ὑπὲρ ὧν εἰς ἡμᾶς πεπλημμελήκασι, καὶ δὴ καὶ τιμωρίαν αὐτοῖς ἐπάγων τῶν τετολμημένων ἀξίαν.

Ἐθαύμασα δὲ τοὺς εἰρηκότας λελέχθαι μὲν ταῦτα τῷ προφήτῃ ἐπὶ τῶν περὶ τοὺς Ἰσραηλίτας ἐσομένων, ἐπειδὰν ἐπανάγεσθαι μέλλωσι τῆς Βαβυλῶνος, φήσαντας δὲ τύπον αὐτὰ τινὰ καὶ τῶν κατὰ τὸν δεσπότην ἔχειν Χριστόν· οὓς ὅτι μὲν τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τοῦ λαοῦ σημαίνεσθαι ἔφασαν ἐν τούτοις, ὡς κάλλιστά γε εἰρηκότας ἐπαινῶ· ὅτι δὲ τύπον τινὰ τῶν κατὰ τὸν δεσπότην ἔχει Χριστὸν, οὐκ οἶδα ὅπως προήχθησαν εἰπεῖν, δήλου γε ὄντος ὡς ἅπας τύπος μίμησιν ἔχει τινὰ πρὸς ἐκεῖνο οὗπερ λέγεται τύπος· τὸ δὲ ἐκ Σιὼν ἐξελεύσεσθαι νόμον, καὶ λόγον κυρίου ἐξ Ἱερουσαλὴμ, πολύ γε ἀφέστηκεν τῆς τοῦ Χριστοῦ διατά- p. 283.
ξεως, ὃς σαφῶς εἴρηκε πρὸς τὴν Σαμαρεῖτιν· * πίστευέ μοι γύναι, ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν * Ioh. IV. 21.
Ἱεροσολύμοις, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ πατρί· καὶ τὴν αἰτίαν λέγων, πνεῦμα

populos multos, et arguet gentes fortes usque in longinquum. ,, Verumtamen postquam mala perpessi fuerint, primo quidem ab Assyriis captivati, deinde a Babyloniis; tanta fiet hoc in loco rerum conversio, ut conspicuus omnibus futurus sit mons, in quo Deus habitare elegit, et cunctis sublimior montibus plurimumque hos excedens, omnesque colles, propter manifestatam divinae tutelae in eo gloriam. Multi quoque extranei multis ex locis concurrent ad hunc Dei montem, in quo videlicet habitare Deus creditur: ut hinc doceantur quomodo eos componere mores oporteat, et ex norma honestatis vivere: ita ut lex fiat etiam extraneis, illa quae hoc loco regnat lex; putentque omnes se Dei vocem audire, qua iubentur secundum instituta civitatis Hierusalem vivere. Sic autem merito existimabunt, spectantes evidentem Dei potentiam, dum multos ex iis qui male nobis fecerunt ad suum iudicium pertrahit, arguitque validissimos etiam, quantumvis procul abesse videantur, ob illatas nobis iniurias; poenasque illis imponit facinoribus ipsorum dignam.

Miror autem eos qui adfirmarunt, dicta haec a propheta de rebus Israhelitis eventuris, postquam Babylone reversi fuissent; addentes etiam, typum quendam eas fuisse rerum sub Christo domino gerendarum. Atqui hos ego, quatenus populi reditum Babylone his verbis designari aiunt, ceu optime dicentes laudo. Quod autem typus quidam in iisdem lateat rerum Christi domini, haud scio quomodo id adfirmare animum induxerint: constat enim typum imitationem esse quandam eius rei, cuius esse dicitur typus; dictio autem: de Sione egredietur lex, et verbum Domini de Hierusalem, multum abest a Christi propositione, qui disertis verbis Samaritanae dixit: mulier, crede mihi, quia venit hora, quando neque Hierosolymis, neque

ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· σαφῶς γὰρ ἀπεφήνατο καταλυθήσεσθαι τὴν περὶ τὸν τόπον ἀκριβολογίαν παντελῶς, καὶ μηδένα λόγον ἔσεσθαι τοῦ ἐν Ἱερουσαλὴμ μᾶλλον ἢ ἑτέρωθι προσκυνεῖν· ἐπειδὴ ἅπαντες παιδευθέντες ἀσώματον εἶναι τὸ θεῖον, μετὰ τοιαύτης αὐτῷ προσκυνεῖν μέλλουσι τῆς διανοίας· ὡς ὅπου ποτ' ἂν αὐτὸ διαπράττωνται, οὐδὲν ἀλλοιότερον ποιοῦντες· περὶ μὲν δὴ τῆς ἐπανόδου τῆς ἀπὸ Βαβυλῶνος ἁρμοττόντως λέγοιτο ἂν ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, ἐπειδήπερ ἀπεδόθησαν Ἰσραηλῖται τότε τῷ τόπῳ τῷ Σιὼν, ὥστε κατὰ τὴν νομικὴν διάταξιν, τὴν διατεταγμένην θρησκείαν αὐτόθι πληροῦν, ἣν ἑτέρωθί γε ὄντες πληροῦν οὐκ ἠδύναντο· ὡς καὶ λέγειν ἐπὶ τῆς Βαβυλῶνος ὄντας, πῶς ᾄσομεν τὴν ᾠδὴν
* Ps. CXXXVI. 4. κυρίου ἐπὶ γῆς ἀλλοτρίας *; τύπον δέ γε πῶς ἂν ἔχοι πρὸς τὰ τοῦ δεσπότου Χριστοῦ, οὗπερ ἡ διάταξις ὁμοίως ἁπανταχοῦ πληροῦσθαι τὴν θείαν βούλεται λατρείαν, τρόπῳ καὶ οὐ τόπῳ δια-
p. 284. κρινομένων τῶν εὖ τε καὶ χεῖρον αὐτὴν πληρούντων;

Ἀλλ' ὅ γε προφήτης τῇ προρρήσει τῶν προκειμένων ἐπισυνάπτων τάδε, φησίν· “ ὅτι κατακόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα, καὶ οὐκέτι οὐ μὴ μάθωσι πολεμεῖν. ,, Δεικνὺς ὅτι παύσεται μὲν ἅπας πόλεμος, εἰρήνη δὲ πάντα καθέξει· ὥστε καὶ τὰ πολεμικὰ ὄργανα εἰς τὴν τῶν γεωργικῶν σκευῶν χρῆσιν τρέπειν λοιπὸν, ὥσπερ ἧττον μενόντων τῶν πολεμικῶν, πεπαυμένου τοῦ πολέμου, τῆς γεωργίας δὲ ὡς ἐν εἰ-
v. 4. ρήνῃ κρατεῖν ὀφειλούσης· εἶτα λέγει ὅτι “ καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ· καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. ,, Σημαίνων ὅτι πάντες ἀπολαύσουσι τῶν οἰκείων πόνων, ὡς ἐν εἰρήνῃ οὐδενὸς ὄντος τοῦ φοβεῖν αὐτοὺς καὶ ἐκταράττειν δυναμένου λοιπὸν, καὶ μεθιστάντος τῶν τόπων τῶν οἰκείων. Καὶ ἐπειδὴ παράδοξα τὰ λεγόμενα ἦν, καλῶς ἐπήγαγεν· “ τὸ γὰρ στόμα κυρίου παντοκράτορος ἐλάλησε ταῦτα· ,,

in monte hoc adorabitis patrem. Tum causam adsignans: spiritus, inquit, est Deus, et eos qui adorant eum, in spiritu et veritate oportet adorare: perspicue docens solutum iri omnino loci eius scrupulosam observantiam; nullique in posterum curae fore utrum Hierosolymis potius quam alibi adoretur; quia omnes incorporeum esse Deum edocti, tali eum cum mente adoraturi sunt; et quicquid ubivis fecerint, perinde alienum non fore. Verumtamen de reditu quidem Babylone convenienter dici potuit: de Sione egredietur lex, et verbum Domini de Hierusalem; quia tunc restituti fuerunt Israhelitae in Sionis stationem, ut ibi legalia instituta et praescriptum cultum complerent, quem alibi positi factitare non poterant: unde et Babylone degentes aiebant: quomodo cantabimus canticum Domini in terra aliena? Quomodo autem haec, inquam, figura sint rerum Christi domini, cuius institutio pari ubique ratione Dei adorationem fieri vult; modo tantum, non loco, differentibus invicem qui bene vel secus id officii praestant?

Porro autem propheta supradictae praedictioni aliam subnectit, nempe: “ et concident gladios suos in vomeres, et hastas suas in falces, et non discent ultra belligerare: ,, demonstrans scilicet omne bellum desiturum, et pacem ubique fore: quamobrem etiam bellica instrumenta in rustica utensilia conversum iri deinceps, bellico illorum usu cessante, quia finitis bellis, agricultura pacis comes ubique regnabit. Mox ait: “ et sedebit unusquisque sub vite sua, et unusquisque sub ficu sua; et non erit qui terreat: ,, significans, cunctos laboribus suis fruituros, nemine ut in pace usuvenit eos terrere aut perturbare iam valente, et patriis locis abstrahere. Tum quia paradoxa dicta haec erant, recte addidit: “ os Domini om-

ἵνα εἴπῃ ὅτι ταῦτα ἀπεφήνατο θεὸς γενέσθαι, καὶ γενήσεται πάντως. “ Ὅτι πάντες οἱ λαοὶ v. 5.
πορεύσονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ· ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν εἰς p. 285.
τὸν αἰῶνα καὶ ἐπέκεινα. „ Πάντες μὲν γὰρ ὡς ἐν εἰρήνῃ καθεστῶτες τὰ προσήκοντα αὐτοῖς ἔργα διαπράξονται λοιπόν· οἱ μὲν ἐπὶ γεωργίαν, οἱ δὲ ἐπὶ θαλαττουργίαν τρεπόμενοι, οἱ δὲ ἐφ' ἥντινα δήποτε τέχνην, ἣν ἂν ἕκαστος μετιὼν τυγχάνῃ· κοινὸν δὲ ἅπαντες ἕξομεν ἔργον τὸ κατὰ τὸ δοκοῦν τῷ θεῷ πολιτεύεσθαι λοιπὸν εἰς ἅπαντα τὸν ἑξῆς χρόνον. Καὶ ἐπιβεβαιῶν αὐτὰ πάλιν λέγει·

“ Ἐν ταῖς ἡμέραις ἐκείναις λέγει κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην v. 6.
εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην· καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπω- v. 7.
σμένην εἰς ἔθνος ἰσχυρόν· καὶ βασιλεύσει κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σιὼν, ἀπὸ τοῦ νῦν καὶ ἕως εἰς τὸν αἰῶνα. „ Τότε δή φησι τοὺς ὑπὸ τῶν μεγίστων κακῶν συντριβέντας, καὶ τῆς τε προνοίας τῆς ἐμῆς καὶ τῶν τόπων ἀποστάντας τῶν ἰδίων, ἐπανάξω πάλιν εἰς τοὺς καθήκοντας τόπους· καὶ τοὺς μὲν πρότερον συντετριμμένους οὕτω τῇ ἐμαυτοῦ διαφυλάξω προνοίᾳ, ὥστε ἅπαν τὸ γένος τὸ ἰσραηλιτικὸν ἐξ αὐτῶν αὐξηθῆναι πάλιν· τοῦτο γὰρ λέγει ὑπόλειμμα· δυνατωτέρους τε πολλῶν ἀποφανῶ τοὺς δι' ἀσθένειαν νῦν τῶν τόπων ἀποβληθέντας τῶν
οἰκείων· διαμενεῖ τε θεὸς ἐπὶ τοῦ ὄρους τῆς Σιὼν, τὸ κράτος ἐπιδεικνύμενος τὸ οἰκεῖον διὰ p. 286.
τῆς περὶ τοὺς ἐνοικοῦντας κηδεμονίας, τῆς τε τιμωρίας ἣν ἐπάγειν μέλλει τοῖς πολεμεῖν ἐθέλουσιν αὐτοῖς· τὸ γὰρ καὶ ἕως εἰς τὸν αἰῶνα, εὔδηλον ὅτι δι' ὅλου τὸ μέχρι πολλοῦ λέγει· οὐ γὰρ ἄδηλον ὡς ἐδέξαντο μέν τινα πάλιν ἐπὶ τῶν Μακκαβαίων μεταβολὴν, μεγίστην δὲ καὶ ἀδιόρθωτον παντελῶς ὅτε κατὰ τοῦ δεσπότου Χριστοῦ τετολμηκότες τὴν ὑπὸ Ῥωμαίων ὑπέμειναν αἰχμαλωσίαν παντελῶς, τῆς τε γῆς ἐξορισθέντες τῆς οἰκείας, καὶ ἐν δουλείᾳ καθεστῶτες μακρᾷ· μέχρι δὲ τούτου τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον λέγει τοῦ λαοῦ, τά τε κατ' ἐκεῖ-

nipotentis haec locutum est: „ scilicet haec Deus decrevit fieri, fientque omnino. “ Quia omnes populi ambulabunt unusquisque in via sua: nos autem ambulabimus in nomine domini Dei nostri in aeternum et ultra. „ Omnes, utpote in pace constituti, congrua sibi opera facient, alii ad agri culturam, alii ad maritimam negotiationem conversi, alii ad quamlibet artem, quam quisque profitendam delegerit: commune tamen opus cuncti deinceps habebimus, secundum Dei praescripta in omne aevum futurum vivere. Atque haec confirmans ait:

“ Diebus illis dicit Dominus, congregabo eam quae contrita est, et eam quae eiecta fuerat suscipiam, nec non quos repuleram. Et ponam contritam in residuum, et repulsam in gentem validam. Et regnabit Dominus super eos in monte Sion, abhinc et usque in aeternum. „ Tunc sane, inquit, maximis malis attritos, atque a providentia mea propriisque sedibus submotos, rursus in pertinentem ad eos regionem reducam: et eos qui antea pessumdati erant, tutela mea sic custodiam, ut ex his israheliticum totum genus propagandum denuo sit. Hoc enim dicit residuum; potentioresque prae multis ostendam, qui ob suam nunc infirmitatem patria sunt extorres. Permanebitque Deus in monte Sion, potentiam suam demonstrans incolarum tutamine, nec non poena quam eis inferre bellum volentibus impositurus est. Nam quod ait in aeternum, patet totum aevum dicere pro valde diu. Neque enim ignoramus, rursus eos sub Maccabaeis eversionem quandam expertos, maximam vero et prorsus irreparabilem postquam, ob suum adversus Christum dominum facinus, a Romanis pertulerunt captivitatem, patria pulsi, et in diutina servitute constituti. Hactenus quidem reditum Babylone narrat populi, et quae per illud

νον τὸν καιρὸν αὐτοῖς προσεσόμενα ἀγαθά. Ἐντεῦθεν δὲ πάλιν τῶν λυπηρῶν ποιεῖται τὴν μνήμην, τὰς ἐπελευσομένας αὐτοῖς συμφορὰς διηγούμενος· ὅθεν δὴ πρὸς τὴν Ἱερουσαλὴμ
v. 8. αὐτὴν ἀποστρέφων τὸν λόγον, οὕτω φησί. " Καὶ σὺ πύργος ποιμνίου, αὐχμώδης θυγάτηρ Σιών. „ Ὅτι θυγάτηρ Σιὼν τὴν Ἱερουσαλὴμ ὀνομάζει, δῆλον, συνεχῶς καὶ τῶν προφητῶν
* Ps. IX. 15. καὶ τοῦ μακαρίου Δαυὶδ οὕτως αὐτὴν καλοῦντος· ὡς ὅτ᾽ ἂν λέγῃ· * ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών· ὡς ἀναμφίβολον εἶναι τὸ μὴ πρὸς Σεδεκίαν, ὅ τινὲς οὐκ οἶδ᾽ ὅπως ᾠήθησαν, πρὸς δὲ τὴν Ἱερουσαλὴμ ἀποστρέφοντα ποιεῖσθαι
p. 287. τὸν λόγον ἐνθάδε τὸν προφήτην· ἣν θυγατέρα Σιὼν κατὰ τὸ εἰωθὸς προειπών, εἰκότως πύργον ὀνομάζει τοῦ ποιμνίου· ἅτε πάντων τῶν ἰσραηλιτῶν ἐξέχουσαν, καὶ πάντων ἐπ᾽ αὐτὴν κατατρεχόντων, διά τε τὴν ἐκτελουμένην αὐτόθι τοῦ θεοῦ θεραπείαν, καὶ τὴν βοήθειαν ἧς ἤλπιζον ἐκεῖθεν τυγχάνειν, ὡς ἐκεῖ διάγειν ὑπειλημμένου τοῦ θεοῦ· αὐχμώδη δὲ αὐτὴν ὀνειδίζων φησίν, ὡς δίκην αὐχμοῦ τῇ ἀσεβείᾳ συνεχομένην· καὶ δὴ παντὶ τῷ ποιμνίῳ τῶν χειρόνων κατάρχουσαν, δέον ἐν τοῖς κρείττοσιν ἡγεῖσθαι. " Ἐπὶ σὲ ἥξει, καὶ εἰσελεύσεται ἡ ἀρχὴ ἡ πρώτη βασιλεία ἐκ Βαβυλῶνος, τῇ θυγατρὶ Ἱερουσαλήμ. „ Ὑπὲρ γὰρ τῶν οὐ δεόντων ἐν σοὶ πραττομένων, ἐπελεύσεταί σοι βασιλεὺς μέγιστος καὶ ἄγαν δυνατὸς ὁ τῆς Βαβυλῶνος, ὃς διαθήσει σε οἷα εἰκὸς δυνατὸν ἐπεληλυθότα ποιεῖν βασιλέα.

v. 9. " Καὶ νῦν ἵνα τί ἔγνως κακά; μὴ βασιλεὺς οὐκ ἦν σοι; ἢ ἡ βουλή σου ἀπώλετο; ὅτι κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης. „ Ἀλλὰ γὰρ ὑπὲρ ὅτου φησὶν εἰς τοσαύτην κακῶν κατηνέχθης πεῖραν; ἥ γε καὶ βασιλέα ἐκέκτησο στρατηγεῖν ἐν τοῖς ὑπὲρ σοῦ πολέμοις δυνάμενον· ὃν καὶ ἐπ᾽ αὐτοῦ γε εἵλου τούτῳ παραγραψαμένη τὴν ἀρχὴν παρ᾽ ἐμοῦ τεταγμένον ὑμῶν· καὶ ἐν συνέσει δὲ πρωτεύοντας ἐκέκτησο πλείστους ὡς ᾤου· πῶς οὖν ὑπὸ τηλικούτων περιείληψαι κακῶν, ὑφ᾽ ὧν κεκρατημένη διαλλάττεις οὐδὲν ἐπὶ τοκετοῦ γυναικὸς ὠδινού-

tempus obvenerunt ei prosperitates. Posthinc vero rursus molestiarum facit mentionem, futuras alias enumerans calamitates. Quamobrem ad Hierusalem orationem convertens, sic ait. " Et tu, turris gregis, squalens filia Sionis. „ Quod filiam Sionis Hierusalem nominet, exploratum est, sic eam perpetuo prophetis ac beato Davide appellantibus; veluti cum hic dicit: ut annuntiem omnes laudationes tuas in portis filiae Sionis. Quamobrem indubium est, non ad Sedeciam, quod nonnulli nescio cur sibi persuaserunt, sed ad Hierusalem converti heic a propheta sermonem; quam cum filiam Sionis de more dixisset, merito turrim gregis nuncupat, utpote inter omnes israheliticas urbes celsiorem, et propter omnium ad eam concursum, sive ob illic exercendum Dei cultum, sive ob auxilium quod inde sperabant, quia Deus illic habitare praesumebatur. Squalentem contumeliose dicit, velut peccati paedore obsitam, et gregi ad vitium factam exemplar, cum contra oporteret ad virtutem praeire. " Contra te veniet, et ingredietur, principatus primus, regnum Babylonis, o filia Hierusalem. „ Propter delicta apud te patrata, superveniet tibi maximus valdeque potens rex Babylonis, qui tibi talia inferet mala qualia a potentis regis adventu fieri par est.

" Et nunc cur in malis versaris? nonne tibi rex tuus erat? Aut consilium tuum periit, quoniam te occuparunt dolores quasi parturientis? „ Iam vero cur tu in mala tanta prolapsa es? Equidem et regem habebas, qui tibi dux belli defensorque esset; quem et idcirco olim elegeras, deposito (Samuhele) quem ego tibi dominari constitueram. Tum etiam plurimos apud te babere putabas prudentia praestantes viros. Quomodo ergo in mala tanta incurristi, quibus correpta nihil differs a

σης· ὧν οὐκ ἂν ποτε πεῖραν εἰλήφεις, εἰ τοῖς νομίμοις ἐσπούδαζες ἕπεσθαι τοῖς ἐμοῖς· ὅπερ p. 288.
ἐπειδὴ μὴ πεποίηκας, “ ὤδινε, καὶ ἀνδρίζου, καὶ ἔγγιζε θύγατερ Σιὼν ὡς ἡ τίκτουσα. ,, v. 10.
Ὑπόμενε τὰς ἐπικειμένας ὠδῖνας, καὶ ἐν αὐταῖς διακαρτέρει δίκην τικτούσης προσεγγί-
ζουσα τῶν ἐκ τοῦ τίκτειν ὠδίναις. “ Διότι νῦν ἐξελεύσῃ ἐκ πόλεως, καὶ κατασκηνώσεις ἐν
πεδίῳ, καὶ ἥξεις ἕως Βαβυλῶνος. ,, Πέρας γὰρ εἴληφε τὰ κατὰ σὲ, καὶ ληφθήσῃ μὲν ἐκ τῆς
πόλεως εἰς αἰχμαλωσίαν· ἀπαγομένη δὲ εἰς τοὺς τυχόντας τόπους, ἐῤῥιμμένη διάξεις,
οἷα εἰκὸς αἰχμάλωτον ἐπαγομένην, ἄχρις ἂν εἰς αὐτὴν γένοιο τὴν Βαβυλῶνα, ἐν ᾗπερ
διάγειν σε μετὰ τῆς συμφορᾶς ἀνάγκη τῆς οἰκείας· εἶτα τὴν τιμωρίαν εἰρηκὼς, πάλιν λέγει τὴν
λύσιν. “ Ἐκεῖθεν ῥύσεταί σε, καὶ ἐκεῖθεν λυτρώσεταί σε κύριος ὁ θεός σου ἐκ χειρὸς
ἐχθρῶν σου. ,, Ἀλλ᾽ ἐπειδ᾽ ἂν εἰς ἐκείνους αἰχμάλωτος ἀφίκῃ τοὺς τόπους, ἀφ᾽ ὧν οὐδὲ
μία σοι λύσεως ἐλπὶς ὑποφαίνεται, παραδόξου τεύξῃ τῆς θείας βοηθείας ἣ κατὰ τὴν οἰκείαν
δύναμιν, τῆς τε αἰχμαλωσίας καὶ τῆς τῶν κατεχόντων ἀπαλλάξῃ σε δυναστείας.

“ Καὶ νῦν ἐπισυναχθήσεται ἐπὶ σὲ ἔθνη πολλὰ, καὶ λαοὶ λέγοντες ἐπιχαρούμεθα· καὶ v. 11.
ἐπόψονται ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν. ,, Τότε δὴ ἔθνη σκυθικὰ πολλά τε καὶ ἀνήμερα p. 289.
(λέγει δὲ τοὺς περὶ τὸν Γὼγ) τὴν εὐπραγίαν οὐ φέροντες καὶ τὴν ἐπάνοδον τὴν σὴν, ἐπελεύ-
σονταί σοι, μάλα προσδοκῶντες ῥᾳδίως τὰ δοκοῦντα ἑαυτοῖς ἐπὶ σοὶ καταπράξασθαι
κακά. “ Καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὸν λογισμὸν κυρίου, καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι v. 12.
συνήγαγεν αὐτοὺς, ὡς δράγματα ἅλωνος. ,, Πεποίηνται δὲ τὴν ἔφοδον τῷ τε πλήθει καὶ
τῇ δυνάμει τῇ οἰκείᾳ θαῤῥοῦντες, καὶ οὐκ εἰδότες τοῦ ἡμετέρου θεοῦ τὴν γνώμην· ὃς διὰ τοῦτο
συνεχώρησεν αὐτοῖς ἐπὶ τὸν πόλεμον τοῦτον βουληθεῖσιν ἐξελθεῖν, ἵνα τήν τε περὶ ὑμᾶς
ἐπιδείξῃ κηδεμονίαν, καὶ τὴν οἰκείαν εἰς αὐτοὺς ἐλέγξῃ δύναμιν, δίκην θεριζομένων δραγ-
μάτων καὶ εἰς ἅλωνα ἀποτιθεμένων, πάντας αὐτοὺς ταῖς σφαγαῖς τῶν ὑμετέρων χειρῶν ἐκ-

muliere in partu dolente? quae numquam experta fuisses, si legem meam observandam curasses. Quod cum non feceris, audi: “ dole, et viriliter age, et appropinqua, filia Sionis, sicut parturiens. ,, Perfer ingruentes dolores, in iisque constanter age quasi parturiens, propinquantibus partus doloribus. “ Quia nunc egredieris de civitate, et habitabis in campo, et venies usque Babylonem. ,, Finis rerum tuarum est, et ex urbe in captivitatem deportaberis: abducta vero in quaelibet loca, proiecta iacebis, ut captivae conditio fert, donec ad ipsam usque Babylonem perveneris, in qua te habitare calamitate tua obrutam necesse est. Tum post narratam poenam, eiusdem solutionem connectit. “ Inde te liberabit, inde te redimet dominus Deus tuus de manu inimicorum tuorum. ,, Sed postea quam captiva in ea loca deveneris, unde tibi evadendi nulla spes affulgebit, mirabile experieris ultra vires tuas Dei auxilium; id est ille vi propria te servitio et oppressorum expediet dominatione.

“ Et nunc congregabuntur super te gentes multae populique, dicentes: insultemus; respiciant in Sionem oculi nostri. ,, Tunc scythicae gentes numerosae et saevae (dicit vero Gogum) prosperitatem tuam reditumque aequo animo non ferentes, invadent te, valde sperantes facile se quas voluerint tibi aerumnas imponere posse. “ Et ipsi non cognoverunt cogitationem Domini, neque intellexerunt consilium eius, quod nempe adunaverit eos quasi manipulos areae. ,, Expeditionem fecerunt numero viribusque suis confidentes, sed Dei nostri sententiam nescientes; qui eos idcirco sivit hoc cupide bellum contra vos suscipere, ut providentiam erga vos suam ostenderet, et vires proprias exsereret, demessorum instar manipulorum

v. 13. διδούς· καὶ ὡς τούτῳ γε πάντως ἐσομένῳ θαρρῶν, λέγει πρὸς τοὺς Ἰσραηλίτας. " Ἀνά-
στηθι καὶ ἀλόα αὐτούς, θύγατερ Σιών. ,, Λαβοῦσα γὰρ φησὶν αὐτοὺς ὑποχειρίους τῇ δυνάμει
τοῦ θεοῦ, πάντας αὐτοὺς ὡς ἐν ἅλωνι διαφόροις σύντριψον καὶ καταναλώσον ταῖς σφαγαῖς.
" Ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ, καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς. ,, Δέδωκα
γάρ σοι δύναμιν οὐκ ἧττον σιδηρῶν κεράτων, ἀμύνεσθαι τοὺς ἐναντίοις ἀρκοῦσαν, καὶ πα-
p. 290. τεῖν μᾶλλον ἢ ὁπλαῖς τις χαλκαῖς χρώμενος πατήσειεν ἄν. " Καὶ κατατήξεις ἐν αὐταῖς
ἔθνη, καὶ λεπτυνεῖς λαοὺς πολλούς· καὶ ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος αὐτῶν, καὶ τὴν ἰσχὺν
αὐτῶν τῷ κυρίῳ πάσης τῆς γῆς. ,, Ταύτῃ δὴ τῇ παρὰ τοῦ θεοῦ σοι χορηγουμένῃ ῥοπῇ πάν-
τας αὐτοὺς ἀφανιεῖς παντελῶς, πλείστους γε ὄντας, καὶ παντὸς τοῦ πλήθους αὐτῶν τὴν ἀπώ-
λειαν λογιῇ τῷ θεῷ, ὃς ἁπάσης κύριος ὢν τῆς γῆς, ἅπασαν αὐτῶν κατὰ τὸ δοκοῦν ἀφανιεῖ
τὴν ἰσχύν· εἶτα τὴν τῶν ἐναντίων ἐπιχείρησιν λέγων ὑπὲρ ἧς δὴ τὰ ῥηθέντα ὑπομένουσιν.

ΚΕΦ. Ε'.

v. 1. " Νῦν ἐμφραχθήσεται θυγάτηρ ἐν φραγμῷ· συνοχὴν ἔταξεν ἐφ' ὑμᾶς· ῥάβδῳ πα-
τάξουσιν ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ. ,, Τοιαῦτα γὰρ πείσονται φησὶν ὑπὲρ ὧν τῷ
τε πλήθει καὶ τῇ δυνάμει θαρροῦντες τῇ οἰκείᾳ ἐπεληλύθασι, περιφράττοντες ὑμᾶς καὶ
περιβάλλοντες ὥσπερ τινὶ φραγμῷ τῷ πλήθει τῷ οἰκείῳ, ὡς ἂν συνέχοντες ἄρδην ἀπο-
λοῖεν ἅπαντας· καὶ μόνον οὐκ ἐπ' αὐτὰς ὑμῶν τὰς σιαγόνας τῆς ἑαυτῶν δυνάμεως ἐπά-
γοντες τὰς πληγάς· εἶτα καὶ τὸν ἡγούμενον τοῦ πολέμου φησίν, ὡς ἂν δείξειεν ὅτι ταῦτα
v. 2. γενήσεται διὰ τὸ ἄρχειν αὐτῶν τὸν γνώμῃ θεοῦ πρὸς τοῦτο ἡγμένον. " Καὶ σὺ Βηθλεὲμ
οἶκος τοῦ Ἐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ
εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ· καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. ,,

et in area repositorum, universos illos vestrarum manuum caedi contradens. Atque hac re sine dubio eventura laetatus, dicit Israhelitis. " Surge et tritura eos, filia Sion. ,, Hos tibi virtute Dei subiectos, tamquam in area variis contere et consume caedibus. " Nam cornua tua ponam ferrea, et ungulas tuas ponam aereas. ,, Contuli tibi haud minorem cornibus ferreis vim, qua propulsare adversarios valeas, eosque magis conculcare quam si quis ungulis aereis praeditus esset. " Et his contabefacies conteresque populos multos; et Deo consecrabis multitudinem illorum, et fortitudinem eorundem Domino universae terrae. ,, His tibi a Deo concessis viribus hostes omnes prorsus disperdes, quamquam plurimo numero; et universae eius multitudinis excidium Deo imputabis, qui cum totius terrae sit dominus, totam illorum pro suo libito fortitudinem exsufflabit. Deinde hostium adgressionem narrans, cuius causa quae supra sunt dicta patientur, ait:

CAP. V.

" Nunc sepimento sepietur filia: obsidionem posuerunt vobis: virga percutient in maxilla tribus Israhelis. ,, Haec patientur, inquit, quia numero viribusque suis fidentes venerunt, sepientes vos et circumdantes ceu quadam sepe multitudine sua, ut comprehensos omnes funditus perdant; ac propemodum maxillis vestris potentiae suae verbera infligentes. Mox etiam belli ducem dicit, ut ostendat haec esse eventura, propterea quod eis imperabit ille qui voluntate Dei ad id officium est promotus. " Et tu Bethleem domus Ephrathae, nequaquam minima es, ut sis in millibus Iudae: ex te mihi exiet qui sit princeps in Israhele: et egressiones eius

Ὁ γὰρ ἐκ τῆς Βηθλεὲμ νῦν βασιλεύων ὑμῶν, κἂν εὐαρίθμητοί τινες εἶναι δοκοῖτε πρὸς p. 291. τοὺς πολεμίους, τῇ ἐμῇ γε ῥοπῇ τε καὶ δυνάμει, μάλα γε πρὸς τὸν τῶν ἐναντίων πόλεμον πολλῶν τε ὄντων καὶ δυνατῶν ἀρκέσει· ἐπειδήπερ ἄνωθεν αὐτοῦ τὴν προβολὴν ταύτην τετάχθαι συμβέβηκεν· ἐξότε περ πρὸς τὸν Δαυὶδ ἐπηγγείλατο θεὸς ὅτι τοῖς ἐξ αὐτοῦ κατὰ διαδοχὴν φυλάξει τὴν βασιλείαν· ἐξ ἐκείνης δὲ καὶ οὗτος τῆς ἐπαγγελίας προβεβλημένος εἰς τὴν βασιλείαν, ἀρκέσει πρὸς τὸ μέγεθος τῶν παρόντων κακῶν· λέγει δὲ τὸν Ζοροβάβελ· οὗτος γὰρ ἦν ὁ τότε βασιλεύων τῶν Ἰσραηλιτῶν, ἐκ τοῦ Δαυὶδ καταγόμενος, ὁπηνίκα ἥ τε ἐκ Βαβυλῶνος ἐπάνοδος ἐγίνετο, καὶ οἱ περὶ τὸν Γὼγ τοῖς κατὰ τὴν Ἱερουσαλὴμ ἐπελθεῖν ἐπεχείρησαν.

Δῆλου γε ὄντος ἐκείνου, ὅτι κἂν περὶ τοῦ Ζοροβάβελ ἐκ τῆς τῶν προκειμένων ἀκολουθίας εἴρηται ταῦτα, ἐκ τῆς τοῦ Δαυὶδ καταγομένου διαδοχῆς, ἀλλὰ τό γε ἀληθὲς τῶν εἰρημένων πέρας τὴν ἔκβασιν εἴληφεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ· ἐπεὶ καὶ πᾶσα ἡ πρὸς τὸν Δαυὶδ ἐπαγγελία περὶ τοῦ βασιλεύσειν τοὺς ἐξ αὐτοῦ γινομένη, δοκεῖ μὲν κατὰ πρῶτον λόγον σημαίνειν τοὺς κατὰ διαδοχὴν ἐξ αὐτοῦ γεγονότας βασιλέας τοῦ Ἰσραήλ· τῇ ἀληθείᾳ δὲ τὸν δεσπότην Χριστὸν τὸ κατὰ σάρκα μηνύει, ὃς ἐκ τῆς τοῦ Δαυὶδ διαδοχῆς γεγονώς, ἀληθῆ p. 292. καὶ ἀπαράσαλευτον ἔχει τῶν ἁπάντων τὴν βασιλείαν· καὶ τοῦτο γε ἀπὸ τοῦ ὀγδοηκοστοῦ καὶ ὀγδόου ψαλμοῦ σαφέστερον γνοίη τίς ἄν, ἔνθα δὴ σημαίνει μὲν τὸ τὰς βασιλείας ἐπαγγελίας τοῖς ἐξ αὐτοῦ κατὰ διαδοχὴν ἐσομένοις προσήκειν· περὶ ὧν δὴ φησίν· “ ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσι, καὶ τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ’ αὐτῶν. „ Ταῦτα γὰρ εὔδηλον ὅτι τοῖς καθεξῆς ἀπὸ τοῦ Δαυὶδ καταγομένοις τε μέλλουσι βασιλεύειν τοῦ Ἰσραὴλ ἁρμόσειεν ἄν, οὓς παιδεύειν μὲν ἁμαρτάνοντας ὑπισχνεῖται, οὐ μὴν

ab initio, a diebus aeternitatis. ,, Nam qui nunc Bethleem oriundus rex vester est, etiamsi vos exiguus videmini numerus prae illo hostium, meo tamen favore et viribus, contra hostium bellum, multorum licet atque potentium, abunde sufficiet; quandoquidem caelitus ei haec electio obvenit, iam inde ab eo tempore, quo Davidi Deus promisit fore ut successoribus eius regnum conservet. Quare et hic ab ea promissione in regnum provectus, par erit praesentium malorum sustinendae moli. Loquitur scilicet de Zorobabele: hic enim tunc erat Israhelitarum rex, Davide oriundus, per tempus reditus Babylone, et Gogi adversus Hierusalem expeditionis.

Sed tamen illud quoque manifestum est, quod etiamsi de Zorobabele, secundum praecedentium tenorem, dicta sint haec, qui de Davidis posteris erat, nihilominus verus dictorum terminus in Christo domino exitum habuerit: quia et tota Davidi facta promissio de regni continuatione, videtur priore significatu successores eius denotare in regno Israhelis; re tamen vera Christum dominum incarnatum portendit, qui de Davidis successoribus ortus, verum et immutabile regnum tenet. Atque hoc ex octogesimo praesertim octavo psalmo cognoscere quivis manifeste potest; ubi adfirmat, regni promissiones ad ipsius posteros successores pertinere. De quibus tamen dicit: “ si dereliquerint filii eius legem meam, et in iudiciis meis non ambulaverint, et iustitias meas profanaverint, et mandata mea non custodierint; visitabo in virga iniquitates eorum, et in verberibus peccata eorum: misericordiam autem meam non dispergam ab eis. ,, Certe patet convenire haec Davidis successoribus Israhelis regibus futuris; quos quidem peccantes puniturum

παντελῶς ἐξωθεῖσθαι τῆς βασιλείας· μηνύει δὲ προβαίνων τὸν κατὰ σάρκα δεσπότην Χρι-
στόν, ἐφ' ὅπερ τῶν ἐπαγγελιῶν τῶν οἰκείων ἀληθὲς ἔδειξε τὸ πέρας ὁ θεός· τὸ γὰρ " θήσομαι
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ,
καὶ τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ
ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα ,, πρόδηλον ὡς ἐπ' οὐδενὸς μὲν τῶν διαδόχων ἐξῆν
p. 293. χώραν λεγόμενα· σαφῶς δὲ τοῦ δεσπότου Χριστοῦ δείκνυσι τὴν βασιλείαν διηνεκῆ τε καὶ ἀσά-
λευτον, μετὰ πολλῆς μὲν τῆς δυνάμεως, πολλῆς δὲ τῆς λαμπρότητος, εἰς τὸ ἔπειτα διαμέ-
νον· οὕτω καὶ τὴν παροῦσαν μαρτυρίαν ἁρμόττουσαν μὲν κατὰ τὸ ἀληθὲς καὶ ἀναντίρρητον τῶν
* Luc. I. 32. πραγμάτων ἴδοι τις ἂν ἐπὶ τοῦ δεσπότου Χριστοῦ κατὰ τὴν ἐν τοῖς εὐαγγελίοις φωνήν· * λεγο-
μένων ἐκ τοῦ Δαυὶδ βασιλέων τοῦ Ἰσραὴλ διὰ τὴν ἐπαγγελίαν τὴν θείαν· ὅθεν δὴ καὶ νῦν
ὁ προφήτης ἐπὶ τοῦ Ζοροβάβελ αὐτὴν ἐξείληφεν εἰκότως· ἐπειδὴ γὰρ τὰ μετὰ τὴν ἐπάνοδον
ἔλεγε τὴν ἀπὸ Βαβυλῶνος, καὶ τὴν ἔφοδον τὴν περὶ τὸν Γὼγ, τήν τε ἐπενεχθεῖσαν αὐτοῖς
παρὰ τοῦ θεοῦ τιμωρίαν, ἀκολούθως μέμνηται καὶ τοῦ κατ' ἐπαγγελίαν θείαν ἐκ τῆς τοῦ Δαυὶδ
διαδοχῆς τὴν ἀρχὴν αὐτῶν τότε πεπιστευμένου, ὡς ἂν δείξειεν καὶ τὰ διὰ τούτου περὶ τὸ
ἔθνος κατορθωθέντα, διὰ τὴν ἤδη γεγενημένην πρὸς τὸν Δαυὶδ ἐπαγγελίαν τοῦ θεοῦ τὴν
ἰσχὺν εἰληφέναι· ὅθεν καὶ εἶπεν τὸ " αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος· ,, ἵνα
εἴπῃ ὅτι τὰ ἄνωθεν εἰρημένα τε καὶ ἐπηγγελμένα, παρὰ τοῦ θεοῦ προεβάλετο· τοῦτον εἰς τὴν
ἀρχὴν δυνηθῆναι τε πεποίηκε τοιαῦτα· εἶτα ἐπάγει.

v. 3. " Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης τέξεται. ,, Ὠδίνειν καὶ τίκτειν πολλάκις
p. 294. ἡ θεία λέγει γραφὴ τὸ ἐν μέσῳ τῶν δεινῶν παράδοξον τὴν θείαν ἀναφαίνεσθαι βοήθειαν·
* Is. XXVI. 18. οὕτω λέγει τὸ * " διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν
πνεῦμα σωτηρίας ὃ ἐποίησας ἐπὶ τῆς γῆς· ,, ἵνα εἴπῃ ὅτι ὑπὲρ ὧν ἐφοβούμεθά σε, συνήγα-

se spondet, non tamen regno omnino exclusurum. Pergit autem denotare Christum dominum incarnatum, in quo promissionum suarum veritatem exitum habuisse ostendit Deus. Nam verba: " ponam in saeculum saeculi semen eius; et thronum eius sicut dies caeli; et semen eius manebit in aeternum; et thronus eius sicut sol in conspectu meo, et sicut luna perfecta in aeternum ,, notissimum est de nemine successorum Davidis dici potuisse: perspicue autem Christi domini regnum perpetuum ostendere, et immobile multa cum virtute multoque splendore in posterum tempus perseveraturum. Atque ita praesens testimonium, conveniens quidem secundum veritatem atque evidentiam actarum rerum comperiemus in Christo domino, iuxta evangelicum textum: sed tamen dici etiam de posteris Davidis, qui per tempora secundum Dei promissionem reges Israhelis extiterunt: unde nunc etiam propheta de Zorobabele merito intellexit. Nam cum de rebus post reditum Babylone loquatur, et de Gogi incursione, consentanee meminit et illius de Davidis stirpe hominis, cui tunc principatus traditus erat; ut ostendat, quaecumque hic ad salutem gentis fecerit, ea ex Dei ad Davidem promissione vim accepisse. Unde et dixit: " egressiones eius ab initio, a diebus aeternitatis: ,, quibus verbis significat, quod supra dictum fuit atque promissum, id Deum reapse pronunciavisse, atque ab initio ut fieri posset, constituisse. Postea addit:

" Propterea dabit eos usque ad tempus, quo pariens pariet. ,, Parturire et parere saepe dicit divina scriptura, cum in mediis calamitatibus divinum insperato auxilium affulget. Sic ait: propter timorem tui, Domine, in ventre concepimus, et parturivimus ac peperimus spiritum salutis quem in terra fecisti; ut dicat: quia

βομεν ἐν αὐτοῖς τὴν ἀπόρρητόν σου χάριν, ἀφ' ἧς διὰ πολλῶν ὠδίνων ἐν τῷ μεγέθει τῶν
κακῶν σωτηρία ἡμῖν ἀπετέχθη παράδοξος· κἀνταῦθα τοίνυν ὡς ἂν τῆς Ἱερουσαλὴμ συλ-
λαβούσης τε ἐκ τῆς θείας χάριτος καὶ τὴν δωρεὰν ἀποτεκούσης ταύτην, ἀφ' ἧς αὐτοί τε
περιεσώθησαν, καὶ παντελῆ τὴν ἀπώλειαν ἐδέξαντο οἱ πολέμιοι, τοῦτο λέγει ὅτι τοὺς ἐναν-
τίους παραδώσει ἀπωλείᾳ, ἐπειδὴ τῇ Ἱερουσαλὴμ μετὰ πολλῶν ὠδίνων ἃς ὑπέμεινεν ἐν τῇ
τῶν πολεμίων ἐφόδῳ ἀπετέχθη τοῦ θεοῦ δωρεά. “ Καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπι-
στρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ. „ Τότε γὰρ δὴ πάντες οἱ ἀπὸ τῆς αἰχμαλωσίας ἐπανελ-
θόντες, κοινὸν ἡγήσονται βασιλέα τὸν Ζοροβάβελ· οὐκέτι ἰδίᾳ μὲν ἀρχομένων τῶν δέκα
φυλῶν, τῆς δὲ Ἰούδα μόνης μετὰ τῆς Βενιαμὶν τοὺς ἐκ τοῦ Δαυὶδ βασιλέας κατὰ τὸ πρόσθεν
ἐχούσης, ἀλλὰ πάντων ἕνα βασιλέα τὸν Ζοροβάβελ ἡγουμένων λοιπόν· οὕτω καὶ ὁ μακά-
ριος Ὡσηὲ λέγει· * καὶ συναχθήσονται οἱ υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτὸ, καὶ p. 295. * Os. I. II.
θήσονται ἑαυτοῖς ἀρχὴν μίαν. Καὶ ὁ μακάριος δὲ Δαυίδ· * ἰδοὺ δὴ τί καλὸν καὶ τί τερ- * Ps. CXXXII. I.
πνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; τὴν ὁμόνοιαν αὐτῶν τὴν ἐσομένην κατὰ τὸν τῆς
ἐπανόδου καιρὸν ἐν τούτῳ σημαίνων, ἣν ἀπέσωζον ὑφ' ἑνὶ τῷ βασιλεύοντι καθεστῶτες
λοιπόν· ὁμοίως οὖν κἀνταῦθα ὁ προφήτης λέγει ὅτι “ καὶ οἱ λοιποὶ τῶν ἀδελφῶν „ ἵνα
εἴπῃ ὅτι πάντες καὶ οἱ τῆς Ἰούδα φυλῆς ἐκτὸς συναφθήσονται τοῖς λοιποῖς υἱοῖς τοῦ Ἰσραὴλ,
ἕνα καὶ τὸν αὐτὸν ἡγούμενοι βασιλέα. “ Καὶ στήσεται καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον v. 4.
αὐτοῦ ἐν ἰσχύϊ κύριος· καὶ ἐν τῇ δόξῃ ὀνόματος κυρίου τοῦ θεοῦ αὐτῶν ὑπάρξουσιν· διότι
νῦν μεγαλυνθήσεται ἕως ἄκρων τῆς γῆς. „ Ἔσται δὲ φησὶν ὁ διὰ τοῦ τότε βασιλεύοντος
ἅπαντας τῇ οἰκείᾳ κηδεμονίᾳ ποιμαίνων θεὸς, ὃς καὶ ἐπιδόξους αὐτοὺς διὰ τὴν ὀνομασίαν
ἐργάσεται τὴν οἰκείαν· διαμενεῖ τε κατὰ πάσης τῆς γῆς μετὰ πολλοῦ τοῦ θαύματος ἀνυμνούμενος,
ἐφ' οἷς τοσαῦτα καὶ τηλικαῦτα πεποίηκε περὶ τοὺς τὴν αὐτοῦ μετιόντας ὀνομασίαν, λέγω
δὴ τοὺς υἱοὺς Ἰσραήλ· νῦν μὲν αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας παρὰ πᾶσαν ἐπανάγων ἐλ-

te timuimus, concepimus in nobis ineffabilem gratiam tuam, a qua per multos dolores in malis maximis salus nobis mirabiliter parta est. Igitur hoc quoque loco, quasi Hierusalem ex divina gratia concepisset, atque hoc donum peperisset, cuius beneficio ipsi salvi extitissent, hostes contra funditus periissent, ait se inimicos exitio traditurum, quoniam urbi Hierusalem post dolores multos quos pertulit in hostium incursu, mirabile partum est Dei donum. “ Et reliqui fratres eius convertentur ad filios Israhelis. „ Tunc omnes a captivitate reduces, communem existimabunt regem Zorobabelem: haud diutius seorsum decem tribubus sub regno constitutis, solis vero Iudae ac Beniamini tribubus reges de Davidis stirpe ut antea habentibus; sed cunctis unum regem Zorobabelem abhinc agnoscentibus. Sic etiam beatus Oseas aiebat: et congregabuntur filii Iudae et filii Israhelis in id ipsum, constituentque sibi regnum unum. Tum et beatus David: ecce quam bonum et quam iucundum habitare fratres in id ipsum! concordiam ipsorum futuram circa reditus tempus his verbis significans, quam conservabant sub uno rege constituti deinceps. Hoc itaque pariter loco propheta ait: “ et reliqui fratres; „ pro eo ac dicat: cuncti qui extra Iudae tribum sunt, coniungentur cum reliquis Israhelis filiis, unum eundemque regem habentes. “ Et stabit et videbit et pascet gregem suum cum fortitudine Dominus: et in gloria nominis domini Dei sui erunt; quia nunc magnificabitur usque ad terminos terrae. „ Erit, inquit, per eius temporis regem propria cura pascens Deus, qui et illos illustres nomine suo efficiet: constanterque per universam terram multa cum admiratione laudabitur, quia tot tantaque pro iis fecit,

πίδα· μετ' ἐκεῖνο δὲ ἐν ὀλίγοις αὐτοῖς νίκην καταπραττόμενος αὐτήν, ἀφ' ἧς ἀναρίθ- [p. 296.] μητόν τι πλῆθος ἐῤῥωμένων ἀνδρῶν, καὶ εἰς πολεμικὴν ἐμπειρίαν παρεσκευασμένων, διὰ τῶν εὐτελῶν τούτων καὶ εὐαριθμήτων παντελῶς κατὰ τὴν οἰκείαν τροπώσεται δύναμιν.

Ἀλλὰ γὰρ οὕτω τὰ μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ὑπάρξοντα αὐτοῖς εἰρηκώς, ἃ τοῦ Ζοροβάβελ κατ' ἐπαγγελίαν θεοῦ ἐκ τοῦ Δαυὶδ αὐτῶν βασιλεύοντος περιγενέσθαι πάντως ἤμελλεν αὐτοῖς, ἐπειδὴ ταῖς ἐπαγγελίαις ταῖς οἰκείαις προσέχοντα τὸν θεὸν ὁ προφήτης ἐβουλήθη δεῖξαι, πολλὴν τοῖς κατὰ τὸ αὐτῷ * γε δοκοῦν γιγνομένοις παρέχοντα τὴν ἰσχύν, ἀποδείξει τοῖς κατὰ τὸν Ζοροβάβελ χρησάμενος· ἐδόκει δὲ μετὰ πολὺ ταῦτα γίνεσθαι, τά τε τῆς ἐπανόδου λέγω τῆς ἀπὸ Βαβυλῶνος, καὶ τὰ μετὰ τὴν ἐπάνοδον ἐκείνην εἰς τὸν περὶ τὸν Γὼγ γεγονότα· μέμνηται τῶν ἐγγὺς καὶ μετ' οὐ πολὺ τὴν ἔκβασιν λαμβανόντων, λέγω δὴ τῶν περὶ τοὺς Ἀσσυρίους ἐπὶ τοῦ Ἐζεκίου συμβάντων, ἵν' ἐκ τῶν ἐγγύθεν καὶ μετ' οὐ πολὺ γινομένων, τῶν μετὰ μακροὺς ἐσομένων τοὺς χρόνους παράσχηται τὴν πίστιν· εὔδηλον γὰρ ὅτι ταῦτα προηγόρευεν ὁ προφήτης, ὡς ἡ βίβλος δηλοῖ, ἐν ἡμέραις Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου· ὥστε οὐ πόῤῥωθεν ἡ πρόῤῥησις ἦν τῶν κατὰ τὸν Ἐζεκίαν· ἀλλὰ γὰρ ἐμήνυε τότε καὶ παρὰ πόδας ἐλάμβανε τὴν ἔκβασιν πάντων, οἱ * πρὸ τῶν πραγμάτων τῆς προφητείας ἔτυχον δεδεγμένοι * φωνὴν, ἐγγύθεν ὁρώντων τὴν ἔκβασιν· ἵν' οὕτω δείξῃ τῶν κατὰ τὸν Ἐζεκίαν ἐγγύ- [p. 297.] θεν ὄντων, πρὸς τὰ τοῦ Ζοροβάβελ μετὰ πολὺν τὸν χρόνον ἐσόμενα, τὴν συγγένειαν· δῆλον τε δι' ἀμφοτέρων ποιήσῃ πόση τίς ἦν τῆς ἐπαγγελίας ἡ ἰσχὺς τῆς θείας· ἀφ' ὧν οὐ τότε μόνον (ὅτε) τετύχηκεν ὁ Ἰσραὴλ ἡγουμένου τοῦ Ζοροβάβελ, ἀλλὰ καὶ πρότερον ὅτε περ ὁ Ἐζεκίας αὐτῶν ἐβασίλευε, κατὰ τὴν ἐπαγγελίαν τὴν θείαν καὶ αὐτὸς εἰς τὴν ἀρχὴν παρελθών, στρατοπέδου μὲν ἐπεληλυθότος τοσούτου τῇ Ἱερουσαλήμ, ἀνῦσαι δὲ δυνηθέντος οὐδέν, διὰ τὸ τὴν θείαν προσεῖναι ῥοπὴν τῷ κατὰ τὴν ἐπαγγελίαν τοῦ θεοῦ τὴν βασιλείαν ἔχοντι τοῦ Ἰσραήλ·

* cod. αὐτό.

* ita cod.

* cod. δεδειγ.

qui illius nomen participant; qui sunt Israhelis filii: quos nunc quidem de captivitate praeter omnem spem reduxit: postea vero victoriam pauco illorum numero patrabit, qua innumerabilem fortium virorum multitudinem, per hos humiles paucosque, sua virtute omnino profligabit.

Sic autem cum ea dixisset, quae post reditum Babylone futura erant, quae nimirum sub Zorobabele, Davidis stirpe orto, iuxta Dei promissionem regnante, ipsis sine dubio contingerent, promissis propriis fidelem Deum volens propheta ostendere, et multam iis, quae secundum eiusdem beneplacitum fiunt, robur praebentem, rerum Zorobabelis exemplo utitur. Ceterum quia multo serius haec eventura videbantur, scilicet a Babylone reditus, et Gogi post illum reditum expeditio; commemorat propiora, et quae haud remotum exitum habitura erant, res nempe Assyriorum sub Ezecia; ut ex proximis, seu non multo post futuris, fidem iis conciliaret quae longa post tempora forent. Constat autem haec praedixisse prophetam, ut liber ostendit, diebus Ioathami, et Achazi, et Ezeciae; ita ut vaticinium prope absit ab Ezeciae rebus. Sed tamen tunc portendebat, et quasi ante pedes proponebat exitum omnium, coram iis qui cum ante rem gestam excepissent prophetiae vocem, eventum quasi proximum aspiciebant: ut sic ostenderet rerum Ezeciae proximarum, cum illis Zorobabelis multo post futuris, cognationem; atque ex utrisque palam faceret, quanta esset divinarum promissionum vis. Unde non tunc tantummodo cum habebant Israhelitae Zorobabelem ducem, sed antea quoque cum Ezecias ipsis dominaretur, ex Dei promissione ipse pariter principatum adsecutus, tantus exercitus adversus Hierusalem veniens nihil valuit efficere, quia divinum ade-

καί τοι γε τὴν τῶν δέκα φυλῶν βασιλείας οἱ αὐτοί γε μετὰ πολλῆς κεκρατήκασι τῆς εὐμαρείας, οἱ μετὰ τὴν κατ' ἐκείνων νίκην ἐπεληλυθότες τῇ Ἱερουσαλὴμ, μεγίστην ἐκ τῆς τοῦ ἀγγέλου πληγῆς ἐδέξαντο τὴν τιμωρίαν· φαίνεται γὰρ καὶ ἐν ἐκείνοις λέγων ὁ θεὸς, ὅτι ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου· δεικνὺς ὅτι τῶν ἐπαγγελιῶν τῶν πρὸς ἐκεῖνον μεμνημένος, καὶ τὰ νῦν αὐτὸς διαπράξεται, συνεργῶν τῷ τότε τὴν βασιλείαν ἔχοντι τοῦ Ἰσραὴλ, λέγω δὴ τῷ Ἐζεκίᾳ.

Εἰρηκὼς τοίνυν τὰ κατὰ τὸν Ζοροβάβελ ὡς ἔφην πόῤῥωθεν ὄντα, ἀναγκαίως διὰ τὴν τῶν
πραγμάτων συγγένειαν, εἰς τὴν τοῦ προκειμένου σύστασιν, μέμνηται τῆς κατὰ τὸν ἀσσύριον
ἐπὶ τοῦ Ἐζεκίου γεγονότων· καί φησιν. " Καὶ ἔσται αὕτη ἡ εἰρήνη, ὅτ' ἂν ὁ ἀσσύριος ἐπέλθῃ p. 298.
ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅτ' ἂν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν. " Τοῦτο γὰρ δή φησιν ὅπερ τότε v. 5.
διὰ τοῦ Ζοροβάβελ πεποίηκεν ὁ θεὸς, παύσας μὲν τοσοῦτον πόλεμον, εἰρήνην δὲ ἰσχυρὰν
δεδωκὼς τοῖς οἰκείοις· τοῦτο δὴ καὶ κατ' ἐκεῖνον ἐργάσεται τὸν καιρὸν μετ' οὐ πολὺ γενησό-
μενον, ὁπηνίκα ἂν ὁ ἀσσύριος ἐπέλθῃ τῇ Ἱερουσαλήμ· τότε γὰρ δὴ παραδόξως μὲν τὸ
τοσοῦτο τροπώσεται πλῆθος· παράδοξον δὲ τοῖς οἰκείοις παρέξει τὴν εἰρήνην, Ἐζεκίου βασι-
λεύοντος ἐκ τῆς τοῦ Δαυὶδ διαδοχῆς κατὰ τὴν ἐπαγγελίαν τὴν θείαν. Εἶτα λέγων τὰ ἐσόμενα.
" Καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀνθρώπων· καὶ ποι- v. 6.
μανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ, καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς. " Τὸ ἑπτὰ ποι-
μένες καὶ ὀκτὼ δήγματα ἀνθρώπων, μυθωδέστερον τινὲς νενοήκασιν· ἑπτὰ μὲν ποιμένας,
προφήτας ἀριθμοῦντες ἑπτά· ὀκτὼ δὲ δήγματα, Ἐζεκίαν μετὰ τῶν ὑπηρετουμένων αὐτῷ πρὸς
τὴν βασιλείαν, λέγοντες· οὓς οὐδ' οἵ τινες εἰσὶν οἱ ὀκτὼ δεδύνηνται λέγειν, ἀποφάσει δὲ τὸν
λόγον ἐπιστώσαντο τὸν οἰκεῖον· εἰ δὲ τοὺς ὑπηρετουμένους τῇ βασιλείᾳ τίς λέγειν ἐθέλοι, καὶ
πολλῷ πλείους τῶν ὀκτὼ γενέσθαι δυνήσονται· ἀλλὰ πεποίηκε τὴν πλάνην τοῖς οὕτω νενοηκόσι, p. 299.

rat auxilium ei qui ex Dei promissione regnum Israhelis tenebat. Quamquam vero iidem hostes decem tribuum regnum tam facile subiugaverant, nihilominus cum post illam victoriam Hierusalem adgressi essent, ab angelo cladem passi sunt. Exploratum est enim tunc quoque dixisse Deum: urbem hanc et propter me et propter Davidem servum meum defendam; demonstrans, quod promissorum Davidi memor, nunc quoque idem praestabit, opem praebens regnum Israhelis tenenti, id est Ezeciae.

Postquam itaque dixisset res Zorobabelis adhuc sua aetate remotas, necessario ob eventuum cognationem, ad propositionis confirmationem, memorat expeditionem Assyriorum sub Ezecia, aitque: " et erit haec pax, quando Assyrius venerit in terram vestram, et quando ascenderit in regionem vestram. " Quod aliquando faciet Dominus per Zorobabelem, tantum sedans bellum, validamque pacem suis concedens; id ipsum illo tempore nobis propinquo faciet, quando Assyrius veniet contra Hierusalem: tunc enim mirabiliter tantam profligabit multitudinem: insperatam autem suis concedet pacem, Ezecia regnante, ex Davidis successoribus, secundum divinam promissionem. Mox futura dicens: " et consurgent adversus eum septem pastores, et octo morsus hominum. Et pascent Assyrium in gladio, et terram Nebrodi in fovea eius. " Septem pastores, et octo rursus hominum, fabulosius nonnulli intellexerunt, dum septem pastores, septem numerant prophetas; octo autem morsus, Ezeciam cum suis regni administris esse aientes: nam nec qui sint hi octo, dicere potuerunt, solaque adfirmatione sermoni suo fidem fecerunt. Quod si revera de regni administris cogitare quis velit, multo plures quam octo esse poterunt. Sed

τὸ μὴ πρὸς τὸ ἰδίωμα τῆς θείας γραφῆς ἀπιδεῖν, ἀναγκασθῆναι δὲ ἐντεῦθεν μύθους ἀναπλάσαι γραώδεις, ἵνα τι δόξωσι λέγειν· ἰδίωμα δέ ἐστι τῆς θείας γραφῆς τὸ τὸν τέλειον ἀριθμὸν ἐνίοτε καλεῖν ἑπτά· τὸ δὲ ὑπὲρ τοῦτο, ἀνθ' ὑπερβολῆς λαμβάνειν· ἐπειδὴ γὰρ ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τῇ δὲ ἑβδόμῃ κατέπαυσεν (ὥστε καὶ ἀργεῖν Ἰουδαίους τὸ σάββατον διὰ ταύτην τὴν αἰτίαν) ἅπας τε ὁ τῶν ἡμερῶν ἀριθμὸς ἐν ταῖς ἑπτὰ ταύταις ἀνακυκλοῦσθαι εἴωθε, πάντων ἀρχομένων μὲν ἀπὸ πρώτης, λεγόντων δὲ εἰς τὴν ἑβδόμην, μετὰ δὲ τὴν ἑβδόμην, αὖθις ἐπὶ τὴν πρώτην ἀναστρεχόντων· διὰ ταύτην ἡ θεία γραφὴ τὴν αἰτίαν, ἑπτὰ μὲν τὸ τέλειον καὶ ἀπηρτισμένον καλεῖ, ὀκτὼ δὲ ὡς εἶπον τὴν ὑπερβολήν.

* Gen. IV. 15. Οὕτως ὁ θεὸς λέγει τὸ *, ἑπτὰ ἐκδικούμενα παραλύσει· ἵνα εἴπῃ ὅτι ὁ ἀναιρῶν αὐτὸν ὑπὲρ ἀνηκέστων πταισμάτων, μεγίστην τινὰ καὶ ἀπηρτισμένην αὐτοῦ τιμωρίαν ἐπικειμένην
* Eccle. XI. 2. εὑρεθήσεται λύων· τοιοῦτον ἐστι καὶ παρὰ τῷ ἐκκλησιαστῇ τὸ *, δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτώ· ἵνα εἴπῃ, φιλοτίμως δίδου τοῖς δεομένοις, μὴ δὲ ὑπερβολῇ περὶ τοῦτο χρῆ-
* Matth. XVIII. 21. σθαι παραιτούμενος· ἐντεῦθεν ὁ μακάριος ἔφη Πέτρος· * ποσάκις, ἐὰν ἁμάρτῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ, ἕως ἑπτάκις; ὡς ἀρκοῦντα τὸν τέλειον εἰπὼν ἀριθμόν· ὃν
p. 300. ὑπερβῆναι κατὰ πολλὴν περιουσίαν βουλόμενος ὁ κύριος, ἐπήγαγε τὸ, οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά· τοιοῦτο δή τι κἀνταῦθα φησίν· ἐπεληλυθότα γὰρ τὸν Ἀσσύριον μετὰ τοῦ στρατοπέδου τοῦ οἰκείου, μεγάλῃ μέν τινι καὶ βαρυτάτῃ, διὰ τῆς ὑπουργίας τοῦ ἀγγέλου περιβέβληκεν ὁ θεὸς τῇ τιμωρίᾳ· πολλῶν δὲ ἀναιρεθέντων, εἰς φυγὴν τε ἐτράπησαν οἱ λοιποὶ, καὶ τοῖς κατὰ τόπους εὐάλωτοι γεγονότες πλεῖστα ὅσα πεπόνθασιν ἐν διαφόροις καὶ παρὰ διαφόρων, τῶν ὡς ἂν φεύγωσι μετὰ πολλῆς ἐπιόντων τῆς εὐμαρείας καὶ τοὺς ἐμπίπτοντας ἀναιρούντων· τὸ τελευταῖον δὲ μετὰ πολλῆς τῆς ἀτιμίας ὁ βασιλεὺς αὐτῶν εἰς τὴν χώραν ἀπεληλυθὼς τὴν οἰκείαν, ὑπὸ τῶν υἱῶν ἀνῃρέθη τῶν ἰδίων· ὡς φαίνεσθαι τὴν τιμωρίαν

enim error his qui ita cogitarunt, ideo obrepsit, quia non considerato divinae scripturae idiotismo, coacti sunt fabulas confingere aniles, ut aliquid dicere viderentur. Est autem divinae scripturae idiotismus, perfectum numerum interdum appellare septenarium; quidquid autem ultra septenarium est, pro excessu habere. Nam quia sex diebus fecit Deus caelum et terram, et septimo requievit (quare et Iudaei hanc ob causam in sabbato otiantur); totus autem dierum numerus intra hoc septenarium revolvi solet, cunctis a primo incipientibus, et in septimum desinentibus; et post hebdomadam denuo ad primum recurrentibus; hac de causa divina scriptura, septem appellat id quod est perfectum et absolutum; octo autem, ut dixi, excessum.

Ita Deus ait: septem vindictas exsolvet. Ut dicat: qui occiderit illum ob summa crimina, maximam aliquam plenamque ipsi impositam comperietur poenam persolvere. Simile quid apud Ecclesiastem: da partem septem, immo et octo. Ut dicat: abunde tribue indigentibus, et ne renuas hac in re excedere. Hinc beatus Petrus: quoties in me peccabit frater meus, et dimittam illi, num usque septies? septenarium dicens numerum ut sufficientem. Quem ab eo magnopere superari volens Dominus, subdidit: non dico tibi usque septies, sed usque septuagies septies. Consimile quiddam heic quoque dicit. Namque Assyrium cum exercitu suo advenientem, magna atque gravissima angeli ministerio irretivit Deus punitione: multis enim interfectis, in fugam se reliqui coniecerunt; et locorum incolis facilis praeda effecti, sexcenta passi sunt multifariam mala atque a multis, dum fugientes facile admodum adorirentur, et deprehensos occiderent. Postremo multa cum ignominia rex eorum ad propriam ditionem reversus, a liberis suis interemptus fuit: ut explora-

αὐτοῖς ἐπαχθεῖσαν παρὰ τοῦ θεοῦ βαρυτάτην, οὐ μόνον διὰ τῶν ὑπὸ τοῦ ἀγγέλου πληγέντων περὶ τὴν Ἱερουσαλὴμ ἀλλὰ καὶ διὰ τῶν λοιπῶν τῶν μετὰ πολλοῦ τοῦ δέους πεφευγότων τε ἐκεῖθεν καὶ ποικίλως ἀναιρεθέντων· περὶ ὧν δὲ καὶ ὁ μακάριος Δαυὶδ*, ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν· τοῦτο δηλῶν ὅτι τραπήσονται μὲν ἅπαντες εἰς φυγήν, κινήσει δὲ τὴν ὀργὴν τὴν οἰκείαν καὶ κατὰ τῶν ὑπολελειμμένων ὁ θεός· τοῦτο τοίνυν ἐνθάδε βούλεται λέγειν, ἑπτὰ μὲν ποιμένας ἐπεγερθήσεσθαι λέγων· ἵνα δηλώσῃ τῆς θείας τιμωρίας τὴν βαρύτητα, ἣν τελείαν τε καὶ ἀπηρτισμένην διὰ τῆς τοῦ ἀγγέλου πληγῆς ἐπήγαγεν αὐτοῖς ὁ θεός.

* Ps. XX. 13.

p. 301.

Ὀκτὼ δὲ δήγματα ἀνθρώπων, ἵνα τὴν ὑπερβολὴν εἴπῃ τῶν καταληψομένων αὐτοὺς κακῶν μετὰ τὴν ἐκεῖθεν φυγήν, διαφόρως τῶν τε κατὰ τόπον ἀνθρώπων καὶ τῶν πρὸς αὐτῇ γε αὐτῶν τῇ χώρᾳ καθεστώτων, τούς τε φεύγοντας ἀπολλύντων, καὶ τῶν ἐν τοῖς τόποις καταπεφευγέναι δοκοῦντας τοῖς ἰδίοις· μεθ' ὧν ἀναιρεθῆναι καὶ τὸν βασιλέα ὑπὸ τῶν υἱῶν συνέβη τῶν ἰδίων· ὃ καὶ καλῶς ἀνθρώπων εἶπε δήγματα, ἀντιδιαστέλλων αὐτὰ τῇ διὰ τοῦ ἀγγέλου τιμωρίᾳ· εἶτα ἐπάγει. " Καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς. „ Ἵνα εἴπῃ ὅτι ξίφει τε καταναλωθήσεται ὁ ἀσσύριος, καὶ τὴν γῆν τὴν οἰκείαν ὄψεται δῃουμένην, ὅπερ οὖν καὶ πέπονθεν ὑπὸ τῶν Βαβυλωνίων ὕστερον· γῆν γὰρ τοῦ Νεβρὼδ ἐκείνην ὀνομάζει, ὡς ἐν ἐκείνοις τοῖς τόποις τοῦ Νεβρὼδ γεγονότος, τὰ βασίλειά τε ἔχοντος ἐκείνων, ὃς μέγας ἐφαίνετο παρὰ τοῖς τότε ἀνθρώποις ἐπὶ δυνάμει φρονῶν· οὕτω γὰρ ἡ τῆς κτίσεως βίβλος φησίν· * οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου· διὰ τοῦτο ἐροῦσιν ὡς Νεβρὼδ γίγας κυνηγὸς ἐναντίον τοῦ θεοῦ· καὶ ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλών· ἐπειδὴ τοίνυν ἐξ ἐκείνου μέγα ἐφρόνουν οἱ ἀσσύριοι ὡς μεγάλοι τὴν δύναμιν ἅτε ἐκ τοιούτου καταγόμενοι, τοῦτό τι ὁ προφήτης εἰπεῖν ἠβουλήθη, ὅτι ἡ τῶν δοκούντων ἀνδρείων εἶναι χώρα, πᾶσα ἐν τοῖς οἰκείοις τόποις ὑπὸ πολεμίων ἀναιρεθήσεται,

* Gen. X. 9.

tum sit, punitionem illis inflictam a Deo gravissimam: nec illis solum ab angelo circa Hierusalem percussis, sed reliquis etiam qui gravi timore correpti indidem fugiebant. De quibus etiam beatus dicit David: pones eos dorsum; in reliquiis tuis praeparabis vultum eorum. Hoc significans, fore ut omnes in fugam convertantur; commoveatque iram suam etiam in superstites Deus. Hoc igitur vult hoc loco dicere, dum septem pastores suscitatum iri ait; declarat scilicet divinae punitionis gravitatem, quam perfectam plenamque per angeli cladem adduxit illis Deus.

Octo hominum morsus dicit, ut cumulum incubiturorum post fugam illinc malorum denotet, multis per ea loca hominibus, utpote qui in sedibus propriis perstabant, fugientes perdentibus; nec non et illos qui in patriam se putabant evasisse, quibuscum regem quoque a suis liberis interimi contigit: quam rem elegante vocabulo dixit hominum morsus, ut ab angeli punitione distingueret. Postea dicere pergit: " et pascent Assyrium in gladio, et terram Nebrodi in fovea eius. „ Ut dicat gladio consumendum Assyrium, qui propriam quoque regionem cernet vastatam: quod reapse malum passus postea a Babyloniis est. Iam terram Nebrodi illam nuncupat, quia illis fuit in locis Nebrodus gigas, qui regiam dignitatem apud ipsos obtinuit, magnusque visus est apud eius temporis homines, virium suarum conscientia elatus. Sic enim ait creationis liber: hic fuit gigas venator coram Deo. Propterea dicent: sicut Nebrodus gigas venator coram Deo: fuitque caput regni eius Babylon. Quia igitur huius causa superbiebant Assyrii, ceu magnis praestantes viribus, utpote a tali viro progeniti, hoc fere dicere voluit propheta, quod quae fortium viro-

οὐδὲν ὑπὸ τῆς ἰσχύος ὠφελουμένων τῆς οἰκείας ἐφ᾽ ᾗ μέγα ἐφρόνουν, διὰ τὴν ὀργὴν τὴν θείαν.
Ἀκολούθως μέν τοι γε τοῖς εἰρημένοις ὁ προφήτης " καὶ ῥύσεταί σε φησὶν ἐκ τοῦ Ἀσσούρ,
ὅτ᾽ ἂν ἀπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅτ᾽ ἂν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν. „

Εἶτα εὐαγγελισάμενος τοῖς Ἰσραηλίταις τὸ μηδὲν ὑπὸ τοῦ Ἀσσυρίου πείσεσθαι κακόν,
v. 7. ἐπάγει. " Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς
δρόσος παρὰ κυρίου ἐπιπίπτουσα, καὶ ὡς ἄρνες ἐπ᾽ ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς,
μὴ δὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων. „ Οἱ γὰρ ἐκ τοῦ Ἰσραὴλ ὑπολειφθέντες ἐπὶ τῆς Ἰουδαίας,
εἴ τ᾽ οὖν τῆς Ἱερουσαλὴμ, τούτων γεγονότων, αἰδέσιμοι φανοῦνται πᾶσι τοῖς ἐκτὸς, καὶ πολ-
λῆς ἄξιοι σπουδῆς, οὐχ ἧττον ἢ δρόσος ἐστὶ ποθεινὴ τοῖς γεωργοῖς κατὰ καιρὸν καταφερομένη
p. 303. τὸν οἰκεῖον· διοίσουσι τε οὐδὲν προβάτων ἄγρωστιν νεμομένων, οὕτως ἅπαντα τῶν ἀπολω-
λότων τε καὶ πεφευγότων ἐπιόντες τὰ λάφυρα· ὡς καὶ δέος ἅπασιν ἐγγίνεσθαι τοῖς ἀνθρώ-
v. 8. ποις, τοῦ μηδένα ποτὲ ἐπιχειρῆσαι τῷ κατ᾽ αὐτῶν πολέμῳ. " Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ
Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν τοῖς κτήνεσι τοῦ δρυμοῦ, καὶ
ὡς σκύμνος ἐν ποιμνίοις προβάτων· ὃν τρόπον ὅτ᾽ ἂν διέλθῃ καὶ διαστείλας ἁρπάσῃ, καὶ
v. 9. μὴ ᾖ ὁ ἐξαιρούμενος· ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί
σου ἐξολοθρευθήσονται. „ Καὶ διοίσετε φησὶν οὐδὲν λέοντος φοβεροῦ τοῖς κτήνεσιν· οὕτως
ἅπασι τοῖς ἀλλοτρίοις ὄντες φοβεροὶ λοιπὸν, διὰ τὴν τοῖς Ἀσσυρίοις ὑπὲρ ὑμῶν ἐπιγενομένην
πληγήν· ὡς γὰρ ἂν εἴ τις λέων (σκύμνον γὰρ πάλιν τὸ αὐτὸ λέγει, τὸ τοῦ λέοντος γέννημα
οὕτω καλῶν) ποίμνῃ προβάτων ἀθρόον ἐμπεσὼν, ὁπόσα βούλεται ἐξ αὐτῶν κατὰ τὴν ἰσχὺν
ἁρπάσῃ τὴν οἰκείαν, οὕτως τοῖς ἐχθροῖς τοῖς ὑμετέροις δυνατώτεροι νομισθήσεσθε τοῦ λοιποῦ,
ἅτε τοιαύτης ἀπωλείας ἐπενεχθείσης τοῖς ἐπικεχειρηκόσιν ὑμῖν ἐπελθεῖν.

Ταῦτα περιέσεσθαι τοῖς Ἰσραηλίταις διὰ τῆς τῶν Ἀσσυρίων πληγῆς εἰρηκὼς ὁ προφή-

rum videbatur esse patria, ea tota ab hostibus pessumdabitur, nihil ei suis viribus profuturis quibus superbiebat, propter divinam iram. Consentanee demum praedictis propheta " liberabitque te, inquit, ab Assyrio cum venerit in terram vestram, et cum ad fines vestros ascenderit.

Deinde gratum nuncium Israhelitis canens, fore ut nihil mali ab Assyriis patiantur, addit. " Et erunt reliquiae Iacob in gentibus in medio populorum multorum, quasi ros a Domino cadens, et quasi agni super gramen, ut non congregetur quispiam, neque subsistat in filiis hominum. „ Etenim qui relicti fuerint in Iudaea sive Hierusalem, venerabiles extraneis cunctis videbuntur, multoque digni studio, haud secus quam agricolis gratus est ros tempore proprio decidens: similesque apparebunt ovibus depascentibus gramen; sic enim pereuntium atque fugientium carpent exuvias: ex quo timor fiet cunctis hominibus, quominus eos bello quatere velint. " Et erunt Iacob reliquiae in gentibus in medio populorum multorum, ut leo in iumentis silvae et ut catulus leonis in gregibus pecorum, qui cum transierit et dividens rapiat, non est qui eruat. Exaltabitur manus mea super tribulantes te, et omnes inimici tui interibunt. „ Haud dissimiles leoni eritis bestiis tremendo: adeo cunctis extraneis posthinc terribiles, propter cladem Assyriis vestri causa inlatam. Nam sicut leo (catulum autem rursus dicit eundem, leonis natum sic appellans) gregi ovium repente incidens, quotquot ex his voluerit pro suis viribus rapit, ita vos fortiores hostibus vestris abhinc esse reputabimini, quoniam tanta pernicies adgressoribus vestris obvenit.

Postquam haec Israhelitis eventura, plagae causa Assyriis impositae, propheta

της, ἐφεξῆς καὶ τὴν κατ᾽ αὐτῶν τῶν ἀσσυρίων τιμωρίαν πλατύτερον λέγει· κατὰ γὰρ ἐκεῖνον
δὴ τὸν καιρὸν φησὶ πάντας τούς τε ἵππους καὶ τὰ ἅρματα ἀφανιεῖ· ἵνα εἴπῃ τὴν ὁπλιτικὴν p. 304.
παρασκευὴν ἄχρηστον ἀποφανεῖ πᾶσαν· ἀπολεῖ δέ σου τὰς πόλεις ἁπάσας, κἂν εἴ τινες v. 10.
ἰσχυραί τε καὶ μετὰ πολλῆς τετειχισμέναι τῆς ἀσφαλείας ἐν αὐταῖς εἶναι δοκοῖεν· συναπολέσει v. 11.
δὲ αὐταῖς καὶ πάντα ὅποσα περ διὰ τῆς δαιμονικῆς μετῄεις * θεραπείας· τὰ γὰρ φάρμακά v. 12.
σου τοῦτο λέγει, ἵνα εἴπῃ τὰς ἐπῳδὰς καὶ τοὺς οἰωνισμοὺς, καὶ ὅποσα δὴ τοιαῦτα ἔθος ἦν
γίνεσθαι παρ᾽ αὐτοῖς· οὐ τοίνυν οὐδὲ τοὺς ἀποφθεγγομένους ἐξῆς ἔτι τοὺς ταῖς μαντείαις καὶ
χρησμοῖς κεχρημένους· ἐπειδὴ καὶ τὰ εἴδωλά σου πάντα καὶ τὰς στήλας ἀφανισμῷ παντελεῖ v. 13.
παραδώσει· ὡς μὴ δὲ βουλομένῳ σοι δυνατὸν εἶναι τὰ αὐτὰ τοῖς πρόσθεν ποιεῖν καὶ προσκυ-
νεῖν τοῖς ἔργοις τῶν χειρῶν τῶν ὑμετέρων· ἐκκοπήσεται δὲ καὶ τὰ ἄλση ἐν οἷς τὰς θρησκείας v. 14.
ἐπιτελεῖτε τὰς οἰκείας, τάς τε πόλεις ὑμῶν ἁπάσας ἀφανιῶ· καὶ συντόμως εἰπεῖν ὀργῇ v. 15.
καὶ θυμῷ χρησάμενος μεγίστην καὶ βαρυτάτην ὑμῖν τήν τε τιμωρίαν ἐποίσω καὶ τὴν ἀπώλειαν, ὑπὲρ ὧν ἀποσχέσθαι τῆς χώρας οὐκ ἠβουλήθητε τῆς ἐμῆς, ἀλλὰ γὰρ ἠλπίσατε παρὰ τὸ ἐμοὶ δοκοῦν ἐρημίᾳ παραδιδόναι καὶ ταύτην· καὶ ἐπειδὴ συνεπέρανε τὴν ἐπαχθησομένην
τοῖς ἀσσυρίοις τιμωρίαν, ὑπὲρ ὧν ἐπελθεῖν τετολμήκασι τῇ Ἱερουσαλήμ, τρέπει πρὸς τὸν p. 305.
λαὸν τὸν λόγον, ἐν καιρῷ νῦν μάλιστα τὴν ἀγνωμοσύνην αὐτῶν ἐλέγχειν ὑπειληφώς· καὶ δὴ καὶ κριτήριόν τι καθίζων ὁ προφήτης οὕτω φησίν.

* cod. μετιεῖς.

ΚΕΦ. ς'.

“ Ἀνάστηθι κρίθητι πρὸς τὰ ὄρη· καὶ ἀκουσάτωσαν βουνοὶ φωνήν σου· ἀκούσατε βουνοὶ v. 1.
τὴν κρίσιν τοῦ κυρίου καὶ αἱ φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν v. 2.
αὐτοῦ καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται. „ Ἀλλ᾽ ἐπειδὴ τοιούτων φησὶ τῶν παρὰ θεοῦ γε-

edixit, deinde eorundem Assyriorum poenam latius narrat. Namque illo tempore, ait, cunctos equos currusque destruet Dominus; ut dicat: universum bellicum apparatum praestabit inutilem: cunctasque tuas urbes perdet, quamquam ex his aliquae satis firmae multoque munitae praesidio esse videantur: cum iisque peribunt quotquot tu daemoniaco cultu prosequebaris: nam vocabulo veneficia id denotat; nempe incantationes, auguria, et quaecumque huiusmodi apud eos fieri consueta. Ergo ne respondentes quidem per oracula erunt, sive divinationibus oraculisque utentes: quia idola tua omnia titulosque supremo tradet exitio: ita ut ne si volueris quidem, veteres ritus tuos frequentare valeas, et opificia manuum vestrarum adorare. Excidentur etiam luci, in quibus superstitiones vestras agitis: civitates denique omnes destruam. Atque ut summatim dicam, ira ac furore commotus maximam gravissimamque vobis poenam imponam atque perniciem, quia mea noluistis abstinere terra; sed hanc quoque praeter beneplacitum meum depopulari voluistis. Iam ubi de futura poena Assyriorum dicendi finem fecit, propter illorum adversus Hierusalem ausum, ad populum verba convertit, nunc opportune ingratum illius animum reprehendere adgrediens. Quin adeo tribunal quoddam statuens propheta, sic ait.

CAP. VI.

“ Surge et iudicio discepta cum montibus, et audiant colles vocem tuam. Audite colles iudicium Domini, nec non valles fundamenta terrae; quia iudicium Domino cum populo suo, et cum Israhele disceptabit. „ Sed quia tot tantisque

γονότων εἰς αὐτοὺς, οὐδὲν ἧττον ἐπὶ τῆς ἀγνωμοσύνης μένουσι τῆς οἰκείας, ὑπὲρ ὧν δὴ καὶ τὴν
ἐκ Βαβυλῶνος ὑπομένουσιν αἰχμαλωσίαν, ἥδιστα ἂν κρίσιν ποιησαίμην τοῦ τε θεοῦ κἀκεί-
νων· καὶ δέξομαι κριτὰς τά τε ὄρη καὶ τοὺς βουνοὺς καὶ τὰς φάραγγας, ἃ πρότερον μὲν
ἐδέξατο τὸ ἀναρίθμητον ἐκεῖνο τῶν ἀσσυρίων πλῆθος ἐπεληλυθὸς τῇ Ἱερουσαλὴμ καὶ
κατὰ πάντας τοὺς ἔξωθεν διεσπαρμένον τόπους· ἀφ' οὗ δὴ καὶ φόβος τοῖς κατὰ τὴν πόλιν ὡς
εἰκὸς ἐπέκειτο πλεῖστος, εἶτα ἀθρόον νεκρὰ τὰ τοσαῦτα σώματα εἶχεν ἐν ἑαυτοῖς ἐρριμ-
μένα τῶν πρὸ βραχέος μεγάλα φρονούντων· ἀξιόπιστοι γὰρ οὗτοι πρὸς τὴν κρίσιν ἔσονται
ταύτην, οἱ καὶ θεαταὶ τῶν γεγονότων· εἶθ' ὡς ἂν κριτήριον καθίσας καὶ δὴ πρόδηλον τῶν
Ἰσραηλιτῶν τὴν ἀγνωμοσύνην ποιήσας ὑπὸ κριταῖς τοῖς καὶ μάρτυσι τῶν γεγονότων, εἰσάγει
v. 3. p. 306. λοιπὸν ἐκ περιουσίας τὸν θεὸν λέγοντα πρὸς αὐτούς· " λαός μου, τί ἐποίησά σε, ἢ τί παρ-
ηνώχλησά σοι; ,, Ἀλλὰ γὰρ τὰ μὲν κατὰ τῶν ἀσσύριον δῆλα φησὶν ὅπως ἔχει, ὅσην τε
τε τῆς κηδεμονίας μου τῆς περὶ ὑμᾶς παρέχητε τὴν ἀπόδειξιν· ἐπιτρέπω δὲ ὑμῖν λέγειν, εἴ τι
μικρὸν ἢ μέγα πώποτε λελύπησθε παρ' ἐμοῦ, εἰ πεποίηκα τί βλάπτων ὑμᾶς, εἰ λελύπηκα
καθάπαξ, εἰ φορτικὸς ἔν τισιν ὤφθην ὑμῖν· εἶθ' ὡς ἂν οὐδὲ πρὸς ταῦτα φωνὴν ἐχόντων,
" ἀποκρίθητί μοι ,, φησίν· ἵνα εἴπῃ λέγε, εἴ τι ἔχεις· δέξομαι γάρ, ἂν ἀληθεύων λέγῃς.
Εἶθ' ὡς σεσιωπηκότων καθάπαξ διὰ τὴν συνείδησιν, καὶ διὰ τὸ μηδὲν ἔχειν τῶν εἰρημένων
v. 4. ὑπὸ τοῦ θεοῦ ἐλέγχειν ψευδές, ἐπάγει. " Διότι ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου
δουλείας ἐλυτρωσάμην σε· καὶ ἐξαπέστειλα πρὸ προσώπου τὸν Μωσῆν καὶ Ἀαρὼν καὶ Μα-
ριάμ. ,, Ἀλλὰ μὴ τοῦτό μοι, ὅτι σε παρὰ πᾶσαν ἐλπίδα τῆς οὕτω πικρᾶς ἀπήλλαξα
δουλείας, Μωσῇ τε καὶ Ἀαρὼν καὶ Μαριὰμ ὑπηρέταις τε καὶ προηγουμένοις τῆς δωρεᾶς χρη-
v. 5. σάμενος ταύτης. " Λαός μου μνήσθητι τί ἐβουλεύσατο κατὰ σοῦ Βαλὰκ βασιλεὺς Μωάβ· καὶ
τί ἀπεκρίθη αὐτῷ Βαλαὰμ υἱὸς τοῦ Βεὼρ ἀπὸ τῶν σχοίνων ἕως τοῦ Γαλγάλ, ὅπως γνωσθῇ
p. 307. ἡ δικαιοσύνη τοῦ κυρίου. ,, Ἀλλὰ γὰρ ὑπομνήσθητι καὶ τῶν κατὰ τὸν Βαλὰκ τῶν Μωαβιτῶν βα-

in eos collatis a Deo beneficiis, ingratum nihilominus animum retinent, cuius causa etiam babylonicam pertulerunt captivitatem, sane perlibenter iudicium instituam inter Deum et illos: sumamque iudices montes et colles vallesque, quae antea innumerabilem illam exceperunt Assyriorum multitudinem Hierusalem adgredientium, per omnes extra locos dispersam: unde plurimus urbis incolas timor incessit; dein repente tot habuerunt circa se proiecta cadavera hominum tanta nuper superbia elatorum. Digni certe fide testes hi erunt in iudicio, qui et spectatores fuerunt. Mox tamquam pro tribunali sedens, et iam convicta Israhelitarum vecordia, coram iudicibus rerumque testibus, introducit postea dicis causa Deum ipsum eis dicentem: popule meus, quid feci tibi, aut in quo molestus tibi fui? ,, Profecto res assyriaca quae fuerit, constat, et qualis vos providentiae meae demonstratio extitistis. Superest ut mihi dicatis, num parum vel multum a me contristati fueritis, num aliquando nocuerim, aut omnino molestus vel gravis visus vobis fuerim. Mox, quasi nihil contra haec hiscere audentibus " responde mihi ,, inquit, quasi dicat, fare age si quid habes; admittam enim, si vera loquêris. Tum ceu illis prorsus silentibus conscientia sua convictis, et Dei verba nullatenus falsitatis arguere valentibus, pergit dicere. " Quia eduxi te de terra Aegypti, et de domo servitutis redemi te; et misi ante faciem tuam Moysem et Aaronem et Mariam. ,, Num ergo haec mihi retribuis, quia te insperato tam acerba liberavi servitute, Moyse, Aarone, ac Maria ministris ac ducibus tanti beneficii utens? " Popule meus memento, quid cogitaverit contra te rex moabita, et quid responderit ei Balac Moabitarum rex; et

βασιλέα, ὃς ἀπέστειλε μὲν καλῶν τὸν Βαλαὰμ καθ' ὑμῶν· ὁ δὲ πρότερον μὲν οὐδὲ ἀπελθεῖν διὰ τὸ ἐπίταγμα ἐβούλετο τὸ ἐμόν· ἀπεληλυθὼς δὲ ὕστερον, κατηράσατο μὲν οὐδ' ὅλως, ηὐλόγησε δὲ καὶ τὸ ἐμοί γε δοκοῦν· ὥστε διὰ πάντων εὔδηλον ὑμῖν εἶναι ὅτι ἀεὶ τὸ δίκαιον ὑπὲρ ὑμῶν ἐκίνησα καὶ τῶν ἀδικεῖν ὑμᾶς ἐπιχειρούντων, πάντας τε αὐτοὺς καὶ πολλῆς ἐπιμωρησάμενος τῆς ἀφειδίας.

Καὶ ἐπειδὴ μηδὲ μίαν ἀντίρρησιν ἐδέχετο τὰ εἰρημένα, ὡς ἂν συνηγόρου τινὸς τάξιν v. 6.
τοῦ λαοῦ πληρῶν ὁ προφήτης ἐκ τῶν ἐκείνων προσώπου τοιάδε φησίν. " Ἐν τίνι καταλάβω
τὸν κύριον; ἀντιλήψομαι θεοῦ μου ὑψίστου; ,, Ὡς γὰρ τοῦ λαοῦ τοῦτο λέγοντος, οὕτω φησίν,
ὅτι ἐπειδὴ διὰ πάντων ἐλέγχομαι ἐπὶ πολλαῖς ταῖς εὐεργεσίαις ἀγνώμων γεγονώς, τί δή
με ποιῆσαι προσήκει, ἵνα νῦν γοῦν ἐπιλάβωμαι τοῦ θεοῦ, ὅνπερ ἐμαυτὸν διὰ τῶν τρόπων
ἐχώρισα τῶν οἰκείων; καὶ πῶς φανῶ τῶν αὐτῷ δοκούντων ἀντεχόμενος; " Εἰ καταλήψομαι v. 7.
αὐτὸν ἐν ὁλοκαυτώμασιν ἐν μόσχοις ἐνιαυσίοις; εἰ προσδέξεται κύριος ἐν χιλιάσι κριῶν,
ἢ ἐν μυριάσι χιμάρων πιόνων; εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἀσεβείας μου, καρπὸν κοι-
λίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου; ,, Ὡς γὰρ διαπορούντων αὐτῶν ὅ τι καὶ ποιῆσαι προσ-
ήκειν αὐτοὺς ἐπὶ θεραπείᾳ τῆς τοσαύτης ἀγνωμοσύνης, οὕτω φησίν· ἐξιλάσομαι φησὶν αὐτὸν p. 308.
ἆρα, εἰ προσαγάγοιμι ὁλοκαυτώματα μόσχων ἐνιαυσίων, ἢ χιλιάδας καὶ μυριάδας
κριῶν τε αὐτῷ προσαγάγοιμι καὶ προβάτων, ἢ εἰ τὰ πρωτότοκα τῶν ἐμῶν γεννημάτων
αὐτῷ προσαγάγω, ὡς ἂν τῆς ψυχῆς ἀφέλω τὴν ἁμαρτίαν τῆς ἐμῆς; Πρὸς δὲ ταύτην τοῦ λαοῦ
τὴν ἀπορίαν ἀποκρινόμενος ὁ προφήτης φησίν. " Ἀπηγγέλη σοι ἄνθρωπε τί καλόν, καὶ τί v. 8.
κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα, καὶ ἀγαπᾶν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ
πορεύεσθαί σε ὀπίσω κυρίου τοῦ θεοῦ σου; ,, Πάρες δή φησιν ὁλοκαυτώματα καὶ θυσιῶν πλῆ-
θος καὶ πρωτοτόκων προσκομιδήν· εἰ δέ σοι φροντὶς ἐξιλάσασθαι τὸ θεῖον, ἐκεῖνα δια-

quid responderit ei Balaam filius Beori, de Schoenis usque ad Galgala, ut agnoscatur iustitia Domini. ,, Iam tu fac memineris Balaci quoque regis Moabitarum, qui ad se contra vos vocavit Balaamum; hic autem primo quidem ire noluit, mandato meo: postea profectus, nullatenus maledixit, sed prout ego volui benedixit. Quibus ex omnibus compertum vobis est, me rectum ius pro vobis semper persecutum contra adversantes vobis iniuste, quos omnes absque ulla venia punivi.

Et quia nullam contradictionem verba haec patiebantur, patroni veluti personam pro populo propheta sumens, haec ait. " In quo apprehendam Dominum? suscipiam Deum excelsum? ,, Tamquam populo hoc dicente, sic ait: quoniam multis beneficiis ingratus fui, quid nunc me facere oportet, ut Deum mihi recuperem, a quo moribus meis me seiunxi? Et quomodo placitorum eius iam studiosus videbor? " Num apprehendam Dominum holocaustis, et vitulis anniculis? Num suscipiet Dominus mille arietes, vel decem milia pinguium hircorum? Num dabo primogenita mea pro impietate mea, fructum ventris mei pro peccato meo? ,, Quasi ambigentibus ipsis quid agere deceret ob vecordiae tantae remedium, sic ait: num illum placavero, si holocausta vitulorum anniculorum obtulero, vel milia aut decem milia arietum ei adferam atque ovium? Et si primogenita generationum mearum ei exhibeam, num ex anima mea peccatum delevero? Huic vero populi dubitationi respondens propheta ait: " nuntiatum ne tibi fuit, o homo, quid sit bonum, et quid Dominus requirat a te, nisi ut facias iudicium, et diligas misericordiam, et paratus sis ambulare post dominum Deum tuum? ,, Omitte, inquit, holocausta et victimarum multitudinem, et primogenitorum oblationem. Quod si tibi curae est

πρᾶξαι ἅπερ ἄνωθέν σοι προσέταξεν διὰ τοῦ Μωσέως ποιεῖν ὁ θεός· ποῖα δὴ ταῦτα; ἵν'
ὀρθὴν ἐφ' ἁπάντων ποιῇ τὴν κρίσιν καὶ τὴν δοκιμασίαν, καθ' ἣν ἐκλέγειν ὀφείλεις ἀπὸ τοῦ
χείρονος τὸ κρεῖττον, καὶ ἵνα πᾶσαν τὴν δυνατήν σοι φιλανθρωπίαν τε καὶ συμπάθειαν
ἐπιδεικνύμενος εἰς τοὺς πέλας διατελῇς, καὶ ἵνα παρεσκευασμένος ᾖ εἰς τὸ παντὶ τρόπῳ
τὰ δοκοῦντα μετιέναι θεῷ· λέγει δὲ συντόμως εἰπεῖν τὸ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ
ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἀγαπήσεις
p. 309. τὸν πλησίον σου ὡς σεαυτόν· ἅπερ εἴρητο πάλαι διὰ Μωσέως· ταῦτα δὴ μέτιθι, φησί,
προτιμότερα θυσιῶν ὄντα θεῷ.
v. 9. “ Φωνὴ κυρίου τῇ πόλει ἐπικληθήσεται, καὶ σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ. ,, Εἰ γὰρ
δὴ ταῦτα φησὶ ποιοίης, φωνή τις θεοῦ φανήσεται ἡ πόλις τὰ δοκοῦντα αὐτῷ ποιοῦσα, ἔργῳ
τε τὸν νόμον ἐπιδεικνῦσα τὸν θεῖον, ὥστε καὶ ἐπὶ παντὸς κινδύνου τῆς θείας ἀξιουμένους κη-
δεμονίας τοὺς ἐν αὐτῇ καθεστῶτας, μηδενὸς λυπηροῦ δέχεσθαι πεῖραν· εἶτα παραινετικῶς
v. 10. πάλιν ὁ προφήτης τρέπει πρὸς αὐτοὺς τὸν λόγον. “ Ἄκουε φυλή, τίς κοσμήσει πόλιν; μὴ
πῦρ καὶ οἶκος ἀνόμου θησαυρίζων θησαυροὺς ἀνόμους καὶ μετὰ ὕβρεως ἀδικίας; ,, Οὔτε γὰρ
πῦρ οἷόν τε κοσμῆσαι πόλιν· τοὐναντίον γὰρ αὐτὴν ἀφανίζει· οὔτε γὰρ παράνομος ἀνὴρ καὶ
μετὰ πολλῆς τῆς ἐπιμελείας τὴν παρανομίαν ἐργαζόμενος, καὶ πολλῇ μὲν ὕβρει, πολλῇ δὲ
ἀδικίᾳ συζῶν, κερδανεῖ τὴν τιμωρίαν· ἀφανίζουσι γὰρ οὐχ ἧττον πυρὸς οἱ τοιοῦτοι τὴν πόλιν οἰ-
v. 11. κοῦντες. “ Εἰ δικαιωθήσεται ἐν μαρσίππῳ στάθμια δόλου; ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσε-
v. 12. βείας ἐνέπλησαν, καὶ ἐνοικοῦντες αὐτὴν ἐλάλουν ψευδῆ, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη
ἐν τῷ στόματι αὐτῶν; ,, Ὡς γὰρ οὐχ οἷόν τε ἐν ἀνωμάλῳ τε καὶ ἀνίσῳ ζυγῷ φανῆναι
τὸ δίκαιον, ἢ στάθμια δεδολωμένα καὶ διεστραμμένα εὐπαράδεκτα γενέσθαι, οὕτως οὐδ' οἱ
p. 310. τὸν πλοῦτον τὸν οἰκεῖον ἐκ παρανομιῶν αὔξοντες ἀπολαῦσαι δυνήσονται τῶν προσόντων·
πάντες γὰρ οἱ τοιοῦτοι πόλιν οἰκοῦντες ψευδεῖ τε συζῶντες καὶ ὑπερηφάνῳ κεχρημένοι δια-

Deum placandi, illa fac quae tibi olim facere mandavit per Moysem Deus. Quaenam haec? Rectum in omnibus exercere iudicium et discrimen, ut bonum malo praeferas: quantam poteris benignitatem et misericordiam in proximos tuos expromere: paratum te esse ut omnimode Dei voluntatem sequaris. Dicit in summa: diliges dominum Deum tuum toto corde tuo, et tota mente tua, et tota anima tua; et diliges proximum tuum sicut te ipsum: quae quidem dicta fuerant antiquitus per Moysem. Haec facito, inquit, quae Deus prae victimis aestimat.

“ Vox Domini civitati acclamabitur, salvabitque timentes nomen eius. ,, Haec si fecerit, vox quaedam Dei esse videbitur civitas, beneplacita eius faciens, et opere divinam legem demonstrans: quo fiet ut in quovis periculo cives eius divina tutela protecti, nullam molestiam capiant. Exin adhortando, rursus verba ad populum convertit propheta. “ Audi, o tribus: et quis ornabit civitatem? Num ignis et domus iniqui thesaurizans thesauros iniquos, et contumeliae iniurias? ,, Neque ignis ornare urbem valet, quam potius destruit: neque impius vir multo cum studio peccans, contumeliose et inique vivens, vitabit punitionem. Pessumdant enim, haud secus quam ignis, homines huiusmodi civitatem. “ Num iustificabitur in statera iniustus, et in saccello pondera dolosa? de quibus divitias suas impietatis impleverunt, et habitantes in ea loquebantur mendacia, et lingua eorum exaltata est in ore ipsorum? ,, Sicut enim in anomala et inaequali statera iustum cerni nequit, neque pondera fraudulenta et vitiata recipi; ita nec illi qui opes suas ex iniquitatibus augent frui his poterunt. Nam isti omnes civitatis incolae, cum fallacia vi-

νοίᾳ, ὡς μηδένα τὸν ἐπὶ τούτοις τιμωρίας τοῦ θεοῦ ποιεῖσθαι λόγον, ἐξ ἀνάγκης ὑπὸ τὴν τιμωρίαν γενήσονται τὴν θείαν.

“ Καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε· ἀφανιῶ ὑμᾶς ἐν ταῖς ἁμαρτίαις αὐτῶν. „ Τοιαῦτα v. 13.
γὰρ ποιοῦντας τῇ τιμωρίᾳ πλήξας τῇ ἐμῇ, ἅπαντας ὑμᾶς ἀνάλογον ταῖς ἁμαρτίαις ἀπολῶ
ταῖς ὑμετέραις. “ Σὺ φάγεσαι * καὶ οὐ μὴ ἐμπλησθῇς. „ Ἐπ᾽ ὀλίγον γὰρ τῶν προσόντων με- v. 14. *cod. φάγεσε.
ταχὼν, οὐκ εἰς τέλος ἕξεις αὐτῶν τὴν ἀπόλαυσιν, ἀφαιρούμενος αὐτῶν διὰ τῆς τιμωρίας.
“ Καὶ συσκοτάσει ἐν σοί· καὶ ἐκνεύσεις, καὶ οὐ μὴ διασωθῇς. „ Ὡς σκότῳ γὰρ περιβληθήσῃ τῇ παρ᾽ ἐμοῦ τιμωρίᾳ· καὶ βουλόμενος ἐκκλίνειν τῶν κακῶν τὴν πεῖραν, οὐδαμῶς δυνήσῃ.
“ Καὶ ὅσοι ἂν διασωθῶσιν, εἰς ῥομφαίαν παραδοθήσονται. „ Κἂν γὰρ πρὸς βραχύ πως
διαφεύγειν δόξῃς τῇ τῶν πολεμίων τιμωρίᾳ, καταληφθήσῃ πάντως. “ Σὺ σπερεῖς ἐλαίαν, v. 15.
καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον· καὶ ποιήσεις οἶνον, καὶ οὐ μὴ πίῃς οἶνον. „ Ὑποπεσὼν γοῦν τῇ
σφαγῇ τοῦ πολέμου, οὐδὲ τῶν πόνων ἀπολαύσεις ὡς εἰκὸς τῶν οἰκείων, ἐπειδὴ πάντας αὐτοὺς p. 311.
ἀφανιοῦσιν ὡς εἰκὸς οἱ πολέμιοι· τοῦτο γὰρ βούλεται δι᾽ ὅλου λέγειν. “ Καὶ ἀφανισθήσεται v. 16.
νόμιμα λαοῦ μου, καὶ πάντα ἔργα οἴκου Ἀχαάβ· καὶ ἐπορεύθητε ἐν ταῖς βουλαῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς ἀφανισμὸν, καὶ τοὺς κατοικοῦντας αὐτὴν εἰς συριγμὸν, καὶ ὀνείδη λαοῦ μου λήψονται. „ Τότε γοῦν ἅπαντα ἃ ἐπὶ τῇ τῶν εἰδώλων θρησκείᾳ νόμιμα ἐφυλάττετε, μιμούμενοι τὰ παρά τε τοῦ Ἀχαὰβ καὶ τῶν κατ᾽ ἐκεῖνον βασιλέων, ἐπισυναχθέντα ὑμῖν ἀφανισθήσεται σὺν ὑμῖν· ὥστε ἅπαντας τοὺς ἔξωθεν ὁρῶντας ὑμῶν τὴν ἀπώλειαν συριγμῷ κεχρῆσθαι θαυμάζοντας τὴν τοσαύτην ὑμῶν ἐπὶ τὸ χεῖρον μεταβολὴν, ὀνειδίζειν τε ὑμῖν ἐφ᾽ οἷς ὑπὲρ τῆς παρανομίας πεπόνθατε τῆς οἰκείας· ἐν δὴ τούτοις τῆς ἐπαχθησομένης αὐτοῖς τιμωρίας τὴν ἀπειλὴν εἰρηκὼς, ἑξῆς πάλιν κατὰ τὸ εἰωθὸς λέγει τὰς αἰτίας τῶν ἐπάγεσθαι μελλόντων αὐτοῖς, ἐν σχήματι θρήνου τὴν ἀφήγησιν αὐτῶν ποιούμενος· ἐπεὶ καὶ σφόδρα ἥρμοττεν

ventes, et superba utentes mente, nullamque Dei rationem habentes, necessario divinam vindictam experientur.

“ Et ego incipiam te percutere: delebo vos in peccatis vestris. „ Qui ita vivitis, ego castigatione mea percutiens congruo peccatis vestris modo omnes pessumdabo. “ Tu comedes, et non saturaberis. „ Brevi enim partas opes tempore tenens, haud usque in finem iis frueris, quia tibi poenae causa eripientur. “ Fientque tibi tenebrae, et declinabis, et non salvaberis. „ Caligine veluti obrueris ultione mea, cuius vim declinare volens, non poteris. “ Et quicumque salvati fuerint, gladio tradentur. „ Etiamsi brevi fortasse tempore evadere videaris hostium ultionem, attamen omnino capieris. “ Tu seres oleam, et oleo non ungêris: vinum cultura parabis, et non bibes vinum. „ Belli stragi succumbens, ne laboribus quidem tuis, ut par est, frueris; quos omnes ab hostibus vastari consentaneum est. “ Et delebuntur legitima populi mei, et omnia opera domus Achaabi. Et ambulastis in voluntatibus eorum, ut darem te in perditionem, et omnes habitantes in ea in sibilum, et opprobria populi mei accipient. „ Tunc omnia colendorum idolorum legitima quae observabatis, imitantes Achaabi et aequalium illi regum exempla; coacervata destruentur, et vos cum illis: quo fiet ut exteri omnes vestrum exitium spectantes exsibilent, et mirentur tantam vestrae fortunae conversionem, vobisque exprobrent quod peccatorum vestrorum causa haec patimini. Atque ita eventuram illis ultionem minatus, exin more suo dicit causas futurorum eventuum, sub lamenti figura narrationem instituens: decebat enim apprime prophetam sub

τῷ προφήτῃ ἀλγοῦντι τε ἐφ' οἷς πάσχουσι, καὶ τὰ πλημμελήματα αὐτῶν οἰκειουμένῳ τῶν ὀδυρμῶν τὸ σχῆμα. Τί οὖν φησίν;

ΚΕΦ. Ζ'.

v. 1. “ Οἴμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμήτῳ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυ-
γήτῳ οὐχ ὑπάρχοντος βότρυος· τοῦ φαγεῖν πρωτόγονα ἐπεθύμησεν ἡ ψυχή μου. ,, Ἀλλὰ
p. 312. γὰρ θρηνεῖν ἔπεισί μοι τοσαύτην τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν βλέποντι τοῦ λαοῦ, ὡς μηδένα δι-
καιοσύνης ἐν αὐτοῖς ἀναφαίνεσθαι καρπόν· τοιοῦτο γοῦν τι πάσχειν ἐπ' αὐτοῖς προάγομαι,
οἷον ἂν εἴ τις πάθοι γεωργὸς, ἢ ἐν καιρῷ θερισμοῦ παντελῶς τῶν καρπῶν ἀπολωλότων,
καλάμην τινὰ ἀντὶ δραγμάτων εὐτελῆ συλλέγειν ἀναγκαζόμενος, ἢ ἐν ταῖς τῶν καρπῶν
εὐφορίαις ἐκπίπτειν εἴωθε τῶν δραγμάτων· ἢ τρυγητοῦ παρόντος βότρυας μὲν οὐχ εὑρί-
σκων, ἐπιφυλλίδας δέ τινας βραχείας συλλέγων· ἐπεὶ καὶ νῦν τοῦ καιροῦ μετὰ τοσαύτην κη-
δεμονίαν τε καὶ ἐπιμέλειαν τὴν παρὰ τοῦ θεοῦ γεγενημένην εἰς αὐτοὺς, ἀναγκαίως τῆς τε θεο-
σεβείας καὶ τῆς ἀρετῆς τοὺς καρποὺς ἐπιζητοῦντος, σπανίζον ἐν ἅπασιν αὐτοῖς παντελῶς
εὑρίσκω τὸ καλόν· οὐδὲ γοῦν ἀπαρχήν τινα ἐν αὐτοῖς ἀναφαινομένην ἐστὶν ἰδεῖν· ἐπιθυ-
μία δέ μοι πλείστη καθέστηκε τουτὶ τοιοῦτον ἰδεῖν· ἐπειδὴ γὰρ ἐκ τῆς τῶν καρπῶν τελειότητος
* Ps. CIV. 36. εἰώθαμεν ἀπαρχὰς λαμβάνειν, τοῦτο δέ ἐστι καὶ τὰ πρωτότοκα· ὅθεν ὁ μακάριος Δαυίδ· *
καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκη-
νώμασι Χάμ· τοῦτο βούλεται εἰπεῖν ὅτι διὰ τὴν ὑπερβολὴν τῆς ἀκαρπίας ἐπιθυμία με κατ-
έχεν εὑρεῖν τι ἐν αὐτοῖς, ἀπαρχῆς τάξιν ἐπέχειν δυνάμενον.
p. 313. v. 2. Καὶ ἐπιμένων τοῖς ὀδυρμοῖς· “ οἴμοι ψυχὴ ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ
κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον
v. 3. αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ· ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν· ὁ ἄρχων αἰτεῖ,

gemituum forma, condolentem nimirum patientibus, et eorum sibi peccata sumentem. Quid ergo ait?

CAP. VII.

“ Vae mihi! quia factus sum ut qui stipulam in messe colligit, et racemulos in vindemia, cum non sit botrus. Primitiva comedere desideravit anima mea. ,, En mihi lugere subit, tantam populi ad malum inclinationem videnti, ut nullus apud eos iustitiae fructus appareat. Perinde igitur ego patior atque agricola, si messis tempore cunctae illi fruges depereant, vilemque stipulam loco manipulorum cogatur colligere: vel certe in fructuum abundantia, manipulorum penuria laboret: vel vindemia instante, botros nullos comperiat sed vix breves racemulos colligat. Sane hoc tempore, post tantam a Deo his impensam curam ac sedulitatem, necessario demum pietatis atque virtutis fructus expectans, rara apud ipsos omnino comperio bona opera: nam nec primitias aliquas apud eos videre est, quamquam id maxime optabam. Etenim sicut ex maturis fructibus primitias solemus sumere, id est primitivos; unde et beatus David: et percussit omne primogenitum in terra Aegypti, primitias omnis laboris eorum in tabernaculis Chami; hoc dicere propheta vult: in magna sterilitate, cupiditas me incessit inveniendi aliquid apud ipsos, quod primitiarum loco esset.

Et ploratibus insistens “ vae mihi, anima, quia periit pius de terra, et qui emendate agat in hominibus non est: omnes de sanguinibus iudicio contendunt,

καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησε, καταθύμιον ψυχῆς αὐτοῦ ἐστι. „ Πῶς γὰρ οὐ θρηνεῖν
ἄξιον, ὅτι φόβος μὲν θεοῦ παρ' αὐτοῖς οὐδαμοῦ; ὅθεν οὐδέ ἐστιν εὑρεῖν τὸν ἐπιμελεῖσθαι τοῦ
προσήκοντος ἐθέλοντα· πάντα δὲ αὐτοῖς περὶ φόνων γυμνάζεται τὰ ἐγκλήματα, οὐκ ἀνε-
χομένοις μικρὰ πταίειν, ἀλλ' ἄχρι φόνων τὰς χεῖρας ἐκτεινόντων τὰς ἰδίας· ἕκαστος τε
αὐτῶν ὡς ἂν ἔχῃ δυνάμεως ὀδύναις καὶ ἀνάγκαις περιβάλλειν τὸν ἐγγὺς πένητα πειρᾶται,
παρεσκευασμένοι τε περὶ τὴν τῶν κακῶν εἰσὶν ἐργασίαν· εἶτα ἐπὶ τούτοις ὁ μὲν ἐν τῷ ἄρχειν
καθεστὼς, ἀμελῶν τοῦ προσήκοντος χρήματα ζητεῖ, καὶ τούτοις διακρούεται τῶν ἁμαρτανόντων
τὰς ἀδικίας· ὁ δὲ τοῦ κρίνειν εἰληφὼς τὴν ἐξουσίαν, ἀφεὶς τὸ δίκαιον ὁρίζειν, θεραπευτικοῖς
κέχρηται ῥήμασιν· ὡς ἂν διὰ τούτων ἑαυτῷ περιποιήσειεν ἄδικα κέρδη, πρὸς ἃ δὴ τετα-
μένον ἔχει τὸν λογισμὸν τῆς ψυχῆς. " Καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ αὐτῶν, ὡς σὴς ἐκτρώγων v. 4.
καὶ βαδίζων ἐπὶ κανόνος ἐν ἡμέραις σκοπιᾶς σου. " Ὑπὲρ δὴ τούτων ἐν παντελεῖ σε κα- p. 314.
ταστήσω τῶν ἀγαθῶν ἐνδείᾳ, δίκην σητὸς, διὰ τῶν πολεμίων πᾶν ἀφανίζων ὅ τι καλόν
ἐστιν ἐν σοί· ὡς γὰρ ὁ σὴς ἐν κανόνι ξύλου γεγονὼς, ὁδῷ βαδίζων, ἅπαν αὐτὸ κατεσθίει καὶ
ἀναλίσκει ταῖς κατὰ μέρος διαφθοραῖς, οὕτω κατὰ μικρὸν ἅπαντα ὑμῶν ἀφελῶ τὰ ἀγαθά· κατὰ
τὸν καιρὸν ἐν ᾧ δὴ τὸ μέγεθος περισκοπήσας τῶν ἁμαρτημάτων ὑμετέρων, ἀνάλογον
ἐπάξω τοῖς πεπραγμένοις τὴν τιμωρίαν. " Οὐαὶ οὐαὶ ἐκδικήσεις σου ἥκασι· νῦν ἔσονται κλαυθ-
μοὶ αὐτῶν. „ Παραγέγονεν ἡ ἡμέρα τοῦ δοῦναι σε δίκην τῶν πλημμελημάτων, ὑπὲρ ὧν
δὴ νῦν σε προσήκει δακρῦσαι διὰ τῶν ἐπαγομένων κακῶν αἰσθανόμενον, ὁπόσον ἐλυμαίνου
σαυτῷ τῇ περὶ τὸ χεῖρον ῥοπῇ.

Καὶ δεικνὺς τῶν ἐπελευσομένων αὐτοῖς κακῶν τὸ μέγεθος, " μὴ καταπιστεύετε ἐν v. 5.
φίλοις, μὴ δὲ ἐλπίζετε ἐπὶ ἡγουμένοις· ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι τί αὐτῇ·
διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ ἐπανέστηκεν ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πεν- v. 6.

unusquisque proximum suum pressura premit, ad malum manus suas parat. Princeps poscit, iudex pacifica verba loquitur, desiderium animae eius est. „ Quid ni digne plorandum sit, siquidem nullus Dei timor apud eos usquam est? quo fit, ut nemo qui officium sequi velit inveniatur. Cuncta horum crimina in caedibus versantur, quia non sustinent levia peccare, sed ad homicidia manus intendunt: unusquisque pro viribus, doloribus angustiisque proximos sibi pauperes irretire conatur, et ad patranda scelera alacres sunt. Praeterea princeps aequitatis immemor, pecuniam poscit, atque ob hanc dissimulat peccantium iniquitates: iudex autem, omissa iuris dictione, blandis utitur sermonibus, ut his iniusta sibi lucra concilietis, ad quae animi cogitationem intentam habet. " Et auferam bona eorum, quasi tinea comedens, et ambulans super regulam in die speculationis suae. „ Ob haec in absoluta te constituam bonorum egestate, more tineae, hostium manu quicquid est apud te praeclarum destruens. Nam sicut tinea in ligni trabecula existens, via gradiens totam illam vorat atque consumit, particulatim corrumpens, sic ego paulatim bona vestra auferam; et postea, secundum tempus quo magnitudinem peccatorum vestrorum speculatus fuero, congruum factis supplicium inferam. " Vae vae! ultiones tuae venerunt; nunc erunt fletus eorum. „ Venit dies, quo tu peccatorum poenas des; quorum causa nunc te flere decet, quia ex inlatis malis sentis quantum tibi nocueris tuo in vitium lapsu.

Et futurorum malorum magnitudinem demonstrans: nolite credere, inquit, amicis; neque speretis a ducibus: ei, quae tecum cubat, cave quicquam concredere: quia filius contumeliam facit patri, et filia consurgit adversus matrem suam, nurus

θερὰν αὐτῆς· ἐχθροὶ ἀνδρὸς πάντες οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. ,, Οὐ δὲ μία δή φησιν
οὐδενὶ παρ' οὐδενὸς ἔσται τότε ἡ βοήθεια· οὐ φίλῳ παρὰ φίλου, οὐκ ἀρχομένῳ παρὰ ἄρχον-
p. 315. τος, οὐκ ἀνδρὶ παρὰ γυναικὸς, οὐχ υἱῷ παρὰ πατρὸς, οὐ μητρὶ παρὰ θυγατρὸς, οὐ νύμφῃ
παρὰ πενθερᾶς· ἡ γὰρ ὑπερβολὴ τοῦ κακοῦ περὶ τῆς ἰδίας ἕκαστον ἀναγκάζουσα ἀγωνιᾷν σω-
τηρίας, ἀναγκαίως πάντας ἐχθροὺς ἀλλήλων ἀποδείκνυσιν, οὐδενὸς τὸ τῷ πέλας χρήσιμον
σκοπεῖν δυναμένου, διὰ τὸ μέγιστον ἡγεῖσθαι, εἰ ἑαυτῷ τινὰ περιποιήσαιεν σωτηρίαν· εἶτα
μετὰ τὴν τῶν κακῶν μήνυσιν εὐαγγελιζόμενος πάλιν συνήθως τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν,
v. 7. " ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἐπιβλέψομαι, ἐπιμενῶ ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου· ἐπακούσεταί
μου ὁ θεός μου. ,, Ἀλλὰ γὰρ καὶ τοσούτων ὄντων καὶ τηλικούτων τῶν κακῶν, οὐκ ἀπογνώσομαι
τὴν θεοῦ τὴν κηδεμονίαν· μενῶ δὲ πρὸς αὐτὸν ὁρῶν, καὶ παρ' αὐτοῦ τὴν σωτηρίαν ἀναμένων, ἣν
καὶ παρέξει μοι πάντως ἐν ταῖς ἀνάγκαις ἐκείναις, αἰτοῦντος αὐτοῦ τὴν βοήθειαν ἀκούσας.
v. 8. " Μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά μου, ὅτι πέπτωκα καὶ ἀναστήσομαι· διότι ἐὰν καὶ πορευθῶ
ἐν τῷ σκότει, κύριος φωτιεῖ μοι. ,, Ἐξέσται δή μοι τότε καὶ πρὸς τοὺς ἐμοὺς, καὶ μάλιστά
γε πάντων πρὸς τοὺς Ἰδουμαίους λέγειν, ὡς περιττὸν ὑμῖν τὸ ἐφήδεσθαι μοι πεσούσῃ· ἀνα-
στήσομαι γὰρ τοῦ πτώματος τῇ ῥοπῇ τῇ θείᾳ· ὥστε εἰ καὶ δίκην σκότους ἐν μέσῳ πεπόρευμαι
v. 9. τῶν κακῶν, ἀλλὰ φωτός μοι λαμπροτέρα γενήσεται τοῦ θεοῦ ἡ βοήθεια. " Ὀργὴν κυρίου
p. 316. ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως δικαιώσῃ τὴν δίκην μου, καὶ ποιήσῃ τὸ κρίμα μου· καὶ ἐξά-
ξει με εἰς τὸ φῶς, καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. ,, Τῆς μὲν γὰρ ὀργῆς αὐτοῦ καὶ τῶν ἐντεῦ-
θεν λυπηρῶν ὡς ἡμαρτηκὼς ἐπειράθην· παρέξει δέ μοι τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, αὐ-
τός μοι δικάσας ὑπὲρ ὧν πέπονθα παρὰ πάντων τῶν ἐχθραινόντων ἀδίκως, καὶ δὴ καὶ ἀπο-
νείμας μοι τὸ δίκαιον ἐν τῇ κρίσει· οὕτω τέ με ἐν τῇ λαμπρότητι τῶν οἰκείων καταστὰς
ἀγαθῶν, ὥστε πρόδηλόν τε καὶ ἀναμφίβολόν μοι γενέσθαι τὴν γνώμην τοῦ θεοῦ, καθ' ἣν τοῦ
δικαίου φροντίσας, ἐμέ τε τῶν περιεχόντων ἀπήλλαξε κακῶν, καὶ τοὺς ἠδικηκότας με

adversus socrum suam: et inimici hominis, cuncti domestici eius. ,, Nemo tunc alteri auxiliabitur, non amicus amico, non princeps subdito, non vir uxori, non filio pater, non matri filia, non nurui socrus: nam calamitatis magnitudo de sua quemque salute anxium esse cogens, necessario cunctos inimicitia inter se committit, nemine de alterius utilitate cogitante, dum unusquisque plurimi facit salutem suam. Deinde rursus post aerumnarum praedictionem, more solito conversionem in melius nuncians " ego autem, inquit, ad Dominum aspiciam, expectabo Deum salvatorem meum: audiet me Deus meus. ,, Sed quamvis tales tantaeque sint calamitates, de Dei patrocinio non desperabo: constanter ad ipsum respiciam, salutem inde expectans, quam etiam mihi sine dubio praebebit; eum, qui in huiusmodi calamitatibus petit auxilium, exaudiens.

" Ne laeteris, inimica mea, super me, quia si cecidi, consurgam: si ambulavero in tenebris, Dominus illuminabit me. ,, Licebit mihi aliquando ad inimicos meos, praecipueque ad Idumaeos dicere: vanum est de lapsu meo vos laetari: surgam de casu, Deo adiuvante: et si quasi per medias tenebras in malis gradiar, luce mihi splendidius affulgebit Dei auxilium. " Iram Dei portabo, quoniam peccavi ei, donec causam meam iudicet, et peragat iudicium meum. Edûcet me in lucem, videbo iustitiam eius. ,, Iram eius, et molestias inde manantes propter peccata expertus sum. Concedet tamen mihi conversionem in melius, ipse mihi ius reddens de iis quae a cunctis inimicis meis pertuli inique, mihique quod aequum est adiudicabit: meque adeo in propriorum bonorum splendore collocabit, ut manifesta at-

μάρτυν ἐτιμωρήσατο δικαίως· τοῦτο γὰρ λέγει τὸ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. " Καὶ ὄψεται v. 10.
ἡ ἐχθρά μου, καὶ καλύψει αὐτὴν αἰσχύνη, ἡ λέγουσα πρός με, ποῦ κύριος ὁ θεός σου. ,,
Τότε δὴ αἰσχυνθήσεται ἐφ' οἷς ὠνείδιζέ μοι, ὡς ἐνδεὲς μιᾶς τυγχάνοντι τῆς παρὰ τοῦ θεοῦ βοη-
θείας, ὁρῶν αὐτοῦ τὴν περὶ ἐμὲ κηδεμονίας τὸ ἀπόρρητον. " Οἱ ὀφθαλμοί μου ἐπόψονται
αὐτήν. ,, Οὐ γὰρ αὐτὸς μόνον ἀπαλλαγήσομαι τῶν κακῶν, ἀλλὰ γὰρ καὶ τὰς τῶν ἐχθραινόντων
μοι τιμωρίας ὄψομαι. " Νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς· ἡμέρα ἀλοιφῆς v. 11.
πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη. ,, Καταπατηθήσῃ γὰρ ὑπὸ τῶν πολεμίων πηλοῦ
δίκην ἐν ὁδοῖς τε ὑπὸ πλήθους τῶν ὁδοιπορούντων πατουμένου, καὶ ἐπὶ πλίνθων ἐργασίᾳ
διαμαλαττομένου ποικίλως, ὅπερ οὖν τοῖς τὰ τοιαῦτα ἐργαζομένοις ἔθος ἐπὶ πλεῖστον p. 317.
ποιεῖν, ὡς ἂν λεανθεὶς πρὸς τὴν προκειμένην ἐπιτηδειότερος γένοιτο χρείαν· τοιαύτη καί
σου φησὶ κατ' ἐκεῖνον τὸν καιρὸν ἐξάλειψις ἔσται, τουτέστιν οὕτως ἐξαλειφθήσῃ ὑπὸ τῶν ἐπιόν-
των σοι πολεμίων, ποικίλως καταπατούντων τέ σε καὶ συντριβόντων μετὰ πολλῆς τῆς ἀφειδίας.

" Ἀπώσεται νόμιμά σου ἡ ἡμέρα ἐκείνη. ,, Ἐρήμωσιν φησὶν ὑπομενεῖς παντελῆ·
τοῦτο γὰρ δηλοῖ τῶν νομίμων ἡ ἀφαίρεσις· ἐπειδὴ πάσης πολιτείας καὶ ἀρχῆς συνεστώσης μὲν,
ἀνάγκη τὰ νόμιμα κρατεῖν, οἷσπερ οὖν εἰώθασιν οἱ κατ' αὐτὴν κεχρῆσθαι· ἐρημίας δὲ
καὶ αἰχμαλωσίας καταλαβούσης, ἀφανίζεσθαι τῶν νόμων ἀνάγκη τὴν τάξιν· ἐπάγει γ' οὖν.
" Καὶ αἱ πόλεις σου ἥξουσιν εἰς συγκλεισμὸν καὶ διαμερισμὸν ἀσσυρίων. ,, Τὴν γὰρ αἰτίαν v. 12.
τῆς τῶν νομίμων ἀφαιρέσεως δηλοῖ εἰρηκὼς ὅτι ἀσσύριοι καθελοῦσι τε τὰς πόλεις, καὶ δια-
μερίσονται κατὰ τὸ δοκοῦν ἑαυτοῖς. " Καὶ αἱ πόλεις σου αἱ ὀχυραὶ ἔσονται εἰς διαμερισμὸν
ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ Συρίας, καὶ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ τοῦ ὄρους ἕως
τοῦ ὄρους. ,, Ἵνα εἴπῃ ὅτι πάντων τούτων κρατήσουσιν οἱ ἀσσύριοι τῶν πόλεων· τοῦτο δὲ καὶ
ὁ προφήτης Ἀμὼς δηλοῖ *, τὰ καταληψόμενα ὑπὸ τῶν ἀσσυρίων κακὰ τοῖς περιοίκοις * Amos VIII. 12.

que indubia appareat Dei voluntas, qua de iuris aequitate sollicitus, ab incumbentibus malis me sublevavit, et qui mihi temere iniuriam faciebant iuste punivit; id enim denotant verba: videbo iustitiam eius. " Et aspiciet inimica mea, et operietur confusione, quae dicit mihi: ubi est dominus Deus tuus? ,, Tunc eam pudebit, quod mihi exprobraverit, nullum me habere a Deo auxilium, dum videbit arcanum eius erga me patrocinium. " Oculi mei spectabunt illud. ,, Ego enim non aerumnis solum liberabor, sed etiam inimicorum meorum supplicium videbo. " Nunc erit in conculcationem ut lutum viarum. Dies liturae lateris: deletio tua dies illa. ,, Conculcaberis ab hostibus luti ritu in viis quod a turba itinerantium calcatur, et ad usum lateris varie mollitur, quemadmodum ii plerumque faciunt qui eam artem exercent, ut mitigata materia ad usum illum sit aptior. Talis tui quoque erit per illud tempus deletio, id est deleberis ab hostibus varie conculcantibus te, et crudeliter admodum conterentibus.

" Expellet legitima tua, dies illa. ,, Solitudinem, inquit, universalem patieris. Id enim denotat legitimorum ablatio: nam quamdiu durat politia aliqua et principatus, necesse est legitima quoque perseverare, quibus ii uti solent qui in ea republica sunt: verum facta captivitate, legum ordinem tolli necesse est. Addit igitur: " Et urbes tuae venient in conclusionem divisionemque Assyriorum. ,, Auferendorum causam legitimorum dicit, quod Assyrii delebunt urbes, et pro libito suo partientur. " Et urbes tuae munitae partitionem patientur a Tyro usque ad Syriae flumen, et a mari ad mare, et a monte ad montem. ,, Id est cunctis istis potientur Assyrii urbibus. Hoc etiam propheta Amosus significat, dum mala quae ab As-

v. 13. λέγων· “Ἡμέρα ὕδατος καὶ θορύβου (1)· καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν μετὰ τῶν κατοικούντων
p. 318. αὐτὴν, ὑπὸ καρπῶν ἐπιτηδευμάτων αὐτῶν. „ Ἐπελεύσεται γὰρ ὑμῖν πλῆθος πολεμίων,
δίκην ὕδατος ἐπικλύζον ἅπαντας, ἀφ' οὗπερ αὐτοί τε πολλῆς πληρωθήσεσθε τῆς ταραχῆς·
καὶ πάντα δὲ τὰ ὑμέτερα σὺν ὑμῖν ἀφανισθήσεται, ἐπειδὴ τῶν πραττομένων ὑμῖν τιμωρίαν
ταύτην ὑφέξετε δικαίαν· εἰρηκὼς δὲ τῶν ἐχθραινόντων αὐτοῖς πολυτρόπως τε αὐτοὺς λελυπη-
κότων ἐν τούτοις τὴν τιμωρίαν, τρέπει λοιπὸν πρὸς τὸν λαὸν τὸν λόγον.
v. 14. “Ποίμαινε τὸν λαόν σου ἐν ῥάβδῳ φυλῆς σου, πρόβατα κληρονομίας σου, κατασκη-
νοῦντας κατὰ μόνας δρυμόν. „ Ἀλλὰ γὰρ σὺ, φησὶν, ἀπηλλαγμένος μὲν θορύβων καὶ ταρα-
χῆς καὶ πολέμων, ἐν εἰρήνῃ δὲ τυγχάνων, κατὰ τὸ δέον ἄγειν σπούδαζε σαυτόν· ἐπειδὴ σὲ
κτῆσιν οἰκείαν λογισάμενος ὁ θεὸς ἀφεῖλε τε τῶν πολεμίων, καὶ κεχωρισμένους ἁπάντων
v. 15. δίκην προβάτων σὺν ἀδείᾳ νέμεσθαι δέδωκεν ἐν τοῖς οἰκείοις. “Ἐν μέσῳ τοῦ Καρμήλου
νεμήσονται τὴν Βασανῖτιν καὶ τὴν Γαλααδῖτιν κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος· καὶ κατὰ τὰς ἡμέρας
τῆς ἐξοδίας σου ἐκ γῆς Αἰγύπτου δείξω αὐτοῖς θαυμάσια. „ Ἀπολήψονται φησὶ τοὺς τό-
πους τοὺς οἰκείους, καθὰ καὶ τὸ πρότερον ἐξεληλυθότες τῆς Αἰγύπτου μετὰ πολλῆς κατέσχον
αὐτοὺς τῆς δυναστείας· οὐ γὰρ ἔλαττον τῶν τότε καὶ νῦν ἄξια θαύματος ἔσται τὰ περὶ αὐτοὺς
v. 16. γινόμενα παρ' ἐμοῦ. “Ὄψεται ἔθνη καὶ αἰσχυνθήσεται ἐκ πάσης τῆς ἰσχύος αὐτῶν. „
p. 319. Ἱκανὰ γὰρ ἔσται τὰ περὶ αὐτοὺς γινόμενα, καὶ τοὺς πολεμεῖν πρότερον αὐτοῖς ἐγνωκότας
εἰς πολλὴν περιβαλεῖν αἰσχύνην, ὁρῶντας τῇ θείᾳ κηδεμονίᾳ τοσαύτης ἐπειλημμένους
δυνάμεως. “Ἐπιθήσουσι χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν. „ Θαυμάζοντες ἐπὶ τῷ μεγέθει
τῶν γινομένων. “Τὰ ὦτα αὐτῶν ἀποκωφωθήσεται. „ Οὐ δὲ ἀκοῇ φέρειν δυνήσονται τῶν γιγνο-
v. 17. μένων τὸ μέγεθος. “Λείξουσι χοῦν ὡς ὄφις σύροντες γῆν. „ Ἀνύειν δὲ ἐπὶ τοῖς περὶ
ὑμᾶς γινομένοις δυνάμενοι πλέον οὐδὲν, ὄφεων δίκην εἰς γῆν πεσοῦνται περὶ ταύτην εἰ-

syriis finitimi patientur dicit. “Dies aquae ac tumultus. Eritque terra in destructionem cum habitatoribus suis, qui erunt fructus adinventionum eorum. „ Superveniet vobis hostium multitudo, aquae instar cunctos inundans: unde vos multa perturbatione implebimini, et vestra omnia vobiscum destruentur, quia factorum vestrorum iustam hanc poenam luetis. Iam postquam hactenus dixit inimicorum varieque eos excruciantium poenam, convertit in sequentibus ad populum verba.

“Pasce populum tuum virga tua, oves hereditatis tuae, solitatim habitantes in saltu. „ Sed iam tu, inquit a tumultu, perturbatione et hostibus liber, et in pace versans, da operam ut honeste te geras; quoniam te Deus possessionem suam reputans, eruit ex hostibus, et seorsum ab omnibus, quasi oves cum securitate pasci concessit in patria. “In medio Carmeli pascentur Basanitidem et Galaditidem, secundum dies saeculi: et secundum dies egressionis tuae de terra Aegypti ostendam eis mirabilia. „ Recuperabunt loca propria, sicut olim Aegypto egressi multa cum potentia obtinuerunt. Neque enim priscis minora erunt, quae nunc mirabilia ipsorum causa operabor. “Videbunt gentes, et confundentur super omni fortitudine sua. „ Quae horum gratia fient, incutiendo pudori idonea erunt illis qui antea bellum inferre voluerant, quia hos a divino patrocinio tanta vi munitos videbunt. “Imponent manum ori suo. „ Mirantes scilicet gestarum rerum magnitudinem. “Aures eorum obsurdescent. „ Ne auditu quidem tolerare poterunt rerum ut dixi gestarum magnitudinem. “Lingent pulverem sicut serpentes qui ter-

(1) Animadvertamus apud Mopsuestenum trium praecedentium verborum biblicum additamentum, quod agnoscit etiam interpres arabicus in polyglottis.

λούμενοι. " Συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν. ,, Ὑπομενοῦσι συνοχὴν οὐ τὴν τυχοῦσαν, συγκλειόντων αὐτοὺς εἰς σφαγὴν πολεμίων. " Ἐπὶ κυρίῳ τῷ θεῷ ἡμῶν ἐκστήσονται, καὶ φοβηθήσονται ἀπὸ σοῦ. ,, Ἐπὶ γάρ τοι τῷ μεγέθει τῶν παρὰ τοῦ θεοῦ γινομένων εἰς ἔκστασιν τινὰ πεπτωκότες, φοβεροὺς καὶ ὑμᾶς λοιπὸν νομιοῦσι τοσαύτης ἠξιωμένους τῆς παρὰ τοῦ θεοῦ προνοίας.

Εἶτα μετὰ τὴν μήνυσιν τῶν προσεσομένων αὐτοῖς ἀγαθῶν, ὡς εὐχαριστίαν τινὰ ἐξ ἁπάν-
των προσάγει τὰ ἑξῆς τῷ θεῷ. " Τίς θεὸς ὥσπερ σύ, ἐξαίρων ἀδικίας, καὶ ὑπερβαίνων v. 18.
ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ; ,, Νῦν εἴπερ ποτὲ ἄλλοτε ἐξ αὐτῶν δέ-
δειξαι τῶν πραγμάτων, μέγας θεὸς δυνάμει τε καὶ φιλανθρωπίᾳ πάντας νικῶν, καὶ λύων p. 320.
μὲν ἁμαρτήματα, παραπεμπόμενος δὲ ἀσεβείας, εἰς δὲ τοὺς ὑπολοίπους τῶν οἰκείων τὴν
φιλοτιμίαν ἐπιδεικνύμενος τὴν οἰκείαν. " Οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελη-
τὴς ἐλέους ἐστίν. ,, Οὐδὲ γὰρ τὴν ὀργὴν ἣν δικαίαν εἶχε καθ' ἡμῶν, κατέσχεν ἐπὶ πλεῖστον
ἠνέσχετο, καί τοι γε δικαίως ἂν αὐτῇ χρησάμενος· ἐπειδὴ πολλάκις μὲν ἡμῖν διεμαρτύ-
ρατο, περὶ ὧν δὴ πεισόμεθα πταίοντες, οὐδαμῶς δὲ τῷ σωφρονισμῷ τῶν ἀπειλῶν προσ-
εσχήκαμεν· τῷ ἐλέῳ δὲ ἅπαντα νενίκηκε τῷ οἰκείῳ, ὃν ἔργον αὐτῷ πάντων ὑπερτιθέναι
πάντοτε. " Αὐτὸς ἐπιστρέψει καὶ οἰκτειρήσει ἡμᾶς· καταδύσει τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀπορ- v. 19.
ριφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης πᾶσαι αἱ ἁμαρτίαι ἡμῶν. ,, Ὁ γὰρ ἀποπέμψας ἡμᾶς
εἰς τὴν αἰχμαλωσίαν, οἰκείῳ πάλιν ἐλέῳ χρησάμενος, ἡμᾶς ἐπανήγαγεν, παντελῶς ἡμῶν
ἀφανίσας τὰς ἁμαρτίας, καὶ ὥσπερ εἴς τινα βυθὸν αὐτὰς καταρρίψας, ἀφ' οὗπερ αὐτὰς
ἀνανεῦσαι τε καὶ ἰσχῦσαι καθ' ἡμῶν οὐκ ἔνεσι τοῦ λοιποῦ. Καὶ τὴν αἰτίαν ἁπάντων λέγων
" δώσεις ἀλήθειάν σου τῷ Ἰακώβ, ἔλεον τῷ Ἀβραάμ, καθάπερ ὤμοσας τοῖς πατράσιν
ἡμῶν κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν. ,, Ἅπαντα γὰρ ταῦτα φησὶ πεποίηκας, τὴν ἐπαγγε- p. 321.

ram attrahunt. ,, Nihil autem rebus vestris iam adversari valentes, in terram corruent more serpentium qui circa illam volvuntur. " Tenebuntur in conclusione sua. ,, Non modicas angustias patientur, hostibus eos in caedem concludentibus. " In domino Deo nostro obstupescent, et a te formidabunt. ,, Magnitudine rerum vestri causa a Deo patratarum, extasim quandam patientur, pavore concidentes, et vos in posterum non dubitabunt nonnisi a Deo talem adeptos esse providentiam.

Deinde post praedictionem eventurorum ipsis bonorum, gratiarum quandam actionem ob haec omnia in sequentibus Deo exsequitur. " Quis Deus ut tu, qui aufers iniquitatem, et transis peccata reliquiarum hereditatis tuae? ,, Nunc cum maxime, a rebus ipsis demonstratum est, et magnum te Deum esse, et cunctos benignitate superare, et peccata dimittere, et dissimulare impietates, et erga tuorum reliquias liberalitatem tuam expromere. " Et non retinuit in testimonium iram suam, quoniam volens misericordiam est. ,, Neque enim iustam quam habebat adversus vos iram diu retinere passus est, quamquam ea iure optimo uti potuit: etenim saepe nobis contestatus fuerat quae passuri ob peccata nostra essemus; quamquam nos minarum admonitionem pensi non habuimus. Verumtamen ille cuncta vicit misericordia sua, quam super omnia exaltare solet. " Ipse convertetur et miserebitur nostri, et proiicientur in profundum maris omnia peccata nostra. ,, Nam qui nos in captivitatem abegit, sua denuo misericordia utens, nos reduxit, delens omnino peccata nostra, et veluti in abyssum quandam ea proiiciens, unde illa exsurgere et adversus nos praevalere numquam poterunt. Denique horum omnium causam recitans " dabis, inquit, veritatem tuam Iacob, misericordiam Abrahamo, sicut iu-

λιῶν μνησθεὶς τῶν οἰκείων, ὧν πρὸς τοὺς πατέρας τοὺς ἡμετέρους κατὰ τοὺς ἄνωθεν πεποίησαι χρόνους φιλοτιμίᾳ τινὶ βεβαίᾳ· καὶ τὰς πρὸς ἐκείνους ὑποσχέσεις τότε πεποιημένος, καὶ νῦν ἐφ᾽ ἡμῶν τῶν ἐξ ἐκείνων εἰς ἔργον αὐτὰς ἐκβαλών.

ΕΡΜΗΝΕΙΑ ΝΑΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Ἡ Νινευὴ πόλις ἦν μεγάλη, πλήθει τε κομῶσα, καθὼς ἡ θεία διδάσκει γραφὴ, καὶ τῶν ἐν ἀσσυρίοις περιφανεστάτη πασῶν, ἐν ᾗ τά τε βασίλεια ἐτύγχανεν ὄντα, καὶ ὁ τῶν ἀσσυρίων βασιλεὺς τὰς πλείστας ἐποιεῖτο διατριβάς· ἀλλὰ γὰρ οὗτοι, λέγω δὲ τοὺς οἰκοῦντας τὴν Νινευὴ, βουλομένου μὲν τοῦ θεοῦ τῆς οἰκείας χάριτος ποιήσασθαι τὴν ἀπόδειξιν, καθὼς σαφέστερον ἐπὶ τῆς τοῦ μακαρίου Ἰωνᾶ προφητείας ἔφθημεν εἰπόντες, ἀπὸ μόνης ἀπειλῆς ὑπὸ ἀγνώστου γινομένης ἀνδρὸς, τοσούτῳ κατεχέθησαν τῷ δέει, ὥστε μετὰ πολλοῦ τοῦ τάχους μεταβληθέντες πρὸς τὸ κρεῖττον ἰδεῖν· ἐπειδὴ δὲ ἐνδέδωκεν αὐτοῖς ὁ θεὸς τὴν προαίρεσιν ἐπιδεῖξαι τὴν οἰκείαν, τοσαύτῃ μὲν ἐχρήσαντο μοχθηρίᾳ γνώμης, τοσαύτῃ δὲ ὠμότητι καὶ τρόπου
p. 322. κακίᾳ, ὥστε πάντας μὲν τοὺς τῶν δέκα φυλῶν ἐπιστρατεύσαντες αἰχμαλώτους λαβεῖν· πορθήσαντές τε αὐτῶν τὰς πόλεις, καὶ τὰ προσόντα αὐτοῖς δι᾽ ἁρπαγῆς ποιησάμενοι πάντα, ὁρμῆσαι δὲ καὶ μέχρι τῆς Ἱερουσαλὴμ, ἣν καὶ αἱρήσειν ἐσπούδαζον, οὐδεμίαν αἰδῶ τοῦ τε ναοῦ καὶ τῆς αὐτόθι γινομένης τοῦ θεοῦ λαμβάνοντες θεραπείας.

Καὶ τί γέγονε παραπλήσιον τοῖς ἐν Αἰγύπτῳ ποτὲ γεγονόσιν, ὅτε Φαραώ τε ὁ βασιλεύων ἐν αὐτοῖς, καὶ πάντες δὲ οἱ αἰγύπτιοι διὰ σπουδῆς εἶχον τόν τε Ἰακὼβ καὶ τὸν Ἰωσὴφ, καὶ πάντας τοὺς προσήκοντας αὐτοῖς κατὰ γένος, ἄχρι ταύτην αὐτοὺς ἀποσώζειν τὴν γνώμην παρεσκεύαζεν ὁ θεός· ὡς δὲ ἐπιδέδωκεν μὲν εἰς πλῆθος ὁ λαὸς, ἔπειγεν δὲ ὁ τῆς ἐξόδου

rasti patribus nostris, iuxta dies priores. ,, Cuncta haec, inquit, fecisti memor promissionum tuarum, quas patribus nostris, temporibus priscis pro tua constante liberalitate fecisti: promissiones inquam illas tunc eis fecisti, quae nunc erga nos illorum posteros a te in rem collatae fuerunt.

COMMENTARIUS IN NAHUMUM PROPHETAM.

Ninive urbs magna fuit, populi numero abundans, et assyriacarum omnium illustrissima, ubi regia palatia erant, rexque Assyriorum plurimo anni tempore versabatur. Porro huius urbis cives, volente Deo suae gratiae ostensionem facere, sicuti iam planius diximus dum ad beati Ionae prophetiam commentaremur, Ninivitae inquam ob unius ignoti hominis minas, adeo metu correpti fuerunt, ut celeriter admodum resipiscentes, ad virtutem spectaverint. Postquam vero indulsit eis Deus, quominus propositum suum exsequeretur, tanta usi sunt pravitate animi, tanta crudelitate et malitia morum, ut suscepta bellica contra decem tribus expeditione, omnes in captivitatem abduxerint: vastatisque harum urbibus et opibus ubique direptis, adusque Hierosolyma propinquaverint, quam urbem capere nitebantur, sine ulla vel templi vel religionis, qua ibidem Deus colebatur, reverentia.

Tunc simile quid contigit atque olim in Aegypto versantibus, ubi principio quidem Pharao rex omnesque Aegyptii studio impenso Iacob et Iosephum cunctamque horum cognationem fovebant, quoad eis Deus hanc mentem conservavit. Sed

καιρὸς, ἐνδέδωκε τῷ τε Φαραὼ καὶ τοῖς αἰγυπτίοις τὴν ἑαυτῶν περὶ ἐκείνους ἐπιδεῖξαι κακίαν, ὥστε καὶ πάσῃ χρήσασθαι σπουδῇ πάντας αὐτοὺς ἄρδην ἀνελεῖν· ἀφορμῇ δὲ ταύτῃ χρησάμενος οὕτως αὐτοὺς ἐξήγαγεν ὁ θεὸς τῆς Αἰγύπτου· τοῦτο γοῦν ὁ μακάριος λέγων Δαυὶδ *, [* Ps. CIV. 20.] ἀπέστειλε βασιλεὺς φησὶ καὶ ἔλυσεν αὐτὸν, ἄρχων λαοῦ καὶ ἀφῆκεν αὐτόν· κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ· τοῦ παιδεῦσαι πάντας τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι· λέγει δὲ τὴν περὶ τὸν Ἰωσὴφ τιμήν τε καὶ σπουδὴν ὑπὸ τοῦ Φαραὼ γεγενημένην· οἷς ἐπάγει· καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυ- [p. 323.] πτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ· καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ· καὶ ἐπειδὴ καὶ τοῦ Ἰακὼβ εἶπε τὴν εἴσοδον, καὶ ὁπόσον εἰς πλῆθος ἐπιδεδώκασιν οἱ τοῦ λαοῦ πάντες, ἐπάγει· " μετέστρεψε τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. „ Δῆλον ὅτι τοῦ θεοῦ ἐνδόντος μετεβλήθησαν οἱ αἰγύπτιοι σὺν τῷ βασιλεῖ πάντες, ὥστε καὶ διὰ μίσους ἔχειν τοὺς Ἰσραηλίτας, καὶ βούλεσθαι παντελῶς αὐτοὺς ἀνελεῖν· οἷς τὰ τῆς ἐξόδου λοιπὸν ὁ μακάριος ἐπάγει Δαυίδ.

Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα πρότερον μὲν τῆς οἰκείας χάριτος ἐπίδειξιν ποιούμενος ὁ θεὸς, ἀθρόαν τοῦ τε βασιλέως τῶν ἀσσυρίων καὶ πάντων δὴ τῶν κατὰ τὴν Νινευὴ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν γενέσθαι πεποίηκε· μετ' οὐ πολὺ δὲ ἐνδοὺς αὐτοῖς τὴν οἰκείαν ἐκφῆναι κακίαν, εἴασε τοιαῦτα περὶ τοὺς Ἰσραηλίτας παρ' αὐτῶν γενέσθαι, ἀφ' ὧν ἐπόρθησάν τε τὰς δέκα φυλὰς, καὶ ἐπεστράτευσαν τῇ Ἱερουσαλὴμ, μετὰ πολλῆς ὁρμήσαντες τῆς ἀπονοίας, ὡς καὶ αὐτῷ γε μικροῦ πολεμήσοντες τῷ θεῷ· ἀλλὰ γὰρ εὐθὺ μὲν βαρυτάτην αὐτοῖς διὰ τοῦ ἀγγέλου τὴν πληγὴν ἐπήγαγεν ὁ θεὸς, τρέψας δὲ τοὺς λοιποὺς εἰς φυγὴν πολυτρόποις περιβέβληκε τοῖς κακοῖς· καὶ τὸ τελευταῖον ἐπὶ τῆς οἰκείας χώρας γεγονὼς μετὰ πολλῆς τῆς ἀτιμίας [p. 324.]

postquam in multitudinem excrevit populus, instabatque demigrandi tempus, Pharaonem sivit Deus atque Aegyptios suam expromere contra Hebraeos malitiam, ita ut omni vi niterentur eos funditus extinguere: qua occasione Deus utens Israhelitas Aegypto eduxit. Rem his verbis beatus narrat David: " misit rex, inquit, et solvit eum; princeps populi, et dimisit eum. Constituit eum dominum domus suae, et principem omnis possessionis suae. Ut erudiret principes eius sicut se ipsum, et senes eius prudentiam doceret. „ Loquitur scilicet de Iosepho, deque honorificentia et officiis quibus eum prosecutus est Pharao. Post haec addit: " et intravit Israhel in Aegyptum, et Iacob accola fuit in terra Chami. Et auxit populum suum vehementer, roboravitque eum prae inimicis eius. „ Iam ubi propheta narravit Iacob ingressum, quantumque in numerum populus universus crevisset, subdit: " convertit cor illius ad odio habendum populum suum, insidiasque struendas servis suis. „ Significans, Deo permittente, immutatos animos Aegyptiorum cum rege suo, qui iam deinceps oderant Israhelitas, eosque internecioni destinabant. Exin vero demigrationem narrat beatus David.

Nunc quoque Deus pariter primo quidem gratiae suae edidit luculentam demonstrationem, dum Assyriorum regem cunctosque Ninives incolas ad meliora convertit: haud multo post autem, quum iis concessisset ut suam malitiam declararent, sivit eos arma contra Israhelitas commovere, ita ut decem tribus vastaverint, et Hierosolyma obsederint, tanta insania ruentes quasi ipsi Deo bellum quodammodo inferrent. Sed enim hic statim illis gravissimam manu angeli plagam imposuit; versosque in fugam reliquos variis irretivit calamitatibus: quoad in ditionem suam cum

Σενναχηρεὶμ ὁ τότε τῶν Ἀσσυρίων βασιλεὺς τὴν ὑπὸ τῶν ἰδίων παίδων ὑπομεμένηκε σφαγήν· εἶθ' ὕστερον καὶ παντελῶς αὐτῶν τὴν βασιλείαν καθεῖλεν, διὰ τῶν Βαβυλωνίων πολιορκηθῆναι παρ' αὐτῶν παρασκευάσας τὴν Νινευὴ, ὥστε τὴν πολυανθρωποτάτην καὶ περιφανῆ καὶ βασιλίδα, αἰχμάλωτόν τε γενέσθαι καὶ εἰς ἐρημίαν καταστῆναι παντελῆ (1)· ὡς γὰρ ἐν τοῖς προτέροις, ἅπερ ὁ μακάριος Ἰωνᾶς ὁ προφήτης διηγεῖται, τῆς χάριτος τὴν ἐπίδειξιν ὁ θεὸς ἐποιήσατο τῆς οἰκείας, ἅπαντας αὐτοὺς ἀθρόον μεταθεὶς ἐπὶ τὸ κρεῖττον, οὕτως ἐνταῦθα τὴν κακίαν ἐπιδειξαμένους τὴν οἰκείαν, μεγίστῃ τινὶ καὶ φοβερᾷ περιβέβληκε τῇ τιμωρίᾳ· δι' ἀμφοτέρων ἅπαντας παιδεύων ἀνθρώπους, ὡς ἂν καὶ τὸ τῆς χάριτος αὐτοῦ μέγεθος εἰδεῖεν ὁπότ' ἂν ἐθέλῃ περὶ τοὺς ἀνθρώπους τὴν οἰκείαν ἐπιδείκνυσθαι φιλοτιμίαν, καὶ τῆς τιμωρίας τὸν φόβον ὅτ' ἂν ταύτης ἀξίους εἶναι νομίζῃ τοὺς ἀδιόρθωτον ἐπὶ τοῦ πταίειν ἔχοντας τὴν γνώμην.

Ἐκεῖνα μὲν οὖν Ἰωνᾶς ὁ προφήτης δηλοῖ· ταυτὶ δὲ ὁ Ναοὺμ, τὴν τιμωρίαν λέγων τὴν ποικίλως αὐτοῖς ἐπάγεσθαι μέλλουσαν, ὑπὲρ ὧν τοσούτῳ φρονήματι κατά τε τῶν Ἰσραηλι-
p. 325. τῶν ἐχρήσαντο καὶ τῆς Ἱερουσαλὴμ, τοῦ τε ἐν αὐτῇ θεραπευομένου τῶν ὅλων θεοῦ· δι' ὧν ἅπασιν ἐγίνετο δῆλον, ὅτι οὐκ ἂν ἐκεῖνα παθεῖν συνεχώρησε παρ' αὐτῶν τοὺς Ἰσραηλίτας, εἰ μὴ τοῦ τοιαῦτα παθεῖν δι' ὧν ἐσέβουν αὐτοὶ παρεῖχον ἑαυτοὺς ἀξίους· καὶ ἐπειδὴ πεπόνθασιν οὗτοι τὰ παρ' ἐκείνων αὐτοῖς ἐπαχθέντα καὶ τὴν αἰχμαλωσίαν ὑπομεμενήκασιν ἐκείνην, δίκας τῆς ἀσεβείας διδόντες τῆς οἰκείας, ἀκολούθως ὁ θεὸς ἐπὶ τοὺς τοιαῦτα πεποιηκότας μετάγει τὴν ὀργὴν τιμωρούμενος αὐτοὺς, ὑπὲρ ὧν μοχθηρίᾳ γνώμης πεποιήκασί τε καὶ τετολμήκασι κατά τε τοῦ θεοῦ καὶ τῶν αὐτοῦ προσηκόντων· τοὺς μὲν γὰρ Ἰσραηλίτας ὡς ἀξίους τοιούτων ὑπὲρ ὧν ἐσέβουν τε καὶ ἡμάρτανον εἴα παθεῖν, τοὺς δὲ ἐκ τῆς οἰκείας μοχθηρίας

summa ignominia regressus Sennacherimus, Assyriorum illa aetate rex, necem a propriis liberis perpessus est. Deinde gentis quoque imperium funditus delevit Deus, qui per Babylonios obsidendam Niniven vastandamque curavit: adeo ut innumerabili populo frequens civitas et nobilissima atque regina, captiva fuerit ac desertissimae solitudini tradita. Nam sicuti priore tempore, de quo beatus Ionas propheta loquitur, suae gratiae indicium Deus fecit, dum repente Assyrios omnes ad virtutem convertit; ita nunc eosdem sceleribus iterum deditos, maximo et horrendo ultionis genere adfecit: utraque re generatim homines erudiens, ut et gratiae eius magnitudinem noscant, siquando vult suam in homines benivolentiam expromere; et vindictae terrorem, siquando hac dignos existimat, qui pervicacem peccandi sententiam retinent.

Illud igitur Ionas propheta declarat, hoc Nahumus, ultionem vaticinans multifariam in eos exserendam, qui tanta superbia adversus Israhelitas ac Hierosolyma usi fuerant, nec non contra universalem, qui colebatur ibidem, Deum. Unde omnibus claruit, haud permissurum Deum fuisse haec Israhelitis mala ab Assyriis accidere, nisi haec perpeti ob suam impietatem dignos se praebuissent. Age vero postquam Hebraei passi sunt mala ab Assyriis impacta, illamque pertulerunt captivitatem, dum impietatis suae poenas penderent; consequenter Deus ad eos, qui calamitates illas conflaverant, iram suam transtulit, consilii vesaniam puniens, quo ausi fuerant contra Deum eiusque familiares arma capere. Igitur Israhelitas quidem, ceu

(1) Ninives a Babyloniis capturam et destructionem narrat Diodorus siculus lib. II. 24. et 28; praedixerat sanctus Tobias cap. XIV. 6. Aetate demum nostra enormes illius ruinae ac monumenta effodiuntur Gallorum sumptibus et industria.

τοιαῦτα κατ' αὐτῶν πεποιηκότας, ἀναγκαίως ὑπῆγε τῇ τιμωρίᾳ, δίκας αὐτοὺς εἰσπρατ-
τόμενος, ὑπὲρ ὧν ἀπονοίᾳ τε καὶ μοχθηρίᾳ γνώμης ἑλόμενοι πρὸς τοσοῦτον ἐξώκειλαν
ἀσεβείας, ὥστε καὶ ἐπὶ τὸν θεὸν ἄρασθαι πόλεμον τό γε ἐπ' αὐτοῖς· ὥσπερ γὰρ ὁ Ἀβδιοὺ τὴν
κατὰ τῶν Ἰδουμαίων λέγει τιμωρίαν, ἣν ὑπομένειν ἤμελλον ὕστερον μετὰ τὴν ἀπὸ Βαβυλῶνος
ἐπάνοδον τοῦ λαοῦ, ὑπὲρ ὧν πεπλημμελήκεσαν εἰς τὴν Ἱερουσαλὴμ εἴς τε τοὺς οἰκοῦντας
αὐτὴν κατὰ τὸν καιρὸν ἐκεῖνον, δῆλον τῇ μηνύσει ποιῶν ὅτι κατὰ γνώμην θεοῦ τὰ περὶ αὐτοὺς
γενήσεται τότε, οὕτως ὁ μακάριος Ναοὺμ ἐπὶ τοῦ βίβλου ταύτης τὴν ἐπαχθησομένην τοῖς ἀσ-
συρίοις παρὰ τοῦ θεοῦ τιμωρίαν φησίν, ἥνπερ οὖν καὶ διὰ Βαβυλωνίων ὑπέμειναν ὕστερον· p. 326.
δηλῶν καὶ αὐτὸς ὅτι κατὰ γνώμην θεοῦ καὶ παθεῖν ταῦτα οἱ Ἰσραηλῖται διὰ τὴν οἰκείαν συν-
εχωρήθησαν ἀσέβειαν· καὶ ἀσσύριοί γε τῆς ἀπονοίας τῆς ἑαυτῶν κατὰ καιρὸν ἀνάλογον οἷς πε-
πλημμελήκεσαν δώσουσι δίκην· τὰ μὲν δὴ τῆς ὑποθέσεως τοῦ βιβλίου ταῦτα· προσεκτέον
δὲ τοῖς κατὰ μέρος λοιπόν.

ΚΕΦ. Α'.

“ Λῆμμα Νινευή, βιβλίον ὁράσεως Ναοὺμ τοῦ ἐλκεσαίου. „ Τοῦτο μὲν οὖν ἡ εἰωθυῖα v. 1.
ἐπιγραφὴ τῶν προφητικῶν· τοῦ λήμματος δὲ σαφηνίσαι προσήκει τὴν διάνοιαν· ἓν μὲν γὰρ
ἦν τὸ πνεῦμα τὸ ἅγιον, ὃ τοῖς τῶν τοιούτων ἠξιωμένοις τὴν οἰκείαν παρείχετο χάριν· καθὼς
ὁ μακάριος Παῦλος φησίν· * ἔχοντες δὲ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπί- * II. Cor. IV. 13.
στευσα, διὸ καὶ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν· δεικνὺς ὅτι τῆς αὐτῆς τοῦ
ἁγίου πνεύματος χάριτος οἵ τε πάλαι μετεῖχον, καὶ οἱ τῷ τῆς καινῆς διαθήκης ὑπηρετούμενοι
μυστηρίῳ· διάφοροι δὲ πρὸς τὸ κατεπεῖγον τῆς χρείας ἐπετελοῦντο αἱ ἐνέργειαι· διαιρέσεις γὰρ
φησὶ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· * διάφορα μὲν εἶναι τὰ διδόμενα λέγων, ἓν δὲ * I. Cor. XII. 6.

poenae obnoxios ob impietatem et peccata sua, sic adfligi permisit; Assyrios autem qui crimine proprio Hebraeis molesti fuerant, necessario punivit ac ultus est, propterea quod animi vesania ac pravitate ducti, in tantum sceleris venerant, ut quantum in ipsis erat bellum Deo indixerint. Iam sicuti Abdias Idumaeis canit punitionem, quam deinde passuri erant, post hebraei populi Babylone reditum, ob ea quae adversus Hierosolyma eorumque incolas antea deliquerant; significans omnino fore, ut haec a Dei voluntate illis eveniant; ita beatus hoc libro Nahumus superventuras Assyriis a Deo poenas recitat, quas reapse a Babyloniis perpessi sunt postea: ipse pariter ostendens, quemadmodum Dei nutu et haec contingere Israhelitis permissum fuerit; et ipsi demum Assyrii scelera sua tempore idoneo suppliciis expiaturi essent. Et libri quidem argumentum eiusmodi est. Nunc ad singula explananda incumbendum est.

CAP. I.

“ Lemma (assumptio) Ninives, liber visionis Nahumi elcesaei. „ Hic quidem consuetus librorum propheticorum titulus est: vocabuli tamen lemma notionem enucleare, pretium operae erit. Unus erat sanctus Spiritus, qui horum munerum dignis suam gratiam suppeditabat, teste beato Paulo: habentes autem eundem Spiritum fidei, sicuti scriptum est: credidi, propterea locutus sum; et nos quia credimus, idcirco loquimur. Quibus verbis significat, eadem sancti Spiritus gratia tum veteres illos potitos, tum etiam recentiores qui novi testamenti mysterio operam suam locaverunt. Diversae vero pro instantia operis praestabantur facultates: divi-

τὸ παρέχον ἅπαντα πνεῦμα· εἰπὼν γοῦν καὶ τὸν τῶν χαρισμάτων κατάλογον, ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα,
p. 327. καὶ τὰ ἑξῆς, ἐπάγει· ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· δεικνὺς ὅτι ὑφ' ἑνὸς τοῦ ἁγίου πνεύματος ἅπαντα ἐνηργεῖτο· πολύτροποι δὲ καὶ κατὰ τὴν χρείαν ἐγίνοντο αὐτοῖς ἐνέργειαι, καθ' ἃς τὴν ἀποκάλυψιν ἐδέχοντο τῶν ἀναγκαίων· ἐκστάσει μὲν οὖν ἅπαντες ὡς εἰκὸς τῶν ἀπορρητοτέρων ἐδέχοντο τὴν γνῶσιν, ἐπείπερ ἐχρῆν αὐτοὺς ταῖς ἐννοίαις πόρρω που τῆς παρούσης καταστάσεως γεγονότας, οὕτω δυνηθῆναι τῇ τῶν δεικνυμένων θεωρίᾳ προσανέχειν μόνῃ· εἰ γὰρ ἡμᾶς οὐχ οἷόν τε ἀκριβῆ παρὰ τῶν παιδευόντων δέχεσθαι τὴν μάθησιν, εἰ μὴ πάντων ἑαυτοὺς ἀποσπάσαντες σὺν ἀκριβείᾳ πολλῇ προσέχοιμεν τοῖς λεγομένοις, ἤ πού γε τὰς οὕτω φοβερὰς τε καὶ ἀπορρήτους θεωρίας δυνατὸν ἦν αὐτοῖς ὑποδέχεσθαι, μὴ τῷ λογισμῷ πρότερον κατὰ τὸν τῆς θεωρίας καιρὸν ἐξισταμένοις τῶν παρόντων; οὕτω τὸν μακάριον λέγει Πέτρον ἐν ἐκστάσει γεγονότα τὴν σινδόνα ἰδεῖν ἐκ τοῦ οὐρανοῦ καταφερομένην· ἐπειδὴ ἡ τοῦ πνεύματος χάρις πρότερον αὐτοῦ τὴν διάνοιαν ἀποσπάσασα τῶν παρόντων, τότε προσανέχειν τῇ θεωρίᾳ παρεσκεύασε τῶν δεικνυμένων, ἵν' ὥσπερ ἔξω τῆς παρούσης γινόμενοι καταστάσεως καθ' ὕπνους τὴν τῶν ἀποκαλυπτομένων δεχόμεθα τὴν θεωρίαν, οὕτω πῶς τῇ μεταστάσει τῆς διανοίας ὑπὸ τῆς τοῦ ἁγίου πνεύματος καθιστάμενοι χάριτος, τῶν δεικνυμένων ὑποδέχοιντο τὴν θεωρίαν.

p. 328. Ἀλλὰ γὰρ ἐν τοιαύτῃ καταστάσει γινομένοις αὐτοῖς ποτὲ μὲν τοιαύτην τινὰ παρείχετο τὴν διδασκαλίαν τοῦ ἁγίου πνεύματος ἡ χάρις, ὥστε δοκεῖν αὐτοὺς ὥσπερ τινὸς λαλοῦντος ἀκούειν τε καὶ παιδεύεσθαι· οὕτω τε δέχεσθαι τῶν ἀναγκαίων τὴν γνῶσιν· ὥσπερ οὖν καὶ ὁ
* Act. X. 13. μακάριος Πέτρος ἐπὶ τῆς σινδόνος φωνῆς ἀκούειν ἐδόκει λεγούσης πρὸς αὐτὸν *, ἀναστὰς Πέτρε

siones enim, inquit, gratiarum sunt, idem tamen Spiritus. Diversa dona ait, unum nihilominus, qui omnia suppeditat, Spiritum. Immo et gratiarum catalogum recitat: alii quidem per Spiritum datur sermo sapientiae, alii sermo scientiae iuxta eundem Spiritum. Tum reliqua subdit: haec autem omnia operatur unus et idem Spiritus dividens seorsum singulis prout vult. Omnia scilicet ab uno Spiritu fieri confirmat; ceterum varias, prout res postulat, facultates dari, quarum ope gravissimarum rerum notitiam excipiebant prophetae. Itaque extasi quidem omnes, ut credibile est, ad sublimiorum rerum cognitionem comparabantur. Oportebat enim eorum mentes a praesenti natura procul abesse, ut uni possent revelatarum rerum contemplationi vacare. Nam si fieri nequit, ut nos accurate a praeceptoribus imbuamur doctrina aliqua, nisi animis ab omni evagatione cohibitis, sedulo dictis mentem intendamus: num prophetae terrificas adeo atque inenarrabiles visiones percipere potuissent, nisi mentem antea, nempe sub ipsum visionis tempus, abalienatam terrenis habuissent? Sic beatum Petrum scriptura dicit in extasi positum vidisse sindonem de caelo demissam. Spiritus enim gratia mentem eius primo abstraxit terrestribus, tum ipsum idoneum reddidit demonstratarum rerum intuitui. Ac veluti in somno dum tantisper a praesenti corporis conditione degredimur, revelationum imagines animo recipimus; sic prophetae migratione quadam mentis sub sancti Spiritus constituti gratia, oblatas mox res contemplabantur.

Iam vero in hac positis conditione interdum quidem tale exhibebat magisterium sancti Spiritus gratia, ut sibi viderentur audire quodammodo aliquem loquentem eosque erudientem; eoque pacto imbuebantur rerum quae opus erant cognitione. Sicuti revera beatus Petrus animadversa sindone, audire insuper existimabat

θῦσον καὶ φάγε· * ἐντεῦθεν καὶ ὁ προφήτης Ἡσαΐας φησίν· κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ * Is. LIII. 1.
ἡμῶν; ἀκοὴν καλέσας τὴν παρασχεθεῖσαν ἀποκάλυψιν αὐτῷ θειόθεν, ἐπειδὴ ὥσπερ τινὸς λέγοντος ἀκούειν ἐδόκει· ἔστι δὲ ὅτε καί τινα ὀπτασίαν ὁρῶντες μετ' ἐκείνης ἤκουον τῶν λεγομένων· ὡς ὅτε μακάριος Πέτρος ὁμοῦ καὶ τὴν σινδόνα ἑώρα καὶ τῶν λεγομένων πρὸς αὐτὸν ἐδέχετο τὴν διδασκαλίαν· καὶ μὴν καὶ ὁ μακάριος Ἡσαΐας ὅτε λέγει μὲν ἑωρακέναι τὸν θεόν, καὶ τὰ σεραφὶμ, ἤκουε δὲ καὶ τῶν πρὸς αὐτὸν γινομένων φωνῶν. * διὰ τοῦτο ποτὲ μὲν * Is. VI. 2.
λέγει, λόγος κυρίου ὃς ἐγένετο πρὸς τόνδε ἢ τόνδε, λόγον καλῶν τὴν ἐνέργειαν, καθ' ἣν ἐδόκει φωνῇ τινὶ διδασκόμενος παιδεύεσθαι τὸ δέον· ποτὲ δὲ, ὅρασιν ἣν εἶδεν ὅδε ἢ ὅδε, τὴν ἀποκάλυψιν οὕτω καλῶν, καθ' ἣν ὁρᾶν τι δοκῶν ἐπαιδεύετο τὸ προσῆκον· τὸ αὐτὸ σημαίνει, κἂν ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου λέγῃ· καὶ γὰρ κἀνταῦθα χεῖρα κυρίου τὴν ἐνέρ- p. 329.
γειαν τοῦ ἁγίου πνεύματος ὀνομάζει· καθ' ἣν ὥσπερ ἐφαπτομένη τῆς τοῦ προφήτου διανοίας τὴν διδασκαλίαν αὐτῇ παρείχετο τῶν ἀναγκαίων· τοιοῦτο δή τι βούλεται καὶ τὸ λῆμμα· ἐκπλήξεως γάρ τι γέμον πολλάκις ὑποδεῖξαι τοῖς προφήταις βουλόμενος ὁ θεὸς, ἀθρόαν αὐτῶν τῆς διανοίας τὴν μετάστασιν ἐποιεῖτο, ὡς ἂν ἅμα τῇ τοιαύτῃ καταστάσει μετὰ μείζονος τοῦ φόβου τῶν μελλόντων δέχοιντο τὴν γνῶσιν· λῆμμα οὖν τοῦτο καλεῖ, ἐπειδὴ τοῦ πνεύματος ἡ χάρις ὥσπερ ἀθρόον ἐπιλαμβανομένη τῆς τοῦ προφήτου διανοίας πρὸς τὴν ἀποκάλυψιν αὐτὴν μεθίστη τῶν δεικνυμένων· τὸ αὐτὸ δὲ κἀνταῦθα φησί· λῆμμα Νινευή, βιβλίον ὁράσεως Ναοὺμ τοῦ ἐλκεσαίου· ἵνα εἴπῃ ὅτι πνεύματος χάριτος ἀθρόον ἡ τοῦ προφήτου ληφθεῖσα διάνοια πρὸς τὴν θεωρίαν ἐκείνων μετέστη, δι' ὧν τὰ τῇ Νινευὴ συμβησόμενα μαθὼν, τὴν ἐκ τῶν δειχθέντων αὐτῷ διδασκαλίαν παρείχετο τοῖς ἀκούουσι· διὰ

vocem sibi dicentem: consurgens Petre caede et manduca. Hinc etiam Esaias propheta ait: Domine quis credidit auditui nostro? auditus nomine appellans exhibitam sibi divinitus revelationem: siquidem ceu loquentem aliquem auscultare se arbitrabatur. Interdum etiam post aliquam visionem sibi oblatam, loquentis vocem exaudiebant. Veluti beatus Petrus sindonem simul cernebat, et rerum, quae sibi dicebantur, doctrinam excipiebat. Quin adeo beatus quoque Esaias, cum aiebat se Deum seraphimque videre, voces pariter ad se missas audiebat. Propterea scriptura modo ait: sermo Domini qui factus est huic vel illi; sermonem appellans eam vim, qua ille qui erudiebatur, putabat se a voce quadam necessariis notionibus informari. Modo eadem scriptura dicit: visio, quam vidit hic vel ille; revelationem hac appellatione designans, secundum quam propheta spectare aliquid credens, id quod sibi opus erat discebat. Idem significat locutio: et fuit manus Domini super me. Nam heic etiam manus Domini dicitur pro sancti Spiritus virtute; qua Deus veluti attingens prophetae mentem, doctrinam ei tradebat necessariam. Eiusmodi quid significat etiam vox lemma (assumptio). Namque admirabile aliquid saepenumero demonstrare prophetis volens Deus, subitam eis mentis faciebat conversionem, ut hoc animi habitu adfecti, maiore cum reverentia futurorum scientiam acciperent. Assumptionem itaque hanc dicit; qui Spiritus sancti gratia tamquam repente corripiens prophetae mentem, convertit eam ad rei demonstratae contemplationem. Pari ratione heic quoque dicitur: assumptio Ninives, liber visionis Nahumi elcesaei. Nempe intelligitur prophetae mens a sancti Spiritus gratia repente correpta, atque ad contemplationem rei revelatae conversa; unde cognitis futuris Ninives casibus, scientiae oblatae nuncium propheta audientibus impertivit. Idcirco autem assumptionem simul et visionem ait, ut priore nimirum vocabulo declaret modum quo Spiritus

τοῦτο καὶ λῆμμα καὶ ὅρασιν εἰρηκώς, ἵνα τῷ μὲν τὸν τρόπον τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος
δηλώσῃ, τῇ ὁράσει δὲ τῶν δειχθέντων αὐτῷ τὴν θεωρίαν· ἄρχεται δὲ οὕτως.
v. 2. “ Θεὸς ζηλωτὴς καὶ ἐκδικῶν κύριος, καὶ ἐκδικῶν κύριος μετὰ θυμοῦ, καὶ ἐκδικῶν κύριος
τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ. ,, Ζῆλον καλεῖ τοῦ θεοῦ τὴν
p. 330. ὀργήν, ἣν ἐπὶ τοῖς ἄγαν ἀτόπως γινομένοις παροξυνόμενος δέχεται κατὰ τῶν ἀσεβούντων·
οὕτως λέγει τό, εἶδεν κύριος καὶ ἐζήλωσεν, καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγα-
* Deut. XXXII. 19. τέρων· * κἀνταῦθα τοίνυν ἐπειδὴ ὀργὴν ἤμελλε λέγειν παρὰ θεοῦ κατὰ τῶν Νινευιτῶν κινηθεῖ-
σαν, εἴτ' οὖν τῶν Ἀσσυρίων· ἐν γὰρ τῇ βασιλευούσῃ πόλει τὸ ἔθνος ἅπαν δηλοῖ· ὑπὲρ ὧν
ἀσεβείᾳ τε καὶ παρανομίᾳ πλείστῃ χρησάμενοι, τοσαῦτα μὲν καὶ τηλικαῦτα κακὰ πολλοὺς
τε ἑτέροις διέθηκαν, καὶ πρὸς ἅπασί γε τοὺς Ἰσραηλίτας· ἐπεληλυθότες δὲ καὶ τῇ Ἱερου-
σαλήμ, μικροῦ γε πρὸς αὐτὸν ἤραντο πόλεμον τὸν θεόν· καλῶς ἐντεῦθεν ἤρξατο, θεὸς
ζηλωτὴς λέγων, ἀντὶ τοῦ σφόδρα παροργίζεσθαι ἐπὶ ταῖς ἀσεβείαις εἰδώς, καὶ μετὰ πολλῆς μὲν
ἐκδικῶν τῆς ὀργῆς τὰς παρὰ τῶν ἀνθρώπων ἐπιτηδευμένας ἀσεβείας, πάντας δὲ τοὺς ἐχθρὰν
καὶ ἐναντίαν πρὸς αὐτὸν γνώμην ᾑρημένους τιμωρούμενος τε καὶ παντελῶς ἀφανίζων· εἶτα
ἐπειδὴ νῦν ταῦτα φησὶ πολλὴν τοῦ θεοῦ φιλανθρωπίαν περὶ αὐτοὺς ἐπιδεδειγμένου, ὁπηνίκα
v. 3. τῷ τοῦ μακαρίου Ἰωνᾶ κηρύγματι πεισθέντες πρὸς μετάνοιαν εἶδον. “ Κύριος μακρό-
θυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ ἀθῳῶν οὐκ ἀθῳώσει κύριος. ,, Ὥσπερ γάρ, φησίν,
ἀνεξικακεῖν οἶδεν καὶ παρορᾶν ἁμαρτημάτων τε καὶ ἀσεβημάτων πλῆθος, ἐπειδ' ἂν νεύ-
p. 331. σαντας ἴδῃ πρὸς μεταμέλειαν, οὕτως ἀρκοῦσαν ἐπιδείκνυται τὴν ἑαυτοῦ δύναμιν τῷ μεγέ-
θει τῆς τιμωρίας, ἐπειδ' ἂν ἀμετανόητα πταίοντας ἴδῃ καὶ πρὸς ἄκρον ἀσεβείας ἐληλα-
κότας, οὓς οὐκ ἀπαλλάττει τῶν ἐγκλημάτων, οὐδὲ τῆς ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίας, ἅτε
ἐκ τῶν οἰκείων πράξεων κατακρινομένους.

sancti vis se prodit; posteriore autem visionis vocabulo, demonstratorum oraculorum intuitum significet. Incipit autem sic.

“ Deus zelator et ultor Dominus, iracundus ultor Dominus, de inimicis suis ultionem exigit Dominus, eosque de medio tollit. ,, Zeli nomine appellat iram quam Deus vesanis hominum actibus exacerbatus concipit adversus impios. Sic dicitur: vidit Dominus, zeloque excanduit, propter iram ad quam eum provocaverunt filii sui et filiae. Par est nunc quoque scripturae locutio, dum iram Dei recitatura est contra Ninivitas sive Assyrios commotam (namque in urbe dominatrice universam gentem disignat) quia summa impietate ac scelere usi, tot tantaque mala tum aliis multis intulerant populis, tum denique etiam Israhelitis: quin adeo Hierosolyma adorti, ipsum propemodum Deum bello lacessiverant. Quamobrem praeclarum fecit initium propheta appellans Deum zelatorem: nempe ut diceret, qui magnopere irasci criminibus solet, multaque irae vi quae patrantur ab hominibus scelera vindicare; atque eos omnes qui hostili et adverso in eum animo sunt, poenis irretitos exitio addicere. Deinde qui haec nuper dixerat, item multam a Deo benivolentiam erga Assyrios adhibitam ait, quo tempore beato Ionae concionanti adsentientes resipuerunt. “ Dominus patiens; magnum robur eius. Absolvendo non absolvet Dominus. ,, Quantum enim, inquit, patienter ferre et dissimulare peccata ac scelera novit, siquando homines ad meliora converti viderit, tantundem demonstrat vires suas in poenae magnitudine, siquando sine paenitentiae spe lapsos senserit, atque in malitiam summam provectos. Nimirum eos neque a criminatione liberat, neque a culparum poena; quippe qui iam suismet actibus damnati sunt.

Καὶ τίς ἡ τούτων ἀπόδειξις; " Ἐν συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ. „ Ὁδὸν
καλεῖ τοῦ Θεοῦ τὴν πρᾶξιν· τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀνθρώπων φησὶ πολλάκις· ὡς τὸ,
γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων· * ἐνταῦθα οὖν τοῦτο φησὶν ὅτι νῦν τοῦτο πράττειν * Ps. XXXVI. 18.
ἔγνωκε, καὶ ἐπὶ τούτῳ δὴ τὴν ὁρμὴν ἔχει τὴν καθ' ὑμῶν· ὥστε ἅπαντα μὲν τὰ παρ' ὑμῖν συσ-
σεῖσαι, παντελῆ δὲ ὑμῖν ἐπαγαγεῖν τὴν ἀπώλειαν. " Καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ. „
Ἀκολούθως τῷ ὁδὸς εἰπεῖν, ἐπήγαγε νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ· ἐπειδὴ γὰρ ἕπεται τῷ
μετὰ πολλῆς ὁρμῶντι τῆς κινήσεως τὸ κονιορτὸν βαδίζοντα κινεῖν, τούτου φησὶ κονιορτὸς πο-
δῶν αἱ νεφέλαι· ἵνα εἴπῃ ὅτι ὁρμῶν ἐφ' ὑμᾶς τὸν ἀέρα πάντα καθ' ὑμῶν συστρέφει. " Ἀπει-
λῶν θαλάσσῃ καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν. „ Αὐτάρκης δὲ καὶ v. 4.
μόνη φωνῇ θάλασσάν τε ξηρᾶναι καὶ ποταμοὺς σὺν ἐκείνῃ, δηλῶν ὅτι οὐδεὶς πόνος αὐτῷ
τὸ ὑμέτερον σύστημα καὶ τὸ πλῆθος τὸ παρ' ὑμῖν ἀνελεῖν βουληθέντι. Εἶτα καὶ τῶν γινομένων
τὴν ἀπόδειξιν παρεχόμενος " ὠλιγώθη ἡ Βασανῖτις καὶ ὁ Κάρμηλος, καὶ πάντα τὰ ἐξαν- v. 5. p. 332.
θοῦντα τοῦ Λιβάνου ἐξέλιπεν· τὰ ὄρη ἐσείσθη ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν καὶ ἀνε-
στάλη ἡ γῆ ἀπὸ προσώπου ἡ σύμπασα, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. „ Καὶ γὰρ καὶ
ὁπόσα φησὶν ὑμῶν ἐργαζομένων ἔπαθον οἱ Ἰσραηλῖται, κατὰ τὴν αὐτοῦ γνώμην ἐγίνετο· ὃς
κατεγνωκὼς αὐτῶν διὰ τὴν ἀσέβειαν, εἴασεν αὐτοὺς πάσχειν ἅπερ αὐτοῖς ἐπάγειν ἐβούλεσθε·
ὥστε οὐχ ὑμετέρας δυνάμεως ἦν οὐδ' ἐκεῖνα, ἀλλὰ γνώμης ἔργα τῆς θείας· καὶ διὰ τοῦτο καὶ
ἡ Βασανῖτις καὶ ὁ Κάρμηλος καὶ τὰ σεμνὰ τοῦ Λιβάνου πρὸς ἀπώλειαν εἶδεν, ὄρη τε καὶ βουνοὶ
μικροῦ συνεκινήθησαν πάντες· καὶ συντόμως εἰπεῖν ἅπασαν τῆς προσόψεως τῆς οἰκείας ἀφεῖ-
λεν τὴν γῆν ἐκείνην σὺν τοῖς οἰκοῦσιν αὐτὴν, μισήσας αὐτοὺς διὰ τὴν ἀσέβειαν.
" Πρὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; v. 6.
ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς, καὶ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ. „ Ἔχετε τοίνυν ἐξ ἐκείνων

Quaenam porro est harum rerum demonstratio? " In consummatione et in commotione via eius. „ Viam dicit Dei actum; quam locutionem de hominibus quoque saepe usurpat scriptura; veluti, novit Dominus viam immaculatorum. Hoc loco ait, sibi id nunc propositum esse, atque idcirco in vos ruere, ut vestra omnia usquequaque commoveat, vobisque exitium inferat. " Nebulae pulvis pedum eius. „ Consequenter, quia viam dixerat, addit, nebulae pulvis pedum eius. Nam sicuti accidit ut is qui multo cum impetu currit, pulverem in incessu excitet; ita divinorum, inquit, pedum pulvis nebulae sunt. Nempe significat a Deo in vos irruente universum aërem contra vosmet convolvi. " Minitans mari, illudque exsiccans, et flumina cuncta devastans. „ Qui potest scilicet unius ope vocis mare fluviosque pariter exsiccare. Quibus verbis Deus declarat perfacile sibi esse vestrum populum quantumlibet numero ingentem exscindere, siquando voluerit. Deinde rei gestae demonstrationem proferens: " imminuta est, ait, Basanitis et Carmelus, et omnis Libani flos defecit: montes a Deo concussi fuerunt collesque commoti: tellus coram eo cum colonis suis inhibita est. „ Enimvero quidquid, inquit, vestris manibus passi sunt Israhelitae, eius id omne voluntate contigit, qui illorum sceleri infensus sivit eos pati, quaecumque vobis patrare collibuit: quare haud vestrarum virium illa fuerunt, sed divini consilii opera. Propptereaque et Basanitis et Carmelus et Libani decor exitio dati fuerunt, montesque propemodum et colles simul omnes commoti sunt. Atque ut summatim dicam, cunctam ab aspectu suo terram illam cum incolis eius submovit Deus, vitia illorum abominans.

" A facie irae eius quis sustinebit? furori irae eius quis resistet? Furor eius

τὴν ἀπόδειξιν, ὅτι οὐδεὶς ὁ ἀνθίστασθαι δυνάμενος τῇ ὀργῇ τῇ θείᾳ, αὐτάρκως ἔχοντι καὶ
τοὺς ἐν μεγάλαις δυναστείαις, καὶ τοὺς ἐν πλείστῃ καθεστῶτας ἰσχύϊ διαθρυβεῖν τε καὶ παν-
τελῶς ἀφανίζειν. Καὶ τὰ ὅμοια τῶν πρόσθεν λέγων· " χρηστὸς κύριος, ὑπομένουσιν αὐτὸν
p. 333. ἐν ἡμέρᾳ θλίψεως, καὶ γιγνώσκων τοὺς εὐλαβουμένους αὐτόν. ,, Ἔστι μὲν γάρ φησιν ἄγαν
φιλάνθρωπος καὶ ἄγαν εἰδὼς εὐεργετεῖν τοὺς πρὸς αὐτὸν ὁρῶντας, καὶ τὴν ἀπειλὴν αὐτοῦ
v. 8. δεδοικότας. " Καὶ ἐν κατακλυσμῷ πορείας συντέλειαν ποιήσεται· τοὺς ἐξεγειρομένους καὶ
τοὺς ἐχθροὺς αὐτοῦ διώξεται σκότος. ,, Ἐπειδὰν δὲ πρὸς ὀργὴν νεύσῃ, ταύτης τινὰς εὑ-
ρηκὼς ἀξίους, κατακλυσμόν τινα διὰ τῆς ὁρμῆς ἐπάγει τῆς οἰκείας, δι' ἧς παντελῆ μὲν ἐρ-
γάζεται τὸν ἀφανισμὸν τῶν μοχθηρῶν· ἅπαντας δὲ τοὺς ἐπανισταμένους αὐτῷ καὶ τολμῶντας
αὐτῷ τι βούλεσθαι ἐναντίον, σκότῳ περιβάλλει καὶ ἀπορίᾳ πολλῇ τῷ μεγέθει τῶν ἐπαγο-
v. 9. μένων αὐτοῖς κακῶν. " Τί λογίζεσθε ἐπὶ τὸν κύριον; ,, Ὁμοίαν τοίνυν φησὶν ἔχετε περὶ
αὐτοῦ τὴν ἔννοιαν; ἢ μὴ νομίζετε δυνατὸν ὑμῖν εἶναι πολεμεῖν τῷ τοιούτῳ; ἀφ' οὗ δὴ καὶ
πρότερον ἐπηλύθατε τῇ Ἱερουσαλὴμ, οὕτω τε βλασφήμοις εἰς τὸν θεὸν ἐξετείνατε λόγοις.
" Συντέλειαν αὐτὸς ποιήσει, καὶ οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει. ,, Δοκιμάσας
γὰρ ὑμῶν παντελῆ ποιῆσαι τὸν ἀφανισμὸν, οὕτως ἀθρόον τὸ δοκοῦν αὐτῷ καθ' ὑμῶν ἀπερ-
γάζεται, ὥστε μὴ δεηθῆναι δευτέραν αὐτὸν πληγὴν ἐπενεγκεῖν, ἀθρόαν δὲ ὑμῖν ἀπὸ τῆς
v. 10. πρώτης πληγῆς τὴν ἀπώλειαν ἐγγίνεσθαι. " Ὅτι ἕως θεμελίου αὐτῶν χερσωθήσονται. ,,
p. 334. Ὥστε εἰς παντελῆ καταστῆναι πάντα τὰ παρ' ὑμῖν ἐρημίαν. " Καὶ ὡς σμίλαξ περιπλεκο-
μένη βρωθήσονται, καὶ ὡς καλάμη ξηρασίας μεστή. ,, Δίκην δὲ ἐκείνης τῆς βοτάνης τῆς τοῖς
φραγμοῖς περιπλεκομένης, εἶτα ὑπὸ πάντων τῶν προσπεσόντων ἀναλισκομένης κτηνῶν,
καταναλωθήσεσθε πάντες ὑπὸ πολεμίων· καλάμης τε δίκην ξηρᾶς ὡς ὑπὸ πυρὸς ἀφανι-
σθήσεσθε τῶν ἐπιόντων ὑμῖν· οὐδαμῶς ἀρκεῖν πρὸς τὴν ἔφοδον αὐτῶν οἷοί τε ὄντες.

dissolvit principatus, petrae ab eo conteruntur. Hinc enimvero vobis constat, neminem posse potestati Dei resistere, qui quidem par est conterendis imperiis maximis ac potentissimis, iisque funditus destruendis. Tum similia priorum dicens: " bonus Dominus expectantibus eum in die tribulationis: novit ipse qui se pie colunt. ,, Est, inquit, clemens admodum et valde beneficus erga illos qui spem suam in eo collocaverunt, eiusque minas reverentur. " In diluvio transeunte consummationem faciet. Qui eum irritaverint atque oderint, persequentur eos tenebrae. ,, Verumtamen ubi ad iram spectaverit, dignosque hac aliquos nactus fuerit, diluvium nescio quod impetu suo convehet, quo summam cladem improborum edet: cunctosque sibi adversantes, sibique resistere audentes, tenebris multisque angustiis circumveniet per impositarum magnitudinem calamitatum. " Quid cogitatis contra Dominum? ,, Quaenam, inquit, consilia in eum molimini? Num bellum adversus Deum geri posse putatis? Sane ex quo primum Hierosolyma oppugnare coepistis, his Deum blasphemiis lacessistis. " Consummationem ipse faciet; non vindicabit bis rem eandem in tribulatione. ,, Decreta quippe suprema pernicie vestra, adeo violenter suam in vos voluntatem exsequetur, ut opus ei non sit iterato ictu ferire: subitum enim vel prima plaga interitum vobis pariet. " Quoniam usque ad fundamentum vastabuntur ,, ita ut omnia apud vos solitudo fiant. " Tortilis more smilacis devorabuntur, et sicut calamus ariditate occupatus. ,, Eius instar herbae quae saepibus circumplicatur, atque ab obviis quibusque beluis consumitur, cuncti ab hostibus absumemini: aridique ritu calami, adgressorum vestrorum tamquam igne destruemini, quorum incursibus sustinendis pares non eritis.

“ Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ κυρίου, πονηρὰ βουλευόμενος ἐναντία. ,, Εἶτα v. 11.
δὴ τετόλμηκας τοιαῦτα βουλεύσασθαι κατὰ τοῦ θεοῦ, καὶ δὴ καὶ διαπράξασθαι, ἐπελθὼν τῇ
πόλει τῇ τὸν ναὸν ἐχούσῃ τὸν θεῖον; οὕτω τε πρόχειρον ἐνόμισας αὐτὴν ἀνελεῖν ὡς οὐδὲν ὑπὸ
τοῦ θεοῦ βοηθεῖσθαι δυναμένην; Τί οὖν; “ τάδε λέγει κύριος κατάρχων ὑδάτων πολλῶν. ,, v. 12.
Ἄκουε τοίνυν ἅτινα ὑπὲρ τοῦ τολμήματος ἐκείνου νῦν ἀποφαίνεται θεὸς ὁ πάντων κύριος
τῶν κατὰ γῆν ἐθνῶν· τοῦτο γὰρ λέγει τὸ ὑδάτων πολλῶν. “ Καὶ οὕτως διασταλήσονται. ,, Ὡς
γὰρ ἂν εἴ τις, φησὶν, ὕδωρ ἐξ ὕδατος ἔν τινι τόπῳ συνεστὼς μετὰ πολλῆς διαστήσειεν τῆς εὐμα-
ρείας, οὕτω πάντων ὑμᾶς ἀφορεῖ τῶν ἐθνῶν ὁ θεὸς παραδοὺς ἀπωλείᾳ. “ Καὶ ἀκοὴ οὐκ
ἐνακουσθήσεται ἔτι· ,, ὡς μηκέτι σου μὴ ὅτι ἀκοὴν εἶναι τοῦ παντελῶς ἀπολωλότος. “ Καὶ νῦν v. 13.
συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμούς σου διαῤῥήξω. ,, Πάντα γάρ σου τὰ
σκῆπτρα, καὶ τὴν βασιλείαν ἣν ἔχειν ἐδόκεις, συγκόψω· καὶ πᾶσαν τὴν δυναστείαν ἣν κατὰ p. 335.
τῶν ὑποχειρίων εἶχες, ὥσπερ τισὶ δεσμοῖς αὐτοὺς τῇ ἐξουσίᾳ περιβάλλων τῇ οἰκείᾳ, παν-
τελῶς διατέμω, ἅτε μετὰ τῆς ἀπωλείας ἣν ὑπομένεις πάσης σου τῆς βασιλείας καὶ τοῦ κρά-
τους καὶ τῆς ἐξουσίας ἣν καθ᾽ ἑτέρων εἶχες ὡς εἰκὸς ἀφανιζομένης. “ Καὶ ἐντελεῖται περὶ v. 14.
σοῦ κύριος· ,, Ταῦτα γὰρ περὶ σοῦ γενέσθαι κεκέλευκεν ὁ θεός. “ Οὐ σπαρήσεται ἐκ τοῦ
ὀνόματός σου ἔτι. ,, Ἐπειδὴ οἱ ὑπὸ βασιλείας ὄντες εἰώθασιν ἐπὶ τοὺς βασιλέας ἅπαντα
ἀναφέρειν, καὶ ἐκ τῆς ἐκείνων καλεῖσθαι προσηγορίας, ὡς ὑπὸ τὴν ἐξουσίαν ὄντες τὴν ἐκεί-
νων, οὐκ ἔτι σου φησὶν ἡ ὀνομασία οὐδαμοῦ φανήσεται παντελῶς ἀπολλυμένου. “ Ἐξ οἴκου
θεοῦ σου ἐξολοθρεύσω γλυπτὰ, καὶ χωνευτὰ θήσομαι ταφήν σου, ὅτι ἠτιμώθης. ,, Συνα-
φανιῶ γάρ σοι καὶ τὰ εἴδωλα, οἷς πολλὴν ἀπένεμες τὴν τιμὴν, ἅπερ ὥσπερ τις ταφή σοι
γενήσεται συναπολλύμενα καὶ συναφανιζόμενα, καὶ μονονουχὶ συνθαπτόμενα τῇ ἀτιμίᾳ τῇ σῇ.
“ Διότι ἰδοὺ ἐπὶ τὰ ὄρη πόδες εὐαγγελιζομένου καὶ ἀπαγγέλλοντος εἰρήνην. ,, Τότε δὴ v. 1.
φησὶν ἔσονται πολλοὶ οἱ ἀνὰ τὰ ὄρη τῆς Ἱερουσαλὴμ ἀνατρέχοντες καὶ τὴν ἀπώλειαν εὐαγ-

“ Ex te egressa est machinatio contra Dominum; improba atque hostilia consilia animo volvisti. ,, Ausus es haec facinora mente agitare et agere contra Dominum, armis urbem adoriens divino templo praeditam: eamque facile te capturum existimasti, quasi nihil a Deo iuvanda foret. Quid ergo? “ Haec ait Dominus rector aquarum multarum. ,, Audi porro quasnam ausibus illis nunc poenas decernat Deus cunctorum in orbe populorum dominus. Ut enim cuilibet, inquit, licet congregatas alicubi aquas facillime separare; sic vos ab omnibus gentibus discernet Deus quum exitio tradet. “ Neque audietur diutius auditio. ,, Ita ut ne famam quidem eius qui periit iam sis auditurus. “ Et nunc contritam avertam virgam eius a te, et vincula tua dirumpam. ,, Cuncta enim sceptra et imperium, quod habere videbaris, comminuam: universam potentiam tuam quam in subditos exercebas, et qua ceu vinculis populum hunc in tua ditione retinebas, omnino praecidam: omni scilicet ditione spoliaberis: vires atque potestas, quam in alias gentes exercebas, iam merito evanescent. “ Et praecipiet de te Dominus. ,, Haec fieri mandavit Deus. “ Haud seretur de tuo diutius nomine. ,, Quoniam regum subditi solent ad reges suos omnia referre, atque ab illorum vocitari nominibus, quorum ditioni parent; haud diutius, inquit, nomen tui funditus pereuntis extabit. “ De domo Dei tui eiiciam sculptilia, ponamque conflatilia sepulcrum tuum, quia dehonestatus es. ,, Destruam tecum idola, quibus multum tribuebas honorem: atque haec, inquam, fient tamquam tumulus tibi, tecum scilicet perdita atque destructa, ac propemodum ignominiae tuae contumulata. “ Quamobrem ecce in montibus pedes laeta nun-

γελιζόμενοι πᾶσι τὴν σήν, καὶ τὴν ἐντεῦθεν καθέξουσαν αὐτοὺς εἰρήνην. “ Ἑόρταζε Ἰούδα
τὰς ἑορτάς σου, ἀπόδος τῷ θεῷ τὰς εὐχάς σου, διότι οὐ μὴ προσθῶσιν ἔτι τοῦ διελθεῖν
p. 336. εἰς παλαίωσιν. „ Ἔστω δὴ καὶ σὺ λοιπὸν ἐν ἡδοναῖς, καὶ τὰς καθηκούσας ἑορτὰς τε καὶ εὐχὰς
τῷ θεῷ μετὰ πάσης ἐκπλήρου τῆς σπουδῆς πάνυ γε θαῤῥῶν· ὡς οὐκ ἂν ἐπέλθοιεν ἔτι ἐπὶ τῷ
τι διαφθεῖραι τῶν προσηκόντων ὑμῖν ἀπολωλότες ἅπαξ. Διὸ ἐπάγει.

ΚΕΦ. Β'.

v. 2. “ Συντετέλεσται, ἐξῆρται. „ Ἠφάνισται γάρ φησιν ὁ ταῦτα τολμῶν. “ Ἀνέβη ἐμφυ-
σῶν εἰς πρόσωπον αὐτοῦ ἐξαιρούμενος ἐκ θλίψεως. „ Θεία γάρ τις ὀργὴ ὥσπερ ἐμφυσή-
ματι τινὶ παντελῶς αὐτὸν ἔσβεσε καθ' ὑμῶν ἐξαπτόμενον· ὥστε σε μὴ δὲ μίαν θλίψιν
ἐντεῦθεν ὑποπτεύειν λοιπόν· ταῦτα ὡς πρὸς τὸν Ἰούδαν εἰρηκώς, ἑορτάζειν ὀφείλοντα ἐπὶ
τῇ τοῦ τοιαῦτα τετολμηκότος κατ' αὐτῶν ἀπωλείᾳ, τρέπει δὴ λοιπὸν πρὸς τοὺς Νινευΐτας
τὸν λόγον. “ Σκόπευσον ὁδόν. „ Ὅρα δή φησι τοὺς ἐπιέναι σοι μέλλοντας. “ Κράτησον
ὀσφύος. „ Σύσφιξον πρὸς τοσαύτην ἔφοδον εἰ δύνῃ σαυτόν. “ Ἄνδρισαι τῇ ἰσχύϊ σφόδρα. „
v. 3. Νῦν σου τὴν μεγάλην ἐκείνην ἐπίδειξαι δύναμιν. “ Διότι ἀπέστρεψεν κύριος τὴν ὕβριν
Ἰακώβ, καθὼς ὕβριν τοῦ Ἰσραήλ. „ Ἀλλὰ γὰρ οὐ δυνατόν σοι τὰ ἐπιγινόμενα κακὰ
διαφυγεῖν, ἐπειδὴ ἃ πεποίηκας εἰς τὸν Ἰσραήλ, εἰς τὴν κεφαλὴν ἔστρεψε τὴν σὴν ὁ θεός.
v. 4. “ Διότι ἐκτινάσσοντες ἐξετίναξαν αὐτούς, καὶ τὰ κλήματα αὐτῶν διέφθειραν, ὅπλα δυνα-
p. 337. στείας αὐτοῦ ἐξ ἀνθρώπων. „ Τοσαύτη γὰρ ἔσται κατὰ σοῦ τῶν πολεμίων ἡ δύναμις, ὥστε
σε δίκην τῶν ἐκτιναττόντων ἐσθῆτα, τῆς ἀξίας ἀποβαλεῖν τῆς οἰκείας, ἀπολέσαι τε ἅπαν-
τας ἐφ' οἷς ὡς κεκυκλωκόσι σε καὶ περὶ τὴν θεραπείαν ἠσχολημένοις τὴν σὴν μέγα ἐφρόνεις·
καὶ συντόμως εἰπεῖν πᾶσαν σοῦ τὴν πολεμικὴν ἐμπειρίαν καὶ πᾶσαν τὴν δύναμιν ἐξ ἁπαν-

ciantis, pacemque praedicantis. ,, Tunc, ait, multi per Hierosolymorum montes discurrent, cladem tuam palam nunciantes, suamque inde consecuturam pacem. “ Age, Iuda, sollemnitates tuas, redde Deo vota tua; quia iam nemo in posterum res tuas antiquabit. ,, Esto et tu deinceps in deliciis, legitimasque sollemnitates ac vota Deo persolve cum omnimoda sollemnitate ac laetitia: neque enim amplius supervenient qui res tuas pessumdent, quandoquidem illi iam perierunt. Quare addit.

CAP. II.

“ Consummatus est atque sublatus. ,, Destructus est, inquit, qui haec ausus fuerat. “ Ascendit qui insufflet in faciem eius, qui de calamitate eripiat. ,, Divina, inquit, ira ceu flatu quodam prorsus illum extinxit, qui contra vos accensus fuerat: quare iam nullam hinc cladem suspicari poteritis. His Iudam verbis allocutus, quibus eum iussit festum agere propter adversarii sui perniciem, sermonem deinceps ad Ninivitas convertit. “ Observa viam. ,, Videsis quinam tibi superveniant. “ Lumbos robora. ,, Ad eiusmodi incursionem, si vales, sustinendam praecingitor. “ Viriliter admodum age. ,, Nunc tuas illas ingentes ostende vires. “ Quoniam avertit Dominus contumeliam Iacob, sicut contumeliam Israhelis. ,, Profecto haud potes eventura mala vitare; nam quae tu Israheli fecisti, eadem Deus in caput tuum retorsit. “ Quare excutiendo excutierunt eos, et palmites eorum corruperunt, arma potentiae eius ex hominibus. ,, Tantae, inquit, erunt adversum te hostium vires, ut ritu eorum qui vestem excutiunt, dignitate tua proterrendus sis; atque omnia amissurus, quibus tu olim stipatus ac veluti famulitio cultus superbiebas. Prorsus

τῶν ἀπολέσουσι τῶν ἀνθρώπων· εἶτα καὶ τὴν παλαιὰν αὐτῶν ἐντίθεται δύναμιν ἥπερ οὐκ εἰς
δέον ἐχρήσαντο, ὡς οὐδὲν αὐτοὺς ὠφελήσουσαν ἐν τῷ παρόντι καιρῷ. “ Ἄνδρες δυνατοὶ
ἐμπαίζοντες ἐν πυρί. „ Ὑμεῖς ἦτε φησὶν οἱ διʼ ὑπερβολὴν ἰσχύος οὐδὲ πυρὸς κατατολμᾶν
ὀκνοῦντες. “ Αἱ ἡνίαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς θορυ- v. 5.
βηθήσονται ἐν ταῖς ὁδοῖς. „ Οἱ μέγα ἐφʼ ἵπποις τε φρονοῦντες καὶ ἅρμασιν, ἃ δὴ πάντα
νῦν ὑμῖν ἄχρηστα φανεῖται· ἐν γὰρ τῷ καιρῷ καθʼ ὃν παρεσκεύασται παρὰ θεοῦ τὰ τῆς τι-
μωρίας ὑμῖν, θόρυβος καὶ τὰ ἅρματα καὶ τοὺς ἱππεῖς καθέξει, οὐδὲν ἐπιτελεῖν διὰ τὸ
δέος τῶν πολεμίων οἵους τε ὄντας. “ Συγχυθήσεται τὰ ἅρματα, καὶ συμπλακήσονται ἐν
ταῖς πλατείαις. „ Πρὸς φυγὴν γὰρ φησὶν ὁρμήσουσι πάντες· ὥστε ὑπὸ τῆς κατεχούσης αὐτοὺς
ἀπορίας, ἀλλήλοις αὐτοὺς συμπλεκομένους πρὸ τῆς ἐφόδου τῶν πολεμίων ἑαυτοὺς ἀπολλύειν.
“ Ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες πυρὸς, καὶ ὡς ἀστραπαὶ διατρέχουσαι. „ Εἰρωνικῶς ἐπὶ p. 338.
διασυρμῷ τοῦτο λέγει· καίτοι γε φησὶν οὐδὲν ἀστραπῶν καὶ πυρὸς διαλλάττειν ἐνομίζεσθε
ἐκλάμποντες τε τοῖς ὅπλοις καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἐπιόντες τοῖς ἐναντίοις.

“ Καὶ μνησθήσονται οἱ μεγιστᾶνες, καὶ φεύξονται ἡμέρας, καὶ κρατήσουσιν ἐν τῇ ἀπορίᾳ v. 6.
αὐτῶν καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν. „ Τὰ μὲν δὴ
τῆς παρασκευῆς ὑμῖν ἐκείνης, καὶ τῆς δυνάμεως περιττὰ γενήσεται πάντα· τὸ πολεμεῖν δὲ
ἀφέντες, φυγῆς λήψεσθε μνήμην· καὶ οὐδὲ ταύτῃ χρώμενοι τῷ δρόμῳ διὰ τὴν ὑπερβολὴν τοῦ
ἐπικειμένου δέους τῶν πολεμίων ὑμῖν· ἀναδραμεῖσθε δὴ λοιπὸν ἐπὶ τὰ τείχη, τὸν μὲν πόλε-
μον διὰ πολλὴν ἀπόγνωσιν ἀφέντες, τὴν δὲ ἐξ ἐκείνων δὲ προσδοκῶντες ἕξειν ἀσφάλειαν,
καὶ δὴ καὶ περὶ τὰς εἰωθυίας ἐπὶ τῶν τειχῶν φυλακὰς πᾶσαν ἕξετε τὴν ἀσχολίαν· καὶ τὸ δὴ
μεῖζον. “ Πύλαι τῶν πόλεων διηνοίχθησαν, καὶ τὰ βασίλεια διέπεσε, καὶ ἡ ὑπόστασις ἀπε- v. 7.
καλύφθη· καὶ αὕτη ἀνέβαινε, καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο, καθὼς περιστεραὶ φθεγγόμεναι

ut verba ad compendium conferam, bellica omnis peritia tua cunctaque vis ex incolatu hominum exterminabitur. Deinde veterem eorundem potentiam memorat, quae ab illis contra fas exercita, nihil in praesenti profutura erat. “ Viri strenui ignem ludibrio habentes. „ Vos quondam, ait, tantis viribus pollebatis, ut ipsi flammae certare non dubitaretis. “ Habenae curruum illorum, in die praeparationis eius; equites turbabuntur in viis. „ Equis olim curribusque fidistis, qui nunc inutiles sunt. Nam quo tempore Deo visum fuerit poenam vobis infligere, trepidatio currus et equites occupabit, ita ut metu hostium nihil agere queant. “ Confundentur currus, et in plateis collidentur. „ In fugam, inquit, se coniicient: hac autem trepidatione inter se collisi, ante hostium adventum pessum ibunt. “ Aspectus eorum ut lampades igneae, ut fulgura discurrentia. „ Ironice id dicit: nempe vos nihil fulgure differre vosmet putavistis, qui lucentibus armis praediti, vehementi impetu in hostes ferebamini.

“ Fugae interdiu memores erunt optimates; in trepidatione sua festinabunt moenia tenere; propugnacula sua praeparabunt. „ Vester ille apparatus atque armatura in cassum fiet. Itaque omisso proelio fugam meditabimini: neque hac ipsa expedite utemini; sed cum ingenti consternatione currentes ob ingruentem hostium metum, ad moenia, quae sola reliqua erunt, festinabitis, pugna ob desperationem omissa: atque hinc tutelam expectabitis, et ad consuetam murorum custodiam studio omni incumbetis. Quod vero gravius est “ portae urbium patuerunt, regia palatia conciderunt, opes revelatae sunt. Ipsa ascendit, et ancillae eius praecedebant, ceu columbae loquentes in corde suo. „ Sed enim ne perfugii quidem

ἐν καρδίᾳ ἑαυτῶν. „ Ἀλλὰ γὰρ οὐδὲ τὸ περὶ τὰ τείχη ἀσφαλὲς ὄφελός τι γέγονεν ὑμῖν·
p. 339. κρατήσουσι γὰρ τῆς πόλεως οἱ πολέμιοι, καὶ διά γε τῶν πυλῶν μετὰ πολλῆς εἰσελεύσονται τῆς
ἀδείας· τὰ βασίλεια τε παντελῶς ἀφανιοῦσι· πᾶσαν τε σου τὴν ὕπαρξιν καὶ πάντας τοὺς
περιόντας σοι θησαυροὺς δι' ἁρπαγῆς ποιησάμενοι, καταφανῆ πᾶσιν ἐργάσονται, καὶ τὰ πά-
*cod. ἀναβήσῃ. λαι σοι διὰ πολλῆς τε ὄντα φυλακῆς καὶ κεκρύφθαι δοκοῦντα. Καὶ αὐτὴ μὲν ἀνέβαινε. * „
Πρὸς τὴν Νινευὴ δὲ ὁ προφήτης φησὶν, ἀντὶ τοῦ ἀναβήσῃ τὸ ἀνέβαινεν εἰπὼν, καθὼς ἐναλ-
λάττειν εἴωθε τὸν χρόνον· ἀναβήσῃ γάρ φησιν, ἐπὶ τὸν τῶν πολεμίων ἀγομένη βασιλέα
ὡς αἰχμάλωτος οὖσα λοιπόν· καὶ πᾶσαι δέ σου αἱ ὑπήκοοι πόλεις τε καὶ χῶραι, δούλας
γὰρ ταύτας ὠνόμαζε, μακρὰ χαίρειν εἰποῦσαι τῇ προσούσῃ σοι πρότερον βασιλείᾳ, ἐπὶ
τὴν αἰχμαλωσίαν ἀχθήσονται πᾶσαι σὺν σοὶ κατ' ἔννοιαν περιστερᾶς δίκην τὰς ἑαυτῶν τε
καὶ σοῦ στενάζουσαί τε καὶ ὀδυρόμεναι συμφοράς.

Εἶτα τὴν παλαιὰν εὐπραγίαν αὐτῶν φησὶ, διαιρῶν εἰς ταῦτα τὸν λόγον· καὶ ποτὲ μὲν
ἐν οἵοις ἐξετασθήσεται κακοῖς διδάσκων, ποτὲ δὲ τὴν πάλαι προσοῦσαν αὐτοῖς ἐκτιθέμενος
δυναστείαν· ὡς ἂν καὶ τούτῳ τὸ συμβαῖνον αὐτῇ πάθος αὐξήσειεν, εἰ ἀπὸ τοιούτων εἰς τοιαῦτα
v. 8. ἀφικνεῖσθαι μέλλοι. “ Καὶ Νινευὴ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς· καὶ αὐτοὶ
φεύγοντες οὐκ ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων. „ Πάλαι μὲν γὰρ κολυμβήθρας μεγίστης
p. 340. διήλλαττον οὐδὲν ὑπερχεομένης τῷ ὕδατι πανταχόθεν, καὶ πολλοὺς ἐν ἑαυτῇ τρεφούσης
ἰχθύας· οὕτω πολλοῦ μὲν γέμουσα πλήθους οἰκείου· πολλοὺς δὲ ἐκ τῶν πολέμων αἰχμαλώτους
ἔχουσα παρ' ἑαυτῇ· νυνὶ δὲ εἰς τοῦτο κατέστησαν ταλαιπωρίας, ὡς μὴ δὲ βραχύτατον στῆναι
πρὸς τοὺς πολεμίους δυνάμενοι, πρὸς φυγὴν ἰδεῖν· εὑρίσκετο δὲ οὐδεὶς τοῖς τοσούτοις ἐφο-
v. 9. ρῶν κακοῖς, ἤ τινα διόρθωσιν αὐτοῖς ἐπάγων. “ Διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ
χρυσίον. „ Ἅπαντα δὴ λοιπὸν δι' ἁρπαγῆς οἱ πολέμιοι τὰ παρ' αὐτοῖς ἐποιοῦντο· “ Καὶ
οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς. „ Ἀναρίθμητον τινὰ πλοῦτον αὐτῶν ἀφαιρούμενοι, ὥπερ

ad muros ulla vobis utilitas est: potientur enim civitate hostes, perque portas multa cum securitate ingredientur; regias domos a fundamentis evertent; opes tuas omnes atque thesauros dum diripiunt, publicos facient; quaecumque scilicet diligenti olim et arcana custodia servabas. “ Et ipsa ascendit. „ Ninivem scilicet dicit propheta. (Pro ascendes ait ascendit, more suo tempora commutans.) Ascendes, inquit, ad inimicum regem deducta, captiva deinde mansura: cunctaeque tibi subditae urbes atque pagi (his enim ancillarum nomina facit) multum valere iubentes pristinum imperium tuum, servitio tecum addicentur; tacita cogitatione, columbae more, suam pariter atque tuam maerentes calamitatem.

Deinde pristinam felicitatem dicit, sic distributo sermone, ut modo mala quibus illa cruciabitur narret, modo veterem commemoret dignitatem: nimirum ut incidens infortunium ideo gravius fiat, quod talis urbs ad talia devenerit. “ Ninive, ut aquae piscina aquae eius. Ipsi arrepta fuga nusquam substiterunt; nec erat qui aspiceret. „ Olim quidem a piscina maxima non differebant, aquis undique affusis, multitudine piscium ibidem alita. Sic videlicet Ninive multitudine populi redundabat; multos quoque bello captos homines apud se habens. Nunc vero tanta adversitate sunt oppressi, ut ne brevissime quidem contra hostes in acie steterint, quominus se fugae statim committerent. Porro autem nemo inventus est, qui his malis mentem intenderet, aut iisdem medicinam aliquam faceret. “ Diripuerunt argentum, diripuerunt aurum. „ Cunctas horum opes praedae habuerunt hostes. “ Neque erat finis ornamentorum eius. „ Innumeras divitias eripuerunt, quibus

ἐκοσμεῖτο τὸ πρόσθεν. " Βεβάρυνται ὑπὲρ πάντα τὰ σκεύη αὐτῆς τὰ ἐπιθυμητά. ,,
Πολλὴν γοῦν μάλιστα τὴν σπουδὴν ἐποιοῦντο τὰ δοκοῦντα τίμια εἶναι, καὶ ἃ μὴ πολλῆς
ἔχον τῆς ἐπιθυμίας ἀφελέσθαι παρ' αὐτῶν· τὸ γὰρ βεβάρυνται, ὅμοιόν ἐστι τῷ ἐν τῇ βασι-
λείαις, ἐβαρύνθη ὁ πόλεμος ἐπὶ Σαοὺλ *, ἵνα εἴπῃ ὅτι κατ' ἐκεῖνο τὸ μέρος ἐπέκειντο * I. Reg. XXXI. 3.
μάλιστα οἱ πολέμιοι· οὕτω κἀνταῦθα τὸ βεβάρυνται λέγει, ἵνα εἴπῃ ὅτι πλείων περὶ ἐκεῖνα
ἡ σπουδὴ τοῖς πολεμίοις ἐγίγνετο.

" Ἐκτιναγμὸς καὶ ἀνατιναγμὸς, ἐκβρασμὸς καὶ καρδίας θραυσμὸς, καὶ ὑπόλυσις v. 10.
γονάτων, καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφῦν, καὶ τὸ πρόσωπον αὐτῶν ὡς πρόσκαυμα χύτρας. ,,
Βούλεται εἰπεῖν ὅτι ποικίλοις ἐκ τῶν πολεμίων περιβληθήσονται τοῖς κακοῖς ἐκτιναττόμενοι p. 341.
καὶ ἐκβραζόμενοι· ὡς παντελῶς μὲν αὐτοῖς τῆς διανοίας σβεσθῆναι τὸν λογισμόν· ἐκλελυ-
μένους δὲ ὑπὸ τοῦ δέους μὴ δὲ στῆναι δύνασθαι ῥαδίως, ἐν ὀδύναις τε κοιναῖς ἅπαντας εἶναι·
καὶ συντόμως εἰπεῖν τοιούτοις ἐκ τῆς τῶν κακῶν ἐπορίας εἶναι, ὡς μηδὲν ἀπεοικέναι κεκαυμένης
χύτρας ὑπὸ πυρός. Καὶ πάλιν ἐπὶ τὴν μνήμην ἄγων αὐτοὺς τῆς παλαιᾶς δυναστείας. " Ποῦ v. 11.
ἐστι τὸ κατοικητήριον τῶν λεόντων καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις; " Ἀλλὰ γὰρ οἴχεται δὲ
αὐτῶν καὶ ἡ νομὴ πᾶσα· καὶ γὰρ σκύμνους τὸ αὐτὸ λέγει, τουτέστι τοὺς λέοντας· βούλεται δὲ
εἰπεῖν ὅτι πάλαι μὲν οἱ τὴν Νινευὴ κατοικοῦντες, λεόντων δίκην ἦτε πᾶσι τοῖς λοιποῖς φο-
βεροὶ, καὶ τὰ πανταχόθεν ἐκ τῶν πολέμων λαμβάνοντες ἠθροίζετε παρ' ἑαυτοῖς· νῦν δὲ καὶ
Νινευὴ τὸ κατοικητήριον ὑμῶν οἴχεται, καὶ πάντα σὺν αὐτῇ ὁπόσα τε ἠθροισμένα παρ'
ἑαυτοῖς τὸ πρότερον εἴχετε. " Ποῦ ἐπορεύθη λέων, τοῦ εἰσελθεῖν; ,, Σφόδρα διασυρτικῶς·
ὡς γὰρ ἐν πολέμοις αὐτῶν πάντοτε ὄντων, καὶ ἀεὶ πού τισιν ἐπιόντων ὡς ἐπί τινα θήραν,
ποῦ δή φησι νῦν ἀπελήλυθεν ὁ κρατῶν ὑμῶν; ἐπὶ ποίαν ἀπελήλυθε θήραν; ἵνα εἴπῃ
ὅτι πέπαυται τοῦ πολεμεῖν, ἀπέθετο τὴν ἐξουσίαν καὶ τὴν δύναμιν τὴν πρόσθεν. p. 342.
Διὸ ἐπάγει. " Ἐκεῖ σκύμνοι λεόντων, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν· λέων ἥρπασε τὰ ἱκανὰ v. 12.

antea ornabatur. " Aggravati sunt super omnem suppellectilem eius desiderabilem. ,, Vehementi studio ad pretiosa quaeque ruerunt, multamque diripiendi eam cupiditatem prae se tulerunt. Nam dictio aggravati sunt, idem significat atque in regnorum libris aggravatum est proelium contra Saulem; ut denotetur, illa potissimum parte vires hostium sese intendisse. Ita heic etiam aggravati sunt dicitur, ut intelligamus, potissimum hostium studium circa opes esse versatum.

" Excussio et rediscussio, et ebullitio, et cordis confractio, et genuum dissolutio, et dolores omnium renum, et facies eorum ut adustio ollae. ,, Significat fore ut eos inimici variis adficiant malis, crebro excutientes, et eiicientes, ita ut universum iis extinguatur mentis ratiocinium. Timore autem enerves ne stare quidem facile poterunt, et communibus quatientur angoribus: atque ut breviter dicam, tantis ob has clades prementur angustiis, ut ferventis ab igne ollae haud dissimiles visuri sint. " Ubinam est leonum habitaculum, et pascua catulorum? ,, Periit leonum habitaculum, et omnia pascua eorum. Nam catuli iidem sunt atque leones. Significat autem, Ninives olim incolas leonum instar cunctis populis fuisse terribiles, et undequaque bellis sibi opes parasse. Nunc vero etiam Ninive, inquit, habitaculum vestrum periit, simulque quidquid opum illic antea congesta habuistis. " Quo abiit leo, ut ingrederetur? ,, Valde hoc irridenter. Nam quia Assyrii perpetuis in bellis versati fuerant, semperque aliquos veluti venando persecuuti; quonam, inquit, dux vester abiit? in quam venationem profectus est? Utique dicit finem bellandi factum, et potentiam vimque pristinam fuisse depositam.

τοῖς σκύμνοις αὐτοῦ, καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσσιὰν αὐτοῦ, καὶ τὸ
κατοικητήριον αὐτοῦ ἁρπαγῆς. ,, Πρότερον μὲν γὰρ λεόντων δίκην ἐπῄειτε πᾶσι, καὶ φόβος
ὑμᾶς τοῦ τοιαῦτα ποιεῖν ἐπεῖχεν οὐδείς· δι᾽ ἁρπαγῆς δὲ τὰ ἑτέρων ποιούμενοι, πλοῦτον ἑαυτοῖς
συνελέγετε πλεῖστον, αὐτάρκη καὶ τοῖς ἐξ ὑμῶν εἰς ἀπόλαυσιν, ἀναιροῦντές τε καὶ συμπνί-
γοντες ἑτέρους, ὥσπερ τινὰ θήραν τοῖς γεννήμασι συνελέγετε τοῖς οἰκείοις, ἐξ ἁρπαγῆς καὶ
v. 13. παρανομίας τὸν πλοῦτον αὔξοντες τὸν οἰκεῖον. Τί οὖν; " Καὶ ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει κύριος
παντοκράτωρ· καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται μά-
χαιρα· καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου· καὶ οὐ μὴ ἀκουσθῇ ἔτι τὰ ἔργα σου. ,, Ὑπὲρ
δὴ πάντων ἐκείνων ἀπεφήνατο κατὰ σοῦ νῦν ὁ θεός, ὅτι ἐν πυρὶ μὲν ἀναλωθήσεται καὶ
στενοχωρίᾳ πλείστῃ τὸ πλῆθος σόν· τοὺς δὲ ἐν σοὶ δοκοῦντας εἶναι δυνατοὺς ἀνελοῦσιν οἱ πο-
λέμιοι· ἀφανισθήσεται δὲ πάντα ὁπόσα συνέλεξας κακῶς, ὡς πᾶσαν μὲν σου καταλυθῆναι τὴν
δύναμιν, ἀκουσθῆναι δὲ περὶ σοῦ μηκέτι μηδέν, ὥς τι πεποιηκότος καὶ ἀπολωλότος καθάπαξ.

ΚΕΦ. Γʹ.

p. 343. v. 1. Εἶτα τὴν τιμωρίαν εἰπών, ὀνειδίζει πάλιν τὴν κακίαν· " Ὦ πόλις αἱμάτων ὅλη ψευ-
δής, ἀδικίας πλήρης. ,, Πείσεσθε δὴ ταῦτα φησίν, ὑπὲρ ὧν περὶ φόνους ἅπασαν εἴχετε τὴν
σχολήν, καὶ πολλοὺς ψεύδει τε καὶ ἀπάτῃ κεχρημένοι ἀδικεῖν ἐπειρᾶσθε τὰ ἀνήκεστα· οἷόν τι
* IV. Reg. XVIII. 28. ὁ Ῥαψάκης * ἐπὶ τῆς Ἱερουσαλὴμ ἐποίει ὑποσχέσεσιν ἀγαθῶν αὐτοὺς ἐξαγαγεῖν βουλόμενος.
" Οὐ ψηλαφηθήσεται θήρα. ,, Ἵνα εἴπῃ ὅτι οὐκέτι θήρας ἕξεις καιρόν, καὶ πολλὰ ζητήσας
οὐκ ἰσχύσεις τι διαπράξασθαι· τοῦτον, ἐκ μεταφορᾶς αὐτὸ τῶν ἐπιμελῶς τι ψηλαφίᾳ ζη-
v. 2. τούντων, εἰρηκώς· διὰ τί; " Φωνὴ μαστίγων, καὶ φωνὴ σεισμοῦ τροχῶν, καὶ ἵππου διώκοντος,

Idcirco addit; " ibi catuli leonum erant, nemine territante: leo venabatur catulis suis alimoniam, et catulorum suorum gratia suffocabat: venatione nidum suum complevit, cubile suum rapinis. ,, Antea quidem, ait, leonum more passim vim faciebatis, nullusque vos ab ea violentia deterrebat metus. Direptis alienis, ingentes vobis opes comparavistis, quibus vestri quoque liberi fruerentur. Occidistis, suffocastis populos, atque hos praedae instar soboli vestrae utendos obiecistis: rapina et scelere divitias vestras exaggeravistis. Quid porro? " En ait tibi Dominus omnipotens: incendam fumo multitudinem tuam; leones tuos gladius absumet; venationem tuam exterminabo; et non audientur ultra opera tua. ,, Ob ea scelera omnia, de te nunc ita edixit Deus, flammis atque pressuris plurimis consumptum iri populum tuum; fortissimum quemque civium tuorum ab hostibus caesum iri; quaecumque improbe coacervasti, vastatum iri: destructum iri denique dominatum tuum, nullamque tui mentionem deinceps futuram, quasi hominis qui aliquid fecerit, idemque mox funditus perierit.

CAP. III.

Deinde punitione dicta, malitiam rursum obiurgat. " O sanguinaria civitas, tota mendax, iniquitate plena! ,, Patiemini haec, inquit, quia semper caedibus indulsistis, multosque mortales per fraudem atque mendacium iniustis necibus irretire conati estis; veluti Rhapsaces falsis promissionibus nisus est Hierosolymorum cives urbe deducere. " Non contrectabitur venatio. ,, Nempe haud amplius venandi occasio suppetet; multaque moliens, nihil efficere poteris. Idque ait sumpta metaphora ab iis qui curiosa aliquid contrectatione vestigant. Cur? " Vox verberum et

καὶ ἅρματος ἀναβράσσοντος, ἱππέως ἐλαύνοντος, καὶ στιλβούσης ῥομφαίας, καὶ ἐξαστρα- v. 3.
πτόντων ὅπλων, καὶ πλήθους τραυματιῶν, καὶ βαρείας πτώσεως· „ Ταῦτα γὰρ ὑμᾶς ἀντὶ
ἐκείνων διαδέξεται φησὶ, μάστιγες, καὶ κτύπος τροχῶν, καὶ ἵππων ἐλασία, καὶ ἁρμάτων
θόρυβος πολὺς, καὶ ἱππέων δίωξις, καὶ ξίφη μετὰ τῶν λοιπῶν ὅπλων φοβερὰ καὶ ἰδεῖν τῇ
λαμπρότητι τῇ οἰκείᾳ· ἀφ' ὧν δὴ πολλοὶ μὲν πληγήσονται, πολὺς δὲ θάνατος ἔσται τῶν
ἀναιρουμένων. " Καὶ οὐκ ἦν τοῖς ἔθνεσιν αὐτῆς. „ Καὶ οὐδὲ στήσεται τοῖς ὑπηκόοις αὐτῆς τὰ
κακὰ, ἀλλ' ἀεί τι τὸ πρῶτον ἕτερον διαδέξεται κακόν. „ Καὶ ἀσθενήσουσιν ἐν τοῖς σώ-
μασιν αὐτῶν ἀπὸ πλήθους πορνείας. „ Πολλῶν δέ φησιν ἀναιρουμένων, εἰς ὀλιγίστους ἄγαν p. 344.
αὐτῶν ὁ ἀριθμὸς περιστήσεται· τοῦτο γὰρ λέγει τὸ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν, ἵνα
εἴπῃ ὅτι ὀλίγα περιλειφθήσεται σώματα· καὶ τὴν αἰτίαν λέγων, ἀπὸ πλήθους πορνείας·
ταῦτα γὰρ πείσονται φησὶν ὑπὲρ ὧν πλεῖστον ὅσον ἐξετράπησαν τοῦ θεοῦ· καὶ τοῦτο πράττειν
ἄξιον τῶν δοκούντων αὐτῷ.

Εἶτα ὀνειδίζων ἐπάγει. " Πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη φαρμάκων. „ Σὺ δὴ v. 4.
φησὶν ἦσθα ἡ τοῦ προσήκοντος ἐκτετραμμένη, εὐπρεπὴς μὲν ἑαυτῇ φαινομένη διὰ τὴν περιοῦ-
σαν δυναστείαν, ἐπίχαρις δὲ διὰ τοὺς ταύτης ἕνεκεν σε θεραπεύειν ἐσπουδακότας, καὶ δὴ
καὶ πάντων ἔξαρχος τῶν τῆς ἀσεβείας ἐθῶν ἑτέροις ἐγίγνου. " Ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορ-
νείᾳ αὐτῆς, καὶ φυλὰς ἐν τοῖς φαρμάκοις αὐτῆς. „ Ὁλόκληρα γὰρ ἔθνη καὶ φυλὰς ὅλας τῇ
ἐξουσίᾳ καταχεχρημένη τῇ οἰκείᾳ, εἰς τὴν αὐτήν σοι συμμετόχους ἀσέβειαν, καὶ πᾶσαν δὴ
τὴν περὶ τὰ τοιαῦτα σπουδήν. " Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ· v. 5.
καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου· καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σου, καὶ
βασιλείαις τὴν ἀτιμίαν σου, καὶ ἐπιρρίψω ἐπὶ σὲ βδελυγμὸν, καὶ τὰς ἀκαθαρσίας σου·
καθίσομαί σε εἰς παράδειγμα. „ Τοιγαροῦν ἐγώ σοι, φησὶν ὁ θεὸς, ἀνάλογον ταῖς τοιαύ- v. 6.
ταις ἀτοπίαις ἐπάξω τὴν τιμωρίαν· περιβαλῶ γάρ σε φησὶν αἰσχύνῃ παντοίᾳ, ὥσπερ ἂν p. 345.

vox commotarum rotarum, et equi persequentis, currusque ferventis, equitis agitantis, gladii splendidi, et armorum luce micantium, multitudinis vulneratae, gravisque ruinae. „ Haec vos, ait, pro superiore fortuna manent, verbera, et rotarum sonitus, et equorum persequutio, et enses, cum ceteris armis vel ipso splendore terribilibus; unde multi caedentur, multaque interfectorum funera erunt. " Et non erat (finis) gentibus eius. „ Subditorum eius mala non interquiescent, sed aliud ex alio consequetur. " Infirmabuntur in corporibus suis a multitudine fornicationum. „ Multis interfectis, ad paucos admodum redigetur illorum numerus. Hic enim significatus est verborum infirmabuntur in corporibus suis. Pauca, inquit, supererunt corpora; causamque rei tradit multitudinem fornicationum. Haec, ait, patientur, quia mirum quantum a Deo recesserunt. Atque haec Dei placita merito ad exitum deducenda sunt.

Deinde convicians ait: " meretrix pulchra et gratiosa, dux veneficiorum. „ Tu, inquit, illa es quae ab officio recessisti, quaeque speciosa tibi ob imperium videbaris, gratiosa propter eos qui dominatus tui causa te colere certabant; et quidem ceteris quoque impiorum morum auctrix fuisti. " Quae vendis gentes fornicatione tua, et tribus pharmacis tuis. „ Gentes integras tribusque totas, potestate tua abutens, ad impietatis tuae societatem pellexisti. " Ecce ego super te, ait, dominus Deus omnipotens; revelabo posteriora tua super faciem tuam: ostendam gentibus ignominiam tuam, regibus probrum tuum, iaciamque super te abominationem et immunditiam tuam; statuam te in exemplum. „ Quamobrem, ait Deus, congruas

εἴ τις αἰκίζεσθαι τινὰ μέλλων, ἀφελὼν τὴν ἐσθῆτα ἐπὶ τὸ πρόσωπον ἑλκύσειεν ἅπασαν, ὡς
αἰσχρὰν μὲν εἶναι τῆς γυμνώσεως τὴν θέαν, πικρὰν δὲ τὴν τοῦ αἰκισμοῦ τὴν προσδοκίαν· περιβεβλη-
μένος δὲ τῇ ἐσθῆτι τὸ πρόσωπον, μὴ δὲ διορᾶν τὰ προκείμενα δύνασθαι· οὕτω δή φησιν
ἅπαντά σου τὸν κόσμον ἀφελὼν, εἰς ἀτιμίαν καταστήσας τὴν ἐσχάτην, τῇ τῶν πολεμίων ἐκ-
δώσω τιμωρίᾳ· ὥστε πᾶσι μὲν τοῖς ἁπανταχοῦ περιφανῆ σου τὴν αἰσχύνην καὶ τὴν ἀτιμίαν
γενέσθαι, βδελυκτὴν δέ σε καὶ διὰ τῆς ἀκοῆς ἅπασι φαίνεσθαι μόνης, ὑπὲρ ὧν εἰς τοσαύτην
εὐτέλειαν κατενήνεχθαι· πάτημά τε γεγονυῖα πάντων καὶ παράδειγμα τῆς ἐσχάτης ἀτιμίας
v. 7. ἀποδειχθεῖσα τῇ ὑπερβολῇ τῶν κακῶν. “ Καὶ ἔσται πᾶς ὁ ὁρῶν σε, καταβήσεται ἀπὸ σοῦ,
καὶ ἐρεῖ, δειλαία Νινευὴ τίς στενάξει ἐπ᾽ αὐτήν, πόθεν ζητήσω παράκλησιν αὐτῇ; ,, οἱ
δὴ ταῦτα λοιπὸν ὁρῶντες, καὶ τὴν προσοῦσάν σοι πρόσθεν εὐπραγίαν εἰδότες σαφῶς, ἀπο-
στάντες τῆς ὑπολήψεως ἐκείνης ἧς εἶχον περὶ σοῦ, εἰς ἔλεον τὸ κατὰ σοῦ μεταστήσουσι μῖσος·
τοῦτο γὰρ λέγει τὸ καταβήσεται ἀπὸ σοῦ, ὥστε καὶ ἐλεεῖν σε τῶν κατεχόντων κακῶν, συλλο-
γιζομένους ὡς οὔτε δυνατὸν τινὰ ἐπαξίως ὀδύρεσθαι τὴν ἐπιγεγονυῖαν σοι συμφορὰν, ἀλλ᾽ οὐδὲ
p. 346. παράκλησιν τινὰ καὶ θεραπείαν εὑρεθῆναι οἷόν τε τῶν τοσούτων κακῶν.
v. 8. “ Ἅρμοσαι χορδὴν, ἑτοίμασαι μερὶς Ἀμμὼν, κατοικοῦσα ἐν ποταμοῖς, ὕδωρ κύκλῳ
αὐτῆς· ἧς ἡ ἀρχὴ θάλασσα καὶ ὕδωρ τὰ τείχη αὐτῆς. ,, Τινὲς Ἀμμὼν ἔφασαν ἐνταῦθα
λέγεσθαι τὴν ὀνομαζομένην νῦν Ἀλεξάνδρειαν ἐπὶ τῆς Αἰγύπτου· καίτοι γε δῆλον ὅτι ἐγγύς
που μετὰ τετρακόσια ἔτη τῆς προφητείας ταύτης Ἀλέξανδρος ὁ τῆς Μακεδονίας γέγονε βασι-
λεὺς, ὃς σὺν πολλοῖς ἑτέροις κατεσχηκὼς τῆς Αἰγύπτου, ἐπώνυμον ἑαυτῷ τὴν Ἀλεξάνδρειαν
πεποίηκεν· εἰ μὴ ἄρα τίς ἐκεῖνο λέγοι ὅτι καὶ πρὸ τούτου πόλις ἦν αὐτόθι Ἀμμὼν λεγο-
μένη, περὶ ἧς τὰ νῦν ὁ προφήτης φησίν· ἀλλὰ γὰρ, ὃ πολλάκις ἔφην, περιττὴν εἶναι τῶν
τοιούτων ἡγοῦμαι τὴν ἀκριβολογίαν, ὁπότ᾽ ἂν μηδὲν εἰς φανέρωσιν τῆς προκειμένης συντελῇ

huic vesaniae poenas imponam: cooperiam, inquit, te ignominia omnimoda: veluti cum quis aliquem excruciaturus detractam ei vestem in vultum congerit universam, ut turpe sit nuditatis spectaculum, amara autem cruciatuum expectatio; qui quidem capite vestibus obvoluto, ne rem quidem praesentem cernere potest. Prorsus ita, ait, detracto omni ornatu tuo, in extrema te ignominia constitutam, hostibus puniendam tradam. Sic omni genti probrum tuum ac turpitudo exploratissima fiet: tuique nominis vel sola auditio cunctis erit abominabilis, postquam in tantam vilitatem decideris, proculcata ab omnibus, excessuque malorum ad summae ignominiae exemplum proposita. “ Et erit, quicumque viderit, descendet a te, dicetque: Ninive infelix, quis illi ingemiscet? quodnam ei solamen conquiram? ,, Qui haec in posterum viderint, ac superioris gloriae tuae probe meminerint, omissa illa de te aestimatione, odium misericordia commutabunt; id enim aiunt verba descendet a te; tuaque mala miserabuntur, mente reputantes fieri non posse ut digne quis inflictam tibi calamitatem deploret, aut solamen aliquod vel remedium excogitet.

“ Apta chordam, compara te pars Ammon, quae incolis flumina: aqua in circuitu eius; initium eius mare, aqua moenia eius. ,, Nonnulli dixerunt Ammonem heic appellari Alexandriam Aegypti. Atqui compertum est, quadringentis circiter post hanc prophetiam annis Alexandrum Macedonum regem extitisse, qui occupata cum aliis multis regionibus Aegypto, cognominem sibi Alexandriam condidit. Quod si quis dicat, ante hunc quoque extitisse in eo loco urbem nomine Ammonem, deque hac modo prophetam loqui; profecto, quod saepe iam monui, supervacaneam

διανοίας· ὥστε καὶ ἐπίδειξιν τινὰ κενὴν εἶναι τὴν περὶ τὰ τοιαῦτα ἀκριβολογίαν, ἵνα δὴ δοκῶσι τῶν ἀδηλοτέρους τῶν ὀνομασίαις ἑρμηνεύειν τόπους· μυθωδέστερον δὲ ἔτι τὸ παρ' αὐτῶν λεγόμενον ὅτι τῆς Ἀλεξανδρείας τὴν ἀπώλειαν ὁ προφήτης λέγει· ὡς ἂν δείξειεν ὅτι μηδὲν θαυμαστὸν, εἰ καὶ περὶ τὴν Νινευὴ τι γέγονε τοιοῦτο· οὐ γὰρ ψυχαγωγεῖν ἐν τοῖς λόγοις ὁ προφήτης πειρᾶται τὴν Νινευή· ψυχαγωγίας δὲ ἦν τὸ ἑτέρων συμφορᾶς μεμνῆσθαι, ὡς ἂν ἐκ ταύτης ὁ πεπονθὼς παρακαλοῖτο· εἰώθαμεν γοῦν ἀεὶ τοὺς πενθοῦντας τῇ μνήμῃ παρακαλεῖν τῶν ὁμοίων, ὡς ἂν μὴ ἄγαν ἀθυμοῖεν, καινόν τι τὰ κατ' αὐτοὺς νομίζοντες εἶναι· τοὐναντίον μὲν οὖν διὰ πάντων δῆλός ἐστιν ὁ προφήτης τῇ μηνύσει τῶν προσεσομένων τῇ Νινευὴ κακῶν, τὴν παλαιὰν αὐτῆς συνάπτων εὐπραγίαν, ἀφ' ἧς δὴ μάλιστα τὸ συμβαῖνον αὐτῇ κακὸν αὐξάνεσθαι ἤμελλεν· ἀλλὰ γὰρ ταῦτα μὲν ἐκ περιουσίας εἰρήσθω· ὁ δὲ νοῦς τῶν ῥητῶν οὗτός ἐστιν· εἰσελήλυθεν ἄχρι τῆς Αἰγύπτου ὁ ἀσσύριος, πλεῖστα καὶ τοὺς αὐτόθι διαθεὶς κακά· ὥστε καὶ τοὺς ἐκπεφευγότας τῶν Ἰσραηλιτῶν καὶ αὐτόθι διάγοντας μεγίσταις περιβαλεῖν συμφοραῖς, ὡς ὁ προφήτης δείκνυσιν Ὠσηέ· * διὰ τοῦτο ἰδοὺ πορεύσονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς· δηλοῖ δὲ ἅπερ ὑπὸ τῶν ἀσσυρίων εἰσεληλυθότων εἰς τὴν Αἴγυπτον πάσχειν ἤμελλον οἱ ἐπ' αὐτὴν καταπεφευγότες τῶν Ἰσραηλιτῶν· ὥσπερ τοίνυν ἐν τοῖς ἀνωτέροις τὰ καταληψόμενα τοὺς ἀσσυρίους λέγων κακὰ, ἐπὶ τὴν Ἰούδαν ἀπέστρεψε τὸν λόγον, ἑορτάζειν αὐτῷ κελεύων ὡς ἐν εἰρήνῃ καθεστῶτι λοιπὸν, τοῦ τὸν ἐπεληλυθότα αὐτῇ πολέμιον ἀνῃρῆσθαι· οὕτω κἀνταῦθα ἐπὶ τὴν Ἀμμὼν πόλιν οὖσαν τῆς Αἰγύπτου τρέπει τὸν λόγον, καί φησιν. „Ἀνάλαβε κιθάραν καὶ μετὰ πολλῆς τῆς ἡδονῆς παρασκεύασαι διὰ ταύτης τὴν μὲν ᾄδειν τὴν ἀπώλειαν, σοῦ δὲ τὴν εἰρήνην· ἡ πανταχόθεν ὕδατι περιβεβλημένη θαλάττῃ τε ὠχυρωμένη καὶ ποταμοῖς, ὄνησαι ἐκ τούτων οὐδὲν, ἐπεληλυθότος τοῦ ἀσσυρίου· νῦν μέν τοι γε πᾶσα τῆς ἐκείνου κακίας λέλυταί σοι ἡ ὑπόνοια· εἶτα ἐπάγει.

p. 347. · * Os. IX. 6. · p. 348.

esse arbitror super his rebus curiositatem; si quidem nihil ea confert ad rei propositae intelligentiam. Quare subtilior de his disputatio, vana est ostentatio hominum, qui videri volunt incertiorum locorum nomina interpretari. Illud est apud eos fabulosius, cum aiunt de Alexandriae exitio prophetam loqui, ut ostendat nil mirum esse, si idem quoque Ninivae acciderit. Neque enim solari verbis Niniven propheta vult. Porro ad solamen pertinet, alienae calamitatis commemoratio, quasi haec malis exercitum recreet. Revera maestos consolari solemus mentione paria patientium, ne plus aequo animis concidant, quasi aliquid inusitati ipsis acciderit. Contra omnino exploratum est, prophetam eventuris Ninivae malis veterem illius felicitatem adiungere, qua calamitas eius comparatione gravior evadebat. Sed haec superfluitate quadam sermonis dicta sunto. Loci vero sententia est: venit usque in Aegyptum Assyrius, multa ibi quoque mala patravit; et quidem profugos illuc Israhelitas ibidemque degentes maximis incommodis adfecit, ut Oseas propheta demonstrat: propterea ecce fugient ab adversitate Aegypti, recipiet eos Memphis, sepeliet eos Machmas. Significat quae ab Assyriis Aegyptum ingressis perpessuri erant profugi Israhelitae. Sicuti ergo in superioribus, postquam correptura Assyrios mala recitavit, ad Iudae tribum verba convertit, iubens eam festum agere, et pace in posterum frui, quandoquidem adgressori eius extingui contigerat; ita et nunc ad Ammonem Aegypti urbem loquela conversa ait: sume citharam, multoque cum gaudio para te ad canendum fidibus Assyrii exitium tuamque pacem; tu quae aquis undique cincta, mari fluviisque vallata, nihil inde protecta fueras ab Assyrii incursione; nunc demum universa tibi maleficii ab eo patiendi formido sublata est. Deinde addit:

v. 9. “ Αἰθιοπία ἡ ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, καὶ οὐκέτι πέρας τῆς φυγῆς σου· Φοὺτ καὶ Λίβυες
v. 10. ἐγένοντο βοηθοὶ αὐτῆς· καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς
ἐδαφιοῦσιν ἐπ' ἀρχαῖς τῶν ὁδῶν αὐτῆς. „ Καὶ γὰρ καὶ οὗτοι φησὶν Αἰθίοπες τὲ καὶ Λίβυες καὶ
πάντες δὴ ὧν πεποίημαι μνήμην, συμμαχίαν ἔθεντο πρὸς σὲ ἐν ἁπάσαις βοηθεῖν ἐπαγ-
γελλόμενοί σοι ταῖς ἀνάγκαις· ὠφέλησαι δὲ οὐδὲ ἀπὸ τούτων οὐδέν, περὶ φυγὴν τε ἀσχολουμένη
καὶ αἰχμάλωτος ταῖς τῶν πολεμίων ἀπαγομένη χερσὶν, οἱ οὐδὲ τῶν νηπίων τῶν παρὰ σοὶ φειδὼ
ποιησάμενοι ἐρρίφασιν αὐτὰ νεκρὰ κατὰ πᾶσαν ὁδὸν πολυτρόποις ὑποβαλόντες σφαγαῖς· εὔ-
δηλον δὲ ὅτι Αἰθίοπας οὐ τοὺς πόρρω που ἀπῳκισμένους φησὶν, ἀλλὰ τοὺς ὅσοις ὁμόρους εἶναι
συνέβαινεν Αἰγυπτίοις. “ Καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσιν κλήρους, καὶ πάντες οἱ
μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις· „ Ἅπαντα μὲν γὰρ τὰ παρὰ σοι τίμια ἀφελόντες
οἱ πολέμιοι διενείμαντο κλήρους· καὶ τοὺς μέγα δὲ τῶν ἐν σοὶ δύνασθαι νομιζομένους χειρο-
v. 11. p. 349. πέδαις ἐμβαλόντες ἐπὶ τὴν αἰχμαλωσίαν εἷλκον. “ Καὶ σὺ μεθυσθήσῃ. „ Ἐπειδὴ τὸν οἶνον
ἐπὶ τιμωρίας λαμβάνειν εἴωθε, βαρυτάτην φησὶν ὑπομένεις τὴν τιμωρίαν· ὥστε δίκην μεθ-
ύοντος τῇδε κἀκεῖσε περιαντλεῖσθαι τοῖς κακοῖς. “ Καὶ ἔσῃ παρεωραμένη. „ Λόγος δὲ
οὐδενὶ γενήσεται τῶν κατὰ σέ. “ Καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν σου. „ Ἐπιθυμήσεις
δὲ τινὰ ἄνεσιν τῶν κακῶν λαβεῖν, ὁπόσα δή σοι παρὰ τῶν πολεμίων κατὰ τὸν καιρὸν ἐκεῖνον
v. 12. ἐπάγεσθαι μέλλει. “ Πάντα τὰ ὀχυρώματά σου ὡς σύ. „ Καταλυθήσεται γὰρ παραπλη-
σίως σοι πάντα ὁπόσα δὴ πρὸς ἀσφάλειαν οἰκείαν πρότερον εἶχες. “ Καὶ σκοποὺς ἔχουσι
ἐὰν σαλευθῶσι, καὶ πεσοῦνται εἰς στόμα ἐσθίοντος. „ Πειράσῃ δὴ διὰ πολλῶν ἀποσκοπεῖν
τὰ ἐσόμενα, ἐπειδ' ἂν τῆς παρουσίας τῶν πολεμίων δέξῃ τὴν ἀκοήν· οἱ δὲ ὀνήσουσί σε οὐδέν·
ἐκτραπέντες γὰρ τῶν ἐντεταλμένων πεσοῦνται ὑπὸ τοῖς πολεμίοις.
v. 13. “ Ἰδοὺ λαός σου ὡς γυναῖκες ἐν σοί· τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι

“ Aethiopia atque Aegyptus fortitudo eius. Non est terminus fugae tuae. Phut et Libes auxiliares eius sunt. Ipsa in deportationem ibit captiva. Parvulos ipsius solo allident in viarum eius capitibus. „ Nam et hi, inquit, Aethiopes et Libes, ceterique quorum mentionem feci, foedera tecum inierant, seque tibi in omni bellica necessitate adfuturos receperant. Verumtamen nihil opis hinc retulisti; dumque fugam maturares, capta es hostium manibus et abducta: qui sane ne parvulorum quidem tuorum miserti, exanimes abiicient passim in compitis, vario caedium genere enecatos. Constat autem heic Aethiopas dici non illos longe dissitos, sed qui Aegyptiis sunt finitimi. “ Super praeclara quaeque eius mittent sortes, cunctique optimates eius manicis vincientur. „ Omnia tibi pretiosa eripientes hostes, sorte inter se diviserunt, cunctosque qui apud te potentatu pollebant manicis iniectis in captivitatem abduxerunt. “ Et tu inebriaberis. „ Quia vino significare punitionem scriptura solet, gravissimam illi ait inflictum iri poenam, ut ebrii instar hinc inde obruatur adversitatibus. “ Et despicieris. „ Nulla tui ratio habebitur. “ Et tu quaeres tibi requiem ab inimicis tuis. „ Optabis levamine aliquo malorum potiri, quae tibi eo tempore ab hostibus tuis accident. “ Omnes munitiones tuae sicut tu. „ Aeque ac tu corruent omnia quae olim tutelae tuae gratia tenebas. “ Etiamsi speculatores habent, nihilominus quassatae corruent in os vorantis. „ Conaberis quidem multis exploratoribus ventura praenoscere, statim ac propinquantem hostem audieris: sed tamen custodum nullus fructus erit: namque ab imperatis stationibus deiecti in hostium potestatem incident.

“ Ecce populus tuus tamquam feminae apud te. Hostibus tuis patefient portae

τῆς γῆς σου, καὶ καταφάγεται πῦρ τοὺς μοχλούς σου. „ Πάντες σου φησὶν οἱ κατὰ τὴν πόλιν ὑπή-
κοοι γυναικῶν δίκην ἐν ὀλολυγαῖς γενήσονται καὶ δέει· ἐπειδ' ἂν τὰς μὲν πύλας ὑπὸ τῶν
πολεμίων ἴδωσιν ἀνοιγείσας· κεκρατημένην δὲ ὑπ' αὐτῶν τὴν πόλιν πάσης τῆς πρότερον
αὐτῇ δοκούσης ἀσφαλείας παρεστῆναι ὡς ὑπὸ πυρὸς ἀθρόον ἀναλωθείσης. " Ὕδωρ περιο- p. 350. v. 14.
χῆς ἐπίσπασαι σεαυτῇ, καὶ κατακράτησον τῶν ὀχυρωμάτων σου. „ Πολλοῖς ἔθος ἐστὶ περὶ
τῶν τειχῶν τάφρους ἐργάζεσθαι μεγίστας, καὶ πληροῦν ταύτας ὕδατος, ὡς μὴ ῥᾳδίαν ἐπὶ τὰ
τείχη τοῖς πολεμίοις εἶναι τὴν διάβασιν· τοῦτο οὖν λέγει κἀνταῦθα· ὅτι ἐφέλκυσαι τὴν ἐκ τοῦ ὕδα-
τος βοήθειαν, καὶ περίβαλε τούτῳ τὸ τεῖχος τὸ οἰκεῖον, καὶ πάντων τῶν εἰς ἀσφάλειαν σοι
κατεσκευάσθαι δοκούντων, πολλὴν ποίησαι τὴν ἐπιμέλειαν, εἴ πού τι ἐκ τούτων ὄφελος δέξαιο·
λέγει δὲ αὐτὰ εἰρωνικῶς διασύρων, ὡς οὐδενὶ βοηθεῖσθαι κατ' ἐκεῖνον τὸν καιρὸν οἵων τε ὄντων.
Ἐπάγει γοῦν. " Ἔμβηθι εἰς πηλὸν, καὶ συμπατήθητι ἐν ἀχύροις· κατακράτησον ὑπὲρ πλίν- v. 15.
θον· ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε μάχαιρα· καὶ καταφάγεταί σε ὡς ἀκρὶς,
καὶ βαρυνθήσῃ ὡς βροῦχος· ἐπλήθυνας ἐμπορείας σου ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ. „ Ἀλλ' v. 16.
οὐδὲν ἔσται σοι πρὸς σωτηρίαν μηχάνημα τότε· τοὐναντίον μὲν οὖν, ὥσπερ εἴς τινα πηλὸν
ἐμπέσῃ, τὸ μέγεθος τῶν κακῶν δίκην ἀχύρων ἐμποιήσει πλίνθον συμπατούμενον τε καὶ
συναναφυρόμενον τῷ πηλῷ ἐν ἅπασι τοῖς τότε φυρομένοις κακοῖς καὶ αὐτός· ἀναλώσει μὲν
γάρ σε δίκην πυρὸς ὁ πολέμιος· ἀφανισθήσῃ δὲ σφαγαῖς ποικίλαις· βρούχου τε καὶ ἀκρίδος
δίκην ἐπελεύσεταί σοι τῶν πολεμίων τὸ πλῆθος, καταναλίσκοντές σε καὶ βαρεῖαν ἐξερ- p. 351.
γαζόμενοί σοι τῶν κακῶν τὴν πεῖραν· ἄπρακτος δέ σοι πᾶς ὁ πλοῦτος ἐκεῖνος γενήσεται,
ὃν συνέλεξας ὥσπερεὶ τοῖς ἄστροις ἁμιλλώμενος τοῦ οὐρανοῦ.

" Βροῦχος ὥρμησε καὶ ἐξεπετάσθη, ἐξήλατο ὡς ἀττέλαβος ὁ σύμμικτός σου, ὡς v. 17.
ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ πάγου· ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ
ἐγνώσθη ὁ τόπος αὐτῆς. „ Πάντες φησὶν οἱ ὑπήκοοί σου οὓς πολλαχόθεν συνήγαγες αὔξων

regionis tuae; ignis aduret vectes tuos. „ Omnes qui dicto tuo obtemperabant per urbem cives, feminarum ritu ululatibus indulgebunt atque formidini, statim ac portas hostibus patentes viderint, captamque ab his urbem, cuius vetus omnis munitio tamquam igne subito evanescet. " Aquam obsidionis attrahe tibi, obtine propugnacula tua. „ Multorum mos est prae moenibus foveas maximas effodere easque aquis complere, ne sit expeditus hostibus ad moenia accessus. Id utique nunc ait: pete ab aqua praesidium, atque hac circumda murum tuum; nihilque eorum praetermitte quae tutelae prodesse videntur; si forte hinc aliquid opis impetrare queas. Loquitur vero ironice et subsannans, quoniam haec nulli usui per id tempus futura erant. Ergo addit: " ingredere lutum, conculcare in paleis, roborare super laterem: ibi vorabit te flamma, perdet te gladius, comedet te quasi locusta, gravaberis ut bruchus. Multiplicasti negotiationes tuas super astra caeli. „ Verumtamen nulla tunc tibi ad salutem machinatio proderit. Immo vero ceu in quoddam lutum in malorum barathrum incides. Palearum instar conficies tu quoque laterem conculcatum atque concretum luto, nempe cunctis tunc haerentibus malis. Quippe ignis instar absumet te hostis; caedibus variis peribis: bruchi et locustae more superveniet tibi hostium agmen, qui te consument, acerbumque tibi malorum sensum efficient: otiosae tibi erunt opes illae, quarum numerum stellis caelestibus parem congesseras.

" Bruchus irruit et evolavit: exiliit, quasi attelabus, commixtus tuus: ut locusta quae insedit saepem in die gelu. Ortus est sol, et illa avolavit; neque cognitus

ὡς ὤου τὴν δύναμιν ἑαυτοῦ· τοῦτο γὰρ λέγει σύμμικτον· ὥσπερ τις βροῦχος ἀπέπτη σου παν-
τελῶς, καὶ ἐξεπήδησεν ἀττελάβου δίκην· ἐμιμήσατό τε ἀκρίδα ἐν πάγῳ, ἐπιβεβηκυῖαν
φραγμοῦ, ἣ ἀκίνητος ἐκ τοῦ κρύους ἐπὶ τῆς στάσεως μένουσα τῆς οἰκείας, ἡλίου φανέντος τε
καὶ διαλύσαντος τὸν πάγον, ἀθρόον τῆς πτήσεως τῆς οἰκείας ἀπειληφυῖα τὴν δύναμιν ἀφί-
πταται, οὐδὲν ἴχνος τῆς στάσεως αὐτῆς καταλιποῦσα τῆς πρότερον· οὕτω γάρ φησι καὶ οὗτοι
πρότερον μὲν ὑπὸ σοὶ καθεστήκεσαν τῷ δέει· καταλαβούσης δέ σε τῆς συμφορᾶς, ὥσπερ ἐν
ἐλευθερίᾳ τινὶ γεγονότες, τὸν ἐκ σοῦ χωρισμὸν ἀγαπήσουσιν ἅπαντες. Εἶτα θρηνητικῶς
v. 18. ἐφ' ἅπασιν ὁ προφήτης λέγει· " οὐαὶ αὐτοῖς· ἐνύσταξαν οἱ ποιμένες σου· βασιλεὺς ἀσσύριος
p. 352. ἐκοίμισε τοὺς δυνάστας σου. „ Θρήνων φησὶν ἄξιοι πάντες ὑμεῖς· οἱ μὲν γὰρ ἡγούμενοι
ὥσπερ ὕπνῳ τινὶ τῇ τιμωρίᾳ κατενεχθέντες πεπτώκασι· τοιοῦτον δέ ἐστι καὶ τὸ παρὰ τῷ μα-
* Ps. LXXV. 7. καρίῳ Δαυίδ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες ἵππους· * ὁ δὲ βασιλεὺς ὁ ὑμέτερος ἀπωλείᾳ
παραδοθεὶς συναπώλεσεν ἑαυτῷ πάντας τοὺς παρ' αὐτῷ δυναστεύοντας πρότερον.
" Ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος. „ Πρὸς φυγὴν ἅπαντες
v. 19. εἶδον λοιπὸν, ἐπεὶ μηδεὶς ἦν ὁ βοηθεῖν δυνάμενος τοῖς παροῦσι κακοῖς. " Οὐκ ἔστιν
ἴασις τῆς συντριβῆς. „ Πᾶσα γὰρ θεραπεία τε καὶ διόρθωσις τῶν σῶν ἀφῄρηται κακῶν. " Ἐφλέγ-
μανεν ἡ πληγή σου. „ Ηὐξήθη γάρ σου τὸ κακὸν, ὥστε καὶ μένειν ἀνίατον. " Πάντες οἱ
ἀκούσαντες τὴν ἀγγελίαν σου κροτήσουσι χεῖρας ἐπὶ σὲ, διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία
σου διὰ παντός; „ Ἀλλὰ γὰρ οἱ πανταχοῦ τῶν περὶ σὲ κακῶν δεξάμενοι τὴν ἀκοὴν ἡσθήσονται,
τῷ κρότῳ τῶν χειρῶν τῶν οἰκείων ἐπιδεικνύμενοι τῆς σῆς ἀπωλείας τὴν ἡδονήν· ἐπειδὴ γὰρ
κοινὸν πρὸς ἅπαντας ἦρου τὸν πόλεμον, καὶ πάντα ὃν τινα οὖν βλάπτειν καὶ κακοῦν κατὰ
τὴν δύναμιν ἐσπούδαζες τὴν οἰκείαν, διὰ τοῦτο κοινὴν ἅπασιν ἡδονὴν ἐκ τῆς ἀπωλείας γενέσθαι
συνέβη τῆς σῆς.

est locus eius. „ Omnes, inquit, subditi tui, quos multis e locis contraxeras, incrementum, ut arbitrabaris, virium tuarum (id enim significat vox commixtus) bruchi ritu avolaverunt quaquaversus, diffugeruntque instar attelabi. Imitati sunt locustam quae hora gelida saepem insidet: haec enim manet in statione immobilis a frigore, donec orto sole geluque resoluto, vim volandi recuperans, exilit, nullo sui vestigio relicto. Dicit autem: hi pariter qui tibi antea metus causa obtemperabant, mox ubi adversa fortuna laboraveris, tamquam libertate recepta, cuncti a te ovantes recedent. Deinde lugubriter generatimque propheta exclamat: " vae illis! dormitaverunt pastores tui; rex assyrius consopivit potentes tuos. „ Flebiles, ait, vos omnes; nam duces, ceu sopore quodam, punitione correpti occubuerunt. Tale est illud apud beatum Davidem: dormitaverunt qui ascendebant equos. Porro rege vestro neci tradito commortui sunt omnes qui apud eum dignitate praestabant. " Diffugit ad montes populus tuus, neque erat qui eum exciperet. „ Cuncti iam ad fugam spectabant, quoniam nemo reliquus erat qui praesenti malo suppetias ferret. " Non est confractionis medela. „ Cura omnis atque emendatio malorum tuorum sublata est. " Vulnus tuum intumuit. „ Crevit calamitas tua, iamque est insanabilis. " Omnes qui rei nuncium audient, manibus plaudent super te. Ad quem enim non devenerat perpetua malitia tua? „ Profecto populos omnes fama cladium tuarum oblectabit, hique manuum plausu quantopere pernicie tua laetentur significabunt. Tu enim bellum adversus omnes susceperas, neminemque pro viribus molestia ac detrimento non adficiebas. Hinc tuus interitus commune gaudium omnibus adtulit.

ΕΡΜΗΝΕΙΑ ΑΒΒΑΚΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Ἤδη τοῦ Ἀσσυρίου τοὺς μὲν τῶν δέκα φυλῶν αἰχμαλώτους εἰς τὴν οἰκείαν ἀπαγαγόντος p. 353.
χώραν, ἐπεληλυθότος δὲ τῇ Ἱερουσαλήμ, καὶ τὴν φοβερὰν ἐκείνην διὰ τοῦ ἀγγέλου πληγὴν δεξαμένου, μετὰ πολλῆς ὡς εἰκὸς ἐντεῦθεν τῆς ἀτιμίας ὑποστρέψαντος εἰς τὰ οἰκεῖα, ὁ μακάριος Ἀμβακοὺμ * ἐπὶ τῆς Ἰουδαίας τὴν προφητείαν ποιεῖται ταύτην, εἰς δύο μερίζων τὸν * In titulo Αββ.
λόγον, εἴς τε τὴν αἰτίασιν τῶν ἐν τῷ λαῷ δυναστευόντων τε καὶ κρινόντων, οἳ πολλαῖς καὶ διαφόροις ταλαιπωρίαις τοὺς πένητας περιέβαλλον, ὑπὲρ ὧν δὴ μάλιστα ἐπαχθήσεσθαι τὰ παρὰ τῶν Βαβυλωνίων αὐτοῖς μνημονεύει κακά· καὶ εἰς τὴν αὐτῶν τῶν Βαβυλωνίων κατηγορίαν ὡς κεκρατηκότων μὲν τῆς Ἱερουσαλήμ, οὐκ εἰς δέον δὲ τῷ κράτει κεχρησαμένων, πολλὴν δὲ τὴν ἀμετρίαν τῆς ὠμότητος κατ᾽ αὐτῶν ἐπιδεδειγμένων· ὑπὲρ ὧν δὴ καὶ τούτους τιμωρηθήσεσθαι λέγει· ὥστε κατά γε τὴν διαίρεσιν ταύτην ἐοικέναι τῷ ἐνάτῳ ψαλμῷ δοκεῖν αὐτοῦ τὴν προφητείαν, ὅς ἐστι μὲν εἷς τῷ ἀριθμῷ ἐπὶ τῆς ἑλληνικῆς ἐκφωνήσεως, δύο δὲ ἐπὶ τῆς Ἑβραίων γλώττης, ἰδίαν ἑκατέρου τὴν ὑπόθεσιν ἔχοντος· ὡς τοῦ μὲν προτέρου ἀρχὴν μὲν εἶναι τὸ, ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου· πέρας δὲ τὸ, κατάστησον κύριε νομοθέτην αὐτοῖς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσι· τοῦ δευτέρου δὲ ἀρχὴν μὲν τὸ, ἵνα τί κύριε ἀφέστηκας μακρόθεν; ὑπερορᾷς ἐν p. 354.
εὐκαιρίαις ἐν θλίψεσι; τέλος δὲ, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου, κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. Τούτων δὲ ἐν μὲν τοῖς προτέροις τοὺς ἀλλοφύλους αἰτιᾶται, λέγω δὲ τοὺς περιοίκους, ὡς πολλῇ τῇ κατ᾽ αὐτῶν ὠμότητι κεχρησαμένους, ὑπὲρ ὧν δὴ καὶ τιμωρίαν αὐτοῖς ἐπῆχθαι λέγει παρὰ τοῦ θεοῦ· ἐν δὲ τοῖς δευτέροις, τοὺς ἐν τῷ λαῷ τῷ τε πλούτῳ καὶ τῇ δυναστείᾳ ἐπ᾽ ἀδι-

COMMENTARIUS IN HABACUCUM PROPHETAM.

Postquam iam decem tribus Assyrius in suam regionem captivas abduxerat, et deinde expeditione adversus Hierusalem suscepta, terribilem illam ab angelo cladem acceperat, multaque ut par erat cum ignominia illinc in patriam regressus fuerat; beatus Habacucus hoc edidit de Iudaea vaticinium, diviso in partes duas sermone; quarum priore principes iudicesque incusat, qui multis variisque aerumnis pauperes implicuerant; quam ob rem praecipue eventura illis a Babyloniis mala memorat: altera vero pars Babyloniorum ipsorum increpationem continet, qui Hierusalem potiti, haud recte victoria usi erant, sed multum crudelitatis excessum adversus Iudaeos exprompserant; cuius causa punitum iri dicit. Quare secundum hanc divisionem, videtur prophetia haec nono similis psalmo, qui unus est in graeca interpretatione, duo autem in hebraea lingua, cum suo quisque argumento. Et prioris quidem initium est: confitebor tibi, Domine, in toto corde meo; narrabo omnia mirabilia tua. Finis autem: constitue, Domine, legislatorem eis; sciant gentes quoniam homines sunt. Alterius vero psalmi initium est: ut quid, Domine, recessisti longe, despicis in opportunitatibus, in tribulationibus? Finis: praeparationi cordis eorum adtendit auris tua, iudicare pupillo et humili, ut non apponat ultra magnificare se homo super terram. Iam vero in priore psalmo alienigenas increpat, id est finitimos, qui magnopere contra Iudaeos saevierant, ac propterea poenam

κίαν καὶ βλάβην καὶ ἐπήρειαν τῶν πενήτων κεχρημένους, οὓς καὶ αὐτοὺς οὐκ ἔξω τιμωρίας ἔσεσθαί φησι. Τοῦτο γάρ τι καὶ νῦν ὁ μακάριος Ἀμβακοὺμ ὁ προφήτης ποιεῖ, μερίζων τὸν λόγον εἴς τε τοὺς παρ' αὐτοῖς ἐπ' ἀδικίᾳ τῶν πενήτων τῇ προσούσῃ κεχρημένους δυναστείᾳ· τούτοις γὰρ ἐν τοῖς προτέροις αἰτιασάμενος, λέγει καὶ τὴν ἐπαγομένην αὐτοῖς ὑπὲρ τούτου τιμωρίαν· καὶ εἰς τοὺς Βαβυλωνίους, ὧν καὶ αὐτῶν πλεῖστα ὅσα διατεθεικότων κακὰ τὸν λαὸν ἐπαχθησομένην ὕστερον τιμωρίαν μηνύει· ἀλλὰ γὰρ τοιαύτης τινὸς οὔσης τῆς ὑποθέσεως τῶν τοῦ προφήτου ῥημάτων, τὰ κατὰ μέρος σκοπητέον λοιπόν· πρόκειται μὲν οὖν ἡ εἰωθυῖα προγραφὴ τοῦ βιβλίου τὸ λῆμμα ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης· ἄρχεται δὲ οὕτως.

ΚΕΦ. Α'.

v. 1. “ Ἕως τίνος κύριε κεκράξομαι, καὶ οὐ μὴ εἰσακούσῃς; βοήσομαι πρὸς σὲ ἀδικού-
p. 355. v. 2. μενος, καὶ οὐ μὴ σώσῃς; „ Οὐχ ὡς αἰτίασιν τινὰ τοῦ θεοῦ προσάγων ὁ προφήτης ταῦτα
φησὶν, ἀλλὰ καθὼς ἔθος αὐτοῖς ἐπὶ τῶν τινὰ διαπόρησιν ἐχόντων, ἢ καὶ ἀγανάκτησιν κι-
νούντων δικαίαν κατὰ τῶν ποιούντων, ἐν αἰτιατικῷ λέγειν σχήματι τὴν τῶν πραττομένων τὴν ἀτο-
* Ps. X. 1. πίαν· οὕτω κἀνταῦθά φησιν· ὥσπερ οὖν καὶ ὁ μακάριος λέγει Δαυὶδ τὸ *, ἵνα τί κύριε ἀφέ-
στηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν; ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ,
ἐμπυρίζεται ὁ πτωχός· καὶ τὰ ἑξῆς· οὐ γὰρ τὸν θεὸν αἰτιώμενος ταῦτα λέγει, ἀγανακτῶν
δὲ κατὰ τῶν τοιαῦτα ποιούντων, καὶ τινὰ τρόπον διαπορῶν, ἀνθ' ὅτου μὴ δίκας διδόασιν ὀξέως·
* Ps. LXXIII. 1. οὕτω καὶ ἀλλαχοῦ· * ἵνα τί ὁ θεὸς ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα
νομῆς σου; διαπορῶν γὰρ ἐπὶ τῷ μεγέθει τῶν γεγονότων εἰς τὸν λαὸν, κἀνταῦθα φησί· καὶ
* Hier. XII. 1. πολλὰ δὲ τοιαῦτα εὕροι τις ἄν· ὥσπερ οὖν καὶ ὁ μακάριος Ἱερεμίας φησί· * τί ὅτι ὁδὸς
ἀσεβῶν εὐοδοῦται, εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; οὐδὲ γὰρ οὐδ' ἐνταῦθα τὸν

ipsis a Deo inflictam dicit: in altero populi ditiores ac principes obiurgat, qui pauperes iniquitate, detrimentis, iniuriisque vexabant; atque hos etiam haud poenam evasuros ait. Idem fere nunc agit beatus Habacucus propheta, bipartito sermone, primo quidem adversus eos qui pauperes iniusta vi opprimebant: his enim apprime increpitis, eventuram delicto poenam praedicit: deinde in Babylonios convertitur, qui cum innumera mala populo iudaico intulissent, punitionem ipsis impositum iri praedicit. Nunc postquam verborum prophetae argumentum exposuimus, sequitur ut partes singulas consideremus. Praeit solitus libello titulus: ASSUMPTIO quam vidit Habacucus propheta. Sic autem exorditur.

CAP. I.

“ Usquequo, Domine, clamabo, et non exaudies? vociferabor ad te vim patiens, et non salvabis? „ Non tamquam expostulans, haec ait propheta, sed more illorum, qui in re aliqua anxii, vel etiam iusta indignatione commoti, figurato ad expostulationem sermone de rerum actarum iniquitate queruntur. Ita scilicet hoc se loco gerit propheta. Sicut ergo beatus etiam ait David: ut quid, Domine, recessisti longe, despicis in opportunitatibus in tribulationibus? Dum extollitur impius, incenditur pauper, et reliqua; haud Deum culpans ita loquitur, sed illis irascens qui talia agunt, et quodammodo exaestuans, quod non cito poenas debitas luerint. Ita et alibi: cur, Deus, repulisti in finem? iratus est furor tuus adversus oves pascui tui? etenim magnitudine malorum populo inlatorum attonitus, sic etiam hoc loco loquitur. Velut etiam beatus Hieremias dicit: cur via impiorum prospe-

θεὸν αἰτιώμενος λέγει, ἀγανακτῶν δὲ ἐφ' οἷς ἔπραττον ὅτι μὴ διδόασι δίκας· ἐπείπερ
οἱ προφῆται πάντες ὁμοίως ἦσαν πεπεισμένοι· ἐκεῖνο δὴ τὸ παρὰ τοῦ μακαρίου Δαυὶδ
λεγόμενον· * κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν, ἡ δικαιο- * Ps. XXXV. 6.
σύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή· ἅπερ οὐκοῦν ἔφη καὶ τὴν φιλανθρω-
πίαν ἐκπληττόμενος τοῦ θεοῦ ὡς ἀμέτρητον οὖσαν, καὶ τὴν τοῦ δικαίου τὴν φροντίδα ὅτι πολλήν γε p. 356.
ποιεῖται ταύτην· ἀνέφικτον δὲ εἶναι λέγων τοῦ θεοῦ τὴν δοκιμασίαν καὶ τὴν κρίσιν, καθ' ἣν οὐκ
ὀξείας ἐπάγει τοῖς πταίουσι τὰς τιμωρίας, ἀναβάλλεται δὲ αὐτὰς πολλάκις, καί τοι γε ἐν
ἀνθρώποις πολλῶν πασχόντων κακῶς· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ προφήτης ἐνταῦθα φησίν,
ἀγανακτῶν ἐπὶ τῇ ἀδικίᾳ τῶν ἐν τῷ λαῷ δυναστευόντων, καὶ πολλήν τινα καὶ πολύτρο-
πον τοῖς πένησι τὴν ἐπήρειαν ἐπαγόντων· καὶ σφόδρα μὲν εἰδώς, ὡς τιμωρίας ἄξια τὰ
πραττόμενα, ἀθυμῶν δὲ ὅτι τὴν τιμωρίαν ἀναβαλλομένου τοῦ θεοῦ, πολλή τις ἡ κατὰ τῶν
πενήτων γίνεται ἀδικία· διὰ τοῦτο ὡς ἂν πολλάκις αἰτήσας τὸν θεὸν τὴν τιμωρίαν ἐπενεχθῆναι
τοῖς οὕτω διαπραττομένοις κακῶς, ἀνύσας δὲ πλέον οὐδέν, ἕως τίνος φησὶ κύριε κεκράξο-
μαι καὶ οὐ μὴ εἰσακούσῃς, βοήσομαι πρὸς σὲ ἀδικούμενος καὶ οὐ μὴ σώσῃς; ἀναλαβὼν
γὰρ τὸ τῶν ἀδικουμένων πρόσωπον οὕτω φησίν, ὅτι ἄχρι τίνος ἐν ταλαιπωρίαις πολλαῖς
ἐξεταζόμενος βοῶ μὲν αἰτῶν τὴν σὴν βοήθειαν, οὐ τυγχάνω δὲ ταύτης;

" Ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; „ v. 3.
Οὐδὲν γοῦν ἕτερον καθ' ἑκάστην ἡμέραν ὁρῶ, ἀλλ' ἢ πόνον καὶ συντριβήν, ἣν οἱ δυνα-
στεύοντες ἀσεβεῖ τῇ γνώμῃ τοῖς πένησιν ἐπάγειν πειρῶνται. " Ἐξεναντίας μου γέγονε κρί- v. 4.
σις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος p. 357.
κρίμα. „ Αἰτιῶμαι γοῦν ἃ πολλάκις εἶδον, ὅτι δίκης συγκροτουμένης παρορᾶται μὲν
παντελῶς τὸ δίκαιον, πρὸς σχήματα δὲ ὁρῶν ὁ δικαστὴς τούτῳ τὸ πέρας ποιεῖται τῆς δίκης,

ratur, beate agunt omnes reprobantes reprobrationes? Nam ne iste quidem Deum accusans sic loquitur, sed indignans potius quod delictorum poenas non pertulerint. Pari enim prophetae omnes animo erant. Quin et illud apud beatum Davidem dictum: Domine, in caelo misericordia tua, et veritas tua usque ad nubes: iustitia tua, sicut montes Dei: iudicia tua abyssus multa: quae nimirum dicit, benignitatem Dei demirans erga homines tamquam infinitam, et quod multam de viro iusto gerat sollicitudinem: imperscrutabile dicens Dei examen et iudicium, quo seras peccantibus poenas imponit, quas saepe differt, quamquam multa inter homines mala versentur. Eodem prorsus modo heic quoque dicit propheta, iniquitati irascens principum populi, qui multam variamque pauperibus iniuriam faciebant: magnopere quidem cognoscens digna esse suppliciis ea quae fiebant, dolens autem quod Deo ultionem differente, multa adversus pauperes vigeret iniustitia. Propterea, ceu qui saepe expetiverat vindictam de iis capi tam prave agentibus, nihil vero impetraverat; usquequo, inquit, Domine clamabo, et non exaudies? Nam sumpta sibi patientium iniuste persona dicit: quousque tandem miseriis multis exercitus clamo tuum exposcens auxilium, neque tamen id impetro?

" Quare mihi ostendisti labores et dolores, videre miseriam et impietatem? „ Nil aliud quotidie video nisi laborem atque pressuram, quam mala mente principes pauperibus inferre conantur. " Contra me factum est iudicium, et iudex accipit. Propterea dissipata est lex, et non deducitur ad finem iudicium. „ Queror itaque quod saepe vidi, nempe iudicio instituto, ius omnino contemni, sed respicientem personas iudicem, hunc sibi proponere sententiae suae scopum, cumulando scilicet

ἐπαύξων τοῦ ἠδικημένου τὴν βλάβην· ἐντεῦθεν γοῦν ἠμέληται μὲν τῶν νόμων τῶν σῶν ἡ ἀκρίβεια, καὶ λόγος τούτων οὐθεὶς οὐδενί· δίκη δὲ οὐδὲ μία πέρας δέχεται χρηστὸν, ἀλλ' εἰς ἀδικίαν πρόδηλον καταντᾷ. " Ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. „ Οἱ γοῦν ἀσεβείᾳ συζῶντες καὶ τῶν σῶν νομίμων οὐδένα ποιούμενοι λόγον, πᾶν εἶδος ἐπηρείας κατὰ τὴν οἰκείαν δυναστείαν ἐπάγουσι τοῖς πενομένοις· δίκαιον γὰρ ἐνταῦθα τὸν ἀδικούμενον πένητα καλεῖ, ὡς δικαίας γε τῆς ἐκδικίας τευξόμενον. " Ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον. „ Ἐντεῦθεν οὐδὲ παρὰ τοῦ κριτοῦ γινόμενον τι μὴ διεστραμμένον ἴδοι τις ἄν· ἐπειδὴ κἀκεῖνος ἀμελῶν τοῦ δικαίου πρὸς τὸν δυναστεύοντα τὴν πᾶσαν ἔχει ῥοπήν· εἶτα τὴν τῶν πραττομένων αἰτιασάμενος ἀτοπίαν ἐν τούτοις, ἐπάγει λοιπὸν τὴν τιμωρίαν· ὡς ἂν μετὰ τὴν ἔντευξιν τὴν πρὸς τὸν θεὸν ἐξ ἀποκαλύψεως θείας ἐγνωκώς τε αὐτὴν καὶ μηνύων
v. 5. ἅπασι δικαίως. " Ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε· καὶ ἴδετε θαυ-
μάσια, καὶ ἀφανίσθητε· διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε
p. 358. ἐάν τις ἐκδιηγῆται. „ Ἀλλὰ γὰρ οὐκ εἰς τὸ παντελὲς ὑμῖν ἐξέσται τοιαῦτα ποιεῖν τῆς κρί-
σεως καταφρονοῦσι τῆς θείας· ὄψεσθε γὰρ θαυμαστήν τινὰ τιμωρίαν ἐπαγομένην ὑμῖν, καὶ πρὸς ἀφανισμὸν ἀρκοῦσαν παντελῆ, ἐπειδὴ τοιαῦτα ὑμῖν ἐπάξει θεός· τοῦτο γὰρ λέγει, ἔργον ἐγὼ ἐργάζομαι, ὃ καὶ ἄπιστον ἂν ἐκ μόνης διηγήσεως γένοιτο πρὸ τῆς πείρας· ποῖον τοῦτο λέγων.

v. 6. " Διότι ἐγὼ ἐγείρω τοὺς Χαλδαίους τὸ ἔθνος τὸ πικρὸν καὶ τὸ ταχινὸν, τὸ πορευό-
μενον ἐπὶ τὰ πλάτη τῆς γῆς, τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ. „ Ἐπάξω γὰρ ὑμῖν τοὺς βαβυλωνίους τῆς τοσαύτης ὑμῶν ἕνεκεν παρανομίας, ἔθνος ὠμότατον, καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπιτελοῦν ἃ βούλεται, ὃ πᾶσαν διὰ τὴν προσοῦσαν αὐτῷ δύναμιν μικροῦ γε ἐπελεύσεται τὴν γῆν, ὡς ἂν περιβάλοιτο κτῆσιν, τὴν μηδαμόθεν αὐτῷ προσήκουσαν μη-
v. 7. δαμῶς. " Φοβερὸς καὶ ἐπιφανής ἐστι „ πολλοῦ γέμων τοῦ φόβου καὶ καταφανὴς ἅπασιν ἐκ

oppressi detrimentum. Hinc legum tuarum observantia negligitur, nullaque harum ratio habetur: nullius iudicii bonus est exitus, sed manifesta iniquitate laborat. " Quia impius praevalet adversus iustum. „ Qui igitur impie vivunt, et legitima tua pensi non habent, iniuriarum omne genus pro sua praepotentia in egenos conferunt. Nam iustum hoc loco dicit pro oppresso paupere, qui iustam impetrandi defensionem dignus erat. " Propterea egredietur iudicium perversum. „ Hinc nihil ne a iudice quidem nisi perversum fieri quisquam videat: nam et iste, aequitate omissa, ad potentem toto sui pondere inclinat. Deinde hanc operum scaevitatem vituperans, poenam mox subdit, quasi hanc in tractatu cum Deo revelatione superna novisset, eamque merito cunctis portenderet. " Videte, contemptores, et respicite, et admiramini, et spectate mirabilia, et disperdimini: quia opus ego operor in diebus vestris, quod non crederetis si quis narraret. „ Verumtamen haud perpetuo haec a vobis fieri poterunt divini iudicii contemptoribus: videbitis enim miram quandam punitionem vobis impactam, et omnimodo exitio parem: namque ita Deus vobiscum aget: quippe ita valent verba: opus ego operabor, quod incredibile narratu videbitur, ante huius experimentum. Quod quale sit, dicit.

" Quia ego Chaldaeos suscito, gentem acerbam et velocem, quae ambulat super latitudines terrae, ut possideat tabernacula non sua. „ Adducam contra vos Babylonios, propter tantum scelus vestrum, gentem saevissimam, et ad id quod voluerit exsequendum expeditissimam, quae viribus quibus pollet universam ferme terram occupabit, ut ea sibi subiiciat, quae nullatenus ad se pertinebant. " Terri-

δύνασθαι μεγάλα. “ Ἐξ αὐτοῦ τὸ κρίμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξε-
λεύσεται. „ Οὐδὲν τῆς ἑτέρου δεόμενος συμμαχίας, ἀλλ᾽ αὐτὸς οἰκείᾳ τῇ δυνάμει πάντα
διαπραττόμενος, ὥστε καὶ κρίνειν καὶ κατακρατεῖν ὧν βούλεται, ἀθρόον τε ἣν ἂν ἐθέλῃ
τιμωρίαν ἐπάγειν αὐτοῖς. “ Καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ, καὶ ὀξύτεροι v. 8.
ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας, καὶ ἐξιππάσονται οἱ ἵπποι αὐτοῦ, καὶ ὁρμήσουσι μακρόθεν· p. 359.
καὶ πετασθήσονται ὡς ἀετὸς πρόθυμος ἐπὶ τὸ φαγεῖν. „ Ἱππικὸν μὲν αὐτῷ παρεσκευα-
σμένον ἐστὶ πρὸς πόλεμον, παρδάλεων τε καὶ τῶν κατὰ τὴν Ἀραβίαν λύκων ὀξύτερον· οἱ δὲ
ἱππεύοντες τοσαύτῃ πρὸς τὸ πολεμεῖν κέχρηνται τῇ προθυμίᾳ, ὥστε θαῤῥοῦντας ἐπὶ γῆν
ἐλαύνειν πόῤῥωθεν κειμένην, καὶ μόνον οὐκ ἐφίπτασθαι τοῖς πόῤῥωθεν αὐτῶν ἀπῳκισμένοις
δοκεῖν, ἀετοῦ δίκην ἐπὶ θήραν ἑτοίμου.

“ Συντέλεια ἐπ᾽ ἀσεβεῖς ἥξει ἀνθεστηκότας προσώπῳ αὐτῶν ἐξ ἐναντίας. „ Οὗτοι v. 9.
πάντας τοὺς ἐν τῷ λαῷ, τοὺς κατὰ τῶν πενήτων ἀσέβειαν ἐπιδεικνυμένους παντελῶς ἀπολέ-
σουσιν, οὐδὲ πρὸς τὸ βραχύτατον ἀντιβλέπειν αὐτοῖς, ἢ ἀνθίστασθαι τολμῶντας. “ Καὶ συν- v. 10.
άξει ὡς ἄμμον αἰχμαλωσίαν· καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει, καὶ τύραννος παίγνια
αὐτοῦ· καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα, καὶ κρατήσει αὐτοῦ. „ Πολ-
λοὺς μὲν οὖν αἰχμαλώτους ἐργάσεται, ἀναριθμήτους οὐχ ἧττον ἢ ἄμμος· αὐτὸς δὲ τὴν ἰδίαν
ἡδονὴν αὐξήσειεν τῷ πολλὰς καθελεῖν βασιλείας· ὧν τὸν ἀφανισμὸν οὐ μετὰ πολλοῦ τοῦ πόνου,
ὡς ἂν παίζων δὲ ποιήσεται ῥᾳδίως· μετὰ πολλῆς δὲ τῆς εὐμαρείας καὶ τῶν ἄγαν ὠχυρωμένων
πόλεων τε καὶ φρουρίων κρατήσει, χῶμα τε ἐγείρων μετὰ πολλῆς τῆς εὐκολίας, καὶ κατασπῶν
πᾶν εἴ τε τεῖχος εἴθ᾽ ἕτερον πῶς ἠσφαλίσθαι δοκοῦν. “ Τότε μεταβαλεῖ τὸ πνεῦμα v. 11.
αὐτοῦ, καὶ διελεύσεται, καὶ ἐξιλάσεται. „ Ἀλλὰ γὰρ μεγίστην τὴν ἐπαχθεῖσαν τιμωρίαν ἰδὼν p. 360.
ὁ θεὸς, ἅτε παρὰ τοιούτων καὶ οὕτω διακειμένων ἐπαγομένην ἀνδρῶν, μεταβαλεῖ μὲν τὸ

bilis et illustris est „ multumque terrorem adferens, notaque omnibus ob potentiae suae magnitudinem. “ Ex ipsa indicium eius erit, et assumptio eius ex ipsa egredietur. „ Nullius auxilio indigens, sed suapte potentia cuncta exsequens, ita ut et decernat, et quod vult obtineat, subitamque pro suo libito poenam hostibus impingat. “ Et exilient plus quam pardi equi eius, et velociores lupis Arabiae. Et equitabunt equites eius, et de longinquo irruent, et volabunt quasi aquila ad vorandum percita. „ Equitatus est illi ad bellum paratus, pardis et Arabiae lupis velocior. Tantus vero est equitum ad bellandum impetus, ut ad longinquas regiones alacriter discurrant, ac volare propemodum videantur iis qui procul habitant, aquilae instar quae in praedam insilit.

“ Consummatio in impios veniet resistentes faciei ipsorum ex adverso. „ Hi cunctos de populo, qui adversus pauperes iniqui fuerunt, funditus perdent: nam ne brevissimo quidem tempore ex adverso intueri hostes aut iis obsistere audebunt. “ Et congregabit quasi arenam captivitatem. Et ipse de regibus delicias capiet, et tyrannus ludibria eius: et ipse cuilibet munitioni illudet; et struet aggerem, et capiet illam. „ Multos itaque faciet captivos, immo innumerabiles quantum arena est. Ipse vero voluptatem suam cumulabit multorum regnorum destructione, quam sine labore multo et quasi ludens patrabit: atque eadem facilitate munitissimas quoque urbes arcesque obtinebit, struens expeditissime aggeres, atque omnia subruens sive moenia sive aliud quidvis tutamen videtur. “ Tunc mutabit spiritum, et pertransibit, et propitiabitur. „ Verumtamen maximam hanc punitionem inspiciens Deus, et quidem a talibus talique animo praeditis inflictam hominibus, suam adversus nos

καθ' ἡμῶν ὀργήν· ὥσπερ δὲ εἰς μέσους ἡμᾶς τῇ κηδεμονίᾳ παρελθὼν, συγγνώμην μὲν
ὑπὲρ τῶν πάλαι πεπλημμελημένων δώσει, λύσει δὲ τὴν ἐπικειμένην ἡμῖν διὰ ταῦτα τιμω-
v. 12. ρίαν. " Αὕτη ἡ ἰσχὺς τῷ θεῷ μου· οὐχὶ σὺ ἀπ' ἀρχῆς κύριε ὁ θεός μου ὁ ἅγιος; καὶ οὐ
μὴ ἀποθάνωμεν. ,, Τοῦτο γὰρ τῆς σῆς δυνάμεως τὸ ἔργον, ὅπερ ἄνωθεν ἐπιδέδειξαι περὶ
ἡμᾶς ἅγιος ὢν, καὶ πάντων ὑπερκείμενος τῶν ὄντων, ὑπὲρ ὧν δὲ καὶ ζήσεσθαι προσδο-
κῶμεν, λυθείσης ἡμῖν τῆς τιμωρίας. " Κύριε εἰς κρίμα τέταχας αὐτὸ, καὶ ἔπλασέ με
τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ. ,, Ἄνωθεν γάρ με αὐτὸς εἰς τὸ τῶν ἁμαρτανόντων διέπλασας
κρίσιν· ὡς ἂν καὶ παιδεύοιμι διὰ τῶν ἐλέγχων αὐτοὺς, ἔξω τοῦ τοῦ πλημμελεῖν καθίστασθαι
v. 13. ἀδείας· εἶτα πρὸς αὐτὸν ἀποστρέψας τὸν θεὸν τὸν λόγον " καθαρὸς ὁ ὀφθαλμός σου τοῦ μὴ
ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ. ,, Πολλὴ φροντίς σοι τοῦ δικαίου· ὅθεν
οὐδὲ βλέπειν ἀνέχῃ τοὺς τὰ πονηρὰ ἐργαζομένους, πόνων τε καὶ συντριβῆς ἑτέροις καθιστα-
v. 14. μένους αἰτίους. " Τί ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ καταπίνειν
p. 361. ἀσεβῆ τὸν δίκαιον· καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς ἑρπετὰ
οὐκ ἔχοντα ἡγούμενον. ,, Οὐ τοίνυν ἀνέχῃ θεωρεῖν τοὺς καταφρονήσει τῆς σῆς τιμωρίας
τοιαῦτα διαπραττομένους, οὐδὲ παραπέμπεσθαι τὴν τοσαύτην ἀδικίαν, ὥστε δικαίους μονον-
ουχὶ καταπίνεσθαι ὑπὸ ἀσεβῶν· φανούμεθα γὰρ ἰχθύων τε καὶ ἑρπετῶν οὐκ ἐχόντων ἡγούμενον
διαλλάττοντες οὐδὲν, εἰ μὴ τῇ τιμωρίᾳ τῇ σῇ δῆλος γένοιο, ἐπιστατῶν τε ἡμῖν καὶ πᾶσαν
ἐξέτασιν ἀκριβῆ τῶν ἀνθρωπείων ποιούμενος πραγμάτων.

Ταῦτα δὲ ἅπαντα περὶ τῶν βαβυλωνίων εἰρηκὼς, ὡς πολλῇ κατὰ τοῦ λαοῦ τῇ ἀφειδίᾳ
χρησαμένων, διηγεῖται λοιπὸν αὐτοῦ καὶ τὴν δύναμιν, ᾗ χρώμενος, ὁπόσοις ἂν ἐθέλοι μυ-
v. 15. ρίοις κακοῖς περιβάλλει ῥαδίως. " Συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασεν αὐτὸν, καὶ εἵλκυ-
σεν αὐτὸν ἐν ἀμφιβλήστρῳ αὐτοῦ· καὶ συνήγαγεν αὐτὸν ἐν ταῖς σαγήναις * αὐτοῦ· ἕνεκεν τούτου
v. 16. εὐφρανθήσεται καὶ χαρήσεται· ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ αὐτοῦ· καὶ θυμιάσει τῷ ἀμφι-

*cod. συναγωγαῖς

iram omittet: et per medios nos, ut ita dicam, providentiâ suâ transibit, veniam priscis peccatis indulgebit, et impositam horum causa poenam remittet. " Haec est fortitudo Deo meo. Nonne tu a principio Domine Deus sancte meus? Et non moriemur? ,, Hoc est potentiae opus, quod desuper pro nobis ostendit ille qui sanctus est, et omni rei existenti superior: quamobrem vivere quoque speramus, post poenae depulsionem. " Domine ad iudicium rem hanc constituisti; et formavit me ut arguam disciplinam eius. ,, Nempe ut erudiam correptione mea reliquos homines, ne securi peccent. Deinde ad ipsum Deum convertit sermonem: " purus oculus tuus, ne mala videat, et contemplari molestias non poteris. ,, Multa tibi aequi iuris cura est: quare male agentes spectare non sustinebis, et qui molestiarum aliis et contritionis auctores sunt. " Cur aspicis contemptores? Tacebis ne, dum iustum devorat impius? Et facies homines quasi pisces maris, et quasi reptilia non habentia ducem? ,, Non ergo spectare patieris eos qui punitionis tuae contemptu haec agunt; neque tantam iniquitatem dissimulabis, ut iusti ab impiis propemodum devorentur. Alioqui videbimur a piscibus atque reptilibus duce carentibus nihil differre, nisi tu punitionis tuae demonstratione, palam fias ceu praeses noster et actuum omnium humanorum scrutator accuratus.

Postquam haec omnia de Babyloniis dixit, qui saeve admodum populum tractaverant; exponit deinceps hostis eiusdem potentiam, cuius ope quotquot vult malis innumeris facile irretit. " Hamo sustulit illum ad consummationem, traxitque eum reti suo, et in sagenis suis adunavit. Propterea laetabitur et gaudebit; pro-

βλήστρῳ αὐτοῦ· „ ὡς γὰρ ἀγκίστρῳ τινὶ καὶ ἀμφιβλήστρῳ τῇ οἰκείᾳ δυνάμει πλείστους ὅσους
περιβαλὼν εἰς παντελῆ παραδίδωσιν ἀπώλειαν· οὕτω τε ἅπαντας ὑπὸ τὴν ἐξουσίαν ἀθροί-
ζει τὴν οἰκείαν, ὥστε ἥδεσθαι μὲν ἐπὶ τοῖς ἔργοις τοῖς ἰδίοις, κινδυνεύειν δὲ ὡς ἄν τινι θεῷ
τῇ οἰκείᾳ δυνάμει λογίζεσθαι τῶν παρ᾽ αὐτοῦ γινομένων τὸ μέγεθος· τὸ γὰρ θύσει τῇ σα- p. 362.
γήνῃ, καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ, τοῦτο λέγει ἐκ μεταφορᾶς τῶν ἐν τοῖς τοιούτοις τὴν εὐ-
χαριστίαν ἀποτιννύντων τῷ θεῷ· βούλεται οὖν εἰπεῖν ὅτι μονονουχὶ θεοῦ δίκην φαντάζεται
δύνασθαι πάντα κατὰ τὸ δοκοῦν ἑαυτῷ ποιεῖν· καὶ τὴν αἰτίαν λέγων· “ ὅτι ἐν αὐτοῖς ἐλί-
πανεν μερίδα αὐτοῦ, καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά. „ Τῇ γὰρ ἰσχύϊ τῇ οἰκείᾳ λογίζεται
τῶν κατορθωμένων τὸ μέγεθος, ἀφ᾽ ὧν δὴ προσγέγονεν αὐτῷ τὸν πλοῦτον αὐξῆσαι τὸν
οἰκεῖον· τοῦτο γὰρ λέγει τὸ ἐλίπανε μερίδα αὐτοῦ· ἐντεῦθεν δέ φησι καὶ πάντων δὴ τῶν δοκί-
μων τε καὶ ἐκλεκτῶν τὴν ἀπόλαυσιν ἔχει· ὅπερ ἐστὶ τὸ καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά.
“ Διὰ τοῦτο ἀμφιβαλεῖ τὸ ἀμφίβληστρον αὐτοῦ, καὶ διαπαντὸς ἀποκτείνειν ἔθνη οὐ φείσεται. „ v. 17.
Ἐκ δὲ ὧν κατώρθωσε πολλάκις θαῤῥῶν ἔτι τῇ οἰκείᾳ χρῆται δυνάμει, καὶ πολέμοις χρώ-
μενος ἀπαύστοις, πολλὴν ἀφειδῶς τῶν ἐμπιπτόντων ἐργάζεται τὸν φόνον· εἰρηκὼς δὲ τὰ παρὰ
τοῦ βαβυλωνίου γινόμενα, καὶ διὰ πάντων αὐτοῦ τὴν εἰς τὸν λαὸν παρανομίαν αὐξήσας,
ἐπάγει λοιπόν.

ΚΕΦ. Β′.

“ Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν. „ Ἐκ μεταφορᾶς τῶν ἐν v. 1.
πολέμῳ καὶ πολιορκίᾳ τὴν τοῦ τείχους διαιρουμένων φυλακὴν, ἐπὶ τῆς φυλακῆς φησὶν ἐγὼ
στήσομαι τῆς ἐμῆς, ἵνα εἴπῃ ὅτι τῶν ἐμοὶ προσήκοντος οὐκ ἐκστήσομαι, ἀλλὰ γὰρ ἕξομαι τούτου, p. 363.
ἐν ἀσφαλείᾳ γε πλείστῃ καθεστάναι νομίζων εἰ ταῦτα ποιοίην· καὶ σαφέστερον ποιῶν ὃ λέγει
“ καὶ σκοπεύσω τοῦ ἰδεῖν τί λαλέσει ἐν ἐμοὶ, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου. „

pterea immolabit sagenae suae, et turificabit reti suo. „ Quasi hamo aliquo ac reti plurimos potentia sua circumveniens, supremo tradet exitio. Sic autem in potestatem suam cunctos rediget, ut et operibus suis gavisurus sit, ac propemodum quasi Deo aliquo viribus suis propriorum gestorum magnitudinem tributurus. Nam verba, immolabit sagenae, et turificabit reti, dicit sumpta metaphora ab iis, qui in casu eiusmodi, gratias Deo referunt. Vult ergo dicere, illum Dei instar imaginari omnia posse pro suo libito efficere. Causamque exponens “ quia in ipsis, inquit, incrassavit partem suam: et cibi eius electi. „ Propriis viribus rerum bene gestarum magnitudinem tribuit, unde illi opum cumulus accessit. Sic enim valent verba: partem suam incrassavit. Hinc, inquit, rei omnis bonae et electae fructum consecutus est; namque ita verba, cibi eius electi, intelligenda sunt. “ Idcirco extendet rete suum, et caedi populorum numquam parcet. „ Repetitis successibus elatus potentiam suam exercebit, perpetuisque bellis indulgens, multam crudeliter devictorum stragem edet. Iam vero Babylonii gestis narratis eiusque per omnia adversus iudaicum populum scelere exaggerato, pergit dicere.

CAP. II.

“ Super custodia mea stabo, et supra petram ascendam. „ Metaphora sumpta ab iis qui belli tempore et obsidionis custodiendi muri vices sibi distribuunt, super custodia, inquit, mea stabo; pro eo ut dicat, officio meo non deero, sed illud observabo: etenim valde tutum me existimabo, si ita me geram. Atque adhuc aper-

Βούλεται εἰπεῖν ὅτι ἔργον ἡμῶν πρὸς τὸν θεὸν ἀφορᾶν, καὶ τὰ ἐκεῖθεν γινόμενα τε καὶ δει-
κνύμενα δέχεσθαι· ἐντεῦθεν γάρ μοι καὶ ἀσφάλεια πλείστη περιέσται· διαμενῶ τοίνυν φησὶν
ἀφορῶν τί ποτε ἄρα περὶ τῶν γινομένων ἀποφαίνεται θεός· ὡς ἂν ταῦτα μαθὼν ἀποκεί-
νωμαι καὶ αὐτὸς τὰ δεικνύμενα τῷ λαῷ εἰς ἔλεγχόν τε αὐτῶν ἑξῆς· ὥσπερ δὲ ἐν τοῖς ἀνω-
τέροις τῶν ἐν τῷ λαῷ τὰς πλημμελείας εἰπών, ὡς ἐξ ἀποκαλύψεως ἐγνωκὼς θείας τὴν
ἐπαχθησομένην αὐτοῖς διὰ τῶν βαβυλωνίων τιμωρίαν φησίν, οὕτω κἀνταῦθα τοὺς βαβυλω-
νίους τὰς παρανομίας εἰρηκώς, λέγει μὲν ἀναμένειν παρὰ τοῦ θεοῦ μαθεῖν, ὅτι ποτὲ καὶ περὶ
τούτων ἀποφαίνεται· ἐπάγει δὲ ἑξῆς τὴν ἐπὶ τούτοις ἀποκάλυψιν αὐτῷ γεγονυῖαν· διὸ φησί
v. 2. " Καὶ ἀπεκρίθη πρός με κύριος, καὶ εἶπε· γράψον ὅρασιν σαφῶς εἰς πυξίον, ὅπως διώκῃ
ὁ ἀναγινώσκων αὐτά. ,, Ἀναμένειν γὰρ εἰρηκὼς μαθεῖν ἅ τινα περὶ τούτων ἀποφαίνεται ὁ
θεός, ταῦτα δὴ ἀποκεκρίσθαι πρὸς αὐτόν φησι τὸν θεόν· κελεῦσαι μὲν αὐτῷ ὡς ἐν ὁράσει
θείᾳ εἰς πυξίον γράψαι τὰ δεικνύμενα, ἵνα πᾶσιν ᾖ σαφῆ τε καὶ δῆλα πρὸς ἀνάγνωσιν
p. 364. τὰ εἰρημένα τε καὶ γεγραμμένα· λέγει δὲ τὰ περὶ τῶν βαβυλωνίους ἐσόμενα, ἅπερ ἑξῆς
v. 3. φησίν· εἶτα ἐπάγει. " Διότι ἔτι ὅρασις εἰς καιρὸν μακρόν, καὶ ἀνατελεῖ εἰς πέρας καὶ οὐκ
εἰς κενόν. ,, Τὰ μὲν γὰρ δειχθέντα οὐ παραυτίκα ἐκβήσεται, ἀλλὰ μετά τινα χρόνον, ὃς
ἀφέστηκε νῦν, ἔσται δὲ πάντως καὶ λήψεται πέρας· ἐπεὶ μὴ δὲ μάτην δέδεικται, ἀλλ' ὡς
v. 4. καὶ ἐσόμενα πάντως. " Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ μὴ
χρονίσῃ. ,, Ὥστε εἰ καί τις ὑπέρθεσις δόξειεν τῶν μηνυθέντων γίνεσθαι, τέως ἀναμείνατε
πάντως αὐτά, ἐπειδὴ ἅπερ ὡς ἐσόμενα τε καὶ ἐλευσόμενα μεμήνυται, ταῦτα δὴ ἥξει τε
καὶ γενήσεται πάντως, οὐ μὴν εἰς ὑπέρθεσιν ἐμπεσεῖται παντελῆ. " Ἐὰν ὑποστείληται,
οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐπ' αὐτῷ· ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται. ,, Ὡς εἰ καί τις

tius loquens " et contemplabor, inquit, ut videam quid in me loquatur, et quid respondeam ad correptionem meam. ,, Dicere vult, officii esse nostri ad Deum respicere, et quae inde accidunt et ostenduntur, excipere. Hinc enim mihi plurimum tutamen erit. Perseverabo itaque spectans, quid forte Deus aliquando de rerum eventu revelet: ut hoc cognito, renunciem ego quoque populo ostenta mihi ad illius futuram correptionem. Sicut autem in superioribus, postquam populi peccata recitavit, tamquam divina revelatione illustratus, imponendam populo poenam dixit; ita etiam hoc loco, dictis Babylonii sceleribus, ait se expectare a Deo monitionem, quid aliquando de his quoque patefacturus sit. Mox addit, quam super his acceperat revelationem. Idcirco ait: " et respondit mihi Dominus dixitque: scribe manifeste visa in buxo, ut persequatur qui legit ea. ,, Postquam dixit expectare se a Deo moneri, quale de his oraculum reddat; haec sibi a Deo responsa dicit: iussisse videlicet tamquam ex divina visione in buxo scribere quae ostensa fuerant, ut omnibus perspicua fierent ac patentia legentibus quae dicta erant et scripta; nempe ea quae a Babyloniis eventura erant, et a se inferius dicenda. Tum addit: " quia adhuc visio in longum tempus, et orietur in finem, et non in vacuum. ,, Etenim quae ostensa sunt, haud statim exitum habebunt, sed post aliquod tempus, quod nunc abest; sed tamen omnino erit, ac finem accipiet: non enim haec frustra revelata sunt, sed prorsus ut eventura. " Si moram fecerit, expecta illum, quia veniens veniet, et non tardabit. ,, Quare etiamsi dilatio forte aliqua eorum quae praedicta sunt, fieri videbitur, constanter interim expectate; siquidem quae futura eventuraque praedicta sunt, ea inquam evenient fientque prorsus, neque in perpetuam dilationem incurrent. " Si se subtraxerit, non bene placebit animae meae

ὀκνήσειεν περὶ τὴν πίστιν τῶν ἐσομένων, καὶ ἀμφιβάλλων εἰ γενήσεται πάντως, σφόδρα μοι
διὰ μίσους ἐστὶν ὁ τοιοῦτος· ἐπειδὴ δίκαιον ἔγωγε ὁρίζομαι τὸν πιστεύοντά τε τοῖς ἐπηγγελ-
μένοις, καὶ τὴν ἐξ αὐτῶν κομιζόμενον ὠφέλειαν.

Ταῦτα περὶ τῆς ἀποκαλύψεως εἰρηκὼς, καὶ προτρεψάμενος πιστεύειν τοῖς δεικνυμένοις,
λοιπὸν ἐπάγων τὰ τῆς ὁράσεως οὕτω φησίν. " Ὁ δὲ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ ἀλα- v. 5.
ζὼν οὐθὲν οὐ μὴ περάνῃ. „ Εὖ ἴστε τοίνυν φησὶν τουτονὶ τὸν πολέμιον τὸν ὑμέτερον, λέγει
δὲ τὸν βαβυλώνιον, τὸν ἀμέτρῳ τῷ οἰήματι κεχρημένον καὶ καταφρονοῦντα τῆς ἀνεξικακίας p. 365.
τῆς θείας, καὶ ἐν τοῖς ἑτέρων ἀλαζονευόμενον δυσπραγίαις, οὐκ εἰς πέρας μὲν οἴσειν τὰ ἐπὶ
τῆς ἑαυτοῦ δυναστείας, φοβερὰν δέ τινα τῇ ἀπειλῇ τῇ θείᾳ τὴν μεταβολὴν ὑπομενοῦντα.
" Ὃς ἐπλάτυνε καθὼς ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ αὐτὸς ὡς θάνατος οὐκ ἐμπιμπλά-
μενος· καὶ ἐπισυνάξει πρὸς αὐτὸν πάντα τὰ ἔθνη, καὶ ἐκδέξεται πρὸς αὐτὸν πάντας τοὺς
λαούς. „ Ὁ γὰρ δίκην ᾅδου κατὰ πάντων ἐκτείνας ἑαυτὸν, καὶ πάντας μὲν ἀναιρῶν, κατὰ
μίμησιν δὲ θανάτου κόρον τῶν ἀναιρουμένων οὐκ ἔχων, χειρούμενός τε πλείστους, καὶ τοὺς παν-
ταχόθεν ὑπὸ τὴν οἰκείαν ἄγων ἐξουσίαν, φοβεράν τινα τὴν μεταβολὴν διὰ τῆς ὀργῆς ὑπομενεῖ
τῆς θείας. " Οὐχὶ ταῦτα πάντα παραβολὴν κατ' αὐτοῦ λήψονται, καὶ πρόβλημα εἰς δι- v. 6.
ήγησιν αὐτοῦ; καὶ ἐροῦσιν, οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ, ἕως τίνος καὶ βαρύνων
τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. „ Ἅπαντες δὴ λοιπὸν οἱ πανταχοῦ τὴν κατ' αὐτὸν μεταβολὴν
ἐκπληττόμενοι ὡς ἐν παραβολῇ, πάντες ἐροῦσιν· ἀθλιώτατος δὴ πάντων ὁ τὰ ἑτέρων
ἀφαιρούμενος, καὶ τὸν οἰκεῖον αὔξων πλοῦτον, ὁ βαρὺς τοῖς ὑπηκόοις διὰ τὴν ὑπερβολὴν τῆς
ὠμότητος· τοῦτο γὰρ λέγει τὸ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς· οὐ γὰρ εἰς τὸ παντελὲς
δυνήσεται τὰ τοιαῦτα ποιεῖν· τοῦτο γὰρ λέγει τὸ ἕως τίνος, ὃ διὰ μέσου κειμένου, πρὸς p. 366.
ἅπαντα ἀποδέδοται, ἵνα εἴπῃ, ὅτι οὐκ εἰς τὸ παντελὲς γενήσεται τοιοῦτος, μεταβολὴν τῶν
κατ' αὐτὸν δεξομένων, διὰ τὴν ἐπαγομένην αὐτῷ παρὰ τοῦ θεοῦ τιμωρίαν.

super eum; iustus autem ex fide mea vivit. „ Si quis ad fidem futuris rebus praebendam torpuerit, et ancipiti animo erit, hic mihi valde est invisus: ego enim iustum illum esse definio, qui promissionibus credit, et utilitatem ex eis capit.

His circa revelationem dictis, atque ad credendum ostensis hortatus, deinceps visionem evolvens ait: " vir autem praesumptiosus et contemptor atque superbus, nihil perducet ad finem. „ Probe ergo cognoscite hunc hostem vestrum, Babylonium designans, immodica arrogantia elatum, divinaeque patientiae contemptorem, et aliorum calamitatibus exultantem, hunc inquam dominationis suae negotium felici exitu non conclusurum, sed terribilem quandam a divina vindicta conversionem experturum. " Qui dilatavit sicut infernus animam suam, et mortis instar est insatiabilis; qui adunabit sibi omnes gentes, et cunctos populos ad se recipiet. „ Qui quasi infernus adversus omnes vim suam extendit, passim interficiens, et mortis imitator nullam occisorum satietatem cepit, captivans plurimos, et ubique omnes sub suam potestatem redigens, hic formidabilem quandam abs divina ira subversionem patietur. " Nonne haec omnia parabolam adversus eum sument, et problema de ipso narrabunt? dicentque: vae qui sibi non sua multiplicat! Quousque collare suum adgravabit vehementer? „ Cuncti postea quotquot ubique sunt, rerum eius conversione attoniti, tamquam in parabola, dicent: miserrimus ille omnium qui alienae rei rapina suas opes auget, qui gravis subditis fit ob suae saevitatis pondus: id enim significat dictio, collare suum graviter adgravans. Profecto haud poterit ad extremum usque haec agere: namque id denotatur vocabulo quousque, quod in me-

v. 7. Εἶτα πῶς καὶ τίνα τὸν τρόπον λέγων “ ὅτι ἐξαίφνης ἐξαναστήσονται δάκνοντες αὐτόν,
καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ αὐτοῖς εἰς διαρπαγήν. „ Ἀναφανήσονται γὰρ παρὰ
πᾶσαν ἐλπίδα πολέμιοι, λέγει δὲ τοὺς Πέρσας, οἳ ὥσπερ δήγμασι ταῖς ἐφόδοις ταῖς οἰκείαις
διασπάσουσί σου τὴν δύναμιν καὶ τὴν ἐξουσίαν, μετὰ πολλῆς μὲν τῆς ἐπιμελείας τὰ πρὸς βλά-
v. 8. βην σὴν ἐργαζόμενοι· δι᾽ ἁρπαγῆς δὲ καὶ τὰ σοὶ προσόντα τιθέμενοι πάντα. “ Διότι σὺ
ἐσκύλευσας ἔθνη πολλὰ, σκυλεύσουσί σε πάντες οἱ ὑπολελειμμένοι λαοὶ δι᾽ αἵματα ἀν-
θρώπων, καὶ ἀσεβείας γῆς καὶ πόλεως καὶ πάντων τῶν κατοικούντων αὐτήν. „ Ὅνπερ γὰρ
τρόπον αὐτὸς ἐπιὼν ἀφῄρου τὰ ἑτέρων, τὸν αὐτὸν δὴ τρόπον ἀφαιρεθήσεται καὶ τὰ σοὶ προσ-
όντα παρὰ τῶν εἰς τιμωρίαν σὴν καταλελειμμένων· ὑπὲρ ὧν ἀνεῖλες τε πλείστους τῶν τῷ
θεῷ προσηκόντων, καὶ ἠσέβησας εἴς τε τὴν γῆν τὴν θείαν καὶ τὴν πόλιν, καὶ πάντας δὴ τοὺς
οἰκοῦντας αὐτὴν, λέγει δὲ περί τε τῆς Ἱερουσαλὴμ καὶ τῶν κατ᾽ αὐτὴν ἁπάντων. Εἶθ᾽ ὡς ἂν
ἐπεμβαίνων αὐτῷ δικαίως πεπονθότι τοιαῦτα, λέγει τὰς παρανομίας ὑπὲρ ὧν τὴν τοιαύ-
v. 9. p. 367. την δέδεκται τιμωρίαν “ Ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ, τάξαι εἰς
v. 10. ὕψος νοσσιὰν αὐτοῦ, τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν· ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου,
συνεπέρανας λαοὺς πολλοὺς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου. „ Αὐτὸς ᾔδα, φησὶν, ὁ ἀμέτρῳ κε-
χρημένος τῇ πλεονεξίᾳ ἐπὶ τῷ τὸν πλοῦτον αὔξειν τὸν οἰκεῖον ἐκ τῶν ἀλλοτρίων κακῶν, ὑψηλὴν
τε τῆς οἰκείας βασιλείας ἀποδεῖξαι τὴν σύστασιν· εἶτα ταῦτα μὲν ἐποίεις, ὅπως δ᾽ ἂν δυν-
ηθείσης τῶν ἐπαγομένων σοι κακῶν ἀπαλλαγὴν εὕρασθαι τινὰ, συνιδεῖν οὐ δεδύνησαι· ἀλλὰ
γὰρ πολλοὺς ἀδικῶν παρανομῶν τε εἰς ἅπαντας ἀδεῶς, οὐ πλοῦτον, ὡς ᾤου, αἰσχύνην δὲ
ὡς ἡ ἔκβασις δεδήλωκε τῷ οἴκῳ συνήγαγες τῷ σαυτοῦ· ὑπὲρ γὰρ ἁπάντων ὧν διαπε-
πραγμένος ὦψαι, τὴν τιμωρίαν δέδωκας ταύτην.
v. 11. “ Διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά. „ Τοι-

dio positum, ad omnia refertur: quasi dicatur: haud in perpetuum hoc statu erit, sed conversionem res eius patientur, propter infligendam ipsi a Deo poenam.

Deinde qualiter quomodoque ea fient dicit: “ quia subito consurgent qui mordeant eum, et vigilabunt insidiatores tui, et eris in rapinam eis. „ Emergent praeter omnem expectationem hostes, damnis tuis intenti, bona tua omnia diripientes. “ Quia tu spoliasti gentes multas, spoliabunt te omnes reliqui populi, propter sanguinem hominum, et impietatem regionis ac civitatis, et cunctorum incolarum eius. „ Quemadmodum ipse impetu facto aliena rapuisti, ita vicissim tua diripientur ab iis qui puniendi tui causa relicti sunt: quia tu nempe plurimos Dei famulos interfecisti, et adversus Dei regionem ac civitatem impie egisti, contra omnes denique illius incolas, Hierusalem scilicet, et quicquid ad eam pertinebat. Posthinc quasi ei iuste insultans talia passo, scelera recitat, quorum causa poenam huiusmodi luit. “ O qui ampliat avaritiam malam domui suae, ut ponat in excelso nidum suum, ut eruatur de manu malorum! Cogitasti confusionem domui tuae, consumpsisti populos multos, et peccavit anima tua. „ Tu, inquit, immodica habendi cupiditate percitus, ob opes tuas ex alienis damnis augendas, sublimemque regni tui conditionem ostentandam; dum haec ageres, haud tamen potuisti discernere quomodo imponendorum tibi malorum pondus vitares: sed multos interim laedens, atque in omnes secure peccans; haud divitias, ut credebas, sed ignominiam, ut reapse exitus ostendit, domui tuae conciliasti: nam ob haec omnia quae fecisse te constat, hanc poenam persolvisti.

“ Quia lapis de pariete clamabit, et scarabeus de ligno loquetur ea. „ Igitur

γαροῦ ἐκ τοῦ μεγέθους τῶν κακῶν, καὶ ἐκ τῶν οἰκοδόμων ἃς κακῶς ἀνήγειρας ἀναπέμ-
πονται ὡσπερεὶ φωναί τινες κατηγοροῦσαι σοῦ τὴν πλεονεξίαν, τῶν τε λίθων μονονουχὶ φωνὴν
ἀφιέντων κατὰ σοῦ τοιαύτην, καὶ τῶν σκωλήκων δὲ σὺν αὐτοῖς ὁπόσοις ἐν μέσαις ταῖς τῶν λίθων
τε καὶ πλίνθων ἁρμογαῖς ἐμφωλεύειν ἔθος, ἢ καὶ ἐν μέσοις πολλάκις εὑρίσκεσθαι τοῖς
ξύλοις· κάνθαρον γὰρ ἐνταῦθα λέγει τὰ ἔν τε ξύλοις εὑρισκόμενα, ἔν τε τοίχοις ἐν μέσῳ p. 368.
τῶν πλίνθων εἰωθότας ἐμφωλεύειν, ὡς ἂν τις εἴποι ζωΰφιά τε καὶ σκώληκας οὕτως ὀνομά-
ζων, ὡς ἂν κοινῇ ταύτῃ προσηγορίᾳ καλουμένων ἁπάντων τῶν τοιούτων· ἔστι δέ τινα ἐν
τοῖς καταγαίοις εἰωθότα μᾶλλον ἐν μέσῳ τοῦ νοτίδος εὑρίσκεσθαι ἃ κανθαρίδας καλοῦσι·
τινὲς δὲ ἔφασαν τὸν σύρον πάσσαλον λέγειν· ἀλλ' ἀνόητον εἴη ἂν ἀφέντας τοῦ ἑβραΐδος τὴν
φωνὴν καθ' ἣν ὁ προφήτης ἐφθέγξατο, ἥνπερ οὖν ἡμῖν διὰ τῆς οἰκείας ἑρμηνείας σαφῆ
κατέστησαν ἄνδρες ἑβδομήκοντα, δόκιμοί τε καὶ ἀκριβῶς τῆς γλώττης ἐπιστήμονες ἐκείνης,
σύρῳ προσέχειν μεταβεβληκότι τὴν ἑβραίων εἰς τὴν σύρων· εἶτα πολλάκις τὸ πταῖσμα τὸ
οἰκεῖον, νόμον βουληθέντι θεῖναι φωνῆς, ὅς δοκεῖ μοι, μὴ συνεὶς ὅ τι ποτὲ λέγει, τὸν κάν-
θαρον πάνυ γε εἰωθότα ἐμφωλεύειν τοῖς τοίχοις τὸν πάσσαλον τεθεικέναι, ἵνα δοκῇ τινα
τὸ λεγόμενον ἀκολουθίαν ἔχειν· καίτοι γε πάσσαλον ἐκ ξύλου φθέγγεσθαι ἀνακόλουθον
ἄγαν· ἐπειδὴ ἐκ τοίχου μέν, ἐνδεχόμενον· ἐκ ξύλου δέ, οὐκέτι· οὐ γὰρ ὥσπερ ἐκ λίθων
συντίθεται τοῖχος, οὕτως ἐκ πασσάλων ξύλον.

Οὐ μέν τοι γε προφήτης ἐπειδὴ καὶ ἐκ τῶν τοίχων ἔτι τε τῶν ἐνιόντων αὐτοῖς ἔφη τὴν
κατηγορίαν γίνεσθαι κατ' αὐτοῦ, καλῶς ἐπήγαγεν. “ Οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι, v. 12.
καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις· οὐ ταῦτά ἐστι παρὰ κυρίου παντοκράτορος· καὶ ἐξέλιπον v. 13.
p. 369.
λαὸν ἱκανὸν ἐν πυρί, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησεν· ὅτι πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν v. 14.
δόξαν κυρίου, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. „ Οὐκ ἂν σε θρηνήσειεν ἐκ φόνων

ex cumulo malorum, nec non ex aedificiis quae contra fas struxisti, voces veluti quaedam mittuntur quae tuam avaritiam accusant, saxis ipsis propemodum sic contra te clamantibus, nec non et vermibus quotquot in mediis saxis laterumque iuncturis latitare solent, et intra ligna saepe comperiri. Etenim scarabaeum hoc loco appellat animalcula quae in lignis occurrunt, et in muris intra lapides lateresve cubitant, quasi inquam hoc nomine dicat animalcula quaevis et vermes, ceu si omnia communi hac appellatione vocitentur. Sunt etiam subterranea quaedam in media praecipue rubigine inveniri solita, quas cantharidas vocant. Nonnulli vero dixerunt, apud syrum interpretem paxillum legi. Atqui stultum est omissa hebraica lingua, qua propheta locutus est, cuius vocabulum propria interpretatione septuaginta viri nobis declararunt, probati nimirum illi et eius linguae accurate periti, syro adtendere qui hebraicum scriptum ad Syrorum sermonem transtulit: qui saepe errorem suum, pro linguae regula vult obtrudere, quantum mihi videtur, quid dicat minime intelligens: itaque pro scarabaeo passim in muris cubitare solito, paxillum posuit, ut quandam sermonis sequelam retinere videretur. Atqui paxillum ex ligno loqui, non est consentaneum: nam si ex muro potest, ex ligno nequaquam: non enim sicut ex lapidibus murus conficitur, ita ex paxillis lignum.

Ergo propheta, quandoquidem ex muris et ex haerentibus illic animalculis accusationem fieri contra Babylonium dixit, praeclare addidit: “ vae qui aedificat civitatem in sanguinibus, et praeparat urbem in iniquitatibus! Non sunt haec a Domino omnipotente. Et defecerunt populi multi in igne, et gentes multae animo conciderunt. Quia replebitur terra, ut cognoscat gloriam Domini: quasi aqua multa

καὶ ἀδικιῶν κατασκευάζοντα πόλεις; οὐ γὰρ συνεώρας ἅτινα ὑπὲρ τούτων ἐπενεχθήσεταί σοι
παρὰ τοῦ θεοῦ· ἀλλὰ πολλοὺς μέν τινας καὶ ἀμυθήτους ὥσπερ πυρὶ τῇ σαυτοῦ κατανηλώσας
ὠμότητι· πολλοὺς δὲ πρὸς αὐτὸ τὸ τέλος ἤγαγες τοῦ βίου ταῖς ἀνηκέστοις συμφοραῖς· ὑπὲρ ὧν
δὴ ταῦτα νῦν ὑπομένεις, ὥστε ἅπαντας τοὺς κατὰ γῆν ἀνθρώπους ἐπιγνῶναι τῆς θείας οἰκο-
νομίας τὸ μέγεθος τοιαῦτα ἐργαζομένης· οὕτω τέ σοι τῷ τοσαῦτα δυνηθέντι καὶ πεποιη-
κότι, φοβερὰν ἐπάγοντι τὴν τιμωρείαν, καὶ πρέπουσάν γε τῷ πλήθει τῶν ἡμαρτημένων ὑπὸ
v. 15. σοῦ. Καὶ πάλιν ὀνειδιστικῶς λέγων· “ ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν,
καὶ μεθύσκων ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν. ,, Εἶπον πολλάκις ὅτι τὸν οἶνον καὶ
τὸ πίνειν αὐτὸν ἐπὶ τὰς συμφορὰς λέγει· σὺ οὖν, φησίν, ἦσθα ὁ πᾶσιν ἀνθρώποις πόμα
θολερὸν προσάγων, μεθύσκειν τε καὶ ἀνατρέπειν τὸν πίνοντα δυνάμενον παντελῶς· ἵνα εἴπῃ,
τιμωρείαν βαρυτάτην ἅπασιν ἐπάγων· ταῦτα δέ φησι ἐποίεις τῶν ἀλλοτρίων ἐπιθυμῶν, καὶ
p. 370. τοὺς θησαυροὺς τοὺς ἀλλοτρίους ἀνερευνώμενος καὶ σαυτοῦ ποιεῖν ἐθέλων.

v. 16. “ Πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε καὶ σύ· καρδία σαλεύθητι, καὶ σείσθητι. ,, Ἃ τοί-
νυν πεποίηκας ἑτέροις, δίκαιος ἂν εἴης παθεῖν· ἵν' ἐξ ἁπάσης ἐκείνης τῆς δόξης ἀτιμίας
πληρωθείς, διασαλευόμενός τε καὶ καταπίπτων ὡς ὑπό τινος μέθης τῇ τῆς τιμωρείας δια-
μένοις ὑπερβολῇ. “ Ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον δεξιᾶς κυρίου, καὶ συνήχθη ἀτιμία ἐπὶ
τὴν δόξαν σου. ,, Ἐπήγαγε γάρ σοι τὸ οἰκεῖον ποτήριον ὁ θεός, ἵνα εἴπῃ τὴν ἐκ τῆς οἰκείας
ἀποφάσεως τιμωρείαν, ὥστε σοι τὴν δόξαν εἰς ἀτιμίαν πλείστην πανταχόθεν ἀθροιζομένην
v. 17. ἐπὶ σὲ μεταβεβλῆσθαι λοιπόν. “ Διότι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε, καὶ ταλαιπωρία
θηρίων πτοήσει σε, δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς καὶ πάντων τῶν κατοικούντων
αὐτήν. ,, Ὡς γὰρ εἰς τὸν λαὸν ἠσέβησας, νῦν δώσεις δίκην δικαίως, ὥσπερ ὑπό τινων
θηρίων τῶν ἐπιόντων σοι πολεμίων· εἰς φόβον καὶ ταλαιπωρίαν καταστήσῃ πολλήν· ὑπὲρ

operiens maria. ,, Quis te non defleat urbes caedibus et iniquitatibus aedificantem? Neque enim cernis quaenam tibi huius rei causa a Deo inferentur mala. Tu quidem multos, quot nemo recitabit, quasi igne crudelitate tua consumpsisti: multos ad vitae exitum intolerandis aerumnis deduxisti: quamobrem nunc haec sustines: ut ita omnes per orbem terrarum homines agnoscant magnam Dei providentiam talia operantem, tibique ob facinora tantam poenam imponenti, peccatorum tuorum multitudini convenientem. Rursusque cum exprobratione. “ O qui propinat, inquit, proximo suo subversionem turbidam, et inebriat ut inspiciat in speluncas eorum! ,, Dixi iam saepe, vinum et ipsam potationem pro aerumnis dici. Tu ergo es, qui universis hominibus turbidum potum propinas, inebriare ac subvertere potantes omnino valentem: id est gravissimum supplicium cunctis infers. Haec faciebas, inquit, dum aliena concupisceres, et alienos thesauros scrutareris, ut in rem tuam sevocares.

“ Saturitatem ignominiae de gloria bibe et tu: cor commovetor et concutitor. ,, Quae igitur aliis fecisti, dignus ipse pati es; ut post omnem illam gloriam ignominia obrutus, nutans et concidens, quasi crapula quadam, a magnitudine punitionis fias. “ Circumdedit te calix dexterae Domini, et aggesta est ignominia super gloriam tuam. ,, Adduxit tibi calicem suum Deus, pro eo ut dicat decretam a se poenam, ut gloria tua in ignominiam plurimam undique in te congestam deinceps convertatur. “ Quia impietas Libani operiet te, et miseria bestiarum terrebit te, propter sanguines hominum, et impietates terrae et urbis eiusque incolarum. ,, Sicut enim adversus populum impie egisti, nunc poenam lues, hostibus ferarum

ὧν ἀνεῖλες τῶν ἀνθρώπων κατὰ τὴν Ἱερουσαλὴμ, καὶ ἠσέβεις εἴς τε τὴν γῆν τὴν θείαν καὶ τὴν πόλιν, οὐδὲ μίαν τῶν οἰκούντων αὐτὴν φειδὼ ποιεῖσθαι βουλόμενος. Καὶ ἐπειδήπερ αὐτῷ τὰ εἰς τὸν λαὸν καὶ τὴν πόλιν καὶ τὸν ναὸν ὠνείδισεν ἐν τούτοις πλημμέλειαν, ἀκολούθως ἐπάγει. “ Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; ἔπλασαν αὐτὸ χώνευμα φαντασίαν ψευδῆ,
ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ ποιῆσαι εἴδωλα κωφά. „ Ἀλλὰ γὰρ ἠμέ- v. 18.
λεις μὲν, φησὶν, τοῦ ὄντος θεοῦ· καὶ ἐπλημμέλεις ἀδεῶς εἰς τὰ αὐτῷ γε προσήκοντα· p. 371.
ὑπὸ δὲ τῶν εἰδώλων ὠφεληθήσεσθαι ᾤου· ὃ τῶν ἀνθρωπίναις εἰργασμένον χερσὶν ἐν ἀπατηλῇ τινὶ φαντασίᾳ θεραπεύειν ἔσπευδες, ὠφεληθήσεσθαί τι οἰόμενος ὑπὸ εἰδώλων ἀφώνων ἀνθρωπείᾳ πλασθέντων χειρί.

Εἶτα ἀκολούθως ἐπάγει. “ Οὐαὶ ὁ λέγων τῷ ξύλῳ, ἔκνηψον, ἐξεγέρθητι· καὶ τῷ λίθῳ,
ὑψώθητι· καὶ αὐτό ἐστι φαντασία· τοῦτο δέ ἐστιν ἔλασμα ἐκ χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν v. 19.
πνεῦμα οὐκ ἔστιν ἐν αὐτῷ· ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐλαβείσθω ἀπὸ προσώπου v. 20.
αὐτοῦ πᾶσα ἡ γῆ. „ Πῶς οὖν οὐκ ἐλεεινότατος εἴης ἂν ὡς ἐγρηγορότι τῷ ξύλῳ διαλεγόμενος, καὶ βοήθειαν ὡς ἐξ ὑψηλοῦ ζητῶν τοῦ εἰδώλου, ὃ φαντάζει μὲν τὸν ὁρῶντα μόνον ὡς ἐξ ὕλης κατεσκευασμένον τιμίας, ἔρημον δὲ ζωτικῆς πάσης ἐστὶ δυνάμεως· πολλῷ γὰρ ἦν ἄμεινόν σοι, τούτων μὲν καταφρονεῖν καὶ μηδένα λόγον αὐτῶν ποιεῖσθαι, ἀναλογίζεσθαι δὲ τοῦ θεοῦ τὸ μέγεθος, ἔχοντος μὲν φοβερὸν καὶ ἀπόρρητον ναὸν τὸ τῶν οὐρανῶν οἰκητήριον, κεκτημένου δὲ ναὸν καὶ ἐπὶ γῆς διὰ τὴν τῶν ἀνθρώπων χρείαν· πρὸς ὃν οὐ σὲ μόνον, ἀλλὰ καὶ πάντας τοὺς κατὰ γῆν ἀνθρώπους ἀφορῶντας, μετὰ πολλοῦ προσῆκον ἦν τοῦ δέους καὶ τὴν ἔννοιαν ἔχειν ἐν ἑαυτοῖς τὴν ἐκείνου. Ἐν μὲν δὴ τούτοις συνεπέρανε τῶν προειρημένων ἡμῖν τὴν προφητείαν ὁ μακάριος Ἀμβακοὺμ, τῶν τε ἐν τῷ λαῷ καταδυναστευόν- p. 372.
των τοὺς πένητας καθαπτόμενος, καὶ τὴν ἐπαχθησομένην αὐτοῖς διὰ τῶν Βαβυλωνίων ἔφοδον

ritu tibi ingruentibus, atque in miseria multa constituêris; propter homines a te Hierosolymis interfectos, et quia sceleste contra Dei regionem urbemque egisti, nemini parcens incolarum eius. Iam postquam illi peccata adversus populum templumque exprobravit, consequenter subdit: “ quid prodest sculptile, quia sculpserunt illud? Fecerunt illud conflatile, vanum simulacrum: quoniam confidit fictor in figmento suo, muta facere idola. „ Tu quidem verum Deum negligebas: peccabas secure contra res vel homines ad eum pertinentes: ab idolis te adiutum iri putabas: quod humanae manus vano simulamento formaverant tu adorare studebas, iuvari te ab idolis mutis et humana manu formatis sperans.

Postea consentaneo sermone prosequitur. “ Vae qui dicit ligno: expergiscere, surge; et lapidi, extollere: nihil vero aliud quam phantasia est; id est auri argentive lamina, nullusque in eo spiritus est. Dominus autem in templo sancto suo: revereatur a facie eius universa terra. „ Quid ni ergo miserrimus sis, qui lapidem ceu vigilantem alloqueris; et auxilium, quasi ex alto, ab idolo exposcis; quod phantasiam tantummodo spectanti obiicit, ceu pretiosa materia constans, sed tamen vi omni vitali caret. Multo tibi melius erat, haec contemnere ac flocci facere; et cogitare potius de Dei magnitudine, qui tremendum arcanumque habet in caelo habitaculum, et in terris quoque templum possidet hominum usui accommodatum: ad quem non te solum, sed et omnes per orbem homines respicere multa cum reverentia oporteret, eiusque memoriam mente tenere. Atque in his conclusit illam de qua nos hactenus egimus prophetiam beatus Habacucus; principes simul qui pauperes opprimebant increpans, simulque inferendam illis a Babyloniis poenam

τιμωρίαν εἰπών· καὶ μετ' ἐκεῖνο τὴν αὐτῶν τε τῶν βαβυλωνίων εἰρηκὼς καὶ τὴν ὠμότητα ἣν περί τε τοὺς λοιποὺς καὶ τὴν Ἱερουσαλὴμ ἐχρήσαντο τούς τε οἰκοῦντας αὐτήν, ὅπως τε κἀκεῖνοι δίκας τῆς οἰκείας δεδώκασι παρανομίας.

ΠΡΟΣΕΥΧΗ ΑΜΒΑΚΟΥΜ.

Τρέπει δὲ ἐπὶ προσευχὴν ἐντεῦθεν τὸν λόγον, ἐν σχήματι προσευχῆς τὰ παρὰ τοῦ θεοῦ
v. 1. περὶ τὸν λαὸν ἐσόμενα μηνύων ἀγαθά· ἄρχεται δὲ οὕτως. " Κύριε εἰσακήκοα τὴν ἀκοήν
σου, καὶ ἐφοβήθην. „ Ἀκοὴν λέγει τὴν ἐγγινομένην αὐτῷ παρὰ τοῦ θεοῦ ἀποκάλυψιν· ὥσπερ
* Is. LIII. 1. καὶ ὁ μακάριος Ἡσαΐας * τό, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ μακάριος Δαυὶδ *, κλινῶ
* Ps. XLVII. 5. εἰς παραβολὴν τὸ οὖς μου· * ὧν περ οὖν καὶ ἐν τοῖς ἀνωτέροις πεποιήμεθα μνήμην· κἀν-
ταῦθα τοίνυν τοῦτο φησὶν ὅτι δεξάμενός σου τὴν ἀποκάλυψιν, δι' ἧς ἐγνώρισας, ὅπως μὲν
τιμωρήσῃ τοὺς ἐν τῷ λαῷ παρανομοῦντας διὰ βαβυλωνίων, ὅπως δὲ πάλιν τοῖς βαβυ-
λωνίοις ἀνάλογον οἷς πεπλημμελήκεσαν ἐπάξεις τὴν τιμωρίαν, φόβου πᾶς ἐπληρώθην εἰ-
v. 2. p. 373. κότως. " Κύριε κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην. „ Ἀναλογισάμενος γὰρ ὅσα ποικίλως
διαπεπράττῃ περὶ τοὺς ἀνθρώπους ἀνεξικακίᾳ τε τῇ δεούσῃ κεχρημένος, καὶ ἀδιορθώτως
πταίοντας μετὰ λόγου τοῦ προσήκοντος τιμωρούμενος, εἰς ἔκστασιν ἐλήλυθα ἐπὶ τῷ θαύματι
τῆς οὕτως ἀπορρήτως παρὰ τῆς σῆς οἰκονομουμένων σοφίας. " Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. „
Ἰδοὺ γὰρ καὶ νῦν ὥσπερ ἐν δύο ζώοις τοῖς τε ἐν τῷ λαῷ πλημμελοῦσι καὶ τοῖς βαβυλωνίοις
μετ' ἐκείνους, ἐξ ὧν περὶ ἑκατέρους πεποίηκας, τήν τε δύναμιν καὶ τὴν σοφίαν καὶ τὴν περὶ
τὸ δίκαιον ἐπιμέλειαν ἐγνώρισας σαυτοῦ. " Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ
παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. „ Νῦν μὲν γὰρ αὐτὰ δι' ἀποκαλύψεως κατέστησας ἡμῖν

dicens. Postea Babyloniorum ipsorum narravit saevitiam, quam et in ceteros et contra Hierusalem eiusque cives exprompserant, et quo pacto et isti nequitiae suae poenas meritas dederint.

ORATIO HABACUCI.

Convertit deinde ad orationem verba propheta, et sub orantis specie eventura populo a Deo bona praedicit. Sic autem incipit. " Domine, audivi auditionem tuam, et timui. „ Auditionem dicit factam sibi a Deo revelationem; sicut etiam apud beatum Isaiam: quis credidit auditioni nostrae? Item beatus David: inclinabo in parabolam aurem meam: cuius rei in superioribus quoque mentionem fecimus. Hoc igitur etiam loco ait: accepta ego revelatione tua, qua me docuisti, quomodo puniturus sis Babyloniorum manu peccantes in populo; et quomodo vicissim Babyloniis congruam delictis eorum poenam sis impositurus; pavore sum repletus, et merito. " Domine, consideravi opera tua, et obstupui. „ Considerans quanta multifariam feceris erga homines idonea patientia utens, et eos qui sine paenitentia prolapsi sunt conveniente ratione puniens, stupore sum correptus, arcanae tuae providentiae sapientiam admirans. " In medio duorum animalium cognoscêris. „ Ecce enim et nunc, quasi in duobus animalibus, id est populi peccatoribus, et mox in Babyloniis, ex iis quae circa utrosque fecisti, potentiam tuam atque sapientiam iustitiaeque curam ostendisti. " Cum appropinquaverint anni, cognoscêris; cum tempus aderit, demonstraberis. „ Nunc haec nota nobis revelando fecisti: sed adve-

γνώρισμα· παραγινομένου γὰρ τοῦ καιροῦ, καθ' ὃ προσῆκεν αὐτὰ κατὰ τὸ δοκοῦν σοι πέρας
λαβεῖν, μείζονά τε καὶ σαφεστέραν αὐτοῖς ἔργοις τῆς οἰκείας δυνάμεως καὶ σοφίας, τὴν ἐπί-
δειξιν ποιήσῃ. “ Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ. „ Τότε
φανήσεταί σου καὶ τῆς φιλανθρωπίας ἡ ὑπερβολὴ περὶ τοὺς τῆς Ἰουδαίας, ὧν ὑπὸ τῆς ὀργῆς τῆς
σῆς τῆς τε ἐπαχθείσης αὐτοῖς ὑπὲρ ὧν πεπλημμελήκασι τιμωρίας διατεταραγμένων τὴν ψυ-
χὴν καὶ οὐδὲ ἐν ἑαυτοῖς ὄντων, μνήμην τῆς φιλανθρωπίας τῆς οἰκείας ποιησάμενος, ἀπαλ-
λάξεις τε αὐτοὺς τῶν κακῶν, καὶ ἐπανάξεις ἐπὶ τὰ οἰκεῖα παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα.
“ Ὁ θεὸς ἀπὸ Θαιμὰν ἥξει, ὁ ἅγιος ἐξ ὄρους κατασκίου. „ Θαιμὰν μὲν τὴν μητρό- v. 3.
πολιν λέγει τῆς Ἰδουμαίας· ὄρος δὲ κατάσκιον τὸ τῆς Ἱερουσαλήμ, ὥσπερ πανταχόθεν τῆς p. 374.
θείας ἠξιωμένον σκέπης· τότε οὖν φανήσῃ ἀπὸ Θαιμάν τε τῆς Ἰδουμαίας ἐρχόμενος, οὓς
τιμωρήσῃ ὑπὲρ τῆς εἰς ἡμᾶς πλημμελείας, καὶ ἐκ τοῦ ἁγίου ὄρους τῆς Σιὼν ὃ λαμπρὸν διὰ
τῆς ἐπανόδου πᾶσιν ἐργάσῃ τῆς ἡμετέρας. “ Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέ-
σεως αὐτοῦ πλήρης ἡ γῆ. „ Τῷ γοῦν μεγέθει τῶν παρ' αὐτοῦ γινομένων καὶ οὐρανὸν πληρώσει
καὶ γῆν· ὥστε ἅπαντας πρὸς ὕμνον τρέπεσθαι λοιπόν, θαυμάζοντας τήν τε σοφίαν καὶ τὸ
μέγεθος τῶν παρ' αὐτοῦ γινομένων· κατὰ διαίρεσιν γὰρ κἀνταῦθα τὸ κοινὸν λέγει, ὅπερ οὖν
ἐπὶ πολλῶν ἐδείξαμεν ἤδη ἰδίωμα τῆς θείας ὑπάρχον γραφῆς· καὶ γὰρ καὶ οὐρανοὺς καὶ γῆν
κεκαλύφθαι λέγει τῇ ἀρετῇ τοῦ θεοῦ, ἵνα εἴπῃ τὸ σύμπαν· καὶ τὴν αἴνεσιν αὐτοῦ τῶν γεγονότων
ἕνεκεν παρὰ παντὸς χρῆναι πληροῦσθαι φησί. “ Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. „ Τῇ μὲν v. 4.
οὖν ἐπιφανείᾳ τῇ οἰκείᾳ φησὶν ἅπαντα πληρώσει φωτός. “ Κέρατα ἐν χερσὶν αὐτοῦ ὑπάρχει
αὐτῷ. „ Δείξει δὲ αὐτὸν ἀρκούντως ἔχοντα ἀμύνειν μὲν τοῖς οἰκείοις, χειροῦσθαι δὲ τοὺς
ἐχθραίνειν αὐτοῖς ἐπιχειροῦντας· ἐκ μεταφορᾶς τῶν τοῖς κέρασι μαχομένων ζώων οὕτως
εἰπών. “ Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ· „ ἅπερ οὖν διαπράξεται διὰ τὸ p. 375.
μεγίστῃ τῇ περὶ ἡμᾶς ἀγάπῃ κεχρῆσθαι. “ Πρὸ προσώπου αὐτοῦ πορεύεται λόγος· „ πρὸ v. 5.

niente tempore, quo ea oportet te volente exitum habere, maiorem ac manifestiorem potentiae ac sapientiae tuae operibus ipsis facies demonstrationem. “ Cum turbata fuerit anima mea, tu in ira misericordiae recordaberis. „ Tunc summa tua apparebit benignitas erga Iudaeae incolas, cum eos, propter inflictam peccatorum poenam, turbatos animis et vix sui compotes, misericordiae tuae memor, aerumnis subtrahes, et praeter omnem humanam spem postliminio in patriam restitues.

“ Deus de Thaeman veniet, sanctus de monte umbroso. „ Thaeman dicit Idumaeae metropolim: montem autem umbrosum, illum in quo Hierusalem, utpote Dei protectionem undique sortitum. Tunc ergo apparebis de Thaeman Idumaeorum veniens, quos propter suas erga nos iniurias iam puniveris; de sancto autem Sionis monte, quatenus eum reditu nostro clarissimum cunctis feceris. “ Operuit caelos virtus eius, et laudis eius plena est terra. „ Operum suorum magnitudine caelum terramque replebit, in tantum ut cuncti ad hymnum convertantur, sapientiam ac magnitudinem gestorum ab ipso admirantes. Nam hoc etiam loco quod commune est per diaeresim dicit, quem non infrequentem divinae scripturae idiotismum esse ostendimus. Scilicet caelos terramque ait virtute Dei opertos, ut omnia dicat: laudemque eius propter res gestas ab omnibus cumulari oportere. “ Splendor eius quasi lux erit. „ Adventu suo, inquit, cuncta lumine implebit. “ Cornua in manibus eius. „ Ostendet habere se idoneas ad suos defendendos vires, et his infestos domandos: metaphoram porro ab animalibus quae cornibus decertant, sumpsit. “ Et posuit dilectionem robustam fortitudinis suae. „ Haec nimirum faciet,

μὲν οὖν τῶν πραγμάτων, ἀποφαίνεται τὸ ἐσόμενον, ὅπερ οὖν πάντοτε διὰ τῶν προφητῶν
ποιῶν, οὐχ ἧττον καὶ νῦν πεποίηκε δι' ἐμοῦ. " Καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. ,,
Ἀκολουθεῖ δὲ καὶ τὸ ἔργον, ὥστε δι' ἀμφοτέρων τοὺς ἀνθρώπους παιδεύεσθαι τὸ δέον· δι'
ὧν τε προείρηται τὸ ἐσόμενον, καὶ εἰς ἔργον ἐκβέβηκεν ὕστερον.
v. 6. " Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ. ,, Φανεὶς μόνον σαλεύει τὴν γῆν· ὡς τὸ, ὁ θεὸς ἔστη ἐν
* Ps. LXXXI. 1. συναγωγῇ * θεῶν· ἵνα εἴπῃ ὅτι ὤφθη ἐν μέσῳ αὐτῶν. " Ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη·
διεθρύβη τὰ ὄρη βίᾳ, καὶ ἐτάκησαν βουνοὶ αἰώνιοι πορείας αἰωνίους αὐτοῦ. ,, Ἀπιδὼν δὲ μόνον
ἔθνη τε ἀπόλλυσιν ὅλα, καὶ ὄρη καὶ βουνοὺς διαθρύπτει ἐκ πολλοῦ γε συνεστάναι κατὰ τὴν
ἰσχὺν δοκοῦντα τὴν οἰκείαν· ἐπειδὴ ἄνωθεν αὐτῷ τοιαῦτα διαπράττεσθαι ἔργον, καὶ διὰ τοιού-
v. 7. των ἔργων τῆς οἰκονομίας τὴν πορείαν ἐπιδείκνυσθαι τῆς οἰκείας. " Ἀντὶ δὲ κόπων εἶδον σκη-
νώματα Αἰθιόπων, πτοηθήσονται σκηναὶ γῆς Μαδιάμ. ,, Καὶ γὰρ πάλαι πρότερον ὁπηνίκα
κατὰ τὴν Αἴγυπτον ἡμεῖς δουλεύοντες, ὅτε βουληθεὶς ἀπήλλαξας ἡμᾶς τῆς ὑπ' Αἰγυπτίοις δου-
λείας, εἶδον ἐρήμους τὰς οἰκήσεις Αἰθιόπων τε, καὶ Μαδιηναίων καὶ πάντων γε ὁπόσοι τὴν
v. 8. p. 376. ἔχθραν ᾑροῦντο τότε τὴν καθ' ἡμῶν. " Μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε, ἢ ἐν ποταμοῖς
ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; ,, Ἔθος σοι κατὰ ποταμῶν καὶ θαλάσσης τὴν
ὀργὴν ἐπιδείκνυσθαι τὴν οἰκείαν· τὸ γὰρ μὴ ἐν ποταμοῖς, ἀντὶ τοῦ οὐκ ἐν ποταμοῖς καὶ θα-
λάσσῃ πάντοτε τὴν ὀργὴν καὶ τὸν θυμὸν ἐπιδεδεῖξαι βουληθεὶς τὸ οἰκεῖον· ἐπάγει γοῦν. " Ὅτι
ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. ,, Ὅτ' ἂν γὰρ βουληθῇς, φησὶν,
ὥσπερ ἐφ' ἵππων τινῶν ἐπιβαίνων ταῖς ἀοράτοις καὶ λειτουργικαῖς δυνάμεσιν ἐπιτάττεις· οἳ
δὲ πάντας μὲν ἀθρόως τιμωροῦνται τοὺς ἐναντίους· σωτηρία δὲ ἐντεῦθεν ἐπιγίνεται τοῖς σοῖς.
v. 9. " Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ τὰ σκῆπτρα, λέγει κύριος. ,, Συνεχέσι δὲ ταῖς τιμω-

magnitudine suae erga nos dilectionis utens. " Ante faciem eius ibit verbum. ,, Rebus ipsis praeit futuri revelatio, quae quum omnibus a Deo prophetis facta fuerit, nunc mihi quoque haud secius oblata fuit. " Et egredietur ad correptionem per vestigia eius. ,, Subsequitur vero opus ipsum; ita ut utroque modo erudiantur ad officium homines. Quae res futurae sunt praedictae, eae postea nactae sunt exitum.

" Stetit; et commota est terra. ,, Tantum apparens, terram commovet. Veluti est illud: Deus stetit in synagoga deorum; id est in medio eorum apparuit. " Aspexit, et extabuerunt gentes: contriti sunt violenter montes, tabuerunt colles aeterni a gressibus aeternis eius. ,, Vel solo aspectu gentes omnes pessum dat, et montes collesque conterit, qui tanto tempore vi propria videbantur perstare. Namque haec caelitus facere mos eius est, et his operibus regiminis sui cursum demonstrare solet. " Pro laboribus vidi tabernacula Aethiopum, pavebunt tentoria terrae Madiam. ,, Namque et olim cum in Aegypto serviremus, postea quam tibi libuit nos ex illo servitio expedire, deserta vidimus et habitationes Aethiopum, ac Madianitarum, et quotquot tunc inimicitiam adversus nos susceperunt. " Num fluminibus iratus es, Domine, num (inquam) adversus flumina furor tuus, et contra mare impetus tuus? ,, Mos tibi est adversus flumina et mare iram tuam demonstrare: id est contra innumerabiles populos soles iratus potentiam tuam ostendere. Nam locutio num fluminibus, ponitur pro non fluminibus atque mari iram semper furoremque tuum vis demonstrare. Addit itaque: " quia ascendes super equos tuos; et equitatio tua, salvatio. ,, Nam cum volueris, inquit, tamquam equos quosdam conscendens, invisibilibus ministrisque virtutibus imperas: hae vero cunctos subito puniunt adversarios: atque hinc populo tuo salus creatur. " Intendens intendes arcum tuum super

ρίαις κατακοντίζεις τοὺς ἐν βασιλείᾳ καὶ δυναστείᾳ καθεστάναι δοκοῦντας. “ Ποταμοῖς
ῥαγήσεται ἡ γῆ. ,, Ὥστε τῶν ποταμῶν τὴν ἀναίρεσιν ἐκ τῆς ὀργῆς ἀθρόον γινομένην τῆς σῆς
διαῤῥῆξαι τὴν γῆν· ἔθος γὰρ τοῦτο τῇ γῇ μειωθέντων ὑπομένειν τῶν ὑδάτων ἀπὸ τῆς ἐπακο-
λουθούσης ξηρότητος ὕστερον. “ Ὄψονταί σε καὶ ὠδινήσουσι λαοί. ,, Ἐν ὀδύναις ἔσονται v. 10.
πλεῖστοι, οὐδὲ τὴν πρόσοψιν ἐνεγκεῖν δυνηθέντες τὴν σήν. “ Σκορπίζων ὕδατα πορείας. ,, p. 377.
Ἀφανίζεις γὰρ βουληθεὶς ἅπασαν ὕδατος διέξοδον. “ Ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς,
ὕψος φαντασίας αὐτῆς. ,, Τότε δὴ καὶ ἄβυσσος ὥσπερ τινὰ φωνὴν κατὰ τὸ μέγεθος ἀφήσει
τὸ οἰκεῖον, τῷ νεύματι κλονουμένη τῷ σῷ. “ Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ v. 11.
τάξει αὐτῆς. ,, Ἐπειδὴ δύειν λέγει τὸν ἥλιον τοῖς ἐν ἀνάγκαις, ἐνταῦθα τοῦτο βούλεται εἰ-
πεῖν, ὅτι τοῖς παρὰ σοῦ ἐν εὐπραγίᾳ καθισταμένοις φωτεινὰ κατὰ τὴν οἰκείαν φύσιν φανεῖται
ὁ ἥλιός τε καὶ ἡ σελήνη. “ Εἰς φῶς βολίδες σου πορεύσονται· ,, περιφανῶς καὶ μετὰ πολλῆς
τῆς λαμπρότητος ἐπάξεις τὰς πληγὰς τοῖς ἐναντίοις. “ Εἰς φέγγος ἀστραπῆς ὅπλων σου. ,,
Ἀστραπῆς δίκην ἐκλάμψει σου τὰ ὅπλα, ἵνα εἴπῃ ἡ κατὰ τῶν πολεμίων ἰσχύς. “ Ἐν ἀπειλῇ v. 12.
σου ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη. ,, Πᾶσαν τὴν γῆν μετὰ τῶν οἰκούντων αὐτὴν
ὀργισθεὶς ἀποφάσει μόνῃ παντελῶς ἀπολλύεις.

“ Ἐξῆλθες εἰς σωτηρίαν τοῦ λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου. ,, Ἅπαντα γὰρ πράτ- v. 13.
τεις ἐπὶ σωτηρίᾳ τοῦ οἰκείου λαοῦ ἅτε ἐξειλεγμένων παρὰ σοῦ· χριστοὺς γὰρ ἐνταῦθα τοὺς
ἐξειλεγμένους λέγει, οὐ τοὺς κεχρισμένους· ὡς ὁ μακάριος Δαυὶδ * περί τε τοῦ Ἀβραὰμ καὶ * Ps. CIV. 15.
τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ, λέγων μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ
πονηρεύεσθε· χριστοὺς οὐχ ὡς κεχρισμένους, ἀλλ' ὡς ἐξειλεγμένους αὐτοὺς εἰρηκώς. “ Ἔβαλες p. 378.
εἰς κεφαλὰς ἀνόμων θάνατον. ,, Ὑπὲρ τούτου θανάτῳ περιβαλεῖς τοὺς ἐναντίους. “ Ἐξή-
γειρες δεσμοὺς ἕως τραχήλου εἰς τέλος. ,, Καὶ δεσμίους αὐτοὺς ἡττηθέντας ἀποφανεῖς. “ Διέ- v. 14.

sceptra, dicit Dominus. ,, Perpetuis castigationibus pulsas eos qui in regno ac potestate constituti videntur. “ Fluminibus scindetur terra. ,, Fluminibus repente ab ira tua extinctis, terra scindetur. Mos enim est ut hoc terra patiatur, imminutis aquis et consequente mox siccitate. “ Videbunt te, et dolebunt populi. ,, Plurimi doloribus corripientur, neque ferre poterunt aspectum tuum. “ Dispergens aquas itineris. ,, Praecludis, si forte volueris, omnem aquae exitum. “ Dedit abyssus vocem suam, altitudo phantasiae eius. ,, Tunc quidem abyssus etiam vocem quandam pro sua magnitudine edet, nutu tuo concussa. “ Elevatus est sol, et luna stetit in ordine suo. ,, Quoniam sol occidere dicitur augustiatis, nunc vult dicere, fore ut illis, quos tu in prosperitate constituisti, sol et luna secundum propriam naturam splendidi appareant. “ In luce iacula tua ibunt. ,, Splendide multaque cum claritate plagas adversariis tuis impones. “ In splendore coruscationis armorum tuorum. ,, Fulguris instar splendebunt arma tua, id est contra hostes fortitudo. “ In comminatione tua imminues terram, et in furore tuo detrahes gentes. ,, Universam terram cum incolis suis cum iratus fueris uno decreto pessum das.

“ Egressus es in salutem populi tui, ad salvandos christos tuos. ,, Omnia pro salute proprii populi agis, qui constat ex electis tuis: christos enim heic electos appellat, non vero unctos. Sicut beatus David de Abrahamo, Isaaco, et Iacobo loquens, nolite inquit tangere christos meos, et in prophetis meis nolite malignari; christos videlicet eos appellans, non quia unctos, sed quia electos. “ Misisti in capita iniquorum mortem. ,, Propterea adversarios morte occupabis. “ Suscitasti vincula usque ad collum, in finem. ,, Superatos a te, vinctos etiam ostentabis.

κόψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν. ,, Τοὺς πρότερον δυναστεύοντας οὕτω τῇ σαυτοῦ ὀργῇ
σφοδρῶς διέτεμες, ὥστε ἅπασιν ἐγγενέσθαι θαῦμα. “ Σεισθήσονται ἐν αὐτῇ. ,, Σαλευόμενοι
τιμωρίᾳ. “ Διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ἐσθίων πτωχὸς λάθρᾳ. ,, Διανοῖξαι τὸ στόμα
αὐτῶν εἰς πεπαῤῥησιασμένην οὐ τολμήσουσι λαλιάν· δίκην δὲ πένητος κεκλοφότος τι καὶ
v. 15. λαθραίως ἐσθίοντος ὡς ἂν μὴ ἁλῷ, μετὰ πολλοῦ φθέγξονται τοῦ δέους. “ Καὶ ἐπεβίβασας
τοὺς ἵππους σου ἐπὶ τὴν θάλασσαν ταράσσοντας ὕδατα πολλά. ,, Ἐπαφῆκας τὰς ἀοράτους
v. 16. δυνάμεις τῷ πλήθει τῶν πολεμίων, μεγίστην αὐτοῖς ταραχὴν ἐνεργαζομένας. “ Ἐφυλα-
ξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου· καὶ εἰσῆλθε τρόμος
εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου. ,, Πολλάκις γοῦν ἐπὶ τοῖς
πραττομένοις κακοῖς τὴν ἡσυχίαν ἑλόμενος ἀγαγεῖν τῇ προσευχῇ χρησάμενος, καὶ περὶ τῶν
μελλόντων ἐντεῦθεν ἀποκάλυψιν λαβών, φόβῳ τε κατεσχέθην τὴν διάνοιαν, καὶ τρόμος
p. 379. ὅλον με δι' ὅλου κατέσχεν. “ Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως τοῦ ἀναβῆναι εἰς λαὸν παρ-
οικίας μου. ,, Καὶ γὰρ ἐθαύμαζον μαθὼν πρᾶγμα ἄπιστον ἐσόμενον τῇ δυνάμει τῇ σῇ·
ὅτι ἐκ τοσαύτης θλίψεως καὶ τοσούτων κακῶν, ἐν οἷς διὰ τῆς αἰχμαλωσίας ἐξητάσθην, ἐν
ἀναπαύσει τε ἔσομαι καὶ ἀπαλλαγῇ τῶν δεινῶν· καὶ δὴ καὶ ἐπὶ τὴν παροικίαν τὴν ἡμετέραν
ἀνελεύσομαι μετὰ τοῦ λαοῦ τοῦ οἰκείου.
v. 17. “ Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις· ψεύσεται ἔργον
ἐλαίας· καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν· ἐξέλιπεν ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρ-
χουσιν βόες ἐπὶ φάτναις. ,, Ἑώρων γάρ φησι καὶ τὴν κατὰ τῶν ἐναντίων ὀργὴν φοβερὰν τινὰ
οὖσαν, ἀφ' ἧς οὐ τὰ ἐκ τῶν πολεμίων αὐτοὺς μόνον συνεῖχε κακά, ἀλλὰ γὰρ καὶ ὑπὸ ἀκαρ-
πίας κατείχοντο παντελοῦς, οὐκ ἐκ γεννημάτων, οὐκ ἐκ ξύλων καρπὸν κομίσασθαι οἷοί τε
v. 18. ὄντες· προσαπολέσονται δὲ καὶ τὰ κτήνη πάντα, ἐρημίᾳ νομῆς τε καὶ βρωμάτων. “ Ἐγὼ
δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. ,, Καὶ τὰ μὲν

“ Praecidisti in stupore capita principum. ,, Eos qui antea dominabantur, tam vehementer ira tua concidisti, ut omnibus stupor fuerit. “ Relaxabant frena sua, sicut pauper comedens in absconso. ,, Resolvere ora sua ad liberum sermonem non audebunt; sed more pauperis, qui subfuratus aliquid latenter comedit, ne forte deprehendatur, multo cum timore loquentur. “ Et superduxisti in mare equos tuos, turbantes aquas multas. ,, Immisisti invisibiles potestates tuas adversus hostium multitudinem, multam illis turbationem commoventes. “ Custodivi, et expavit venter meus a voce orationis labiorum meorum, et ingressus est tremor in ossa mea, et subter me conturbata est habitudo mea. ,, Saepe igitur circa mala quae agebantur silentium tenere malens, et orationi vacare, futurorum eventuum revelatione accepta, timor mentem meam occupavit, et toto corpore contremui. “ Requiescam in die tribulationis, ut ascendam ad populum incolatus mei. ,, Miratus sum audita incredibili per potentiam tuam re futura; quod nempe ex tali tribulatione tantisque malis, quibus in captivitate exercitus fui, requiem consequar et molestiarum depulsionem: quin etiam ad incolatus nostri locum pergam cum proprio populo.

“ Quoniam ficus non fructificabit, et non erunt germina in vitibus, mentietur opus olivae, et arva non afferent escam: destituit esca oves, et non sunt boves in praesepibus. ,, Videbam, inquit, iram quoque adversus contumaces terribilem, ob quam illos non hostili tantum calamitas corripuit, sed etiam sterilitate omnimoda occupati fuerunt, nullum de germinibus lignisve carpere fructum valentes. Peribunt insuper iumenta omnia, pascui et alimoniae defectu. “ Ego autem in Domino

περὶ ἐκείνους ἔσται τοιαῦτα· ἡμῖν δὲ τῇ σῇ βοηθείᾳ ἡδονή τε προσέσται καὶ σωτηρία. τὸ γὰρ
ἐγὼ δὲ, ἐκ προσώπου τοῦ οἰκείου περὶ τοῦ κοινοῦ λέγει λαοῦ, ὅπερ οὖν ἔθος πολλαχοῦ τοῖς
προφήταις ποιεῖν· ὡς καὶ ὁ μακάριος Δαυὶδ τὰς αἰτήσεις ἐκ προσώπου τοῦ αὐτῶν ποιού- p. 380.
μενος φαίνεται· ὡς ὅτ' ἂν λέγῃ· * ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· * Ps. XXX. 2.
καὶ κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω· * ταῦτα γὰρ ἐκ τοῦ * Ps. CI. 2.
κοινοῦ λέγει τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων, ὡς ἂν ἑκάστου ἁρμοδίως τῇ φωνῇ χρησαμένου
ταύτῃ· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ὁ προφήτης ὡς ἀπὸ τοῦ κοινοῦ λέγει ταῦτα, ἐπειδὴ καὶ
περὶ τῶν κοινῇ προσεσομένων διαλέγεται. " Κύριος ὁ θεός μου, δύναμίς μου· καὶ τάξει v. 19.
τοὺς πόδας μου ὡσεὶ ἐλάφου· καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ. „
Αὐτὸς γάρ ἐστιν ὁ τὴν ἐν ἅπασι δύναμίν μοι χαριζόμενος· ὃς ἀφήσει μὲν ἡμᾶς μετὰ πολλοῦ
τοῦ τάχους τῆς αἰχμαλωσίας, δίκην ἐλάφων ὀξεῖαν τὴν ἐκεῖθεν ἀναχώρησιν ποιουμένους· ὑψη-
λοτέρους δὲ ἡμᾶς πάντων ἀποφαίνει, ὥστε μηδὲν ἕτερον ἡμῖν ἁρμόττειν λοιπὸν, ἢ τὸ ἐν
ᾠδαῖς καὶ ὕμνοις εἶναι τοῖς ὀφειλομένοις τῷ θεῷ· ὑπὲρ ὧν τὴν κατὰ τῶν ἐχθρῶν τὴν ἡμετέραν
νίκην παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα δέδωκεν ἡμῖν.

ΕΡΜΗΝΕΙΑ ΣΟΦΟΝΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Οὐ πόρρω τοῦ μακαρίου Ἀμβακοὺμ τοῖς χρόνοις τὴν προφητείαν ταύτην ὁ μακάριος πε-
ποίηται Σοφονίας· ἐπὶ γὰρ Ἰωσίου τοῦ βασιλέως τῆς Ἰουδαίας, καθὼς ἡ βίβλος δηλοῖ, προ-
φητεύει τὰ παρόντα· μεθ' ὃν βραχέος διεληλυθότος χρόνου, ἐπεληλύθασί τε τῇ Ἱερουσα- p. 381.
λὴμ οἱ Βαβυλώνιοι, καὶ πλεῖστα ὅσα κατὰ τῆς Ἰούδα διαθέντες φυλὴν, καὶ πολλοὺς μὲν ἀνε-

exultabo, laetabor in Deo salvatore meo. „ Et res quidem illorum ita se habebunt; nobis autem, te suppetias ferente, voluptas erit atque salus. Nam pronomen ego, dicit in propria persona de universo populo; qui mos prophetarum perfrequens est. Sicut etiam beatum Davidem preces pro communi populi persona facientem videmus; veluti cum ait: in te Domine speravi, non confundar in aeternum. Item: Domine exaudi orationem meam, et clamor meus ad te veniat. „ Haec enim ex communi dicit captivorum persona; ita ut singuli prece hac commode uti queant. Eodem nunc modo propheta tamquam ex communi persona loquitur, quandoquidem et de communi utilitate agit. " Dominus Deus, virtus mea: et ponet pedes meos quasi cervi, et ad excelsa me deducit, ut vincam in cantico ipsius. „ Is mihi in omnibus vires suppeditat; qui nos celeriter admodum captivitati subducet: nam more cervorum celerem inde faciemus reditum. Sublimes autem nos prae omnibus ostendet; ita ut nobis nihil aliud supersit, quam canticis atque hymnis Deum celebrare: quandoquidem victoriam nobis de hostibus, praeter omnem humanam spem, concessit.

COMMENTARIUS IN SOPHONIAM PROPHETAM.

Haud procul beati Habacuci tempore prophetiam hanc beatus fecit Sophonias: nam sub Iosia rege Iudaeae, sicut liber demonstrat, praesentia vaticinatur. Post quem brevi interposito spatio, expeditionem fecerunt adversus Hierusalem Babylonii, plurimisque cladibus Iudae tribum adfecerunt, interfectis multis, plurimis in

λόντες, πλείστους δὲ ἀπαγαγόντες αἰχμαλώτους, αὐτήν τε ἐπόρθησαν τὴν Ἱερουσαλὴμ, καὶ δὴ καὶ πυρὶ τόν τε ναὸν τὸν θεῖον καὶ τῶν τῆς πόλεως οἰκοδομημάτων τὰ κάλλιστα κατέφλεξαν ἅπαντα· ἔτι καὶ τὸ τεῖχος αὐτῆς παντελῶς καθελόντες, ὡς μὴ δὲ ἀσφάλειάν τινα τοὺς ἐνοικοῦντας, εἴπερ οὖν τινὲς ἐπιθυμοῖεν τούτου, δύνασθαι ἔχειν· αὕτη μὲν οὖν ἡ συνήθης προγραφὴ τοῦ βιβλίου.

ΚΕΦ. Α'.

v. 1. " Λόγος κυρίου ὃς ἐγένετο πρὸς Σοφονίαν τὸν τοῦ Χουσὶ, υἱὸν Γοδολίου, τοῦ Ἀμορίου, τοῦ
Ἐζεκίου, ἐν ἡμέραις Ἰωσίου υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα· ,, ἐν οἷς δεδήλωκε τόν τε προ-
φήτην ὅς τις ἐστὶ καὶ ὅθεν καταγόμενος καὶ ἔν τινι καιρῷ ποιεῖται τὴν προφητείαν· ἄρχεται
v. 2. δὲ τῆς τῶν ἐσομένων προρρήσεως οὕτως. " Ἐκλείψει ἐκλιπέτω πάντα ἀπὸ προσώπου τῆς γῆς,
λέγει κύριος. ,, Γεγόνεσαν μὲν γὰρ αἰχμάλωτοι παντελῶς αἱ δέκα φυλαί· κεκρατηκότες
δὲ ἐκείνων Ἀσσύριοι ἐπῆλθον μὲν καὶ τῇ Ἱερουσαλὴμ ὡς αἱρήσοντες καὶ ταύτην· ὡς δὲ τὴν
φοβερὰν ἐκείνην ἐδέξαντο διὰ τοῦ ἀγγέλου πληγὴν, μετὰ πολλοῦ μὲν τοῦ δέους εἶδον οἱ λοιποὶ
πρὸς φυγὴν ὁπόσοι γε τῆς διὰ τοῦ ἀγγέλου τιμωρίας γεγόνεσαν ἐκτός· ἐν εἰρήνῃ δὲ βαθείᾳ
p. 382. τὰ κατὰ τὴν Ἱερουσαλὴμ γέγονεν ἐκ τούτου· ἐπειδὴ τοίνυν τοὺς τῆς Ἰούδα φυλῆς τούς τε τὴν Ἱε-
ρουσαλὴμ οἰκοῦντας, οὔτε τῆς τιμωρίας τῶν Ἀσσυρίων τὸ μέγεθος ἐσωφρόνισεν, οὔτε τῶν δέκα
φυλῶν ἐφόβησεν ἡ αἰχμαλωσία, μεμενήκασι δὲ οὐδὲν ἔλαττον ἐκείνων, παρανομίᾳ τε
καὶ ἀσεβείᾳ συζῶντες καὶ οὗτοι, ἀναγκαίως ἐντεῦθεν ἤρξατο τοῦτο λέγων, ὅτι ἀνάγκη καὶ
τοὺς ὑπολοίπους ἐκλιπεῖν τοῦ λαοῦ, ἀφαιρεθέντας μὲν τῆς γῆς τῆς ἐπαγγελίας, ἀπαχθέντας
δὲ εἰς αἰχμαλωσίαν· ἐπειδὴ καὶ οὗτοι μεμενηκότες, οὐδὲν ἐκείνων ἔλαττον ὤφθησαν ἀσε-
βοῦντες· καλῶς δὲ καὶ ἐν ἀποφάσει τὴν μήνυσιν ποιεῖται· ὡς ἂν δεικνὺς ὅτι τούτων ἀξίους

captivitatem abductis, ipsa vastata Hierusalem, templo divino inflammato, et pulcherrimis urbis aedificiis igne crematis: denique moenibus etiam funditus dirutis, ne quod munimen incolae, si forte aliqui vellent, habere possent. Sequitur vero consuetus libri titulus.

CAP. I.

" Verbum Domini, quod factum est ad Sophoniam filium Chusi, filii * Godoliae, filii Amariae, filii Ezeciae, in diebus Iosiae filii Amosi regis Iudae. ,, Ex his demonstratur quis fuerit propheta et a quibus stirpem ducat, et quo tempore prophetiam faciat. Exorditur autem futurorum praedictionem sic. " Defectione deficiant omnia a facie terrae, dicit Dominus. ,, Captivae iam cunctae erant decem tribus; victores autem illarum Assyrii adgressi sunt etiam Hierusalem, ceu hanc pariter capturi. Postquam autem terribilem illam experti sunt ab angelo cladem, reliqui cum ingenti metu, quotquot extra angeli animadversionem fuerunt, in fugam conversi sunt. Exin alta in pace fuit Hierusalem. Quoniam itaque Iudae tribum et Hierusalem cives magnitudo poenae Assyriis impositae non emendavit, nec decem tribuum captivitas terrefecit, perstiteruntque haud minus illis iniuste impieque viventes, hinc necessario exorsus est dicens, necesse fore ut reliqua etiam populi pars deficiat, de terra promissionis abrepta, et in captivitatem traducta: quandoquidem hi etiam qui illic remanserant, haud minus illis visi sunt peccatores. Egregie autem cum absoluta sententia facit praedictionem, ut ostendat, dignos illos semet malis his, per ea quae gesserant, effecisse; unde et Deus talia de

* Graece *filium*.

ἑαυτοὺς δι᾽ ὧν ἔπραττον πεποιήκασιν· ὅθεν δὴ καὶ ἀποφήνασθαι περὶ αὐτῶν τοιαῦτα προσ-
ῆκται θεός· εἶτα καθολικῶς εἰπὼν ἐκλιπέτω πάντα, ἐπάγει κατὰ μέρος· “ Ἐκλιπέτω ἄν- v. 3.
θρωπος, καὶ κτήνη ἐκλιπέτω, τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες τῆς θαλάσσης· καὶ ἀσθενή-
σουσιν οἱ ἀσεβεῖς· καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει κύριος. „ Ὑπερ-
βολικῶς μὲν τοῖς ἀνθρώποις καὶ τοῖς κτήνεσι τά τε πετεινὰ καὶ τοὺς ἰχθύας συνῆψεν· ἢ
καὶ τροπικῶς καθὼς εἴωθεν λέγειν· ἵνα πετεινὰ μὲν εἴπῃ τοὺς δυναστείας ὑπεραιρομένους
τῶν λοιπῶν, ἰχθύας δὲ τοὺς ἐν τῷ δήμῳ διὰ ταπεινότητα ἕρποντας πολλήν· καὶ τὴν αἰτίαν
δὲ ἐπάγων “ καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς,
λέγει κύριος. „ Οἱ γὰρ ἀσεβείᾳ καὶ ἀνομίᾳ συζῶντες, εἰς παντελῆ καταντήσουσιν ἀσθένειαν, p. 383.
ὑπὸ τῇ τῶν πολεμίων πεπτωκότες χειρί· οἱ λοιποί τε αἰχμαλωσίᾳ ληφθέντες, ἀφαιρεθή-
σονται τῆς γῆς, ἣν παρ᾽ ἐμοῦ λαβόντες μετὰ πολλῆς κατεῖχον τῆς παρανομίας.

Εἶτα καὶ περὶ τίνων λέγει σαφέστερον ποιῶν “ καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ Ἰούδαν v. 4.
καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἱερουσαλήμ. „ Κατά τε τῆς φυλῆς, κατά τε τῆς πό-
λεως ἐπάξειν εἰρηκὼς τὴν τιμωρίαν, ἀναγκαίως δὲ καὶ τὰς τῆς τοσαύτης τιμωρίας λέγων
αἰτίας. “ Καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τὰ ὀνόματα τῶν Βααλὶμ, καὶ τὰ ὀνόματα τὰ τῶν ἱερῶν v. 5.
μετὰ τῶν ἱερέων, καὶ τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τοὺς
ὀμνύοντας κατὰ τοῦ κυρίου, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ Μελχὸμ, καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ v. 6.
κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον, καὶ τοὺς μὴ ἀντεχομένους τοῦ κυρίου. „ Ἀφελῶ
γὰρ παντελῶς τοῦ τόπου τούτου, τοὺς μὲν τῇ σφαγῇ, τοὺς δὲ τῇ αἰχμαλωσίᾳ, συναφανίζων
αὐτοῖς καὶ τὰ εἴδωλα πάντα, τήν τε ἐπ᾽ αὐτοῖς θεραπείαν, μετὰ τῶν ἱερατεύειν αὐτοῖς δο-
κούντων, πρός ἅπασί τε τοὺς ἐπὶ τῶν δωμάτων τοὺς κατ᾽ οὐρανὸν φωστῆρας θεραπεύειν
ἐσπουδακότας· δικαίαν γὰρ δὴ μάλιστα οὗτοι δέξονται τὴν τιμωρίαν, οἱ περὶ τὸν ναὸν οἰκοῦν-
τες τὸν ἐμὸν οὐκ αἰσχύνονται περὶ τὴν τῶν εἰδώλων ἀσχολούμενοι θεραπείαν· ἀλλὰ ποτὲ μὲν p. 384.

iis decernere adductus sit. Iam postquam generaliter dixit, deficiant omnia, pergit dicere particulatim. “ Deficiat homo, et iumenta deficiant, nec non caeli volucres, et maris pisces: et infirmabuntur impii, et auferam iniquos a facie terrae, dicit Dominus. „ Hyperbolice quidem hominibus ac iumentis volucres quoque et pisces copulavit: vel etiam tropice, ceu solet loqui; ita ut volucres dicat illos qui principatu inter ceteros homines eminent, pisces vero plebeios qui valde humiliter repunt. Mox et causam addens “ et infirmabuntur, inquit, impii, et auferam iniquos de facie terrae, dicit Dominus. „ Qui impie iniusteque vivunt, ad extremam deducentur infirmitatem, quia sub hostilis manus ictu cadent: reliqui vero mancipio capti, abducentur a regione, quam a me acceptam non sine multis sceleribus retinebant.

Deinde de quibus haec dicat, clarius explanans “ extendam, inquit, manum meam super Iudam, et super omnes Hierusalem incolas. „ Postquam de tribu et urbe capturum se poenas dixit, necessario tantae animadversionis causas recitat. “ Et auferam de loco isto nomina Baalim, et nomina delubrorum cum sacerdotibus, et qui adorant super tecta exercitum caeli, et qui iurant per Dominum, et qui iurant per Melchomum, et qui declinant a Domino, et qui Dominum non quaerunt, et qui non retinent Dominum. „ Eiciam omnino de loco hoc, partim caedi tradens, partim captivitati; idola simul omnia destruens, et illorum culturam, cum iis qui sacerdotes eorundem videbantur; postremo illos qui super tecta luminaribus caeli cultum exhibere studebant. Sed iustam apprime ii patientur poenam, qui circa templum meum versantes, non erubescunt idolorum cultui vacare: sed modo

τῆς ἐμῆς ἐνδείκνυνται θεραπείας φροντίζειν ὅτ' ἂν αὐτοῖς ὀμνύειν κατ' ἐμοῦ δοκῇ, ποτὲ δὲ καὶ τῶν εἰδώλων ὀμνύουσι· Μελχὸμ γὰρ τὸ εἴδωλον λέγει· ἵν' ἀφ' ἑνὸς, καθὼς εἴωθεν, ἅπαντα εἴπῃ τὰ εἴδωλα.

Ἀλλὰ γὰρ πολλὰς μὲν οἶδα μυθολογίας παρεὶς τῶν πρὸς τὸν Σύρον κεχηνότων, ὡς ἂν μὴ φλυαριῶν δοκοίην ἐμπιμπλᾶν τὴν θείαν γραφήν· ἐν καιρῷ δὲ νῦν ἐνόμισα διὰ τούτου ποιήσασθαι μνήμην, εἰς ἔλεγχον εἴ τε τοῦ νῦν οὐ δεόντως παρ' αὐτῶν λεγομένου, εἴ τε καὶ τῶν λοιπῶν, ἃ λεγόντων αὐτῶν παρῆκα δι' ἣν ἔφην αἰτίαν· λέγουσι γὰρ ὅτι Μελχὸμ ἐνταῦθα τὸν βασιλέα βούλεται εἰπεῖν· Μελχὸμ γὰρ τοῦ βασιλέως λεγομένου κατὰ τὴν Σύρων καὶ Ἑβραίων γλῶτταν, πλανηθέντας τοὺς ἑρμηνεύσαντας, ἀντὶ τοῦ βασιλέως, Μελχὸμ εἰπεῖν, ὅπερ ἐστὶν τὸ εἴδωλον· οὓς ἐχρῆν πρὸ πάντων ἐκεῖνο συνιδεῖν ὅτι κατὰ μὲν τὴν Ἑβραίων γλῶτταν εἴρηται τὰ τῆς θείας γραφῆς, ἡρμήνευται δὲ ταῦτα εἰς μὲν τὴν Σύρων παρ' ὅτου δήποτε (οὐδὲ γὰρ ἔγνωσται μέχρι τῆς τήμερον ὅστις ποτὲ οὗτος ἐστίν·) εἰς δὲ τὴν Ἑλλήνων ἑβδομήκοντα μετενηνόχασιν ἄνδρες πρεσβύτεροι τοῦ λαοῦ, ἐπιστήμονες μὲν ἀκριβῶς τῆς γλώττης τῆς οἰκείας, ἐπιστήμονες δὲ καὶ τῶν θείων γραφῶν, ὑπό τε τοῦ ἱερέως καὶ παντὸς τοῦ ἰσραηλι-
p. 385. τικοῦ λαοῦ δοκιμασθέντες, ὡς ἂν πάντων μάλιστα πρὸς τὴν ἑρμηνείαν ἄξιοι· ὧν τήν τε ἑρμηνείαν καὶ τὴν ἔκδοσιν καὶ οἱ μακάριοι ἀπόστολοι δεξάμενοι φαίνονται προδήλως, οἳ καὶ τοῖς ἀπὸ ἐθνῶν πεπιστευκόσιν οὐδ' ὅλως προσέχουσι πρότερον τοῖς τῆς παλαιᾶς διαθήκης, παρέδωκαν τὰς θείας γραφὰς ἐπὶ τῆς Ἑλλήνων κειμένας γλώττης κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν· παρ' ὧν δὲ καὶ παραλαβόντες αὐτὰς νῦν ἔχομεν ἅπαντες οἱ ἐξ ἐθνῶν τῷ δεσπότῃ πεπιστευκότες Χριστῷ, ἔν τε ταῖς ἐκκλησίαις ἀναγινώσκοντες καὶ κατ' οἶκον ἔχοντες· πῶς οὖν οὐκ ἀνόητον νομίζειν ὅτι οἱ μὲν ἑβδομήκοντα καὶ τοσοῦτοι καὶ τοιοῦτοι καὶ οὕτω δεδοκιμασμένοι διεσφάλλοντο περὶ λέξιν, οἳ καὶ πρὸ πάσης ἑρμηνείας ᾔδεσαν πάντως τὸ ἐν

quidem, cultus mei se memores ostendentes, per me iurant: modo autem per idola quoque iurant: etenim Melchomum idolum nominat, ut ex uno, prout solet, cuncta denotet idola.

Multas memini me praetermittere fabulas eorum qui ad syriacam interpretationem respiciunt, ne ineptiis viderer divinam implere scripturam. Nunc vero opportune existimo rei huius facere mentionem, ob coarguendum tum id quod ab ipsis nunc incongrue dicitur, tum etiam cetera huiusmodi, quae ab iisdem dicta, ego tamen ob eam quam retuli causam praetermisi. Dicunt igitur vocabulum Melchomum hoc loco regem significare; quia Melchom rex dicitur in Syrorum atque Hebraeorum lingua; sed interpretes errore deceptos, pro rege Melchomum dixisse, quod est idolum. Atqui illud in primis oportebat considerare, divinam scripturam hebraico sermone fuisse dictatam, ad Syrorum autem usum translatam fuisse abs quolibet homine (neque enim ad hunc usque diem quis ille fuerit rescitum est.) In Graecorum autem linguam septuaginta viri converterunt, seniores de populo, peritissimi linguae propriae, periti pariter divinarum scripturarum, a pontifice cunctoque populo israhelitico probati, ceu prae ceteris omnibus interpretando idonei: quorum interpretationem atque editionem beatos quoque apostolos receptam habuisse apparet; qui etiam accedentibus ad fidem ex ethnicis, et vetus antea testamentum prorsus ignorantibus, divinas tradiderunt scripturas, Graecorum lingua expressas, secundum septuaginta virorum interpretationem: a quibus eas acceptas nunc omnes tenemus, qui ex ethnicis in Christi partes concessimus; easque et in ecclesiis legimus, et domi habemus. Quid ni ergo insanum sit existimare, septuaginta viros

τῇ θείᾳ κείμενον γραφῇ, καὶ εἴτε βασιλέα λέγει, εἴτε εἴδωλον; ἀξιοπιστότερον δὲ ἁπάντων ἐκείνων ὑπειλῆφθαι προσῆκεν ἕνα τινὰ ἀφανῆ εἰς τὴν Σύρων γλῶτταν μεταβεβληκότα τὰ Ἑβραίων, ὥς γε φασί· πρὸς τῷ κἀκεῖνο δῆλον εἶναι, ὅτι τῆς τῶν εἰδώλων ἕνεκεν θεραπείας αὐτοὺς ὁ θεὸς αἰτιᾶται ἐν τούτοις διὰ τοῦ προφήτου· καὶ ἐπειδὴ περὶ τὸν ναὸν τὸν θεῖον ὄντες τοιαῦτα διεπράττοντο, τοῦτο αὐτοῖς ἐπιμέμφεται, ὅτι καὶ τὸν τοῦ ναοῦ θεὸν θεραπεύειν ἐδόκουν, τουτέστι τὸν τοῦ παντὸς κύριον, καὶ τῆς τῶν εἰδώλων οὐκ ἀπείχοντο θεραπείας. τοῦ δὲ εἰδώλου τούτου μέμνηται καὶ ὁ μακάριος Ἀμὼς ὁ προφήτης ὡς ὑπὸ Ἀμμανιτῶν θερα- p. 386.
πευομένου, λέγων οὕτως· καὶ πορεύεται Μελχὸμ ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτοῦ, καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ τὸ αὐτὸ, λέγει κύριος· τοῦτο λέγων ὃ καὶ πολλαχοῦ φαίνεται διὰ τῶν προφητῶν εἰρημένον, ὅτι ἡ κατὰ ὀργὴν οἷαν ἐπαγομένη τιμωρία τοῖς ἀλλοφύλοις ἄχρι τῶν εἰδώλων καὶ τῶν ἱερατευόντων αὐτοῖς ἐξετείνετο. Ὅτι δὲ ἅπασαν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐκ τῶν παρὰ τοῖς Ἕλλησι θρησκευομένων δαιμόνων εἵλκυσαν οἱ Ἰσραηλῖται, δῆλον ὡς ὁ μακάριος λέγει Δαυίδ· * καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, * Ps. CV. 35.
καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν· δεικνὺς ὅτι τὴν ἐκείνων ἠσπάσαντο εἰδωλολατρείαν· ὡς τὸν αὐτὸν φαίνεσθαι τρόπον καὶ τὴν περὶ τὸ εἴδωλον, ὃ Μελχὸμ ἐκαλεῖτο, θεραπείαν αὐτοὺς ποιεῖσθαι.

Ὁ μέν τοι γε προφήτης τοῖς εἰρημένοις οὕτως ἐπάγει. " Καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον, καὶ τοὺς μὴ ἀντεχομένους τοῦ κυρίου. ,, Βουλόμενος εἰπεῖν ὅτι ἀπὸ τούτων δήλοις ἑαυτοὺς καθιστῶσιν ἀπηλλοτριωμένους παντελῶς τῆς ἐμῆς εὐνοίας, καὶ μηδένα λόγον ἐθέλοντας ἐμοῦ τε καὶ τῶν ἐμοὶ δοκούντων ποιεῖσθαι· πρόδηλον γὰρ ὡς τῆς ἐμῆς γνώσεως ἀντεχόμενοι γνησίως, οὐκ ἄν ποτε προσέχον εἰδώλοις· εἰρη-

tales tantosque adeoque probatos, errasse in vocabulo; qui et ante quamlibet interpretationem probe sciebant quid esset in divina scriptura, et utrum regem ea diceret an idolum? Nam maiore fide dignum, prae ceteris cunctis, iudicare oporteret, unum quemlibet obscurum hominem qui in Syrorum linguam convertit hebraicum textum, ut aiunt. Praeter quam quod illud etiam patet, nempe de idolorum cultu Deum Israhelitas hoc loco accusare per prophetam. Et quia circa divinum templum incolentes, haec agebant; hoc illis exprobrat, quod quum templi Deum venerari viderentur, id est universi mundi dominum, ab idolorum tamen non abstinebant obsequio. Porro huius idoli beatus quoque meminit Amosus propheta, ceu ab Ammanitis adorati. Dicit enim: et vadit Melchom in captivitatem, eiusque sacerdotes, et principes populi simul, dicit Dominus. Hoc dicens, quod saepenumero apud prophetas legere est, quod nempe qualibet ex indignatione, imponenda alienigenis poena, usque ad idola horumque sacerdotes deveniet. Quod autem omnem idolorum superstitionem, a cultis apud ethnicos daemonibus Israhelitae contraxerint, exploratum est, dicente beato Davide: et commixti sunt inter gentes, et didicerunt opera eorum, et servierunt sculptilibus eorum; quibus verbis demonstrat, idololatriam suam Israhelitas ab ethnicis condidicisse. Pari ergo modo apparet eos circa idolum, quod Melchom nuncupabatur, superstitionem exercuisse.

Age vero propheta post superiora ita pergit dicere. " Et eos qui declinant a Domino, et qui non quaerunt Dominum, et qui non retinent Dominum. ,, Significans nimirum, eos ita agendo, manifeste ostendere se omnino alienos ab amore Dei, nullamque huius, et praeceptorum eiusdem habere rationem. Perspicuum est enim, quod si fideliter scientiam mei retinerent, nequaquam idolis adhaererent.

v. 7. κὼς δὲ δικαίας τῆς τιμωρίας τὰς αἰτίας, ἐπάγει. “ Εὐλαβεῖσθε ἀπὸ προσώπου κυρίου τοῦ
p. 387. θεοῦ, διότι ἐγγὺς ἡμέρα κυρίου· ὅτι ἡτοίμασε κύριος τὴν θυσίαν αὐτοῦ, ἡγίακε τοὺς κλη-
τοὺς αὐτοῦ. ,, Ἀλλ' ἐπειδὴ ἀμελῶς περὶ τὸ θεῖον ἐσχήκατε, νῦν γοῦν ὑπ' αὐτῆς τῆς ἀνάγ-
κης φοβηθήσεσθε τὸν τοῦ παντὸς κύριον, ὅτε τὴν τιμωρίαν ὑμῖν ἀξίαν ἐπάγει τῶν πλημμελη-
μάτων· οὐδὲ γὰρ ἀφέστηκεν ὁ καιρὸς ἐκεῖνος, ἀλλὰ καὶ μάλα γε ἐγγύθεν ἐστὶν, ἐν ᾧπερ
* Ita heic cod. ὑμᾶς τῇ τῶν πολεμίων παραδώσει θυσίᾳ, οὓς οἰκείῳ προστάγματι ἀφώρισέν τε καὶ κέκληκεν
ἐπὶ τούτῳ· τοῦτο γὰρ λέγει τὸ ἡγίασε * τοὺς κλητοὺς αὐτοῦ, ἵνα εἴπῃ ὅτι ἀφωρισμένους ἔχει
τοὺς εἰς τὴν θυσίαν ταύτην κεκλημένους, λέγει δὲ τοὺς πολεμίους, οἳ καταθύσουσιν ὑμᾶς.
v. 8. “ Καὶ ἔσται ἐν ἡμέρᾳ θυσίας κυρίου, καὶ ἐκδικήσω * ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐπὶ τὸν οἶκον
* cod. ἐκδίκησιν. τοῦ βασιλέως, καὶ ἐπὶ πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια· καὶ ἐκδικήσω ἐπὶ πάντας
ἐμφανῶς ἐπὶ τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον τοῦ θεοῦ αὐτῶν
ἀσεβείας καὶ δόλου. ,, Ἐν ἐκείνῳ δὴ τῷ καιρῷ τοὺς ἄρχειν ἐν ὑμῖν δοκοῦντας τιμωρήσομαι·
αὐτόν τε παντελῶς ἀφανιῶ τοῦ βασιλέως τὸν οἶκον, ἅτε πρὸς αἰχμαλωσίαν ἀπάγεσθαι μέλ-
p. 388. λοντος τοῦ τότε βασιλεύειν ὑμῶν δοκοῦντος· καὶ πάντας δὲ καθάπαξ τιμωρήσομαι τοὺς οὕτω
πρὸς τὴν ἑλληνικὴν μίμησιν ἑαυτοὺς ἐκδεδωκότας, ὡς καὶ τῶν ἱματίων ζηλοῦν τὴν χρῆσιν τῶν
τῷ νόμῳ μὲν ἀπηγορευμένην, τοῖς ἔθνεσι δὲ ἁρμοδίαν· πάντας δή φησι περιφανῶς τιμω-
ρήσομαι πρὸ τῶν τοῦ ναοῦ προθύρων, εἰς ὃν ἠσέβουν, εἰσιόντες μὲν τῷ δοκεῖν εἰς ἐμὴν θερα-
πείαν, μεθ' ὑποκρίσεως δὲ καὶ δόλου ποιεῖσθαι τὴν εἴσοδον τολμῶντες, εἴ γε τῆς μὲν εὐσεβείας
οὐδένα λόγον ἐβούλοντο ποιεῖσθαι, τοῖς εἰδώλοις δὲ προσανεῖχον σπουδῇ.
v. 10. “ Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεν-
τούντων, καὶ ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας, καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν. ,, Τότε
δὴ φοβερὰ μέν τις γενήσεται φωνὴ ἀπὸ τῆς πύλης λαβοῦσα τὴν ἀρχὴν, διὰ τῶν εἰσιόντων τε

Iam postquam dixit iustae animadversionis causam, prosequitur. “ Timete a facie domini Dei, quia prope est dies domini Dei, quia paravit Dominus hostiam suam, et sanctificavit vocatos suos. ,, Sed quoniam Deum neglexistis, necessario nunc timebitis universalem Dominum, cum dignam poenam peccatis vestris imponet. Non enim abest tempus illud, immo proximum est, quo vos hostibus quasi victimas tradet: quos ille hostes proprio mandato ad hoc elegit vocavitque. Id enim significant verba, sanctificavit vocatos suos, quasi dicat habere se iam delectos, quos ad hanc hostiam mactandam vocavit; hostes nimirum intelligens, qui et vos immolabunt. “ Et erit in die hostiae Domini, et ulciscar super principes, et super domum regis, et super omnes qui induti sunt veste peregrina. Et ulciscar manifeste super vestibula in die illa, qui complent domum Dei sui impietate ac dolo. ,, Tempore illo puniam eos qui principes vestri videntur, ipsamque regis domum funditus destruam, quia in captivitatem abducendus est is qui tunc rex vester videbitur: atque in omnes prorsus animadvertam, qui tantopere imitationi ethnicorum semet tradiderunt, ut etiam vestium illarum usum affectaverint, quae a lege vetitae, gentibus congruunt. Cunctos, inquam ante vestibula templi puniam, contra quod impie egerunt; dum illuc ingrederentur quidem ob simulandum cultum meum, sed nonnisi cum hypocrisi et dolo introire illuc auderent: siquidem nullam verae religionis rationem habere voluerunt, sed idolis potius studiose adhaerere.

“ Et erit die illa, dicit Dominus, vox clamoris a porta caedentium, et ululatus a secunda, et contritio magna a collibus. ,, Tunc sane vox quaedam terribilis exaudietur, a porta incipiens, propter hostes irrumpentes multamque occidionem

πολεμίων, καὶ πολὺν ἐργαζομένων τὸν φόνον· διαδέξεται δὲ τὴν φωνὴν ἐκείνην ὀλολυγή τις
ἀφόρητος τῶν κατ' οἰκίαν συντριβομένων τε καὶ ἀπολλυμένων ποικίλως, ἔτι καὶ τῶν ἐν ὑψη-
λοτέροις τόποις ἐλπίδι φυγῆς καταφευγόντων (τοῦτο γὰρ λέγει βουνῶν) οὐ μόνον οὐδὲν ὠφε-
λεῖσθαι δυναμένων ἐντεῦθεν, ἀλλὰ γὰρ καὶ τὴν ἐσχάτην δεχομένων τιμωρίαν· οἷς ἀκολούθως
ἐπάγει. " Θρηνεῖτε οἱ κατοικοῦντες τὴν κατακεκομμένην. ,, Ἐνταῦθα δή φησι θρηνεῖν v. 11.
ἅπαντας ἄξιον τοὺς οἰκοῦντας τὴν Ἱερουσαλήμ, ἣν διαφόρως διὰ τῶν οἰκούντων κατακό-
ψουσιν οἱ πολέμιοι, τάς τε οἰκοδομὰς αὐτῆς διατέμνοντες, καὶ τοὺς κατοικοῦντας διασφάτ-
τοντες. " Διότι * ὡμοιώθη πᾶς ὁ λαὸς Χαναάν, ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι *cod. διὰ τί.
ἀργυρίῳ. ,, Ἐπειδὴ γὰρ τῶν Χαναναίων ἐμιμήσαντο τὸν τρόπον, διὰ τοῦτο παραπλησίως ἐκεί- p. 389.
νοις καὶ τὴν τιμωρίαν ἐδέξαντο ἀπολλύμενοι παντελῶς, ὃν περ δὴ τρόπον ἀπώλοντο κἀκεῖνοι
ὁπηνίκα τοῖς Ἰσραηλίταις παρεδίδου τὴν γῆν ὁ θεός· συναφανισθήσονται γὰρ δὴ πάντες τοῖς
λοιποῖς καὶ οἱ μέγα φρονοῦντες ἐπὶ πλούτῳ θεωροῦντες ἑαυτούς, μηδὲν ἐκ τῆς εὐπορίας
κέρδος λαβόντας· τοὐναντίον μὲν οὖν ἐν τῇ ἀφαιρέσει τῶν οἰκείων παραπλήσιοι γεγονότες
τοῖς παντελῶς πενομένοις.

" Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου. ,, Ἐπειδὴ τοῖς v. 12.
τὰ ἐνδότατα καὶ σκότῳ πως κατειλημμένα ζητοῦσιν, ἔθος λύχνῳ κεχρῆσθαι πρὸς ἀκρι-
βεστέραν ἔρευναν τῶν ἀποκεκρυμμένων, τοῦτο λέγει ὅτι μετὰ πολλῆς τῆς ἀκριβείας ἐξερευνη-
θήσεται πάντα τὰ τῆς Ἱερουσαλήμ, ὡς μηδὲν τῶν ἐνόντων διαλαθεῖν τοὺς πολεμίους· ὅπερ
ἀκολούθως ἐπήγαγεν τὸ ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ· δεικνὺς ὅτι οὕτω
πάντα τῶν εὐπόρων ἀφαιρεθήσεται τὰ ὄντα, οὐδενὸς λαθεῖν τῶν πολεμίων τὴν ἔρευναν δυνα-
μένου. " Καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ἐπὶ τὰ φυλάγματα αὐτῶν
τοὺς λέγοντας ἐν ταῖς καρδίαις αὐτῶν, οὐ μὴ ἀγαθοποιήσῃ κύριος, οὐδὲ μὴ κακώσῃ. ,,
Τιμωρήσομαι γάρ φησι τούτους, οἳ τῶν μὲν προσταγμάτων τῶν ἐμῶν καὶ τῆς θεραπείας κατ- p. 390.

facientes. Excipiet vero vocem illam ululatus intolerabilis hominum per domos contritorum varieque pereuntium; insuperque eorum qui ad celsiora loca spe evadendi confugient (id enim dicit vocabulum collibus) neque tamen quicquam opis invenient, sed extremum supplicium perferent. Quibus consentanee subdit. " Plangite qui habitatis concisam. ,, Nunc, inquit, lamentari dignum est habitatores Hierusalem, quam varia caede incolarum hostes concîdent, eiusque aedificia perfringent, et inquilinos trucidabunt. " Quia universus populus assimilatus est Chanaani, disperierunt omnes qui elati erant argento. ,, Quandoquidem Chananaeorum mores imitati sunt, ideo par illis sustinuere supplicium, pessum dati; quemadmodum scilicet et illi perierunt cum regionem Israhelitis tradidit Deus. Simul peribunt cum reliquis, illi qui superbiebant, divitiis se fultos cernentes: nullum a suis opibus emolumentum habebunt: sed contra omnino bonis suis spoliati, pauperrimis similes fient.

" Et erit in die illa, scrutabor Hierusalem cum lucerna. ,, Quoniam eorum, qui intima et in tenebris condita quaerunt, mos est lucerna uti ad accuratiorem latentium rerum vestigationem, idcirco sic loquitur, fore nempe ut multa cum sedulitate vestigentur res omnes Hierusalem, ut nihil opum eius hostes lateat. Quo fit ut consentanee subiungat, disperierunt omnes elati argento; significans fore ut cuncti divitum thesauri diripiantur, cum nihil hostium vestigationem vitaturum sit. " Et ulciscar super viros, qui contemnunt custodias suas, qui dicunt in cordibus suis, utique ne faciat bene Dominus, et non faciat male. ,, Hos inquit puniam qui praecepta mea cultumque omnino aspernantur, quibus custodiri ac servari ab omni

ἐφρόνουν παντελῶς τῆς ἐμῆς, ἀφ' ὧν δὴ φυλάττεσθαι καὶ διατηρεῖσθαι ἐκ πάσης ἠδύναντο
ἐπηρείας· διακειμένους δὲ ὅτι μὴ οἷόν τέ τι κακὸν αὐτοῖς ἐπενεχθῆναι τοιαῦτα παρανομοῦ-
σιν· τὸ γὰρ οὐ μὴ ἀγαθοποιήσῃ κύριος, κατὰ ὑπόκρισιν ἀναγνωστέον, ἀντὶ τοῦ ἀγαθοποιήσει.
v. 13. “ Καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς διαρπαγὴν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν· καὶ οἰκο-
δομήσουσιν οἰκίας, καὶ οὐ μὴ κατοικήσωσιν ἐν αὐταῖς· καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ
v. 14. οὐ μὴ πίωσι τὸν οἶνον αὐτῶν· ὅτι ἐγγὺς ἡμέρα κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα. „
Πᾶσα μὲν οὖν αὐτῶν ἡ δύναμις ὑπὸ τῶν πολεμίων περιαιρεθήσεται· ἀφανισθήσονται δὲ
καὶ πάντες αὐτῶν οἱ οἶκοι· καὶ οὔτε τῶν οἴκων ἀπολαύσουσιν, οὓς μετὰ πολλῆς οἰκοδομήσαντες
ἐπιμελείας, οὔτε τῶν γεωργιῶν τῶν οἰκείων λήψονται τὸν καρπόν· ἐπειδὴ πάρεστιν καὶ πλησίων
ἄγαν ἐστὶν ἡμέρα τοῦ θεοῦ, καθ' ἣν ἐκβήσεται πάντα ἅπερ οὖν ἀποπέφανται κατ' αὐτῶν
ὁ θεός. “ Φωνὴ ἡμέρας κυρίου πικρὰ καὶ σκληρὰ τέτακται. „ Μεμήνυται γὰρ ὁ καιρὸς τῆς
v. 15. ἀποφάσεως τῆς θείας πολλῆς πικρίας τε καὶ τραχύτητος γέμων. “ Δυνατὴ ἡμέρα ὀργῆς. „
Ἰσχυρὸς ἄγαν τῆς ἡμέρας ἐκείνης ὁ θυμός. “ Ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγ-
κης, ἡμέρα ἀωρίας καὶ ἀφανισμοῦ, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης,
v. 16. p. 391. ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς. „
Τότε γὰρ ἀνάγκη τε καὶ θλίψις ἔσται πολλὴ, καὶ θάνατοι ἄωροι τῶν ἐν νηπίᾳ σφαζο-
μένων τῇ ἡλικίᾳ· ἀφανισμός τε ἀνθρώπων πολὺς, ὡς ἐντεῦθεν ἅπαντας δοκεῖν σκότῳ
γνόφῳ ἢ τινὶ νεφέλῃ περικεχύσθαι καὶ ὁμίχλῃ· ἥ τε γὰρ πολεμικὴ σάλπιγξ, καὶ ἡ μετὰ ταύτης
φωνὴ τῶν πολεμίων μέγιστον ἠχήσει προσημαίνουσα τήν τε ἰσχυρῶν πόλεων καὶ τῶν μεγίστων
v. 17. οἰκιῶν τὴν καθαίρεσιν. “ Καὶ ἐκθλίψω τοῖς ἀνθρώποις, καὶ πορεύσονται ὡς τυφλοὶ, ὅτι τῷ
κυρίῳ ἐξήμαρτον· καὶ ἐκχεῶ τὸ αἷμα αὐτῶν ὡς χοῦν, καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα. „
Τῇ μὲν γὰρ ὑπερβολῇ τῆς θλίψεως διοίσουσι τυφλῶν οὐδέν· οὐδὲ τὰ περὶ ποδῶν ὁρᾶν οἷοί
τε ὄντες· πείσονται δὲ ἅπαντα συντόμως εἰπεῖν, ἐπειδήπερ ἄγαν ἠσέβησαν εἰς θεόν· ὑπὲρ

detrimento poterant: contraque existimant fieri non posse ut mali aliquid eis accidat talia peccantibus. Nam dictio ne bene faciat, figurate legenda est pro, bene faciet. “ Et erit fortitudo eorum in direptionem, et domus eorum in dissipationem: et aedificabunt domos, et non habitabunt in eis; et plantabunt vineas, et non bibent vinum earum: quia iuxta est dies Domini magna, iuxta est et velox nimis. „ Universa, inquit, eorum fortitudo ab hostibus extinguetur, destruentur cunctae domus eorum: neque aedificiis fruentur quae sedula cura extruxerant, neque de arvis suis fructum carpent. Quoniam adest propeque est Dei dies, quo cuncta evenient quae de illis decrevit Deus. “ Vox diei Domini amara et dura posita est. „ Praedicitur tempus divini decreti amaritudine multa et asperitate plenum. “ Potens dies irae. „ Validus admodum diei illius furor. “ Dies illa, dies tribulationis et angustiae, dies intempestivitatis et exitii, dies tenebrarum et caliginis, dies nebulae et turbinis, dies tubae et clamoris super urbes munitas et super angulos excelsos. „

Tunc enim angustiae erunt, et tribulatio multa, et immaturae mortes in tenera occisorum aetate, caedes hominum multa, ita ut abhinc videantur omnes tenebris, caligine, et nebula quadam ac turbine circumfundi. Nam et bellica tuba, et hanc subsecutus hostium clamor altissime resonabit, munitarum urbium ac palatiorum exitium portendens. “ Et tribulabo homines, et ambulabunt ut caeci, quia Domino peccaverunt: et effundam sanguinem eorum sicut pulverem, et carnes eorum sicut stercora boum. „ Tribulationis excessu, non erunt caecis dissimiles, ne illa quidem quae ante pedes sunt videre valentes. Atque ut summatim dicam nihil non

ὧν αἵματός τε ἔκχυσις ὡς ἐκ πολλοῦ γενήσεται φόνου· αἵ τε τῶν ἀποθνησκόντων σάρκες
ἀτάφων μενόντων τῶν ἀναιρουμένων, ὡσεὶ κόπρος τις κατὰ παντὸς ῥιφήσεται τόπου. " Καὶ τὸ v. 18.
ἀργύριον καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δυνηθῇ ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου,
καὶ ἐν πυρὶ ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ· διότι συντέλειαν καὶ σπουδὴν ποιήσει
ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. ,, Ὄνησις αὐτοῖς οὐδεμία τοῦ πλούτου γενήσεται ὃν
συνήγαγον ἀδίκως, ἐπειδὴ ταῦτα πάντα κατὰ τὸν καιρὸν ἐκεῖνον δεύτερα τῆς ὀργῆς ἔσται τῆς p. 392.
θείας, ἣ πυρὸς δίκην πᾶσαν μὲν καταναλώσει τὴν γῆν, πάντας δὲ τοὺς ἐνοικοῦντας αὐτὴν
μετὰ πολλοῦ γε ἀπολέσει τοῦ τάχους· εἶτα μετὰ τὴν μήνυσιν τῶν κακῶν, εὐέλπιδας αὐτοὺς καθὼς
εἴωθεν ὁ προφήτης ποιῶν, ἐπάγει.

ΚΕΦ. Β΄.

" Συνάχθητε καὶ συνδέθητε τὸ ἔθνος τὸ ἀπαίδευτον πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡς ἄν- v. 1.
θος παραπορευόμενον ἡμέρας, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ὀργὴν θυμοῦ κυρίου. ,, Ἀλλὰ v. 2.
γὰρ ἅπαντες ὑμεῖς οἱ μέχρι τοῦ δεῦρο τὴν τῶν προσηκόντων οὐ δεξάμενοι παιδείαν, νῦν γοῦν
συνελθόντες, κοινὰς τὰς δεήσεις τῷ θεῷ προσαγάγετε, ὡς ἂν μὴ δίκην ἄνθους ἀθρόον
ἀφανισθέντος παντελῆ τὴν ἀπώλειαν ὑπομείνητε, ὁλοτελῶς ἐφ' ὑμᾶς ἐνεχθείσης τῆς ὀργῆς
τῆς θείας. " Ζητήσατε τὸν κύριον πάντες ταπεινοὶ γῆς. ,, Καὶ οἱ παρὰ πάντας τοὺς τὴν γῆν v. 3.
οἰκοῦντας ταῖς ἐπενεχθείσαις ὑμῖν συμφοραῖς τεταπεινωμένοι, ἐπιμεληθέντες τῆς εὐσεβείας,
τὸν ἔλεον αἰτήσατε τὸν θεῖον. " Κρίμα ἐργάσασθε καὶ ζητήσατε δικαιοσύνην. ,, Νῦν ὀρθοὶ
τοῦ προσήκοντος γενόμενοι κριταί, καὶ διακρίνοντες ἐκ τοῦ χείρονος τὸ κρεῖττον ἐπιμε-
λεῖσθε τοῦ δικαίου. " Ζητήσατε πραότητα καὶ ἀποκρίνεσθε αὐτά, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ
ὀργῆς κυρίου. ,, Ἐπιείκειαν ἕλεσθε καὶ ἀνεξικακίαν, ἀνθ' ἧς πρότερον κατὰ τῶν πενεστέρων

patientur, quia graviter in Deum peccaverunt. Ea propter et sanguinis effusio, tamquam multae occisionis erit, et occisorum carnes, insepultis mortuis manentibus, quasi fimus quidam omni loco iactabuntur. " Et argentum aurumque eorum non poterit liberare eos in die irae Domini, et igne zeli eius consumetur universa terra: quia consummationem et festinationem faciet super omnes terrae habitatores. ,, Nihil ipsis proderunt divitiae quas iniuste coacervaverunt: quia haec omnia tempore illo divinae cedent irae, quae ignis instar universam consumet terram, cunctos autem habitatores eius multa cum festinatione pessum dabit. Deinde post malorum praedictionem, in spem illos pro more suo propheta erigens, pergit dicere.

CAP. II.

" Congregamini, simulque orate, gens inerudita, ante quam fiatis ut flos pertransiens diurnus, ante quam veniat super vos ira furoris Domini. ,, Agesis enim omnes qui hactenus officii vestri disciplinam non excepistis, nunc congregati communes Deo preces extollite, ne forte floris instar repente marcescentis, supremum exitium patiamini, tota in vos irruente divina ira. " Quaerite Dominum cuncti humiles terrae. ,, Vos qui prae ceteris terrae incolis, calamitatibus inflictis humiliati fuistis, nunc resumpto verae pietatis studio, misericordiam implorate divinam. " Iudicium operamini et iustitiam quaerite. ,, Nunc facti iusti debitae honestatis iudices, discernentesque a deteriore melius, iustitiae date operam. " Quaerite mansuetudinem, et respondete ea, ut protegamini in die irae Domini. ,, Mansuetudinem eligite et patientiam, secus ac olim iniustae pauperum oppressioni operam de-

p. 393. ἐπετηδεύετε ἀδικίας, καὶ δὴ σύνθεσθε περὶ τὴν τούτων ἔχειν σπουδήν· τοῦτο γὰρ λέγει τὸ καὶ
ἀποκρίνεσθε αὐτά, ὡς ἂν προσγένοιτο ὑμῖν ἐν τῷ καιρῷ τῆς τιμωρίας τυχεῖν τινὸς παρὰ
τῆς θεοῦ βοηθείας· εἶτα λέγει τὰς κατὰ τῶν ἀλλοφύλων τιμωρίας ὑπὲρ τῆς εἰς αὐτοὺς ἀδικίας ἐπάγε-
σθαι μελλούσας ὡς ἂν μείζονα τῆς περὶ αὐτοὺς κηδεμονίας τοῦ θεοῦ ποιήσαιτο τὴν ἀπόδειξιν.
v. 4. " Διότι Γάζα διηρπασμένη ἔσται, καὶ Ἀσκάλων εἰς ἀφανισμόν, καὶ Ἄζωτος μεσημ-
βρίας ἐκριφήσεται, καὶ Ἀκκαρὼν ἐκριζωθήσεται. ,, Πάντες γὰρ οἱ ἀλλόφυλοι, ὑπὲρ ὧν
καθ' ὑμῶν πεποιήκασι, τιμωρίαν δέξονται οὐ τὴν τυχοῦσαν· τὸ γὰρ μεσημβρίας κατὰ κοινοῦ
λέγει ἀντὶ τοῦ προδήλως, ὡς μηδένα τὸ γινόμενον λαθεῖν· ἃ γὰρ περὶ ἑκάστης λέγει τῶν πό-
λεων, εἴτε Γάζης εἴτε Ἀσκάλωνος, εἴτε τῶν λοιπῶν, κατὰ κοινοῦ περὶ πασῶν λέγει διαιρῶν
τῷ λόγῳ, καθὼς εἴωθε· βούλεται γὰρ εἰπεῖν ὅτι πᾶσαι τῶν ἀλλοφύλων αἱ πόλεις διαρπαγή-
σονταί τε καὶ ἀφανισθήσονται, καὶ τῆς οἰκείας εὐπραγίας ἀπορριφεῖσαι παντελῆ δέξονται τὴν
v. 5. ἀπώλειαν. " Οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης πάροικοι Κρητῶν· λόγος
v. 6. κυρίου ἐφ' ὑμᾶς Χαναὰν γῆ ἀλλοφύλων· καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας· καὶ ἔσται Κρήτη νομὴ
ποιμνίων, καὶ μάνδρα προβάτων. ,, Ἐπειδὴ παράλιοι εἶναι τὰς πόλεις συνέβαινε, σχοίνι-
p. 394. * Ps. CIV. 11. σμα θαλάσσης αὐτὰς κέκληκεν, ὡς ὁ μακάριος λέγει Δαυὶδ λέγων· * σοὶ δώσω τὴν γῆν
Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν· ἵνα εἴπῃ ὅτι εἰς κτῆσιν ὑμῖν ἀφοριῶ τὴν Χαναναίων
γῆν, ἐκ μεταφορᾶς τῶν σχοίνῳ μετρούντων τήν τε διαιρούντων τὴν γῆν· οὕτως οὖν κἀνταῦθα
λέγει τὸ σχοίνισμα τῆς θαλάσσης, ἀντὶ τοῦ οἱ τὴν παραθαλάττιον οἰκοῦντες μερίδα· τὸ δὲ
πάροικοι Κρητῶν λέγει, ἐπειδὴ τινὲς ἐκ Κρήτης κατ' ἐμπορίαν αὐτόθι παραγεγονότες ὡς εἰς
* Amos I. 5. παραθαλασσίους πόλεις, οἰκεῖν εἵλοντο παρ' αὐτοῖς· ὡς καὶ παρὰ τῷ Ἀμὼς λέγει· * κατα-
κόψω φυλὴν ἐξ ἀνδρῶν Χαρράν, περὶ τῶν ἐκεῖθεν τῇ Δαμασκῷ παροικούντων λέγων· οὕτως
γὰρ καὶ ἐνταῦθα παροίκους Κρητῶν καλεῖ, ἵνα εἴπῃ τοὺς παρ' αὐτοῖς οἰκοῦντας Κρητῶν·

distis: quin adeo spondete, morum horum fore vos studiosos: id enim valet dictio, respondete ea; ut tempore punitionis consequamini aliquam a Deo opem. Postea recitat inferendas alienigenis castigationes, propter illorum adversus Israhelitas iniquitatem, ut sic maiorem Dei erga hos tutelam demonstret.

" Quia Gaza diripietur, et Ascalon in desolationem, et Azotus meridie proiicietur, et Accaron eradicabitur. ,, Alienigenae omnes, propter ea quae adversus vos egerunt, non vulgare supplicium perferent. Iam meridie, commune aliis vocabulum, dicit pro manifeste, ita ut res neminem lateat: nam quae de singulis dicit urbibus, sive Ascalone, sive reliquis, communiter de omnibus dicit, etsi diviso sermone, ut solet. Vult enim dicere, cunctas alienigenarum urbes direptum destructumque iri, et omni sua proprietate deiectas supremum excidium passuras. " Vae qui habitatis funiculum maris, advenae Cretenses! Verbum Domini super vos, terra Chanaan. Et perdam vos de habitatione. Et erit Creta pascua gregum, et ovile pecorum. ,, Quia maritimae urbes illae erant, ideo funiculum maris eas appellavit, sicut etiam beatus David ait his verbis: dabo tibi terram Chanaan, funiculum hereditatis vestrae: pro eo ut dicat: possessioni vestrae addicam Chananaeorum regionem, sumpta metaphora ab iis qui funiculis metiuntur ac dividunt terras. Ita nunc etiam funiculum maris dicit, pro maritimae partis incolis. Denique advenas Cretenses dicit, quia nonnulli ex Creta mercaturae causa illuc progressi utpote ad urbes maritimas, ibi habitare maluerunt. Sicut etiam apud Amosum dicitur: concîdam tribum ex viris Charran, loquens scilicet de illius regionis advenis circa Damascum incolentibus. Sic nunc quoque Cretensium advenas dicit, pro ea parte

βούλεται οὖν εἰπεῖν ὅτι ἀθλιώτατοι πάντων πάντες ὑμεῖς οἱ τὴν παραθαλάττιον οἰκοῦντες μερίδα μετὰ καὶ τῶν παροικούντων ὑμῖν Κρητῶν· ἀποπέφανται γὰρ κατὰ πάντων ὑμῶν ὁ θεὸς τῶν οἰκούντων τὴν Χαναναίαν ἀλλοφύλων· ὅτι ὑμᾶς τε ἀπολέσει παντελῶς, καὶ τὴν ἐκ τῶν Κρητῶν παρ' ὑμῖν οἰκουμένην χώραν, νομή τε ποιμνίων καὶ οἴκησις προβάτων, διὰ τῆς ἐρημίας παραδώσει τῆς πολλῆς.

“ Καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου Ἰούδα· ἐπ' αὐτοὺς νεμή- v. 7.
σονται ἐν τοῖς οἴκοις Ἀσκάλωνος, δείλης καταλύσουσι ἀπὸ προσώπου τῶν υἱῶν Ἰούδα, ὅτι
ἐπέσκεπται αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν. ,, Οἱ γὰρ p. 395.
περισωζόμενοι φησὶν ἐκ τῆς τοῦ Ἰούδα φυλῆς, πάσης δὴ τῆς παραθαλαττίου καθέξουσι μερί-
δος, καὶ πᾶσαν αὐτὴν ὡς οἰκείαν νεμήσονται χώραν, ἕως τε αὐτοῦ τῆς Ἀσκάλωνος· βού-
λεται δὲ ἐκ μιᾶς τὰς ὅλας τῶν ἀλλοφύλων πόλεις εἰπεῖν, καθὼς εἴωθεν ἀπὸ μέρους τὸ
ὅλον καλῶν, ὑφορωμένους τῶν υἱῶν Ἰούδα τὴν ἰσχύν, μετὰ πολλοῦ τοῦ δέους τοῖς οἰκείοις διάγειν·
τὸ γὰρ δείλης καταλύσουσι, τοῦτο λέγει· ἐπειδὴ γὰρ τὸ μεσημβρίας εἴληφεν ἐπὶ τοῦ προ-
φανοῦς, τὸ δείλης ἔλαβεν ἐπὶ τοῦ δέους· ὡς τῶν λανθανόντων φευγόντων μὲν τὸν ἡμερινὸν
καιρόν, ἐπὶ δὲ τὸν ἑσπέριον κατατρέχειν εἰωθότων ἐλπίδι τοῦ λαθεῖν· ταῦτα δέ φησιν ἔσται,
ἐπειδ' ἂν ἐπισκεψάμενος ὁ θεὸς αὐτοῦ τῆς Ἰούδα φυλῆς ἀπαλλάξειέν τε αὐτοὺς τῆς αἰχμα-
λωσίας, καὶ πρὸς τὰ οἰκεῖα πάλιν μετὰ τῆς ἰδίας ἐπαναγάγοι βοηθείας.

Εἶτα ἀπὸ τῶν ἀλλοφύλων ἐφ' ἑτέρους μετάγων τὸν λόγον. “ Ἤκουσα ὀνειδισμοὺς Μωάβ, v. 8.
καὶ κονδυλισμοὺς υἱῶν Ἀμμὼν ἐν οἷς ὠνείδιζον τὸν λαόν μου, καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅρια
αὐτοῦ· διὰ τοῦτο ζῶ ἐγὼ λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς Ἰσραὴλ ὅτι Μωὰβ ὡς Σόδομα v. 9.
ἔσται, καὶ υἱοὶ Ἀμμὼν ὡς Γόμοῤῥα. ,, Καὶ τὰ παρὰ Μωαβιτῶν καὶ Ἀμμανιτῶν εἰς αὐτοὺς
ἐμοὺς γινόμενα ἑώρων, ἅτε ἔλεγον αὐτοῖς ὀνειδίζοντες ὡς οὐδὲν ἐκ τῆς ἐμῆς ὠφελουμένοις p. 396.
θεραπείας, ὅσα τε αὐτοῖς κατὰ τὴν δύναμιν τὴν οἰκείαν ἐπῆγον κακά· ὥστε καὶ μεθ' ὑπερβαλ-

incolarum quae Cretâ erat oriunda. Vult ergo dicere: infelicissimi omnium cuncti vos, qui maritimam partem habitatis cum Cretensibus advenis. Decrevit contra vos omnes Deus, o Chananaeam habitantes alienigenae, perditurum se vos omnino, nec non a Cretensibus apud vos habitatam regionem (quae pascuum fiet gregum, et statio ovium) in solitudinem vastam rediget.

“ Et erit funiculus maris reliquis de domo Iudae: super ipsos pascentur in domibus Ascalonis, ad vesperam requiescent a facie filiorum Iudae, quia visitat eos dominus Deus eorum, et avertit captivitatem ipsorum. ,, Nam qui servati fuerint, inquit, de Iudae tribu, totam tenebunt maritimam partem, illamque omnem quasi suam incolent regionem usque Ascalonem. Vult autem ex una cunctas alienigenarum urbes dicere, more suo a parte totum significans, timentes filiorum Iudae fortitudinem, multo cum pavore in proprio solo degentes. Nam dictio, ad vesperam requiescent, hoc significat. Sicut enim meridie dixit pro manifeste, ita vesperam pro timore: quasi ii qui latere student diurnum tempus vitent, vespertino autem discurrere soleant, latitandi spe. Haec, inquit, erunt cum Deus Iudae tribum visitans avertet eos a captivitate, atque in patriam rursus auxilio suo restituet.

Deinde ab alienigenis ad alios sermonem transferens, ait. “ Audivi opprobria Moab, et contumelias filiorum Ammon, quibus exprobrabant populo meo, et magnificabantur super terminos eius. Propterea, vivo ego dicit Dominus, quia Moab sicut Sodoma erit, et filii Ammon quasi Gomorrha. ,, Moabitarum quoque et Ammanitarum adversus meos videbam facinora, et quod eis conviciantes dicerent, nul-

λέσης τῆς μεγαλαυχίας τῶν ὁρίων ἐφάπτεσθαι τῶν ἐμῶν, ὡς ἂν αὐτοῖς προσήκειν ὀφειλόντων λοιπόν· ὑπὲρ ὧν δὴ Σοδόμων τε καὶ Γομόῤῥων μιμήσονται τὴν ἐρημίαν. “ Καὶ Δαμασκὸς ἐκλελειμμένη ὡς θημωνιὰ ἅλωνος καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα· καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶνται αὐτοὺς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς. ,, Καὶ ἡ Δαμασκὸς γάρ φησιν, ὡς ἂν θημωνιὰ ἐν ἅλωνι συντριβεῖσα ἀφανισθείη, οὕτως ἀφανὴς γενήσεται ἐξ ὄγκου μεγίστου καὶ ὑπερηφανίας πολλῆς εἰς ταπεινότητα κατενεχθεῖσα μεγίστην· ὥστε τοὺς ὑπολιμπανομένους τῶν ἐμῶν καὶ τῆς ἐπανόδου τυχόντας, ἐν διαρπαγῇ τε ποιήσασθαι πάντας
v. 10. αὐτοὺς καὶ κτῆσιν ἰδίαν ἔχειν τὰ ἐκείνων. “ Αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν λαὸν κυρίου παντοκράτορος. ,, Ταῦτα γάρ φησι πείσονται ὑπὲρ ὧν ἐτόλμησαν εἰς θεὸν, καὶ ἐξύβριζον ὀνειδίζοντες τοῖς ἐμοῖς ἐπ' ἐμοὶ κατεπαιρόμενοι αὐτῶν ὡς ἂν ἐν συμφοραῖς ὄντων ἐσχάταις.

v. 11. “ Ἐπιφανὴς ἔσται κύριος ἐπ' αὐτοὺς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν
p. 397. τῆς γῆς· καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τόπου αὐτοῦ πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. ,, Περιφανῆ τοίνυν ποιήσεται τὴν οἰκείαν ἐκδικίαν ὁ θεὸς, ὥστε πάντας τοὺς ἀλλοτρίους μετὰ τῶν παρ' αὐτοῖς θρησκευομένων ἀπολέσαι θεῶν· ἅπαντάς τε τοὺς πανταχοῦ λοιπὸν ἀνθρώποις, εἴ τε ἐν πόλεσιν εἴ τε ἐν νήσοις, πολλὴν ἐπὶ τοῖς παρὰ τοῦ θεοῦ γινομένοις τὴν ἔκπληξιν λαβόντας, κοινὴν αὐτῷ τὴν προσκύνησιν ἀποδιδόναι, ἐν τοῖς ἰδίοις ἑκάστου τόποις ὁμο-
v. 12. λογοῦντος τῆς δυνάμεως αὐτοῦ τὴν ὑπερβολήν. “ Καὶ ὑμεῖς Αἰθίοπες τραυματίαι ῥομφαίας
*cod. ξίφη. μου ἐστέ. ,, Καὶ αὐτοὶ γὰρ ξίφει * διὰ τῶν ἐμῶν τιμωρηθήσεσθε ὑπὲρ ὧν πεπλημμελήκατε εἰς αὐτούς· Αἰθίοπας γὰρ καὶ νῦν τοὺς πλησιάζοντας Αἰγύπτῳ λέγει· ταῦτα μὲν οὖν καθ' ὁμοιότητα τοῦ μακαρίου Ἀμὼς τοῦ προφήτου φησὶν, ὃς τά τε τοῦ Ἰσραὴλ, τά τε τῇ Ἱερουσαλὴμ συμβησόμενα λέγων, μέμνηται καὶ τῶν ἀλλοτρίων ὁπόσα πείσονται καὶ αὐτοὶ, Δαμασκηνοί τε

lum iis fore emolumentum cultus mei; quanta denique mala viribus suis intulerunt. Atque ita gloriabundi fines meos invaserunt, ceu futuros in posterum iuris ipsorum. Quamobrem Sodomorum atque Gomorrhae experientur vastitatem. “ Et Damascus derelicta sicut acervus areae, ac dissipata in aeternum. Et qui reliqui fuerint de populo meo diripient eos, et residui gentes meae possidebunt eos. ,, Damascus etiam, inquit, quasi acervus in area contritus et conculcatus destruetur, atque ignobilis fiet, ex tumore maximo multaque superbia in imam detracta humilitatem: ita ut qui reliqui de meis fuerint, reditumque sortiti, cunctos sint direpturi, et alienas opes pro suis possessuri. “ Haec erunt eis pro contumelia sua, quia conviciati sunt et magnificati sunt super populum Domini omnipotentis. ,, Haec, inquit, patientur propter suam adversus Deum audaciam, et propter contumelias quibus mihi populoque meo conviciati sunt, insultantes ei scilicet tamquam extremis malis demerso.

“ Apparebit Dominus super eos, et disperdet omnes deos gentium terrae, et adorabunt eum singuli de loco suo, cunctae insulae gentium. ,, Illustrem faciet ultionem suam Deus, ita ut alienigenas omnes cum cultis ab eis diis disperdat: quo fiet ut reliqui omnes ubique homines, in urbibus insulisque, Dei facinoribus attoniti, commune illi obsequium exhibeant, in sua quisque statione summam illius potentiam confitentes. “ Et vos Aethiopes vulnerati gladio meo. ,, Vos quoque gladio a meis puniemini, propter ea quae adversus hos peccastis. Aethiopes autem nunc etiam dicit illos Aegypto finitimos. Sic autem loquitur beatum imitans prophetam Amosum, qui dum Israhelis nec non Hierusalem futuros casus recitat, me-

λέγω καὶ Τύριοι, Ἰδουμαῖοι καὶ Ἀμμανῖται, καὶ πάντες δὲ ὁπόσων πεποίηται μνήμην· τὸν
αὐτὸν γὰρ δὴ τρόπον καὶ ὁ μακάριος Σοφονίας τὰ περὶ τὴν Ἱερουσαλὴμ ἐσόμενα παρὰ τῶν
Βαβυλωνίων ἐν τούτοις λέγων, μέμνηται καὶ τῶν ὅσα τοῖς ἀλλοτρίοις κατ' ἐκεῖνον συμβαίνειν
ἤμελλεν τὸν καιρόν· ὅθεν δὴ μετὰ τὰ προῤῥηθέντα ἐπὶ τοὺς Ἀσσυρίους τε καὶ τὴν Νινευὴ
μετάγει τὸν λόγον· ἐπειδὴ τότε Βαβυλώνιοι καὶ τὴν Ἀσσυρίων καθεῖλον ἀρχὴν, τὴν βασι-
λεύουσαν ἐν αὐτοῖς πόλιν, τὴν Νινευὴ λέγω, ἐκπορθήσαντές τε καὶ ἐρημίᾳ παντελεῖ παρα- p. 398.
δόντες· ὅθεν ἐπάγει.

“ Καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ Βοῤῥᾶν, καὶ ἀπολεῖ τὸν Ἀσσύριον, καὶ θήσει τὴν Νι- v. 13.
νευὴ εἰς ἀφανισμὸν ἄνυδρον ὡς ἔρημον, καὶ νεμήσεται ἐν μέσῳ αὐτῆς ποίμνια καὶ πάντα
τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται,
καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς· διότι
κέδρος τὸ ἀνάστημα αὐτῆς. „ Καὶ γὰρ καὶ παρὰ τῶν Ἀσσυρίων τότε δὴ λήψομαι δίκας,
μετὰ τοιαύτης γνώμης ἐπελθεῖν ἐπιχειρησάντων τῇ Ἱερουσαλήμ· ἀφανιῶ γὰρ αὐτῶν καὶ Νινευὴ
τὴν βασιλίδα πόλιν· ὥστε γενέσθαι μὲν αὐτὴν ἔρημον παντελῶς, ἐν μέσῳ δὲ αὐτῆς ποίμνιά
τε νέμεσθαι, καὶ θηρία διάγειν, καὶ τὰ λοιπὰ δὴ ζῷα ὁπόσα ἐν τοῖς ἐρημοτάτοις ἐμφω-
λεύειν εἴωθεν τόποις· ταύτην γὰρ δώσει δίκην δικαίαν ὑπὲρ ὧν μέγα κατὰ πασῶν ἐφρόνει τῶν
πόλεων, ὡσανεὶ κέδρου δίκην πρὸς τὰ λοιπὰ κειμένης φυτὰ ὑπερφέρουσα τῶν ἁπάντων.
“ Αὕτη ἡ πόλις ἡ φαυλίστρια ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς, ἐγώ v. 15.
εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμὲ ἔτι. „ Εὔδηλον δὲ ὅτι ἐκ τῆς πόλεως τῶν ἐνοικούντων τὸ φρόνημα
λέγει· οὐ γὰρ δὴ περὶ τῶν ἀψύχων λίθων ταῦτα φησίν· αὕτη τοίνυν φησὶν ἔστιν ἡ φαυλίστρια,
ἀντὶ τοῦ ἡ πάντα μὲν ἐκφαυλίζουσα, καὶ μηδὲν εἶναι τοὺς λοιποὺς ἡγουμένη πρὸς ἑαυτὴν, p. 399.
ἀρκεῖν δὲ ἑαυτῇ πρὸς ἅπαντα ὑπειληφυῖα· τοῦτο γάρ ἐστι τὸ κατοικοῦσα ἐπ' ἐλπίδι, ἀντὶ
τοῦ ἐλπίδα περὶ ἑαυτῆς ἔχουσα ὡς οὐδὲν οὐδέποτε πεισομένη παρ' ἑτέρου κακόν· διακειμένη

minit simul alienigenarum, qualia scilicet passuri sint Damasceni, Tyrii, Idumaei, Ammanitae, ceterique omnes quorum facit mentionem. Eodem igitur modo beatus Sophonias postquam eventura urbi Hierusalem a Babyloniis mala praedixit, memorat etiam quotquot his ab aliis gentibus clades erant per illud tempus superventurae. Quapropter post ante dicta sermonem transfert ad Assyrios et Niniven: quia nimirum tunc Babylonii Assyriorum imperium deleverunt, regia ipsorum urbe Ninive subversa et vastitati omnimodae tradita. Unde addit.

“ Et extendet manum suam super aquilonem, et perdet Assyrium, et ponet Niniven in desolationem inaquosam quasi desertum. Et pascentur in medio eius greges, et omnes bestiae terrae, et chamaeleontes et ericii in praesepibus eius cubabunt: et bestiae clamabunt in foveis eius, et corvi in portis eius, quia cedrus altitudo eius. „ Profecto etiam ab Assyriis poenas reposcam, qui tali cum proposito Hierusalem adgressi sunt. Etenim ipsorum regiam urbem Niniven adeo destruam, ut plane deserta fiat, et in medio eius pascantur greges, et ferae habitent, et quotquot animalia solent in desertissimis locis cubitare. Has autem iustas dabit poenas, quia contra omnes superbiebat civitates, quasi cedrus inter reliquas arbores caput extollens. “ Haec est civitas vilipendens, quae habitat in spe, quae dicit in corde suo: ego sum, et non est post me amplius. „ Patet prophetam urbis nomine incolarum superbiam denotare: neque enim de insensatis lapidibus haec dicit. Haec est ergo, inquit, urbs vilipendens, id est omnium contemptrix, et omnes reliquas prae se flocci faciens, sibique ipsi ad omnia sufficere existimans. Id enim signifi-

τε φησὶν, ὡς μόνη τε οὖσα, καὶ οὐδὲ ἐν τῷ εἶναι κρίνεσθαι ἀξίων οὐσῶν τῶν λοιπῶν πόλεων πρὸς αὐτήν· εἶτα ὀνειδιστικῶς ταῦτα εἰπὼν, καὶ τὴν κατὰ πάντων ὀνειδίσας ὑπεροψίαν αὐτῇ, κάλλιστα ἐπάγει. " Πῶς ἐγένετο εἰς ἀφανισμὸν νομὴ θηρίων; πᾶς ὁ διαπορευόμενος αὐτῆς συριεῖ, καὶ κινήσει τὰς χεῖρας αὐτοῦ. „ Ἀλλὰ γὰρ οἵαν ὑπομεμένηκας τὴν μεταβολὴν, ὅπως ἤδη εἰς ἐρημίαν καταστὰς νομὴ γέγονας θηρίων; ὥστε ἅπαντας τοὺς παριόντας συρίττειν τε ἐπὶ σοὶ καὶ κινεῖν τὰς χεῖρας, θαυμάζοντάς σου τὴν τοσαύτην μεταβολήν· καὶ τί λέγειν;

ΚΕΦ. Γ'.

v. 1. " Ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη πόλις· ἡ περιστερὰ οὐκ εἰσήκουσε φωνῆς, οὐδὲ ἐδέ-
v. 2. ξατο παιδείαν, ἐπὶ τῷ κυρίῳ οὐκ ἐπεποίθει καὶ πρὸς τὸν θεὸν αὐτῆς οὐκ ἤγγισεν. „ Ταῦτα
φησὶν ἐροῦσιν, ὁπόση τις ἦν ἡ ταύτης περιφάνεια, ὅπως ἁπάντων ἐκεχώριστο τῶν κακῶν;
τοῦτο γὰρ λέγει, λελυτρωμένη· ὁπόση τις αὐτῆς ἦν ἡ εὐπρέπεια; τὴν γὰρ περιστερὰν τοῦτο φησὶν,
ἐπειδή πως τερπνὸν ἐν ὀρνέοις εἶναι δοκεῖ τὸ ζῶον καὶ σοβαρῶς βαδίζον· οὕτω καὶ ὁ μακάριος
* Ps. LXVII. 14. p. 400. λέγει Δαυίδ· * ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, ἐκεῖ πτέρυγες περιστερᾶς περιηργυ-
ρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου· ἀπολαβόντας τὴν γῆν τῆς ἐπαγγε-
λίας, ἁπάντων φανεῖσθαι τοὺς Ἰσραηλίτας τερπνοτέρους λέγων τῇ τῆς περιστερᾶς ὁμοιώσει·
οὕτω κἀνταῦθα εἰπεῖν ἠβουλήθη, ἀντὶ τοῦ ὡραία ἢ ἐπιτερπής· ὡς καὶ ὁ μακάριος Ναοὺμ ὀνει-
* Nah. III. 4. δίζων αὐτῇ λέγει τὸ *, πόρνη καλὴ καὶ ἐπίχαρις· τοιαύτη φησὶν οὖσα, τῆς τοῦ πεμφθέντος
πρὸς αὐτὴν προφήτου φωνῆς οὐκ εἰς τέλος ἤκουσεν, οὐδὲ παντελῆ τὴν ἐκεῖθεν ἐδέξατο διδα-
σκαλίαν· πρὸς μικρὸν ἤδη μεταβάλλεσθαι δοκοῦσα, αὖθις ἐπὶ τὴν ἑαυτῆς ἀνέδραμε κακίαν·
οὐδὲ γοῦν λόγον τινὰ τοῦ τὸν προφήτην ἀποστείλαντος ἐποιήσατο θεοῦ, οὐδὲ ἐδοκίμασεν αὐτοῦ

cant verba habitans in spe, id est spem fovens nihil umquam mali se abs quolibet passuram: unicam semet existimans, nullamque urbem esse dignam quae secum comparetur. His non sine convicio dictis, eiusque adversus omnes superbia obiurgata, egregie addit: " quomodo facta est in solitudinem, in pascuum bestiarum? Omnis qui per eam transibit, sibilabit manusque suas commovebit. Hem qualem experta es conversionem, in tantum ut pascuum bestiarum evaseris! ut omnes qui iuxta te transeunt, exsibilent, manusque suas erga te intendant, tantam mirantes conversionem! Quid vero dicentes?

CAP. III.

" O illustris et redempta civitas, columba! Non exaudivit vocem: non admisit disciplinam: in Domino non est confisa, et Deo suo non appropinquavit. ,, Sic omnes, inquit, dicent: quanta fuit huius celebritas! quantum omni calamitate aberat! Id quippe denotat dictio, redempta. Quanta eius pulchritudo erat! hoc enim denotat columbae vocabulum, quod animal videtur inter aves apprime delectabile et cum dignitate incedens. Sic etiam beatus ait David: si dormiatis inter medios cleros, ibi alae columbae deargentatae, et dorsum eius cum pallore auri. Dicit nimirum, post adquisitam promissionis terram, Israhelitas videri prae ceteris delectabiles, ad columbae similitudinem. Ita hoc etiam loco dicere voluit pro, pulchra et speciosa. Velut etiam beatus Nahumus ei convicians ait: meretrix pulchra et gratiosa. Talis quum esset (Ninive) missi ad eam prophetae noluit vocem usque ad finem audire, neque perfectam admisit disciplinam; sed tantisper visa converti, rursus ad eandem recurrit nequitiam. Nihil pensi Deum habuit qui prophetam miserat, neque

λοιπὸν προσανέχειν, τοιαύτην εἰληφυῖα πεῖραν· τοὐναντίον μὲν οὖν ἀπέστη τε αὐτοῦ παντελῶς, καὶ πρὸς πόλεμον αὐτοῦ κατέστη, μετὰ τὴν τῶν δέκα φυλῶν ἀναίρεσιν ἐπεληλυθυῖα τῇ Ἱερουσαλὴμ, ἐν ἧπερ εἶναι τὸν θεοῦ συνέβαινε τὸν ναόν· ἐνταῦθα πάλιν οἱ θαυμασοὶ μυθολόγοι τῶν Σύρων ἰωνᾶ φασὶ λέγεσθαι κατὰ τὴν Σύρων γλῶτταν ἡ περιστερά· ὁ μὲν οὖν προφήτης, Ἰωνᾶ τοῦ προφήτου πόλιν αὐτὴν βούλεται λέγειν διὰ τὸ αὐτόθι κηρύξαι· ὁ ἑρμηνεύσας δὲ, περιστερὰν αὐτὴν εἶπε διασφαλείς· περὶ μὲν οὖν τοῦ μὴ τοὺς ἑβδομήκοντα ἐσφάλθαι, τὸν p. 401.
δὲ εἰς τὴν Σύρων γλῶτταν ἡρμηνευκότα τὴν γραφὴν πολλῷ δικαιότερον ἂν νομίσαιμεν τοῦτο πεπονθέναι, εἴρηται πρόσθεν ἡμῖν ἀρκούντως· ἐκεῖνο δὲ οἱ θαυμασοὶ μυθολόγοι πῶς οὐ συνεῖδον ὅτι ὀνειδίζων τῇ πόλει λέγει, ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη πόλις, ἡ περιστερά· τοιαῦτα γὰρ καὶ τὰ ἑξῆς, οἷον ἐστὶ καὶ παρὰ τῷ Ναοὺμ τὸ, πόρνη καλὴ καὶ ἐπίχαρις· ὁμοίως γὰρ αὐτῇ κἀνταῦθα ὀνειδίζει ἐφ' ᾗ πρόσθεν ἐσεμνύετο εὐπρεπείᾳ· Ἰωνᾶ δὲ πόλιν αὐτὴν τοῦ προφήτου διὰ τὸ ἐξ ἐκείνου σεσῶσθαι, οὐκ ἄν ποτε ὀνειδίζων ἔφη· ἀλλ' οἱ μὲν οὐ νενοηκότες τὸ εἰρημένον, ἐπὶ συριακούς τε καὶ γραώδεις ἐτράποντο μύθους.

Ὁ δὲ προφήτης ἀκολούθως καὶ τὰ ἑξῆς ἐπάγει, τὴν παλαιὰν εὐπραγίαν αὐτῆς εἰρωνι- v. 3.
κῶς τε ἅμα λέγων καὶ ὀνειδιστικῶς. " Οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι. „ Οὕτω δυνατοὶ καὶ κατὰ πάντων θρασυνόμενοι. " Οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τὸ πρωΐ· „ Ὀξεῖς περὶ τὸ πέρας ἐπιτιθέναι τοῖς πράγμασιν, ὥστε αὐθήμερον ἅπαντα τέμνειν, καὶ μηδὲν ἀτελὲς εἰς τὴν ἑξῆς ἀφιέναι. " Οἱ προφῆται αὐτῆς πνευ- v. 4.
ματοφόροι ἄνδρες καταφρονηταί. „ Καὶ οἱ ἐν αὐτῇ δὲ φησὶ μαντεύεσθαι ἐπαγγελλόμενοι, μετὰ πολλῆς ὑπεροψίας τὰ δοκοῦντα ἐφθέγγοντο. " Οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια, καὶ ἀσεβοῦσιν εἰς τὸν νόμον. „ Καὶ οἱ δοκοῦντες δὲ παρ' αὐτοῖς ἱερατεύειν, εἴς τε τὸν νόμον τὸν p. 402.
ἐμὸν εἴς τε τὸν ναὸν ἠσέβουν, διεγείρειν ἐπὶ ταῦτα τοὺς πειθομένους αὐτοῖς πᾶσαν ἔχοντες

illi obedire deinceps voluit, quamquam tale tantumque experimentum ceperat. Sed contra potius a Deo prorsus recessit, immo bellum in eum commovit, cum post decem tribuum excidium, Hierusalem adorta est, qua in urbe templum Dei erat. Rursus heic mirabiles Syrorum mythologi aiunt: IONA Syrorum lingua appellari columbam. Sophoniam igitur, voluisse hanc appellare prophetae Ionae urbem, qui illic praedicavit: at graecum interpretem columbam non sine errore dixisse. Sed enim quod non septuaginta viri erraverint, sed ipse potius scripturae syrus interpres errores passus credendus sit, dictum a nobis antea satis fuit. Illud vero quomodo hi miri mythologi non intelligunt; quod per convicium dicit: o illustris et redempta civitas, columba! Haec sunt enim et alia huiusmodi, veluti apud Nahumum: meretrix pulchra et gratiosa; similiter nunc etiam exprobrat illam qua antea gloriabatur formositatem. Verumtamen Ionae prophetae urbem, propterea quod ab illo salvata fuit, numquam eam si conviciaretur, dixisset. At isti dictione non intellecta, ad syriacas anilesque fabulas conversi sunt.

" Verum propheta consentanee sequentia quoque addit, priscam illius felicitatem ironice simul et cum convicio memorans: " principes eius in ea veluti rugientes leones. „ Adeo potentes, et adversus omnes asperi. " Iudices eius ut lupi Arabiae, nihil dimittebant in mane. „ Ad rem conficiendam celeres, ut una eademque die cuncta concîdant, nihilque non confectum in posterum relinquant. " Prophetae eius spiritu perciti, viri contemptores. „ Qui apud ipsam, inquit, vaticinari spondent, multo cum fastu visa sibi loquebantur. " Sacerdotes eius contaminant sancta, peccant in legem. „ Qui apud eos fungi sacerdotio videbantur,

v. 5. τὴν σπουδήν· οἷς ἀκολούθως ἐπήγαγεν. “ Ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῶν, καὶ οὐ μὴ
ποιήσῃ ἄδικον· πρωῒ δώσει κρίμα αὐτοῦ εἰς φῶς. „ Ἀλλὰ γὰρ οὐδὲν ὄφελος αὐτοῖς γέ-
γονεν τῆς παρανομίας ἐκείνης· καὶ γὰρ καὶ ἀκόντων αὐτῶν ἐν μέσῳ θεὸς ὑπῆρχεν, εἰ καὶ μη-
δένα λόγον αὐτοῦ ποιεῖσθαι ἐβούλοντο· ὃς πολλὴν ἔχων τῆς δικαίου φροντίδα, οὐδὲ νῦν ἀνέ-
ξεται τῆς παρὰ τούτων ἐπιτελουμένης ἀδικίας ἐπὶ πολὺ κρατούσης· ἄδικον δὲ ἡγησάμενος
τὸ ἀτιμωρήτους ἀφεῖναι τοιούτους ὄντας, ὀξεῖαν κρίσιν τὴν κατ᾽ αὐτοὺς ποιήσεται, καὶ πρόδη-
λον αὐτοῖς ἐπάξει τὴν ὑπὲρ τῶν ἐπταισμένων τιμωρίαν· τὸ γὰρ πρωῒ πρωῒ τὴν ἄγαν ταχύτητα
v. 6. λέγει· εἶτα τίνα τὰ ἐκ τούτου γινόμενα λέγων “ ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους,
ἠφανίσθησαν γωνίαι αὐτῶν, ἐξερημώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν τοῦ μὴ διοδεύεσθαι·
ἐξέλιπον αἱ πόλεις αὐτῶν παρὰ τὸ μηδένα ὑπάρχειν μὴ δὲ κατοικεῖν. „ Διαφθορᾷ μὲν γὰρ
αὐτοὺς διὰ τὴν ὑπερηφανίαν αὐτῶν παραδέδωκα· ἀφανιῶ δὲ πάσας αὐτῶν τὰς πόλεις· εἰς
p. 403. τοσαύτην τε ἐρημίαν ἄξω τὰ παρ᾽ αὐτοῖς, ὥστε καὶ τὰς ὁδοὺς λοιπὸν ἀδήλους εἶναι ἐρημίᾳ τῶν
διοδευόντων, ἥπερ οὖν παραδώσω καὶ τὰς πόλεις αὐτῶν ἁπάσας, ὥστε μηδένα οἰκοῦντα
εὑρίσκεσθαι ἐν αὐταῖς· ἀλλὰ γὰρ δηλώσας ἐν τούτοις καὶ τὴν Νινευῒ τὴν ἐρημίαν, τήν τε τῶν ἀσ-
συρίων ἀρχῆς τὴν καθαίρεσιν, τρέπει πρὸς αὐτὸν τὸν Ἰουδαίας τὸν λόγον καὶ φησίν.
v. 7. “ Εἶπον· πλὴν φοβεῖσθε με, καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ
ὀφθαλμῶν αὐτῆς διὰ πάντα ὅσα ἐξεδίκησα ἐπ᾽ αὐτήν. „ Ἤδη μὲν οὖν προλαβὼν
διεμαρτυράμην ὑμῖν διὰ τῶν προφητῶν, ὥστε ἐν φόβῳ μὲν ἔχειν ἐμὲ, ἅτε ῥᾳδίως ὑμᾶς
εἰ πταίοιτε καὶ τιμωρεῖσθαι δυνάμενον, δέξασθαι δὲ τὴν προσαγομένην ὑμῖν διδασκαλίαν
ἐπαγγειλάμενος· οὔτε ἀφανίζειν ὑμᾶς, εἰ ταῦτα ποιοῖτε, τῆς προσόψεως τῆς ἐμῆς ἀφαι-
ρεθέντας τῶν τόπων, ἐν οἷς περ διατέτακται τῆς θεραπείας ὑμᾶς ἐπιμελεῖσθαι τῆς ἐμῆς· οὔτ᾽

contra legem meam contraque templum impie agebant; et quos obsequentes habebant, ad haec ipsa scelera studiose concitabant. Quamobrem consequenter subdit: “ Dominus autem iustus in medio eorum, et nihil aget iniquum: mane proferet iudicium suum in lucem. „ At enim nihil eis profuit illa iniquitas: namque in medio eorum versabatur Deus, etiamsi eum flocci faciebant: qui tamen magnopere iustitiae tenax, ne nunc quidem horum iniquitatem diu dominari sinet: etenim quum iniquum reputet impunes dimittere huiusmodi homines, properatum iudicium de his exercebit, publicamque imponet eis peccatorum punitionem. Nam duplicata dictio, mane mane, summam celeritatem denotat. Deinde rei effectum significans “ in corruptela, inquit, traxi superbos, dissipati sunt anguli eorum, desertas omnino faciam vias eorum, ita ut nemo illuc pertranseat: defecerunt civitates eorum, quia nemo superest vel inhabitat. „ Corruptelae tradidi illos propter superbiam: destruam cunctas ipsorum civitates, resque illorum ad tantam solitudinem redigam, ut ipsae viae incognitae futurae sint transeuntium penuria; quod ipsum cunctis quoque urbibus eveniet, quia nullus deinceps incola invenietur in eis. Iamvero postquam his verbis Ninives desolationem ostendit, et assyriaci imperii eversionem, vertit ad Iudaeos sermonem, aitque.

“ Dixi: verumtamen timete me, et excipite disciplinam, atque ita non peribitis ex oculis illius, propter ea omnia, quae ultus sum contra eam. „ Iampridem testatus vobis sum per prophetas, ut me timeretis, qui facile possum si peccaveritis punire; atque ut data monita reciperetis denunciavi, numquam vos, si ita vos gesseritis, me destructurum, neque a locis quos ego aspectu meo dignos iudico, expulsurum: denique nihil eorum gesturum, quae nunc peccatorum vestrorum mul-

ἔτι διαπράξασθε τούτων ἃ νῦν ἐπήγαγον ὑμῖν εἰς ἐκδικίαν ὧν πεπλημμελήκατε πολλάκις.
“ Ἑτοιμάζου, ὄρθρισον, διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν. ,, Ἀλλ᾽ ἐπειδὴ τότε τὸ
δέον παρελίπετε καὶ πεπόνθατε τοιαῦτα, νῦν γοῦν ἑαυτοὺς παρασκευάσατε εἰς τὸ μετὰ πά-
σης ἐπιμελείας τε καὶ σπουδῆς τῶν παρ᾽ ἐμοῦ διατεταγμένων ἀντέχεσθαι, ἅτε καὶ τῆς κηδε-
μονίας μου τῆς περὶ ὑμᾶς ἀπόδειξιν ἔχοντες τὸ πᾶσαν παντελῶς ἀφαιρεθῆναι τὴν δύναμιν
τῶν ἐχθρῶν. “ Διὰ τοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρ- v. 8.
τύριον. ,, Καὶ διατηρεῖτε δὴ πρὸς ἐμὲ ἀφορῶντες, καὶ τὴν παρ᾽ ἐμοῦ βοήθειαν ἀναμένοντες p. 404.
ἣν κατὰ καιρὸν ὑμῖν παρέξω, ὡς ἐκ νεκρῶν ὑμᾶς ἀνιστῶν, καὶ ἀπαλλάττων μὲν τῆς αἰχμα-
λωσίας, ἐπανάγων δὲ πάντας ὑμᾶς ἐπὶ τὰ οἰκεῖα· ταῦτα γὰρ πάλαι τε διὰ τῶν προφητῶν
καὶ νῦν ὑμῖν ἐπήγγελμαι παρέξειν, ὡς ἂν μαρτυρίαν τῆς ἀληθείας τῶν παρ᾽ ἐμοῦ προηγορευ-
μένων ἔχοιτε τῶν γινομένων τὴν ἔκβασιν.

“ Διότι τὸ κρίμα μου εἰς συναγωγὰς ἐθνῶν τοῦ εἰσδέξασθαι βασιλεῖς τοῦ ἐκχέαι ἐπ᾽
αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ μου· διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ. ,,
Τότε γὰρ δὴ μάλιστα σαφῆ τὴν κρίσιν ἐπιδείξομαι τὴν ἐμὴν ἣν ὑπὲρ ὑμῶν ποιήσομαι, τοὺς
πανταχόθεν ἀθροιζομένους τῶν ἐθνῶν ὑπὸ τιμωρίαν ἄγων· πολλοὺς γὰρ δὴ βασιλέας τε
καὶ σατράπας σὺν τοῖς οἰκείοις στρατοπέδοις ἐπὶ τὴν Ἱερουσαλὴμ χωροῦντας εἰσδέξομαι,
τουτέστιν ἐλθεῖν ἐάσω, ὥστε σαφῆ μέν μου τὴν κηδεμονίαν τὴν περὶ ὑμᾶς αὐτῶν ποιῆσαι τῶν
πραγμάτων· πολλὴν δέ τινα τὴν ἐπ᾽ αὐτοὺς ὀργὴν ἐκχέαι, πᾶσάν τε αὐτὴν κατ᾽ αὐτῶν
κινῆσαι· ἐπειδὴ ὡσανεὶ διὰ πυρὸς ἀναλώσω πάντας αὐτοὺς ζήλῳ τινὶ λαμβανόμενος,
ὅτι κατὰ τῶν οἰκείων τῶν ἐμῶν τετολμήκασι τοσοῦτον· λέγει δὲ τῶν περὶ τὸν Γὼγ ἕνεκεν, οὓς μετὰ p. 405.
τὴν ἐπάνοδον ἐπεληλυθότας αὐτοῖς ἀναριθμήτους ὄντας ἀπώλεσεν ἅπαντας. “ Ὅτι τότε v. 9.
μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰς αὐτῶν, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυ-
ρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ,, Θαῦμα γοῦν κοινὸν ἅπαντας λήψεται τοὺς

titudine commotus ira vindice perpetravi. “ Praeparare, consurge diluculo, corrupta est frondositas eorum. ,, Sed quia tunc officium vestrum deseruistis, ideoque haec pertulistis; nunc vosmet comparate ad obediendum mandatis meis sedulitate omni ac studio; quippe qui meae erga vos providentiae demonstrationem habetis, hostium vestrorum potentiae supremum exterminium. “ Propterea expecta me, dicit Dominus, in diem resurrectionis meae in testimonium. ,, Ad me continenter respicite, meumque auxilium expectate quod suo tempore conferam, dum vos tamquam a mortuis suscitabo, et expediam captivitate, atque ad propria unumquemque loca reducam. Quippe haec olim per prophetas, et nunc denuo collaturum me vobis spondeo, ut veritatis promissionum mearum testis vobis sit rerum exitus.

“ Quia iudicium meum ad congregationes gentium, ut corripiam reges, ut effundam super eos totam iram furoris mei: quia in igne zeli mei consumetur universa terra. ,, Tunc maxime ultionem meam manifestam reddam, quam pro vobis facturus sum, cum gentes undique coacervatas poenae subiiciam. Multos enim reges atque satrapas cum suis exercitibus adversus Hierusalem irruentes excipiam, id est venire permittam, ut meam mox erga vos tutelam rebus ipsis demonstrem: multam in eos iram effundam, totoque impetu intorquebo: quia tamquam igne omnes consumam zelo quodam correptus, propterea quod contra populum meum talia ausi sunt. Insuper de Gogi quoque exercitibus verba facit, quos post Israhelitarum reditum cum infinito numero incursionem facientes perdidit. “ Quia tunc convertam super populos linguam in generationes eorum, ut invocent omnes nomen Do-

πανταχοῦ τῶν ἀνθρώπων ἐπὶ τῇ καινότητι τῶν γινομένων, ὥστε ὡσανεὶ μιᾷ γλώττῃ κεχρημένους τοὺς ἐν διαφόροις τε καθεστῶτας τόποις, καὶ εἰς διάφορα συντελοῦντας ἔθνη, συμφώνως θεόν τε ὁμολογεῖν τὸν τῶν Ἰσραηλιτῶν θεόν, ὥσπερ ὑφ' ἑνὶ ζυγῷ πάντας καταστάντας μακαριστὴν ἡγεῖσθαι τὴν ὑπ' αὐτῷ δουλείαν, ἀφ' ὧν αὐτοί γε ἀξιοῦσθαι μέλλετε
v. 10. παρ' ἐμοῦ. " Ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι τοὺς ἱκετεύοντας, μετὰ τῶν
διεσπαρμένων οἴσουσι θυσίας μοι. ,, Ἐλεύσονται γοῦν τῇ δουλείᾳ προστρέχοντες τῇ ἐμῇ ἀπὸ τῶν Αἰθιοπίας μερῶν, οἱ μεθ' ὑμῶν δὴ τῶν νῦν μὲν διεσπαρμένων ἐν τῇ αἰχμαλωσίᾳ, ἐπανεληλυθότων δὲ τότε, κοινάς μοι προσάξουσι τὰς θυσίας.

v. 11. " Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν
ἠσέβησας εἰς ἐμέ, ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκ ἔτι μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου. ,, Κατ' ἐκεῖνον δὴ τὸν καιρὸν οὐχ ὑπομενεῖς οὐδὲν τῶν ὅσα διὰ τὰς ἀσεβείας σου πάσχουσα νῦν αἰσχύνῃ περιβέβλησαι πλείστῃ· πάντα γὰρ ὅσα πεποιήκατε ἐκφαυλίζοντες τε τὰ ἐμά, καὶ παντοίας ὕβρεώς μοι
p. 406. διὰ τῆς περὶ τὰ εἴδωλα θεραπείας γινόμενοι πρόξενοι, περιελῶ δὴ ἐξ ἁπάντων ὑμῶν,
ἅτε καὶ τὰς ἐπὶ τούτοις ἐπαχθείσας ὑμῖν τιμωρίας ἀφαιρῶν· ὡς μηκέτι μὴ δὲ ὑμᾶς ἐν τῷ ὄρει τῷ πρὸς θεραπείαν ἐμὴν καθεστῶτι μετὰ ὑπερηφανίας διάγειν τοσαύτης, ἀμελοῦντας
v. 12. μὲν τῆς κατ' ἐμέ, θεραπείαν δὲ πᾶσαν προσάγοντας τοῖς εἰδώλοις. " Καὶ ὑπολείψομαι
ἐν σοὶ λαὸν πρᾶον καὶ ταπεινόν. ,, Ἐπανάξω γὰρ ὑμᾶς πεπαιδευμένους ἐκ τῆς αἰχμαλωσίας, ὥστε πραότητι καὶ ταπεινότητι συζῶντας δι' εὐλαβείας ἔχειν τὰ ἐμά· ὅθεν ἐπάγει.
v. 13. " Καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραήλ, καὶ οὐ ποιή-
σουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι μάταια· καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία· διότι αὐτοὶ νεμήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. ,, Διαμενεῖτε γὰρ οἱ ἐπανε-

mini, ut ei tamquam uno sub iugo serviant. ,, Admiratio omnes communis corripiet ubique gentium, propter actarum rerum novitatem, ita ut cuncti una veluti lingua utentes, qui diversis habitant regionibus, et in varias scissi sunt gentes, una voce Deum esse confiteantur, Israhelitarum Deum, et tamquam uni iugo subiecti beatum existiment ei servire, ea nimirum beneficia cernentes quibus ego vos dignaturus sum. " Usque a finibus fluminum Aethiopiae excipiam supplicantes mihi: cum dispersis (meis) mihi victimas adferent. ,, Venient itaque, meoque servitio accedent, ab Aethiopum regionibus, qui vobiscum nunc captivitate dispersis, tunc autem reducibus, communiter mihi victimas adducent.

" In die illa non confundêris ab omnibus adinventionibus tuis, quibus impie egisti in me: quia tunc auferam a te vilipendia contumeliae tuae, et ultra non adiicies ut glorieris super montem sanctum meum. ,, Illo quidem tempore nihil experieris eorum, quae nunc impietatis tuae causa patiens pudore plurimo obrueris. Cuncta enim quae egistis, obsequium meum negligentes, mihique omne genus iniuriae per idolorum servitutem inferentes, haec inquam procul omnibus vobis faciam, poenas simul ob ea vobis impositas auferens: ut vos deinceps in monte qui cultui meo est addictus, tali cum superbia non consistatis, mei quidem obliti, cultum vero omnem exhibentes idolis. " Et relinquam in te populum mansuetum et humilem. ,, Reducam vos satis eruditos ex captivitate, ut iam mansuete humiliterque viventes, pie cultu meo fungamini. Unde addit: " et verebuntur a nomine Domini reliquiae Israhelis, et non facient iniquitatem, et non loquentur vana, et non invenietur in ore eorum lingua dolosa: quoniam ipsi pascentur, et non erit

ληλυθότες ἐκ τῆς αἰχμαλωσίας ἐν φόβῳ μὲν ἔχοντες τὴν ἐμὴν ὀνομασίαν, ἀδικίας δὲ ἀπε-
χόμενοι πάσης, καὶ τῆς ἀτοπιῶν καθαρεύοντες ἃς δὴ μετῄειτε πρότερον· φυλάξεσθε δὲ τότε
καὶ τὸ δολερᾷ τῇ διανοίᾳ προσποιεῖσθαι μὲν τὴν ἐμὴν θεραπείαν, προσκεῖσθαι δὲ τοῖς εἰδώ-
λοις· ἐντεῦθεν γοῦν ὑμῖν προσέσται καὶ τὸ μετὰ πάσης ἀδείας νέμεσθαί τε καὶ ἀπολαύειν τῶν
οἰκείων, ἐν ἁπάσῃ τε διάγειν ἀναπαύσει, μηδενὸς ὑμᾶς ἐκταράττειν τε καὶ ἀφιστᾶν τῶν οἰ-
κείων τόπων οἵου τε ὄντος. Ταῦτα ὑποσχόμενος αὐτοῖς περιέσεσθαι ἐκ τῆς ἐπανόδου, ἐπάγει v. 14.
λοιπόν. “ Χαῖρε θύγατερ Σιὼν σφόδρα· κήρυσσε θύγατερ Ἱερουσαλὴμ, εὐφραίνου καὶ κατα- p. 407. v. 15.
τέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ Ἱερουσαλήμ· περιεῖλε κύριος τὰ ἀδικήματά σου·
λελύτρωταί σε κύριος ἐκ χειρὸς ἐχθρῶν σου· βασιλεύσει κύριος ἐν μέσῳ σου· οὐκ ὄψει κακὰ
οὐκέτι. „ Ἐν ἡδοναῖς δὲ λοιπὸν δίαγε παντοίαις ὦ Ἱερουσαλὴμ, μετ᾽ εὐφροσύνης καὶ τέρ-
ψεως διάγουσα παντελοῦς· ἀφελὼν γάρ σου πάντα τὰ παρανομήματα ὁ θεὸς, ἀναγκαίως
σε καὶ τῆς ἐχθρῶν ἀφεῖλε δυναστείας, ὑφ᾽ ἧς ἐπεπτώκεις, τῆς τιμωρίας διδοῦσα δίκας· ἔσται
τε κύριος ἐν σοὶ λοιπὸν διὰ τῆς εἰς σὲ κηδεμονίας τὴν οἰκείαν βασιλείαν δεικνύων· ὡς μηδὲν
ἔτι σοι προσεγγίσαι οἷόν τε εἶναι κακόν.

“ Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ Ἱερουσαλήμ· θάρσει Σιὼν, μὴ παρείσθωσαν v. 16.
αἱ χεῖρές σου· κύριος ὁ θεός σου ἐν σοὶ, δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, v. 17.
καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σοὶ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορ-
τῆς, καὶ συνάξει τοὺς συντετριμμένους. „ Τότε δὲ πάσης ἐκλύσεως ἀπαλλάξει τὴν Ἱερουσα- v. 18.
λὴμ ὁ θεὸς, αὐτὸς αὐτὴν διὰ τῆς οἰκείας περισώζων δυνάμεως, ἐν πολλῇ τε καθιστὰς εὐ-
φροσύνῃ ἀνακαινιεῖ τὴν περὶ ὑμᾶς ἀγάπην· τοιαῦτα δὴ πράττων τε καὶ ἐπιδεικνύμενος τῆς
ὑμετέρας ἕνεκεν σωτηρίας, οἷά περ ἐπεδείξατο ποτὲ μετὰ πολλῶν τεράτων τε καὶ θαυμά-
των ἐξαγαγὼν ὑμᾶς τῆς Αἰγύπτου· οὕτω γὰρ δὴ καὶ νῦν ὑμᾶς ὑπὸ τῆς αἰχμαλωσίας συντρι- p. 408.
βέντας ἀπαλλάξει τε τῶν κατεχόντων κακῶν, καὶ ἀποδώσει τοῖς οἰκείοις πάλιν. “ Οὐαὶ τῆς v. 19.

qui exterreat eos. „ Perseverabitis autem vos reduces e captivitate nomen meum timori habentes, ab iniquitate omni abstinentes, et omni vitio purgati, cui antea fuistis obnoxii: cavebitis autem quominus cultum meum dolosa mente simuletis, dum idolis adhaeretis. Hinc vobis continget ut secure prorsus pascamini, vestrisque bonis fruamini, atque in alta requie vivatis, nemine vos turbare vestrisque sedibus abducere valente. Haec illis post reditum fore vaticinatus, deinde addit. “ Laetare valde, filia Sion: praedica, filia Hierusalem: exulta et delectare toto corde tuo, filia Hierusalem: abstulit Dominus peccata tua, redemit te Dominus de manu inimicorum tuorum: regnat Dominus in medio tui: non videbis mala ulterius. „ In omnimoda deinceps voluptate versare, o Hierusalem, cum omni laetitia et delectatione vitam exige: nam cum tua omnia peccata Deus deleverit, necessario te ab inimicorum potentatu subduxit, quibus eras subiecta dum iustas poenas lueres. Erit vero apud te abhinc Deus, per suum erga te patrocinium, proprium regnum demonstrans. Quare nulla iam ad te propinquare calamitas poterit.

“ Tempore illo dicet Dominus Hierusalem: confide, Sion, non dissolvantur manus tuae. Dominus Deus tuus in te: potens salvabit te, et renovabit te caritate sua, et laetabitur in te delectatione, quasi in die sollemni. Et congregabit confractos. „ Tunc ab omni infirmitate tuebitur Hierusalem Deus, ipse illam sua virtute salvabit, atque in multa hilaritate constituens, suam erga vos caritatem instaurabit: paria illis faciens et ostentans vestrae salutis causa, qualia olim ostentavit, cum non sine prodigiis multis atque miraculis Aegypto vos eduxit. Sic nunc etiam vos cala-

ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν; ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκεν ἐμοῦ, λέγει κύριος. ,, Ἀλλὰ
γὰρ ἐλεεινότατοι οἱ τι πεπλημμεληκότες εἰς αὐτὴν, εἰς οὓς ὑπὲρ ὑμῶν τὴν οἰκείαν ἐπιδείξεται
δύναμιν ὁ θεός· ὥστε καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοὺς ὑμᾶς ἐπὶ τοῖς γεγονόσιν ὑμῶν
γε ἕνεκεν εἶναι. " Ἐν τῷ καιρῷ ἐκείνῳ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσ-
δέξομαι· ,, τιμωρήσομαι μὲν γὰρ ἐκείνους, περισώσω δὲ τοὺς ὑπὸ τηλικούτων κακῶν πιε-
v. 20. σθέντας, τοὺς ἀπωσμένους τε τῶν οἰκείων ἐπανάξω πάλιν ἐπὶ τὰ οἰκεῖα. " Καὶ θήσομαι
αὐτοὺς εἰς καύχημα, καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ· " ὥστε αὐτοὺς ἐκ τῶν παρ' ἐμοῦ περὶ
αὐτοὺς γινομένων ἐν θαύματί τε καὶ ἐπαίνοις παρὰ πᾶσιν ἀνθρώποις εἶναι. " Καὶ κα-
ταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ ὅτ' ἂν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ ὅτ'
ἂν εἰσδέξωμαι ὑμᾶς. ,, Περιβληθήσονται γὰρ αἰχύνῃ πάσῃ οἱ ὑμέτεροι πολέμιοι, ἐπειδ'
ἂν τὰ κάλλιστα περὶ ὑμᾶς διαπραττόμενος, εἰς τὰ οἰκεῖα πάλιν ὑμᾶς ἐπαναγάγω.
" Διότι δώσω ὑμᾶς ὀνομαστοὺς, καὶ εἰς καύχημα ἐν πᾶσι τοῖς λοιποῖς τῆς γῆς, ἐν τῷ ἐπι-
στρέφειν με τὴν αἰχμαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει κύριος. ,, Τοσαῦτα γὰρ καὶ τηλι-
καῦτα περὶ ὑμᾶς τε καὶ ὑπὲρ ὑμῶν κατὰ τῶν ἐχθρῶν ἐργάσομαι τῶν ὑμετέρων, ὥστε ἅπαντας
p. 409. τοὺς πανταχοῦ διὰ μνήμης τε ἔχειν ὑμᾶς καὶ ἐπαίνων, θαυμάζοντας ᾧ τινι δὴ τῷ τρόπῳ
τῆς τοιαύτης αἰχμαλωσίας ὑμᾶς ἀπαλλάξας ἐπανήγαγον εἰς τὰ οἰκεῖα.

mitate contritos ab urgentibus malis liberabit, et in patriam restituet. " Vae, qui acceperit super eam opprobrium? Ecce ego facio in te propter me, dicit Dominus. ,, Profecto infelicissimi erunt qui aliquid adversus Hierusalem egerint, cuius gratia Deus potentiam suam expromet; in tantum ut apud omnes homines famosi evadatis ob collatam vobis caelestem opem. " Tempore illo salvabo oppressam, et expulsam recipiam. ,, Puniam illos, salvabo autem tot malis obrutos, et sua patria expulsos postliminio in eam reducam. " Et ponam eos in gloriam, et famosos in universa terra. ,, Hos certe, ob ea quae ipsorum causa feci, admiratione ac laudibus omnes homines prosequentur. " Et confundentur tempore illo quando bene vobis fecero, et tempore quo suscepero vos. ,, Pudore omnino suffundentur inimici vestri, cum rebus vestris egregie consulens, in patriam vos restituam. " Quia faciam vos illustres atque nobiles inter reliquos omnes terrae populos, cum convertero captivitatem vestram coram vobis, dicit Dominus. ,, Tot tantaque circa vos proque vobis adversus vestros inimicos agam, ut ubique omnes memoraturi sint vos ac laudaturi, mirantes quomodo tali vos captivitate expeditos in patriam restituerim (1).

(1) Postquam de vero Sophonia egimus, in Hebraeorum armarium christianaeque Ecclesiae canonem recepto, non piget alium quoque commemorare sed apocryphum Sophoniam, quem citant Clemens alex. strom. lib. V. 11, et S. Athanasius in S. scripturae synopsi n. 75. Immo et Virgilius tolosanus grammaticus a nobis editus AA. class. T. V. p. 20. quaedam Sufphoniae hebraei (falsi tamen) verba insperato nobis recitat.

ΕΡΜΗΝΕΙΑ ΑΓΓΑΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Ὡσηὲ μὲν καὶ Ἰωὴλ καὶ Ἀμὼς καὶ Μιχαίας οἱ μακάριοι προφῆται κοινὸν πρὸς ἅπαντα τὸν ἰσραηλιτικὸν λαὸν ἐποιοῦντο τὸν λόγον, τούς τε τῶν δέκα φυλῶν ὧν ἐβασίλευεν ἡ Σαμάρεια, καὶ μὴν καὶ τοὺς τῆς Ἰούδα φυλῆς, τούς τε τὴν Ἱερουσαλὴμ οἰκοῦντας, ἀμφοτέρους ὁμοίως· ἐπί τε ταῖς ἀσεβείαις καὶ ταῖς παρανομίαις ἐλέγχοντες αἷς διεπράττοντο ποικίλως· προστιθέντες δὲ καὶ τὰ ὑπὲρ τούτων αὐτοῖς ἀμετανοήτως πταίουσι συμβησόμενα κακά, τά τε ταῖς δέκα φυλαῖς πρότερον ὑπὸ τῶν ἀσσυρίων συμβάντα, καὶ τὰ τοῖς τῆς Ἰούδα φυλῆς ὑπὸ βαβυλωνίων ὕστερον γεγονότα· οἷς περ οὖν καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν ἐπισυνῆπτον ταῖς προρρήσεσι ταῖς ἑαυτῶν, ὅτι τε ἀφεθέντες τῆς αἰχμαλωσίας ἐπὶ τὴν χώραν πάλιν ἀνελεύσονται τὴν οἰκείαν. Ἀβδιοὺ μὲν τοῦ μακαρίου τὴν Ἰδουμαίοις κατὰ τὸν τῆς ἐπανόδου καιρὸν ἐπαχθησομένην λέγοντος τιμωρίαν· Ἰωνᾶ δὲ τοῦ μακαρίου τὴν καταστροφὴν ἀπειλήσαντος νινευΐταις, εἰ μὴ τῆς ἑαυτῶν μεταβάλοιντο κακίας· τοῦ μακαρίου δὲ Ναοὺμ σαφῶς p. 410. τήν τε πολιορκίαν τῆς Νινευή, καὶ τὴν καθαίρεσιν ἁπάσης τῆς τῶν ἀσσυρίων βασιλείας μηνύοντος προδήλως, ἣν ὑπὸ βαβυλωνίων ἔμελλον ὑπομένειν. Ἀμβακοὺμ δὲ καὶ Σοφονίας οἱ μακάριοι προφῆται ἤδη τῶν ἐν ταῖς δέκα φυλαῖς ἐκπορθηθέντων τε ὑπὸ τῶν ἀσσυρίων καὶ παντελῆ τήν τε αἰχμαλωσίαν καὶ τὴν ἐκ τῶν τόπων τῶν οἰκείων μετάστασιν δεξαμένων, τοὺς τῆς Ἰούδα φυλῆς μόνους, τούς τε ἐπὶ τῆς Ἱερουσαλὴμ οἰκοῦντας, ἐπὶ ταῖς ἀσεβείαις αὐτῶν ἐλέγχουσι καὶ ταῖς παρανομίαις, λέγοντες τὴν διὰ τῶν βαβυλωνίων ἐπὶ τούτοις ἐπαχθησομένην αὐτοῖς παρὰ τοῦ θεοῦ τιμωρίαν, οὐ μετὰ πολύν γε ἐσομένην τὸν χρόνον, ἀλλ' ὡς εὐθύ γε καὶ παραχρῆμα τῶν μηνυομένων κακῶν ἐπελευσομένων αὐτοῖς ἁπάντων, καὶ ἐγγυτέραν γε τῶν ἐσομένων τὴν ἔκβασιν Σοφονίου μηνύοντος ἔσεσθαι τοῦ προφήτου.

COMMENTARIUS IN AGGAEUM PROPHETAM.

Beati prophetae Oseas et Iohel et Amosus atque Michaeas ad universum pariter Israhelitarum populum verba fecerunt, nempe et ad decem tribus, quarum metropolis Samaria erat, itemque ad Iudae coniunctim tribum civesque Hierosolymorum; quos omnes peccatis deditos et diversorum criminum reos aeque obiurgabant; adiectis impendentium malorum minis, si sine paenitentia delinquerent: ceu reapse illis accidit, decem scilicet primo tribubus ab Assyriis, deinde Iudae tribui a Babyloniis. Sed tamen cum his praedictionibus felicem quoque rerum conversionem spondebant prophetae, nempe quod populus captivitate expeditus in patriam reversurus esset. Beatus autem Abdias poenas Idumaeis circa reditus tempus infligendas narrat. Beatus Ionas excidium Ninivitis minatur, nisi a sua malitia resipuerint. Beatus Nahumus Ninives obsidionem, universique imperii Assyriorum eversionem praecinit, quam a Babyloniis experturi erant. Beati prophetae Abacucus ac Sophonias postea quam decem tribus Assyrii iam populati fuerant, suisque sedibus abreptas in captivitatem transtulerant, Iudae tribum, quae sola erat reliqua, civesque urbis Hierosolymorum de sua iniquitate legumque violatione coarguunt, atque adfuturam aiunt a Babyloniis ultionem, haud equidem sero pede, sed iam proximam, cum malorum omnium, quae praedicta fuerant, cohorte: et sane propinquum rerum exitum Sophonias propheta canit.

Ἀγγαῖος δὲ ὁ μακάριος προφήτης, οὗ δὴ πρόκειται νῦν ἡμῖν θεοῦ χάριτι ποιεῖσθαι τὴν σαφήνειαν, οὐ τῆς αἰχμαλωσίας μόνον ἤδη γεγενημένης τῆς ὑπὸ Βαβυλωνίων τοῖς κατὰ τὴν Ἱερουσαλὴμ ἐπαχθείσης ποιεῖται τὴν προφητείαν, ἀλλὰ γὰρ ἀπαλλαγέντων μὲν τῶν Ἰσραηλιτῶν ἤδη τῆς αἰχμαλωσίας, ἐπανεληλυθότων δὲ πάλιν εἰς τὴν χώραν τὴν οἰκείαν παρὰ πᾶσαν
p. 411. ἀνθρωπίνην ἐλπίδα χάριτι θείᾳ, τοῖς λόγοις κέχρηται τοῖς οἰκείοις, τοὺς ἐπανεληλυθότας τέ καὶ ἐπὶ τῆς οἰκείας διάγοντας χώρας τῆς τοσαύτης χάριτος παραδόξως τετυχηκότας ἐλέγχων ἐπὶ τῇ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ ῥᾳθυμίᾳ· οὗ τῆς οἰκοδομῆς πρόδηλον ὡς οὐχ ἑαυτοῦ γε ἕνεκεν εἶχε φροντίδα πολλὴν ὁ θεὸς, ὡς αὐτὸς περὶ ἑαυτοῦ φησίν· ὁ οὐρανός μοι
* Is. LXVI. 1. θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· * ποῖον τοῦτον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μου ἐστί; καίτοι γε μικρὸν καὶ τοῦτο, εἰ πρὸς τὸ μέγεθος τὰ εἰρημένα σκοπεῖτο τὸ θεῖον, ἁπάντων γε τῶν ὄντων προδήλως ὑπερκείμενον, οὐδ' ὁπόσον εἰπεῖν τε ἢ νοῆσαι δύναιτο ἄν τις· ἀλλ' ὑπὲρ αὐτῶν γε τῶν Ἰσραηλιτῶν ὁ τῶν ἀνθρωπείων ψυχῶν κηδόμενος, τῆς οἰκοδομῆς τοῦ ναοῦ πολὺν ποιεῖται τὸν λόγον· ἐπειδὴ γὰρ διετάξατο μὲν ἐν ἐκείνῳ τῷ τε τόπῳ καὶ τῷ ναῷ συνιόντας τὴν καθήκουσαν αὐτῷ τοῖς νομικοῖς παραγγέλμασιν ἀκολούθως ἀποδιδόναι θρησκείαν, διὰ πάντων δὲ τούτων ἐπὶ τῆς εὐσεβείας ἐβούλετο συνέχεσθαι τὸν λαὸν, ὡς ἂν προσηκόντως ἐκεῖθεν κατὰ καιρὸν ὀφθείη τὸν δέοντα ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὁ δεσπότης τὸ κατὰ σάρκα Χριστὸς, ἀναγκαίως τῆς κατασκευῆς ἐπιμέλειαν ἐποιεῖτο τοῦ ναοῦ, ὡς ἂν ὁ λαὸς διὰ τῆς ἐν αὐτῷ συναγωγῆς τὴν βελτίωσιν δέχοιτο, ὑπὲρ ἁπάντων ὡς ἔφην ἀνθρώπων τῆς οὕτω πολλῆς τε καὶ μεγίστης ἀξιούμενος ἐπιμελείας· ὡς γὰρ θυσιῶν ἀνέχεται καὶ τῶν ἄλλων δὴ τῶν τοιούτων ὁ θεὸς, οὐδὲν τούτων δεό-
p. 412. μενος καθάπαξ αὐτὸς διὰ τὴν ἡμετέραν χρείαν, οὕτω καὶ τῆς περὶ τὸν ναὸν εἴχετο φροντίδος, οὐχ ἑαυτοῦ γε ἕνεκεν, ἀλλ' ὑπὲρ ἐκείνων, οὓς αὐτόθι συνιέναι τε καὶ τὴν καθήκουσαν τῷ θεῷ

Beatus vero Aggaeus propheta, cuius nunc explanandi cum Dei gratia consilium a nobis susceptum est, vaticinium suum non modo circa recentem Hierosolymorum a Babyloniis captorum calamitatem facit; verum etiam solutos iam servitute Israhelitas, atque in patriam praeter omnem humanam spem Dei gratia restitutos, oratione sua reduces alloquitur, qui in propriis laribus versabantur, tantoque beneficio mirabiliter usi fuerant; atque eorum in templi aedificatione segnitiem obiurgat: quod templum ut aedificaretur, haud equidem sui causa tantam curam gerebat Deus, qui ceteroquin ait: " caelum mihi thronus, terra autem scabellum pedum meorum. Quae est ista domus quam mihi aedificatis, ait Dominus, aut quisnam locus quietis meae? ,, Profecto nihil non parvum est, si quae diximus cum Dei magnitudine comparentur, quae res omnes creatas tantum excedit, quantum homini nec fari licet. Verumtamen Deus, cui animarum cura est, Israhelitarum potius causa de templi aedificatione tantopere laborabat. Nam quia in mandatis dederat, ut eo in loco temploque congregati congruum legitimis institutionibus cultum sibi persolverent; atque his caerimoniis exerceri a populo religionem volebat, ut apte illinc tempore suo ad communem peragendam salutem Christus dominus in carne emergeret; ideo de hoc aedificio sollicitus necessario erat; nempe ut conventibus in eo celebrandis mores suos emendaret populus, cui prae ceteris ut dixi hominibus tantam Deus curam dignanter impertiebat. Nam sicuti sacrificia et cetera eiusmodi Deus recipit, non quia ipse his egeat, sed utilitatum nostrarum causa; sic etiam templi studium prae se ferebat, non equidem sui gratia sed Iudaeorum, quos illic congregari iustamque Deo religionem persolvere, prae

θεραπείαν ἀποδιδόναι προσῆκον ἦν ὑπὲρ ἁπάντων γε ἀνθρώπων, ὥσπερ οὖν ἔφθην πρόσθεν εἰπών· ἔχει δέ τινα καὶ μελλόντων ἐσομένων τὸ βιβλίον τὴν περὶ τούτων γνῶσιν φημὶ, ἣν ἀπ' αὐτῶν τῶν γεγραμμένων ἄμεινον ἴδοι τις ἄν· ἀλλ' οὗτος μὲν ὁ τοῦ βιβλίου σκοπός· προσεκτέον δὲ τοῖς κατὰ μέρος λοιπόν.

ΚΕΦ. Α'.

" Ἐν δὲ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως, ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ v. 1.
μηνὸς, ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων. „ Ἐν δευτέρῳ μὲν
ἔτει Δαρείου Περσῶν βασιλεύοντος τοῦ τετάρτου μετὰ Κῦρον ὃς πρῶτος Μήδων τε καὶ Περσῶν
κατὰ ταυτὸν ἐβασίλευσεν, ἐπανεληλυθότων ἤδη εἰς τὰ οἰκεῖα τῶν τε τῆς Ἰούδα φυλῆς καὶ τῶν
λοιπῶν ὁπόσοι περ αὐτοῖς συνανελθεῖν προθυμίαν εἶχον, καὶ δὴ καὶ τὴν Ἱερουσαλὴμ ἀπει-
ληφότων τὴν οἴκησιν, Ἀγγαῖον τὸν μακάριον προφήτην ἀποκαλύψεως ἠξιῶσθαι θείας φη-
σὶν, ἐπὶ τῷ τὴν τῶν προσηκόντων διάλεξιν πρὸς τοὺς ἀνεληλυθότας ποιήσασθαι τῶν Ἰουδαίων,
καὶ πρό γε τῶν ἄλλων τῆς οἰκοδομῆς καταμελοῦντας ἐλέγξαι τοῦ ναοῦ, ὃν δὴ μάλιστα ἐπ-
ανεληλυθότας ἀπὸ τῆς αἰχμαλωσίας μετὰ πολλῆς ἀνεγεῖραι τῆς προθυμίας προσῆκον ἦν.
Ἐπισημαίνεται δὲ καὶ τὸν μῆνα καὶ τὴν ἡμέραν καθ' ἣν ἐξ ἀποκαλύψεως θείας ὁ προφήτης
ἐχρῆτο τοῖς πρὸς Ἰουδαίους λόγοις, ὡς ἂν τεταγμένως δείξειεν ὅπως μὲν αὐτοῖς τῆς οἰκοδο- p. 413.
μῆς ἀμελοῦσι τοῦ ναοῦ τὰ πράγματα διακεῖσθαι συνέβαινεν, ὅσην δὲ μετάστασιν ἐπὶ τὸ
κρεῖττον ἔλαβον ὁπηνίκα τῆς περὶ τὸν ναὸν οἰκοδομῆς τὴν προσήκουσαν εἶχον ἤρξαντο φρον-
τίδα. Τίνα δὲ ἦν ἅπερ εἰπεῖν πρὸς αὐτοὺς ὁ προφήτης ἐκελεύσθη παρὰ τοῦ θεοῦ, ἑξῆς φησίν.
" Εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ v. 2.
Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν λέγων· τάδε λέγει κύριος παντοκράτωρ λέγων· ὁ λαὸς οὗτος
λέγουσιν, οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου. „ Κελεύει γὰρ αὐτῷ πρός τε

ceteris ut paulo ante dixi hominibus, aequum erat. Futurarum praeterea rerum mentio aliqua in libello est; quarum notitiam ex ipsis scriptis cognoscere praestat. Hoc est igitur argumentum libri, qui iam singillatim explanandus est.

CAP. I.

" Anno Darii regnantis secundo, mense sexto, die una (prima) mensis, factus est sermo Domini in manu Aggaei prophetae dicens. „ Anno secundo Darii Persarum regis, quarti post Cyrum illum qui primus Medorum simul atque Persarum imperium tenuerat, quum iam in patriam se recepissent quotquot ex Iudae tribu et ex reliquis sponte cum illa redire voluerant, quumque ii Hierosolymorum urbem iam incolerent, beatus Aggaeus prophetas divina revelatione collustratus dicitur; ut is nimirum reduces Iudaeos de officiis admoneret, atque apprime negligentiam eorum in aedificando templo obiurgaret, qui sane excitandi illius maximum studium debuissent expromere. Significat etiam mensem ac diem, quo secundum Dei revelationem propheta ad populum loqui orsus est: ut deinde ordinatim dicat quid eis acciderit ob neglectum templi aedificium; quantoque meliore in statu tunc fuerint, cum structuram illam alacri animo urgere coeperunt. Iam quaenam iis propheta dicere a Deo iussus fuerit, in sequentibus declarat. " Loquere ad Zorobabelem Salathielis filium de tribu Iudae, et ad Iesum Iosedeci filium sacerdotem magnum dicens: haec ait Dominus omnipotens dicens: populus iste dicit, non venit tempus aedificandi domum Domini. „ Mandat ei, ut Zorobabeli qui de Iudae

τὸν Ζοροβάβελ ὃς τῆς Ἰούδα φυλῆς ὑπάρχων, ἔκ τε τοῦ μακαρίου Δαυὶδ καταγόμενος κατὰ τὰς ἐπαγγελίας τὰς θείας ἐβασίλευε τότε τοῦ λαοῦ· καὶ μὴν καὶ πρὸς τὸν Ἰωσεδὲκ Ἰησοῦν, ὃς τὸ τῆς ἀρχιερωσύνης ἔργον ἀκολουθίᾳ γένους κατὰ τὴν μωσαϊκὴν διάταξιν ἐκ τοῦ Ἀαρὼν καταγόμενος ἐκτελεῖν ἐπεπίστευτο, εἰπεῖν ταῦτα ἅπερ οὖν ἐπ' ἐλέγχῳ τῆς περὶ τὸν ναὸν τοῦ λαοῦ ῥᾳθυμίας διδάξαι προσῆκον ἦν· ταῦτα γὰρ δὴ πρὸς τούτους μάλιστα ὡς ἡγουμένους εἰκότως ἐλέγετο· ἅτε καὶ τοὺς λοιποὺς διεγείρειν ἐπὶ τὸ πρᾶγμα ὀφείλοντας, φαίνεται οὐκ αὐτοῖς ἐν τῷ λόγῳ καταμεμφόμενος, ἀλλὰ τῷ λαῷ· ὡς δῆλον εἶναι ὅτι οἱ μὲν τὴν προσή-
p. 414. κουσαν εἶχον περὶ τὸ πρᾶγμα προθυμίαν, ἐκτελεῖν δὲ ὅπερ ἐβούλοντο ἀδυνάτως εἶχον, οὐκ ἐθέλοντος αὐτοῖς τοῦ λαοῦ πρὸς τοῦτο συμπράττειν· διόπερ τούτοις τὰ ἐπ' ἐλέγχῳ τοῦ λαοῦ συντείνοντα λέγει, ὡς ἂν οὗτοί τε μᾶλλον ἐπὶ τὸ ἔργον διεγερθεῖεν, κἀκεῖνοι δὲ διόρθωσιν δέξαιντο τὴν προσήκουσαν, εἰς τὸ πάσῃ τῇ προθυμίᾳ τὰ συντείνοντα εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ διαπράττεσθαι, καὶ μετὰ πολλῆς γε πείθεσθαι τοῖς ἡγουμένοις τῆς ἑτοιμότητος, πρὸς ἅπερ ἂν αὐτοῖς περὶ τούτου κελεύωσιν, ὡς κατὰ βούλησιν θείαν τὸ ἐπίταγμα ποιουμένοις.

Τρεπόμενος δὲ ἐπὶ τὸν ἔλεγχον τοῦ λαοῦ, καλῶς ἐκ τῆς πεπλασμένης αὐτῶν ἀπολογίας
ποιεῖται τὴν ἀρχὴν, ἧπερ κεχρημένοι εὐπροσώπως καταμελεῖν ἐδόκουν τοῦ ἔργου· λέγουσι
γάρ φησιν οὔπω παρεῖναι τῆς οἰκοδομῆς τοῦ ναοῦ τὸν καιρὸν, ὡς ἂν δικαίως ἀμελοῦντες φαί-
νοιντο τοῦ ἔργου· εἶτα πεπλασμένην ἐλέγχων τὴν ἀπολογίαν ἐκ κακίας εὑρημένην εἰς προ-
v. 3. κάλυμμα τῆς ῥᾳθυμίας, ἐπάγει. " Καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου
v. 4. λέγων· εἰ καιρὸς μὲν ὑμῖν ἐστὶ τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ οἶκος οὗτος
ἐξηρήμωται; ,, Εἶτα φησίν· περὶ μὲν τὰς οἰκοδομὰς τὰς οἰκείας οὕτως ἐσπουδάκατε, οὐ
μόνον μετὰ πολλῆς αὐτὰς ἀνεγείροντες τῆς προθυμίας, ἀλλὰ καὶ καλλωπίζοντες αὐτὰς σὺν
πάσῃ δυνάμει· τῷ δὲ ναῷ μόνῳ καιρὸς οἰκοδομῆς οὐ πάρεστιν; οὐδὲ αἰσχύνεσθε τὸν πάσης

tribu ortus, et de beati Davidis posteris, iuxta divinas promissiones regnabat in populo; item Iesu Iosedeci filio, cui sacerdotalis operis, ob seriem generis iuxta mosaicam constitutionem, utpote ex Aarone oriundo, administratio commissa fuerat, mandat haec dicere, quae ad reprehendendam circa templum segnitiem apta erant. Porro haec praesertim ducibus merito dicebantur, qui reliquum populum ad opus extimulare debebant: et nihilominus non tam duces quam populum obiurgare propheta videtur: constabat enim duces convenientem operis curam gessisse, haud tamen voti compotes fieri, renuente populo ad id cooperari: quamobrem his ea quae ad populi obiurgationem pertinebant dicit, ut et ipsi magis ad opus excitarentur, et populus congruam correptionem acciperet, quò omni alacritate aedificii laboribus instarent, suisque ducibus multa cum docilitate obedirent, quatenus sibi hoc in negotio praeciperent, tamquam Dei iussa facturis.

Iam vero ad populi reprehensionem conversus, praeclare ex ipsorum simulata excusatione initium ducit, qua utentes, specioso cum praetextu existimabant se posse opus negligere. Aiunt enim, inquit, nondum tempus aedificandi templi adesse, ita ut merito cessare ab opere viderentur. Deinde falsam hanc defensionem coarguens ex nequitia ortam ad desidiae obtentum, pergit dicere. " Et factum est verbum Domini in manu Aggaei prophetae, dicens: si tempus quidem vobis est habitandi in domibus vestris laqueatis, domus autem haec deserta est. ,, Deinde ait: ad vestras quidem aedificationes sedulo incumbitis, quas non solum studiosa opera excitatis, verum etiam totis viribus exornatis: solius autem templi exstruendi tempus adhuc non adest? Neque vos pudet, causam vobis cuiuslibet boni Deum, in

ὑμῖν τῆς σωτηρίας αἴτιον ἐν τοσαύτῃ τυγχάνοντα περιορῶντες ἐρημίᾳ, ὡς τὰ μὲν οἰκή- p. 415.
ματα ὑμῶν καὶ γεγονέναι μετὰ σὲ κεκαλλωπίσθαι μετὰ πολλῆς ἄγαν τῆς ἐπιμελείας, τοῦ ναοῦ
δὲ τὸν τόπον ἐρημίᾳ παραδεδόσθαι ἔτι, μηδὲν ὑμῶν εἰς οἰκοδομὴν αὐτοῦ ποιῆσαι καθάπαξ
ἑλομένων. “ Καὶ νῦν τάδε λέγει κύριος παντοκράτωρ· τάξατε τὰς καρδίας ὑμῶν εἰς τὰς v. 5.
ὁδοὺς ὑμῶν. ,, Ἀναλογίσασθε φησὶ τὰ καθ' ἑαυτοὺς καὶ δοκιμάσατε μὲν ἃ πεπράχατε,
τοῦ ναοῦ καταρραθυμοῦντες τοῦ θείου, τίνα δὲ ὑμῖν ἐκ τούτου συμβέβηκεν· εὔδηλον γὰρ ὅτι ὁδοὺς
αὐτῶν τὰς πράξεις αὐτῶν καλεῖ, καθὼς εἴωθεν.

Εἶτα λέγει. “ Ἐσπείρατε πολλά, καὶ εἰσηνέγκατε ὀλίγα· ἐφάγετε, καὶ οὐκ εἰς πλη- v. 6.
σμονήν· ἐπίετε, καὶ οὐκ εἰς μέθην· περιεβάλεσθε, καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς· καὶ ὁ τοὺς
μισθοὺς συνάγων, συνήγαγεν εἰς δεσμὸν τετρυπημένον. ,, Ἐννοήσατε γὰρ ἐν ὅσῃ διὰ τὴν ῥα-
θυμίαν ἐκείνην κατέστητε ἐνδείᾳ τε καὶ σπάνει τῶν ἀναγκαίων· ὡς ἀπὸ πολλῶν μὲν σπερ-
μάτων βραχὺν συλλέγειν καρπόν, ἀπολαύειν δὲ μὴ τροφῆς μὴ πότου μὴ ἐνδυμάτων πρὸς
κόρον τῆς κατεπειγούσης χρείας, ἅτε πάντων σπανιζόντων ὑμῖν τῶν ἀναγκαίων· ἐκ δὲ τούτου
καὶ τὰ μισθώματα ὑμῖν, ὡς εἰκός, ὅσα περ ἐποιεῖσθε ἀγροὺς τε ἐκμισθοῦντες, καὶ ὁπόσα δὴ
τοιαῦτα εἰς οὐδὲν ἐγίνετο ὄφελος· ἐπειδὴ τῶν καρπῶν ἀπολλυμένων, οὐδὲ τὰ μισθώματα
ὑμῖν παρὰ τῶν ἐκλαμβανόντων τελεῖσθαι δυνατὸν ὑπῆρχεν· ὥσπερ δὲ ἐν βαλαντίῳ ἢ p. 416.
ῥάκει ἢ τινι ὅλως ἀποδέσμῳ εἰ τετρυπημένον εἴη, συλλέγεσθαι ἀργύριον οὐδαμῶς δυνατόν,
διεκπίπτον καὶ ἀπολλύμενον πάντως, οὕτως τῇ τῶν καρπῶν ἀπωλείᾳ καὶ τὰ μισθώματα
ὑμῖν συνδιαφθείρεσθαι ἀναγκαῖον ὑπῆρχεν. “ Τάδε λέγει κύριος παντοκράτωρ· θέσθε τὰς v. 7.
καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· ἀνάβητε ἐπὶ τὸ ὄρος, καὶ κόψατε ξύλα, καὶ οἴσατε, καὶ v. 8.
οἰκοδομήσατε οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε κύριος. ,, Ἀλλὰ
γὰρ ταῦτα ἀναλογισάμενοι, διορθώσασθε μὲν τὰ νῦν παρ' ὑμῶν ἀμελούμενα, καὶ φροντίσατε

tanta vastitate relinquere? ita ut vestrae quidem domus non aedificentur tantummodo, verum etiam omni cum sedulitate exornentur; area vero templi prorsus deserta sit, nihil vobis ad eius structuram conferre volentibus. “ Et nunc haec dicit Dominus omnipotens: ponite corda vestra ad vias vestras. ,, Reputate, inquit, res vestras, et facta explorate, qui divinum templum negligitis; et quaenam vobis proinde contigerint. Patet autem prophetam vocabulo viae, illorum opera, prout solet, designare.

Postea dicit: “ seminastis multa, et intulistis pauca: comedistis, et non ad saturitatem: bibistis, et non ad ebrietatem: induistis vos, et non estis calefacti in eis: et qui mercedes congregabat, coacervavit eas in sacculum pertusum. ,, Considerate, in quantam vestrae ignaviae causa deveneritis egestatem et rei necessariae penuriam: ita ut de multis seminibus exiguum fructum collegeritis, et neque esca neque potu neque vestimento satis frui potueritis, neque urgentem egestatem satiare, quia vobis necessaria omnia defuerunt. Hinc etiam pensiones vestrae, quotquot locandis agris vel aliis huiusmodi comparavistis, ad nihilum redactae fuerunt: etenim pessumdatis fructibus, ne pensiones quidem a redemptoribus dari potuerunt. Sicut autem in crumena aut panniculo aut quovis alio involucro, quod pertusum fuerit, coacervari argentum nequit, quod omnino efflueret ac periret, sic etiam pereuntibus fructibus, vestras quoque pensiones deperire necesse fuit. “ Haec ait Dominus omnipotens: ponite corda vestra ad vias vestras: ascendite in montem, et praecidite ligna, et deferte, ac templum aedificate, et delectabor in eo, et glorificabor, ait Dominus. ,, Eia ergo haec reputantes, facite quae hactenus neglexistis,

τῆς οἰκοδομῆς τοῦ ναοῦ· ξύλα τε ἐκτεμόντες, καὶ τὰ λοιπὰ δὴ τὰ πρὸς τὴν οἰκοδομὴν ἐπι-
τήδεια μετὰ πολλῆς εἰσενέγκαντες τῆς προθυμίας· ἀρεσθεὶς δὲ καὶ αὐτὸς τῇ γινομένῃ παρ'
ὑμῶν οἰκοδομῇ τοῦ ναοῦ, τοιαῦτα εἰς ὑμετέραν εὐεργεσίαν ἐργάσομαι, ἃ παρὰ πᾶσι με
ποιήσει γνώριμον, ὡς μέγιστα τοὺς εὐνοίᾳ μοι πείθεσθαι βουλομένους δυνάμενον ὠφελεῖν.

Εἶτα πάλιν ὑπομιμνήσκων αὐτοὺς ὧν τὸ πρότερον διὰ τὴν ῥαθυμίαν ὑπέμενον, καὶ
v. 9. εἰπὼν " ἐπεβλέψατε εἰς πολλά, καὶ ἐγένετο ὀλίγα, καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύ-
σησα αὐτά. „ Ἵνα εἴπῃ ὅτι οὔτε τοὺς καρποὺς ὑμῖν ἐκ τῆς γῆς παρέχεσθαι εἴων· καὶ τὰ
v. 10. δοκοῦντα γίνεσθαι, ἀπόλλυον· ἑτέρως ἐπάγει. " Διὰ τοῦτο τάδε λέγει κύριος παντοκρά-
p. 417. τωρ, ἀνθ' ὧν ὁ οἶκός μου ἐστὶν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, διὰ
v. 11. τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ στελεῖται τὰ ἐκφόρια αὐτῆς ἐφ' ὑμᾶς· καὶ ἐπάξω
ῥομφαίαν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον, καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον,
καὶ ἐπὶ πάντα ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πάντας
τοὺς πόνους τῶν χειρῶν αὐτῶν. „ Βούλεται δὲ διὰ τούτων αὐτοὺς ὧν ἀμελοῦντες τοῦ ναοῦ πεπόν-
θεσαν ὑπομνῆσαι· ὅτε γάρ φησι τὸν οἶκον τὸν ἐμὸν ἐν ἐρημίᾳ τυγχάνοντα περιορῶντες, περὶ
τὴν οἰκοδομὴν τῶν οἴκων ἐσπουδάζετε τῶν ἰδίων, τότε φησὶν ὅ τε ὑετὸς ἐπείχετο, καὶ ἡ γῆ τὸν
καρπὸν οὐκ ἐδίδου, καὶ ὥσπερ τινὶ ξίφει πάντας τοὺς ἐπὶ τῆς γῆς ἠφάνιζον καρπούς, ἁπτό-
μενος καὶ ἀνθρώπων καὶ κτηνῶν πολλάκις, πάντα τε συντόμως εἰπεῖν ἀπολλὺς ὑπὲρ ὧν
ἐπονεῖτε· ἐπὶ γὰρ τῇ προτροπῇ τοῦ ἀναβῆναι καὶ κόψαι ξύλα ἐνεγκεῖν τε καὶ φροντίσαι τῆς
οἰκοδομῆς, ταῦτα ἐπήγαγε, τῇ μνήμῃ τῶν γεγονότων φοβῶν αὐτοὺς μὴ ῥαθύμως δέξασθαι
τὸ ἐπίταγμα· ἐπάγει γοῦν.

v. 12. " Ἤκουσε Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ
ἱερεὺς ὁ μέγας, καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ, τῆς φωνῆς κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ τῶν

et de templo exstruendo solliciti estote, ligna praecidentes, ac reliqua aedificationi idonea multo cum animi fervore parantes. Ego vero vicissim hoc vestro templi aedificio delectatus, ea vobis beneficia conferam, quae me palam ostendent, illos maxime iuvare valentem qui benivolo obsequio mihi obediunt.

Rursus postea commemorans, quae antea propter suam segnitiem pertulerunt, ait: " respexistis ad multa, et facta sunt pauca; et illata sunt in domum, et exsufflavi ea. „ Id est ne fruges quidem vobis a terra suppeditari sivi: et quae natae videbantur, eas pessumdedi. Tum pergit dicere. " Propterea haec ait Dominus omnipotens: quia domus mea deserta est, vos autem properatis unusquisque in propriam domum, idcirco abstinebit caelum a rore, et terra subtrahet procreationes suas vobis. Et inducam gladium super terram, et super montes, et super triticum, et super vinum, et super oleum, et super omnia quae tellus germinat, et super homines, et super iumenta, et labores quoslibet manuum vestrarum. „ His verbis vult eis in memoriam revocare quae ob neglectum templum mala pertulerant. Dum enim, inquit, templum meum in vastitate iacere sinentes, vestrarum aedium extructioni operam dabatis; tunc inquit imber prohibitus fuit, tellus fruges negavit, et quodam veluti gladio cunctos ego terrae fructus destruxi, hominibus quoque ac iumentis haud raro percussis; cunctis denique, ut summatim dicam, laboribus vestris pessumdatis. Iam praeter exhortationem ut ad praecidenda ac deferenda ligna ascenderent, et aedificii curam gererent, haec addidit, praeteritorum nimirum memoria terrens illos quominus segniter mandatum exciperent. Addit igitur.

" Et audivit Zorobabel Salathielis filius de tribu Iudae, et Iesus Iosedeci filius

λόγων Ἀγγαίου τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς αὐτῶν πρὸς αὐτούς,
καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου κυρίου. ,, Δεικνὺς ὅτι οὐκ ἀνωφελεῖς οἱ λόγοι γεγόνασι
πρὸς αὐτούς, πάντες γὰρ τὴν ἐκ τῶν εἰρημένων φοβηθέντες ἀπειλὴν ἐνέδωσαν πρὸς τὸ δέον· p. 418.
ὥστε καὶ ἀποσταλέντα παρὰ τοῦ θεοῦ τὸν προφήτην εἰπεῖν πρὸς αὐτοὺς " ἐγώ εἰμι μεθ' ὑμῶν, v. 13.
λέγει κύριος. ,, Ὡς ἂν δείξειεν ὅτι ἅμα μετεβάλοντο τὸν τρόπον, καὶ περὶ τὴν οἰκοδομὴν
τοῦ ναοῦ τὴν σπουδὴν εἶχον, καὶ εὐθὺς ἐπηγγείλατο θεὸς ἐν ἅπασιν αὐτοῖς τὴν ἑαυτοῦ παρέχειν
κηδεμονίαν· τοῦτο γὰρ δηλοῖ τὸ εἰμὶ μεθ' ὑμῶν, λέγει κύριος· ἀντὶ τοῦ συνών τε ὑμῖν καὶ
κηδόμενος καὶ πᾶσαν χρείαν ὑμῖν πληρῶν. " Καὶ ἐξήγειρε κύριος τὸ πνεῦμα Ζοροβάβελ v. 14.
τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου, καὶ
τὸ πνεῦμα τῶν καταλοίπων παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθε, καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ κυρίου
παντοκράτορος θεοῦ αὐτῶν. ,, Οὐ γὰρ ἐπηγγείλατο μόνον αὐτὸς τὴν οἰκείαν κηδεμονίαν ὁ
θεός, ἀλλὰ καὶ τὴν προθυμίαν κατὰ ταυτὸν τῶν τε ἡγουμένων ἐπέῤῥωσε καὶ παντὸς τοῦ λαοῦ,
ὥστε πάντα δὴ τὰ λοιπὰ παρωσαμένους περὶ τὴν οἰκοδομὴν ἀσχολεῖσθαι τοῦ ναοῦ, καὶ τὸ ὅπως
ἂν αὐτοῖς εἰς τέλος ἀφίκοιτο τὸ ἔργον· εἶτα καὶ τὴν προθυμίαν αὐτῶν ἐπὶ πλέον ἐπιῤῥωννὺς
ὁ θεὸς ἐπιφαίνεται πάλιν τῷ προφήτῃ ταυτὶ λέγων.

ΚΕΦ. Β'.

" Εἰπὸν δὴ πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν v. 1.
τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, λέγων· τίς v. 2.
ἐξ ὑμῶν ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε v. 3.
αὐτὸν νῦν καθὼς οὐχὶ ὑπάρχοντα ἐνώπιον ὑμῶν; καὶ νῦν κατίσχυε Ζοροβάβελ, λέγει κύριος· p. 419. v. 4.
καὶ κατίσχυε Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας· καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει v. 5.

sacerdos magnus, et reliqui omnes de populo, vocem domini Dei sui, et sermones Aggaei prophetae, prout miserat eum dominus Deus eorum ad ipsos, timuitque populus a facie Domini. ,, Ostendit haud inaniter facta verba ad eos fuisse; etenim cuncti praedictas minas verentes ad officium redierant: ita ut missus a Deo propheta dixerit eis: " ego vobiscum sum, ait Dominus. ,, Nempe ut ostendat, quod simul ac mores immutarunt, et aedificando templo studium impenderunt, statim Deus promiserit, se patrocinium ad omnia exhibiturum. Etenim hoc denotant verba: vobiscum sum, ait, Dominus; id est vobis adsum, consulens, et quidquid vobis opus est suppeditans. " Et suscitavit Dominus spiritum Zorobabelis filii Salathielis de tribu Iudae, et spiritum Iesu filii Iosedeci, sacerdotis magni, et reliquorum de omni populo, qui ingressus est ad opus faciendum in domo domini omnipotentis Dei sui. ,, Nimirum haud suum tantummodo patrocinium promisit Deus, sed alacritatem simul ducum concitavit universique populi, ut ceteris cunctis omissis aedificando templo vacarent, utque pro viribus ad finem opus perducerent. Posthinc alacritatem illorum magis adhuc confirmans, Deus prophetae apparet, haec dicens.

CAP. II.

" Loquere Zorobabeli Salathielis filio de tribu Iudae, et Iesu Iosedeci filio, et reliquis omnibus de populo, dicens: quis ex vobis vidit domum istam in gloria sua priore? et quomodo videtis ipsam nunc, quasi non sit coram vobis? Et nunc confortare, Zorobabel, dicit Dominus: confortare item, Iesu Iosedeci fili, sacerdos magne: confortetur denique universus terrae populus, dicit Dominus omnipotens:

κύριος παντοκράτωρ, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. ,, Εἰ γάρ τις ὑμῶν φησὶ τὴν παλαιὰν τοῦ οἴκου τούτου δόξαν ἠπίστατο, καὶ οἷά περ τὰ περὶ αὐτὸν παρ' ἐμοῦ γεγονότα πολλάκις, εἴ τε περὶ τὸν λαὸν τῆς ἐν αὐτῷ τελουμένης σπουδῆς ἕνεκεν, συνεῖδεν ἂν ὁπόση τῶν τότε καὶ νῦν ἐστιν ἡ μεταβολή· νῦν γὰρ ἐκεῖνα μὲν οὐκ εἰδότες ὑμῶν οἱ πολλοί, τὰ παρόντα δὲ ὁρῶντες, ὡς ἂν οὐκ ὄντα διὰ τὴν κατέχουσαν αὐτὸν ἐρημίαν ὁρᾶτε· ἀλλὰ γὰρ ἐπιμείνατε τῇ περὶ τὴν οἰκοδομὴν προθυμίᾳ, καὶ πάντα δὴ μετὰ τῆς προσηκούσης ἐπιτελεῖτε σπουδῆς εἰς ἐκπλήρωσιν τοῦ ναοῦ· αἰσθήσεσθε γὰρ τῆς ἐμῆς κηδεμονίας τότε, καὶ οἷον τὰ καθήκοντα ἐν τῷ ναῷ περὶ τὸν θεὸν πληροῦντες, τεύξεσθε τῶν λοιπῶν· ἔσομαι δὲ φησὶν ἐν ὑμῖν, δι' αὐτῶν τῶν πραγμάτων δεικνύμενος, καὶ τῆς χάριτος τεύξεσθε τῆς ἐξ ἐμοῦ μόνον οὐκ ἐφεστώσης ὑμῖν, οἰκονομούσης τε καὶ διοικούσης τὰ καθ' ὑμᾶς· τὸ γὰρ πνεῦμά μου, τὴν χάριν τὴν ἐξ αὐτοῦ λέγει.

Ἐπειδὴ πνεύματος ἁγίου ὑπόστασιν ἰδίαν ὡς ἐν προσώπῳ γνωριζομένην οἰκείῳ
p. 420. παρὰ τὸν θεὸν οἱ τῆς παλαιᾶς οὐκ ἠπίσταντο διαθήκης (1), πάντων τῶν πρὸ τῆς δεσπότου Χριστοῦ παρουσίας θεὸν εἰδότων καὶ κτίσιν, ἕτερον δὲ οὐδένα τε, καὶ τῆς θείας γραφῆς τοῦτο παιδευούσης τοὺς οἰκείους ἐν τῷ τότε καιρῷ, ἐν ἀοράτῳ δὲ κτίσει μοναδικὸν μὲν οὐδὲν ἐπισταμένης· ἀγγέλους δὲ καὶ δυνάμεις κοινῶς καλούσης ἁπάσας τὰς ἀοράτους καὶ λειτουργικὰς οὐσίας, ἃς ὑπηρετεῖσθαι ἐν ἅπασιν ἐδίδασκε τοῖς νεύμασι τοῖς θείοις· πνεῦμα τοίνυν ἅγιον ἐν ἰδίᾳ ὑποστάσει παρὰ τὸν θεὸν εἰδέναι οὐκ ἠδύναντο· οὔτε γὰρ ἐν λειτουργικοῖς ἀριθμεῖν οἷόν τε

et spiritus meus adstitit in medio vestri. ,, Si quis vestrûm, inquit, veterem domus huius gloriam novit, et qualia ego huius causa saepe fecerim, vel pro populo qui eiusdem sollicitudinem gessit, utique agnosceret quantum illa priora a praesentibus differant. Nunc plerique vestrum illa ignorantes, et praesentia tantum spectantes, nihil propemodum vos videre putatis, propter obsidentem templum hoc solitudinem seu ruinam. Verumtamen si perseverante alacritate aedificationi eius instabitis, atque omnia ad eius complementum studiose contuleritis, meam enimvero providentiam sentietis; et quasi omne officium erga Dei templum praestiteritis, reliquorum beneficiorum compotes eritis. Eroque vobiscum, inquit, factis ipsis id demonstrans; meamque gratiam consequemini, vobis quodammodo adstantem, vestrasque res administrantem atque regentem. Nam verba spiritus meus, gratiam ab eo collatam significant.

Quandoquidem Spiritus sancti hypostasim propriam, tamquam in singulari persona agnitam apud Deum veteris testamenti homines non agnoverunt; cuncti autem ante Christi domini adventum, et Deum et creationem sciebant, sed praeterea nihil; divina tunc scriptura adseclas suos ita docente; in invisibili autem creatura nihil unicum agnoscente, sed angelos atque virtutes cunctas appellante invisibiles ac ministrantes substantias, quas subservire per omnia tradebat divinis nutibus. Spiritum sanctum itaque in propria hypostasi apud Deum agnoscere nequibat: nam neque inter ministrantes numerari poterat quod erat unicum, neque cum Deo

(1) Sequitur Theodori disputatio, quod veteris aetate testamenti Spiritus sancti persona nota non fuerit; quam suam opinionem idem nobis oggessit etiam retro p. 83. Atqui Nicetas aquileiensis, Theodoro ferme contemporaneus, ex hoc ipso Aggaei loco contrariam Theodoro tuetur sententiam in egregio de Spiritu sancto tractatu, quem nos ex vaticano codice edidimus, in Script. vet. tom. VII. Ait enim p. 325: *de Spiritu sancto, quod adsit ubique, dicit propheta ex persona Domini « ego in vobis, et spiritus meus stat in medio vestrum. »* Ibidemque alia recitat testimonia Iobi, Davidis, Salomonis. Quod argumentum latius tractarunt alii patres, de quibus videndus Petavius de Trin. lib. II. 7. De hac re rursum nos disseremus ad Zachariae capitulum I.

τὴν τὸ μοναδικὸν, οὔτε θεῷ συντάττειν ἐν ἰδίῳ τι λέγοντας προσώπῳ· ἐπεὶ μηδὲν ᾔδεσαν τοιοῦτο· ταῦτα δὲ ἡμᾶς ὁ δεσπότης Χριστὸς ἐξεδίδαξεν, ὃς τοῖς ἑαυτοῦ παρέδωκεν ἀποστόλοις, τὸ πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἀφ' ὧν δὴ μανθάνομεν πατρός τε πρόσωπον ἴδιον, καὶ υἱοῦ πρόσωπον ἴδιον, καὶ πνεύματος ἁγίου πρόσωπον ἴδιον, τῆς θείας καὶ ἀϊδίου οὐσίας ἕκαστον τούτων εἶναι νομίζοντες ὁμοίως, ἅτε μιᾶς μὲν τῆς μαθητείας οὔσης τῆς ἐπὶ διδασκαλίᾳ τῆς θείας ἐξεπαιδεύοντο γνώσεως· ἑνὸς δὲ τοῦ βαπτίσματος τοῦ ἐπ' ὀνόματι τούτων πληρουμένου· ἡ παλαιὰ δὲ, ὡς ἔφην, πνεῦμα ἅγιον ἐν ἰδίῳ προσώπῳ καὶ ὑποστάσει ἰδίᾳ, κεχωρισμένως τοῦ θεοῦ οὐκ ἠπίστατο· πνεῦμα δὲ ἅγιον ἐκάλει, ἤτοι πνεῦμα θεοῦ, τὴν χάριν αὐτοῦ, ἢ τὴν ἐπιστασίαν, ἢ τὴν κηδεμονίαν, ἢ τὴν περί τι διάθεσιν, ἢ εἴ τι τοιοῦτον· ποῦ p. 421. πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; βούλεται γὰρ εἰπεῖν ὅτι ἔξω τῆς ἐπιστασίας σου γενέσθαι οὐ δυνατὸν, ἐπειδὴ πάρει τοῖς πᾶσιν· ἐπάγει γοῦν πρὸς τὸν θεὸν, οὐκέτι πνεύματος μεμνημένος· ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἵνα εἴπῃ ὅτι ὅπου ποτ' ἂν ὦ, ὑπὸ τὴν ἐξουσίαν καθέστηκα τὴν σὴν, καθ' ἣν ὅπως ἂν ἐθέλῃς τε τοῖς πᾶσι παρὼν τὰ κατ' ἐμὲ διοικεῖς· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἵνα εἴπῃ, ἀγαθότητι πάντοτε τὰ κατ' ἐμὲ διοικήσας, κατὰ ταύτην με καὶ νῦν ἐπανάξεις· τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ, καὶ ἵνα εἴπῃ τὴν ἐξαίρετόν σου καὶ ἐξειλεγμένην κηδεμονίαν ἀπ' ἐμοῦ μὴ ἀφέλῃς· οὕτως καὶ ἐνταῦθα λέγει· καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν· ἵνα εἴπῃ ἡ χάρις ἡ ἐμὴ, καὶ ἡ περὶ ὑμᾶς διάθεσις σύνεστιν ὑμῖν, ἐφεστῶσα τε καὶ τὴν ἑαυτῆς ἡμῖν παρέχουσα ὠφέλειαν· ὡς γὰρ τὴν ψυχὴν ἐπὶ τοῦ θεοῦ λέγει, οὐχ ὑπόστασιν τινὰ, τὴν δὲ περί τι διάθεσιν οὕτως ὀνομάζων· οἷον ὅτ' ἂν λέγῃ τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου, ἵνα τὴν διάθεσιν εἴπῃ καθ' ἣν ἐμίσει τὰ παρ'

collocari quicquid in peculiari persona consistere dicebatur: nihil enim huiusmodi tunc scitum erat: sed id demum nos edocuit Christus dominus, qui apostolis suis mandavit, euntes docete omnes gentes, baptizantes eos in nomine patris et filii et Spiritus sancti: unde discimus patris personam propriam, et filii personam propriam, et Spiritus sancti personam propriam, unumquemque horum divinam ac sempiternam aeque habere substantiam censentes; quandoquidem una est doctrina, qua in divinae scientiae traditione imbuebantur: unum item baptisma in nomine horum collatum. At scriptura vetus, ut dixi, Spiritum sanctum in propria persona, et in propria hypostasi, seorsum a Dei generali notione nescivit: Spiritum vero sanctum sive spiritum Dei, gratiam ipsius vocabat, vel imperium ac providentiam, vel erga aliquid affectionem, vel quidvis huiusmodi. Quo a spiritu tuo ibo? et a facie tua quo fugiam? Vult enim dicere fieri non posse, ut extra tuum imperium sim, quoniam omnibus rebus ades. Pergit itaque dicere de Deo, omissa spiritus mentione: si ascendero in caelum, tu ibi es; ubicumque fuero, sub potestate tua sum constitutus, qua quomodocumque volueris cunctis praesens, res meas gubernas. Spiritus tuus bonus deducet me in terram rectam; id est bonitate tua res meas gubernans, hac ipsa me nunc reduces. Spiritum sanctum suum ne auferas a me; id est peculiare selectumque patrocinium a me non auferas. Sic etiam hoc loco ait: spiritus meus adstitit in medio vestri; id est gratia mea meusque erga vos affectus vobiscum est, praesidens suamque vobis opem praebens. Sicut videlicet animam in Deo dicit, non quasi quandam hypostasim, sed affectum erga aliquid ita nominans. Veluti cum dicit: calendas vestras, et sabbata odit anima mea; adfe-

αὐτῶν γινόμενα μοχθηρῶν ὄντων τὸν τρόπον· οὕτως καὶ τὸ πνεῦμα λέγει· ἀλλὰ γὰρ ταῦτα μὲν
ὑπὲρ πλεῖον εἰρήσθω τῆς ἀκριβείας.
Ὁ δέ γε θεὸς ἐπειδὴ διήγειρε μὲν ἐν τοῖς προειρημένοις τὸν λαὸν διὰ τοῦ προφήτου
p. 422. περὶ τὸ ἔργον τῆς οἰκοδομῆς αὐτάρκως καὶ προθυμοτέρους εἰργάσατο, ἑώρα δὲ συλλογιζο-
μένους πόθεν ἂν αὐτοῖς προσγένοιτο τοσαῦτα ἔτι πενομένοις ἐκ τῆς αἰχμαλωσίας, ἀφ'
ὧν δυνατὸν κατὰ τὸ προσῆκον τε ἀπαρτισθῆναι τὸν ναὸν καὶ πᾶσαν αὐτῷ τὴν προσήκουσαν
εὐπρέπειαν ἀποδοθῆναι, οἵαν δὴ τὸ πρότερον εἶχεν ἐν οἰκοδομαῖς τε καὶ σκεύεσιν ἁγίοις
v. 6. καὶ τοῖς λοιποῖς, ἐπάγει " θαρσεῖτε μὴ δὴ φοβεῖσθε· „ περὶ τούτων φησὶ καὶ πῶς ἔνεστι,
μὴ φοβεῖσθε. " Διότι τάδε λέγει κύριος παντοκράτωρ· ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ
v. 7. τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν· καὶ συσσείσω πάντα τὰ ἔθνη· καὶ ἥξει τὰ ἐκλεκτὰ
πάντων τῶν ἐθνῶν· καὶ πλήσω τὸν οἶκον τοῦτον δόξης, λέγει κύριος παντοκράτωρ· διότι
v. 9. μεγάλη ἡ δόξα τοῦ οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει κύριος παντοκράτωρ· καὶ
v. 10. ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει κύριος παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περι-
ποίησιν παντὶ τῷ κτίζοντι, τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον. „ Περὶ δὲ τῆς σπάνεως τῶν ἐπιτη-
δείων φησὶ μὴ φροντίζετε· μόνον γὰρ οὐχ ἅπαντα συσσείσας τὰ ἔθνη, πολλά τε καὶ πολλοῦ
γέμοντα πλούτου, ἐφ' ὑμᾶς ἐλθεῖν ἐάσω· λέγει δὲ τοὺς περὶ τὸν Γὼγ, ὧν ἐληλυθότων τότε
δὴ τῆς δόξης τοῦ οἴκου τούτου τὸ μέγεθος ἐκφανὲς ποιήσω διὰ τῆς κηδεμονίας τῆς ἐμῆς· καὶ
p. 423. γὰρ καὶ τὸ ἀργύριον τὸ προσὸν ἐκείνοις, καὶ τὸ χρυσίον, καὶ πάντα δὴ συντόμως εἰπεῖν τὰ
προσόντα ἐκείνοις ἐμά· ἅτε δὴ πάντα ὄντα ἐμά· ἐπεὶ καὶ πᾶσα ἔργον ἡ κτίσις ἐμόν·
ἅπερ οὖν ἀφελὼν, εἰς ὑμᾶς μεταστήσω, οὐκ ἀδικῶν τοὺς ἔχοντας οἵ γε εἶχον τὰ μὴ αὐτῶν·
τὰ ἐμὰ δὲ εἰκότως διδοὺς τοῖς ἐμοῖς· ὥστε τὴν τότε δεικνυμένην περὶ τὸν οἶκον τοῦτον δόξαν
ἀφ' ὧν διαπράττομαι, δεχόμενός τε ὑμῶν τὰς ἐν αὐτῷ δεήσεις, καὶ παρέχων ὑμῖν τὸ κατὰ
τῶν πολεμίων κράτος, τοσούτων τε ὄντων καὶ τοιούτων, ὡς ἀριθμὸν μὲν αὐτοὺς τῷ πλήθει

ctionem illam significans, qua illorum opera oderat improbis moribus praeditorum. Ita spiritum quoque dicit. Verum de his satis superque dictum sit.

Et Deus quidem cum excitasset in praedictis populum per prophetam ad aedificii opus, satisque eum promptum effecisset, cernebat tamen eum reputantem, undenam sibi pauperi ex captivitate facultas foret digne templum exstruendi, et congruum ornatum addendi, qualem antea habuerat in structuris ac vasis sanctis et reliquis; ideoque addit: " confidite, neque metuatis. „ Haec, inquit, quomodo futura sint, ne ambigatis. " Quia haec dicit Dominus omnipotens: adhuc ego caelum concutio et terram ac mare et aridam: et commovebo omnes gentes: et venient electa quaeque omnium gentium: et implebo domum hanc gloria, dicit Dominus omnipotens: quia magna erit gloria domus huius, posterior prae priore, dicit Dominus omnipotens: et hoc in loco dabo pacem, dicit Dominus omnipotens, et pacem animae in adquisitionem omni aedificanti, ut templum hoc exstruat. „ De penuria necessariorum, inquit, ne solliciti sitis: ego enim cunctas paene commovens gentes, magno numero multisque praeditas opibus, ad vos venire permittam. Dicit autem Gogi populum, quo adveniente, tunc maxime domus huius gloria inclarescet propter meam tutelam: nam illorum argentum et aurum, et quicquid, ut summatim dicam, ii habent, meum est, quoniam nihil in mundo meum non est, quia creatura omnis opus meum est: quae ego ipsis erepta ad vos transferam, nullam iis iniuriam faciens qui non sua possidebant; sed mea iure meritoque meis conferens; ita ut gloriam meam in hoc templo per ea quae geram ostensurus sim, preces ve-

νικᾶν, ἀκαταμαχήτους δὲ εἶναι διά τε δύναμιν καὶ πολεμικὴν ἐμπειρίαν· τοῖς πᾶσι δοκεῖν μείζονα φαίνεσθαι τῆς ποτὲ περὶ τὸν οἶκον τοῦτον φανείσης δόξης· ἅτε καὶ τοῦ ἔργου μείζονος ὄντος ἢ πρότερον ἐπί τε τῶν Ἀσσυρίων, ἢ καί τινων ἑτέρων ἐγίνετο· διὰ τὸ οὐ πλήθει μόνον, ἀλλὰ καὶ δυνάμει καὶ ἐμπειρίᾳ πολεμικῇ τοὺς νῦν ὑπεραίρειν τῶν πάλαι· ὧν δὴ πάντων τῇ ἐμῇ δυνάμει παραδόξως περιγεγονότες ἐν εἰρήνῃ παντελεῖ γενήσεσθε, ἀθόρυβοί τε τὰς ψυχὰς διαμένοντες διὰ τὸ παντὸς ἀπηλλάχθαι πολεμίου, καὶ πλεῖστα ὅσα ἐκ τῶν τοῖς πολεμίοις προσόντων λάφυρα συναγαγόντες· ἃ περιποιήσαντες ἑαυτοῖς, εὔκολον ἕξετε βουληθέντες τὴν δύναμιν τοῦ τὸν ναὸν τοῦτον κατασκευάσαι τε καὶ ἀνεγεῖραι, ὡς ἂν τὴν οἰκείαν εὐπρέπειαν ἔχοι, τῆς τῶν ἐν αὐτῷ συνιόντων ἕνεκεν εὐχῆς τε καὶ θεραπείας.

Διὰ δὴ πάντων τῶν προειληφότων ἀρκούντως αὐτοὺς προτρεψάμενος τέ καὶ παρορ- p. 424.
μήσας ἐπὶ τὸ ἔργον τῆς οἰκοδομῆς, καὶ δὴ καὶ ταῖς ἐπαγγελίαις εὐέλπιδας ποιήσας, ὅτι πολ-
λῆς μεθέξουσι τῆς εὐπορίας κεκρατηκότες τῶν πολεμίων, ὡς ἂν ἅπαντα πρός τε τὴν οἰκοδομὴν
τοῦ ναοῦ καὶ πρὸς ὅ τι ἂν ἐθέλοιεν ἄφθονα ἔχοιεν· τοῦ λοιποῦ καλῶς ἔχειν ἡγήσατο καὶ τὴν ἐν ἑτέ-
ροις διόρθωσιν αὐτοῖς προσαγαγεῖν ἐν οἷσπερ ἡμάρτανον· λέγει δὲ οὕτως. "Τῇ τετράδι καὶ v. 11.
εἰκάδι τοῦ ἐνάτου μηνὸς, ἔτους δευτέρου ἐπὶ Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς Ἀγγαῖον
τὸν προφήτην λέγων· τάδε λέγει κύριος παντοκράτωρ· ἐπερώτησον τοὺς ἱερεῖς νόμον λέγων· v. 12.
ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ v. 13.
ἱματίου αὐτοῦ ἄρτου ἢ ἑψήματος ἢ οἴνου ἢ ἐλαίου καὶ παντὸς βρώματος, εἰ ἁγιασθήσεται;
καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπον οὐχί· καὶ εἶπεν Ἀγγαῖος· ἐὰν ἅψηται μεμιασμένος v. 14.
ἐπὶ ψυχῇ ἀπὸ πάντων τούτων, εἰ μιανθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπον, μιαν-
θήσεται· καὶ ἀπεκρίθη Ἀγγαῖος καὶ εἶπεν· οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως τὸ ἔθνος τοῦτο v. 15.

stras illic excipiens, vobisque adversus hostes vires suppeditans, tales tantosque qui et omnem numerum exsuperant, et bellica peritia invicti sunt: quo fiet ut cunctis maior appareat praesens, quam praeterita templi huius gloria: quia maius hoc videbitur facinus, quam prius illud sub Assyriis vel quibusdam aliis: propterea quod non multitudine tantum sed vigore etiam atque peritia praesentes hostes priscis antecellant. Quibus omnibus virtute mea mirabiliter superatis, in omnimoda pace vivetis, tranquillo animo propter cuiuslibet hostis depulsionem, plurimisque manubiis inde reportatis, quarum potiti facilem habebitis copiam pro vestro libito templum hoc exstruendi et in altum attollendi, ut decus suum habeat, propter eos qui orandi et cultum exhibendi causa convenient.

Iam postquam praedictis omnibus satis eos adhortatus est, atque ad operam aedificandi impulit, promissionibus etiam in spem erexit, fore ut multa beatitate fruantur facti hostibus superiores, et quod omnia ad templi aedificationem idonea habituri affatim sint. Ceterum recte illos posthinc victuros putavit, et in reliquis curaturos peccatorum suorum emendationem. Sic autem dicit. " Quarta et vigesima mensis noni, anno secundo sub Dario, factus est sermo Domini ad Aggaeum prophetam dicens: haec dicit Dominus omnipotens: interroga nunc sacerdotes legem, dicens: si sumpserit homo carnem sanctam in summitate vestimenti sui, et tetigerit summitas vestimenti eius panem aut rem coctam aut vinum aut oleum, aut quemlibet cibum, num sanctificabitur? Responderuntque sacerdotes et dixerunt: nequaquam. Dixitque Aggaeus: si tetigerit animo pollutus de omnibus his, num contaminabitur? Responderuntque sacerdotes: contaminabitur. Responditque Aggaeus, et dixit: sic populus iste, et sic gens haec coram me, dicit Dominus; et

ἐνώπιον ἐμοῦ, λέγει κύριος· καὶ οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· καὶ ὃς ἐὰν ἐγγίσῃ
ἐκεῖ (1), μιανθήσεται. „ Βούλεται μὲν αὐτοὺς ἐλέγχειν ὡς τῶν σκευῶν τῶν ἱερατικῶν, καὶ τῶν
λοιπῶν δὴ τῶν τῇ τοῦ θείου θεραπείᾳ προσηκόντων ἀμελῶς καὶ προχείρως ἐφαπτομένους,
p. 425. καὶ οὐ μετὰ τοῦ προσήκοντος δέους, ὑπὲρ οὗ δὴ τοῖς ἱερεῦσι προσαγαγεῖν τὴν ἐρώτησιν ταύτην
προσέταξε τῷ προφήτῃ, ἅτε ἐν ἐκείνοις ὂν τὸ τὰ τοιαῦτα ἐν ἀμελείᾳ ποιεῖσθαι, ἢ μετὰ
τοῦ προσήκοντος δέους· κάλλιστα δὲ καὶ τὴν ἐρώτησιν ἀπὸ εὐτελῶν ἐποιήσατο, ἵνα μειζόνως
τὸ κατὰ τὰ σκεύη τὰ ἅγια πλημμέλημα αὐξήσῃ· λέγει τοίνυν ὅτι εἴ τις κρέας ἅγιον τὸ
ἀπὸ θυσίας ἢ τινος προσφορᾶς ἡγιασμένον ἐν μέρει τινὶ τοῦ ἱματίου ἐμβάλῃ τοῦ οἰκείου,
εἶτα τοῦτο δὴ τὸ ἄκρον ἑτέρου τινὸς ἅψεται οἴνου ἢ ἐλαίου ἢ ὅτου δή ποτε τῶν βρωτῶν, ἆρα
ἅγιον ἔσται τὸ τοιοῦτο διὰ τὴν τοῦ ἄκρου τοῦ ἱματίου ἀφήν, ἐν ᾧπερ ἀπέκειτο τὸ κρέας; οἱ δὲ
ἀκολούθως ἔφασαν ὅτι μὴ ἅγιον γίνεται τὸ τοιοῦτο, ὡς οὐκ αὐτάρκως ἔχοντος τοῦ ἄκρου τοῦ
ἱματίου διὰ τὸ ἐγκείμενον κρέας ἅγιον ἑτέρῳ βρωτῷ τὸν ἁγιασμὸν παρέχειν· εἶτα πάλιν
ἐρωτᾷ, ἐὰν δέ τις μεμιασμένος ἐφ' ὅτῳ δήποτε ἅψηται τῶν τοιούτων, μιαίνει ἆρα πάν-
τως αὐτά, ἢ οὔ; οἱ δὲ ἔφασαν μιαίνειν· ἠβουλήθη δὲ διὰ τούτων εἰπεῖν ὅτι, ὥσπερ τὸ ἄκρον
τοῦ ἱματίου, οὐ διὰ τὸ ἐπικείμενον ἅγιον ἁγιάζειν δύναται τὸ προσεγγίζον, ὁ μεμια-
σμένος δὲ ἀπτόμενος τῶν τοιούτων μιαίνει πάντως αὐτά, οὕτω χρὴ νομίζειν καὶ ὑμᾶς
p. 426. ἀπτομένους προχείρως, καὶ οὐ μετὰ τοῦ προσήκοντος σεβάσματος τῶν ἱερατικῶν σκευῶν,
ἢ τῶν ὅπως ποτὲ τῷ θεῷ προσηκόντων, ὅτι οὐχ ὁ ἐκείνων ἁγιασμὸς ὑμᾶς ἁγιάζει, ὁ δὲ
ὑμέτερος τρόπος μεμιασμένος ὢν ὕβριν προστρίβεται τοῖς ἁγίοις, εἴπερ οὕτω αὐτῶν ἔξω
τοῦ προσήκοντος ἐφαπτόμενοι φαίνοισθε· ὅθεν καὶ ὁ προφήτης ἀποκρίνεται ὡς τοῦ θεοῦ εἰπόν-
τος, ὅτι τοιοῦτο δὴ καὶ τὸ παρ' ὑμῶν γινόμενον ἐστιν, ὅτ' ἂν ἅπτησθε τινὸς τῶν ἐμοὶ προση-

sic omnia opera manuum eorum: et quicumque appropinquaverit illuc, contaminabitur. „ Vult illos reprehendere, qui sacra vasa, et reliqua divino cultui congrua negligenter indifferenterque tangebant, et non cum conveniente pavore: qua super re sacerdotes ipsos interrogari a propheta Deus iubet, in quorum arbitrio erat haec vel negligenter vel cum debito metu tractare. Egregie vero interrogationem vilibus in rebus facit, ut adversus sacra vasa peccatum magis augeat. Ait igitur: quod si quis sanctam carnem de victima aut qualibet oblatione, in partem aliquam vestimenti sui coniecerit; deinde huius vestis summitas aliud aliquid contigerit sive vinum sive oleum, sive quamlibet aliam escam, num id inquam sanctum evadet propter summi vestimenti contactum, in quo caro reposita erat? Illi vero congruenter responderunt, rem huiusmodi sanctam non fore, quatenus non sufficiebat vestis summitas, in qua caro sancta inclusa esset, communicando alteri escae sanctificationem. Mox denuo interrogat: si quis quomodocumque pollutus res huiusmodi attigerit, num illas omnino contaminat? Illi vero dixerunt, contaminat. Voluit autem per haec dicere, quod vestimenti quidem summitas propter rem sanctam inclusam sanctificare proximum aliquid nequeat; sed quod homo pollutus si quid eiusmodi tangat, plane illud contaminet: ideoque credendum, quod si vos temere, et sine debita religione vasa sacra, vel quicquid divino cultui addictum est, tetigeritis, haud illorum sanctitas vos sanctificet, sed vita vestra inquinata contumeliam rebus sanctis aspergat, siquidem illas absque debita reverentia contrectare videamini. Quamobrem etiam propheta respondet, tamquam Deo loquente, hoc ipsum

(1) Ita graecus textus etiam vaticanus, cum arabico. Sed melius in hebraico, syro atque lat. vulgato dicuntur contaminari omnia illic oblata.

κόντως ἁγίων· ὥστε προσήκειν ὑμᾶς εἰδέναι ὅτι πᾶς ἐγγίζων ἐμοὶ (ἐγγίζειν γὰρ ἐμοὶ λέγω,
τὸ τῶν ἐμοὶ προσηκόντων τε καὶ ἀνακειμένων ἐφάπτεσθαι) εἰ προχείρως καὶ ἐν ἀμελείᾳ
καὶ καταφρονήσει τοῦτο ποιοίη, οὐ μόνον οὐδενὸς ἀπολαύσει κέρδους ἐκ τῆς ἁφῆς, ἀλλὰ γὰρ καὶ
μολυνεῖται προσαδικούμενος καὶ προσβλαπτόμενος, ὑπὲρ ὧν τῶν οὕτως ἁγίων ἥψατο προ-
χείρως. “ Ἕνεκεν τῶν λημμάτων αὐτῶν τῶν ὀρθρινῶν ὀδυνηθήσονται ἀπὸ προσώπου πο-
νηριῶν αὐτῶν, καὶ ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντας. ,, Λημμάτων αὐτῶν, ἵνα εἴπῃ ὡς ἐπε-
λαμβάνοντο πράττοντες οὐ δεόντως· ὑπὲρ γὰρ ὧν φησὶν ἐπεχειρεῖτε πράξεσιν ἀτόποις, ὄρ-
θριοι εἰς τοῦτο διανιστάμενοι, καὶ μετὰ πάσης τὰ ἄτοπα τῆς σπουδῆς ἐπιτελοῦντες, τῇ βαρύ-
τητι τῶν προσγεγονότων ὑμῖν περιπεπτώκατε κακῶν, καὶ πολλῷ γε πλέον ἐπειδὴ τὸν παρὰ
τῶν προφητῶν ἔλεγχον οὐκ ἐδέχεσθε· ἐδυσχεραίνετε δὲ πρὸς αὐτοὺς ἐπὶ ταῖς πύλαις ἑστῶτας, p. 427.
ὡς ἂν κοινὴν ἅπασι τοῖς εἰσιοῦσι τε καὶ ἐξιοῦσι τὴν ἀπὸ τῶν λεγομένων προσάγοιεν ἐνδιόρθωσιν.
“ Καὶ νῦν θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω πρὸ v. 16.
τοῦ θεῖναι λίθον ἐπὶ λίθον ἐν τῷ ναῷ κυρίου· τίνες ἦτε ὅτι ἐνεβάλλετε εἰς κυψέλην εἴκοσι
σάτα, καὶ ἐγίνετο δέκα σάτα κριθῆς· καὶ εἰσεπορεύετο εἰς τὸ ὑπολήνιον ἐξαντλῆσαι πεν- v. 17.
τήκοντα μετρητὰς καὶ ἐγίνοντο εἴκοσιν· ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ καὶ ἐν ἀνεμοφθορίᾳ καὶ v. 18.
ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑμῶν· καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει κύριος
παντοκράτωρ· τάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπέκεινα, ἀπὸ τῆς v. 19.
τετράδος καὶ εἰκάδος τοῦ ἐνάτου μηνὸς, καὶ ἀπὸ τῆς ἡμέρας ἧς ἐθεμελιώθη ὁ ναὸς κυρίου·
θέσθε ἐν ταῖς καρδίαις ὑμῶν εἰ ἔτι ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω· καὶ εἰ ἔτι ἡ ἄμπελος καὶ ἡ v. 20.
συκῆ καὶ ῥοὰ καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρπὸν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλο-
γήσω. ,, Παραθεὶς πάλιν τόν τε πρότερον, ὅτε περ ἠμέλουν τῆς οἰκοδομῆς τοῦ ναοῦ, καὶ τὸν
νῦν ἐξότε περ σπουδάζειν ἤρξαντο περὶ τὸ ἔργον, ἠβουλήθη δεῖξαι τῶν γεγονότων περὶ αὐτοὺς

ab iis fieri quotiescumque res sanctas cultui meo addictas tetigerint. Quamobrem scire debetis, quemlibet mihi propinquantem (propinquare autem mihi illum dico, qui res meas mihive oblatas attingit) si temere ac socorditer aut contemptim id agat, non modo nullum ex contactu capere emolumentum, verum etiam inquinari non sine sua culpa ac damno, propterea quod temere res adeo sanctas contrectaverit. “ Propter munera sua matutina dolebunt a facie iniquitatum suarum: et oderatis arguentes in portis. ,, Munera dicit quae non recte agendo accipiebant. Propter improbos actus vestros, quos diluculo consurgentes, omnimoda sedulitate exercebatis, in gravia mala incidistis, praesertim quia prophetarum reprehensionem aequo animo non tulistis; indignatus his dum in portis consisterent, ut communem cunctis ingredientibus et exeuntibus dictis suis suaderent emendationem.

“ Et nunc ponite in cordibus vestris a die hac et supra, ante quam poneretur lapis super lapidem in templo Domini; quinam fueritis, quando mittebatis in cypselen viginti sata, et fiebant decem sata hordei: et ingrediebamini torcular ut hauriretis quinquaginta amphoras, et fiebant viginti. Percussi vos sterilitate, et aëris corruptione, et grandine omnia opera manuum vestrarum; et non reversi estis ad me, dicit Dominus. Apponite nunc corda vestra a die ista et supra, a quarta et vigesima noni mensis, et a die qua fundamenta iacta sunt templi Domini. Ponite in cordibus vestris, utrum adhuc cognoscetur super aream, et num adhuc viti et ficui et malogranato, et arboribus oleae, quae fructum negant, ex hac die benedicam. ,, Comparatione instituta superioris temporis, quo templi aedificationem negligebant, et praesentis quo urgere opus coeperant, ostendere voluit rerum quae

τὴν διαφορὰν· καὶ ἐν ὅσῃ μὲν ἀμελοῦντες ἀφορίᾳ γεγόνεσαν, ὅσων δὲ ἀγαθῶν ἐν πείρᾳ κατέστησαν ἐπειδὴ τῇ τοῦ ναοῦ προσέσχον οἰκοδομῇ προθυμίαν ἔχον πολλήν· ἀναλογίσασθε
p. 428. οὖν φησὶ τὰ τῆς ἡμέρας ἀνώτερα, ὅτε οὔπω τῆς οἰκοδομῆς ἐφροντίζετε τοῦ ναοῦ, ἐν οἵοις ἦτε, ὅτι συνήγετε μὲν δράγματα ἱκανὰ καρπὸν εἴκοσι σάτων ἀποδιδόναι, μόγις δὲ ἐξεδίδοτο δέκα ἐκ τῆς τῶν καρπῶν διεφθάρθαι· καὶ μὴν καὶ τῆς ἀμπέλου καρποῦ συνελέγετε πρὸς πεντήκοντα μετρητῶν ἀρκοῦντα φορὰν, καὶ μόγις ἐκομίζεσθε εἴκοσι διὰ τὸ κἀκεῖνα ἐξηράνθαι τῷ ἀέρι· κἀγὼ μὲν ἐπήγαγον ὑμῖν πληγὰς ἀφορίας τε καὶ ἀνεμοφθορίας, καὶ δὴ καὶ χαλάζῃ πάντας ὑμῶν ἠφάνισα τοὺς πόνους· ἐμένετε δὲ ἀκαμπεῖς καὶ πρὸς ἐκεῖνα· ἀλλὰ ταῦτα μὲν πρὸ τούτου φησίν· ἀναλογίσασθε δὲ ἐπ' ἐκείνοις οἷά περ ὑμῖν ἀπὸ τῆς ἡμέρας ἐκείνης προσγέγονεν ἐν ᾗπερ περὶ τὴν οἰκοδομὴν ἐσπουδάσατε τοῦ ναοῦ· εὑρήσετε γὰρ οὔτε τὸν τῆς ἅλωνος καρπὸν, οὔτε τὸν τῶν δένδρων, παραθέσει τῶν τότε ἐπιγνωσθῆναι δυνάμενον· πρότερον μὲν γὰρ ὑμῖν οὐδεὶς ἐξ αὐτῶν ἐδίδοτο καρπός· ἐξότε δὲ περὶ τὸν ναὸν ἐσπουδάσατε τὸν ἐμὸν, πάντα εὐλογίας πληρώσας τὰ προσόντα ὑμῖν, ἄφθονον ἔχειν ἐποίησα τῶν καρπῶν τὴν ἀπόλαυσιν· εἶτα τούτοις αὐτοὺς πάλιν προτρεψάμενος καὶ διεγείρας περὶ τὸ ἔργον τῇ μνήμῃ τῶν παλαιῶν καὶ τῇ παραθέσει τῶν ὕστερον, διὰ τὴν πενίαν ἀμφιβάλλοντας ἔτι τὴν οἰκείαν, παραθαρρύνει πάλιν καὶ φησὶν οὕτως.

p. 429. v. 21. “ Καὶ ἐγένετο λόγος κυρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον τὸν προφήτην, ἐν τῇ τετράδι
v. 22. καὶ εἰκάδι τοῦ μηνὸς, λέγων· εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα,
v. 23. λέγων· ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν· καὶ καταστρέψω
θρόνους βασιλέων, καὶ ἐξολοθρεύσω δύναμιν βασιλέως ἐθνῶν, καὶ καταστρέψω ἅρματα,
καὶ ἀναβάτας· καὶ καταβήσονται ἵπποι καὶ ἀναβάται αὐτῶν, ἕκαστοι ἐν ῥομφαίᾳ πρὸς τὸν

ipsis obvenerant differentiam: et in quanta neglectûs tempore versati fuissent sterilitate, et quanta bona experti postquam exstruendo templo multam contulissent sedulitatem. Ergo, inquit, reputate superiora tempora, cum nondum aedificandi templi curam susceperatis, in quibusnam rerum adiunctis versaremini, cum nimirum manipulos colligebatis viginti satorum fructui suppeditando idonea, vix autem extabant decem propter frugum corruptelam. Et quidem etiam vitis fructum tantum colligebatis quantum amphoris quinquaginta implendis satis erat; attamen vix viginti efficiebatis, quia et hic ab aëre exustus fuerat. Sane ego vobis immisi sterilitatis aërisque pestilentis plagas, quin etiam grandine vestros omnes labores perdidi: vos autem post illa quoque contumaciam vestram retinuistis. Sed ea, inquit, praeteriti temporis sunt. Nunc vero considerate, quaenam vobis ex illa die evenerint, qua ad templi aedificationem coepistis incumbere: comperietis enim, neque areae fructum, neque arborum, comparandum cum superiore: ex his enim antea nullus vobis proventus extabat: postquam vero templi mei curam geritis, omnia vestra benedictionibus meis cumulans, uberem vobis effeci frugum usum. Iam postquam ita eos cohortatus fuerat, atque ad opus excitaverat veterum rerum memoria, et posteriorum adiectione, propter suam adhuc ambigentes penuriam, rursus animos eis addit dicens.

“ Et factum est verbum Domini secundo ad Aggaeum prophetam quarta et vigesima mensis, dicens: loquere ad Zorobabelem Salathielis filium de tribu Iudae, dicens: adhuc ego semel commoveo caelum et terram ac mare et aridam. Et subvertam thronos regum, et perdam fortitudinem regis gentium, subvertamque currus et ascensores: et descendent equi et ascensores eorum, unusquisque cum gladio

ἀδελφὸν αὐτοῦ. „ Τὰ αὐτὰ τοῖς προτέροις λέγει· τοῦτο γὰρ δηλοῖ τὸ, καὶ ἐγένετο λόγος κυ-
ρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον· καίτοι γε φαίνεται ἐν τοῖς ἀνωτέροις πολλάκις ἀποκά-
λυψίν τε θείαν δεξάμενος ὁ προφήτης καὶ κατὰ ταύτην διαλεχθεὶς τῷ λαῷ· ἀλλὰ τοῦτο φησὶν
ἐκ δευτέρου, ὅτι τὰ περὶ τοῦ Γὼγ νῦν πάλιν αὐτὸς ἐπαγγέλλεται, ἵνα μὴ διὰ τὸ μέγεθος
ἀπιστῶσι τοῖς λεγομένοις, ἀναμφίβολον δὲ ἔχωσι τὴν γνώμην, ἐκ τοῦ μὴ μόνον ἅπαξ ἀλλὰ καὶ
δεύτερον ἐπαγγείλασθαι τὰ αὐτὰ τὸν θεόν· εἶπε γὰρ αὐτοῖς, φησὶν, ὅτι μονονουχὶ συσσείσας
ἅπαντα καταστροφὴν ἐργάσομαι πολλῶν βασιλέων θρόνοις βασιλικοῖς κοσμουμένων, τὴν
δύναμίν τε πᾶσαν αὐτῶν ἀφανίζων, καὶ καταστρέφων τὰ ἅρματα σὺν τοῖς ἐπαναβεβηκόσιν
αὐτοῖς· ὥστε εἰς ἀλλήλους αὐτοὺς συμπεσόντας, τούς τε ἵππους καὶ τοὺς ἐπιβεβηκότας τῶν ἵπ- p. 430.
πων, ἀλλήλων γενέσθαι σφαγέας, καὶ πολὺν ἀποτελεσθῆναι τὸν φόνον, ἀναιρουμένων αὐτῶν ὑπ'
ἀλλήλων· ὅπερ οὖν ἐργάσομαι, ὥστε δῆλον ἐξ ἁπάντων γενέσθαι, ὅτι οὐ τῆς ὑμετέρας διὰ χειρὸς
ἔργον ἡ τροπὴ τοῦ πολέμου καὶ ἡ νίκη, ὑπὸ δὲ τῆς δυνάμεως ἀποτετέλεσται τὸ πᾶν τῆς ἐμῆς.
“ Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, λήψομαί σε Ζοροβάβελ τὸν τοῦ v. 21.
Σαλαθιὴλ τὸν δοῦλόν μου, λέγει κύριος· καὶ θήσομαί σε ὡς σφραγῖδα· διότι σε ᾑρέτισα, λέγει
κύριος παντοκράτωρ. „ Τότε δή φησιν, ὦ Ζοροβάβελ, τῆς οἰκείας ἀξιώσας ἡγούμενον τοῦ
ἰσραηλιτικοῦ λαοῦ, πάντων κρατῆσαι παρασκευάσω· ὥστε ἐξ αὐτῶν δῆλον γενέσθαι τῶν ἔρ-
γων, ὅτι ψήφῳ τῇ ἐμῇ βασιλεύς τε ᾕρησαι βεβαίως, καὶ ἀρεσκείᾳ τῇ ἐμῇ εἰς τὴν ἀξίαν
προκεχείρισαι ταύτην· παντὸς συνιέντος ἂν ῥᾳδίως ὅτι δυνηθῆναι σε ταῦτα οὐδαμῶς οἷόν
τε ἦν, εἰ μὴ κατὰ γνώμην ἐμὴν τὸ βασιλεύειν ἔχων, ἐμῇ τῇ ῥοπῇ καὶ τὴν τοσαύτην κατ-
επράξω νίκην· ἐπειδὴ γὰρ ἡ σφραγὶς ἐπιτιθεμένη ἀσφάλειάν τινα τοῖς ἐμβαλλομένοις
παρέχειν δοκεῖ, τοῦτο λέγει τὸ θήσομαί σε ὡς σφραγῖδα, ἀντὶ τοῦ δείξω σε ἀσφάλειαν καὶ
βεβαίωσιν ὄντα παντὸς τοῦ λαοῦ, ἅτε τοσούτων τῇ ἡγεμονίᾳ τυγχάνοντος τῇ σῇ, ἐπειδὴ

adversus fratrem suum. „ Similia prioribus dicit; talia quippe sunt verba: et factum est verbum Domini secundo ad Aggaeum. Atqui in superioribus apparet saepe divinam revelationem accepisse prophetam, et secundum illam populo locutum. Sed nunc ait “ secundo „ quia res Gogi denuo denunciat, ut qui propter illarum magnitudinem discredebant, sententiam firmam susciperent, quoniam haud semel tantummodo, verum etiam secundo, denunciabat eas Deus. Dicit enim ei: en ego propemodum omnia concutiens, subversionem patrabo multorum regum thronis regalibus praeditorum, omnem illorum potentiam destruens, et currus cum ascensoribus suis subvertens; ita ut invicem impingentes tum equi tum equorum ascensores, mutui occisores fiant, multamque caedem efficiant alter alterum interimentes. Quod quidem ego agam, ut palam omnibus fiat, haud manuum vestrarum opus hanc esse belli conversionem atque victoriam, sed potentiae meae viribus omnia esse confecta.

“ Die illa, dicit Dominus omnipotens, assumam te Zorobabelem Salathielis filium, servum meum, dicit Dominus: et ponam te tamquam signaculum; quia te elegi, dicit Dominus omnipotens. „ Tunc vero te, ait, o Zorobabel, meo dignans auxilio ducem populi israhelitici, cunctis dominari faciam: ita ut ex ipsis operibus exploratum fiat, te suffragio meo regem stabilem electum, meoque beneplacito ad hanc adsumptum dignitatem; ut nemo non facile intelligat, te nullatenus talia potuisse patrare facinora, nisi voluntate mea rex factus, ope pariter mea victoriam tantam retulisses. Nam sicut signaculum impositum tutelam quandam suppositae rei conferre videtur, ideo dicit ponam te tamquam signaculum, id est ostendam te esse

* Ioh. VI. 27. ψήφῳ πρὸς τοῦτο ᾑρῆσθαι τῇ ἐμῇ· οὕτως καὶ ἐν τοῖς εὐαγγελίοις λέγει· * τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός, ἀντὶ τοῦ τοῦτον βεβαίως ἀπέδειξε πρόξενον ἅπασιν ἀνθρώποις τῶν μεγίστων ἀγαθῶν· καὶ ὁ μακάριος δὲ Παῦλος· * (* I. Cor. IX. 2.) ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε, ἀντὶ (p. 431.) βεβαιοῦτέ μοι τὴν ἀποστολὴν ὑμεῖς οἱ πεπιστευκότες· τὸν αὐτὸν οὖν τρόπον κἀνταῦθα λέγει, τὸ θήσομαί σε ὡς σφραγῖδα, ἀντὶ τοῦ βεβαίαν ἀποδείξω τὴν βασιλείαν τὴν σὴν ἐπ' ἀσφαλεῖ ἁπάντων τῶν οἰκείων, ἀρεσκείᾳ προβεβλημένην τῇ ἐμῇ· εἰκότως δὲ ἁπανταχοῦ κοινῇ πρός τε τὸν Ζοροβάβελ καὶ τὸν Ἰησοῦν διαλεγόμενος, ἐνταῦθα πρὸς τὸν Ζοροβάβελ μόνον ἐποιήσατο τὸν λόγον, ἐπειδήπερ τοῦ πολέμου τὴν ἡγεμονίαν τῷ βασιλεῖ μάλιστα προσήκειν ἐχρῆν.

ΕΡΜΗΝΕΙΑ ΖΑΧΑΡΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Κατὰ τὸν αὐτὸν καιρὸν Ἀγγαίῳ προφήτῃ δῆλός ἐστι καὶ ὁ μακάριος προφητεύων Ζαχαρίας· ἐν ἔτει γὰρ δευτέρῳ Δαρείου, καθὼς ἐξ αὐτῆς ἐστι μαθεῖν τῆς θείας γραφῆς, ἐκεῖνός τε κατὰ ἀποκάλυψιν θείαν ἄρξασθαι λέγει τῆς προφητείας, καὶ μὴν καὶ οὗτος ὁμοίως, ὡς μετὰ τὴν ἐπάνοδον τοῦ ἰσραηλιτικοῦ λαοῦ ἀπὸ τῆς Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἐπαναχθέντος ἀμφοτέρους προδήλως φαίνεσθαι ποιουμένους τὴν προφητείαν. Κύρου γὰρ τοῦ πρώτου Περσῶν τε καὶ Μήδων κατὰ ταὐτὸν βασιλεύσαντος ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἐπιτρέψαντος χώραν, ἀνε-
p. 432. λήλυθεν μὲν πλῆθος εἴς τε τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν οὐκ ὀλίγον ἡγουμένου τοῦ Ζοροβάβελ, οἳ καὶ τοὺς θεμελίους κατεβάλοντο τοῦ ναοῦ καὶ τὸ θυσιαστήριον ἀνήγειραν ἐν αὐτῷ· ὡς δὲ τὸ ἔργον ἀχθῆναι πρὸς πέρας ἐκωλύετο, νῦν μὲν διὰ τὴν τῶν ἐνοχλούντων αὐτοῖς κακίαν, αὖθις δὲ διὰ τὴν αὐτῶν ἐκείνων ῥᾳθυμίαν, Ἀγγαῖος μὲν ὁ μακάριος προφήτης κατὰ

tutelam totiusque populi firmamentum, qui talia ducatu tuo consecutus est, qui meo suffragio ad id officii electus es. Sic etiam in evangeliis dicitur: hunc enim pater signavit Deus, id est hunc firmiter praebuit Deus datorem cunctis hominibus maximorum bonorum. Tum et beatus Paulus: signaculum apostolatus nostri vos estis, id est firmatis mihi apostolatum vos qui credidistis. Eodem itaque modo heic etiam dicit: ponam te ut signaculum, id est stabile ostendam regnum tuum, quod ob tuorum omnium tutelam, voluntate mea constitutum fuit. Iam quum ubique communiter Zorobabelem simul et Iesum allocutus sit, merito nunc Zorobabelem solum alloquitur, quandoquidem belli ducatus regi praecipue conveniebat.

COMMENTARIUS IN ZACHARIAM PROPHETAM.

Sub idem tempus, quo beatus Aggaeus in prophetis versabatur, beatum etiam Zachariam vaticinium suum cecinisse compertum est. Namque anno Darii secundo, ut ex ipsis cognoscere licet divinis litteris, aiebat ille se post acceptam revelationem initium facere prophetandi; et nunc iste similiter. Quare post reditum israhelitici populi, qui Babylone in Iudaeam se recepit, prorsus constat utrumque prophetiam edere. Quum enim Cyrus, qui primus Persis simul et Medis imperitavit, reverti in patriam Iudaeis concessisset, non exigua vis populi in urbem Hierusalem atque in Iudaeam regressa est, duce Zorobabele. Atque hi reduces fundamenta templi iecerunt, in eoque altare excitaverunt. Sed enim postquam opus impediri coeptum est, partim molestorum hostium malitia, partim ipsa Iudaeorum desidia,

θείαν ἀποκάλυψιν ἐμέμψατό τε αὐτοῖς περὶ τῆς ῥᾳθυμίας, καὶ μοχθηρίᾳ γνώμης ἀμελοῦντας ἐλέγξας τοῦ ἔργου, ἀφ' ὧν περὶ μὲν τοὺς ἑαυτῶν ἐσπούδαζον οἴκους, ὅπως ἂν αὐτοὺς μὴ ποιοῖεν μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς ἐργάζοιντο τῆς εὐπρεπείας, τοῦ δὲ οἴκου κατημέλουν τοῦ θείου, διήγειρεν ἅπαντας ἐπὶ τὸ ἔργον, ὡς αὐτὴ δείκνυσιν ἡ τοῦ προφήτου βίβλος.

Ζαχαρίας δὲ ὁ μακάριος κατὰ ἀποκάλυψιν θείαν καὶ αὐτὸς ὁμοίως βεβαιοῖ μὲν ταῖς οἰκείαις προρρήσεσι τὴν ἐπάνοδον τοῦ λαοῦ· πιστοῦται δὲ τὸ καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ τῆς οἰκείας ἔσεσθαι πάλιν εὐπρεπείας, βασιλέως τε ἐν αὐτῇ τὴν κατὰ θείαν γεγενημένου ψῆφον, καὶ τῆς ἐκεῖθεν ἠξιωμένου, διέποντός τε τὰ κατ' αὐτὴν καὶ προμαχοῦντος ἁπάντων εἰς τοὺς κατὰ τῶν ἀλλοτρίων πολέμους· τῆς ἱερωσύνης τε πάλιν μετὰ τῆς παλαιᾶς φαιδρότητος τὸν οἰκεῖον ἀπολαβούσης κόσμον· ὡς ἂν διὰ τούτων καὶ τοὺς ἀνεληλυθότας ἤδη πείσειεν βεβαίαν αὐτοῖς p. 433. ἐσομένην ἡγεῖσθαι τὴν ἐπὶ τῶν τόπων οἴκησιν, περὶ ἧς εἰκὸς ἦν αὐτοὺς καὶ ἐπανεληλυθότας ἀμφίβολον ἔτι τὴν γνώμην ἔχειν, εἰ μενοῦσιν βεβαίως, εἴτε διὰ τὴν γεγενημένην βαρύτητα τῆς αἰχμαλωσίας, ἣν οὐκ ἄν ποτε ἤλπισαν ὑπομένειν, εἴτε καὶ διὰ τὸ τῆς ἐπανόδου παράδοξον· καὶ δὴ καὶ ἑτέρους τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι διδάξειεν εἰς τὴν Ἰουδαίαν ἐπανελευσομένους· ὃ δὴ μάλιστα καὶ τοῖς ἀνελθοῦσι τοῦ βεβαίου τῆς ἐπανόδου πίστις ἐγίνετο· φαίνεται δὲ πολλάς τινας καὶ διαφόρους ἀποκαλύψεις βλέπων, ὧν ἑκάστης τὴν δύναμιν ἐξηγεῖται· μηνύει δὲ καὶ τὴν περὶ τὸν Γὼγ τὴν ἔφοδον, τήν τε ἀπώλειαν αὐτῶν ἐσομένην παντελῶς· καὶ ὅτι παραδόξως καὶ παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα κρατήσουσιν αὐτῶν Ἰουδαῖοι ὑπὸ τῷ Ζοροβάβελ βασιλευόμενοί τε καὶ στρατηγούμενοι· μέμνηται δὲ καὶ τῶν μετ' ἐκεῖνο προσεσομένων αὐτοῖς λυπηρῶν, ἃ κατὰ τοὺς τῶν Μακκαβαίων αὐτοῖς ἐγένετο χρόνους ὑπὸ τῶν διαδόχων τῆς μακεδονικῆς βασιλείας.

Θαυμάζειν δὲ οὐ προσήκει, εἴ τινα καὶ γεγονότα ἤδη, ὡς ἐσόμενα δι' ἀποκαλύψεως

tunc beatus Aggaeus propheta divina instinctus revelatione segnitiem illorum obiurgabat, atque operis neglectum vecordiae eorumdem imputabat, qui privatos quidem lares non solum sedulo exstruebant, verum omni quoque elegantia exornabant; Dei vero habitaculum negligebant: et sic omnes ut instarent operi perurgebat; quam rem ipse prophetae liber demonstrat.

Iam et beatus Zacharias, divina accepta revelatione, suis pariter praedictionibus confirmat populi reditum; fidemque insuper facit, fore ut rursus urbs Hierusalem proprium decus recuperet, rege ibi divina sententia electo, caelestique gratia instructo, ita ut et urbem gubernet, et exterorum hostium bellis resistat: denique ait sacerdotium denuo cum vetere hilaritate dignitatem suam receepturum. Atque ita reducibus quoque firmam fore in patria stationem suadebat: namque adhuc dubitare eos verisimile erat, utrum domi essent mansuri nec ne, sive propter acerbam captivitatem quam numquam se perpessuros putavissent, sive propter ipsius reditus mirum prodigium. Denique etiam reliquos, qui adhuc in captivitate versabantur, redituros in Iudaeam spondebat; quae res in primis stabile fore postliminum, his qui iam redierant, testimonii loco erat. Videtur autem complures diversasque revelationes vidisse, quarum singillatim vim enarrat. Significat etiam bellicam Gogi incursionem, eiusque futuram internecionem; quippe cuius vires Iudaei praeter omnem spem debellaturi erant, rege Zorobabele ac duce. Mala quoque his superventura memorat, quae Maccabaeorum aetate a macedonici imperii successoribus contigerunt.

Neque est mirandum siqua iam praeterita, tamen instar rei futurae, in reve-

δηλοῖ· ὡς ὅταν λέγῃ, ὅτι τέσσαρα κέρατα διασκορπίσαντα τὸν Ἰσραὴλ εἶδε συντριβόμενα·
ταῦτα γὰρ εὔδηλον, ὅτι οὐκ ἔσεσθαι ἤμελλεν, ἀλλ' ἐγεγόνει· εἰ μὲν γὰρ τὸν Ἀσσύριον καὶ Βα-
p. 434. βυλώνιον καὶ Μῆδον καὶ Πέρσην σημαίνει διὰ τῶν τεσσάρων κεράτων, ὡς ὁ ἐνίων βούλεται
λόγος, πρόδηλον μὲν ὅτι καὶ Ἀσσύριοι καὶ Βαβυλώνιοι δεδώκεσαν ἤδη δίκας κατὰ τὸν καιρὸν
ἐκεῖνον. Μήδους δὲ Κῦρος καθεῖλε· μεθ' ὃν τέταρτος γέγονε Δαρεῖος· παρὰ Περσῶν δὲ
οὐδὲ γέγονέ τι χαλεπὸν τοῖς Ἰσραηλίταις· τοὐναντίον μὲν οὖν εὖ ὑπὸ τῆς βασιλείας ἔπαθον
ἐκείνης, πρότερον μὲν αὐτοὺς Κύρου τοῦ πρώτου βασιλεύσαντος ἀφέντος τῆς αἰχμαλωσίας,
μετ' ἐκεῖνον δὲ Δαρείου τοῖς λοιποῖς τῶν Ἰουδαίων τοῦ ἀνελθεῖν εἰς τὰ οἰκεῖα παρασχόντος τὴν
ἄδειαν· εἰ δὲ καὶ ἕτερα τὶς βούλοιτο σημαίνεσθαι τὰ τέσσαρα κέρατα κακῶς διατεθεικότα
τοὺς Ἰσραηλίτας ἐπὶ τοῦ τῆς αἰχμαλωσίας καιροῦ, πρόδηλον ὅτι κἀκεῖνα πέρας εἰλήφει·
ἀλλ' ἔοικεν ὁ προφήτης τῶν τοιούτων διὰ τοῦτο μνημονεύειν, ὡς ἂν καὶ τῆς θείας χάριτος διὰ
τοῦτο νῦν αὐτῷ τοῦτο δεικνυούσης, ἵν' ἐκ τῆς ἀποκαλύψεως τῆς θείας αὐτός τε βεβαίαν ἔχῃ
τῶν γεγονότων τὴν πίστιν, καὶ τοὺς ἀκούοντας δὲ ἀκριβῶς πεπεῖσθαι διδάσκῃ, ὅτι μένει μὲν
ἡ τῶν λελυπηκότων αὐτοὺς τιμωρία· μένει δὲ καὶ αὐτοῖς βέβαια τὰ τῆς δοθείσης εὐεργεσίας·
εἴρηται δὲ ταῦτα ἡμῖν οὐχ ἁπλῶς, ἀλλ' ἵνα μὴ ἐπὶ τοῦ κατὰ μέρος ἑρμηνείας ὁρῶντές τινα
μηνυόμενα, ὡς ἂν ἐσόμενα, ἃ γέγονεν ἤδη, θαυμάζωμεν ἢ διαπορῶμεν περὶ τοῦ σχή-
p. 435. ματος τῶν λεγομένων· τὰ μὲν δὴ τῆς ὑποθέσεως ἐν τούτοις· κατὰ μέρος δὲ προσεκτέον λοιπὸν,
καθὼς ἂν ἡ θεία χάρις διδῷ.

ΚΕΦ. Α'.

v. 1. "Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς Ζαχα-
ρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἐδδὼ, τὸν προφήτην, λέγων." Τὸν μὲν χρόνον ἐδήλωσεν ἐν

latione ostenduntur: veluti cum quatuor cornua, quae Israhelem disperserant, confracta vidit propheta: namque hoc non futurum, sed iam peracta fuerat. Sive enim Assyrios, Babylonios, Medos, Persasque his quatuor cornibus innuit, ut nonnullorum opinio fert, satis constat Assyrios ac Babylonios ante id tempus poenas luisse. Medos item imperio a Cyro spoliatos scimus: post quem reliquus est quartus Darius. Porro a Persis nihil molestum Israhelitis accidit; immo omnia secus ab istorum regno experti sunt; Cyro primum imperii auctore captivitatem solvente; deinde Dario Iudaeis reliquis ut in patriam redirent largiente. Quod si quis aliud quid his quatuor cornibus, quae Israhelitis captivitatis tempore nocuerunt, significari arbitratur, constat id quoque iam tum finem fecisse. Sed enim videtur propheta idcirco horum meminisse (divina scilicet gratia ob id ipsum haec eadem ei demonstrante) ut a caelesti revelatione certum ipse rerum peractarum testimonium acciperet; suosque auditores omnino certiores faceret de decreta inimicis eorum poena, et de beneficii impetrati constantia. Atque haec ego non temere praefatus sum, sed ut dum in cursu interpretationis quaedam forte ceu futura occurrent, quae iam evenerant, ne miremur, neque de rei, quae dicitur, oblata specie ambigamus. De prophetiae argumento hactenus. Superest ut res singulas, prout divina gratia concesserit, persequamur.

CAP. I.

"Octavo mense anni secundi, imperante Dario, factus est sermo Domini ad
* Gr. filium, ut p. 25 Zachariam Barachiae, filii * Eddonis, prophetam." His verbis tempus significat,

τούτοις καθ' ὃν ἠξιώθη τῆς ἀποκαλύψεως τῆς θείας· τίνα δὲ ἅπερ ἐκελεύσθη πρὸς τὸν λαὸν
εἰπεῖν, ἑξῆς ἐπάγει. " Ὠργίσθη κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. „ Πρέπον v. 2.
τῷ καιρῷ τὸ προοίμιον ἐποιήσατο ὁ προφήτης· ἐπειδὴ γὰρ νεαρὰν καὶ ἔναυλον τῶν τῆς αἰχ-
μαλωσίας κακῶν εἶχον τὴν μνήμην, ἄρτι τε αὐτῆς ἀπαλλαγέντες καὶ εἰς τὰ οἰκεῖα ἐπανελ-
θεῖν δυνηθέντες, εἰκότως πρὸ παντὸς λόγου τῆς συμφορᾶς αὐτοὺς ὑπομιμνήσκει τῆς ἀρτίως
γεγενημένης· ὡς ἂν τῇ μνήμῃ τῶν γεγονότων φυλάττοιντο εἰς πεῖραν τῶν αὐτῶν καταστῆναι
πάλιν· ἴστε γάρ, φησίν, ὀργισθεὶς ἡλίκην τοῖς πατράσι τοῖς ὑμετέροις ἐπήγαγον τιμωρίαν,
οἵων τε αὐτοὺς διὰ τὴν ἀπείθειαν ἐν πείρᾳ κατέστησα κακῶν, ἀφελὼν μὲν τῆς γῆς τῆς οἰκείας,
ἀπαγαγὼν δὲ αἰχμαλώτους εἰς γῆν ἀλλοτρίαν, ἣν οὔπω πρότερον εἶδον. " Καὶ ἐρεῖς πρὸς v. 3.
αὐτούς, τάδε λέγει κύριος παντοκράτωρ· ἐπιστρέψατε πρός με, λέγει κύριος τῶν δυνάμεων·
καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος τῶν δυνάμεων· καὶ μὴ γίνεσθε καθὼς οἱ πα- v. 4.
τέρες ὑμῶν, οἷς ἐνεκάλουν αὐτοῖς οἱ προφῆται οἱ ἔμπροσθεν λέγοντες, τάδε λέγει κύριος p. 436.
παντοκράτωρ, ἀποστρέψατε δὴ ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων
ὑμῶν τῶν πονηρῶν· καὶ οὐκ ἤκουσαν, καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει κύριος παν-
τοκράτωρ. „ Ἀλλὰ νῦν γοῦν ἀποστάντες τῆς μιμήσεως τῶν πατέρων τῶν οἰκείων, πρός με
ἀποβλέψατε, καὶ πρὸς τὰ παρ' ἐμοῦ λεγόμενα ὑμῖν καὶ συμβουλευόμενα τεταμένον ἔχετε
τὸ ὄμμα, ὡς ἂν καὶ αὐτὸς ἐφορᾶν ὑμῖν καὶ δι' ἐπιμελείας ἔχειν τὰ καθ' ὑμᾶς ἑλοίμην·
φυλάξασθε ἢ πᾶσαν μίμησιν τὴν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρους· οἳ πολλὴν καὶ συχνὴν
παρὰ τῶν προφητῶν τῶν πρότερον γενομένων συμβουλὴν δεξάμενοι καὶ παραίνεσιν, ὥστε
τῆς κακίας ἀποστῆναι τῆς οἰκείας, καὶ κερδᾶναι τὴν ὑπὲρ τῶν κακῶς πεπραγμένων αὐτοῖς
τιμωρίαν, οὔτε προσέχειν οὔτε λόγον τινὰ ποιεῖσθαι τῶν διδασκόντων ἐβούλοντο.
" Οἱ πατέρες ὑμῶν ποῦ εἰσι; καὶ οἱ προφῆται μὴ εἰς τὸν αἰῶνα ζήσονται; πλὴν τοὺς v. 5.
λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις v. 6.

quo divina revelatione dignus habitus est: deinceps vero addit quae ad populum loqui iussus fuit. " Grandi ira adversus parentes vestros iratus est Dominus. „ Congruum tempori exordium propheta fecit: nam quia recentem adhuc praesentemque malorum in captivitate exantlatorum retinebant memoriam; quippe qui vix eam depulerant, vixque lares suos recuperare potuerant; merito ante quam aliud dicat, calamitatem iisdem refricat, quam nuper perpessi fuerant; ut nimirum praeteritorum malorum memores caverent utique ne in eadem rursus inciderent. Nostis, inquit Deus, quantas ego iratus parentibus vestris poenas imposuerim, quantisque adversitatibus propter ipsorum contumaciam eos obruerim, patria spoliatos, in alienam regionem quam numquam viderant serviliter abactos. " Dicesque eis, haec ait Dominus omnipotens: revertimini ad me, dicit Dominus virtutum; et ego convertar ad vos, dicit Dominus virtutum. Neque fiamini ut patres vestri, quos reprehendebant superiores prophetae dicentes: haec ait Dominus omnipotens: recedite a viis vestris malis, atque a studiis vestris malis. Illi tamen mihi non obediverunt, neque meis verbis aurem praebuerunt, ait Dominus omnipotens. „ Nunc ergo omissa imitatione maiorum vestrorum ad me respicite, meisque dictis ac monitis erecto oculo adtendite, ut ego quoque vos respiciam, vestrique curam libenter geram. Ne patres vestros imitemini vehementer cavete, qui cum diu multumque a priscis prophetis admoniti fuissent atque exorati, quo scilicet a sua pravitate recederent, neque auscultare voluerunt, neque ullam admonitionum rationem habere.

" Patres vestri ubinam sunt? et prophetae num semper vivent? Eia meos ser-

μου τοῖς προφήταις, οἳ κατέλαβον τοὺς πατέρας ὑμῶν. „ Καίτοι γε καλῶς ἂν ἔχοι κἀ-
κεῖνο ὑμᾶς συλλογίσασθαι, ὅτι οὔτε οἱ πατέρες ὑμῶν εἰσὶν ἔτι, οὔτε οἱ προφῆται· προκα-
τελάβετο δὲ κἀκείνους καὶ τούτους ὁ κοινὸς τῆς φύσεως θάνατος, ἐπὶ πλεῖστον ἐκτεταμένην
p. 437. ἔχειν τὴν οἰκείαν ζωὴν οὐκ ἐῶν· ἀλλ' οἱ μὲν ἀπεληλύθασι τὴν ἐκ τῆς ἀπειθείας δεξάμενοι
τιμωρίαν· οἱ προφῆται δὲ καὶ παυσάμενοι τοῦ παρόντος βίου τῶν οἰκείων ῥημάτων ἔργοις
ἐπέδειξαν τὴν ἀλήθειαν· ἐπεὶ καὶ τετελευτηκότων αὐτῶν, οὐδὲν ἧττον ἅπερ εἶπον εἰς πέρας
ἐξήγετο, ἅτε κατ' ἐμὴν εἰρημένα γνώμην· πρὸς δὴ τοῦτο ἀφορῶντας προσήκοι ἂν μὴ
πάρεργα ποιεῖσθαι τὰ παρ' ἐμοῦ διὰ τῶν προφητῶν λεγόμενα· δέχεσθαι δὲ πάντα ὅσα περ
ὑμῖν διὰ πνευματικῆς λέγουσι τῆς χάριτος· ἐπεὶ μή τε ψευσθῆναι οἷόν τέ τι τῶν λεγομένων
παρ' αὐτῶν, μήθ' ὑμῖν ἀκίνδυνον ἀμελεῖν ἐθέλουσι τῶν παρ' αὐτῶν λεγομένων· ἐπὶ δὴ
τούτοις εἰκότως τοῖς ῥήμασιν οἱ τοῦ λαοῦ, ἅτε τῶν πραγμάτων τῇ τῶν λεγομένων ἀληθείᾳ
μαρτυρούντων αὐταρκῶς, ἀπόκρισιν ἐποιήσαντο, σαφῆ τῆς εὐγνωμοσύνης ἑαυτῶν παρεχό-
μενοι τὴν ἀπόδειξιν. “ Καὶ ἀπεκρίθησαν γάρ φησιν καὶ εἶπον· καθὼς παρατέτακται κύριος
παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν, καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως
ἐποίησεν ἡμῖν. „ Τὸ παρατέτακται, παρετέτακτο λέγει· οὐ γὰρ περὶ παρόντων διαλέγε-
ται ἀλλὰ περὶ τῶν γεγονότων ἤδη· ὁμολογοῦμεν φησὶν ὅτι οἷα περ ὁ θεὸς ἀπεφήνατο γενέσθαι
περὶ ἡμᾶς, ἀνάλογον οἷς ἐπράττομεν ἐκβαλὼν τὴν ἀπόφασιν, τοιαῦτα δὲ καὶ πεπόνθαμεν·
p. 438. ὥστε σφόδρα ἡμᾶς πεπεῖσθαι, ὅτι ἀναντίρρητος τῶν παρὰ θεοῦ λεγομένων ἡ ἀλήθεια· καὶ
οὐκ ἀκίνδυνον ἡμῖν ἀμελεῖν βουλομένοις τῶν παρ' αὐτοῦ λεγομένων· τούτων οὕτως εἰρημένων,
ἀποκάλυψιν λοιπὸν ὁ προφήτης διηγεῖται δειχθεῖσαν αὐτῷ παρὰ τοῦ θεοῦ, ἀφ' ἧς αὐτός τε
ἀκριβῆ τὴν περὶ τὸν λαὸν ἀγαθῶν τὴν πίστιν ἐλάμβανε, καὶ τοῖς ἀκούουσι θαῤῥούντως εὐηγ-
γελίζετο τὰ φαινόμενα· λέγει δὲ οὕτως.
v. 7. “ Τῇ τετράδι καὶ εἰκάδι, τῷ ἑνδεκάτῳ μηνὶ, οὗτός ἐστιν ὁ μὴν σαβὰτ, ἐν δὲ τῷ

mones legemque meam excipite, quidquid ego videlicet praecipio in spiritu meo servis meis prophetis, qui patres vestros comprehenderunt. „ Profecto aequum est vos reputare, quod neque patres vestri iam supersint neque prophetae: nam et hos et illos communis naturae interitus intercepit, quominus vitam diutius propagarent. Et illi quidem e vivis excesserunt, contumaciae suae poenam experti; prophetae autem etsi huius vitae finem fecerunt, nihilo minus verborum suorum veritatem factis comprobaverunt; quandoquidem vel ipsis mortuis vaticinia suum exitum aeque habuerunt; quia haec nimirum me iubente edita fuerant. His exemplis monitos ea, quae prophetae meo nomine aiunt, non parvipendere decet, immo his auscultare quae spiritali gratia commoti loquuntur: nam neque dicta ab iis inritari queunt, neque vobis dictorum neglectus vacare periculo potest. His verbis compunctus populus, quorum veritati locuples facta testimonium dabant, sic respondit, ut docilitatem animorum suorum manifestam faceret. “ Responderunt, inquit, atque dixerunt: sicuti disposuit Dominus omnipotens facere nobis secundum vias nostras, et secundum studia nostra, sic fecit nobis. „ Verbum disposuit pro disposuerat ponitur: etenim haud de praesenti sed de praeterita re sermo est. Fatemur, inquit, quae Deus nobis eventura portenderat, congruo facinoribus nostris decreto, ea nos revera expertos fuisse: quare vehementer nobis persuasum est, dictorum divinorum veritatem esse certissimam. Haec elocutus, revelationem deinceps propheta narrat sibi a Deo oblatam, ex qua cum ipse non dubiam publicae felicitatis confirmationem percepit, tum fidenter auditoribus visa nunciavit. Sic autem ait.

δευτέρῳ ἔτει ἐπὶ Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν
Ἐδδώ, τὸν προφήτην, λέγων. ,, Τὸ ἐγένετο λόγος κυρίου ἀντὶ τοῦ ἀποκαλύψεως ἠξιώθην
θείας· ὅθεν τὴν ἀποκάλυψιν λέγων λοιπὸν " ἑώρακά φησι τὴν νύκτα. ,, Οὐ γὰρ ὁ λόγος τοῦ v. 8.
κυρίου οὐδὲ κύριος ἤμελλεν λέγειν ἑώρακα τὴν νύκτα· ἀλλὰ δηλονότι ὁ προφήτης φησί· δι'
ἐκείνου τοίνυν δηλώσας ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι θείαν, ἐν τούτοις τὴν ἀποκάλυψιν τίς
ἐστι διηγεῖται· διὸ λέγει ἑώρακα τὴν νύκτα, ἀντὶ τοῦ εἶδον ἀποκάλυψιν τοιάνδε· εἶτα καὶ
λέγει τοιαύτην ἥτις ἐστί. " Καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἵππον πυῤῥόν· καὶ οὗτος εἱστήκει ἀνα-
μέσον τῶν ὀρέων τῶν κατασκίων· καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ καὶ ποικίλοι καὶ λευκοί· καὶ
εἶπον, τί οὗτοι κύριε; καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, ἐγὼ δείξω σοι τί ἐστι v. 9.
ταῦτα· καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀναμέσον τῶν ὀρέων, καὶ εἶπε πρός με· οὗτοι εἰσὶν v. 10. p. 439.
οὓς ἐξαπέστειλε κύριος περιοδεῦσαι τὴν γῆν· καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τῷ ἐφε- v. 11.
στῶτι ἀναμέσον τῶν ὀρέων, καὶ εἶπον, περιωδεύσαμεν τὴν γῆν πᾶσαν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ
κατοικεῖται καὶ ἡσυχάζει. ,, Εὔδηλον ὅτι πάντα δὴ τὰ τῷ προφήτῃ δειχθέντα, γνωρί-
σματα τινῶν ὑπῆρχεν πραγμάτων (1)· ὡς γὰρ ὁ Ἰωσὴφ εἶδε δράγματα καὶ ἥλιον καὶ σε-
λήνην καὶ ἀστέρας *, ἕκαστον δὲ τούτων πράγματός τινος ἐσομένου δήλωσιν εἶχεν· καὶ ὁ Φα- * Gen. XXXVII. 6.
ραὼ στάχυάς τε καὶ βόας τοὺς μὲν εὐπαθεῖς τοὺς δὲ λεπτοὺς *, ἦν δὲ καὶ ἐν τούτοις ἕτερα τὰ * Gen. XLI.
ἐκ τῶν δεικνυμένων σημαινόμενα· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ προφήτης ταῦτα μὲν δι' ἀποκα-
λύψεως ὁρᾷ θείας, ἕκαστον δὲ τῶν δεικνυμένων αὐτῷ σημεῖόν τι καὶ δήλωσιν πράγματος
εἶχεν· οὕτω καὶ ὁ μακάριος Πέτρος εἶδε σινδόνα ἀπ' οὐρανοῦ καταφερομένην, μεστὴν παντο-
δαπῶν ζώων καθαρῶν τε καὶ ἀκαθάρτων *, τὰ φαινόμενα δὲ ἕτερόν τινων δήλωσιν εἶχε· * Act. X. 11.

" Die vigesima quarta mensis undecimi, qui est sabat, secundo Darii anno, sermo Domini factus est ad Zachariam Barachiae, filii * Eddonis, prophetam, dicens. ,, Verba " sermo Domini factus est ,, pro, divina revelatione ego dignus habitus sum, ponuntur. Neque enim vel sermo Domini vel Dominus dicturus erat per noctem vidi. Sed enim heic loqui prophetam constat. Igitur postquam ait divinam sibi accidisse revelationem, quaenam ista fuerit pergit dicere. Ait ego per noctem vidi, pro, hoc ostentum vidi. Mox eius rei rationem edisserit. " Ecce vir equo rufo insidens: hic in montium umbrosorum medio stabat: post eum equi rufi et varii et albi. Dixique, quinam isti sunt Domine? Dixitque mihi angelus qui mecum loquebatur: ego tibi rem hanc declarabo. Respondit que vir ille qui inter medios montes constiterat, dixitque mihi: hi sunt quos misit Dominus ad perlustrandam terram. Porro responderunt angelo Domini qui in mediis montibus stabat, dixeruntque: terram universam perambulavimus; et ecce universa terra habitatur et quiete fruitur. ,, His ostentis prophetae oblatis significari facta nonnulla, nemo non videt. Nam sicut Iosephus manipulos vidit et solem et lunam et astra, quae singula facti alicuius significationem habebant; itemque Pharao spicas et boves partim crassas partim macie confectas, quae pariter certum quid aliud innuebant; eodem modo etiam propheta res, quas diximus, divina revelatione spectat; sed tamen singula ostenta facti alicuius indicium adferebant. Sic etiam beatus Petrus sindonem vidit caelo demis-

* Gr. filium.

Scholion graecum a manu recentiore, ut et sequentia.

(1) Ἄφρον καὶ ἀγροικία· εἰ μὴ ἐκάθευδον καὶ ἀνύπαρκτα ὄνειρα ἔβλεπον ἐκ μελαγχολικῆς διαθέσεως, πάντως περὶ πραγμάτων αὐτοῖς οἱ λόγοι· ἀλλ' ὁ ἑρμηνεύων οὐ τοῦτο σκοπεῖ, πρόδηλον ὄν, ἀλλὰ περὶ ποίου καὶ τί τὸ πρᾶγμα ὃ σημαίνει ὁ λόγος. *Insipiens hoc et indoctum. Nisi forte dormiebant, et insubsistentia somnia videbant ex melancholica animi affectione, prophetae omnino de rebus loquuntur. At interpres hcc, quamvis evidens, non observat, sed quae qualisque res sit quam sermo significat.*

ὃν αὐτὸν δὲ τρόπον καὶ ὁ μακάριος Ζαχαρίας τὴν ἀποκάλυψιν διηγούμενος λέγει περὶ τῶν ἄλλων ὅτι ἄνδρα εἶδεν ἐπὶ ἵππον ἐπιβεβηκότα πυῤῥὸν, ὃς ἀναμέσον τῶν ὀρέων εἱστήκει τῶν κατασκίων.

Πολλῆς δὲ πλάνης καὶ ἀνοίας ἐστὶ μεστὸν, καὶ οὐδὲ ἀσεβείας ἀφεστὼς, τὸ παρά τινων p. 440. λεγόμενον, ὅτι τὸν υἱὸν ἑώρα τοῦ θεοῦ ἐνταῦθα· δήλου γε ὄντος ὅτι τῶν πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας, οὐδεὶς ἠπίστατο πατέρα καὶ υἱὸν (1), οὐ πατέρα θεὸν υἱοῦ θεοῦ πατέρα, οὐχὶ υἱὸν θεὸν υἱὸν πατρὸς θεοῦ, τοῦτο ὄντα ὅπερ ἐστὶν ὁ πατὴρ, ἅτε καὶ ὄντα ἐξ αὐτοῦ· ἐπειδὴ πατρὸς μὲν ὀνομασία καὶ υἱοῦ, ἐπὶ τῆς παλαιᾶς ἦν διαθήκης· πατρὸς μὲν κοινῶς κατὰ κηδεμονίαν τοῦ θεοῦ λεγομένου τῶν τῆς ἐκεῖθεν ἐπιμελείας ἀξιουμένων ἀνθρώπων, υἱῶν δὲ τῶν ἐχόντων τί πλέον κατὰ οἰκείωσιν θεοῦ· πατέρα δὲ θεὸν, ὥσπερ οὖν ἔφην ἤδη, υἱοῦ θεοῦ, καὶ υἱὸν θεὸν θεοῦ πατρὸς, ἠπίστατο τῶν τότε καθάπαξ οὐδείς· θεὸν γὰρ καὶ κτίσιν μόνον ᾔδεσαν οἱ πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας παιδευόμενοι τὴν εὐσέβειαν· θεὸν μὲν τὸν ἀΐδιον γνωρίζοντες οὐσίαν καὶ πάντων αἰτίαν· κτίσιν δὲ πάντα συντόμως εἰπεῖν τὰ ὑπ' αὐτοῦ ἐκ

sam, omnigenis beluis tum mundis tum etiam immundis plenam, quae visio aliud quid designabat. Hoc pacto Zacharias quoque propheta revelationem suam proponens, ait in primis se virum vidisse equo rufo insidentem, qui in medio umbrosorum montium constiterat.

Multo autem errore ac dementia scatet, neque ab impietate abest, quod nonnulli aiunt, filium Dei a propheta heic visum: quum constet neminem qui ante Christi domini adventum vixerit, agnovisse patrem ac filium, minime inquam Deum patrem Dei filii patrem, neque filium Deum Dei patris filium, eundem substantia ac patrem, utpote ex ipso oriundum. Patris utique ac filii appellatio in vetere testamento erat: patre quidem generaliter Deo appellato hominum cura eius fruentium; his vicissim filiis appellatis, qui plus aliquid haberent propter Dei familiaritatem. Sed tamen Deum patrem, ut iam dixi, Dei filii, et filium Deum patris Dei, sciebat hominum illius aevi prorsus nemo. Etenim Deum tantummodo et creationem noverant quotquot ante Christi domini adventum veram religionem edocti fuerant: Deum quidem sempiternam agnoscentes substantiam et rerum omnium cau-

(1) Scholion. Ἀνούστατε καὶ τῷ ὄντι πλάνε· οὐχ ὅτι οὐκ ἐγίνωσκον πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, διὰ τοῦτο οὐκ ἐχρήσαντο ταῖς ὀνομασίαις, ἀλλ' ὅτι οὐ δυνατοὶ τοιαῦτα ἀκούειν, πρὸς οὓς ἔλεγον· διὰ τοῦτο ἄλλαις ὀνομασίαις ἴσαις τούτων ἐχρῶντο τὰ αὐτὰ δυναμέναις· ἐπεὶ πόθεν ἔγνωμεν τὸν θεὸν ἐν τρισὶ προσώποις, εἰ μὴ οὐ κἀπὸ τῶν προφητῶν; *O amentissime vereque fallax! Non quod ignorarent (prophetae) patrem et filium et spiritum sanctum, idcirco horum nominibus non utebantur, sed quia intelligendis his non erant idonei homines apud quos verba faciebant, propterea paria his nomina ponebant idem significantia. Alioquin undenam Deum in tribus personis cognovimus, nisi etiam a prophetis?* Hanc sententiam quod ss. Trinitas ignota prorsus fuerit etiam prophetis, iam recitaverat Mopsuestenus etiam ad Aggaeum p. 276. Iam vero notos Iudaeis patrem et spiritum sanctum, filium ignotum, ait Photius amphil. XLIII. 17. et CXC. 2. Sed innotuisse Daniheli etiam filium observant Hippolytus et Apollinaris in catena quam nos edidimus ad Dan. cap. III. 92. 93. Porro Mopsuesteni sententia diserte refutatur ab iis quae sunt apud Eusebium hist. eccl. I. 2. 3. 4, et contra Marcellum I. 19, nec non toto paene opere eclogarum proph. (quod a cl. benemerentissimo viro Thoma Gaisfordio editum habemus.) Miror Petavium de Trin. II. 7. non ponere satis notam Eusebii luculentam disputationem inter eos auctores qui ex vet. testamento filii divinitatem adstruxerunt. Iam praesens invectio fortasse fit adversus Hieronymum, qui Christum dominum hoc loco agnoscit. Et quidem oppugnatum fuisse alio opere a Mopsuesteno Hieronymum, demonstrat Cavaeus. Quamquam si fortasse nonnisi graecos auctores legebat heic noster, respici ab ipso puto vel Hippolytum vel Origenem vel Didymum, quos appellat Hieronymus in praef. ad Zach. Denique non est dissimulandum, abs Hieronymo ad Dan. X. 21. XII. 1. non Christum sed angelum apud Zachariam intelligi, sicut etiam a Theodoreto, qui Mopsuesteno nostro solet subscribere.

τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρεληλυθότα· καὶ τούτου γε ἀπόδειξις αὐτάρκης ἐκ τῶν μακαρίων ἀποστόλων γένοιτο ἄν, οἱ ἐπὶ τῆς τοῦ δεσπότου παρουσίας ἐπὶ μακρὸν τῷ χρόνῳ συγγεγονότες αὐτῷ, Χριστὸν μὲν αὐτὸν ὡμολόγουν, ἐγνωκότες διὰ πολλῆς διδασκαλίας· υἱὸν δέ, καθ' ὃν ἔφην λόγον, θεοῦ οὐκ ἠπίσταντο· πλὴν ὅσον κατ' οἰκείωσιν ἔλεγον θεοῦ υἱὸν τὸν Χριστὸν κατὰ τὸ τῶν πρόσθεν ἔθος ἁγίων τε καὶ δικαίων (1)· ἐντεῦθεν ὁ Φίλιππος λέγει πρὸς τὸν κύριον· δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ἀρκεῖ ἡμῖν· οὐκ ἄν γε τοῦτο εἰπὼν εἰ ἠπίστατο, τίς μὲν ὁ υἱός, τίς δὲ ὁ πατήρ· ἠπίστατο γὰρ πάντως, ὡς καὶ ἀθέατον ἡ θεία φύσις· ὅθεν καὶ ὁ κύριος p. 441.
λέγει πρὸς αὐτόν, τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με Φίλιππε; δεικνὺς ὅτι οὐδὲ αὐτὸν ἠπίστατο, ὃν εἰδέναι ᾤετο· καὶ τούτου γε ἕνεκεν καὶ τὸν πατέρα ἰδεῖν αἰτεῖ, πράγματος ἐφιέμενος ἀδυνάτου· ἐπάγει γοῦν· ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα· δεικνὺς ὅτι κατὰ τὴν θεότητα τοῦτό ἐστιν ὅπερ ὁ πατήρ, ἀθέατος ὁμοίως ἐκείνῳ, καὶ ὄψις αὐτὴ ἐκείνου ἢ καὶ τούτου. Καὶ ἑτέρωθι δὲ σαφέστερον πρὸς αὐτοὺς ὁ κύριος λέγει· * ταῦτα ἐν παροιμίαις * Ioh. XVI. 25.
λελάληκα ὑμῖν, ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀπαγγελῶ ὑμῖν· δεικνὺς ὅτι ὡς ἐν αἰνίγματι τὴν τοῦ πατρὸς ἤκουον φωνήν, ἐπὶ τῆς ἀνθρωπείας φύσεως κατὰ σχέσιν αὐτὴν ἐκλαμβάνοντες, γνώσονται δὲ ἀληθῶς υἱὸν

sam; creationem autem, ut breviter dicam, res ab illo ex nihilo ad existendum productas. Idque satis demonstratur vel ex ipsis apostolis, qui in Domini adventu, longo tempore cum eo versati, Christum quidem eum confitebantur, prout ex multo magisterio didicerant; filium tamen, ea qua dixi ratione, Dei esse nesciebant: nisi quod peculiariter Dei filium dicebant Christum, antiquiorum more sanctorum atque iustorum. Hinc Philippus Domino aiebat: ostende nobis patrem tuum, et sufficit nobis; quod numquam dixisset, si quinam esset filius, quinam iter pater, scivisset. Alioqui plane noverat invisibilem esse divinam naturam. Unde et Dominus illi dixit: tanto tempore vobiscum sum, et non cognovisti me Philippe: ostendens, quod ne ipsum quidem agnosceret, quem scire putabat: ideoque patrem quoque videre postulat, impossibilem rem cupiens. Subdit ergo Dominus: qui videt me, videt et patrem meum: ostendens se, ad deitatem quod attinet, eundem esse ac patrem, invisibilem pariter: eundemque esse utriusque conspectum. Alibi vero manifestius dixit illis Dominus: haec in proverbiis locutus sum vobis; sed venit hora cum iam non in proverbiis loquar vobis, sed aperte patrem vobis annunciabo: significans quod tamquam in aenigmate patris vocabulum audierant, de natura humana secundum eandem relationem id intelligentes; at postea verum Dei filium

(1) Mopsuesteni interpretatio haec non est admittenda in confessione certe Petri: *tu es Christus filius Dei vivi* etc. Etenim S. Hilarius de Trin. VI. 36: *non est,* inquit, *evangelica et apostolica fides, filium Dei nomine potius quam natura credidisse. Si enim adoptione haec nuncupatio est, et non idcirco filius est, quia exierit a Deo; quaero unde beatus Simon Bariona est confessus: tu es Christus filius Dei vivi? Anne cum omnibus potestas sit per sacramentum regenerationis in filios Dei nasci? Si secundum hanc nuncupationem filius Dei Christus est, interrogo quid illud sit, quod Petro non caro neque sanguis revelavit, sed Pater qui in caelis est? Generalis professio quid habet meriti? aut quae revelationis est gloria in publica conscientia? Si ex adoptione filius est; unde haec in Petro beata confessio est, hoc filio deferenti quod est commune sanctorum? Ultra humanam autem intelligentiam se fides apostolica protendit.* Pergit alia ibidem cumulare Hilarius, quae breviter heic recitari non possunt. Consonat autem Hilario altera dogmatum basis S. Athanasius de sent. Dionysii n. 8., et contra Arianos orat. II. n. 18. 62, et alibi. Sic denique Petri verba de naturali filio Dei Christo dicta intellexerunt summates alii patres Ambrosius, Augustinus, Cyrillus, Chrysostomus, quos Tirinus memorat ad Matth. XVI. 16. Nos igitur necessario hanc criticam adnotationem faciendam iudicavimus, praesertim quia graecus Scholiastes, qui alia in Mopsuesteno notavit, nihil hoc in loco animadvertit.

ὅτ᾽ ἂν γνῶσι θεὸν ἐκ θεοῦ κατ᾽ οὐσίαν ὄντα ἐξ αὐτοῦ, καὶ τοῦτο ὄντα τὴν οὐσίαν ὅπερ ἐκεῖνος· εἰ γὰρ οἱ προφῆται καὶ οἱ πρόσθεν δὴ πάντες ἠπίσταντο πατέρα καὶ υἱὸν, καὶ δὴ τοῦτο ἐκ τῶν θείων ἐδιδάσκοντο γραφῶν, πρὸ τῶν ἄλλων ᾔδεσαν ἂν οἱ ἀπόστολοι τοῦτο· ἀλλ᾽ εὔδηλον ὡς οὐκ ᾔδεσαν, ἔμαθον δὲ ὁπηνίκα τοῦ πνεύματος ἔλαβον τὴν χάριν φοιτήσασαν ἐπ᾽ αὐτοὺς
* Ioh. XVI. 12. μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ δεσπότου Χριστοῦ· ὅθεν καὶ ὁ κύριος φησὶν πρὸς αὐτοὺς *, ἔτι πολλὰ ἔχω λέγειν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι· ὅτ᾽ ἂν δὲ ἔλθῃ ἐκεῖνο τὸ πνεῦμα τῆς
p. 442. ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· εἰ δὲ τὴν θεότητα τοῦ μονογενοῦς ἠπίσταντο, καὶ δὴ καὶ πατέρα τὸν ὡς θεὸν θεοῦ πατέρα, τί δὴ τούτων μεῖζον ἦν, ὃ μανθάνειν ἤμελλον ὕστερον; τὴν τοίνυν θεότητα τοῦ μονογενοῦς οὔτε ἠπίστατό τις τῶν πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας, οὔτε τίς τῶν προφητῶν περὶ ταύτης διαλέγεται (1).

Ἐπεὶ κἀκεῖνο πάσης ἀνοίας ἐστὶ μεστὸν, ἀληθέστερον δὲ εἰπεῖν φρενοβλαβείας, τὸ λέγειν ὅτι ὅτ᾽ ἂν ἀγγέλου τε μέμνηται καὶ κυρίου, κατὰ τοῦτον ἡ παλαιὰ τὸν υἱὸν τοῦ θεοῦ λέγει· οὓς ἐχρῆν αἰσχυνθῆναι γοῦν τοῦ μακαρίου Παύλου τὴν φωνὴν διαιροῦντος ἐκ τῶν ἀγγέλων τὸν υἱὸν, καὶ δεικνύντος ὡς τούτου τε κἀκείνου τὸ μέσον ἐστὶ καὶ τοσοῦτον, ὅσον γε ὑπηρέτου καὶ
* Hebr. I. 7. δεσπότου· λέγει γοῦν οὕτως· * καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· δεικνὺς ὁπόσον ἐστὶ τὸ διάφορον, υἱοῦ τε καὶ ἀγγέλων· καὶ ὅτι μὴ δὲ συνελθεῖν οἷόν τε τὰς φωνὰς ἀλλήλαις

agnituros Deum ex Deo, substantialiter ex ipso existentem, eandemque patris substantiam habentem. Quod si prophetae et illi veteres cuncti novissent patrem ac filium, idque a divinis scripturis edocti fuissent, utique apostoli prae ceteris scivissent. Sed constat eos ignorasse, et tum demum didicisse, cum Spiritus sancti gratiam receperunt in eos immissam post Christi domini in caelos reditum. Unde et Dominus aiebat illis: adhuc multa habeo vobis dicere, sed non potestis portare modo; cum autem venerit ille Spiritus veritatis, deducet vos in omnem veritatem. Quod si deitatem Unigeniti scivissent, itemque patrem ceu Deum Dei patrem, quid maius supererat quod postea discerent? Igitur Unigeniti deitatem nec quisquam novit ante Christi domini adventum, neque aliquis prophetarum de hac loquitur.

Insuper et illud putae insipientiae plenum est, immo ut verius dicatur insaniae, videlicet si quis dicat, quod ubi angeli mentio fit ac domini, ibi vetus scriptura filium Dei denotet. Atqui oportebat revereri beati Pauli vocem distinguentis ab angelis filium, et inter hunc atque illos intervallum tantum ponentis, quantum est inter famulum dominumque. Sic ergo ait: et ad angelos quidem dicit: qui facit angelos suos spiritus, et ministros suos ignis flammam. Ad filium autem: thronus tuus Deus in saeculum saeculi: virga aequitatis, virga regni tui; demonstrans quanta sit differentia filii ab angelis, et quod ne comparari quidem haec vocabula

(1) Scholion. Καὶ τοῦτο ἀμαθῶς νομίζεις. Ἡσαΐας γὰρ ὥσπερ διὰ τοῦ τρισαγίου τὰς τρεῖς ὑποστάσεις ὑποφαίνει, οὕτω καὶ διὰ τοῦ εἰπεῖν, καὶ καλεῖται τῆς μεγάλης βουλῆς ἄγγελος, ἄγγελον αὐτὸν εἶναι λέγει, οὐ κατὰ τὴν οὐσίαν τῶν ἀγγέλων, ἀλλὰ κατὰ τὴν δεσπότου τὴν αὐτοῦ· εἰ γὰρ ἀπεστάλη παρὰ τοῦ πατρὸς ὡς ἀπὸ αἰτίου, ἄγγελός ἐστιν, ἀνήγγειλε γὰρ ἡμῖν τὴν σωτηρίαν· ὥς που καὶ αὐτὸς φησὶν, ἃ ἤκουσα παρὰ τοῦ πατρὸς ἀνήγγειλα ὑμῖν· καὶ μὴ παράτρεπε τὴν ἀποστόλου ῥῆσιν δι᾽ ἑτέραν εἰσαχθεῖσαν αἰτίαν. *Hoc item imperite arbitraris. Esaias enim sicut per trisagium tres personas indicat, ita etiam illis verbis « hic appellatur magni consilii angelus » angelum ipsum esse dicit, non secundum angelorum substantiam, sed secundum suam, id est Domini. Si enim missus fuit a patre tamquam causante, angelus est: nuntiavit enim nobis salutem; ut alicubi ipse dicit: quae audivi a patre, nuntiavi vobis. Cave ergo ne apostoli dictum pervertas, quod aliam ob causam prolatum fuit.*

ταύτας, τῶν μὲν ἀοράτων δυνάμεων καὶ πρὸς λειτουργίαν ἐκτεταγμένων εἰκότως ἀγγέλων
καὶ λειτουργῶν, διὰ τὴν ὑπουργίαν καλουμένων εἰς ἣν ἐτύγχανον προβεβλημένοι· τοῦ υἱοῦ δὲ ταύ-
τας μὲν οὐ προσιεμένου τὰς φωνάς, μόνην δὲ ταύτην ἀναδεξαμένου τὴν φωνὴν δικαίως, τὴν
ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας p. 443.
σου· ὅπερ ἐστὶ λέγοντος ἀΐδιον βασιλέα κύριον τῶν ἁπάντων, ἐν εὐθύτητι πάσῃ τὸ πᾶν
διοικοῦντα· πῶς οὖν οὐκ ἀνόητον καὶ μανικὸν τοσαύτης ὑπὸ τοῦ μακαρίου Παύλου τῆς διαφο-
ρᾶς ἡμῖν ὑποδεδειγμένης, τολμᾶν συνάγειν τὰ ἀσύμβατα, καὶ λέγειν καὶ ἄγγελον καὶ κύ-
ριον δυνατὸν λέγεσθαι τὸν υἱόν; ἀλλ' εὔδηλον ὅτι ὁπότ' ἂν τι τοιοῦτον ἐν τῇ θείᾳ φέρεται
γραφῇ, ἀγγέλου μὲν μέμνηται τοῦ πρὸς τὴν ὑπηρεσίαν ἐκτεταγμένου τῶν δεικνυμένων· ἐπειδὴ
πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κλη-
ρονομεῖν σωτηρίαν, ὡς ὁ μακάριος Παῦλος φησί.

Κύριον δὲ ὀνομάζει οὐ τὸν ἄγγελον οὕτω καλῶν, ἐπὶ θεὸν δὲ ἀναφέρων τοῦ γινομένου
τὸ ἔργον· ὥσπερ οὖν καὶ οἱ προφῆται πολλάκις τὰ ἁρμόττοντα λέγουσι τῷ θεῷ, οὐχ ἑαυ-
τοῖς λογιζόμενοι τὰ λεγόμενα, ἐπὶ θεὸν δὲ αὐτῶν ἀναφέροντες τὴν αἰτίαν· καὶ τοῦτο γε
εὐθὺς ἐκ τοῦ προφήτου τοῦ παρόντος ἴδοι τις ἄν· εἰπὼν γὰρ ὅτι ἐγένετο λόγος κυρίου πρὸς
Ζαχαρίαν λέγων, ἐπήγαγεν· ὠργίσθη κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην·
καίτοι γε ἦν ἀκόλουθον εἰ * ἄρα εἰπεῖν, ὅτι ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν λέγων, * ita cod.
ὠργίσθην ἐπὶ τοὺς πατέρας ὑμῶν· ὡς ἂν μὴ ὁ γεγονὼς λόγος τοῦ κυρίου πρὸς τὸν προφή-
την, περὶ ἑτέρου τινὸς φαίνηται κυρίου λέγων ὡς ὀργισθέντος· ἀλλ' εὔδηλον ὅτι τό, ἐγένετο
λόγος κυρίου τὸν ἀποκαλύψαντα εἰπών, ἐπάγει λοιπὸν τὰ ῥήματα ὁ προφήτης ἅπερ αὐτὸς p. 444.
εἶπεν ὁ θεός, οὐκ οἰκεῖα λέγων, τὰ δὲ παρὰ τοῦ θεοῦ λελεγμένα ἐκτιθέμενος· τὸν αὐτὸν
δὴ τρόπον καὶ ὅτ' ἂν ἄγγελον λέγῃ, εἶτα καὶ κύριον ὀνομάζῃ, τῷ μὲν ἀγγέλῳ, τὴν ὑπουρ-

inter se possint: invisibilibus quidem potestatibus, et ministrando addictis, merito angelorum nomine et ministrorum propter ministerium appellatis, cui sunt creati; filio autem huiusmodi dictiones non patiente, unam vero iuste admittente, id est thronus tuus Deus in saecula, virga aequitatis virga regni tui; quod perinde est ac dicere sempiternum regem dominumque omnium, omni aequitate cuncta regentem. Quid ni igitur insipiens sit atque furiosum, tantâ nobis a beato Paulo differentiâ monstratâ, copulare audere quae componi nequeunt, ac dicere fieri posse ut angelus ac dominus dicatur filius? Plane igitur exploratum est, quod ubi huiusmodi aliquid in divina scriptura fertur, ibi de angelo agitur ministerio eorum, de quibus sermo, addicto: quia omnes sunt administratorii spiritus in ministerium missi propter eos qui hereditatem capient salutis, ut beatus ait Paulus.

Dominum autem nominat, non quod angelum ita appellet, sed ad Deum rei gestae operam referens. Veluti etiam prophetae saepe verba dicunt Deo convenientia, non quod sibi dicta illa tribuant, sed Deo causam eorum imputantes. Atque hoc statim ex praesente propheta quispiam cognoscet. Nam postquam ait: verbum Domini factum est ad Zachariam, dicens; addidit: iratus est Dominus adversum patres vestros ira magna. Atqui consentaneum erat dicere: factum est verbum Domini dicens: iratus sum adversum patres vestros; ne verba Domini ad prophetam facta, de alio quodam viderentur domino dicere tamquam irato. Sed enim patet, quod cum dictio " factum est verbum Domini ,, revelantem significet, addit mox verba propheta quae Deus ipse locutus est; neque sua dicit, sed quae Deus pronunciavit, exponit. Eodem plane modo et cum angelum dixit, deinde etiam Dominum

γοῦντα δείκνυσιν· τῇ δὲ τοῦ κυρίου φωνῇ, τὸν ἐπιτάξαντα διὰ τῶν ἀγγέλων ἐκεῖνα γενέσθαι· ἀλλὰ γὰρ εὔδηλον ὅτι τοῖς ἀγγέλοις αἰσθητῶς φαινομένους τοῖς ἀνθρώποις, ὅτ' ἂν τοῦτο δοκῇ τῷ θεῷ, ἔθος ἀνθρώπων εἶδος μιμεῖσθαι, ὅπερ οἰκεῖον ἐστὶ τοῖς ὁρῶσι τε καὶ παιδευομένοις· τοῦτο δὲ καὶ ἐκ τῆς καινῆς διαθήκης οὐχ ἧττον μάθοι τις ἄν· τὰ γὰρ κατὰ τὴν ἀνάστασιν τοῦ δεσπότου Χριστοῦ διηγουμένη ἡ θεία γραφὴ λέγει, ἄγγελον ὦφθαι τὸν ἀποκυλίσαντα τὸν λίθον· εἶτα διαγράφουσα οἷος τις ἦν, καὶ ὅπως ὤφθη, ἦν αὐτοῦ φησὶν ἡ εἰδέα ὡς ἀστραπή, τὰ δὲ ἱμάτια λευκὰ ὡς χιών· καὶ μετὰ τὴν ἄνοδον δὲ τοῦ κυρίου τὴν εἰς οὐρανόν, κεχηνότων πρὸς τὴν τοῦ γεγονότος καινότητα τῶν μαθητῶν, ἰδοὺ φησὶ δύο ἄνδρες εἱστήκεισαν ἐν ἐσθῆτι λευκῇ· ἦσαν δὲ ἄγγελοι διδάσκοντες αὐτοὺς ἃ προσῆκον ἦν ἐπὶ τοῖς γεγονόσιν εἰδέναι· τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα ἐν ἀνθρώπου μορφῇ ἄγγελον θεωρεῖ πρὸς ὑπουργίαν ὑπὸ τῆς χάριτος τεταγμένον τῶν εἰς σωτηρίαν ἡκόντων ἀνθρωπίνην.

Ἡ μὲν οὖν ὄψις ἄγγελον ἐδήλου· τὰ περὶ αὐτὸν δὲ ἦν μηνυτικὰ πραγμάτων· ἵππου
μὲν οὖν ἐπιβεβλήκει εἰς δήλωσιν τοῦ τάχους, μεθ' οὗ πάντα ἐπιτελεῖν τοῖς ἀοράτοις δυνάμε-
p. 445. σιν ἔργον ἐστὶν ἅπερ ἂν ἐπιτάττῃ θεός· πυρροῦ δέ, ὡς ἂν τὸν θυμὸν δεικνύῃ ὃν ὑπὲρ αὐτῶν
εἶχεν κατὰ τῶν ἀλλοτρίων· ἐν μέσῳ δὲ κατασκίων ὀρέων εἱστήκει· τῶν μὲν ὀρέων, τὸ ὑψηλὸν καὶ
στερρὸν τῆς δυνάμεως τοῦ λειτουργοῦντος φανερὸν ποιούντων· τῶν κατασκίων δέ, δήλωσιν
ἐχόντων τῆς σκέπης ἣν παρέχειν ὁ θεὸς εὐηγγελίζετο τῷ λαῷ τῷ οἰκείῳ· ἐρωτᾷ μὲν οὖν
v. 9. ὁ προφήτης, τί οὗτοι; τῆς ἀποκαλύψεως πρὸς τὴν ἐρώτησιν αὐτὸν κινησάσης, ὡς ἂν καὶ ὁδὸν
ἡ διδασκαλία λάβοι. " Ἀποκρίνεται δέ φησιν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· ἐγὼ δείξω
σοι τί ἐστι ταῦτα. ,, Λέγει δὲ αὐτὸν τὸν ἄνδρα ὃν ἐπιβεβηκότα ἐπὶ ἵππον εἶδεν πυρρόν· διὰ
τοῦτο καὶ τό, ὁ λαλῶν ἐν ἐμοὶ λέγει· ἐπειδὴ οὐκ ἔξωθεν φερομένης ἤκουε φωνῆς, ἀλλὰ κατὰ
ἀποκάλυψιν ἐναποτυπουμένης αὐτοῦ τῇ διανοίᾳ· ὡς καὶ ὁ μακάριος Πέτρος ἤκουε τό, ἀναστὰς

nominat, angeli quidem vocabulo ministrum denotat; Domini vocabulo, illum qui per angelos illa fieri mandavit. Sed et illud exploratum est, angelos visibiliter hominibus apparentes, quum id Deo placuerit, humanam formam imitari solere, quae congrua est cernentibus et revelationem excipientibus. Atque hoc ex novo quoque testamento condiscere quispiam potest. Etenim Christi domini resurrectionem divina scriptura narrans, ait angelum visum qui lapidem revolverat. Mox describens quis esset, et quomodo visus, erat inquit facies eius ut fulgur, vestimenta autem alba tamquam nix. Et post Domini in caelum reditum, hiante ore stupentibus ad rei novitatem discipulis, ecce, inquit, duo viri adstiterunt in veste candida. Erant autem angeli, qui discipulos rem gestam docebant. Eodem modo nunc etiam angelum videt propheta a gratia missum ob ea administranda quae humanae saluti conferunt.

Species itaque externa angelum exhibebat; at ipsius adiuncta, significabant res quae fiebant. Equum itaque inscenderat, ob significandum celeritatem, qua omnia exsequi invisibiles potestates solent Dei mandata. Rufus autem erat equus, ob iram denotandam, qua pro eis angelus contra alienos erat incensus. Inter montes denique umbrosos constiterat: et montes quidem celsam firmamque potentiam angeli administratorii demonstrabant; umbrosa autem qualitas, protectionem quam praebere populo suo Deus promiserat. Interrogat ergo propheta: " quid isti? ,, revelatione eum ad interrogandum impellente, ut edocendo via pandatur. " Respondit autem, inquit, angelus qui loquebatur in me: ego ostendam tibi quid sint haec. ,, Dicit vero ipsum virum, quem insidentem equo rufo viderat. Idcirco etiam dixit " qui loquebatur in me ,, quoniam haud extrorsum allatam vocem audiebat, sed vi reve-

Πέτρε θῦσον καὶ φάγε· εὔδηλον δὲ ὅτι οὐκ ἐξ οὐρανῶν ἐφέρετο τοιαύτη φωνὴ πρὸς αὐτόν· ἢ γὰρ ἂν καὶ πᾶσαν ἐπλήρωσε τὴν οἰκουμένην ἡ τοῦ λεγομένου γνῶσις· ἐναπετυποῦτο δὲ αὐτῷ ἡ φωνή, ὡς ἂν οὐρανόθεν πρὸς αὐτὸν γινομένη· ὅτι δὲ τὸν λαλοῦντα ἄγγελον αὐτῷ, τὸν ἐπιβεβηκότα ἐπὶ τὸν ἵππον τὸν πυῤῥὸν λέγει, δῆλον· ὡς γὰρ εἶπεν ἐγὼ δείξω σοι τί ἐστι ταῦτα, ἐπάγει " καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀναμέσον τῶν ὀρέων, καὶ εἶπεν πρός με· οὗτοί εἰσιν οὓς ἐξαπέστειλε κύριος περιοδεῦσαι τὴν γῆν. ,, Σαφῶς δεικνὺς ὅτι αὐτὸς ἐκεῖνος ὁ p. 446.
ὀφθεὶς αὐτῷ ἀνὴρ ἐν μέσῳ τῶν ὀρέων τῶν κατασκίων, αὐτὸς ἦν ὁ λαλῶν ἐν αὐτῷ· ὃς καὶ διδάξειν αὐτὸν ὑπέσχετο, τίνα δὴ ταῦτα τὰ τῶν ἵππων· καὶ δὴ καὶ ἐδίδαξεν εἰπὼν καθεξῆς ὅτι οὗτοι εἰσὶν οἱ πέμπεσθαι εἰωθότες παρὰ τοῦ θεοῦ ἐπὶ τῷ τὴν γῆν ἅπασαν ἐκπεριϊέναι, καὶ τὴν καθήκουσαν ἑκασταχοῦ πληροῦν λειτουργίαν κατὰ τὸ δοκοῦν τῷ θεῷ· εὔδηλον μὲν οὖν ὅτι περὶ ἀγγέλων φησίν, ἀγγέλων γὰρ ἔργον τοῦτο· τοῦτο δὲ οὐ τοὺς ἵππους λέγει· ὅθεν καὶ ὁ ἑρμηνεύων, ἀπεστάλθαι λέγει τούτους ἐπὶ τὸ περιοδεῦσαι τὴν γῆν, οὐ τοὺς ἵππους, ἀλλὰ τοὺς ἐπιβεβηκότας λέγων· ἀναγκαίως δὲ καὶ οὗτοι ἅτε ἄγγελοι ἐφ' ἵππων ὤφθησαν, κατὰ τὸν ἐπὶ τὸν ἵππον ἐπιβεβηκότα τὸν πυῤῥόν· τῶν μὲν ἵππων δηλούντων τὴν ταχύτητα τῆς λειτουργίας· ἄλλοι δὲ πυῤῥόν, τὸν θυμὸν ὃν κατὰ τῶν ὑπεναντίων εἶχον, καὶ τῶν λευκῶν δὲ εἰς μήνυσιν τῆς περιεσομένης τοῖς Ἰσραηλίταις λαμπρότητος, ἐκ τῆς αὐτῶν ὑπουργίας, ἣν ἐκτελοῦντες οἱ ἄγγελοι, τάς τε τιμωρίας ἐπάγουσι τοῖς τούτων ἀξίοις, καὶ τὰς δωρεὰς παρέχουσιν οὓς ἂν τοιούτοις ἀμείβεσθαι θέλῃ θεός.

Ἡ δὲ τῶν λεγομένων ἀπόδειξις, τὰ ἑξῆς. " Ἀπεκρίθησαν γάρ φησιν τῷ ἀγγέλῳ κυρίου v. 11. p. 447.
τῷ ἐφεστῶτι ἀναμέσον τῶν ὀρέων, καὶ εἶπον· περιωδεύσαμεν τὴν γῆν πᾶσαν· καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει. ,, Οὐκ ἂν τοὺς ἵππους αὐτῷ ἀποκεκρίσθαι εἶπον· ποία γὰρ ἂν

lationis in mente propria impressam. Sicut etiam beatus Petrus verba illa audiebat: surgens, Petre, occide et manduca. Patet nimirum haud de caelis allapsam huiusmodi ad illum vocem: alioqui universum mundum implesset dictae rei notitia: sed in eo imprimebatur vox illa tamquam caelitus ad eum demissa. Quod vero angelum sibi loquentem dicit illum qui rufo equo insidebat, manifestum est. Nam postquam ait, ego tibi ostendam quid sint haec, addit. " Et respondit qui stabat inter montes, dixitque mihi: isti sunt quos misit Dominus ut terram circumirent. ,, Manifeste ostendens, illum qui apparuerat visum inter montes umbrosos, eundem esse qui in eo loquebatur, et qui ei receperat docturum esse quodnam hoc esset equorum negotium. Reapse autem postea docuit dicens, hos esse qui mitti solent a Deo ad circumeundam terram, et conveniens explendum ubique ministerium prout Dei voluntas tulerit. Constat igitur de angelis prophetam loqui; est enim hoc angeli officium: de his ergo non de equis verba facit: quamobrem et is qui respondit, missos hos fuisse ait ad circumeundam terram, haud equidem equos, sed equites dicens. Necessario autem hi quoque tamquam angeli equis insidentes apparuerunt, ad eius normam qui equo rufo insidebat; equis videlicet ministerii celeritatem indicantibus; rufo autem colore iram qua in adversarios fervebant: denique et quidam albi, Israhelitarum claritatem portendebant, ex illorum ministerio futuram, quod revera angeli exercent, poenas noxiis imponentes, beneficia vero illis quos Deus remunerari voluerit.

Dictorum autem demonstratio in sequentibus fit. " Et responderunt, inquit, angelo Domini, qui stabat inter montes, atque dixerunt: circumivimus universam terram; et ecce universa terra habitatur, et quiescit. ,, Haud equidem equos sibi

καὶ γένοιτο ἀπὸ ἵππων φωνή; ἀλλὰ δῆλον ὅτι τοὺς τῶν ἵππων ἐπιβεβηκότας λέγει, οἳ ἐν
μορφῇ φαινόμενοι ἀνθρώπου παραπλησίως τοῦ ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων ἐφ' ἵππου
φανέντος πυρροῦ, εἰκότως ἀνάλογον τῇ ὄψει τὴν πρὸς αὐτὸν ποιεῖσθαι διάλεξιν ἤμελλον, ἀφ'
ἧς δὴ καὶ ὁ προφήτης κατὰ ἀποκάλυψιν τῶν λεγομένων ἀκούων, τὴν ἐξ αὐτῶν διδασκαλίαν
ἐδέχετο· εὔδηλον γὰρ ὅτι πᾶσα ἡ ἀποκάλυψις καὶ τὰ ἐπ' αὐτῆς θεωρούμενα, καὶ εἴ τε ἐρώ-
τησις, εἴτε ἀπόκρισις, εἴθ' ὅτι δήποτε, πάντα ἐπὶ τῆς ἀποκαλύψεως διετυποῦτο· ὡς ἂν
διὰ πάντων τὴν διδασκαλίαν ὁ προφήτης δεξάμενος, αὐτός τε πίστιν περὶ τῶν ἐσομένων ἔχοι
βεβαίαν, καὶ εἰς ἑτέρους ἐκφέροι τὴν ὠφέλειαν· ἔοικε δὲ τὸν ἐπιβεβηκότα ἐπὶ τὸν ἵππον ἀνα-
* Deut. XXXII. 8. μέσον ὀρέων, ἄγγελον αἰνίττεσθαι τὸν ἐφεστῶτα τῷ ἔθνει τῶν Ἰσραηλιτῶν, κατὰ τὸ εἰρημένον *,
ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· ὥσπερ οὖν οἱ λοιποὶ τῶν ἀγγέλων κοινω-
νοῦντες ὡς εἰκὸς τῆς φροντίδος περὶ τῶν προκειμένων διελέγοντο, οἳ καὶ ἐμήνυσαν αὐτῷ
τὸ πᾶσαν τὴν γῆν ἐν ἡσυχίᾳ καθεστάναι τότε· ἀφ' ὧν δὴ καὶ χώραν ἐκεῖνος λαβὼν ἀνα-
p. 448. μέσον τῶν κατασκίων ὀρέων ὀφθεὶς, ὡς ἂν τὴν τοῦ λαοῦ φροντίδα πεπιστευμένος, καί τι καὶ
παθὼν εἰ πάντα μέν ἐστιν ἐν ἡσυχίᾳ, τὰ κατὰ τὴν Ἱερουσαλὴμ δὲ διατετάρακται μόνα εὐχήν
v. 12. τινὰ καὶ δέησιν ὑπὲρ παντὸς τοῦ ἔθνους προσάγει τῷ θεῷ. " Ἀπεκρίθη γάρ φησιν ὁ ἄγ-
γελος κυρίου εἶπεν. ,, Ἐκεῖνος δὴ ὁ ἀναμέσον τῶν ὀρέων ἐφεστὼς, ὅπερ οὖν εἶπον οἱ λοιποὶ
τὸ πᾶσαν τὴν γῆν κατοικεῖσθαι καὶ ἡσυχάζειν. " Κύριε παντοκράτωρ ἕως τίνος οὐ μὴ ἐλεή-
σῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος; ,, Μονονουχὶ
λέγων, πᾶσι τοῖς λοιποῖς ἔθνεσι τοῖς κατὰ γῆν ἀσφαλῆ παρέχεις τὴν οἴκησιν καὶ τὴν ἡσυχίαν,
μεθ' ἧς ἔταξας διάγειν αὐτούς· μόνη δὲ ἡ σὴ ὡς ἔοικεν Ἱερουσαλὴμ καὶ αἱ λοιπαὶ τοῦ Ἰούδα
πόλεις τῆς κοινῆς ταύτης ἀπολαύουσι δωρεᾶς· ἀλλ' ἐπειδήπερ αἰτία τούτων αὐτοῖς τὰ ἁμαρτή-
ματα γέγονε, καὶ ἡ τῆς ἀσεβείας ἐπιμέλεια, καὶ τὸ δυσπειθὲς, ἐλέῳ δὴ τὰ κατ' αὐτὰς

respondisse dicit: nam quaenam equorum vox fuisset? Sed patet equites ab eo dici, qui in hominis figura oblati, ad normam eius qui inter montes umbrosos equo rufo insidens apparuerat, merito congruum speciei cum eo dialogum habituri erant; ex quo etiam propheta per revelationem quae dicebantur audiens, rerum notitiam hauriebat. Constat enim quamlibet revelationem, et res in ea visas, sive interrogando fiat, sive respondendo, sive quomodolibet, haud aliter quam revelationis typo fieri: ut per haec omnia propheta edoctus, tum ipse futurorum eventuum firmam fidem conciperet, atque aliis quoque utilitatem impertiretur. Porro videtur per illum equitem, innuere angelum Israhelitarum genti praesidentem, iuxta dictum: constituit terminos populorum iuxta numerum angelorum Dei. Quoniam ergo reliqui angeli, curae ut par erat participes, de ante dictis loquebantur, alii vero etiam aiebant universam terram in quiete versari; ex his ille quoque occasionem nactus est, qui inter umbrosos montes apparebat, ceu populi sibi cura concredita, ac dolens veluti quod cum omnia quiete agerent, solius Hierusalem res turbarentur, occasionem inquam cepit precem quandam et obsecrationem pro universo populo Dei offerendi. " Respondit enim, inquit, angelus Domini dixitque. ,, (Ille scilicet qui inter montes consistebat, nam ceteri universam terram dixerant habitari et quiescere.) " Domine omnipotens, quousque non misereberis Hierusalem, urbiumque Iudae, quas septuaginta iam annos aspernatus es? ,, Dicens propemodum: ceteris gentibus omnibus, tutum praebes incolatum et quietem, in qua illas versari concedis; sola vero tua, ut videtur, Hierusalem et reliquae Iudae civitates communi hoc non fruuntur munere. Sed quoniam rei huius causa peccata extiterunt, atque impietatis studium,

ἰάσαι, ἢ πρὸς τὸν ἀριθμὸν τῶν ἐτῶν ἀποβλέψας ἐν οἷς ἐν ταῖς συμφοραῖς γεγόνασι ταύταις, ἀρκοῦσαν ὑπὲρ ὧν ἥμαρτον λογίσαι τὴν τιμωρίαν τὴν ἐν τοσούτῳ χρόνῳ παρεσχηκότων αὐτοὺς κακῶν· ἐλέῳ τε οἰκείῳ τὰ ἁμαρτήματα αὐτῶν παραγραψάμενος ἅπαντα, καὶ τὴν παλαιὰν αὐτοῖς ἀπόδος εὐπραγίαν· ὥστε καὶ τὴν Ἱερουσαλὴμ οἰκισθῆναι τὸ πρότερον σχῆμα καὶ τὰς λοιπὰς τοῦ Ἰούδα πόλεις αὖθις συστῆναι.

Πρὸς δὲ ταῦτα ἐπάγει. " Καὶ ἀπεκρίθη κύριος παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι v. 13. p. 449.
ἐν ἐμοὶ ῥήματα καλὰ καὶ λόγους παρακλητικούς. ,, Ἔδειξε καὶ διὰ τούτου ὅτι αὐτοῦ τοῦ ἀνα-
μέσον τῶν ὀρέων τῶν κατασκίων τοῦ λαλοῦντος ἐν αὐτῷ καὶ ἡ δέησις ἦν αὕτη· πρὸς ὃν λέγει τὸν
θεὸν ἀποκεκρίσθαι πολλῆς ἀγαθότητος γέμοντας λόγους, καὶ πολλῶν ἀγαθῶν ἔχοντας
ἐπαγγελίαν, καὶ ἱκανοὺς παντοίαν παράκλησιν τοῖς ἐν τοσούτοις τε καὶ τοιαύταις προσαγα-
γεῖν ἀνάγκαις· ἐφ' οἷς δὴ καὶ ὁ ἄγγελος τὸ θαρρεῖν λαβὼν, μηνύει τῷ προφήτῃ οἷάπερ
αὐτῷ εἴρητο παρὰ τοῦ θεοῦ ἐπαγγελίαν μεγίστων ἔχοντα ἀγαθῶν, ἃ περὶ τὴν Ἱερουσαλὴμ
ἐπιδείξεται τοῦ λοιποῦ· λέγει δὲ οὕτως. " Καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· ἀνά- v. 14.
κραγε λέγων· τάδε λέγει κύριος παντοκράτωρ· ἐζήλωκα τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ ζῆλον
μέγαν· καὶ ὀργῇ μεγάλῃ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα· ἀνθ' ὧν ἐγὼ v. 15.
μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά· διὰ τοῦτο τάδε λέγει κύριος, ἐπιστρέψω
ἐπὶ Ἱερουσαλὴμ ἐν οἰκτιρμῷ, καὶ ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει κύριος v. 16.
παντοκράτωρ· καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἱερουσαλὴμ ἔτι· καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ
λαλῶν ἐν ἐμοί· ἀνάκραγε λέγων, τάδε λέγει κύριος παντοκράτωρ· ἔτι διαχυθήσονται v. 17.
πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει κύριος ἔτι τὴν Σιὼν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ. ,,

Δεξάμενος γάρ φησιν ἀπόκρισιν παρὰ τοῦ θεοῦ τοιαύτην ὁ ἄγγελος, αὐτός τε ἐπὶ τοῖς p. 450.
λεγομένοις ἥσθη, καὶ ἐμὲ θαρρεῖν ἐκέλευε περὶ πάντων εἰς τὸ ἑξῆς· ὥστε καὶ θαρροῦντα

et contumacia, misericordia malis eius medetor, et annorum numerum respiciens quibus his premuntur calamitatibus, sufficientem iam peccatis arbitrator punitionem mala haec, quae ipsos tanto tempore obruunt. Quamobrem clementia tua peccato omni deleto, pristinam redde prosperitatem: ut et Hierusalem iuxta priorem formam aedificetur, et reliquae Iudae civitates denuo consistant.

Insuper pergit dicere. " Responditque Dominus omnipotens angelo loquenti in me bona verba et sermones consolatorios. ,, Ostendit his verbis hanc esse orationem illius qui inter montes umbrosos loquebatur in eo. Cui, inquit, respondisse Deum plenos benignitate sermones multorumque bonorum promissores, quique omnino ad consolandum sufficerent homines in tot tantisque angustiis versantes. Quibus verbis ipse angelus ad fiduciam erectus, significat prophetae, quae sibi Deus dixerat maxima bona spondens, quae deinceps urbi Hierusalem conferet. " Dixitque mihi angelus qui in me loquebatur: clama, dicens: " haec dicit Dominus omnipotens: zelatus sum Sion atque Hierusalem zelo magno. Et ira magna irascor ego super gentes quae hostiliter invaserunt: quoniam ego modice iratus fui, illae autem scelestam adgressionem fecerunt. Propterea haec dicit Dominus: revertar ad Hierusalem cum misericordia, et domus mea rursus aedificabitur in ea, dicit Dominus omnipotens, et mensura extendetur adhuc in Hierusalem. Et dixit mihi angelus qui loquebatur in me, clama dicens: haec ait Dominus omnipotens: adhuc affluent civitates bonis, et miserebitur adhuc Dominus Sion, et eliget Hierusalem. ,,

Accepto inquit hoc a Deo responso angelus, tum ipse his dictis gavisus est, tum me quoque confidere iussit de omnibus in futurum: ita ut possem cum fidu-

μηνύειν ἅπασιν ὅτι σφόδρα ὑπὲρ τῆς Ἱερουσαλὴμ ὀργίζεται κατὰ τῶν τοσαύτην ὠμότητα ἐπι-
δειξαμένων εἰς αὐτούς· οἳ μείζονα τῆς ὀργῆς τῆς ἐμῆς τὴν τιμωρίαν αὐτοῖς ἐκ τῆς ἰδίας ἐπή-
γαγον κακίας· τοιγαροῦν ἁπάντων ἕνεκεν πολλῷ χρήσομαι περὶ τὴν Ἱερουσαλὴμ τῷ ἐλέῳ·
ὥστε καὶ τὸν οἶκον τὸν ἐμὸν ἐν αὐτῇ γεγονότα τὴν συνήθη τοῖς ἐπ' αὐτὸν συνιοῦσιν ὠφέλειαν
παρέχεσθαι, καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ μεῖζον ἢ νῦν ἐκταθῆναι· καὶ πάσας δὲ συντόμως εἰπεῖν
τὰς αὐτῇ προσηκούσας πόλεις ἐν ἀφθονίᾳ καταστῆναι πολλῶν· τότε γὰρ ἐλέῳ χρήσομαι
πολλῷ περὶ αὐτήν· δεδοκίμακα πᾶν ὅ τι χρηστὸν ἐργάσασθαι εἰς αὐτήν τε καὶ τοὺς προσ-
ήκοντας αὐτῇ τοῦ λοιποῦ· εὔδηλον δὲ ὅτι ὅτ' ἂν λέγῃ τὸ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συν-
επιτιθέμενα, ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, συνεπέθεντο δὲ εἰς κακά, περί τε τῶν
ἐκπεπορθηκότων αὐτὴν Βαβυλωνίων λέγων, καὶ τῶν ὅπως ποτὲ εἰς τοῦτο συμπραξάντων
αὐτοῖς, τὴν γενησομένην αὐτοῖς τιμωρίαν διὰ τούτων σημαίνει· δεδώκεσαν μὲν γὰρ ἤδη Βα-
βυλώνιοι δίκας, καὶ καθῄρητο μὲν αὐτῶν ἡ βασιλεία, εἴληπτο δὲ ἡ πόλις παντελῶς ὑπὸ
Κύρου τοῦ Περσῶν βασιλέως· τετιμώρηντο δὲ οἱ συμπράξαντες αὐτοῖς Ἰδουμαῖοί τε καὶ οἱ
λοιποὶ δὴ πάντες· ὥστε δῆλον ἐκεῖνο εἶναι τὸ παρ' ἡμῶν ἐπὶ τῆς ὑποθέσεως εἰρημένον, ὅτι
p. 151. πολλῶν μέμνηται γεγονότων ἤδη, βεβαιῶν αὐτὰ ταῖς οἰκείαις ἐπαγγελίαις ὁ θεός· ἐπεὶ καὶ
σφόδρα τούτων ἔδει τότε τοῖς Ἰσραηλίταις, ἐν ἀμφιβόλῳ καὶ μετὰ τὴν σωτηρίαν ἔχουσι τὴν οἰ-
κείαν· ὡς μηδὲ τὸν ναὸν τὸν θεῖον ἀρξαμένους πέρας ἐκβαλεῖν, εἴτε διὰ τὴν ἐνόχλησιν τῶν
ἐναντίων, εἴτε καὶ διὰ τὴν αὐτῶν ῥᾳθυμίαν αὐξανομένην ὡς εἰκὸς τῇ τῶν πολεμίων κακίᾳ·
δύο μὲν δὴ ταῦτα ἐκ τῆς ἀποκαλύψεως ἐγνωκέναι ἔφη, ὅτι τε τοὺς ἠδικηκότας τὸν λαὸν τι-
μωρήσεται ὁ θεός, καὶ ὅτι τὴν Ἱερουσαλὴμ εἰς τὴν παλαιὰν εὐπραγίαν ἀποκαταστήσει πάλιν.

Ἐπὶ βεβαιώσει δὲ ἀμφοτέρων ἀποκαλύψεις καθεξῆς ἐκτίθεται ἑτέρας, ἃς ἰδὼν αὐτὸς

cia palam significare, Deum magnopere Hierusalem causa irasci adversus eos qui tantam adversus illam exercuerunt crudelitatem; qui maiorem, quam ira mea tulisset, punitionem fecerunt adversus Israhelitas. Horum itaque omnium causa multam expromam erga Hierusalem misericordiam: ita ut domus quoque mea, quae illic est, consuetam convenientibus in ea utilitatem praebeat, et urbs Hierusalem maius adhuc spatium sit occupatura, ceteraeque ut summatim dicam ei subiectae urbes in multa rerum copia futurae sint. Tunc enim multam exhibebo urbi Hierusalem benignitatem: quippe decrevi nihil non boni huic facere in posterum, nec non ceteris ad eam pertinentibus. Sine dubio autem, cum se irasci dicit gentibus, quae Hierusalem hostiliter invaserant, cui ego modice iratus eram, ipsae autem scelestam adgressionem fecerant, de Babyloniis loquitur qui ipsam depopulati fuerant, deque aliis qui socii belli eius fuerunt; et impendentem illis poenam his verbis significat. Sane iam poenas luerant Babylonii, eorumque regnum corruerat, et urbs a Cyro Persarum rege occupata fuerat. Idumaei quoque Babyloniorum adiutores reliquique omnes puniti fuerant. Quamobrem apparet illud quod nos in argumento commentarii diximus, multas heic res memorari quae iam evenerant, quasque suis promissionibus confirmat Deus: his enim magnopere indigebant tunc Israhelitae, qui etiam post reditum de salute sua dubitabant: ita ut ne templi quidem aedificationi, quam coeperant, finem imponere curavissent, sive propter adversariorum molestiam, sive propter ipsorummet segnitiem, ab hostium malitia ut credibile est auctam. Verumtamen duo haec ex revelatione innotuisse ait, quod iudaici populi offensores puniturus sit Deus, et quod urbem Hierusalem in pristinam felicitatem restituturus.

Iamvero ad utriusque rei confirmationem, duas alias posthinc exponit revela-

τε τὴν ἐπὶ τοῖς εἰρημένοις ἤδη πίστιν εἶχε βεβαίαν· καὶ δὴ καὶ τοὺς τοῦ λαοῦ πάντας ἔπειθεν
ὁμοίως ἡγεῖσθαι· καὶ πρώτην γε περὶ τῆς τῶν ἐναντίων τιμωρίας λέγει, ἥνπερ οὖν καὶ ἐπὶ
τῆς προκειμένης ἀποκαλύψεως προτέραν εἶπεν. " Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον v. 18.
τέσσαρα κέρατα· καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ, τί ἐστι ταῦτα κύριε; v. 19.
καὶ εἶπε πρός με, ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ καὶ τὴν
Ἱερουσαλήμ· καὶ ἔδειξέ μοι κύριος τέσσαρας τέκτονας· καὶ εἶπον, τί οὗτοι ἔρχονται ποιῆσαι v. 20.
κύριε; καὶ εἶπε, ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ, καὶ κατ- v. 21.
έαξαν καὶ οὐδεὶς αὐτῶν ἦρεν κεφαλήν· καὶ ἐξῆλθον αὐτοὶ τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν· p. 452.
τὰ τέσσαρα κέρατα τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν κυρίου, τοῦ διασκορπίσαι
αὐτήν. ,, Οἱ μὲν οὖν μυθολογεῖν ἐθέλοντες, τέσσαρα κέρατα τὸν Ἀσσύριον καὶ τὸν Βαβυ-
λώνιον τόν τε Μῆδον καὶ τὸν Πέρσην φασίν· οὐ γὰρ προσέχειν ἐθέλοντες, ὅτι πολλάκις τὸν
ἀριθμὸν ἡ θεία γραφὴ οὐκ ἀριθμοῦ γε ἕνεκεν ἀκριβολογουμένη λέγει, ἐπὶ δηλώσει δὲ
ἑτέρου τινὸς, φιλονικοῦσι μὲν ἐφαρμόζειν ὀνομασίας τῷ ἀριθμῷ· μυθολογεῖν δὲ ὡς εἰκὸς
ἀναγκάζονται εἰς τὴν τῶν πλασμάτων συνθήκην· ὅπερ οὖν πολλαχοῦ μὲν καὶ ἑτέρωθι πε-
πόνθασι, καὶ μὴν καὶ ἐπὶ τῆς τοῦ μακαρίου Μιχαίου προφητείας λέγοντος *, ὅτι ἐγερθήσονται * Mich. V. 5.
ἐπὶ τὸν Ἀσσύριον ἑπτὰ ποιμένες καὶ ὀκτὼ δήγματα ἀνθρώπων· ἑπτὰ μὲν ἀνθρώπους
τοὺς ποιμένας, ὀκτὼ δὲ ἀνθρώπους τὰ δήγματα ἀριθμεῖν φιλονικοῦντες, ἀναγκαζόμενοι
τε διὰ ταύτην τὴν αἰτίαν πλείστου γέλωτος ἄξια λέγειν· τὸν αὐτὸν δὲ τρόπον κἀνταῦθα τέσσαρα
κέρατα φασὶ τοὺς προρρηθέντας ἡμῖν· οὐκ ἐννοοῦντες ὅτι πάλαι μὲν ὁ Ἀσσύριος τε καὶ ὁ
Βαβυλώνιος δεδώκεσαν δίκας· Μῆδοι δὲ ὑπὸ Κύρου καθῄρηντο· Πέρσαι δὲ οὐδὲν αὐτοὺς
καθάπαξ ἠδικηκότες εὑρίσκονται, τοὐναντίον μὲν οὖν καὶ τῆς αἰχμαλωσίας ἀφέντες.

Ἡ δὲ θεία γραφὴ τέσσαρα κέρατα οὐ ῥητούς τινας ἀνθρώπους λέγει, ἀλλ᾽ ἐπειδὴ εἰς

tiones, quas cum ipse vidisset, firmam circa res dictas fidem retinebat, et populo universo ut idem existimaret suadebat. Priorem quidem de adversariorum punitione recitat, quam etiam in superiore revelatione primam posuerat. " Et levavi oculos meos, et vidi quatuor cornua. Et dixi angelo in me loquenti: quid sunt haec, Domine? Dixitque mihi: haec sunt cornua, quae disperserunt Iudam et Israhelem atque Hierusalem. Et ostendit mihi Dominus quatuor fabros. Et dixi: quid isti veniunt facere, Domine. Et dixit: haec sunt cornua quae disperserunt Iudam, atque Israhelem confregerunt, et nemo illorum levavit caput: et exierunt isti ad ea acuenda in manibus suis. Quatuor cornua, gentes sunt quae cornu extulerunt super terram Domini ut eam disperderent. ,, Qui ergo fabulas nectere volunt, quatuor cornua dicunt esse Assyrium, Babylonium, Medum, ac Persam: considerare enim nolentes, saepe numerum a divina scriptura haud accurate numeri causa dici, sed ob aliud aliquid significandum, appellationes numero accommodare contendunt; quamobrem vanas fabulas consequenter sequi coguntur, ut suum fictum commentum instruant: quod cum saepe alibi passi sunt, tum in beati Michaeae prophetia dicentis, consurrecturos adversus Assyrium septem pastores, et octo hominum morsus; septem quidem homines, pastores; octo autem homines, morsus numerare studentes; quod cum faciunt, multa risu digna ob hanc causam coguntur dicere. Pari modo heic quoque quatuor cornua dicunt esse quas nominavimus gentes: non reputantes, quod iamdiu Assyrius ac Babylonius poenas dederant; Medi autem a Cyro deleti fuerant; Persae denique nihil mali umquam Israhelitis intulerant, immo potius captivitate eos dimiserant.

τέσσαρα πέρατα μεμερίσθαι τὴν οἰκουμένην φαμὲν, ἀνατολάς τε καὶ δυσμὰς καὶ ἄρκτον καὶ
p. 453. μεσημβρίαν, μέμνηται τῶν κλιμάτων τούτων πολλάκις τὸ πολλαχοῦ γινόμενον δηλοῦσα·
* Ps. CVI. 2. ὡς ὅταν ὁ μακάριος λέγῃ Δαυὶδ περὶ τῶν Ἰσραηλιτῶν· * εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ
κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς, ἀπὸ ἀνατολῶν
καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης· εὔδηλον γὰρ ὅτι οὐκ εἰς τὰ τέσσαρα πέρατα τῆς οἰκουμέ-
νης διασκορπισθέντας τοὺς Ἰσραηλίτας συνήγαγεν ὁ θεὸς, ὑπὸ Βαβυλωνίοις δὲ καὶ Ἀσσυ-
ρίοις μόνοις αἰχμαλώτους ὄντας, εἰς τὴν οἰκείαν ἐπανήγαγε γῆν· λέγει δὲ ἡ γραφὴ τὸ ἀπὸ
ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης, ἵνα εἴπῃ ὅτι τοὺς πολλαχόθι διεσπαρμένους
ἤθροισέ τε καὶ ἐπανήγαγεν εἰς τὰ οἰκεῖα· οὕτως οὖν καὶ ἐνταῦθα τέσσαρα κέρατα λέγει,
ἵνα εἴπῃ τοὺς πολλαχόθεν αὐτοῖς ἐπεληλυθότας καὶ παντοίως αὐτοὺς βλάψαι βουληθέντας,
εἴτε Ἀσσυρίους εἴτε Βαβυλωνίους εἴτε Ἰδουμαίους, ἢ Μωαβίτας ἢ καὶ τοὺς λοιποὺς περιοίκους,
εἴθ' οὕς τινας δήποτε ἑτέρους· διὰ τοῦτο καὶ τέκτονας τέσσαρας βλέπει, ἵνα εἴπῃ τὰς λει-
τουργικὰς δυνάμεις, ὡς πολλαχόθεν αὐτοῖς τὴν τιμωρίαν ἐπαναγαγούσας, ἑκάστων τοὺς
παρ' αὐτοῖς κατὰ τὴν ἀπόφασιν τιμωρησαμένων τὴν θείαν· τὸ δὲ ὀξῦναι τὰ κέρατα λέγει ἀντὶ
τοῦ ἐκλεπτῦναι αὐτὰ καὶ πάντα τὸν ὄγκον αὐτῶν ἀφελεῖν· ἵνα εἴπῃ τὴν προσκειμένην τοῖς
ἐπελθοῦσι δύναμιν ἀφανίσαι· ταῦτα δὴ τῇ ἀποκαλύψει τὴν τῶν ἠδικηκότων τοὺς Ἰσραη-
p. 454. λίτας τιμωρίαν βεβαιώσας ὁ προφήτης, ἑτέραν ἀποκάλυψιν λέγει δειχθεῖσαν αὐτῷ δη-
λωτικὴν τῆς κατὰ τὴν Ἱερουσαλὴμ ἀνανεώσεως· λέγει δὲ οὕτως.

Divina igitur scriptura quatuor cornua non aliquos nominatim homines dicit; sed quia in quatuor partes distributum orbem dicimus, orientem, occasum, septentrionem, ac meridiem, commemorat saepe haec climata, ut quae multis in locis fiunt designet. Veluti cum dicit beatus David de Israhelitis: dicant redempti a Domino, quos redemit de manu inimici, et de regionibus congregavit eos, ab oriente, ab occasu, a borea, et a mari. Atqui constat, quod nequaquam per quatuor orbis terminos dispersos Israhelitas congregavit Deus, sed sub Babyloniis tantummodo atque Assyriis servitutem servientes in propriam regionem restituit. Dicit autem scriptura ab oriente et occasu et borea et mari, ut denotet quod multis locis dispersos congregaverit atque in patriam reduxerit. Sic ergo heic quoque quatuor cornua dicit, ut designet populos undecumque Israhelitis hostiliter supervenientes, et omnimodis eis nocere volentes, sive hi Assyrii fuerint, sive Babylonii, sive Idumaei, sive Moabitae, sive ceteri finitimi, sive denique alii quilibet. Ea propter quatuor etiam fabros videt, ut ministratorias potestates dicat, quasi variis ex locis supplicia iis populis adducentes, dum singulae iuxta Dei decretum ab illis poenas reposcunt. Iam cornua exacuere dicit, pro, illa extenuare, atque omni asperitate spoliare; id est vires, quibus ii adgressores suffulti erant, eripere. Postquam hac revelatione poenam offensoribus Israhelitarum imponendam propheta adfirmavit, aliam pergit narrare sibi factam revelationem, quae urbis Hierusalem instaurationem demonstrabat. Sic autem dicit.

ΚΕΦ. Β'.

« Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον· καὶ ἰδοὺ ἀνὴρ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ χοινίον v. 1.
γεωμετρικόν· καὶ εἶπον πρὸς αὐτὸν, ποῦ σὺ πορεύῃ; καὶ εἶπε πρός με, διαμετρῆσαι τὴν Ἱερου- v. 2.
σαλὴμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι καὶ πηλίκον τὸ μῆκος· καὶ ἰδοὺ ὁ ἄγγελος
ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει· καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτῷ· καὶ εἶπε
πρὸς αὐτὸν λέγων, δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον λέγων, κατακάρπως
κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν τῶν ἐν μέσῳ αὐτῆς· καὶ v. 3.
ἐγὼ ἔσομαι αὐτῇ, λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ v. 4.
αὐτῆς. » Ἐπειδὴ τοῖς τὰς οἰκοδομὰς ἐργαζομένοις χοινίῳ μετρεῖν ἔθος ἐπὶ τῆς γῆς, τά
τε πλάτη καὶ τὰ μήκη καὶ τοὺς τύπους τῆς οἰκοδομῆς, ἀναγκαίως ἄγγελον ὁρᾷ πάλιν κατὰ
τὸ εἰωθὸς ἐν ἀνθρώπου μορφῇ, χοινίον κατέχοντα τοῦτο· ὃς ἐρωτηθεὶς κατὰ τὴν γινομένην
ἀποκάλυψιν τῷ προφήτῃ, ὅποι περ ἄπεισιν, μετρῆσαι ἔφη τῆς Ἱερουσαλὴμ ἀπιέναι τὴν οἰκο- v. 5.
δομὴν, ὁποίαν τε καὶ ὅσην αὐτὴν γενέσθαι προσήκει· εἶτα λέγει μὲν πρὸς τὸν ἄγγελον τὸν
ἐν αὐτῷ λαλοῦντα, ὃν ἐν τοῖς ἀνωτέροις ἐν ἀνθρώπου μορφῇ καθήμενον εἶδεν ἐφ᾽ ἵππου
πυῤῥοῦ ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων· (τοῦτο γὰρ ἡμῖν ἐκ τῶν προειληφότων ἐγένετο
δῆλον, ὅτι τὸν αὐτὸν ἄγγελον ἀναμέσον τε ἑωρακέναι τῶν ὀρέων ἔφη, καὶ δὴ καὶ λαλεῖν ἐν
αὐτῷ·) τοῦτον δὴ καὶ νῦν ἑωρακέναι φησὶν ἑστῶτα ὡς ἂν ἡδόμενον ἐπὶ τῷ γινομένῳ· καὶ p. 455.
ὅτι τὰ τῆς δεήσεως αὐτοῦ τῆς πρὸς τὸν θεὸν πρὸς πέρας ἧκται, ἣν ὑπέρ τε τῆς Ἱερουσαλὴμ
καὶ τοῦ ἔθνους προσήγαγε τῷ θεῷ, τῷ μὴ μόνον δειχθῆναι τὴν ἐπαχθησομένην τοῖς ἠδικη-
κόσιν αὐτοὺς τιμωρίαν· ἀλλὰ γὰρ φανῆναι καὶ τὸν τὸ χοινίον ἔχοντα τὸ γεωμετρικὸν σύμβολον
τοῦ ἐν ἔργῳ τῆς πόλεως εἶναι λοιπὸν τὴν οἰκοδομήν· εἶτα λέγει ὅτι ἕτερος ἄγγελος ἀποσταλεὶς
ἔφη πρὸς αὐτόν· ὥστε καὶ εἰπεῖν τῷ νεανίσκῳ τὸ γεωμετρικὸν ἔχοντι δηλονότι χοινίον· οὕτω

CAP. II.

" Levavique oculos meos, et vidi, et ecce vir in cuius manu funiculus geometricus. Dixique ei: quò tu pergis? Et dixit mihi: ut dimetiar Hierusalem, et videam quanta sit latitudo eius et quanta longitudo. Et ecce angelus qui loquebatur in me stabat, et angelus alius egrediebatur in occursum eius. Dixitque ei dicens: curre et loquere adulescentulo illi, dicens: copiose habitabitur Hierusalem a multitudine hominum et iumentorum in medio eius. Et ego ero illi, dicit Dominus, murus ignis, et in gloria ero in medio eius. ,, Quandoquidem mos est aedificantium funiculo terram metiri, latitudinem scilicet et longitudinem atque formas struendi aedificii, necessario angelum videt rursus more solito humana specie, funiculum hunc tenentem; qui interrogatus, ut facta prophetae revelatio narrat, quonam abiret? ad dimetiendam, inquit, Hierusalem aedificationem, qualem quantamque eam fieri oporteat. Deinde ait angelo, qui in ipso loquebatur, quem in superioribus dictum est ab eo visum equo ruso insidentem inter montes umbrosos (etenim nobis ex ante dictis perspicuum fit, eundem esse, quem inter montes vidisse dixerat, atque illum qui in ipso loquebatur.) Hunc, inquam, nunc quoque vidisse ait stantem, et de re quae gerebatur laetantem; et quod ipsius ad Deum oratio scopum esset adsecuta, illa nimirum quam pro Hierusalem et pro gente Deo obtulerat: cuius exitus erat, non solum poenae ostensio quam Deus inimicis impositurus erat, verum etiam visio angeli tenentis funiculum, quod erat indicium coepti iam urbis

γὰρ αὐτὸν κέκληκεν ὡς ἐπὶ τῆς ἀποκαλύψεως εἶδεν ὁ προφήτης τῇ ὄψει τοῦ νεανίσκου δειχθέντα, εἰς δήλωσιν τοῦ μετὰ πάσης ἰσχύος εἰς πέρας τὰ προκείμενα ἄξειν· λέγει τοίνυν φησὶν ὁ ἀποσταλεὶς ἄγγελος τῷ ἐν ἐμοὶ λαλοῦντι ἀγγέλῳ, μετὰ τάχους τε δραμεῖν καὶ εἰπεῖν τῷ νεανίσκῳ, ὅτι σφόδρα μετὰ πολλῆς τῆς εὐθηνίας ἡ Ἱερουσαλὴμ οἰκηθήσεται ὑπὸ ἀνθρώπων τε καὶ κτηνῶν τῶν ὑπηρετουμένων αὐτοῖς στενοχωρουμένη· ὡς ἂν ταῦτα γνοὺς ἐπὶ μεῖζον ἐκτείνειεν τῆς πόλεως τό τε πλάτος καὶ τὸ μῆκος ὀφειλούσης ἀρκεῖν τῷ πλήθει τῶν οἰκησόντων αὐτήν· παρέξομεν γὰρ αὐτῇ φησὶ πᾶσαν ἀσφάλειαν τὴν ἐξ ἐμοῦ μείζονα ἢ τεῖχος ἐκ πυρὸς κατεσκευασμένον παράσχοι ἂν αὔταρκες ὂν συμφλέγειν τοὺς ἐπιόντας· φανήσομαι δὲ ἐπ' αὐτῶν ἔργων διὰ τῆς εἰς αὐτοὺς κηδεμονίας· ὥστε παρὰ πᾶσιν ἐν εὐφημίαις τε εἶναι καὶ ἐπαίνοις, ὑπὲρ τοῦ μεγέθους τῶν εἰς αὐτὴν εὐεργεσιῶν.

p. 456. Ἐπισημαντέον δὲ κἀκεῖνο ἐν τῷ μέσῳ, ὅτι ὁ ἀποσταλεὶς ἄγγελος τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν αὐτῷ, τουτέστι τῷ ἐν μέσῳ τῶν ὀρέων ἐπιβεβηκότι τοῦ ἵππου τοῦ πυρροῦ, λέγει δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον· εἰ δὲ κατὰ τοὺς μυθολογεῖν ἐθέλοντας ὁ ἐν μέσῳ τῶν κατασκίων ὀρέων φανεὶς, ὁ τοῦ θεοῦ ἦν υἱὸς, πῶς οἷόν τε ἦν τὸν ἄγγελον τολμῆσαι πρὸς αὐτὸν εἰπεῖν, δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον, λέγων, κατακάρπως κατοικηθήσεται ἡ Ἱερουσαλήμ; ἄγγελον μὲν γὰρ τῷ υἱῷ τοῦ θεοῦ κελεύειν, τῶν ἀδυνάτων ἦν, καὶ νομίζειν δὲ τοῦτο τῆς ἐσχάτης ἐστὶν ἀσεβείας· ἄγγελον δὲ ἀγγέλῳ σημαίνειν τὸ πρακτέον, θαυμαστὸν οὐδέν· ἐπειδὴ τῶν ὑπηρετῶν ἴδιον μηνύειν ἀλλήλοις τὰ δεσποτικὰ βουλεύματα, καὶ πολλῷ γε πλέον τοὺς ἐπὶ τοῦτο πεμπομένους παρὰ τοῦ πάντων κυρίου, οἷόν τι καὶ νῦν ἐγίνετο· τοῦ γάρ ἀγγέλου τοῦ λαλοῦντος ἐν αὐτῷ τὴν ὑπὲρ τῆς πόλεως προσαγαγόντος δέησιν, εἰκότως ὁ πεμφθεὶς ἄγγελος κατὰ γνώμην θεοῦ, δραμεῖν αὐτῷ καὶ λαλῆσαι κελεύει τὰ προσήκοντα πρὸς τὸν νεανίσκον, ὡς ἂν εὐαγγελιζόμενος ὅτι περ αὐτῷ τὰ τῆς δεήσεως

aedificii. Deinde ait, alterum angelum missum, huic dixisse ut adulescentulo loqueretur geometricum habenti funiculum. Sic enim hunc nominat, quemadmodum in revelatione viderat eum propheta speciem adulescentuli prae se ferentem, ob significandum robur omnimodum quo res proposita ad exitum deducetur. Ait igitur missus angelus loquenti in me angelo, ut celeriter currat dicatque adulescentulo, fore ut magnopere multaque copia habitetur Hierusalem, ab hominibus et iumentis operam his praebentibus prope angustiata: sicque ait, ut re cognita, in maius spatium extendat latitudinem urbis ac longitudinem, quae incolarum multitudini sufficere debeat. Et quidem nos maius ei praesidium praebebimus, quam murus igne constructus exhiberet qui adgredientes valeret comburere. Nam me conspicuum factis ipsis et providentia erga ipsos efficiam: et laudibus praeconiisque celebrabor ob meorum erga eos magnitudinem beneficiorum.

Illa quoque dictio animadvertenda est " inter ,, quod nempe angelus, angelo loquente in propheta, id est angelo inter montes, equo rufo insidenti, ait: curre et loquere adulescentulo illi. Nam si iuxta hos mythologos, is qui inter montes umbrosos apparebat, Dei erat filius, quî audere potuisset illi dicere: curre et loquere adulescentulo illi dicens: copiose habitabitur Hierusalem? Etenim angelum filio Dei praecipere aliquid, impossibile est; et hoc credere, summae impietatis est: at angelum angelo significare quid agendum sit, nil mirum: nam et famulorum est invicem denunciare voluntates dominicas, multoque magis hoc decet illos qui ab omnium domino ad id mittuntur, prout nunc accidit. Namque angelo qui loquebatur in propheta, et pro urbe orabat, merito angelus missus ex sententia Dei, currere

ἥκται πρὸς πέρας, καὶ δέδοκται μὲν περὶ τῆς Ἱερουσαλὴμ τῷ Θεῷ τὰ κρείττω· χρὴ δὲ καὶ αὐτὸν ὡς ἰσχύσαντα ἐφ᾽ οἷς ἐδεήθη παρὰ τῷ Θεῷ, μεθ᾽ ἡδονῆς τε τοῖς κεκλευσμένοις ὑπηρετεῖσθαι, καὶ μετὰ πολλοῦ τοῦ τάχους τῷ ἐπὶ τὴν οἰκοδομὴν ἀποσταλέντι τῆς πόλεως γνωρίσαι τὰ περὶ αὐτῆς δόξαντα τῷ Θεῷ.

Ἀλλὰ γὰρ ἀναγκαίως θάρσους ἐκ τῶν δειχθέντων ὁ προφήτης πληρωθεὶς ἐβόα λέγων· v. 6. p. 457.
« ὦ ὦ φεύγετε ἀπὸ γῆς βορρᾶ, λέγει κύριος· διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ
συνάξω ὑμᾶς, λέγει κύριος· εἰς Σιὼν ἀνασῴζεσθε, οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. „ v. 7.
Κελεύει γὰρ δὴ καὶ τοῖς λοιποῖς τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι, μετὰ πολλῆς ἐκτρέχειν τῆς σπουδῆς ἐπὶ τὸ Σιὼν ὄρος, θαρροῦντας τοῖς ἐπηγγελμένοις τῷ Θεῷ περὶ τῆς Ἱερουσαλὴμ, ὃς ὑπέσχετο πανταχόθεν αὐτοὺς εἰς αὐτὴν συνάξειν· κἀνταῦθα μέν τοι πάλιν τὸ ἐκ τῶν τεσσάρων ἀνέμων οὐκ ἀριθμόν τινα, ἀλλὰ τὸ πανταχόθεν δηλοῖ, ὡς ἂν θαρροῦντες οἱ τὴν βαβυλωνίων οἰκοῦντες χώραν ἔτι τῶν Ἰουδαίων, ἐπὶ τὴν Ἱερουσαλὴμ ἐπείγοιντο πάντες· ὅπερ διάγοντες βεβαίαν ἕξουσι τοῦ λοιποῦ τὴν σωτηρίαν, τοῦ Θεοῦ κατὰ τὰς οἰκείας αὐτοὺς φυλάττοντος ἐπαγγελίας, ὅτι μὲν καθῄρητο τότε Βαβυλὼν, καὶ πᾶσα πέπαυτο ὁ βαβυλωνίων ἀρχὴ, κατὰ τὸν Δαρείου τοῦ βασιλέως καιρὸν δῆλον· ἀλλ᾽ ὅμως μηνύων τῶν κατ᾽ ἐκεῖνον ὀφείλοντας τὸν καιρὸν ἀνελθεῖν· καὶ γὰρ ἀνῆλθον ἐπὶ Δαρείου οὐκ ὀλίγοι τὸν ἀριθμόν· ὅμως ἐκ τῆς Βαβυλῶνος αὐτοὺς ἐπανελθεῖν κελεύει, ἵνα εἴπῃ τῆς αἰχμαλωσίας ἣν ὑπὸ βαβυλωνίων ὑπομεμενήκεσαν· πρόδηλον δὲ ὡς ἐν ἐπιτάγματος σχήματι μήνυσιν τῶν ἐσομένων ποιεῖται.

« Διότι τάδε λέγει κύριος παντοκράτωρ· ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη v. 8.
τὰ σκυλεύσαντα ὑμᾶς· διότι ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ v. 9. p. 458.
αὐτοῦ· διότι ἐγὼ ἐπιφέρω τὰς χεῖράς μου ἐπ᾽ αὐτοὺς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐ-

ipsi imperat et loqui quae opus erat adulescentulo, atque nunciare preces eius scopum esse adsecutas, Deique voluntatem erga Hierusalem factam esse benignam: oportere autem ipsum propter impetratum Dei favorem, libenter iussibus obsequi; et celeriter admodum, ei qui ad aedificandam urbem missus fuerat, significare quae Deus de ipsa decreverat.

Age vero necessaria fiducia ab his ostentis propheta repletus exclamabat dicens: " o, o, fugite a terra boreali, dicit Dominus; quoniam a quatuor ventis caeli congregabo vos, dicit Dominus. Ad Sion salvi confugite, vos qui nunc apud filiam Babylonis incolitis. „ Mandat etiam reliquis, qui adhuc in captivitate versantur, ut multa cum festinatione ad Sionis montem accurrant, confidentes Dei promissionibus de Hierusalem, qui undecumque eos illuc se congregaturum spoponderat. Atque heic rursus dictio a quatuor ventis, haud aliquem numerum, sed potius undecumque denotat, ut Iudaei qui adhuc babylonicam regionem incolebant, ad urbem Hierusalem cuncti festinarent; in qua degentes stabili posthinc salute perfruentur, Deo ipsos iuxta promissa sua custodiente: quia iam tum deleta fuerat Babylon, totaque Babyloniorum dominatio desiverat, Darii nimirum regis temporibus. Simul tamen praedicit de illis qui per illud tempus redituri erant. Nam reapse redierunt sub Dario non pauci: nihilominus iubet eos Babylone reverti, id est de captivitate quam a Babyloniis perpessi erant. Constat autem prophetam sub iussi figura praedictionem rei futurae facere.

" Haec enim ait Dominus omnipotens: post gloriam misit me ad gentes quae spoliaverunt vos: quia qui tetigerit vos, quasi qui tangat pupillam oculi eius. Quia ecce ego inferam manum meam super eos; et erunt praedae iis qui servierant ipsis:

τοῖς, καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με. „ Ταῦτα γὰρ ὑμῖν φησὶν εἰρημένα λέγω, τοῦ εἰρηκότος κελεύσαντος θεοῦ, ὃς ἀπέσταλκέ με τὴν δόξαν ὑμῖν γνωριοῦντα, καὶ τὸ μέγεθος τῆς αὐτοῦ δυνάμεως ἧς ἐπιδείξεται κατὰ τῶν ὑμᾶς ἠδικηκότων· οὕτως ὀργιζόμενος ἐπὶ τοῖς τι λυπεῖν ὑμᾶς βουλομένοις, ὡς ἂν ὀργισθείη εἴ τις αὐτοῦ τὰς κόρας βλάπτοι τῶν ὀφθαλμῶν· εὔδηλον μὲν οὖν ὅτι ἀνθρωπίνως τὸ τῆς κηδεμονίας ἐξαίρετον εἰπεῖν ἠβουλήθη· οὕτω δὲ βαρεῖαν ἐπάξω φησὶ τοῖς ἐχθροῖς τοῖς ὑμετέροις τὴν τιμωρίαν, ὥστε ὑπ' ἐκείνων ἐκπολιορκηθῆναι τε καὶ πορθηθῆναι οὓς τὸ πρότερον ἐν δούλων εἶχον τάξει· ὡς ἂν ἐξ αὐτῶν γένοιτο δῆλον τῶν πραγμάτων, ὅτι γνώμῃ θεοῦ τοῦ πάντων κυρίου εὐαγγελίζομαι ταῦτα ὑμᾶς· εἶτα καὶ πρὸς τὴν πόλιν ἀποστρέψας τὸν λόγον· θυγατέρα γὰρ τῆς Σιὼν τὴν Ἱερου-
v. 10. σαλὴμ εἴωθεν ὀνομάζειν. “ Τέρπου καὶ εὐφραίνου θύγατερ Σιών· διότι ἰδοὺ ἐγὼ ἔρχομαι,
καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος. „ Ἐν ἡδοναῖς ἔσο τοῦ λοιποῦ, ἕξεις γάρ με
v. 11. ἐν σοὶ τῇ κηδεμονίᾳ δεικνύμενον. “ Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ γνώσῃ
v. 12. ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ· καὶ κατακληρονομήσει κύριος τὸν Ἰούδαν
p. 459. τὴν μερίδα αὐτοῦ ἐπὶ τὴν ἁγίαν γῆν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ. „ Τοσαύτην δὲ φησὶ τὴν
περὶ ὑμᾶς ἐπιδείξομαι κηδεμονίαν, ὥστε καὶ τῶν ἀλλοφύλων πολλοὺς ἐφ' ὑμᾶς καταφυγεῖν, θεὸν ὁμολογοῦντας ἑαυτῶν ἐμὲ τὸν παρ' ὑμῖν γνωριζόμενον· οἳ καὶ τῶν οἰκείων ἀποστάντες τόπων τὴν οἴκησιν αἱρήσονται τὴν ἐν σοὶ διὰ τὴν κηδεμονίαν τὴν ἐμήν· τότε δὴ μάλιστα γνώσεσθέ με θεοῦ γνώμῃ τοῦ πάντων κυρίου ταῦτα ὑμῖν εὐαγγελιζόμενον, ὃς τῷ τε Ἰούδᾳ τὴν παλαιὰν αὐτῷ μερίδα τῆς γῆς ἀποδώσει, πᾶσαν τὴν Ἱερουσαλήμ τε ἀποφανεῖ παρὰ πᾶσιν λαμπράν.

v. 13. Εἶτα ἀκολούθως ἐπάγει· “ εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου, ὅτι ἐξε-
γήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ. „ Ὥστε πᾶσιν ὁμοίως τοῖς τε οἰκείοις καὶ τοῖς ἀλλοφύλοις

et cognoscetis quia Dominus omnipotens misit me. „ Haec ego, inquit, vobis effata recito, Dei qui sic est elocutus iussu, qui misit me gloriam eius nunciaturum, ac magnitudinem potentiae suae, quam contra offensores vestros ostendet: tantopere iis succensens qui vos vexare voluerunt, quanto iis irasceretur qui oculorum ipsius pupillas laederet. Patet autem Deum humano loquendi more eximiam providentiam suam denotare voluisse. Tam gravem, inquit, inimicis vestris poenam inferam, ut ab illis expugnandi sint atque vastandi, quos antea famulorum loco habebant. Quamobrem ex ipso rerum eventu patefiet, me Dei voluntate omnium domini haec vobis nunc denunciare. Deinde ad urbem quoque sermonem convertens (nam filiam Sion solet Hierusalem appellare) “ laetare, inquit, et gaude, filia Sion, quia ecce ego venio, et habitabo in medio tui, dicit Dominus. „ Laetitiis posthinc incede, habebis enim me tecum, tutelae vi demonstratum. “ Confugientque gentes multae ad Dominum die illa: eruntque ei in populum, et in medio tui habitabunt, et cognosces quod me omnipotens Dominus ad te miserit. Et possidebit Dominus Iudam quasi partem suam in terra sancta, et eliget adhuc Hierusalem. „ Tantam, inquit, vestri sollicitudinem prae me feram, ut alienigenae quoque multi ad vos accursuri sint, Deumque me confessuri qui apud vos agnoscor: isti, inquam, a suis locis digredientes, habitare apud te malent, patrocinium meum exquirentes. Tum vero maxime vos cognoscetis, me Dei omnium domini voluntate haec vobis nunciare, qui et Iudae veterem terrae adsignatae partem restituet, totamque Hierusalem cunctis splendidam efficiet.

Deinde pergit dicere. “ Timeat universa caro a facie Domini, quoniam con-

ὑρμόττειν δεδοικέναι λοιπὸν τὸν θεόν, ὃς ἐκ τῶν ἀνωτέρων τόπων, οὓς οἰκεῖν τε εἴωθε καὶ ἁγίους ἐκ τῆς οἰκήσεως ἀποδεικνύναι τῆς οἰκείας, κεκίνηται ἐπὶ βοήθειαν ἡμετέραν ἐλθεῖν, τοῦτον φοβεῖσθαι πᾶσιν ἁρμόττον τοῖς τε οἰκείοις, ὡς ἂν μὴ παρανομοῖεν καθάπαξ, καὶ τοῖς ἀλλοτρίοις ὡς ἂν μηδὲν περὶ τῶν αὐτῷ προσήκοντας ἐπιχειροῖεν ἔτι· οὕτω δὴ ταῖς ἀποκαλύψεσι ταύταις τὰ ἐπὶ τῆς πρόσθεν ἀποκαλύψεως μηνυθέντα βεβαιώσας, ὅτι τετιμωρήσεται τῶν ἐναντίους, καὶ ὅτι εὐποιήσει τὴν Ἱερουσαλήμ, ἅπαντάς τε τῶν προσήκοντας αὐτῇ τῶν Ἰουδαίων, ἐφ' ἑτέρας ἀποκαλύψεις τρέπεται μάλα γε πρὸς τὸ προκείμενον ἀναγκαίας· ἐν αἰχμαλωσίᾳ μὲν γὰρ τυγχάνοντες, καὶ βασιλέως ἐστέρηντο καὶ ἱερέως, ἃ δὴ κυριώτατα p. 460.
πρὸς τὴν τοῦ ἔθνους συγκρότησιν ἦν· τοῦ βασιλέως μὲν ἔν τε τοῖς πολέμοις καὶ τῇ τῶν λοιπῶν διοικήσει τὴν χρείαν παρεχομένου τὴν οἰκείαν, τοῦ ἱερέως δὲ τῶν τε δεήσεων καὶ τῶν ἱκεσιῶν καὶ πάσης δὴ τῆς θεῷ προσηκούσης ἐξάρχοντος λειτουργίας· ὅπερ οὖν καὶ ὁ προφήτης Ὠσηὲ προλέγων *, διότι ἡμέρας φησὶ πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος ἄρχοντος, * Os. III. 4.
οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων· δείκνυσι δὲ διὰ τῆς παρούσης ἀποκαλύψεως ὁ θεὸς τῷ προφήτῃ εἰς διδασκαλίαν παντὸς τοῦ λαοῦ, ὅτι καὶ ταῦτα ἃ δὴ μέγιστά τε ἦν καὶ πρῶτα καὶ ἀναγκαῖα πρὸς τὴν τοῦ κοινοῦ συγκρότησιν, ὧνπερ ἐπὶ τῆς αἰχμαλωσίας εἰκὸς ἐστέρηντο, ἀποδοθήσεται νῦν αὐτοῖς παρὰ τοῦ θεοῦ, ἅτε τῆς πόλεως σὺν τῷ ἔθνει πᾶσαν τὴν εὐκοσμίαν ἀπολαμβάνειν μελλούσης τὴν οἰκείαν· λέγει τοίνυν οὕτως.

ΚΕΦ. Γ'.

« Καὶ ἔδειξέ μοι κύριος τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου v. 1.
κυρίου· καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ· καὶ εἶπε κύριος πρὸς v. 2.
τὸν διάβολον· ἐπιτιμήσαι κύριος ἐν σοὶ διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξά-

surrexit de nubibus sanctis suis. ,, Cunctos aeque tum domesticos tum alienigenas timore Dei percelli deinceps decet, qui de supernis locis, quos incolere solet, quosque sanctos incolatu suo efficit, nunc vero ad opem nobis ferendam procedit. Hunc a suis omnibus timeri oportet, ut omnino non pecent; ab alienigenis autem, ne umquam postea populum ei addictum laedere ausint. Sic igitur postquam his revelationibus, res priore revelatione praedictas confirmavit, nempe quod adversarios puniet, et urbi Hierusalem bene faciet, nec non omnibus in ipsius ditione Iudaeis; ad alias transit revelationes huic proposito apprime congruas. Etenim in captivitate versantes, rege carebant ac sacerdote, qui ambo maxime ad firmam gentis constitutionem necessarii erant: ut rex nimirum bellis gerendis reliquisque regni usibus exsequendis operam suam navaret: sacerdos autem precibus et supplicationibus, et universae Deo debitae liturgiae praeesset. Quod Oseas quoque propheta praedicens; quia dies multos, inquit, sedebunt filii Israhelis sine principe, sine sacrificio, sine altari, sine vatibus. Praesente vero revelatione ostendit prophetae Deus ad totius populi eruditionem, fore ut haec ipsa quae ad continendam rempublicam maxima sunt et prima ac necessaria, quibus in captivitate carebant, ipsis a Deo reddantur: quia urbs nimirum cum gente omnem ornatum suum receptura erat. Sic ergo ait.

CAP. III.

" Et ostendit mihi Dominus Iesum sacerdotem magnum, stantem ante faciem angeli Domini, et diabolus stabat a dextris eius, ut adversaretur ei. Et dixit Do-

v. 3. μένος τὴν Ἱερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός; καὶ Ἰησοῦς ἦν ἐνδε-
v. 4. δυμένος ἱμάτια ῥυπαρά, καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου· καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς
p. 461. τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ λέγων· ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ· καὶ
v. 5. εἶπε πρὸς αὐτόν, ἰδοὺ ἀφήρηκα ἀπὸ σοῦ τὰς ἀνομίας σου· καὶ ἐνδύσατε αὐτὸν ποδήρη, καὶ
ἐπίθετε μίτραν καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ περιέβαλον αὐτὸν ἱμάτια,
καὶ ἐπέθηκαν μίτραν καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. „ Ἀναγκαίως δὴ τῆς ἱερω-
σύνης τὴν ἀποκατάστασιν ἐπὶ τοῦ προσώπου τοῦ ἱερέως ὁρᾷ, ἅτε καὶ τῆς ἱερωσύνης οὐ καθ' αὐ-
τὴν φαινομένης, ἀλλ' ἐπὶ τῶν μεταχειρίζεσθαι τεταγμένων αὐτήν· ὁρᾷ τοίνυν Ἰησοῦν τὸν
ἱερέα τὸν μέγαν, μέγαν δὲ λέγει τὸν κατὰ διαδοχὴν τὴν τοῦ Ἀαρὼν προσήκουσαν ἐκτελοῦντα
λειτουργίαν, πρὸς ἀγγέλου μὲν ἑστῶτα, ἐπειδὴ πάντων μὲν ἀνθρώπων ἄγγελοι τὴν ἐπιστα-
* Matth. XVIII. 10. σίαν εἰσὶν ἐπιτεταγμένοι (1)· καθὼς ὅ τε κύριος ἐν τοῖς εὐαγγελίοις φησίν· * οἱ ἄγγελοι
αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ἔν τε ταῖς πράξεσι
* Act. XII. 15. τῶν μακαρίων ἀποστόλων *, ὅτι ἄγγελος αὐτοῦ ἐστι, περὶ τοῦ μακαρίου λέγοντες Πέτρου· ἀναγ-
καίως δὲ καὶ τούτου πρὸ προσώπου φαίνεται ἀγγέλου, τουτέστι τοῦ τὴν κηδεμονίαν αὐτοῦ κατὰ θείαν
* num pro οὕπερ? ἐπιτεταγμένου βουλήν· εἱστήκει δὲ καὶ ὁ διάβολος τοῦ ἀντικεῖσθαι αὐτῷ, ὅπερ * ἔργον ἀντιπράτ-
τειν τοῖς τῶν ἀνθρώπων ἀγαθοῖς· τοῦτον δή φησι, καὶ τότε ἐπηρεάζειν αὐτῷ πᾶσαν εἶχεν σπου-
p. 462. δήν, ἐξωθῶν αὐτὸν τῆς τεταγμένης αὐτῷ λειτουργίας, ἣν οὐδὲ ἐκτελεῖν αὐτὸν ἐπὶ τῆς αἰχ-
μαλωσίας οἷόν τε ἦν· λέγει δὴ τούτῳ τὸν θεὸν ἐπιτιμῆσαι τὸν τὴν Ἱερουσαλὴμ ἐκλεξάμενον,
ὡς ἂν γνοίη πᾶσαν τὴν ἀντίστασιν τὴν διαβολικὴν ὑπὸ τῆς τοῦ θεοῦ πεπαυμένην κηδεμονίας· ὃς
τὴν Ἱερουσαλὴμ ἐκλεξάμενος, ἀναγκαίως καὶ τούτῳ τῆς ἱερωσύνης ἀποδίδωσι τὴν εὐπρέπειαν.

Τὸ δὲ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός, ἵνα εἴπῃ ὅτι ὡς ἄν εἴ τις ξύλον

minus diabolo: increpet Dominus te, diabole; et increpet te Dominus qui elegit Hierusalem. Nonne ecce hoc ut torris erutus de igne est? Et Iesus indutus erat vestibus sordidis, et stabat ante faciem angeli. Responditque, et ait adstantibus coram facie sua dicens: auferte vestimenta sordida ab eo. Dixitque ei: ecce abstuli iniquitates tuas; et induite eum podere: et imponite mitram ac cidarim mundam super caput eius. Et circumiecerunt ei vestimenta: et imposuerunt mitram ac cidarim mundam super caput eius. „ Necessario sacerdotii restitutionem in sacerdotis persona videt; neque enim sacerdotium per se visibile est, sed in iis tantum quibus illud gerere commissum est. Videt ergo Iesum sacerdotem magnum (porro magnum dicit illum qui successionis iure, ministerium Aaroni adtributum gerebat) angelo adstantem, quoniam omnium hominum angelis cura commissa est; sicut etiam Dominus in evangeliis ait: angeli eorum semper vident faciem patris mei qui in caelis est. Tum et in actibus beatorum apostolorum, angelus eius est, de beato Petro dixerunt quidam. Necessario autem hic etiam coram angelo consistens apparet, id est coram illo cui curandus a divina voluntate commissus fuerat. Stabat item diabolus adversans ei, cuius negotium est hominum bono adversari. Hic, inquit, nocere illi tota opera satagebat, omni legitimo ministerio repellens, quod alioquin in captivitate peragere non licebat. Dicit autem, hunc a Deo increpitum, qui Hierusalem peculiariter sibi adsciverat: atque ita ostendit, diabolicum omnem conatum Dei protectione fuisse compressum; qui postquam sibi propriam Hierusalem vindicaverat, necessario etiam sacerdoti dignitatis suae decus reddidit.

(1) Observa Mopsuesteni, immo ss. bibliorum, sententiam de angelis hominum custodibus.

μέλλον ὑπὸ πυρὸς καταναλίσκεσθαι ἀθρόον, ἐκσπάσας ἀβλαβὲς τηρήσειεν, οὕτω δὴ καὶ τοῦτον ὡς ἐν πυρὶ τῇ τῆς αἰχμαλωσίας ἀνάγκῃ καθεστῶτα καὶ καταφλεχθῆναι ὑπ' αὐτῆς μικροῦ κινδυνεύοντα ἐξέσπασα τε καὶ τῶν περιεχόντων ἀπήλλαξα κακῶν· ἐνεδέδυτο δὲ φησὶν ἱμάτια ῥυπαρὰ ὁ Ἰησοῦς, ἵνα εἴπῃ ὅτι τὸ περικεχυμένον ἐκ τῆς αἰχμαλωσίας αὐτῷ πένθος, ἐν ᾧπερ δίηγε παντελῶς ἔξω τῆς λειτουργίας ὑπάρχων τῆς θείας, ἐν βαρύτητι καθεστὼς δουλείας, ταῦτα ἀφελεῖν ἀπ' αὐτοῦ τοῖς ἑστηκόσιν ἐπιτάττει θεός· τουτέστι ταῖς ὑπηρετουμέναις λειτουργικαῖς δυνάμεσιν, ἅτε ταῖς θείαις ὑπηρετούμεναι βουλαῖς ἀφεῖλον τε αὐτοῦ τῆς αἰχμαλωσίας τὴν ἐσθῆτα, καὶ τὸ πένθος ἅπαν ἐκεῖνο, καὶ εἰς τὴν πόλιν ἐπανήγαγον τὴν οἰκείαν· εἶτα τούτου γεγονότος, φησὶ πρὸς αὐτόν· ἀφῄρηκα πάσας τὰς ἀνομίας σου· δηλῶν
ὅτι τὰ τῆς αἰχμαλωσίας λέλυται κακὰ, ἐπειδὴ τῶν ἁμαρτιῶν ἀφεῖλε τὴν μνήμην· εἶτα ἑξῆς p. 463.
κελεύει τὸν ποδήρη τε αὐτὸν ἐνδύσασθαι καὶ περιτεθῆναι τε αὐτῷ τήν τε μίτραν καὶ τὴν κίδαριν, εἰς ἔνδειξιν τοῦ τῆς ἱερωσύνης αὐτῷ λοιπὸν ἐπιτετράφθαι τὴν ἐξουσίαν· ὅπερ οὖν καὶ γέγονε κατὰ τὸ σύνθημα τὸ θεῖον· ταῦτα εἰρηκὼς ὁ προφήτης εἰς ἔνδειξιν τοῦ τὴν ἱερωσύνην αὐτοῖς ἀποδεδόσθαι, καὶ τὸν ἱερέα πάλιν ἐπὶ τῆς συνήθους ἐξετάζεσθαι λειτουργίας, τὴν οἰκείαν περὶ τὸ πρᾶγμα παῤῥησίαν τε ἔχοντα καὶ ἐξουσίαν, ἐπάγει.

“ Καὶ ὁ ἄγγελος κυρίου πρὸς Ἰησοῦν λέγων, τάδε λέγει κύριος παντοκράτωρ· ἐὰν v. 6.
ἐν ταῖς ὁδοῖς μου πορεύσῃ, καὶ ἐὰν τὰ προστάγματά μου φυλάξῃς, καὶ σὺ διακρινεῖς τὸν οἶκον μου· καὶ ἐὰν διαφυλάσσῃς τὴν αὐλήν μου, καὶ δώσω ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων. „ Ἀκολούθως ἀπειληφότι τῆς ἱερωσύνης τὴν ἐξουσίαν ταῦτα εἰρῆσθαι φησίν· ὡς ἂν γνοίη ὅπως αὐτὸν μεταχειρίζεσθαι προσήκει τὴν λειτουργίαν· ἐὰν γάρ φησι ἐπιμένῃς τῶν προστεταγμένων παρ' ἐμοῦ φροντίδα ποιούμενος, ἔσῃ μὲν ἐν ἱερέως αὐθεντίᾳ κρίνων τοῖς πᾶσι· καὶ τῇ αὐλῇ δὲ τῇ ἐμῇ τὴν προσήκουσαν φυλακὴν διὰ τῆς ἐπιμελείας προσάγων τῆς οἰκείας,

Iam verba, tamquam torris de igne erutus, significant, quod ceu si quis lignum mox igne consumendum, extractum servet incolume; ita Deus hunc sacerdotem, igne veluti captivitatis correptum et mox comburi periclitantem, erui et urgentibus malis subduxi. Indutus porro erat vestimentis sordidis Iesus, pro eo ac dicat, illum captivitatis luctu obrutum (in quo versans extra omnino divinam liturgiam erat, et gravi servitio addictus) illum inquam iuberi a Deo sordibus iis spoliari adstantium manu, id est liturgicarum virtutum opera; quae divinae voluntati obsequentes captivitatis veste illum exuerunt, omnique praedicto luctu, et in propriam urbem reduxerunt. Quo facto, cunctas ait abstuli iniquitates tuas; ita ostendens dissoluta esse captivitatis mala, quia peccatorum memoriam deleverat. Deinde iubet, ut podere eum induant, mitram atque cidarim circumponant, ut ostendat traditam ei in posterum sacerdotii dignitatem: quod reapse divino decreto contigit. His dictis, ob significandam sacerdotii Israhelitis restitutionem, et sacerdotem abhinc consueto ministerio destinandum fore, qui proprio officio confidenter et recto iure fungetur, pergit dicere.

Et angelus Domini dicebat Iesu: haec ait Dominus omnipotens: si in viis meis ambulaveris, et mandata mea servaveris, et tu domum meam iudicabis: et si atrium meum custodieris, et dabo tibi qui conversentur in medio stantium istorum. ,, Opportune ait dicta haec fuisse homini qui sacerdotii dignitatem susceperat, ut idem agnosceret quomodo gerere ministerium deberet. Si enim perseveraveris, inquit, in praeceptorum meorum observantia, manebit tibi sacerdotalis auctoritas iudicandi de omnibus. Et si atrio meo convenientem custodiam sedulitate tua adhi-

παραπέμψεις δὲ καὶ εἰς διαδόχους τὴν τιμὴν, οἳ γενήσονται ἐν μέσῳ παντὸς τοῦ λαοῦ τὴν προσ-
ήκουσαν αὐτοῖς ἐκτελοῦντες λειτουργίαν. Εἶτα καὶ τῆς βασιλείας τὴν ἀποκατάστασιν δηλῶν, οὕτω
v. 7. p. 464. λέγει. " Ἄκουε δὴ Ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώ-
που σου· διότι ἄνδρες τερατοσκόποι εἰσίν. ,, Ἵνα εἴπῃ, πρός σέ μοι ὁ λόγος, καὶ πάντας
τοὺς σὺν σοὶ ἀρχὴν τοῦ λαοῦ πεπιστευμένους, ἔν τε διδασκαλίᾳ καὶ ἐξηγήσει νομίμων, καὶ
τῇ λοιπῇ τῶν εἰς θεοσέβειαν ἡκόντων λειτουργίᾳ· οὓς τερατοσκόπους διὰ τοῦτο καλεῖ, ὡς τῶν
παρὰ τοῦ θεοῦ παραδόξως γινομένων τὰς αἰτίας σκοπεῖν τε καὶ εἰδέναι οἵους τε ὄντας.
Τί οὖν φησί;

v. 8. " Διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου ἀνατολήν· διότι λίθος ὃν ἔδωκα πρὸ προσώπου
Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν. ,, Ἐγὼ γάρ φησι τὸν δοῦλον τὸν ἐμὸν,
τὸν Ζοροβάβελ λέγων, καὶ ἀποκαθίστημι τῇ βασιλείᾳ, ἀνατολῆς οὐχ ἧττον λαμπρὸν τῇ τῆς
ἐξουσίᾳ δεικνύς· τοῦτον δὴ ὥσπερ τινὰ λίθον τίθημι πρὸ τῶν ὀφθαλμῶν τῶν σῶν, ἐφ' ᾧπερ
ἐστηρίχθαι σὲ χρὴ, παρέχοντα μὲν αὐτῷ τὴν ἐκ τῶν προσευχῶν καὶ τῆς ἱερωσύνης βοήθειαν,
κομιζόμενον δὲ παρ' αὐτοῦ τὴν σπουδὴν, ἣν ἐν τοῖς κατὰ τῶν ἐναντίων ἐπιδείκνυται πολέμοις,
ὡς ἂν ἐν εἰρήνῃ διάγοντες ἐκτελοίητε τὴν ἱερωσύνην δεόντως· θαρρεῖν δέ σε τούτῳ προσήκει
τῷ λίθῳ, ἑπτὰ μετέχειν αὐτὸν ὀφθαλμῶν νομίζοντα· κἀνταῦθα δὲ τῷ ἑπτὰ οὐκ ἐπὶ ἀκρι-
βολογίας ἀριθμοῦ λέγει, ἀλλ' ἵνα εἴπῃ ὅτι δυνήσεται δὲ ταῦτα ὁ Ζοροβάβελ εἰς τὴν βασι-
λείαν παρ' ἐμοῦ προχειρισθεὶς, ἐπειδὴ πολλήν τινα καὶ ἄφατον αὐτῷ παρέξω τὴν ἐποψίαν
p. 465. τὴν ἐμὴν, καὶ τὴν ἐπιμέλειαν ἀφ' ἧς τι γενήσεται πλέον. " Ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει
κύριος παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ. ,,
Οὕτω γὰρ αὐτὸν ἐργάσομαι δυνατὸν, ὥστε πάντας διὰ τῆς ἐκείνου στρατηγίας τοὺς πολεμίους
τρεπόμενος, ὥσπερ βόθρῳ τινὶ τῇ ἀπωλείᾳ περιβάλλειν διὰ τῆς ἐμῆς τιμωρίας, ὑπὲρ ὧν

bueris, posteris quoque dignitatem tuam transmittes, qui in medio universi populi iure ad se pertinentem exercebunt liturgiam. Postea regni quoque instaurationem innuens, ait: audi, Iesu sacerdos magne, tu et proximi tui qui sedent ante faciem tuam, quia viri spectatores portentorum sunt. ,, Id est, ad te sermo meus atque ad omnes quibus tecum populi principatus creditus est, ut magisterio legisque interpretatione fungamini, et reliquo rerum divino cultui addictarum ministerio: quos homines appellat portentorum spectatores, ceu rerum praeter expectationem a Deo patratarum causas considerare et cognoscere idoneos. Quid ergo ait?

" Ecce enim ego adduco servum meum, orientem: quia lapis quem dedi ante faciem Iesu; super lapidem unum septem oculi sunt. ,, Ego enim, inquit, servum meum, id est Zorobabelem, regem constituo, soli orienti splendore parem ob dignitatis suae amplitudinem. Hunc vero ceu quendam lapidem propono coram oculis tuis, in quo te firmiter niti oportet, eidemque exhibere precum et sacerdotii auxilium, vicissimque ab eo referre tutelam, quam bellis contra hostes gerendis rependit, ut pace fruentes sacerdotio rite fungamini. Confidere autem te huic lapidi oportet, et septem eum habere oculos existimare. Iam hoc etiam loco vocabulum septem haud de exacto numero ait, sed ut dicat Zorobabelem ad haec validum fore, a me scilicet in regnum provectum; quia ei multam atque ineffabilem providentiam meam curamque impendam, qua maius incrementum capiet. " Ecce ego fodio foveam, dicit Dominus omnipotens, et contrectabo omnem iniquitatem terrae illius die una. ,, Adeo illum potentem efficiam, ut omnes virtute sua bellica hostes fugans, quasi fovea quadam exitio eos obruat, meae ultionis minister, propterea

ἂν ἀδικεῖν ἕλωνται τὴν ἐμοὶ προσήκουσαν γῆν, ἧσπερ αὐτὸν ἔταξα προεστάναι τὸν βασιλέα·
εἶτα καὶ τὸ τῆς βοηθείας μέγεθος δεικνὺς, οἷόν τε ἐκ τῆς τοῦ Ζοροβάβελ ἀπολαύσουσι στρα-
τηγίας " ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, συγκαλέσεται ἕκαστος τὸν πλη- v. 9.
σίον αὐτοῦ ὑποκάτω συκῆς αὐτοῦ. „ Οἱ μὲν γὰρ ἐχθροὶ τούτου στρατηγοῦντος πείσονται ἐκεῖνα·
οἱ δὲ τῷ λαῷ προσήκοντες τῷ ἐμῷ, μετὰ πολλῆς τῆς ἡδονῆς ἀπολαύσουσι τῶν οἰκείων καρ-
πῶν, ὥστε καὶ συνεχῶς ἐπὶ ἑστίασιν συγκαλεῖν ἀλλήλους· ἐν δὲ τούτοις τῆς τε βασιλείας καὶ τῆς
ἱερωσύνης τὴν ἀποκατάστασιν δηλώσας, ἑξῆς τίθησιν ἀποκάλυψιν μάλα γε ἀναγκαίως ἐπὶ
τοῖς εἰρημένοις αὐτῷ δειχθεῖσαν. Λέγει δὲ οὕτως.

ΚΕΦ. Δʹ.

" Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ ἐξήγειρέ με, ὃν τρόπον ὅτ᾽ ἂν ἐξε- v. 1.
γερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ· καὶ εἶπε πρός με· τί σὺ βλέπεις; „ Ἄγγελον πάλιν τὸν v. 2.
ἐν αὐτῷ λαλοῦντα δηλοῖ ἐκεῖνον τὸν ἐν ἀνθρώπου μορφῇ ἐν μέσῳ τῶν κατασκίων ὀρέων
ἐφ᾽ ἵππου φανέντα πυῤῥοῦ· μεμαθήκαμεν γὰρ ἐκ τῶν ἀνωτέρω ἀκριβῶς, ὅτι αὐτὸν ἐκεῖνον
ἐν αὐτῷ λαλοῦντα πανταχοῦ λέγει· ὃν καὶ νῦν φησὶν ἐξεγεῖραι μὲν αὐτὸν ὡς ἂν ἐξ ὕπνου p. 466.
τινὸς κατεχόμενον τῇ τῶν ἤδη δειχθέντων θεωρίᾳ· περὶ δὲ τῶν νῦν δεικνυμένων πάλιν ἐρω-
τῶντα αὐτὸν ὅτι ποτὲ βλέποι, ἵν᾽ ὁ μὲν εἴπῃ τὴν ὄψιν, ὁ δὲ τῶν δειχθέντων δηλώσῃ τὸν νοῦν·
λέγει τοίνυν. " Καὶ εἶπον· ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω
αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς· καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμ- v. 3.
παδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων. „ Ἡ μὲν λυχνία, δήλωσις τῆς θείας χάριτός ἐστιν,
ἁπτομένης μὲν τῶν ἐπὶ γῆς, διηκούσης δὲ ἄχρι τῶν ὑπὲρ γῆν πραγμάτων, ἅτε τῶν ἀπάντων
ταύτῃ διοικουμένων· ἣν καὶ εἰκότως ὡς μεγάλην τε καὶ περιφανῆ, χρυσῆν ὅλην εἶδεν· ἐπειδὴ

quod mei iuris terram violare voluerint, cui ego regem praeesse statueram. Mox auxilii quoque magnitudinem ostendens, et quantopere a Zorobabelis ope bellica iuvandi sint; " Die illa, dicit Dominus omnipotens, convocabit unusquisque proximum suum sub ficum suam. „ Et hostes quidem, hoc duce illa patientur; qui autem de populi mei numero erunt, multa cum voluptate frugibus suis vescentur, ita ut etiam continuo ad mutua convivia invitent. Atque hactenus dictis regni et sacerdotii demonstrata instauratione, deinde ponit revelationem aliam necessario prorsus post praedicta sibi oblatam. Sic ergo dicit.

CAP. IV.

" Et reversus est angelus qui loquebatur in me, et suscitavit me sicut suscitari solet homo de somno suo. Dixitque mihi: quid tu vides? „ Rursus angelum in se loquentem denotat illum humana forma praeditum qui inter montes umbrosos equo rufo insidens apparuerat. Didicimus enim satis evidenter ex superioribus, prophetam de illo ipso in se loquente ubique verba facere, a quo nunc etiam se excitatum dicit, quasi somno quodam sopitum ob praedictarum rerum contemplationem; et de praesente ostento interrogatum, quidnam videret: ut ipse videlicet visionem suam recitaret, ille autem ostenti sensum explanaret. " Et dixi: vidi, et ecce candelabrum aureum, et lampas super ipso, et lucernae septem super eodem: duae quoque oleae super eodem, una dextrorsum, altera sinistrorsum. „ Candelabrum quidem, indicium divinae gratiae est, in terra quidem succensae, sed usque ad res ultra terram positas devenientis; quippe quae omnia administrat: quam etiam

χρυσὸς ἁπασῶν τῶν ἀπὸ γῆς ὑλῶν ἐστὶ τὸ τιμιώτατον· τὸ δὲ ἐπάνω αὐτῆς λαμπάδιον δηλοῖ τὸ ἐκ τῆς χάριτος τῆς θείας ἐξ ὕψους ἅπαντας τοὺς ἐπὶ γῆς περιλάμπον φῶς· ἑπτὰ δὲ λύχνους ὁρᾷ, τὸ τέλειόν τε καὶ πλούσιον τῆς χάριτος δεικνύς· ὡς ἀνωτέρω λέγει τὸ ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν, ἵνα εἴπῃ τῆς ἐπιμελείας τῆς οἰκείας τὸ μέγεθος· εἶτα ἑκατέρωθεν τοῦ λαμπαδίου ἐλαίας, τὴν μὲν ἐκ δεξιῶν, τὴν δὲ ἐξ εὐωνύμων· ὅπερ ἐδήλου τήν τε βασιλείαν καὶ τὴν ἱερωσύνην, ἅπερ ἀκρότατα παρὰ τοῖς ἀνθρώποις εἶναι δέδωκεν ὁ θεός· ὡς τῇ μὲν διοικεῖσθαι τὰ πρὸς τὴν τοῦ παρόντος βίου κατάστασιν ἐπιτήδεια, τὴν δὲ αὐτάρκη τυγχάνειν εἰς τὸ προσάγειν ἀνθρώποις θεῷ.

v. 4. p. 467. Ταῦτα πρὸς τὸν ἄγγελον ἑωρακέναι ὁ προφήτης εἰπὼν, ἐπάγει. “ Καὶ ἐπηρώτησα,
καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ, λέγων· τί ἐστι ταῦτα, κύριε; καὶ ἀπε-
v. 5. κρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε πρός με λέγων· οὐ γινώσκεις τί ἐστι ταῦτα;
v. 6. καὶ εἶπον, οὐχὶ κύριε· καὶ ἀπεκρίθη καὶ εἶπε πρός με λέγων· οὗτος ὁ λόγος κυρίου πρὸς Ζοροβάβελ λέγων, οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἐν πνεύματί μου, λέγει κύριος παντοκράτωρ. „ Οὗτος δὴ ὁ ἄγγελος, ὃν ἐν αὐτῷ λαλεῖν ὁ προφήτης λέγει, οὗτος δὴ καὶ τὰς ὑπὲρ τῆς Ἱερουσαλὴμ δεήσεις ὤφθη ποιούμενος, ὡς ἁπάντων μὲν τῶν κατὰ τὴν Ἰουδαίαν τὴν ἐπιστασίαν ἐπιτετραμμένος· ἀναγκαίως δὲ καὶ ὑπὲρ τῶν αὐτῶν δέησιν προσάγων τῷ θεῷ· ὅθεν καὶ ὁ προφήτης τοῦτον καὶ ἐρωτᾷ, καὶ τὰ καθ' ἕκαστον μανθάνει· ἐπειδὴ πάντων τῶν δειχθέντων δήλωσιν ἐχόντων, τῆς περί τε τὴν πόλιν καὶ τὸ ἔθνος τοῦ θεοῦ φιλοτιμίας, ἀναγκαίως ἥρμοττεν, παρὰ τούτου τὰ καθέκαστον τῶν δεικνυμένων, ὅπως ἔχοι, μανθάνειν· συντόμως οὖν εἶπεν αὐτῷ τῶν δειχθέντων τὴν δύναμιν, ὅτι τῆς χάριτός ἐστι δήλωσις τῆς θείας, ἣ καὶ τὴν τοῦ Ζοροβάβελ προεχειρίσατο βασιλείαν· ὃς οἴκοθεν μὲν δύναται καὶ καθ'

recte, ceu grandem atque illustrem, vidit auream totam, quia prae qualibet terrena materia pretiosissimum aurum est. Iam lampas illi imposita demonstrat radiantem ab alto super omnes terrigenas ex divina gratia lucem. Videt autem lucernas septem, ut perfectionem copiamque gratiae ostendat; veluti superius aiebat Deus super uno lapide oculos septem, ob significandam providentiae suae magnitudinem. Deinde narrat utrimque in candelabro oleas, dextrorsum unam, sinistrorsum alteram: quae res regnum denotabat ac sacerdotium; quae duo dignitatis culmina inter homines esse Deus constituit: et ab illo quidem negotia tractari, quae ad praesentis vitae statum sunt idonea; ab hoc autem homines usque ad Deum admoveri.

Postquam haec angelo se vidisse dixit propheta, sic prosequitur. “ Et interrogavi, dixique angelo, qui loquebatur in me, dicens: quid sunt haec, domine? Responditque angelus qui loquebatur in me, aitque mihi dicens: non agnoscis quid sunt haec? Et dixi: nequaquam, domine. Et respondit, mihique ait dicens: iste est sermo Domini ad Zorobabelem dicens: non in fortitudine magna, neque in viribus, sed in spiritu meo, dicit Dominus omnipotens. Iste angelus, quem in se loquentem propheta narrat, idem ille est qui visus fuit pro urbe Hierusalem deprecari, propterea quod Iudae incolae omnes tutelae ipsius commissi erant: necessario simul pro illis quoque preces Deo offerens: quamobrem propheta hunc interrogat, et res singulas edocetur. Nam quia ostenta omnia eò tendebant, ut Dei erga urbem curam ingentem demonstrarent, necessario oportuit prophetam ab hoc angelo singularum visionum explanationem audire. Breviter ergo patefecit ei ostentorum vim; hanc nimirum esse divinae gratiae manifestationem, quae Zorobabelis quoque regnum constituerat: qui per se quidem propriisque viribus nullum regni

τῇ θείᾳ περιβεβλημένος, ταύτῃ καὶ δύνασθαι ἔχει· ὅθεν καὶ δεικνὺς τὸ περὶ αὐτὸν δωρεᾶς
αὐτὸν οὐδὲν κατορθοῦν τῶν εἰς τὴν βασιλείαν ἡκόντων καὶ τὴν τοῦ λαοῦ προστασίαν, τῇ δὲ χάριτι
τὸ μέγεθος “ τίς εἶ σὺ τὸ ὄρος τὸ μέγα πρὸ προσώπου Ζοροβάβελ τοῦ κατορθῶσαι; καὶ v. 7.
ἐξοίσω τὸν λίθον τῆς κληρονομίας, ἰσότητα χάριτος αὐτῆς. ,, Ἐπειδὴ γὰρ λίθον ὠνόμασε p. 468.
τὸν Ζοροβάβελ, ὄρος λέγει μέγα τοὺς ἄγαν δυνατοὺς ἐν βασιλείᾳ τε καὶ στρατοπέδων καὶ
ὑπηκόων πλήθει· τίς γὰρ δή φησιν οὕτω μέγας ἐστὶν, ἢ οὕτω μέγα δυνάμενος διά τε τὸ
πλῆθος τῶν ὑπηκόων καὶ τὴν τοῦ ὁπλιτικοῦ παρασκευὴν, ὥστε δυνηθῆναι ἀπεναντίας τι τοῦ
Ζοροβάβελ ἰσχῦσαι; ὃν διάδοχον τῆς βασιλικῆς ἀποδείξας κληρονομίας, ἧς τὰς ἐπαγγε-
λίας πρὸς τὸν προπάτορα τοῦ γένους ἐποιησάμην, λέγω δὲ τὸν Δαυὶδ, ὅλον δι' ὅλου τῆς χά-
ριτος πληρώσω τῆς ἐμῆς· τοῦτο γὰρ ἰσότητα λέγει χάριτος· ἀφ' ἧσπερ αὐτῷ ἀναγκαίως
προσέσται τὸ μεγάλα ὑπὲρ τῶν οἰκείων στρατηγοῦντι δυνηθῆναι κατὰ τῶν ἐναντίων.

Εἶτα τὰς ἐπαγγελίας τὰς περὶ αὐτὸν βεβαιῶν· “ καὶ ἐγένετο λόγος κυρίου πρός με v. 8.
λέγων, αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν v. 9.
αὐτόν· καὶ ἐπιγνώσεσθε ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς ὑμᾶς· διότι τίς v. 10.
ἐξουδένωσεν εἰς ἡμέρας μακράς; ,, Αὐτὸς δὲ ὥσπερ καὶ τοῦ ἐμοῦ οἴκου τοὺς θεμελίους καταβα-
λόμενος, αὐτὸς αὐτὸν καὶ πρὸς πέρας ἄξει· ὥστε καὶ ἐκ τούτου πᾶσι δῆλον γενέσθαι ὅτι γνώμῃ
θεοῦ παραγέγονα ταῦτα προμηνύσων ὑμῖν· μὴ τοίνυν μηδ' ὡς ἐν χρόνῳ πολλῷ τούτων
γίνεσθαι μελλόντων ἀπιστήσητε τοῖς λεγομένοις· ἀνοήτατος γὰρ εἴη ἂν ὁ τὰς ἀποφάσεις τὰς
ἐμὰς ἀτελεῖς νομίζων τῷ μήκει γίγνεσθαι τοῦ χρόνου· τοῦτο γὰρ λέγει τὸ ἐξουδένωσεν ἡμέρας
μακράς· ἐμοῦ δυναμένου οὐ ῥᾳδίως πάντα καθὼς ἂν ἐθελήσω ποιεῖν, μετὰ πολλῆς τε p. 469.
ἄγειν τῆς συντομίας εἰς πέρας τὰ πολλοῦ δεόμενα τοῦ χρόνου. Καὶ βεβαιῶν τὸ εἰρημένον
“ καὶ χαρήσονται, καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ. ,, Μὴ τοίνυν

negotium expedire valeret, neque populo praeesse; sed tamen divina gratia promotus, ab hac agendi virtutem habet. Atque ut doni eius magnitudinem ostendat “ quis tu, inquit, mons magne ante faciem Zorobabelis, ut prospere quicquam agas? Et efferam lapidem hereditatis, aequalitatem gratiae eius. ,, Quandoquidem lapidem appellavit Zorobabelem, montem dicit magnum potentes valde homines sive regni dignitate, sive bellica virtute, sive subditorum multitudine. Quis enim, inquit, tantus est tamque validus subditorum numero et armorum apparatu, ut adversus Zorobabelem hilum possit proficere? quem regalis hereditatis successorem designavi; cuius rei promissiones progenitori stirpis, Davidi inquam, factas adamussim atque omnino gratia mea complebo. Id enim dicunt verba: aequalitatem gratiae: qua fretus necessario insitam vim habebit grandia belli adversus hostes patrare.

Postea promissiones de illo factas confirmans, ait. “ Et factus est sermo Domini ad me dicens: manus Zorobabelis fundaverunt domum istam, et manus eius perficient eam. Et scietis quoniam Dominus omnipotens misit me ad vos. Quis enim despexit in dies longos? ,, Idem hic qui domus meae fundamenta iecit, idem eidem inquam coronidem imponet. Quare ex hoc quoque palam omnibus fiet, me voluntate Dei haec vobis nunciaturum venisse. Cavete igitur quominus dictis discredatis quasi multo tempore post eventuris: nam stultissimus foret, qui decreta mea irrita fieri prolixitate temporis existimaret. Id enim innuunt verba, despexit in dies longos: ego enim facile queo omnia prout voluero facere, multoque compendio ad exitum res deducere quae longum tempus desiderarent. Tum dicta confirmans “ et laetabuntur, inquit, atque videbunt lapidem stanneum in manu Zo-

ἀπιστεῖτε φησὶ τοῖς λεγομένοις· ἐπειδὴ καὶ ὄψεσθε αὐτῶν τὸ πέρας, καὶ χαρήσεσθε τὴν περὶ πάντα δύναμιν ὁρῶντες τοῦ Ζοροβάβελ· τοῦτο γὰρ λέγει τὸν κασσιτέρινον λίθον, τὴν περιεσομένην αὐτῷ δηλῶν ἰσχὺν παρὰ τοῦ θεοῦ· ὅθεν καὶ τὴν αἰτίαν ἐπήγαγεν. " Ἑπτὰ οὗτοι ὀφθαλμοὶ κυρίου εἰσίν, οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. ,, Ὁ γὰρ τὰ πάντα ἐφορῶν τε καὶ διοικῶν καὶ σώζων πλουσίως τε καὶ ποικίλως, οὗτός ἐστιν ὁ καὶ ταῦτα ὑποσχόμενός τε περὶ τοῦ Ζοροβάβελ καὶ πρὸς πέρας ἄξων· καὶ γὰρ κἀνταῦθα τὸ ἑπτὰ ἐπὶ τοῦ τελείου λέγει.

v. 11. " Καὶ ἀπεκρίθην καὶ εἶπον πρὸς αὐτόν· τί αἱ δύο ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυ-
v. 12. χνίας καὶ ἐξ εὐωνύμων αὐτῆς; καὶ ἐπηρώτησα ἐκ δευτέρου, καὶ εἶπον πρὸς αὐτόν, τί οἱ δύο
κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπιχεόντων καὶ ἐπανα-
v. 13. γόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; καὶ εἶπε πρός με, οὐκ οἶδας τί ἐστι ταῦτα; καὶ εἶπον
v. 14. οὐχὶ κύριε· καὶ εἶπεν, οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἱ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς
γῆς. ,, Ἐρωτᾷ τί μὲν αἱ δύο βούλονται ἐλαῖαι, ὧν ἡ μὲν ἐκ δεξιῶν, ἡ δὲ ἐξ εὐωνύμων
ἐτύγχανε τῆς λυχνίας, ἤτοι τοῦ ἐπ᾽ αὐτὴν λαμπαδίου; τί δὲ οἱ ἐκπεφυκότες δύο κλάδοι τῶν
p. 470. ἐλαιῶν; περὶ ὧν ἤκουσεν· οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἱ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς
γῆς· ἐπειδὴ γὰρ αἱ ἐλαῖαι τῆς βασιλείας καὶ τῆς ἱερωσύνης ἦσαν γνωρίσματα ἃς ἐπὶ γῆς κρατεῖν ἔταξεν ὁ θεός, δύο κλάδους ἐκ τῶν ἐλαιῶν ἐκπεφυκότας λέγει τόν τε Ζοροβάβελ καὶ τὸν Ἰησοῦν· ὧν ὁ μὲν ἐκ τῆς θείας χάριτος εἰς τὴν βασιλείαν παρῆκτο, ὁ δὲ τῇ τῆς ἱερωσύνης χάριτι πρὸς τὴν λειτουργίαν προσεβέβλητο τὴν θείαν· διὰ τοῦτο καὶ πιότητος αὐτοὺς ἐκάλεσεν υἱούς, ἵνα εἴπῃ οἱ ἐκ τῶν μεγίστων καὶ τιμιωτάτων παρὰ τοῖς ἀνθρώποις ἐκπεφυκότες βασιλείας τε καὶ ἱερωσύνης· οἳ πάντες ὑπουργεῖν εἰσὶ θεῷ τεταγμένοι τῷ πάντων κυρίῳ· διὰ πάντων μὲν δὴ τούτων τὰ κατά τε τὴν Ἱερουσαλὴμ καὶ τὸ τῶν Ἰουδαίων ἔθνος, ὅτι μεγίστην ἐπίδοσιν εἰς τὸ κρεῖττον λήψεται δεδήλωκεν ὁ προφήτης· τιμωρουμένων μὲν τῶν ἐχθραινόν-

robabelis. ,, Ne ergo, inquit, fidem dictis denegetis; horum quippe exitum videbitis, ac laetabimini potentem ad omnia videntes Zorobabelem: nam stanneus lapis, futuram eius Deo iuvante fortitudinem significat. Quamobrem causam etiam addit: " septem hi oculi Domini sunt, universam terram speculantes. ,, Etenim qui cuncta inspicit ac regit salvatque copiose ac varie, idem est qui haec de Zorobabele promisit et ad exitum perducturus est. Nam hoc item loco vocabulum septem de perfecta re dicitur.

" Et respondi, dixique ei: quid sunt duae oleae istae, quae a dextris candelabri et a sinistris? Et interrogavi secundo dixique ei: quid duo rami olearum in manibus duarum narium aurearum, quae infundunt et retrahunt suffusoria aurea? Dixitque mihi: non nosti quid sunt haec? Et dixi: nequaquam, domine. Et dixit: isti duo filii pinguedinis, qui universae terrae domino adsistunt. ,, Interrogat quid sibi velint duae oleae, quarum una in dextra parte, altera in sinistra candelabri erat, sive lampadis super eo positae? Quid item nati ex oleis duo rami? De quibus, audiit: hi sunt duo filii pinguedinis, qui universae terrae domino adsistunt. Nam quia duae oleae regni ac sacerdotii indicium erant, quae duo in terra dominari Deus constituit, duos ramos ex olea enatos dicit Zorobabelem atque Iesum; quorum prior a divina gratia in regnum fuerat provectus; alter vero sacerdotii gratia divino ministerio addictus. Propterea pinguedinis quoque eos appellat filios, id est ex duobus maximis et apud homines honorandissimis ortos, regno ac sacerdotio; qui pariter Deo deservire iussi sunt omnium domino. Atque hoc toto sermone, res Hierusalem gentisque iudaicae maximum bonorum incrementum capturas demonstravit

των αὐτοῖς, κηδεμονίας δὲ πολλῆς ἀξιουμένων ἐν ἅπασιν αὐτῶν παρὰ τοῦ θεοῦ, ἅτε καὶ ἐπανιέναι ἀπὸ τῆς αἰχμαλωσίας μελλόντων ἑτέρων οὐκ εὐαριθμήτων τινῶν, οὓς ἐπ' ἐκείνου τοῦ σχήματος εἶναι τότε συνέβαινεν ἔτι· ἀποδοθείσης δὲ αὐτοῖς καὶ τῆς βασιλικῆς καὶ τῆς ἱερατικῆς ἀξίας, διὰ τῶν ἐκ τῆς θείας χάριτος ἐπὶ τοῦτο προβεβλημένων· ἀλλὰ γὰρ ὥστε μὴ τὴν ὑπερβάλλουσαν μήνυσιν τῶν ἀγαθῶν ῥαθυμοτέρους αὐτοὺς ἀπεργάσασθαι, θαῤῥοῦντας μὲν ταῖς ἐπαγγελίαις ταῖς θείαις, ἀμελοῦντας δὲ τοῦ προσήκοντος, ἀποκάλυψιν ὁρᾷ λοιπὸν, δι' ἧς αὐτοῖς καὶ φόβος ἐνετίθετο πρὸς τὸ φεύγειν μὲν τὰ χείρω, μετιέναι δὲ τὰ κρείττω· λέγει δὲ οὕτως.

ΚΕΦ. Ε'.

“ Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου· καὶ εἶδον, καὶ ἰδοὺ δρέπανον πετόμενον· v. 1. p. 471.
καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπον· ἐγὼ ὁρῶ δρέπανον πετόμενον, μήκους πηχῶν v. 2.
εἴκοσι, καὶ πλάτους πηχῶν δέκα· καὶ εἶπε πρός με· αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσω- v. 3.
πον πάσης τῆς γῆς· διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται· καὶ πᾶς ὁ
ἐπίορκος ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται· καὶ ἐξοίσω αὐτὸ, λέγει κύριος παντο- v. 4.
κράτωρ· καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί
μου ἐπὶ ψεύδει· καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ
καὶ τοὺς λίθους αὐτοῦ. ,, Δρέπανον μὲν ὁρᾷ ἱκανὸν κάτωθεν τὰ προσπίπτοντα ἐκτέμνειν· πετόμενον δὲ, εἰς δήλωσιν τοῦ ὀξέως τὴν τιμωρίαν ἐπάγεσθαι τὴν θείαν τοῖς ταύτης ἀξίοις· πλάτος δὲ καὶ μῆκος, ὡς ἂν καὶ τῷ μεγέθει φοβήσειεν τοὺς ἀκούοντας· λέγει δὲ τὴν τιμωρίαν ταύτην κατά τε κλεπτόντων καὶ ἐπιορκούντων κινεῖσθαι· δήλου γε ὄντος, ὡς οὐ ταῦτα μόνον ἐστὶν ἐν ἀνθρώποις παρανομήματα, πολλὰ δὲ καὶ ἕτερα, φόνος τε καὶ μοιχεία, καὶ τὰ

propheta, hostibus illorum punitis, providentia plurima et omnimoda erga Israhelitas a Deo exprompta; quoniam de captivitate redituri erant alii prope innumeri, qui adhuc in ea conditione tunc erant: dato demum Iudaeis regno ac sacerdotali dignitate, in illorum personis, quas divina gratia ad haec officia promoverat. Sed enim, ne eximia bonorum praedictio ignaviores Israhelitas faceret, ita ut divinis confidentes promissis, officium negligerent, revelationem posthinc videt, ex qua pavor illis incutiebatur, quo vitium fugerent, virtutem amplecterentur. Sic ergo dicit.

CAP. V.

“ Et conversus sum, et levavi oculos meos, et vidi, et ecce falx volans. Dixitque mihi: quid tu vides? Et dixi: video falcem volantem longitudinis cubitorum viginti, et latitudinis cubitorum decem. Dixitque mihi: haec est maledictio quae egreditur super faciem universae terrae: quia omnis fur abhinc usque ad mortem punietur, et omnis periurus abhinc usque ad mortem item punietur. Et educam illam, dicit Dominus omnipotens, et ingredietur in domum furis, et in domum iurantis nomine meo super mendacio, et diversabitur in medio domus eius, et consumet eam, et ligna eius et lapides eius. ,, Falcem videt idoneam deorsum secando quaecumque occurrerent: volantem autem ob denotandum, divinam poenam cito inferri merentibus: denique eius latitudinem longitudinemque dicit, ut magnitudine quoque audientes terrefaciat. Dicit vero hanc poenam adversus fures et periuros commoveri: quamquam alioqui constat, haud haec tantummodo versari inter homines peccata, sed et alia multa, homicidium puta, adulterium, et cetera quae

λοιπὰ δὴ ἃ μηδὲ ἀριθμεῖν ῥᾴδιον· τί οὖν ἐστὶν ὅ φησιν; εἰς δύο ταῦτα κυριώτατα με-
μερίσθαι τὰς ἐντολὰς συμβέβηκε τὰς θείας, εἴς τε τὴν περὶ θεὸν γνώμην, καὶ εἰς τὴν περὶ
* Matth. XXII. 37. τὸν πλησίον ἀγάπην· ὡς καὶ ὁ κύριος εἰπὼν *, ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς
καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· καὶ ἀγαπήσεις τὸν πλη-
p. 472. σίον σου ὡς σεαυτόν· ἐπήγαγεν, ἐν ἐντολαῖς ταύταις ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέ-
μανται· βουληθεὶς τοίνυν συντόμως εἰπεῖν τά τε εἰς τὸν θεὸν καὶ τὰ εἰς τὸν πλησίον, τῇ μὲν
ἐπιορκίᾳ ὡς εἰς θεὸν τεινούσῃ τὰς ἀσεβείας πάσας, λέγω δὲ τὰς εἰς θεὸν πλημμελείας,
συλλήβδην λέγει· τῇ δὲ κλοπῇ, τὰ περὶ τὸν πλησίον· ἐπειδὴ γὰρ ἀφαίρεσις τῶν οὐ προσόντων
ἐστὶν ἡ κλοπή, κλοπὴν κοινῶς ὠνόμασε πᾶσαν τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν· ἵνα συντόμως
εἴπῃ ὅτι ἡ ἀρὰ αὕτη μεγίστη τε καὶ φοβερὰ καὶ παντί γε ἐπιοῦσα, εἴτε εἰς θεὸν τι ἀσεβοίη
εἴτε εἰς τὸν πλησίον κατά τι πταίοι· λέγει δὲ ὅτι καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ
συντελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ τοὺς λίθους αὐτοῦ· ἵνα εἴπῃ, ὅτι μὲν εἶπα τοιούτῳ
ἀμετανοήτως πταίοντι, ἡ τιμωρία ἡ θεία ἄχρις ἂν αὐτὸν σὺν ἅπασιν ἐξαλείψῃ τοῖς
προσήκουσι. Διὰ δὲ τούτων αὐταρκῶς φοβήσας αὐτούς, δείκνυσι διὰ τῶν ἑξῆς ἀφῃρημένην
αὐτῶν τὴν ὑπὲρ τῶν παρεληλυθότων ἁμαρτίαν τε καὶ τιμωρίαν· ὡς ἂν μειζόνως ἔχοιεν εἰδέναι,
ὅτι τῆς ἐπὶ τοῖς προειληφόσι χάριτος τετυχότας προσήκοι ἂν ἐπιμελέστερον ἀντέχεσθαι τῶν
δοκούντων θεῷ. Διὸ ἐπάγει.

v. 5. “ Καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε πρός με· ἀνάβλεψον τοῖς
v. 6. ὀφθαλμοῖς σου καὶ ἴδε τί τὸ ἐκπορευόμενον τοῦτο· καὶ εἶπον, τί ἐστι; καὶ εἶπε, τοῦτο τὸ μέ-
v. 7. τρον τὸ ἐκπορευόμενον· καὶ εἶπεν, αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ· καὶ ἰδοὺ τάλαντον
v. 8. μολίβου ἐξαιρόμενον· καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου, καὶ εἶπεν, αὕτη ἐστὶν
p. 473. ἡ ἀνομία· καὶ ἔρριψεν αὐτὴν εἰς μέσον τοῦ μέτρου· καὶ ἔρριψε τὸ τάλαντον τοῦ μολίβου εἰς
τὸ στόμα αὐτῆς. ” Τὸν αὐτὸν ὁρᾷ πάλιν ἄγγελον, ἀπιδεῖν αὐτῷ κελεύοντα πρὸς τὸ ἐν

haud facile numerari queunt. Quid ergo dicit? In haec duo potissima dividi solent mandata divina, nempe in Dei scientiam, et in caritatem erga proximum. Quare et Dominus postquam dixit, diliges dominum Deum tuum ex toto corde tuo, ex tota mente tua, et ex omnibus viribus tuis, itemque proximum tuum sicut te ipsum; addidit: in his mandatis universa lex pendet et prophetae. Volens itaque hoc loco breviter dicere quae Deum quaeque proximum spectant; periurio quidem quod in Deum tendit, cunctas irreligiositates, id est adversus Deum peccata, compendio dicit: furto autem, quae adversus proximum sunt. Nam quia furtum est rei alienae ablatio, nunc furtum generaliter appellavit quicquid alteri aufertur: ut paucis significet, maledictionem hanc esse maximam ac terribilem et cuilibet impendentem, sive is in Deum impius sit, sive proximum quomodolibet violet. Dicit autem fore ut ea maledictio diversetur domi eius, et consumat illam ac lapides ipsius; id est, dixi huic sine paenitentia peccanti: divina poena eatenus perseverabit, donec peccatorem cum omni re sua consumat. Age vero postquam satis eos terrefecit, ostendit in sequentibus remissam fuisse praeteritam illorum culpam atque poenam; ut magis inde cognoscant, post impetratam praeteritorum veniam, oportere eos diligentius Dei voluntati obsequi. Quamobrem addit.

“ Et egressus est angelus qui loquebatur in me, dixitque mihi: suspice oculis tuis, et vide hoc quod egreditur. Et dixi: quid est? Et ait: haec est mensura quae egreditur. Et ait: haec est iniquitas eorum in universa terra. Et ecce talentum plumbi elevatum: et ecce mulier una sedebat in mensurae medio. Et dixit: haec est

τῇ ὄψει διατρέχειν τῇ παρούσῃ δοκοῦν· εἶθ' ὁ μὲν προφήτης θεασάμενος ἤρετο, τί δὴ
τοῦτό ἐστιν; ὁ δὲ ἀπεκρίνατο, ὅτι μέτρον τοῦτο τῆς τιμωρίας ἣν ὑπομεῖναι προσῆκον ἦν
τοὺς Ἰσραηλίτας ὑπὲρ ὧν διεπράττοντο· εἶτα θεωρεῖ τάλαντον μὲν μολίβδου, ὃ καὶ τῇ
φύσει βαρὺ καὶ τῷ σταθμῷ πολὺν ἔχον τὸν ὄγκον, ὡς ἂν οὕτω τῆς τιμωρίας δείξειεν τὴν
βαρύτητα· γυναῖκα δέ τινα καθεζομένην ἐπὶ τοῦ μέτρου ἣν ἀνομίαν ἔφησεν εἶναι· ἐκ γὰρ τῆς
ἀνομίας ὡς εἰκὸς ἡ τῆς τιμωρίας ἐγίνετο βαρύτης· εἶτα αὐτήν τε ἔρριψεν εἰς τὸ μέσον τοῦ
μέτρου· καὶ τὸ τοῦ μολίβδου τάλαντον τέθεικεν ἐπὶ τοῦ στόματος αὐτῆς, δεικνὺς ὅτι καὶ τὴν ἁμαρ-
τίαν, καὶ τὴν ἐκ ταύτης τιμωρίαν κατὰ ταυτὸν ἠφάνισε, πᾶσαν τε τῶν κακῶν τὴν βαρύτητα εἰς
τὸ ἐκείνης ἐνέθηκε στόμα, ὥσπερ ἐμφράττων καὶ διακωλύων αὐτῇ τὴν λείαν, εἰς ἔνδειξιν τοῦ
πᾶσαν αὐτῆς ἀφῃρῆσθαι τὴν δύναμιν, καὶ μὴ δὲ φωνῆς ἔτι κυρίαν εἶναι, τῷ καὶ τοῖς ὀνειδίζουσιν
αὐτοὺς πρότερον ἐφ' οἷς ἔπαχον ὡς ὑπὸ τοῦ θεοῦ καταλελειμμένους, ἅπασαν ἀνῃρῆσθαι
τοιαύτην φωνήν· ὡς ὁ μακάριος λέγει Δαυίδ· * ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, * Ps. XXX. 19.
τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν. Ἀλλὰ ταῦτα μὲν εἶδεν εἰς ἀπόδειξιν τοῦ τά τε ἀνο-
μήματα καὶ τὰς ὑπὲρ τούτων τιμωρίας τῶν Ἰσραηλιτῶν παντελῶς ἀφῃρῆσθαι. Δεικνὺς δὲ ὅτι p. 474.
ἀφῄρηται μὲν αὐτῶν ἡ τιμωρία, εἰς δὲ τοὺς ἐχθροὺς μετενήνεκται τοὺς αὐτῶν, ἐπάγει.

“ Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον· καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ v. 9.
πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν· καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγας ἔποπος· καὶ ἀνέλαβον
τὸ μέτρον ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ· καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα v. 10.
ἐν ἐμοί, ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; καὶ εἶπε πρός με, οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν v. 11.
γῇ Βαβυλῶνος καὶ ἑτοιμάσαι· καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ. „ Θεωρεῖ
δὴ λοιπὸν ἐπ' ἐκείνοις δύο γυναῖκας, αἳ μετὰ πολλοῦ διίπταντο τοῦ τάχους· τοῦτο γὰρ δηλοῖ

iniquitas. Et coniecit eam in medium mensurae: et proiecit lapidem plumbi in os eius. „ Eundem videt rursus angelum, iubentem ei ut aspiceret quod in praesenti visione discurrere videbatur. Moxque propheta intuitus rogabat: quidnam hoc est? Angelus vero respondit, hanc esse mensuram poenae, quam perpeti merebantur Israhelitae morum suorum causa. Deinde plumbi talentum videt, quod et suapte natura grave est, et ingenti pondere urget, ut sic poenae gravitatem ostendat. Porro quandam mulierem mensurae insidentem videns, hanc ait esse peccatum: nam pro peccati modulo, poenae gravitas, ut par est, deputabatur. Deinde mulierem in mediam mensuram coniecit, plumbique talentum in ore eius posuit; demonstrans, Deum tum peccatum tum consectaneam ei poenam simul sustulisse, totamque malorum gravitatem in illius os contulisse, quasi obstruendo impediendoque eam a praeda, quô significet cunctas ei vires ablatas; ita ut ne vocis quidem suae potestatem retineat; id est, ne forte Israhelitis exprobret, ob ea quae passi erant, derelictionem Dei, omnem quoque vocis facultatem illi ereptam. Sicut beatus ait David: muta fiant labia dolosa, quae loquuntur adversus iustum iniquitatem. Et haec quidem vidit, ut ostenderetur Israhelitarum iniquitates, eorumque poenas prorsus fuisse remissas. Nunc vero, ut palam fiat, poenam Israhelitis remissam, in eorum hostes fuisse collatam, pergit dicere.

“ Et levavi oculos meos, vidique, et ecce duae mulieres egredientes, et spiritus in alis earum. Et ipsae habebant alas, ut sunt alae upupae. Et extulerunt mensuram inter terram ac caelum. Et dixi angelo, qui loquebatur in me: quônam istae mensuram deferunt? Dixitque mihi, ad aedificandum ei domum in regione Babylonis et praeparandum. Et ponent illam ibi super praeparationem illius. „ Videt

τὸ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, ὑφ' οὗπερ ὡς ὠθούμεναι ὀξυτέραν ἐποιοῦντο τὴν πτῆσιν· τούτου δὲ ἕνεκεν καὶ ὡς ἔποπος λέγει τὰς πτέρυγας αὐτῶν εἶναι, ἐπειδὴ ὀξεῖα τοῦ ὀρνέου ἡ πτῆσις· αὗται δή φησιν αἱ γυναῖκες, ἐκεῖνο τῆς τιμωρίας τὸ μέτρον ἁρπάσασαί τε καὶ εἰς ὕψος ἀναγαγοῦσαι, μετὰ πολλῆς τῆς σφοδρότητος καθιπτάμεναι ἀπῆγον· διὰ γὰρ τοῦτο εἶπε, τὸ ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ· ἐπειδὴ ἐξ ὕψους ἐπὶ τὰ κατώτερα εὐμαρεστέρα τοῖς ὀρνέοις ἡ πτῆσις καὶ ὀξυτέρα γίνεται· ἠρόμην οὖν φησιν ὅποι μὲν ἀπίοιεν, ὅποι δὲ ἀπάγοιεν τὸ μέτρον; ἔγνων δὲ παρὰ τοῦ ἀγγέλου ὅτι περ αὐτὸ εἰς τὴν Βαβυλῶνος ἀπάγουσι γῆν, αὐτόθι τε αὐτῷ οἰκίαν οἰκοδομήσουσαι, κἀκεῖ πᾶσαν αὐτῷ τὴν οἴκησιν ὁρίζουσαι· ἵνα εἴπῃ, ὅτι τὴν τιμωρίαν πᾶσαν εἰς Βαβυλῶνα ἀπάξει, μένουσαν αὐτοῖς καὶ οὐ λυθησομένην ἔτι, ὅνπερ
p. 475. δὴ τρόπον λύσιν ἐδέξατο τὰ ὑμέτερα. Ἀλλὰ γὰρ εἰς βεβαίωσιν τῶν εἰρημένων, ἐπάγει πάλιν.

ΚΕΦ. ϛ'.

v. 1. « Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον τέσσαρα ἅρματα ἐκπορευόμενα
v. 2. ἐκ μέσου δύο ὀρέων· καὶ τὰ ὄρη ἦν ὄρη χαλκᾶ· ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυῤῥοί,
v. 3. καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες· καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί,
v. 4. καὶ ἐν ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι ψαροί· καὶ ἀπεκρίθην καὶ εἶπον πρὸς τὸν ἄγγελον
v. 5. τὸν λαλοῦντα ἐν ἐμοί, τί ἐστι ταῦτα κύριε; καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί,
καὶ εἶπε πρός με, ταῦτα ἐστὶν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, οἳ ἐκπορεύονται παραστῆναι
v. 6. τῷ κυρίῳ πάσης τῆς γῆς· ἐν ᾧ ἦσαν οἱ ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆς βοῤῥᾶ· καὶ
οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν· καὶ οἱ πυῤῥοὶ ἐξεπορεύοντο ἐπὶ γῆν νότου· καὶ οἱ
v. 7. ποικίλοι καὶ ψαροὶ ἐξεπορεύοντο, καὶ ἐζήτουν καὶ ἐπέβλεπον τοῦ περιοδεῦσαι τὴν γῆν· καὶ
εἶπε, πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν· καὶ περιώδευσαν τὴν γῆν· καὶ ἀνεβόησε καὶ ἀνεκά-

insuper duas mulieres, quae celeriter admodum volabant: id enim valent verba, spiritus in alis earum, a quo veluti impulsae velociorem faciebant volatum. Ea propter upupae dicit ipsas habere alas, cuius avis celer est volatus. Hae porro, inquit, mulieres illam poenae mensuram rapientes atque in altum efferentes, multa cum vehementia avolabant. Idcirco enim dixit, inter terram ac caelum; quia ex alto ad citima facilior velociorque est avium volatus. Quaesivi itaque, ait, quônam illae abirent, et quônam mensuram transferrent? cognovique ex angelo, eam ab his transferri in regionem babylonicam, ibi domum ei aedificare, ibidemque perpetuum habitaculum eidem definire, id est poenam omnem Babylonem se translaturum, quae illic numquam remissa perseverabit, secus ac vestra finem poena nacta est. En autem ob dicta sua confirmanda, denuo orationem continuat.

CAP. VI.

« Et conversus sum, et levavi oculos meos, et vidi quatuor quadrigas egredientes de medio duorum montium, et montes erant montes aenei. In quadriga prima equi rufi, et in quadriga secunda equi nigri, et in quadriga tertia equi albi, et in quadriga quarta equi varii cinerei coloris. Et respondi dixique angelo qui loquebatur in me: quid sunt haec, Domine? Et respondit angelus qui loquebatur in me, dixitque: hi sunt quatuor venti caeli, qui egrediuntur ut adsistant Domino universae terrae. In qua erant equi nigri, egrediebantur super regionem aquilonis, et albi egrediebantur post eos: et rufi ibant ad regionem austri: et varii, seu cinerei coloris, egrediebantur, et considerabant ut irent circumire terram.

λεσέ με, καὶ ἐλάλησε πρός με λέγων, ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ, ἀνέπαυσαν v. 8.
τὸν θυμόν μου ἐπὶ γῆν βοῤῥᾶ. „

Τέσσαρα ἅρματα λέγει, δηλῶν τὰς ἐν τοῖς τέσσαρσι κλίμασι τῆς οἰκουμένης ἐφεστώσας
ἀοράτους δυνάμεις, καὶ κατὰ θείαν ἅπαντα διαπραττομένας βουλήν· διόπερ ὁ ἄγγελος
ἐρωτηθεὶς παρὰ τοῦ προφήτου τίνα δὴ ταῦτα εἴη, τέσσαρας ἀνέμους ἔφη τοῦ οὐρανοῦ τοὺς
παρισταμένους τῷ κυρίῳ πάσης τῆς γῆς· ἐπειδὴ γὰρ κατὰ τὰ κλίματα τέσσαρας ἀνέμους εἶπεν
τοῦ οὐρανοῦ τὰς ἐν τοῖς τέσσαρσι κλίμασι δυνάμεις, ἃς οὐρανίους οὔσας παρεστάναι λέγει τῷ p. 476.
θεῷ, τουτέστι διηνεκῆ τὴν λειτουργίαν ἐκτελούσας * αὐτῷ· καλεῖ δὲ αὐτὰς τοῦ οὐρανοῦ, ἵνα *cod. ἐκτελοῦντας.
εἴπῃ ἡμῶν ὑπερκειμένας· ὡς ὅτ᾽ ἂν πετεινὰ λέγῃ τοῦ οὐρανοῦ, ἐπεὶ μηδὲν ὑπὲρ οὐρανόν ἐστι
τῶν ἀοράτων καὶ λειτουργικῶν δυνάμεων· κέκληκε δὲ αὐτὰς καὶ ἀνέμους εἰκότως, εἰς δήλωσιν
τοῦ μετὰ πολλοῦ τοῦ τάχους ἁπανταχοῦ παραγίνεσθαι τοῖς συνθήμασιν ὑπηρετουμένας τοῖς θείοις·
ἐκ μέσου μὲν οὖν ὀρέων εἶδεν αὐτὰς ἐκπορευομένας, ὡς ἂν τὸ ὑψηλὸν καὶ δυνατὸν δη-
λώσῃ τῆς φύσεως· τούτου δὲ ἕνεκεν καὶ χαλκᾶ εἶναι τὰ ὄρη ἔφη, ὥστε τὸ στεῤῥὸν αὐτῶν καὶ εὔτο-
νον περὶ τὴν ὑπουργίαν δηλῶσαι· τοὺς μὲν οὖν μέλανας ἐπὶ τὸν βοῤῥᾶν ἐξέπεμψεν, τὴν
κατήφειαν τῇ χρόᾳ δηλοῦντας, ἐν ἧπερ ἤμελλον καθεστάναι πάντας τοὺς αὐτόθι δι᾽ ἧς
ἐπήγαγον αὐτοῖς τιμωρίας· περὶ ὧν καὶ φησὶν ὁ ἄγγελος ὅτι οἱ ἐκπορευόμενοι ἐπὶ γῆν
βοῤῥᾶ, ἀνέπαυσαν τὸν θυμόν μου ἐπὶ γῆν βοῤῥᾶ· ἵνα εἴπῃ ὅτι ἀνάλογον τῷ θυμῷ τῷ
ἐμῷ οἱ ἐπ᾽ ἐκείνους ἀπελθόντες τοὺς τόποις ἅπαντα διεπράξαντο, μεγίσταις αὐτοὺς, καὶ
οἵαις προσῆκον ἦν, περιβαλόντες ταῖς τιμωρίαις· κατόπιθεν δὲ αὐτῶν τοὺς λευκοὺς οἱ τῶν
Βαβυλωνίων ἀναιρουμένων καὶ σφοδραῖς περιβαλλομένων ταῖς τιμωρίαις, συνήργουν τῇ ἀφέσει
τῶν ἀναχωρῆσαι τῆς αἰχμαλωσίας ὀφειλόντων, τὴν προσεσομένην αὐτοῖς λαμπρότητα τοῦ
λοιποῦ τῇ χροιᾷ δεικνύντες τῇ οἰκείᾳ· οἱ πυῤῥοὶ δὲ ἐξεπορεύοντο ἐπὶ γῆν νότου, ὡς θυμοῦ p. 477.

Et dixit: ite et circumite terram. Et circumierunt terram. Clamavitque et vocavit me dicens: ecce qui egrediuntur super regionem aquilonis, pacaverunt furorem meum super regionem aquilonis. „

Quatuor quadrigas dicit, designans invisibiles quae quatuor mundi climatibus praesident potestates, et divinam in cunctis exsequuntur voluntatem. Quamobrem angelus a propheta interrogatus quidnam haec essent, quatuor esse ventos caeli ait domino universae terrae adsistentes. Nam quia, iuxta climatum numerum, quatuor ventos dixit caeli illas quae sunt in quatuor climatibus potestates, eas utpote caelestes Deo adsistere dicit, id est continuum huic ministerium exhibere. Nominat vero caelestes, id est supra nos positas: veluti cum dicit volucres caeli, quia nulla est supra caelum invisibilis ac ministratoria potestas. Ventos quoque recte eas appellavit, ut denotet multa ubique cum celeritate adesse ad obsequendum divinis iussibus. Porro de medio montium vidit eas proficiscentes, ut celsitatem potentiamque naturarum declaret. Ideo montes quoque aeneos dixit, ut firmitatem illarum vigoremque ad ministerium demonstret. Equos igitur nigros ad boream misit, torvitatem colore significantes, in qua constituendi erant omnes illarum partium incolae, propter inflictas illis poenas. De quibus angelus dixit, qui ad boreae regionem ibant, eos furorem meum pacasse super boreae regionem; id est consentanee furori meo eos qui ad illa loca accesserunt, cuncta fecisse, maximis incolas et pro suo merito poenas imponendo. Iam qui post illos decurrerunt equi albi, hi Babyloniis iam de medio sublatis gravesque poenas expertis, favebant libertati illorum qui de captivitate redituri erant; quorum futurum splendorem colore suo porten-

πνέοντες κατὰ τῶν αὐτόθι τοὺς Ἰσραηλίτας διατεθεικότων κακῶς· μεθ' οὓς οἱ ποικίλοι καὶ ψαροὶ ὤφθησαν ζητοῦντες, ὅποι ποτὲ ἀπελθεῖν αὐτοὺς δέοι τῆς γῆς· δηλοῖ δὲ ὅτι καὶ τοῖς ὑπολειπομένοις φροντὶς ἦν πρὸς ποικίλην λειτουργίαν, κατὰ τὴν χροιὰν ἐκτεταγμένοις ἰδεῖν μή πού τι καὶ ἕτερον ἐστὶν γενέσθαι παρ' αὐτῶν ὀφεῖλον, κατὰ τὸ δοκοῦν τῷ θεῷ, εἰς τιμωρίαν τε τῶν ἐναντίων, καὶ εὐεργεσίαν τοῦ τῶν Ἰουδαίων ἔθνους· πρὸς οὓς λέγει, πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν· εἶτα καὶ ἐπήγαγεν, καὶ περιώδευσαν τὴν γῆν, δεικνὺς ὅτι καὶ ἐπετράπησαν τὴν φροντίδα τὴν οἰκείαν ἀγαγεῖν εἰς πέρας, καὶ ἐπιτραπέντες εἴχοντο τούτου.

v. 9. “ Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν
v. 10. ἀρχόντων, καὶ παρὰ τῶν χρησίμων τῆς γῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτὴν παρὰ Ἐλδαΐ
καὶ παρὰ Τωβίου, καὶ παρὰ Ἰδέου· καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Ἰωσίου
v. 11. τοῦ Σοφονίου τοῦ ἥκοντος ἐκ Βαβυλῶνος· καὶ λήψῃ ἀργύριον καὶ χρυσίον, καὶ ποιήσεις στέφα-
v. 12. νον, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ μεγάλου, καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε
λέγει κύριος παντοκράτωρ· ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνα-
v. 13. τελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον κυρίου· καὶ αὐτὸς λήψεται ἀρετὴν, καὶ καθιεῖται καὶ κατάρξει
ἐπὶ θρόνου αὐτοῦ· καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀναμέσον ἀμφοτέρων·
v. 14. ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι καὶ τοῖς χρησίμοις αὐτῆς καὶ τοῖς ἐπεγνωκόσιν αὐτήν· καὶ
v. 15. p. 478. εἰς χάριτα υἱοῦ Σοφονίου, καὶ εἰς ψαλμὸν οἴκῳ κυρίου· καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι, καὶ
οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ κυρίου· καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με
πρὸς ὑμᾶς· καὶ ἔσται ἐὰν ἀκούοντες εἰσακούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν. „

Ὅνπερ δὴ τρόπον ὁ μακάριος Μωσῆς ἐξεληλυθὼς τῆς Αἰγύπτου, κατὰ πρόσταγμα θεῖον εἴληφε παρὰ τοῦ λαοῦ τὰ πρὸς κατασκευήν τε καὶ εὐκοσμίαν τῆς σκηνῆς συντελοῦντα, οὕτω

debant. Tum rufi ad austri regionem pergebant, furorem veluti spirantes adversus eos qui illic Israhelitas adflixerant. Post quos equi varii seu cinerei coloris egrediebantur, deliberantes quonam terrarum se abire oporteret. Significat autem, reliquis etiam curam fuisse varium exhibere ministerium, quod varietate coloris sui innuebant, paratis observare numquid esset praeterea abs se praestandum, iuxta Dei voluntatem, ad hostium poenam et iudaicae gentis beneficium. Quibus ait: ite et circumite terram. Mox et addit: et circumierunt terram; ostendens scilicet concessum illis ut curam suam ad exitum perducerent, et reapse ita se egisse.

“ Et factus est sermo Domini ad me dicens: accipe quae de captivitate sunt a principibus, et abs optimatibus eius, et ab iis qui cognoverunt eam, ab Eldai, et a Tobia, et ab Ideo. Et ingredieris tu die ille in domum Iosiae filii Sophoniae, qui venit de Babylone. Accipiesque argentum et aurum, faciesque coronam, et impones super caput Iesu, Iosedeco geniti, sacerdotis magni. Dicesque ei: haec ait Dominus omnipotens: ecce vir, cui nomen oriens, et subter eum orietur. Et aedificabit domum Domini, et ipse accipiet virtutem, et sedebit ac dominabitur super throno suo. Et erit sacerdos a dextris eius, et inter utrosque erit consilium pacificum. Corona autem expectantibus erit, et optimatibus eius, et qui cognoverunt eam, et in gratiam filii Sophoniae, et in psalmum domui Domini. Et qui procul iis sunt venient, et aedificabunt in domo Domini: et scietis quia Dominus omnipotens misit me ad vos. Et erit, si exaudientes exaudieritis vocem domini Dei vestri. „

Quemadmodum vero beatus Moyses Aegypto egressus, divino iussu accepit a populo quae ad tabernaculi aedificium ornatumque conferebant, ita beatus quoque

αὐτὸν δὴ καὶ ὁ μακάριος Ζαχαρίας κελεύεται παρὰ τῶν ἐκ τῆς αἰχμαλωσίας ἐληλυθότων, εἴτε ἡγουμένων εἴθ' ὅπως δήποτε δι' εὐπορίαν ἐπιτηδείων πρὸς τοῦτο καὶ παρὰ πάντων δὴ τῶν ὅλως ἀπειληφότων τὰ οἰκεῖα· χρησίμους μὲν γὰρ λέγει τῆς γῆς, τοὺς δι' εὐπορίαν συνεισενεγκεῖν τι τῇ χρείᾳ δυναμένους· ἐπεγνωκότας δὲ αὐτήν, τοὺς ἀπειληφότας αὐτήν, ὡς παρ' ἐλπίδας δεξαμένους ἣν ἀπολωλέκεσαν ἤδη· ὥστε παρὰ τούτων ἁπάντων ἑκάστου δὴ τὰ κατὰ δύναμιν εἰσφέροντος λαβεῖν ἐπὶ τῷ τὸν οἶκον τοῦ θεοῦ γενέσθαι τε καὶ κοσμηθῆναι, καὶ κατὰ τὸ προσῆκον· εἰρηκὼς δὲ καί τινων ὀνομασίας τῶν μάλιστα ὡς εἰκὸς ἐπιτηδείων, πρὸς τοῦτο κελεύει εἰς τὸν Ἰωσίου τοῦ Σοφονίου οἶκον εἰσεληλυθότα, ἐληλυθότος μὲν ἐκ τῆς κατὰ τὴν Βαβυλῶνα αἰχμαλωσίας καὶ αὐτοῦ, νικῶντος δὲ τοὺς ἄλλους καὶ εὐπορίᾳ καὶ τῇ περὶ τὸ πρᾶγμα προθυμίᾳ· καὶ δὴ κομισάμενον ἀργύριόν τε καὶ χρυσίον ὁπόσον ἀναδιδῷ, στέφανον ἐξ αὐτοῦ κατασκευάσαι τὸν ἐπικεῖσθαι τῇ τοῦ ἱερέως ὀφείλοντα κεφαλῇ, εἰς τὴν τῆς ἱερωσύνης εὐκοσμίαν τε καὶ εὐπρέπειαν· τοῦτον δὲ γεγονότα ἐπιθεῖναι μὲν τῇ τοῦ p. 479. ἱερέως κεφαλῇ, εἰπεῖν δὲ πρὸς αὐτὸν ὡς ἂν περὶ τῶν προκειμένων, πολλῶν τε ὄντων καὶ μεγίστων, ἔχοι θαρρεῖν· ὅτι γνώμῃ θείᾳ ἀνὴρ ἀναπέφανται, ᾧπερ ἐκ τοῦ πράγματος ὄνομα ἀνατολή· λέγει δὲ τὸν Ζοροβάβελ, ὡς ἐπὶ τῆς βασιλικῆς ἡγεμονίας δι' αὐτῶν λαμπρὸν φανούμενον τῶν πραγμάτων· ἀνατελεῖ δέ φησιν ὑποκάτωθεν αὐτοῦ· ἀντὶ τοῦ πᾶσα λαμπρότης ἐξ αὐτοῦ περιέσται τῷ πλήθει τῶν Ἰουδαίων· τόν τε γὰρ ναὸν οὗτος οἰκοδομήσει, καὶ πᾶσαν ἐκ τῆς θείας ῥοπῆς ἀρετὴν περιθέμενος ἐπὶ τῆς βασιλικῆς καθέδρας διαμενεῖ βεβαίως· ἐκ τούτου δή σοι τὸ θαρρεῖν περὶ τῶν προκειμένων περιέσται· ἔσῃ γὰρ αὐτῷ μετὰ πολλῆς συνὼν τῆς τιμῆς· τοῦτο γὰρ λέγει τὸ ἔσται ἐκ δεξιῶν αὐτοῦ, ὁμονοίας ἐν ἀμφοτέροις ὑμῖν κρατούσης· ὡς σοί τε τὰ πράγματα διὰ τῆς βασιλικῆς ἐξουσίας γίνεσθαι ῥᾷω, ἐκεῖνον τε διὰ τῆς σῆς ἱερουργίας πολλῆς τυγχάνειν τῆς θείας ῥοπῆς· ὁ δέ γε ἐκ τοῦ περιτεθέντος στεφάνου κόσμος, οὐχ αὐτοῦ μόνου, παντὸς δὲ ἔπαινος ἔσται τοῦ πλήθους τῶν τε πρὸς τὴν θείαν

Zacharias iubetur accipere a reducibus de captivitate, sive ducibus sive quomodolibet largiendo idoneis, immo ab universis qui patriam recuperaverant. Optimates terrae dicit eos, qui ob suas divitias conferre aliquid huic usui valebant. Cognoscentes vero eam, dicit qui eam, id est patriam, recuperaverant, ceu qui praeter spem, ea deperdita potiti erant. Sic nimirum a singulis pro sua copia offerentibus accipiendo, domum Dei conditum et pro dignitate exornatum iri. Recitatis vero aliquot etiam hominum nominibus ad id maxime idoneorum, mox iubet ad Iosiae Sophonia nati domum accedere, viri de babylonica captivitate reversi, ceterosque omnes copia rerum et alacritate ad opus superantis. Ab hoc autem quicquid argenti aurique collatum fuerit, coronam inde fieri vult sacerdotis capiti imponendam, ad sacerdotii ornatum ac decus. Hac mox sacerdotis capiti imposita, moneri eum vult, ut de retro expositis rebus multis ac maximis fiduciam sumat. Etenim divina sententia virum apparuisse, cui ex rerum eventu nomen est oriens; dicit vero Zorobabelem, ad regalem principatum ab ipsis rebus gestis splendide evectum. Orietur autem, inquit, subter ipsum; id est claritas omnis ex eo conflet populo Iudaeorum: nam templum hic aedificabit, et omni virtute Deo iuvante ornatus in regali sede manebit firmiter. Hinc tibi confidere praedictis rebus licebit; etenim secum multo cum honore versaberis. Namque ita valent verba, a dextris eius erit, concordia inter vos ambos perseverante, ita ut et res tuae regalis potentatûs ope fiant meliores, et ille propter tuum sacerdotium divino fulcimento fruatur. Iam et impositae coronae ornamentum haud tibi ipsi tantum, sed universo populo laudi

ὁρώντων ἐλπίδα, καὶ τὴν νῦν τὰ ἐνδεχόμενα συμβαλλομένων πρὸς τὴν τοῦ οἴκου κατασκευήν,
καὶ πρό γε πάντων τοῦ Σοφονίου τοσαύτην ἐπιδεδειγμένου τὴν φιλοτιμίαν· ἃ δὴ πάντα γέ-
γονέ τε καὶ γίνεται, ὡς ἂν διηνεκὴς ἥ τε τῶν ἱερέων λειτουργία, καὶ οἱ διὰ τῶν συνιόντων ὕμνοι
p. 480. πρὸς τὸν θεὸν ἐκπληροῦσθαι δύναιντο· καὶ γὰρ δὴ καὶ τῶν πόῤῥωθεν ὄντων πλείστους ὅσους συν-
τρέχοντας ὄψεσθε, τὰ παρ' ἑαυτῶν εἰς τὴν τοῦ οἴκου συνεισφέροντας οἰκοδομήν· ὡς ἐξ αὐτῶν
πρόδηλον ἅπασι γενέσθαι τῶν πραγμάτων, ὅτι γνώμῃ θεοῦ νῦν εὐαγγελιζόμενος ὑμᾶς ἐλή-
λυθα ταῦτα, ἅπερ οὖν καὶ πρὸς πέρας ἐλεύσεται, ἐάνπερ διαμείνητε τοῖς νομίμοις ἐσπου-
δακότες πείθεσθαι τοῖς ἐμοῖς.

ΚΕΦ. Ζ'.

v. 1. Μετὰ τοῦτο λέγει, τετάρτῳ ἔτει βασιλεύοντος Δαρείου ἀπεστάλθαι μέν τινας παρ'
v. 2. ἐνίων τῶν ἐν τοῖς ἀλλοφύλοις τοῦ ἰσραηλιτικοῦ βασιλευόντων, πρὸς τοὺς ἐπὶ τῆς Ἱερουσαλὴμ
v. 3. ἱερεῖς τε καὶ προφήτας· ὥστε ἐξιλάσασθαι μὲν θεὸν θυσίαις ὑπὲρ ὧν ἡμαρτηκόσι συνῄδεσαν
v. 4. ἑαυτοῖς· ἐρωτῆσαι δὲ καὶ μαθεῖν εἰ τὸν οἰκεῖον ἀπείληφε κόσμον ὁ τοῦ θεοῦ ναός, ὡς ἂν καὶ
ταῖς καθηκούσαις ἐπὶ τῇ τοῦ θείου θεραπείᾳ χρήσαιντο νηστείαις· ὅπερ οὖν καὶ πεποιήκασιν ἐπὶ
πλείοσι τοῖς ἔτεσιν ἤδη· γεγονότος δὲ τούτου παρ' ἐκείνων, καὶ δὴ καὶ τῶν ἀπεσταλμένων
παρόντων τέ καὶ τὴν χρείαν ἐκπληρούντων ἐφ' ἥπερ ἦσαν ἀπεσταλμένοι, δι' ἀποκαλύψεως
οἵας τὸν προφήτην κελευσθῆναι ταῦτα πρός τε τὸν λαὸν ἅπαντα τῆς γῆς καὶ τοὺς ἱερεῖς δια-
λεχθῆναι· ἅπερ οὖν κἀκείνους μαθεῖν παρόντας ἐχρῆν, ὡς ἂν τὸ λεγόμενον, μὴ τῶν οἰ-
κείων μόνον, ἀλλὰ καὶ τῶν ἐληλυθότων ἔχῃ διδασκαλίαν· ἦν δὲ τὰ λεγόμενα ταῦτα· οὐ
v. 5. σπουδή μοι φησὶ νηστεύοντας ὑμᾶς καὶ κοπτομένους βλέπειν, οὐ γὰρ ἐν τούτοις τὴν ἐμαυτοῦ τί-
θεμαι θεραπείαν· ἐπὶ ἑβδομήκοντα γοῦν τοῖς ἔτεσιν ἐν τῇ αἰχμαλωσίᾳ γεγονότες, οὐδὲ

erit, divinam spem prae oculis habenti, et nunc pro viribus ad templi aedificium stipem conferenti, Sophonia in primis tantum rei studium prae se ferente. Quae omnia et facta sunt et fiunt, ut perpetuum sacerdotum sit ministerium, et congregatorum in templo hymni ad Deum extolli possint. Immo et longinquos plurimos huc concurrentes videbitis, symbolam suam ad templi aedificationem conferentes. Quare ex factis ipsis perspicuum omnibus fiet, me Dei sententia haec nunciaturum ad vos venisse; quae quidem exitum suum nanciscentur, si vos certe legitimis meis obedientes constanter fueritis.

CAP. VII.

Postea dicit, quarto Darii regnantis anno missos fuisse aliquos a quibusdam qui inter alienigenas israheliticae genti imperitabant, ad sacerdotes in urbe Hierusalem atque prophetas, ut Deum sacrificiis placarent pro suis quorum conscii erant peccatis; atque ut exquirerent, num satis conveniente ornatu templum Dei instructum esset, quô ipsi ad Dei honorem congrua ieiunia peragerent; quod pluribus iam annis fecerant. Quod quum illi egissent, praesentibus qui missi fuerant, et negotio cuius causa venerant peracto, per revelationem propheta iussus est haec omnia apud universum terrae populum sacerdotesque enunciare, quae scilicet ipsos quoque scire oportebat; ut quae dicerentur, non popularibus tantum verum etiam advenis magisterio forent. Erant autem dicta haec. Nil mea interest ieiunantes vos et gementes videre; neque enim in his cultus mei rationem positam esse iudico. Certe annis septuaginta captivitate detenti nullum ieiunium observastis; attamen

μίαν ἐπεδείξασθε νηστείαν· καὶ ὅμως οὐδὲν τοιοῦτο παρ' ὑμῶν αἰτήσας, μεταβαλομένους τῆς p. 481.
κακίας ἰδὼν, ἀποκατέστησα τοῖς οἰκείοις· εἴτε γὰρ φάγοιτε καὶ πίοιτε, εἴτε καὶ μὴ, ὑμετέρα μὲν τὸ φαγεῖν ἀπόλαυσις, ὑμετέρα ἡ καὶ τὸ μὴ φαγεῖν στέρησις, ἐμοὶ δὲ λόγος τούτων οὐδείς· καὶ δεικνὺς ὅτι οὐ νῦν ταῦτα πρῶτον φησὶ πρὸς αὐτούς.

" Οὐχ οὗτοι οἱ λόγοι εἰσὶν οὓς ἐλάλησε κύριος ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν; v. 6.
ὅταν ἦν Ἱερουσαλὴμ κατοικουμένη καὶ εὐθηνοῦσα, καὶ αἱ πόλεις αὐτῆς κυκλόθεν, καὶ ἡ ὀρεινὴ καὶ πεδινὴ κατῴκειτο; „ Ταῦτα δὲ φησὶ καὶ πάλαι διὰ τῶν προφητῶν ἔλεγον πρὸς ὑμᾶς, ὁπηνίκα ἐπί τε τῆς οἰκείας εὐθηνείας ἦν ἡ Ἱερουσαλὴμ καὶ πᾶσαι αἱ ὑπ' αὐτὴν πόλεις ὡσαύτως, ἅτε καὶ τῆς ὀρεινῆς καὶ τῆς πεδινῆς χώρας τῆς προσηκούσης αὐταῖς πεπληρωμένης τῶν οἰκούντων· καὶ ὅμως ταῦτα τότε πρὸς ὑμᾶς ἔλεγον ὅτι μοι λόγος οὐδεὶς τῆς νηστείας ὑμῶν οὐκ ἀγαθῇ γνώμῃ νηστευόντων· τίνων δέ μοι λόγος, ὧν ἐπιμελεῖσθαι μάλιστα προσήκειν ὑμᾶς
ἐδίδασκον διὰ τῶν προφητῶν. " Κρίμα δίκαιον κρίνατε, καὶ ἔλεον καὶ οἰκτιρμὸν ποιεῖτε v. 9.
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον καὶ πένητα μὴ κατα- v. 10.
δυναστεύετε· καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν. „
Συνεβούλευον γὰρ ὑμῖν ἁπανταχοῦ τοῦ δικαίου ποιεῖσθαι πρόνοιαν πλείστην, συμπαθείᾳ τε
χρῆσθαι πρὸς τοὺς πέλας, καὶ δὴ καὶ πάσης βλάβης τῆς εἰς τοὺς πένητας τε καὶ ἀπροστα- p. 482.
σιάστους ἀπέχεσθαι· καὶ μήνιδος ἢ καὶ ὀργῆς τῆς κατ' ἀλλήλων ἀφεστάναι, ἀφαιροῦντας τὴν μνήμην ἑαυτῶν τῶν ἐν μέσῳ πως συμβάντων λυπηρῶν· ἀλλ' ἐγὼ μὲν τὴν νηστείαν παρωθού-
μενος, ταῦτα συνεβούλευον ὑμῖν· τί δέ; " Καὶ ἠπείθησαν τοῦ προσέχειν, καὶ ἔδωκαν νῶτον v. 11.
αὐτῶν παραφρονοῦντα, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν, καὶ τὴν καρδίαν αὐτῶν v. 12.
ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου, καὶ τῶν λόγων ὧν ἐξαπέσταλκεν κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ, ἐν χερσὶ προφητῶν τῶν ἔμπροσθεν. „ Οὐδὲ τούτων δὴ λόγον

nihil huiusmodi a vobis expetens, postquam vidi a nequitia resipiscentes, in patriam postliminio revocavi. Nam seu vos comedatis atque bibatis, sive secus, vestra est comedendi voluptas, vestra item a comedendo abstinentia; mihi vero nulli res huiusmodi curae sunt. Atque ut ostendat haud nunc primum haec illis dicere;

Nonne, ait, ista verba sunt, quae locutus est Dominus in manibus prophetarum qui fuerunt prius, quando Hierusalem populo opibusque affluebat; itemque oppida eius finitima et montana et campestria incolis frequentabantur? „ Haec et olim, inquit, per prophetas olim dicebam, quo tempore Hierusalem domestica lautitia abundabat, cunctaeque urbes ei subiectae, quae sive in montana sive in campestri regione, idonea populi multitudine plenae erant. Nihilo tamen minus vobis tunc aiebam, me nullam ieiunii vestri rationem habere, quod sine bono mentis habitu observabatis. Quaenam vero mihi grata essent, quaeque potissimum vobis factitanda, per prophetas vos edocebam. " Iudicium iustum iudicate, et misericordia ac miseratione utimini unusquisque erga fratrem suum, et viduam et pupillum, et advenam, et pauperem ne opprimatis, et malitiae unusquisque fratris sui ne memineritis in cordibus vestris. „ Suasi vobis omni tempore iustitiae plurimam curam gerere, et compassione erga proximos uti, et omni pauperum ac derelictorum detrimento abstinere; item simultatem et iram mutuam vitare, deposita illarum quae vulgo incidunt offensarum memoria. Profecto ego, ieiunium vestrum renuens, haec vobis agenda suadebam. " Et noluerunt adtendere, et averterunt dementer dorsum suum, et aures suas adgravaverunt ne audirent, et cor suum contumax fecerunt ne obedirent legi meae ac verbis quae misit Dominus omnipotens in spiritu suo per

ποιεῖσθαι ἠθέλετε, ἀλλ' ἐκ παραφροσύνης μὲν πολλῆς παντελῶς ἀπεστρέφεσθε τὰ λεγόμενα·
τοῦτο γὰρ λέγει ἔδωκαν νῶτον αὐτῶν παραφρονοῦντα· προσέχειν δὲ τοῖς λεγομένοις οὐκ ἠθέ-
λετε, κρίναντες καθάπαξ ἀπειθῶς ἔχειν πρὸς τοὺς νόμους τοὺς ἐμοὺς, οὓς διὰ τῶν προφη-
τῶν τῶν πρόσθεν ὑμῖν ἐξηγούμην· ἐφ' οἷς τί γέγονε;
" Καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ κυρίου παντοκράτορος. ,, Ὑπὲρ τούτων τῆς τοσαύτης
ὑπομεμενήκατε τιμωρίας, ὑπὲρ ὧν τὰς νηστείας ὑμῶν παρωσάμενος ἐκεῖνα συνεβούλευον ὧν
μάλιστα προσῆκον ἦν ὑμᾶς τῶν νόμων ἀντέχεσθαι· λόγος δὲ ἦν ὑμῖν τῶν νόμων οὐδεὶς τῶν
v. 13. ἐμῶν. " Καὶ ἔσται, ὃν τρόπον εἶπε, καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτως κεκράξονται καὶ οὐ μὴ εἰ-
σακούσω, λέγει κύριος παντοκράτωρ. ,, Ὥσπερ δὲ ἐκεῖνοι τῶν παρ' ἐμοῦ λεγομένων ἀκούειν
p. 483. οὐκ ἤθελον, οὕτω δὴ κἀγὼ γενομένων αὐτῶν ἐν τοιαύταις ἀνάγκαις βοώντων οὐ προσεῖχον·
v. 14. τί δὲ πεποίηκα; " Καὶ ἐκβαλῶ αὐτοὺς ὡς ἐν λαίλαπι εἰς πάντα τὰ ἔθνη ἃ οὐκ ἔγνωσαν·
καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκδιοδεύοντος καὶ ἐξαναστρέφοντος· καὶ ἔταξαν
γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν. ,, Ἠπείλησα γὰρ ἅπαντας ὑμᾶς ὡσπερεὶ συστροφῇ περιβα-
λὼν ἀνέμου μεγίστῃ διασκορπίσαι τε, καὶ αἰχμαλωσίᾳ παραδοὺς εἰς χώραν ἀπαγαγεῖν
ἣν οὐκ ᾔδειτε πρότερον· ἀφανισμῷ τε περιβληθήσεσθαι τὴν γῆν ἀπεφηνάμην τὴν ὑμετέραν,
οὐκ ἀναστρέφοντος ἐπ' αὐτῆς ἔτι τινὸς, οὐ διοδεύοντος διὰ τὴν ὑπερβάλλουσαν ἐρημίαν·
ταῦτα δὴ καὶ ἠπείλησα φησὶ καὶ πεποίηκα· ἣν ἐξελεξάμην γῆν πρότερον εἰς κτῆσιν ὑμε-
τέραν, ἀφανισμῷ παραδέδωκα· τὸ γὰρ κεκράξονται καὶ ἀφανισθήσεται, ὡς ἐπὶ μέλλοντος
λέγει, τὸ γεγονὸς ἐξηγούμενος, τὸν χρόνον κατὰ τὸ εἰωθὸς ἐναλλάττων· ὃ πολλαχοῦ γινόμενον
ἐπὶ τῆς θείας γραφῆς παρά τε τῷ μακαρίῳ Δαυὶδ καὶ τοῖς λοιποῖς προφήταις διὰ πολ-
λῶν ἐδείξαμεν ἤδη· ὅπερ οὖν καὶ δεδήλωκεν εἰπὼν, καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφα-
νισμόν· ἔδειξε γὰρ ὅτι οὐ μέλλον πρᾶγμα λέγει, ἀλλὰ παρεληλυθός τε ἤδη καὶ γεγονός·

superiorum prophetarum manum. ,, Ne his quidem adtendere voluistis, sed cum insania multa dicta illorum aversati estis. Id enim valent verba, averterunt dementer dorsum suum. His quae dicebantur aurem praebere noluistis, mente prorsus obfirmata, quominus leges meas sequeremini, quas per superiores prophetas vobis explanabam. Quid vero hinc accidit?

" Et processit ira magna a Domino omnipotente. ,, Propterea tantum sustinuistis supplicium, quoniam ego ieiuniis vestris contemptis hortabar vos ad legum debitam observantiam: at vos contra flocci fecistis leges meas. " Eritque, quemadmodum ipse dixit, nec ei auscultarunt, ita clamabunt, nec ego exaudiam, ait Dominus omnipotens. ,, Sicut illi dicta mea noluerunt audire, ita ego vicissim clamori eorum in angustiis constitutorum aurem non praebebo. Quid porro egi? " Propellam eos tamquam turbine inter gentes quas non noverant, et terra post eos desolabitur absque transeunte vel revertente: posueruntque terram electam in vastitatem. ,, Comminatus sum, vos omnes quasi venti procella maxima me dispersurum, et captivitati traditos ad regionem expulsurum quam antea ignorabatis, et vastitate terram vestram me obruturum praedixi, nemine postea illinc revertente, aut iter faciente, propter summam locorum solitudinem. Haec et comminatus sum, inquit, et peregi: quam elegeram antea terram ad incolatum vestrum, vastitati tradidi: etenim verba, clamabunt, et, desolabitur, dicit tamquam de re futura, quum reapse de praeterita loquatur, tempus more solito invertens: quod saepe fieri tum apud beatum Davidem tum apud ceteros prophetas in divina scriptura, iamdiu affatim demonstravimus. Quem ipsum tropum heic usurpat dicens: et posuerunt ter-

ἠβουλήθη δὲ δι' ὅλων εἰπεῖν ὅτι τὴν μὲν νηστείαν ὑμῶν παρῃτούμην κακῶς γινομένην, συνεβούλευον δὲ ἃ προσῆκον ἦν πράττεσθαι παρ' ὑμῶν· καὶ ἐπειδὴ τούτοις μὴ προσείχετε, τοιαύτην ὑμῖν ἐπήγαγον τιμωρίαν· ἀλλὰ τότε μὲν ταῦτα φησί· νυνὶ δὲ τί;

ΚΕΦ. Η'.

“ Τάδε λέγει κύριος παντοκράτωρ· ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν· v. 1. p. 484.
καὶ θυμῷ μεγάλῳ ἐζήλωσα αὐτήν. „ Μεταβέβληκά μου τὴν περὶ αὐτὴν σχέσιν, ὥστε καὶ
ἄγαν ὀργίζεσθαι ὑπὲρ ὧν πέπονθε κατὰ τῶν ἠδικηκότων αὐτήν· καὶ ἐπιμένων τοῖς εἰρημένοις, v. 2.
“ τάδε λέγει κύριος, ἐπιστρέψω ἐπὶ Σιὼν καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ· καὶ κλη- v. 3.
θήσεται ἡ Ἱερουσαλὴμ πόλις ἀληθινή, καὶ ὄρος κυρίου παντοκράτορος, ὄρος ἅγιον. „
Ἐπανάξω γάρ μου τὴν περὶ τὸ ὄρος Σιὼν διάθεσιν, καὶ φανοῦμαι πάλιν διὰ τῆς κηδεμονίας
τῆς οἰκείας ἐπὶ τῆς Ἱερουσαλήμ· ἀποδείξω τε αὐτὴν πόλιν ὄντως συνεστῶσαν, καὶ ἐν εὐθηνίᾳ
καθεστῶσαν πολλῇ· τό τε ὄρος ἐφ' οὗπερ ἡ πόλις οἰκοδομεῖται, ἅγιον ἀποδείξω, ὡς τῆς
παρουσίας ἠξιωμένον τῆς ἐμῆς· καὶ προστιθεὶς ἔτι τοῖς αὐτοῖς “ τάδε λέγει κύριος παντο- v. 4.
κράτωρ, ἔτι καθίσονται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἱερουσαλήμ, ἕκαστος
τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ, ἀπὸ πλήθους ἡμερῶν· καὶ αἱ πλατεῖαι τῆς πόλεως v. 5.
πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. „ Οὕτως δὲ φησὶν
ἀβλαβῆ φυλάξω τὴν πόλιν καὶ πάντας τοὺς οἰκοῦντας αὐτήν, ὥστε μὴ παραπλησίως τοῖς
πρόσθεν ὑπὸ τῶν κατεχόντων κακῶν ἀώρους ὑπομένειν θανάτους· ὡς ἐν εὐθηνίᾳ δὲ πολλῇ
τῆς πόλεως οὔσης, ἀναγκαίως καὶ τοῖς οἰκοῦσιν αὐτὴν παρεκτείνεσθαι τὴν ζωήν· ὥστε καὶ ἀσθε-
νοῦντας, διὰ τὸ μῆκος τοῦ χρόνου τῆς ζωῆς βακτηρίαις ἀναγκάζεσθαι εἰς τὴν τῆς πορείας βοή-

ram electam in desolationem: ostendit enim se non de re futura loqui, sed de praeterita et iam peracta. Vult autem per haec omnia dicere Deus, se ieiunium vestrum renuere vitiose actum; suasisse autem quae vos facere oportebat; et quia morem ei gerere noluistis, tantam vobis imposuisse poenam. Sed tunc quidem haec, inquit, fuerunt. Nunc vero quid?

CAP. VIII.

“ Haec dicit Dominus omnipotens: zelatus sum Hierusalem atque Sion zelo magno; furore magno zelatus eam sum. „ Convertam meum erga illam affectum, ita ut magnopere calamitatum eius causa iniustis eius inimicis irascar. Et sua dicta continuans inquit: “ haec ait Dominus: revertar ad Sion, et habitabo in medio Hierusalem. Et vocabitur Hierusalem urbs vera, et mons Domini omnipotentis, mons sanctus. „ Reducam ad me meum erga Sionis montem affectum, meoque erga Hierusalem patrocinio innotescam; efficiamque eam vere urbis nomine dignam, et multa fruentem rerum copia; montemque ubi urbs condita, sanctum esse ostendam, utpote quem mea praesentia dignatus sim. Pergitque praedicta cumulare. “ Haec ait Dominus omnipotens: adhuc sedebunt senes anusque in plateis Hierusalem, singuli baculos suos manibus tenentes prae dierum multitudine. Et urbis plateae replebuntur puerulis puellisque ludentibus in plateis eius. „ Adeo incolumem servabo, inquit, urbem omnesque ibi incolentes, ut minime, prout antea usuveniebat, immaturos obitus ab impendentibus malis expectent; ita ut urbe prosperitatem plurimam habente, civibus quoque vitae spatium prorogetur: quo fiet ut vitae longaevitate cogantur baculis inniti ob incessus adiumentum. Erit item

p. 485. θεαν· ἔσται δὲ καὶ ἡ πόλις μεστὴ παιδαρίων τε καὶ κορασίων παιζόντων· εὐθηνουμένης γὰρ
καὶ πολυανθρώπου πόλεως σημεῖον καὶ τοῦτο.

v. 6. Εἶτ' ἐπειδή πως πρὸς τὰ παρόντα ἀδύνατα ταῦτα εἶναι ἐφαίνετο " τάδε λέγει κύριος
παντοκράτωρ· εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις,
μὴ καὶ ἐνώπιον ἐμοῦ ἀδυνατήσει, λέγει κύριος παντοκράτωρ; ,, Ἀλλ' εἰ καὶ ἀδύνατα
φησὶ ταῦτα ὑμῖν καταφαίνεται ἀφορῶσι πρὸς τὴν ὀλιγότητα τῶν νῦν συνειλεγμένων ἐπὶ τῆς
πόλεως, ἀλλ' οὐκ ἐμοί γε ἀδύνατον τοσαύτην ἐργάσασθαι τῶν πραγμάτων τὴν μεταβολήν,
ὥστε ἐκ τῆς νῦν ταλαιπωρίας εἰς εὐθηνίαν πολλὴν μεταστῆσαι τήν τε πόλιν καὶ τὰ κατ'
v. 7. αὐτὴν ἅπαντα· καὶ πιστωσάμενος ἐξ αὐτοῦ τὸ δυνατὸν τῶν ἐπηγγελμένων, προστίθησι πάλιν,
ὅτι πολλοὺς μὲν καὶ ἑτέρους τῶν Ἰσραηλιτῶν πολλαχόθεν ἐπ' αὐτὴν συνάξω τῶν ἐπὶ τῆς
v. 8. αἰχμαλωσίας ὄντων ἔτι, οὓς ἀποδώσω τῇ οἰκήσει τῆς γῆς τῆς οἰκείας· ἔσομαι δὲ αὐτοῖς διὰ
τῆς κηδεμονίας γνωριζόμενος, ὡς ἐκείνους τε ἐκ τῶν πραγμάτων δείκνυσθαι αὐτῶν ὄντως
θεόν, ἀφ' ὧν βεβαίαν τε αὐτοῖς παρέχω τὴν οἰκείαν χάριν, καὶ τῇ δικαιοσύνῃ τῇ οἰκείᾳ
κεχρημένος πάντας τιμωροῦμαι τοὺς ὅπως ποτὲ βλάπτειν αὐτοὺς ἐπιχειροῦντας. Ταύταις
v. 9. ἐπισυνάπτει ταῖς ἐπαγγελίαις " τάδε λέγει κύριος παντοκράτωρ, κατισχυέτωσαν αἱ χεῖρες
p. 486. ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν,
ἀφ' ἧς ἡμέρας τεθεμελείωται ὁ οἶκος κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδό-
μηται. ,, Φέρε τοίνυν φησὶ ταύταις ταῖς ἐπαγγελίαις προσέχοντες ταῖς ἐμαῖς, ἃς πολλάκις διὰ
τῶν προφητῶν πρὸς ὑμᾶς ἐποιησάμην, μετὰ πολλῆς τῆς ἐπιμελείας τὸν οἶκον ἐκπληρῶσαι
σπεύσατε τὸν ἐμόν, ἀναλογιζόμενοι ἐξότε περ περὶ ταῦτα ἐσχήκατε καὶ περὶ τὴν κατασκευὴν
τοῦ οἴκου τοῦ ἐμοῦ, ὁπόσην τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐδέξατο τὰ ὑμέτερα.

v. 10. Εἶτ' ἐκ παραθέσεως τῶν προτέρων δεικνὺς τὴν μεταβολὴν " διότι πρὸ τῶν ἡμερῶν

urbs plena puerulis puellisque lusitantibus: namque et hoc lautae cum numeroso populo civitatis indicium est.

Deinde quia, prae praesenti rerum statu, impossibilia haec videbantur. " Haec ait, (pergit dicere), Dominus omnipotens: si impossibile videtur reliquiis populi huius diebus illis, num coram me quoque erit hoc impossibile, dicit Dominus omnipotens? ,, Etiamsi haec impossibilia videantur his qui exiguitatem spectant nunc in urbe congregatorum; attamen mihi certe haud impossibile est tantam operari rerum conversionem, ut ex praesenti miseria ad prosperitatem plurimam et urbem et eius res omnes transferam. Atque ex semet possibilitatem promissae rei confirmans, prosequitur dicens: multos sane alios Israhelitas pluribus ex locis ad hanc urbem contraham, qui adhuc in captivitate versantur, et a me patriae terrae incolatui reddentur. Et propter meam erga illos sollicitudinem clarus fiam, quia illos re ipsa populum meum esse ostendam, quatenus tali tantaque providentia mea fruentur: vereque videbor illorum Deus, dum firmam meam exhibeo eis gratiam; meaque iustitia utens cunctos puniam qui aliquando eos laedere ausi fuerint. Cumulat haec promissa, dicens: " haec ait Dominus omnipotens: roborentur manus vestrae qui auditis his diebus sermones hos ex ore prophetarum, iam inde a die quo fundata est domus Domini omnipotentis, et templum aedificari coeptum. ,, Age nunc, inquit, his promissis meis adtendentes, quae saepe per prophetas vobis significavi, multa cum sedulitate domum meam absolvendam curate; reputantes, a quo tempore huic operae incumbitis domus meae aedificandae, quanto meliores res vestrae evaserint.

ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἦν εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπῆρχε, καὶ
τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἦν εἰρήνη ἀπὸ τῆς θλίψεως· καὶ ἐξαποστελῶ
πάντας τοὺς ἀνθρώπους ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. „ Πάλαι μὲν γάρ φησι καὶ πρὸ τῆς
οἰκοδομῆς τοῦ ναοῦ ἐν πολλῇ καθεστήκειτε ταλαιπωρίᾳ· καὶ οὔτε τῇ τῶν κτηνῶν τῶν ὑμετέρων
ἐργασίᾳ προσκείμενοι ἐκ τῶν πολλῶν τι πόνων ἀπεφέρεσθε κέρδος· ἀνόνητα γὰρ ὑμῖν
ἅπαντα ἐποίει τὸ μὴ δὲ μιᾶς μὲν εἰρήνης ἀπολαύειν, ἐν θλίψεσι δὲ πάντοτε ἐξετάζεσθαι
ποικίλαις ἅπαντας τοὺς ἐπὶ τῆς πόλεως εἰσιόντας τε καὶ ἐξιόντας τοὺς ἐν ὑμῖν, ἵνα εἴπῃ τοὺς
ἐπὶ τῆς πόλεως ἀναστρεφομένους· ηὔξανε δὲ ταῦτα ὑμῖν τήν τε θλῖψιν, καὶ τὸ μὴ ἐν εἰρήνῃ
καθεστάναι, τὸ πολλοὺς ὑμῖν ἐπεγείρεσθαι τῶν ἔξωθεν ἀνθρώπων, διὰ τὴν ἀποστροφὴν τὴν ἐμήν·
ἔοικε δὲ ταῦτα κατὰ τὴν ἔννοιαν τοῖς τοῦ μακαρίου Ἀγγαίου τοῦ προφήτου σαφῶς ὀνειδίζων αὐτοῖς p. 487.
τὴν ῥαθυμίαν· ἐμνημόνευσε μὲν τῶν ἐπιγεγονότων αὐτοῖς κακῶν, ὁπηνίκα τῆς οἰκοδομῆς
κατερραθύμουν· ἐδήλωσε δὲ πόσην ἔσχε μεταβολὴν ἐπὶ τὸ κρεῖττον τὰ κατὰ τοὺς ἑλομένους
τῆς οἰκοδομῆς τοῦ ναοῦ φροντίζειν τοῦ θείου· τοῦτο γὰρ κἀνταῦθα ὁ μακάριος Ζαχαρίας λέγει·
ὅτι ἐν πολλαῖς ἦτε φησὶ ταλαιπωρίαις ἀμελοῦντες τοῦ οἴκου· ἐπειδὴ δὲ μεταβαλόντες τὴν
γνώμην, τὴν προσήκουσαν ἔχετε περὶ τὸν οἶκον σπουδήν, τί γέγονε;

“ Καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τού- v. 11.
του, λέγει κύριος παντοκράτωρ· ἀλλ' ἢ δείξω εἰρήνην· ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, v. 12.
καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ· καὶ κατακληρονομήσω v. 13.
τοῖς καταλοίποις τοῦ λαοῦ μου πάντα ταῦτα· καὶ ἔσται ὃν τρόπον ἦτε κατάρα ἐν τοῖς ἔθνεσιν
οἶκος Ἰούδα, καὶ οἶκος Ἰσραήλ, οὕτως διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ. „ Οὐχ ὅμοια
τοῖς πρόσθεν τὰ νῦν περὶ τοὺς ἐπανεληλυθότας γενήσεται, οὓς ἐκ πολλῶν τῶν ἀπολομένων
ὀλίγους περιλειφθέντας αὐξήσω πάλιν ἐγὼ καὶ πρὸς πλῆθος ἄξω, εἰρήνης τε αὐτοὺς πλή-

Deinde ex priorum comparatione conversionem ostendens “ quia ante dies illos, inquit, merces hominum non erat in lucrum, et merces iumentorum nulla erat, et seu egredienti seu ingredienti nulla pax a tribulatione: et mittam omnes homines unumquemque super proximum suum. „ Olim, inquit, et ante templi aedificationem in multa versabamini miseria, et ne ex iumentorum quidem vestrorum opera, neque ex multis laboribus lucrum aliquod reportabatis: nam infructuosa omnia vobis efficiebat pacis cuiusvis desiderium, dum perpetuis variisque tribulationibus vexarentur omnes qui urbem vestram ingrediebantur aut inde exibant, id est urbis cives. Augebat autem tribulationem vestram, quod nulla pace utebamini, multis extra consurgentibus hominibus, dum ego me a vobis averteram. Per haec autem videtur eodem sensu quo beatus Aggaeus propheta, manifeste exprobrare illis ignaviam: memorabat enim Aggaeus subnata illis mala, cum ad aedificationem torpebant: ostendebat simul quanta facta fuisset in melius conversio, postquam coeperant divini templi aedificium urgere. Idem hoc loco beatus Zacharias dicit, nempe vos multas expertos esse calamitates, dum templum negligebatis: sed posquam mutata sententia, debitam suscepistis templi curam, quid tum contigit?

“ Et nunc non iuxta dies priores facio reliquiis populi huius, dicit Dominus omnipotens, sed pacem ostendam. Vinea dabit fructum suum, et terra dabit germina sua, et caelum dabit rorem suum, faciamque ut reliquiae populi mei haec omnia possideant. Et erit, sicut eratis maledictio inter gentes, o domus Iudae et domus Israhelis, ita salvabo vos, et eritis in benedictione. „ Haud aeque ac antiquioribus, ita posteris eveniet, quos ex multis extinctis paucos relictos, rursus ego

ρεις ἐργασάμενος, καὶ τὴν ἀπὸ τῶν καρπῶν εὐθηνίαν αὐτοῖς παρέχων, καὶ πάντων δὴ συν-
τόμως εἰπεῖν τῶν ἀγαθῶν δωρούμενος αὐτοῖς τὴν ἀπόλαυσιν· ἵν᾽ ὥσπερ τὸ παλαιὸν τιμωρίας
p. 488. ἐφαίνεσθε πᾶσιν ἄξιοι διὰ τὴν ὀργὴν τὴν ἐμὴν, οὕτως ἐκ τῆς ἐμῆς κηδεμονίας μακαριστοὶ φαί-
v. 14. νοισθε παρὰ πᾶσιν ἀνθρώποις· καὶ πλέον παραθαῤῥύνων αὐτοὺς " θαῤῥεῖτε καὶ κατισχύετε
ἐν ταῖς χερσὶν ὑμῶν· διότι τάδε λέγει κύριος παντοκράτωρ, ὃν τρόπον διενοήθην τοῦ κακῶσαι
v. 15. ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μετε-
νόησα, οὕτως παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι τῇ
Ἱερουσαλὴμ καὶ τῷ οἴκῳ Ἰούδα. ,, Ἀποθέμενοι δὴ πάντα φόβον καὶ πᾶσαν ἀπόγνωσιν, ἐν
εὐθυμίαις ἔσεσθε καὶ θάρσει πολλῷ· καὶ μετὰ πολλῆς τῆς σπουδῆς ἔχεσθε τῆς οἰκοδομῆς τοῦ ναοῦ·
εὖ εἰδότες ὅτι ὥσπερ πρότερον τιμωρίαν ἀπεφηνάμην καθ᾽ ὑμῶν ὑπὲρ ὧν πλημμελεῖν
τοῖς ὑμετέροις συνέβαινεν εἰς ἐμὲ, καὶ ταύτην ἤγαγον εἰς πέρας, οὐ μεταβαλόμενος τὴν
γνώμην· οὕτω νῦν τὰς ἐπαγγελίας εἰς πέρας ἄξω πάντως ἃς περί τε τῆς Ἱερουσαλὴμ ἀπε-
φηνάμην, καὶ πάσης δὴ τῆς Ἰούδα φυλῆς· ὡς ἡ μὲν ἐν εὐθηνίᾳ γενήσεται, οἱ δὲ πολλῆς
μεθέξουσι τῆς εὐετηρίας.
v. 16. Καὶ δεικνὺς ὅτι ποτὲ ποιοῦντας προσῆκε τῷ βεβαίῳ θαῤῥεῖν τῶν ἐπαγγελιῶν.
" Θαρσεῖτε, οὗτοι οἱ λόγοι οὓς ποιήσετε, λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ,
v. 17. καὶ κρίμα εἰρηνικὸν κρίνατε ἐν ταῖς πύλαις ὑμῶν· καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον μὴ λογι-
ζέσθε ἐν καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε· διότι ταῦτα πάντα ἐμίσησα, λέγει
p. 489. κύριος παντοκράτωρ. ,, Θαῤῥεῖτε δὴ ταῖς ἐπαγγελίαις ταῖς ἐμαῖς· εἰ τούτων δὴ ὧνπερ οὖν
συμβουλεύω πολλὴν ἔχοιτε τὴν ἐπιμέλειαν, ἀδόλως μὲν τὰ πρὸς ἀλλήλους διατιθέντες,
ἀληθινῇ τῇ διανοίᾳ τὴν πρὸς ἀλλήλους ἀποσώζοντες φιλίαν, καὶ δὴ φροντίζοιτε πάσας τὰς
ἐμπιπτούσας φιλονεικίας διαλύοντες εἰς φιλίαν συνάγεσθαι πρέπουσάν γε καὶ πρὸς εἰρήνην

augebo et in multitudinem proveham, pace eos cumulans, et frugum copiam suppeditans; atque ut compendio dicam, omnium bonorum eisdem usum tribuens: ut sicuti olim poena videbamini digni ob iram meam, ita propter patrocinium meum beati videamini cunctis hominibus. Et magis adhuc fiduciam eis augens " confidite, inquit, et roborentur manus, vestrae: quoniam haec dicit Dominus omnipotens; quemadmodum cogitavi vos adfligere quia me patres vestri exacerbaverant, dicit Dominus omnipotens, neque tunc me paenituit, ita constitui ac deliberavi diebus his bene facere urbi Hierusalem et Iudae domui. ,, Omni seposito timore et omni desperatione, in gaudio eritis multaque fiducia, studioseque admodum ad aedificationem templi incumbetis: probe scientes, quod sicut antea poenam in vos exprompsi, propter patrum vestrorum adversus me iniquitates, atque illam reapse immobili sententia consummavi; ita nunc promissa mea prorsus exsequar, quae de Hierusalem significavi deque universa Iudae tribu; quod nempe illa rerum copia diffluet, haec multa felicitate fruetur.

Atque ut suadeat debere eos, qui recte facerent, firmitati promissorum confidere " confidite, inquit; isti sunt sermones quos facietis: loquimini veritatem unusquisque ad proximum suum, et iustum iudicium iudicate in portis vestris. Et unusquisque malum proximo suo ne machinemini in cordibus vestris, et mendax iusiurandum ne diligatis, quia haec omnia odi, dicit Dominus omnipotens. ,, Confidite promissis meis; si certe consiliorum quae vobis suasi rationem habueritis, sine dolo invicem tractantes, et verace mente mutuam caritatem servantes; et si operam dederitis, ut incidentibus iurgiis praecisis in amicitiam coëatis debitam et

συνῆσαν, τῶν ἀμφισβητουμένων ποιούμενοι τὴν διάλυσιν, τά συμβαίνοντά τε παραλογίζεσθε τῶν πταισμάτων, καὶ πᾶσαν ἔχοιτε φροντίδα τοῦ μὴ μετ' ἐπιορκίας ὀμνύναι· ταῦτα γὰρ ἐμοὶ μὲν διὰ μίσους ἐστὶν ἄγαν· ὑμεῖς δὲ εἰ τοῖς λοιποῖς πειθόμενοι τοῖς ἐμοῖς βούλοισθε σπουδῇ διαπράττεσθαι τὰ παρηγγελμένα ὑμῖν ἀγαθῶν.

" Καὶ ἐγένετο λόγος κυρίου παντοκράτορος πρός με λέγων· τάδε λέγει κύριος παν- v. 18.
τοκράτωρ· νηστεία ἡ τῆς τετάρτης, καὶ νηστεία τῆς πέμπτης, καὶ νηστεία τῆς ἑβδόμης, καὶ νηστεία v. 19.
ἡ τῆς δεκάτης ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εἰς εὐφροσύνην καὶ ἑορτὰς ἀγαθάς, καὶ εὐφρανθήσεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε. ,, Ἐπειδὴ γὰρ ἐν τοῖς ἀνωτέροις παρόντων τῶν ἀλλοφύλων, οὓς οἱ τῶν ἐθνῶν ἀπεστάλκεσαν βασιλεῖς, παρῃτήσατο μὲν τὴν νηστείαν, ἀντεισήγαγε δὲ ἃ χρῆναι πράττεσθαι ἀναγκαῖον ἡγεῖτο, ὡς ἂν καὶ τοὺς οἰκείους κατὰ ταυτὸν καὶ τοὺς ἀλλοφύλους παρόντας παιδεύσειν, ἀναγκαίως μετὰ τὴν τῶν καθεξῆς διδασκαλίαν ἐπάγει ταυτί, δεῖξαι βουλόμενος ὡς οὐ τὴν νηστείαν ἁπλῶς παραιτεῖται, ἀλλ' ὅτ' ἂν γίγνηται p. 490.
μὴ δεόντως· εἰ δὲ μετὰ τοῦ προσήκοντος γίγνοιτο, καὶ μάλα γε αὐτὴν ἀποδέχεται γιγνομένην· τοῦτο τοίνυν φησὶν ὅτι πρότερον μὲν ὑπὲρ τῶν ἁμαρτημάτων νηστεύοντες ἐπενθεῖτε τῶν οἰκείων, ὑπὲρ ὧν δὴ καὶ τοσαύταις ἦτε περιβεβλημένοι ταῖς συμφοραῖς· νῦν δὲ ἐπειδὴ τῆς ἐπανόδου τετυχήκατε, ἁρμόττον εἴη ἂν ὑμῖν πένθει μετιέναι τὴν νηστείαν, ἀλλὰ μεθ' ἡδονῆς τε καὶ εὐφροσύνης, ἑορτῆς ἄξιον τιθεμένοις τὸ νηστεύειν ὡς αὐτάρκες ὂν οἰκειοῦν θεῷ· ἁρμόσει γὰρ ὑμῖν τὸ μεθ' ἡδονῆς νηστεύειν, εἰ ἀληθείας τε καὶ εἰρήνης ποιοῖσθε λόγον· καὶ δεικνὺς τῶν ἀγαθῶν τὸ μέγεθος ἐφ' οἷς προσῆκεν αὐτοὺς ἑορτάζοντάς τε καὶ εὐφραινομένους χρῆσθαι ταῖς νηστείαις, ἐπάγει.

" Τάδε λέγει κύριος παντοκράτωρ· ἔτι ἥξουσι λαοὶ πολλοί, καὶ κατοικοῦντες πόλεις v. 20.
πολλάς· καὶ συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν (1) λέγοντες· πορευθῶμεν v. 21.

pacis sociam, et sublatis litibus offensas quae occurrere solent neglexeritis; omni denique diligentia periurium vitaveritis. Haec enim ego vehementer odi. Vos vero si reliquis monitionibus meis obedientes, studiose eas observabitis, promissa vobis bona consequemini.

" Et factus est sermo Domini omnipotentis ad me dicens: haec dicit Dominus omnipotens: ieiunium quarti, et ieiunium quinti, et ieiunium septimi, et ieiunium decimi erunt in domo Iudae in gaudium et laetitiam et bonas sollemnitates, et laetabimini, et veritatem pacemque diligetis. ,, Quia in superioribus, propter alienigenarum praesentiam quos gentium reges miserant, reprobaverat Deus ieiunium, et ea opera substituerat, quae fieri oportere censebat, ut suos simul et alienos qui aderant erudiret, necessario in subsequente monito sic loquitur, demonstrare volens haud se ieiunium simpliciter improbasse, sed illud tantum quod incongrue fiebat: secus vero si convenienter agatur, tunc se libenter excipere. Hoc ergo ait: vos antea pro peccatis vestris cum luctu ieiunabatis, quorum causa tantis correpti fuistis calamitatibus: nunc autem reditum consecutis congruit vobis haud cum luctu ieiunium peragere, sed libenter iucundeque, festo dignum reputantes ieiunium, quia nos Dei propinquos facere idoneum est. Decebit enim vos ieiunare laetanter, si veritatis ac pacis respectum habebitis. Atque ut ostendat bonorum magnitudinem, quorum gratia decet eos in sollemnitate ac laetitia ieiuniis uti, sic prosequitur.

(1) Ita Theodori codex heic et infra, consentiens cum hebraeo et antiquis interpretibus. Attamen graecus textus, etiam vaticanus, κατοικοῦντες πέντε πόλεις εἰς μίαν. Sed in complutensi deest πέντε, quod tamen legebat arabs interpres.

πορευόμενοι δεηθῆναι τοῦ προσώπου κυρίου, καὶ ἐκζητῆσαι τὸ πρόσωπον κυρίου παντοκρά-
τορος· πορεύσομαι κἀγώ. ,, Θαυμαστὸν γὰρ οὐδέν φησιν εἰ παρ' ὑμῖν γίνοιτο ταῦτα, ὅπου
γε πολλοὶ καὶ τῶν ἀλλοφύλων ἐν διαφόροις πόλεσιν οἰκοῦντες, ἐπὶ ταυτὸν ἀφ' ἑκάστης πόλεως
γεγονότες· τοῦτο γὰρ λέγει τὸ συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν· διεγεροῦσι (δὲ
καὶ προτρέψονται) ἀλλήλους εἰς τὴν ἐνταῦθα παρουσίαν, ὡς ἂν καὶ αὐτοὶ διαμένοιέν τε δεόμενοι τοῦ
θεοῦ, καὶ παρ' αὐτοῦ πᾶν ὅ τι ἀναμένοντες ἀγαθόν· ὥσθ' ἕκαστον προτρεπόμενον τὸν ἕτερον
p. 491. λέγειν, πορεύσομαι κἀγώ, ἵνα εἴπῃ ὅτι ἕκαστος προθυμίᾳ τῇ περὶ τὸ πρᾶγμα κεχρη-
v. 22. μένος, ἐπὶ τὰ ὅμοια διεγερεῖ καὶ τοὺς ἄλλους· εἶτα ὅτι πλεῖστοι ὅσοι ἐκ πολλῶν καὶ δια-
φόρων ἐθνῶν παρέσονται εἰς τὴν Ἱερουσαλὴμ ἐξιλεούμενοι τὲ τὸ θεῖον ἐπὶ τῶν ἑαυτῶν ἁμαρ-
v. 23. τίαις, καὶ πᾶν ὅτου ἂν δέοιντο παρ' αὐτοῦ ζητοῦντες· οἷς ἐπάγει. " Τάδε λέγει κύριος παν-
τοκράτωρ· ἐν ταῖς ἡμέραις ἐκείναις ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν ἐθνῶν, καὶ ἐπι-
λήψονται τοῦ κρασπέδου ἀνδρὸς ἰουδαίου λέγοντες, πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν
ὅτι ὁ θεὸς μεθ' ὑμῶν ἐστιν. ,, Οὕτω γὰρ λαμπρὰν τῶν ὑπολειπομένων ποιήσεται θεὸς τὴν
ἐπάνοδον, ὥστε πολλοὺς ἐκ διαφόρων ὄντας ἐθνῶν καὶ τῆς συμφορᾶς κεκοινωνηκότας ἐκεί-
νης, θεασαμένους τοῦ θεοῦ τὴν περὶ τὸν λαὸν κηδεμονίαν, ἐπιλαβέσθαι τε ὅτου δήποτε τῶν ἐξ
αὐτῶν, καὶ ἡγουμένῳ χρήσασθαι ἐκείνῳ εἰς τὴν ἐπὶ τὴν Ἱερουσαλὴμ ἐπάνοδον, διεγειρομένων
αὐτάρκως ἁπάντων ἐπὶ τοῦτο ἐκ τοῦ γνῶσιν ἀκριβῆ λαβεῖν τοῦ μεθ' ὑμῶν εἶναι τὸν θεὸν διὰ
τοῦ παραδόξου τῶν περὶ ὑμᾶς γινομένων· καὶ γὰρ κἀνταῦθα τὸ δέκα ἄνδρες οὐκ ἐπὶ ἀριθμοῦ
λέγει, ἀλλ' ἵνα εἴπῃ πολλοί· εἶτα μέμνηται τῶν ἐν τοῖς ἔθνεσι τῶν μὲν ἐργασομένων τοῦτο
δέει τοῦ θεοῦ, τῶν δὲ δι' ὑπεροψίαν οὐ ποιησαμένων τούτου λόγον· διὸ φησί.

" Haec ait Dominus omnipotens: adhuc venient populi multi, et habitatores urbium multarum. Et qui habitant unam convenient ad alteram civitatem, dicentes: euntes eamus ut deprecemur faciem Domini, ut quaeramus faciem Domini omnipotentis. Pergam et ego. ,, Nil mirum, inquit, haec apud vos contingere, siquidem multi alienigenae diversis in urbibus habitantes, ex unaquaque urbe in unum coibunt: ita enim valet dictio qui habitant unam convenient ad alteram civitatem. Hi excitabunt mutuoque hortabuntur ad huc adventandum, ut et ipsi in orando Deo perseverent, atque ab eo quodlibet bonum expectent. Quare alterutrum hortabuntur dicentes: pergam et ego; id est unusquisque sedulitate ad huiusmodi opus utens, ad par studium ceteros quoque excitabit. Deinde dicit, plurimos ex multis diversisque gentibus ventaturos Hierusalem Deum propitiaturi pro peccatis suis, et de qualibet ipsorum necessitate deprecaturi. Mox addit. " Haec ait Dominus omnipotens: diebus illis apprehendent decem viri ex omnium gentium linguis, apprehendent inquam fimbriam viri iudaei dicentes: veniemus tecum, quia audivimus Deum vobiscum esse. ,, Adeo illustrem faciet reliquiarum Israhelis reditum, ut multi diversis oriundi gentibus, et illius calamitatis participes, animadversa Dei erga populum suum providentia, apprehenso ipsorum quolibet, eo duce utantur reditus ad urbem Hierusalem, cunctis satis ad id concitatis ex evidenti notione quod vobis adsit Deus, teste operum erga vos mirabilitate. Etenim hoc etiam loco decem viros haud de numero dicit, sed ut multos significet. Exin memorat gentes quae Dei timore ita se gerent, tum et alias quae ob superbiam suam nullius pensi rem hanc habebunt. Propterea dicit.

ΚΕΦ. Θ'.

“ Λῆμμα λόγου κυρίου ἐν γῇ Ἑδράχ· καὶ Δαμασκὸς θυσία αὐτοῦ· διότι κύριος ἐφορᾷ v. 1.
ἀνθρώπους καὶ πάσας φυλὰς τοῦ Ἰσραήλ, καὶ Ἡμὰθ ἐν τοῖς ὁρίοις αὐτῆς. „ Δαμασκηνοὶ v. 2.
μὲν γάρ φησιν οἵ τε τὴν Ἐδρὰχ καὶ τὴν Ἐμὰθ μετὰ πολλῆς τῆς σπουδῆς προσάξουσι τῷ θεῷ
θυσίας ὡς ἂν δεσπότῃ τοῦ παντός, καὶ μὲν ἀνθρώποις ἐφορῶντι ὡς ἂν ἔργα τε καὶ οἰκέτας p. 492.
ἰδίους, ἐξαίρετον δὲ νέμοντι τὴν κηδεμονίαν τῷ Ἰσραήλ. “ Τύρος καὶ Σιδὼν ὅτι ἐφρόνησαν v. 3.
σφόδρα· καὶ ᾠκοδόμησε Τύρος ὀχύρωμα αὐτῆς, καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν, καὶ χρυ- v. 4.
σίον ὡς πηλὸν ὁδῶν· διὰ τοῦτο κύριος κληρονομήσει αὐτούς, καὶ κατάξει εἰς θάλασσαν τὴν
δύναμιν αὐτῆς, καὶ αὐτὴ ἐν πυρὶ καταναλωθήσεται. „ Τύριοι μέν τοι καὶ Σιδώνιοί ἐπειδὴ
μεγάλῳ χρησάμενοι τῷ φρονήματι ὑπερεῖδον τῆς ἐμῆς θεραπείας, καὶ ἀρκεῖν ἑαυτοῖς νο-
μίσαντες τὴν τῶν τειχῶν ἐπεμελήσαντο ἀσφαλείας, χρυσόν τε καὶ ἄργυρον πηλοῦ δίκην
ἀθροίσαντες, ἀνάλογον τῆς ἀπονοίας τῆς οἰκείας δέξονται τὴν τιμωρίαν· κτήσεται γὰρ αὐτοὺς
ὁ θεὸς καὶ ταπεινώσει πάντας αὐτούς, ἐγγύθεν οὔσῃ τῇ θαλάσσῃ πᾶσαν αὐτῶν δύναμιν
παραδούς· ἔσται δὲ καὶ αὐτὴ πυρὸς ἔργον ἐκ τῶν ἐπιόντων αὐτῇ πολεμίων· ταῦτα περὶ Τύρου
τε καὶ Σιδῶνος εἰπών, ἐπάγει.
“ Ὄψεται Ἀσκάλων, καὶ φοβηθήσεται· καὶ Γάζα, καὶ ὀδυνηθήσεται σφόδρα· καὶ v. 5.
Ἀκκάρων ὅτι κατῃσχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βασιλεὺς ἐκ Γάζης·
καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ· καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτῳ· καὶ καθελῶ ὕβριν
ἀλλοφύλων, καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν ἐκ τοῦ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν v. 6.
ἐκ μέσου ὀδόντων αὐτῶν· καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ θεῷ ἡμῶν· καὶ ἔσονται ὡς χιλίαρ- v. 7.
χος ἐν τῷ Ἰούδᾳ, καὶ Ἀκκάρων ὡς Ἰεβουσαῖος. „ Βούλεται μὲν εἰπεῖν ὅτι τοὺς ἀλλοφύ-

CAP. IX.

“ Assumptio verbi Domini in terra Edrach. Et Damascus sacrificium eius. Quia Dominus inspicit homines et omnes tribus Israhelis, atque Emath in finibus eius. ,, Damasceni quidem, inquit, et Edrach incolae atque Emath, multo cum studio Deo sacrificia adducent ceu omnium domino, et homines speculanti ceu opera famulosque suos, peculiari vero Israhelem providentia tuenti. “ Tyrus ac Sidon, quoniam sapientes fuerunt nimis. Et aedificavit Tyrus munitiones suas, et thesaurizavit argentum ut pulverem, et aurum sicut lutum viarum. Propterea Dominus possidebit eos, et detrahet in mare fortitudinem eius, et ipsa igne consumetur. ,, Tyrii quidem atque Sidonii quia magna superbia elati cultum meum contempserunt, sibique sufficere putantes, murorum securitatem procurarunt, aurumque et argentum luti instar coacervarunt, dignam insania sua poenam referent. Occupabit enim eos Dominus, omnesque humiliabit, cunctam illorum substantiam propinquo mari contradens. Ipsa vero (urbs) ignis praeda fiet ab irruentibus in eam hostibus. His de Tyro atque Sidone dictis, prosequitur.

“ Videbit Ascalon, et timebit; et Gaza, et dolebit nimis; et Accaron, quoniam confusa est super ruina sua: et peribit rex de Gaza, et Ascalon non habitabitur: et habitabunt alienigenae in Azoto. Et destruam iniuriam alienigenarum, et auferam sanguinem eorum de ore ipsorum, et abominationes eorum de medio dentium ipsorum. Et relinquentur et isti Deo nostro: et erunt ut tribunus in Iuda, et Accaron sicut Iebusaeus. ,, Dicere vult, fore ut alienigenas poena maxima cor-

p. 493. λοις ἐκδέξεται τιμωρία μεγίστη, παραλελοιπότας δὴ τὴν περὶ τὸν θεὸν θεραπείαν· λέγει δὲ αὐτὰ ποικίλως ἀπαριθμούμενος τὰς πόλεις· ὅτι φόβῳ μὲν Ἀσκάλων ληφθήσεται, ἐν ὀδύναις δὲ ἔσται Γάζα, Ἀκκάρων τε ἐν αὐτοῖς αἰσχυνθήσεται ἐφ' οἷς ἥμαρτε καὶ δοῦσα δίκην· ἀφανισθήσεται δὲ καὶ ὁ τῆς Γάζης ὁ βασιλεύς, Ἀσκάλωνος μὲν οὐκ οἰκουμένης ἔτι· ἀλλοτρίων δὲ τὴν Ἄζωτον οἰκούντων· ταῦτα δὲ ἐπήγαγεν οὐχ ὅτι τόδε μὲν ἔσται, τὸ δὲ οὔ· οἷον εἰπεῖν Γάζῃ τόδε, καὶ τόδε οἷον εἰπεῖν Ἀσκάλωνι, ἀλλὰ κατὰ τὸ οἰκεῖον ἰδίωμα ἐν τῇ διαιρέσει τὸ κοινὸν εἰπών, ὅτι ταῦτα περὶ πάντας ἔσται τοὺς ἀλλοφύλους· ὅθεν μετὰ τὴν ἀπαρίθμησιν ἐπάγει, καὶ καθελῶ ὕβριν ἀλλοφύλων· ἵνα εἴπῃ, ὅτι ὑπὲρ πάσης αὐτοὺς τιμωρήσομαι τῆς παροινίας· τιμωρήσομαι αὐτοὺς ἀνάλογον οἷς ἐξέχεαν αἵμασι τῶν Ἰσραηλιτῶν, ἔτι συγκαθελὼν αὐτοῖς καὶ τὰ εἴδωλα πάντα, ἃ δὴ θρησκεύειν ἐδόκουν· ὥστε ἐκ τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας, πολλοὺς καὶ τούτων ληφθέντας τῷ δέει τῶν γινομένων, ἐπὶ τὴν τοῦ θεοῦ καταφυγεῖν λατρείαν, οἳ μεθ' ἡμῶν ἀριθμήσονται χιλιάρχου τινὸς ἐπέχοντες τάξιν· οὕτως ἑαυτοὺς τῆς ἡμετέρας ἐργασάμενοι μερίδος· περισωθήσονται δὲ οὐχ ἧττον τοῦ Ἰεβουσαίου καὶ οἱ ἐξ Ἀκκάρων τοιοῦτοι· καὶ γὰρ κἀνταῦθα ἀπὸ τῆς μνήμης τῆς Ἀκκάρων τοὺς ἐκ τῶν πέντε σατραπειῶν νεύσαντας πρὸς τὸ δέον, εἰπεῖν ἠβουλήθη, δηλῶν ὅτι συναριθμήσονται τε τῷ λαῷ τῷ ἰσραηλιτικῷ, καὶ περισωθήσονται ἐκσπασθέντες τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας, οἳ ἂν ἐξ αὐτῶν σωφρονισθέντες νεύσωσι πρὸς τὸ δέον.

v. 8. p. 494. “ Καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα τοῦ μὴ διαπορεύεσθαι μηδὲ ἀνακάμπτειν· καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς οὐκέτι ἐξελαύνων, διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου. ,, Ἰσχυρὰν δή τινα τοῖς ἐμοὶ προσήκουσιν ἀναστήσω βοήθειαν, ἣ πάντας τοὺς ἀλλοτρίους μακρὰν διώξεται, ἐπιβαίνειν τῶν ὁρίων οὐκ ἐῶσα τῶν ἐμοὶ προσηκόντων, ὡς μή τε ἐπιέναι τινὰ τολμᾶν ἔτι, μήτε ἐπὶ τὴν χώραν ἐλαύνειν τὴν ἐμοὶ προσήκουσαν· ἐπειδήπερ ἅπαξ ἐφορᾶν αὐτοὺς

ripiat, quia nimirum Dei cultum dereliquerant. Varie autem poenas illas exponit, urbes enumerans: nempe quod Ascalon timore occupabitur, Gaza dolebit, Accaronem item pudebit, dum peccatorum suorum poenas luet: quin et Gazae rex deponetur, et Accaron ulterius non habitabitur, et Azotum incolent extranei. Haec autem elocutus est, non quia hoc quidem futurum esset, et aliud secus: quasi dicat Gazae hoc, illud vero Ascaloni; sed idiotismo suo, quod commune est divisim dicit, nempe quod casus huiusmodi cunctis evenient alienigenis. Ideo post illam enumerationem addit: et destruam iniuriam alienigenarum; id est illorum omnem ulciscar vesaniam. Puniam autem illos poena digna ob effusum Israhelitarum sanguinem; idola simul omnia destruens, quae ipsi adorare videbantur. Atque ita ex inflicto ipsis supplicio, multi ex his timore eventuum correpti, ad Dei cultum confugient; qui vobiscum connumerabuntur, tribuni quodammodo ordinem tenentes, dum se ad vestras partes adiungunt. Salvi autem fient, haud secus quam Iebusaeus; quippe et hi Accaronis cives. Nam heic etiam commemorata Accarone, quinque satrapiarum homines ad pietatem conversos dicere vult; significans, fore ut israhelitico populo connumerentur, atque ita salvi fiant, imminenti poenae subtracti, quicumque ex ipsis facti frugi ad rectam vitae rationem spectaverint.

“ Et praestabo domui meae elevationem, quominus in ea fiat cursus et recursus: neque superveniet eis ultra abactor, quia nunc vidi oculis meis. ,, Validum quoddam populo meo suscitabo auxilium, quod omnes extraneos longe submovebit, neque sinet fines familiarium meorum ingredi, ita ut nemo iam invadere audeat, neque regionem vexare ad me pertinentem; siquidem omnino prospicere iis decrevi,

ἐδοκίμασα, τῆς τε προνοίας ἀξιοῦν τῆς ἐμῆς· τὸ γὰρ τῷ οἴκῳ μου, πάσῃ τῇ χώρᾳ λέγει τοῦ
Ἰσραὴλ ὡς αὐτῷ προσηκούσῃ· εἶτα καὶ σαφέστερον ποιῶν δι' ὅτου περ ἔσται ταῦτα, καὶ τίς ὁ
ἐπὶ τοῦτο παρὰ τοῦ θεοῦ προβεβλημένος " χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ v. 9.
Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πρᾶος καὶ ἐπιβεβηκὼς
ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· καὶ ἐξολοθρεύσω ἅρματα ἐξ Ἐφραὶμ, καὶ ἵππον ἐξ Ἱερου- v. 10.
σαλὴμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν· καὶ πλῆθος, καὶ εἰρήνη ἐξ ἐθνῶν. ,, Εὐ-
φραίνου τοίνυν ὦ Ἱερουσαλὴμ τοιούτου σοι βασιλέως παρὰ τοῦ θεοῦ προβεβλημένου, ὃς παρέσται
σοι περισώζειν τε δυνάμενος τὸν οἰκεῖον διὰ τὴν προσοῦσαν αὐτῷ θείαν ῥοπὴν, καὶ πᾶσαν
τοῖς ἐναντίοις τὴν δικαίαν ἐπάγων τιμωρίαν· ὃς ἐπιβέβηκε μὲν ἐπ' εὐτελοῦς τοῦ ζώου, ἅτε νῦν
ἐκ τῆς αἰχμαλωσίας παραγεγονὼς, πολλῆς δὲ ἐπιλήψεται δυνάμεως διὰ τῆς θείας ῥοπῆς,
ὥστε ἀπό τε τοῦ Ἐφραὶμ καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ πάντα μὲν τῶν ἐναντίων ἀφανίσαι τὰ ἅρ-
ματα, πάντα δὲ ἵππον καὶ πᾶν τόξον πολεμικόν· ἵνα εἴπῃ ὅτι πάντας τροπώσεται τοὺς p. 495.
πολεμίους, ὡς μηδενὶ τῶν ἐναντίων, κατὰ τὰ τῆς χώρας εἶναι τῆς Ἰουδαίας ἔτι· ἀφανιεῖ δέ φησι
καὶ πλῆθος πολὺ τῶν ἐναντίων, εἰρήνης τε πάσης ἐκτὸς αὐτοὺς καταστήσει, ἅτε συντριβομένους
τι καὶ ἀπολλυμένους τῷ παρ' αὐτοῦ πολέμῳ.

Ὅτι μὲν οὖν ταῦτα περὶ τοῦ Ζοροβάβελ ἐνταῦθα λέγεται, δῆλον. Ἐγὼ δὲ ἐθαύμασα τῶν ἐπ' ἀλλοκότοις τρεπομένων διανοίας, καὶ τὸ μὲν τι μέρος ἐπὶ τοῦ Ζοροβάβελ ἐκλαμβανόντων, τὸ δὲ ἐπὶ δεσπότου Χριστοῦ· ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ μεριζόντων τῷ τε Ζοροβάβελ καὶ τῷ δεσπότῃ Χριστῷ τὴν προφητείαν· ἔστι δὲ ταῦτα μὲν ἀνοίας τῆς ἐσχάτης· ὁ δὲ ἀληθὴς τῶν τοιούτων νοῦς, ἐκεῖνός ἐστιν ὃν καὶ πρόσθεν εἰρηκὼς οἶδα, ὅτι σκιὰν ὁ νόμος εἶχεν ἁπάντων τῶν κατὰ τὸν δεσπότην Χριστόν· πολλὰ τοίνυν τῶν παραδόξως γινομένων, εἴ τε περὶ τὸν λαὸν, εἴ τε τοὺς ἐπί τισιν ἐκλεγέντας, λέγει μὲν ὑπερβολικώτερον ἐπ' αὐτῶν ἐκείνων ἡ γραφὴ, τῆς λέξεως κατὰ τὸ πρόχειρον τὴν ἀλήθειαν οὐκ ἐχούσης· εὑρίσκεται δὲ ἀληθῆ τὰ τοιαῦτα, ὅτ'

et mea providentia dignari. Nam verba, domui meae, de tota regione dicit Israhelis, utpote ad se pertinente. Mox manifestius pandens, cuius opere haec fient, et quisnam a Deo sit electus; " Laetare, inquit, magnopere filia Sion, praedica filia Hierusalem. Ecce rex tuus venit tibi iustus et salvans: ipse humilis, et insidens iumento et pullo novello. Et perdam quadrigas ex Ephraimo, et equum de Hierusalem: et dissipabitur arcus bellicus: eritque multitudo, et pax ex gentibus. ,, Gaude igitur, o Hierusalem, tanto rege tibi divinitus suppeditato, qui tibi aderit, salvare potens populum suum, ob insitam sibi divinam vim, et omnimodam adversariis inferet punitionem: qui vili quidem animali insidet, ceu nuper de captivitate egressus, sed multam contrahet fortitudinem ex divina vi: in tantum, ut ex Ephraimo et Hierusalem cunctos adversariorum destructurus sit currus, et equitatum universum, et arcum bellicum. Pro eo ac dicat, omnes profligabit hostes, ut nemo deinceps adversarius iudaicae regioni supersit. Perdet, inquit, magnum hostium numerum, ac pace omni privabit, contritos nimrum ac perditos bello quod ipsemet geret.

Iam quod haec de Zorobabele nunc dicantur, exploratum est. Attamen ego miratus sum nonnullos, qui in absurdas abeuntes opiniones, partem quidem dicti huius de Zorobabele intelligunt, partem autem de Christo domino: quod aliud nihil est, nisi inter Zorobabelem et Christum dominum prophetiae divisio; quae summa insania est. Verus autem locorum huiusmodi sensus ille est, quem iam antea me dixisse scio, nempe quod umbra omnium Christi domini rerum lex fuerit. Multa igitur mire acta, sive circa populum, sive circa nonnullos ad aliquod munus ele-

ἂν ἐπ' αὐτοῦ κρίνηται τοῦ δεσπότου Χριστοῦ, ὃς ἐν ἅπασι παύσας μὲν τοῦ νόμου τὴν σκιάν, ἐπει-
σαγαγὼν δὲ τὴν ἀλήθειαν τὴν οἰκείαν, εἰκότως καὶ τὴν φωνὴν τῶν τοιούτων ἐπιδείκνυσι τὴν ἀλή-
θειαν· τοιοῦτόν ἐστι τὸ πρὸς τὸν Ἀβραάμ, ὅτι ἐνευλογηθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί
* Gen. XXVI. 4. σου πάντα τὰ ἔθνη· * δηλοῖ μὲν γὰρ τοὺς ἐξ αὐτοῦ γεγονότας κατὰ τὸ πρόχειρον· ἡ ἀλήθεια
p. 496. δὲ τοῦ ῥήματος ἐπὶ τοῦ δεσπότου συνίσταται Χριστοῦ, ἐφ' οὗπερ ὄντως ἐνευλογηθῆναι γέγονε
* Ps. LXXXVIII. 38. τὰ ἔθνη· τοιοῦτόν ἐστι καὶ τῷ μακαρίῳ Δαυὶδ *, ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου,
καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα· καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα
αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ· τῷ μὲν γὰρ προχείρῳ δοκεῖ τοὺς
διαδόχους λέγειν, ἐφ' ὧν διαμένειν ἤμελλεν ἡ βασιλεία· ἡ δὲ τοῦ πράγματος ἀλήθεια
ἐπὶ τοῦ δεσπότου δείκνυται Χριστοῦ, οὗ ὄντως ἡ βασιλεία παντὸς μὲν ἡλίου λαμπροτέρα
* Ps. XV. 10. καθέστηκε, παντὸς δὲ οὐρανοῦ μονιμωτέρα· τοιοῦτον ἐστὶ τὸ *, οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ
εἰς ᾅδου, οὐδὲ ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν, ὅπερ ὑπερβολικῶς εἰρημένον παρὰ τοῦ μακαρίου
Δαυὶδ ἐπὶ τοῦ λαοῦ τῶν Ἰσραηλιτῶν, ἐπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας ὦπται γεγονὸς
ἐπὶ τοῦ δεσπότου Χριστοῦ· ὅθεν δὴ καὶ τῇ φωνῇ δικαίως ὁ μακάριος ἐχρήσατο Πέτρος λέ-
* Act. II. 31. γων *, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν.

Πολλὰ τοιαῦτα εὕροι τις ἄν, ἃ μακρὸν λέγειν ἐπὶ τοῦ παρόντος, ἃ πρότερον μὲν
ὑπερβολικῶς ἐλέγετο, οὐκ ἔχοντα τοῦ λεγομένου τὴν ἀλήθειαν ἀκριβῆ, εὑρίσκεται δὲ οὕτως
ἔχοντα, ὥσπερ οὖν εἴρηται, ἐπὶ τοῦ δεσπότου Χριστοῦ· τοιοῦτο δή τι καὶ τοῦτό ἐστιν· ὁ μὲν γὰρ
περὶ τοῦ Ζοροβάβελ ἔλεγεν ἐκ τῆς διαδοχῆς τοῦ Δαυὶδ κατὰ γνώμην θεοῦ ἡγουμένου τῶν Ἰου-
δαίων, ὤφθη δὲ τὸ πρᾶγμα ἀναντίρρητον ἔχον ἐπὶ τοῦ δεσπότου Χριστοῦ τὴν ἀλήθειαν· τῆς
p. 497. μὲν γὰρ καὶ ἡ κατὰ τῶν ἐθνῶν τιμωρία μικρά, καὶ ἡ τῶν οἰκείων σωτηρία εὐτελής· ὅθεν καὶ

ctos, recitat hyperbolice de praedictis scriptura, quum tamen dictio in sensu obvio veritatem non contineat: sed ea tum demum vera comperiuntur, cum de ipso censentur Christo domino, qui sublata ubique legis umbra, et propria veritate subintroducta, iure meritoque huiusmodi quoque dictionum ostendit veritatem. Tale est illud Abrahamo dictum, quod benedicentur in te et in semine tuo omnes gentes. Nempe obvius quidem sensus posteros eius designat; verumtamen dicti veritas in Christo domino constat, in quo reapse benedici gentes contigit. Tale est etiam illud beato Davidi dictum: thronus eius sicut sol in conspectu meo, et sicut luna perfecta in aeternum. Et ponam in saeculum saeculi semen eius, et thronum eius sicut dies caeli. Obvio sane sensu videtur successores dicere, in quibus regnum perseveraturum erat: sed tamen rei veritas, in Christo domino apparet, cuius vere regnum sole quolibet splendidius est, et quolibet caelo constantius. Tale denique est: non est derelicta anima eius in inferno, neque caro eius vidit corruptionem; quod hyperbolice dictum a beato Davide de Israhelitarum populo, ipsa rei actae veritate in Christo domino conspectum est. Quare et hoc dicto usus est iure meritoque beatus Petrus dicens non fuisse derelictam animam eius in inferno, neque carnem eius vidisse corruptionem.

Multa huiusmodi comperire licet, quae in praesenti percensere longum esset; quae dicta fuere hyperbolice, quoniam dictae rei veritatem accuratam non continent; sed tamen reapse ita se habent, ut diximus, in Christo domino. Talis est hic, de quo agimus, locus. Propheta quidem de Zorobabele dicebat, homine de stirpe Davidis, Dei voluntate Iudaeorum duce; sed res demum evidente veritate patuit in Christo domino. Nam Zorobabel exiguas de gentibus poenas sumpsit, et

ἀκολούθως ἐπάγει, ὅτι ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραὶμ καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, δεικνὺς ὅτι πρὸς τοῦτο αὐτοῖς συμβαλεῖται τὸ τῶν πολέμων αὐτοὺς ἀπαλλάττειν· ἀληθὴς δὲ ἡ φωνὴ πέφηνεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ἐφ' οὗπερ ὄντως ἔνεστι χαίρειν μόνιμόν τε χαρὰν καὶ διηνεκῆ· ὃς ὄντως δίκαιός ἐστιν, ἅτε μετὰ τούτου πάσῃ κρίνων τῇ οἰκουμένῃ καὶ ὄντως, ὅ γε πάντας ἐξ ἀπωλείας εἰς σωτηρίαν μεθιστὰς διηνεκῆ καὶ βεβαίαν· ἐνταῦθα οὖν εἴρηται περὶ τοῦ Ζοροβάβελ συμμετρουμένης τῆς φωνῆς τῷ ἐφ' οὗπερ λέγεται τὰ γεγραμμένα· ἐν δὲ τοῖς εὐαγγελίοις* ἐπὶ τὸν δεσπότην ἥκει Χριστὸν, ὃς διὰ πάντων ὦπται, καὶ μέγας καὶ ὑψηλὸς καὶ δίκαιος καὶ σώζων καὶ μονίμους τὰς οἰκείας παρέχων εὐεργεσίας, ἀμεταθέτους τε παντελῶς καὶ μεταβολὴν οὐδὲ μίαν δέξασθαι δυναμένας· τοῦτο μὲν οὖν ἀκολουθότατόν τε καὶ πρέπον καὶ λέγειν καὶ νοεῖν· τὸ δὲ μέρος μὲν αὐτοῦ λέγειν εἰρῆσθαι περὶ τοῦ Χριστοῦ, κατιόντας δὲ μεθιστᾶσθαι ἐπὶ τὸν Ζοροβάβελ, καὶ πάλιν ἐπὶ τὸν Χριστὸν ἀπ' ἐκείνου, καὶ πάλιν ἐπὶ τὸν Ζοροβάβελ ἀπὸ τοῦ δεσπότου Χριστοῦ, οὐδὲν ἕτερόν ἐστιν, ἢ πρῶτον μὲν ἀλλόκοτον δεικνύντων τὴν προφητείαν, εἶτα τὰς φωνὰς τὰς γραφικὰς ἐξ ἴσου μεριζόντων, εἴς τε τὸν οἰκέτην καὶ τὸν δεσπότην· ἐπεὶ καὶ τὸ λέγειν εἰς ἀπόδειξιν τοῦ μὴ τῷ Ζοροβάβελ προσήκειν τὰ εἰρημένα, ὅτι ἔρχεται ὁ προφήτης ἔφη, καίτοι γε πάλαι τοῦ Ζοροβάβελ ἀπὸ τῆς αἰχμαλωσίας μετὰ τῶν λοιπῶν ἐπανεληλυθότος, ψυχρολογίας ἐστὶ περιττῆς καὶ ἀπειρίας τῶν θείων γραφῶν.

* Ioh. XII. 15. p. 498.

Τὸ γοῦν ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, οὐχ ὥσπερ μέλλοντος, ὡς προγεγονότος δὲ ἤδη λέγει· οὐ γὰρ ἀχθήσεται εἶπεν, ἀλλ' ἤχθη· ὡς οὐκ ἂν ἁρμόσειεν οὐδὲ τοῦτο τῷ δεσπότῃ Χριστῷ κατὰ τὸν τῶν σοφωτάτων λόγον, οὓς ἐχρῆν εἰδέναι τὴν χρόνων τὴν ἐναλλαγὴν ποικίλην οὖσαν ἐπὶ τῆς θείας γραφῆς, ὅπερ οὖν διὰ πολλῶν ἡμεῖς ἐν τῇ τῶν ψαλμῶν ἑρμηνείᾳ, καὶ ἐπὶ τῶν προφητῶν ἐδείξαμεν αὐτάρκως· ἐνταῦθα μέν τοι γε οὐδὲ ἡ χρῆσις τῆς φωνῆς, εἰ δή τις αὐτὴν κατὰ τὸν χρόνον κρίνοι, ἁρμόττουσα τῇ τοῦ δεσπότου Χριστοῦ παρουσίᾳ· ἡ μὲν γὰρ

suorum tenuem salutem patravit; unde mox addit: perdet currus ex Ephraimo et equum ex Hierusalem; ostendens fore ut his actis contingat illis bello liberari. Verax autem dictio apparuit in Christo domino, in quo vere licet laetari constante perpetuaque laetitia. Is enim vere iustus est, quippe qui universum mundum iudicat vereque salvat, quandoquidem omnes ex perditione ad salutem transtulit firmam atque perennem. Heic igitur de Zorobabele sermo est, coartata dictione ad illum de quo scriptura loquitur. Verum in evangeliis ad Christum dominum trahitur, qui per omnia visus est magnus, excelsus, iustus, ac salvator, stabilia sua praebens beneficia, immobilia prorsus et nulli mutationi obnoxia. Sic, inquam, maxime consentaneum est et loqui et cogitare. At vero partem quidem vaticinii adfirmare de Christo loqui; et mox progrediendo transferre ad Zorobabelem; rursusque ab hoc ad Christum; et denuo ad Zorobabelem a Christo domino; nihil est aliud quam primo quidem absurdam ostendere prophetiam; deinde scripturae vocabula aequis partibus distribuere inter servum ac dominum. Namque et dicere, ob demonstrandum non convenire dicta Zorobabeli, dicere inquam, apud prophetam legi, ADVENTAT, quum tamen iam de captivitate rediisset cum reliquis Zorobabel, hoc satis frigidum superfluumque est, et hominis divinarum scripturarum imperiti.

Certe et illud: tamquam ovis ad occisionem ductus est, non tamquam futurum sed tamquam praeteritum effertur: non enim dixit ducetur, sed ductus est: quare ne hoc quidem Christo domino quadraret, iuxta sapientissimorum horum ratiocinium, quos potius scire oporteret temporum variam enallagen apud divinam scripturam; quod nos copiose satisque in psalmorum ac prophetarum interpretatione

μετὰ πολὺ ἤμελλεν γενέσθαι τὸν χρόνον, ὁ δὲ οὐκ ἐλεύσεται εἶπεν, ὅπερ ἥρμοττεν ἐπὶ τοῦ
μέλλοντος εἰπεῖν, ἀλλ' ἔρχεται, ὅπερ εἴωθεν ἐπὶ τῶν ἐγγὺς καὶ παραχρῆμα γινομένων
λέγεσθαι· κατὰ δέ γε τοῦτον αὐτῶν τὸν λόγον πολλὰ καὶ ἕτερα περιττῶς εὑρεθήσεται κείμενα
παρὰ τῷ προφήτῃ· ἐπεὶ καὶ τοῦ Ἰησοῦ νῦν ἀφαιρεῖσθαι λέγει τὰ ῥυπαρὰ ἱμάτια, ἅπερ ἦν
δήλωσις τῆς αἰχμαλωσίας, νῦν τε αὐτῷ τὸ ἱερατικὸν περιτίθεσθαι σχῆμα· καίτοι γε
δῆλον ὅτι καὶ αὐτὸς μετὰ τοῦ Ζοροβάβελ ἐληλύθει, ἀπαλλαγείς τε τῆς αἰχμαλωσίας καὶ ἐν
τῷ τῆς ἱερωσύνης σχήματι καθεστώς· ὅθεν καὶ ὁ προφήτης μακάριος Ἀγγαῖος κοινῇ πρὸς
τὸν Ζοροβάβελ καὶ πρὸς αὐτὸν φαίνεται λέγων τὸ χρῆναι τῆς οἰκοδομῆς τοῦ ναοῦ φροντίσαι,
καὶ τὸ μέτρον δὲ τῆς τιμωρίας νῦν ἀφαιρεθὲν μετὰ τῆς ἁμαρτίας τοῦ Ἰσραήλ, φησὶν εἰς Βαβυ-
λῶνα ἀπενηνέχθαι· καίτοι γε Κῦρος μὲν ὁ τῶν Περσῶν βασιλεὺς τῆς τε αἰχμαλωσίας
p. 499. ἀπέλυσε τὸν λαόν, καὶ τὴν Βαβυλῶνα καθεῖλε· φαίνεται δὲ ταῦτα ἐπὶ Δαρείου τοῦ βασιλέως
λέγων ὁ προφήτης, ὃς τέταρτος ἦν ἀπὸ Κύρου· ὥστ' οὐκ εἶχε καιρόν, κατά γε τοὺς τῶν
τοιούτων νομοθέτας, νῦν λέγειν γίγνεσθαι ἃ πάλαι καὶ πρὸ πολλοῦ γεγόνει τοῦ χρόνου· ἀλλ'
εὔδηλον ὅτι τὰ μὲν πράγματα γέγονεν, ὁ προφήτης δὲ δι' ἀποκαλύψεως ὁρᾷ νῦν αὐτὰ
γινόμενα, ὡς ἂν καὶ γεγονότων οἱ τοῦ λαοῦ μάθοιεν πάντες, ὅτι μηδὲν ἀπὸ ταυτομάτου γέ-
γονε, θείᾳ δὲ βουλήσει καὶ ὅρῳ ἐπιτετέλεσται δὴ πάντα τὰ περὶ αὐτοὺς ἀγαθά· ὥστ' οὐδὲν
ἀπεικὸς ἦν, καὶ νῦν περὶ τῶν προσεσομένων τῷ λαῷ διὰ τῆς τοῦ Ζοροβάβελ βασιλείας
κατὰ θεοῦ γνώμην εἰς τοῦτο προχειρισθέντος λέγοντα τὸν προφήτην εἰπεῖν ὅτι ἔρχεται δίκαιος
καὶ σώζων, ὡς ἂν δηλώσειεν ὅτι ἐπὶ τούτοις πάρεστι τε καὶ πρὸς τὴν βασιλείαν ἐξείλεκται
παρὰ τοῦ θεοῦ ἐπὶ τὸ ποιῆσαι ταῦτα, ἅπερ οὖν ἐν τοῖς ἑξῆς περὶ τὸν λαὸν δι' αὐτοῦ γε-
νήσεσθαι φησίν.

docuimus. Hoc autem loco ne usus quidem dictionis, si quis eam ad normam temporis exigat, Christi domini adventui congruit; hic enim post multum tempus futurus erat; at propheta non ait aderit, quod de re futura dici oportebat, sed ADVENTAT, quod de rebus instantibus, et quae ilico fiunt, dici solet. Sane iuxta horum interpretandi rationem, plura quoque alia invenientur supervacue apud prophetam posita: quia Iesu quoque nunc detrahi dicit sordida vestimenta, quae captivitatis indicia erant; quamquam exploratum est ipsum pariter cum Zorobabele iam rediisse, captivitate liberum, et sacerdotali habitu indutum. Quamobrem et beatum Aggaeum prophetam communiter tum Zorobabeli, tum Iesu, dicere apparet suscipiendam esse templi aedificandi curam; poenaeque mensuram nunc ablatam, una cum Israhelis peccato, ait Babylonem translatam. Attamen iam Cyrus Persarum rex de captivitate populum emiserat, Babylonemque vastaverat. Porro constat dici haec a propheta regnante Dario, qui fuit quartus a Cyro. Quare intempestivum fuisset, iuxta talis sententiae auctores, dicere nunc fieri, quae olim et multo tempore ante evenerant. Sed enim perspicuum est, res quidem illas iam evenisse, prophetam vero revelatione illustratum easdem nunc cognoscere peractas fuisse: ut sic universus populus certior fieret, nihil eorum quae acta fuerant, casu vel per se contigisse, sed divina voluntate ac decreto comparata esse quaecumque ipsis acciderant bona. Quamobrem haud absurdum est, nunc etiam de populi futuris casibus sub Zorobabelis regno, Dei sententia ad id electi, loquentem prophetam dicere: ADVENTAT iustus et salvator; ut significet, adesse illum ad id negotii, et a Deo regem electum, ut ea praestet, quae in subsequentibus, pro populo ab eo peracta fuisse, dicit.

Ἀλλὰ ταῦτα μὲν εἰς ἀκριβεστέραν εἰρήσθω διδασκαλίαν (1). Ὁ δὲ προφήτης περὶ τοῦ
Ζοροβάβελ λέγων, καὶ περὶ αὐτοῦ δὴ τὰ νῦν προφητεύων, εἰ καί τινα φαντασίαν ὡς προ-
φήτης καὶ αὐτὸς περὶ τῶν μελλόντων εἶχεν, ἐπάγει. “ Κατάρξει ὑδάτων ἀπὸ θαλάσσης ἕως v. 10.
θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς. „ Ὑπερβολικῶς καὶ τοῦτο κατὰ τὸ εἰωθὸς
εἰρηκὼς, ὅτι πολλῶν περιγενήσεται τῶν ἐναντίων, καὶ πολλὴν καθέξει χώραν, Ἰουδαίοις τὴν
οἴκησιν αὐτῆς παραδιδούς. Τοιοῦτος ἐστὶ καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ ὁ ἑβδομηκοστὸς α΄
ψαλμὸς, ἐν εὐχῆς σχήματι δήλωσιν ἔχων τῆς κατὰ τὸν Σολομῶντα εὐετηρίας, ἔνθα φησίν·
πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν· καὶ κατακυ- p. 500.
ριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης· οὐ γὰρ
δηλονότι ὑπερβολικῶς εἴρηται καὶ ταῦτα; εἶτα ἐπάγει. “ Καὶ σὺ ἐν αἵματι διαθήκης σου v. 11.
ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ· καὶ καθίσεσθε ἐν ὀχυρώματι δέ- v. 12.
σμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι. „
Ἐν ἅπασι δὴ τούτοις μάλιστα τὰ περὶ τὸν Γὼγ ἐσόμενα ἐν ταῖς τοῦ Ζοροβάβελ ἡμέραις μη-
νύει· πρὸς ὃν λέγει ὅτι πολλοὺς ἀνελὼν, καὶ πολλῶν αἵματα ἐκχέας, καὶ τῇ τῶν ἐναντίων
ἀναιρέσει ὥσπερ τισὶ συνθήκαις βεβαιώσας ἑαυτῷ τὴν τοῦ λαοῦ βασιλείαν, ἀπαλλάξει μὲν
ἅπαντας κινδύνων μεγίστων, ἐν οἷς ὥσπερ ἐν λάκκῳ τινὶ διάγουσιν ὕδωρ οὐκ ἔχοντι, ἵνα
εἴπῃ ἀπαραμυθήτοις κακοῖς ψυχαγωγίαν ἔχουσιν οὐδὲ μίαν· διαμενεῖτε δὲ οἱ πάλαι δέ-
σμιοι τῆς τῶν Ἰουδαίων συναγωγῆς μετὰ πολλῆς τῆς ἀσφαλείας διάγοντες ἐν τοῖς οἰκείοις τῇ
προεστῶτος ὑμῶν ἀσφαλείᾳ· ὥστε ἀνθ᾽ ὧν πεπόνθατε, ὁπηνίκα ἐν αἰχμαλωσίαις ἦτε
διάγοντες, μείζονά σου πολλῷ τῶν παρόντων ἀγαθῶν γενέσθαι τὴν ἀντίδοσιν.

Sed hactenus a nobis ob tradendam accuratiorem doctrinam dictum sit. Iam propheta de Zorobabele loquens, deque eodem nunc vaticinans, siquidem phantasiam quandam de futuris rebus ipse quoque ceu propheta habebat, addit: “ dominabitur aquis a mari ad mare, et a fluminibus usque ad exitus terrae. „ Hyperbolice hoc etiam more suo dicit, quod nempe multos superabit hostes, multamque obtinebit regionem, quam Iudaeis incolendam tradet. Talis est etiam apud beatum Davidem septuagesimus primus psalmus, sub precis specie declarans Salomonis prosperitatem, ubi ait: ante solem permanebit nomen eius, et ante lunam per generationes generationum. Et dominabitur a mari ad mare, et a fluminibus usque ad terminos terrae. Nonne et haec hyperbolice dicta fuerunt? Mox subdit. “ Et tu in sanguine testamenti tui emisisti captivos tuos de lacu aquam non habente. Et sedebitis in munitione captivi synagogae: et pro uno die peregrinationis tuae, duplicia tibi retribuam. „ In his omnibus res praecipue Gogi futuras Zorobabelis aetate innuit: cui dicit fore ut multis interemptis, et multorum sanguine effuso, et adversariorum caede, quasi foedere quodam, populi sibi regno adserto, fore inquam ut omnes maximis periculis expediat, in quibus tamquam lacu quodam aquis carente degunt, id est in malis solatio omni et recreatione carentibus. Perseverabitis autem qui olim eratis Iudaei captivi, multa cum securitate in patria sub praesidis vestri tutela. Quare pro iis quae passi estis captivitatis tempore, multo maior vobis praesentium bonorum copia retribuetur.

(1) Granditer libereque more suo criticas hermeneuticae regulas tradidit hoc loco Theodorus; quibus tamen, tum heic tum alibi, non nisi ex communiore norma sanctorum patrum utemur. Conferantur certe in hoc Zachariae capitulo Hieronymus, Theodoretus, Cyrillus. Ad Iohannis autem XII. 15. locum legantur Augustinus in Ioh. serm. 51, Chrysostomus item in Ioh. homil. 66, Cyrillus comm. in Ioh. opp. T. IV. p. 698, denique Theophylactus opp. T. I. p. 673. ed. ven., qui omnes prophetiam de Christo simpliciter intelligunt.

v. 13. Εἶτα ἀκολούθως ἐπάγει. " Διὰ τοῦτο ἐνέτεινά σε ἐμαυτῷ Ἰούδα ὡς τόξον, ἔπλησα
τὸν Ἐφραίμ· καὶ ἐξεγερῶ τὰ τέκνα Σιὼν ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε
ὡς ῥομφαίαν μαχητοῦ. ,, Ἰούδα καὶ Ἐφραΐμ λέγει, ἵν' ἐκ μέρους τοῦ κυριωτάτου τὸ σύστημα
p. 501. τῶν Ἰουδαίων εἴπῃ· ὡς τόξον τοίνυν ἐντεταμένον κατὰ τῶν πολεμίων ὑμᾶς ἐργάσομαι ἰσχυρούς,
ὥστε κατὰ πάντων τῶν ἐπεληλυθότων ὑμῖν ἀλλοφύλων μετὰ πολλῆς ὑμᾶς ὁρμήσαντας τῆς προθυ-
μίας πολὺν αὐτῶν ἐργάσασθαι τὸν φόνον· καὶ ὅσον εἰκὸς ἐξ ἀνδρὸς γενέσθαι ἐν μάχαις καὶ πολέ-
μοις καὶ φόνοις τὸ ξίφος ἀεὶ γυμνάζοντος τὸ οἰκεῖον· καὶ ὅθεν ταῦτα αὐτοῖς περιέσται δηλῶν.
v. 14. Καὶ κύριος ἐπ' αὐτοὺς ὀφθήσεται, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ· καὶ κύριος ὁ
v. 15. θεὸς ὁ παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ ἐκπορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ· κύριος
παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν· καὶ καταναλώσουσιν αὐτούς, καὶ καταχώσουσιν αὐτοὺς ἐν λί-
θοις σφενδόνης, καὶ ἐκπίονται τὸ αἷμα αὐτῶν ὡς οἶνον, καὶ πλήσουσι τὰς φιάλας ἐλαίου ὡς
θυσιαστήριον. ,, Γενήσεται δὲ ταῦτα, φησίν, ἐπειδὴ θεὸς στρατηγῶν ὑμῖν φοβερὸν κατὰ τῶν
ἐναντιουμένων ὑμῖν ἀνατείνει τὸ ὄμμα, ἀστραπῆς δίκην ἐπιπέμπων αὐτοῖς τὰ ξίφη· καὶ
ὥσπερ τινὶ σάλπιγγι τῇ οἰκείᾳ δυνάμει πάντας ὑμᾶς εἰς τὸν πόλεμον διεγείρας, προηγή-
σεται ὑμῶν, τῇ ἀπειλῇ τῇ ἰδίᾳ πάντας σαλεύων τοὺς ἐναντίους· τοσαύτην τε ὑμῖν παρέξει
διὰ τῆς οἰκείας συνεργίας τὴν βοήθειαν, ὥστε ὑμᾶς ἀβλαβεῖς διαμεῖναι, καὶ τοὺς ἐναντίους κατ-
αναλῶσαι πάντας· καὶ τῇ τῶν λίθων καταχῶσαι βολαῖς, τὸ αἷμα τε αὐτῶν τῇ ὑπερβολῇ
τῆς ἐκχύσεως μόνον οὐκ ἐκπιεῖν, πολλῇ τῇ τῆς ἀναιρέσεως αὐτῶν προθυμίᾳ κεχρημένους·
ὥστε μετὰ τὴν νίκην πληρώσαντας ὑμᾶς ἐλαίου φιάλας, θυσίας δίκην τῷ θεῷ προσκομί-
p. 502. σαι, εἰς ἔλεγχον τῆς φιλανθρωπίας δι' ἣν τετυχήκατε τῆς τοσαύτης δυνάμεως. Τούτοις ἀκο-
λούθως ἐπάγει, ὅτι πάντας τοὺς οἰκείους περισώσει θεός, προβάτων δίκην ἀβλαβεῖς φυ-
v. 16. λάττων· καὶ τὴν αἰτίαν λέγων, " διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς αὐτοῦ· ὅτι εἴ τι

Postea prosequitur. " Propterea tetendi te mihi, Iuda, ut arcum; replevi Ephraimo. Et concitabo filios Sion adversus filios Graecorum, et attrectabo te tamquam gladium bellatoris. ,, Iudam atque Ephraimum dicit, ut a parte principaliore nationem Iudaeorum denotet. Quasi arcum itaque extentum adversus hostes faciam vos validos, ut multa cum alacritate contra omnes extraneos adgressores impetum facientes, copiosam illorum occidionem patretis: nempe prout viro deceret in pugnis bellisque et caedibus gladium suum vibrare consueto. Atque haec undenam illis sint obventura docens, " et Dominus, inquit, supra eos apparebit, et exibit quasi fulgur sagitta eius. Et dominus Deus omnipotens tuba canet, et procedet in procella minarum suarum: Dominus omnipotens tuebitur eos. Et illos pessumdabunt, et obruent eos lapidibus funda eiaculatis, et bibent sanguinem illorum quasi vinum, et implebunt phialas oleo, sicut altare. ,, Fient haec, inquit, quia Deus bellorum vestrorum dux, terribilem adversus hostes oculum intendit, fulguris instar immittens eis gladios: et tamquam classico quodam, virtute sua, vos omnes ad bellum concitans, dux vester erit, minis suis cunctos quatiens adversarios: tantasque vobis favore suo suppetias feret, ut incolumitate vobis manente, adversarios omnes interimatis, et lapidum ictibus obruatis; sanguinem denique illorum propter nimiam effusionem propemodum bibere videamini, dum caedi illorum multa cum alacritate indulgetis. Atque ita post victoriam plenas oleo phialas, sacrificii instar Deo offeretis, ob demonstrandam (Dei) clementiam, a qua tantas vires impetrastis. Mox subnectit, fore ut Deus suos omnes salvet, ovium instar incolumes custodiens; cuius rei causam recitans " quia lapides sancti, inquit, volvuntur super terram

ἀγαθὸν, αὐτοῦ· καὶ εἴ τι καλὸν, αὐτοῦ. ,, Πολλοὺς μὲν γὰρ ἐν ὑμῖν ἔστι συμβέβηκε φησὶν ἀρε- v. 17.
τῆς ἐπιμελουμένους, οἳ μετὰ τῶν λοιπῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἕρπειν δοκοῦσιν, ἀφανεῖς ὄντες
τοῖς πολλοῖς· θεὸς δὲ δι' ἐκείνους οὐδὲ τοὺς λοιποὺς περιόψεται· ἐπειδὴ πᾶν ὅ τι ἀγαθόν τε
καὶ καλὸν, ἔργον αὐτοῦ· διὸ δὴ καὶ τῶν ἁγίων καὶ πρὸς ἀρετὴν βλεπόντων οἰκειούμενος τὰ
πάθη, ἕτοιμός ἐστι καὶ ἑτέρου ὑπὲρ αὐτῶν εὐποιεῖν· εἶτα καὶ εὐετηρίαν αὐτοῖς εὐαγγελιζό-
μενος μετὰ τὴν τῶν πολεμίων σφαγὴν, ἐπάγει.

ΚΕΦ. Ι'.

“ Αἰτεῖσθε παρὰ κυρίου ὑετὸν καθ' ὥραν πρώϊμον καὶ ὄψιμον· κύριος ἐποίησε φαν- v. 1.
τασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν ἀγρῷ. ,, Παρὰ τούτου δὴ καὶ
ὑετοὺς αἰτεῖτε ἐπιτηδείους εἰς τὴν τῶν καρπῶν φοράν· ὃς εἰωθὼς μετὰ πολλοῦ τοῦ φόβου συστρέφειν
τὸν ἀέρα, καὶ φαντάζειν ἅπαντας τοὺς ἐπὶ τῆς γῆς τοῖς μεγέθεσι τῶν γινομένων, αὐτάρκης
ὑετὸν ὑμῖν παρασχεῖν τὸν καθήκοντα, ὥσθ' ἅπαντα φύειν ἐκ τῆς γῆς τὰ ὑμῖν ἀναγκαῖα·
βοτάνην γὰρ κοινῶς τοὺς καρποὺς λέγει· οἷόν ἐστι καὶ τὸ, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου·
εὔδηλον γὰρ ὅτι κἀκεῖ πάντα λέγει τὰ ἐκ γῆς φυόμενα τῶν σπερμάτων· εἶτα πάλιν ἐπὶ
σωφρονισμῷ τῶν παρειληφότων αὐτοὺς ὑπομιμνήσκων ἐπάγει. “ Διότι ἀποφθεγγόμενοι ἐλά- v. 2.
λησαν κόπους· καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια p. 503.
παρεκάλουν· διὰ τοῦτο ἐξήρανθησαν ὡς πρόβατα, καὶ ἐκακώθησαν, ὅτι οὐκ ἦν ἴασις· ἐπὶ
τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς μου ἐπισκέψομαι. ,, Πάλαι v. 3.
μὲν γὰρ φησὶν ὁπηνίκα τοῖς μάντεσι προσείχετε μετὰ πολλοῦ τοῦ ψεύδους ἅπαντα διαλεγο-
μένοις ὑμῖν, καὶ δὴ τῶν μὲν προφητῶν ἠμελεῖτε τῶν ἐμῶν, τοῖς παρ' ἐκείνων δὲ λεγομέ-

eius: quia si quid bonum, eius; et si quid pulchrum, eius. ,, Multi enim, inquit, inter vos invenire est virtutis studiosos, qui cum reliquis hominibus in terra repere videntur, ignoti pluribus. At Deus horum gratia, ne reliquos quidem despiciet. Nam quicquid bonum pulchrumque est, opus illius est: ideoque sanctorum et virtutis sectatorum sibimet vindicans passiones, paratus est alteri quoquę propter illos bene facere. Posthinc ubertatem quoque ipsis nuncians post hostium caedem, pergit dicere.

CAP. X.

“ Petite a Domino pluviam opportunam, matutinam et serotinam. Dominus fecit phantasias, et imbrem hiemalem dabit eis, unicuique herbam in agro. ,, Ab ipso postulate pluvias idoneas frugum proventui: qui multo cum terrore solitus aërem conturbare, et mentem omnium commovere terrae incolarum magnitudine phaenomenorum, pluviam potest congruentem vobis suppeditare, ut omnia de tellure enascantur vobis necessaria: namque herbam generatim dicit pro quolibet fructu; veluti est illud: germinet terra herbam foeni; ubi constat cuncta denotari quae de terra nascuntur germina. Deinde rursus salutaris monitionis causa, praeterita mala commemorans, addit. “ Quoniam hi qui loquebantur, locuti sunt labores, et divini falsas visiones, et somnia fallacia narrabant, et vane consolabantur. Ideo arefacti sunt sicut oves, et afflicti sunt, quia non erat sanatio. Super pastores concitatus est furor meus, et agnos meos visitabo. ,, Olim quidem, inquit, quando divinis adtendebatis multa cum falsitate vobis omnia dicentibus; et prophetis vestris neglectis, dictis illorum potius credebatis; tunc vos insanabiles et inemendabiles

νοις ἐπέθεσθε μᾶλλον, τότε δὴ ἀνίατά τε, καὶ ἀδιόρθωτα τὰ καθ' ὑμᾶς εὑρὼν, ὡσανεὶ
πρόβατα τιμωρίαις ἐκδέδωκα, ἐνὶ τῷ θυμῷ, ἐπί τε τοὺς ἡγουμένους ἐπί τε τοὺς ὑπη-
κόους χρησάμενος, ᾧ δὴ κἀκείνους κατὰ ταυτὸν ἀπώλεσα καὶ τούτοις· τότε μὲν δὴ καὶ τοιαῦτα
ὑπὲρ ἐκείνων πεπόνθατε.

Νυνὶ δὲ τί; " Καὶ ἐπισκέψεται κύριος ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ τὸν οἶκον
Ἰούδα. ,, Καὶ τὰ ἑξῆς, ὧν ὥστε μὴ μηκύνειν, τὴν λέξιν ἅπασαν ἐπὶ τοῦ παρόντος ἐκτιθέναι
παρεὶς, τὸν νοῦν ἐρῶ, θεοῦ χάριτι, ταῖς προφητικαῖς λέξεσιν αὐτὸν εἰς τὴν τῶν ἐντυγχανόντων
κατανόησιν ἐφαρμόττων· λέγει γὰρ ὅτι ἐπιμελήσομαι τοῦ οἴκου Ἰούδα οὓς ὥσπερ ποίμνιον ἴδιον
ἐθέμην· γενήσονται δὲ ἰσχυροὶ κατὰ τῶν ἐναντίων ἐν τοῖς πολέμοις, μᾶλλον ἢ ἵππος ἰσχυρὸς
v. 4. ὑπὸ ἀνδρὸς πολεμιστοῦ κατὰ τῶν πολεμίων ἐξελαυνόμενος· ἐξ αὐτοῦ γὰρ, λέγω δὴ τοῦ Ἰούδα,
προεῖδον χρῆναι τὸν Ζοροβάβελ προβληθῆναι, κἀκεῖθεν αὐτὸν λαβὼν εἰς τὴν βασιλείαν
ἔταξα, ἰσχυρόν τε αὐτὸν καὶ θυμοῦ πνέοντα κατὰ τῶν ἐναντίων εἰργασάμην, ἐπειδὴ καὶ καθ-
p. 504. άπαξ ἐκ τῆς Ἰούδα φυλῆς ὥρισα προϊέναι τοὺς ἄρχοντας, οὓς καὶ προηγεῖσθαι προσῆκεν
v. 5. ἐν τοῖς πολέμοις πάντοτε τοῦ λαοῦ· ἐπεὶ καὶ κατακρατήσουσιν οὕτω τῶν ἐναντίων ἐν τοῖς πο-
λέμοις, ὥστε καταπατεῖν αὐτοὺς πηλοῦ δίκην ἐν ὁδοῖς ὑπὸ τῶν διϊόντων πατουμένου· οὕτως
ἐκκείσονται, φησὶν, οἱ πολέμιοι πάσχοντες μὲν, ἀντιμηχανᾶσθαι δὲ δυνάμενοι οὐδέν· καὶ
θαῤῥοῦντες δὴ πρὸς πάντας παρατάξονται τοὺς ἐναντίους, τὴν θείαν αὐτοῖς παρεῖναι πι-
στεύοντες βοήθειαν· τότε αἰσχυνθήσονται μὲν τῶν πολεμίων οἱ ἐφ' ἵπποις μέγα φρονοῦντες·
v. 6. φανήσονται δὲ οὗτοι μεγάλοι τε καὶ ἰσχυροὶ τῇ ἐμῇ βοηθείᾳ· οἶκον γὰρ Ἰούδα καὶ οἶκον Ἰω-
σὴφ, ἵνα εἴπῃ τὸν λαὸν, ἐκ μέρους τὸ ὅλον ὀνομάζων· παρέξω τε αὐτοῖς ἀσφαλῆ τὴν ἐν
τοῖς ἰδίοις οἴκησιν, ἐπειδήπερ αὐτοὺς ἀγαπήσας ἐδοκίμασα αὐτοὺς τῆς ἐμῆς μὴ ἀποβαλεῖν
προνοίας· ἔσομαι γὰρ ἀεὶ μετ' αὐτῶν, καὶ ἐν ἀνάγκαις τὴν ἐμὴν αἰτούντων βοήθειαν, ἀκού-
v. 7. σομαι· καὶ κρατήσουσι μάχῃ τῶν ἐναντίων· τὸ γὰρ οἱ τοῦ Ἐφραῒμ, πάλιν ἀπὸ μέρους τὸν

nactus, tamquam oves suppliciis tradidi, pari ira adversus duces et adversus subditos utens, qua et hos et illos simul perdidi. Atque haec quidem ob illa tunc pertulistis.

Nunc vero quid? " Et visitavit Dominus omnipotens gregem suum, domum Iudae ,, et reliqua, quae nunc, ne prolixus sim, contextum totum in praesenti recitare omittens, sensum eius exponam, Deo favente, propheticis verbis hunc accommodans, ut eum lectores cognoscant. Ait enim: sollicitus ero de domo Iudae, quam ut gregem mihi proprium reputo. Fient autem validi adversus hostes in bellis plus quam validus equus a bellicoso viro in hostes adactus. Ex hac enim domo, praevidi oportere Zorobabelem eligi; reque vera inde eum sumptum regia dignitate donavi; validumque ipsum, et iram adversus hostes spirantem feci: quia prorsus de Iudae tribu decrevi procedere principes, quos semper populi duces esse in bellis decebit: namque hostes suos proeliando superaturi sunt, ut eos conculcare luti instar possint quod in viis a transeuntibus teritur. Tanta, inquit, hostes clade adficientur, ut repugnare nequeant. At mei grandi fiducia contra adversarios omnes pugnabunt, divinum sibi adfore auxilium credentes. Tunc pudebit hostes qui equis suis magnopere gloriantur: at isti magni fortesque apparebunt, ope mea ipsis suppeditata. Dicit enim domum Iudae et domum Iosephi, ut populum denotet, a parte totum appellans. Efficiam vero ipsis tutum in patria incolatum: quoniam eos diligens, nolui ipsos providentia mea procul abiicere: sed illis semper adero, et in angustiis auxilium meum implorantes exaudiam; et in proeliis superiores discedent

λαὸν λέγει· ὥστε αὐτοὺς ἐκ τῆς σφαγῆς τῶν ἐναντίων νενικηκότας χαίρειν τῇ διανοίᾳ, μᾶλλον
ἐμφορηθέντων οἴνου.
Ταῦτα δὲ καὶ οἱ ἐξ αὐτῶν ἰδόντες, ἐν εὐφροσύναις γενήσονται διὰ τὴν ὑπάρχουσαν αὐ-
τοῖς παρὰ τοῦ θεοῦ βοήθειαν· ὥσπερ σάλπιγγι τοίνυν σημήνας ἅπαντας αὐτοὺς ἀθροίσω v. 8.
τε καὶ εἰσδέξομαι, ἀπολύων αὐτοὺς πάσης ἀνάγκης· ὥστε μετ' ἀσφαλείας ἐν τοῖς οἰκείοις
διάγοντας, εἰς πλῆθος ἐπιδοῦναι παραπλησίως τῷ πρόσθεν χρόνῳ· στενοχωρουμένους τε p. 505.
ἐπὶ τῆς γῆς τῆς οἰκείας ὑπὸ τοῦ πλήθους τοῦ οἰκείου, ἐν πολλοῖς διασπαρῆναι καὶ τῶν ἀλλοτρίων, v. 9.
ὧν κατακρατήσαντες κτήσονταί τε καὶ οἰκήσουσι τὴν χώραν· οἱ πάντες μνήμῃ τῇ ἐμῇ διὰ τὸ
τῶν γενομένων μέγεθος, οὐ μόνον βλάψουσιν οὐδέν, ἀλλὰ γὰρ καὶ πᾶσαν αὐτῶν ἐπιμέλειαν
ποιήσονται· τοῦτο γὰρ λέγει τὸ ἐκθρέψουσι τὰ τέκνα αὐτῶν καὶ ἐπιστρέψουσιν, ἀντὶ τοῦ ταῦτα
ποιήσουσι, πρὸς ἐμὲ νεύσαντες καὶ τὴν γνῶσιν τὴν ἐμήν· πανταχόθεν δὲ λοιπὸν ὄντων ἐξ αὐτῶν v. 10.
διεσπαρμένους, εἴτε κατ' Αἴγυπτον, εἴτε ἐν τῇ τῶν Ἀσσυρίων χώρᾳ, μεταβαλόμενος
ἐπανάξω εἰς τὰ οἰκεῖα, ὥστε τοὺς τόπους οἰκεῖν ὄντων οἰκείους, μηδενὸς ἔξω τούτων διάγοντος
ἔτι· οἱ διὰ πολλοῦ παρελεύσονται πλήθους, στενοχωρούμενοι μὲν τῷ πλήθει τῶν ἐναντίων,
κατακρατοῦντες δὲ αὐτῶν τῇ ἐμῇ δυνάμει, ὥστε καὶ πᾶσαν αὐτῶν ἀπολέσαι τὴν ἰσχύν, ἅπαν-
τας τε αὐτοὺς δίκην θαλάσσης κυματουμένης ἀγριαινομένους καθ' ὑμῶν τιμωρήσασθαι, v. 11.
περιστῆσαι τε τῇ οἰκείᾳ τιμωρίᾳ καὶ σφαγῇ εἰς μηδὲν ὄντων τοσούτους· τοῦτο γὰρ λέγει, καὶ ξη-
ρανθήσεται πάντα τὰ βάθη ποταμῶν, ἵνα εἴπῃ ὅτι ἀφανιεῖ ὄντων οὕτω πολλούς· οὔτε δὲ
Ἀσσυρίοις ἰσχὺς ἔτι περιλειφθήσεται τουτὶ δύναμις κατ' αὐτῶν, οὔτε Αἰγυπτίοις, ὧν οἱ μὲν
αὐτοὺς πάλαι εἶχον ἐν τῇ δουλείᾳ, οἱ δὲ ὕστερον ἀπήγαγον αἰχμαλώτους· ἀπαλλαγήσονται
γὰρ ἁπάντων· τίνι τῷ τρόπῳ; " Καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνό- v. 12. p. 506.
ματι αὐτοῦ καυχήσονται, λέγει κύριος. ,, Ἐπειδὴ ἰσχυροὺς τε αὐτοὺς ἐργάσομαι καὶ ἀλήπτους

(nam cum Ephraimi tribum dicit, rursus a parte populum designat) ita ut victores caede hostium magis gavisuri sint, quam illi qui vino pleni exultant.

Haec autem filii ipsorum videntes, laetitiis incedent propter concessum sibi a Deo auxilium. Igitur quasi tuba signum canens cunctos congregabo et ad me recipiam, omni eos pressura liberans; quo fiet ut in patrio solo securi degentes, in multitudinem exscrescant aeque ac superiore tempore; in tantum ut in propria terra iam numero angustiati, ad multos dispergantur locos extraneorum, quos devincentes possidebunt, habitabuntque illorum regionem: qui omnes mei memores, ob actarum rerum magnitudinem, non modo meis non nocebunt, verum etiam curam omnimodam eorumdem gerent. Id enim denotant verba: nutrient filios eorum, et convertentur; id est haec agent, ad me meique notitiam animum convertentes. Ceterum quaqueversus eos dispersos, sive in Aegypto sive in Assyriorum regione, converso affectu reducam eos in patriam, ut suos singuli locos incolant, nemine extra hos deinceps degente. Ergo in magnum numerum excrescent: tum hostium multitudine angustiati, his nihilominus virtute mea superatis, cunctam illorum enervabunt fortitudinem; omnesque illos, quasi mare procellosum saevientes in perniciem vestram, contraria vice supplicio et caede ad nihilum redigetis. Sic enim intelligenda sunt verba, et exsiccabuntur profunda fluminum, id est tanti numeri hostes profligabunt. Et neque Assyriis vires adversus meos supererunt, neque Aegyptiis; quorum hi olim Iudaeos in mancipio habebant; illi autem postremo captivos abduxerunt. Quomodo vero haec fient? " Et roborabo eos in domino Deo suo, et in nomine eius gloriabuntur, ait Dominus. ,, Nam validos eos efficiam

πᾶσι τοῖς ἐναντίοις, ὥστε αὐτοὺς καὶ σεμνύνεσθαι ἐπί τε τῇ ὀνομασίᾳ καὶ τῇ βοηθείᾳ τῇ ἐμῇ· ταῦτα εἰρηκὼς, ἐπάγει.

ΚΕΦ. ΙΑ'.

v. 1. “ Διάνοιξον ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου· ὀλολυ-
v. 2. ξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγιστᾶνες μεγάλως ἐταλαιπώρησαν· ὀλολύξατε
δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος· φωνὴ θρηνούντων ποιμένων,
v. 3. ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ ὀδυρομένων λεόντων, ὅτι τεταλαιπώρηκε
τὸ φρύαγμα τοῦ Ἰορδάνου. „ Ἐπειδὴ γὰρ εἶπεν ὅτι πανταχόθεν αὐτοὺς ἄξω, ἀπό τε τῆς
Αἰγύπτου, καὶ ἀπὸ τῆς Ἀσσυρίων χώρας, καὶ ὅτι μηδενὸς ἔτι πειραθήσονται τοιούτου, ἀκολού-
θως λοιπὸν ἐπὶ τοὺς κατέχοντας τρέπει τὸν λόγον, τοῦτο λέγων· οἱ μεγάλοι καὶ δίκην τοῦ
Λιβάνου τῷ μεγέθει σεμνυνόμενοι τῶν κέδρων, τὴν ἰσχὺν ἐπιδεικνύμενοι τὴν οἰκείαν, ἀπο-
στάντες τοῦ ἔτι μάχεσθαι τοῖς ἐμοὶ προσήκουσιν, ὥσπερ τινὰς θύρας ἀνοίξατε τὰ ἑαυτῶν,
p. 507. πᾶσιν ἀδεῆ παρέχοντες τὴν ἀφ' ὑμῶν ἀναχώρησίν τε καὶ ἐπάνοδον εἰς τὰ οἰκεῖα, πρὶν ἢ
πυρὸς μὲν δίκην τὴν ἐμὴν τιμωρίαν τοὺς ἐν ὑμῖν ἀφανίσαι δυνατοὺς, ὀλολύζειν δὲ τοὺς
ἀσθενεστέρους ὁρῶντας τῶν δυνατῶν τὴν πτῶσιν· τοῦτο γὰρ λέγει ὀλολυξάτω πίτυς, διότι πέ-
πτωκε κέδρος· θεασάμενοι γὰρ τὴν τῶν δυνατῶν ἀπώλειαν, ἀπογνώσονται ὡς εἰκὸς ἑαυτῶν·
καὶ πάντες οἱ ἐπί τινι δυνάμει μέγα φρονοῦντες ὀλολύξουσιν, ὁρῶντες τὸ οἰκεῖον πλῆθος
ὡσανεὶ σύμφυτον δρυμὸν ἀφανιζόμενον, δίκην πυρὸς ἐπιπεσούσης αὐτοῖς τῆς θείας τιμω-
ρίας· ἔσονται μὲν γὰρ οἱ ἐξάρχοντες ὑμῶν ἐν θρήνοις, ἀνθίστασθαι ἔτι τοῖς ἐμοὶ προσήκουσι
τολμῶντες, ὁρῶντες ἅπασαν αὐτῶν τὴν ἰσχὺν ἀπολλυμένην· θρηνήσουσι δὲ καὶ οἱ λεόντων
δίκην τῇ οἰκείᾳ πεποιθότες ἰσχύϊ, πάντας ὁρῶντες ἐν ταλαιπωρίαις ὄντας τοὺς μέγα

et hostibus cunctis invictos, ut nomine meo auxilioque gloriaturi sint. His dictis, prosequitur.

CAP. XI.

“ Aperi, Libane, portas tuas, et comedat ignis cedros tuas. Ululet pinus, quia cecidit cedrus, quia optimates valde miseri facti sunt. Ululate, quercus Basanitidis, quia succisus est saltus consitus. Vox lugentium pastorum, quoniam misera facta est magnificentia ipsorum. Vox rugientium leonum, quia debilitata est superbia Iordanis. „ Quoniam dixerat, se undecumque eos congregaturum, nempe ex Aegypto et ex Assyriorum regione, nihilque huiusmodi eos in posterum experturos; consentanee deinceps ad eos qui dominatu opprimebant convertit sermonem dicens: o magni, et instar Libani magnitudine gloriantes cedrorum, fortitudinemque vestram ostentantes, nunc omissa familiarium meorum oppugnatione, quasi portas quasdam fines vestros pandite, cunctis liberum concedentes a vobis in patriam discessum, prius quam ignis instar ultio mea potentes vestros consumat; et ululare cogat infirmiores, dum potentium ruinam vident. Sic enim significat: ululet pinus, quia cecidit cedrus. Nam conspecta potentium ruina, de se ipsis, ut par est, desperabunt. Aeque omnes qui aliqua gloriabantur potentia ululabunt, videntes populi sui multitudinem tamquam consitum saltum vastatam, ignis instar ingruente eis divina punitione. Nam principes vestri in luctu erunt, qui meis familiaribus bellum indicere ausi sunt, suasque omnes vires succisas videbunt. Lamentabuntur vero, quasi leones qui suis confidebant viribus, dum cunctos miseria pres-

πεφρονηκότας κατὰ τοῦ Ἰορδάνου· ἐπειδὴ γὰρ μέρος τῆς Ἰουδαίας ἦν ὁ Ἰορδάνης ποταμός, ἀπὸ τῆς τοῦ ποταμοῦ μνήμης τὴν χώραν τῶν Ἰσραηλιτῶν δεδήλωκεν ὁ προφήτης· ὅτι τε ἡ Ἱερουσαλὴμ εἰς τὴν παλαιὰν ἀποκατασταθήσεται εὐπραγίαν, ἀποδοθείσης μὲν τῆς τε ἱερωσύνης καὶ τῆς τε βασιλείας τῷ ἔθνει, ἐπισυναχθέντος δὲ τοῦ λαοῦ πανταχόθεν· καὶ ὅτι τιμωρήσεται μὲν αὐτῶν τοὺς ἐχθροὺς ὁ θεός, ἐν ἀγαθῶν δὲ πλείστων ἀφθονίᾳ καταστήσει τούτους· ἀλλὰ καὶ ὅτι τῷ Ζοροβάβελ πρὸς τὴν βασιλείαν ἐξειλεγμένῳ πλείστην τινὰ παρέξει τὴν ῥοπήν, ἀφ' ἧς ἰσχυροὶ μὲν ἔσονται κατὰ τῶν ἐναντίων, περιγενήσονται δὲ καὶ τῶν περὶ τὸν Γὼγ ἀναριθμήτων τε ὄντων καὶ ἀμαχωτάτων· καὶ συντόμως εἰπεῖν διὰ πάντων τῶν προρρηθέντων ἐγνώρισεν ὁπόσην ἐπὶ τὸ κρεῖττον τὰ κατ' αὐτοὺς λήψεται τὴν ἐπίδοσιν.

Ἐπειδὴ δὲ οὐκ εὖ ἐχρήσαντο Ἰουδαῖοι τῇ τε εὐπραγίᾳ καὶ τῇ εἰρήνῃ ἧς ἐπὶ πλεῖστον ἀπέλαυσαν, μεταβαλόμενοί τε ἐντεῦθεν πρὸς τὸ χεῖρον ἐξώκειλαν, πρὸς τοὐναντίον μὲν p. 508. αὐτοῖς ἐκβέβηκεν ἅπαντα· πολλὴ δέ τις ἀκοσμία καὶ σύγχυσις αὐτῶν κατείληφε τὸ ἔθνος, ἅτε τῶν νόμων ἀμελουμένων παρ' αὐτοῖς τῶν θείων· ἔνιοι γὰρ τῶν ὑποδεεστέρων πρὸς τοὺς ἀρχιερέας καὶ ἡγουμένους τοῦ λαοῦ παντός, μετὰ πολλῆς τε διέποντας αὐτὸν τῆς ἀκριβείας, ἐκ τοῦ πρὸς τὸ χεῖρον ῥέπειν, αὐτοὶ διηνέχθησαν ὡς εἰκός, καὶ μηδὲν κατ' αὐτῶν ἰσχύσαντες, διὰ τὴν παρὰ τῷ λαῷ δόξαν τῶν ἀνδρῶν, ἐπὶ τοὺς βασιλέας ἐληλύθασι τοὺς ἐκ τῆς μακεδονικῆς διαδοχῆς τῶν κατὰ τὴν Συρίαν κρατοῦντας μερῶν, καὶ παρεσκεύασαν μὲν ἐν κινδύνοις τοὺς ἡγουμένους αὐτῶν γενέσθαι, ἄνδρας νομίμως τε ἱερατεύοντας καὶ δοκίμως· μεθίστατο δὲ τὰ τῆς ἀρχιερωσύνης εἰς ἑτέρους παρὰ τὴν τῶν θείων νόμων ἀκολουθίαν, κατὰ τὸ τοῖς βασιλεῦσι δοκοῦν· οἳ μονονουχὶ πωλοῦντες τὸ ἔθνος τοῖς βασιλεῦσι, καὶ χρημάτων παρὰ τὸ δέον τὴν προστασίαν ὠνούμενοι τοῦ λαοῦ, πλεῖστα μὲν ὅσα διεπράττοντο κακά, ἐν ἀκοσμίᾳ δὲ καὶ συγχύσει καθίστων ἅπαντα τὸν λαόν· καὶ κατελέλυτο μὲν καθάπαξ ἡ τῶν νόμων ἀκρί-

sos videbunt qui adversus Iordanem superbiebant. Nam quia Iordanes fluvius pars Iudaeae erat, commemorato Iordane regionem Israhelitarum significat propheta: tum quia Hierusalem in veterem restituetur prosperitatem, reddito genti sacerdotio ac regno; tum quia populus undequaque congregabitur; tum quia denique eorum hostes puniet Deus, et in plurimorum bonorum copia suos constituet. Quin adeo Zorobabeli ad regnum electo maximas suppeditabit vires, quibus validi evadent contra hostes, devincent autem Gogi exercitum innumerabilem et antea invictum. Atque ut paucis dicam, cunctis quae hactenus dixit declaravit, quantus futurus sit Israhelitarum in melius progressus.

Sed quia Iudaei non bene usi sunt felicitate ac pace qua diu fruiti erant, et inde animo mutato ad vitium deflexerant, in contrarium eis cuncta cesserunt; multaque perturbatio et confusio gentem ipsorum occupavit, divinis nimirum legibus apud eos neglectis. Nonnulli enim humilioris conditionis homines, adversus pontifices et populi universi duces, quem omni cum diligentia administrabant, propter suam pravam agendi rationem inimicitias susceperunt, ut pronum factu erat; quibus quum praevalere non possent, propter virorum illorum apud populum maiestatem, ad reges profecti sunt, qui ex macedonica successione Syriae provinciis imperabant; et pericula conflarunt principibus suis, qui probe legitimeque sacerdotium gerebant; ita ut pontificatus ad alios homines transferretur praeter legum divinarum ordinem, pro regum libito. Illi videlicet gentem suam propemodum regibus vendiderunt, et pecunia praeter fas emerunt populi dominatum, et plurima mala invexerunt, populumque universum in perturbationem et confusionem conie-

βεια, ἀντεισήγετο δὲ ἀταξία τε καὶ τὸ πρὸς τοὐναντίον τοῖς θείοις νόμοις ἅπαντα γίνεσθαι·
ὑπὲρ δὴ τούτων ἁπάντων μυρίοις μὲν ὅσοις περιεβλήθησαν τοῖς κακοῖς Ἰουδαῖοι· τῶν Μακ-
καβαίων δὲ ἐκ τοῦ μὴ φέρειν τὴν περὶ τὰ θεῖα πλημμέλειαν, μὴ δὲ ἀνεκτὸν ἡγεῖσθαι ἡσυ-
p. 509. χάζειν, οὕτω μὲν παραβαινομένων τῶν νόμων θείων, τοσαύτης δὲ ἀσεβείας ἀντισαχθείσης
τε καὶ πολιτευομένης, ἐν αὐτοῖς τὸν πρὸς τοὺς μακεδονικῆς διαδοχῆς βασιλέας πόλεμον
ἀναδεξαμένων, οὐκ ὀλίγοι τινὲς τῶν εἰς τὸ ἔθνος τελούντων τὴν ἐκείνων ζηλώσαντες γνώμην
ἐκοινώνησαν τοῦ προρρηθέντος πολέμου· ὃ γέγονε μὲν περί τε τὴν πόλιν καὶ τὸν ναὸν τοῦ θεοῦ,
καὶ πᾶν δὴ τὸ ἔθνος συντόμως εἰπεῖν μυρία ὅσα παρὰ τῶν Μακεδόνων κακὰ, ἃ μὴ δὲ
ῥᾴδιον εἰπεῖν· ἐδέξατο δὲ ταῦτα διόρθωσιν, ὁπηνίκα θεὸς τῇ γνώμῃ τῶν περὶ τὸν Μακκα-
βαῖον ἀρεσθεὶς, παρέσχεν αὐτοῖς τὴν οἰκείαν ῥοπήν· ὥστε παρὰ πᾶσαν ἐλπίδα κεκρατηκότας
ἐκείνους τῶν βασιλέων, καί τοι γε εὐαριθμήτους ὄντας καὶ πρὸς πολλὴν δύναμιν μαχο-
μένους, δυνηθῆναι τὴν πρέπουσαν εὐκοσμίαν ἀποδοῦναι τῷ ἔθνει· ἀναγκαιότατα δὴ καὶ
τούτων τὴν γνῶσιν δεξάμενος ὁ προφήτης ἐξ ἀποκαλύψεως θείας, μηνύει τε τῷ λαῷ τὰ
ἐσόμενα· καὶ ἔγγραφον αὐτῶν εἰς τοὺς ἑξῆς παραπέμπει τὴν γνῶσιν ἐν τοῖς καθεξῆς τοῖς
περὶ τούτων χρώμενος λόγοις· ἄρχεται δὲ οὕτως.
v. 4. “ Τάδε λέγει κύριος παντοκράτωρ, ποίμανε τὰ πρόβατα τῆς σφαγῆς. „ Ἔθος τῇ
θείᾳ γραφῇ πολλάκις προστακτικῷ σχήματι μηνύειν τὸ μέλλον, οἷόν ἐστι τὸ χαῖρε σφό-
δρα θύγατερ Σιών· καί τοι γε οὐδὲ ἐν ἐπιτάγματι κεῖται τὸ χαίρειν, ἐπεὶ μή τε παρόν-
των τῶν ἡδέων δυνατὸν μὴ χαίρειν, χαίρειν τε οὐκ ἔνεστιν ἀπόντων τῶν ἡδέων· ἀλλὰ μηνῦσαι
βουλομένη τὴν προσεσομένην αὐτοῖς ἡδονὴν ἐκ τῆς τοῦ Ζοροβάβελ ἡγεμονίας, προστακτικῶς
p. 510. τοῦ λόγου πεποίηται τὴν ἀρχήν. Καὶ μετὰ βραχέα· αἰτεῖτε παρὰ κυρίου ὑετὸν καθ' ὥραν
πρώϊμον καὶ ὄψιμον· δήλου μὲν ὄντος ὡς οὐκ ἄν τις ἐν χρείᾳ ὢν παραλίποι τὸ αἰτεῖν,
εἴπερ οὖν ὅτι δεηθήσεται πάντως εἰδείη· ἀλλ' ὅμως βουλόμενος εἰπεῖν ὅτι ἀφθόνως ὑμῖν καὶ

cerunt. Tunc omnino desiit legum observantia, successit autem iniquitas, et ut contraria legibus divinis cuncta fierent. Iam ob haec omnia, innumeris malis Iudaei correpti fuerunt. Tunc Maccabaei non ferentes illatam religioni offensam, neque sibi quiescendum putantes divinis legibus tantopere violatis, tantaque invecta ac dominante impietate, in se bellum adversus macedonicae successionis reges receperunt, et haud pauci de gente sententiam eorum aemulantes, praedictum bellum participarunt. Hinc urbi et Dei templo, et universae ut uno verbo dicam genti mala innumera a Macedonibus illata fuerunt, quae dici facile nequeunt. Sed enim his remedium adfuit, cum Deus Maccabaeorum proposito delectatus, suum illis adiunxit auxilium; ita ut praeter omnem spem superatis regibus, quamquam pauci numero adversus magnum exercitum decertantes, decentem ordinem populo restituere potuerint. Apprime igitur necessariam rerum harum nactus propheta a divina revelatione cognitionem, praedicit populo futura; scriptamque horum ad posteros transmittit notitiam in sequentibus ita loquens. Sic autem incipit.

“ Haec ait Dominus omnipotens: pasce oves occisionis. „ Mos est divinae scripturae saepe modo imperativo futurum denotare, veluti est illud: laetare vehementer, filia Sionis. „ Atqui laetitia imperari nequit; nam neque laetari non possumus si iucunda adsint; neque vicissim laetari possumus si absint iucunda. Verum scriptura significare volens futurum Israhelitarum gaudium ex Zorobabelis principatu, imperative facit dicendi initium. Et paulo post: petite a Domino pluviam tempestivam, matutinam et serotinam. Atqui perspicuum erat, fore ut nemo pluvia indi-

καθ' ὥραν τὸν ὑετὸν παρέξει θεὸς, ἐν σχήματι προστακτικῷ τὴν μήνυσιν πεποίηται τοῦ ἐσο-
μένου· τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα τὰ περὶ τὸν λαὸν ἐσόμενα κακὰ προστακτικῷ σχή-
ματι προλέγει, τοιοῦτό τι λέγων ὅτι τὰ μὲν παρ' ἐμοῦ περὶ τὸν λαὸν ἔσται οἷάπερ ἔφθην
εἰπών· καὶ τοσούτων μὲν ἀπολαύσει τὸ ἔθνος ἀγαθῶν, ἐν τοσαύτῃ δὲ γενήσεται ἡ Ἱερουσα-
λὴμ εὐθηνίᾳ, καταχρατήσουσί τε τῶν πολεμίων, ἀφ' ὧν δὴ καὶ πολὺν ἀθροίσουσι πλοῦτον·
οὐκ εἰς δέον δὲ τῇ εὐπραγίᾳ χρησάμενοι, καὶ δὴ πρὸς τὸ χεῖρον ἰδόντες, ὑπὸ ποιμένας
ἔσονται τοιούτοις ὥστε δίκην προβάτων ἄγεσθαι ὑπ' αὐτοῖς εἰς σφαγὴν ἐκκειμένων· οἷον
ἐστὶ καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ * τὸ, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, περὶ τῶν αὐτῶν * Ps. XLIII. 22.
εἰρημένον· βούλεται δὲ εἰπεῖν ὅτι οὐδὲ μιᾶς ἀξιωθήσονται ἐπιμελείας, πάντα δὲ πείσονται
ὡς εἰς τὸ σφάττεσθαι μόνον ἐκδεδομένοι· καὶ τὸν τρόπον λέγων “ ἃ οἱ κτησάμενοι κατέσφα- v. 5.
ζον, καὶ οὐ μετεμέλοντο. ,, Οἱ μὲν γὰρ κρατοῦντες αὐτῶν βασιλεῖς οὐχ ὡς ἰδίων ἐπεμε-
λοῦντο κτημάτων, ὡς δὲ πολεμίους ἀνῄρουν ἀνηλεῶς· τοῦτο γὰρ δηλοῖ τὸ οὐ μετεμέλοντο.
“ Καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον, εὐλογητὸς κύριος, καὶ πεπλουτήκαμεν. ,, Οἱ δὲ ἀποδι-
δόμενοι τοῖς βασιλεῦσι τὸ ἔθνος, καὶ πόρους ἐκ τούτου συλλέγοντες, τοσοῦτον ἀπεῖχον τοῦ
αἰσχύνεσθαι ἐπὶ τῇ τοσαύτῃ πλεονεξίᾳ, ὥστε καὶ εὐχαριστίας ἄξιον ἡγεῖσθαι τὴν τοιαύτην p. 511.
εὐπορίαν. “ Καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς. ,, Ἐπιστεύοντο δὲ αὐτῶν
καὶ τὴν ἐπιστασίαν ἄνδρες οὐδένα ἔλεον αὐτῶν ποιεῖσθαι ἐθέλοντες.

“ Διὰ τοῦτο οὐ φείσομαι ἔτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει κύριος. ,, Ὑπὲρ v. 6.
τούτων αὐτοὺς ἀφήσω, μὴ δὲ μιᾶς ἀξιῶν προνοίας τῆς παρ' ἐμοῦ. “ Καὶ ἰδοὺ ἐγὼ ἀποδί-
δωμι τοὺς ἀνθρώπους ἕκαστον εἰς τὰς χεῖρας τοῦ πλησίον αὐτοῦ, καὶ εἰς χεῖρας βασιλέως αὐτοῦ·
καὶ κατακόψουσιν εἰς τὴν γῆν Χαναάν. ,, Καταλιμπάνω δὲ αὐτοὺς πάσχοντας τὰ ἀνήκεστα

gens postulare omitteret, si certe se impetraturum sciret. Sed tamen dicere volens, copiose illis ac tempestive pluviam Deum concessurum, imperativo modo praedictionem futuri facit. Eadem ratione nunc quoque, eventura populo mala imperativo modo vaticinatur, dicens videlicet, haec a me populo evenient, quemadmodum nuper dixi; et tantis populus fruetur bonis, et Hierusalem copiis diffluet, et hostibus superiores evadent, ex quibus multas sibi colligent opes. Verumtamen quia non recte felicitate utentur, et ad peius spectabunt, sub pastoribus futuri sunt talibus, a quibus ovium instar ad caedem agentur. Sicuti est apud beatum Davidem: aestimati sumus sicut oves occisionis; quod de iisdem Iudaeis dictum fuit. Significat autem nulla eos Dei cura dignos futuros, sed omnia mala passuros, tamquam caedi tantummodo addictos. Reique modum dicens: quas (oves) inquit possessores sui iugulabant, et non eos paenitebat. Iudaeorum videlicet reges domini, haud tamquam rei suae parcebant, sed eos quasi hostes inclementer interficiebant. Id enim valet: et non paenitebat. “ Et qui vendebant eos dicebant: benedictus Dominus, quia divites facti sumus. ,, Qui tradiderant regibus gentem, et pecuniam inde conflaverant, tantum aberant ut talem tantamque avaritiam sibi ignominiae adscribenret, ut ob huiusmodi opes gratias Deo agendas putarent. “ Et earum pastores nullum erga eas patiebantur affectum. ,, Traditi ad regendum fuerunt viris, qui nullam eis misericordiam exhibere volebant.

“ Ideo non parcam ulterius terrae incolis, dicit Dominus. ,, Propterea hos deseram, nullaque mea providentia dignabor. “ Et ecce trado homines, unumquemque in manum proximi sui, et in manus regis sui, et concîdent in terra Chanaan. ,, Sinam illos pati gravissima tum a scelestis inter suos, tum a regibus bello eos ap-

παρά τε τῶν ἐν τοῖς οἰκείοις μοχθηρῶν, καὶ παρὰ τῶν βασιλέων ἐπιστρατευόντων αὐτοῖς, ἐπει-
δήπερ ἑαυτοὺς ἐξ ὧν πράττουσι, τούτων ἀξίους ἐργάζονται· οὕτω τε πάντες μὲν ἀναιρεθή-
σονται μικροῦ οἱ τὴν Ἰουδαίαν οἰκοῦντες· τοῦτο γὰρ λέγει, κατακόψουσι τὴν γῆν, οὐδὲ μιᾶς αὐ-
τοῖς παρ' ἐμοῦ βοηθείας παρεχομένης εἰς τὸ τῆς τῶν ἐναντίων ἐπικρατείας ἀπαλλαγῆναι·
ἄξω δὲ αὐτοὺς πρὸς τὴν σφαγὴν ἐκ τῶν οἰκείων ἔργων ἐκκειμένους, ὡς εἰκὸς ἄγεσθαι αὐτοὺς
τοιούτοις ἐπ' ὄψεσι τῶν Χαναναίων· τὸ γὰρ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς, ἵνα εἴπῃ ὅτι
ἐπὶ τὴν σφαγὴν αὐτοὺς ἄξω, οὐχ ὡς αὐτὸς ποιῶν, ἀλλὰ τῷ ἀφιέναι· ἐπεὶ καὶ τοῦτο ἔθος τῇ
p. 512. θείᾳ γραφῇ τὸ τὴν συγχώρησιν τὴν θείαν ὡς πρᾶγμα λέγειν· οἷον ἐστὶ τὸ *, ἐξέκλινας τὰς
* Ps. XLIII. 19. τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου· οὐχ ὅτι θεὸς ἐξέκλινεν, ἀλλ' ὅτι συνεχώρησε παθεῖν ἅπερ αὐ-
τοὺς ἐκτρέψαι τοῦ προσήκοντος ἦν ἱκανά· τὸ δὲ εἰς τὴν γῆν Χαναάν, τουτέστιν ἐπ' ὄψεσι τῶν
ἀλλοτρίων· βαρύτερον γὰρ ἦν τὸ αὐτοὺς τὴν παλαιὰν αὐτῶν εὐπραγίαν εἰδότας, ἀθρόον ἰδεῖν ἐν
τοιούτοις ἐξεταζομένους κακοῖς.

v. 7. “ Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν
ἐπεκάλεσα σχοίνισμα· καὶ ποιμανῶ τὰ πρόβατα. „ Ἃς δέδωκα αὐτοῖς, φησίν, εἰς ἡγεμο-
νίαν συντελούσας ἀρχάς, βασιλείαν τε καὶ ἱερωσύνην, αἷς δὴ μάλιστα κοσμεῖσθαί τε αὐτοὺς
καὶ συγκρατεῖσθαι πρὸς τὸ δέον ἐχρῆν, ταύτας ἐπειδὴ μοχθηροὶ τὸν τρόπον γεγόνασιν ἀφελὼν
ἐξ αὐτῶν, ἡγήσομαι αὐτῶν ἐπὶ τιμωρίᾳ λοιπόν· ὃ γὰρ εἶπεν ἀνωτέρω, ποιμανῶ τὰ πρό-
v. 8. βατα τῆς σφαγῆς, τοῦτο πάλιν ἐνταῦθα δεύτερον εἶπε καὶ ποιμαίνω τὰ πρόβατα. “ Καὶ
ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί. „ Οὐδὲ ἐνταῦθα τὸ τρεῖς ἀριθμὸν βούλεται λέ-
γειν, ἀλλ' ἐπειδήπερ ἀπὸ Ἰησοῦ τοῦ Ἰωσεδὲκ μέχρις ἐκείνων τῶν καιρῶν ὑπὸ ἀρχιερεῦσιν
ἐποιμαίνοντο δοκίμοις, ἅπαντας φησὶν ἐκείνους τοὺς ἱερέας τοὺς δοκίμους ὑφ' ἑνὶ τῷ καιρῷ
παύσω, ὅτε δὴ πρὸς τὸ χεῖρον οὗτοι τραπέντες, ἀντὶ τῆς κρείττονος ἱερωσύνης καὶ νομίμου,

petentibus, quandoquidem semet ipsos, per haec quae agunt, dignos talia pati efficiunt. Sic omnes propemodum Iudaeae incolae interficientur. Sic enim sonant verba: concident terram; nullo a me praestito iis auxilio quo se hostium dominatui subtraherent. Ducamque eos ad caedem, cui ab operibus propriis addicti fuerunt, et quidem ut par est ante oculos Chananaeorum. Nam verba: pascam oves occisionis, ponuntur pro, ducam eas ad occisionem, non quod ipse occidam, sed quia permitto. Namque et hoc positum est in divinae scripturae more, ut permissionem divinam tamquam rem actam dicat. Velut illud: declinasti semitas nostras a via tua: non quod Deus eas declinavisset, sed quia siverat ipsos iis passionibus corripi, quae a recto officio eosdem deflectere idoneae erant. In terra vero Chanaan, id est in conspectu alienigenarum. Molestius enim accidebat, illos qui veterem Iudaeorum felicitatem conspexerant, nunc subito videre hos tot malis exercitos.

“ Et sumam mihi duas virgas, unam appellavi decorem, et alteram funiculum, et pascam oves. „ Quas dedi eis regimini aptas dignitates, regnum ac sacerdotium, quibus potissimum ornari eos atque ad rectum morem conformari oportebat, has ego postquam pravo more esse coeperunt iisdem eripiens, ducam eos deinceps ad supplicium. Nam quod superius dixit, pascam oves occisionis; nunc iterum ait pasco oves. “ Et auferam tres pastores in mense uno. „ Ne hoc loco quidem vocabulum tres significat numerum; sed quia abs Iesu Iosedeci usque ad illa tempora a pontificibus probis recti fuerunt, omnes inquit probos illos pontifices uno tempore desinere faciam, quo videlicet isti ad deterius conversi, pro meliore legitimoque sacerdotio, deterius et illegitimum malent. More enim sollemni

τὴν χείρονα καὶ παράνομον ἑαυτοῖς ἐπιλέξονται· εἰωθότως γὰρ τὰ συμβαίνοντα αὐτοῖς κακὰ τῷ προσώπῳ τοῦ θεοῦ περιάπτει, ὡς ἂν ἐν τιμωρίας εἴδει φαίνοιτο πάντα αὐτοῖς περιγεγονότα τὰ χείρω· οὕτω καὶ ὁ μακάριος λέγει Παῦλος *, ποτὲ μὲν παρέδωκεν αὐτοὺς ὁ θεὸς p. 513.
εἰς ἀδόκιμον νοῦν· οὐχ ὡς τοῦ θεοῦ παραδόντος, ἀλλ' ἐν τιμωρίας μέρει τιθείς, καὶ τὴν * Rom. I. 28.
χείρονα αἵρεσιν τῶν πρὸς τοῦτο νευόντων, ὡς ἂν τῶν τούτων ἀπεξενωμένων μὲν τῆς θείας κηδεμονίας, οὕτω δὲ ἀμεταμέλητον τὴν ἐν τῷ χείρονι λαμβανόντων ῥοπήν· κἀνταῦθα οὖν τοῦτο φησίν, ὅτι παυθήσεται μὲν ὑφ' ἑνί τινι καιρῷ· τοῦτο γὰρ λέγει τὸ ἐν μηνὶ ἑνὶ ἡ τῶν πάλαι καλῶς ποιμαινόντων αὐτοὺς ἐπιστασία· ἔσονται δὲ ὑπό τινας μοχθηροὺς καὶ παρανόμως τῇ προστασίᾳ ταύτῃ κεχρημένους. " Καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς. ,, Ὅθεν δὴ μάλιστα μέγιστον κατ' αὐτῶν ἀναδέχομαι τὸ μῖσος, ὁρῶν αὐτοὺς ἀντὶ τούτων τοιαῦτα ἑλομένους, καὶ οὕτω ἐκβεβληκότας μὲν τὰ κρείττω, ἑλομένους δὲ τὰ χείρω· καὶ δεικνὺς ὅτι δικαίαν αὐτοῖς ταύτην ἐπήγαγε τὴν τιμωρίαν, ἀνθ' ὧν αὐτοὶ γεγόνασιν οἰκείᾳ μοχθηρίᾳ κακοί. " Καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. ,, Τοιαύτῃ γὰρ φησὶν ἐχρησάμην γνώμῃ περὶ αὐτούς, ἐπειδὴ κἀκεῖνοι δίκην θηρίων κατ' ἐμοῦ τὸν θυμὸν αὐτῶν ἐξέτειναν· ἐπειδὴ ἅπερ εἰς τοὺς δοκίμους ἔπραττον ἱερέας, εἰς ἐμὲ προδήλως ἐτόλμων· οἷον ἐστὶ τὸ πρὸς τὸν Σαμουὴλ, οὐ σὲ ἐξουδενώκασιν ἀλλ' ἐμέ *. * I. Reg. VIII. 7.

" Καὶ εἶπον, οὐ ποιμανῶ ὑμᾶς. ,, Ἐντεῦθεν τοῦ τε ποιμαίνειν αὐτοὺς ἀπέστην καὶ τὴν v. 9.
τὴν προσήκουσαν αὐτῶν ἐπιμέλειαν ὡς προβάτων οἰκείων ποιεῖσθαι· ἔδειξε δὲ ὅτι ἐν τοῖς ἀνωτέροις τὸ ποιμανῶ ἀντὶ τοῦ παραδώσω τῇ τιμωρίᾳ λέγει· ἐνταῦθα γοῦν σαφῶς τέθεικεν p. 514.
τὸ οὐ ποιμανῶ, τὸ μετ' ἐπιμελείας ποιμαίνειν σημαίνων, καὶ ὅτι ταύτην αὐτοῖς οὐχ ἕξει τὴν θεραπείαν· ἐπάγει γοῦν. " Τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλιπέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτω ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. ,, Ἀφίημι δὲ φησὶν

suo, quae Iudaeis eveniebant, in Dei personam confert, ut sub poenae specie appareant omnes quae illis contingunt calamitates. Sic etiam beatus Paulus modo ait: tradidit illos Deus passionibus ignominiae; modo autem: tradidit illos Deus reprobo sensui; non quod Deus reapse tradiderit, verum id poenae loco ponit, propter peiorem electionem illorum qui ad vitium spectabant; quasi ii a divina tutela alieni essent, quoniam adeo contumacem ad vitium ceperant inclinationem. Hoc igitur etiam loco ait fore, ut ea rerum conditio uno quodammodo tempore desinat. Sic enim intelligenda sunt verba: mense uno desinet bonorum apud eos pastorum dignitas; et quibusdam subiicientur improbis, qui illegitime sacrum hunc magistratum tenebunt. " Et aegre feret illos anima mea. ,, Hinc ego maximo eos odio prosequar, videns eos talia prae talibus malentes, atque ita dimisso melioris rei studio, peiora sequi. Moxque ostendit se iustam illis adduxisse poenam, propterea quod ipsi spontanea malitia improbi evaserant. " Siquidem animae eorum rugiebant contra me. ,, Hoc inquam animo fui adversus illos, quia et illi ferarum instar contra me furorem suum exprompserunt: nam quicquid contra probos sacerdotes egerunt, adversus me manifeste ausi sunt. Velut illud ad Samuhelem: non te spreverunt, sed me.

" Et dixi: non pascam vos. ,, Abhinc ego desivi a pascendo vos, et congruam curam quasi ovibus propris impertiendo. Demonstravit insuper vocabulum, pascam, in superioribus dictum fuisse pro, supplicio tradam. Nunc vero manifeste posuit dictionem, non pascam, significans regimen cum diligentia, et quod hoc illis non exhibebit officium. Addit ergo: " quod moritur, moriatur; et quod deficit, deficiat;

ἕκαστον ἐκ τῆς ἑαυτοῦ κακίας δέχεσθαι τὴν τιμωρίαν, αὐτῶν ἀλλήλοις ἀναλισκόντων, τῇ τε
v. 10. ἔρισι καὶ ταῖς μάχαις καὶ τῇ τῆς ἐπιβουλῆς ἐμμελείᾳ. “ Καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν
καὶ ἀποῤῥίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς
λαοὺς τῆς γῆς. ,, Ἀφελῶ δὴ τὴν δοκιμωτάτην καὶ ἀρίστην ἱερωσύνην, καὶ χαμαὶ που κειμέ-
νην ὑπὸ τῶν καταβαλόντων αὐτήν, ἀφ' ἧς μεταστήσω καὶ τὰ τῶν ἐκτὸς τοῦ ἔθνους· πρὸς
τοὐναντίον· οἱ γὰρ ἐκ τῶν ἀλλοτρίων μετὰ πολλῆς πρότερον τῆς προθυμίας ἐπὶ τὸν ναὸν κατα-
τρέχοντες τὸν ἐμόν, αἰδοῖ τῶν αὐτόθι νομίμως ἐκτελουμένων, ἀποστήσονται καὶ οὗτοι ταῦτα
αὐτὰ ποιεῖν ὑπὸ τῆς κρατούσης τὰ αὐτόθι συγχύσεώς τε καὶ ἀκοσμίας, ἀνίεναι συνήθως εἰς
τὸν ναὸν κωλυόμενοι· τοῦτο οὖν λέγει, διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς
πάντας τοὺς λαοὺς τῆς γῆς· ἵνα εἴπῃ ὅτι παύσω τοῦτο γινόμενον, ὃ καὶ παρὰ τῶν ἀλλοτρίων
ἐγίγνετο πρότερον· τῷ οἰκείῳ προσώπῳ πάλιν περιτιθεὶς τὸ ἐκ τῆς ἑτέρων συμβαῖνον κα-
κίας· ὥστε ὀργῆς αὐτοὺς, συντόμως εἰπεῖν, ἅπαντα τὰ χείρω φαίνεσθαι σημεῖα.
v. 12. p. 515. “ Καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα
τὰ φυλασσόμενά με, διότι ὁ λόγος κυρίου ἐστί. ,, Τότε, φησί, παύσεται μὲν ἡ παρὰ τῶν
ἐναντίων εἰς τὸν ναὸν γινομένη θεραπεία, συγκαταλυομένης ὡς εἰκὸς τούτῳ τῆς διαθήκης ἣν
πρὸς αὐτοὺς ἐθέμην· ἔσονται δὲ γνώριμοι καὶ τοῖς ἀλλοτρίοις οἱ ὄντως ἐμοί, καὶ πολλὴν τῆς τῶν
ἐμοὶ δοκούντων φυλακῆς ἔχοντες τὴν φροντίδα· καὶ ὅτι ὅρος τίς ἐστι θεῖος ὁ τοὺς μὲν μοχθη-
ροὺς ἐκδοὺς τοῖς χείροσι, τῶν δὲ τὸ δέον ζητουμένων καὶ ὀλίγων ὄντων οὕτω πολλὴν ποιού-
μενος τῆς ἐμῆς οἰκειότητος αὐτῶν γίνεσθαι δῆλον· ἐξ ὧν τοσαύτης ἀξιοῦνται τῆς παρ' ἐμοῦ
προνοίας, ὡς καὶ τῶν ἐναντίων πολλῶν τε ὄντων καὶ δυνατῶν ῥᾳδίως κρατεῖν. Εἶτα βου-
λόμενος δεῖξαι τὸ δόκιμον τοῦ τρόπου τῶν οἰκείων, λέγει δὲ τοὺς περὶ τῶν Μακκαβαίων, οἳ

et qui reliqui fuerint comedant unusquisque carnes proximi sui. ,, Sinam, inquit, unumquemque ex propria malitia percipere punitionem, invicem consumentibus per contentiones, dimicationes, et insidiarum structuram. “ Et sumam virgam meam pulchram, et proiiciam eam ob dispergendum testamentum meum, quod statueram cum omnibus terrae populis. ,, Auferam probatissimum et optimum sacerdotium, humi iam prostratum ab iis qui oppugnaverant illud: quin et extraneos ab eo abalienabo. Nam extranei qui multo antea cum studio ad templum meum confluebant ob rituum reverentiam qui illic legitime perficiebantur, ipsi quoque a priore consuetudine recedent propter regnantem illic confusionem ac perturbationem, a solito templi accessu deterriti. Hoc enim significant verba dispergere testamentum meum, quod statueram cum omnibus terrae populis. Dicit nimirum: curabo ut desinat, quod ab extraneis etiam antea fiebat; propriae scilicet personae accommodans, quod ex aliorum malitia contingebat. Quamobrem irae, ut summatim dicam, pessima signa apparebunt.

“ Et fiet dispersio in die illa, et cognoscent Chananaei oves quae me observant, quia sermo Domini est. ,, Tunc, inquit, desinet adversariorum erga templum meum obsequium, dissoluto sic foedere quod cum illis pepigeram: notique fient etiam extraneis quinam vere mei sint, et voluntatis meae observandae satis solliciti: et quod divinum decretum improbis mala immittit; virtutis vero studiosis, licet paucis, curam multam impendit; ut vere appareat meam ipsis amicitiam lucro esse; quatenus tantam mei providentiam sortiuntur, ut adversariis multis atque potentibus facile potiantur. Deinde ut ostendat egregios suorum mores, de Maccabaeis scilicet loquens, qui pro gente et pro divinis legibus bellum contra Macedo-

ὃν ὑπὲρ τοῦ ἔθνους καὶ τῶν νόμων τῶν θείων πόλεμον πρὸς τοὺς τῶν Μακεδόνων εἵλοντο βα-
σιλέας, ἐπάγει. “ Καὶ ἐρῶ πρὸς αὐτούς· εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου,
ἢ ἀπείπασθε. ,, Οὕτω γάρ φησιν ἔσονται δόκιμοι περὶ ἐμὲ καὶ βέβαιοι, ὥστε θαῤῥοῦντά με
πρὸς αὐτοὺς λέγειν· ὅτι εἰ μὲν ἀρεστὸν ὑμῖν τὸ ὑπ' ἐμοί τε εἶναι καὶ τῆς ἐπιστασίας ἀξιοῦσθαι
τῆς ἐμῆς, καὶ δὴ παρέχετέ μοι τῆς εὐνοίας καὶ τῆς ὑπακοῆς τῆς ὑμετέρας τὸν μισθόν· εἰ δὲ βαρὺ
τὸ πρὸς ἐμὲ νεύοντας τοσούτων πειρᾶσθαι κακῶν, ὁπόσα περ ὑπομένειν ἀναγκάζεσθε νῦν
παρὰ τῶν πολεμίων, φανερὰν τῆς ἐμῆς ἐπιστασίας ποιήσασθε τὴν παραίτησιν· ὅμοιον γάρ ἐστι p. 516.
τῷ παρὰ τοῦ κυρίου πρὸς τοὺς μαθητὰς εἰρημένῳ *, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ὅπερ * Ioh. VI. 68.
οὐκ ἀποτρέπων αὐτοὺς συνεῖναι λέγει, ἀλλὰ τῇ φωνῇ βεβαιοτέρους δεικνύς· ὃν αὐτὸν δὴ
τρόπον κἀνταῦθα λέγει, ὅτι θαῤῥῶν αὐτοῖς προτείνω τοῦτο, εἰδὼς ὅτι δέξονται τὸ δι' ἐμὲ
πάσχειν κακῶς, ἢ ἐν ἀπολαύσει τῶν κρειττόνων εἶναι τῆς ἐπιστασίας ἔξω τυγχάνοντες τῆς ἐμῆς·
ἐπάγει τοίνυν. “ Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς. ,, Οὐκ ἀριθμὸν οὐδὲ ἐν-
ταῦθα λέγων τὰ τριάκοντα, ἀλλ' ἵνα εἴπῃ ὅτι πολλήν μοι τὴν εὔνοιαν ἀπέδωκαν τὴν οἰκείαν,
καὶ διέμειναν τὴν εὐγνωμοσύνην ἐπιδεικνύντες τὴν ἑαυτῶν.

“ Καὶ εἶπε κύριος πρός με· κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκι- v. 13.
μόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν· καὶ ἔλαβον τριάκοντα ἀργυροῦς, καὶ ἐνέβα-
λον αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον. ,, Βούλεται δὲ εἰπεῖν ὅτι ὥσπερ χωνείᾳ
τινὶ τῷ πειρασμῷ τῶν κακῶν περιβέβληκα αὐτῶν τὴν περὶ ἐμὲ προαίρεσιν, ὥστε με ἰδεῖν
εἰ οὕτως εἰσὶ δεδοκιμασμένοι περὶ ἐμὲ, ὥσπερ ἐγὼ περὶ αὐτῶν, τουτέστιν εἰ οὕτω βεβαίαν
ἔχουσι περὶ ἐμὲ τὴν εὔνοιαν, ὡς ἐγὼ δὴ βεβαίαν αὐτοῖς τὴν ἐπιστασίαν παρέχω τὴν ἐμήν· ἐμ-
βέβληκα τοίνυν αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον· εἰκότως τὸ εἰς τὸν οἶκον εἰπὼν,
ὑπὲρ οὗ δὴ ἅπαντα τὸν ἀγῶνα ὑβριζομένου παρὰ τῶν πολεμίων εἶχον, ἵνα εἴπῃ ὅτι καὶ

num reges gesserunt, addit: “ et dicam eis: si bonum est in conspectu vestro, date mercedem meam, aut renuite. ,, Tantopere, inquit, probi erunt erga me firmique, ut ego fiducialiter eis dicere queam: si vobis placet mihi esse subiectis, et meae subesse potestati, utique praebete mihi benivolentiae obedientiaeque vestrae remunerationem. Quod si molestum vobis est, ob vestrum erga me obsequium tot mala experiri, quot nunc ab hostibus perferre cogimini, publicam a dominatu meo facite apostasiam. Namque id simile est Domini ad discipulos dicto: num vos quoque vultis abire? quod sane haud eos avertendi causa a consortio aiebat, sed ut hoc dicto firmiores efficeret. Pari modo nunc dicit, se fiducialiter hanc illis optionem offerre; probe sciens, fore ut malint molesta perpeti, quam meliore sorte fruentes extra meum dominatum fieri. Subdit ergo: “ et statuerunt mercedem meam triginta argenteos. ,, Ne hoc quidem loco dicit triginta quasi numerum, sed ut dicat: multam mihi benivolentiam rependerunt, suumque constanter bonum animi affectum demonstraverunt.

“ Dixitque mihi Dominus: pone eos in conflatorio, et vide num probatum sit, sicut ego probatus sum erga eos. Et accepi triginta argenteos, et inieci eos in domum Domini in conflatorium. ,, Dicere vult: ego ceu conflatura quadam, tentatione malorum exploravi illorum erga me propositum, ut cognoscerem an ita sint erga me probati, quemadmodum ego illis; id est num adeo firmam mihi servent benivolentiam, ut ego iis constans praebeo patrocinium meum. Conieci ergo eos in domum Domini in conflatorium. Merito dixit in domum Domini, pro qua ab hostibus violata certamen omne susceperant. Ait nimirum illos in conflatorio ma-

p. 517. διὰ τῆς χωνείας τῶν κακῶν ὤφθησαν δόκιμοι· εἶτα τὴν τῶν οἰκείων εὔνοιαν εἰρηκὼς, ἀποδίδωσι
τοῖς προτέροις τὸ λεῖπον· καὶ ἐπειδήπερ εἶπεν ἐν τοῖς ἀνωτέροις ὅτι ἔλαβον τὴν ῥάβδον μου
v. 14. τὴν καλὴν καὶ ἐπέρριψα αὐτὴν, ἐπάγει. “ Καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοί-
νισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην τὴν ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. ,, Ἵνα
εἴπῃ ὅτι καὶ τὴν βασιλείαν καὶ τὰ ἐκ ταύτης ἀγαθὰ παρεῖλον αὐτῶν διὰ τὴν μοχθηρίαν τοῦ
τρόπου· κάλλος μὲν γὰρ κέκληκε τὴν ἱερωσύνην, ὡς εὐπρεπεῖς καὶ δοκίμους ἐργαζομένην θεῷ·
σχοίνισμα δὲ, τὴν βασιλείαν, ὡς διαμετροῦσαν καὶ διορίζουσαν τοῖς ὑπηκόοις τὸ πρέπον· οἷον
Ps. CIV. 11. ἐστι τὸ λέγων *, σοὶ δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν, ἀντὶ τοῦ τὴν γῆν
Χαναὰν ὑμῖν διελών τε καὶ ἀφορίσας τῆς γῆς ἁπάσης, δέδωκα εἰς κληρονομίαν.

Εἶτα καὶ δεικνὺς ὅτι ἐπὶ πλεῖστον ἐν τούτοις στραφήσονται τοῖς κακοῖς, ἐπάγει. “ Καὶ εἶπε
κύριος πρός με· ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου· διότι ἰδοὺ ἐγὼ
v. 16. ἐξεγερῶ ποιμένα ἄπειρον ἐπὶ τὴν γῆν· τὸ ἐκλεῖπον οὐκ ἐπισκέψεται, καὶ τὸ ἐσκορπισμένον
οὐ μὴ ζητήσῃ, καὶ τὸ συντετριμμένον οὐ μὴ κατευθυνῇ· τὰ κρέα τῶν ἐκλεκτῶν καταφά-
γεται, καὶ τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει. ,, Ἐνταῦθα πάλιν ἐν προστακτικῷ σχήματι
τὸ ἐσόμενον λέγει· ἐπιμενεῖ γάρ φησιν ἡ περὶ τὸν λαὸν ἐκ τῶν κακῶς ποιμαινόντων ταλαι-
πωρία, οἳ μεταχειροῦνται τὴν ἱερωσύνην κακῶς· σκεύη γὰρ ποιμενικὰ, ἀνήκοντα τῇ προ-
βολῇ τῆς ἱερωσύνης ἔργα δηλοῖ, δι' ὧν ταύτην ἔθος ἐκτελεῖσθαι τὴν λειτουργίαν· ἐπιλή-
p. 518. ψονται τοίνυν φησὶ τῆς ἱερωσύνης ἄνδρες οὐδὲ μίαν τοῦ πράγματος ἐμπειρίαν ἔχοντες,
οὐδέ τι πράττειν τῶν δεόντων εἰδότες, οἳ οὔτε τὸ ἠσθενηκὸς ἐπισκέπτονται, οὔτε τῶν ἀφισταμένων
ζήτησιν ποιοῦνται, θεραπείαν τε τοῖς κεκακωμένοις ἐπάγουσιν οὐδεμίαν· ἀλλ' οὐδὲ τῶν ὑγιῶν
λόγος αὐτοῖς, ὅπως ἂν ἐπὶ τῆς οἰκείας μένοιεν εὐρωστίας· τοὐναντίον μὲν οὖν τῶν πρὸς τὸ
κρεῖττον ὁρώντων, καὶ τὰς σάρκας εἰ οἷόν τε, καὶ τοὺς ἀστραγάλους κατεσθίουσι, παντὶ τρόπῳ

lorum visos esse probatos. Iam postquam suorum benivolentiam commemoravit, reliqua verba ad priores, id est ad extraneos, refert. Et quia retro dixerat: sumpsi virgam meam pulchram, et eam proieci, addit: “ et proieci virgam meam alteram; funiculum, ut dispergerem foedus meum cum Iuda et cum Israhele. ,, Id est, regnum et huius bona iis eripui propter morum improbitatem. Pulchritudinem enim appellavit sacerdotium, quod decoros probatosque facit Deo homines: funiculum vero regnum, quod dimetitur definitque subditis aequum ius. Veluti est illud: tibi dabo terram Chanaam funiculum hereditatis vestrae; pro: terram Chanaan vobis distribuens atque abs qualibet regione disterminans, vobis possidendam dedi.

Postea ut ostendat diu illos in his fore malis, addit. “ Dixitque mihi Dominus: adhuc sume tibi vasa pastoralia pastoris imperiti. Quia ecce ego suscitabo pastorem imperitum super terram: quod deficit non visitabit, et dispersum non requiret, et confractum non sanabit: carnem electorum vorabit, et talos illorum subvertet. ,, Rursus heic imperativa figura rem futuram dicit. Perseverat inquit miseria populi, malorum pastorum causa, qui malis artibus sacerdotium arripient. Nam vasa pastoralia, convenientia sacerdotali officio opera denotant, quibus solet liturgia peragi. Occupabunt itaque, ait, sacerdotium viri nullam rei peritiam habentes, bonum quodlibet facere nescii; qui neque infirmum visitabunt, neque absentes requirent, neque medelam aegris ullam adferent: sed neque incolumium cura illis erit, ut in sua sanitate conserventur. Contra vero illorum qui meliorem frugem sectantur, carnes ipsas, si fieri potest, talosque comedunt, quomodolibet eos vexantes: et modo ipsis, modo eorumdem bonis nocentes; quia malae vitae homines

κακῶς αὐτοὺς διατιθέντες· καὶ τὰ μὲν αὐτοῖς, τὰ δὲ τοῖς προσήκουσιν αὐτοῖς λυμαινόμενοι,
ἐπειδὴ πρὸς τὸ χεῖρον ῥέποντες αὐτοὶ πολεμίως ἔχουσι πρὸς τοὺς τοῦ δέοντος ἐραστάς· οἷς
καλῶς μετὰ ἀποδυσπετήσεως ἐπάγει πολλῆς, ἐμφαίνων τὴν ἐπὶ τοῖς γινομένοις ἀγανάκτησιν
τοῦ θεοῦ πλείστην οὖσαν. “ Ὦ οἱ ποιμαίνοντες τὰ μάταια, καὶ καταλελοιπότες τὰ πρό- v. 17.
βατα· μάχαιρα ἐπὶ τοῦ βραχίονος αὐτοῦ, καὶ ἐπὶ τὸν ὀφθαλμὸν αὐτοῦ τὸν δεξιόν· ὁ βραχίων
αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς αὐτοῦ ὁ δεξιὸς ἐκτυφλούμενος ἐκτυ-
φλωθήσεται. ” Ἀλλὰ γὰρ οὐκ ἀτιμώρητα ταῦτα ἔσται, φησὶν, ὑμῖν τοῖς ἐπὶ κακῷ τῇ ποι-
μασίᾳ κεχρημένοις, καὶ πρὸς σφαγὴν ἐκδεδωκόσι τοῦ θεοῦ τὸν λαόν· εἰς γὰρ τοὺς βρα-
χίονας καὶ τοὺς ὀφθαλμοὺς δώσετε δίκην, τῶν μὲν μαραινομένων παντελῶς, τῶν δὲ ἐκτυ-
φλουμένων· βούλεται δὲ εἰπεῖν ὅτι καὶ ἡ ἰσχὺς αὐτῶν πᾶσα διὰ τῆς τιμωρίας ἀφαιρεθήσεται
τῆς θείας, καὶ ἡ ἐξουσία τοῦ δοκεῖν ἐφορᾶν ἑτέροις. Τούτοις ἐπάγει.

ΚΕΦ. ΙΒʹ.

“ Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραήλ· λέγει κύριος ἐκτείνων τὸν οὐρανὸν, καὶ θεμε- v. 1.
λιῶν τὴν γῆν, πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. ” Ἵνα εἴπῃ, ταῦτα κατὰ ἀποκάλυψίν p. 519.
μοι δειχθέντα παρὰ τοῦ θεοῦ λέγω, ὃς ποιητὴς μὲν ἁπάντων ἐστὶ τῶν ὄντων, αὐτὸς δὲ καὶ
ἄνθρωπον πεποίηκε, ψυχῆς τε αὐτῷ καὶ προθέσεως λογικῆς μεταδούς· ἵνα εἴπῃ ὅτι ὡς
ἠβουλήθη θεὸς συνεχώρησε ταῦτα γενέσθαι, ὃς ἅτε πάντων κύριος συγχωρεῖ καὶ ἀνθρώποις
ὁπότ᾽ ἂν ἐθέλοι τὰ δοκοῦντα αὐτοῖς ποιεῖν· τί οὖν ἐστί; τί φησίν; “ Ἰδοὺ ἐγὼ τίθημι τὴν v. 2.
Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ ἔσται
περιοχὴ ἐπὶ Ἱερουσαλήμ. ” Ἐγὼ τοίνυν, φησὶ, διὰ τὴν τῶν οἰκούντων κακίαν ἀσθενείᾳ παρα-
δέδωκα πλείστῃ τὴν Ἱερουσαλὴμ, ὥστε πᾶσιν ἐξεῖναι τοῖς βουλομένοις ἐπιέναι τε αὐτῇ καὶ σα-
λεύειν ὡς ἂν ἐθέλοιεν, ὅθεν δὴ καὶ ὁ παρὰ τῶν Μακεδονίας βασιλέων αὐτοῖς ἐπεγήγερται

hostili animo sunt erga virtutis amatores. Quibus gravi cum stomacho inclamat, Dei plurimam ob res actas indignationem declarans. “ O qui pascitis vana, qui derelinquitis oves! Gladius super brachium eius, et super oculum eius dextrum. Brachium eius dextrum arescens arefiet, et oculus eius dexter excaecatus excaecabitur. ” At enim haud impunita haec inquit vobis erunt, qui pastorali officio ad nequitiam utimini, et Dei populum occidioni contraditis. Namque in brachiis oculisque poenas luetis, illis quidem prorsus enervatis, his vero excaecatis. Dicere porro vult, vires illorum omnes a divina punitione deletum iri, nec non inspiciendi ceteros facultatem. His subiungit.

CAP. XII.

“ Assumptio verbi Domini super Israhel. Dicit Dominus qui extendit caelum, fundavit terram, et finxit spiritum hominis in eo. ” Id est, haec per revelationem a Deo mihi patefacta recito, qui creator rerum omnium est, idemque hominem fecit, eique animam et ratiocinandi vim impertitus est. Quasi dicat, Deum ut voluit consensisse ut haec fierent, qui utpote omnium Dominus concedit hominibus, cum ei libuerit, quod voluerint perficere. Quid ergo hic, quid *inquam* dicit? “ En ego pono Hierusalem ut propylaea commovenda cunctis in circuitu populis, et in Iudaea erit obsidio adversus Hierusalem. ” Ego itaque, inquit, propter incolarum malitiam infirmitati tradidi plurimae Hierusalem, ut cunctis volentibus liceat ipsam adgredi et prout libuerit concutere; unde etiam a macedonibus regibus coortum

v. 3. πόλεμος. "Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον
πᾶσι τοῖς ἔθνεσι· πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσεται
ἐπ᾽ αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς." Ἐντεῦθεν αὐτὴν ἐπιβήσονται μὲν ἀλλόφυλοι, πᾶσι δὲ
τοῖς ἐπιβαίνουσιν ἄδεια γενήσεται τοῦ πράττειν εἰς αὐτὴν ἅπερ ἂν ἐθέλοιεν, ἅτε καὶ πολλῶν
ἀθροισθησομένων ἐπ᾽ αὐτήν, τούτου γε ἕνεκεν· εἶτα εἰρηκὼς τὰς συμφορὰς ὡς κατὰ συγχώ-
ρησιν τοῦ θεοῦ γενομένας, λέγει λοιπὸν καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν, ἣν ἕξουσι τοῦ θεοῦ
βουληθέντος.

v. 4. "Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκ-
στάσει, καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει· ἐπὶ δὲ τὸν οἶκον Ἰούδα ἀνοίξω τοὺς ὀφθαλ-
v. 5. μούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει· καὶ ἐροῦσιν οἱ χιλίαρχοι
p. 520. Ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν, εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας Ἱερουσαλὴμ ἐν
κυρίῳ παντοκράτορι θεῷ αὐτῶν." Ἀλλὰ γὰρ οὐκ εἰς τέλος αὐτοῖς ἐπιτείνεσθαι ἐάσω τῶν
κακῶν τὴν πεῖραν, ἀθρόαν δὲ ἅπασιν αὐτοῖς παρέξω τὴν βοήθειαν, καὶ διὰ τῶν πρὸς τὴν
ἐμὴν ὁρώντων βοήθειαν, βούλεται δὲ τοὺς Μακκαβαίων εἰπεῖν, πᾶσαν τὴν ἱππικὴν τῶν ἐναν-
τίων καταπλήξω δύναμιν, ὥστε καὶ τοὺς ἐπιβεβηκότας αὐτῶν εἰς παντελῆ παραφροσύνην
τῷ μεγέθει τῶν κακῶν ἐμπεσεῖν· καὶ ταῦτα μὲν περὶ τοὺς ἐναντίους ἐργάσομαι· τοῖς δὲ ἐκ
τῆς Ἰούδα φυλῆς, ἐξ ἧς περ ἦσαν καὶ οἱ ἡγούμενοι τοῦ πολέμου Μακκαβαῖοι, τήν τε ἐπο-
ψίαν καὶ τὴν κηδεμονίαν παρέξω τὴν ἐμήν, ἅπαν τῶν ἐναντίων τὸ ἱππικὸν ὡς ἂν τυφλώσει
τινὶ περιβάλλων, καὶ οὕτως ἄπρακτον κατὰ τῶν ἐμοὶ προσηκόντων ποιῶν· τότε δὴ λοιπὸν οἱ
ἡγούμενοι τοῦ Ἰούδα ἡσθήσονται ὅτι περ αὐτοῖς ἄδεια δέδοται παρὰ τοῦ θεοῦ τοῦ πάλιν ἀνελ-
θεῖν τε εἰς τὴν Ἱερουσαλὴμ μετὰ παρρησίας καὶ μετὰ τῆς πρόσθεν αὐτὴν οἰκεῖν εὐθηνίας, ἁπάν-
των ἐπιμελουμένους ὧν προσῆκον ἐστὶν ἐπιμελεῖσθαι τοὺς οἰκοῦντας αὐτόθι, εἰ δὴ μέλλοιεν
ἀρέσκειν θεῷ· καὶ καθεξῆς ἐπάγει.

est bellum. "Et erit die illa ponam Hierusalem lapidem conculcatum ab omnibus gentibus. Quicumque conculcaverit eam, illudens illudet, et congregabuntur adversus eam omnes gentes terrae." Hinc eam invadent alienigenae; cunctisque invadentibus facultas erit faciendi ei quicquid voluerint; nam multi, rei huius causa, contra eam conglobabuntur. Deinde recitatis calamitatibus, quae Deo permittente evenerant, dicit futuram in melius conversionem, quam Deo volente experientur.

"Die illa, dicit Dominus omnipotens, percutiam omnem equum stupore, et ascensorem eius amentia. Super domum autem Iudae aperiam oculos meos, et omnes equos populorum percutiam caecitate. Et dicent tribuni Iudae omnes in cordibus suis: inveniemus nobis incolas Hierusalem in domino omnipotente Deo ipsorum." Verumtamen haud usque ad extremitatem eis malorum sensum intendi sinam, sed subitum cunctis praebebo auxilium; nempe per illos qui meo confidunt auxilio, intelligit autem Maccabaeos, cunctam hostilis equitatus potentiam terrefaciam, ita ut equites omnimodo stupore ob malorum magnitudinem percellantur. Atque haec quidem inimicis faciam: at Iudae tribui, ex qua oriundi erant qui duces belli fuerunt Maccabaei, providentiam curamque meam impendam, universum hostium equitatum quasi caecitate obstruens, atque ita invalidum adversus meos familiares efficiens. Tunc vero duces Iudae gaudebunt datam sibi a Deo facultatem redeundi Hierusalem confidenter, ibique cum priore prosperitate habitandi, servatis omnibus quae illic servari decet officiis, ab iis qui Deo sint placituri. Postea prosequitur.

“ Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχοις Ἰούδα ὡς δαλὸν πυρὸς ἐν καλάμῃ· v. 6.
καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κύκλοθεν· καὶ κατοικήσει
Ἱερουσαλὴμ ἔτι καθ' ἑαυτὴν ἐν Ἱερουσαλήμ· καὶ σώσει κύριος τὰ σκηνώματα Ἰούδα v. 7. p. 521.
καθὼς ἀπ' ἀρχῆς· ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαυίδ, καὶ ἔπαρσις τῶν κατοι-
κούντων Ἱερουσαλὴμ ἐπὶ τὸν Ἰούδαν. ,, Τότε δή φησιν οὕτως ἰσχυροὺς ἐργάσομαι τοὺς ἡγου-
μένους τῆς Ἰούδα φυλῆς κατὰ τῶν πολεμίων, ὥστε πάντας αὐτοὺς ταῖς πληγαῖς καὶ τῷ φόνῳ δίκην
πυρὸς ἐπινέμεσθαι ξύλοις ἐπιπεπτωκότος ἢ καλάμῃ· οὕτω πολὺν ἐντεῦθέν τε κἀκεῖθεν
καὶ πανταχόθεν ἐργάσονται φόνον τῶν ἐναντίων· περιγενήσεται δὲ τῇ Ἱερουσαλὴμ τὸ ἐν εἰρήνῃ
διάγειν λοιπόν, μὴ δὲ μίαν ὄχλησιν ὑπὸ τῶν ἐναντίων δεχομένῃ, ἅτε πάντας ἐμοῦ τοὺς
τῆς Ἰούδα φυλῆς, τούς τε προσήκοντας αὐτοῖς περισώζοντος καὶ ἐπὶ τὴν πρόσθεν ἐπανάγοντος
εὐπραγίαν· τότε δὲ τοῦ μὲν μεγάλα φρονεῖν ἐπὶ τοῖς ἑαυτῶν ἀγαθοῖς, οἵ τε ἐκ τοῦ Δαυίδ
καὶ πάντες οἱ τὴν Ἱερουσαλὴμ οἰκοῦντες Ἰουδαῖοι παύσονται· αἰσθήσονται δὲ ἐξ αὐτῶν τῶν
πραγμάτων ὅτι πρότερον τε ἐν εὐπραγίαις ἦσαν ἐμοῦ βουλομένου, οὐδὲν ἐκ τῆς οἰκείας
ἑαυτοῖς περιποιεῖν δυνάμεως οἷοί τε ὄντες, καὶ τῆς ἐμῆς ἀποβληθέντες κηδεμονίας διὰ τὴν
ἑαυτῶν μοχθηρίαν ἠλέγχθησαν ἀσθενέστατοι τε ὄντες καὶ οὐδὲ μίαν ἑαυτοῖς βοήθειαν παρέχειν
δυνάμενοι· καὶ ὅπως τοῦτο γενήσεται λέγων “ καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ κύ- v. 8.
ριος ὑπὲρ τῶν κατοικούντων Ἱερουσαλήμ· καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
ὡς Δαυίδ· ὁ δὲ οἶκος Δαυὶδ ὡς οἶκος θεοῦ, ὡς ἄγγελος κυρίου ἐνώπιον αὐτοῦ. ,, Αἰσθή-
σονται γὰρ τότε τῇ ἐμῇ βοηθείᾳ τοσοῦτον κατὰ τῶν ἐναντίων δυνάμενοι πάντες, ὡς πρὸ βρα- p. 522.
χέος ἀσθενεῖς, ἐν τοσαύτῃ γνωρίζεσθαι δυνάμει κατὰ τῶν πολεμίων, ἐν ὅσῃ περ ὦπται Δαυὶδ
κατὰ τὸν οἰκεῖον καιρὸν τῇ ῥοπῇ τῇ θείᾳ· ἔσται τε ζηλωτὸς ὁ οἶκος τοῦ Δαυὶδ πάλιν, καὶ θαυ-
μαζόμενος, ἀφ' ὧν οἱ ἐκεῖθεν καὶ τῆς ἐκείνου φυλῆς τοῦ λαοῦ προεστῶτες, τοσοῦτον ὤφθησαν
ἰσχύοντες κατὰ τῶν ἀλλοτρίων, ὡς ἅπαντας καταφεύγειν ἐπ' αὐτοὺς ὡς ἐπ' οἶκον θεοῦ, πολλὴν

“ Die illa ponam tribunos Iudae sicut torrem ignis in stipula; vorabuntur a dextris et a sinistris omnes circa populos. Et habitabit Hierusalem adhuc per se in Hierusalem, et servabit Dominus tabernacula Iudae sicut ab initio; ne amplificetur iactantia domus Davidis, et elatio habitatorum Hierusalem super Iudam. ,, Tunc sane, inquit, tam validos efficiam duces tribus Iudae adversus hostes, ut hos omnes vulneribus caedibusque consumant; flammae instar quae in ligna vel stipulam incidit. Adeo multam hinc et illinc et ubicumque stragem edent inimicorum! Tunc urbi Hierusalem in pace degere licebit, nullam ab hostibus molestiam patienti; me scilicet Iudae tribum eique addictos salvante, et in priorem felicitatem vindicante. Tunc vero bonis suis superbire, Davidis posteri et incolae Hierusalem Iudaei, desinent: sentient enim ex rebus ipsis, se antea me volente felices fuisse, nihil tamen viribus propriis se adquirere potuisse; et mox a mea tutela desertos propter suam nequitiam, infirmissimos esse compertos, nullumque sibimet subsidium ferre valentes. Quomodo autem id sit futurum dicens “ et erit, inquit, die illa proteget Dominus habitatores Hierusalem. Et erit infirmus inter illos tamquam David, et domus Davidis tamquam domus Dei, ut angelus Domini coram ipso. ,, Sentient tunc ob auxilium meum tantopere omnes se valere adversus hostes, ut qui antea infirmi erant, tantum nunc exserant contra hostes vigorem, quantum visus est aetate sua David habere a divino instinctu. Eritque iterum optabilis admirabilisque domus Davidis, quia posteri huius, et qui de Iudae tribu populo praeerant, tantopere hostibus superiores fuerunt, ut passim homines ad eos accurrerint tamquam

τοῖς καταφυγοῦσι παρέχοντα τὴν βοήθειαν, ἢ ὥσπερ ἐπί τινα ἄγγελον ἐπὶ πληγῇ πεμφθέντα
τῶν ἐναντίων· ὅνπερ δὴ τρόπον ἤδη τῶν Ἀσσυρίων ἐπεληλυθότων τῇ Ἱερουσαλήμ, ἐπὶ τὸν
οἶκόν τε κατέφυγον ἅπαντες τοῦ θεοῦ, κἀκεῖθεν αὐτοῖς περιεγένετο τὸν ἄγγελον ἐπεληλυ-
θότα τοσοῦτο πλῆθος ἀνελεῖν τῶν πολεμίων· καὶ τίνα τρόπον ἔσται τοῦτο λέγων.
v. 9. “ Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ
v. 10. Ἱερουσαλήμ, καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυὶδ καὶ ἐπὶ τοὺς οἰκοῦντας Ἱερουσαλὴμ πνεῦμα
χάριτος καὶ οἰκτιρμοῦ. ,, Τότε γὰρ δὴ τοὺς μὲν κατὰ τῆς Ἱερουσαλὴμ ἐπικεχειρηκότας πάντας
ἀφανιῶ· ἐπὶ δὲ τὸν οἶκον Δαυίδ, ἵνα εἴπῃ τοὺς ἐκεῖθεν ἡγουμένους τοῦ λαοῦ, ἅπαντάς τε
τοὺς τῇ Ἱερουσαλὴμ προσήκοντας, πολλὴν τήν τε χάριν καὶ τὴν φιλανθρωπίαν ἐπιδείξο-
μαι τὴν ἐμήν, πᾶν εἶδος αὐτοῖς παρέχων κηδεμονίας· ἀφ' οὗ δὴ τί γενήσεται; “ Καὶ ἐπι-
βλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν, καὶ κόψονται ἐπ' αὐτῷ κοπετὸν ὡς ἐπὶ ἀγαπητῷ,
καὶ ὀδυνηθήσονται ἐπ' αὐτῷ ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ. ,, Τότε δὲ οἱ τἀναντία τῶν ἐμοὶ
p. 523. δοκούντων ἑλόμενοι πρότερον, καὶ τοσαύτῃ τόλμῃ χρησάμενοι κατ' ἐμοῦ, τῆς ἀβουλίας καὶ
τῆς παρανομίας αἰσθήσονται τῆς ἰδίας· ὥστε καὶ μεταμελομένους αὐτοὺς μεγάλῳ χρῆσθαι κο-
πετῷ, καὶ οἵῳ περ ἄν τις χρήσαιτο ὀδυνώμενος ἐπὶ τελευτῇ πρωτοτόκου· εἶτα λέγει μὲν
ὅτι πολλοὶ τῶν τῆς Ἱερουσαλὴμ μεταμελόμενοι τοῦ κοπετοῦ μεθέξουσι τούτου, οἱ τἀναντία τῶν
δεόντων αἱρούμενοι πρότερον, τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τοῦ ἔθνους θεασάμενοι, μετα-
μέλεσθαι ὡς εἰκὸς ἐπὶ ταῖς παρανομίαις ἤμελλον ταῖς ἰδίαις· λέγει δὲ καὶ καθεξῆς ἀπαριθ-
μούμενος τὰς φυλάς, δηλῶν ὅτι ἑκάστη καθ' ἑαυτὴν χρήσεται τῷ πένθει, ἵνα συντόμως
εἴπῃ ὅτι πάντας τοὺς τὰ χείρονα ἑλομένους μεταμέλεια λήψεται· ἐπειδὴ γὰρ πολλὴ μέν
τις πρότερον ἡ ἐπὶ τὸ χεῖρον γεγόνει ῥοπὴ τοῦ ἔθνους, πολλὴ ὕστερον ἡ ἐκ τῆς τῶν Μακκα-
βαίων προστασίας ἐπὶ τὸ κρεῖττον μεταβολὴ τετυχηκότων τῆς θείας ῥοπῆς· ὡς ἀναιρεθῆναι

ad domum Dei, multam confugientibus ad se tutelam praebentem; vel tamquam ad quendam angelum ad caedem hostium missum: quemadmodum scilicet Assyriis Hierusalem obsidentibus, ad Dei domum omnes confugerunt, atque illic contigit angelum missum tantam hostium multitudinem interimere. Quomodo autem id accidet, mox dicit.

“ Et erit die illa quaeram auferre omnes gentes quae veniunt contra Hierusalem. Et effundam super domum David, et super habitatores Hierusalem spiritum gratiae et misericordiae. ,, Tunc quidem omnes Hierusalem aggressores perdam. Super domum autem Davidis, id est super oriundos inde duces populi, omnesque ad Hierusalem ditionem pertinentes, multam meam gratiam ac benignitatem effundam, omne genus ipsis largiens patrocinii. Ex quo quid accidet? “ Et aspicient ad me quem transfixerunt. Et plangent super eum planctu magno tamquam super dilectum, et dolebunt dolore tamquam super primogenito. ,, Tunc qui antea tam contraria voluntati meae factitaverant, tantaque audacia adversus me usi fuerant, inconsiderantiam suam et iniquitatem agnoscent; adeo ut paenitentes grandem luctum sint acturi, quali scilicet is uteretur qui primogenitum suum lugeret. Deinde ait multos Hierusalem paenitentes cives planctus eius fore participes, qui contraria honesto prius fecerant; sed nunc gentis ad virtutem conversionem cernentes, resipiscere ut par erat a suis iniquitatibus volent. Pergit mox enumerare tribus, ostendens unamquamque illarum in luctu fore; summatim vero omnes qui peiora secuti fuerant, nunc paenitentiam acturos. Nam quanta fuerat antea gentis ad deteriora declinatio, tanta postea sub Maccabaeorum ducatu in melius conver-

μὲν τοὺς ἐναντίους ὑπ' αὐτῶν, ἀποκαταστῆναι δὲ τῇ πόλει καὶ τῷ τοῦ θεοῦ ναῷ τὴν εὐκοσμίαν, τούς νόμους τε πάλιν τοὺς θείους τήν τε τῆς ἱερωσύνης ἐπιμέλειαν τῆς προσηκούσης τυγχάνειν σπουδῆς, ἀναγκαίως ἄρα ἐκ τῆς μεταβολῆς μετεμέλοντο, ἐφ' οἷς πρόσθεν εἰς τοσαύτας ἀσεβείας τε καὶ παρανομίας ἐξώκειλαν. Δηλώσας δὲ τὸν κοπετὸν καὶ τὴν μεταμέλειαν, λέγει τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, ἀφ' ἧς δὴ μάλιστα τὰ τῆς τοσαύτης μεταμελείας ἐνεγίνετο πᾶσιν.

ΚΕΦ. ΙΓ'.

" Ἐν ἐκείνῃ γάρ, φησι, τῇ ἡμέρᾳ πᾶς τόπος ἔσται διανοιγόμενος τῷ οἴκῳ Δαυίδ. „ v. 1.
Ἵνα εἴπῃ ὅτι πάντες ἑτοίμως ὡς ἡγουμένους προσδέξονται, μετὰ πάσης αὐτοῖς προθυμίας p. 521.
προστρέχοντες, ὡς εὐσεβέσι τε καὶ ἰσχυροῖς τῇ θείᾳ ῥοπῇ κατὰ τῶν ἐναντίων φανεῖσιν· εἶτα
δεικνὺς ὅπως καὶ τὰ τῆς θεοσεβείας ἐπὶ τὸ δέον διὰ τῆς τῶν Μακκαβαίων ἐπικρατείας με-
ταστήσεται, παρασκευαζόντων ἀφανίζεσθαι μὲν ἅπαντα τὰ χείρω, κρατεῖν δὲ τὰ τῷ θεῷ
δοκοῦντα, " καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος σαβαὼθ, ἐξολοθρεύσω τὰ ὀνό- v. 2.
ματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία· καὶ τοὺς ψευδοπροφήτας καὶ
τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς. „ Τότε γὰρ δὴ διὰ τῆς ἐκείνων ἐπιστασίας
πᾶσα μὲν ἡ τῶν εἰδώλων ἀφαιρεθήσεται θεραπεία, πᾶσα δὲ καταλυθήσεται ἡ τῶν ψευδο-
προφητῶν ἡ ἀπάτη, οὐθενὸς ἐπιτολμῶντος οὐδὲν ἐπιτηδεύειν τοιοῦτο. Καὶ δεικνὺς ὁπόση v. 3.
τις ἡ ἐπικράτεια γενήσεται τοῦ καλοῦ, φησὶν ὅτι εἰ τολμήσειέν τις παρελθὼν κατὰ τὸν καιρὸν
ἐκεῖνον προσποιήσασθαί τι τῶν ἐσομένων μηνύειν ἐκ πνεύματος ἐνεργούμενος ἀλλοτρίου,
οὐδενὸς ἐπὶ τῷ τολμήματι τούτῳ καὶ τῷ παρανομήματι οὐδὲ παρὰ τῶν γεννησαμένων αὐτὸν
συγγνώμης ἢ ἐλέους τεύξεται ἔτι· αὐτοῖς γὰρ ἐκεῖνοι μονονουχὶ πεδήσαντες αὐτὸν, ὑπὲρ δὴ
ψευδεῖ καὶ πεπλανημένῃ προφητείᾳ κεχρῆσθαι τολμᾷ, παραδώσουσι τιμωρίᾳ· οὕτως αἰ-

sio extitit, ex quo divinum adepti erant auxilium. Quamobrem et hostes suos extinxerunt, et in urbe ac Dei templo legitima ac sacerdotale officium decente cura tractari coeperunt; ac tum demum Iudaei necessario resipuerunt ab ea in quam antea incurrerant impietate ac legum inobedientia. Iam qui planctum dixerat et paenitentiam, idem conversionem quoque rerum in melius non reticuit, quae nimirum tantam illam paenitentiam in cunctis commoverat.

CAP. XIII.

" Illa enim, inquit, die omnis locus apertus erit domui Davidis. „ Id est cuncti libenter illos duces excipient, cum omni ad eos alacritate confugientes, ut pios et adversus hostes divina palam ope adiutos. Deinde ostendens, quomodo res religiosae ad rectum statum per Maccabaeorum potentiam revertentur, curantibus illis vitiosa omnia destruere, et Deo placita instaurare " et erit, inquit, die illa, dicit Dominus, delebo nomina idolorum de terra, neque ulterius mentio illorum erit. Et pseudoprophetas ac spiritum impurum de terra auferam. „ Tunc sane sub illorum praefectura omnis idolorum cultus auferetur, et omnis pseudoprophetarum fraus dissolvetur, nemine audente quicquam huiusmodi attentare. Atque ut demonstret quam late honestas dominatura sit, nemo inquit illo tempore audebit, in medium procedens, simulare aliquod vaticinium alieno spiritu instinctus: neque enim quisquam ob id facinus atque scelus vel ab ipsis parentibus veniam aut misericordiam consequeretur. Ipsi enim illi hunc propemodum ligantes, falsa fraudulentaque

χιώνη μὲν περιβληθήσονται) πάντες οἱ τηλικαῦτα τούτοις ἐπιχειροῦντες, πρὸς μεταμέλειαν
p. 525. δὲ νεύσουσι καὶ πένθος ἐκ τῶν ἐπιγινομένων αὐτοῖς κακῶν· τοῦτο γὰρ λέγει τὸ ἐνδύσονται
v. 4. * Ps. XXIX. 12. δέῤῥιν τριχίνην· οἷον ἐστὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ *, διέῤῥηξας τὸν σάκκον μου, καὶ
περιέζωσάς με εὐφροσύνην· ἵνα εἴπῃ, τὸ πένθος περιελὼν εὐφροσύνης με πεπλήρωκας·
v. 5. οἱ δὴ τοιοῦτοι, φησὶ, πρὸς μεταμέλειαν νεύσαντες, καὶ πενθικὸν περιθέμενοι σχῆμα,
ἀπαρνήσονται τὴν ἀπάτην τὴν οἰκείαν λέγοντες, ὡς οὔτε ἴσασι τί, οὔτε χρήσονται ἐπὶ τούτῳ,
ἀκολουθήσονται δὲ τοῦ λοιποῦ περὶ τὴν ἐργασίαν τῆς γῆς, ὅπερ οὖν καὶ ἐπιτηδεύειν εὐθὺς ἐκ
v. 6. πρώτης ἔμαθον ἡμέρας παρὰ τῶν γεννησαμένων αὐτούς· κἂν εἴ τινες δὲ αὐτοὺς ἔτι νεαρὰς
φέροντας τῶν τυπτησάντων αὐτοὺς τὰς πληγὰς ἐρωτῷεν, ὅθεν δὴ ταύτας ἐπιφέροιντο, ἐπαγ-
γελοῦσι σαφῶς οὐδὲν ἀρνησάμενοι ὅτι ἐπιχειροῦντες οἷς οὐ προσῆκον ἦν, ἐπὶ τῆς οἰκίας τῆς
ἑαυτῶν εἶεν δεδεγμένοι τὰς μάστιγας παρ᾽ ἐκείνων οἷς δὴ μάλιστα πάντων ἀγαπητοὶ
τυγχάνειν ἐδόκουν, ἅτε γονεῦσιν υἱοὶ, οἱ μηδὲ μίαν αὐτῶν φειδὼ πεποίηνται ἁμαρτανόν-
των, ἐπειδὴ τῆς εὐσεβείας τὴν ἐπιμέλειαν ἀνωτέραν τῆς φυσικῆς ἔθεντο συμπαθείας.

Ἀλλὰ γὰρ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τῶν πραγμάτων εἰρηκὼς ὁ προφήτης, ὅπως τε τῇ τῶν Μακκαβαίων προστασίᾳ καθῃρέθησαν μὲν οἱ ἐναντίοι, γέγονε δὲ ἐν εὐκοσμίᾳ τὸ ἔθνος πολλῇ, ὥστε πᾶσαν μὲν ἀσέβειαν ἐξ αὐτῶν καὶ παρανομίαν ἀνῃρῆσθαι, κρατεῖν δὲ πάντα γε ὁπόσα τοῖς θείοις νόμοις ἀκόλουθα συνέβαινεν εἶναι, ὥσπερ ἐκ τῆς τοιαύτης ἀποκαλύψεως, ἣν ἐκ τοῦ τοῦ ἁγίου πνεύματος ἐδέδεκτο ἐνεργείας, ἔνθους τε γεγονὼς, καὶ κατιδὼν ἀκριβῶς τὰ ἐσόμενα, οἷά τε ἐξ οἵων γενήσεται τὰ Ἰουδαίων, καὶ οἵαν μὲν ἐκ τῆς τῶν Μακκαβαίων προστασίας διόρθωσιν δέξεται τὰ κατ᾽ αὐτοὺς, ἐν ὅσῃ δὲ γέγονεν ἀκο-
p. 526. σμίᾳ ἐκ τῆς ἐκείνων μοχθηρίας οἱ παρὰ τῶν βασιλέων παρά τε τὸ πρέπον καὶ τὸ τοῖς νό-
μοις ἀκόλουθον τοῖς θείοις τήν τε ἱερωσύνην ἀναδεχόμενοι καὶ τὴν τοῦ λαοῦ προστασίαν, συγ-

prophetia abuti ausum, supplicio traderent. Sic ignominia quidem obruentur omnes qui tunc haec scelera admiserint: de paenitentia autem luctuque cogitabunt propter ingruentes ipsis calamitates. Id enim significant verba: induentur pelle cilicina. Sicut est apud beatum Davidem: conscidisti saccum meum, et circumdedisti me laetitia; id est luctu depulso, gaudio me complevisti. At hi, inquit, ad paenitentiam conversi, et lugubri induti habitu, imputatam sibi fraudem denegabunt dicentes, se nihil huiusmodi scire, neque talia umquam commissuros, sed colendae deinceps terrae vacaturos; quod vitae genus statim a pueritia abs parentibus suis didicerant. Quod si quis illos adhuc recentibus plagis tumentes rogaverit, unde eas retulissent? fatebuntur aperte nihil negantes, quod alienum sibi officium usurpantes, propria in domo verbera illa ab iis acceperint, quibus praecipue cari esse videbantur, ceu liberi parentibus, qui peccantibus non pepercerunt, propterea quod religionis curam naturali compassioni praetulerunt.

Age vero post nunciatam rerum in melius conversionem, et quomodo in Maccabaeorum principatu deleti fuerint hostes, et gens bene admodum composita, abiecta scilicet omni impietate ac nequitia, revocatoque divinarum legum studio; ex huiusmodi revelatione, quam Spiritu sancto operante acceperat, mente percitus propheta, ac futura evidenter cernens, et quaenam et ex qualibus res Iudaeorum forent, et quantam sub Maccabaeorum principatu emendationem nacturae essent; quantaque rursus perturbatio futura ob illorum improbitatem, qui a regibus, praeter fas legitimum ac divinum, tum sacerdotalem dignitatem, tum etiam populi ducatum accipientes, maxima confusione omnia repleverunt; summa indignatione ad-

χρήσεως μεγίστης πεπληρώκασιν ἅπαντα, μεγίστην τινὰ τὴν ἀγανάκτησιν ἐπὶ τῇ μοχθηρίᾳ τῶν
τῶν τοσούτων κακῶν γεγονότων αἰτίων δεξάμενος, τοιάδε φησίν. “ Ῥομφαία ἐξεγέρθητι ἐπὶ v. 7.
τὸν ποιμένα καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ, λέγει κύριος παντοκράτωρ. „ Προστακτικῶς
πάλιν κἀνταῦθα τὸ ἐσόμενον μηνύει· καὶ ὥσπερ πρὸς αὐτὸ τὸ ξίφος τρέψας τὸν λόγον,
κινήθητι δή φησιν ὦ μάχαιρα κατά τε ἐκείνων τῶν οὕτω κακῶς τῇ προστασίᾳ χρησαμέ-
νων, καὶ κατὰ πάντων τῶν ὅσοι τοῦ ἔθνους προσήκοντες συμπράττειν αὐτῶν ἐσπούδαζον τῇ μο-
χθηρίᾳ. “ Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήτω τὰ πρόβατα. „ Τῇ γὰρ πληγῇ τῇ
οἰκείᾳ θάνατον μὲν ἐπάγαγε τοῖς οὕτω κακῶς τῇ προστασίᾳ τοῦ λαοῦ χρησαμένοις, ἅπαν
δὲ τῶν συμπραττόντων αὐτοῖς τὸ σύστημα ἅμα τῇ ἐκείνων πληγῇ διασκέδασον τῇ τιμωρίᾳ.
Ταῦτα προστακτικῶς εἰρηκὼς εἰς τὴν τῶν ἐσομένων μήνυσιν, ἐπάγει τὰ ἑξῆς, ἀκόλουθον
ἐπαγαγὼν τοῖς μηνυομένοις τοῦ λόγου τὸ σχῆμα. “ Καὶ ἐπιστρέψω τὴν χεῖρά μου ἐπὶ τοὺς
μικροὺς ποιμένας. „ Καὶ γὰρ καὶ εἴ τινες ὑπὸ τοῖς ἡγουμένοις εἶεν, συμπράττειν τε αὐτῶν
τῇ μοχθηρᾷ προστασίᾳ βουλόμενοι, καὶ δὴ καὶ αὐτοὶ κατά τινα τάξιν τὴν δοκοῦσαν αὐτοῖς
ἐμπεπιστεῦσθαι, κατάρχειν ἐσπουδακότες τοῦ χείρονος, τιμωρήσομαι κἀκείνους· μικροὺς γὰρ
ποιμένας τοὺς τοιούτους καλεῖ.

Εἶτα δεικνὺς τὸ τῆς τιμωρίας δίκαιον “ καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν πάσῃ τῇ v. 8.
γῇ, λέγει κύριος, τὰ δύο αὐτῆς μέρη ἐξολοθρευθήσεται καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπο- p. 527.
λειφθήσεται ἐν αὐτῇ· καὶ διάξω τὸ τρίτον διὰ πυρός· καὶ πυρώσω αὐτοὺς ὡς πυροῦται τὸ ἀρ- v. 9.
γύριον, καὶ δοκιμῶ αὐτοὺς ὡς δοκιμάζεται τὸ χρυσίον· αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου,
καὶ ἐγὼ ἐπακούσομαι αὐτοῦ· καὶ ἐρῶ, λαός μου οὗτός ἐστι· καὶ αὐτὸς ἐρεῖ, κύριος ὁ θεός μου. „
Ὅτι γάρ φησι δικαίαν ὑπομένουσιν οἱ τοιοῦτοι τὴν τιμωρίαν, αὐτὸ δηλοῖ τὸ πρᾶγμα, οἳ
τοσαύτην ἐποίησαν ἐπὶ τὸ χεῖρον τοῦ ἔθνους τὴν ἐκτροπήν, ὥστε τὰ δύο μέρη τοῦ λαοῦ ῥέψαντα
πρὸς τὸ χεῖρον τιμωρίᾳ παραδοθῆναι· τὰ δὲ δύο μέρη φησίν, ἵνα εἴπῃ τοὺς πλείους·

versus horum improbitatem commotus, qui tantorum malorum causa fuerunt, in haec verba erumpit. “ Framea consurge adversus pastorem, et super virum civem eius, dicit Dominus omnipotens. „ Rursus hoc etiam loco imperative rem futuram significat; et quasi ad ipsum gladium verbis conversis, commovetor, inquit, o gladie, tum contra illos qui tam male principatu utuntur, tum etiam contra omnes qui genti nostrae iure societatis addicti, favere illorum improbitati curarunt. “ Percute pastorem, et dispergantur oves. „ Tuo verbere necem infer his qui tam male populi ducatu usi fuerant, totumque faventium illis coetum, eodem cum illis ictu poenaque disperge. His imperative dictis, ad rei futurae praedictionem, pergit loqui, consentaneam praedictioni formam sermonis tenens. “ Et convertam manum meam contra minutos pastores. „ Si qui sub principum potestate fuerint, et impio illorum imperio favere voluerint, et ipsi quoque parte aliqua officii sibi concredita, prave se gerere coeperint, hos item puniam. Namque hos appellat minutos pastores.

Postea poenae aequitatem demonstrans “ et erit, inquit, die illa in omni terra, dicit Dominus, duae ipsius partes peribunt et deficient, et tertia relinquetur in ea. Et traducam tertiam partem per ignem: et inflammabo eos ceu inflammatur argentum, et probabo eos sicut probatur aurum. Ipse invocabit nomen meum, et ego exaudiam eum. Dicamque: populus meus hic est. „ Quod hi iustam patientur poenam, res ipsa demonstrat, quoniam tantam fecerunt populi ad peius declinationem, ut duae populi partes ad vitium prolapsae supplicio traditae sint. Ceterum duas partes dicit, pro plurimis. Nihilominus haud pauci adhuc supererunt hone-

ἀλλὰ γὰρ οὕτως ὑπολειφθήσονται οὐκ ὀλίγοι τοῦ δέοντος ἐρασταὶ, εἰ καὶ ἐλάττους ἐκείνων οὗτοι· τοῦτο γὰρ λέγει τὸ τρίτον· οἳ ὥσπερ διὰ πυρὸς τινὸς τῷ μεγέθει τῶν ἐπαχθέντων αὐτοῖς κακῶν δοκιμασθέντες, μείζονα τῆς ἀρετῆς τῆς οἰκείας παρέχοντο τὴν ἀπόδειξιν, πλεῖστα μὲν ὅσα ὑπομεμενηκότες κακὰ, οὐδαμοῦ δὲ τῆς περὶ ἐμὲ ἐκστάντες εὐνοίας· οἱ δὲ καὶ πρὸς τὴν ἐμὴν βοήθειαν εἶδον καὶ τετυχήκασι ταύτης· ἐγώ τε γὰρ αὐτοὺς οἰκείους ἐθέμην, τὴν κηδεμονίαν ὑποσχόμενος τὴν ἐμὴν, κἀκεῖνοι δὲ ἐν ἐμοὶ τὸ πᾶν ἔθεντο, τῇ τε δεσποτείᾳ καὶ τῇ προστασίᾳ τὸ πᾶν πιστεύσαντες τῇ ἐμῇ. Καὶ δὴ πάλιν εἰπὼν τήν τε γεγενημένην ἐπικράτειαν τοῦ κακοῦ, τῇ τῶν κακῶς προεστώτων μοχθηρίᾳ, καὶ τὴν ἐντεῦθεν ἐπαχθεῖσαν αὐτοῖς τιμωρίαν, ἀντιπαρατίθησι τὴν κηδεμονίαν ἣν τοῖς περὶ αὐτὸν μεμενηκόσι βεβαίως παρέχετο.

ΚΕΦ. ΙΔʹ.

v. 1. “ Ἰδοὺ ἡμέρα ἔρχεται κυρίου· καὶ διαμερισθήσεται τὰ σκῦλά σου ἐν σοὶ, καὶ ἐπισυνάξω
v. 2. p. 528. πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται
αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμα-
λωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. „ Παραγίνεται
γὰρ φησὶ καιρὸς ἐν ᾧ πλεῖστοι τῶν ἀλλοφύλων ἐπιστρατεύσαντες τῇ Ἱερουσαλὴμ, ἅπασαν αὐτὴν
σκυλεύσουσιν ἔνδον· καὶ ἡ μὲν ὑπὸ τῶν πολεμίων ληφθήσεται, διαρπαγήσεται δὲ πάντα τὰ
τοῖς οἰκίαις ἐνόντα, τοσαύτῃ τε οἱ ἐπεισεληλυθότες τῇ πόλει χρήσονται τῇ παροινίᾳ, ὡς μή
τε τῆς εἰς τὰ σώματα τῶν γυναικῶν ὕβρεως ἀποσχέσθαι, καὶ πλείστους ὅσους τῆς πόλεως αἰχ-
μαλώτους λαβεῖν· ἀλλὰ καὶ τούτων οὕτω γινομένων διὰ τὴν ἑτέρων κακίαν, οἱ τῆς ἐμῆς εὐνοίας
ἀντεχόμενοι, ἀβλαβεῖς ἐπὶ τῆς πόλεως τῇ κηδεμονίᾳ διεφυλάχθησαν τῇ ἐμῇ· εἶτα λοιπὸν
v. 3. ἐφεξῆς τὴν βοήθειαν λέγει τὴν θείαν ἀφ' ἧς ἅπαντα αὐτοῖς ἐπὶ τὸ κρεῖττον τῇ τῶν Μακκαβαίων
προστασίᾳ μετέστη· προηγήσεται μὲν γὰρ φησὶ τῶν οἰκείων ὁ θεὸς ὥσπερ ἐν παρατάξει πολέμου

statis amatores, quamquam hi pauciores illis: id enim denotatur a tertia parte: qui veluti igne quodam, inflictorum malorum gravitate probati, maius virtutis propriae specimen dederunt, plurima passi mala, neque idcirco a meo deficientes amore: qui ad auxilium meum respicientes, eo digni fuerunt. Ego vero eos in numero meorum collocavi, meam spondens curam; illique vicissim suas res omnes dominatui patrocinioque meo concrediderunt. Exin denuo locutus de dominante malitia, culpa eorum qui male rebus praeerant, et de inflicta idcirco illis poena, memorat vicissim tutelam suam quam sibi firme adhaerentibus largiturum promiserat.

CAP. XIV.

“ Ecce dies Domini venit, et dividentur spolia tua in te. Et congregabo omnes gentes adversus Hierusalem ad bellum, et capietur civitas, et diripientur domus, et mulieres polluentur: et egredietur dimidia pars civitatis in captivitatem: et pars reliqua populi mei non peribit de civitate. „ Adest, inquit, tempus, quo plurima alienigenarum multitudo expeditionem faciet adversus Hierusalem, totamque intus spoliabunt. Et ipsa quidem ab hostibus capietur, diripientur vero omnia quae in aedibus fuerint; tantaque victores percellentur insania, ut ne a mulierum quidem corporibus violandis abstineant, plurimosque cives abducant captivos. His nihilominus ita peractis ab aliorum malitia, hi tamen qui in mei amore permanserint, incolumes in civitate patrocinio meo custodientur. Deinde pergit dicere divinam opem, qua omnia ipsis in melius sub Maccabaeorum principatu versa sunt.

νόμῳ, στρατηγῶν τε αὐτοῖς καὶ κατὰ τῶν ἐναντίων παρατατόμενος· σταθεὶς δέ φησιν ἐπὶ τὸ τῶν v. 4.
ἐλαιῶν ὄρος κατέναντι τῆς Ἱερουσαλὴμ, κλονήσει μὲν τὸ ὄρος, συγκινήσει δὲ ἅπαντα τὰ
πρὸ τῆς πόλεως καὶ τὴν πόλιν αὐτήν· ὥστε δοκεῖν μὲν ποικίλως διατέμνεσθαι τὸ ὄρος τῷ φόβῳ
τοῦ κινήματος, δοκεῖν δὲ τὰ τότε πράγματα ἐοικέναι τοῖς ἐπὶ τοῦ σεισμοῦ γεγονόσιν, ὃν ἐπὶ
τῆς Ὀζίου βασιλείας κατὰ θείαν ὀργὴν ἀποτελεσθῆναι συνέβη· λέγει μὲν οὖν ἅπαντα ὑπερ-
βολικῶς ὡς εἴωθε, καὶ ὅτι τῷ μεγέθει τῆς βοηθείας ἣν παρέχεται τοῖς οἰκείοις τῇ τε κατὰ τῶν p. 520.
ἐναντίων ἀγανακτήσει ὡσπερεὶ σαλεύειν ἅπαντα δόξει· ἐχρήσατο δὲ τῇ πρὸς τὸν Ὀζίαν
ὁμοιότητι, ἐπειδὴ κἀκεῖνος οὐδὲν τῇ ἱερωσύνῃ προσήκων, ἐπεχείρησεν αὐτῆς ἐπιλαβέσθαι·
ἐφ' ᾧ δὴ καὶ τῷ μεγέθει τοῦ σεισμοῦ τὴν ἀγανάκτησιν τὴν οἰκείαν ὁ θεὸς ἐπεδείξατο· τὸν αὐτὸν
δὴ τρόπον καὶ νῦν φησὶν διὰ τοὺς ἀσεβεῖ γνώμῃ παρωσαμένους μὲν τὴν νομικὴν εὐταξίαν,
τῇ ἱερωσύνῃ δὲ παρὰ τὸ πρέπον ἐπικεχειρηκότας, πολλὴν ἐπιδείξεται τὴν ἀγανάκτησιν ὁ
θεὸς τὴν οἰκείαν, συσσείων ἅπαντα, ἐπὶ τιμωρίᾳ μὲν τῶν ἐναντίων, σωτηρίᾳ δὲ τῶν οἰ-
κείων· οἷς ἐπάγει.

“ Καὶ ἥξει κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. ,, Ἀπ' αὐτοῦ γὰρ δὴ v. 5.
φησὶ τοῦ μεγέθους τῶν πραγμάτων ὡσανεὶ πόρρωθεν πόθεν εἰς βοήθειαν ἡμῶν ἐληλυθὼς
ὁ θεὸς φανεῖται, ἄγων τὸ οἰκεῖον στρατόπεδον ἅπαν σὺν ἑαυτῷ· λέγει δὲ τὰς ἀοράτους δυν-
άμεις· ταύτας γὰρ καλεῖ τοὺς ἁγίους, αἳ πρὸς ἅπαντα αὐτῷ τὰ δοκοῦντα ἐν τοῖς περὶ
τοὺς ἀνθρώποις γινομένοις ὑπηρετεῖσθαι εἰώθασιν. “ Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ v. 6.
ἔσται φῶς ἀλλὰ ψῦχος καὶ πάγος ἔσται μιᾷ ἡμέρᾳ. ,, Οὐ φῶς ὄντως καὶ ψῦχος καὶ πάγος v. 7.
λέγει, ἀλλ' ὥσπερ εἴωθεν λέγειν, ὅτι ὁ ἥλιος σκοτισθήσεται, καὶ δύσεται αὐτοῖς ὁ ἥλιος καὶ
ὅσα τοιαῦτα· ὡς τῶν ἐν συμφοραῖς ὄντων οὐδὲ μίαν αἴσθησιν τοῦ φωτὸς λαμβανόντων, ἀλλ'
ὥσπερ ἐν σκότῳ τινὶ τότε εἶναι δοκούντων· οὕτω κἀνταῦθα φησί· δόξουσι μὲν γὰρ ὑπὸ τοῦ με-

Praecedet, inquit, suis Deus tamquam in acie, lege belli, dux factus et contra hostes instructus: stansque, inquit, super monte olearum ex adverso Hierusalem, concutiet montem, commovebit ante urbem omnia, ipsamque urbem; ita ut videatur varie confringi mons motu eo pavefactus, rerumque casum similem esse terrae motui illi, quem sub Ozia rege a divina ira concitari contigit. Dicit ergo omnia hyperbolice, ut solet, et quod magnitudine auxilii suis praebito, et adversus hostes indignatione, omnia prope quassare videbitur. Usus est autem Oziae similitudine, quoniam ille quoque nullatenus sacerdotii particeps, hoc usurpare voluit: cuius rei causa Deus terraemotus magnitudine indignationem suam declaravit. Pari modo nunc quoque, inquit, propter eos qui mente impia legitimum ordinem praetergrediuntur, et sacerdotium contra fas usurpant, multam Deus ostendet indignationem suam, elementa omnia commovens ad hostium poenam, suorum vero salutem. His addit.

“ Et veniet dominus Deus meus, et omnes sancti cum eo. ,, Ex magnitudine, inquit, rerum gestarum, de longinquo veluti loco, ad auxilium nostrum veniens Deus apparebit, cunctum suum secum agens exercitum; id est invisibiles potestates; has enim sanctorum nomine appellat; quae ad omne eius libitum, in humanis rebus ministrare solent. “ Et erit die illa, non lux erit, sed frigus et gelu erit una die. ,, Haud reapse lucem vel frigus geluve dicit, sed potius more suo, fore ut sol obscuretur, vel occumbat illis, aut alia huiusmodi: quasi homines in calamitatibus versantes nullum lucis sensum habeant, sed quibusdam tenebris circumsepti videantur. Ita heic etiam ait: casuum magnitudine videbuntur homines ne lucem

γέθους τῶν γινομένων οἱ ἄνθρωποι, φησὶν, οὐδὲ φῶς ὁρᾷν, ὥσπερ δὲ ἐν ψύχει καὶ πάγῳ
ταραττόμενοι ἐν τρόμῳ τε καὶ κλόνῳ μένουσι, συναράττοντες τοὺς ὀδόντας τῷ μεγέθει τῶν
p. 530. γινομένων κακῶν ἐκ τῆς ἐπιφανείας τῆς θείας· οἷον ἐστὶ καὶ τὸ παρὰ τοῦ κυρίου λεγόμενον,
* Matth. VIII. 12. ἐκεῖ ἔσται ὁ βρυγμὸς τῶν ὀδόντων *. “ Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ. ,, Ἵνα εἴπῃ
ὅτι κατὰ γνώμην θεοῦ γενήσεται τοιαῦτα, ἐπείπερ ἀρεσὸν αὐτῷ τὸ οὕτω ταῦτα τότε συμβῆναι·
οἷον ἐστὶ τὸ, ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ· ἀντὶ τοῦ ᾠκειώσατο αὐτοὺς καὶ ἀρεστοὺς ἐνόμισεν
ἑαυτῷ· οὕτω καὶ τὴν ἡμέραν λέγει γνωστὴν τῷ κυρίῳ, ὡς ἀρεστὴν αὐτῷ, τῷ κατὰ γνώμην
αὐτοῦ τὰ τοιαῦτα ἐν αὐτῇ γενέσθαι, ἐπὶ τιμωρίᾳ μὲν τῶν ἐναντίων, σωτηρίᾳ δὲ τῶν οἰκείων·
ὅθεν ἐπάγει· “ καὶ οὐχ ἡμέρα καὶ οὐ νὺξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς· ,, ἐπικρατούντων
μὲν γὰρ τῶν κακῶν, τοσοῦτο περιχυθήσεται σκότος ἅπασιν, ὡς μὴ δὲ μίαν εἶναι νυκτός τε καὶ
ἡμέρας διαφοράν· οὕτω σκότος λήψεται τὰ πάντα· ἀκολουθήσει δὲ τούτοις (τοῦτο γὰρ λέγει
πρὸς ἑσπέραν) φῶς, τουτέστιν ἡ ἀντίληψις ἡ θεία· ἐπειδὴ πάντα ἐκεῖνα διαπράττεται ἐπὶ
τιμωρίᾳ τῶν ἐναντίων, ὡς ἂν τοὺς οἰκείους ἑαυτῷ περιποιήσειεν· διὰ τούτων ἐπάγει λοιπόν.
v. 8. “ Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. ,, Ἵνα εἴπῃ τότε
καθαρὰ ἱερωσύνη ἐπὶ τῆς Ἱερουσαλὴμ ἐπιτελεσθήσεται καὶ νόμιμος, προστασία τε ἀρέσκουσα
τῷ θεῷ, καὶ διδασκαλία τοῖς νόμοις ἀκόλουθος τοῖς θείοις, ἥ τις οὐ τοῖς κατ᾽ ἐκεῖνον τὸν
καιρὸν τοῦ ἔθνους ἐπιτηδεία μόνον ἔσται, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα· θάλασσαν μὲν γὰρ πρώτην
v. 9. τοὺς τότε λέγει· ἐσχάτην δὲ τοὺς μετ᾽ ἐκείνους· οἷς προστέθεικεν “ ὅτι ἐν θέρει καὶ ἐν ἔαρι
p. 531. ἔσται οὕτως. ,, Ἵνα εἴπῃ ὅτι κατὰ πάντα καιρὸν διὰ τῆς θείας κηδεμονίας ἐπικρατήσει τὰ
κρείττω· οὕτω τε φησὶ κατὰ πάσης τῆς γῆς ἔσται βασιλεὺς γνωριζόμενός τε καὶ ὁμολογούμενος
μόνος εἶναι θεὸς ὁ τοῦ παντὸς ποιητής τε καὶ κύριος· αὐτός τε γὰρ δι᾽ ὧν ποιεῖ, τὴν κηδεμονίαν
καὶ τὴν ἐξουσίαν ἐπιδείκνυται τὴν οἰκείαν· καὶ δὴ καὶ πάντες οἱ κατὰ γῆν (ἵνα εἴπῃ τοὺς τοῦ ἔθνους)
διαμένουσι λοιπὸν ἀπηλλαγμένοι μὲν πλάνης ἁπάσης, τὴν ὀνομασίαν δὲ μόνην τοῦ αὐτοῦ

quidem aspicere, sed frigore geluque pulsati, in tremore et concussione manebunt, dentibus infrendentes, ob ingruentium malorum magnitudinem in Dei adventu; iuxta Domini dictum: ibi erit stridor dentium. “ Et dies illa nota Domino. ,, Id est iuxta Dei sententiam talia fient, quoniam ei libuit haec tunc evenire. Veluti illud: novit Dominus qui sunt eius; id est familiares suos fecit, et in carorum numero habuit. Sic diem ait notam Domino, nempe ipsi gratam, quia ex eius sententia die illa fient talia, ad hostium punitionem, amicorum autem salutem. “ Et non dies neque nox, et post vesperam lux erit. ,, Incumbentibus malis, tantae omnibus offundentur tenebrae, ut nulla sit noctis a die distinctio: adeo tenebrae cuncta occupabunt! His tamen succedet (id enim innuit dictio post vesperam) succedet inquam lux, id est divinum auxilium: quia cuncta illa fiunt ad hostium punitionem, ut suos ad se recipiat. Propter haec igitur addit.

“ Et die illa egredietur aqua vivens ex Hierusalem. ,, Idest, tunc purum sacerdotium in urbe Hierusalem constituetur atque legitimum, nec non principatus Deo placens, et doctrina divinis legibus consentanea, quae non illius tantum temporis gentibus opportuna erit, verum etiam posteris. Nam mare primum priores dicit, postremum posteros. Quibus addit: aestate et verno tempore ita erit ,, id est per omne tempus divino patrocinio perseverabit prosperitas. Sic, inquit, universa terra regem agnoscet et confitebitur unum Deum rerum omnium creatorem ac dominum. Ipse enim per ea quae facit, suam demonstrat providentiam ac potestatem: perque terram omnes (id est gentis suae homines) perseverant deinceps omni er-

καλοῦντες ὡς θεοῦ· εἶτα καὶ περὶ τόπων λέγει διαφόρων, βουλόμενος διὰ πάντων εἰπεῖν, ὅτι v. 10.
κατὰ παντὸς μέρους προσήκοντος τῇ γῇ τῇ ἡμετέρᾳ διαμενεῖ θεὸς γνωριζόμενός τε καὶ
προσκυνούμενος, ἀπεληλαμένης πάσης πλάνης τε καὶ ἀσεβείας ἐξ ἡμῶν· μετὰ ταύτης δέ φησι
τῆς γνώσεως καὶ οἰκήσουσι τὴν Ἱερουσαλὴμ λοιπὸν ἅπαντες βεβαίως οἱ τῷ ἔθνει προσήκοντες
τῷ ἡμετέρῳ, καὶ οὐθεὶς ἔσται λοιπὸν ἐν τῷ ἔθνει ἀσεβείᾳ χαίρων, οὐδὲ ἀπηλλοτριωμένος
θεοῦ· τοῦτο γὰρ λέγει, καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι· ὡς γὰρ ὁ μακάριος λέγει Παῦλος *, εἴ τις *I. Cor. XVI. 22.
οὐ φιλεῖ τὸν κύριον Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα· οὐκ ἔσται οὖν φησὶν οὐκέτι τοῦτο· ἐπεὶ μὴ v. 11.
δὲ ἔστι τις λοιπὸν ἠλλοτριωμένος θεοῦ· διαμενεῖ τε λοιπὸν οἰκουμένη ἡ Ἱερουσαλὴμ ὑπὸ πάν-
των μετὰ πολλῆς τῆς ἀσφαλείας, ἣν ὑπὸ τῆς θείας ἕξει κηδεμονίας διὰ τὴν τοῦ κρείττονος ἐπι-
μέλειαν· ἐν μὲν δὴ τούτοις συνεπέρανε τὴν μακκαβαϊκῶν τὴν προφητείαν, καὶ τὰ κατ᾽ ἐκεῖνον
ἐσόμενα τὸν καιρὸν, τά τε παρ᾽ αὐτῶν πλημμεληθῆναι μέλλοντα, καὶ τὰ περὶ αὐτοὺς γενησό-
μενα παρὰ τῶν ἐναντίων, καὶ μὴν καὶ ὅσην τινὰ τὴν περὶ αὐτοὺς ἐπιδείξεται κηδεμονίαν ὁ p. 552.
θεὸς, τοῖς τοῦ καλοῦ προεστῶσι τὴν οἰκείαν παρέχων ῥοπήν· ἐντεῦθεν δὲ ἀναλαμβάνει τὰ πρὸ
τῆς τῶν μακκαβαϊκῶν μηνύσεως αὐτῷ ῥηθέντα· ἐν οἷς τὰ διὰ τοῦ Ζοροβάβελ προσεσόμενα
τῷ ἔθνει καλὰ λέγων, προσέθηκε τὴν περὶ τὸν Γὼγ τὴν ἀναίρεσιν· τούτων δὴ κἀνταῦθα
πάλιν ἀναλαμβάνει τὴν μήνυσιν, ἅτε καὶ ἐγγύθεν ἐσομένων, ὡς ἂν τοῖς τε μετὰ πλεῖστον γί-
γνεσθαι μέλλουσι τὸν χρόνον, λέγω δὲ τοῖς μακκαβαϊκοῖς, πίστις ᾖ τὰ πρόσφατον περὶ τὸν
Γὼγ γινόμενα, καὶ τῷ προφήτῃ δὲ ἐγγένηται τὴν οἰκείαν προφητείαν εἰς χρηστοτέραν μήνυσιν
συμπεράναι· λέγει τοίνυν.

" Καὶ αὕτη ἔσται ἡ πτῶσις ἣν κόψει κύριος πάντας τοὺς λαοὺς, ὅσοι ἐπεστράτευσαν v. 12.
ἐπὶ Ἱερουσαλήμ. „ Τοῦ γὰρ ἔθνους φησὶν ἐκείνου τοῦ μεγίστου τε καὶ ἀμαχωτάτου περιέσονται
τῇ θείᾳ δυνάμει· ὡς ἑστώτων μὲν αὐτῶν τακῆναι τὰς σάρκας, οὐδὲ προβαίνειν ἐπὶ τὸν

rore liberi, solum ipsum appellantes Deum. Exin diversos locos memorat, volens per omnia dicere, fore ut in parte qualibet nostrae regioni finitima, constanter Deus agnoscatur atque adoretur, fraude omni atque impietate depulsa. Cum hac, inquit, Dei notitia habitabunt deinceps Hierusalem constanter omnes qui genti nostrae sunt devoti, nemoque in populo irreligiosus erit aut a Deo alięnus. Sic enim valent verba, non erit ulterius anathema. Nempe ut beatus ait Paulus, si quis non amat dominum Iesum Christum, anathema sit. Igitur nihil eiusmodi posthinc erit; quia nemo item abhinc erit a Deo alienus: cunctique habitabunt deinceps Hierusalem multa cum securitate, quam civitas a divina tutela adsequetur propter suum virtutis studium. Atque in his finem facit de maccabaicis rebus prophetia, et de illorum temporum casibus, et de futuris populi peccatis, et de malis adversariorum manu infligendis, nec non de cura quam Deus circa illos ostendet, honesti videlicet adseclis suum impendens auxilium. Exin vero resumit res ante tempora maccabaica abs se dictas, ubi praestandis a Zorobabele genti iudaicae bonis recitatis, adiunxerat exercituum Gogi occisionem. Rerum harum hoc etiam loco resumit praedictionem, utpote proximarum; ut illis etiam qui post plurimum intervallum eventurae erant, maccabaicis inquam, fidem facerent ea quae nuper circa Gogum acciderant: atque ita propheta vaticinium suum utiliore praedictione concluderet. Ait igitur.

" Et haec erit ruina qua percutiet Dominus omnes populos, quicumque militaverunt contra Hierusalem. „ Gentis illius, inquit, maximae et inexpugnabilis victores evadent divina virtute: tamquam si stantium illorum tabescerent carnes, ne-

πόλεμον ἐωμένων, τῷ φθάνειν αὐτῶν τὴν ὁρμὴν τὸν θεὸν διὰ τῆς ἐπαγομένης αὐτοῖς τιμω-
ρίας· ἀφαιρεθήσεται δὲ αὐτῶν καὶ ἡ τοῦ βλέπειν ἰσχὺς, ἐκ τοῦ μεγέθους τῶν καταλαμβανόντων
v. 13. αὐτοὺς κακῶν, μένουσί τε ἄφωνοι διὰ τὴν τῶν συμβάντων ἀπορίαν· καὶ συντόμως φησὶ τοσαύτη
αὐτοὺς ἀθρόα κατὰ θείαν ὀργὴν ἔκστασις λήψεται, ὥστε ἕκαστον ἐπὶ τὸν πλησίον τρέποντα τὴν
οἰκείαν χεῖρα, μὴ δὲ τοῦτο εἰδέναι, ἀλλ' οἴεσθαι ἀλλοτρίων ἐφάπτεσθαι, ὡς κατά γε τὸ πλεῖστον
ἔργον αὐτοὺς ἀλλήλων γενέσθαι, πλείονας τε αὐτῶν ὑπὸ τῶν οἰκείων ἢ ὑπὸ τῶν Ἰουδαίων πληττ-
v. 14. p. 533. ομένους πεσεῖν. Ἀλλὰ γὰρ ἐν τοιούτοις κακοῖς ἐξεταζομένων ἐκείνων, παρατάξεται φησὶ καὶ
Ἰούδας ἐν Ἱερουσαλήμ· ἵνα εἴπῃ ὅτι θαῤῥῶν ἐπὶ τὴν κατ' αὐτῶν ἐξελεύσεται πόλεμον ὑπὸ
τῷ Ζοροβάβελ στρατηγούμενος, ὃς ἐκ τῆς τοῦ Ἰούδα φυλῆς βασιλεὺς αὐτῶν κατὰ θείαν ἀνα-
δέδεικται κρίσιν· οὕτω τε κρατήσουσι τῶν ἐναντίων, ὥστε πάντα αὐτοῖς τὰ προσόντα, χρυ-
σόν τε καὶ ἄργυρον καὶ ἐσθῆτα, καὶ ὅ τι ποτ' ἂν ἔχοιεν παρ' ἑαυτοῖς ἀγαθὸν, ταῦτα δὴ
πάντα ἀφελομένους τὸν οἰκεῖον αὐξῆσαι πλοῦτον· τοῦτο γὰρ εἶπε " καὶ συνάξει τὴν ἰσχὺν πάντων
τῶν λαῶν κυκλόθεν· " ἰσχὺν αὐτῶν εἰπὼν τὰ προσόντα ἀφ' ὧν εἶχον τὸ δύνασθαι· ὅθεν
v. 15. καὶ σαφηνίζων αὐτὸ, ἐπήγαγε· " χρυσόν τε καὶ ἄργυρον καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα. "
Τούτοις ἐπάγει· ὅτι πολλή τις ἀπώλεια καὶ ἵππων ἔσται καὶ ἡμιόνων καὶ καμήλων καὶ ὄνων καὶ
πάντων τῶν προσόντων αὐτοῖς κτηνῶν, ὁπόσα περ ἐπιτήδεια πως ἑαυτοῖς εἰς τὸν πόλεμον
νομίσαντες εἶναι, συλλαβόντες ἦγον μεθ' ἑαυτῶν· ὁ μὲν δὴ θάνατος αὐτῶν, φησὶ, καὶ ἡ ἀπώ-
v. 16. λεια τοσαύτη τις ἔσται καὶ τοιαύτη· ὁπόσοι δ' ἂν αὐτῶν περισωθεῖεν, ἐπιγνόντες τοῦ θεοῦ τὴν
δύναμιν ἐξ ὧν πεπόνθασι, νόμον θήσονται παρ' ἑαυτοῖς, διηνεκῶς ἀνιόντες ἐπὶ τὴν Ἱερου-
σαλὴμ τὴν καθήκουσαν ἀποτιννύναι τῷ θεῷ προσκύνησιν, ἐπιτελεῖν δὲ καὶ τὴν ἑορτὴν τῆς
σκηνοπηγίας, ἐπειδὴ τοῖς πόῤῥωθεν παραγινομένοις ἐπιτήδειος ὁ καιρὸς θερινὸς ὑπάρχων·
v. 17. καὶ πολλοῖς δὲ τῶν δι' ὑπεροψίαν οὐκ ἀποπληρούντων ταῦτα, τιμωρίαν ἐπάξω, ἀβροχίᾳ καὶ
p. 534. τῇ ἐντεῦθεν ἀκαρπίᾳ καταδικάζων αὐτοὺς, ὡς ἂν αἴσθοιντο τῆς τοῦ πάντων κυρίου τιμῆς.

que ad pugnam procedere sinerent, Deo ipsorum impetum praeveniente poenae impositione. Auferetur quoque ipsis cernendi vis a magnitudine incumbentium malorum, mutique fient ob eventuum angustias. In summa, tanta illis a Dei ira mentis perturbatio incidet, ut singuli invicem manus afferentes, haud sentiant, sed extraneos pulsare se putent, fiantque mutuae caedis auctores, maiorque illorum pars a suis quam a Iudaeis percussa cadat. Verum dum illi his malis implicantur, comparabit se ad proelium Iudas in urbe Hierusalem, id est audacter exibit ad hostium oppugnationem duce Zorobabele, qui rex ipsis divino iudicio constitutus est. Atque ita potientur hostibus ut omnes eorum opes, aurum, argentum, vestem, et quicquid boni secum habuerint, diripientes ad suarum opum cumulum conferant. Sic enim significant verba " congregabit fortitudinem populorum omnium in circuitu ", fortitudinem illorum dicens opes a quibus vires accipiebant. Quod declarans, ait: aurumque et argentum et vestem valde plurimam. His addit, multum fore equorum detrimentum, et mulorum, et camelorum, atque asinorum, omniumque apud eos iumentorum, quotquot bello utilia aestimantes, secum adducebant. Et interitus quidem illorum atque exitium tale erit. Quotquot autem ex ipsis salvi supererunt, agnoscentes Dei potentiam ex his quae sunt passi, legem sibimet statuent ascendendi perpetuo ad urbem Hierusalem, ibique debitum Deo obsequium persolvendi, nec non tabernaculorum festum agendi, quandoquidem iis qui de longinquo veniunt vernum tempus idoneum est. Multis autem superbe haec negligentibus poenas inferam, pluviam et ubertatem frugum negando, ut agnoscant se universalis

ἀμελοῦντες· κἂν οἱ τῆς Αἰγύπτου δὲ κἂν εἴ τινες δή ποτε ταύτην ἀναδέξωνται τὴν γνώμην, v. 18.
τὴν αὐτὴν δώσουσι τιμωρίαν· βούλεται γὰρ εἰπεῖν ὅτι πολλοὶ τῶν ἀλλοφύλων ἐκπλαγέντες ἐπὶ τῷ μεγέθει τῶν γεγονότων πολλαχόθεν ἐπὶ τὴν Ἱερουσαλὴμ συῤῥεύσουσι, τὴν καθήκουσαν τῷ θεῷ προσκύνησιν ἀποδιδόντες, ὡς καὶ τιμωρίαν ἀπεκδέχεσθαι εἰ μὴ τοῦτο ποιοῖεν. Τούτοις ἐπάγει.

“ Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ κυρίῳ παντοκρά- v. 20.
τορι· καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ κυρίου ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου. ” Βούλεται μὲν εἰπεῖν ὅτι πολλὰ καὶ τῷ θεῷ ἀνατεθήσεται παρὰ τῶν Ἰσραηλιτῶν ἀπὸ τῶν λαφύρων, ἃ παρὰ τῶν πολεμίων λήψονται, πολλά τε ὄντα καὶ ἀριθμὸν νικῶντα· οἷον πεποίηκεν ὁ μακάριος Δαυὶδ μετὰ τὴν τοῦ Γολιὰθ ἀναίρεσιν τὸ ξίφος ἀναθεὶς τῷ θεῷ· τὸ αὐτὸ γὰρ λέγει κἀνταῦθα, ὅτι καὶ χαλινοὺς ἵππων, οὓς τῶν ἀναιρεθέντων ἀφείλοντο, προσοίσουσι τότε τῷ θεῷ· ἀπὸ γὰρ τοῦ χαλινοῦ ὡς ἀπὸ μέρους ἠβουλήθη τὰ λοιπὰ ὅπλα τέ καὶ λάφυρα εἰπεῖν, ἅπερ οὖν ἀνατιθέναι ἤμελλον, ἑκάστου κατὰ τὴν οἰκείαν πρόθεσιν προσφέροντος τὸ δοκοῦν ἐκ τῶν λαφύρων· ὅθεν ἐπάγει, ὅτι προσαχθήσονται καὶ λέβητες πλεῖστοι οὓς ἐπήγοντο οἱ πολέμιοι, ἐπιτηδείους ἑαυτοῖς εἶναι νομίζοντες εἰς τὴν ἕψησιν τῶν κρεῶν, οἳ διὰ τὸ πλῆθος, φιαλῶν δίκην, ἔσονται τοῦ οἴκου προκείμενοι τοῦ θείου· ἠβουλήθη γὰρ ἀπὸ
μὲν τοῦ χαλινοῦ τὰ ἀπὸ τῶν ὅπλων ἀνατιθέμενα εἰπεῖν, ἀπὸ δὲ τῶν λεβήτων τὰ ἀπὸ τῶν p. 535.
κτημάτων, ὡς εἴωθεν ἀπὸ μέρους τὰ πλεῖστα δηλοῦν ἡ θεία γραφὴ, ὅτ᾽ ἂν περιττὴν ἡγῆται τὴν κατὰ μέρος ἀκριβολογίαν· ἐπεὶ κἀνταῦθα περιττὸν ἦν τὸ ἀριθμεῖν δόρατα καὶ ξίφη καὶ θώρακας, λέβητάς τε καὶ τὰ ἐν ἀνθρώπων κείμενα χρήσει, οἷον εἰπεῖν πινάκια, ποτήρια, ἢ καὶ εἴ τι τοιοῦτο· ἐκ γὰρ τοῦ μέρους, ὡς εἶπον τε ἤδη, καὶ ἐπισημηνάμην πολλάκις, ἐδήλωσε τὸ πᾶν εἰπεῖν. Δεικνὺς τῶν λεβήτων τῶν ἀνατιθεμένων τὴν χρείαν, ἐπάγει.

“ Καὶ ἔσται πᾶς ὁ λέβης ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ Ἰούδᾳ ἅγιος τῷ κυρίῳ παντο- v. 21.
κράτορι· καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες, καὶ λήψονται ἐξ αὐτῶν, καὶ ἕψουσιν ἐν αὐτοῖς. ”

domini honorem neglexisse. Et si Aegypti incolae, et si quidam alii hac prava mente fuerint, poenam similem perferent. Vult autem dicere, extraneos multos magnitudine eventuum territos, variis ex locis ad urbem Hierusalem concursuros, debitum Deo obsequium oblaturos; et nisi fecerint, poenam relaturos. His addit.

“ Die illa erit quod super frenum equi est, sanctum Domino omnipotenti. Et erunt lebetes in domo Domini sicut phialae ante faciem altaris. ” Fore dicit, ut complura Deo offerantur ab Israhelitis de manubiis quae ex hostibus retulerint, multa sane et innumerabilia. Sicuti fecit beatus David post Goliathi caedem gladium Deo dedicans. Idem heic quoque dicit, nempe quod equorum frenos interemptis ablatos Deo offerent. Namque a freno tamquam a parte, reliqua arma et spolia denotat, quae oblaturi erant, singulis pro suo proposito ex manubiis quod visum fuerit afferentibus. Unde addit, lebetes plurimos adductum iri quos hostes secum habuerant, utpote coquendis carnibus idoneos, quorum multitudo phialarum vice fungetur in domo Dei exposita. Vult autem frenis, armorum oblationem designare; lebetibus, divitiarum; more scripturae consueto a parte multitudinem denotandi, quotiescumque supervacaneam iudicat partium accuratam enumerationem. Certe heic superfluum erat enumerare singillatim hastas, gladios, loricas, lebetes, et quicquid ad usum hominum est, verbi gratia catinos, pocula, et si quid aliud huiusmodi est. Sed a parte, ut nuper dixi, et saepe adnotavi, se totum designare demonstrat. Iam ut ostendat oblatorum lebetum usum, sic prosequitur.

“ Eritque omnis lebes in urbe Hierusalem et apud Iudam sanctus Domino om-

Οἱ μὲν γὰρ προσκομισθέντες λέβητες, φησὶν, ἅγιοι ἔσονται ἅτε ἀνακείμενοι λοιπὸν τῷ θεῷ· ἀφθονία δὲ ἐντεῦθεν ἔσται τοῖς προσάγουσι τὰς θυσίας, τοῦ ἔχειν ὅποι προσῆκεν ἑψήσαντας τὰ τῶν θυσιῶν πληρῶσαι τὸ πρέπον· ἢ γὰρ οὐχ οὕτως ἐν τῇ πρώτῃ τῶν βασι-
* 1. Reg. II. 13. λειῶν ἡ θεία λέγει γραφὴ διηγουμένη τὴν υἱῶν Ἠλὶ τὴν παρανομίαν *; ὅτι ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως ὡς ἂν ἡψήθη τὸ κρέας, καὶ κρεάγρα τριόδους ἐν τῇ χειρὶ αὐτοῦ, καὶ καθίει αὐτὴν εἰς τὸν λέβητα, ἢ εἰς τὴν χύτραν, ἢ εἰς τὸ χαλκίον· καὶ πᾶν ὃ ἀνέβαινεν ἐν τῇ κρεάγρᾳ ἐλάμβανεν ἑαυτῷ ὁ ἱερεύς; τοῦτο οὖν εἰπεῖν ἠβουλήθη, ὅτι ἀφθονίᾳ λοιπὸν τοῖς ἐπὶ τῇ θεραπείᾳ τοῦ θεοῦ συνιοῦσι εἰς τὴν Ἱερουσαλὴμ ἔσται λεβήτων, ἐν οἷς προσῆκεν αὐτοὺς τὴν ἐπὶ ταῖς θυσίαις χρείαν ἑαυτῶν ἐκπληροῦν. Τούτοις ἐπάγει. " Καὶ οὐκ ἔστι Χαναναῖος ἔτι ἐν
p. 536. τῷ οἴκῳ κυρίου παντοκράτορος, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. „ Ἐπειδὴ διαβεβλημένοι Χαναναῖοι τὸν τρόπον ἦσαν ἐπί τε ἀσεβείᾳ ἐπί τε ἠθῶν μοχθηρίᾳ, τοῦτο βούλεται εἰπεῖν ὅτι παύσονται πάντες λοιπὸν οἱ τοῦ Ἰσραὴλ τὴν πρὸς ἀσέβειαν ἢ τινὰ μοχθηρίαν νεύειν ἠθῶν, ἐξ αὐτῶν δεδιδαγμένοι τῶν πραγμάτων ἡλίκον ἀγαθὸν εὐσεβείας τε καὶ ἀρετῆς ἐπιμέλεια· οὕτω καὶ
* Os. XII. 7. ὁ μακάριος Ὠσηὲ λέγει· * Χαναὰν, ἐν τῇ χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησε· καὶ εἶπεν Ἐφραΐμ, πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ· τῇ τῶν Χαναναὰν προσηγορίᾳ, τοὺς Ἰσραηλίτας τὸ μὴ δέον διαπραττομένους καλέσας, ὡς ἂν τὸν ἐκείνων τρόπον μεμιμημένους.

nipotenti. Et venient cuncti immolantes, et sument inde, et coquent in eis. „ Oblati quidem lebetes, sancti erunt utpote oblati in posterum Deo. Commoditas vero hinc erit adducentibus victimas, copiam habendi ubi coquere oporteat, et sacrificia decenter perficere. Nonne enim in primo regnorum sic loquitur divina scriptura, dum narrat filiorum Heli iniquitatem? nempe quod veniebat puer sacerdotis, fuscinulam tridentem habens in manu sua, mittebatque fuscinulam in lebetem seu eacabum seu caldariam; et omne quod levabat fuscinula, tollebat sacerdos sibi. Vult ergo dicere, convenientibus ad Dei cultum in urbe Hierusalem copiam fore lebetum, quibus opus erat ipsis ad explendum sacrificiorum ritum. His addit: " et non erit Chananaeus ulterius in domo Domini omnipotentis die illa. „ Quia infames erat Chananaei ob irreligiositatem morumque pravitatem, innuit sic propheta desituros deinceps cunctos de populo israhelitico ab impietate aut qualibet morum malitia, eventibus ipsis edocti quantum bonum sit pietas et virtutis studium. Sic etiam beatus Oseas ait: " Chanaan, in manu eius statera iniquitatis, opprimere praepotenter dilexit. Dixitque Ephraim: verumtamen dives factus sum, inveni mihi solatium. „ Scilicet Chananaeorum nomine Israhelitas illos appellat qui illicita agebant, Chananaeorum mores imitantes (1).

(1) Recole Theodorum apud nos p. 57.

ΕΡΜΗΝΕΙΑ ΜΑΛΑΧΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Τῶν μακαρίων προφητῶν Ἀγγαίου τε καὶ Ζαχαρίου μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον
τοῦ λαοῦ κατὰ θείαν προφητευσάντων ἐνέργειαν, Ἀγγαῖος μὲν ὁ μακάριος περί τε τῆς ναοῦ
οἰκοδομῆς διείλεκται τῷ λαῷ, καὶ δὴ καὶ τὴν περὶ τὸν Γὼγ μηνύει τὴν ἀπώλειαν· ὁ δὲ μα-
κάριος Ζαχαρίας ταῦτα τε λέγει, προστιθεὶς καὶ τὰ κατὰ τοὺς Μακκαβαίους μετὰ πολὺν
γεγονότα τὸν χρόνον, καὶ δὴ καὶ ἀποκαλύψεις πολλὰς καὶ διαφόρους ἐκτίθεται, δι' ὧν τό τε
ποικίλον τῆς περὶ αὐτοὺς εὐεργεσίας ἐδήλωσε τοῦ θεοῦ, καὶ διδασκαλίαν παρέχετο, θεοσε-
βείᾳ τε καὶ ἐπιμελείᾳ βίου προσάγειν αὐτοὺς δυναμένην αὐταρκῶς. Ἐπειδὴ δὲ τῆς θείας p. 637.
προνοίας ἀξιωθέντες Ἰουδαῖοι, καὶ τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου, πλείστων τε ὅσων τετυ-
χηκότες ἀγαθῶν, καὶ δὴ καὶ ἐν εὐπραγίᾳ καταστάντες πολλῇ, οὐκ εἰς δέον ἐχρήσαντο τῇ
ἀνέσει, τὰ μὲν τῶν ἱερέων, τὰ δὲ καὶ τοῦ λαοῦ πλημμελοῦντος παντὸς, ὡς καὶ τὰς κατὰ νόμον
ὡρισμένας θυσίας μὴ μετὰ τοῦ προσήκοντος ἐκτελεῖν, ἀναγκαίως ὁ παρὼν οὑτοσὶ προφή-
της κατὰ θείαν ἐνέργειαν ἐπὶ τοῦτο προβληθεὶς, ἐλέγχει μὲν τῶν τε ἱερέων καὶ τοῦ λαοῦ τὰς
πλημμελείας, ἃς αἵτινές εἰσιν, ἐξ αὐτῶν τῶν γεγραμμένων ἄμεινον μάθοι τις ἄν· μηνύει
δὲ καί τινα τῶν ἐσομένων· ὄνομα δὲ τῷ προφήτῃ, κατὰ μὲν τὴν Ἑλλήνων γλῶτταν, ἄγγελος·
κατὰ δὲ τὴν Ἑβραίων, Μαλαχίας· ἐπειδὴ τὸν ἄγγελον οὕτω καλεῖν Ἑβραίοις ἔθος· ὅθεν καὶ
μεταβολῇ τῇ εἰς τὴν Ἑλλήνων γλῶτταν ἄγγελος κέκληται ἀντὶ Μαλαχίου· λέγει δὲ οὕτως.

ΚΕΦ. Α'.

" Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ. ,, Ἵνα εἴπῃ ὅτι κατὰ v. 1.

COMMENTARIUS IN MALACHIAM PROPHETAM.

Quum beati prophetae Aggaeus ac Zacharias post populi Babylone reditum divino instinctu prophetarent, beatus quidem Aggaeus de templi aedificatione disseruit cum populo, et Gogi etiam exitium praedixit; beatus autem. Zacharias eadem dixit, adiectis etiam Maccabaeorum rebus quae multo tempore post evenerunt: tum et multas diversasque revelationes addidit, quibus et beneficiorum Dei erga Iudaeos varietatem declaravit, et doctrinam tradidit admovendo illos idoneam pietati morumque probitati. Sed quia divinam providentiam adepti Iudaei nec non Babylone reditum, et plurima dein bona consecuti, multaque fruentes felicitate, haud bene hoc solatio sunt usi; sacerdotibus nimirum ac populo universo peccante, ita ut ne statuta quidem sacrificia convenienter facerent; necessario hic noster propheta divina operatione ad hoc electus, sacerdotum pariter atque populi peccata redarguit; quae cuiusmodi fuerint, ex ipsis scriptis melius quispiam cognoscet. Quaedam etiam futura praedicit. Nomen autem prophetae est Graecorum quidem lingua Angelus, at Hebraeorum Malachias, quoniam angelum ita dicere solent Hebraei. Quamobrem in Graecorum sermone Angelus appellatur pro Malachia. Sic autem dicit.

CAP. I.

" Assumptio verbi Domini super Israhelem in manu Angeli ipsius. ,, Id est

θείαν ἐνέργειαν ἐνεπιστεύθη τὸ τῆς προφητείας ἔργον ὁ ἄγγελος εἰς ἔλεγχον τοῦ Ἰσραήλ,
ἐπειδὴ κοινῇ ταύτῃ προσηγορίᾳ τούς τε ἱερέας καὶ τὸν λαὸν σημαίνειν ἤμελλεν· Ἰσραη-
λῖται γὰρ ἅπαντες ἐλέγοντο κοινῶς· εἶτα μετὰ τὴν εἰωθυῖαν ταύτην προγραφὴν τῶν προφητι-
κῶν βιβλίων, ἄρχεται τῶν οἰκείων λόγων ὁ προφήτης οὕτως. “ Θέσθε δὴ ἐπὶ τὰς καρδίας
ὑμῶν. „ Κάλλιστα ὡς ἂν παραλελοιπόσιν ἄχρι τοῦ δεῦρο ἃ ποιεῖν αὐτοὺς προσῆκον ἦν·
p. 538. κελεύει νῦν γοῦν τὸ δέον εὖ λογίσασθαι, καὶ συνιδεῖν μὲν ἅπερ ἔπραττον, δοκιμάσαι δὲ
ὁπόσον ἐξέβαινον τοῦ προσήκοντος, ὡς ἄν τινα καὶ διόρθωσιν ταῖς ἑαυτῶν προσαγάγοιεν
πλημμελείαις. Εἶτα μετὰ τὴν προτροπὴν καὶ τὴν παραίνεσιν καθ' ἣν ἐπιμελεστέρους αὐτοὺς περὶ
τὸ δέον εἰργάζετο, ἐπάγει· “ ἠγάπησα ὑμᾶς, λέγει κύριος. „ Καλῶς γὰρ τοῖς ἀγνώμοσι
πρὸ πάντων τὴν ἀγάπην λέγει τὴν οἰκείαν, ὡσανεὶ πρὸς ταύτην κρίνοιντο μάλιστα ἐλεγχο-
v. 2. μένοις ἐπὶ τῇ φαυλότητι τῶν τρόπων τῶν οἰκείων. “ Καὶ εἴπατε, ἐν τίνι ἠγάπησας ἡμᾶς; „
δήλου παρὰ πᾶσι τυγχάνοντος ὁπόσων αὐτοῖς ἀγαθῶν αἴτιος ἐγεγόνει, εἴ τε ἐκ τῶν πρό-
σθεν ὑπαρξάντων, εἴ τε καὶ τῶν ὕστερον πολλάκις, καὶ δὴ καὶ τῶν πρόσφατον γεγονότων·
ἀλλὰ γὰρ ἔθος τῇ θείᾳ γραφῇ τὴν φωνὴν ἐπὶ πράγματος λέγειν, καὶ τὴν τῶν τι ποιούντων
* Ps. LXIII. 6. διάθεσιν φωνῇ σημαίνειν· οἷον τὸ· εἶπον, τίς ὄψεται αὐτούς· * ἀντὶ τοῦ διέκειντο ὡς οὐδενὸς
ἐφορῶντος τὰ γινόμενα· οὐ γὰρ δὴ ἔλεγον οὕτως· καὶ εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σα-
* Ps. hebr. X. 6. λευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ· * διέκειντο γὰρ φησὶν ὡς οὐδὲν ὑπομενοῦντες πώ-
ποτε κακόν· καὶ πολλὰ τοιαῦτα εἴποι τίς ἄν, ἃ μὴ τοῦ παρόντος ἐστὶ συλλέγειν καιροῦ·
οὕτως οὖν κἀνταῦθα λέγει τὸ, καὶ εἴπατε ἐν τίνι ἠγάπησας ἡμᾶς, ἀντὶ ἀγαπηθέντες παρ'
ἐμοῦ, καὶ εὖ πεπονθότες πολλάκις, μοχθηρᾷ καὶ ἀγνώμονι κεχρημένοι τῇ διανοίᾳ διέκεισθε
p. 539. ὡς ἂν οὔτε ἠγαπημένοι παρ' ἐμοῦ, οὔτε τινὸς τετυχηκότες πώποτε ἀγαθοῦ· εἶτα λέγει τὰ
πράγματα ἀφ' ὧν ἐξῆν αὐτοὺς συνορᾶν ἡλίκων ἔτυχον παρὰ σοῦ ἄλλοις ἀγαθῶν.

divina operatione concreditum est prophetiae opus Angelo, ad Israhelis reprehensionem: namque hoc nomine sacerdotes simul et populum denotare volebat: cuncti dicebantur communiter Israhelitae. Deinde post hoc solitum propheticorum librorum proëmium seu titulum, sic initium facit sermonum suorum propheta. “ Ponite in cordibus vestris. Egregie sic alloquitur illos qui hactenus debita officia neglexerant. Iubet ergo nunc quid opus facta sit cogitare, et quid egerint considerare, et quantum a rectitudine exorbitaverint, ut aliquam peccatorum suorum emendationem curent. Mox post impulsum et adhortationem, qua eos diligentiores ad officium reddidit, prosequitur: “ dilexi vos, dicit Dominus. „ Bene ingratis ante omnia memorat amorem suum, ut inde iudicentur, de suorum morum pravitate convicti. “ Et dixisti: in quo dilexisti nos? „ Atqui omnibus exploratum erat, quantorum ipsis bonorum auctor extitisset, sive antea gestis, sive postea saepe numero, sive etiam nuper patratis. Sed mos est divinae scripturae vocem pro re adhibere, et hominum statum vel affectum voce designare. Velut illud: dixerunt, quis videbit eos? id est ita se habuerunt, quasi eos nemo spectaret. Atqui nihil huiusmodi dixerant. Item: dixit enim in corde suo, non movebor a generatione in generationem, sine malo. Sic enim sese habebant, quasi nihil umquam mali essent passuri. Multaque eiusmodi quis inveniet, quae coacervare non huius temporis est. Sic ergo nunc etiam dicit: et dixistis, in quo dilexisti nos? Quasi dicat: a me dilecti, et beneficiis saepe affecti, improba ingrataque mente fuistis, quasi nec a me dilecti, neque ullo umquam beneficio donati. Dein facta dicit, unde hi cognoscere possent, quanta a Deo bona accepissent.

“ Οὐκ ἀδελφὸς ἦν Ἡσαῦ τοῦ Ἰακώβ; λέγει κύριος· καὶ ἠγάπησα τὸν Ἰακώβ, τὸν v. 3.
δὲ Ἡσαῦ ἐμίσησα· καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμὸν, καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς v. 4.
δόματα ἐρήμου· διότι ἐὰν εἴπῃ, ἡ Ἰδουμαία (1) κατέστραπται, καὶ ἐπιστρέψωμεν καὶ ἀνοικο-
δομήσωμεν τὰς ἠρημωμένας αὐτῆς, τάδε λέγει κύριος παντοκράτωρ, αὐτοὶ οἰκοδομήσουσι
καὶ ἐγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν παρατέτακται
κύριος ἕως αἰῶνος· καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε, ἐμεγαλύνθη κύριος v. 5.
ὑπεράνω τῶν ὁρίων Ἰσραήλ. „ Πρόσφατον ἦσαν Ἰδουμαῖοι τετιμωρημένοι, καὶ πλείστων
ὅσων ἐν πείρᾳ γεγονότες κακῶν, ὑπὲρ ὧν διατεθείκεσαν τοὺς Ἰσραηλίτας κατὰ τὸν καιρὸν
ἐκεῖνον καθ' ὃν ἀσσύριοί τε αὐτοῖς πρότερον καὶ βαβυλώνιοι μετὰ τοῦτο ἐπῆλθον· ταῦτα
δὲ προείρητο μὲν τῷ μακαρίῳ Δαυὶδ ἐν ψαλμοῖς· * λέγει γὰρ, μνήσθητι κύριε τῶν υἱῶν * Ps. CXXXVI. 7.
Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων ἐκκενοῦτε ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς·
θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος· ἐν οἷς ἔδειξεν ὅτι καὶ βαβυλώνιοι δώσουσι δίκας
ὑπὲρ ὧν αὐτοὺς διατεθείκασι κακῶν· καὶ Ἰδουμαῖοι δὲ τιμωρηθήσονται συμπράξαντες αὐτοῖς
ἐν τοῖς κατὰ τῶν Ἰσραηλιτῶν κακοῖς· προεῖπε δὲ καὶ ὁ μακάριος Ἀβδιοῦ ὁ προφήτης μετὰ
τοῦτο· ἀλλ' ἐπειδὴ νῦν εἰλήφει τὴν ἔκβασιν ἐκεῖνα, καὶ νεαρὰ παρὰ πᾶσιν ἦν ἡ μνήμη τῆς
ἐπιγενομένης κατὰ τῶν Ἰδουμαίων παρὰ τοῦ θεοῦ τιμωρίας, εἰκότως ἐκ παραθέσεως τῆς πρὸς p. 540.
ἐκείνους ἐνδείκνυται τὴν ἀγάπην ἑαυτοῦ τὴν περὶ τούτους, ἀπὸ τῶν προπατόρων τούτων τε καὶ
τῶν Ἰδουμαίων τὴν ἀρχὴν ποιησάμενος· ἦν γὰρ τούτων μὲν Ἰακὼβ, Ἡσαῦ δὲ ἐκείνων· λέγει
τοίνυν ὅτι ἀδελφοὶ μὲν ἦσαν ἀμφότεροι· τοῦ νόμου δὲ τῆς φύσεως κοινὰ πάντα αὐτοῖς ποιοῦν-
τος, ἠγάπησα μὲν τὸν ὑμέτερον προπάτορα, ἐμίσησα δὲ τὸν ἐκείνων τὸν Ἡσαῦ· καὶ δὴ διαμε-
μένηκα μὲν ἄχρι τοῦ δεῦρο, τῆς τε περὶ ὑμᾶς ἀγάπης, καὶ τοῦ περὶ ἐκείνων μίσους τὴν ἀπό-
δειξιν παρεχόμενος· πᾶσαν μὲν γὰρ αὐτῶν τὴν χώραν ἠφάνισα δι' ὑμᾶς, δίκας αὐτοὺς εἰσ-

“ Nonne frater erat Iacob Esau? dicit Dominus; et tamen dilexi Iacob, Esau autem odio habui. Et statui terminos eius in desolationem, et hereditatem eius in domos deserti. Quia si dixerit: Idumaea eversa est, et revertemur atque aedificabimus deserta eius; haec ait Dominus omnipotens: ipsi aedificabunt, et ego destruam. Et vocabuntur ipsis termini iniquitatis, et populus adversus quem stat in acie Dominus usque in saeculum. Et oculi vestri videbunt; et vos dicetis: magnificatus est Dominus super terminos Israhelis. „ Nuper fuerant Idumaei puniti, et plurimas experti calamitates, propter mala quae Israhelitis intulerant quo tempore Assyrii primum et postea Babylonii hostes supervenerant. Iamque haec praedicta fuerant a beato Davide in psalmis, ubi ait: memor esto Domine filiorum Edom, in die Hierusalem, qui dicunt: exinanite, exinanite usque ad fundamenta eius. Filia Babylonis misera! Quibus verbis ostendit, Babylonios poenas daturos, propter illata Israhelitis mala. Idumaei etiam cum iis punientur, qui in adfligendis Israhelitis socii ipsorum fuerunt. Idem postea praedixerat etiam beatus Abdias propheta. Nunc quia illa exitum habuerant, recentesque apud omnes erant inflictae Idumaeis a Deo poenae, merito ex comparatione cum illis demonstrat suum erga Israhelitas amorem, ab horum progenitoribus atque ab Idumaeis sumpto initio. Erat enim illorum progenitor Iacob; horum autem, Esau. Dicit ergo, ambos fuisse fratres; cumque naturae lex communia ipsis omnia faceret, progenitorem quidem vestrum, inquit, dilexi, at illorum odi Esau: et usque in hodiernum diem perseveravi, amoris

(1) Variat heic interpunctio apud antiquos interpretes, aliis ante *Idumaeam*, aliis post pausantibus. Cum graeco conspirat arabs, cum hebraico latinus vulgatus.

προστιθέμενος ὧν καθ' ὑμῶν τετολμήκασι· πᾶσαν δὲ αὐτῶν τὴν κτῆσιν μετέστησα εἰς ἐρημίαν, τὴν τοσαύτην αὐτοῖς ἐπήγαγον καὶ οὕτω χαλεπήν, ὥστε κἂν εἰ μεταβαλόμενοι ποτὲ βουληθεῖεν διορθώσασθαι τὰ οἰκεῖα, καὶ ἀνοικοδομῆσαι τὰς ἠρημωμένας αὐτῶν πόλεις τε καὶ χώρας, μηδὲν δύνασθαι τοῦτο ποιεῖν· ἀπεφηνάμην γὰρ κατ' αὐτῶν ἐρημίαν, καὶ οὐδαμῶς οἷόν τε συστῆναι τὰ ἐκείνων πάλιν· ἐπειδὴ κἂν ἐπιχειρήσωσιν οἰκοδομῆσαι, καταστρέψω πάλιν· ὥστε ἐκείνοις μὲν ὄνομα ἐπικεκλῆσθαι ἀνομίας ὅριον, ἅτε ὑπὸ παρανομίας ἠρημωμένοις· περὶ ὑμᾶς δὲ οὕτως ἐδοκίμασα πᾶν ὅ τι καλὸν διαπράξασθαι, ὥστε αὐτοὺς ὑμᾶς θεατὰς γεγονότας τῶν δωρουμένων ὑμῖν ἀγαθῶν, ἐπιγνῶναι τοῦ θεοῦ τὴν δύναμιν τοσούτοις φαιδρύναντος ἀγαθοῖς τὰ ὑμέτερα.

v. 6. p. 541. Εἶτα ἐπιτείνων τὸ ἔγκλημα " υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ φοβηθήσεται· καὶ εἰ πατήρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριος εἰμι ἐγώ, ποῦ ἐστιν ὁ φόβος μου; λέγει κύριος παντοκράτωρ· ,, υἱῶν μὲν οὖν ἴδιον φησὶ τοιαῦτα διαπράττεσθαι, ἀφ' ὧν κόσμος τις καὶ σεμνολογία περιέσθαι τοῖς πατράσι· δούλων δὲ τὸ μετὰ πολλοῦ τοῦ δέους ὑπηρετεῖσθαι τοῖς δεσποτικοῖς ἐπιτάγμασιν· ἐγὼ δέ, φησίν, εἰμὶ μὲν ὑμῶν κύριος, ἅτε ἐκ τοῦ μὴ ὄντος ὑμᾶς εἰς τὸ εἶναι παραγαγών· δι' ὑπερβάλλουσαν δὲ φιλανθρωπίαν τε καὶ χρηστότητα ᾠκειωσάμην τε ὑμᾶς καὶ ἐδεξάμην υἱοὺς ἐμοὺς καλεῖσθαι· μεταδέδωκα τε ὑμῖν παῤῥησίας τοῦ πατέρα ὑμῶν ὀνομάζειν ἐμέ· ὁρῶ δὲ πρὸς οὐδέτερον ὑμᾶς εὐγνωμονοῦντας· οὔτε γὰρ ὡς πατέρα τῇ καλοκαγαθίᾳ τῶν ἐπιτηδευμάτων τῶν οἰκείων σεμνύνειν ἐσπουδάκατε, οὔτε ὡς δεσπότην δεδοικότες τῶν ἐπιταγμάτων φροντίζετε τῶν ἐμῶν· οὕτω δὴ κοινὸν κατὰ πάντων τὸν ἔλεγχον ποιησάμενος, διορίζει καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα, καὶ δὴ διαλεγόμενος πρὸς τοὺς ἱερέας οὕτω φησίν. " Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου. ,, Ὑμεῖς φησὶν οἱ τὴν λειτουργίαν ἐμπεπιστευμένοι τὴν θείαν, καὶ ὁδηγοὶ

erga vos, odii vero erga illos argumenta exhibere. Namque universam illorum regionem vestri gratia desolavi, poenas ab iis reposcens ob ea quae in vos ausi sunt: tum et illorum praedia omnia in solitudinem verti, quam tantam tamque horridam iis intuli, ut etiamsi forte conversi voluerint aliquando semet emendare, et desertas urbes regionesque restaurare, nihil sint effecturi. Decrevi enim illorum locorum vastitatem, nec omnino fieri poterit ut res ipsorum reparentur. Nam si aedificare moliantur, ego rursus evertam: ita ut iis locis appellatio haereat, termini iniquitatis, utpote ab iniquitate desolatis. At vobis ita bene facere constitui, ut spectatores ipsimet facti bonorum vobis collatorum, Dei potentiam agnoscatis, qui tantis bonis vitam vestram laetificat.

Deinde expostulationem intendens " filius, inquit, honorat patrem, et servus dominum suum timebit. Quod si pater ego sum, ubi est honor meus? et si dominus ego sum, ubi est timor meus? ait Dominus omnipotens. ,, Filiorum quidem officium est, inquit, ea agere unde ornamentum quoddam et decus parentibus confletur: servorum autem multo cum metu herilibus subservire iussibus. Ego vero, inquit, dominus vester sum, ceu qui ex nihilo vos ad existendum produxi; et summa mea benignitate ac bonitate in meam familiaritatem recepi, et meos filios appellare vos sum dignatus, fiduciamque vobis indulsi ut patrem me vocaretis. Ceterum vos nulla in re gratos video: nam neque ut patrem, vestrorum actuum honestate me honorare satagitis; neque ut dominum verentes, mandata mea pensi habetis. Sic ergo communiter cunctis obiurgatis, mox personas singillatim distinguit et actus; et sacerdotes quidem alloquens, sic ait: " vos sacerdotes qui despicitis

τοῖς λοιποῖς ὀφείλοντες εἶναι τῶν κρειττόνων, τοιαῦτα διαπράττεσθε ἀφ' ὧν οὐδενὸς ἄξιον ὄντα με λόγου δείκνυτε τοῖς τὰ παρ' ὑμῶν πραττόμενα ὁρῶσι. " Καὶ εἴπατε, ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου; ,, Ὁμοίως κἀνταῦθα λέγων τὸ εἴπατε, ἵνα εἴπῃ ὅτι ἐκ πολλῆς τῆς ἀπροσεξίας οὐδὲ αἴσθησιν ἔχετε ἐπὶ τῷ τοσούτῳ πλημμελήματι, ἀλλὰ διέκεισθε ὡς οὐδὲν ἄτοπον διαπραττόμενοι, καί τοι γε τοσοῦτον ἐργαζόμενοι κακόν.

Εἶτα λέγει καὶ τὸ γινόμενον " προσάγοντες πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους. ,, v. 7. p. 542.
Οὐ γὰρ κατὰ τὴν τοῦ νόμου διδασκαλίαν, οὐδὲ κατὰ τὰς μωσαϊκὰς διατάξεις, σὺν ἐπιμελείᾳ ποιεῖσθε τῶν ἄρτων τὴν πρόθεσιν, ἀλλὰ κοινοὺς καὶ ὡς ἔτυχεν γεγονότας παρὰ τὸ διατεταγμένον λαβόντες, αὐτοὺς ἐπιτίθετε τῇ τραπέζῃ· λέγει δὲ ἠλισγημένους τοὺς ζυμωτούς, ὃ προδήλως ἐναντίον ἦν τῷ νόμῳ ἀζύμοις ἐπὶ τοῦ θυσιαστηρίου κελεύοντι προσάγεσθαι τοῖς ἄρτοις, ζυμωτὸν δὲ μηδόλως· πᾶσαν γὰρ θυσίαν φησὶν ἣν ἂν προσφέρητε κυρίῳ οὐ ποιήσετε ζυμωτόν· ὅπερ οὕτω σαφῶς διατεταγμένου ἐναντίον ἦν τῷ ζυμωτοὺς προσφέρειν τοῖς ἄρτοις, ὑπὲρ οὗ δὴ αἰτιᾶται δικαίως αὐτοὺς ὡς τἀναντία τῷ νόμῳ διαπραττομένους προδήλως. " Καὶ εἴπατε ἐν τίνι ἠλισγήσαμεν αὐτούς; ,, Καὶ τοῦτο φησὶν ποιοῦντες, οὐδὲ συλλογίζεσθαι βούλεσθε τοῦ γινομένου τὴν ἀτοπίαν· τὸ γὰρ καὶ εἴπατε, κἀνταῦθα πάλιν τὴν διάθεσιν λέγει· ἵνα εἴπῃ ὅτι ὡς οὐδὲν διαπραττόμενοι διάκεισθε, ἀναισθησίᾳ καὶ ἀπροσεξίᾳ τὴν τοσαύτην ἐργαζόμενοι πλημμέλειαν. " Ἐν τῷ λέγειν ὑμᾶς τράπεζα κυρίου ἐξουδενωμένη ἐστι, καὶ τὰ ἐπιτιθέμενα ἐξουδενώσατε. ,, Πάλιν κἀνταῦθα τὸ ἐν τῷ λέγειν οὕτω φησὶν, ὡς ἀντὶ πράγματος τὴν διάθεσιν δηλοῖν· βούλεται γὰρ εἰπεῖν ὅτι τὸ ταῦτα ποιεῖν ὑμᾶς, οὐχ ἕτερόν τι κατὰ διάνοιαν ἔχοντας δείκνυσιν, οὐδ' ἑτέρως πῶς διακειμένους, ἀλλ' ἢ ὡς οὔτε τῆς τραπέζης τῆς ἐμῆς τυγχάνειν τινὸς ὀφειλούσης σπουδῆς, ἀναγκαίως τε καὶ τῶν ἐπιτιθεμένων
οὐδενὸς ὀφειλόντων ἀξίων εἶναι λόγου· τοῦτο δηλοῖ τὸ ῥαθύμως ὑμᾶς ποιεῖσθαι τῶν ἄρτων τὴν p. 543.

nomen meum. ,, Vos, quibus divinum ministerium commissum est, quique duces ceteris ad virtutem esse debetis, ita vivitis, ut nullo me dignum respectu ostendatis iis, qui mores vestros observant. " Et dixistis: in quo despeximus nomen tuum? ,, Similiter hoc etiam loco ait dixistis, pro, ob gravem socordiam vestram, ne sensum quidem tanti peccati habetis, sed ita animo affecti estis, quasi nihil incongruum gesseritis, quamquam tantam culpae molem sustinetis.

Mox et rem gestam narrat. " Obtulistis altari meo panes pollutos. ,, Haud iuxta legis doctrinam, neque iuxta mosaicas constitutiones, accurate fecistis panum propositionem, sed communes et prout vobis occurrerunt praeter fas sumentes, mensae imposuistis. Pollutos autem appellat panes fermentatos; manifeste id enim contrarium legi erat azymos iubenti panes offerre, fermentatum nihil. Omnem enim inquit oblationem quam Deo afferetis sine azymo facietis. Quod cum tam perspicue mandatum fuisset, contrarium erat panum fermentatorum oblationi, cuius causa iuste cum iis expostulat, ut legi prorsus contradicentibus. " Et dixistis: in quo polluimus ipsos? ,, Atque ita, inquit, agentes ne considerare quidem voluistis rei actae absurditatem. Nam vocabulum *dixistis*, heic etiam pro animi affectione ponit: id est quasi nihil feceritis, ita animo affecti estis, socorditer et absque sensu tantam patrantes iniquitatem. " In eo quod dicitis: mensa Domini despecta est, et res ei impositas despexistis. ,, Rursus heic quoque dum ait, in eo quod dicitis, pro actu affectum animi dicit. Id est, dum ita vos agitis, nihil aliud mente agitare demonstratis, neque aliter vos esse affectos; vel quod mensa mea nulla sit digna respectu, ideoque ne imponendorum quidem panum delectum ullum habeatis: cuius rei in-

πρόθεσιν, οὐ φροντίζοντας ὅπως ἂν κατὰ τὴν νομικὴν ἐπιτελεσθείη διάταξιν· καὶ πρῶτον
μὲν εἶπε τὸ τῶν ἄρτων, ὡς ἂν πρῶτον ἁμάρτημα· ἐπειδήπερ ἐκείνους μάλιστα τοὺς ἐπὶ
τῆς τραπέζης προτιθεμένους ἄρτους ἐπιμελείας τυγχάνειν ἐχρῆν, ὡς τρόπον τινὰ ὑπὲρ παν-
τὸς τοῦ λαοῦ προσαγομένους· ἐπειδήπερ ἐκέλευσεν αὐτοὺς ὁ θεός, καὶ ἓξ εἶναι τὸν ἀριθμὸν
δύο φυλῶν ἐν ἑκάστῳ γνωριζομένων, ὡς ἂν ἐν τοῖς ἓξ αἱ δώδεκα καταλογίζοιντο φυλαί,
ὑπὲρ ὧν δὴ τὴν πρόθεσιν ἐκέλευσε γίνεσθαι τῶν ἄρτων.

v. 8. Ἑξῆς δὲ ἐπάγει καὶ ἑτέραν αὐτῶν πλημμέλειαν. “ Διότι ἐὰν προσαγάγητε τυφλὸν εἰς
θυσίαν, οὐ κακόν· καὶ ἐὰν προσαγάγητε χωλὸν ἢ ἄῤῥωστον, οὐ κακόν. „ Ἐν δὲ τῷ τοιαῦτα
φησὶ προσφέρειν τῷ θεῷ θυσίας ἕνεκεν, οὐχ ἁμαρτάνειν οἴεσθε· καὶ δεικνὺς τοῦ γινομένου
τὴν ἀτοπίαν “ προσάγαγε δὴ αὐτὸ τῷ ἡγουμένῳ σου, εἰ προσδέξεται, εἰ λήψεται πρόσω-
πόν σου, λέγει κύριος παντοκράτωρ. „ Ἀλλὰ γὰρ εἰ μὴ κατὰ σαυτὸν συνορᾷς τοῦ γινομένου
τὸ ἄτοπον, πειράθητι αὐτὸ προσαγαγεῖν τῷ τὴν ἡγεμονίαν ὑμῶν πεπιστευμένῳ· καὶ θέασαι
δὴ εἰ δέξεται, εἰ αἰδοῖ τῇ πρὸς σὲ κομιεῖται τὴν ὕβριν· οὐχὶ δὲ τοὐναντίον ὡς ἂν ὑβρι-
σμένος παρὰ σοῦ μᾶλλον ἢ τετιμημένος, προσυβρίσας σε ἀποπέμψει μετὰ τοῦ προσκο-
μισθέντος ὄντος τοιούτου; δείξας αὐτῶν ἀμφοτέρας τὰς ἀτοπίας τήν τε ἐπὶ τῶν ἄρτων καὶ
v. 9. τὴν ἐπὶ τῶν θυμάτων, ἐπάγει. “ Καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ θεοῦ ὑμῶν, καὶ δεή-
p. 544. θητε αὐτοῦ, ἵνα ἐλεήσῃ ὑμᾶς. „ Ἀλλὰ γὰρ κἂν τοῖς μετὰ ταῦτα διορθώσασθε τὰ πρόσθεν
ὑμῶν ἁμαρτήματα, καὶ παυσάμενοι τοῦ τοιαῦτα διαπράττεσθαι, ἔτι ὑπὲρ τῶν παρεληλυ-
θότων αἰτήσατε συγγνώμης τυχεῖν παρὰ τοῦ θεοῦ· καὶ φοβῶν εἰκότως· “ ἐν χερσὶν ὑμῶν γέ-
γονε ταῦτα. „ Ἐγγύθεν γὰρ ἔχετε τῶν κακῶν τὴν πεῖραν· οἷς οὐ πρὸ πολλοῦ περιπεπτώκατε
διὰ τὴν τοῦ προσήκοντος ἀμέλειαν, ὧν τῇ μνήμῃ μάλιστα πᾶσαν ἔχειν ὑμᾶς ἐπιμέλειαν
προσήκει τοῦ καλοῦ. “ Εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν, λέγει κύριος παντοκράτωρ. „
Ἀφ᾽ ὧν ὀφείλετε εἰδέναι, ὡς οὐδὲ νῦν ὑμᾶς ἁμαρτάνοντας αἰδεσθήσομαι, εἰ μὴ μεταμε-
λείᾳ τινὰ διόρθωσιν ἐπαγάγοιτε τοῖς πλημμελουμένοις παρ᾽ ὑμῶν.

dicium est quod socorditer panum impositionem facitis, nullius pensi habentes legitimae institutionis observantiam: quoniam illos potissimum mensae imponendos panes curare oporteret, ceu pro universo populo oblatos. Nam Deus mandaverat, ut sex numero essent, duas tribus in singulis agnoscendo, ut in sex panibus duodecim tribus reputarentur, pro quibus panum propositionem fieri iubebat.

Aliud quoque mox subdit illorum peccatum. “ Quoniam si obtuleritis caecam victimam, non est malum. Et si obtuleritis claudam vel aegrotantem, non est malum. „ Dum eiusmodi, inquit, victimas offertis, peccare non existimatis. Et rei actae absurditatem ostendens “ offer id, inquit, duci tuo, si excipiet, si suscipiet faciem tuam, dicit Dominus omnipotens. „ Agesis, si per rei actae absurditatem non agnoscis, fac periculum in offerendo principi gentis tuae, et videsis num excipiat, num tui reverens hanc iniuriam dissimulet. Nonne contra a te magis offensus quam honoratus, contumeliose te reiiciet cum tali oblatione tua? Demonstrata vero utraque absurditate tum panum tum victimarum, addit. “ Nunc vero placate faciem Dei vestri, eumque deprecemini, ut vestri misereatur. „ Age iam abhinc priora emendate peccata, et his omissis, praeteritorum etiam postulate a Deo veniam. Iisque merito timorem incutiens “ in vestris inquit manibus haec sunt. „ Recens est calamitatum experientia, in quas paulo ante incidistis ob debiti officii negligentiam, quorum praecipue memores studium omne honestati debetis impendere. “ An ex vobis suscipiam facies vestras? dicit Dominus omnipotens. „ Hinc

“ Διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δω- v. 10.
ρεάν. ,, Οὐ γὰρ χαλεπόν μοι καὶ νῦν ἄβατον ὑμῖν ποιῆσαι τὸν ναὸν τὸν ἐμόν, καὶ παῦσαι
πάλιν ὑμᾶς τοῦ τῷ θυσιαστηρίῳ ὑπηρετεῖσθαι τῷ ἐμῷ, διαπραττομένους τοιαῦτα· ὅπερ οὖν
ἤδη πεποίηκα, παραδοὺς μὲν πυρὶ ναόν, ἐπειδὴ πλημμελοῦντας ὑμᾶς ἀνήκεστα ἑώρων
ἐν αὐτῷ· αἰχμαλωσίᾳ δὲ ὑμᾶς παραδούς, ἐν ᾗ καθεστῶτες, οὐδὲν τῶν εἰς ἱερατικὴν λειτουρ-
γίαν ἡκόντων ποιεῖν οἷοί τε ἦτε. “ Οὐκ ἔστιν θέλημά μου ἐν ὑμῖν, λέγει κύριος παντο-
κράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. ,, Εὖ γὰρ ἴστε ὅτι ἄχρις ἂν
τοιαῦτα διαπράττησθε, ἀποστρέφομαί τε τὰ παρ᾽ ὑμῶν γινόμενα, καὶ τὰς θυσίας ὑμῶν οὐ
προσίεμαι· ὥστε οὐδὲ τὸ κέρδος ἀποίσεσθε, ὅπερ οὖν ἐλπίδι τῶν θυσιῶν τὴν προσκομιδὴν p. 546.
ποιεῖσθε. “ Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν αὐτοῦ τὸ ὄνομά μου δεδόξασται τοῖς v. 11.
ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά·
διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος παντοκράτωρ. ,, Ἁπανταχοῦ, φησί,
γῆς τὴν ὀνομασίαν τὴν ἐμὴν ἅπαντες διώκουσιν οἱ ὅπου ποτὲ καθεστῶτες τῶν ἀνθρώπων· θεὸν
γὰρ σέβειν ἐσπούδακεν ἕκαστος καὶ τὴν τούτου περιέπειν ὀνομασίαν, ὡς ἂν δεσπότου τε καὶ κυ-
ρίου· ὅπερ οὖν ὄντως εἰμὶ ἐγώ· ὥστε εἰ καὶ πεπλανημένως οἷς οὐ προσῆκε τὴν ὀνομασίαν
περιτιθέασι τὴν ἐμήν, ἀλλὰ τὴν ἐμήν γε ὅπως περιέπουσιν ἅπαντες, καὶ ἐπ᾽ ὀνόματι τῷ ἐμῷ
τὰς θυσίας ἐπιτελοῦσι, πάντων μέγιστον καὶ πάντων ὑπερέχον νομιζόντων τὸ θεῖον· ὑμεῖς v. 12.
δὲ τὸ παρὰ πᾶσιν οὕτω μέγα τε νομιζόμενον καὶ σεπτὸν ἐξυβρίζοντες φαίνεσθε· ἐπειδὴ
ἐν τῷ τὴν τράπεζαν τὴν ἐμὴν κοινὴν ἡγεῖσθαι, καὶ μηδὲν ἔχουσαν πλέον τῶν λοιπῶν,
τά τε ἐπιτιθέμενα μηδὲ μιᾶς ἄξια νομίζειν σπουδῆς, τοιαῦτά τέ μοι προσφέρειν, τὴν
ἐμὴν ὀνομασίαν προδήλως ἐνυβρίζοντες, φαίνεσθε ἐν οὐδενὸς μέρει τιθέμενοι τὸ θεῖον,

debetis cognoscere, me ne nunc quidem vos peccantes, respectu dignos habiturum, nisi paenitendo delicta vestra emendetis.

“ Quoniam et in vobis claudentur ostia, neque succendetis altare meum gratis. ,, Non est enim mihi arduum, templum meum vobis inaccessum efficere, vobisque ministerio altaris mei interdicere, talia agentibus: quod reapse iam feci, igni templum tradendo, postquam vos intolerabiliter peccare in eo animadverti, nec non in captivitatem amandando, in qua constituti nihil ad sacerdotale ministerium pertinens agere poteratis. “ Non est voluntas mea in vobis, dicit Dominus omnipotens; neque victimam accipiam de manibus vestris. ,, Probe scitote, me quamdiu ita vos geritis, aversaturum quicquid fit a vobis, neque sacrificia vestra admissurum: quamobrem ne emolumentum quidem reportabitis, cuius spe sacrificia adducitis. “ Quoniam ab ortu solis usque ad occasum eius, nomen meum honorificatur, et in omni loco incensum offertur nomini meo, et mundum sacrificium. Quia magnum est nomen meum in gentibus, dicit Dominus omnipotens. ,, Ubique, inquit, terrarum nomen meum cuncti sectantur cuiusque regionis incolae. Nam singuli Deum colere satagunt, eiusque nomen venerari ceu principis atque domini: cuiuscemodi revera ego sum: adeo ut, etiamsi errore decepti nomen iis quos non decet imponunt, nihilominus nomen adhuc meum quodammodo honorant omnes, et in nomine meo sacrificia perficiunt, dum omnium rerum maximam et excellentissimam iudicant divinitatem. Vos tamen rem omnium opinione magnam ac venerabilem contumelia prosequi videmini: quia dum mensam meam existimatis profanam, et nihilo pluris quam alias, et quae illic imponitis nullo delectu dignamini, et haec mihi offerentes nomini meo manifeste iniurii estis, hinc inquam Deum

ὃ παρὰ πᾶσιν οὕτω τε μέγα καὶ φοβερὸν ὑπείληπται καὶ σεβάσμιον καὶ πάντων ὑπερ-
έχον δικαίως.
v. 13. “ Καὶ εἴπατε, ταῦτα ἐκ κακοπαθείας ἐστί· καὶ ἐξεφύσησα αὐτὰ, λέγει κύριος παν-
τοκράτωρ. ,, Εἶτα ὑμεῖς μὲν φησὶ σεμνύνεσθε ὡς ἐκ πόνου καὶ ἱδρώτων καὶ κακοπαθείας
p. 546. προσφέροντες ἰδίας, ἐγὼ δὲ αὐτὰ ἀπέῤῥιψα, τοσαύτην οὖσαν ὑμῶν τὴν ἐν τῇ προσκομιδῇ
καταφρόνησιν θεωρῶν. “ Καὶ εἰσφέρετε ἁρπάγματα, καὶ χωλὰ, καὶ τὰ ἐνοχλούμενα· καὶ
προσφέρετε αὐτὰ εἰς θυσίαν· εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν, λέγει κύριος
παντοκράτωρ. ,, Ἐπειδὴ δὲ καὶ ἐν ταῖς θυσίαις τοιαῦτα προσκομίζετε, ἔτι μᾶλλον αὐτὰ
* Lev. I. 3. ἀπεπεμπόμην ὡς φαῦλα καὶ ἐκ φαύλης προσφερόμενα γνώμης· εἶτα καὶ νόμον τιθεὶς *,
v. 14. “ καὶ ἐπικατάρατος ὃς ἦν δυνατὸς καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν· καὶ ἡ εὐχὴ
αὐτοῦ ἐν αὐτῷ· καὶ θύει διεφθαρμένα τῷ κυρίῳ· διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει
κύριος παντοκράτωρ· καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσι. ,, Πᾶς δὴ φησὶν εὐχὴν
ἐπὶ θυσίᾳ πεποιημένος, εἶτα εὐπορῶν καὶ δυνάμενος ἐκ τῶν προσόντων αὐτῷ ποιμνίων
προσαγαγεῖν ἄρσεν τε καὶ δόκιμον καὶ οἷον προσάγεσθαι πρέπον θεῷ· καὶ τοῦτο μὲν οὐ προσ-
άγων, φαῦλον δὲ τι καὶ διεφθαρμένον θύων τῷ θεῷ, τῆς ἐσχάτης ἄξιος ἐστὶ τιμωρίας·
ἐπειδὴ θεῷ τῷ πάντων βασιλεύοντι, καὶ παρὰ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπὶ τῷ μεγέθει
τῆς οἰκείας ἐγνωσμένῳ φύσεως, εὐπορῶν ὧν δεῖ, προσάγει τὰ μὴ τοιαῦτα.

ΚΕΦ. Β'.

v. 1. “ Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς οἱ ἱερεῖς· ἐὰν μὴ ἀκούσητε καὶ ἐὰν μὴ θέσθε εἰς
v. 2. τὴν καρδίαν ὑμῶν τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει κύριος παντοκράτωρ· καὶ ἐξα-
ποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ καταράσομαι

flocci fieri a vobis constat, qui omnium iudicio magnus est et terribilis et augustus et res omnes merito excedens.

“ Et dixistis: haec ab aerumna sunt. Et exsufflavi ea, dicit Dominus omnipotens. ,, Deinde vos, inquit, gloriamini quasi ex labore, sudoribus, aerumnaque propria offerentes; attamen ego haec reieci, tantum vestrum in offerendo contemptum videns. “ Et inferebatis rapinas, et clauda, et languida, et ea sacrificii loco dabatis. Num ego ea recipiam de manibus vestris, dicit Dominus omnipotens? ,, Quoniam haec victimae causa afferebatis, equidem ut vilia vilique ex mente oblata respuebam. Mox et legem recitans: “ maledictus, inquit, qui dives erat, habebatque in grege suo masculum: et oratio eius in ipso: et sacrificat corrupta Domino. Quia rex magnus ego sum, dicit Dominus omnipotens, nomenque meum illustre in gentibus. ,, Quicumque, inquit, precem facit sacrificando; et cum sit dives possitque ex suis gregibus offerre masculum, et probatum, et quod Deo offeratur dignum; si id tamen minime offerat, sed vile aliquid et corruptum Deo sacrificet, is inquam summa dignus poena est: quia Deo omnium dominatori, et cunctis hominibus ob propriae naturae magnitudinem cognito, copiam rei dignae habens, deteriorem offert.

CAP. II.

“ Et nunc mandatum hoc ad vos, o sacerdotes. Nisi audieritis, et nisi posueritis in corde vestro dare gloriam nomini meo, ait Dominus omnipotens; mittam super vos maledictionem, et maledicam benedictioni vestrae, et maledicam ei: et

αὐτὴν, καὶ διασκεδάσω τὴν εὐλογίαν ὑμῶν· καὶ οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ὑμεῖς οὐ τίθεσθε ἐπὶ
καρδίας ὑμῶν. „ Ἀλλὰ γὰρ ἰδοὺ ταῦτα περὶ ὑμῶν ἀποφαίνομαι τῶν ἐπὶ τῆς ἱερατικῆς καθ- p. 547.
εστώτων λειτουργίας· ὅτι εἰ μὴ νῦν γοῦν βουληθείητε σπουδῇ τοῖς παρ' ἐμοῦ λεγομένοις προσ-
έχειν, καὶ τῇ τῆς λειτουργίας ἐπιμελείᾳ τὴν προσήκουσάν τε καὶ ὀφειλομένην ἀποτίσαι τῷ θεῷ
δόξαν, μεγίστην ὑμῖν ἐπάξω τιμωρείαν, καὶ τὴν τιμὴν δὲ ταύτην ἧς ἀπολαύετε νῦν, εἰς ἀτι-
μίαν τε καὶ πεῖραν μεταστήσω κακῶν, πᾶσαν τε ὑμῶν τὴν ἱερατικὴν ἀφελῶ τιμὴν, ὡς μη-
δένα ἐξ ὑμῶν ἔτι διάδοχον τῆς ἀξίας γενέσθαι ταύτης· εὔδηλον γὰρ ὅτι κατάραν μὲν τὴν
τιμωρείαν λέγει, καὶ τὴν πεῖραν τῶν κακῶν· εὐλογίαν δὲ, τὴν τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν· ὅθεν
οὕτω καὶ τὴν ἱερωσύνην ὀνομάζει, ὡς πολλῶν ἀγαθῶν αἰτίαν τοῖς τε ἔχουσι καὶ τοῖς ὑπὲρ ὧν
ἐπιτελεῖσθαι συμβέβηκε ταύτην.

Εἶτα εἰς μείζονα ἔνδειξιν τῆς ἀγανακτήσεως τῆς οἰκείας “ ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν v. 3.
ὦμον, καὶ σκορπιῶ ἔνυστρον ἐπὶ τὰ πρόσωπα ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό. „
Κεκελευσμένον ἦν ἐν τῷ νόμῳ ὥς τι ἐξαίρετον ἐκ τῶν θυσιῶν ἀφαιρεῖσθαι τῷ θεῷ τὸν
ὦμον· οὐκέτι οὖν φησὶν οὐδὲ τοῦτο δέξομαι παρ' ὑμῶν, ἐπεὶ μηδὲν δεόμενος εἰς ὠφέλειαν
ὑμετέραν διεταξάμην οὕτω γίνεσθαι· ἐπειδὴ δὲ ἐν τοσούτοις τὴν περὶ ἐμὲ δεικνύντες ἀμέλειαν,
τούτῳ με οἴεσθε τιμᾶν, τῷ τὸν ὦμον ἀφαιρεῖν μοι, ὑμῖν αὐτὸν ἀποστρέφω, τῆς ἀγανακτήσεως
ἔλεγχον παρεχόμενος τῆς ἐμῆς· ἐάσω δὲ ὑμᾶς καρποῦσθαι καὶ τοῦτο μετὰ τῆς κόπρου τῶν ζώων·
ἐπειδὴ τοῦτο ὑμῖν ἐν ταῖς ἑορταῖς προσάγεσθαι πρέπον, ἃς τῇ κακίᾳ τῶν πραττομένων μολύ- p. 548.
νετε, κοινὴν τε ἅπασιν ὑμῖν τὴν ὑπὲρ τῶν πραττομένων ἐπάξω τιμωρείαν· τοῦτο γάρ ἐστι τὸ
λήψομαι ὑμᾶς εἰς τὸ αὐτό. “ Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος ἐξαπέσταλκα πρὸς ὑμᾶς v. 4.
τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς λευΐτας, λέγει κύριος παντοκράτωρ. „
Τότε ἐκ τῆς περιγινομένης ὑμῖν ἀτιμίας τε καὶ τιμωρείας αἰσθήσεσθε ἀκριβῶς τῆς τε ἐξου-

dissipabo benedictionem vestram, et non erit in vobis, quia vos non ponitis in corde vestro. „ En ego haec de vobis decerno, qui sacerdotali ministerio fungimini; quod nisi nunc velitis sedulo dictis meis adtendere, et ministerii sedulitate debitam convenientemque Deo gloriam reddere, maximam vobis poenam inferam; et hunc honorem quo interim fruimini, in dedecus et aerumnarum experimentum convertam; vobisque omnem sacerdotalem detraham honorem, ita ut nemo vestrum dignitati huic succedat. Patet enim maledictionem dici pro poena et aerumnarum experimento: benedictionem vero, pro bonorum fruitione. Quamobrem sic sacerdotium quoque appellat, ceu bonorum multorum causam tum his qui illud possident, tum etiam illis quorum gratia id exerceri contingit.

Deinde ob magis demonstrandam indignationem suam “ ecce ego, ait, proiiciam humerum, et dispergam ventriculum in facies vestras, et suscipiam vos in id ipsum. „ Mandatum erat a lege, ut quasi electum aliquod, separaretur Deo humerus. Haud ultra igitur ne hoc quidem a vobis recipiam; etenim nulla re ego indigens, utilitatis vestrae gratia sic fieri constitueram. Nunc autem quia tantum mei contemptum ostenditis, ut me re tali honorare putetis, humerum nimirum mihi offerendo, vobis hunc retroago, ut indignationis meae argumentum vobis exhibeam. Sinam vero vos hoc etiam vesci cum animalium stercore; quoniam hoc a vobis in sollemnitatibus offerri dignum est, quas nequitia polluitis; communemque ob ea quae egistis poenam adducam. Id enim significant verba: suscipiam vos in id ipsum. “ Et scietis, quod ego Dominus miserim ad vos praeceptum hoc, ut esset testamentum meum ad levitas, dicit Dominus omnipotens. „ Tunc ex corri-

σίας καὶ τῆς δυνάμεως τῆς ἐμῆς· καὶ ὅτι ἐγὼ μὲν εὐποιεῖν ὑμᾶς βουλόμενος ἐξ ἀρχῆς εἰς
τὴν ἱερατικὴν παρήγαγον ἀξίαν, τοιαύτας τινὰς θέμενος πρὸς ὑμᾶς τὰς συνθήκας, ἵνα
τῆς παρ᾽ ἐμοῦ δοθείσης ἀπολαύοντες τιμῆς, ἅπαντα πρὸς τὴν ἐκείνων ὠφέλειαν ποιῆτε ὑπὲρ
ὧν μέτιτε τὴν ἱερωσύνην· ὑμεῖς δὲ οὐδένα τούτων ἐποιήσασθε λόγον, ἀλλὰ τῆς τε δοθείσης
ὑμῖν ὑπερίδετε τιμῆς, καὶ ἀμελείᾳ τοσαύτῃ τὴν ἐμὴν παραδεδώκατε λειτουργίαν.

v. 5. Εἶτα ἐπειδὴ τὰ τῆς ἱερωσύνης ἐκ τοῦ Ἀαρὼν εἴληφε τὴν ἀρχὴν ὃς πρῶτος ἀρχιερεὺς κατὰ
θείαν προβολὴν ἀπεδείχθη, ἐπάγει. “ Ἡ διαθήκη μου ἦν μετ᾽ αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρή-
νης· καὶ ἔδωκα αὐτῷ φόβον φοβεῖσθαι με, καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι αὐτόν·
v. 6. νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ ηὑρέθη ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ
v. 7. κατευθύνων ἐπορεύθη μετ᾽ ἐμοῦ, καὶ πολλοὺς ἀπέστρεψεν ἀπὸ ἀδικίας· ὅτι χείλη ἱερέως
p. 549. φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ τοῦ στόματος αὐτοῦ, ὅτι ἄγγελος κυρίου παν-
τοκράτορός ἐστι. „ Ἐκεῖνον γοῦν πρῶτον φησὶν ἐπιλεξάμενος, συνθήκας πρὸς αὐτὸν ἐθέ-
μην, ἐπαγγειλάμενος μὲν αὐτῷ καὶ ζωῆς μακρᾶς καὶ εἰρήνης ἀπόλαυσιν, κελεύσας δὲ τὸν
φόβον ἐπὶ τῆς διανοίας ἔχειν τὸν ἐμόν, καὶ μετὰ πολλοῦ τοῦ δέους καὶ τὴν μνήμην ποιεῖσθαι τὴν
ἐμήν· ἠκολούθησε δὲ ἄρα καὶ τὰ παρ᾽ ἐκείνου πρέποντα τῇ τιμῇ τῇ παρ᾽ ἐμοῦ· ἐπειδὴ τέ-
θεικε μὲν ἑαυτῷ νόμον τὸ ζῆν τε σὺν ἀληθείᾳ, καὶ ἅπαν ἀποστρέφεσθαι ψεῦδος· ἐφθέγ-
ξατο δὲ οὐδεπώποτε ἄδικον οὐδὲν, οὐδ᾽ ὃ βλάβης αἴτιον τοῖς ὑπὸ τὴν ἱερωσύνην ἐγίγνετο·
ὑπὲρ δὲ τούτων ἀκολούθως ταῖς ἐπαγγελίαις ταῖς ἐμαῖς, αὐτός τε ἐν εἰρήνῃ διῆγεν, ἐν οὐδενὶ
πώποτε πρός με διενεχθεὶς, οὐδέ τι τῶν ἐμοὶ διαπραξάμενος ἐναντίων· τοῦτο γὰρ λέγει τὸ
ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ᾽ ἐμοῦ· καὶ πολλοὺς δὲ ὅσους ἐπὶ τὸ κρεῖττον ἐκ τοῦ χεί-
ρονος ἐπανήγαγεν· συντόμως τε εἰπεῖν ὃ μάλιστα πρέπον ἦν ἱερεῖ διεπράττετο; διδάσκων
μὲν τῆς ἀληθείας τὴν γνῶσιν, πρὸς δὲ τὸν νόμον τὸν θεῖον ἅπαντας ὄντας ὑπ᾽ αὐτὸν ἐπανά-
γων, καὶ διδάσκων ὅπως ἂν ἀκολουθοῖντο πάντοτε περὶ αὐτόν· τοῦτο γὰρ ἱερέως ἔργον, ἀγγέλου

piente vos ignominia poenàque accurate cognoscetis potentatum virtutemque meam; et quod ego bene faciendi vobis causa iam inde ab initio ad sacerdotalem extuli dignitatem; haec vobiscum foedera componens, ut concesso a me fruentes honore, cuncta ad utilitatem ageretis illorum propter quos sacerdotium tenetis. Vos vero nullius haec pensi habuistis, sed datum vobis conculcastis honorem, meumque ministerium socordia tanta gessistis.

Exin quia sacerdotium ex Aarone initium ceperat, qui primus pontifex divina electione processit, prosequitur. “ Foedus meum fuit cum eo vitae et pacis, et indidi ei timorem ut timeret me, et a facie nominis mei formidaret. Lex veritatis fuit in ore eius, et iniquitas non est inventa in labiis eius: in pace dirigens ambulavit mecum, et multos convertit ab iniquitate. Quoniam labia sacerdotis custodient scientiam, et legem requirent ex ore eius: quia angelus Domini omnipotentis est. „ Cum illo itaque primo omnium electo foedus pepigi, promittens ei longae vitae pacisque usum, mandansque eidem ut mei timorem mente retineret, multaque cum reverentia mentionem mei faceret. Et quidem ille legem sibimet constituit, veritatem per omnem vitam servandi, et omne genus mendacii vitandi. Nihil autem umquam iniustum locutus est, vel quod vituperationis occasio sacerdotibus fieret. Propterea promissis meis consentanee, et ipse pacificam exegit vitam, nulla mecum inimicitia suscepta, nihilque mihi contrarium agens. Sic enim fere sonant verba: in pace dirigens ambulavit mecum. Plurimos item ad meliorem frugem ex deteriore transtulit. In summa, quicquid praecipue sacerdotem decebat egit, veri-

τινὸς τάξιν ἐπέχειν τεταγμένου τοῖς λοιποῖς ἀνθρώποις, καὶ πάντας ἐπὶ τὴν ἀρετὴν ἐπανά-
γοντος, ὅπερ οὖν καὶ τοῖς ἀγγέλοις περὶ ἡμᾶς ἔργον ποιεῖν. Ταύτας μὲν δὴ πρὸς τὸν
Ἀαρὼν ἐθέμην τὰς συνθήκας, ὃς καὶ ἀκόλουθα τοῖς ἐμοῖς διεπράττετο νόμοις. ὑμεῖς δὲ p. 550.
οἱ τὴν ἱερωσύνην διαδεξάμενοι τὴν ἐκείνου, πάμπολυ τούτων ἐστὲ κεχωρισμένοι. πῶς καὶ
τίνα τὸν τρόπον;

" Ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ, καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφθείρατε τὴν v. 8.
διαθήκην τοῦ Λευΐ, λέγει κύριος παντοκράτωρ. „ Ἐξετράπητε γὰρ τῆς περὶ ταῦτα σπουδῆς.
ὥστε καὶ τοὺς λοιποὺς, ῥαθύμους περὶ τὸν νόμον ποιῆσαι. οὕτω τε πάσας συντόμως εἰπεῖν τὰς
συνθήκας, ἃς πρὸς ἐκεῖνον ἐθέμην, βουλόμενος αὐτὰς καὶ ἐπὶ τῶν ἐκείνου διαδόχων κρα-
τεῖν, τῇ οἰκείᾳ διεφθείρατε κακίᾳ. " Καὶ ἐγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους καὶ παρειμέ- v. 9.
νους εἰς πάντα τὰ ἔθνη. ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε
πρόσωπα ἐν νόμῳ. „ Καλῶς ἐκ τῶν πρὸ βραχέως γεγονότων αὐτοὺς σωφρονίζει. Τοιαῦτα
γάρ φησιν ὑμᾶς διαπραττομένους εὑρὼν, αἰχμαλωσίᾳ παραδέδωκα τὸ μηδὲν ἀποδείξας,
καὶ πάντη τῆς ἱερατικῆς ἔξω καταστήσας τιμῆς. ἀνθ' ὧν οὐδένα λόγον ποιεῖσθαι τῶν προσταγ-
μάτων ἐβούλεσθε τῶν ἐμῶν, συνεπράττετε δὲ καὶ τοῖς λοιποῖς ἀμελεῖν τῶν νόμων, οὓς σωφρο-
νίζεσθαι παρ' ὑμῶν δίκαιον ἦν. τοῦτο γὰρ λέγει τὸ ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ, ἀντὶ τοῦ
ἐλέγχειν τοὺς ἁμαρτάνοντας παρὰ τὸ τοῦ νόμου δοκοῦν οὐκ ἐβούλεσθε. " Οὐχὶ θεὸς εἷς ἔκτι- v. 10.
σεν ὑμᾶς; οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ
τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν; „ Καί τοι γε φησὶν καὶ ὑμεῖς κἀκεῖνος,
λέγει δὲ τὸν Ἀαρὼν, ὑφ' ἑνός τε γεγόνατε θεοῦ, κηδεμονίας τε καὶ τιμῆς ἠξιώθητε τῆς αὐτῆς. p. 551.
κοινῇ γὰρ καὶ πρὸς ὑμᾶς ἔφην τὸ, ἐγὼ εἶπον θεοὶ ἐστὲ, καὶ υἱοὶ ὑψίστου πάντες. ὅπερ δὴ μά-

tatis tradens notitiam, atque ad Dei legem cunctos sibi subiectos pertrahens, et quomodo eam observarent docens. Hoc est enim sacerdotis opus, ut sit nimirum angeli instar ceteris hominibus datus, ut omnes ad virtutem deducat, quod ipsorum angelorum erga nos officium est. Haec ego cum Aarone foedera pepigi, qui reapse consentaneos legi meae mores prae se tulit. At enim vos sacerdotium illius successione sortiti, mirum quantum a praedictis moribus abhorretis. Quomodo id, inquam?

" Vos autem declinastis a via, multosque in lege infirmastis, corrupistis Levi foedus, ait Dominus omnipotens. „ Tantopere ab huius officii observantia declinastis, ut ceteros etiam circa legem socordes feceritis: atque ita, ut breviter dicam, malitia vestra corrupistis foedera quae cum Aarone pepigeram, volens ea cum illius quoque successoribus permanere. " Et ego dedi vos contemptos et abiectos in omnes gentes, propterea quod vias meas non custodistis, sed accipiebatis personas in lege. „ Praeclare ex iis quae paulo ante acciderant illos commonet: talia enim, inquit, cum vos patrare comperissem, captivitati tradidi, ad nihilum redactos, et omni sacerdotali honore spoliatos: quandoquidem nullam mandatorum meorum rationem habere voluistis, immo et aliis aeque legem negligentibus cooperatores fuistis, quos potius a vobis emendari oportebat. Sic enim intelligenda sunt verba: accipiebatis personas in lege; id est reprehendere adversus legem peccantes noluistis. " Nonne Deus unus vos creavit? nonne pater unus omnium vestrum? Cur ergo unusquisque sivistis fratrem vestrum profanare testamentum patrum vestrorum? „ Atqui et vos, inquit, et ille, id est Aaron, ab uno Deo creati estis, quos etiam pari cura atque honore dignatus fuit: aeque enim illi vobisque dixit: ego dixi, dii estis, et filii Altissimi omnes: quod dictum eos apprime respicit qui sacerdotalem

λιστα τοῖς τῆς ἱερατικῆς προεδρίας ἐπειλημμένοις, καὶ ἡγουμένοις ἐντεῦθεν τοῦ λαοῦ ἁρμόττον· πόθεν τοίνυν τοσαύτην ἐπὶ τῶν τρόπων ἐσχήκατε τὴν διαφθοράν; ὥστε ἐκεῖνον μὲν ἐπανορθοῦσθαι τοὺς καθ᾽ ἑαυτὸν, καὶ πρὸς τὸ δέον ἐπανάγειν σπουδῇ, ὑμᾶς δὲ παρορᾶν τοὺς ὑπὸ τὴν ἱερωσύνην ὄντας ἀδελφοὺς ὄντας ἰδίους, ἐξαμαρτάνοντας τε οὕτως, καὶ μονονουχὶ πατοῦντας τῶν νόμων τῶν ἐμῶν τὴν ἀκρίβειαν· τοιγαροῦν τί γέγονεν;

v. 11. “ Ἐγκατελείφθη Ἰούδας, καὶ βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ καὶ ἐν Ἱερουσαλήμ·
διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια κυρίου ἐν οἷς ἠγάπησε, καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλο-
τρίους. „ Τοιγαροῦν ἐπειδὴ καὶ οἱ τοῦ λαοῦ τὸ μὴ δέον ἔπραττον, καὶ ὑμῖν τοῖς ἱερεῦσι λόγος
οὐδεὶς ἦν τῆς ἐκείνων διορθώσεως, ἀφεθέντες τῆς προνοίας τῆς ἐμῆς εἰς αἰχμαλωσίαν ἀπε-
ληλύθατε· ὑπὲρ ὧν δὴ τῆς θεραπείας ἀμελήσαντες τοῦ θεοῦ, ἣν δὴ μάλιστα μετὰ πολλῆς
ὑμᾶς μετιέναι προσῆκον ἦν τῆς σπουδῆς, εἰς εἰδώλων ἐξετράπητε θεραπείαν· οὕτως ἀπὸ τῶν
ἱερέων εἰς ἅπαντας ἐκβαλὼν τὸν λόγον, ὡς ἂν τῇ τούτων κακίᾳ καὶ τῶν λοιπῶν γεγονότων
v. 12. τοιούτων, εἰς σωφρονισμὸν ἁπάντων κοινῇ λοιπὸν ἐπάγει. “ Ἐξολοθρεύσει κύριος τὸν ἄν-
θρωπον τὸν ποιοῦντα ταῦτα, ἕως ἂν καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακὼβ, καὶ ἐκ προσ-
p. 552. αγόντων θυσίαν τῷ κυρίῳ παντοκράτορι. „ Ἀλλ᾽ εἴ γε μὴ τούτων ἀποσταίητε, φησὶ, παν-
τελὴς ἀπώλεια λήψεται πάντας ὑμᾶς, ὥστε εἰς τὴν ἐσχάτην ταπείνωσιν τούς τε λοιποὺς ἀχθῆναι, καὶ δὴ καὶ ὑμᾶς τοὺς ἱερατεύειν τε καὶ τὰς ὑπὲρ ἑτέρων θυσίας προσποιουμένους, οὐδὲν οὔτε ὑμῶν οὔτε ἐκείνων τῇ προσαγωγῇ τῶν θυσιῶν ὠφελεῖσθαι οἵων τε ὄντων· ἐντεῦθεν ἐφ᾽ ἑτέραν αὐτῶν μεθίσταται παρανομίαν· ἐπανελθόντες γὰρ ἀπὸ τῆς αἰχμαλωσίας, καὶ τῆς ὑπὸ τοῦ θεοῦ παρασχεθείσης αὐτοῖς εὐπραγίας μετεσχηκότες, εἰς ἀκόλαστον ἐκτραπέντες βίον, τὰς πρόσθεν ἑαυτῶν γυναῖκας ἠφίεσαν, ἐφ᾽ ἑτέρας ὅπως ποτὲ τρέποντες τὸ ὄμμα· καὶ τὰς μὲν ἐν μακρῷ τῷ χρόνῳ συγγεγονυίας αὐτοῖς, καὶ δὴ καὶ τῶν κατὰ τὴν αἰχμαλωσίαν κακῶν τῶν τε αὐτόθι ταλαιπωριῶν κεκοινωνηκυίας αὐτοῖς ἀπέβαλλον ἀδεῶς, ἐφ᾽ ἑτέρας δὲ ἐξε-

dignitatem, vel ducatum populi tenent. Unde igitur tantam morum corruptelam traxistis, ut ille quidem sui temporis homines emendaverit, atque ad officium diligenter impulerit; vos autem subiectos sacerdotio fratres vestros negligatis, tantopere peccantes, ac propemodum legum meam observantiam pedibus conculcantes? Quid ergo accidit?

“ Derelictus est Iudas, et abominatio facta est in Israhele et Hierusalem: quia contaminavit Iudas sancta Domini quae dilexerat, et alienis diis studium impendit. „ Igitur, quia et populus illicita patrabat, et vobis sacerdotibus nulla fuit corrigendi illum sollicitudo, destituti providentia mea in captivitatem abiistis: quia nimirum cultu Dei neglecto, quem a vobis potissimum vehementi cura observari oportebat, ad idolorum obsequium conversi estis. Atque ita a sacerdotibus ad omnes verba transferens, quasi et reliqui in eadem sacerdotum nequitia versarentur, communis castigationis ergo haec addit. “ Perdet Dominus hominem qui haec fecerit, donec humilietur de tabernaculis Iacob, et de offerentibus omnipotenti Domino sacrificium. „ Nisi ab hoc vitae genere recesseritis, omnimoda vos ruina cunctos corripiet, ita ut in extremam abiectionem tum reliqui deveniant: tum et vos ex sacerdotii functione et sacrificiis quae pro aliis offerre simulatis, nullam seu vos seu illi utilitatem capietis. Posthinc ad aliud illorum transit peccatum. Namque a captivitate reversi, et data a Deo felicitate potiti, ad lascivam versi vitam, priores suas uxores dimiserant, atque aliis oculum cupiditatis adiecerant: et illas quidem quae longo cum eis tempore vixerant, et malorum etiam captivitatis participes illic fue-

πόντο ἐξ ἀκολασίας· εἶτ' οὐδὲ μιᾶς ἐντεῦθεν βοηθείας προσαγομένης κακῶς πασχούσαις ταῖς
γυναιξὶν, οὐδὲ τινὸς τοῖς γινομένοις ἐπιτιμῶντος, ἀναγκαίως τήν τε ὕβριν καὶ τὴν ἀτιμίαν
αἱ γυναῖκες οὐ φέρουσαι, ταύτῃ ἐπὶ τὸν θεὸν κατέφευγον, πολλοῖς μὲν τοῖς δάκρυσι, πολ-
λαῖς δὲ ταῖς οἰμωγαῖς κεχρημέναι, καὶ τῆς παρὰ θεοῦ προνοίας ὡς ἐν ἀβοηθήτοις ἀξιοῦσαι
τυχεῖν· ὑπὲρ δὴ τούτων οὕτω φησί.

“ Καὶ ταῦτα ἃ ἐμίσουν ἐποιεῖτε· ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον κυρίου, καὶ v. 13.
κλαυθμῷ καὶ στεναγμῷ ἐκ κόπων· ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν δεκτὸν
ἐκ τῶν χειρῶν ὑμῶν; „ Ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον κυρίου, καὶ κλαυθμῷ καὶ στε- p. 553.
ναγμῷ· οὐ πρὸς τοὺς ὀδυρομένους φησὶν, ἀλλὰ πρὸς τοὺς αἰτίους τούτου· οὐ γὰρ δὴ τὰς ἀπὸ
τοσαύτης ἀνάγκης τε καὶ ἐπηρείας ἐπὶ τὸν θεὸν καταφεύγειν ἀναγκαζομένας καὶ τὰ συμβε-
βηκότα αὐταῖς ἀποδυρομένας κακὰ, μέμφεσθαι ἤμελλεν ὑπὲρ ὧν ταῦτα ποιοῦσιν, ἀλλ'
εὔδηλον ὅτι τοῖς ἀδικοῦσι καὶ τῶν τοιούτων οἰμωγῶν τε καὶ δακρύων αἰτίοις ἐπιμέμφεται δι-
καίως· τὸ οὖν ἐκαλύπτετε λέγει ἀντὶ τοῦ παρεσκευάζετε καλύπτεσθαι· ἐποιεῖτε δὴ φησὶ καὶ
τοῦτο ὃ πάντων μάλιστα ἀπειρημένον ἦν ἐμοὶ, καὶ πολλοῦ γε μίσους φαινόμενον ἄξιον· οἷς
καλῶς ἐπήγαγε τὸ ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν
ὑμῶν; πῶς γὰρ δὴ φησὶ καὶ δυνατὸν ἢ θυσίαν ἢ ἄλλο τι τῶν παρ' ὑμῶν προσκομιζομένων
δέξασθαί με, τῶν γυναικῶν τῶν ὑμετέρων ἐπὶ τοσαύταις ἀδικίαις τε καὶ παροινίαις ἃς ὑπο-
μένουσι παρ' ὑμῶν, τοσούτῳ μὲν κλαυθμῷ τοσούτοις δὲ ὀδυρμοῖς ἐπ' ἐμοῦ κεχρημένων; ἃς
παριδεῖν οὐκ εὐπρεπὲς ἐμοί· ὥστε εἰ καὶ τὰς εἰς ἐμὲ γινομένας ὑμῶν πλημμελείας παρίδοιμι,
ἀλλ' οὔ τι γε τὰς ἀδικίας παρόψομαι τῶν γαμετῶν τῶν ὑμετέρων· ὅμοιον δέ ἐστι τῷ τοῦ κυρίου
ἐν τοῖς εὐαγγελίοις λέγοντος *, ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ * Matth. V. 23.
μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ

rant, nunc temere eiecerant, atque aliis per libidinem adhaerebant. Iam quum nullum miseris mulieribus ferretur auxilium, nec quisquam facta haec obiurgaret, necessario iniuriam ignominiamque non ferentes ipsae mulieres, idcirco ad Deum confugiebant multis cum lacrymis multisque eiulatibus, Deique providentiam ut in re desperata implorabant. Propterea sic loqui pergit.

“ Et haec quae oderam faciebatis: operiebatis lacrymis altare Domini, et planctu ac gemitu de laboribus. Adhuc ne dignum est respicere sacrificium, aut suscipere acceptabile de manibus vestris? „ Operiebatis lacrymis altare Domini, et planctu ac gemitu; quod non de lugentibus dicit, sed de iis qui lugendi causa erant. Non enim Deus mulieribus quae ex tantis angustiis atque iniuria ad se confugere cogebantur, suamque calamitatem deflebant, exprobraturus erat quod ita se gererent; sed patet, Deum iniuriam facientibus et huiusmodi ploratuum ac lacrymarum auctoribus merito irasci. Ergo operiebatis dicit, pro, operiendum curabatis. Id vero agebatis quod a me praecipue vetitum est, multoque odio dignum apparet. Quibus praeclare addit: num dignum adhuc est me ad vestrum sacrificium respicere, vel quodlibet de manibus vestris munus accipere? Nam qui fieri poterit ut ego sacrificium vel quidvis aliud a vobis oblatum admittam, quamdiu mulieres vestrae in tot iniuriis ac petulantiis quas a vobis patiuntur, tanto me gemitu ploratuque pulsant? quas aspernari, indecorum mihi foret: adeo ut si forte peccata vestra adversus me negligerem, haud tamen vestrarum uxorum iniurias aequo animo passurus sim. Par vero hoc est Domini in evangeliis effato: si offeras munus tuum ad altare, ibique recordatus fueris fratrem tuum habere aliquid adversus te, relinque ibi mu-

ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρον σου· ὡς
γὰρ ἐκεῖ περιττὴν εἶναι λέγει τὴν προσκομιδὴν μὴ τοῦ ἠδικημένου θεραπευθέντος πρότερον,
οὕτως κἀνταῦθα φησὶν, ὅτι μὴ δυνατόν με δέξασθαι τί παρ' ὑμῶν προσφερόμενον, τὰς
τοιαῦτα παρ' ὑμῶν ἠδικημένας ὁρῶντα.

v. 14. " Καὶ εἴπατε, ἕνεκεν τίνος; „ Κἀνταῦθα πάλιν τὸ εἴπατε ὁμοίως εἰπὼν ἀντὶ τοῦ καὶ
διαπράττεσθε τοσοῦτο κακὸν, ὡς οὐδὲν ἐργαζόμενοι, τοιαύτην τινὰ διάθεσιν ἐπὶ τῇ τοσαύτῃ
v. 15. κεκτημένοι παρανομίᾳ· εἶτα δεικνὺς τοῦ γινομένου τὴν ἀτοπίαν, ἐπάγει· " ὅτι κύριος διε-
μαρτύρατο ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες, καὶ αὕτη
κοινωνός σου, καὶ γυνὴ διαθήκης σου· καὶ οὐκ ἄλλος ἐποίησε, καὶ ὑπόλειμμα πνεύματός σου. „
Ἐγὼ μὲν γὰρ φησὶν ἄνωθεν καὶ ἐκ πρώτης διεταξάμην τῆς δημιουργίας πατέρα τε καὶ μη-
τέρα ἀφιέντας, τῇ γυναικὶ προσκολλᾶσθαι τῇ ἰδίᾳ, ὡς ἂν εἶεν εἰς σάρκα μίαν οἱ δύο·
ὑμεῖς δὲ τοσοῦτον τῶν νόμων ἠμελήκατε τῶν ἐμῶν, ὥστε τὴν ἐκ νεότητός σοι συναφθεῖσαν πρὸς
γάμον, καὶ κοινωνόν σοι τοῦ βίου γεγονυῖαν, παντὸς ἀφιέναι δίχα λόγου τῆς οἰκίας ἐξωθού-
* cod. ν pro ς. μενος * τῆς ἰδίας, πρὸς ἣν τοιαῦται σοι διὰ τῶν γαμικῶν νόμων εἰσὶν αἱ συνθῆκαι· ὡς ἂν
μία τε εἴητε σὰρξ, καὶ κοινὰ ἥγοισθε τὰ ἀλλήλων· εἶτα ταύτην ἀφεὶς τὴν ἐπὶ τοιούτοις σοι
συναφθεῖσαν, ἐφ' ἑτέραν μετῄεις ἐξ ἀκολασίας· οὐδὲ ἐκεῖνο λογισάμενος ὅτι ἐπὶ δια-
p. 555. δοχῇ γένους ὁ γάμος συνέστηκεν, ἵνα θανάτῳ διαφθειρόμενον τὸ γένος ἀνασώζηται τῇ
τεκνογονίᾳ· ὥστε ὁ γάμος μηχάνημα τῆς διαδοχῆς εὕρηται παρὰ τοῦ θεοῦ· τοῦτο γὰρ λέγει τὸ
ὑπόλειμμα πνεύματός σου, ἀντὶ τοῦ ἐπειδὴ ἀποτίθεσθαι μέλλεις τοῦ παρόντος βίου τὴν ζωὴν,
* Eccle. XII. 7. Sap. XVI. 14. οἷον ἐστὶ τὸ ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ *, ὡς ἂν μὴ παν-
τελῶς ἀπόλλυσθαι δοκοίης, ὑπελίπετό σοι τὴν διαδοχὴν μνημόσυνον ὁ θεὸς, καὶ λείψανον

nus tuum in altari, et vade prius reconciliari fratri tuo, et tunc veniens offer munus tuum. Namque ut illic vanam esse dicit oblationem ante quam laeso satis fiat; ita nunc ait non posse aliquid de vobis suscipi oblatum, quamdiu has ita a vobis iniuriose tractatas cerno.

" Et dixistis, cur? Hoc etiam loco rursus verbum dixistis ait pro, tantum malum egistis; et quasi nihil egeritis, hoc animi habitu estis in tanta nequitia. Postea ostendens rei actae pravitatem, addit: " testis est Dominus inter te et uxorem adolescentiae tuae, quam deseruisti; quamquam ipsa, particeps tua erat, et uxor foederis tui. Haud alius hoc fecit (id est nuptias copulavit, nisi Deus) et sunt reliquiae spiritus tui. „ Equidem, inquit, olim et ab initio constitui creationis, ut viri, patre ac matre relicta, uxori propriae adhaererent, ut duo essent in carne una: vos vero tantopere leges meas neglexistis, ut feminam tibi nuptiis ab adolescentia copulatam, et vitae tuae sociam, nulla interveniente causa domo propria pulsam dimittatis; cum qua tamen tam grave extiterat ex nuptialibus legibus foedus; ut nempe caro una essetis, et communia omnia inter vos haberetis. Postea nihilominus hac dimissa, tam legitime tibi copulatam, ad aliam libidine stimulante transilis. Neque illud reputas, nuptias ob generis successionem constare, ut stirps humana, quae morte extinguitur, liberorum genitura conservetur. Quamobrem nuptiae successionis machinamentum a Deo inventae sunt: id enim aiunt verba, reliquiae spiritus tui „ id est cum praesentis temporis vitam deponere debeas (prout dictum est, exibit spiritus eius, et revertetur homo in pulverem suum) ne totus perire videaris, reliquit tibi Deus successionem memoriae instar, et residuum substantiae personaeve tuae. Ea propter respicientem te ad nuptiarum causam, opor-

τῆς τε ὑποστάσεως τῆς σῆς· ὥστε καὶ πρὸς τὴν αἰτίαν ὁρῶντα τοῦ γάμου, δεδίττεσθαι τὸ πρᾶγμα
ἐχρῆν, καὶ μὴ πλημμελεῖν εἰς τοὺς περὶ τούτου τεθέντας νόμους ἄνωθεν παρὰ τοῦ θεοῦ, φυ-
λάττειν δὲ αὐτοὺς ἀκεραίους τῷ μένειν ἐπὶ τῶν προτέρων, ἃς οὕτω τε καὶ ἐπὶ τούτοις ἠγά-
γεσθε, μὴ μὴν ἐξ ἀκολασίας ἀφιέναι μὲν τὰς πρώτας, μεθίστασθαι δὲ ἐφ' ἑτέρας.

Καὶ θαυμασιώτατα ἐπήγαγε. “ Καὶ εἴπατε, τί ἄλλο ζητεῖ ὁ θεὸς, ἢ σπέρμα; ,,
Ἐπειδὴ ἐδόκουν καὶ ἐκ τῶν παρανόμως συναπτομένων γυναικῶν παιδοποιεῖσθαι, τοῦτο
φησὶν, οὐχ ὡς νόμους αἰδεῖσθε θείους τοὺς περὶ τοῦ γάμου τεθέντας παρὰ τοῦ θεοῦ, ἀλλ' ὡς
δίκην ἀλόγων εἰς συνουσίαν τε καὶ τῷ τίκτειν μόνον ἐκκείμενοι· καὶ ἐπὶ τούτῳ γεγονότες
παρὰ τοῦ θεοῦ, οὕτω τὰς μὲν προτέρας ἀφίετε, ἐφ' ἑτέρας δὲ ἔρχεσθε, οὐδὲ μίαν διαφορὰν
εἶναι νομίζοντες, ἢ ἐξ ἐκείνων τεκνογονεῖν ἢ ἐκ τούτων· δέον εἰδέναι, ὅτι τὸ μὲν ἀδεὲς τῆς
διαδοχῆς ἀλόγοις ἁρμόττον, τοῖς δὲ λόγου μετειληφόσι πρέπον τὸ μετὰ τῶν νόμων τῶν θείων p. 556.
μετιέναι τε τοὺς γάμους, καὶ τὴν ἐντεῦθεν στέργειν διαδοχήν· κἀνταῦθα γὰρ τὸ εἴπατε, οὐ
φωνὴν λέγει, ἐπεὶ μηδὲ οἷόν τε ἦν αὐτοὺς τοῦτο εἰπεῖν, ὅτι οὐδὲν ἄλλο ζητεῖ θεὸς ἀλλ' ἢ
σπέρμα, ἀλλ' ἵνα τὴν διάθεσιν εἴπῃ τῆς διανοίας μοχθηρὰν οὖσαν· καὶ ὅτι οὕτω πάντα ἔπραττ-
τον, οὐχ ὡς ἄνθρωποι λογικοὶ νόμοις ζῆν ὀφείλοντες θείοις, ἀλλ' ὡς δίκην ἀλόγων πρὸς
τὴν μίξιν μόνον καὶ τὴν διαδοχὴν ἐκκεῖσθαι· εἶτα καὶ νόμον τιθεὶς “ καὶ φυλάξασθε ἐν τῷ
πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς. ,, Τοιγαροῦν πᾶσαν ἐπιμέ-
λειαν ποιήσασθε τοῦ λοιποῦ τοῦ μετὰ τῆς πρεπούσης διαθέσεως ταῖς γαμεταῖς συνεῖναι, ἃς ἄνωθεν
εἰλήφατε, μὴ μὴν ἀφιέναι ταύτας· καὶ ἐπειδὴ αὐτὸς διὰ Μωϋσέως βιβλίον ἀποστασίου
προσέταξε δίδοσθαι ταῖς γυναιξὶ, δεικνὺς ὁπόσον ἐστὶ τὸ διάφορον, ἐπάγει.

“ Ἀλλ' ἐὰν μισήσῃς ἐξαπόστειλον, λέγει κύριος ὁ θεὸς τοῦ Ἰσραήλ. ,, Ὅτ' ἂν μὲν v. 16.
γὰρ ἐκ δυσκολίας γυναικὸς, ἢ τινος μοχθηρᾶς, ἢ ὅλως ἑτέρων τινῶν τὴν ἀξίαν αὐτὴν τῆς

tebat rem hanc revereri, neque peccare contra leges de his a Deo antiquitus positas, sed eas inviolatas custodire, et in priorum coniugio perseverare, quas praedictas ob causas duxistis, et non potius suadente libidine, dimissis primis, ad secundas transire.

Tum mirabiliter admodum addidit. “ Et dixistis: quidnam quaerit Deus aliud quam semen? ,, Quoniam videbantur ex illegitimis etiam uxoribus liberos suscipere, hoc ait facitis, non quia sacras reveremini leges de nuptiis a Deo positas, sed quia more pecudum ad coitum tantummodo atque ad gignendum incumbitis; et tamquam a Deo sic comparati, ita priores uxores dimittitis, atque ad alteras transitis, nihil interesse putantes utrum ex his liberos suscipiatis an ex illis: cum scire deberetis, liberam propagationis licentiam brutis convenire; rationalibus vero, nuptiarum iuxta Dei leges vinculum, atque ex his velle sibi successionem comparare. Etenim hoc etiam loco verbum, dixistis, haud vocem denotat; nam nec fieri poterat ut dicerent, Deum nihil aliud quam semen quaerere; sed improbam mentis adfectionem vult demonstrare; et quod omnia agerent, non tamquam homines rationales, qui legibus debent divinis vivere, sed more pecudum coitum tantummodo et propagationem affectarent. Deinde legem quoque ponit: “ et custodite in spiritu vestro; et uxorem iuventutis tuae ne deseras. ,, Omni itaque sedulitate date in posterum operam, ut non absque decente affectu cum uxoribus vivatis quas olim duxistis, nedum has dimittatis. Et quia ipse Deus per Moysem libellum repudii dari iussit uxoribus, quanta sit inter utramque rem differentia ostendit dicens.

“ Sed si odio habueris, dimitte, dicit dominus Deus Israhel. ,, Si quando ex

μισεῖσθαι δεικνύντων, εἰς τὸ τοιαύτην ἔχειν τὴν γνώμην περὶ αὐτὴν καταστῆς, ἀπολύειν αὐτὴν ἐκέλευσα τότε, οὐ τὸν γαμικὸν λύων νόμον, ἐκ δὲ τῶν συμβαινόντων, οὐ παρὰ τὴν σὴν αἰτίαν ἐπιτρέπων σοι μᾶλλον αὐτὴν ἀφιέναι, ἢ εἰς καθημερινοὺς καθίστασθαι πρὸς αὐτὴν
p. 557. διαπληκτισμούς, μήποτέ τι καὶ χεῖρον ὁ μακρὸς ἐργάσηται χρόνος, καί πως καὶ πρὸς φόνον
* Matth. XIX. 4-8. ὁπλισθῇς τῆς γυναικός· οὕτω γὰρ καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις * πρὸς Φαρισαίους ἐρωτήσαντας, τί οὖν Μωϋσῆς ἔδωκε βιβλίον ἀποστασίου; ἐπήγαγε, πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν οὕτω Μωϋσῆς, ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· ὁ γὰρ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εἶπεν, ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· τοῦτο λέγει, ὅτι τὸ μὲν κάλλιστον ἦν κατὰ τὸν ἄνωθεν μετὰ τοῦ προσήκοντος διαμένειν, ἀλλήλοις συνόντας ἄνδρα τε καὶ γυναῖκα· εἰδὼς δὲ ὑμῶν τὰς ὀργὰς ἀκαθέκτους οὔσας, ἐκέλευσεν εἰ αἱ φυόμεναι ἐν ὑμῖν αἰτίαι δοκοῖεν παροξυσμόν τινα παρέχειν, μᾶλλον ἀφιέναι τὴν γυναῖκα ἢ ἐκ μίσους πρὸς ἐπιβουλὴν καθίστασθαι φόνου· εἶτα ἐπειδὴ ἐνῆν αἰτίαν οὐ παρεχούσης τῆς γυναικός, ἐκ τῆς πρὸς ἑτέραν ῥοπῆς, μῖσος πλάττειν ἑαυτῷ τὸ μὴ δίκαιον “ ἀποκαλύψει ἀσέβεια τὰ ἐνθυμήματα ὑμῶν, λέγει κύριος παντοκράτωρ. ,, Εἰ γὰρ μὴ τούτων οὕτως ἐχόντων, πλαττόμενοι τὴν αἰτίαν ἀποπέμποισθε τὰς ἄνωθεν ὑμῖν συναφθείσας γυναῖκας, ἔστιν ὁ τῶν ἀσεβειῶν ὑμῶν ἐξεταστὴς θεός. Οἷς καλῶς ἐπήγαγε. “ Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ μὴ ἐγκαταλίπητε τὴν συνθήκην· ,,
p. 558. ὥστε φησίν, ὅλῃ διανοίᾳ καὶ διαθέσει τῇ προσηκούσῃ μετὰ τῆς δεούσης εὐγνωμοσύνης τὸν γαμικὸν φυλάττετε νόμον, καὶ τὰς συνθήκας ἀπαραβάτους τηρεῖτε μεθ' ὧν ἄνωθεν εἰς τὴν γαμικὴν ἐληλύθατε κοινωνίαν.

Συμπεράνας δὴ τὰ τῶν γυναικῶν ἐν τούτοις, λέγει καὶ ἑτέραν αὐτῶν οὐ πλημμέλειαν

ucerbitate mnlieris, aut pravo ingenio, aut vitio quolibet eam odio dignam faciente, in huiusmodi de ea sententiam adductus fueris, tunc eam dimittere mandavi, haud equidem nuptialem legem dissolvens, sed ex rei praesentis adiunctis, non tam ob tuam querelam permittens eam dimittere, quam ut ne quotidianis iurgiis cum ea contenderes, et ne gravius aliquid longum tempus adduceret, et fortasse etiam ad uxoris caedem manum armares. Sic enim etiam Dominus in evangeliis, Pharisaeis sciscitantibus, cur ergo Moyses repudii libellum dedit? respondit: ob duritiam cordis vestri permisit ita Moyses: ab initio autem non fuit sic. Nam qui ab initio creavit, masculum et feminam fecit eos, dixitque: propter hoc derelinquet homo patrem suum ac matrem suam, et adhaerebit uxori suae, et erunt duo in carne una. Hoc nempe ait: pulcherrimum profecto erat iuxta priscam legem in debito officio permanere, convictu iunctos virum atque uxorem: verumtamen iras vestras effrenatas videns, praecepit ut si forte natae inter vos querelae graviore exacerbatione fierent, uxor potius dimitteretur, quam ex odio ad inferendae necis consilium vir procederet. Deinde quia fieri poterat, ut causam non praebente uxore, cupiditate alterius mulieris odium iniustum simularet maritus “ revelabit, inquit, iniquitas cogitationes vestras. ,, Si ergo rebus ita se habentibus, simulata causa repudiaveritis copulatas vobis olim uxores, est vestrarum iniquitatum inquisitor Deus. Tum bene addidit: “ et custodite in spiritu vestro, neque foedus deseratis. ,, Tota mente debitoque animi affectu nuptialem custodite legem, et pacta inviolata servate, quibuscum olim ad nuptialem convictum accessistis.

Sic absoluto de uxoribus sermone, dicit et aliam Israhelitarum non nequitiam

ἁπλῶς, ἀλλ' ἀσέβειαν· πολλοὶ γὰρ τῶν ἀνθρώπων τὰ μὲν παρ' αὐτῶν ἁμαρτανόμενα ὁρᾶν
οὐκ ἐθέλουσιν, ἀλλ' οὐδέ τι πάσχειν ὑπὲρ τούτων ἔχονται· τοὐναντίον μὲν οὖν καὶ δυσχεραίνουσιν
ἐν πείρᾳ καθιστάμενοι λυπηρῶν, καὶ ταῦτα ἧττον πολλάκις πάσχοντες τῆς ἀξίας· ὑπὲρ ἑτέ-
ρων δὲ μέμφονται τῷ θεῷ προχείρως, ὡς ἁμαρτανόντων μὲν πλεῖστα, δίκας δὲ οὐ διδόν-
των. Τοῦτο δὴ καὶ παρ' ἐνίων τῶν ἐν τοῖς Ἰσραηλίταις τότε γινόμενον, ἐν τούτοις αἰτιώμενος
ὁ προφήτης οὕτω φησίν. " Οἱ παροξύνοντες τὸν θεὸν ἐν τοῖς λόγοις ὑμῶν· καὶ εἴπατε, ἐν v. 17.
τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς, πᾶς ποιῶν πονηρὰ, καλὸν ἐνώπιον κυρίου,
καὶ ἐν αὐτοῖς αὐτὸς ηὐδόκησε· καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς δικαιοσύνης; ,, Ἀλλὰ γὰρ οὐδὲ ἐκείνην
ὑμῶν παρήσω τὴν ἀσέβειαν, ἐφ' ἧπερ εἰς ἀγανάκτησιν καθ' ἑαυτῶν κινοῦντες τὸν θεὸν οὐκ
αἰσθάνεσθε· τὸ γὰρ, καὶ εἴπατε ἐν τίνι παρωξύναμεν αὐτὸν, κἀνταῦθα ἐπὶ τῆς διαθέσεως
αἰτιώμενος λέγει, ὡς οὐδὲ τὴν ἀσεβεῖν ἐπὶ τοιούτοις αἴσθησιν ἔχοντες· τί δὲ ἦν τὸ ἀσέβημα
δηλῶν, φατὲ φησὶν ὅτι ἔοικεν ἀρέσκεσθαι τοῖς τὰ κακὰ διαπραττομένοις ὁ θεός· καὶ τοῦτο p. 559.
δῆλον ἐξ ὧν ἐπὶ τοιαύταις πλημμελείαις οὐ διδόασιν ἄνθρωποι δίκας· καίτοι γε εἴ τις
λόγος τοῦ δικαίου τῷ θεῷ, προσηκόντως ἂν αὐτοῖς κόλασιν ἐπαγαγόντι τὴν ἐσχάτην. Τί οὖν;

ΚΕΦ. Γ'.

" Ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου· v. 1.
καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ κύριος ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης
ὃν ὑμεῖς θέλετε. ,, Ἐπειδὴ τοίνυν τοιαῦτα φατὲ, καὶ τὴν περὶ τὸ δίκαιον ἐπιμέλειαν διὰ
τῆς τιμωρίας ἐπιζητεῖτε παρ' ἐμοῦ, ἀποστελῶ μὲν ἄγγελον ὑπηρετησόμενον τοῖς ἐμοὶ δοκοῦσι·
τὸ γὰρ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, τοῦτο λέγει· ἀντὶ τοῦ, ὃς σπουδὴν θήσεται,
ὥσπερ τις πρόδρομος, διαπράξασθαι τὰ ἐμοί γε δοκοῦντα· παρέσομαι δὲ ἄθρουν ἐν

tantummodo sed impietatem. Multi enim homines peccata sua spectare nolunt, sed nec quicquam ob haec patiendum sibi putant. Contra potius, aegre ferunt si quid molestum eis accidat, etiamsi id infra ipsorum meritum saepe sit. Verum ad alios quod attinet, irascuntur facile Deo, quod ii plurimum peccent, nec poenas luant. Quod quum apud nonnullos quoque Israhelitas tunc contingeret, hoc reprehendens propheta sic ait. " Qui provocatis Deum in sermonibus vestris. Et dixistis: in quo provocavimus eum? In eo nempe quod vos dicitis: omnis qui male facit, bonum est coram Domino, et in his ipse complacuit. Et ubinam est Deus iustitiae? ,, Sed ne illam quidem praetermittam impietatem vestram, qua vos nescitis quantopere Deum exasperetis. Nam verbis " et dixistis, in quo eum provocavimus ,, heic pariter illorum animum accusat, ceu qui sic loquendo, impios se esse non sentirent. Et quaenam esset impietas, declarans; dicitis, inquit, videri Deum delectari male agentibus; idque inde apparere, quod ob talia peccata poenas homines non persolvant. Quod si Deus iuris rationem haberet, merito illis supremum supplicium decerneret. Quid ergo?

CAP. III.

" Ecce ego mitto angelum meum, et inspiciet viam ante faciem meam, et statim veniet ad templum suum Dominus quem vos quaeritis, et testamenti angelus quem vos vultis. ,, Quia igitur haec dicitis, et iustitiae curam ut punitio fiat, a me exquiritis, mittam angelum qui placitis meis subserviat. Nam verba, inspiciet ante faciem meam, hoc dicunt; id est iste dabit operam, ceu quidam praecursor,

αὐτῷ κἀγὼ διὰ τῶν ἔργων ἐμαυτὸν δεικνὺς ἐν τῷ ναῷ· ἐπεὶ καὶ ἐν ἅπασι τοῖς γινομένοις
ὅρῳ θεοῦ ἡ μὲν ὑπουργία νοεῖται τῶν ἀγγέλων, θεὸς δὲ ὁ ἐν αὐτοῖς ἐργαζόμενος δι' ὧν ἐπι-
τάττει γίνεσθαι· οὕτω καὶ τὸ τῆς μάννα τροφὴν ἀγγέλων μὲν ὡς ὑπηρετησαμένων λέγει· ἄρτον
γάρ φησιν ἀγγέλων ἔφαγεν ἄνθρωπος· θεοῦ δὲ, ὡς κελεύσαντος δοθῆναι· ἐνετείλατο γὰρ
* Ps. LXXVII. 23. νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε, καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν *. Τὸ δὲ
ἥξει, συνήθως λέγει ὡς ἂν ἐν τοῖς ὑπουργίᾳ τοῦ ἀγγέλου γινομένοις θεοῦ διαφαινομένου τοῦ
p. 560. * Ps. XVII. 10. τῶν ἀποτελουμένων αἰτίου· οἷον ἐστὶ καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ *, ἔκλινεν οὐρανοὺς καὶ
κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ· ἵνα εἴπῃ ὅτι παραγενομένου εἰς βοήθειαν
ἡμετέραν, ἐκ τῶν ἔργων ἐλάβομεν αἴσθησιν· ὅθεν εἰπὼν ὅτι ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ κύριος
ὃν ὑμεῖς ἐζητεῖτε, ἐπήγαγεν " καὶ ὁ ἄγγελος τῆς διαθήκης ὃν ὑμεῖς θέλετε. „ Δεικνὺς
ὅτι ἐν τοῖς ὑπουργίᾳ τοῦ ἀγγέλου γινομένοις τὴν παρουσίαν ἐνδείξεται τὴν οἰκείαν ὁ θεός· ἐγώ
τε οὖν φησὶν ἐλεύσομαι, ὃν τιμωρὸν ἐπιζητεῖτε τῶν πλημμελουμένων· πάρεσται δὲ καὶ ὁ ἄγ-
γελος ὁ ταῖς συνθήκαις ὑπηρετησάμενος αἷς πεποίηκα πρὸς ὑμᾶς πολλάκις· ὃν ἐπιζητοῦντες
εὑρήσετε τῶν πρὸς ἐμὲ συνθηκῶν ὑμῶν τιμωρούμενον τὴν παράβασιν. Ταῦτα μὲν δὴ τοῖς
προρρηθεῖσιν ἀκολούθως εἴρηκεν ὁ προφήτης· τὸ δὲ ἐπὶ τῆς τοῦ μακαρίου Ἰωάννου τοῦ βαπτιστοῦ
* Matth. XI. 10. Marc. I. 2. Luc. I. 17. VII. 27. παρουσίας τὴν φωνὴν εἰρῆσθαι ταύτην *, οὐ θαυμαστὸν, ἐκ τῶν πραγμάτων ἐπαληθευούσης
τότε τῆς φωνῆς, τῷ παραγίνεσθαι μὲν πρόδρομον καὶ ὑπηρέτην τῶν ὡρισμένων τὸν μακά-
ριον Ἰωάννην, ἅμα δὲ αὐτῷ παρόντα φανῆναι καὶ τὸν ὑπ' αὐτοῦ μαρτυρούμενον δεσπότην
Χριστὸν, ἐν ᾧπερ ἡ πάντων ἀνθρώπων ἤμελλεν οἰκονομεῖσθαι σωτηρία.

v. 2. Ἀκολουθῶν μέν τοι γε ὁ προφήτης ἑαυτῷ, ἐπάγει· " ἰδοὺ ἔρχεται, λέγει κύριος παν-
τοκράτωρ· καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; „
p. 561. Ἐπειδ' ἂν γὰρ παραγίνηται φησὶν ὁ θεὸς τιμωρὸς ἐπιφαινόμενος τῶν οὐ δεόντως γινομένων,

ut voluntatem meam exsequatur. Repente autem adero illi ego quoque, operibus memet manifestans in templo: quandoquidem in cunctis quae Dei decreto fiunt, ministerium quidem angelorum intelligitur, sed Deus in ipsis operans per ea quae fieri praecipit. Sic etiam manna cibum angelorum ceu ministrorum dicit: panem, inquit, angelorum manducavit homo; Dei autem ceu dari iubentis: mandavit enim nubibus desuper, et ianuas caeli aperuit, et pluit illis manna ad manducandum. Porro verbum " veniet „ consuete dicit tamquam in rebus angeli ministerio actis, Deo facto conspicuo qui negotii peracti causa est. Veluti est apud beatum Davidem: inclinavit caelos, et descendit; et caligo sub pedibus eius. Id est ipsius ad auxilium nostrum venientis, ex operibus sensum capimus. Quare postquam dixit: veniet in templum suum Dominus quem quaeritis, addidit " et testamenti angelus quem vos vultis: „ demonstrans, quod in rebus ministerio angeli effectis, praesentiam suam Deus ostendet. Ego igitur veniam, inquit, quem peccatorum vindicem exquiritis. Aderit simul angelus foederibus inserviens, quae saepe vobiscum pepigi; quem quaerentes, ultorem comperietis transgressionis illorum. Haec consentanea prioribus dixit propheta. Hanc autem de beati Iohannis baptistae adventu pronunciatam fuisse locutionem, non est mirandum, quia ex rebus verum tunc evasit effatum, postea quam praecursor atque minister decretorum Dei advenit beatus Iohannes; cum eoque apparuit etiam ille, cui testimonium dabat, Christus dominus, in quo omnium hominum perficienda salus erat.

Mox sibi consentaneus propheta prosequitur. " Ecce venit, ait Dominus omnipotens. Et quis sustinebit diem introitùs eius? Aut quis ferre poterit aspectum

ἐλθεὶς ὑμῶν τῶν ταῦτα νῦν λέγειν τολμώντων ὑποστήσεται τῆς τιμωρίας τὸ μέγεθος. δῆλος δέ ἐστιν ἐν τούτοις τὰ ἐπὶ τῶν Μακκαβαίων αὐτοῖς μηνύων κακὰ, ἅπερ τῆς ἑαυτῶν ἕνεκεν ὑπομεμενήκασι κακίας· ὡς ὅ γε αὐτὴν τὴν φωνὴν ἁρμόττειν οἰόμενος τῷ δεσπότῃ Χριστῷ ὡς ἂν περὶ αὐτοῦ καὶ οὐχ ἑτέρου τινὸς ῥηθεῖσαν (1), ἔοικεν ἀγνοεῖν τὸ διάφορον τῶν ἐνταῦθα τε γεγραμμένων, καὶ τῶν ἐπὶ τῆς παρουσίας οἰκονομηθέντων τοῦ δεσπότου Χριστοῦ, ὃς εἰ καὶ κριτοῦ δίκην διέκρινεν ἐν Ἰουδαίοις τοὺς φαύλους ἀπὸ τῶν κρειττόνων, τοὺς μὲν ἐπ' αὐτὸν πεπιστευκότας ἐπὶ τὸ κρεῖττον μεταστήσας, τοὺς ἠπιστηκότας τῇ παραδοὺς τιμωρίᾳ, ἀλλ' εὔδηλον ὅτι τῷ κοινῷ λόγῳ σκοπὸν τῆς οἰκείας ἔσχηκε παρουσίας, ὃν ὁ μακάριος Ἰωάννης δεδήλωκεν εἰπὼν, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ τὰ ἐφεξῆς δὲ ἔτι μᾶλλον δείκνυσι τῶν ῥημάτων τὸν σκοπόν· ἐπάγει γάρ.

“ Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθιεῖται v. 3.
χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον· καὶ καθαριεῖ τοὺς υἱοὺς Λευὶ, καὶ
χεεῖ αὐτοὺς ὡς τὸ χρυσίον καὶ ὡς τὸ ἀργύριον· καὶ ἔσονται τῷ κυρίῳ προσάγοντες θυ-
σίαν ἐν δικαιοσύνῃ· καὶ ἀρέσει τῷ κυρίῳ θυσία Ἰούδα ἐν Ἱερουσαλὴμ, καθὼς αἱ ἡμέραι τοῦ v. 4.
αἰῶνος, καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν. „ Ἀλλὰ γὰρ ἔσται τί φησι κέρδος ἐκ τῆς ἐπα- p. 562.
χθησομένης τότε τιμωρίας ὑμῖν· δίκην μὲν γὰρ πυρὸς ἐν χωνείᾳ ἀργύριόν τε καθαίροντος καὶ χρυσίον, ἢ καὶ πόας διὰ τῶν πλυνόντων καθαιρούσης ἐσθῆτα, ταῖς συμφοραῖς ταῖς τηνικαῦτα ἐπαγομέναις ὑμῖν καθαριεῖ πάντας τοὺς τὴν ἱερωσύνην τολμῶντας ἐκτελεῖν ἀδοκίμως· ὥστε αὐτοὺς τοῖς ἐπιγινομένοις σωφρονισθέντας κακοῖς προσάγειν λοιπὸν τῷ θεῷ θυσίας, ὡς

eius? „ Cum venerit, inquit, Deus publicus haud recte factorum vindex, nemo vestrum qui haec dicere nunc audet, punitionis gravitatem sustinebit. Evidenter autem his verbis praedicit illis ea quae sub Maccabaeis eventura mala erant, quae scilicet ob suam populus nequitiam pertulit. Ideo qui hanc dictionem convenire existimat Christo domino, nec de alio quam de eo pronunciatam, videtur ignorare rerum heic scriptarum differentiam ab illis quae in Christi domini adventu per dispensationem actae sunt: qui quamvis officio iudicis discrevit Iudaeorum improbos a melioribus, credentes sibi ad meliorem frugem traducens, incredulos poena adficiens; attamen exploratum est, quod generali ratione scopum habuerit adventus sui illum quem beatus Iohannes declaravit dicens: ecce agnus Dei qui tollit peccatum mundi. Tum in sequentibus propheta magis adhuc aperit verborum suorum scopum. Addit enim.

“ Quia ipse ingreditur quasi ignis conflatorii, et quasi herba fullonum. Et sedebit conflans et purgans sicut aurum et sicut argentum. Et erunt Domino adducentes sacrificium in iustitia. Et placebit Domino sacrificium Iudae in Hierusalem sicut dies saeculi et sicut anni pristini. „ Verumtamen aliquid vobis emolumenti continget ex impacta poena. Namque ignis instar in conflatorio argentum purgantis et aurum, vel herbae etiam quae fullonum operâ vestem emundat, calamitatibus tunc vobis inflictis purgabit Deus illos qui sacerdotium improbe tractare audent: ut hi incumbentibus malis emendati, Deo posthinc offerant sacrificia, prout Deum

(1) Rectius omnino in commentariis Hieronymus, Cyrillus ac Theodoretus Malachiae verba de Iohannis tantum praedicatione Christique adventu explicant. Noster autem more suo rem illam potius κατ' ἔκβασιν, id est *secundum eventum pleniorem*, mavult intelligere, et huic quoque loco maccabaica tempora importune admiscere et accommodare nititur. Notae propterea sunt contra Mopsuestenum, quasi ἰουδαιόφρονα, veterum criminationes. Cum praedictorum autem aliorumque patrum christiana magis praesentis loci interpretatione recentiores etiam critici uno ore consonant.

νόμιμον προσάγειν θεῷ προεστῶτι τῆς δικαίας, ᾧ δὴ μετὰ πολλοῦ τοῦ δέους τὴν λειτουργίαν προσῆκον ἐκπληροῦν, ὡς εἰδότι καὶ τιμωρεῖσθαι τοὺς καταμελεῖν ἐθέλοντας αὐτοῦ· τότε δή φησιν Ἰουδαῖοι ἐπὶ τὴν Ἱερουσαλὴμ ἀρεστὰς προσοίσουσι τῷ θεῷ θυσίας· ἀνάλογον τῷ πρόσθεν χρόνῳ, ἐν ᾧπερ τοῖς γεγονόσι κατὰ καιρὸν δικαίοις ἐπιμελησαμένοις τοῦ προσήκοντος, τὰς ἑαυτῶν προσάγειν θυσίας νόμιμον ἦν· οὔτε γὰρ τὸ καθαριεῖ τοὺς υἱοὺς Λευὶ, οὔτε τὸ ἀρέσει τῷ κυρίῳ θυσία Ἰούδα ἐν Ἱερουσαλὴμ, ἁρμόσει, εἰ τῷ δεσπότῃ Χριστῷ τις προσήκειν οἴοιτο τὰ λεγόμενα· οὐδὲ γὰρ υἱοὶ τοῦ Λευὶ μόνοι τὸν καθαρμὸν ἐδέξαντο τότε, ἀλλὰ πάντες
* I. Cor. V. 7. ἄνθρωποι· οἷσπερ οὖν ἁρμόττουσα ἡ τοῦ μακαρίου Παύλου φωνὴ *, ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐστὲ ἄζυμοι· ἀλλ' οὐδὲ ἡ Ἰούδα θυσία ἐν Ἱερουσαλὴμ δεκτὴ τότε γέγονε τῷ θεῷ· τοὐναντίον μὲν οὖν πεπαυμένης ἁπάσης νομικῆς θυσίας ἐν
p. 563. Ἱερουσαλὴμ γινομένης, ἅτε καὶ συγκαταλυομένης τῇ τοῦ τόπου παρατηρήσει, ἀνεδείχθη θυσία ἀπόρρητός τε καὶ λογικὴ (1), ἣν ἐπὶ μνημοσύνῳ τοῦ τε πάθους τοῦ δεσποτικοῦ καὶ τῆς ἐκεῖθεν ἀναστάσεως, οὐκ ἐν Ἱερουσαλὴμ, ἀλλὰ πανταχοῦ γῆς οἱ πεπιστευκότες ἐπιτελοῦμεν ὁμοίως· πίστευε γάρ μοι φησὶν γύναι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν τῷ τόπῳ
* Ioh. IV. 21. τούτῳ προσκυνήσετε τῷ πατρί· * καὶ τὴν αἰτίαν λέγων, πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν· σαφῶς δεικνὺς ὅτι ἐκείνους μὲν ἀπεπέμψατο, τοὺς τῇ Ἱερουσαλὴμ καὶ τῇ Σαμαρείᾳ περιγράφοντας τὴν προσκύνησιν τὴν θείαν, περὶ πολλοῦ δὲ ποιεῖται τούτους τοὺς ἐραστὰς τῆς ἀληθείας, οἳ πανταχοῦ γῆς ὁμοίως προσάγουσι τὴν θυσίαν τῷ τῶν ἁπάντων ποιητῇ θεῷ, καὶ πανταχοῦ γε παρόντι ὁμοίως.

Ἁρμοττόντως δὲ ταῦτα τῷ κατὰ τοὺς Μακκαβαίους εἴρηται καιρῷ, ὅτε πλείστης ὅσης,

decet iustitiae vindicem, cui certe multo cum timore sacrum ministerium persolvendum est, ceu valenti contemptores suos punire. Tunc Iudaei, inquit, in urbem Hierusalem grata Deo adducent sacrificia, superioris aetatis more, in qua a iustis per tempora existentibus, recti officii studiosis, sacrificia propria offerri legitimum erat. Nam neque verba " purgabit filios Levi ,, neque item illa " placebit Domino sacrificium Iudae in Hierusalem ,, convenienter dicta fuerint, si quis ea Christo domino congruere iudicet. Neque enim filii Levi tantummodo tunc purgationem experti sunt, sed omnes homines: quibus idcirco congruit beati Pauli locutio: expurgate vetus fermentum, ut sitis nova conspersio, sicut estis azymi. Sed neque Iudae sacrificium in urbe Hierusalem tunc acceptabile Deo fuit; immo contra, cessante omni secundum legem apud Hierusalem sacrificio, quia simul cum loci possessione desivit, extitit posthinc sacrificium inauditum atque rationale, quod ob memoriam passionis dominicae ac resurrectionis, non in urbe Hierusalem, sed ubique terrarum quotquot credidimus pariter offerimus. Crede enim mihi, inquit, o mulier, quia venit hora quando neque Hierosolymis neque in loco isto adorabitis patrem. Reique causam dicens: spiritus, inquit, Deus est, et eos qui adorant eum, in spiritu ac veritate oportet adorare: nam pater tales quaerit qui adorent eum: manifeste ostendens, se illos quidem repudiasse, qui intra Hierusalem ac Samariam Dei adorationem circumscribebant; plurimi autem facere hos veritatis amatores, qui ubique terrarum perinde offerunt sacrificium creatori omnium Deo ubique pariter praesenti.

Verumtamen convenienter haec Maccabaeorum tempori dicta fuerunt; quo cum

(1) *Rationale sacrificium*, id est absque materiali victima. Confer tamen quae nos adnotavimus T. VI. ad Theodori andidensis de ss. missa tractatum p. 558.

παρά τε τῶν ἱερατεύειν δοκούντων, καὶ παρὰ τῶν τοῦ λαοῦ γινομένης τῆς πλημμελείας, παρ-
έδωκε μὲν αὐτοὺς ὁ Θεὸς τῷ πολέμῳ τῶν ἐκ τῆς μακεδονικῆς βασιλευόντων διαδοχῆς, ὑφ'
ὧν δὴ πλείστοις περιεβλήθησαν κακοῖς· τῶν δὲ περὶ τὸν μακκαβαῖον Ἰούδαν τοῦ νόμου προ-
στάντων τοῦ θείου, καὶ τὸν ὑπὲρ αὐτοῦ πόλεμον ἀναδεξαμένων πρὸς τοὺς τότε βασιλεύοντας
τῶν Μακεδόνων, πολλή τις ἐπὶ τὸ κρεῖττον μεταβολὴ περὶ ἅπαν γέγονε τὸ ἔθνος· τετυ-
χηκότες γὰρ τῆς θείας ῥοπῆς οἱ Μακκαβαῖοι τούς τε βασιλέας κατηγωνίσαντο, καὶ τοὺς παρ'
αὐτοῖς τῶν μοχθηρῶν τιμωρησάμενοι, ἐν εὐσταθείᾳ τε καὶ εὐκοσμίᾳ τὸ ἔθνος ἅπαν παρ- p. 564.
εσκεύασαν εἶναι· ὥστε καὶ τοὺς νόμους τοὺς θείους κρατεῖν παρ' αὐτοῖς, παρανομίαν τε πᾶσαν
ἐξ αὐτῶν ἀπελαθῆναι πρότερον κρατοῦσαν· καὶ δὴ καὶ τὴν ἱερωσύνην πᾶσαν τε τὴν ταύτῃ
καθήκουσαν λειτουργίαν μετὰ τοῦ προσήκοντος ἐκτελεῖσθαι· ὅπερ οὖν καὶ ὁ μακάριος Ζαχα-
ρίας ἐν τοῖς ἑαυτοῦ δεδήλωκε λόγοις· τοῦτο τοίνυν κἀνταῦθα φησὶν, ὅτι ἐπειδὴ τὴν δικαίαν
ζητεῖτε κρίσιν, ἔσται καιρὸς ἡνίκα τιμωρήσομαι μὲν ὑμῶν τὰς πλημμελείας, σωφρονε-
στέρους δὲ ὑμᾶς διὰ τῶν ἐπιγινομένων ἐργασάμενος κακῶν, καὶ ὥσπερ τινὶ χωνείᾳ τῶν πα-
λαιῶν ἐκκαθήρας πλημμελημάτων, παρασκευάσω δὴ πάντων τε ἐπιμελεῖσθαι τῶν Θεῷ
δοκούντων, καὶ δὴ καὶ τὴν τῶν θυσιῶν προσκομιδὴν ἀρεσκόντως ποιεῖσθαι Θεῷ· οἷς ἀκολούθως
ἐπειδὴ τῆς ἐπαχθησομένης αὐτοῖς τότε τιμωρίας τὸ κέρδος ἔφη, ὡς ἂν ἐντελεστέραν προσ-
αγάγοι τοῖς ἀκούουσι τὴν διόρθωσιν, οὕτω φησίν.

“ Καὶ προσελεύσομαι πρὸς ὑμᾶς ἐν κρίσει· ,, ἀντὶ τοῦ φανοῦμαι ἐν ὑμῖν τότε κρίνων v. 5.
τοῖς παρ' ὑμῶν πραττομένοις. “ Καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς, καὶ ἐπὶ
τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀπο-
στεροῦντας μισθὸν μισθωτοῦ, καὶ καταδυναστεύοντας χήρας, καὶ κονδυλίζοντας ὀρφανοὺς, καὶ
τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου, καὶ τοὺς μὴ φοβουμένους με, λέγει κύριος παντο- p. 565.
κράτωρ. ,, Δεικνὺς διὰ τούτων ὑπὲρ ὁπόσων ὧν διαπράττονται τότε κακῶν δώσουσι δίκας·

plurima essent tum eorum qui sacerdotio fungi videbantur, tum etiam populi peccata, obiecit eos Deus bello regum macedonicae successionis, a quibus plurimis impliciti fuerunt aerumnis. Sed Iuda maccabaeo tutelam divinae legis gerente, bellumque pro ea adversus macedonicos reges suscipiente, multa in melius conversio universae gentis facta est. Nam Dei auxilium nacti Maccabaei, et reges debellaverunt, et improbis illorum ministris punitis, ordini ac prosperitati gentem totam restituerunt: ita ut et divinae leges apud eam praevalerent, et omnis antea late grassans iniquitas expelleretur: sacerdotium denique et omne huius proprium ministerium debito ritu tractaretur. Quod item beatus Zacharias in suis significavit sermonibus. Hoc itaque nunc etiam dicit, nempe quoniam iudicium postulatis, tempus aderit cum vestra peccata puniam, vosque modestiores mala infligendo efficiam, et quasi conflatorio a pristinis peccatis purgans, comparabo vos ad omnium Deo gratorum officiorum observantiam, et quidem etiam ad placita Deo sacrificia offerenda. Quibus subnectens, quoniam infligendae iis poenae utilitatem narraverat, perfectiorem se iis curaturum emendationem ita dicit.

“ Et accedam ad vos in iudicio. ,, Id est vobis apparebo vestra opera iudicaturus. Et ero testis velox super veneficos, et super adulteras, et super iurantes in nomine meo cum mendacio, et super fraudantes mercedem mercenarii, et viduarum oppressores, et orphanorum verberatores, et qui pervertunt iudicium advenae, et qui me non timent, dicit Dominus omnipotens. ,, His verbis nimirum ostendit quot quantarumque patratarum iniquitatum poenas daturi sint. Iam locutionem

τὸ δὲ μάρτυς ταχὺς, ἵνα εἴπῃ ὀξεῖαν ἐπάγων τὴν τιμωρίαν, ὡς ἂν ἀκριβῶς τὰ καθ' ὑμᾶς
ἐπιστάμενος· ἐπὶ πάντας δὴ τούτους φησὶν, καὶ καθάπαξ δὲ ἐφ' ἅπαντας ὅσοι τοῦ φόβου
καταμελοῦντες τοῦ ἐμοῦ τοῖς χείροσιν ἀδεῶς προσετήκασι τοιαύτην ἐπάξω τιμωρίαν· εἶτα
v. 6. ἐπάγει. “ Διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι· καὶ ὑμεῖς υἱοὶ Ἰακὼβ οὐκ ἀπέ-
v. 7. χεσθε ἀπὸ τῶν ἁμαρτιῶν τῶν πατέρων ὑμῶν, ἐξεκλίνατε νόμιμά μου, καὶ οὐκ ἐφυλάξατε. ,,
Ἐγὼ μὲν γὰρ αὐτός εἰμι πάντοτε ἐμαυτῷ, καὶ ἀνεξικακεῖν ὅτε προσῆκεν εἰδὼς, καὶ τιμωρίας καιρὸν ἐπιστάμενος· ὑμεῖς δὲ ἀκριβεῖς ἐστὲ μιμηταὶ τῶν πατρῴων ἁμαρτημάτων, παραπλησίως ἐκείνοις, τῶν τε νόμων ἐκτραπέντες τῶν ἐμῶν, καὶ τῆς φυλακῆς αὐτῶν οὐδένα ποιούμενοι λόγον, ὑπὲρ ὧν δὴ καὶ τὴν τιμωρίαν δέξεσθε δικαίαν.

Μεθίσταται δὲ πάλιν ὁ προφήτης ἐφ' ἑτέραν πλημμέλειαν, ἣν περί τε τὰς ἀπαρχὰς ἐπλημμέλουν καὶ τὰς δεκάτας, ἀποδιδόναι ταύτας κατὰ τὴν τοῦ νόμου διάταξιν οὐκ ἐθέλοντες. “ Ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος παντοκράτωρ. ,, Νεύσατε δὲ πρός με φησὶν, ὡς ἂν ἀκόλουθα ὑμῖν ὑπάρξειεν καὶ τὰ παρ' ἐμοῦ. “ Καὶ εἴ-
p. 566. πατε ἐν τίνι ἐπιστρέψομεν; ,, Ἀλλὰ γὰρ οἴεσθε φησὶ μὴ δὲ δεῖσθαι τινὸς ἐπιστροφῆς· οὕτως
v. 8. ἀναίσθητον τινὰ ἀπ' ἐμοῦ πεποίησθε τὴν ἐκτροπήν. “ Εἰ πτερνίζει ἄνθρωπος θεόν; διότι
ὑμεῖς πτερνίζετέ με; ,, Καὶ ταῦτα φησὶν οὕτω νομίζετε, ἀπατᾶν με οἰόμενοι· ὅπερ οὖν ἐπιχειρεῖν ἀνθρώποις περὶ θεὸν, τῆς ἐσχάτης ἐστὶν εὐηθείας τε καὶ μανίας. “ Καὶ εἴπατε, ἐν τίνι ἐπτερνίσαμέν σε; ,, ἀλλ' οὐδὲ τοῦτο ποιοῦντες, αἴσθησιν ἔχετε τῆς ἀτοπίας τῶν γινο-
v. 9. μένων· εἶτα τὸ ἁμάρτημα λέγων “ ὅτι τὰ ἐπιδέκατα καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσί· καὶ
ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε εἰς αὐτό· καὶ ὑμεῖς ἐμὲ πτερνίζετε. ,, Τὰς γὰρ δεκατίας καὶ τὰς ἀπαρχὰς οὐ κατὰ τὸ νενομισμένον προσάγετε τοῖς ἱερεῦσιν, ἀλλ' ἔχετε παρ' ἑαυτοῖς· εἶτα τί κέρδος ἑαυτοῖς ἐντεῦθεν προξενεῖν νομίζοντες, καὶ ὡς ἐπί τινα μεγίστην ὠφέλειαν ἀφορῶντες, εἰς ταῦτα δὴ ἃ παρ' ὑμῶν ἀποδίδοσθαι προσῆκον ἦν, τοῦτο μὲν εἰλικρινῶς

“ testis velox ,, dicit pro, celerem poenam adducam, quippe qui vestra omnia accurate scio: et adversus omnino cunctos, quotquot libere, omisso timore meo, nequitiae adhaerent, hanc poenam indicam. Mox addit. “ Quia ego dominus Deus vester, et non immutor. Et vos filii Iacob non receditis a peccatis patrum vestrorum, declinastis a legitimis meis, nec ea custodistis. ,, Ego, inquit, semper mihi consto, et quandonam patienter ferendum sit scio, et puniendi pariter tempus novi. Vos vero summi estis imitatores paternorum peccatorum, aeque ac illi legum mearum praevaricatores, nec de earum observantia solliciti; quam ob rem iustam patiemini punitionem.

Transit denuo propheta ad aliud peccatum, quod circa primitias decimasque commiserant, nolentes eas iuxta legis constitutum persolvere. “ Revertimini ad me, et ego revertar ad vos, dicit Dominus omnipotens. Respicite ad me, inquit, ut consentanea vobis a me eveniant. “ Et dixistis: in quo revertemur? ,, Quippe existimatis, inquit, nulla reversione indigere: adeo insensatum a me discessum fecistis! “ Num supplantabit homo Deum, quia vos supplantastis me? ,, Quod profecto homines adversus Deum audere, extremae stultitiae insaniaeque est. “ Et dixistis: in quo supplantavimus te? Sed neque, dum ita ageretis, sensum vestrae absurditatis habuistis. Mox peccatum recitans, ait: “ quoniam decimae primitiaeque apud vos sunt. Et vos respicientes respicitis in id ipsum. Et vos me supplantastis. ,, Nam decimas atque primitias nequaquam prout legitimum est sacerdotibus offertis, sed ipsi retinetis. Attamen quasi aliquod emolumentum capere existimantes, et quasi

ποιεῖν οὐκ ἐθέλετε· βραχέων δέ τινων καὶ εὐτελῶν προσαγωγῇ, τὸ νόμιμον ἀποδιδόναι
προσποιεῖσθε· ὅπερ οὐδὲν ἕτερον ἐστὶν, ἀλλ' ἢ ἀπατᾷν με νομιζόντων· ἀπάτης γὰρ εἴη
ἂν τὸ μὴ εἰλικρινῶς τὸ νόμιμον χρέος ἀποπληροῦν, πανουργεῖν δὲ αὐτῷ περὶ τὴν ἀποπλή-
ρωσιν πειρᾶσθαι. Εἶτα ἐπάγει. “ Τὸ ἔτος συνετελέσθη· καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια v. 10. p. 567.
εἰς τοὺς θησαυροὺς, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν. „ Τὸ μὲν γὰρ ἔτος εἴληφε
πέρας, καὶ αἱ τοῦ ἔτους τροπαὶ κατὰ τὴν ἐμὴν διάταξιν τὴν ἀκολουθίαν πεπληρώκασι τὴν οἰκείαν·
ἀφ' ὧν ἡ τῶν καρπῶν γέγονε φορά· εἶτα ὑμεῖς ἐντελεῖς τοὺς ἀπὸ τῆς γῆς κομισάμενοι καρ-
ποὺς, δέον ὑπὲρ τούτων ἀποτίσαι τῷ θεῷ τὴν εὐχαριστίαν διὰ τῆς τῶν ἀπαρχῶν καὶ τῶν δεκα-
τιῶν προσκομιδῆς, τοῦτο μὲν οὐ πεποιήκατε· βραχέα δέ τινα μονονουχὶ προσρίψαντες
τοῖς ἱερεῦσιν, εἰς τοὺς θησαυροὺς ἅπαντα τοὺς οἰκείους εἰσηνέγκατε· οὐδὲ ἐκεῖνο λογισάμενοι,
ὅτι οὐδὲν ἀπέοικεν τοῦτο, τοῦ τὰς τῶν πενήτων διαρπάζειν τροφὰς, ὑπὲρ ὧν ταῦτα δίδοσθαι κεκέ-
λευσται παρ' ὑμῶν· καὶ ὡς ἂν οἵ τε τῷ θυσιαστηρίῳ λειτουργοῦντες, οἵ τε διὰ πενίαν τῷ ναῷ
προσεδρεύοντες τῷ ἐμῷ (1), τὰς ἀναγκαίας κομίζοιντο χρείας· οἷς ἀκολούθως ἐπήγαγεν.

“ Ἐπιστρέψατε δὴ ἐν τούτῳ, λέγει κύριος παντοκράτωρ· ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς
καταρράκτας τοῦ οὐρανοῦ, καὶ ἐκχεῶ ὑμῖν τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι, καὶ διαστελῶ
ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ διαφθείρω ὑμῶν τὸν καρπὸν τῆς γῆς καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν v. 11.
ἡ ἄμπελος ἐν τῷ ἀγρῷ, λέγει κύριος παντοκράτωρ· καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ v. 12.
ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητὴ, λέγει κύριος παντοκράτωρ. “ Ἀλλὰ γὰρ φησὶ μετα-
βαλόμενοι, διόρθωσιν τούτων δὴ ποιήσασθε πάντων· ὄψεσθε γὰρ ὅπως μὲν ὑμῖν πλούσιον
παρέξω τὸν ὑετὸν, ὅπως δὲ ὑμῖν τῶν καρπῶν παρέξω τὴν ἀφθονίαν εἰς κόρον· τοῦτο γὰρ λέγει,

maximam aliquam utilitatem spectantes, nempe si quod opus est reddatis, nequaquam integre id vultis facere, sed exiguorum aliquot atque vilium oblatione, quod legitimum est praestare simulatis. Quod sane nihil aliud est, quam hominum me decipere putantium facinus. Nam fraus est, debitum legitimum integre non persolvere, sed malitiose cum Deo circa hanc solutionem se gerere. Tum pergit dicere. “ Annus completus est. Et intulistis omnes fructus in horrea, et rapina pauperum in domibus vestris est. „ Anni certe exitus est, et anni conversiones iuxta meam ordinationem periodum suam compleverunt, unde fructuum confectio fit. At vos maturis de tellure sublatis fructibus, cum pro his gratias referre Deo debuissetis, primitias decimasque adferendo, nihil huiusmodi egistis; sed exigua quaedam sacerdotibus proiicientes, omnia in horrea vestra intulistis: ne hoc quidem putantes, perinde id esse ac si alimenta pauperum diripiatis, quorum gratia haec a vobis suppeditari iussum est: nempe ut et qui altari deserviunt, et qui egestatis causa templo meo adsident, necessaria vitae subsidia hinc referant. Quibus subnectit.

“ Revertimini ergo in hoc, dicit Dominus omnipotens. Nisi aperuero vobis cataractas caeli, et effundam in vos benedictionem meam donec sufficiat. Et distribuam vobis in cibum, et non corrumpam vestras terrae fruges, et vitis vestra in agro non infirmabitur, ait Dominus omnipotens. Et beatos vos dicent omnes gentes; quia eritis terra desiderabilis, ait Dominus omnipotens. „ Agesis, inquit, conversi haec omnia emendate. Videbitis enim, quomodo vobis ego copiosum imbrem praebebo, et quomodo frugum copiam ad satietatem suppeditabo. Id enim

(1) Vides sub lege etiam mosaica morem pauperibus templo adsidentibus largiendi eleemosynam praesertim ex sacris opibus. Sic et ille claudus apud portam templi speciosam eleemosynam a Petro apostolo petebat. Act. III. 3.

p. 568. τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι, ὥστε πλουσίαν ἔχειν ὑμᾶς τὴν ἐξ αὐτῶν ἀπόλαυσιν· τὸ
γὰρ καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν, τοῦτο σημαίνει· διαφυλαχθήσονται τε ὑμῶν ἀδιάφθοροι
πάντες οἱ καρποί, πλουσίαν ὑμῖν καὶ τῆς ἀμπέλου τὴν οἰκείαν ἀπόλαυσιν παρεχούσης· ὥστε ἐκ
τῆς πολιτευομένης ἐν ὑμῖν εὐθηνίας, ἅπαντας δὴ τοὺς ἐκτὸς μακαρίζειν ὑμᾶς, ὅτι
ὄντως ὑμῖν τὰ κάλλιστα βεβούληται θεὸς, ὥστε καὶ τῇ γῇ τῇ ὑμετέρᾳ πλείστην παρὰ τοὺς
λοιποὺς παρέχειν τὴν ἀφθονίαν τῶν καρπῶν.

Εἶτα ἐπὶ τοὺς πρόσθεν ἀνατρέχει λόγους, ὡς ἂν δυσσεβεῖς καὶ μοχθηροὺς δευτέρας ἀξιῶν
v. 13. νουθεσίας, καί φησιν. " Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει κύριος παντοκράτωρ· „
χαλεπαῖς φησὶ λοιδορίαις ἐχρήσασθε κατ' ἐμοῦ. " Καὶ εἴπατε, ἐν τίνι κατελαλήσαμεν σοῦ; „
εἶτα οὐδὲ αἴσθησιν τῆς τοσαύτης λαμβάνετε δυσφημίας· διόλου γὰρ ὁ προφήτης τοῦτο τὸ εἴ-
πατε τέθεικεν, ὥσπερ ὀνειδίζων αὐτοῖς ἀναισθησίαν πολλὴν, μεθ' ἧς ἔπραττον τὰ ἄτοπα,
οὐδὲ μίαν ἐπ' αὐτοῖς λαμβάνοντες αἴσθησιν, ἀλλ' οὕτως ἐπὶ τοῖς ἁμαρτήμασι διατιθέμενοι
v. 14. τοῖς ἑαυτῶν, ὡς μὴ δὲ ἁμαρτάνειν ἡγεῖσθαι· εἶτα λέγων τὸ ἁμάρτημα " εἴπατε φησὶν ὡς
ἀνωφελὲς τὸ θεῷ δουλεύειν· „ οὐδὲ γὰρ ἡμῖν προσεγένετο τι ὄφελος ἐπιμεληθεῖσι τῆς φυ-
λακῆς τῶν παρ' αὐτοῦ προστεταγμένων· ἀλλ' οὐδὲ δεηθεῖσιν αὐτοῦ πολλάκις, οὐδὲν ὑπῆρξε
p. 569. πλέον· περιέστηκε δὲ εἰς τοῦτο τὰ πράγματα, ὥστε ἡμᾶς μὲν εἶναι ἐν ἀνάγκαις καὶ θλίψεσι,
μακαρίζειν δὲ ἑτέρους, οὐδένα τῶν αὐτῷ δοκούντων πεποιημένους λόγον, οἷς ἐπὶ τὸ κρεῖττον
προβαίνει τὰ πράγματα, ἀνθεστηκόσι μὲν αὐτῷ πάντοτε, βλαπτομένοις δὲ οὐδὲν ἐκ τούτου.
v. 16. " Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. „ Ταῦτα
δή φησι πρὸς ἀλλήλους λέγειν οὐκ ὤκνουν, οἱ προσποιούμενοι παρὰ πάντας τοὺς ἀλλοφύλους
τὸν φόβον ἔχειν τὸν ἐμόν· οἷς προσεσχηκὼς ὁ θεὸς, ἐν γραφῇ τὴν μνήμην αὐτῶν τοῖς μετέπειτα
καταλέλοιπεν, ὁπηνίκα μὲν δώσουσι δίκας οἱ τοῖς τοιούτοις κεχρημένοι λόγοις, καὶ πρὸς

denotant verba " benedictionem meam donec sufficiat, ut ex his pingue vos habeatis nutrimentum. Nam verba " distribuam vobis in cibum „ id significant. Conservabuntur autem vobis incolumes fructus omnes, largum vobis vite etiam vestra potum praebente: ita ut ob generalem apud vos copiam, cuncti etiam exteri vos beatos dicturi sint, et quod vere vobis Deus optima quaeque decernit, dum terrae vestrae plurimam prae ceteris frugum abundantiam concedit.

Deinde ad priores redit sermones, quasi nova admonitione dignans improbos illos ac impios, aitque: " adgravavistis super me sermones vestros, dicit Dominus omnipotens. „ Asperis, inquit, conviciis me appetivistis. " Et dixistis: in quo tibi oblocuti sumus. „ Siccine ergo ne sensum quidem tantae blasphemiae habetis? Ubique enim hic propheta verbum " dixistis „ ponit, quasi ipsis exprobrans gravem stupiditatem, qua improbe agebant, nullum rei sensum capientes, sed ita in suis peccatis versantes ceu si non peccasse existimarent. Mox quale fuerit peccatum edisserens " dixistis, inquit, inutile esse Deo servire. „ Neque enim nobis aliqua utilitas accidit mandata servantibus: neque Deum saepe deprecantibus boni quicquam accessit. Eò demum res nostrae cesserunt, ut nos in angustiis pressurisque languentes, beatos alios dicamus qui nullam divinae voluntatis rationem habent, quibus in melius res procedunt, quamquam Deo semper adversantibus, a quo tamen nihil detrimenti patiuntur. " Haec oblocuti sunt, qui timebant Dominum, unusquisque ad proximum suum. „ Haec quidem, inquit, inter se invicem loqui non dubitarunt, qui simulabant se prae omnibus alienigenis timorem meum retinere. Quibus Deus attendens, memoriam eorum scriptam posteris reliquit, pro

πᾶν εἶδος παρανομίας ἑαυτοὺς ἐκδεδωκότες· παρέξω δὲ πᾶν ὅ τι ἀγαθὸν τοῖς ὄντως ἐπιμελομένοις τῶν νόμων τῶν ἐμῶν, οὓς περ οὖν ἐν ἐκείνῳ τῷ καιρῷ καθ' ὃν τιμωρήσομαι τοὺς φαύλους, τῆς κηδεμονίας ἀξιώσω τῆς ἐμῆς· οὕτως αὐτοὺς ἐν τοῖς οἰκειοτάτοις ἔχειν αἱρούμενος, καὶ πᾶν ὅ τι κάλλιστον περὶ αὐτοὺς δοκιμάζων ποιεῖν· ὡς ἂν εἴ τις περὶ υἱὸν ἑαυτοῦ διατεθείη, πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδεδειγμένον πάντοτε περὶ αὐτόν· εἶτα ἐπάγει.

" Καὶ ἐπιστραφήσεσθε, καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου, καὶ ἀνὰ μέσον ἀνόμου, καὶ ἀνὰ v. 8.
μέσον τοῦ δουλεύοντος θεῷ, καὶ ἀνὰ μέσον τοῦ μὴ δουλεύοντος αὐτῷ. ,, Τότε φανερὰ
γενήσεται ἡ διάκρισις τῶν τε δικαίων, καὶ τῶν παρανόμων, καὶ τῶν δουλεύειν τῷ ἐσπουδακότων
θεῷ, καὶ τῶν μηδένα τούτου ποιεῖσθαι λόγον ἐθελόντων, τῆς τε τοῖς κακοῖς ἐπαγομένης τιμω- p. 570.
ρίας, καὶ τῶν τοῖς εὐγνώμοσι περιγινομένων ἀγαθῶν, καὶ τῶν ὄντων κακῶν σαφῆ ποιουμένων
τὴν διάκρισιν, τῶν τε ὄντων ἀγαθῶν καὶ τῶν ὄντων κακῶν· λέγει δὲ καὶ ταῦτα ἀκολούθως τοῖς
πρόσθεν περὶ τῶν ἐσομένων κατὰ τὸν τῶν Μακκαβαίων καιρὸν, ὅτε δὴ μάλιστα βαρυτάτην
μὲν οἱ κακοὶ τοῦ λαοῦ τὴν τιμωρίαν ἐδέξαντο, μεγίστης δὲ ἐν ἅπασι τῆς θείας ἔτυχον ῥοπῆς
οἱ τοῦ κρείττονος ἐρασταί· ὅθεν εἰς βεβαίωσιν τῶν εἰρημένων ἐπάγει.

ΚΕΦ. Δ'.

" Ὅτι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει αὐτούς· καὶ ἔσονται πάντες v. 1.
οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες ἄνομα, καλάμη· καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχο-
μένη, λέγει κύριος παντοκράτωρ· καὶ οὐ μὴ ὑπολειφθῇ αὐτῶν ῥίζα οὐδὲ κλῆμα. ,, Ἐν
ἐκείνῳ γάρ φησι τῷ καιρῷ ὡς ὑπὸ πυρὸς φλεχθήσονται οἵ τε ἀλλότριοι πάντες, καὶ οἱ τῆς ἀνο-
μίας ἐργάται καλάμης δίκην ὑπὸ τῆς περιπιπτούσης αὐτοῖς ἀφανιζόμενοι τιμωρίας· καὶ
περὶ μὲν οὖν τοὺς κακοὺς ταῦτα φησί· τοῖς δὲ φοβουμένοις τί; " Καὶ ἀνατελεῖ ὑμῖν τοῖς v. 2.

eo tempore quo poenas persolvent hi qui huiusmodi utuntur sermonibus, seque omni generi nequitiae addicunt. Secus vero, nihil boni non eveniet iis, qui meas vere leges observabunt; quos equidem tempore illo quo malos puniam, providentia mea dignabor: sic nimirum declarans, se hos habere in suorum necessariorum numero, et omnia optima illis retributurum: quemadmodum aliquis erga proprium filium adficeretur, qui multum sibi amorem omni tempore ostendisset. Deinde addit.

" Et convertemini, et cernetis inter iustum et iniustum; et inter famulantem Deo, et non famulantem eidem. ,, Tunc manifesta fiet distinctio iustorum ab iniquis, et eorum qui servire Deo studuerunt ab illis qui nihil pensi id habuerunt: item inter inflictam improbis poenam, et inter bona probis impertita: omnino discretio erit inter malos, et inter bonos. Ait autem haec consentanee dictis antea de rebus aetate Maccabaeorum futuris, quo tempore quotquot fuere mali in populo gravissimum passi sunt supplicium; maximumque vicissim nacti sunt a Deo auxilium qui virtutis sectatores fuerunt. Quare ob dictorum confirmationem sic prosequitur.

CAP IV.

" Quia ecce dies venit ardens sicut clibanus, et comburet eos. Eruntque omnes alienigenae omnesque agentes iniqua, sicut stipula. Et succendet eos dies veniens, dicit Dominus omnipotens; et non supererit illorum radix aut ramus. ,, Illo, inquit, tempore tamquam ab igne comburentur alienigenae omnes; et nequitiae operatores stipulae instar a corripiente eos poena destruentur. Et de improbis

φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. „ Ὑμῖν δὲ
πολλὴ μὲν προσέσται λαμπρότης δικαίως ὑμῖν παρὰ τοῦ θεοῦ χορηγουμένη ὑπὲρ τῆς εἰς αὐτὸν
εὐνοίας· ἀπαλλάξει δὲ ὑμᾶς παντὸς κακοῦ, ὥσπερ τισὶ πτέρυξι τῇ κηδεμονίᾳ σκέπων τῇ
p. 571. οἰκείᾳ· καὶ διοίσετε φησὶν οὐδὲν μοσχαρίων ἀπολυθέντων τε ἐκ δεσμῶν καὶ μετὰ πολλῆς σκιρ-
τώντων τῆς ἡδονῆς· κρατήσετε γὰρ καὶ τῶν παρανομούντων, οἳ σποδοῦ δίκην ὑπὸ τοῖς ποσὶν
ἔσονται τοῖς ὑμετέροις, κατὰ τὸν καιρὸν ἐκεῖνον οὐδὲ μιᾶς ἐπιμελείας ἤ τινος ἀξιούμενοι διορ-
θώσεως ἔτι· λέγει δὲ ταῦτα, ὡς πολλάκις ἔφην, ἐπὶ τοῦ καιροῦ γεγονότα τῶν Μακκαβαίων,
ὁπηνίκα τὴν ἑαυτοῦ παρασχὼν ῥοπὴν ὁ θεὸς ἐτιμωρήσατο μὲν τοὺς κακούς, ἐν ἀνέσει δὲ καὶ
εὐπραγίᾳ κατέστησε τοὺς τῶν αὐτοῦ νομίμων ἀντεχομένους· οἳ καὶ ἐτιμωρήσαντο καὶ κατεκρά-
τησαν παντελῶς τῶν ἐναντίων, οὐ τῶν παρὰ τοῖς ἀλλοτρίοις μόνον, ἀλλὰ γὰρ καὶ τῶν οἰκείων·
ἀφ' ὧν δὴ καὶ δῆλον ἅπασιν ἐγένετο ὅσον ἐστὶ τὸ μεταξὺ τῶν τε δουλευόντων θεῷ, καὶ τῶν
τἀναντία φρονούντων, ἀφ' ὧν οἱ μὲν βαρυτάτην ἐδέξαντο τιμωρίαν, οἱ δὲ ἐν εὐθηνίᾳ
τε καὶ εὐπραγίᾳ κατέστησαν πλείστῃ. Ἡ μὲν δὲ πρὸς τὸν λαὸν προφητεία τοῦ μακαρίου
Ἀγγέλου τοῦτον ἔχει τὸν τρόπον, ἣν περὶ τῶν αὐτοῖς προσηκόντων κατά τε τὸν καιρὸν ἐκεῖνον,
κατά τε τὸν τῶν Μακκαβαίων ἐποιήσατο.

Ἐπειδὴ δὲ τελευταῖος οὗτος ἐγένετο προφήτης ἁπάντων τῶν γραφῇ τὰς ἑαυτῶν παρα-
δεδωκότων προφητείας, καλῶς ἔχειν ἡγήσατο λοιπὸν δεῖξαι μὲν τοῦ νόμου τὴν κατάλυσιν,
v. 6. δεῖξαι δὲ τὰ μετὰ τοῦτο ἐσόμενα· διὸ φησί. " Μνήσθητε νόμου Μωσῆ τοῦ δούλου μου, καθότι
p. 572. ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ προστάγματα καὶ δικαιώματα· καὶ
ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν θεσβίτην, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην
καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν
πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. „ Ἀλλὰ γὰρ ἐφ' ἅπασι τοῖς εἰρημένοις

quidem ait haec. De timoratis vero quid? " Et orietur vobis timentibus nomen meum sol iustitiae, et sanitas in pennis eius. „ Vobis quidem multa, ut par est, gloria erit, a Deo propter vestram erga eum benivolentiam concessa. Tum et omni malo expediet, alis veluti providentia sua tegens. Nihilque differetis a vitulis qui vinculis soluti multa cum voluptate exsiliunt. Dominabimini etiam iniquis, qui quasi cinis pedibus vestris suberunt, quia illo tempore cura mea nulla vel levamento digni habebuntur. Haec autem ait, ut saepe dixi, de rebus quae Maccabaeorum tempore contigerunt, cum suum praebens auxilium Deus, malos poena implicuit, in solatio autem et prosperitate eos constituit qui leges ipsius protegebant: qui certe puniverunt atque domuerunt omnino adversarios suos, non ex alienigenis tantum verum etiam ex popularibus suis. Ex quo cunctis innotuit quid interesset inter Deo servientes, et inter contrarium agentes; qua de causa hi gravissimam poenam pertulerunt, illi autem prosperos successus felicitatemque plurimam nacti sunt. Et prophetia quidem beati Angeli ita se habuit, quam de rebus tum aetate illa, tum sub Maccabaeis, ad Israhelitas pertinentibus fecit.

" Quia vero postremus hic omnium prophetarum fuit, qui suas scripto prophetias mandarunt, recte se facere iudicavit demonstrando deinde legis cessationem, et quae postea essent consecutura. " Mementote legis Moysis servi mei, sicut ei praecepi in Choreb ad universum Israhelem mandata et iustificationes. Et ecce ego mittam vobis Eliam thesbitem, ante quam veniat dies Domini magna et illustris, qui reconciliabit cor patris erga filium, et cor hominis erga proximum suum, ne ego veniens funditus omnia percutiam. „ Verumtamen praeter omnia quae dicta

ἐσχάτην ταύτην ὑμῖν παραδίδωμι τὴν ἐντολήν, ἵν' ἔχητε τὸν νόμον ἐν μνήμῃ τὸν ἐμόν, ὃν
διὰ τοῦ Μωσέως πρὸς ἅπαντα δέδωκα τὸν Ἰσραήλ, ἅπερ πράττειν αὐτοὺς ἐφ' ἑκάστῳ χρή,
σαφῶς εἰρηκώς· ὥσπερ οὖν πρῶτον, τοῦ πείθεσθαι παρέξετε γνώρισμα, τὸ τὸν δεσπότην
παραγεγονότα δέξασθαι Χριστόν, ὑπὲρ τῆς ἁπάντων ἀνθρώπων φαινόμενον σωτηρίας, ὃς
παύσει μὲν τὸν νόμον, ἐκφανεῖ δὲ τὴν τελειότητα τὴν οἰκείαν· ὅπερ οὖν καλῶς μὲν εἶχεν ὑμᾶς
εὐθὺ καὶ κατὰ πρώτας φανέντι πιστεῦσαι, καὶ γνῶναι τοῦτον ὄντα ἐκεῖνον ὃν Μωσῆς τε καὶ πάν-
τες ἐμήνυον οἱ προφῆται, τέλος μὲν ἐπιθήσοντα τῷ νόμῳ, τὴν κοινὴν δὲ ἁπάντων ἐκκα-
λύψοντα σωτηρίαν· ὥστε κἀκεῖνο δῆλον ἅπασιν γενέσθαι, ὅτι δὴ τοῦτο πάσης τῆς κατὰ τὸν νόμον
οἰκονομίας ἐστὶ τό τε κεφάλαιον καὶ τὸ μέγιστον ἀγαθόν, τὸ πάντας ἀνθρώπους τῷ δεσπότῃ
προσαγαγεῖν Χριστῷ ἐπὶ τοῖς τοσούτοις ἀγαθοῖς κατὰ τὸν καιρὸν φανουμένῳ τὸν οἰκεῖον· ἐπειδὴ
δὲ καὶ ἐπὶ τῆς ἐκείνου δείξεως τὴν ἀγνωμοσύνην ἐπιδείξετε τὴν οἰκείαν, Ἠλίας ἀποσταλήσεται p. 573.
πρὸς ὑμᾶς ὁ μακάριος, πρὸ τῆς δευτέρας τοῦ δεσπότου Χριστοῦ παρουσίας, ἣν ἀπ' οὐρανῶν
ποιήσεται· ὥστε τοὺς διὰ τὴν εὐσέβειαν πρὸς ἀλλήλους διῃρημένους συνάψαι, καὶ δὴ καὶ πατέ-
ρας διὰ τῆς κατὰ τὴν εὐσέβειαν ἐπιγνώσεως εἰς τὴν τῶν τέκνων ἀγαγεῖν ὁμόνοιαν, διῃρημένους
πρότερον ἐκ τῆς κατὰ τὴν εὐσέβειαν αἰτίας· πάντας τε ἀνθρώπους συντόμως εἰπεῖν εἰς μίαν
καὶ τὴν αὐτὴν καταστῆσαι συνάφειαν· τῶν ἐν ἀσεβείᾳ τότε καταλαμβανομένων, δεχομένων
μὲν παρ' αὐτοῦ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἐχομένων δὲ καὶ τὴν ἐντεῦθεν πρὸς τοὺς εὐσεβεῖς
κοινωνίαν· ταῦτα δὲ ποιήσεται τῆς ἁπάντων ἀνθρώπων φροντίζων σωτηρίας ὁ θεός· ὡς ἂν
μὴ μένοντες ἐπὶ τῆς ἀσεβείας, φοβερᾶς αὐτοῦ τῆς παρουσίας πειραθῶσιν, ἐπὶ ἀφανισμῷ
παντελεῖ τῶν μοχθηρῶν γινομένης.

ΤΕΛΟΣ.

fuerunt, hoc vobis postremum mandatum trado, ut legis meae memores sitis, quam per Moysem universo Israheli imposui, quaecumque ab eo fieri oporteret, manifeste edicens. Sic ergo in primis obedientiae dabitis indicium si dominum venientem exceperitis Christum, qui propter omnium hominum salutem apparebit; quique legi finem imponet, et perfectionem propriam demonstrabit. Profecto bene fuisset vos statim, et in primo eius adventu credere, atque hunc agnoscere illum esse quem Moyses cunctique prophetae innuerant, finem legi impositurum, et communem omnium palam effecturum salutem: ex quo illud quoque omnibus innotuisset, hoc esse oeconomiae totius legis caput maximumque bonum, nempe ut omnes homines ad Christum dominum adducerentur, qui tanti boni gratia tempore suo adventurus erat. Sed quia praesenti illi malivolentiam vestram ostendetis, beatus ad vos mittetur Elias, ante secundum Christi domini adventum qui de caelo futurus est, ut eos qui religionis causa inter se dissident copulet, nec non ut parentes per ipsius religionis notitiam ad concordiam cum liberis pertrahat, dissidentes antea eiusdem religionis causa: in summa, ut omnes homines, uno eodemque vinculo constringat: ita ut qui tunc inventi fuerint irreligiosi, ab eo notitiam veritatis suscipiant, et cum religiosis deinceps conspirent. Haec faciet qui omnium hominum salutis curam gerit Deus; ne forte in impietate perseverantes, tremendum adventum eius experiantur, qui ad supremum improborum exitium fiet.

THEODORI ANTIOCHENI MOPSUESTIAE EPISCOPI
LUCULENTUS ET INTEGERRIMUS IN ·XII· PROPHETAS COMMENTARIUS
EXPLICIT.

ΕΚ ΤΩΝ ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ (1).

Ψαλμὸς β'.

Cod. B. f. 5. v. 1. Θεοδώρου ἀντιοχέως. Οὐ λέγει τὰ ἔθνη μετὰ τοῦ ἄρθρου, ἵνα πάντας περιλαμβάνεσθαι νομίσῃς, ἀλλ' ἔθνη, ἐπὶ μερικόν τι ἄγων τὴν ἔννοιαν· ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι λαβόντες (τὸν Χριστὸν) τοῖς ἔθνεσιν αὐτὸν ἐξέδωκαν, διὰ τοῦτο ταῦτα, φησίν, τίς ἡ τοσαύτη αἰτία, ἢ τί τὸ γεγονός, ὡς καὶ τοσοῦτον λαοὺς συγκινηθῆναι κατ' αὐτοῦ, καὶ εἰς χεῖρας αὐτὸν παραδοθῆναι τῶν ἐθνῶν; τὸ δὲ ἐφρύαξαν, ἀντὶ τοῦ ἠλαζονεύοντο.

v. 9. Cod. A. f. 39. Οὐχ ὥστε ἀπολέσαι καὶ ἀναλῶσαι συντρίβει, ἀλλ' ὥστε ἀναπλάσαι· πρὸς τοῦτο γὰρ σκοπὸς τῷ κεραμεῖ, συντρίβειν τὰ οἰκεῖα σκεύη ὅταν μὴ ὑγιῆ καὶ ἀκέραιον σώζῃ τοῦ κεραμέως τὴν διάπλασιν, οὐδέπω πυρὶ προσωμιληκότα· τούτοις δὲ μαρτυρεῖ καὶ ὁ μακάριος Ἱερεμίας
* Hier. 18. 6. ὁ προφήτης λέγων ὡς ἐκ θεοῦ· * ἢ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦτο ποιῆσαι ὑμῖν οἶκος Ἰσραήλ, λέγει κύριος; τουτέστι, οὕτως καὶ διαπεσόντας ἀναπλάσαι, καὶ πάλιν
v. 12. εἰς τὸ ἀρχαῖον ἀποκαταστῆσαι. — Ἀπρὶξ ἡμᾶς ἔχεσθαι τῆς τοῦ κυρίου διδασκαλίας βουλόμενος, εἰκότως τῇ τῆς δράξασθε φωνῇ κέχρηται.

v. 11. B. f. 10. Ἐπειδὰν γὰρ φοβηθέντες τὸν δεσπότην, τὰ προσήκοντα διαπραξώμεθα, πλείστην ἐκ τῶν πραχθέντων ἡμῖν ἔχομεν τὴν εὐφροσύνην ἐγγινομένην, τοῦ συνειδότος ἀγαθοῦ μὲν τυγχάνοντος, μεγίστην δὲ ἐμοὶ τούτου τὴν χαρὰν παρεχομένου. Ἐν τρόμῳ, δὲ τουτέστιν ἐν κατανύξει, μή ποτε ἡ τοῦ θεοῦ χαρὰ εἰς τὴν τοῦ κόσμου μεταπέσῃ χαράν.

Ψαλμὸς γ'.

v. 2. A. f. 39. b. Τοῦτο φανερώτερον δείκνυσιν ἐπὶ τοῦ Δαυὶδ λέγεσθαι δεῖν τὸν ψαλμόν. Τὸ γὰρ ἐπανίστασθαι κυρίως λέγεται ἐπὶ τῶν πρότερον μὲν ἐν ὑπηκόων τάξει καθεστώτων, μετὰ δὲ ταῦτα πόλεμον αἰρομένων.

Ψαλμὸς ε'.

v. 9. A. f. 42. Τὸ ὁδήγησόν με καὶ τὸ κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου, τὸ αὐτὸ λέγει ἀντὶ τοῦ ἐπανάγαγε· τὸ γὰρ ἐνώπιον σου, ἀντὶ τοῦ πρός σε μου κατεύθυνον τὴν ὁδόν, ἵνα ἐπανέλθω πρός σε κατὰ τὴν ἰουδαϊκὴν ὑπόληψιν, ὡς ἐν τῷ Σιὼν ὄρει τοῦ θεοῦ διάγοντος· τὸ οὖν ἕνεκα τῶν ἐχθρῶν μου διὰ μέσου πρὸς ἀμφότερα ἔχον τὴν ἀνταπόδοσιν· ἐπανάγαγε γάρ με, φησίν, ὥστε ἀπαλλάξαι τῶν κατεχόντων ἐχθρῶν, καὶ ἐπειδὴ εἶπεν ἐν τῇ δικαιοσύνῃ σου, τουτέστιν καθὼς ἔθος σοι ἐστὶν κρίνειν δικαίως, δείκνυσιν εὐθὺς ὅπως αὐτὸν ἀπαλλαγῆναι δίκαιον τῶν ἐχθρῶν· ἀπὸ τοῦ ἐκείνῳ τρόπου τὴν ἀπόδειξιν ποιούμενος.

Ψαλμὸς ς'.

v. 2. B. f. 23. Ἐξομολογεῖται τῷ θεῷ ὁ μακάριος Δαυὶδ περὶ τῆς ἰδίας ἁμαρτίας, ἣν εἰργάσατο συγκαθευδήσας τῇ Βερσαβεέ· λέγει δὲ ταῦτα ἐν συμφοραῖς ὤν, ἐν αἷς καὶ ἐξητάζετο διὰ τὴν ἁμαρτίαν.

(1) Speravi quidem maiores me partes editurum commentariorum Theodori mopsuesteni ad psalmos; verumtamen non semel comperi reliquias eius in catenis obvias, modo esse Theodori incerti, modo etiam Theodoreti; praeter multas a Corderio praeoccupatas. Itaque ne quid ambiguum ederem, illa tantum mihi segmenta vindicavi, quae *Theodori* nominatim *antiocheni* nomen gerebant, quo titulo semper intelligi Theodorum illum, qui fuit Mopsuestiae episcopus, exploratum est. Edita item ab aliis, recudenda non iudicavi; et cum otio minime abundem, duos tantum evolvi codices, nempe praestantem ac veterem vat. 754. (A), et recentiorem sed multo copiosiorem vat. 1682. (B.) Latinam denique brevium horum excerptorum translationem aliis si volent faciendam permisi. Mihi integrum in prophetas commentarium de graeco latinum fecisse satis est.

Ψαλμὸς ζ'.

Τὸ αὐτὸ μειζόνως εἶπεν· τὸ μὲν γὰρ ἐταράχθη τὰ ὀστᾶ μου, τὸ ἰσχυρὸν τοῦ συντρίμματος καὶ v. 13. B. f. 23. b.
καὶ τῆς ταραχῆς παρίστησιν· τὸ δὲ καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, τουτέστι συντρίψασαν
μου τὸ σῶμα διέδυ μέχρις αὐτῆς τῆς ψυχῆς ἡ ταραχή. — Εἰ ἐποίησα τοῦτο ὃ νῦν πάσχω, v. 4. B. f. 26.
τουτέστιν εἰ ἠδίκησα· ὅθεν φανερώτερον ἐπάγει λέγων· εἰ ἔστιν ἀδικία ἐν χερσί μου, ἀντὶ τοῦ
εἰ εὕρημαι τί ἄδικον ἐργασάμενος, εἰ ἀντεπέδωκα τοῖς ἀνταποδιδοῦσι μοι κακά· ἀεὶ τὸ
μεῖζον δεύτερον τάττει τοῦ ἐλάττονος· μεῖζον τοίνυν ὂν τοῦ ἀδικοῦντας ὑποφέρειν, τὸ μὴ
ἄρξαι ἀδικίας, δεύτερον λέγει. — Οὐχ ὅτι αὐτὸς ὑψοῦται, οὐ γὰρ προσδεῖται ὑψώσεως, v. 7. B. f. 27.
ἀλλ' ὅτι ἐν ταῖς διανοίαις ἡμῶν τοιαύτη ἐγγίνεται ἔννοια περὶ αὐτοῦ· ἐπειδὰν τί ποιήσῃ φο-
βερὸν σημεῖον· διὰ τοῦτο λέγει, ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου, τουτέστι πάντας περιλαβὼν
τῇ τιμωρίᾳ τοὺς ἐχθρούς, γνώριμον ἅπασιν τὸ ὑψηλόν σου καὶ τὸ ἰσχυρόν· τοῦτο γὰρ μάλιστα
ἐγνωρίζετο ἐκ τοῦ πάντας τιμωρηθῆναι.

Ἐπειδὴ διῃρέθη πρὸς ἑαυτὴν ἐπὶ τοῦ Ἀβεσσαλὼμ ἡ βασιλεία, τῶν μὲν τῷ Δαυίδ, v. 8. B. f. 27.
τῶν δὲ τῷ Ἀβεσσαλὼμ προσκειμένων, ἀκολούθως εἶπεν ὅτι τῶν ἐπαναστάντων μοι δίκην
δεδωκότων κατὰ τὸ πρόσταγμα τὸ σόν, ἅπασα μὲν ἡ νῦν τοῖς λαοῖς ἐνοῦσα . . . παυθή-
σεται, συναχθήσονται δὲ πάλιν εἰς ἓν τὰς καθηκούσας σοι εὐχαριστίας ἀποδιδόντες· διὰ γὰρ
τοῦτο ὑψηλὸς δειχθήσῃ. — Ἀκακίαν δὲ οὔτε τὴν ἁπλότητα, ἀλλὰ τὸ μηδὲν ἐργάσασθαι κακῶν v. 9. B. f. 28.
λέγει· ὥσπερ τοίνυν, φησίν, ἐγὼ κακῶς μὲν αὐτοὺς οὐ διέθηκα, πάσχω δὲ νῦν ὑπ' ἐκείνων
κακῶς, οὕτω μοι κρῖνον ἀδικουμένῳ μάτην καὶ μὴ δικαίως παθόντι. — Ἀντὶ τοῦ συντελε- v. 10.
σθήτω, ἀπαρτισθήτω ὁ Σύμμαχος τέθεικεν, ἢ ματαιά, φησιν, δειχθείη τῶν κακίᾳ συζών-
των ἡ πονηρία σπουδαιότεροι τῆς ἀρετῆς τρόφιμοι τὴν προκειμένην αὐτοῖς πορείαν ποιήσονται.

Ταῦτά μοι δοκεῖ ῥητῶς καὶ κατὰ λέξιν πεπληρῶσθαι ἐπὶ τοῦ Ἀχιτόφελ. κατὰ γὰρ τὴν τοῦ Χουσὶ v. 17. B. f. 29. b.
συμβουλίαν ἐκπεσὼν αὐτὸς τοῦ σκοποῦ, ὡς ἂν παραδοκιμηθείς, καὶ μὴ οἷός τε φέρειν τὸν
φθόνον, καὶ προορῶν ἅτε δεινὸς ὢν καταστοχάζεσθαι τὸ μέλλον ὡς προδέδοται τὰ τοῦ
Ἀβεσσαλὼμ πράγματα, μέλλει τε ὅσον καὶ αὐτὸς οὔπω ὑπὸ τοῦ Δαυὶδ ἀπαλλάττεσθαι,
γενόμενος ἐν τῇ οἰκείᾳ αὐτοῦ ἀγχόνῃ ἑαυτὸν παραδίδωσιν, καὶ πάντα ὅσα τοῖς ἑαυτοῦ λο-
γισμοῖς ὠδίνησεν, συνάγων καὶ συλλαμβάνων ἐν τῇ ἑαυτοῦ πονηρίᾳ ὥσπερ μετὰ πονηρίας
κατὰ τοῦ Δαυὶδ ταῦτα ἐπ' ὀλέθρῳ τῷ ἑαυτοῦ ἀπέτεκεν. — Βαθυτέραν, φησίν, εἰργάσατο
τὴν ἐπιβουλήν, ἐκ μεταφορᾶς τὸ δολερὸν καὶ βαθὺ τῆς βουλῆς παραστήσας. — Ἐγὼ δὲ τοσαύ- v. 18.
της παρὰ τοῦ θεοῦ προνοίας τυχών, ὑμνήσω τὸν εὐεργέτην δικαίως τῆς κρίσεως τὸ δί-
καιον διηγούμενος.

Ψαλμὸς η'.

Καὶ ἐν τούτῳ τὰ κατὰ τὸν Χριστὸν ἡμῖν προφητεύει ὁ μακάριος Δαυίδ· προαναφωνεῖ v. 30. B. f. 30. b.
ἐκ τῆς τοῦ πνεύματος ἐνεργείας ὡς ἂν ὑμνήσωσιν αὐτὸν ἐν τῷ ἱερῷ οἵ παῖδες οἵ τε οἱ ὑπο-
μάζιοι καὶ οἱ ἕτεροι νήπιοι· φασὶ δέ τινες καὶ εἰς τὸν κοινὸν εἰρῆσθαι ἄνθρωπον ἐν τῇ τῶν
σκηνοπηγίων ἑορτῇ τοῦτον λελέχθαι τὸν ψαλμὸν ὑπὸ τοῦ μακαρίου Δαυίδ, καθ' ὃ ἡ τῶν
καρπῶν συγκομιδὴ γίνεται· καὶ διὰ τοῦτο ἐπιγέγραπται ὑπὲρ τῶν ληνῶν.

Ψαλμὸς θ'.

Μετὰ γὰρ τὴν διήγησιν τῶν σῶν θαυμασίων προσέστη μοι καὶ τὸ εὐφραίνεσθαι ἐπὶ σοὶ v. 2. B. f. 34. b.
ἀναμιμνησκομένῳ τῆς σῆς εὐεργεσίας. — Σύμμαχος ἔδρασε κρίσει τὸν θρόνον αὐτοῦ, τουτ- v. 5.
έστι βεβαίαν τὴν κρίσιν ταύτην ἐποιήσατο, καὶ μεταβολὴν τὰ ὑπ' αὐτοῦ κριθέντα οὐκ ἐπιδέ-
χεται (1). — Ἀντὶ τοῦ καὶ γενήσεται καταφυγή· τοῦτο γὰρ ἡ ἀκολουθία βούλεται· ἐνήλλακται v. 10.
δὲ ὁ χρόνος. — Εὔκαιρος γὰρ ἡ βοήθεια κατὰ τὸν τῆς θλίψεως γενομένη καιρόν. — Κἀνταῦθα v. 14. B. f. 36. b.
πάλιν ὑπαλλαγὴ χρόνου, ἀντὶ τοῦ, ἠλέησεν γὰρ ἐλέησόν φησιν· οὕτως καὶ Ἀκύλας φησὶν ἐδω-

(1) Grammaticalem temporum enallagen saepe adnotavit apud prophetas noster Theodorus, qui et in sua psalmorum explanatione, ut nunc et posthinc fit, de eadem se lectores admonuisse narrat.

ῥῆσατό μοι· κύριος εἶδεν κακουχίαν μου· τοῦτο δὲ καὶ ἡ ἀκολουθία βούλεται. — Τοῦτό, φησιν, ἐστὶ τὸ τέλος τῶν ἀγαθῶν, ἡ τῆς φθορᾶς ἀπαλλαγή, καὶ τοῦ θανάτου κατάλυσις, ἧς ἀπολύοντες εἰς ἀεὶ τὰς σὰς εὐεργεσίας ὑμνήσωμεν.

v. 15. B. f. 36. b. Πύλας θανάτου τὸν κίνδυνον καλεῖ τὸν ἄγοντα ἐπὶ τὸν θάνατον. — Σιὼν καλεῖ τὴν ἐπουράνιον πόλιν, ὡς ὁ μακάριος Παῦλος ἐδίδαξεν· πύλας δὲ ἐκείνης τὰς ἁπανταχοῦ γῆς ἐκκλησίας, δι' ὧν εἰς ἐκείνην εἰσίασιν οἱ πιστεύοντες· ἐνταῦθα τοίνυν, φησίν, ἀγαλλόμενοι καὶ χορεύοντες, ἐπὶ ταῖς ἐλπίσιν τῆς ἀναστάσεως, τὸν τούτων πρόξενον ἀνυμνήσωμεν·
B. f. 39. καὶ ἐπειδὴ τῆς τοῦ θανάτου καταλύσεως ἐμνημόνευσεν, εἰκότως ἐπήγαγεν. — Διὰ τὴν ὑπερβολήν, φησίν, τῆς ὑπερηφανίας αὐτοῦ, καὶ τὸν θυμὸν τὸν κατὰ τῶν πενήτων, οὐκ ἐκζητεῖ τὸν δεσπότην, οὐδὲ νοεῖ ὅτι ἀπαρέσκον αὐτῷ τὸ γινόμενον. — Ἐναλλαγὴ κἀνταῦθα χρόνου, ἀντὶ τοῦ κατακυριεύει· τὸ γὰρ γινόμενον ὑπὸ τοῦ ἀδικοῦντος διηγεῖται, ἀντὶ τοῦ διὰ τοῦτο πάντων κρατεῖ, καὶ πάντας ἀφειδῶς ἀδικεῖ· σαφέστερον δὲ Σύμμαχος εἶπεν, πάντας γοῦν ἐχθροὺς αὐτοῦ ἐκφυσᾷ. — Σαφέστερον τοῦτο ὁ Σύμμαχος ἡρμήνευσεν, οὐ περιτραπήσομαι εἰς γενεὰν καὶ γενεάν, οὔτε ἔσομαι ἐν κακώσει· καὶ ταύτῃ κέχρηται τῇ θρασύτητι, καὶ ἡγεῖται μηδὲν δεινὸν ὑποστήσεσθαι, πάντα μετιὼν τῆς κακίας τὰ εἴδη.

Ps. hebr. v. 4. Ἐν τούτῳ γὰρ μάλιστα φησὶ παροξύνει τὸν δεσπότην ὁ ἀσεβὴς ἐν τῷ τολμῆσαι ἐννοῆσαι
v. 14. B. f. 40. b. περὶ αὐτοῦ ὅτι ἐκδίκησιν τῶν ἀδικουμένων οὐ ποιεῖται. — Πρωθύστερόν ἐστι τὰ ῥήματα· ἀντὶ γὰρ τοῦ ὅτι βλέπεις, κεῖται βλέπεις· ὅτι τοῦτο δὲ ἀπὸ τῆς ἑρμηνείας γεγένηται τοῦ ἑβραϊκοῦ· ἐπειδὴ γὰρ περὶ τῶν ἀδικούντων εἶπεν, τὸ εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει, ἐπήγαγεν τὸ βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦτο βουλόμενος ὡς πρὸς τὸν θεὸν εἰπεῖν ὅτι προήχθη δὲ ἐκεῖνος ὁ ἄδικος ταῦτα λογίσασθαι, ὅτι μὴ μέλει σοι περὶ τῶν ἀδικουμένων, μηδὲ ἐκζητεῖς τὰ γινόμενα, ἐπειδὴ ὁρῶν αὐτῶν τὴν ὀργὴν καὶ τὴν πονηρίαν, οὐκ εὐθὺς ἐξέρχῃ τοῖς γινομένοις, ἀλλὰ κατανοεῖς, τουτέστι μένεις, ἕως ἂν ἐκ τοῦ πλήθους τῶν ἰδίων κακῶν ἑαυτοὺς ἐκεῖνοι ταῖς σαῖς παραδῶσιν χερσίν, τὸ πλῆθος τῆς οἰκείας ἀδικίας ἐπισπασάμενοι καθ' ἑαυτῶν τὴν τιμωρίαν· τοῦτο δὲ λέγει ἐκ μεταφορᾶς τῶν μέχρις μὲν ἑνὸς καὶ δευτέρου κακοῦ μὴ ἱσταμένων, τὸ δὲ πλῆθος τῶν γινομένων ἑαυτοὺς ἀγόντων εἰς τὰ δικαστήρια τὸ τῶν
v. 17. B. f. 44. ἀδικουμένων πλῆθος· βούλεται δὲ δεῖξαι τὴν θεοῦ τὴν μακροθυμίαν. — Ἐπιθυμίαν ἐνταῦθα ἀντὶ τοῦ τὴν προσευχὴν λέγει· ἐπειδὴ ἅπερ ποθοῦμεν γίνεσθαι, ταῦτα καὶ εὔχεσθαι φιλοῦμεν. — Μάταια ἀντὶ τοῦ δολερά· κοινῶς δὲ μάταια εἶδεν ἅπαντα καλεῖν τὰ ἄτοπα, ὡς εἰκῆ
B. f. 44. παρὰ τῶν πραττόντων γινόμενα. — Μετὰ δόλου φησὶν ἀλλήλοις προσδιαλέγονται, καὶ οὕτως τοῖς χείλεσι χρώμενος εἰς τὴν τοῦ πέλας καρδίαν τὰ ψευδῆ παραπέμπει· κἀκεῖνος πάλιν ὁμοίως ἀντιπέμπει τὰ ὅμοια· ἐντεῦθεν λοιπὸν αὐτοῖς ἀπειλεῖ τιμωρίαν.

Ψαλμὸς ια'.

v. 5. Λέγουσιν γάρ, φησιν, ὅτι ἐπ' ἐξουσίας ἡμῶν ἐστιν ἃ βουλόμεθα φθέγγεσθαι· τίνα γὰρ ἔχομεν δεσπότην, ὃν καὶ δεῖσαι δεῖ; τοῦτο δὲ (οὐκ) ὡς πάντως λεγόντων ἐκείνων φησίν, ἀλλ' ὡς τῷ πράγματι δεικνύντων τὸ οὕτως ἀδεῶς ἅπαντα πράττειν, ὡς οὐκ ὄντος κριτοῦ.
v. 8. B. f. 45. — Ἐπειδὴ γοῦν ὑπὸ τῶν ἀσεβῶν κυκλωθέντας οὐκ ἔνεσιν ἑτέρως τὴν τούτων ἀπαλλαγὴν εὑρέσθαι μὴ τῷ θεῷ βοηθῷ χρώμενος.

Ψαλμὸς ιβ'.

v. 2. B. f. 45. Εἰκὸς ἦν αὐτὸν τοῦτο μόνον φροντίζοντα τοῦτον θεὸν ἔχει, καὶ κατηλλαγμένον ἑκάστοτε διαλογίζεσθαι φοβούμενον ἐν τῇ ψυχῇ· ἆρα κατήλλακταί μοι ὁ θεός; ἆρα πέπαυται τῆς κατ' ἐμοῦ ὀργῆς; ἢ ὀργίζεται ἔτι; καὶ ὅσα τοιαῦτα· τοῦτο οὖν φησίν· ἕως πότε τὰ τοιαῦτα ἐνθυμηθήσωμαι, καὶ βουλεύσωμαι μέχρι ἀποστρέφῃς τὸ πρόσωπόν, φησιν, τουτέστιν ὀργίζῃ κατ' ἐμοῦ; ἀνάγκη μὲν αὐτὰ ὑποπτεύειν καὶ ταῦτα λογίζεσθαι· ἀνθ' οὗ Σύμμαχος ἔφη μέριμναν ἐν τῇ καρδίᾳ μου καθ' ἡμέραν· ταῦτα δὲ ἐγράφη πρὸς νουθεσίαν ἡμῶν, πῶς δεῖ μετανοεῖν ἐφ' ἁμαρτήμασιν ἐκδιδάσκοντα τοῖς παροῦσι ῥήμασιν, οἷα δὲ φαρμάκοις χρωμένοις.

Τοῦ Θεοῦ πάλαι συγκεχωρηκότος διὰ τὴν ἁμαρτίαν, ἰσχυροὶ μὲν ἦσαν οἱ πολέμιοι κατ' v. 3.
αὐτοῦ· πάντες δὲ μετὰ πολλῆς τῆς ἀδείας τὰ δοκοῦντα διετιθέασαν· ἦσαν δὲ τότε οἱ περὶ τὸν Ἀβεσ- B. f. 45. b.
σαλὼμ πολεμοῦντες αὐτόν· τοῦτο οὖν φησιν· μέχρι πότε οἱ ἐχθροὶ ὑψηλοὶ κατ' ἐμοῦ ἔσονται;

Ψαλμὸς ιγ'.

Πτωχοῦ τοῦ Ἐζεκίου ἐνταῦθα λέγει διὰ τὸ ὀλίγους ἔχειν τοὺς ὑπ' αὐτόν· βουλὴν δὲ ἣν v. 6.
συνεβούλευσεν τοῖς Ἰουδαίοις λέγων καταφρονεῖν μὲν ἐκεῖνον, πεποιθέναι δὲ ἐπὶ τὸν δεσπό- B. f. 47. b.
την· ὑμεῖς μὲν, φησὶν, ἐγελᾶτε τὴν βουλὴν αὐτοῦ, ὁ δὲ κύριος ἐλπὶς αὐτοῦ ἐστιν. — Ἐπειδὴ v. 7.
καὶ τὰς θυσίας ἐν τῷ ὄρει Σιὼν ἀναφέρειν προστεταγμένοι ἦσαν, καὶ τὰς προσφορὰς καὶ πᾶ- B. f. 48. b.
σαν αὐτῶν τὴν λατρείαν ἐκεῖ ἐπιτελεῖν ἦσαν νενομοθετημένοι, εἶχόν τε δόξαν ὡς ἐκεῖ καὶ τοῦ
Θεοῦ τυγχάνοντος· διὰ τοῦτο φησὶν, τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; τουτέστιν τίς
ἀπὸ τοῦ Σιὼν ὄρους παρέξει τὴν σωτηρίαν καὶ τὴν βοήθειαν ἡμῖν; ἵν' εἴπῃ, ὁ θεὸς κατὰ ἀποσιώ-
πησιν, ὡς ὁμολογούμενον σημήνας τὸ μηδὲν ἕτερον εἶναι ἐν τῷ Σιὼν τὸν σώζειν ἀπὸ κινδύ-
νων, ἢ θεὸν μόνον.

Ψαλμὸς ιε'.

Ἐπειδὴ χοινίοις ἀεὶ μετρεῖσθαι πέφυκεν ἡ γῆ, ὥσπερ δὲ ἕκαστον ἔθνος ἰδίαν εἶχε γῆν v. 6.
ἣν κατῴκει, οὕτω καὶ τῷ λαῷ τῶν Ἰσραηλιτῶν, ὥσπερ ἰδίαν τινὰ γῆν ἀπεκληρώσεν τὴν B. f. 53.
τῆς ἐπαγγελίας, τοῦτο βούλεται λέγειν, ὅτι ὥσπερ κατὰ διαμέτρησιν ἐκληρώθη μοι τὸ ἄριστον
μέρος τῆς γῆς· τὸ γὰρ ἔπεσεν ἀντὶ τοῦ ἐκληρώθη ἐκ μεταφορᾶς τῶν κλήρων, ὡς καὶ ἐν ταῖς
πράξεσι φησὶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν. — Οὐκοῦν εὐχαριστήσω σοι ὑπὲρ ἁπάν- B. f. 53. b.
των, ὅτι οὐ μόνον γῆν μοι δέδωκας ἐξαίρετον εἰς κτῆσιν, ἀλλ' ὅτι καὶ σύνεσιν παρέχεις καὶ
σοφίαν τοῦ πράττειν ἃ δὴ νομοθετήσας περὶ τῶν τε πρακτέων καὶ τῶν μὴ τοιούτων. — Διὰ τοῦτο f. 54.
ποῖον; ἐπειδὴ προωρώμην κύριον ἐνώπιόν μου διαπαντὸς, καὶ οὐκ ἀπεσφάλην, φησὶν, τῶν
ἐλπίδων· ἀλλ' ἐπειδὴ ἀεὶ τὴν παρὰ σοῦ προσεδεχόμην βοήθειαν ἔτυχον ὧν ἐξήτουν, καὶ ἐν
εὐφροσύνῃ κατέστην πολλῇ. — Κἀνταῦθα πάλιν ἀπὸ τῆς ψυχῆς τὸ ὅλον καλεῖ· ἀπολαύσω
δὲ τούτων, φησὶν, ἐπειδή με αὐτὸς φυλάττων οὐκ ἐᾷς ἐναπολέσθαι τοῖς κινδύνοις, οὐδὲ παρα-
δώσεις με διαφθαρῆναι ὑπ' αὐτῶν, ὅσιον κἀνταῦθα τὸν λαὸν καλῶν πρὸς ἀντιδιαστολὴν
ἐκείνων ὡς ἔχοντα τοῦ Θεοῦ τὴν γνῶσιν. — Ἀντὶ τοῦ ἐκ προσώπου σου, τουτέστι ἐκ τῆς ἐπιφανείας f. 54. b.
σου καὶ τῆς παρὰ σοῦ βοηθείας πληρωθήσομαι εὐφροσύνης. — Ἐπισημαντέον δὲ κἀνταῦθα ὅτι τοῖς
τελευταίοις τοῦ ψαλμοῦ ὁ μακάριος ἀπόστολος Πέτρος ἐν ταῖς πράξεσι ὡς περὶ τοῦ κυρίου εἰρη-
μένοις ἐχρήσατο· ἰστέον τοίνυν ὅτι κἀνταῦθα κατὰ τὴν αὐτὴν ἔννοιαν ἐξείληπται τῷ μακαρίῳ
ἀποστόλῳ, ἐπειδὴ ἐνταῦθα μὲν προτρεπτικώτερον εἴρηται· κυρίως δὲ καὶ κατὰ τὴν ἀληθῆ ἔννοιαν
τὴν πρὸς τὰ ῥητὰ λέγω τὴν ἔκβασιν ἔχει ἐπὶ τοῦ κυρίου, ἐφ' οὗ καὶ τῇ μαρτυρίᾳ ἐχρήσατο·
ὡς τῆς τῶν πραγμάτων ἐκβάσεως ἐπ' αὐτοῦ κυριωτέραν τὴν μαρτυρίαν ἀποφαινούσης.

Ψαλμὸς ιϛ'.

Ἐναλλαγὴ χρόνου γεγένηται, ἀντὶ τοῦ ἀόριστου τὸ ὅτι ἐπακούεις μοι, ὅτι ἐπήκουσάς μου. B. f. 56.
— Τουτέστιν ἀνθεστηκότων τῇ βοηθείᾳ σου· ἐπειδὴ γὰρ εἶπεν, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ
σοί· τοῖς δὲ ἐλπίζουσιν ἐπ' αὐτῷ αὐτὸς ἐπαμύνει καὶ βοηθεῖ, τοὺς ἀνθεστηκότας τοῖς ἐλπί-
ζουσιν ἐπ' αὐτὸν τῇ αὐτοῦ βοηθείᾳ καλοὺς ἔφησεν. — Οὕτω, φησὶν, εἰσὶν εὐπαθεῖς, ὡς f. 56. b.
μὴ διαδοῦναι αὐτῶν τὸν λιπασμόν· ἐπειδὴ γὰρ τὸ συγκεκλεισμένον ἐν ἀσφαλείᾳ πλείστῃ
καθέστηκεν, τοῦτο λέγει τὸ συνέκλεισαν, ἀντὶ τοῦ τὴν εὐθηνίαν αὐτῶν ἐν πλείστῃ ἔχουσιν ἀσφα-
λείᾳ, ὡς μηδὲ προσδοκᾶν αὐτῶν διαπεσεῖν, ἵν' εἴπῃ ὅτι οὐκ ἀπέβαλον τοῦ βίου τὴν εὐπρα-
γίαν. — Πρὸς τοῦτο ἀφορῶσιν, καὶ πρὸς τοῦτο ἔχουσι πᾶσαν τὴν σπουδὴν, ὥστε ἐμὲ τῆς γῆς f. 57.
ἐκβαλεῖν τῆς κληρονομίας, τουτέστιν τῆς γῆς τῆς ἐπαγγελίας. — Τινὲς ῥομφαίᾳ σου ἀναγινώ- f. 57. b.
σκουσιν ἐπὶ τῆς δοτικῆς πτώσεως λέγοντες· ἔστιν δὲ οὐχ οὕτως, ἀλλὰ ῥομφαίας σου τῇ γενικῇ
πτώσει λεγόμενον· οὕτως γὰρ Ἀκύλας εἶπε μαχαίρας σου· ὃ δὲ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν·
ῥῦσαι τὴν ψυχήν μου, τουτέστιν ἐμὲ ἀπὸ τούτων τῶν ἀσεβῶν, καὶ ἀπὸ τῆς ῥομφαίας τῶν ἐχθρῶν

τῆς χειρός σου· ῥομφαίαν γὰρ καλεῖ τὴν κατ' αὐτοῦ γινομένην ὑπ' αὐτῶν μαχανὴν πάσης
μαχαίρας κατ' αὐτοῦ τμητικωτέραν τὴν ἐπιβουλὴν ἐργαζομένην· ἐχθροὺς δὲ τῆς χειρὸς τοῦ θεοῦ
καλεῖ τοὺς ἐχθροὺς τοὺς αὐτοῦ, ἐπειδὴ τὸν ὑπ' αὐτοῦ χρισθέντα εἰς βασιλέα ἑλεῖν ἐσπουδακό-
τες, αὐτῷ δῆλοι ἦσαν ἐχθραίνοντες τῷ θεῷ, καὶ τοῖς ὑπ' αὐτοῦ γινομένοις ἀνθίστασθαι ἐσπου-
δακότες. — Τὸ μὲν οὖν ἀπολλύων ἀπὸ τῆς γῆς εἶπε πρὸς τὸν θεὸν ὡς ἂν αὐτοῦ τὴν τοῦ θα-
νάτου ἀπόφασιν κατὰ τῶν ἀνθρώπων ἐξενέγκαντος· ἵν' εἴπῃ ὅτι σὺ ὁ πάντας ἀποθνήσκειν
ποιῶν· τὸ διαμέρισον ἀντὶ τοῦ διασκόρπισον, ἀπὸ τοῦ τὸ σκορπιζόμενον πάντως τῇδε κἀκεῖσε
μερίζεσθαι· τὸ δὲ τῶν κεκρυμμένων ἀντὶ τοῦ τῶν τιμωριῶν σου ὧν ἔχεις ἐν ἀποκρύφῳ, ἃς ὅτε
f. 58. b. θέλεις ἐκφέρεις τιμωρούμενος ἀπροσδοκήτως τοῖς ἀνθρώποις καὶ ὡς οὐκ ἴσασιν. — Τουτέστιν
ἐκεῖνοι μὲν τὰ τοιαῦτα διαπραξάμενοι ταύτης δίκαιοι τιμωρίας ἀπολαῦσαι· ἐγὼ δὲ μετὰ
δικαιοσύνης σοὶ φανείς, τουτέστιν οὐδὲν ἄδικον εἰς αὐτοὺς διαπραξάμενος, πληρωθήσομαι
τῆς σῆς βοηθείας, καὶ ἀπολαύσω τῆς δόξης σου παρὰ σοῦ.

Ψαλμὸς ιζ'.

v. 59. b. Τὸ δὲ προέφθασάν με τοιοῦτόν τι λέγειν βούλεται· τοσαῦται, φησίν, καὶ τοιαῦται κατ'
ἐμοῦ τῶν ἐχθρῶν ἐπιβουλαὶ γεγόνασιν, ὡς προσφθάσαι με καὶ τὸν λογισμόν, καὶ μηδὲ καιρὸν
ἐνδοῦναί μοι καὶ κατανόησιν καὶ πρὸς τὸ ἀφιδεῖν τινὶ δὲ τρόπῳ τὴν φυγὴν τὴν ἐξ αὐτῶν ποιή-
f. 60. σασθαι. — Πυρὸς γὰρ ἐπὶ πολὺ γινομένου, ἄνθρακας ἐπὶ πολὺ γίνεσθαι συμβαίνει· δι' ὅλων
βουληθεὶς εἰπεῖν, ὅτι ἅμα τε ἤκουσεν εὐξαμένου, καὶ ἐκινήθη κατὰ τῶν ἐχθρῶν, καὶ εὐθὺς μὲν
ἅπαντα ἐσαλεύετο· ὑπεφαίνετο δὲ αὐτοῦ κατὰ μέρος καὶ διὰ τῶν πραγμάτων ἡ ὀργή, νῦν
μὲν ἀρχομένου τιμωρεῖσθαι τοὺς πολεμίους· προϊόντος δὲ καὶ σφοδρότερον αὐτοὺς κολάζοντος·
εἶτα τῆς παραμονῆς καὶ παντελῶς αὐτοὺς ἀφανίζοντος· τότε γὰρ ἔθος ἐστὶν ἀποτελεῖσθαι
τοὺς ἄνθρακας, ἐπειδὰν τὸ πῦρ ἐπὶ πλεῖον γινόμενον τὰς ὑποκειμένας ὕλας καταφλέξῃ
f. 61. τῶν ξύλων. — Ἀλλ' ὅταν ἀπὸ τοῦ σχηματισμοῦ εἴδῃ τινὰ ἀπρέπειαν ὑποφαινομένην, ἢ
ταπεινότητα τῇ παρενθέσει τῶν ἐν μέσῳ, πάλιν αὔξει τὸν λόγον, οἷον εἶπεν ὅτι κατέβη ἐκ
τοῦ οὐρανοῦ καὶ εἶχεν γνόφον ὑπὸ τοὺς πόδας αὐτοῦ· ἐπειδὴ τοίνυν ταπεινή τις ἐντεῦθεν ὑπε-
φαίνετο ἡ παρουσία, παρένθηκεν τὸ ἐπέβη ἐπὶ Χερουβίμ, δεικνὺς αὐτὸν ὡς βασιλέα ὑφ'
ἅρματος ὀχούμενον, καὶ οὕτω παραγινόμενον· εἶτα τῆς ἀκολουθίας λαβόμενος πάλιν εἶπεν
τό, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, ἀκόλουθον ὂν τὸ καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ·
ἀλλ' ἐπειδὴ πολὺν περὶ τοῦ σκότους ἐποιήσατο τὸν λόγον, ὡς ὄντος ὑπὸ τοὺς πόδας αὐτοῦ
καὶ ἀποκρύπτοντος αὐτούς, ἐδόκει δέ τις ἀπρέπεια ἐγγίνεσθαι τῷ σχηματισμῷ, ἀσφαλιζό-
μενος τὸ ὑποπίπτον κύκλῳ αὐτοῦ, φησίν, ἡ σκηνὴ αὐτοῦ· ἀλλὰ τὸ μὲν σκότος, φησίν, κατὰ
τῶν ἐχθρῶν προεβέβλητο ἀποκρύπτων αὐτόν, καὶ οὐδὲ ὁρᾶσθαι τοῖς ἐναντίοις ποιοῦν· περὶ αὐτὸν
* I. Tim. VI. 16. δὲ ἡ σκηνὴ αὐτοῦ ἦν, ἵν' εἴπῃ τὸ φῶς, ὡς καὶ ὁ μακάριος Παῦλος * περὶ αὐτοῦ φησίν, φῶς
οἰκῶν ἀπρόσιτον· τῆς γὰρ αὐτῆς ἐννοίας ἔχεται ἀμφότερα· ὥσπερ γὰρ φῶς οἰκεῖν λέγεται,
οὕτω καὶ ἡ σκηνὴ τοῦ θεοῦ λέγοιτο ἂν κυρίως τὸ φῶς· σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων παρ-
ενθεντικῶς τὸ κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ πάλιν ἀκολούθως τοῖς προηγουμένοις τὸ καὶ ἔθετο
σκότος ἀποκρυφὴν αὐτοῦ, ἐπήγαγεν σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων· ἀκόλουθον γὰρ ἦν
τὸ γνόφος καὶ σκότος· συνέχεεν γάρ, φησιν, ἅπαντα γινομένου σχηματίσας τὴν τοῦ θεοῦ τὴν ὀργήν·
ἡ γὰρ τοῦ ἀέρος συστροφὴ πάντως ζόφον εἰργάσατο· τοιοῦτο ἐστὶ καὶ τὸ ὕδωρ ἐν ταῖς νεφέλαις με-
λανθείσαις τῇ τοῦ ἀέρος συστροφῇ.

Abhinc usque ad psalmum XXXII. nihil est Theodori antiocheni in hoc codice 1682 (B.) *Quamobrem puto defuisse Catenae auctori quaterniones aliquot codicis Theodori, unde excerpta sumebat.*

Ψαλμὸς κϛ'.

Cod. A. f. 82. b. Ἡνίκα οὖν πλησίον οὗτοι γεγόνασιν, ὡς καὶ ἀπογευσάμενοί μου τῶν σαρκῶν, τοῦτο γὰρ
βούλεται εἰπεῖν τὸ τοῦ φαγεῖν τὰς σάρκας μου, ὥστε δεῖξαι αὐτῶν τὴν ὠμότητα, καὶ τὴν ὀργὴν

μεθ' ἧς ὥρμων ἐπ' αὐτούς· τὸ δὲ ἐγγίζειν, ἀντὶ τοῦ ἡνίκα οὕτω πλησίον γεγόνασιν, ὡς μηδὲν
διαλείπειν πρὸς τὴν ἐκπλήρωσιν τῆς προθέσεως αὐτῶν· καλῶς δὲ αὐτοὺς κακοῦντας ἐκάλεσεν,
ὡς διὰ τὴν προσοῦσαν αὐτοῖς ἰσχὺν ἅπαντας μυρίοις περιβαλόντας κακοῖς. — Καλῶς τὸ f. 82. b.
αὐτοί· ὅτι ἡμᾶς μὲν ἠδίκησαν οὐδέν, ἔπαθον δὲ ταῦτα αὐτοί, ἅπερ ἡμᾶς διαθεῖναι προσ-
εδόκων· ἐμφαντικώτερον δὲ τὸ ἠσθένησαν καὶ ἔπεσον, ἀντὶ τοῦ οὐχ ὑπὸ πολεμίων ἀνηρέθησαν,
οὐδὲ ὑπὸ ἀνθρώπων ἔπαθόν τι δεινόν, ἀλλὰ παραδόξως ἄνευ πάσης ἀνθρωπείας χειρός,
ἐξαίφνης εἰς ἀσθένειαν τῇ τοῦ θεοῦ κατηνέχθησαν τιμωρίᾳ. — Ὅτι ἀπόδειξιν ἔχων αὐτάρκη
τὰ γεγονότα τῆς τοῦ θεοῦ βοηθείας, παρεμβολῆς ὅλης κινηθείσης καὶ πολέμου, δέδοικα οὐ-
δένα, ταύτῃ πεποιθὼς τῇ τοῦ θεοῦ συμμαχίᾳ. τὸ γὰρ ἐν ταύτῃ τουτέστι τῇ βοηθείᾳ καὶ τῇ
συμμαχίᾳ τοῦ δεσπότου. — Ὥσπερ τινὶ σκηνῇ τῇ οἰκείᾳ σκεπάσας βοηθείᾳ, μετὰ πολλῆς f. 83.
με τῆς ἀσφαλείας ἐφύλαξεν· σκηνὴν γὰρ τοῦ θεοῦ καλεῖ τὴν βοήθειαν, ὡς σκεπάσασαν αὐτὸν
ἀπὸ τῶν κακῶν· τὸ δὲ ἔκρυψεν, ἀντὶ τοῦ ἐφύλαξεν, ἀπὸ τοῦ κατακρύπτειν ἀεὶ τοὺς βουλο-
μένους τι φυλάττειν· ἐν ἡμέρᾳ δὲ κακῶν μου, ἐν τῷ καιρῷ τῆς συμφορᾶς, ὅτε πολλῶν
προσεδόκησα πειραθήσεσθαι κακῶν.

Ψαλμὸς κη'.

Περὶ ταύτης τῆς ἀβύσσου τῶν λογισμῶν ὑδάτων φησὶν ὁ Δαυίδ· φωνὴ κυρίου ἐπὶ A. f. 86. b.
τῶν ὑδάτων.

Ψαλμὸς κθ'.

Ἀντὶ τοῦ ταῦτα ἔλεγον· ἐὰν ἀποθάνω, τί τὸ ὄφελος; ἀποθανὼν γὰρ διαφθείρομαι, τέφρα A. f. 89.
γινόμενος καὶ σποδός. — Ὁ σάκκος κακίαν καὶ ἀγνωσίαν σημαίνει, ἐπειδὴ καὶ αἱ τρίχες τῶν
ἐρίφων ἦσαν τῶν ἱσταμένων ἐξ εὐωνύμων καὶ τοῦ ἀποπομπαίου τράγου. — Εἰπὼν οὐ μὴ κατανυγῶ, f. 89. b.
ἀντὶ τοῦ οὐ μεταγνώσομαι ἐπὶ τῇ ψαλμῳδίᾳ, ἐπήγαγεν εἰς τὸν αἰῶνα ἐξομολογήσομαι, τὸ
ταύτην διατελέσαι σοι ἀπαύστως εὐχαριστῶν· αἰῶνα καλῶν τὸν τῆς οἰκείας ζωῆς χρόνον.

Ψαλμὸς λ'.

Ἐπεὶ μὴ φθάνει ἡ ἡμετέρα κραυγὴ πρὸς τὸ σὸν ὕψος, κλῖνον τὸ οὖς σου πρὸς ἐμὲ A. f. 90.
διὰ συγκαταβαίνειν με. — Παγίδας ἐκάλεσε τὴν αἰχμαλωσίαν ἐφ' ᾗ συνελήπτο, ὥσπερ
εἴς τινα κίνδυνον προφανῆ· τὸ ἧς ἔκρυψάν μοι, ἀκολούθως εἶπεν τῷ παραδείγματι,
ἐπειδὴ παγίδα τὴν αἰχμαλωσίαν ἐκάλεσεν· ἴδιον δὲ τῆς παγίδος τὸ λανθανόντως τίθεσθαι
κρυπτομένην, οὕτω τε ἀπροόπτως λαμβάνειν τοὺς θηρωμένους. — Διὰ τοῦτο γάρ, φησιν,
ἡμᾶς δικαίως ἀπήλλαξας, ἐπειδὴ ἐκείνους ἐμίσησας καὶ ἀπεστράφης, τοὺς μετὰ πολλῆς
ἐπιμελείας τὰ ἄτοπα διαπραττομένους· οὐ γὰρ ἀπὸ συναρπαγῆς διαπράττονται τὸ κακόν,
ἀλλ' ὥσπερ τι ἀναγκαῖον, τοῦ κακοῦ φυλάττουσι τὴν πρᾶξιν· τὸ δὲ διὰ κενῆς, ὅτι οὐδὲν ὠφε-
λοῦνται ἐκ τῆς περὶ τὸ κακὸν πράττειν ἐπιμελείας, διὰ τὸ μισεῖν αὐτοὺς καὶ τιμωρεῖσθαι,
καὶ μὴ ἐᾶν εἴς τι πέρας ἄγειν αὐτοὺς τὸ σπουδαζόμενον.

Exin usque ad finem huius codicis 754. (A) nihil Mopsuesteni reperiebam.

Ψαλμὸς λβ'.

Καλὴ ἡ ἐπαγωγὴ τοῦ ῥητοῦ, καὶ μάλιστα τῶν ἑξῆς ἕνεκεν· ἐπειδὴ γὰρ τὴν εὐφροσύνην B. f. 97.
αὐτοῖς εὐηγγελίσατο, ἤμελλεν δὲ ἐπὶ τὴν ὑμνῳδίαν καὶ τὴν ὑπὲρ τῶν γεγονότων εὐχαριστίαν
προτρέπειν, ἑξῆς βουλόμενος αὐτοὺς ἐμφόβους περὶ τὸ πρᾶγμα καταστῆσαι, ὥστε μετὰ τῆς
προσηκούσης γνησιότητος ἀναπέμψαι τὴν ὑμνῳδίαν καὶ τὴν εὐχαριστίαν τῷ θεῷ, προλαβὼν
τοῖς εὐθέσι φησὶν τὴν αἴνεσιν πρέπειν, ἵν' ἀκούσαντες ὅτι μὴ πάντων ἐστὶν ὑμνεῖν τὸν θεόν,
ἀλλὰ μόνον τῶν μετ' εὐθύτητος λογισμῶν τοῦτο ποιουμένων, οἷς καὶ πρέπον ἐστὶν τὸ ὑμνεῖν
ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς· ἐπείπερ καὶ τοῦ τυχεῖν αὐτῶν ἄξιοι καθεστήκασιν, μετὰ πολλῆς
εὐλαβείας προσέλθωσι τῇ τοῦ θεοῦ ὑμνῳδίᾳ.

Psalmorum 34. et 54. prooemia sive argumenta Mopsuesteni nostri iam nos edidimus in hac bibliotheca T. III. p. 453-456.

ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΜΟΨΟΥΕΣΤΙΑΣ ΕΠΙΣΚΟΠΟΥ

ΕΚ ΤΗΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΡΜΗΝΕΙΑΣ (1).

Cap. I. 4. Cod. vat. reg. IX. f. 5. b.

ΜΟΨ. Τινὲς οὕτως ἀνέγνωσαν, ὃ γέγονεν ἐν αὐτῷ, ἀντὶ τοῦ δι᾽ αὐτοῦ λέγοντες· πῶς δὲ οὐκ εὔηθες εἰ τοῦτο ἔμελλεν λέγειν ὁ εὐαγγελιστής, ὥς τι διδάσκων ἡμᾶς καινὸν καὶ τοῖς ἀνθρώποις ἄγνωστον; ὃ κἂν ὁ τυχὼν εἰπεῖν ἠδυνήθη καὶ περὶ τοῦ τυχόντος, χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν τῶν δι᾽ αὐτοῦ γεγονότων· πᾶς γὰρ ὅστις οὖν καὶ περὶ παντὸς τοῦτο ἐρεῖ· ἐπείπερ δῆλον ὡς ἐπὶ παντὸς τοῦ ὅ τί ποτε διαπραττομένου οὐκ ἂν εἴποι τις ἑτέρως ἢ ὅτι τῶν δι᾽ αὐτοῦ γινομένων οὐδὲν γέγονεν χωρὶς αὐτοῦ· τινὲς δὲ ἑτέρως ἀνέγνωσαν, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· εἶτα, ὃ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν· καὶ τοῦτο δὲ εὔηθες οὐκ ἔλαττον τοῦ προτέρου· οὐ γὰρ εἴ τι γέγονεν δι᾽ αὐτοῦ, τοῦτο ζωὴ ἦν· πολλὰ γὰρ ἀμέτοχα ζωῆς ἐστι, ὡς γῆ καὶ ὄρη· ἔστιν οὖν πλοκὴ καὶ βεβαίωσις τοῦ προτέρου· εἶτα καὶ ἡ σαφήνεια· εἰπὼν γὰρ ὅτι πάντα δι᾽ αὐτοῦ ἐγένετο, ἐπήγαγεν· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε· τουτέστι καὶ συντόμως εἰπεῖν, οὐδὲν τῶν γεγονότων ἄνευ αὐτοῦ γεγένηται, μόνου τοῦ πατρὸς ὑπεξῃρημένου τῆς αὐτοῦ ποιήσεως σὺν τῷ ἁγίῳ πνεύματι· ἐπειδήπερ ἀεὶ συνὼν αὐτῷ, εἰκότως καὶ κατὰ τὴν τῶν ὅλων δημιουργίαν αὐτῷ κεκοινώνηκε.

v. 12. f. 11. b.

Οὐκ ἀκερδὲς τὸ πρᾶγμα ἐγένετο τοῖς δεξαμένοις αὐτόν· τὸ γὰρ πρῶτον καὶ μέγιστον αὐτοῖς ἀγαθὸν ἐχαρίσατο τὴν πρὸς ἑαυτὸν ἰσοτιμίαν, μικροῦ δεδωκὼς καθ᾽ ὅσον ἦν ἐν ἐξουσίᾳ ἔχειν τῆς υἱότητος τὴν ἀπόλαυσιν αὐτοῖς χαρισάμενος· ἧς ἀπήλαυον οὐ κατὰ τὴν οἰκείαν φύσιν πάλιν, διαδοχῇ τινὶ σωματικῶς τικτόμενοι, ἀλλὰ θείᾳ δυνάμει διὰ τῆς πρὸς αὐτὸν ὁμοιότητός τε καὶ συναφείας τὴν γένεσιν διαδεχόμενοι (2)· φιλάνθρωπος γὰρ ὢν ὁ θεὸς καὶ εὐεργετικός, βίᾳ μὲν οὐδὲ ἀνάγκῃ, πειθοῖ δὲ καὶ τῷ ποιεῖν εὖ τοὺς βουλομένους ἅπαντας ἕλκει πρὸς ἑαυτόν· καὶ διὰ τοῦτο ἐλθόντα αὐτὸν οἱ μὲν ἔλαβον, οἱ δὲ οὐκ ἐδέξαντο· ἄνθρωποι μὲν γὰρ ἅτε ἐν χρείᾳ καθεστῶτες τῆς τῶν οἰκετῶν διακονίας, καὶ βουλομένους πολλοὺς τῷ τῆς δεσποτείας κατέχουσι νόμῳ· ὁ δὲ θεὸς ἀνενδεὴς ὤν, τῆς δὲ ἡμετέρας ἕνεκεν σωτηρίας μόνον ἅπαντα πράττων, ἡμᾶς αὐτοὺς ποιεῖ τούτου κυρίους· τί οὖν κολάζει, φησί, τοὺς οὐκ ἔχοντας ὑπακούειν αὐτῷ; ὅτι καὶ μὴ πειθομένων ἡμῶν λίαν κήδεται, σφόδρα ὢν ἀγαθός, καὶ ἀποπηδώντων καὶ φευγόντων οὐκ ἀφίσταται· ἀλλ᾽ ἐπειδὴ προτέραν τῆς εὐεργεσίας ὁδὸν ἀπωσάμεθα, τὴν διὰ τοῦ πείθεσθαι καὶ τοῦ παθεῖν εὖ, τὴν ἑτέραν ἡμῖν ἐπεισήγαγε τὴν διὰ τῆς κολάσεως καὶ τῶν τιμωριῶν, ὅπως δέει μὴ πεῖραν τῶν τοιούτων λαβεῖν, καὶ ἄκοντες σωφρονιζώμεθα· ἐπεὶ καὶ οἱ νομοθέται πολλὰς καὶ χαλεπὰς κατὰ τῶν ἡμαρτηκότων τιθέασι τιμωρίας· καὶ ὅμως αὐτοὺς οὐκ ἀποστρεφόμεθα· διὰ ταῦτα καὶ μᾶλλον τιμῶμεν τῶν κολάσεων χάριν· εἰ δὲ τούτους θαυμάζομεν εὐταξίαν εἰσάγοντας ἐν τῷ βίῳ, οὐ πολλῷ μᾶλλον τὸν θεὸν ἐκπλήττεσθαι

(1) Quantopere vel unus interdum codex sacris litteris prosit, demonstrat inter ceteros etiam reginae svecae codex IX. qui in catena patrum ad Iohannis evangelium nobiles has atque copiosas commentariorum Mopsuesteni reliquias suppeditat. Immo et paulo plures inerant, quas cum ex aliis codicibus seu Corderius seu nuperus anglus Cramerus ediderint, nos praetermisimus; nisi forte ubi pars inedita continuabatur interdum cum aliqua edita, ita ut loci sententia abrumpenda non fuerit. Habeant igitur sacri philologi novum hoc a Mopsuesteno (sic enim semper in codice ΜΟΨ.) exegeseos subsidium, quod nos ad alia properantes graece tantum exhibemus.

(2) Hactenus fragmentum est etiam apud Corderium in catena. Pergit vere multo ulterius codex noster.

δεῖ καὶ ἀγαπᾶν τῆς τοσαύτης κηδεμονίας ἕνεκεν; Θαυμάσαι δ' ἄν τις τοῦ μαθητοῦ μὴ αἰσχυνόμενος ἐπὶ τῇ τοῦ διδασκάλου ἀτιμίᾳ, ἀλλὰ μετὰ παῤῥησίας τὴν εἰς αὐτὸν γεγενημένην ὕβριν ἀναγράφοντος· καὶ τοῦτο δὲ οὐ μικρὸν τὸ φιλάληθες αὐτοῦ τρόπου τε τεκμήριον· καὶ ἄλλως δὲ τὸν αἰσχυνόμενον ὑπὲρ τῶν ὑβρικότων οὐχ ὑπὲρ τοῦ παροινηθέντος αἰσχύνεσθαι χρή· οὕτως γὰρ ταύτῃ μᾶλλον ἔλαμψεν, καὶ μετὰ τὴν ὕβριν τοσαύτην τῶν ὑβρικότων ποιούμενος πρόνοιαν· ἐκεῖνοι δὲ ἀγνώμονες καὶ μιαροὶ παρὰ πᾶσιν ἐφάνησαν τὸν ἐπὶ τοσούτων παραγενόμενον ἀγαθῶν ὡς ἐχθρὸν ἀπωσάμενοι καὶ πολέμιον· οὐ ταύτῃ μόνον ἐβλάκησαν, ἀλλὰ καὶ τῷ μὴ τυχεῖν ὧν ἔτυχον οἱ λαβόντες αὐτόν.

Τὸ ὀπίσω ἔμπροσθεν, κατὰ τὴν δόξαν λέγει καὶ τὴν παρὰ ἀνθρώποις ὑπόληψιν· εἰ δὲ γέ- v. 15. f. 16.
γονεν εἶπεν ἀντὶ τοῦ γενήσεται, οὐ θαυμασόν· πρὸς γὰρ τῷ χύδην εὑρίσκεσθαι ταύτην ἐν τῇ θείᾳ γραφῇ τὴν συνήθειαν, ἔτι καὶ τὸν εὐαγγελιστὴν ἐν τοῖς ἀνωτέρω οὕτως εἰρηκότα ἐδείξαμεν, τὸ οὐ κατέλαβεν σαφῶς εἰπόντα, ἀντὶ τοῦ οὐκέτι λήψεται.

Μηδὲν ὑφορώμενος μετὰ τῆς προσηκούσης ἐλευθερίας τὰ περὶ τοῦ Χριστοῦ πᾶσιν ἀνακη- v. 27. f. 22. b.
ρύττει ὁ μακάριος Ἰωάννης· διὰ γὰρ τοῦτο καὶ τὸν τόπον ἐπισημαίνεται ὁ εὐαγγελιστής, ἵνα τὴν παῤῥησίαν δείξῃ τοῦ μεγαλοφωνοτάτου κήρυκος· τὸν γὰρ Ἰορδάνην καταλαβὼν, ἐν μέσῳ τῷ πλήθει παρόντων ἁπάντων τῶν ὑπ' αὐτοῦ βαπτιζομένων, βαπτίζοντι γὰρ ἐπέστησαν οἱ Ἰουδαῖοι, τὴν θαυμαστὴν ἐκείνην ἔῤῥηξε φωνήν· οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. Ταῦτα δὲ ἐγένετο οὐκ ἐν τῇ Βηθανίᾳ, ἀλλ' ἐν τῇ Βηθαρᾷ, ὡς τὰ ἀκριβῆ περιέχει τῶν ἀντιγράφων· ἡ γὰρ Βηθανία οὐχὶ πέραν Ἰορδάνου, οὐδὲ ἐπὶ τῆς ἐρήμου ἦν, ἀλλ' ἐγγύς που τῶν Ἱεροσολύμων· τοὺς δὲ τόπους ἐπισημαίνεται ὡς τὰ πρὸ μικροῦ συμβάντα τοῦ χρόνου διηγεῖσθαι μέλλων, καὶ τοὺς παρόντας καὶ θεωμένους μάρτυρας ποιούμενος τῆς ἀληθείας τῶν λεγομένων.

Εἰρηκὼς ἐνταῦθα ὁ βαπτιστὴς ὅτι οὗτός ἐστιν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, οὐκ εἶπεν v. 29. f. 25. b.
ὁ μονογενὴς υἱὸς, οὐδὲ ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, οἷα φαίνεται ἐν τοῖς ἀνωτέρω εἰρηκώς· καί τοι ἔδοξεν ἂν νῦν ἀκολουθότερον αὐτοῦ τὸ μέγεθος λέγειν τῆς φύσεως εἰς ἐπίδειξιν τῆς ἐπαγγελίας τῶν δι' αὐτοῦ δοθησομένων· ἀλλὰ τοῦτο μὲν οὐκ ἔφη, ἀμνὸν δὲ αὐτὸν ἐκάλεσεν τοῦ θεοῦ· ὅπερ ἦν ὄνομα τοῦ πάθους σημαντικόν· ἐπείπερ ἐν τῷ πάθει τὴν ἁμαρτίαν κατέλυσεν· ταύτης γὰρ ἐν τῇ θνητότητι τὴν ἐπίτασιν δεξαμένης, τοῦ δὲ θανάτου πάλιν ὑπ' ἐκείναις καθ' ἡμῶν σφιγχθέντος, ἐληλυθὼς ὁ κύριος ἡμῶν ὁ σωτὴρ Ἰησοῦς Χριστὸς, ἐκεῖνον τε ὁμοῦ τὴν ἀμνησίαν ἐδωρήσατο, καὶ τὸν θάνατον διὰ τοῦ οἰκείου λύσας θανάτου, ἀνεῖλε μὲν τὴν ἐν τῇ φύσει τῆς θνητότητος ἐῤῥιζομένην ἁμαρτίαν, ἀθανάτοις δὲ ἤδη μὲν τῇ ἐπαγγελίᾳ, εἰς ὕστερον δὲ καὶ τῷ πράγματι ἐργασάμενος τῷ δώρῳ τῆς ἀθανασίας, καὶ τὴν ἁμαρτίαν κατέλυσεν· ἀκολουθότατον τοίνυν ἐνταῦθα τῇ τοῦ ἀμνοῦ προσηγορίᾳ ἐχρήσατο. Φαίνεται μέντοι καὶ τὸ ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ λέγων ὡς ἂν ἤδη μὲν αὐτὸν προσδοκώμενον, παρόντα δὲ νῦν τοῖς ὁρῶσιν ὑποδεικνὺς, καὶ τοῦτο οὐκ ἠλπικότος· ἐπειδὴ γὰρ κατὰ τὴν Ἡσαΐου φωνὴν τὴν ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος ἔναντι τοῦ κείροντος αὐτόν· προσδοκᾶν αὐτὸν τῇ προφητικῇ κατακολουθοῦντας ἤδη φωνῇ, ὡς ἐλεύσεταί τις ὃς ὑπὲρ πάντων παθὼν λύσει τὰς ἁπάντων ἁμαρτίας εἰκότως. Τὸ δὲ ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, τουτέστιν οὗτος ἐκεῖνος περὶ οὗ προείρηκεν Ἡσαΐας· κἀκεῖνο μέν τοι προσεκτέον ὅπως ὁ εὐαγγελιστὴς τὸ μὲν ὅτι πρὸς αὐτὸν ἐλήλυθεν, εἶπεν· ὅτι δὲ ἐβαπτίσθη, οὐκ ἔτι· οὕτω δι' ὅλου φαίνεται τὰ μὲν παραλελειμμένα σπουδάζων εἰπεῖν, τὰ δὲ εἰρημένα δευτεροῦν, περιττὸν νομίζων (1). Δῆλον δὲ ἐντεῦθεν ὡς ἐν εἴδει περιστερᾶς γενομένη ἡ τοῦ πνεύματος κάθοδος, οὐ πᾶσιν ὤφθη τοῖς παροῦσιν, ἀλλὰ κατά τινα πνευματικὴν θεωρίαν μόνῳ ὤφθη τῷ Ἰωάννῃ, καθὼς ἔθος ἦν τοῖς προφήταις ἐν μέσῳ πολλῶν τὰ πᾶσιν ἀθεώρητα βλέπειν. Εὐηθέστατον ἄρα κἀ-

(1) Posthinc usque ad τὸ φαινομένον legitur apud Corderium.

κεῖνο τὸ παρά τινων λεγόμενον, ὡς ἔλαττον ἐντεῦθεν τοῦ Χριστοῦ δείκνυται τὸ πνεῦμα, ἐπειδήπερ περιστερὰ ἐλάττων ἀνθρώπων· ὀπτασία γὰρ ἦν οὐ φύσις τὸ φαινόμενον· εἰ δὲ καὶ μὴ εἶπεν ὁ μονογενὴς υἱὸς, ἢ ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐπεὶ τὸ αἴρειν ἁμαρτίας μόνου θεοῦ, διὰ τοῦ ἀμνοῦ τὴν οἰκονομίαν ἐδήλωσεν· καὶ διὰ τοῦ ἐπιφερομένου τὸ ἴδιον τῆς θεότητος, ὅπερ ἥρμοσε τῷ ἀμνῷ διὰ τὴν ἄφραστον ἕνωσιν, καὶ διὰ τὸ ἓν καὶ τὸ αὐτὸ ἀσυγχύτως τοῦτό τε κἀκεῖνο.

v. 47. f. 29. b. Ἡ Ναζαρὲτ πάνυ διαβέβληται παρὰ τοῖς Ἰουδαίοις ἄνωθεν δηλονότι ὡς ὑπὸ ἐθνικῶν οἰκούμενον τὸ χωρίον, καὶ ἀγαθὸν ἐνεγκεῖν οὐδέποτέ τι ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται· καλῶς οὖν καὶ ὁ Φίλιππος πρὸς τὸν Ναθαναὴλ, ἔρχου καὶ ἴδε· ἐπειδὴ γάρ μοι, φησὶ τὴν παλαιὰν προβάλλῃ δόξαν, ἐγώ σοι τὰ πράγματα δεικνύναι ἐπαγγέλλομαι· εἶτα ὡς Ἰησοῦ πόῤῥωθεν θεασαμένου τὸν Ναθαναὴλ, καὶ εἰπόντος, ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστι· καὶ τοῦ Ναθαναὴλ εἰπόντος, πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, καὶ ἑξῆς· ὅθεν καὶ ὁ Ναθαναὴλ ἔργοις αὐτοῖς τὴν ἀπόδειξιν λαβὼν φησί· σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Ταῦτα δηλονότι περὶ τοῦ Χριστοῦ προσεδόκων ὡς οἰκειωμένου παρὰ πάντας θεῷ, ὡς βασιλέως τοῦ Ἰσραὴλ, εἰ καὶ ἀμυδρότερον αὐτὰ καὶ σωματικώτερον τέως προσεδόκων· οὔτε γὰρ ὅπως ἦν υἱὸς θεοῦ Ἰουδαίους τότε εἰδέναι δυνατὸν ἦν, ἀλλ' οὐδὲ ὅπως βασιλεύς· ἀλλ' οὐδὲ ἦν τοῦ Ναθαναὴλ εὐθὺς ἐκεῖνο ἐπιγνῶναι, ὃ μακρῷ χρόνῳ καὶ τοὺς ἀποστόλους ὕστερον ἐγνωκότας ἔστιν εὑρεῖν· ἐπείπερ ἐθεώρει μὲν ἄνθρωπον· τὰ δὲ παρὰ τοῦ κυρίου λεχθέντα πρὸς αὐτὸν, οὔπω τοιαῦτα ἦν, ὥστε τὴν φύσιν ἐκείνην ἐμφαίνειν· ἐπεὶ καὶ προφητῶν ἔργον τοῦτο ἦν· ἀμέλει καὶ Ἐλισσαῖος ἐλέγχει τὸν οἰκεῖον μαθητὴν τὸ χρυσίον λαβόντα παρὰ τοῦ Νεεμὰν, καίτοι γε πλείστῳ τῷ διαστήματι πόῤῥωθεν· ἀλλ' ὅμως καὶ τὸ πρᾶγμα ὅπως ἐγένετο ὑποκάτω τῆς συκῆς πιστεύεις; μείζονα τούτων ὄψει· καὶ οὕτως ἔδειξεν ὅτι οὐδὲν μέγα τὸ παρ' αὐτοῦ λεχθὲν, μηδὲ οὕτω ἱκανὸν ὥστε ἀκριβῶς αὐτὸν ὅστις εἴη παραστῆσαι.

Cap. II. 3. f. 32. Ἄξιον ζητῆσαι πόθεν ἐπῆλθεν τῇ μητρὶ μέγα τι φαντασθῆναι περὶ τοῦ παιδός· σημεῖον γὰρ οὐδὲν ἦν πεποιηκώς· ταύτην γάρ φησιν ἀρχὴν τῶν σημείων ἐποίησεν ἐν Κανᾷ τῆς Γαλιλαίας· εἰ δὲ λέγει τις μὴ εἶναι τοῦτο τεκμήριον ἱκανὸν τοῦ ταύτην ἀρχὴν εἶναι τῶν σημείων ἐγχωρεῖν ἐκεῖ πρῶτον, μὴ μέντοι πάντως πρῶτον· εἰκὸς γὰρ αὐτὸν ἀλλαχοῦ πεποιηκέναι ἕτερα· ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι Ἰωάννης φησὶν ὅτι ἐγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον βαπτίζων· εἰ γὰρ καθ' ἡλικίαν ἐθαυματούργει, οὐκ ἂν ἐδεήθησαν οἱ Ἰσραηλῖται τοῦ αὐτὸν φανερώσαντος· τά τε γὰρ γινόμενα παραδοξότερα ἂν ἔδοξεν εἶναι, ἅτε παρὰ μειρακίου γινόμενα· ἓν δὲ μόνον ἐμαρτύρησεν αὐτῷ ὁ Λουκᾶς, ὅτι ἐκαθέζετο δωδεκαέτης ὢν τῶν διδασκάλων ἀκροώμενος, καὶ διὰ τῆς ἐρωτήσεως ἐδόκει αὐτοῖς θαυμάσιος εἶναι· εἰκότως δὲ καὶ κατὰ λόγον οὐκ ἤρξατο τῶν σημείων ἐκ πρώτης ἡλικίας, ἵνα μὴ δόξωσι φάντασμα εἶναι. Πόθεν οὖν ἐπῆλθεν τῇ μητρὶ μέγα φαντασθῆναι περὶ αὐτοῦ, φησὶν, ἀποκαλύπτεσθαι λοιπὸν ἤρχετο· καὶ ἐξ Ἰωάννου κατάδηλος ἦν, ἐκ τῶν πρὸς τοὺς μαθητὰς εἰρημένων αὐτῷ· καὶ πρὸ τούτου δὲ πάντων, αὐτὴ ἡ σύλληψις, καὶ τὰ περὶ τὴν σύλληψιν γινόμενα, μεγίστην αὐτῇ περὶ τοῦ παιδὸς ἐνέθηκεν τὴν (δόξαν) καὶ ἦν συμβάλλουσα, φησὶ, πάντα ἐν τῇ καρδίᾳ αὐτῆς· ὅτε οὖν οἶδεν ὅτι Ἰωάννης δι' αὐτὸν ἦλθεν καὶ ἐμαρτύρει αὐτῷ, καὶ ὅτι μαθητὰς ἔχεν, τότε λοιπὸν θαῤῥοῦσα παρεκάλει· ἐβούλετο γὰρ ἑαυτὴν λαμπροτέραν ποιῆσαι ἐκείνοις τε χάριν καταθέσθαι· καὶ τάχα γὰρ ἀνθρώπινόν τι ἔπαχε, καθάπερ καὶ οἱ ἀδελφοὶ αὐτοῦ λέγοντες· δεῖξον σεαυτὸν τῷ κόσμῳ· βουλόμενοι τὴν ἐκ τῶν θαυμάτων δόξαν καρπώσασθαι.

v. 9. f. 34. b. Ἀρχιτρίκλινον λέγει τὸν ἐξάρχοντα τῆς ὑπηρεσίας καὶ τῆς εἰς τὸν γάμον παρασκευῆς· εἰκὸς δὲ ἦν καὶ τὸν νυμφίον ἐγκαλούμενον, καὶ ἀκούσαντα διαπορῆσαι, εἰδότα ὡς οὐκ ἦν αὐτῷ οἶνος ἕτερος, καὶ ἐρωτῆσαι μὲν ὅθεν ὁ οἶνος, μαθεῖν δὲ τὸ γεγονός· ἀλλ' ὅμως οὐδὲν

τούτων προσέθηκεν, ἀλλὰ μόνον τοῦτο ἐμνημόνευσεν ὥστε δηλῶσαι οὐ μόνον τὸ ὕδωρ εἰς οἶνον μετεποίησεν, ἀλλὰ γὰρ καὶ εἰς θαυμαστήν τινα φύσιν οἴνου· τὰ μέν τοι λοιπὰ ὡς περιττὰ, μηδὲν τῇ χρείᾳ συμβαλλόμενα παρῃτήσατο.

Ὅλα ταῦτα πρότερα γεγονότα τῆς τοῦ βαπτιστοῦ καθείρξεως τῶν λοιπῶν εὐαγγελιστῶν, Cap. III. 21. f. 45. b.
εὐθὺ μετὰ τοῦ κυρίου βάπτισμα, καὶ τοὺς διαβόλου πειρασμοὺς, Ματθαίου μὲν εἰπόντος, ἀκούσας ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν· εὔδηλον μέν τοι ὅτι καὶ Λουκᾶς τὴν αὐτὴν ἐκείνοις ἀκολουθίαν ἐζήλωσεν τῆς διδασκαλίας, ὡς φαίνεσθαι ὅτι δεῖ καταλειπόντων ἐκείνων τὰ πρὸ τῆς Ἰωάννου καθείρξεως ὑπὸ τοῦ κυρίου γεγονότα, ταῦτα μάλιστα αὐτὸς ἐφρόντισεν· εἰ δέ τις λέγοι, καὶ μὴν ὁ Ματθαῖος εἰπὼν βεβαπτίσθαι τὸν Ἰησοῦν, καὶ τὸ πνεῦμα ἐπ᾽ αὐτὸν καταβεβηκέναι, παραχρῆμα ἐπιφέρει, τότε ἐκβάλλει τὸ πνεῦμα αὐτὸν εἰς τὴν ἔρημον, λεκτέον ὡς ἡ, τότε, λέξις οὐκ ἀεὶ τὸ παραχρῆμα σημαίνει, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ τὰ μετὰ πολὺν χρόνον συμβησόμενα· ὡς τὸ, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν, ὥσπερ καὶ τὸ εὐθύς.

Εἰπὼν ὅτι οὐ δύναται ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ ποιεῖν οὐδὲν, τὴν αἰτίαν ἐπήγαγεν, ἐὰν μή τι Cap. V. 19. f. 67.
βλέπῃ, φησὶ, τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· οὐ γὰρ ἕτερα μὲν τὰ παρ᾽ ἐκείνου γινόμενα, ἕτερα δὲ τὰ παρ᾽ ἐμοῦ· καθ᾽ ὁμοιότητα τῶν παρ᾽ ἐκείνου γινομένων, ἀλλ᾽ ἅπερ ἐκεῖνος ποιεῖ, ταῦτα κἀγὼ ποιῶ, κοινῆς οὔσης τῆς ἐργασίας, τὰ αὐτὰ ἐμοῦ τε κἀκείνου ἐπιτελοῦντος· καὶ οὐκ εἶπεν ἁπλῶς ὅτι ταῦτα καὶ ὁ υἱὸς ποιεῖ, ὥστε μὴ δοκεῖν ὑπηρετούμενον ἐν αὐτοῖς ἐργάζεσθαι, ἀλλὰ προσέθηκεν τὸ ὁμοίως, ὥστε δεῖξαι ὡς οὐ μόνον κοινὰ τὰ ἔργα, ἀλλὰ καὶ τῆς ἐργασίας ὁ τρόπος, καὶ τῆς δυνάμεως, καὶ τοῦ βουλήματος ἡ ταυτότης· ὥστε καλῶς ἔφησε τὸ μὴ δύνασθαι ἀφ᾽ ἑαυτοῦ μηδὲν ποιεῖν· ἔνθα γὰρ κοινά τε τὰ γινόμενα, καὶ τῆς ἐργασίας ὁ τρόπος, πῶς ἂν δυνατὸν διασπᾶσθαι τὴν βουλὴν καὶ τὴν πρόθεσιν τοῦ γινομένου; Τὸ δὲ, ὁ πατὴρ φιλεῖ τὸν υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ, οὕτως ἑρμηνευτέον· ἐπειδήπερ ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς Χριστὸς, ὁ θεὸς ὢν καὶ ἄνθρωπος, καὶ τῷ μὲν θεῷ πάντα προσῆν ἐμφύτως, τῷ δὲ ἀνθρώπῳ πάντα προσεγένετο ὕστερον, διὰ τῆς πρὸς ἐκεῖνο συναφείας, εἰκότως ὡς ἄνθρωπος παρ᾽ αὐτῶν ἐγκαλούμενος ὅτι παραβαίνει τὸ σάββατον, ἀπὸ τῆς τοῦ θεοῦ λόγου ἀξιοπιστίας, τὸ μὴ παραβαίνειν ἀποδείκνυσιν, ἐξεῖναι δὲ αὐτῷ πάντα ποιεῖν ᾧ ἂν βούληται· καὶ διὰ τοῦτο τῆς φύσεως ἐκείνης λέγει τὸ ἀξίωμα· τὴν Ἰουδαίων μέμψιν ἀφορμὴν λαβὼν εἰς τὸ παραδεῖξαι τὴν οἰκείαν φύσιν, καθ᾽ ὅσον ἐνῆν, οἷα τίς ἐστιν· διὰ τοῦτο ἀκολούθως ἐπὶ τὸ ἀνθρώπινον ἐντεῦθεν μεθίσταται, ἐπειδήπερ καὶ πολὺ ἀπᾴδοντα τοῦ φαινομένου τὰ λεγόμενα.

Πῶς οὐκ ἀναβαίνει εἰς τὴν ἑορτὴν, ἀλλὰ πάντων ἐπειγομένων εἰς τὰ Ἱεροσόλυμα, αὐτὸς Cap. VI. 5. f. 73. b.
εἰς τὴν Γαλιλαίαν ἔρχεται; λοιπὸν ὑπεξέλυσε τὸν νόμον, ἀφορμὴν λαμβάνων ἀπὸ τῆς ἰουδαϊκῆς πονηρίας· ἐπισημαίνεται δὲ ὁ εὐαγγελιστὴς καθ᾽ ὃν ἔμελλεν τὸ σημεῖον ποιεῖν, ὡς ἂν φαίνεσθαι ταῦτα πρὸ ὀλίγου τῆς ἑορτῆς γεγενῆσθαί τε καὶ ἡρεῖσθαι ἃ διηγεῖσθαι μέλλει. Καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς ὁρᾷ ὄχλον πολύν· δείκνυσιν ὅτι οὐδέποτε ἁπλῶς ἐκάθητο μετὰ τῶν μαθητῶν, ἀλλ᾽ ἴσως ἀκριβολογούμενος τι πρὸς αὐτοὺς, καὶ ἐπιστρέφων πρὸς ἑαυτὸν, ὃ μάλιστα αὐτοῦ τὴν κηδεμονίαν ἐνδείκνυται, καὶ τὸ ταπεινὸν καὶ τὸ συγκαταβατικὸν τὸ πρὸς ἐκείνους· συνεκάθηντο γὰρ πρὸς ἀλλήλους ὁρῶντες· εἶτα ἀναβλέψας ὁρᾷ τὸν ὄχλον, καὶ τὰ ἑξῆς.

Δύο γὰρ ταῦτα ἐν τοῖς ἀνωτέρω ἔφη, ὅτι τοῦ πιστεῦσαι πάντας προσῆκεν ἐπ᾽ αὐτῷ, καὶ v. 41. f. 79. b.
ὅτι τοῖς πιστεύσασι τῆς αἰωνίου πρόξενος ἐστὶ ζωῆς· καλῶς οὖν ἀμφότερα ἐξήρτησε τοῦ θελήματος τοῦ πατρικοῦ, αὐτοῦ θέλημα εἶναι φήσας, καὶ τὸ πιστεῦσαι πάντας εἰς αὐτὸν, καὶ τὸ πιστεύσαντας τὴν δι᾽ αὐτοῦ κομίσασθαι δωρεάν· ὥστε φανῆναι δι᾽ ἀμφοτέρων αὐτοὺς τῷ θελήματι τοῦ πατρὸς μαχομένους.

Σκληρὸς ἦν ἀληθῶς ὁ λόγος ὁ νομιζόμενος σαρκοφάγους τινὰς καὶ αἱμοβόρους τοὺς v. 61. f. 83. b.
ἀκούοντας ἀποτελεῖν· τοῖς δέ γε πνευματικῶς τὰ πνευματικὰ ἐκλαμβάνουσιν οὐδὲν ἐφαίνετο

σκληρὸν, ἀλλὰ ῥήματα εὐσεβείας ὑπάρχοντα, τὴν αἰώνιον αὐτοῖς πρυτανεύοντα ζωήν (1). Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι γογγύζουσιν ἐν ἑαυτοῖς, καὶ γὰρ καὶ τοῦτο τῆς αὐτοῦ θεότητος, τὸ τὰ ἀπόρρητα φέρειν εἰς μέσον, ἔλεγεν· τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν ἴδετε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; τοῦτο δὲ ἐπὶ τοῦ Ναθαναὴλ ἐποίησεν λέγων, ὅτι εἶπόν σοι ὅτι εἶδόν σε ὑποκάτω συκῆς, καὶ τὰ ἑξῆς· τί οὖν ἀπορίαις ἀπορίας συνάπτεις; οὐχὶ, μὴ γένοιτο· ἀλλὰ τῷ μεγέθει τῶν δογμάτων καὶ τῷ πλήθει ἐπαγάγεσθαι αὐτοὺς βούλεται· ὁ μὲν γὰρ εἰπὼν ἁπλῶς ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, καὶ μηδὲν πλέον προσθεὶς, μᾶλλον ἂν ἐσκανδάλισεν· μᾶλλον δὲ εἰπὼν ὅτι τὸ σῶμα μου ζωὴ τοῦ κόσμου· καὶ ὁ εἰπὼν ὅτι καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ εἰπὼν ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα, τὴν ἀπορίαν λύειν· ὁ μὲν γὰρ ἕν τι μέγα περὶ ἑαυτοῦ φθεγγόμενος, καὶ ὕποπτος γίνεται ὡς πλάττων· ὁ δὲ ταῦτα εἰρηκὼς, ἐφεξῆς πᾶσαν ἀναιρεῖ τὴν ὑποψίαν· πάντα δὲ ποιεῖ καὶ λέγει ὥστε αὐτοὺς ἀπαγαγεῖν τοῦ νομίζειν αὐτοῦ πατέρα τὸν Ἰωσήφ· οὐ τοίνυν τὸ σκάνδαλον ἐπιτεῖναι θέλων τοῦτο ἔλεγεν, ἀλλὰ λῦσαι μᾶλλον· ὁ μὲν γὰρ ἀπὸ τοῦ Ἰωσὴφ αὐτὸν εἶναι νομίζων, οὐκ ἂν παρεδέξατο τὰ λεγόμενα· ὁ δὲ πεισθεὶς ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, καὶ ἐκεῖ ἀναβήσεται, εὐκολώτερον ἂν προσέχει τοῖς λεγομένοις.

Cap. VII. 19. f. 88. Ἐπειδήπερ ἐν τῇ προτέρᾳ ἑορτῇ ἦσαν ἐγκεκληκότες αὐτῷ ἐπὶ τοῦ παραλύτου τὴν τοῦ νόμου παράβασιν, τὴν δοκοῦσαν ἀπολογίαν τῆς ἀπιστίας αὐτῶν ἀνελὼν, τὸν περὶ ἐκείνου λόγον ἀναλαμβάνει πάλιν, καὶ φησί· οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον, ὅτι με ζητεῖτε ἀποκτεῖναι· ἐκεῖνος μὲν γὰρ νομοθετῶν, μιαιφονίας ἀπέχεσθαι κελεύει· ὑμεῖς δὲ ἤδη δι' ἀκρότητα πονηρίας περὶ τῆς ἐμῆς ἀναιρέσεως βουλεύεσθε. Ἢ καὶ οὕτως· ἀλλὰ τὸν Μωσέως, φησὶν, ἐκδικεῖτε νόμον· δείξατε τοίνυν ἐπὶ τῶν ἔργων τοῦ νόμου τὴν φυλακὴν, καὶ εἴπατε τὴν αἰτίαν ἧς ἕνεκα ἀνελεῖν με βούλεσθε, ὃ πάντων ἀνοσιότατον τῷ νόμῳ νενόμισται· οἱ δὲ πρὸς ὕβριν ἀποκριθέντες εἶπον· δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;. ὀργῆς τὸ ῥῆμα καὶ θυμοῦ καὶ ψυχῆς ἀναισθητούσης ἐπὶ τῷ παραδόξως ἐληλέγχθαι. Εἶτα ἄφυκτον βουλόμενοι ἐργάσασθαι τὸν ἐπιβουλευόμενον, διὰ τῆς ἀρνήσεως, τοῦτο ποιοῦσιν· αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι τοῦτο, ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, πάλιν τῆς ἀπολογίας ἅπτεται ὑπὲρ τοῦ σαββάτου, ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτούς· καὶ ὅρα πῶς συνετῶς· οὐδὲν θαυμαστόν, φησιν, εἰ ἐμοῦ παρακούετε, ὅπου γε οὐδὲ αὐτοῦ τοῦ νόμου ἠκούσατε· ἐπειδὴ γὰρ ἔλεγον ὅτι Μωσῇ λελάληκεν ὁ θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν, δείκνυσιν ὅτι καὶ εἰς ἐκεῖνον ὕβριζον.

v. 38. f. 91. Τὸ δαψιλὲς τῆς χάριτος αἰνιττόμενος, ὅπερ ἀλλαχοῦ φησι, πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, τουτέστι πολλὴν ἕξει χάριν, ἀλλαχοῦ μὲν ζωὴν αἰώνιον λέγει, ἐνταῦθα δὲ ὕδωρ ζῶν, τουτέστιν ἐνεργοῦν ἀεί· εἰ γὰρ τοῦ πνεύματος χάρις, ἐπειδὴ εἰς καθαρὰν διάνοιαν ἔλθῃ καὶ ἐνιδρυνθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ διαλιμπάνει, οὐδὲ ἵσταται οὐδὲ κενοῦται· καὶ ἴδοις ἂν τὸ λεγόμενον σαφῶς ἐν τοῖς ἀποστόλοις, πῶς οὐδὲν αὐτοὺς ἐφοβήθη οὐδὲ ὑφίστατο, οὐ δήμων θυμὸς, οὐ τυράννων ἐπαναστάσεις, ἀλλ' ὡς ποταμὸς πολλῷ τῷ ῥοίζῳ φερόμενος, οὕτω πάντα παρασύροντες ἀπῄεσαν.

Cap. VIII. 26. f. 96. Πολλὰ ἔχων ὑμᾶς ἐπὶ πολλοῖς αἰτιᾶσθαι, δικαίως ἂν οὐδὲ τῆς ἐμῆς ἠξίωσα φωνῆς· οὐδὲ γὰρ ὁ πέμψας με ἐνεχείρησεν εἰπεῖν τι ψευδὲς πρὸς ὑμᾶς, ἀληθὴς ὢν κατὰ πάντα, καὶ τῇ ἀληθείᾳ μόνῃ πάντοτε χαίρων· οὔτε δὲ ἐγὼ ἕτερα παρὰ τὰ ἐκείνῳ δοκοῦντα φθέγγομαι· ὥστε δικαίως ὑμῖν ἀπιστοῦσιν ἐγκαλεῖν δυνάμενοι, ὡς πρὸς τὴν ἀλήθειαν ἀπομαχόμενος, δικαίως ἂν καὶ τοῦ λαλεῖν πρὸς ὑμᾶς ἀπέστην.

v. 35. f. 97. Ὥσπερ ὁ δεσπότης ἐκβάλλει τῆς οἰκίας τὸν δοῦλον κακογνωμονοῦντα ὅτε καὶ βούλεται, καὶ τιμωρίαις αὐτὸν ὑποβάλλει ταῖς δοκούσαις αὐτῷ· ὁ δὲ υἱὸς ὡς δεσπότης οὐκ ἔχει τὸν ἐξωθοῦντα·

(1) Hactenus fragmentum apud Corderium sub nomine Theodori heracleotae. At in vat. cod. sub Μοψ. ut semper. Et prosequitur.

ὅμως ὁ μὲν τῇ ἁμαρτίᾳ δεδουλωμένος ἔξω καθεστὼς ἁπάντων ὁμοῦ τῶν παρὰ θεοῦ καλῶν, τῇ διηνεκεῖ τιμωρίᾳ παραδίδοται· ὁ δὲ τῆς ἐλευθερίας ἀπολαύσας καὶ ἐν υἱοῦ τάξει καταστὰς διηνεκεῖ τῶν παρὰ τοῦ θεοῦ ἀγαθῶν δέχεται τὴν ἀπόλαυσιν.

Τοῦτο βούλεται εἰπεῖν· ἀλλ' εἴπω, φησὶν, ὑμῖν τίνος ἕνεκεν οὐ συνίετε τὰ παρ' ἐμοῦ v. 43. f. 99.
λεγόμενα; ἀντὶ τοῦ εἰπεῖν, πρὸς τὸ χεῖρον ῥέπετε· φεύγων τοῦ ἐλέγχου τὸ προφανὲς, ἐκώλυσε τὸν λόγον, ἐπειδὴ, φησὶν, οὐ δύνασθε· εἶτα ὥστε δεῖξαι κατὰ τί οὐ δύνασθε· ἐκείνου γὰρ πρὸς τὸ ψεῦδος ῥέποντος ὅσον ἔχετε τὴν πρὸς αὐτὸν οἰκειότητα, τοσαύτην ἔχειν ὑμᾶς ἀνάγκη πρὸς τὴν ἀλήθειαν τὴν ἀλλοτρίωσιν· ὅταν γὰρ λαλῇ ἀντὶ τοῦ ὁ διάβολος ὁ τοῦ ψεύδους πατὴρ, ὃς ἐπειδήπερ αὐτὸ καὶ γεγέννηκεν· πρῶτος αὐτὸ περιβαλὼν ἐν τῇ πρὸς Ἀδὰμ φωνῇ ἕτερά τε πρὸς αὐτὸν ἀνθ' ἑτέρων εἰπεῖν τῷ ἰδίῳ κέχρηται ἔργῳ· τὸ οὖν ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ, ἵνα εἴπῃ ὅτι καὶ ψεύδει πρῶτος αὐτὸς χρησάμενος, ὡς φαίνεται τὸ ἄρθρον παρεγκείμενον, κατὰ τὴν ἐν τῇ θείᾳ γραφῇ τῆς φράσεως ἀδιαφορίαν· διὰ τοῦτο τοίνυν οἰκείως ἔχοντες πρὸς τὸ ψεῦδος, τὴν παρ' ἐμοῦ λεγομένην ἀλήθειαν εἰκότως οὐ προσίεσθε· τοῦτο δὲ ἀπέδωτο πρὸς τὸ, διὰ τί τὴν ἀλήθειαν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον μου· τὴν γὰρ αἰτίαν εἶπεν δι' ἣν οὐ δύνανται, ὥστε φανῆναι ἐν τῇ αὐτῶν προαιρέσει καὶ οὐκ ἐν τῇ φύσει, τὴν τοῦ πράγματος ἀδυναμίαν κειμένην ἐν τῇ πρὸς τὰ χείρω ῥοπῇ καὶ φιλίᾳ· οὐ προσιεμένων τῶν λεγομένων τὴν ἀλήθειαν· διὰ τοῦτο οὐδὲ συνιέντων τὰ λεγόμενα, ὥσπερ τι συλλογισμοῦ συμπέρασμα τοῦτο ἀπέδωτο τὸ, ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

Εὔλογον μὲν αἰτίαν εἶναι τοῦ συμβάντος ἐπίστευον, καὶ οὐκ ἂν ἁπλῶς αὐτῷ συμβῆναι Cap. IX. 2. f. 102. b.
τὸ πάθος, τοῦ θεοῦ τὸ ἀνθρώπινον ἐπιμελουμένου πραγμάτων· κατὰ δὲ τὴν ἀνθρωπίνην ἀσθένειαν, οὐδὲν πλέον ὑπολαβεῖν δυνηθέντες, τὴν τοῦ συμβάντος αἰτίαν ἐπὶ ἁμαρτίαν μόνην ἀνέφερον, ἤτοι γονέων ἢ καὶ αὐτοῦ πεπονθότος· οὐχ ὡς διὰ τὸ ἁμαρτῆσαι παθόντος, πῶς γὰρ οἷόν τε ἦν ἁμαρτεῖν τὸν μηδέπω γεννηθέντα; ἀλλ' ὡς ἂν διὰ τὸ μέλλειν ἁμαρτάνειν, τοῦ θεοῦ κατὰ πρόγνωσιν αὐτὸν τῷ πάθει περιβαλόντος.

Εἰπὼν ἵνα φανερωθῇ ἡ δόξα τοῦ θεοῦ, περὶ ἑαυτοῦ φησὶν οὐ περὶ τοῦ πατρὸς, ἐκείνου γὰρ ἡ v. 3. f. 103. b
δόξα φανερὰ ἦν· ἐπειδὴ γὰρ ἤκουον ὅτι ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς, διὰ τοῦτο καὶ αὐτὸς ἐποίησεν· τὸ μὲν γὰρ εἰπεῖν ὅτι ἐγώ εἰμι ὁ καὶ τότε πλαστουργήσας τὸν ἄνθρωπον, προσαντὲς ἐδόκει τοῖς ἀκούουσι· διὰ δὲ τοῦ ἔργου τοῦτο δεικνύμενον, οὐκέτι λοιπὸν προσίστατο· διὸ δὴ καὶ αὐτὸς λαβὼν χοῦν ἀπὸ τῆς γῆς, καὶ φυράσας τῷ πτύσματι, οὕτως τὴν κεκρυμμένην αὐτοῦ δόξαν ἐφανέρωσε· οὐ μικρὰ γὰρ δόξα τὸ δημιουργὸν αὐτὸν νομισθῆναι τῆς κτίσεως· εἰ γὰρ περὶ τοῦ μείζονος ἡ κτίσις, καὶ τὸ ἔλαττον ἐβεβαίου· κτίσεως γὰρ ἁπάσης τιμιώτερον ὁ ἄνθρωπος, καὶ τῶν ἐν ἡμῖν μελῶν τιμιώτερον ὁ ὀφθαλμός· οὐχ ὕλης δὲ ἑτέρας τὸν πηλὸν λαμβάνει, ἀλλ' ἑαυτὸν εἶναι διδάσκων δημιουργόν· καὶ νίψας ἀπολύσαι· καὶ ὅτι περὶ ἑαυτοῦ, φησιν, ἵνα φανερωθῇ ἡ δόξα τοῦ θεοῦ, ἐπήγαγεν· ἐμὲ δεῖ ἐργάζεσθαι, τουτέστι δεῖ με φανερῶσαι ἐμαυτὸν καὶ ποιῆσαι τὰ δυνάμενα· δεῖξαι μὲν τὰ αὐτὰ τῷ πατρὶ ποιοῦντα, ὃ μεῖζόν ἐστιν ἀπαραλλαξίας.

Ὅτι μὲν ἡ περὶ τὸν τυφλὸν θεραπεία αὐτῷ τε λυσιτελὴς ἐγένετο, τοῦ πάθους τὴν ἀπαλ- Ibidem.
λαγὴν ἀφορμὴν λαβόντι τῆς τοῦ μονογενοῦς ἐπιγνώσεως, καὶ ἕτεροι δὴ πολλοὶ τὴν ἐπ' αὐτὸν πίστιν ἁπάντων προτιμᾶν ἐπαιδεύθησαν, εὔδηλον· ὅτι δὲ τοῦτο ἔσεσθαι καὶ πρὸς ταῦτα λυσιτελῆ εἶναι τὴν πήρωσιν αὐτοῦ συνέβαινεν, ἅπαντας τοὺς ἀνθρώπους πρὸ τῆς ἐκβάσεως ἀγνοεῖν ἦν ἀνάγκη· οὕτως νῦν ἀπὸ τοῦ παρόντος ἐπιστώσατο τὰ λοιπά· ἐπειδὴ διαφόρως ἐν τοῖς γινομένοις θαύμασιν τὴν οἰκείαν ἀγνωμοσύνην ἐπεδείκνυντο Ἰουδαῖοι ὡς ἐκ τῶν προλαβόντων ἔγνωμεν· μάλιστα δὲ ἐν τῇ τοῦ σαββάτου θεραπεύειν ἡμέρᾳ, καὶ διώκειν αὐτὸν ὡς ἀσεβῆ τινὰ καὶ παράνομον ἐπειρῶντο· σάββατον δὲ ἦν κατ' ἐκείνην τὴν ἡμέραν ὅταν θεραπεύειν ἔμελλεν τὸν ἐκ γενετῆς τυφλόν· ὅθεν καὶ οἱ φαρισαῖοι ἀντιλέγειν πρὸς τὸ θαῦμα

οὐ δυνάμενοι, ἀπὸ τῆς ἡμέρας διαβάλλειν τὸ γεγονὸς ἐπεχειροῦντο λέγοντες· οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ· καλῶς προλαβὼν φησίν· ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με· οἶδα, φησίν, ὅτι μαχήσονται φαρισαῖοι περὶ τῆς ἡμέρας, καὶ ἀσεβῆ καὶ παράνομον ὡς τὸ σάββατον λύοντα ἀποκαλέσουσιν· ἀλλ' οἱ μὲν ταῦτα καὶ λεγέτωσαν καὶ ποιείτωσαν, ἐμὲ δὲ τὰ τοῦ πέμψαντος ἔργα ποιεῖν προσήκει, ταῦτα διαπραττόμενον ἅπερ ἔργα καθέστηκεν ἐκείνου, ἐὰν καὶ τὸν τοῦ ἔργου καιρὸν παρεῖναι συμβαίνει· ἔσται γὰρ καιρὸς ὁπηνίκα παύσασθαι δεῖ με τῶν ἔργων τούτων· ὥσπερ γὰρ τοῖς ἀνθρώποις ἡμέρα τε διακρίνεται καὶ νύξ, καὶ τὴν μὲν ἐργασίας ἐπιτήδειον καιρὸν εἶναι νομίζουσι, τὴν δὲ ἀναπαύσεως, καθ' ἣν οὐδὲ ἐργάσασθαί τι δυνατόν, οὕτω κἀμοὶ καιρὸς τῆς τῶν θαυμάτων ἐργασίας μέχρι τοῦ πάθους, ἐν ᾧ τῶν προκειμένων ἔχεσθαι προσήκει πάντα ἐπιμελοῦντα, ἃ σύμφωνα μέν ἐστι τῇ γνώμῃ τοῦ πατρός· γνωρίζει δὲ τὴν ἐμὴν ἀξίαν, ἥ τις ἐστι· μετὰ δὲ τὸ πάθος ἀνάγκη παύσασθαί με τούτων ἁπάντων, ἀπολιμπάνοντα τὰς ἐπὶ γῆς διατριβάς. Ὅταν ἐν τῷ κόσμῳ ὦ, φησί, φῶς εἰμι τοῦ κόσμου· ἀντὶ τοῦ, ὥσπερ ὁ ἥλιος τὴν ἡμέραν ἀποτελῶν, τοῦ ἔργου τὴν ἀφορμὴν παρέχει τοῖς ἀνθρώποις, κατὰ τόνδε τὸν βίον εἰμί, ὥσπερ ἡμέραν ἀποτελῶν διὰ τῆς οἰκείας παρουσίας, τὰς προσηκούσας θεραπείας ἐπιτελῶ. Ταῦτα περὶ τοῦ θαύματος εἰρηκώς, καὶ δείξας ὅτι τοὺς ἀγανακτοῦντας εἰδώς, οὐκ ἀφίσταται τῶν θαυμάτων, καὶ ὅτι δοκοῦντα καὶ τῷ πατρὶ γίνεται τὰ γινόμενα, καὶ ὅτι μηδὲν ὄφελος ἐκείνοις ἐκ τοῦ διώκειν αὐτὸν γίνεται, οὔτε παθεῖν τι πρὸ τοῦ δέοντος καιροῦ δυναμένου, οὔτε ἄχρι τῆς προθεσμίας ἐκείνης ἀποστησόμενος τῆς τῶν θαυμάτων ἐργασίας, ἐπ' αὐτὴν ὁρμᾷ λοιπὸν τοῦ θαύματος τὴν ἐργασίαν.

v. 17. f. 106. * cod. heic ἑαυτοῦ. Ὅμως ἀπὸ τῆς εἰς ἀλλήλους φιλονεικίας, ἐπὶ τὸν τυφλὸν πάλιν μεθίστανται, ὥσπερ δικαστὴν αὐτὸν τῆς οἰκείας αἱρούμενοι διαφορᾶς, καὶ φασὶ πρὸς αὐτόν· σὺ τί λέγεις περὶ αὐτοῦ * ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; κατὰ ἐρώτησιν δὲ ἐπαναγνωστέον, ἐπισυνάψαντας τὸ σὺ τί λέγεις περὶ αὐτοῦ, καὶ ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; οὐ μὴν διελόντας αὐτό· οὐ γὰρ τοῦτο τὸν τυφλὸν ἠρώτων, εἰ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἤνοιξεν· περιττὸν γὰρ ἦν τοῦτο βλέποντας ἐρωτᾶν, ἀλλὰ τί περὶ αὐτοῦ λέγεις, ὑπὲρ ὧν ἤνοιξέ σου τοὺς ὀφθαλμούς, ὅτι θαυμαστὸς διὰ τὸ γεγενημένον, ἢ παράνομος διὰ τὴν τοῦ σαββάτου λύσιν; ὅθεν καταλλήλως καὶ ὁ τυφλὸς ἀπεκρίνατο, ὅτι προφήτης ἐστίν· ἀντὶ τοῦ, ταύτην ἔχω περὶ αὐτοῦ τὴν δόξαν.

Cap. X. 6. f. 112. Ταυτὶ μὲν παραβολικώτερον εἰπεῖν, ὁ κύριος ἐδικαίωσεν, ὥστε μὴ δοκεῖν φορτικὸν εἶναι, τοιαῦτα μεγαλαυχοῦντα πρὸς αὐτούς· καὶ λέγοντας φανερῶς ὅτι οὐχ ὑμῖν, ἀλλ' ἐμοὶ πρόσεστι μᾶλλον τὸ διδασκαλικὸν ἀξίωμα ἐκ τῶν πραγμάτων αὐτῶν· ἐντεῦθεν δὲ λοιπὸν περὶ ἑαυτοῦ μόνου διηγούμενος· οὐ γὰρ οὕτω φορτικὸν περὶ ἑαυτοῦ λέγειν τινά, καὶ κατὰ παράβασιν ἑτέρων ὑπερφέροντα ἑαυτὸν δεικνύναι, καὶ μάλιστα ἐκείνων πρὸς οὓς διελέγετο· καὶ ταῦτα ἀρχὴν τότε δοκούντων τοῦ λαοῦ σαφέστερον ἄρχεται λέγειν, ὅτι πρόσεστιν αὐτῷ ἡ τοῦ ποιμένος ἀξία.

v. 7. f. 113. Θύραν ἑαυτὸν ὠνόμασεν, οὐκ ἐναντία λέγων ἐκείνοις· διὰ τῆς θύρας ἑαυτὸν εἰσιέναι φησίν· ἐπειδὴ γὰρ πρὸς φαρισαίους διελέγετο κατὰ νόμον ἄρχοντας τοῦ λαοῦ, ὡς ἂν οὐ δικαίως τὸν ποτὲ τυφλὸν ἐκβάλλοντας, εἰκότως ἑαυτὸν συγκρίνων αὐτοῖς κατὰ τὴν νομικὴν ἀγωγήν· ὡς ἂν μᾶλλον αὐτὸς τῆς ἀκριβείας ἐπιμελησάμενος τοῦ νόμου, καὶ διὰ τοῦτο κυριώτερον ἄρχοντα τῶν προβάτων ἑαυτὸν διὰ τῆς θύρας εἰσιέναι ἔφη, ὡς ἂν καὶ αὐτὸς ὑπὸ τὸν νόμον γενόμενος, καὶ τῇ νομικῇ χρησάμενος εἰσόδῳ· ἐνταῦθα δὲ ἑαυτόν φησι τῶν προβάτων εἶναι τὴν θύραν· ὡς ἂν αὐτὸς πᾶσα ἀρχὴ τῆς εἰς τὴν ἀλήθειαν εἰσόδου καθιστάμενος· δι' ἐμοῦ, φησι, εἴ τις εἰσέλθῃ σωθήσεται· καὶ γὰρ οἱ προσιόντες ἐμοί, καὶ τὴν δι' ἐμοῦ προσγινομένην ἀλήθειαν δεχόμενοι, καὶ σωτηρίας ἀπολαύουσιν ἀληθοῦς, καὶ τὸ ἐνδιαιτᾶσθαι τῇ ἀληθείᾳ πολλὴν ἔχουσι τὴν ἄδειαν, δαψιλῶς καὶ τῆς νομῆς ἀπολαύοντες τῶν διδαγμάτων, καὶ τῆς διηνεκοῦς ζωῆς· τοῦτο γὰρ λέγει, ἵνα περισσότερον ἔχωσι, τὴν ἀνάστασιν αἰνιττόμενος· δεῖξαι

ἢ ὅτι κλέπτης ἢ λῃστὴς κατ' ἐκείνους οὐκ ἔστι· βούλεται δεῖξαι λοιπὸν, ὅτι μηδὲ ποιμὴν μι-
σθωτός ἐστιν, ὡς οἱ παρά τινων εἰς τὸ ποιμαίνειν λαμβανόμενοι, ἀλλ' ὡς δεσπότης καὶ ἴδια
ποιμένων· τοῦτο δὲ καὶ κατὰ παράθεσιν τῶν τε φαρισαίων καὶ τῶν γραμματέων δείκνυσι καὶ ὅλως
τῶν κατὰ νόμον ἀρχὴν δοκούντων, οἳ κλέπται μὲν καὶ λῃσταὶ χρηματίζοντες, οὐκ ἠδύναντο
ἀκολουθῆσαι τινὶ, δοκοῦντες τὴν ἀρχὴν ἐγχειρίζεσθαι τοῦ λαοῦ· ὡς δεσπόται δὲ οὐκ ἐποίμαινον,
ἀλλ' ὡς μισθωτοὶ παρὰ τοῦ δεσπότου πρὸς καιρὸν ληφθέντες· ὥστε τοίνυν δεῖξαι, ὅτι μηδὲ
κατ' αὐτοὺς ποιμήν ἐστι τῶν προβάτων, φησὶν ὅτι ὁ μὲν μισθωτὸς, οὗ οὐκ εἰσὶ τὰ πρόβατα
ἴδια, ἂν ἴδῃ τὸν λύκον ἐρχόμενον, τῶν προβάτων ἀμελήσας, μόνης τῆς οἰκείας φροντίζει
σωτηρίας· μισθωτὸς γὰρ ὢν, ὑπὲρ ἀλλοτρίων κινδυνεύειν οὐκ ἀνέχεται.

Ad v. 22. fragmentum est apud Corderium, sed deest ibi clausula: ἢ καὶ τὴν v. 22. f. 115. b.
πρώτην φησὶν ἑορτὴν, καθ' ἣν ἐτέλεσε τὰ ἐγκαίνια ὁ Σαλομών.

Ὃ λέγει, τοῦτό ἐστιν· εἰ οἱ χάριτι τοῦτο λαβόντες οὐκ ἐγκαλοῦνται θεοὺς ἑαυτοὺς ὀνομά- v. 35. f. 117. b.
ζοντες, καὶ ταῦτα λόγου ψιλοῦ γενομένου, οὐ γὰρ εἰς φύσιν θεοῦ κατέστησαν, ἀλλὰ ψιλῇ χάριτι
τὴν φωνὴν ἐδέξαντο τοῦ θεοῦ· τοῦτο δὲ οὐ περὶ τῶν κριτῶν εἴρηται μόνων, ἀλλὰ καὶ περὶ πάντων
τῶν τοῦ θεοῦ δεξαμένων λόγον.

Ἐπισημαίνεται ὅτι αὐτὴ ἡ Μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ· σαφῶς ἐνδεικνύμενος Cap. XI. 2. f. 120.
ὅτι ἐν παρέργῳ τὴν γυναικῶν εἰπεῖν βούλεται τὴν ἀρετὴν, συντελοῦσαν εἰς παιδείαν τοῖς
ἐντυγχάνουσι· τὸ μὲν οὖν πρᾶγμα γέγονεν ὕστερον τοῖς κατὰ τὸν Λάζαρον· καὶ τοῦτο δείκνυσιν
ὁ εὐαγγελιστὴς, ὕστερον αὐτὸ λέγων· ἐπειδὴ δὲ ἔμελλεν μνημονεύειν καὶ τούτου κατὰ τὴν ἀκολου-
θίαν ὡς γεγονότος, προλαβὼν ὡς τοῦ μέλλοντος σαφηνίσας, τίς ἡ γυνὴ ὑπὲρ ἧς ἐνταῦθα
λέγει, ἐπισημαίνεται ὅτι αὐτὴ ἡ κἀκεῖνο ἐργασαμένη, καὶ νῦν ἐπὶ τοῦ Λαζάρου. Τὸ δὲ, ἴδε v. 3.
ὃν φιλεῖς ἀσθενεῖ, πολλῆς πίστεως ἀπόδειξιν ἔχει· οὕτω γὰρ ᾔδεισαν πολλὴν προσεῖναι τῷ
κυρίῳ δύναμιν, ὡς θαυμάζειν ὅτι καθῆκετο ἀσθένειαν ἀνδρὸς φιλουμένου παρ' αὐτῷ.
Ἐκεῖνο δὲ θαυμαστὸν, εἰ τοῦ Λαζάρου τελευτήσαντος, ὁ κύριος οὐ πρὸς θάνατον εἶναι φησὶ v. 4.
τὴν ἀσθένειαν· οὐ γὰρ ἦν αὐτῷ θάνατος μετὰ βραχὺ μέλλοντι πάντως ἀνίστασθαι, ὅπερ φα-
νερὸν ποιήσει μικρὸν ὕστερον, ὕπνον καλῶν καὶ οὐ θάνατον. Τούτοις προστίθησιν ὁ εὐαγγελι- v. 5.
στὴς, ὅτι ἠγάπα ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν Μαρίαν καὶ τὸν Λάζαρον· εἰς τὸ δεῖξαι τῶν
ἀνθρώπων τὴν ἀρετὴν, σύμφωνον ἐχόντων τῶν περὶ τοῦτο τὴν γνώμην.

Ad v. 6. fragmentum est apud Corderium; sed deest ibi clausula haec: τίς δὲ v. 7. f. 120. b.
οὐκ ἂν ὠφεληθείη ἀσκῶν εἶναι Ἰησοῦ μαθητὴς, ὁμόσε χωρεῖν τοῖς κινδύνοις ὑπὲρ σωτηρίας
καὶ τοῖς τῶν παρατήρησιν ἀνθρώποις ἀπεγνωσμένων;

Συνετῶς σφόδρα καὶ τὸ λάθρα ἐκάλεσε τὴν ἀδελφὴν, διὰ τὸ παρεῖναι τοὺς Ἰουδαίους, v. 28. f. 124.
οὓς ᾔδει καὶ πρὸς μόνην τὴν ἀκοὴν φορτικῶς διακειμένους· ἐκείνη γοῦν, φησὶ, μετὰ πολλῆς
ἐγείρεται τῆς ταχύτητος, ὥστε πρὸς τὸν κύριον ἐλθεῖν· οὐ γὰρ ἐληλύθει πρὸς τὴν κώμην ὁ
Ἰησοῦς, ἀλλ' ἐν ἐκείνῳ ἦν τῷ τόπῳ, ἐν ᾧπερ καὶ τὴν Μάρθαν ὑπαντῆσαι συνέβη· οἱ μὲν
οὖν παρόντες Ἰουδαῖοι καὶ παραμυθούμενοι διὰ τὸ πένθος, μετὰ πολλῆς ἀναστᾶσαν θεα-
σάμενοι τῆς ὀξύτητος, καὶ οἰηθέντες ἀπιέναι ἐπὶ τὸ κλαῦσαι τὸν νεκρὸν, ἠκολούθουν ὡς
καθέξοντες μή πού τι καὶ ἀπρεπὲς ὑπὸ πάθους ποιῆσαι προαχθῇ· ᾠκονόμητο δὲ τοῦτο εἰς τὸ
ἄκοντας παραγενέσθαι, καὶ μαρτυρῆσαι τῷ μέλλοντι γενέσθαι θαύματι. Ἡ μέντοι γε Μαρία
παραγενομένη πρὸς τὸν κύριον, εὐθὺς ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, τὰ αὐτὰ λέγουσα
τῇ Μάρθᾳ· οὐκ εἶπεν ὅτι τοῖς ποσὶ προσέπεσεν, ἀλλ' ὅτι ὑπήντησεν μόνον· οὐδὲ ὅτι
ταχέως καὶ σπουδαίως προσέδραμεν· τῇ γὰρ Μαρίᾳ καὶ τοῦτο δέδωκεν ὁ εὐαγγελιστὴς ἐπὶ τῇ
Μάρθᾳ προειρηκὼς ψιλῶς τὸ, ὅτι ὑπήντησεν αὐτῷ· τοῦ δὲ ἐλθεῖν τὸ ὑπαντῆσαι ὑποδεέ-
στερον· ὡς φαίνεσθαι διὰ πολλῶν τὴν Μαρίαν πλείονα τὴν ἀγάπην περὶ τὸν Ἰησοῦν ἔχουσαν.

Τοῦτο δέ ἐστιν ἀπιστούσης· συνεβάλλετο δὲ πρὸς ἀπόδειξιν τοῦ θαύματος· ὅσῳ γὰρ v. 39. f. 126.
ἐφαίνετο λυθεὶς τὸ σῶμα, καὶ κατὰ φύσιν τὴν μεταβολὴν ἐπιδεξάμενος, τοσοῦτον μᾶλλον

ἐδείκνυτο τὸ περὶ αὐτὸν γινόμενον· διὸ καὶ ὁ κύριος ὀνειδίζων αὐτῇ φησίν· οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς ὄψει τὴν δύναμιν τοῦ θεοῦ; τοῖς μὲν μαθηταῖς ἔφη ἵνα δοξασθῇ ἐν αὐτῇ ὁ υἱὸς τοῦ θεοῦ περὶ τοῦ πάθους ἔφη· ὁρᾷς ὅτι ἡ ἀσθένεια τῶν ἀκουόντων τῆς διαφορᾶς τῶν λεγομένων αἰτία ἦν; ἄλλως δὲ ἡ τοῦ υἱοῦ δόξα τοῦ πάθους ἐστί· μιᾶς γὰρ οὔσης δόξης, τοῦ θεοῦ ἐστὶν ἡ δόξα· ἀναμιμνήσκει δὲ ὧν διελέχθη πρὸς αὐτὴν, σχεδὸν ἐπιτιμῶν ὡς ἀμνημονούσης· οὐ γὰρ ἐβούλετο τέως ταράξαι τοὺς θεατάς.

Cap. XII. 3. f. 131. Ταῦτα διηγούμενος ὁ εὐαγγελιστὴς Ματθαῖος, σφόδρα διεξοδικῶς τὴν μνήμην αὐτοῦ ἐποιήσατο· οὔτε γὰρ τὴν ἀλείψασαν τῷ μύρῳ ἥτις ἐστὶν ἔφη, ἀλλ' ἁπλῶς καὶ ἀνωνύμως γυναῖκα ἐκάλεσεν· οὔτε τὸν αἰτιασάμενον, ὅτι Ἰούδας· ἀλλ' ἁπλῶς κοινὴν αὐτὴν ἔφη τῶν μαθητῶν γενέσθαι φωνὴν, ἁπάντων κατηγορῆσαι βουλόμενος· ἀλλ' ἁπλούστερον περὶ τὴν διήγησιν ὁρμήσας ὁ μέντοι μακάριος Ἰωάννης κἂν τούτῳ τῆς περὶ τὸν Χριστὸν ἀγάπης τὴν ἐπιστασίαν ἐπεδείξατο· οὔτε γὰρ ἀμνημονῆσαι τῆς γυναικὸς ἠνέσχετο, καὶ τοῦ προδότου τὸν τρόπον φανερῶς ἐξεκάλυψεν· κἀκεῖνο δὲ ἐπισημαντέον, ὅτι Ματθαῖος μὲν εἶπεν ὡς ἐπὶ τῆς κεφαλῆς ἐξέχεεν τὸ μύρον, Ἰωάννης δὲ ὅτι τοὺς πόδας ἤλειψεν καὶ ἐξέμασσε ταῖς θριξίν· ὡς δῆλον εἶναι ἐντεῦθεν ὅτι ἀμφότερα γέγονεν· ἀλλ' ὁ μὲν μόνην ἔφη τὴν κεφαλὴν ἀπεριεργότερον· ὁ δὲ τοὺς πόδας, τὸ παραλειφθὲν ἐκεῖνο εἰπών· ὃ μᾶλλον καὶ πολλὴν εἶχε τὴν ἀπόδειξιν τῆς περὶ τὸν Χριστὸν ἀγάπης· εἴρηται δὲ ἐν τοῖς εἰς τὸ κατὰ Ματθαῖον ὑπομνήμασι (1) ὅπως οἱ ἐξηγησάμενοι τὰ εὐαγγέλια διαφόρους φασὶν εἶναι τὰς γυναῖκας, οὐ τὴν αὐτὴν παρὰ Ματθαίῳ καὶ Μάρκῳ καὶ Ἰωάννῃ· καὶ ὁ βουλόμενος, ἐκεῖνα ἐντυγχανέτω, καὶ γνώσεται τὰς περὶ τούτων διαφοράς.

v. 13. f. 132. Ὁρᾷς ὅτι τοῦτο μάλιστα αὐτοὺς ἀπέπνιγε τὸ πεισθῆναι πάντως ὅτι οὐκ ἔστιν ἀντίθεος· καὶ τοῦτο μάλιστα ἤρρει τὸν δῆμον τὸ λέγειν αὐτὸν παρὰ τοῦ πατρὸς ἥκειν· διὰ τοῦτο καὶ αὐτοὶ ἐβόων, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, τουτέστι μὴ φοβοῦ θύγατερ Σιών· ἐπειδὴ πάντες αὐτῶν οἱ βασιλεῖς ὡς ἐπὶ τὸ πολὺ ἄδικοι τινὲς ἦσαν πλεονέκται, καὶ παρέδωκαν αὐτοῖς τοῖς ἐχθροῖς, καὶ τὸ πλῆθος διέστρεφον καὶ ὑποθυμίους ἐποίουν τοῖς πολεμίοις· θάρρει, φησίν, ὡς οὐ τοιοῦτος, ἀλλὰ πρᾶος καὶ ἐπιεικής· καὶ δείκνυται ἀπὸ ὄνου· οὐ γὰρ στρατόπεδον ἐπισυρόμενος εἰσῆλθεν, ἀλλ' ὄνον ἔχων μόνον.

v. 16. Ὁρᾷς ὅτι τὰ πλείονα ἀγνοοῦντες ἐποίουν, καὶ αὐτὸς οὐκ ἀπεκάλυψεν· καὶ γὰρ ὅτε εἶπεν λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, οὐδὲ τοῦτο ᾔδεισαν· ἀλλὰ τοῦτο μὲν εἰκότως ἐκρύπτετο, ὡς μεῖζον ὂν ἢ κατ' αὐτούς· διὸ καὶ ἕτερος εὐαγγελιστὴς λέγει, ὅτι καθ' ἕκαστον ἤλγουν καὶ ἦσαν ἐν κατηφείᾳ· τοῦτο δὲ ἔπασχον ἐκ τοῦ μὴ εἰδέναι τὸν περὶ ἀναστάσεως λόγον.

v. 21. f. 132. b. Ἐπειδὴ διὰ τῶν ἑκάστοτε γινομένων περὶ τοὺς Ἰουδαίους θαυμάτων σφόδρα καὶ τὸν ναὸν αὐτὸν σεπτὸν εἶναι συνέβαινεν, πολλοὶ καὶ τῶν ἑλλήνων, εἰ καὶ μὴ πάντες, μετεῖχον τῶν νομίμων· ἀνίεσαν γοῦν τῷ θεῷ προσκυνήσοντες, καὶ τῆς ἑορτῆς καθ' ὅσον οἷόν τε μεθέξοντες· ἐγγὺς ὄντες λοιπὸν τοῦ προσήλυτοι γενέσθαι· τῆς φήμης οὖν ἀποδοθείσης, οὗτοι προσῆλθον Φιλίππῳ καὶ ἠρώτων αὐτὸν λέγοντες, κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν· ὁ δὲ Φίλιππος παραχωρεῖ τῷ Ἀνδρέᾳ ἅτε πρὸ αὐτοῦ ὄντι, καὶ τὸ πρᾶγμα αὐτῷ κοινοῦται· ἀλλ' οὐδὲ οὗτος αὐτὸς αὐθεντεῖ· ἤκουσεν γὰρ ὅτι εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· διὰ τοῦτο μετὰ τοῦ μαθητοῦ κοινωσάμενος, τῷ διδασκάλῳ ἀναφέρουσι· ἀμφότεροι γὰρ εἶπον αὐτῷ· ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα· καιρός ἐστι φησὶν ἐπὶ τὸ πάθος ἐλθεῖν, πάντων πεπληρωμένων· ἐπεὶ οὖν ἔμελλεν ἀφιέναι τοὺς μαθητὰς ἐπὶ τὰ ἔθνη λοιπὸν ἰέναι μετὰ τὸν σταυρὸν, ὁρᾷ δὲ αὐτοὺς προπηδῶντας, φησίν· καιρός ἐστιν ἐπὶ τὸν σταυρὸν ἐλθεῖν· οὐ πρότερον γὰρ αὐτοὺς εἴασεν, ἵν' ᾖ εἰς μαρτύριον αὐτοῖς· ἕως γὰρ διὰ τῶν ἔργων αὐτὸν διεκρού-

(1) Citat ergo suos in Matthaeum commentarios Mopsuestenus, qui pariter iamdiu vixerunt.

σαντο καὶ ἐσταύρωσαν, οὐκ εἶπεν πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, ἀλλ᾽ εἰς ὁδὸν
ἐθνῶν μὴ ἀπέλθητε· ἐπεὶ δὲ ἐσταύρωσαν αὐτὸν, τότε λοιπὸν ἀφῆκεν αὐτούς. Τί δέ ἐστιν ὁ v. 24.
κόκκος τοῦ σίτου; περὶ τοῦ σταυροῦ λέγει· ἵνα γὰρ μὴ θορυβῶνται ἐννοοῦντες, ὅτι ὅτε καὶ Ἕλληνες
προσῆλθον, τότε ἀνῃρέθη λέγει· αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοὺς ποιήσει προσελθεῖν
καὶ αὐξῆσαι τὸ ἐμὸν κήρυγμα· εἶτα ἐπειδὴ ἀπὸ λόγων οὐκ ἔπειθεν, ἀπὸ τῶν πραγμά-
των αὐτὸ πεῖρας μεθοδεύει λέγων· ἐπεὶ καὶ ἐν τῷ σίτῳ τοῦτο γίνεται, μᾶλλον φέρει καρπὸν
ὅταν ἀποθάνῃ· εἰ δὲ ἐν τοῖς σπέρμασιν τοῦτο, πολλῷ μᾶλλον ἐν ἐμοί· ἀλλ᾽ οὐκ ᾔδεισαν
οἱ μαθηταὶ τὰ λεγόμενα· διὸ συνεχῶς αὐτὸ τίθησι ὁ εὐαγγελιστὴς ἀπολογούμενος ὑπὲρ
τῆς μετὰ ταῦτα φυγῆς.

Προτρέπει ἀκολουθεῖν μιμουμένους τὸν βίον καὶ τὴν πολιτείαν αὐτοῦ ζηλοῦντας καὶ τὴν ἀρετήν· v. 26. f. 133.
καὶ εἴποιμι δ᾽ ἂν πάντα τὸν ὁποιονοῦν κατὰ λόγον θεοῦ πράττοντα διακονεῖν τῷ λόγῳ καὶ
ὑπηρετεῖν τῷ υἱῷ τοῦ θεοῦ, καὶ ἀκολουθεῖν αὐτῷ μηδὲν ἀλόγως πράττοντα· οὐ γὰρ ἁπλῶς
περιπατοῦσι ἕπεσθαι διακελεύει· πολλοὶ γὰρ ἦσαν τῶν ἀσεβῶν συμπεριπατοῦντες αὐτῷ
καὶ ἀκολουθοῦντες, ἵνα ἢ λόγῳ παγιδεύσωσιν, ἢ ῥήματι αὐτοῦ λαβέσθαι δυνηθῶσι· τοῖς δὲ
μαθηταῖς κατ᾽ ἴχνος αὐτοῦ τῆς ἀρετῆς καὶ τῆς ἐνθέου πολιτείας ἀκολουθοῦσιν· αὐτόθεν ἐπαγ-
γέλλεται τὴν κατ᾽ οὐρανὸν οἴκησιν· ὅπου γάρ, φησιν, ἐγώ εἰμι, τουτέστιν ἐν τῷ οὐρανῷ, ἐκεῖ
καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· ἐάν τις ἐμοὶ διακονεῖ, τιμήσει αὐτὸν ὁ πατήρ.

Ταῦτα φησὶν αἰτῶ, ἃ πολλῆς αἰτία γίνεται δόξης· ὡς οὕτω προσῆκεν καὶ ὑμᾶς μὴ v. 27. f. 134. b.
πρὸς τὸν θάνατον δειλιᾶν, ἀλλ᾽ ἐκεῖνα πράττειν ἃ τῷ θεῷ ἀρεστὰ καθέστηκεν. Ταῦτα εἰρη- v. 28.
κότος τοῦ κυρίου, ἐγένετο φωνὴ ἐκ τοῦ οὐρανοῦ εἰς μείζονα πίστωσιν τὴν πρὸς τοὺς μαθητὰς
εἰρημένων· δῆλον δὲ ὅτι ἀσημοτέρα ἡ φωνὴ ἐγένετο, καὶ διὰ τοῦτο σχίζεται τὸ πλῆθος,
τοῖς μὲν ἄγγελον, τοῖς δὲ βροντὴν νομιζόντων, ἤχῳ μᾶλλον τοὺς παρόντας πλήξασα·
τοῖς δὲ μαθηταῖς ἴσως, πρὸς οὓς καὶ ὁ λόγος ἐγένετο, τοῦ κυρίου καταφανὲς τὸ εἰρημένον
τῆς ἀποκαλύψεως κατέστη.

Παράδειγμα ἔδειξεν ὅτι πειραθῆναι δεῖ τοῦ θανάτου, καὶ ὅτι οὐ μένει ἀποθανὼν, v. 35. f. 136. b.
φῶς ἑαυτὸν ὀνομάσας· ὥσπερ γὰρ τὸ ἡλιακὸν τοῦτο φῶς, φησὶν, ἀποχωροῦν τοῖς οὐχ ὁρῶσι,
οὐδὲ εἶναι δοκεῖ, οὐ μὴν ἀποσβέννυται πάντη καὶ ἀπόλλυται, μένει δὲ ἐν τῷ οἴκῳ φύσει τε
καὶ ὑπάρξει, καὶ κατὰ καιρὸν ἀναφαινόμενον τὸν προσήκοντα, οὕτω δή τι καὶ περὶ ἐμοῦ νομί-
ζεται. Σκοτίαν δὲ δυνατὸν λέγειν καὶ τὴν ἐν τῷ μέλλοντι αἰῶνι τῶν ἀσεβῶν κατάκρισιν.

Πέτρου οἰηθέντος ἀπὸ τῆς φωνῆς ἐν βαπτίσματος χώρᾳ νίπτεσθαι, καὶ διὰ τοῦτο τὴν Cap. XIII. 10. f. 144.
πρὸς τὸν κύριον αὐτοῦ κοινωνίαν γίνεσθαι, καὶ φήσαντος ὅλον με λοῦσον εἰ ταῦτα οὕτως
ἔχει, διορθούμενος αὐτοῦ τὴν ἄγνοιαν, φησὶν ὁ σωτήρ· ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς
πόδας νίψασθαι.

Τὸ ἔτι μικρὸν χρόνον μεθ᾽ ὑμῶν εἰμὶ, φησὶ τὸν μέχρι πάθους καιρόν· τοῖς μὲν Ἰου- v. 33. f. 147.
δαίοις εἰπὼν ζητήσετέ με, ἐπήγαγεν καὶ οὐχ εὑρήσετε, ἐπειδὴ μὴ ἔμελλον αὐτὸν ὁρᾶν ἔτι·
τοῖς δὲ μαθηταῖς, ζητήσατέ με φησι· καὶ γὰρ ἐζήτουν ὡς εἰκὸς, τὸ μὲν ἀπὸ τῆς διαθέσεως
κινούμενοι, τὸ δὲ τοσούτου διδασκάλου καὶ κηδεμόνος ὁρῶντες ἑαυτοὺς ἐστερημένους· ἀλλ᾽
ὥσπερ, φησὶ, τοῖς Ἰουδαίοις εἶπον, ὅτι μὴ δύνανται ἐλθεῖν ὅπου ὑπάγει, οὕτω καὶ ὑμῖν
λέγω ἄρτι· καλῶς δὲ τὸ ἄρτι προστεθεικώς· τὸ μὲν γὰρ μὴ δύνασθαι ἀπελθεῖν ὅπου περ
ὑπῆγεν, λέγει τὸ μὴ φέρειν αὐτοὺς ὁμοίως αὐτῷ κατατολμᾶν τοῦ θανάτου· ἀμέλει πάντες
μὲν ἔφυγον, Πέτρος δὲ μεθ᾽ ὅρκου ἠρνήσατο· προσέθηκε δὲ τὸ ἄρτι, δεικνὺς ὅτι ὕστερον
σφόδρα τοῦ θανάτου καὶ τῶν κινδύνων καταθαῤῥήσειν· μετὰ γὰρ τὴν τοῦ πνεύματος κάθοδον,
ἔτι καὶ ἔχαιρον πάσχοντες ὑπὲρ Χριστὸν, βεβαίαν ἅπαξ περὶ τῶν μελλόντων τὴν πίστιν δεξά-
μενοι· ὥστε, φησὶ, κἂν ὑπὸ τῆς διαθέσεως κινούμενοι ζητεῖτε, οἶδα γὰρ ὅτι τοῦτο ὑμῖν προσ-
έσται τῆς περὶ ἐμὲ ἀγάπης, ἀλλ᾽ οὔπω δύνασθε νῦν ἔργῳ τὴν διάθεσιν ἐπιδείξασθαι, τῆς φυσι-
κῆς ἀσθενείας ἀποδειλιᾶν ὑμᾶς παρασκευαζούσης πρὸς τὸν θάνατον.

Cap. XIV. 1. f. 148. b. Ταῦτα πρὸς τὸν κορυφαῖον τοῦ κυρίου εἰρηκότος, ἀμφιβάλλειν οὐκ ἔχονται περὶ τῶν εἰρημένων οἱ λοιποὶ μείζονα περὶ ἑαυτῶν τὸν ἀγῶνα ἐσχηκότα, οὐκέτι χρηστὸν οὐδὲν ἐλπίζειν ἠδύναντο, οἰόμενοι πάντως διὰ τῆς ἀρνήσεως, ἔξω πάντων ὁμοῦ τῶν ἐλπιζομένων ἀγαθῶν καταστήσεσθαι· τοῦτο λύων αὐτοῖς τὸ δέος, ἀπὸ τοῦ Πέτρου πάλιν ἐπὶ πάντας τὸν λόγον μεθίστησι, καὶ φησί· μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· ἀντὶ τοῦ, ἀπὸ τῶν εἰρημένων εἰς ἀπόγνωσιν ἐμπεσόντες ταράσσησθε τὴν ψυχήν· τῆς θεότητος αὐτοῦ τὴν δύναμιν ἐνδεικνύμενος, ὅτι ἃ κατὰ τὴν ψυχὴν εἶχον ἐκεῖνοι, ταῦτα οἶδεν εἰς μέσον ἀγαγεῖν.

v. 2. f. 149. Μονὴν εἶπεν τὴν διηνεκῆ τῶν ἀγαθῶν ἀπόλαυσιν, ἀπὸ τοῦ ἐν οἰκίαις ἡμᾶς πᾶσαν ἄνεσιν καὶ ἀπόλαυσιν ἔχειν· καὶ ἐπειδὴ ἔθος ἐστὶ τοῖς ἀνθρώποις, ἔνθα μάλιστα πολλὴν εἶναι τῶν τόπων συμβαίνει τὴν στένωσιν προκαταλαμβάνεσθαι τοὺς τόπους, ἐντεῦθεν ἠβουλήθη εἰπεῖν ὅτι τάχα ἂν ὑμῖν κἀκεῖνο τὸ παρὰ τοῖς ἀνθρώποις κρατοῦν εἶπον, εἰ μὴ πολλή τις ἡ ἀπόλαυσις τοῖς μὴ βουλομένοις, ὅταν μὴ ἐκ ποδῶν τῶν προσδοκωμένων ἀγαθῶν καταστῇ.

v. 6. Οὐ χρεία πόνων ὑμῖν, φησίν, πρὸς τὸ γνῶναι τὴν ὁδόν· τῆς ἐμῆς ἔχεσθε γνώμης, καὶ δι' ἐμοῦ γνώσεσθε μὲν τὴν ἀλήθειαν, τεύξεσθε δὲ καὶ τῆς αἰωνίου ζωῆς, μεθέξετε δὲ κἀκείνων τῶν ἀγαθῶν, ἔσομαι δὲ ὑμῖν ἐν ὁδοῦ τάξει, δι' ἐμοῦ χειραγωγουμένων ὑμῶν πρὸς τὴν τῶν προσδοκωμένων ἀπόλαυσιν· καὶ ἔτι σφίγγων τὰ εἰρημένα φησίν· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ· οὐδὲ γὰρ δύναται γνῶναι τὸν πατέρα, ἢ τὴν πρὸς αὐτὸν γνῶσιν καὶ οἰκείωσιν ἑτέρως δέξασθαι.

v. 10. f. 151. b. Τὸ ἴσον τῆς ἀντιστροφῆς *etc. ut apud Corderium, cui tamen deest sequens clausula:* εἶδες ἐγγύτητος ὑπερβολήν, καὶ μιᾶς οὐσίας ὑπόδειγμα· τοσαύτην ἔχων πρὸς αὐτὸν οὐσιώδη τὴν ἐμφέρειαν, ὡς αὐτοῦ τὰς ἐμὰς εἶναι φωνάς· καὶ ἅπερ ἂν δρῶ ἐγώ, ταῦτα αὐτοῦ πιστεύεσθαι εἶναι κατορθώματα.

v. 20. f. 154. Τότε ἀπ' αὐτῶν μαθήσεσθε τῶν πραγμάτων ὅτι ἀληθῆ τὰ παρ' ἐμοῦ λεγόμενα, ὅτι ἐγὼ μὲν ἐν τῷ πατρὶ διὰ τῆς πρὸς αὐτὸν ὁμοιότητος καὶ συναφείας· ὑμεῖς δὲ ἐν ἐμοὶ διὰ τῆς εἰς ἐμὲ πίστεως καὶ ἀγάπης, ἔτι καὶ τῆς τοῦ πνεύματος δυνάμεως τὴν πρὸς ἐμὲ κοινωνίαν λαμβάνοντες· κἀγὼ δὲ νῦν ὑμῖν ὡς εἰκός· ἡ γὰρ συνάφεια τοῦτο παρασκευάζει ὥστε ἀναγεννηθέντων ὑμῶν τῇ δυνάμει τοῦ πνεύματος, καὶ ἐν τάξει μοι σώματος γενομένων, κεφαλῆς χώραν ὑμῖν ἐπέχειν ἐμέ· πᾶς δὲ ὁ ἀγαπῶν με καὶ φυλάσσων τὰς ἐντολάς, ἀπολαύσει μὲν τῆς παρ' ἐμοῦ τε καὶ τοῦ πατρὸς ἀγάπης, τεύξεται δέ μου καὶ τῆς κατὰ τὴν ἐπίγνωσιν ὄψεως· μηδὲν ἐλαττούμενος ἀπὸ τοῦ μὴ σωματικῶς ἰδεῖν· ἐπεὶ καὶ τούτοις ἐν τῷ καιρῷ τῆς ἀναστάσεως ἀπολαύσει, ἐξ οὐρανοῦ με παραγινόμενον ὀψόμενος.

Cap. XV. 4. f. 157. b. Ὥσπερ ἡ ἄμπελος, φησίν, ἐπὶ τῆς γῆς καταβληθεῖσα οἰκείαν ἔχει τὴν ζωήν, ἣν ἀπὸ τῆς γῆς ἅπαξ ἐδέξατο, κλήματα δὲ ἐκδίδωσιν, ἀναφέρει μὲν τὸν οἰκεῖον καρπὸν μέχρις ἂν ἐν τῷ φυτῷ μένειν συμβαίνῃ, ἀφαιρεθέντα δέ, οὐκέτι τὸν καρπὸν δίδωσι, οὕτω καὶ ἐφ' ὑμῶν νομιστέον, ὅτι ἀμπέλου μὲν τάξιν ἐπέχουσι· πρῶτος πᾶσαν ἐν ἑαυτῷ τὴν χάριν δεξάμενος κατὰ τὴν κοινωνίαν· κλήματα δὲ ὑμεῖς τῇ ἀναγεννήσει τοῦ πνεύματος ἐμοὶ συναπτόμενοι, *etc. Reliqua fragmenti pars legitur apud Corderium.*

Cap. XVII. 1. f. 170. Βούλεται εἰπεῖν ὅτι δῆλόν σε πᾶσιν ἐποίησα τοῖς ἀνθρώποις, οὐδενὶ βασκήνας τῆς διδασκαλίας· οὐ μὴν πάντες ὁμοίως ἐπίστευσαν· ἀλλ' ἡ μὲν ἐμὴ φιλοτιμία, πάντας μαθεῖν ἐβούλετο· ἡ δὲ προαίρεσις, τοὺς οἰκείους διέκρινεν· ἀπὸ γὰρ τοῦ κόσμου παντὸς οἱ ἀληθῶς προσήκοντες τῇ τῆς γνώμης σου οἰκειότητι, οὗτοι τοῖς ἐμοῖς λόγοις ἐπίστευσαν· ταῦτα δὲ πρὸς βεβαίωσιν ἔφη τῶν μαθητῶν.

Cap. XVIII. 31. Εἰ μὲν ἑαυτοῖς, φησίν, ἐπιτρέπετε τὴν κρίσιν, αὐτοὶ καὶ τὴν ἐξέτασιν ὡς βούλεσθε ποιήσατε· εἰ δὲ ἐπ' ἐμοῦ βούλεσθε κριθῆναι τὸν ἄνδρα, τὴν αἰτίαν ὑμᾶς εἰπεῖν ἀναγκαῖον· τί οὖν Ἰουδαῖοι; ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα διὰ τὴν τοῦ πάσχα ἡμέραν· ὡς ἂν τῷ παρα-

δοῦναι τὸν Ἰησοῦν εἰς θάνατον, μὴ φονεύειν αὐτὸν νομίζοντες· καὶ ἐπάγει ὁ εὐαγγελιστής, ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ ὃν εἶπεν, καὶ τὰ ἑξῆς.

Προσθήκη μᾶλλον ἐστι τεθεικότος μὲν αὐτὸ τινὸς τῶν φιλοπόνων ἔξωθεν, εἰς παράστασιν Cap. XXI. vers. ult. f. 197. b.
τοῦ πλείονα τῶν γεγραμμένων εἶναι τὰ γεγενημένα παρὰ τοῦ κυρίου θαύματα· κατὰ μέρος δὲ ὑφ' ἑτέρων ἀγνοίᾳ τοῦ προθέντος τυχὸν ἔσω τεθὲν, καὶ μέρος τῆς τοῦ εὐαγγελίου γραφῆς γινόμενον· εἶτα τῷ χρόνῳ καὶ τῆς συνηθείας διὰ πάντων αὐτὸ τῶν εὐαγγελίων φέρεσθαι παρασκευάσαντος· οὕτω βεβαίαν ἐσχηκότος παρὰ πᾶσαν τὴν δόξαν τοῖς πιστοῖς ὡς ἀληθῶς μέρος ἓν καὶ τέλος παρὰ τοῦ εὐαγγελίου γραφέντων (1).

(1) Scholion hoc recitat graece cum varietate etiam Frid. Matthaeius (N. T. Rigae 1786.) et in aliis aliquot compertum codicibus fuit. Sed nemo, quod sciam, dixerat esse Mopsuesteni, ut nunc regius vat. codex affirmat. Ceterum id nullius esse ponderis, patet ex ipsis auctoris verbis, qui mentis suae commentum esse fatetur. Evangelistae quidem clausulam hyperbolice scriptam intelligunt S. Cyrillus et Theophylactus; ipsam tamen habent plerique omnes codices, quos inter vetustissimi duo vaticanus et alexandrinus, cunctaeque pariter agnoscunt priscae versiones.

Theodori mopsuesteni scholia uberrima in Pauli ad Romanos epistolam edidimus nos in Spicilegio rom. T. IV. p. 499-573. (quadriennio ante angli Crameri catenam) ex catena vaticana pulcherrima cod. 762. Nunc ad eundem codicem converso oculo, comperimus p. 4. b. ad cap. I. 8. praetermissum fuisse nescio quo casu a nobis fragmentum hoc. Θεοδώρου. Προσεκτέον δὲ κἀνταῦθα τὰ διὰ Ἰησοῦ Χριστοῦ, ὅπως οὐχ ἐπὶ διακονίας κέχρηται, ὡς * δοκεῖ τοῖς αἱρετικοῖς, ἀλλ' αἰτίας· οὐ γὰρ δὲ διακόνῳ τῷ Χριστῷ κεχρῆσθαι ὁ ἀπόστολος ἔμελλεν τῆς εἰς τὸν θεὸν εὐχαριστίας· λέγει δὲ ὅτι τῷ θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν, τοῦ Χριστοῦ ταύτης ἡμῖν τῆς εὐχαριστίας τὴν αἰτίαν παρασχομένου. *Nunc alia occurrebant in eodem codice vat. scholia Theodori in epistolas ad Corinthios. Verumtamen illa in priorem comperimus edita anno 1841. in Crameri catena, ideoque omittimus. Illa tamen pauciora in posteriorem non habet Cramerus, qui ab se editorum ad hanc scholiorum nullum auctorem appellat. Itaque ea nos infra exponimus.*

* cod. mendose οὐ δοκεῖ.

ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΔΩΡΟΥ ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ.

Συνετὸν τὸ ἀπὸ εὐχαριστίας καὶ μὴ διηγηματικῶς ἄρξασθαι τῶν συμβεβηκότων αὐτῷ· Cap. I. 3. f. 341.
ὥστε μὴ δοκεῖν μεγάλα φρονεῖν ἐπ' αὐτοῖς· καὶ οὐδὲ ἀπὸ τῆς θλίψεως ἤρξατο, ἀλλ' ἀπὸ τῆς παρακλήσεως· ὥστε φαίνεσθαι τὸ μὲν προκείμενον αὐτῷ τὴν ὑπὲρ τῆς παρακλήσεως εὐχαριστίαν· ὑπὸ δὲ τῆς ἀκολουθίας τοῦ λόγου δοκεῖν εἰς τὸν περὶ τῶν θλίψεων ἐξενηνέχθαι λόγον· εὐλογητὸς ὁ θεός· ἐνταῦθα ὑποστικτέον, ἵνα ᾖ κατ' ἔλλειψιν· νοεῖται γὰρ τὸ ἡμῶν, ἀντὶ τοῦ εὐλογητὸς ὁ θεὸς ἡμῶν.

Ἀντὶ τοῦ ἀληθῆ περὶ ὑμῶν ἐλπίζοντες, πάσχειν αἱρούμεθα. v. 6. f. 342.

Τοῦτο εἶπεν, ἐπειδὴ διέβαλλον αὐτὸν οἱ ἐκ περιτομῆς λέγοντες, ὅτι καὶ αὐτὸς φυλάττει v. 12. f. 345.
τὸν νόμον, εἰ καὶ ὑμῖν ὡς ἀπὸ ἐθνῶν οὖσιν ἑτέρως διαλέγεται.

Ἐντρεπτικώτατον τὸ καὶ ταύτῃ, ὡς οὐχ ὁμοίως ἔτι θαρρεῖν δυνάμενος, τῷ μετακεκλῆσθαι v. 15. f. 345. b.
αὐτοὺς καὶ οὐχ ὁποίους εἶναι περὶ αὐτόν· ἐκ τῶν λεγομένων δὲ δῆλον, ὡς πολλὴν περὶ αὐτοὺς ἔσωζε τὴν διάθεσιν.

Ἔστι, φησὶ, τὸ ἀμὴν φωνὴ συγκαταβάσεως ἐπὶ εὐχαριστίας τῆς εἰς τὸν θεὸν γινομένης, v. 20. f. 348.
ὡς ἐν τῇ προτέρᾳ αὐτός φησιν· ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ;

Ἄνεσιν τοῦ πνεύματος καλεῖ τὸ δυνηθῆναί τι γενέσθαι κατάλληλον τῆς τοῦ πνεύματος Cap. II. 12. f. 353.
δόσεως· ταῦτα δὲ ἦν ἡ ἑτέρων ὠφέλεια· οὐδὲ γὰρ ἔνεστιν ὑπολαβεῖν ὅτι Παῦλος ἀνθρωπίνης ἕνεκεν θλίψεως τὸ διδάσκειν ὑπερέθετο, εὑρηκὼς τοὺς τὸ εὐαγγελικὸν κήρυγμα παραδέξασθαι δυναμένους.

Οὐκ εἶπεν ἡ διακονία τοῦ νόμου, ἐπειδὴ εἶχεν ἀξιοπιστίαν τινὰ καθ' αὐτὴν ἡ τοῦ νόμου Cap. III. 7. f. 358. b.
προσηγορία, ἀλλ' ἡ τοῦ θανάτου· ἀπὸ τοῦ ἀποτελέσματος αὐτὸ μᾶλλον εἰρηκὼς, ὥστε τὴν περὶ

αὐτὴν μειῶσαι φαντασίαν· καλῶς δὲ καὶ τὸ καταργουμένην εἰς αὔξησιν τοῦ πράγματος· ἀντὶ τοῦ καὶ ταῦτα καταργουμένην· καλῶς δὲ καὶ τὸ ἔσται, ἐπειδὴ ἀπὸ τῶν μελλόντων πιστοῦται τὴν κατὰ τὸν Χριστὸν τὸ μέγεθος· εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ· καλῶς ἐπὶ μὲν ἐκείνου εἶπεν διὰ δόξης, ἐπειδὴ πρὸς τῷ μηδένα ἕτερον μετασχεῖν τῶν ὁμοίων· καὶ αὐτὸς Μωϋσῆς πρὸς ὀλίγον τοιοῦτος ἐγένετο· ἐνταῦθα δὲ τὸ ἐν δόξῃ, ἅτε δὴ αὐτοῦ τε τοῦ Χριστοῦ καὶ τῶν κοινωνούντων τῆς δόξης ἀεὶ ἐν τοῖς αὐτοῖς ἐσομένων.

v. 17. f. 361. Εἰ τὸ κύριον πνεῦμα εἰπεῖν ἐβούλετο, πνεῦμα ἂν εἶπεν ἁπλῶς, οὐ τὸ πνεῦμα μετὰ τῆς τοῦ ἄρθρου προσθήκης· ὥστε πνεῦμα ὁ θεός, εἰ καὶ τὰ μάλιστα εὔηθες τοῦτο εἰπεῖν· οὐ γὰρ ὥσπερ ἐν ἐκείνοις πρὸς τὴν σαμαρεῖτιν διαλεγόμενος οἰομένην ἐν τόπῳ εἶναι τὸ θεῖον, ἀναγκαίως ἔφησεν αὐτὸ πνεῦμα εἶναι ἀσώματον· οὕτω κἀνταῦθα δεῖξαι ὅτι ἀσώματος ὁ κύριος τῷ ἀποστόλῳ προέκειτο· φανερὸν γὰρ ὡς ἐν τούτοις σκοπὸς αὐτῷ· ἐπειδὴ δὲ οὐ πνεῦμα εἶπεν, ἀλλὰ τὸ πνεῦμα μετὰ τοῦ ἄρθρου, δῆλον ὅτι μὴ τὸν κύριον πνεῦμα λέγει, ἀλλὰ τὸ πνεῦμα κύριον· οὐδὲ γὰρ ἔχοι ἄν τις διὰ πάσης δεῖξαι τῆς καινῆς διαθήκης τῇ τοῦ πνεύματος φωνῇ τὸν πατέρα καὶ τὸν υἱὸν ὑποσημαινόμενον· ἐπεὶ καὶ ὅτ' ἂν λέγῃ πνεῦμα ὁ θεός, οὐ τῇ τοῦ πνεύματος αὐτὸν σημαίνει προσηγορίᾳ, ἀλλὰ θεὸν μὲν ὀνομάζει· πνεῦμα δὲ εἶναι φησίν, οὐκ ἐπὶ σημασίᾳ τῇ κατὰ τὴν ὀνομασίαν αὐτὸ τεθεικώς, ὡς τὸ θεὸς καὶ κύριος καὶ πατὴρ καὶ υἱὸς καὶ ὅσα τοιαῦτα ἐπὶ τῆς θείας κεῖται γραφῆς, ἀλλ' εἰς διδασκαλίαν τοῦ μὴ περιγραπτὸν ἐν τόπῳ εἶναι.

Cap. IV. 14. f. 367. b. Καλῶς τὸ εἰδότες, ὡς ὅτι δὴ ὁμολογουμένης παρ' αὐτοῖς τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἢ πάντως εἵπετο ὅμοια καὶ ἐπὶ τῶν λοιπῶν πιστεύειν αὐτούς· ἐπισυνῆψε δὲ καὶ τὸ σὺν ὑμῖν, ὡς ἂν μὴ νομισθῇ ἴδιον αὐτοῦ μόνου εἶναι τὸ πρᾶγμα λέγειν.

Cap. V. 9. f. 370. b. Τὸ φιλοτιμούμεθα τέθεικεν, πολλὴν ἐμφαίνων σπουδὴν ἣν περὶ τοῦτο ἐπιδείκνυσθαι ἡμᾶς βούλεται· εἶτα δείκνυσι καὶ ἑτέρωθεν ἀναγκαίαν οὖσαν τὴν κτῆσιν τῆς ἀρετῆς.

v. 11. f. 371. Ἀπὸ τοῦ εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου καθαπτόμενος αὐτῶν παρενέθηκεν· λοιπὸν δὲ τὰ ἀκόλουθα τοῖς προκειμένοις ἀποδέδωκεν· καὶ γὰρ συνεχόμεθα, φησίν, ὑπὸ τῆς περὶ τὸν Χριστὸν ἀγάπης εἰς τὸ πάντα πράττειν κατὰ τὸ δοκοῦν αὐτῷ.

Cap. VII. 6. f. 381. Περιάγομαι, φησί, περὶ πάντων γράφειν, καὶ ὧν οὐδένα ποιοῦμαι λόγον, εἰς μείζονα διάθεσιν ὑμᾶς τῇ βαρύτητι τῶν ῥημάτων ἐξελκόμενος.

Cap. X. 5. f. 393. Ἀντὶ τοῦ ἐπὶ τῷ πληρωθῆναι ὑμῶν τὴν ὑπακοήν· βούλεται γὰρ εἰπεῖν ὅτι τοὺς ἀπειθεῖς εἴτε τῶν ἀλλοτρίων εἴτε καὶ τῶν οἰκείων τιμωρούμεθα τῆς τοῦ πνεύματος ἐνεργείας· ἐπὶ τῷ διὰ πάντων ὑμῶν τῶν πιστευόντων, τὴν ὀφειλομένην τῷ Χριστῷ πληροῦσθαι ὑπακοήν.

v. 7. f. 394. b. Κατ' ἐρώτησιν *etc. fragmentum hoc dicitur in codice Theodori et simul Theodoreti, apud quem postremum extat, ideoque a nobis omittitur.*

Cap. XI. 30. f. 402. Ὡς ἐν αὐτῷ ὢν τῷ πάθει, ὡς ἐν αὐτῇ τῇ ἀρρωστίᾳ, οὕτως θορυβοῦμαι καὶ ταράττομαι.

Ἐπειδὴ τοῦ θεοῦ δείκνυται τὰ γινόμενα, φησίν, ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· εἰ δὲ ὑπὲρ ἐμαυτοῦ καυχᾶσθαι ἀναγκαζοίμην, τὰς ἀσθενείας προβαλοῦμαι μόνον· τὸ δὲ ἤκουσεν ὡς ἀπὸ τῆς ἀποκαλύψεως εἶπεν, ὡς ἂν δίκην ἀκοῆς τὴν γνῶσιν αὐτῶν δεξάμενος, οἷόν ἐστι τὸ τοῦ προφήτου· τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; ἀκοὴν λέγοντος τὴν ἀποκάλυψιν, δι' ἧς ὥσπερ διά τινος ἀκοῆς τῶν προσηκόντων τὴν γνῶσιν ἐλάμβανεν· τὰ δὲ ῥήματα, πράγματα εἶναι φησίν· ἑωρακέναι γὰρ αὐτὸν τοῦ παραδείσου τὸ κάλλος εἰκός, καὶ τὰς ἐν ἐκείνῳ τῶν ἁγίων χορείας, καὶ τὴν παναρμόνιον τῆς ὑμνῳδίας φωνήν.

Denique in codice vat. 765. saec. X, reperiebam Theodori nostri fragmenta duo (catenae Crameri addenda) commentariorum in epistolam ad Galatas. Nempe f. 95. b. ad cap. III. 3. Θεοδώρου. Πνεῦμα τὴν χάριν ἐκάλεσε, σάρκα δὲ τὴν κατὰ νόμον πολιτείαν. *Item ad cap. III. 22.* Θεοδώρου. Διήλεγξεν ἡ θεία γραφὴ καὶ τοὺς πρὸ νόμου καὶ τοὺς ἐν νόμῳ· τοὺς μέν, τῆς φύσεως· τοὺς δέ, τὸν μωσαϊκὸν παραβαίνοντας· ἀλεξιφάρμακον δὲ τούτων κἀκείνων τὴν ἐπηγγελμένην διὰ τῆς πίστεως προσενήνοχε σωτηρίαν· πάλιν γὰρ τὸ συνέκλεισεν ἀπὸ ἤλεγξεν τέθεικε.

NOVAE PATRUM BIBLIOTHECAE

VOLUMINIS SEPTIMI

PARS SECUNDA.

EDITORIS PRAEFATIO.

I. Altera haec voluminis nostri pars quatuor complectitur priscos Proverbiorum Salomonis interpretes, Origenem satis uberem, Didymum, Hippolytum, et Apollinarem: Apollinarem rursus et Polychronium Ezechielis explanatores: tertio adhuc eundem Apollinarem ad Esaiam, et denique copiosissimum omnium Didymum in cunctos Psalmos. Et hi quidem omnes ex mss. vaticanis catenis non sine gravi labore ac studio delibati fuerunt. Agmen ducit Origenes ex codice vat. 1802. sumptus, membraneo splendido et satis prisco, unde iam Chrysostomum, super iisdem Proverbiis scribentem, in quartum nostrum volumen derivavimus. Deperditarum enim Origenis ad divina Proverbia lucubrationum reliquiae paucae in Ruaei editionis tomo tertio extabant; quarum etsi aliquot lemmata vaticanus quoque codex tenebat, nos haec tamen omisimus, quia partes tantummodo ineditas constitutum nobis erat vulgare; ut futuris videlicet magni Adamantii editoribus non paenitendam mantissam praepararemus. Laudatissimum vero Origenem cur iam opus sit a nobis laudari? Utique praeter tantae gloriae tantique meriti nomen, sunt in his vaticanis Origenis paginis eximiae pietatis semina, altae de Deo sententiae, dogmatum interdum contra haereses adfirmationes, mystici passim sensus, suasiones virtutis, vitiorum detestationes: quibus aliisque huiusmodi origenianis, cum opus erit, dogmaticae moralisque scientiae magistri uti poterunt.

II. A Didymo quoque alexandrino Salomonis Proverbia commentariis fuisse explanata, evidenter testantur catenae, latina nempe Peltani, graecae autem codicum vaticanorum 1802. (A); vat. ottob. 117. (B); vat. reg. 77. (C), ne alia ab extranearum bibliothecarum codicibus testimonia frustra accersam. Habere se Didymi hoc opus, aiebat Cassiodorus inst. div. litt. cap. V. « In quo libro (Proverbiorum) Di-» dymum expositorem in graeca lingua reperimus, qui ab amico nostro, viro di-» sertissimo Epiphanio, in latinum sermonem diligentissime translatus est.» Quum iam nos volumine quarto Didymum in secundam ad Corinthios, et ad Iohannis evangelium, quantum licuit, collegerimus; nunc haud inviti reliquias eius ad divina Proverbia corrasimus, quae quindecim ferme paginas nobis confecerunt.

III. Hippolytum (quantae antiquitatis meritique virum!) ad idem Salomonis opus commentantem vaticanus codex 1802. iam nobis obtulerat; sed mox alia quoque mss. exemplaria accesserunt, ita ut definito pridem spatio comprehendi nequiret Hippolytus, nisi minoribus typorum formis uteremur. Et primum quidem alterumque fragmentum extabant sed latine tantum apud Peltani catenam, indeque apud Fabricium opp. Hipp. T. I. p. 269. 270: nosque graece protuleramus in Script. vet. ed. 1. T. I. part. 2. p. 223. Nunc vero haec quoque ceteris quae postea invenimus adiungenda fuerunt: namque alia Hppolyti scholia ab aliis evulgata, ideoque a nobis praetermissa, enumeravimus in praedicto Scriptorum veterum tomo p. 161. et p. 221. Porro notissima est S. Hippolyti vetus statua in vaticana bibliotheca prostans, ubi marmorea in sella catalogus operum beati viri sculptus est; et quidem in secundo versu acephalo legitur . . . ΙΑΣ, quod legendum esse εἰς τὰς παροιμίας *(in proverbia)* nemo dubitabit; siquidem in sequente sellae versiculo legitur εἰς ψαλμοὺς *(in Psalmos)*; qui reapse in publicis bibliis contigui libri sunt.

IV. Didymum in libro nostro subsequitur Apollinaris laodicensis, magnae famae magnaeque doctrinae homo, cuius reliquiae etsi oppido paucae ad Proverbia, negligendae non fuerunt. Denique ne minuta quidem Iuliani, Arethae, Olympiodori, Aquilae, et Symmachi fragmenta contempsimus. Atque hos quidem Proverbiorum enarratores latina quoque in veste producendos curavimus. Reliquos omisimus, nempe in priore codice 1. Anonymum. 2. Basilium. 3. Procopium. Ceterum nos Procopii in Proverbia copiosissimam explanationem iam impressimus in class. AA. tomo nono. Frequentissimus demum occurrebat in codice interpres quidam, haud valde antiquus, cuius constanter nomen hoc compendio scribitur Σί͂, quod post multas dubitationes et coniecturas legendum credebam Σικυδίτου. Etenim Glycae Sicyditae catena in vetus testamentum Neapoli extat, ut nos certe in codicum farnesianorum, qui illic sunt, catalogo legimus. De hoc Sicydita, id est Michaële Glyca, sermo item est in editione Damasceni T. I. p. 653.

V. Iam quia prophetis illuminandis tantam huius voluminis partem impenderam, duos quoque Ezechielis interpretes subiungendos putavi, quorum primum eundem Apollinarem ex ingenti codice vat. ottob. 452., unde olim longam quoque in Danihelem Patrum catenam traximus. Sed enim ad Ezechielem quod attinet multo ceteris uberior in eodem codice adfuit Polychronius, et illam suam ad Danihelem lucubrationem non exaequans solum sed superans. Polychronii genus interpretandi valde simile illi est Theodori fratris, historici nempe sensus tenax, perspicuum, liberum, et ab allegoricis commentatoribus (contra quos Theodorus quinque libros scripserat) longe recedens. Itaque et locum eius insignem ex pagina nostra graeca 111, huc latine transferimus. Scilicet ad Ezechielis capitulum, 28. ubi de Tyri principe sermo est, ita Polychronius severe acriterque scribit, «Volunt nonnulli, haec » non de homine dici sed de diabolo; nimirum sponte satagentes quominus divi- » narum scripturarum mentem sectentur, sed ut ad propriam phantasiam verba » pertrahant. Verumtamen ex ipsis verbis coarguentur illorum sermones. Huius ve- » ro allegoriae princeps fuit Origenes, quem secuti sunt quidam, qui ceteroquin » in suis commentariis, tamquam ab ipsa veritate coacti, de homine verba prophe- » tam facere confessi sunt: sed tamen de diabolo quoque intelligendum esse tex- » tum contendunt. Quod dum agunt, non pudet eos et simul veritatem proponere, » et eandem oppugnare; cum perspicue tota veritas demonstret, Tyriorum regis am- » bitionem a propheta obiurgari, qui ob rerum gestarum magnitudinem, opumque » copiam, Deo se parem imaginabatur.» Ita Polychronius; quem cum fratre Mopsuesteno, genuinum antiochenae scholae alumnum agnoscimus, quae tamquam alexandrinae adversaria, litteralem ss. bibliorum sensum adamavit et sectata est. Sic nimirum magnus Chrysostomus et ipse antiochenus, sic Diodorus tarsensis episcopus, et alii de eadem schola praestantes interpretes. Etenim vice versa, alexandrina schola quantopere mystico sensui indulserit, demonstrat etiam Macarii aegyptii sermo, qui mihi prae manibus est, hoc titulo. Περὶ τοῦ πῶς δεῖ πάσας τὰς γραφὰς πνευματικῶς ἀναλαμβάνειν πρὸς τὴν ὠφελειαν τῆς ψυχῆς ἡμῶν, δι' ἣν πάντα ἐγράφη, καὶ μηδὲν σαρκικὸν ἢ ἰουδαϊκὸν ἐννοεῖν. *Quod oporteat cunctas scripturas intelligere ad animae nostrae utilitatem, cuius gratia omnia scripta sunt, et nihil carnale aut iudaicum cogitare.* Postremo codicis egregii memor, quem tomo sexto part. 2. p. 213. satis descripsi, Apollinaris quaedam ad Esaiam ἀποσπασμάτια, quantum nempe illic inerat, decerpere non detrectavi.

VI. Venio nunc ad Didymi in psalmos perquam copiosam et piam lucubrationem. Namque hunc non partem sed integrum psalmorum corpus explanavisse, certissimo testimonio docet Hieronymus de vir. ill. cap. 109, et in epistola CXII. 20., idque passim catenae tum mss. tum editae oculis reapse subiiciunt. Iam etsi multae Didymi partes in corderianae catenae voluminibus sunt, attamen longe plures in vaticanis codicibus erant, quos inter praetuli duos, nempe vat. 1789. perveterem, ubi Didymi auctoritates prolixae et luculentae sunt, sed non ultra quinquagesimum psalmum Reliquas vero Psalterii partes duas, sive Didymi in eas commentarium, beneficio codicis recentioris vat. 1682, cui connectitur 1683, continuavi. Corderii catenam initio contuli, deinde hac omissa, Didymum prout in praedictis codicibus erat, multum atque praeclarum, secure transcripsi. Modo enim in corderiano libro nihil erat Didymi, veluti in psalmis 2. 4. 5. 12. 14. 19. 20. 22. 25. 26. 28. 29. 30. 41. 42. 43. 45. 46. 48. 61. 62. 63. 91. 115. 119. Modo prae nostris oppido pauca, veluti in psalmis 3. 10. 13. 23. 24. 27. 31. 34. 36. 37. 38. 40. 47. 66. 94. 96. 114. Alicubi tamen Corderius nova habebat et plura; sed nos hoc institutum tenuimus, saltem post psalmum 23, ut ex corderiano libro nihil, ex codicibus omnia, ut in marginibus dictum est, exscriberemus sive nota Corderio sive secus, nam et lectionum vatas utilis est. Ille est apud Corderium defectus maximus, quod post 120. psalmum nihil Didymi habetur, nostri vero codices usque in finem psalterii Didymum exhibent. Didymi autem quae mens fuerit et institutum in psalmis explicandis, cognoscimus ex eius prooemio, ubi laudatis novi testamenti verbis, quae psalmorum vaticinia ad Christum referunt, ait hanc sacrae scripturae partem spiritali praesertim sensu esse intelligendam. Ceterum citatis a Didymo testimoniis addendum est aliud maximum ore ipsius Christi prolatum Luc. XXIV. 44: *quae scripta sunt in psalmis de me*. Et priorum quidem quindecim psalmorum explanationem Didymi nostra latinitate donavimus; reliquum opus graece tantum impressimus, cuius rei causam, cum iustis etiam erga Didymum laudibus, p. 178. narravimus.

VII. Verumtamen ut ad Origenem revertar, lector mihi concedat. Dixi enim inferius p. 91. extare in eodem cum Apollinari ad Ezechielem codice, certum fragmentorum Origenis numerum, quae Ruaeus in editione non habet. Reapse enim dicta editio T. III. p. 437. non ultra capitulum XXX. v. 6. procedit; eiusque ultimum fragmentum Μαγδωλά ἐστιν ἀρχὴ τῆς Αἰγύπτου, legitur in codice nostro f. 220. b. Ecce autem, praeter quam quod in praecedentibus quoque foliis partes aliquot erant Ruaeo incognitae, id est editis ab eo intermixtae; post illam certe codicis paginam usque ad prophetae finem, fragmenta omnia, etsi perexigua, inedita sunt; quae heic transcribere, ne diutius lateant aut pereant, non piget.

Cod. f. 221. a. Cap. XXX. 25. Βραχίονες εἰσὶ Φαραὼ ἡ κακία ἐν πράξει ἁμαρτίας, καὶ ἐν δόγμασιν ἀσεβείας τὸ φρόνημα τῆς σαρκός· οὓς βραχίονας ὁ θεὸς συντρίβει ὡς ἀγαθός· ὁ Φαραὼ τοῦ διαβόλου ἐστὶ σύμβολον τοῦ ἄρχοντος τῆς ἐν ἀνθρώποις ἁμαρτίας.—Συντρίβει ὁ κύριος τὸν βραχίονα τῶν ἁμαρτωλῶν, ἵνα μὴ δύνονται * ἐπιλαβέσθαι μαχαίρας. * ita cod. o pro ω, ut in cod. bib. vat.

Cod. f. 222. a. XXXII. 6. Καὶ τοῦτο ἐν τοῖς μάλιστα τὴν ἀλληγορίαν δείκνυσι τῆς γραφῆς· ὁ γοῦν Φαραὼ σωματικῶς οὐκ ἂν ἀπὸ τῶν προχωρημάτων αὐτοῦ ποτίσαι τὴν γῆν, ἀλλ' ἡ σκυβαλώδης ἔκκρισις τοῦ ἀντικειμένου ποτίζει τὰ γήϊνα.

Cod. f. 222. b. XXXIII. 22. Ὁ ἑβραῖος ἐν μήκει λάκκου ἔχει· τὸ γὰρ ἰαρὴχ κατὰ τὴν Ἑβραίων φωνὴν δασέως προφερόμενον, καὶ μηρὸν, καὶ μῆκος σημαίνει· τὸ δὲ αὐτῆς πρὸς τὴν συνα-

γωγὴν ἔχει τὴν ἐπίδοσιν· λάκκον οὖν καλεῖ τῆς ταφῆς τὸ βάθος· μῆκος δὲ, τῆς ταφῆς τὴν ἔκτασιν.

Cod. f. 232. b. XLIV. 1. Πολλὰς πύλας διαγράφει ὁ υἱὸς τοῦ ἀνθρώπου Ἰεζεκιὴλ, καὶ περὶ ἑκάστης διηγήσατό τι· νῦν δὲ διηγεῖται τοῖς ἔχουσι ὦτα, περὶ τῆς πύλης τῶν ἁγίων τῆς βλεπούσης κατὰ ἀνατολάς· περὶ ἧς γέγραπται ὅτι ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, καὶ τὰ ἑξῆς. —Οὐ μόνον ὅτι κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ διέρχεται διὰ τῆς πύλης, κέκλεισται, ἀλλ' ὅτι καὶ ὁ ἡγούμενος κάθηται ἐν ἐκείνῃ τῇ πύλῃ τοῦ φαγεῖν ἔναντι κυρίου κατὰ τὴν ὁδὸν Αἰλὰμ, ὅπερ ἑρμηνεύεται πρόθυρον πύλης.—Πύλη ἐςὶ κεκλεισμένη, τὰ μυστήρια τοῦ θεοῦ τὰ ἀκατάκλειστα.—Ἡ γνῶσις κλεῖδα ἔχει, ὡς ὁ κύριος λέγει τοῖς νομικοῖς· ἄρα πύλη ἐστὶ τοῖς μὲν ἀνθρώποις κεκλεισμένη· τὰ γὰρ ἔνδον τῆς πύλης ἐστὶν ὃ ὁ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσε, καὶ τὰ ἑξῆς. —Ὅμοιον δὲ τῆς πύλης ταύτης ἔχει νοῦν καὶ τὸ γεγραμμένον ἐν τῷ Ἡσαΐᾳ βιβλίον ἐσφραγισμένον· τὸ αὐτὸ τοῦτο βιβλίον λευκοτέρως εὑρήσεις καὶ ἐν τῇ ἀποκαλύψει Ἰωάννου, καὶ τὰ περὶ αὐτοῦ γεγραμμένα· καὶ πῶς ἤνοιξεν ὁ ἐκ φυλῆς Ἰούδα τοῦτο καὶ μόνος· μέχρι γὰρ οὗ ἦλθεν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἐκέκλειστο ὁ νόμος, ὁ λόγος ὁ προφητικός· καὶ κάλυμμα ἦν ἐπὶ τούτων ὁ λίθος τῆς πωρώσεως, ὃν ἀφεῖλεν ὁ Ἰακὼβ ἐκ τοῦ φρέατος· ἐν πολλοῖς γὰρ τόποις τὸν νοῦν τὸν περὶ τῆς πύλης ταύτης ἡ γραφὴ ἤνοιξεν.

Quoniam in Origene adhuc versamur, particulam quoque commentariorum eius in quinquagesimum psalmum, qua Ruaei editio, nec non ipsa Corderii in psalmos catena caret, ex alio codice vaticano subiungam.

v. 7. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην. Οὐκ ἐν τῇ γαστρὶ μόνον, ἀλλ' ἐπειδὴ παρέλαβόν με τὰ ἔργα τῆς ἀνομίας, τὰ τοῦ φόνου, καὶ τὰ τῆς ἀλλοτρίας κοίτης ἣν παρανόμως ἐσύλησα.

v. 8. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. Ὁ νοῦς οὗτος· σὺ, φησὶ, κύριε ἀληθὴς ὢν καὶ ἀλήθειαν ἀγαπῶν, βουλόμενος ἡμᾶς ἐν ἀληθείᾳ διάγειν, ἀποκαθαριεῖς ἡμᾶς τῆς ἀρχαίας ἁμαρτίας· καὶ οὕτως ἀποκαθαρίσεις ὡς ὑπὲρ χιόνα λευκανθῆναι· ἡ δὲ ἀποκάθαρσις ἡμῖν δι' ὑσσώπου γενήσεται· ὑσσώπῳ δὲ ἡ τοῦ ἁγίου πνεύματος ἐνέργεια ἀφομοιοῦται, θερμαίνουσα καὶ πάντα τὸν ἐν ἡμῖν ῥύπον ἀποσμήχουσα· ἰδοὺ γὰρ ἀποταξαμένου μου τῷ σατανᾷ.—Ἠγάπησας. Σοφία μὲν τοῦ πατρὸς δηλονότι ὁ λόγος· ἄδηλα δὲ καὶ κρύφια τοῦ λόγου, ὁ τῆς ἐνανθρωπήσεως λόγος· καὶ ἐπὶ τούτοις πᾶσιν ἀμελήτας ὠλίσθησα καὶ κατέπεσον. Οὕτω δέ, φησι, κρινεῖς· καὶ τοὺς μὲν κολάσεις, τοὺς δὲ στεφανώσεις, ἐπειδὴ τὴν ἀλήθειαν στέργεις· τὴν δὲ ἀλήθειαν στέργων, καὶ τῆς φύσεως εἰδὼς τὴν ἀσθένειαν, μετάδος συγγνώμην τοῖς αἰτοῦσι τὰ φάρμακα· ὅτι σοφιστικῶς ἕξει γεγυμνασμένος ἐπὶ θεωρίᾳ τῆς ἀληθείας· τὸ μέγεθος αὐτῆς γνοὺς, ἀγάπην πρὸς ἑαυτὴν ἔσχε τελείαν· οἱ μὴ γὰρ τοῖς ψεύδεσιν ἐγγυμνασάμενοι, διορατικώτεροι γεγενημένοι καθορῶσι τῆς ἀληθείας τὸ ἀξιάγαστον κάλλος· οἷος ἐστὶ Μωϋσῆς καὶ Δανιήλ· μετὰ γὰρ τὸ πειραθῆναι σοφιστικῶν λόγων, ἐπ' αὐτὴν τὴν ἀληθῆ σοφίαν ἀναβάντες, ὑπὸ τοῦ θεοῦ μαρτυρίαν ἔσχον, ὡς ὄντες τέλειοι σοφοί· δηλώσαντος αὐτοῖς τοῦ θεοῦ τὰ ἄδηλα καὶ κρύφια τῆς σοφίας αὐτοῦ, ὡς μηδὲν αὐτοῖς ἀσαφὲς ἢ ἀπεσκιασμένον εἶναι· ταύτης τῆς ἕξεως καὶ ὁ Δαυὶδ τυγχάνειν. . διὰ τοῦ προκειμένου στίχου· οὐ γὰρ μόνον μὲ τοῖς βιωτικοῖς ἐνίδρυσας θώκοις, ἀλλὰ καὶ προφητικῆς ἠξίωσας χάριτος, καὶ τὰ μικρὸν ἐσόμενα προδεδήλωκας, καὶ τὰ τοῖς ἄλλοις ἀπόρρητα ἐμοὶ δῆλα πεποίηκας, τήν τε τοῦ μονογενοῦς σου ἐνανθρώπησιν, καὶ τῆς οἰκουμένης ἐκεῖθεν τὴν σωτηρίαν.

ΕΚ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ

ΕΙΣ ΠΑΡΟΙΜΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ

ΕΞΗΓΗΣΕΩΝ.

EX ORIGENIS

IN PROVERBIA SALOMONIS

COMMENTARIIS.

CAP. I.

Proverbium est sermo arcanus, qui per alium manifestum significatur.

Propterea in Israhele regnavit, ut cognosceret sapientiam ac disciplinam. Sapientia est scientia spiritalis, quae de Deo, incorporeis, iudicio, et providentia continet doctrinam, quaeque rei ethicae, physicae ac theologicae theoriam revelat. Vel, sapientia est cognitio corporalium et incorporalium, nec non iudicii ac providentiae quae in his spectatur. Disciplina est moderatio cupiditatum, quae in parte animae patibili et irrationali consideratur. Quin etiam si quis enixe theologiae vacet, is sapientiam cognoverit.

Nempe ut sit rectum et invertibile criterium. Qui enim imperitus aequi iuris fuerit, controversias haud recte discernet. Nam neque Salomon rectam sententiam meretricibus tulisset, nisi accuratam aequi iuris doctrinam observasset. Recte autem, et non oblique, iudicabimus, si virtuti obsequemur, et nequitiam damnabimus. Tria porro nostra criteria sunt, sensus, oratio, mens. Et sensus quidem, sensibilia respicit: oratio, verba et cogitationes: mens denique, in intellectualibus rebus versatur.

Sicut mens ad sensibilia intenditur, ita etiam per virtutes intellectualia observat. Quamobrem mentem sensûs quoque continere rationem, sapiens Salomon nos docet.

Qui nequitiam habent, quatenus improbi sunt, sapientiam aspernantur: et quia timore carent, qui sensûs initium facit, idcirco fatui sunt et sapientiae contemptores. Quid ita?

Παροιμία ἐστὶ λόγος ἀπόκρυφος δι' ἑτέρου προ- Cod. vat. 1802. v. 1.
δήλου σημαινόμενος. Cod. f. 1. a.

Τούτου χάριν ἐβασίλευσεν ἐν Ἰσραὴλ, τοῦ Cod. f. 1. b.
γνῶναι σοφίαν καὶ παιδείαν· ἡ σοφία ἐςὶ, γνῶσις πνευματικὴ, τοὺς περὶ θεοῦ, καὶ ἀσωμάτων, καὶ κρίσεως, καὶ προνοίας περιέχουσα λόγους, ἡ τὴν περὶ ἠθικῆς καὶ φυσικῆς καὶ θεολογικῆς ἀποκαλύπτουσα θεωρίαν. Ἢ ἡ σοφία ἐστὶ γνῶσις σωμάτων καὶ ἀσωμάτων, καὶ τῆς ἐν τούτῳ θεωρουμένης κρίσεως καὶ προνοίας· παιδεία ἐστὶ μετριοπάθεια παθῶν περὶ τὸ παθητικὸν ἢ ἄλογον τῆς ψυχῆς μέρος θεωρουμένη· καὶ θεολογῶν δέ τις ἐπιτεταμένως, ἔγνω σοφίαν.

Τουτέςιν ὀρθὸν καὶ ἀδιάστροφον εἶναι τὸ κρι- v. 3.
τήριον· ἀνεπιστήμων γάρ τις ὢν δικαιοσύνης, οὐκ Cod. f. 3. a.
ἂν διέλοι τὰς ἀμφισβητήσεις ὀρθῶς· οὐδὲ Σολομὼν γὰρ ἔκρινεν ὀρθῶς ταῖς πόρναις, μὴ σώζων ἀκριβεῖς τοῦ δικαίου τοὺς λόγους· ὀρθῶς δὲ καὶ ἀδιαστρόφως κρινοῦμεν, εἰ πειθόμεθα μὲν ἀρετῇ, καταγινώσκομεν δὲ κακίας· τρία δὲ κριτήρια ἐν ἡμῖν, αἴσθησις, λόγος, καὶ νοῦς· καὶ ἡ μὲν αἴσθησις, τῶν αἰσθητῶν· ὁ δὲ λόγος, τῶν ῥημάτων καὶ τῶν νοημάτων· ὁ δὲ νοῦς, θεωρία τῶν νοητῶν.

Ὥσπερ διὰ τῶν αἰσθήσεων ὁ νοῦς ἐπιβάλλει v. 7. Cod. f. 6. a.
τοῖς αἰσθητοῖς, οὕτω καὶ διὰ τῶν ἀρετῶν ἐποπτεύει τὰ νοητά· διόπερ καὶ αἰσθήσεως αὐτὸν λόγου ἐπέχειν ὁ σοφὸς Σολομὼν ἡμᾶς διδάσκει.

Οἱ κτώμενοι κακίαν, τῷ κακοὶ εἶναι, ἐξουθε- v. 7.
νοῦσι σοφίαν· καὶ μὴ ἔχοντες φόβον τὸν ποιοῦντα ἀρχὴν αἰσθήσεως, ἀναισθητοῦσι καὶ ἐξουδενοῦσι σοφίαν· πῶς; τῷ μὴ πράττειν μὴ δὲ με-

τιέναι· πᾶς γὰρ ὁ τὰ φαῦλα πράττων, μισεῖ τὸ φῶς· ἀλλ' οὐ παρὰ τὴν οἰκείαν φύσιν ἀτιμάζεται, ἀλλὰ παρὰ τὴν ἐκείνων ἄγνοιαν· ἀλλ' οἱ εὐσεβεῖς αἱροῦνται τὴν παιδείαν, ἵνα τὴν ψυχὴν καθαρθέντες, εἰσδέξωνται τὴν εἰς κακότεχνον ψυχὴν μὴ εἰσιοῦσαν σοφίαν· οἱ δὲ μὴ ἔχοντες φόβον Θεοῦ, τὸν ποιοῦντα ἀρχὴν αἰσθήσεως, ἀναισθητοῦσι σοφίας καὶ παιδείας, καὶ ἐξουθενοῦσιν ἀμφότερα 1)· ὡς οἱ τὴν παλαιὰν μὴ δεχόμενοι, καὶ τὸν δημιουργὸν ὡς ὠμὸν διαβάλλοντες.

v. 9. cod. f. 7. a. Ὥσπερ ἡ κορυφὴ καὶ ὁ τράχηλος δηλοῖ ἐνταῦθα τὸν νοῦν, οὕτω καὶ ὁ στέφανος καὶ ὁ κλοιὸς, ἐνταῦθα σημαίνει τὴν γνῶσιν· αὕτη γὰρ ἡ συνήθεια τοῦ πνεύματος τοῦ ἁγίου, πολλοῖς ὀνόμασιν ὠνόμασε τὸν Θεόν τε καὶ τοὺς ἀγγέλους αὐτοῦ, καὶ τὸν νοῦν, καὶ τὴν ἀρετὴν, καὶ τὴν γνῶσιν, καὶ τὴν ἀγνωσίαν, καὶ τὴν κακίαν, καὶ αὐτὸν τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ· οὐχ ἁπλῶς δὲ τίθησι τὰ ὀνόματα, ὥς τινες οἴονται· διαφόρων ἐνεργειῶν εἰσὶ γνωρίσματα· Θεοῦ δὲ διὰ τῶν ἀγγέλων ἡμῖν ἐνεργοῦντος, καὶ ἡμῶν ἐν αὐτῷ, δαιμόνων τε πρὸς ἡμᾶς.

v. 14. cod. f. 8. b. Οὗτοι συγκληρονόμοι τῶν ἀντικειμένων εἰσὶν, οἱ τῆς αὐτῆς αὐτοῖς κακίας μεταλαμβάνοντες· κοινὸν δὲ ἐστὶν, ὃ μὴ τοῦ ἑνός ἐστι τοῦ Θεοῦ· ὅρα δὲ ὁμόνοιαν πονηρὰν καὶ ὄλεθρον.

v. 17. Δίκτυόν ἐστι κόλασις αἰώνιος, καὶ πολυσχιδὴς τιμωρία παρὰ τοῦ δικαίου κριτοῦ ταῖς ἀκαθάρτοις προσαγομένη ψυχαῖς ἐπ' ἀπωλείᾳ τῶν κακῶς ἐκφύντων πτερῶν· πτερωτὰ δὲ, ἡμεῖς οἱ ἄνθρωποι οἱ δύναμιν ἐὰν θέλωμεν ἔχοντες τοῦ ἀναπτῆναι.

v. 20. cod. f. 9. a. Ἔξοδον νῦν ὀνομάζει τὴν ἐξελθοῦσαν ψυχὴν ἀπὸ κακίας καὶ ἀγνωσίας· τοιαύτη δὲ ἔξοδος τῶν υἱῶν Ἰσραὴλ, ἡ μετὰ τὴν ἐκ τῆς κρίσεως τοῦ Θεοῦ καὶ διδασκαλίας γένεσιν γεγονυῖα· τὴν αὐτὴν δὲ ψυχὴν καὶ πλατεῖαν λέγει· πλάτυνον γὰρ, φησὶ, τὸ στόμα σου, καὶ πληρώσω αὐτό· καὶ πλατύνθητε, φησὶ, καὶ ὑμεῖς ἐν τῇ πρὸς Κορινθίους ὁ Παῦλος· καὶ ὑπὸ μὲν τῆς οὕτως ἐξερχομένης ψυχῆς, ὑμνεῖται ἡ σοφία· ἐν δὲ γῇ πλατυνομένη διὰ τῶν ἀρετῶν, παῤῥησίαν ἄγει· Ἄκρων δὲ τειχέων αὐτῆς, τὴν ἄκραν ἀπάθειαν λέγει· εἴπερ οἱ ἀγαπῶντες τὸν νόμον, παραβάλλουσιν ἑαυτοῖς τεῖχος· ὑπὲρ οὗ τείχους εὔχεται καὶ ὁ Δαυὶδ λέγων· οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλὴμ, τουτέστι τῆς τοιᾶσδε ψυχῆς τὰ καταπεπτωκότα, δηλονότι ἐκ τῆς τοῦ Οὐρίου προφάσεως.

v. 26. cod. f. 10. a. Πῶς οὖν ἔμπροσθεν φησὶν ὁ Σολομὼν, ὁ δὲ

quia neque agunt, neque intelligunt. Quisquis enim male agit, lucem odit. Neque eos propria natura dehonestat, sed ipsorum inscitia. Verumtamen pii homines disciplinam amplectuntur, ut mundato animo, excipiant illam, quae in malivolam animam non ingreditur, sapientiam. Secus, qui Dei timore carent, qui sensûs initium facit, neque sapientiam neque disciplinam sapiunt, sed utramque aspernantur: velut illi qui vetus testamentum non admittunt, et creatorem crudelitatis insimulant.

Sicut vertex et collum heic denotat mentem, ita etiam corona et torques significant hoc loco scientiam. Solet enim Spiritus sanctus multis nominibus indigitare Deum et angelos eius, mentem ac virtutem, scientiam et insipientiam, malitiam, ipsumque diabolum cum angelis eius. Haud vero temere nomina imponit, ut quidam existimant, sed ea diversarum operationum sunt indicia: Deo quidem per angelos in nobis operante; et nobis in eo vicissim; pariterque diabolo erga nos agente.

Hi sunt adversariorum coheredes, qui eandem cum ipsis participant improbitatem. Commune porro est, quod non est unius Dei. Animadverte autem concordiam improbam et exitiosam.

Rete est aeterna poena, et varia punitio quae a iusto iudice impuris animabus imponitur, ut male natae alae perdantur. Iam vero pennati nos homines dicimur, quia volandi viribus, siquidem velimus, praediti sumus.

Exitum nunc appellat egredientem a malitia et insipientia animam. Ille autem est filiorum Israhelis exitus, qui fit post genesim ex iudicio Dei ac magisterio. Iam ipsam animam dicit plateam: dilata enim, inquit scriptura, os tuum, et implebo illud. Et vos quoque dilatamini, ait in secunda ad Corinthios Paulus. Et ab anima, quidem, quae ita evasit, celebratur sapientia, et in terra virtutibus spatiosa confidenter degit. Summos autem muros dicit ipsius summam a cupiditatibus tranquillitatem: quandoquidem qui legem diligunt, murum sibi circumdant. Cuiusmodi muri gratiâ precatur David dicens: aedificentur muri Hierusalem: id est huius meae animae prostrati muri propter Uriae negotium.

Quomodo ergo dixit antea Salomon: qui

1) Haec partim repetuntur ex superioribus; sed tamen ita se habet codex.

pereunte gaudet, non erit innocens? Vel igitur ita gaudet sapientia, prout de pereunte publicano Matthaeo gavisa est, nec non de pereunte latrone qui Christo credidit? Certe heic latronem sapientia, illic vero publicanum pessumdedit.

ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθωωθήσεται; ἢ τάχα οὕτως χαίρει ἡ σοφία, ὡς ἐχάρη ἐπὶ τῇ ἀπωλείᾳ Ματθαίου τοῦ τελώνου, καὶ ἐπὶ τῇ τοῦ λῃστοῦ ἀπωλείᾳ πιστεύσαντος τῷ Χριστῷ; τοῦ μὲν γὰρ, τὸν λῃστὴν ἡ σοφία· τοῦ δὲ, τὸν τελώνην ἀπώλεσε 1).

Obsessio est moralis doctrina, quae male aedificatam animam subiugat obsidenti Deo.

Πολιορκία ἐστὶ διδασκαλία ἠθικὴ, τὴν κακῶς v. 27. cod. f. 10. b.
οἰκοδομηθεῖσαν ψυχὴν καταστρέφουσα ἐπὶ τῇ τοῦ Θεοῦ πολιορκίᾳ.

Sicut infantes medii sunt inter iustos et iniustos, sic etiam cuncti homines medii inter angelos daemonesque sunt, quia neque angeli sunt neque daemones ante saeculi consummationem. Iniuriam autem inferebant, inquit, parvulis, de quibus Christus dixit: cavete nequem ex his parvulis scandalizetis.

Ὥσπερ τὰ νήπια μεταξὺ δικαίων καὶ ἀδίκων v. 32. cod. f. 11. a.
εἰσὶν, οὕτω καὶ πάντες οἱ ἄνθρωποι μεταξὺ ἀγγέλων τε καὶ δαιμόνων εἰσὶ, μήτε δαίμονες ὄντες μήτε ἄγγελοι χρηματίζοντες, μέχρι τῆς συντελείας τοῦ αἰῶνος· ἠδίκουν δὲ νηπίους, εἶπε, περὶ ὧν Χριστὸς ἔφη· μὴ σκανδαλίσητε ἕνα τῶν μικρῶν τούτων.

Cupiditatibus homo liber nullam pravam cogitationem experitur, et paulo post in regno Dei habitabit: quippe qui mandata eius custodiverit, quia speravit in eum.

Ὁ ἀπαθὴς ἡσυχάζει ἀφόβως ἀπὸ παντὸς κα- v. 33.
κοῦ λογισμοῦ, καὶ μετ᾽ ὀλίγον κατασκηνώσει ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· ὡς ἀκούσας καὶ φυλάξας τὰ προστάγματα αὐτοῦ, ὅτι ἤλπισεν ἐπ᾽ αὐτόν.

CAP. II.

Sic Dei praeceptum abscondit, qui illud observat, vel qui haud ob vanam gloriam observat. Quare et daemones, dum nos non sinunt illud observare, rapere dicuntur.

Οὕτως κρύπτει ἐντολὴν τοῦ Θεοῦ ὁ ποιῶν αὐ- v. 1. cod. f. 11. b.
τὴν, ἢ ὁ μὴ ἐπὶ κενοδοξίᾳ ποιῶν· ὅθεν καὶ οἱ δαίμονες ἐκ τοῦ μὴ συγχωρεῖν αὐτὴν ποιεῖν ἡμᾶς, ἁρπάζειν λέγονται.

Tunc intelliges quomodo timor Domini initium sapientiae sit, et quomodo agnitionis Dei dator sit, quotiescumque cum fide et desiderio fies Deo supplex. Sed anteire debet sapientia et intelligentia, prius quam Domini timorem comprehendere mente queas. Haec iis inculcamus qui sapientiam et intelligentiam aspernantur; et tamen ad Dei timorem accedere volunt, tamquam ad facile negotium.

Τότε συνήσεις πῶς ὁ φόβος τοῦ κυρίου ἀρ- v. 5. cod. f. 112. a.
χὴ σοφίας ἐστὶν, καὶ πῶς τῆς τοῦ Θεοῦ γνώσεως γίνεται πρόξενος, ὅταν ἐν πίστει καὶ πόθῳ αὐτῷ ὑπάρχῃς προσδεής· προϋπάρξαι δὲ δεῖ σοφίαν καὶ σύνεσιν, πρὸς τὸ δυνηθῆναι συνεῖναι φόβον κυρίου· προσάξωμεν δὲ ταῦτα τοῖς τὴν σοφίαν καὶ σύνεσιν ἐξουθενοῦσι· καταφεύγειν δὲ βουλομένοις ἐπὶ τὸ φοβεῖσθαι τὸν Θεὸν, ὡς ἐπὶ εὐχερὲς πρᾶγμα.

Nisi Christus nos liberet, mala via quasi bona pergemus. Sancti certe fideliter omnia dicunt, et quae sunt secus. Diabolus vero nihil fideliter, id est fide dignum. Namque hic diabolum viri nomine denotat, ut in evangeliis, siquidem illic malus homo zizania sevit. Maximarum certe insidiarum instar est, cum aliquis in pravum consilium incidit, atque in homines dolosos, fallaces, et improbos.

Χριστοῦ γὰρ μὴ ῥυομένου, ὡς ἀγαθὴν ὁδεύ- v. 12. cod. f. 12. b.
σομεν τὴν κακήν· ἅγιοι μὲν γὰρ πάντα λέγουσι πιστά· τὰ δὲ οὔ· ὁ δὲ διάβολος οὐδὲν πιστὸν, ἀντὶ τοῦ πίστεως ἄξιον· ἄνδρα γὰρ νῦν τὸν διάβολον λέγει, ὡς ἐν εὐαγγελίοις· εἴ γε ἄνθρωπος πονηρὸς ἔσπειρε τὰ ζιζάνια· μεγίστη δὲ ὡς ἔοικεν ἐπιβουλὴ, τὸ περιτυχεῖν βουλῇ κακῇ, καὶ ἀνδράσι δολίοις καὶ ὑπούλοις καὶ πονηροῖς.

Si cuicuimodi consilium contritum, id est obscuratum, mentis commotio est, cur adolescentiae disciplinam deseruit; cur divini foederis oblita est? Nam veluti cum rationali

Εἰ ἡ ποιὰ βουλὴ συντετριμμένη ἤγουν ἐσκο- v. 17. cod. f. 13. b.
τισμένη, νοῦ κίνησίς ἐστιν, πῶς αὕτη ἀπέλιπεν διδασκαλίαν νεότητος; πῶς δὲ καὶ θείας ἐπελάθετο διαθήκης; ὡς γὰρ περὶ ζώου λογικοῦ,

1) Locutus de variis σοφίας generibus Origenes, heic quidem pravam serpentis, seu diaboli, sapientiam indigitat.

τῆς κακῆς βουλῆς ἡμῖν διαλέγεται. Ἢ νῦν βουλὴν κακὴν τὸν διάβολον λέγει· οὗτος γὰρ κακῶς ἐβουλεύσατο, εἰπών· ἐπάνω τῶν ἄστρων θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· ἐπελάθετο δὲ τῆς θείας γνώσεως, καταλιπὼν τὴν διδασκαλίαν τῆς νεότητος· ἥτις νεότης τὴν προτέραν αὐτοῦ κατάστασιν δηλεῖ, καθ' ἣν καὶ ζηλωτὸς ἦν· εἰ δὲ νέους δύναται συνετίζειν ἔνθα πολὺ τὸ δυσήνιον, μὴ παρούσης, πολλῷ μᾶλλον πρεσβύτῃ ὠφέλιμος.

v. 19. cod. f. 14. a. Ὅσοι καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς, διὰ τῶν ἔργων τῆς μελλούσης ἀειζώου ζωῆς, οὗτοι καταλαμβάνουσι τρίβους εὐθείας τῆς ἀταράχου καὶ ἀδιαστάτου ζωῆς· οὐ καταλαμβάνονται ὑπὸ τῶν οἰκτειρμῶν αὐτοῦ εἰς τὰς τρίβους
v. 19. τῆς εὐθείας ἀειζωΐας.—Διώκοντας γὰρ δικαιοσύνην ἀγαπᾷ κύριος· καὶ οὐ μὴ συγκαταλάβηται αὐτοὺς ἡ τοῦ πονηροῦ βουλή· οὐ καταλαμβάνουσι δὲ τρίβους εὐθείας ζωῆς· οὐδὲ μὴ ἀντιστρέψουσιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οἱ τῷ διαβόλῳ πεποιθότες.

animali de pravo consilio nobiscum loquitur. Vel nunc malum consilium dicit diabolum. Hic enim improbe secum deliberavit, dicens: super astra ponam thronum meum, eroque similis Altissimo. Sed oblitus est divinae agnitionis, abiecta adolescentiae disciplina. Adolescentia autem intelligitur prior eius status, quo felix erat. Quod si adolescentes disciplina erudire valet, quae aetas absque disciplina valde contumax est; utique multo erit utilior homini seni.

Quicumque apprehenduntur ab annis vitae, per opera futurae aeternae vitae, hi rectas semitas invenient imperturbatae quietaeque vitae. (Qui secus) misericordia Dei non compelluntur in vias rectas aeternae vitae.—Nam sectatores iustitiae diligit Dominus, neque eos capiet consilium malum. Qui autem non apprehendunt rectas vitae vias, non convertentur ad regnum Dei, quia scilicet diabolo confidunt.

CAP. III.

v. 1. cod. f. 14. b. Οὗτος ἐπιλανθάνεται τοῦ νόμου, ὁ μὴ νομίμως βιούς· οὗτος δὲ μέμνηται τοῦ νόμου, ὁ ζῶν κατ' αὐτόν· καὶ οὗτος τηρεῖ τὰ ῥήματα τοῦ θεοῦ, ὁ μὴ μόνον ποιῶν αὐτά, ἀλλὰ καὶ ἄλλοις συμβουλευόμενος. οὗτος δὲ ἀπόλλυσιν αὐτά, ὁ μὴ βουλόμενος πράττειν αὐτά, καὶ ἑτέρους κωλύων· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δικαιωθήσονται.

v. 8. cod. f. 15. b. Ἴασις ἐστὶν ἡ ἐξ ἀρετῆς ὑγίεια τῇ πολιτείᾳ σου· ἡ δὲ τοῦ θεοῦ χάρις καὶ ἐπιμέλεια τοῖς λογισμοῖς σου καὶ διανοήμασιν· ὅταν αἱ δυνάμεις τῆς ψυχῆς, ἤγουν αἱ ἀρεταί, ἐπιμελείας τύχωσι, τὸ τηνικαῦτα ἐροῦσι πάντα τὰ ὀστᾶ μου· κύριε κύριε, τίς ὅμοιός σοι; ἐπιμελείας γὰρ τυχοῦσα ἡ μνημονευτικὴ δύναμις τῆς ψυχῆς, πάντως ἐρεῖ τό, ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην· ὁμοίως δὲ καὶ ἡ ὀπτικὴ λέξει τό, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην· ὡσαύτως δὲ καὶ ἡ ἐπιθυμητική· κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου· ἐρεῖ δὲ καὶ ἡ λογική· διελογισάμην ἡμέρας ἀρχαίας· κατὰ ταῦτα συμβήσεται καὶ ἐπὶ τῶν ἄλλων δυνάμεων.

v. 15. cod. f. 17. b. Τουτέστι τοῖς βουλομένοις οὐδὲν δύσκολον ἔχοι, καθάπερ ἡ τῶν χρημάτων ἐπιθυμία· νοῦς καθαρὸς ἐγγύζει σοφίᾳ· ἐπειδὴ τὸ εὖ γινώσκει· ὁ δὲ ἀκάθαρτος μακρυνθήσεται ἀπ' αὐτῆς.

Ille obliviscitur legis, qui legitime non vivit: meminit vero legis, qui ex eius norma vitam componit. Ille item verba Dei custodit, qui non ea tantummodo exsequitur, sed et aliis idem facere suadet. Is autem verba Dei pessumdat, qui nec ipse ea exsequi vult, et alios insuper impedit. Non enim auditores legis iustificabuntur.

Sanitas, quam virtus praebet, medela est vitae tuae: sic etiam Dei gratia et cura cogitationibus tuis et consiliis. Cum animae vires, id est virtutes, divinam curam sortitae fuerint, tunc omnia ossa mea dicent: Domine quis similis est tibi? Nam divino praesidio impetrato, memorialis facultas animae, prorsus dicet: memor fui Dei, et laetata sum. Similiter contemplativa facultas dicet: intellexi opera tua, et obstupui. Desiderativa aeque dicet: Domine, coram te omne desiderium meum. Denique rationalis facultas dicet: cogitavi dies antiquos. Reliquae pariter facultates ita se gerent.

Sapientiae studiosis nihil molestum erit, sicut etiam in pecuniae cupiditate usuvenit. Mens pura propinquat sapientiae, quia quod bonum est dignoscit. Verumtamen impura mens sapientia procul aberit.

Hoc lignum post transgressionem gustare Adamus prohibetur; quippe quia a iustitiae fructibus nascitur arbor vitae. Arbor vero vitae, sapientia Dei est. Merito autem tangere lignum hoc interdicitur iniquo cuivis.

Deus sapientia sua terram quoque fundavit, et sensu eius eruperunt abyssi, et nubes rore manarunt. Quam ergo heic Salomon terram dixit, Paulus latitudinem appellavit: et qui hoc loco caeli dicuntur, altitudinem ille vocat in epistola ad Ephesios: et quae tropice dicuntur abyssi, eas profunditatem dicit: roriferas denique nubes, longitudinem. Haec porro omnia rationalium naturarum symbola sunt, quae ornatu et corpore differunt secundum propriae constitutionis analogiam. Congruit sapientiae nomen etiam Dei filio. Sed et anima fidelis, terra est centuplicem fructum reddens: quae quidem ex pinguedine, id est sapientia, sapiens fit; Deo sapientiam super ea fundante. Facit enim hanc animam doctrinae cumulum, sapientiae cinnum; atque ex ea semper proficiente, caelum efficit, purissimam creaturam, angelorum atque intellectualium substantiarum habitaculum, existentis Dei sensu praeditam, rerum intimae naturae peritam, et variorum Dei iudiciorum.

Sapientiae tantummodo praevalere nequeunt daemones, qui *pravas* cogitationes in cor sapientis non sinuntur iniicere. Nam mens sapientiae contemplationibus intenta, impuris cogitationibus fit impervia.—Mens pura appropinquat sapientiae, quia quod rectum est agnoscit. Secus vero impura mens a sapientia longe discedit.

Scandalum rationalis naturae est cogitatio impura, vel falsa cognitio. Qui autem divina voluntate circummunitus est, in ante dicta non incurrit.

Neque incursio, inquit, malarum cogitationum sapientem terrefacient; neque impii exterius irruentes, virtutem eius infringent, dum eum naturalibus bonis spoliare volunt. Namque inexpugnabilem quis expugnet? Quamquam revera impio homine nihil est audacius. Quin adeo ipsam quoque immanissimam feram superabis, mitis si fueris et benignus, Deo tibi adsistente. Hinc intelligimus, ab eleemosyna extingui malas cogitationes, quae noctu nobis eveniunt, vel per phantasiam. Neque

Τούτου τοῦ ξύλου μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ v. 18. cod. f. 18. a.
μεταλαμβάνειν κωλύεται· εἴπερ ἀπὸ καρπῶν δι-
καιοσύνης φυτεύεται δένδρον ζωῆς· τὸ δὲ δένδρον
ζωῆς, ἡ τοῦ θεοῦ σοφία ἐστί· δικαίως δὲ ἅψα-
σθαι κεκώλυται τούτου τοῦ ξύλου πᾶς παράνομος.

Ὁ θεὸς τῇ μὲν σοφίᾳ καὶ τὴν γῆν ἐθεμελίωσε· v. 19.
διὰ δὲ τῆς αἰσθήσεως αὐτοῦ ἐῤῥάγησαν ἄβυσ-
σοι, τὰ δὲ νέφη ἐῤῥύησαν δρόσους· ἣν οὖν ἐν-
ταῦθα γῆν εἶπε, Παῦλος ὁ ἅγιος πλάτος ὠνό-
μασε· καὶ τοὺς ἐνταῦθα οὐρανοὺς λεγομένους,
ὕψος ἐκεῖνος ἐν τῇ πρὸς Ἐφεσίους καλεῖ· καὶ
τὰς λεγομένας τροπικῶς ἀβύσσους, ὀνομάζει βά-
θος· τὰ δεδροσωμένα νέφη, μῆκος καλεῖ· ταῦ-
τα δὲ πάντα λογικῶν ἐστι φύσεων σύμβολα, διαι-
ρουμένων κόσμοις καὶ σώματι κατὰ ἀναλογίαν
τῆς καταστάσεως· ἁρμόζει τοῦτο καὶ νῦν τῷ υἱῷ
τοῦ θεοῦ· ἀλλὰ καὶ ἡ ψυχὴ ἡ πιστὴ, γῆ εστιν
ἑκατονταπλασίον καρποφοροῦσα· αὕτη δὲ ἐκ τῆς
πιότητος, ἥτις ἐστὶ σοφία, σοφή· θεμελιοῦντος
αὐτὴν ἐπ' αὐτῇ τοῦ θεοῦ· ἑδράζει γὰρ αὐτὴν τὴν
συναγωγὴν τῆς διδασκαλίας, καὶ πῆξιν ἀπὸ σο-
φίας ποιούμενος· καὶ ἀεὶ προκοπτούσης οὐρανὸν
ἀπεργάζεται, καθαρώτατον κτίσμα, ἀγγέλων τὲ
καὶ τῶν νοηρῶν οὐσιῶν οἰκητήριον, λαβοῦσαν τὲ
αἴσθησιν τοῦ ὄντος, καὶ κατανοοῦσαν τὴν τῶν
πραγμάτων ἀκρίβειαν, οἱονεὶ τὸ πολύμυθον τῶν
τοῦ θεοῦ κριμάτων.

Πρὸς μόνην τὴν σοφίαν ἀδυνατοῦσιν οἱ δαίμο- v. 18. cod. f. 17. a.
νες, λογισμοὺς ἐμβάλλειν εἰς τὴν καρδίαν τοῦ
σεσοφισμένου μὴ συγχωρούμενοι· ὁ γὰρ νοῦς τοῖς
τῆς σοφίας ἀντιποιούμενος θεωρήμασιν, ἀνεπί-
δεκτος γίνεται λογισμῶν ἀκαθάρτων.—Νοῦς κα- cod. f. 17. b.
θαρὸς ἐγγίζει σοφίᾳ, ἐπειδὴ τὸ εὖ γινώσκει· ὁ δὲ
ἀκάθαρτος μακρυνθήσεται ἀπ αὐτῆς.

Πρόσκομμα λογικῆς φύσεως ἐστὶ λογισμὸς v. 23. cod. f. 19. a.
ἀκάθαρτος, ἢ γνῶσις ψευδής· ὁ δὲ τῇ τοῦ θεοῦ
βουλῇ περιστοιχειούμενος, ἐν τούτοις οὐ προσ-
κόπτει.

Οὔτε ἔφοδός, φησι, πονηρῶν λογισμῶν φοβήσει v. 25.
τὸν γεγονότα σοφὸν, οὔτε ἀσεβεῖς ἔξωθεν ἐπιόν-
τες τὴν αὐτοῦ καθαιρήσουσι δύναμιν, ἐρημῶσαι
θέλοντες τῶν φύσει καλῶν· τὸν γὰρ ἀνάλωτον
οὐδεὶς δυνήσεται λαβεῖν· καί τοι, τί τοῦ ἀσε-
βοῦς αὐθαδέστερον; ἀλλὰ καὶ αὐτοῦ φησι τοῦ
παντοδαποῦ θηρίου περιγενήσῃ, πρᾷος ὢν καὶ
ἐπιεικὴς, τοῦ κυρίου ὄντος μετὰ σοῦ· ἐντεῦθεν
δὲ μανθάνομεν, ὡς ἡ ἐλεημοσύνη περιαιρεῖ φο-
βερὰς φαντασίας, νύκτωρ ἡμῖν συμβαινούσας,
ἢ καὶ θεωρητικῶς· οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν

ἐν τῇ μεταστάσει πονηρῶν κατηγοριῶν, καὶ τῶν ἐν τῇ κρίσει βλαπτικῶν κολάσεων περιαιρεῖ τοὺς οὕτω φρονοῦντας· τὸ αὐτὸ δὲ ποιεῖ καὶ πραότης καὶ ἀοργησία καὶ μακροθυμία, καὶ ὅσα πέφυκε καταστέλλειν τὸν θυμὸν ταρασσόμενον· εἴπερ ἐκ τῆς ταραχῆς τοῦ θυμοῦ τὰ φοβερὰ φάσματα εἴωθε γίνεσθαι.

id tantummodo; sed a malis in vitae transitu accusationibus, et a molestis iudicii poenis liberat eos qui hac mente sunt. Idem praestant mansuetudo, lenitas, patientia, et quaecumque ad cohlbendas irae commotiones spectant: siquidem ex irae perturbatione terribiles phantasiae fieri solent.

v. 27. cod. f. 19. b. Οὐ μόνον τῶν ἐδωδίμων μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, ἀλλὰ καὶ γνώσεως θεοῦ καὶ σοφίας καὶ ἐντολῶν· καὶ πᾶν ὁτιοῦν θεῷ φίλον καὶ πρὸς αὐτὸν οἰκειοῦν, μὴ ἀπόσχῃ εὖ ποιεῖν τῷ ἐνδεομένῳ σου.

Non alimoniae tantummodo largus esto indigenti, verum etiam notitiae Dei sapientiaeque eius et praeceptorum. Et quicquid Deo gratum est, eique nos adpropinquans, ne tribuere abnuas ei qui ope tua indiget.

v. 30. cod. f. 20. a. Αὕτη ἡ πρὸς τὸν πλησίον ἔχθρα ἀπεργάζεται τινὰ κακὸν, οὐ μόνον σωματικὸν, ἀλλὰ καὶ ψυχικόν.

Haec adversus proximum inimicitia, male facit hominis non corpori tantum sed etiam animae.

v. 33. Ἄγνοια κυρίου ἐν οἴκοις ἀσεβῶν, γνῶσις δὲ θεοῦ ἐν ψυχαῖς δικαίων· ἐπαύλεις δικαίων εὐλογοῦνται, ὅταν ὁ Χριστὸς ἀπονέμῃ τὰ γέρα ἑκάστῳ κατὰ τὰ ἔργα αὐτῶν· τοῖς ἀσεβέσι δὲ κατάραν καὶ οὐκ εὐλογίαν.

Ignorantia Dei in domibus impiorum; Dei contra notitia in animabus iustorum. Domicilia iustorum benedicuntur: cum scilicet Christus ipsorum operibus praemia retribuet; verumtamen impiis maledictionem non benedictionem.

v. 34. Ἡ ἄκρα κακία καὶ εἰς τέλος ἐπηρμένη, ὑπερηφανία καλεῖται· ἀντιτάσσεται δὲ κύριος τοῖς μὲν ἀδίκοις, ὡς δικαιοσύνη· τοῖς ψεύσταις, ὡς ἀλήθεια· τοῖς δὲ ὑπερηφάνοις, ὡς ταπεινοφροσύνη· διὸ καὶ τοῖς ταπεινὰ φρονοῦσι φίλος ἐςί· τοῦτο γάρ ἐστι τὸ, δίδωσι χάριν ταπεινοῖς· τοῖς δὲ ὑπερηφάνοις ἀντιτάσσεται.

Summa et consummata nequitia, superbia appellatur. Adversatur autem Deus iniustis, quatenus iustitia est, mendacibus quatenus veritas, superbis quatenus modestia est. Propterea et humilium amicus est. Ita enim significant verba: humilibus dat gratiam; at superbis adversatur.

v. 35. cod. f. 20. b. Δόξαν οὐράνιον κληρονομήσουσιν οἱ τὴν ἔνθεον σοφίαν μαθόντες τε καὶ διδάξαντες· ὕψωσαν δὲ ἑαυτοῖς ἀτιμίαν οἱ ἀσεβεῖς, ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων παρὰ τοῦ Χριστοῦ.

Caelestem gloriam hereditabunt, qui divinam sapientiam didicerint et docuerint. Cumulant vero sibi ignominiam impii, coram angelis et hominibus, a Christo.

CAP. IV.

v. 1. cod. f. 20. b. Παιδείαν, τὴν ἠθικὴν ἀρετὴν λέγει· ἔννοιαν, τὴν θείαν γνῶσιν· υἱὸς δὲ ἀρετῶν ὁ κατ' αὐτὰς πεποιωμένος, ὃς οὐκ ἄλλου χάριν, ἀλλ' ἕνεκα τῆς ἀρετῆς τὰ κατ' αὐτὴν ἐνεργεῖ.

Disciplinam dicit moralem virtutem; intellectum, divinam scientiam. Filius autem virtutum est, qui illis est informatus; quique haud alterius rei gratiâ, sed propter ipsam virtutem, in ea se exercet.

v. 2. Δῶρον ἀγαθὸν δωροῦμαι ὑμῖν, τὴν ἐπουράνιον βασιλείαν, ἐὰν τὸν νόμον μου μὴ ἐγκαταλίπητε· σημειωτέον δὲ ἐνταῦθα, ὅτι δῶρον ἀγαθὸν ὀνομάζει τὸν νοῦν, διὰ τὸν λαμβάνοντα δῶρα ἐν κόλπῳ ἀδίκως, καὶ μὴ κατευοδούμενον· ἐκεῖνα γὰρ δῶρα ἄδικα, τὰ πράγματα λέγει τοῦ πονηροῦ, ἅπερ ὁ νοῦς δεχόμενος, οὐ κατευοδοῦται ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Donum bonum do vobis caeleste regnum, si legem meam non deserueritis. Heic porro animadvertendum est, donum bonum dici ab eo mentem, propter illum qui dona in sinum accipit iniuste, et nec prospero successu utitur. Nam iniqua illa dona dicit pro inprobi hominis negotiis, quae si mens excipiat, in viis suis non fortunatur.

v. 9. cod. f. 21. b. Στέφανος χαρίτων αἱ ἐντολαὶ τοῦ θεοῦ εἰσιν, αἵτινες τὸν ςέφανον τῆς βασιλείας ἀντιπαρέχουσι τοῖς ποιοῦσιν αὐτάς· ςέφανος δὲ τρυφῆς ἡ

Corona gratiarum, mandata Domini sunt, quae regni coronam vicissim retribuunt observantibus ipsa. Corona vero deliciarum cog-

nitio Dei, quae nos protegens, omnem lascivam cogitationem, omnemque falsam scientiam repellit.

Hae complures viae ad unam vergunt viam, quae dicit: ego sum via. Multas autem vias dixit virtutes, quae ad Dei cognitionem deducunt. Multiplicabuntur autem anni vitae homini, qui in prophetarum voce audit caelestem patrem, recipitque per unigenitum filium verba illius, ut in vitae iustae viis dirigatur, quò salvus fiat in aeterna vita.

Horum castrorum statio est nequitia, et falsa scientia, et quicquid Deo invisum est. Hostes enim sunt impiae cogitationes, quae animas perimunt.

Dilectis suis largitur Deus somnum; at impii dilectione eius non fruuntur, quibus certe somnum Dominus non concedit. Hinc credibiliter ostendi potest, haud esse idoneam capiendo somno daemonum naturam.

Anteeunt nobis virtutes, nosque illuminant in praesente vita; quae si cum futura comparetur, quae dies est, nox dicetur; donec exsurgat dies, in qua iustitiae sol orietur. Vel dicit, quoad tuto in loco nos constituant, non recedunt. Est enim diei proprium, ut tenebras dispellat. Quod sane Christus etiam aiebat: qui ambulat in die, non offendit. Contra fit in viis impiorum; qui cum neque sciant neque intelligant, in tenebris ambulant et offendunt; neque ullam veniam inveniunt, quasi ignorantia prolapsi fuerint: ipsi enim sibi tenebras obduxerunt. Et videsis, quod virtus in mediis etiam tenebris lucem diffundit; nequitia autem, in luce quoque tenebrescit. —Sed neque quomodò peccant impii sciunt, neque causam offensionum suarum norunt: denique ne ipsum quidem peccatum suum animadvertunt; quod extremae nequitiae indicium est.

Fontes dicit virtutes, unde scatet aqua vivens divinorum verborum, id est Christi cognitio. David quoque: apparuerunt, inquit, fontes aquarum, et revelata sunt fundamenta orbis terrarum, sub adventu videlicet servatoris nostri Iesu Christi.

Oculi tui, inquit, recta videant, id est ea tantum quae Deo sunt placita; nempe quae a prophetis manifestata nobis fuerunt de solo Christo discipulisque eius: quaecumque de-

γνῶσις ἡ τοῦ θεοῦ, ἥ τις ὑπερασπίζουσα ἡμῶν, πάντα λογισμὸν ἐμπαθῆ, καὶ πᾶσαν γνῶσιν ψευδῆ ἀπωθεῖται.

Αὗται αἱ πολλαὶ ὁδοὶ εἰς μίαν ἄγουσιν ὁδὸν, v. 10. cod. f. 21. b.
τὴν εἰποῦσαν· ἐγώ εἰμι ἡ ὁδός· πολλὰς δὲ εἴρηκεν ὁδοὺς, τὰς ἀρετὰς τὰς φερούσας ἐπὶ τὴν γνῶσιν τοῦ θεοῦ. Πληθυνθήσεται δὲ ἔτη ζωῆς τοῦ ἀκούοντος διὰ τῶν προφητῶν τοῦ ἐπουρανίου πατρὸς, καὶ δεχομένου διὰ τοῦ μονογενοῦς υἱοῦ τοὺς λόγους αὐτοῦ, εἰς τὸ κατευθυνθῆναι ἐν ταῖς ὁδοῖς τῆς δικαιοσύνης τοῦ βίου, ὅπως ἀποσωθῇ εἰς τὴν ἀείζωον ζωήν.

Τούτου τοῦ στρατοῦ ὁ τόπος ἐστὶν ἡ κακία v. 15. cod. 22. b.
καὶ ἡ ψευδώνυμος γνῶσις, καὶ πᾶν ὁτιοῦν ἄδεκτον τῷ θεῷ· πολέμιοι γάρ εἰσιν οἱ ἀσεβεῖς λογισμοὶ, ψυχὰς ἀποκτείνοντες.

Ἐν τοῖς ἀγαπητοῖς αὐτοῦ δίδωσιν ὁ κύριος v. 16.
ὕπνον· οἱ δὲ ἀσεβεῖς οὐκ εἰσὶν αὐτοῦ ἀγαπητοί· τοῖς ἀσεβέσιν ἄρα οὐ δίδωσιν ὕπνον ὁ κύριος· ἐντεῦθεν δέ ἐστι καὶ πιθανῶς δεῖξαι, ὅτι οὐ καθεύδειν πεφύκασι δαίμονες.

Προπορεύονται ἡμῶν αἱ ἀρεταὶ, καὶ φωτίζουσιν v. 18. cod. f. 23. a.
ἡμᾶς ἐν τῷ παρόντι βίῳ, ὃς πρὸς τὸν μέλλοντα, ἡμέραν ὄντα, νὺξ λέγεται· ἕως κατορθώσει ἡ ἡμέρα ἐν ᾗ ὁ τῆς δικαιοσύνης ἥλιος ἀνατέλλει. Ἢ ἀντὶ τοῦ, ἕως ἡμᾶς ἐν ἀσφαλείᾳ καταστήσουσιν, οὐκ ἀφίστανται· τοῦτο γὰρ ἡμέρας ἴδιον, τὸ σκότος διαλύειν· ὅπερ οὖν καὶ Χριστὸς ἔλεγεν· ὁ περιπατῶν ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει· τοὐναντίον δὲ αἱ τῶν ἀσεβῶν· ἐπεὶ οὖν οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· προσκόπτουσιν, ἀλλ᾽ οὐκ ἔχουσι συγγνώμην ὡς ἀγνοίᾳ προσπταίοντες· αὐτοὶ γὰρ ἑαυτοῖς τὸ σκότος εἰργάσαντο· ὅρα δὲ ὡς ἡ μὲν ἀρετὴ, καὶ ἐν σκότει φῶς ἐποίησεν. ἡ δὲ κακία καὶ ἐν φωτὶ, σκότος.—Οὐδὲ τὸν τρόπον πῶς ἁμαρτάνουσιν, οἱ v. 19.
ἀσεβεῖς ἐπίστανται· οὐδὲ τὴν αἰτίαν γινώσκουσι, πόθεν προσκόπτουσιν· ἀλλ᾽ οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι παρανομοῦσιν· ὅπερ ἐστὶν γνώρισμα τῆς ἐσχάτης κακίας.

Πηγὰς λέγει τὰς ἀρετὰς, ἀφ᾽ ὧν γεννᾶται v. 21.
τὸ ὕδωρ τὸ ζῶν τῶν θείων ῥημάτων, ὅπερ ἐστὶν ἡ γνῶσις τοῦ Χριστοῦ. Καὶ ὁ Δαυίδ· ὤφθησαν γάρ, φησιν, αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθησαν τὰ θεμέλια τῆς οἰκουμένης, παρὰ τὴν ἐπιδημίαν δηλονότι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Οἱ ὀφθαλμοί σου, εἶπεν, ὀρθὰ βλεπέτωσαν, v. 25. cod. f. 23. b.
τουτέστι τὰ θεῷ μόνα φίλα, ἤγουν τὰ παρὰ τῶν προφητῶν ἡμῖν σαφηνισθέντα περὶ τοῦ Χριστοῦ μόνου καὶ τῶν μαθητῶν αὐτοῦ· καὶ ὅσα παρά

τινος πρὸς τὸν Χριστὸν οἰκειοῦντα λαληθείη καὶ μόνον.

v. 27. cod. f. 24. a. Συμφωνεῖ τούτοις τὸ, ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν· τουτέστιν ἐὰν μὴ κύριος δῴη ἡμῖν ἰσχὺν τοῦ κατευθῦναι τὰ πρὸς αὐτὸν διαβήματα, μάτην ἡμεῖς κοπιῶμεν, οἱ μὴ ἐν παρακλήσει αὐτὸν ἐπικαλούμενοι, ἀλλ' ἐν αὐθαδείῃ ἐπιχειροῦντες.

nique abs quovis dicentur ad Christum tantummodo deducentia.

His consonant illa: nisi Dominus aedificaverit domum, et custodiverit civitatem. Idest, nisi Dominus nobis vim suppeditaverit dirigendi ad ipsum gressus nostros, frustra nos laboramus, qui nequaquam eum precibus invocamus, sed cum audacia rem gerimus.

CAP. V.

v. 1. cod. f. 24. b. Στωμυλεύονται γὰρ αἵτε πρόδηλοι πόρναι, καὶ αἱ τῶν ἑτεροδόξων διδασκαλίαι, ἀπατῶσαι διὰ τῆς χρηστολογίας τὰς τῶν ἀκάκων καρδίας· μεγίστη οὖν ἀσφάλεια τὸ μὴ ἁλῶναι τὴν ἀρχήν· ἁλόντα γὰρ, δύσκολον διαφυγεῖν.

v. 3. ibid. Μέχρι μὲν τῆς ἀκοῆς αὐτῶν, τὸ καλόν. σημαίνει δὲ τὸ λῖπος τὴν ἡδονὴν, ἀφ' ἧς τίκτεται ἡ ἀκαθαρσία· ἧς ἔκγονον, κακία καὶ ἄγνοια· ὧν οὐδέν ἐστι πικρότερον ἐν τοῖς γεγονόσιν εὑρεῖν ἐν ἡμέρᾳ κρίσεως.

v. 9. cod. f. 25. b. Ἐντεῦθεν γινώσκομεν ὅτι τὸ θυμικὸν μέρος ἐπικρατεῖ ἐν τοῖς δαίμοσιν· ἀνελεήμων γὰρ, φησι, θυμὸς, καὶ ὀξεῖα ὀργὴ αὐτῶν· θηρεύουσι γὰρ εἰς ἀπώλειαν τοὺς πειθαρχοῦντας αὐτοῖς· οὕτω γὰρ τιμῶσι τοὺς τιμῶντας αὐτούς.

v. 11. cod. f. 26. a. Διὰ τῶν κακιῶν οἱ πονηροὶ κατατρίβουσι τὰς σάρκας τοῦ Χριστοῦ, καὶ τὸ αἷμα καταναλίσκουσι, κοινὸν αὐτὸ ἡγησάμενοι 1)· ὁ τρώγων γάρ μου, φησὶ, τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν ἐσχάτῃ ἡμέρᾳ· ὁ δὲ ἀναξίως ἐσθίων τὸ σῶμα καὶ πίνων τὸ αἷμα τοῦ κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει.

v. 14. Ἦν ὅτε οὐκ ἦν κακὸν, καὶ ἔσται ὅτε οὐκ ἔσται· ἀνεξάλειπτα γὰρ τὰ σπέρματα τῆς ἀρετῆς· πείθει δέ με καὶ οὗτος παρ' ὀλίγον, καὶ οὐ τελείως ἐν παντὶ κακῷ γεγονὼς ὁ πλούσιος ἐν τῷ ᾅδῃ διὰ κακίαν κρινόμενος, καὶ οἰκτείρων τοὺς ἀδελφοὺς 2)· τὸ δὲ ἐλεεῖν, σπέρμα τυγχάνει τὸ κάλλιστον τῆς ἀρετῆς.

v. 15. cod. 26. b. Ἡ γνῶσις καὶ φρέαρ ἐστὶ καὶ πηγή· τοῖς μὲν γὰρ προσελθοῦσι ταῖς ἀρεταῖς, βαθὺ φρέαρ εἶναι δοκεῖ· τοῖς δὲ ἀπαθέσι καὶ καθαροῖς, πηγή· οὕτω καὶ ὁ σωτὴρ ἐκαθέζετο ἐπὶ τῇ πηγῇ, ὥρα ἦν ὡσεὶ ἕκτη· πηγὴν δὲ νόει τὴν θείαν γνῶσιν, καὶ οὐ τὸ φρέαρ τοῦ ὕδατος· ὥσπερ δὲ ἡ πηγὴ πρόκειται ἀκόπως, τουτέστι τὸ τρέχον ὕδωρ τοῖς

Blaterant enim tum publicae meretrices, tum heterodoxorum scholae, pulchro eloquio ingenuorum corda decipientes. Est itaque tutum maxime, ne initio decipiamur; nam deceptus, difficile evadit.

Auditionis tenus, delectatio. Pinguedo autem voluptatem denotat, ex qua impuritas gignitur: cuius progenies, nequitia et inscitia. Atqui his vitiis nihil invenietur amarius in die iudicii.

Hinc cognoscimus qualitatem iracundam in daemonibus praevalere. Immitis enim est, inquit, furor eorum, et ira acuta. Venantur quippe ad interitum eos qui sibi obtemperant. Sic videlicet honorant eos, qui ipsos honorant.

Peccatis suis improbi homines Christi carnes conterunt, et sanguinem consumunt, rem profanam existimantes. Attamen ait Christus: qui manducat meam carnem et bibit meum sanguinem, habet vitam aeternam, et ego resuscitabo eum in novissimo die. Iam vero qui indigne corpus manducat et sanguinem bibit Domini, iudicium sibi manducat et bibit.

Olim non fuit malum, et hoc ipsum aliquando non erit: sunt enim indelebilia virtutis semina. Hoc mihi propemodum suadet dives ille qui non omnino totus malus fuerat, etsi ob nequitiam inferis adiudicatus: ecce enim ille misericordiam erga fratres retinebat. Atqui misericordia, semen est virtutis optimum.

15. Scientia puteus simul est et fons: etenim illis qui ad virtutem primum accedunt, profundus puteus videtur: at imperturbatis atque puris, fons. Sic etiam Salvator sedebat supra fontem hora circiter sexta. Tu vero fontem intellige divinam scientiam, non aquae puteum. Et sicuti fons prostat absque labore,

1) Animadverte catholicum doctissimi et antiquissimi Origenis testimonium de sacrosancta eucharistia.
2) Heic innuit Origenes errorem illum suum de futura, post vitam, conversione impiorum, et poenarum fine.

utpote aqua discurrens sitientibus, ita puteus laborem requirit volentium exantlare. Et sicuti fons incessanter manat, ita sensibilis scriptura perennem habet fluxum, faciliterque his qui sitiunt Deum donat. Et sicuti puteus laborem creat exantlantibus, ita et scientia contemplativa iis qui volunt virtutes recte exercere animae corporisque, et divina intelligere, et caelorum regnum adipisci.

Heic mulieris vocabulo scientiam Dei denotat; quae nobis iam inde ab adolescentia tradita fuit; et quam superius Salomon iuventutis magisterium dixit. Fili enim, inquit, ne te capiat consilium malum (id est diabolus malorum consiliorum molitor) quo doctrina iuventutis deseritur, et divinum foedus oblivioni traditur. Oblivio autem et derelictio, possessu scientiae deteriores sunt, veluti sanitate longe peior morbus, et infra vitam mors. Simul tamen ipsa scientia et mater dicitur et uxor atque soror: mater, quia qui docuit me, per scientiam me genuit, ut Paulus per evangelium Galatas: uxor, quia mihi copulata parit virtutes et recta dogmata; siquidem reapse scientia parit viro prudentiam: soror, quia ego pariter atque illa ex uno geniti fuimus Deo patre. Dic enim, inquit, sapientiae, ut soror tua sit.

Gratia et amicitia liberant. Virtus autem et scientia, rationalem animam liberant. Nam gratia et amicitia, virtus et scientia sunt. Iam si cervus ex amicitia, et pullus ex gratiis gignitur; cervus quidem est contemplationis symbolum, pullus autem quietis a cupiditatibus; quorum alterum ex virtutibus, alterum ex scientia confieri comparatum est.—Cervus est contemplationis symbolum circa corpora et incorporea et scientiam Dei: amicitia autem, dilectionis erga Deum et homines: pullus denique, imperturbati animi. Et theoria quidem scientiae Dei, ex animae virtutibus procreari solet: dilectio, ex sapientia: tranquillitas, ex virtutibus corporis. Hortatur vero nos ut cum huiusmodi gratiis semper versemur: nam qui cum iis consuescet, non ad Deum solum accedet, sed cum illo etiam habitabit.—Propria rationalis naturae est virtus, quae amicitia appellatur, et Deo conciliat, copulatque eos qui se sequuntur per scientiam Dei.—Nam qui virtutis scientiaeque amore ducitur, quotuscumque meliorum est.

διψῶσιν, οὕτω τὸ φρέαρ ἐν κόπῳ τοῖς θέλουσιν ἀντλεῖν· καὶ ὥσπερ ἡ πηγὴ ἄπαυστός ἐστι τοῦ ῥεῖ, οὕτω ἡ αἰσθητικὴ γραφὴ ἀέννaον ἔχει τὸν δρόμον, καὶ εὔκολον τοῖς διψῶσι τὸν θεὸν γεραίρειν· καὶ ὥσπερ τὸ φρέαρ κόπον παρέχει τοῖς ἀντλοῦσιν, οὕτω καὶ ἡ θεωρητικὴ γνῶσις τοῖς θέλουσι δι' αὐτῆς τὰς ἀρετὰς κατορθῶσαι, ψυχῆς τε καὶ σώματος, τά τε θεῖα ἐννοεῖν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀντιποιηθῆναι.

Γυναῖκα ἐνταῦθα τὴν τοῦ θεοῦ γνῶσιν σημαί- v. 18. cod. f. 27. a.
νει· αὕτη δὲ ἐκ νεότητος ἡμῖν ἐδόθη· ἥν τινα ἀνωτέρω διδασκαλίαν ὁ Σολομῶν νεότητος λέγει· υἱὲ, γάρ φησι, μή σε καταλάβῃ βουλὴ κακὴ (τὸν διάβολον λέγων, ὡς κακῶς βουλευσάμενον·) ἡ ἀπολιποῦσα διδασκαλίαν νεότητος, καὶ διαθήκην θείαν ἐπιλελησμένη· λήθη δὲ καὶ ἀπόλειψις, γνώσεως κτήσεως δεύτεραι· ὥσπερ καὶ ὑγείας νόσος ἐσχάτη, καὶ ζωῆς θάνατος δεύτερος· ἅμα δὲ καὶ τούτοις τε, ὅτι ὅπερ ἡ αὐτὴ γνῶσις, καὶ μήτηρ λέγεται καὶ γυνὴ καὶ ἀδελφή· μήτηρ μὲν, ἐπειδὴ ὁ διδάξας με, δι' αὐτῆς με γεγέννηκεν, ὡς Παῦλος διὰ τοῦ εὐαγγελίου Γαλάτας· γυνὴ δὲ, ὅτι συνοῦσα μοι τίκτει τὰς ἀρετὰς καὶ δόγματα ὀρθά· εἴ γε ἡ σοφία ἀνδρὶ τίκτει φρόνησιν· ἀδελφὴ, ὅτι ἐγώ τε καὶ αὕτη ἐκ τοῦ ἑνὸς γεγόναμεν θεοῦ καὶ πατρός· εἰπὸν γάρ, φησι, τὴν
σοφίαν, σὴν ἀδελφὴν εἶναι *. * Prov. VII. 4.

Ἡ χάρις καὶ ἡ φιλία ἐλευθεροῖ· ἡ δὲ ἀρετὴ v. 19. cod. f. 27. b.
καὶ γνῶσις, ἐλευθεροῦσι ψυχὴν λογικήν· ἡ χάρις γὰρ καὶ ἡ φιλία, ἀρετὴ καὶ γνῶσις ἐστίν· εἰ δὲ ἔλαφος ἐκ τῆς φιλίας, ὁ πῶλος ἐκ τῶν χαρίτων γεννᾶται· ἡ οὖν ἔλαφος ἐστὶ τῆς θεωρίας σύμβολον· ὁ δὲ πῶλος, τῆς ἀπαθείας· ἡ μὲν γὰρ, ἐξ ἀρετῶν· ἡ δὲ, ἐκ τῆς γνώσεως γίνεσθαι πέφυκεν·—Ἡ μὲν ἔλαφος ἐστὶν θεωρίας σύμβολον, σωμάτων καὶ ἀσωμάτων καὶ γνώσεως θεοῦ· ἡ δὲ φιλία, τῆς πρὸς θεὸν καὶ τὸν πλησίον ἀγάπης· ὁ δὲ πῶλος τῆς ἀπαθείας· καὶ ἡ μὲν θεωρία τῆς πρὸς θεὸν γνώσεως, ἐξ ἀρετῶν εἴωθε γίνεσθαι ψυχικῶν· ἡ δὲ ἀγάπη, ἐκ τῆς σοφίας γίνεσθαι πέφυκεν· ἡ δὲ ἀπάθεια, ἐκ τῶν τοῦ σώματος ἀρετῶν· παραινεῖ δὲ ἡμᾶς ταῖς τοιαύταις χάρισιν ἀεὶ προσομιλεῖν· ὁ δὲ τούτοις ἐμφιλοχωρῶν, οὐ μόνον τῷ θεῷ προσομιλήσει, ἀλλὰ καὶ σύνοικος γενήσεται αὐτῷ·—Ἰδία τῆς λογικῆς φύσεως ἐστὶν ἡ ἀρετὴ, ἥ τις καλεῖται φιλία, καὶ συμφιλιάζει τῷ θεῷ τοὺς ἑπομένους αὐτῇ διὰ τῆς γνώσεως τοῦ θεοῦ.—Ἐν γὰρ τῇ τῆς ἀρετῆς φιλίᾳ καὶ τῇ τῆς γνώσεως, ὁ συμπεριφερόμενος πολλοστός ἐστι τῶν ὠφελουμένων.

v. 20. cod. f. 28. a. Τινὲς μὲν τοῦτο περὶ τῆς ἔξωθεν σοφίας νομίζουσι λέγεσθαι, πρὸς ἣν χρονίζειν οὐ καλὸν διὰ τὰς ἐν αὐτῇ ἀπάτας· τινὲς δὲ περὶ τῆς κακίας καὶ τὸ μὴ πολὺν εἶναι πρὸς αὐτὴν, ἑρμηνεύουσιν οὕτως· ὅτι ἀδύνατον μὲν παντάπασιν ἀπέχεσθαι ἄνθρωπον πονηρῶν λογισμῶν· μὴ ἐγχρονίζειν μέν τοι ἐν αὐτοῖς, δυνατόν· οὓς καὶ ἀγκάλας καλεῖ.

Nonnulli hoc de profana sapientia dici putant, in qua diu versari non expedit, propter haerentes in ea errores. Alii de improbitate, quominus videlicet familiares ei simus, interpretantur sic: nempe quia etsi impossibile est hominem malis cogitationibus omnino carere; attamen in iis non immorari, possibile; quas auctor ulnas appellat.

CAP. VI.

v. 3. cod. f. 29. a. Πᾶς ὁ τὸν φίλον τὸν Χριστὸν ἐγγυώμενος, ὡς δικαιοσύνην καὶ ἀλήθειαν, παραδίδωσι τὴν ἑαυτοῦ ψυχὴν τοῖς ἐχθροῖς, τοῖς εἰωθόσι πολεμεῖν τοῖς ἀνθρώποις, διὰ τὴν πρὸς τὸν σωτῆρα φιλίαν· φιλία γάρ ἐστι πνευματικὴ, γνῶσις θεοῦ, καθ' ἣν καὶ οἱ ἅγιοι φίλοι θεοῦ χρηματίζουσιν, ὡς ὁ Ἰωάννης ὁ βαπτιστὴς φίλος ἦν τοῦ νυμφίου, Μωϋσῆς τε καὶ οἱ ἀπόστολοι· οὐκέτι γὰρ, φησιν, ὑμᾶς καλῶ δούλους, ἀλλὰ φίλους.

v. 4. cod. f. 29. a. Ὁρᾷς ἀγῶνα καὶ ἀγρυπνίαν; ὕπνος μέν ἐστι ψυχῆς ἡ κατ' ἐνέργειαν ἁμαρτία· νυσταγμὸς δὲ, τὸ πρῶτον ἐν τῇ ψυχῇ συνιστάμενον ἀκάθαρτον νόημα· ἐπινυσταγμὸς δὲ ἡ πρὸς τὰ χείρω ῥοπή· κωλύει οὖν ὁ μὲν νόμος, τὸν ὕπνον· τὸν δὲ νυσταγμὸν τὸ εὐαγγέλιον· εἴ γε ὁ μὲν περικόπτει τὴν κατ' ἐνέργειαν ἁμαρτίαν· τὸ δὲ, τὴν κατὰ διάνοιαν πρῶτον συνισταμένην κακίαν· ἐρρέθη γὰρ, φησι, τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, οὐκ ὀργισθήσῃ.

v. 6. cod. f. 29. b. Σημειωτέον ἐνταῦθα, ὅτι τὴν τοῦ μύρμηκος φυσικὴν ἐναρμόνιον κίνησιν, σοφίαν καλεῖ· καὶ γὰρ ὁ σοφώτερος σοφοῦ, σοφώτερος λέγεται· πῶς δὲ καὶ οὐκ ἔστιν ὑπὸ δεσπότην, εἴ γε τὰ σύμπαντα δοῦλα τοῦ θεοῦ; ἢ μή ποτε ὁ θεὸς λέγεται δεσπότης διχῶς, ὡς δημιουργὸς, καὶ
* Rom. VI. 22. ὡς γινωσκόμενος; διὸ καὶ Παῦλος γράφει *· « νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ (δηλονότι κατ' ἀρετὴν καὶ γνῶσιν) ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμὸν, τὸ δὲ τέλος ζωὴν αἰώνιον »· εἰ δὲ τοῦ τοιούτου τέλους καὶ τῆς γνώσεως ἄμοιρος ἐστὶν ὁ μύρμηξ ἄλογος ὢν, δῆλον ὅτι καὶ τῆς τοιαύτης δουλείας ἐλεύθερος· καλῶς οὖν λέγεται μὴ εἶναι ὁ μύρμηξ ὑπὸ δεσπότην, κατὰ ταύτην τὴν δεσποτείαν· εἶναι δὲ πάλιν ὑπὸ δεσποτείαν λέγεται, ὑπὸ τὸν θεὸν, ὡς ὑπὸ δημιουργόν.

v. 8. cod. f. 30. b. Διὰ μὲν τοῦ μύρμηκος ἔοικεν ὁ Σολομῶν τὴν πρακτικὴν ὁδὸν ἡμῖν ὑπογράφειν· διὰ δὲ τῆς με-

Quicumque sibi amicum Christum despondet, tamquam iustitiam ac veritatem, is animam suam inimicis contradit, qui homines oppugnare solent propter ipsorum erga Salvatorem caritatem. Nam caritas spiritalis, est scientia Dei, cuius causa sancti viri Dei sunt amici, ut Iohannes baptista amicus sponsi erat, Moysesque, et apostoli: iam enim, inquit, non appellabo vos servos sed amicos.

Viden' certamen et vigilantiam? Animae quippe somnus est peractum peccatum: dormitatio autem conflatus in anima impurus cogitatus: denique indormitatio, declinatio ad deteriora. Vetat somnum lex, dormitationem evangelium: illa enim amputat peccati consummationem, hoc suborientem menti nequitiam. Nam dictum fuit antiquis: non occides; ego autem dico vobis, non irascaris.

Heic animadvertendum est, formicae naturalem concinnum motum, vocari ab auctore sapientiam. Nam qui est sapiente sapientior, is dicitur sapientior. Quomodo autem formica sub domino non est, quandoquidem omnia Deo famulantur? nisi quod Deus dupliciter dicitur dominus, et quia creator, et quia cognitus. Quare et Paulus scribit: « nunc vero liberati a peccato, servi autem facti Deo (idest secundum virtutem ac scientiam) habetis fructum vestrum in sanctificationem, finem vero vitam aeternam ». Iam si finis huiusmodi atque scientiae expers est formica utpote irrationalis, constat eam esse huiuscemodi quoque famulatu liberam. Bene ergo dicitur formica non esse sub domino, secundum huiuscemodi dominatum. Attamen sub Dei dominatu vicissim dicitur, sub eo scilicet tamquam creatore.

Formicae similitudine videtur nobis Salomon viam agendi describere: ape autem theoriam

actarum rerum ipsiusque actoris denotare: quam theoriam seu doctrinam puri aeque atque impuri, sapientes ac fatui, ad suae animae sanitatem adhibent. Et mihi videtur favus, ipsorum negotiorum locum tenere: haerens autem ei mel, symbolum esse theoriae ipsorum. Et favus quidem praeteribit; nam caelum, inquit, et terra praeteribunt: mel tamen non praeteribit, quia salvatoris nostri Iesu Christi verba non praeteribunt. De quibus dicit Salomon: favi mellis, pulchri sermones; et dulcedo horum, animae medela. David etiam: dulciora, inquit, faucibus meis oracula tua, plus quam mel ori meo. Effectum vero laboris virtutum atque scientiae, laborem nominavit. Reges porro et idiotas, non dicit vel eos qui diademate ornantur, vel de sterquilinio pauperes; sed homines qui erga Deum mentem bene eruditam atque in virtutibus obfirmatam habent, hos reges dicit.

Somnus hic rationali tantum animae obrepit. Namque heic significat insipientiam et inscitiam. Evigilatio quidem facit hominem tamquam struthionem solitarium in domo.

Heic attendendum est, ne forte ex huiuscemodi corporis motibus cognoscant adversarii cogitationes intra nos versantes. Nam cordium quidem solum Deum cognitorem esse credimus.

Quicumque Christi carnes manducat, et eius sanguinem bibit, sanguinem iustum possidet; quo si privetur rationalis anima, ea mori dicitur. Nam anima quae peccat, ipsa morietur. Quod si quis sanguis iustus est, utique erit et iniustus, quem sibi attrahunt qui comedunt datum in escam populis Aethiopum (draconem) pane mendacii nutritum. Et sane qui diis alienis sacrificant, iustum sanguinem suum pessumdant: qui autem semet sacrificium Deo soli offerunt, ii sanguinem iniustum disperdunt. Subsequetur autem omnino iniusti sanguinis corruptio. Verumtamen id nonnisi praesente tempore accidit; sed ab initio non fuit sic. Non enim in morbi corruptione valetudo puerorum fuit, qui sani initio geniti fuerunt.

Reprehendit mutua mendacia, quae ipsos ad disceptationes conferunt atque lites. Vel

λίσσης, τὴν θεωρίαν τῶν γεγονότων σημαίνει καὶ αὐτοῦ τοῦ ποιήσαντος, ἥν τινα καὶ καθαροὶ καὶ ἀκάθαρτοι, καὶ σοφοὶ καὶ ἀνόητοι, πρὸς τὴν τῆς ψυχῆς ὑγείαν προσφέρονται· καὶ φαίνεται μέν μοι ὁ κηρὸς, αὐτῶν τῶν πραγμάτων λόγον ἐπέχειν· τὸ δ' ἐναποκείμενον αὐτῷ μέλι, σύμβολον εἶναι τῆς θεωρίας αὐτῶν· καὶ ὁ μὲν κηρὸς παρελεύσεται· ὁ οὐρανὸς γάρ, φησι, καί ἡ γῆ παρελεύσεται· τὸ δὲ μέλι οὐ παρελεύσεται· οὐδὲ γὰρ οἱ λόγοι παρελεύσονται τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· περὶ ὧν λέγει ὁ Σολομῶν *· κηρία μέλιτος, λόγοι * Prov. XVI. 24. καλοί· γλύκασμα δὲ αὐτῶν, ἴασις ψυχῆς· καὶ ὁ Δαυὶδ *, ὡς γλυκύτερά φησι τῷ λάρυγγί μου, * Ps. CXVIII. 103 τὰ λόγια σου ὑπὲρ μέλι τῷ στόματί μου· τὸ δὲ ἀποτέλεσμα τοῦ πόνου τῶν ἀρετῶν καὶ τῆς γνώσεως, πόνον ὠνόμασε· βασιλεῖς δὲ καὶ, ἰδιώτας, οὐ τοὺς τὸ διάδημα ἔχοντας, ἢ τοὺς ἐν κοπρίᾳ πένητας λέγει, ἀλλὰ τοὺς πρὸς τὸν θεὸν τὸν νοῦν σεσοφισμένον καὶ ἐῤῥωμένον ταῖς ἀρεταῖς ἔχοντας, βασιλεῖς λέγει.

v. 9. cod. f. 31. a. Ὁ ὕπνος οὗτος μόνῃ πέφυκεν ἐπισυμβαίνειν ψυχῇ λογικῇ· σημαίνει γὰρ ἐνταῦθα [ἄγνοι]αν καὶ ἀγνωσίαν· ὧν ἡ ἀγρυπνία ποιεῖ τινὰ, ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

v. 13. cod. f. 32. a. Προσεκτέον ἐνταῦθα μή ποτε ἄρα διὰ τῶν τοιούτων κινημάτων τοῦ σώματος γινώσκωσιν οἱ ἀντικείμενοι τοὺς αὐτῶν λογισμοὺς ἐν ἡμῖν στρεφομένους· ἐπειδὴ καρδιογνώστην μόνον τὸν Θεὸν πεπιστεύκαμεν εἶναι.

v. 17. Πᾶς ὁ τρώγων τὰς σάρκας τοῦ Χριστοῦ καὶ πίνων τὸ αἷμα αὐτοῦ 1), κτᾶται αἷμα δίκαιον· οὗ στερισκομένη ψυχὴ λογικὴ, λέγεται ἀποθνήσκειν· ψυχὴ γάρ, φησιν, ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται· εἰ δὲ ἔστιν αἷμα δίκαιον, ἔστι δηλονότι καὶ αἷμα ἄδικον· ὅπερ συνάγουσιν ἐν ἑαυτοῖς οἱ κατεσθίοντες τὸ δεδομένον βρῶμα λαοῖς τοῖς Αἰθίοψι *· καὶ τρεφόμενον τῷ ἄρτῳ τοῦ ψεύ- * Ps. LXXIII. 14. δους· καὶ οἱ μὲν θύοντες θεοῖς ἀλλοτρίοις, τὸ δίκαιον ἑαυτῶν αἷμα καταναλίσκουσιν· οἱ δὲ ἑαυτοῖς θυσίαν τῷ μόνῳ θεῷ, τὸ ἄδικον διαφθείρουσιν αἷμα· ἀκολουθήσει δὲ πάντως τῇ μὲν φθορᾷ τοῦ ἀδίκου αἵματος· ἀλλὰ τοῦτο μὲν πάντως νῦν πέφυκε γίνεσθαι, ἀπ' ἀρχῆς δὲ οὐχ οὕτως· οὐ γὰρ κατὰ φθορὰν νόσου, ὑγεία τῶν παίδων, μετὰ τῆς ὑγείας ἀπ' ἀρχῆς τικτόμενον.

v. 19. cod. f. 32. b Διαβάλλων τὸ ψεῦδος ἀλλήλοις, αὐτοὺς εἰς διακρίσεις φέρει καὶ ἀντιδικίας· ἢ ἀδελφοί εἰσιν οἱ

1) Rursus Origenis de ss. eucharistia sententia catholica, quam et in aliis eiusdem scriptis late exponit atque tuetur Huetius in origenianis lib. II. dissert. XIV. 2.

τὸ τῆς υἱοθεσίας ἔχοντες χάρισμα, καὶ ὑπὸ τὸν αὐτὸν ὄντες πατέρα Χριστόν· οὓς χωρίζειν ἐπιχειρεῖ ὁ μάρτυς τῆς ἀδικίας, ταραχὰς ἐν αὐτοῖς ἐμβάλλων καὶ κρίσεις· τὸ δὲ ἐκκαίει, ὡς οἶμαι, προστίθεται διὰ τοὺς ἐμπαθεῖς λογισμοὺς, ἀνάπτοντας θυμὸν μὲν, πρὸς ὀργὴν καὶ μῖσος· ἐπιθυμίαν δὲ, πρὸς αἰσχρὰς ἐργασίας· τούτους τοὺς
* Eph. VI. 16. λογισμοὺς καὶ ὁ ἅγιος Παῦλος * ὠνόμασε τοῦ πονηροῦ βέλη πεπυρωμένα, τιτρώσκοντα τὴν ψυχὴν, καὶ θάνατον ἐργαζόμενα.

fratres sunt, qui adoptionis gratiam habent, et sub uno sunt patre Christo; quos invicem distrahere conatur testis iniquitatis, perturbationes ipsis immittens et iudicia. Verbum autem « accendit » apponitur, ut credo propter vitiosas cogitationes, quae animum ad iram odiumque inflammant cupiditatem autem ad turpia opera. Huiusmodi cogitationes Paulus quoque appellavit maligni tela ignea, quae animam vulnerant mortemque adducunt.

v. 20. cod. f. 33. a. Τὴν μητέρα ἐπάγεσθαι προστάσσει, ἥ τις ἐστὶν ἡ σοφία γεννῶσα ἡ μὲν κατὰ θεόν· καίτοι ἐχρῆν αὐτὸν εἰπεῖν τὸν πατέρα· οὗτος γὰρ πρὸς τὸ συνεῖναι τῷ υἱῷ μᾶλλον ἐπιτηδειότερος· ἀλλ' ἐπειδὴ οὐ δυνατὸν, αὐτὸν γνῶναι τὸν θεὸν πρὸ τῆς τῶν γεγονότων θεωρίας, τούτου χάριν τὴν μητέρα καὶ οὐ τὸν πατέρα προστάσσει ἐπάγεσθαι· ἵνα διὰ τῆς μητρὸς ὁ υἱὸς ἴδῃ τὸν πατέρα· ἐὰν γὰρ αὐτὴ μὴ γεννήσῃ, οὐ βλέπει τὸ φῶς, ὅπερ ἐστὶ γνῶσις αὐτοῦ τοῦ θεοῦ.

Matrem secum habere eum iubet, quae est sapientia generans, nempe illa secundum Deum. Atqui oportuisset patrem potius nominare, namque hic ad filii existentiam plus confert. Sed quia fieri nequit, ut ipse Deum cognoscat ante factarum rerum notitiam, ideo matrem potius quam patrem secum habere iubet; ut per matrem filius patrem cognoscat. Nam nisi ipsa eum pepererit, lucem non aspicit, quae videlicet ipsius Dei agnitio est.

v. 23. Ὅτι ἡ ἐντολὴ τοῦ νόμου λύχνος ἐστὶ καὶ φῶς· καὶ τάχα λύχνος, ἡ παλαιὰ διαθήκη ἐστίν· ἐκεῖνος γὰρ ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· φῶς, ἡ νέα διαθήκη· ἐγὼ γάρ, φησιν, εἰμι τὸ φῶς τοῦ κόσμου· ἔλεγχος μὲν τῶν κακῶν, παιδεία δὲ τῶν ἀγαθῶν· διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

Quia mandatum legis, lucerna est et lux. Et fortasse lucerna testamentum vetus est: illud enim erat quasi lucerna quae incendebatur et apparebat. Lux vero, novum testamentum est; ego enim, inquit, lux sum mundi; improborum redargutio, bonorum eruditio. Nam per legem cognitio peccati.

v. 26. cod. f. 34. a. Τοσαύτη γάρ ἐστιν ἡ ἡδονὴ τῆς κακίας, ὅση καὶ ἑνὸς ἄρτου.

Tanta est enim nequitiae voluptas, quanta unici panis.

v. 30. cod. f. 34. b. Ἐὰν ἁλῷ ὑπὸ γνώσεως ἀληθοῦς, ἀποθήσεται πᾶσαν γνῶσιν ψευδῆ, ὁ πρότερον κλέπτων, δι' ἔνδειαν γνώσεως, ἀπὸ τῆς μωρανθείσης ὑπὸ τοῦ σωτῆρος ἡμῶν γνώσεως καὶ σοφίας· ἀποτίσειν δὲ λέγεται ἑπταπλασίονα, τὸ ἑπτάκις τῆς ἡμέρας αἰνεῖν τὸν θεόν· καὶ πάντα τὰ ὑπάρχοντα αὐτῷ αἰσθητήρια δοὺς τῷ θεῷ, ῥύσεται ἑαυτὸν ἐκ τῶν ἡτοιμασμένων τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦτι μωριῶν.

Si a vera scientia corripietur, scientiam quamlibet falsam abiiciet, qui antea furabatur, ob scientiae indigentiam, ex infatuata a Servatore nostro scientia ac sapientia. Redditurus autem septuplum dicitur, quia septies in die laudabit Deum: et cunctis sensibus suis Deo traditis, liberabit se a paratis diabolo et angelis eius suppliciis.

Πᾶς ὁ κοινωνήσας τῇ κακίᾳ, μοιχός ἐστι τοῦ
v. 32. διαβόλου τοῦ πρώτου γήμαντος τὴν κακίαν, καὶ ἀπ' ἀρχῆς γεγονότος ἀνθρωποκτόνου· καὶ σὺν αὐτῷ ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται.

Omnis qui iniquitati communicat, moechus est, diaboli scilicet qui primus uxorem duxit nequitiam, et ab initio homicida fuit. Idem cum illo animae propriae exitium infert.

CAP. VII.

v. 4. cod. f. 35. a. Ἀδελφὴ ἡμῶν σοφία ἐστὶ, διότι ὁ ποιήσας τὴν ἀσώματον φύσιν πατὴρ, καὶ ταύτην πεποίηκεν· σοφίαν δὲ ἐνταῦθα λέγει οὐ τὸν υἱὸν τοῦ θεοῦ, ἀλλὰ τὴν θεωρίαν τῶν σωμάτων καὶ ἀσωμάτων, καὶ τῆς ἐν αὐτῇ κρίσεως καὶ προνοίας ἐγκείμενα.

Soror nostra sapientia est, quatenus ille qui incorpoream naturam fecit pater, hanc quoque fecit. Sapientiam autem hoc loco dicit non filium Dei, sed corporalium et incorporalium notionem insitique divini iudicii ac providentiae.

Hominis carnem nunc fenestram appellat: per hanc quippe malignus fucum hominibus facit, qui lata spatiosaque via incedere volunt ad perditionem ducente. Heic vero animadvertendum est quid dicat de nequitia Salomon, nempe quod non ipsa hominem initio in plateam ducit, neque cogit pergere in vicos aedium suarum, neque ad angulum propinquare, aut in vespertinis tenebris colloqui: sed postquam hominem viderit sponte se voluptatibus tradentem, tunc ei fit obviam meretricia forma adsumpta, quae iuvenum corda facit exilire.

Qui in plateis temere inambulant, de adulterio, scortatione, furtoque, facile cogitant. Qui vero extra haec loca otiantur, contrarias naturae voluptates sectantur, masculorum concubitus affectantes, et alia quaedam vetita opera meditantes. Cave autem nec haec criminatio in sanctos quoque viros incidat: nam nisi quis solitudinem adamet, sed potius temere vagetur, is quidem inhonestae mulieris infamiam participabit.

Cogitationes aliae purae sunt, aliae impurae. Lineae pariter aliae rectae sunt aliae inflexae. Angulus autem est inflexa linea. Porro intellectualiter angulus est impura cogitatio. Igitur in omnibus angulis venari iniquitatem, perinde est ac omni impurarum cogitationum genere animam propriam decipere.

Institis atque croco et aliis huiusmodi, fallaces imaginationes variasque perturbationes significat. - Specta nequitiam haud ex se ipsa initium sumentem, sed a virtutis primordiis. Nam sodalem sacrificii assumere, bona res est. Sed quum te expugnaverit, tunc venenum tibi mulier inspirabit, amatoria loquens, quae omnia decipiendo idonea sunt; haud equidem ex propria natura, sed ob audientium stultitiam. Intellectualiter vero, nequitia satagit faciem nostram implere ignominia, institis, et cubili, et tapetibus, et croco ac cinnamomo: quae malas variasque voluptatum passiones significant, a vitiorum inventoribus excogitata.

Verba haec: post dies multos revertetur ad domum suam, spiritaliter omnino et ad oeconomiam relata spectans Paulus, postremum hostem ait evacuatum, id est mortem, quam ceu hominem iniquitatis Salomon describit: qui crumenam velut argento plenam in manibus

Τὴν σάρκα τοῦ ἀνθρώπου θυρίδα ὀνομάζει νῦν· v. 6. cod. f. 36. a.
διὰ γὰρ ταύτης ὁ πονηρὸς τὰς ἀπάτας τοῖς ἀνθρώποις ἐργάζεται, τοῖς βουλομένοις ὁδεύειν τὴν πλατεῖαν ὁδὸν καὶ εὐρύχωρον, καὶ ἀπάγουσαν ἐπὶ τὴν ἀπώλειαν· ἐνταῦθα δὲ προσεκτέον τί φησιν ὁ Σολομῶν περὶ τῆς κακίας· ὅτι οὐκ αὐτὴ τὸν ἄνθρωπον ἐν ἀρχαῖς ἐπὶ τὴν πλατεῖαν ἄγει· οὐδὲ ἀναγκάζει πορεύεσθαι διόδοις οἴκων αὐτῆς, ἢ προσεγγίζειν γωνίᾳ, ἢ λαλεῖν ἐν σκότει ἑσπερινῷ· ἀλλ᾽ ἐὰν ἴδῃ τινὰ ἑαυτὸν ἐπιδιδόντα ταῖς ἡδοναῖς, εὐθὺς συναντᾷ αὐτῷ τὸ εἶδος ἔχουσα πορνικὸν, ἣ ποιεῖ τὰς νέων ἐξίπτασθαι καρδίας.

Οἱ μὲν ἐν ταῖς πλατείαις ῥεμβόμενοι, μοι- v. 12. cod. f. 36. b.
χείας καὶ πορνείας καὶ κλοπῆς λαμβάνουσι λογισμούς· οἱ δὲ ἔξω τούτων ῥεμβόμενοι, τὰς παρὰ φύσιν ἡδονὰς μετέρχονται, ἀρσενοκοιτεῖν ἐπιζητοῦντες, καὶ ἄλλων τινῶν ἀπαγορευομένων πραγμάτων φαντασίας λαμβάνοντες· ὅρα δὲ μὴ κατηγόρημα εἴη τοῦτο καὶ ἁγίων ἀνδρῶν· καί τις μὴ ἡσυχάζων ἀλλὰ ῥεμβόμενος, τοῖς κατηγορήμασι κοινωνήσει τῆς ἀτίμου γυναικός.

Τῶν λογισμῶν, οἱ μὲν καθαροί εἰσιν, οἱ δὲ v. 12.
ἀκάθαρτοι· καὶ τῶν γραμμῶν αἱ μὲν εὐθεῖαι καλοῦνται· αἱ δὲ κεκλασμέναι· γωνία δέ ἐστι κεκλασμένη εὐθεία· ἡ γωνία νοητῶς ἐστιν ὁ ἀκάθαρτος λογισμός· τὸ οὖν παρὰ πᾶσαν γωνίαν ἐνεδρεύειν τὴν κακίαν, δηλοῖ τὸ διὰ πάντων τῶν ἀκαθάρτων λογισμῶν αὐτὴν ἐξαπατᾶν τὴν ψυχήν.

Διὰ τῶν κειρίων καὶ τοῦ κρόκου καὶ τῶν λοι- v. 16. cod. f. 37. a.
πῶν, τὰ ἀπατηλὰ θεωρήματα, ἢ τὰ διάφορα πάθη σημαίνει. — Ὅρα τὴν κακίαν, οὐκ ἔχουσαν ἀφ᾽ ἑαυτῆς ἀρχὴν, ἀλλ᾽ ἀπὸ τῶν τῆς ἀρετῆς προοιμιαζομένων· τὸ γὰρ κοινωνὸν λαβεῖν θυσίας, ἀγαθόν. ὅτε δὲ αὐτοῖς κατεπάλεσαι, τότε ἐνίησι τὸν ἰὸν, τὰ τοῖς ἐρῶσιν ἐπιθυμητὰ καταλέγουσα, ἃ πάντα ἱκανὰ καταγοητεῦσαι, οὐ περὶ τὴν οἰκείαν φύσιν, ἀλλὰ περὶ τὴν τῶν ἀκουόντων ἀφροσύνην· κατὰ δὲ διάνοιαν ἡ κακία ζητεῖ τὸ πρόσωπον ἡμῶν καταισχῦναι, διὰ τῶν κειρίων καὶ τῆς κλίνης καὶ τῶν ἀμφιτάπων καὶ τοῦ κρόκου καὶ τοῦ κινναμώμου· ἅπερ κακὰ καὶ διάφορα πάθη σημαίνει ἡδονῶν παρὰ τοῖς ἐφευρεταῖς τῶν κακῶν γινόμενα.

Τὸ δι᾽ ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον v. 20.
αὐτοῦ, πάνυ πνευματικῶς ἐνατενίσας τῇ οἰκονομίᾳ ὁ Παῦλος, ἔσχατον ἐχθρὸν λέγει καταργεῖσθαι τὸν θάνατον· ὃν καὶ ἄνδρα εἶναι τῆς πονηρίας Σολομῶν προδιέγραψε· τὸν ὡς βαλάντιον ἀργυρίου λαβόντα ἐν τῇ χειρὶ αὐτοῦ τὴν ἀνθρωπό-

τητα, εἰ καὶ αὖθις ἐν τῷ ἁμαρτάνειν οὐ πάρεςι προβλέπειν τὸν τοῦ θεοῦ φόβον· διότι κήδεται ἀνεχόμενος τοῦ γένους τῶν ἀνθρώπων· ἐπεὶ εἰ μὴ τὸν τοῦ θεοῦ φόβον προέβλεπε, ῥυζηδὸν πάντας ἂν ἀπώλετο.

v. 22. cod. f. 37. b. Τῶν ἐῤῥωδιῶν τρία γένη εἰσὶν, ὅτε κέμφος, καὶ ὁ λευκὸς, καὶ ὁ ἀςέρισκος καλούμενος· τούτων ὁ κέμφος ἀκρατῶς ἔχων περὶ τὰς μίξεις, χαλεπῶς εὐνάζεται καὶ ὀχεύει, κράζει τὲ, καὶ ὀχεύων αἷμα ἀφίησιν ἐκ τῶν ὀφθαλμῶν, καὶ τίκτει φαύλως καὶ ὀδυνηρῶς· ἔοικε δὲ ἡ γραφὴ ἀπὸ τῆς ἱστορίας τοῦ ζώου τούτου, τοὺς πειθομένους τῇ πονηρίᾳ κεμφωμένους καὶ ἐξωμοιωμένους τῶν ὀρνέων δι' ἀκολασίαν· ἔστι δὲ καὶ ἄλλο εἶδος κέμφους ἐν τῇ θαλάσσῃ κατ' ἀγέλας ἱπτάμενον ὧδε κἀκεῖσε· ὃ οἱ πλωτῆρες πολυάγκυστρον δελεάσαντες σχοῖνον, ἀγρεύουσι· καὶ οὐ μόνον οὐ φεύγει βλέπων τὰ θηρευθέντα, ἀλλὰ καὶ ἄλλος ἄλλῳ προτρέχει ἀγρευθῆναι· οὕτως ἐοίκασιν οἱ τῇ κακίᾳ προσομιλοῦντες, ἄλλος ἄλλον νικᾷν σπεύδοντες διὰ τῶν ἡδονῶν, ἐπολέθρῳ θανάτῳ ἑαυτοὺς περιπείρουσι.

tenet, id est humanitatem; si forte denuo dum peccat, divinum timorem omittere queat. Propterea augitur dum genus humanum tolerare cogitur. Nam nisi diabolus Dei timorem prae oculis haberet, cunctos magno impetu pessum daret.

Herodiorum tria genera sunt, ille qui cemphus, et qui albus, et qui asteriscus appellatur. Hos inter cemphus intemperante ad coitum libidine, dire concumbit et veneri indulget, clamatque dum libidinatur, sanguinem oculis emittens, generatque aerumnose et non sine cruciatu. Iam vero videtur ex huius animalis historia delineare istos cemphi imitatores ac similes propter intemperantiam. Est et aliud in mari cemphorum genus, gregatim hac illac volitans; quos nautae multa esca funi imposita venantur. Hi enim non modo non fugiunt si quos captos vident, sed alius alium praecedere festinat ad capturam. Sic videntur, qui in vitio volutantur, alius alium superare voluptatibus gestientes, exitiali morte semet implicare.

C A P. VIII.

v. 5. cod. f. 38. b. Καρδίαν ἐνταῦθα τὴν ἀρετὴν εἴρηκε, τὴν ἐπισυμβαίνουσαν τῇ καρδίᾳ· ἢ τὴν ὑπὸ θεοῦ κτιζομένην τὴν πνευματικήν.

v. 11. cod. f. 39. a. Τὴν σοφίαν ἐνταῦθα ὡς γένος ἔλαβε τῆς παιδείας καὶ τῆς γνώσεως· παιδείαν γὰρ καὶ γνῶσιν προτάξας, ἐπάγει· κρείσσων γὰρ σοφία λίθων πολυτελῶν, ὡς τῆς παιδείας καὶ τῆς γνώσεως περισχομένης ἐν τῇ σοφίᾳ 1), ἥπερ διὰ τοῦ πνεύματος δίδοται, λόγος σοφίας· τὸ δ' αὐτὸ τοῦτο λέγεται καὶ πνεῦμα υἱοθεσίας.

v. 13. Σημειωτέον ὅτι ἀδικίαν καὶ ὕβριν καὶ ὑπερηφανίαν, τὸν ἄδικον ὑβριστὴν καὶ ὑπερήφανον λέγει, ἀπὸ τῆς χειρίστης ἕξεως ὀνομάζων αὐτόν.

v. 14. cod. f. 39. b. Τουτέστι παρ' ἐμοῦ τὸ εὔβουλον καὶ ἀσφαλές· ὅπου γὰρ τοῦτο, κἀκεῖνο· ὁρᾷς πανταχοῦ προτιθέμενα τὰ ἀσώματα τῶν σωματικῶν καὶ κρατοῦντα; εἶτα εἰπὼν καὶ αὐτὸ τὸ βασιλεύειν δι' αὐτῆς γινόμενον, ἐπήγαγε, καὶ ὃ πολλῷ μεῖζόν ἐστι· τοῦτο γὰρ βασιλεύειν, τὸ δύνασθαι δικαίως κεχρῆσθαι τῇ ἀρχῇ, βέλτιον· ἔνιοι δὲ, βασιλεῖς μὲν τοὺς ἁγίους καὶ μεγιστᾶνας· τυ-

Cor hoc loco dicit pro virtute, quae cordi accidit. Vel cor dicit illud creatum a Deo et spiritale.

Sapientiam heic pro quodam disciplinae et scientiae genere accipit. Nam disciplina scientiaque nominatis, addit: melior est enim sapientia lapidibus pretiosis: quasi disciplina et scientia contineatur in sapientia, quae a spiritu datur, id est verbum sapientiae. Id ipsum vero dicitur etiam spiritus adoptionis.

Adnotandum est, iniquitatem et iniuriam et superbiam, dici heic pro homine iniusto, contumelioso, et superbo, quem ex hoc pessimo animi habitu indigitat.

Id est a me rectum consilium et tutum procedit: ubi enim illud, ibi hoc quoque est. Viden' ubique anteposita et praestantia incorporea corporalibus? Deinde postquam dixit, regnum ipsum a se conferri, addit quod multo maius est: nam hoc reapse regnare est, si quis dominatu iuste sciat uti. Nonnulli interpretes regum nomine heic intelligunt sanctos

1) Apud Augustinum contra Acad. II. 16. extat famigerata definitio: *sapientia est rerum humanarum divinarumque scientia.*

et proceres; tyrannos autem illos, qui adhuc cum carne decertant, et cupiditates suas violenta vi premunt.

ράννους δὲ, τοὺς ἔτι πολεμοῦντάς τὴν σάρκα, καὶ τῶν παθῶν τυραννοῦντας.

Maiorem dilectione heic amorem introducit, quando eodem ordine non ponitur. Ecce enim Servatore dicente Petro, amas me? hic alloquentis bene gnarus, quod minus erat sibi tribuit dicens: diligo te. Tertio autem audiens: Simon Ionae, diligis me? aegro animo fuit, quia tertia hac vice minoris significatus vocabulum secum adhibuisset.

Μείζω φιλίας εἰσάγει τὴν ἀγάπην ἐνταῦθα, v. 17. cod. f. 39. b.
ἡνίκα μὴ κατὰ τοῦ αὐτοῦ τάττεται· ἀμέλει τοῦ σωτῆρος τῷ Πέτρῳ λέγοντος ἀγαπᾷς * με; τὸν * Ioh. XIX. 15.
προσδιαλεγόμενον εἰδὼς, τὸ ἧττον δίδωσιν ἑαυτῷ, τὸ ὅτι φιλῶ σε· τὸ δὲ τρίτον ἀκούσας, Σίμων Ἰωνᾶ φιλεῖς με, ἐλυπήθη ὅτι τὸ ἧττον τρίτον αὐτῷ προσένειμε 1).

Solus sapiens, dives illustrisque est: etenim multiplex apud eum possessio est, et sapientiae semina; quae in spiritu serens, vitam metit. Cum autem suas esse dicit divitias, dicere videtur, nihil opus tibi esse expensis, nec re nova aliqua, ut amore meo potiaris; tantum diligas, et redamaberis. Immo quod est mirabile, nempe in divitiis esse iustitiam, id quoque apud me est, et aliud quodlibet bonum.

Ὅτι μόνος ὁ σοφὸς πλούσιος καὶ εὐκλεής· ἔστι v. 18. ibid.
γὰρ ἐν αὐτῷ κτῆσις πολλῶν καὶ γεννήματα σοφίας· ἃ καὶ σπείρων εἰς τὸ πνεῦμα, θερίζει ζωήν· ἔοικε δὲ διὰ τοῦ ἑαυτῆς λέγειν τὸν πλοῦτον, τοιοῦτόν τι λέγειν, ὅτι οὐ χρεία σοι δαπάνης, οὐδὲ καινοτομίας, εἰς τὸν πρὸς ἐμὲ ἔρωτα, ἀλλ' ἀρκεῖ τὸ φιλῆσαι μόνον, καὶ ἀνταγαπηθήσῃ· ἀλλὰ μὴν, καὶ ὃ θαυμαστόν ἐςι, τὸ ἐν πλούτῳ εἶναι δικαιοσύνην, παρ' ἐμοὶ καὶ τοῦτό ἐστι, καὶ τὰ ἄλλα πάντα ἀγαθά.

Substantia cum sit Dei sapientia, ante saecula nata est, et ante creaturas sempiterna. Quum autem relationem erga creaturas admisit, tunc initium viarum Dei facta est, creationis videlicet et providentiae; consociato nimirum initio cum creaturis, quibus dedit initium, id est relationem erga creaturas habere coepit. Attamen ipsa sapientia sempiterna est, substantialiter ante saecula apud Deum existens.

Οὐσία οὖσα ἡ τοῦ θεοῦ σοφία, πρὸ αἰώνων v. 22. cod. f. 41. a.
γεγέννηται, καὶ πρὸ κτίσεως ἀΐδιος ἦν· ὅτε δὲ σχέσιν πρὸς τὰ γεννητὰ ἐδέξατο, τότε ἀρχὴ τῶν ὁδῶν τοῦ θεοῦ γέγονε τῶν ποιητικῶν καὶ προνοητικῶν· σύζυγος οὖν ἡ ἀρχὴ τοῖς κτίσμασιν ὧν γέγονεν ἀρχὴ, τουτέστιν ἡ πρὸς τὰ γεννητὰ σχέσις· ἡ δὲ σοφία ἀΐδιος, οὐσιωδῶς πρὸ αἰώνων παρὰ τῷ θεῷ ὑπάρχουσα.

Impietas est adversus Deum peccatum. Impie agit etiam contra animam suam, qui congerit animae suae punitionem, impiis praeparatam. Consentaneum quoque est, ut ii mortem ament qui sapientiam oderunt; siquidem sapientia vita est.

Ἀσέβεια μέν ἐστιν ἡ εἰς θεὸν ἁμαρτία· ἀσε- v. 36. cod. f. 42. a.
βεῖ δὲ καὶ εἰς τὴν ἑαυτοῦ ψυχὴν ὁ σωρεύων κόλασιν τῇ ἑαυτοῦ ψυχῇ, τὴν τοῖς ἀσεβέσιν ἡτοιμασμένην· ἀκόλουθον δὲ καὶ τὸ ἀγαπᾶν θάνατον τοὺς σοφίαν μισοῦντας, εἴπερ ἡ σοφία ζωή.

CAP. IX.

Sapientiam hoc loco dupliciter intelligi aio: nempe illam quae a sancto Spiritu datur religiosis hominibus, per quam Dei quoque notitia mundo inclaruit. Pari modo etiam enhypostaticum filium ac Verbum Dei, a cuius sapientia omnia ex nihilo ad existendum educta fuerunt.

Τὴν σοφίαν ἐνταῦθα δισσῶς ἐπιλαβεῖν, τὴν v. 1. cod. f. 42. b.
ἐκ πνεύματος ἁγίου φημὶ ἐν λόγοις καὶ γραφῇ δοθεῖσαν τοῖς θεόφροσιν, δι' ἧς καὶ ἡ ἐπίγνωσις τοῦ θεοῦ τῷ κόσμῳ ἐγνωρίσθη· ὡσαύτως δὲ καὶ τὸν ἐνυπόστατον υἱὸν καὶ λόγον τοῦ θεοῦ, τὸν ἐξ οὐκ ὄντα εἰς τὸ εἶναι παραγαγόντα τὰ σύμπαντα τῇ σοφίᾳ αὐτοῦ.

Victimas hoc loco dicit prophetas, quotquot Christi adhortatione signati et immolati fuerunt, dum in scientiae cratere propinarent

Θύματα ἐνταῦθα φησὶ τοὺς ὅσοι προφῆται v. 2. cod. f. 43. a.
τῇ παραινέσει Χριστοῦ σφραγισθέντες καὶ σφαγιαζόμενοι, διὰ τὸ κιρνᾶν αὐτοὺς τῷ τῆς γνώ-

1) Accuratam distinctionem facit graecus inter ἀγαπᾶν et φιλεῖν, quod secus in lat. vulgato fit.

σεως κρατῆρι τὴν ὡς οἶνον ἡδὺν ἐπίγνωσιν αὐτοῦ τοῖς ἐχέφροσι· λέγων, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· καὶ γὰρ αὐτὸς αὐτοὺς ἐσφαγίασε, καὶ σφαγιάζει, διὰ τὸ παρακελεύειν αὐτὸς τοὺς εἰς αὐτὸν πιστεύοντας ὑπὲρ αὐτοῦ, ὡς αὐτὸς ὑπὲρ ὑμῶν ἀποθνήσκει.

quasi dulce vinum bonae mentis hominibus Christi notitiam, dicentis: ne timeatis eos qui occidunt corpus, animam autem non possunt occidere. Certe ipse illos quodammodo immolavit, et adhuc immolat, dum mandat iis qui sibi credunt ita mori, prout ipse pro vobis mortuus est.

v. 3. cod. f. 43. b. Εἰ Παῦλος ὁ ἀπόστολος δοῦλος Χριστοῦ, ὁ δὲ Χριστὸς σοφία ἐστὶ, Παῦλος γὰρ ὁ ἀπόστολος δοῦλος τῆς σοφίας ἐστίν· ὡσαύτως καὶ ἐπὶ τῶν λοιπῶν ἀποστόλων καὶ προφητῶν τὸν λόγον συνάξομεν, δούλους τῆς σοφίας αὐτοῦ ἀποδείξαντες.

Si Paulus apostolus servus Christi, Christus autem sapientia est, Paulus utique apostolus servus sapientiae est. Pari modo et de reliquis apostolis et de prophetis syllogismum concludemus, servos eos sapientiae Christi adfirmantes.

v. 8. cod. f. 44. b. Οὐ δεῖ ἁμαρτάνοντας ἐλέγχειν τοὺς κακοὺς, ἀλλὰ περὶ θείου φόβου αὐτοὺς ὑπομιμνήσκειν, ὅστις αὐτοὺς ἀποστήσει τῆς κακίας· ἢ κακοὺς τοὺς ἀπὸ ἁμαρτίας ἐπιστρέφοντας, καὶ θέλοντας ἐλθεῖν πρὸς μετάνοιαν· ἀκμὴν δὲ κακοὺς ὄντας καὶ τυφλώττοντας ὑπόμενε· καὶ μὴ καθ' ἓν σφάλμα ἔλεγχε, ἵνα μὴ εἰς μῖσος ἐκ προοιμίων ἔλθωσιν· ὅταν δὲ γένωνται σοφοὶ, καὶ στερεωθῶσιν, ἔλεγχε. Καὶ ὁ Χριστὸς τοὺς μαθητὰς ἔτι νέους ὄντας, οὐκ ἤλεγχε, διὰ τὸ μὴ τοὺς παλαιοὺς ἀσκοὺς εὐθέτους εἶναι πρὸς νέον οἶνον. Ἢ κακοὺς λέγει τοὺς ἄφρονας καὶ μωροὺς· ἢ τοὺς πάντη ἀλλοτρίους τῆς θείας διδασκαλίας, οὓς οὐκ ἐλέγχειν ἀλλὰ νουθετεῖν δεῖ καὶ διδάσκειν· εἰ δὲ καὶ ἠλέγχοντο Ἀχαὰβ καὶ Ἡρώδης, ἀλλ' ἤδη μετέσχον τοῦ θείου νόμου, εἰ καὶ παρέβησαν· διὸ καὶ τούτους δεῖ ἐλέγχειν. Ἢ ἔοικε ταῦτα πρὸς τοὺς τότε λέγειν, τοὺς νηπιωδεστέρους· ἐπεὶ τίνος ἕνεκεν ἤλεγχεν Ἰωάννης καὶ Παῦλος;—Οὐ δεῖ ἁμαρτάνοντας ἐλέγχειν τοὺς κακούς· ὁ γὰρ εἰς πρόσωπον ἔλεγχος, ἀναισχυντότερον ποιεῖ τὸν ἁμαρτάνοντα· χρὴ δὲ ἡμᾶς ἐπὶ σοφῶν καὶ δικαίων τοῦτο ποιεῖν· ἀναμεταξὺ μὲν τοῦ ἐλεγχομένου καὶ ἐλέγχοντος, οὐκ ἐπὶ πολλῶν δέ.

Non oportet malos qui peccant arguere, sed ipsos admonere potius divini timoris, qui eos a nequitia retrahet. Vel malos dicit, qui tamen a nequitia iam resipiscunt, et ad paenitentiam volunt accedere. Verumtamen illos qui summe mali sunt et caecutiunt, sustine; neque ad singula peccata argue, ne statim initio odium suscipiant: sed cum demum sapientes fient et firmiores, tunc argue. Nam ne Christus quidem discipulos adhuc recentes increpabat; quia veteres utres novo vino haud erant idonei. Vel malos dicit homines stultos et bardos, vel illos qui a divina doctrina prorsus alieni sunt; quos non increpare sed admonere oportet ac docere. Quod si nihilominus obiurgati fuerunt Achaabus atque Herodes, hi quidem iam imbuti fuerant divina lege, quam erant transgressi. Quamobrem et hos redargui par fuit. Vel haec videtur dicere de sui temporis rudioribus hominibus. Cur enim Iohannes quoque et Paulus reprehendebant?—Malos qui peccant non oportet obiurgare; nam reprehensio in faciem obiecta, impudentiorem facit eum qui peccat. Arguere potius oportet sapientes ac iustos; verumtamen, reprehenso ac reprehendente, non autem multis, praesentibus.

v. 12. cod. f. 45. b. Ὁ παντὶ ἀνέμῳ τῆς διδασκαλίας περιφερόμενος, ναυαγήσας περὶ τὴν πίστιν, ὡς ὑπ' ἀνέμῳ ἑαυτόν τε καὶ ἄλλους ποιμάνας, ἀπώλεσεν· ἀπέλιπε γὰρ τῶν ἐντολῶν τὰς ὁδοὺς, τοῦ εἰπόντος, ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, καὶ ὁ
cod. f. 46. a. πατήρ μου ὁ γεωργός.—Ὁ μὴ συνάγων σὺν ταῖς ἀρεταῖς τὴν θείαν γνῶσιν, οὗτος οὐ συνάγει τῆς αἰωνίου βασιλείας τὴν ἀθάνατον εὐκαρπίαν· ἀκαρπία δέ ἐστι κακία καὶ ἄγνοια.

Qui omni vento doctrinae circumfertur, fidei naufragium faciens, se procella veluti et alios quos regit perdet. Dereliquit enim vias mandatorum eius qui dicit: ego sum vitis, vos palmites, et pater meus agricola est. - Qui sibi non coacervat virtutibus divinam scientiam, hic non coacervat aeterni regni immortalem fructum. Est autem sterilitas, nequitia et inscitia.

v. 17. cod. f. 46. b. Τῶν ὡς ἄρτων ζωτικῶν, θείων λόγων ἡδέως ἅψασθαι, καὶ τῶν ἐν τῇ κρυπτῇ τοῦ νοῦ θεωρίᾳ θείων νοημάτων.—Ἄρτοι εἰσὶ τῆς ψυχῆς αἱ ἀρε-

Ceu panes vitales, divina verba libenter gustare, et in mentis penetrali divinorum sensuum contemplationem. - Panes animae sunt virtu-

tes, quas noster quoque Servator nobis imperavit, ieiunium scilicet, continentia, oratio, et similia. Clam vero haec agenda, ne in conspectu hominum sint.

ταὶ, αἵτινες καὶ παρὰ τοῦ σωτῆρος ἡμῶν προσετάγησαν παρ' ἡμῖν γίνεσθαι· τουτέστι νηστεία, ἐγκράτεια, προσευχὴ, καὶ τὰ ὅμοια· κρυφῇ δὲ, πρὸς τὸ μὴ θεαθῆναι αὐτὰ τοῖς ἀνθρώποις.

CAP. X.

Virum dicit doctrinâ pauperem; manus, sapientiae actus.

Vir cordatus, ab aerumnis et calamitatibus non amburitur, et iustitiae germina profert: at iniquus, ex re quoque bona damnum patitur.

Disciplinam increpatione carentem dicit animae malam agendi rationem, quae et errorem et exitium ei confert. Sed via vitae, non solum ab aeterna aerumna, verum etiam abs qualibet vitae molestia, eos qui malitiae sunt expertes, defendit. Malitia vero carentes dicit illos, qui male ab aliquo passi, innocentiam tamen cum caritate retinent. Vel disciplinam ἀνεξέλεγτον dicit illam, quae speciem quidem pietatis habet, sed tamen caret experimento et exploratione. Nam qui non fuerit exploratus, neque aliis mentem suam cogitationesque patefecerit, is in vana praesumptione versatur.

Operiunt dicit pro, non sinunt apparere. Vel inimicitiam ait pro malitia, cuius causa invisi evadimus Deo. At enim inimicitiam adversus Deum et homines, nostris in cordibus a maligno insitam, viri iusti expellunt, Deumque labiis celebrant, cum ita malignus eos tentaverit. Si enim cum inimici essemus, inquit Paulus, reconciliati sumus Deo per mortem filii eius. Quod si inimicitia vitium est, utique amicitia virtus et agnitio Dei, qua efficimur amici eius et sanctarum potestatum. Iam qui tali amicitiae genere Deo fuerint amici, utique et invicem amici erunt.

Domine, ante te omne desiderium meum, inquit David. Id est quicquid Deo gratum est, et iustos decet, id optandum est, ut acceptabilis sit oratio nostra coram Deo. At impius perditione perpetua circumagitur, dum quae Deo minime grata sunt, cupit agitque.

Si timor Dei addit dies, initium autem sapientiae timor Domini, utique hi dies partes sapientiae sunt a iustitiae sole concessae. Nam vir proficiens, auget notiones et illuminationes. Pro diebus autem huiusmodi orat David

Ἄνδρα, τὸν τοῦ λόγου πτωχεύσαντα· καὶ χεῖ- Cap. X. 4. cod. f. 47. b.
ρας, τὰς τῆς σοφίας πράξεις.

Ὁ νοήμων ὑπὸ τῶν θλίψεων καὶ τῶν συμφο- v. 5. cod. f. 48. a.
ρῶν μὴ συγκαιόμενος, γεννήματα δικαιοσύνης φέ-
ρει· ὁ δὲ παράνομος, καὶ ὑπὸ τῶν βελτιόνων
διαφθείρεται.

Παιδείαν ἀνεξέλεγκτον ὀνομάζει τὴν κακὴν τῆς v. 17. cod. f. 49. b.
ψυχῆς πολιτείαν, ἥτις καὶ ἀπωλείας καὶ πλά-
νης αὐτῇ γίνεται πρόξενος· ἡ δὲ ὁδὸς τῆς ζωῆς,
οὐ μόνον ἐκ τῆς αἰωνίου, ἀλλὰ καὶ ἐκ πάσης
κακότητος τοῦ βίου δυσχερείας τοὺς ἀκάκους φυ-
λάσσει· ἀκάκους δὲ λέγει τοὺς κακῶς ἔκ τινος
ὑπομένοντας, καὶ ἀκακίαν ἀσκοῦντας ἐν ἀγάπῃ.
Ἢ οὕτως. Ἀνεξέλεγκτος, ἡ πρόσχημα μὲν εὐσε-
βείας ἔχουσα, ἀγύμναστος δὲ οὖσα καὶ ἀνεξέ-
ταστος· ὁ γὰρ μὴ ἐλεγχόμενος, καὶ φανερῶν
καὶ ἑτέροις τὰ φρονήματα καὶ τοὺς διαλογισμοὺς
αὐτοῦ, πλανᾶται οἰήσει.

Τὸ καλύπτουσιν, ἀντὶ τοῦ οὐκ ἐῶσιν ἀνανεῦ- v. 18.
σαι. ἢ ἔχθραν τὴν κακίαν λέγει, δι' ἧς ἐχθροὶ
γινόμεθα τοῦ θεοῦ· τὴν δὲ κατὰ τοῦ θεοῦ καὶ
ἀνθρώπων ἔχθραν ἐγγινομένην ἡμῖν ἐν τῇ καρ-
δίᾳ ὑπὸ τοῦ πονηροῦ, αὐτὴν μὲν ἀποσείονται οἱ
δίκαιοι, τοῖς δὲ χείλεσι τὸν θεὸν ὑμνοῦσιν, ὅταν
οὕτως αὐτοῖς ὁ πονηρὸς ὑποβάλλῃ· εἰ γὰρ ἐχθροὶ * Rom. V. 10.
ὄντες, φησὶν ὁ Παῦλος *, κατηλλάγημεν τῷ θεῷ
διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ· εἰ δὲ ἡ ἔχθρα,
κακία ἐστὶν, ἡ φιλία ἀρετὴ καὶ γνῶσις θεοῦ,
δι' ἧς φίλοι γινόμεθα αὐτοῦ καὶ τῶν ἁγίων δυ-
νάμεων· ἐπὶ δὲ τῆς φιλίας ταύτης, οἱ ὄντες
αὐτοῦ φίλοι, καὶ ἀλλήλων εἰσὶ φίλοι.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, v. 24. cod. f. 50. a
φησὶν ὁ Δαυίδ *· τουτέστιν ὅσα τῷ θεῷ ἀρεστὰ, * Ps. XXXVII. 10
καὶ δικαίοις ἁρμόζει, ἐπιθυμεῖν χρὴ, ἵνα δεκτὴ
ἡ προσευχὴ ἡμῶν γένηται ἐναντίον τοῦ θεοῦ· ὁ
δὲ ἀσεβὴς, ἀπωλείᾳ αἰωνίᾳ περιφέρεται ἐν τῷ
ἐπιθυμεῖν καὶ πράττειν τὰ μὴ θεῷ φίλα.

Εἰ φόβος κυρίου προστίθησιν ἡμέρας, ἀρχὴ δὲ v. 27. cod. f. 50. b.
σοφίας φόβος κυρίου, αἱ ἡμέραι αὗται, μέρη τῆς
σοφίας εἰσὶν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης γινό-
μεναι· προκόπτων γὰρ προστίθησι γνώσεις καὶ
φωτισμούς· ὑπὲρ δὲ τοιούτων ἡμερῶν εὔχεται καὶ

*Ps. CI. 25. Δαυὶδ λέγων· μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν
μου· ταύτας δὲ τὰς ἡμέρας καὶ Ἀβραὰμ πλη-
ρώσας ἀπέθανε πρεσβύτερος καὶ πλήρης ἡμερῶν·
καὶ τὰς θείας ὁράσεις ὡς ἡμέρας προστίθησι
κύριος τοῖς ἐν πίστει φοβουμένοις αὐτόν· τὰ δὲ
τῶν ἀσεβῶν ἔτη, ἄσοφα ὁραθέντα καὶ θείας
χάριτος ἄνευ, ὠλιγώθησαν.

v. 30. Αἰῶνα τὸν ἀνθρώπου βίον λέγει, ὡς ὁ Παῦλος·
οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν
*I. Cor. VIII. 13. ἀδελφόν μου σκανδαλίσω *· τὸ γὰρ συμπαρεκτεινό-
μενον τῇ συστάσει τῆς ζωῆς αὐτοῦ, αἰῶνα ὠνό-
μασεν· οὐκ ἐνδώσει γάρ, φησιν, ὁ δίκαιος ἁμαρ-
τῆσαι ἐνοχλούμενος ὑπὸ τοῦ πονηροῦ. οἱ δὲ ἀσε-
βεῖς ἁμαρτάνοντες οὐ μόνον ἐκπεσοῦνται τῆς βα-
σιλείας, ἀλλὰ τὸ πῦρ καὶ οὐ τὴν γῆν οἰκήσουσιν.

v. 32. cod. f. 51. a. Ἀντὶ τοῦ, χάριτος ἀνάπλεως ἐστίν· εὐσεβοῦς
δὲ στόμα νῦν τὸν νοῦν λέγει καὶ τὴν καρδίαν,
ὡς διὰ τῶν χειλέων ὑμνοῦσαν τὸν θεόν· τὸ δὲ
λαλοῦν πονηρὰ στόμα τῶν ἀσεβῶν, ἀποστρέφε-
ται ἀπὸ τοῦ θεοῦ εἰς τὸ εἶναι τῷ πονηρῷ· ὅρα
δὲ τί ἀπ' ἐκείνου, τί δὲ ἀπὸ τούτου.

dicens: ne revoces me in dimidio dierum meorum. Hisce diebus expletis, Abrahamus quoque obiit senex plenusque dierum. Divinas quoque visiones, quasi dies, addit Dominus cum fide timentibus se. At vero impiorum anni, insipientes comperti, et absque divina gratia, breviati fuerunt.

Saeculum dicit humanam vitam, ut Paulus: non manducabo carnem in saeculum, ne forte fratrem meum scandalizem. Quippe demensum vitae suae spatium, saeculum nominavit. Non delabetur, inquit, iustus ad peccandum propter illatas sibi a maligno molestias. At impii peccantes non regno tantum excident, verum ne terram quidem habitabunt.

Pro eo ac si dicat, gratiae plenus est. Religiosi hominis os nunc pro mente dicit et corde, quae quasi labiis Deum concelebrant. Quod autem prava loquitur os impiorum, retorquetur a Deo in ipsum impium. Videsis autem quid ab illo, et quid ab hoc.

CAP. XI.

v. 7. cod. f. 51. b. Ἔχων γὰρ πρὸς τὰ μέλλοντα τὸν σκοπὸν,
τυγχάνει πάντως ὧν προσεδόκησε τελευτήσας ὁ
δίκαιος. Ἢ εἰς τὴν ἀνάστασιν ἡμᾶς παραπέμπει·
καὶ, ἐπὶ τούτου μὲν, μένει τὰ ὄντα καὶ οὐκ
ἀφανίζεται· ἐπ' ἐκείνου δὲ καὶ τὰ ὄντα σβέννυ-
ται· ἐν γὰρ τῷ παρόντι μόνον αἰῶνι καυχῶνται·
περὶ ὧν εἴρηται· ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ
*Philip. III. 19. αὐτῶν *.

v. 8. cod. f. 52. a. Οὐχ ὡς ὑποκειμένου τοῦ εὐσεβοῦς τῇ δίκῃ
φησὶ τὸ ἀντ' αὐτοῦ παραδίδοται ἀσεβής, ἀλλ'
ἐπειδὴ ἡ παγίς ἐστιν ἀπὸ τοῦ πονηροῦ κατὰ τοῦ
δικαίου, τούτου ῥυομένου περιπίπτει ταύτῃ ὁ ἀσε-
βής· ἐξαρπάζεται ὁ εὐσεβὴς ὑπὸ θεοῦ, ὁ δὲ ἀσε-
βὴς ἐγκαταλειφθεὶς, περιπίπτει· κατὰ τὸ, ἐν
τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρ-
*Ps. IX. 17. τωλός *. Ἢ ἐπειδὴ ὁ δίκαιος ὑπόκειται τισὶν ὡς
ἄνθρωπος ἁμαρτήμασιν, ἐλθὼν ὁ ἀσεβὴς καὶ κα-
κοποιήσας τὸν δίκαιον, τῶν μὲν ἁμαρτιῶν καὶ
τῶν κολάσεων τῶν μελλουσῶν ἐρρύσατο, εἰς ἑαυ-
τὸν δὲ τὰς τιμωρίας ἀνεδέξατο. παραδίδοται δὲ
ὑφ' ἑαυτοῦ ὑπὸ τῆς ἰδίας κακίας, ὡς παραδοὺς
ἑαυτὸν εἰς ἀδόκιμον νοῦν.

v. 14. cod. f. 52. b. Ἤτοι διάκρισις ἡ περὶ τῶν πρακτέων, ἢ μή·
ἢ ὥστε τὸν ἑαυτῶν βίον οἰκονομεῖν· κλυδώνιον
γάρ ἐστι μέγα καὶ ἀφόρητον· οἱ τοιοῦτοι γὰρ
παντὶ ἀνέμῳ περιφερόμενοι ναυαγοῦσι περὶ τὸν

Qui scopum sibi proponit res futuras, prorsus adquirit expectationem suam moriens iustus. Vel ad resurrectionem nos amandat auctor. Et iusto quidem manent quae habet, nec pereunt: iniusto autem et quod habet, extinguitur. Quippe eiusmodi homines praesenti tantum saeculo exultant; de quibus dictum est: quorum gloria in ignominia ipsorum.

Non quia suppositus damnationi fuerit vir pius, dicit: impius traditur pro eo; sed quia laqueum improbus iusto tetenderat; hoc erepto, incidit in illum improbus. Eripitur a Deo pius; impius vero derelictus laqueum incurrit. Iuxta illud: in operibus manuum suarum comprehensus est peccator. Vel: quia iustus obnoxius est, utpote homo, quibusdam peccatis, superveniens impius et affligens iustum, a peccatis et futuris poenis hunc liberat, in se autem poenas illas attrahit. Proditur nimirum a sua ipsius malitia, postquam se in improbam mentem coniecit.

Nimirum rerum agendarum aut non agendarum discretio; vel propriae vitae administratio, quae certe magna procella est et intolerabilis. Hi enim omni vento circumferuntur in vitae aut fidei naufragio, et tamquam

arboris folia decutiuntur a Deo, quibus Dei sapientia non inest. Quod si salus in consilio vertitur, neque in consilio simpliciter sed in eius copia, non igitur corporibus divitiisve innititur: neque ab indole propria quis salvatur; quod aio contra eos qui indolis haeresim invehunt.

Heic evidenter vocabulum anima pro corpore posuit. Et quidem Christus in evangeliis corpus dicit pro anima: lucerna, inquit, corporis est oculus; lucernam nempe dicens pro mente, quae scientiae capax est. Corpus autem concupiscibilem esse animi partem, quam quidam irrationalem, alii autem patheticam appellant. Homo autem ex iis, quae fecit docetque, bonis, nunc quidem cognitionem corporalium et incorporalium, in posterum autem regnum caelorum adquirit sibi discipulisque suis. Pessumdat vero non suum tantum corpus; sed etiam animam, cum iis qui ei obaudiunt, igni exitiali contradit.

Ille manui manus inserit iniuste, qui pravorum fit operum dogmatumque magister. Ille autem iustitiam serit, qui de virtutibus et Dei scientia profert sermones.

Iis qui in propriis serunt, et plura efficiunt, opponuntur illi qui minora colligunt. Qui ergo in propriis serunt, ii sunt qui in spiritu serunt, et vitam metunt. Qui autem minora colligunt, ii sunt qui in carne serunt, et corruptionem sibi coacervant.

Frumentum est divinum verbum, quod Iudaei occultantes, gentibus dereliquerunt. Simile est huic etiam illud a Servatore nostro in evangeliis dictum: nemo lucernam accendens, ponit eam sub modio, sed super candelabrum, ut luceat omnibus qui in domo sunt. Sicut enim frumentum alimonia est corporis; ita Dei cognitio, est animae. Qui vero utrumque alimentum habet, nec tamen praebet, sed mercedem pro his exigit ab iis qui dare non habent, totum id daemonibus relinquet. Dicit eum fore etiam populi execrationem, quia ei ab angelorum cunctorumque iustorum populo in die iudicii maledicetur.

Fabrica secundum spiritum, est practicum bonarum virtutum exercitium. Qui Deo debita exsequitur, quaerit alios Deo gratos homines, qui aeque Deo debita peragenda suscipiant, ut sicut ipse, ita et illi se gerant. Secus vero, eos qui pro bonis mala agunt, vitabit.

βίον ἢ τὴν πίστιν, καὶ ὡς φύλλα δένδρου πίπτουσιν ἀπὸ τοῦ Θεοῦ, οἷς μὴ ὑπάρχει σοφία Θεοῦ· εἰ δὲ ἡ σωτηρία ἐστὶν ἐν βουλῇ, καὶ οὐχ ἁπλῶς βουλῇ, ἀλλὰ καὶ πολλῇ, οὐκ ἄρα ἐν σώμασιν ἢ χρήμασιν, οὐδὲ κατὰ φύσιν τίς σώζεται· κατὰ τοὺς τὰς φύσεις εἰσάγοντας.

v. 17. cod. f. 53. a.

Ἐνταῦθα τὴν ψυχὴν ἄντικρυς προεῖπεν σῶμα· καὶ ὁ Χριστὸς δὲ ἐν τοῖς εὐαγγελίοις, σῶμα τὴν ψυχὴν ὀνομάζει· ὁ λύχνος λέγων τοῦ σώματος ἐςὶν ὁ ὀφθαλμός *· λύχνον μὲν εἶπε τὸν νοῦν· αὐτὸς γάρ ἐστιν γνώσεως δεκτικός· σῶμα δὲ τὸ θυμικὸν καὶ ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς· ὅπερ τινὲς μὲν, ἄλογον· τινὲς δὲ, παθητικὸν μέρος καλοῦσιν. ὁ δὲ ἐξ ὧν ἐποίει καὶ διδάσκει ἀγαθῶν, ἐντεῦθεν μὲν γνῶσιν σωμάτων καὶ ἀσωμάτων, ἐν τῷ μέλλοντι δὲ βασιλείαν οὐρανῶν, περιποιεῖται ἑαυτῷ καὶ τοῖς μαθητιῶσιν· ἐξολλύει δὲ οὐ μόνον τὸ ἑαυτοῦ σῶμα, ἀλλὰ καὶ τὴν ψυχὴν, σὺν τοῖς πειθομένοις αὐτῷ, τῷ πυρὶ συναπόλλυσιν.

* Matth. VI. 22.

v. 21. cod. 53. b.

Οὗτος χειρὶ χεῖρας ἐμβάλλει ἀδίκως, ὁ κακῶν γινόμενος πραγμάτων· καὶ δογμάτων διδάσκαλος· οὗτος δὲ σπείρει δικαιοσύνην, ὁ περὶ ἀρετῶν καὶ Θεοῦ γνώσεως προϊέμενος λόγους.

v. 24. cod. f. 54. b.

Τοῖς εἰς τὰ ἴδια σπείρουσι, καὶ πλείονα ποιοῦσιν, ἀντίκεινται οἱ συνάγοντες καὶ ἐλαττούμενοι· οἱ γὰρ τὰ ἴδια σπείροντες, εἰσὶν οἱ εἰς τὸ πνεῦμα σπείροντες, καὶ ζωὴν θερίζοντες· οἱ δὲ συνάγοντες καὶ ἐλαττούμενοι, εἰσὶν οἱ εἰς τὴν σάρκα σπείροντες, καὶ φθορὰν συνάγοντες ἑαυτοῖς.

v. 26.

Σῖτος ὁ θεῖος λόγος, ὃν κατακρύψαντες οἱ Ἰουδαῖοι, κατέλιπον αὐτὸν τοῖς ἔθνεσιν.—Ὅμοιόν ἐστι τούτῳ καὶ τὸ ὑπὸ τοῦ σωτῆρος ἡμῶν ἐν τοῖς εὐαγγελίοις λεγόμενον *· τὸ, οὐδεὶς λύχνον ἅψας, τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ὑπὸ τὴν λυχνίαν, τοῦ φαίνειν πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· ὥσπερ γὰρ ὁ σῖτος τροφὴ ἐστὶν τῷ σώματι, οὕτως ἡ θεία γνῶσις τῇ ψυχῇ· ὁ δὲ τὴν τῶν ἀμφοτέρων τροφὴν ἔχων καὶ μὴ παρέχων, ἀλλ' ὑπὲρ τούτων μισθὸν ἀπαιτεῖ τοῖς οὐκ ἔχουσι δοῦναι, ὑπολίποιτο αὐτὸν τοῖς δαίμοσιν. γράφει δὲ καὶ δημοκατάρατον, ὅτι ὑπὸ τὸν δῆμον τῶν ἀγγέλων καὶ πάντων τῶν δικαίων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἐπικατάρατος ἔσται.

* Matth. V. 15.

v. 27. cod. f. 55. a.

Τεκτονικὴ ἐστὶ κατὰ πνεῦμα ἡ πρακτικὴ τῶν ἀγαθῶν ἀρετῶν ἐργασία· ὁ δὲ τὰ Θεῷ ὀφειλόμενα πράττων, ζητεῖ θεαρέστους ἄνδρας, δεχομένους τὰς Θεῷ ὀφειλὰς, ἵνα ὥσπερ αὐτὸς καὶ αὐτοὶ ἐμπορεύωνται· τοὺς δὲ μὴ τὰ καλὰ, ἀλλὰ τὰ κακὰ ζητοῦντας, παρήσεται.

v. 30. cod. f. 55. b. Τοῦτο τὸ δένδρον τῆς ζωῆς ἐστι τὸ φυτευθὲν ἐν μέσῳ τοῦ παραδείσου, οὗ ἅψασθαι μετὰ τὴν ἁμαρτίαν ἐκωλύθη ὁ Ἀδάμ, τὰ σπέρματα τῆς δικαιοσύνης ἀποβαλών, ἀφ' ὧν φύεται τὸ δένδρον τῆς ζωῆς.

Haec est vitae arbor in medio paradiso plantata, cuius contactu interdictum fuit Adamo, qui post peccatum semina iustitiae abiecerat, unde arbor vitae producitur.

CAP. XII.

v. 2. cod. f. 56. a. Μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, φησὶν ὁ
* Ps. XXVII. 1. Δαβὶδ *, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν
εἰς λάκκον· ἀνὴρ παράνομος παρασιωπηθήσεται
ὑπὸ τοῦ θεοῦ, τουτέστι μισηθήσεται, καὶ οὐκ
ἐλεηθήσεται, ὅταν τὰ γέρα τοῖς τὴν χάριν τῆς
ἐνσάρκου οἰκονομίας αὐτοῦ δεξαμένοις, ἀπονέμῃ,
* Ioh. I. 16. καθὰ φησιν ἐν εὐαγγελίοις, καὶ χάριν ἀντὶ χάριτος*.

Ne quando taceas a me, ait David, et assimilabor descendentibus in lacum. Vir iniquus tacebitur a Deo, id est odio habebitur, nec misericordia fruetur, cum praemia iis qui incarnationis suae gratiam admiserunt Christus distribuet; prout dicitur in evangeliis: et gratiam pro gratia.

CAP. XIII.

v. 22. cod. f. 62. a. Πλοῦτος ἀσεβῶν κακία. οἱ δὲ δίκαιοι ἐξανα-
λώσουσιν αὐτούς, δηλονότι διὰ τῆς ἀγαθῆς δι-
δασκαλίας· τοίνυν καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἐπά-
νω πεντεκαίδεκα πόλεων γενόμενοι· τὴν γὰρ κλη-
ροδοσίαν τὴν οὐράνιον ἣν ἤμελλον ἀπολαβεῖν οἱ
ἀσεβείᾳ αὐτοὺς ἐκδόσαντες, ταύτην κληρονομή-
* Rom. II. 5. σουσι δίκαιοι, καθὰ καὶ Παῦλος φησὶν * κατὰ δὲ
τὴν σκληρότητά σου καὶ ἀμετανόητόν σου καρδίαν
θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ
ἀποκαλύψεως καὶ δικαιοκρισίας θεοῦ· ὁ δὲ ἀγαθὸς
κληροδοτῆσαι ποιήσει τοὺς ὡς υἱοὺς πατρὶ πειθο-
* ita cod. μένους αὐτῷ, καὶ τοὺς ἐκείνῳ * υἱοθετήσει τὴν
τῶν οὐρανῶν βασιλείαν.

Divitiae impiorum nequitia, quos iusti destruent, recto videlicet magisterio. Ea propter in futuro saeculo quindecim civitatibus praepositi erunt. Nam caelestem hereditatem quam capturi erant ii, qui nunc se impietati addixerunt, iusti consequentur, sicut et Paulus ait: secundum duritiam autem tuam et inpaenitens cor, thesaurizas tibi iram in die irae et revelationis iusti iudicii Dei. Sed bonus (Deus) heredes efficiet illos, qui, ut patri filii, ei obtemperarunt, atque in regnum caelorum adoptabit.

CAP. XIV.

v. 7. cod. f. 63. a' *Ὥσπερ ἀήττητά εἰσι, καθάπερ τὰ ὅπλα τὴν ἀσφάλειαν περιποιεῖ· οὐδὲν γὰρ πονηρὸν ἀντιστήσεται τῇ σοφίᾳ, διότι ὅπλον ἐστὶν ἀκαταμάχητον· μόνην γὰρ πρὸς ταύτην ἀδυνατοῦσιν οἱ δαίμονες· τῷ δὲ ἄφρονι τά τε ὁρατὰ καὶ ἀσώματα πάντα ἐναντία.

v. 9. cod. f. 64. a. Οἰκίας ἐνταῦθα τὰ σώματα λέγει· οἰκίαι γὰρ εἰσι τῶν ψυχῶν· ὀφείλονται δὲ παρὰ τῶν τὴν θεοσέβειαν εἰδότων καὶ τὴν θεωρητικὴν γνῶσιν, οἱ παράνομοι τὴν θεογνωσίαν μαθεῖν οὐ μόνον, ἀλλὰ καὶ πᾶσαν τῶν ζωοποιῶν ἐντολῶν· ἵνα καθαροὶ γενόμενοι, ἴδωσι τὸν θεὸν τοῖς νοεροῖς ὀφθαλμοῖς· τοῦτο γάρ ἐστι τὸ μακάριον τέλος, ὅπερ πάσῃ φύσει λογικῇ τετήρηται· αἱ δὲ οἰκίαι τῶν δικαίων ἕτοιμαί εἰσιν εἰς δοχὴν πάντων ὡς κελεύει ὁ κύριος.

Ita sunt invicta, quemadmodum arma praestant tutelam. Nulla quippe improbitas resistet sapientiae, quae est inexpugnabilis armatura. Huic uni non praevalent daemones. Imprudenti autem visibilia aeque et incorporea contraria sunt.

Domos hoc loco corpora dicit, quae sunt animarum domicilia. Debent autem ab iis, qui divini cultus et theoreticae scientiae sunt periti, discere impii non solum Dei cognitionem, sed et universam salutarium mandatorum rationem; ut emundati videant Deum intellectus oculis. Hic enim est beatus finis, qui omni rationali naturae reservatur. Iustorum vero domus paratae sunt omnium receptioni, prout iubet Dominus.

Cogitationes nunc dixit divinas visiones et habitus virtutum, quas viis hominis temerarii opponit. Namque ex abundantia cordis loquuntur labia, inquit Dominus. Haud enim male sed bene facere bonus vir meditatur. Temerarius vero imprudenter agens ac loquens, replebitur flagellis, et rei domesticae detrimentis, et denique animam suam perdet.

v. 14. Διανοήματα νῦν εἶπεν τὰς θείας ὁράσεις καὶ τὰς ἕξεις τῶν ἀρετῶν, ἅσπερ ταῖς ὁδοῖς νοῦ θρασυκαρδίου ἀντέθεικεν· ἀπὸ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὰ χείλη, εἶπεν ὁ κύριος *· οὐ γὰρ κακοποιῆσαι ἀλλ' ἀγαθοποιῆσαι ὁ ἀγαθὸς ἀνὴρ διανοεῖται· ὁ δὲ θρασυκάρδιος ὡς ἄφρων πράττων καὶ λέγων, ἐμπλησθήσεται μαςίγων, καὶ πραγμάτων ἀφαιρέσεως, καὶ τέλος τὴν ψυχὴν αὐτοῦ ἀπολέσει.

* Matth. XII. 34.

C A P. XV.

Correptiones dicit mandata; haec enim nos peccantes corripiunt. Qui vero illa oderunt, et peccatorum turpitudini commoriuntur, cum improbo illorum inventore tabescent. A praetereuntibus autem nequitiam, cognoscitur disciplina inpeccantiae hominis insontis.

Quies est abstinentia a nequitia actuosa et a spectaculis, qua boni quiete fruuntur. Mentis autem et corporis oculi improborum omni tempore meditantur prava.

Vir cordatus in inferno peccantium non versatur. Viae vitae, meditationes sunt divinorum verborum et operum. Vir cordatus semper haec agit et docet, ut cum discipulis suis declinans ab inferis salvus sit.

Qui Dei mandatis non obtemperant, inimici eius sunt; sed eiusdem amici fiunt, cum ut malos actus suos confiteantur, ad iustos homines se conferunt; à quibus deducti, salutares vias aeque ac illi persequentur. Paulo clamante: qui aliquando inimici erant, reconciliati sunt Deo per mortem filii eius. Animadvertendum, quomodo omnes inimici, iustorum opere fiant amici; ut omnibus demum dicat Christus: iam non amplius vos servos appello sed amicos.

v. 10. cod. f. 66. b. Ἐλέγχους νῦν τὰς ἐντολὰς εἶπεν· αὗται γὰρ ἡμᾶς ἁμαρτάνοντας ἐλέγχουσιν· οἱ δὲ μισοῦντες αὐτὰς, καὶ τῇ αἰσχρότητι τῶν ἁμαρτιῶν συναποθνήσκοντες, σὺν τῷ πονηρῷ αὐτῶν ἐφευρετῇ πονηρῶς τακήσονται· ὑπὸ δὲ τῶν παριόντων τὴν κακίαν, γνωρίζεται τῆς ἀναμαρτησίας ἡ παιδεία τοῦ ἀκάκου·

v. 15. cod. f. 67. a. Ἡσυχία ἐστὶν ἀποχὴ κακίας ἐμπράκτου καὶ ὁράσεων, ἣν οἱ ἀγαθοὶ ἡσυχάζουσιν· οἱ δὲ τοῦ νοὸς καὶ σώματος ὀφθαλμοὶ τῶν κακῶν, πάντα τὸν χρόνον ἐπινοοῦνται κακά.

v. 24. cod. f. 67. b. Ὁ δὲ συνετὸς οὐκ ἔστιν ἐν ᾅδου τοῦ τῶν ἁμαρτωλῶν· ὁδοὶ ζωῆς, διανοήματα θείων λόγων καὶ ἔργων· ὁ δὲ συνετὸς ἀεὶ ταῦτα ποιεῖ καὶ διδάσκει, ἵνα σὺν τοῖς μαθητιῶσιν ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ.

v. 28. cod. f. 68. a. Οἱ τὰς ἐντολὰς αὐτοῦ μὴ πράττοντες, ἐχθροὶ αὐτοῦ εἰσίν· φίλοι δὲ αὐτοῦ γίνονται ἐπ' ἂν τοῖς δικαίοις προσδράμωσιν, ἐξομολογούμενοι τὰς πράξεις αὐτῶν τὰς πονηράς 1)· ἐξ ὧν ἐνηχθέντες ὡς ἐκεῖνοι τὰς ζωοποιοὺς ὁδοὺς πορεύσονται· Παύλου κηρύξαντος *, οἱ ποτὲ ὄντες ἐχθροὶ, κατηλλάγησαν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ· προσεκτέον ὅτι πάντες οἱ ἐχθροὶ, διὰ τῶν δικαίων φίλοι γίνονται· ἵνα καὶ πᾶσιν εἴπῃ Χριςός *· οὐκέτι ὑμᾶς καλῶ δούλους, ἀλλὰ φίλους.

* Rom. V. 10. cod. f. 68. b.

* Ioh. XV. 15.

C A P. XVI.

Rursus ibi quoque sapientia opus est, ut clementiam impetret. Vel qui punitionis decretum scit angelus, furor Dei dicitur. Peritus autem divinorum verborum et operum, ceu ipsi mente conformis, haud eum extimescet.

Nidi sapientiae sunt ecclesiae, vel caelestia habitacula. Sapientia vero Iesus Christus est, Dei filius. Nidi autem prudentiae, praestantio-

v. 14. cod. f. 70. a. Πάλιν κἀκεῖ τῆς σοφίας χρεία, ἵνα ἐξιλάσηται· ἢ ὁ τοὺς περὶ κολάσεως ἐπιστάμενος λόγους ἄγγελος, θυμὸς τοῦ θεοῦ λέγεται. ὁ δὲ σοφὸς ἐν θείοις ἔργοις καὶ λόγοις, ὡς ὁμόφρων αὐτῷ ὢν, οὐ πτοηθήσεται αὐτόν.

v. 16. Νοσσιαὶ σοφίας εἰσὶν αἱ ἐκκλησίαι, ἢ αἱ ἐν τῷ οὐρανῷ σκηναί· σοφία δὲ, Ἰησοῦς Χριστὸς, ὁ τοῦ θεοῦ υἱός ἐστιν. νοσσιαὶ δὲ φρονήσεως

1) Nihil evidentius videtur, quam haec Origenis doctrina de peccatorum apud sacerdotem facienda confessione, eiusdemque salutaribus monitis audiendis. Notent hoc heterodoxi tantopere a confitendo abhorrentes.

αἱρετώτεραι ὑπὲρ ἀργύριον, αἱ πρακτικαὶ ἀρεταί. δικαιοσύνη, γνῶσις, σοφία, σωφροσύνη, ἀνδρεία, μακροθυμία, ἀνεξικακία, ἀοργησία, ἐλεεμοσύνη, πίστις σὺν ἐλπίδι καὶ ἀγάπῃ· δι' ἃς ὡς κλίμακος βαθμίδας, εἰς τὰς τῆς σοφίας σκηνὰς εἰσιέναι ἀκώλυτον τοὺς ἀνιέναι καὶ οἰκῆσαι βουλομένους.

v. 17. cod. f. 70. b. Παιδείαν λέγει φόβον θεοῦ, νηστείαν, ἐγκράτειαν, ἀγρυπνίαν, ὕμνον, καὶ τὴν ἐν νόσοις πρὸς δοκιμὴν θεοῦ ἐπερχομένην ἡμῖν παιδείαν. Ἐλέγχους λέγει τὰς ἐντολὰς τοῦ θεοῦ· αὗται γὰρ ἡμᾶς ἐλέγχουσιν ἁμαρτάνοντας. Ὁδοὺς ἐνταῦθα τὰς αἰσθήσεις φησίν· ὁ δὲ φυλάσσων αὐτὰς, τηρεῖ ἐκ θανάτου τὴν ἑαυτοῦ ψυχὴν πρὸς ζωήν· ζωὴ γάρ ἐστιν ἡ πάντα ζωοῦσα, καὶ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγοῦσα Τριὰς ἁγία· ὁ δὲ ἀγαπῶν τὴν ζωὴν, καὶ ἀεὶ ζῆν αὐτῇ ἐφιέμενος, φείσεται στόματος αὐτοῦ ἐκ τῶν μὴ θεοῦ λόγων καὶ ἔργων, καὶ τῇ γνώσει τοῦ θεοῦ προσέξει.

v. 22. cod. f. 71. a. Ζωὴ ὁ θεός ἐστι· τῆς δὲ τρισσοφανοῦς αὐτοζωΐας ἡ πηγὴ, ἡ σοφία καὶ ἡ γνῶσις καὶ αἱ ἀρεταί εἰσιν· ἐξ ἧς πηγῆς οἱ πίνοντες, ἀθανασίας μετέχουσι καὶ ἀειζωΐας· τοῖς δὲ κεκτημένοις τὴν τοιαύτην πηγὴν, ἔννοια λόγων ζωῆς ἐστί· ἡ δὲ παιδεία ἀφρόνων, ἡ κακία ἐστίν· ἡ δὲ ἀνεξέλεγκτος παιδεία, ἡ ἀφροσύνη ἐστίν.

v. 23. Τὴν γνῶσιν ἐπιγνωμοσύνην εἶπε, παρὰ τὸ τὰ πάντα αὐτὴν ἐπιγινώσκειν τὰ πράγματα· ἡ δὲ καρδία τῶν σοφῶν νοεῖ τὰ ἀπὸ τοῦ ἰδίου στόματος ἔν τε κρίσει σωμάτων καὶ ἀσωμάτων, καὶ ἅπερ αὐτοὶ ποιεῖν διδάσκουσι καὶ πράττουσιν.

v. 28. cod. f. 71. b. Λόγους οἱ δαίμονες παρὰ τοῦ διαβόλου μανθάνοντες, ἐπιχειροῦσι τοῖς ἁγίοις, καὶ πειρᾶσθαι χωρίζειν αὐτοὺς ἐπινοοῦνται ἀπὸ τῆς γνώσεως, ἥ τις πέφυκε συνάπτειν αὐτοὺς πρὸς φιλίαν ταῖς ἐπουρανίοις δυνάμεσι· τὸ δ' αὐτὸ τοῦτο καὶ ὁ Σολομῶν ὡς οἶμαι διὰ ταύτης τῆς παροιμίας δεδήλωκε· σκολιὸν μὲν ἄνδρα λέγων τὸν σατανᾶν· πορευομένους δὲ λαμπτῆρας δόλου τοὺς διδασκομένους παρ' αὐτοῦ κακοὺς δαίμονας φησί· φίλους δὲ, τοὺς ἁγίους, τοὺς διὰ τῆς γνώσεως ἁπτομένους τῷ θεῷ καὶ ἀλλήλοις.

v. 29. cod. f. 72. a. Ἀνὴρ παράνομος ὁ διάβολος ἐστιν· ἀποπειρᾶται δὲ φίλους θεοῦ, καὶ ἀπάγει αὐτοὺς ταῖς
πρὸς ἀπώλειαν ὁδοῖς καὶ οὐκ ἀγαθαῖς· ὅταν δέ
v. 30. τινα τῶν ἁγίων ἀπατήσῃ, στηρίξει νοήματα τοῖς
ὀφθαλμοῖς αὐτοῦ, καὶ λογίζεται διεστραμμένα,
μή πως σωθῇ μετανοήσας ὃν ἐθήρευσε· κνίζει δὲ
τοῖς χείλεσιν αὐτοῦ ἐν τοῖς ὠσὶν ἐκείνου πάντα

res argento, practicae virtutes sunt, iustitia, scientia, sapientia, temperantia, fortitudo, longanimitas, patientia, lenitas, eleemosyna, fides cum spe et caritate; per quas ceu scalarum gradus in sapientiae habitacula ingredi, nihil vetat eos qui illuc conscendere et habitare voluerint.

Disciplinam dicit timorem Dei, ieiunium, continentiam, vigilias, hymnologiam, et eam quam nobis Deus experimenti causa morborum inducit castigationem. Reprehensiones dicit mandata Dei; haec enim peccantes nos reprehendunt. Vias hoc loco dicit sensus, quos qui custodit, morte ereptam servat animam suam ad vitam. Porro vita est quae omnia vivificat, et ex nihilo ad existentiam adduxit Trinitas sancta. Qui autem vitam diligit, semperque vivere optat, os suum continebit, quominus nonnisi de Deo verbis et operibus loquatur, et Dei cognitioni studium impendet.

Vita Deus est. Fons autem vitae tripliciter per se existentis, sapientia, scientia, et virtutes sunt; quo ex fonte qui bibunt, immortalitatem sempiternamque vitam participant. Iam qui dicto fonte potiti sunt, ii verba vitae meditantur. At vero insanorum disciplina, improbitas est: tum et quae dicitur sine correptione disciplina, stultitia est.

Scientiam appellavit cognitionem, quia haec omnia negotia cognoscit. Cor sapientium cogitat quae ab ore proprio, in iudicio de corporeis et incorporeis: et quod ipsi facere docent, pariter agunt.

Diaboli doctrina eruditi daemones, sanctos oppugnant, eosque a scientia Dei arcere conantur, quae solet ipsos copulare amicitia cum caelestibus potestatibus. Hoc ipsum Salomon quoque, ut arbitror, hoc effato significat, perversum quidem hominem dicens Satanam: transeuntes doli faces, eruditos ab illo malos daemones: amicos, sanctos qui scientia sua Deum attingunt et inter se.

Vir iniquus, diabolus est, qui Dei amicos tentat, inducitque in vias perditionis et non bonas. Postquam vero sanctorum aliquem deceperit, obfirmat sibi prae oculis machinationes, cogitat perversa, ne forte paenitens salvetur is quem venatus est. Inspirat autem auribus eius pravas quaslibet cogitationes, desperationem et omnimodam intemperantiae

voluptatem. Haec est omnis nequitiae fornax, in qua comburuntur animae eorum qui illuc labuntur. Sed enim huius quoque fornacis discutit flammam divinus Spiritus, insibilans sapientiam roris. Adhuc vero multi hoc pacto improbi homines, patrem suum diabolum solent imitari.

Sinus heic corda dixit iniquorum. Puto autem sinum ubique significare aut mentem aut scientiam. Et improbos quidem gestat in sinu diabolus, iustos Dominus.

τὰ κακὰ ἐνθυμήματα· ἀπόγνωσίν τε καὶ πᾶσαν ἡδονὴν ἀκολασίας· οὗτος κάμινος ἐςὶ πάσης κακίας· καὶ φλέγει ἐν αὐτῇ τὰς ψυχὰς τῶν ὀλισθησομένων· ἀλλὰ ταύτης τῆς καμίνου ἐκτινάσσει τὴν φλόγα πνεῦμα θεῖον, διασυρίζον σοφίαν δρόσου· πολλοὶ δὲ ἔτι τῶν κατ' αὐτὴν πονηροὶ ἄνθρωποι, εἰώθασι μιμεῖσθαι τὸν πατέρα αὐτοῖς διάβολον.

Κόλπους ἐνταῦθα τὰς καρδίας εἴρηκε τῶν ἀδί- v. 33. cod. f. 72. b.
κων· οἶμαι δὲ ὅτι καὶ πανταχοῦ ὁ κόλπος ἢ τὸν νοῦν, ἢ τὴν γνῶσιν σημαίνει· καὶ τοὺς μὲν πονηροὺς ὁ διάβολος ἐγκολπίζεται, τοὺς δὲ δικαίους ὁ κύριος.

C A P. XVII.

Si omnis qui facit peccatum, servus est, omnis vicissim qui a nequitia recedit propter virtutem, daemonibus vesanis dominis praevalet. Hic etiam mysteriorum Dei domicilium fiet, pro status conditione singulis fratribus spiritalem scientiam distribuens. Sic etiam Paulus Corinthios lacte, Ephesios solidiore cibo pascebat, de longitudine, latitudine et profunditate loquens, spatiis his significans rationalis naturae diversitatem, quae Dei de iudicio ac providentia sermones comprehendit, profundos equidem, et humanam conditionem excedentibus.

Fornaces sunt tentationes. Etenim postquam per tentationes corda purgavit, tum demum, immaculata sibi eligit Deus.

Homo haereticus irreligiosorum dogmatum linguam obaudit; at ecclesiae fideles nulla hanc attentione dignantur. Dum autem haereticus auscultat, voluntatem suam demonstrat contra Dei sapientem providentiam peccandi.— Ille improborum linguas audit, qui iniquas ab eis suscipit meditationes, et paria his agere satagit. Quibus homo iustus dicitur non attendere, seu visibilibus, seu invisibilibus; id est illorum consilia diutius mente non alere.

Fidelis inquit, homo videbit rationes mundi huius, quas auctor tropice divitias appellavit. Incredulus autem ne minimae quidem rei rationem cognoscet propter animae suae impuritatem. Quod vero divitiae animae, agnitio Dei sit, Paulus docet dicendo: in omnibus divites facti estis in omni scientia et omni sapientia. Quod si quis ostendere velit non hunc esse huius effati sensum, dicat sane quomodo

Εἰ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλος ἐστὶ, v. 2. cod. f. 72. b.
πᾶς ὁ ἀποστὰς τῆς κακίας διὰ τῆς ἀρετῆς, τῶν δαιμόνων ἀφρόνων ὄντων δεσποτῶν ἐκράτησεν· ὃς καὶ οἶκος μυστηρίων θεοῦ γενήσεται, κατὰ ἀναλογίαν τῆς καταστάσεως, ἑκάστῳ τῶν ἀδελφῶν διδοὺς γνῶσιν πνευματικήν· οὕτω καὶ Παῦλος τοὺς μὲν ἐν Κορίνθῳ γαλαποτίζων, τοὺς δὲ ἐν Ἐφέσῳ τρέφων στερεωτέρᾳ τροφῇ, περὶ ὕψους καὶ μήκους καὶ πλάτους καὶ βάθους διαλεγόμενος· καὶ διὰ τούτων τῶν διαςημάτων, τὴν τῆς λογικῆς φύσεως σημαίνων διαίρεσιν, ἥτις τοὺς περὶ κρίσεως καὶ προνοίας τοῦ θεοῦ λόγους ἐμπεριέχει, πάνυ βαθυτάτους ὑπάρχοντας, καὶ ἐκφεύγοντας τὴν ἀνθρωπίνην κατάστασιν.

Κάμινοι οἱ πειρασμοί· διὰ γὰρ τῶν πειρασμῶν v. 3. cod. f. 73. a.
καθάρας καὶ ἀκηλιδώτους τὰς καρδίας τῶν ἐκλεκτῶν, ὁ θεὸς ἐκλέγεται.

Ὁ αἱρετικὸς ὑπακούει γλώσσης τῆς τῶν ἀθέων v. 4.
δογμάτων· οἱ δὲ τῆς ἐκκλησίας, οὐδὲ προσέχουσιν. Διὰ τοῦ ὑπακούειν, τὸ ἑκούσιον δείκνυσιν, ὡς εἰς τὴν τοῦ θεοῦ σοφὴν διοίκησιν ἐξαμαρτῶν·—Οὗτος ὑπακούει ταῖς γλώσσαις τῶν παρανόμων, ὁ τοὺς ἀδίκους δεχόμενος παρ' αὐτῶν λογισμοὺς, καὶ σπεύδων ἐνεργεῖν κατ' αὐτούς· οἷς ὁ δίκαιος λέγεται μὴ προσέχειν, ὁρατῶν τὲ καὶ ἀοράτων, τουτέστι μὴ ἐπὶ πλέον τρέφειν ἐν ἑαυτῷ.

Ὁ πιστὸς, φησιν, ὄψεται τοὺς λόγους τοῦ κό- v. 6.
σμου τούτου, οὓς τινας χρήματα τροπικῶς τοῦ νοῦ προσηγόρευσεν· ὁ δὲ ἄπιστος οὐδὲ τοῦ τυχόντος πράγματος γνώσεται λόγον, διὰ τὴν ἀκαθαρσίαν τῆς ψυχῆς αὐτοῦ· ὅτι δὲ πλοῦτος ψυχῆς ἡ γνῶσις ἐστὶ τοῦ θεοῦ, ὁ Παῦλος διδάσκει λέγων τὸ, ἐν παντὶ ἐπλουτίσθητε, ἐν πάσῃ γνώσει καὶ πάσῃ
σοφίᾳ *· εἰ δέ τις βούλοιτο δεῖξαι μὴ ταύτην τὴν * I. Cor. 1. 5.
ἔννοιαν εἶναι ταύτης τῆς παροιμίας, λεγέτω που

εὐπόρησαν χρημάτων οἱ περιελθόντες ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, κακουχούμενοι, θλι-
* Hebr. IX. 37. βόμενοι, στενοχωρούμενοι *; πῶς δὲ καὶ ὁ ἄπιστος οὐχ ἕξει ὀβολὸν, πολλῶν ἀπίστων περιβεβλημένων πλοῦτον πολύν, λέγω δὲ βασιλέων καὶ ἀρχόντων τοῦ κόσμου τούτου;

v. 7. cod. f. 73. b. Χείλη πιστὰ τοὺς ἀγαθοὺς λογισμοὺς φησίν· ἄφρονι δὲ δεκτοὶ ἔσονται πονηροὶ λογισμοί· τίς γὰρ μετοχὴ δικαιοσύνῃ πρὸς ἀδικίαν; εἰ μή που μετανοήσας δέξηται φρόνησίν τε καὶ πίστιν.

v. 9. Διὰ μὲν τῆς δικαιοσύνης, τὴν ἀδικίαν κρύπτομεν· διὰ δὲ τῆς σωφροσύνης, τὴν ἀκολασίαν· καὶ πάλιν διὰ τῆς ἀγάπης, τὸ μῖσος· καὶ διὰ τῆς ἀφιλαργυρίας, τὴν πλεονεξίαν· κρύπτομεν δὲ καὶ διὰ τῆς ταπεινοφροσύνης τὴν ὑπερηφανίαν, καὶ διὰ τὴν πραΰτητα, τὴν θρασύτητα· ζητοῦντες τὴν πνευματικὴν φιλίαν, ἥτις τὴν ἁγίαν γνῶσιν
* Ephes. II. 19. σημαίνει· καὶ παρὰ τῷ Παύλῳ * δὲ συμπολῖται τινὲς τῶν ἁγίων λέγονται γεγονέναι, καὶ οἰκεῖοι τῆς ἄνω Ἱερουσαλήμ· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ τῶν προφητῶν.

v. 13. cod. f. 74. a. Οἶκον ἐνταῦθα φησὶ τῆς μὲν ψυχῆς, τὸ σῶμα· τὴν δὲ ψυχὴν πάλιν, οἶκον τοῦ νοῦ· ὁ δ' αὐτὸς πάλιν νοῦς, τῆς ψυχῆς ὀφθαλμὸς λέγεται· ὁ δὲ τὴν ἔνθεον γνῶσιν καὶ σοφίαν μαθὼν, ἑαυτὸν δὲ ἐκδοὺς τῇ κακίᾳ, καὶ ἀντὶ ἀγαθῶν πονηροὺς λόγους ἐκφέρων, πρὸς δὲ τὸ ἐπιστρέψαι καὶ σωθῆναι μὴ βουλόμενος, τοῦ σωματικοῦ οἴκου οὐκ ἀναχωρήσει ἡ κακία καὶ ἡ πονηρία· ἀλλὰ μένουσιν ἑδραίως ἐν αὐτῷ, ἵνα τὰ τέλεια κακὰ ἐπέλθῃ, ἐν αὐτῷ ἀκίνητα μένοντα ἐν ἡμέρᾳ ὀργῆς κυρίου.—Τὸ ἐκ τῆς γῆς παρὰ κυρίου πλασθὲν ἡμῖν σῶμα, οἶκον ἐνταῦθα φησί· τὸ δὲ οὐ κινηθήσεται, ἀντὶ τοῦ οὐκ ἀναχωρήσει ἐκ τοῦ οἴκου αὐτοῦ ὀργὴ καὶ θλίψις, διά τε ἀνθρώπων καὶ δαιμόνων ἐκπεμπόμενα παρὰ κυρίου· κατὰ τοῦ ἀντὶ ἀγαθῶν κακὰ ἀποδώσαντος τῷ ἀγαθοποιῷ αὐτοῦ ἀνθρώπῳ.—Εἰ ὁ κακὰ ἀντὶ κακῶν ἀποδιδοὺς παράνομος, πόσῳ μᾶλλον ὁ κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδοὺς παρανομώτερος; τοιοῦτος δὲ ἐγένετο κατὰ τὴν ἔρημον ὁ Ἰσραήλ· πρὸς ὃν ὁ
* cod. Ἰησοῦς. Μωϋσῆς * ἐν τῷ δευτερονομίῳ φησί· γενεὰ σκολιὰ
*Deut. XXXII. 5. καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε;

v. 14. cod. f. 74. b. Ἐνταῦθα ἀρχὴν, τὴν γνῶσιν φησί· δικαιοσύνη δὲ ἕπεται τῇ γνώσει· ἐκ γὰρ τῆς γνώσεως ἡ δικαιοσύνη τίκτεται· ἔνδεια δέ ἐστι ἄγνοια· στάσις δὲ καὶ μάχη, πᾶσα κακία· προηγεῖται δὲ τῆς ἀγνοίας, ἡ κακία· τίνος ἕνεκεν πάλιν τῶν πενήτων κατηγορεῖ; ἀπάγων ἡμᾶς ἀργίας· οὐκ ἄρα ἀπὸ χειροτονίας ἡ ἐξουσία· ὥστε εἰ βούλει

divitiis abundaverint illi, qui circuierunt in melotis, in pellibus caprinis, afflicti, pressi, angustiati? Quomodo item homo incredulus obolum non possidebit, quum reapse multi increduli lautis divitiis affluant, reges inquam et principes mundi huius?

Labia fidelia dicit bonas cogitationes. Vesano tamen placebunt cogitationes malae. Nam quae participatio iustitiae cum iniquitate? aut quae communio lucis cum tenebris? nisi forte ille paenitens prudentiam fidemque receperit.

Iustitiâ iniquitatem obruimus; temperantia luxuriam, pariterque amore odium, et liberalitate avaritiam. Obruimus item humilitate superbiam, et mansuetudine ferociam, quaerentes spiritalem amicitiam, quae sanctam Dei agnitionem significat. Et quidem apud Paulum quidam dicuntur cives sanctorum facti, et habitatores supernae Hierusalem, superaedificati super fundamentum apostolorum et prophetarum.

Domum animae dicit heic corpus; vicissimque animam mentis domum. Item ipsa mens, dicitur animae oculus. Iam qui divinam scientiam ac sapientiam didicerit, et nihilominus se improbitati tradiderit, et pro bonis iniquos sermones protulerit, nec resipiscere et salvari voluerit, ex eius quidem corporali domo iniquitas improbitasque non discedet, sed in ea firmiter manent, ut suprema mala eveniant, quae illi immobiliter haerebunt usque ad diem irae Domini.—Fabricatum a Domino nobis corpus, domum heic appellat. Non movebitur autem dicit, pro: non abscedet a domo eius ira et tribulatio, quae per homines daemonesque a Deo immittuntur, adversus illum qui mala pro bonis reddidit benefico sibi homini.—Si qui mala pro malis retribuit, peccat; quanto magis qui mala pro bonis remuneratur, peccator est? Talis fuit in deserto Israhel; cui Moyses in deuteronomio aiebat: generatio prava atque perversa, haeccine Domino redditis?

Hoc loco initium dicit scientiam. Iustitia autem subsequitur scientiam; namque ex scientia gignitur iustitia. Egestas, est ignorantia: seditio et rixa, omnis iniquitas. Anteit ignorantiae iniquitas. Cur vero pauperes rursus vituperat? Scilicet ut ab otiositate nos abducat. Non oritur ex electione potestas. Quod si ve-

lis cum fiducia incedere, iustus esto. Praecedit egestatem seditio et rixa; nempe iniustis praecedit virtutis inopia.

Similis est huic qui dicit amarum esse dulce, et dulce amarum; et qui lucem appellat tenebras, vicissimque tenebras lucem.

Opes nunc dicit sapientiam et Dei scientiam dicit. Vesano autem cur fiat sapientiae et divinae scientiae magisterium? Nam sicut fieri nequit ut in mari sit vitis, ita in stultis sapientia fructum virtutis proferre nequit. Sunt enim vesani hominis opes, in singulis negotiis eius stoliditates. Per has quippe factus excors, possidere sapientiam nequit.—In omni negotio quisquis se extollit, humiliabitur; quia Deus superbis resistit. Qui oblique quaerit res divinas discere, malo iudicio prolabetur.

Amicum heic dicit Christum, qui propter suam erga hominem amicitiam factus est homo. Non iam servos vos dico, ait discipulis, sed amicos. Omni certe tempore Christus tibi amicus sit. Filii vero Christi, invicem sunt amici: angeli scilicet et iusti homines, mutuo sunt fratres, Spiritu adoptionis geniti. Hanc enim ob causam angeli ex sapientia gignuntur, ut sint hominibus duces a vitio ad virtutem, et ab inscitia ad Dei cognitionem.

Ille est volubilis, qui facile a virtute ad vitium declinat, malis cogitationibus abstractus.

Patrem nunc dicit Deum; matrem, benignitatem eius erga homines, quae et illi incarnationem suasit, et pro nobis pati. Noster autem pater Deus, non laetatur adoptivo filio, qui Dei sapientiam atque notitiam non sit edoctus, sed nequitiae et improbitati deditus. Prudens filius laetificat matrem suam, id est Dei benignitatem. Vel etiam adducit nos ad Deum patrem, ut filios iam ablactatos, et spiritalis solidioris cibi cupidos. Ut ob similitudinem frater noster effectus, filius eius Iesus Christus, ita et nos actu et sermone vivamus. Est mater nostra etiam ecclesia, quam per Spiritum sanctum Deus pater sibi sponsam copulavit. Gignit enim sibi per ipsam semper filios filiasque: et de edoctis Dei notitiam atque sapientiam liberis laetatur pater noster Deus materque ecclesia. Et de

μετὰ παῤῥησίας βαδίζειν, δίκαιος ἔσο· προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη, ἤτοι τοῖς ἀδικοῦσιν ἔνδεια ἀρετῆς.

Ὁμοιός ἐστι τούτῳ ὁ λέγων τὸ πικρὸν γλυκὺ, v. 15.
καὶ τὸ γλυκὺ πικρόν· καὶ τὸ μὲν φῶς, ὀνομάζων
σκότος. τὸ δὲ σκότος, φῶς.

Χρήματα ἐνταῦθα τὴν σοφίαν καὶ τὴν γνῶσιν v. 16.
φησίν· ἄφρονι δὲ, ἵνα τί ὑπῆρξεν ἡ τῆς σοφίας
καὶ γνώσεως μάθησις; ὡς γὰρ ἄμπελον ἀδύνατον
ἐν θαλάσσῃ γενέσθαι, οὕτως ἐν ἄφροσιν ἡ σοφία
ἀρετὴν καρπώσασθαι· χρήματα γὰρ ἄφρονός ἐςι,
αἱ περὶ καθ' ἕκαςα αὐτοῦ πράγματα ἀφροσύναι·
διὰ ταύτας γὰρ καὶ ἀκάρδιος γεγονὼς, κτήσασθαι
σοφίαν ἀδυνατεῖ·—Ἐν παντὶ πράγματι, πᾶς ὁ v. 16. cod. f. 75. a.
ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ὅτι κύριος ὑπερηφά-
νοις ἀντιτάσσεται· ὁ δὲ σκολιάζων τοῦ μαθεῖν τὰ
πράγματα τοῦ θεοῦ, ἐμπεσεῖται εἰς κακὰ περὶ τὴν
κρίσιν.

Ἐνταῦθα φίλον τὸν Χριστὸν φησὶν, ὃς διὰ v. 17.
τὴν πρὸς ἄνθρωπον φιλίαν, ἄνθρωπος γέγονεν.
οὐκέτι γὰρ λέγω ὑμᾶς δούλους, εἶπεν τοῖς μα-
θηταῖς, ἀλλὰ φίλους *· ἐν παντὶ δὲ καιρῷ ὁ Χρι- * Ioh. XV. 15.
στὸς συνυπαρχέτω σοι φίλος· εἰ δὲ οἱ τοῦ Χρι-
ςοῦ υἱοὶ, ἀλλήλων εἰσὶ φίλοι, οἱ ἄγγελοι καὶ οἱ
δίκαιοι ἄνθρωποι, ἀλλήλων εἰσὶν ἀδελφοὶ, τῷ
τῆς υἱοθεσίας γεννώμενοι πνεύματι· τούτου γὰρ
χάριν καὶ γεννῶνται ὑπὸ τῆς σοφίας, ἵνα ἀνθρώ-
πους ὁδηγήσωσιν ἀπὸ κακίας εἰς ἀρετὴν, καὶ
ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν θεοῦ.

Οὗτος ἐςὶν εὐμετάβολος, ὁ ῥᾳδίως ἀπὸ ἀρε- v. 20. cod. f. 75. b.
τῆς ἐπὶ κακίαν μεταβαλλόμενος, τοῖς πονηροῖς λο-
γισμοῖς συναπαχθείς.

Πατέρα ἐνταῦθα τὸν θεὸν φησί· μητέρα, τὴν v. 21.
φιλανθρωπίαν αὐτοῦ· ἣ καὶ πεποίηκεν αὐτὸν σαρ-
κωθῆναι, καὶ πάθη ὑπομεῖναι δι' ἡμᾶς· ὁ δὲ θεὸς
καὶ πατὴρ ἡμῶν, οὐκ εὐφραίνεται ἐπὶ υἱῷ υἱο-
θετηθέντι μὲν, μὴ πεπαιδευμένῳ δὲ τὴν τοῦ θεοῦ
σοφίαν καὶ γνῶσιν, ἀλλὰ κακίᾳ καὶ πονηρίᾳ ἑαυ-
τὸν ἐκδόντι· υἱὸς δὲ φρόνιμος εὐφραίνει τὴν μητέρα
αὐτοῦ, τὴν τοῦ θεοῦ φιλανθρωπίαν· ἣ καὶ προσάγει
ἡμᾶς αὐτῷ τῷ θεῷ καὶ πατρὶ, ὡς υἱοὺς ἀπογαλα-
κτισθέντας, καὶ τῆς πνευματικῆς ςερεᾶς τροφῆς
ἐφιεμένους· ἵν' ὡς καθ' ὁμοιότητα ἀδελφὸς ἡμῖν
γεγονὼς ὁ υἱὸς αὐτοῦ Ἰησοῦς Χριςὸς, οὕτως καὶ
ἡμεῖς πράξει καὶ λόγῳ πολιτευώμεθα· ἔςι δὲ μήτηρ
ἡμῶν, καὶ ἡ ἐκκλησία, ἣν τῷ πνεύματι τῷ ἁγίῳ
ἑαυτῷ ὁ θεὸς καὶ πατὴρ ἡρμόσατο εἰς γυναῖκα·
τίκτει γὰρ ἀεὶ δι' αὐτῆς ἑαυτῷ υἱοὺς καὶ θυγα-
τέρας· καὶ ἐπὶ μὲν τοῖς πεπαιδευμένοις τὴν τοῦ
θεοῦ γνῶσιν καὶ σοφίαν, εὐφραίνεται καὶ ὁ πατὴρ

ἡμῶν θεός, καὶ ἡ μήτηρ ἡ ἐκκλησία· ἐπὶ δὲ τοῖς ἀπαιδεύτοις, πάνυ μὲν κήδεται καὶ λυπεῖται, ὡς μὴ θελόντων ἡμῶν ἐπιστρέψαι καὶ σωθῆναι, ἀλλὰ τῇ κακίᾳ προσμένειν.

ineruditis tristatur magnopere ac dolet, quia nolumus converti ac salvari, sed in nequitia perseverare.

v. 24. cod. f. 76. a. Πρόσωπον ἐνταῦθα τὴν θεωρίαν φησί· θεωρία γὰρ νοημάτων συνετοῦ ἀνδρὸς, σοφία καὶ γνῶσις καὶ δικαιοσύνη· οἱ δὲ νοεροὶ ὀφθαλμοὶ τοῦ ἄφρονος, καὶ ἐν σώματι ἐν ἄκρᾳ κακίας καὶ πονηρίας.

Vultum hoc loco dicit meditationem. Nam meditatio cogitationum cordati viri, sapientia est, atque scientia, et iustitia Intellectuales vero oculi viri insani, in corpore quoque summam habent nequitiam et improbitatem.

v. 25. cod. f. 76. b. Ὀργὴ τῷ ἄφρονι υἱῷ παρὰ τοῦ θεοῦ καὶ πατρὸς ἐκπέμπεται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· τῇ δὲ ἐκκλησίᾳ τῇ γεννησαμένῃ τῷ πνεύματι, καὶ τῇ τῶν ἁγίων χορείᾳ, ὀδύνη τότε πάντως ἔσται ἐπὶ τῇ ἀπωλείᾳ τοῦ ἄφρονος υἱοῦ· καὶ ὅτι ὁ μὲν φρόνιμος υἱὸς καὶ τεκοῦσαν ἔχει καὶ μητέρα· ὁ δὲ ἄφρων μόνην τεκοῦσαν· ἡ γὰρ μήτηρ καὶ τεκοῦσα· ἡ δὲ τεκοῦσα, οὐ πάντως ἔσται καὶ μήτηρ· ἐὰν γὰρ ἀποθάνῃ τὸ τεχθὲν ἐν κακίᾳ καὶ ἀγνωσίᾳ, τεκοῦσα μέν ἐστι, μήτηρ δὲ οὐκ ἔστι· διότι μηδὲ τοῦ τῆς υἱοθεσίας μετέσχηκε πνεύματος τὸ τεχθέν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν αἰσθητῶν μητέρων νοηθήσεται, καὶ ἐπὶ τοῦ θανάτου τοῦ αἰσθητοῦ· τὴν γὰρ μητέρα ἐροῦμεν καὶ τεκοῦσαν· οὐκέτι δὲ μητέρα τοῦ παιδὸς ἀποθανόντος.

Ira in filium imprudentem a Deo patre effunditur in die iudicii. Ecclesiae autem quae Spiritu peperit, et sanctorum coetui, dolor prorsus erit propter filii imprudentis perditionem. Et animadverte, quomodo prudens filius et parentem habet et matrem; imprudens autem solam parentem. Nam mater, utique et parens est; sed non vicissim parens, mater quoque est. Nam si qui partus fuit filius moriatur in nequitia et inscitia, illa quidem parens est, non mater. Quamobrem ne Spiritus quidem adoptionem participat is qui partus fuit. Similiter et de materialibus dicetur matribus, et de morte materialis filii: nam matrem quidem dicemus etiam parentem, nequaquam tamen matrem pueri mortui.

v. 26. Πλημμελεῖ τίς, τοῦ δικαίου τὸ δίκαιον ἀφαιρῶν, ἢ διαστρέφων αὐτοῦ πρὸς ἀδικίαν τοὺς μαθητὰς, ἁμαρτάνει· κτῆσιν γὰρ αὐτοὺς ἔχων, ἐζημίωται· οὐ γὰρ ζητοῦσι τὰ ἡμῶν, ἀλλ' ἡμᾶς· δυνάστας δὲ λέγει τοὺς ἐν Χριστῷ βασιλεύοντας.

Delinquit aliquis, cum iustitiam iusto eripit; et cum eius discipulos ad iniquitatem distorquet, peccat. Nam cum hos quasi possessionem haberet, damno adficitur. Non enim nostra quaerunt, sed nos. Dynastas denique dicit, qui in Christo regnant.

CAP. XVIII.

v. 2. cod. f. 77. a. Ὁ ἀγόμενος τῇ τῶν δαιμόνων ἀφροσύνῃ, οὐ χρείαν ἔχει σοφίας θεοῦ ἢ γνώσεως· διότι ἠγάπησε μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· κἂν ἀφροσύνῃ χαίρει, οἴεται μὴ χρείαν ἔχειν σοφίας.

Qui daemonum insania agitur, sapientiam Dei scientiamque non requirit: quia tenebras magis dilexit quam lucem: et stultitia sua gaudens, putat se sapientiae ope non indigere.

v. 4. cod. f. 77. b. Ὥσπερ τὸ ὕδωρ ζωογονεῖ τὰ φυτὰ, οὕτως ταῖς ἀρεταῖς ἀνδρὸς ἐστομωμένου λόγος ἀναψύχει, καὶ πρὸς θεὸν πτεροῖ τοὺς ἐθέλοντας σοφισθῆναι· ποταμὸν δὲ ἀναπηδῶντά φησι, τὴν ἀνεκδιήγητον τῶν χαρίτων σοφίαν τοῦ παναγίου πνεύματος, τὴν ἀείῤῥυτον σοφίαν τῆς τρισσοφαοῦς ἑνιαίας θεότητος.

Sicut aqua vivificat plantas, ita hominis virtutibus roborati sermo recreat, atque ad Deum extollit eos qui fieri sapientes volunt. Fluvium scaturientem dicit inenarrabilem gratiarum sapientiam sanctissimi Spiritus, perennem sapientiam tripliciter fulgentis unicae Trinitatis.

v. 5. Ὁ τὴν ὑπάρχουσαν τῷ διαβόλῳ κακίαν ἀποδεχόμενος, καὶ κατ' αὐτὴν ἐνεργῶν θεωρίᾳ καὶ λόγῳ, οὗτος θαυμάζει τὸ πρόσωπον τοῦ ἀσεβοῦς· τὸ δίκαιον δὲ ἐν κρίσει, ἐν λόγῳ τε σωμάτων, οὐ καλὸν ἐκκλῖναι ὅσιον.

Qui propriam diaboli nequitiam in se admittit, et ex eius norma agit cogitando et sermocinando hic miratur impii personam. Porro iustitiam in iudicio, et corporalium ratione, non decet a viro sancto deseri.

Ferox audacia a mansuetudine abstrahens animam, morti tradit.

Pigros ad paenitentiam non Dei timor impellit sed daemonum, qui illos ad desperationem incitant. Vel timor Domini abstrahit eos ab ignava mora, suscitatque ex vitio ad bona opera ac paenitentiam. Semivir est enim animo et corpore, homo dissolutus et mollis, qui neque se ipsum docere valet, neque ab aliis vult erudiri. Vel desides ad virtutem timor impendentium malorum impellit, quia de futuro fiduciam non habent. Vir qui habitu est femina, nutricem virtutem non habebit. Esurient potius, cum ex adverso regnum conspicient, in cruciatibus excruciati.

Divitias scientiae Domini, et efficaciam verbi fortitudinem dicit. Deus enim solus scit praeterita, praesentia, ac futura. Ipse praecepit dicens: fiat lux. Moxque caelum, et terra, et quidquid in eis est, ex nihilo ad existentiam deducta sunt. Haec ipsum dominum Deumque esse solum ostendunt. Ad hunc per rectam vitam iusti accurrunt, et contemplatione attolluntur. Vel quia, ex creatis rebus earumque magnificentia Deus cognoscitur esse omnipotens.

Utendum est hoc dicto adversus illos, qui cum a Deo scientiam non acceperint, alios docere adgrediuntur. Nam David ait: ut audiam vocem laudis tuae, et tunc aliis enarrem mirabilia tua. Salomon quoque dicit: quae viderunt oculi tui, dic. Multi enim nondum virtutis coepto cursu, alios recte agere non modo hortantur, verum etiam cogunt et imperant.

Hominis nomine nunc dicit Deum. Namque illius in iudicio furorem lenit sibi qui mandatis eiusdem obsequitur. Sic fit etiam in materialibus. Et sicut Dominus noster panthera catulis orba fieri dicitur contra peccatores, et petra scandali incredulis, sic pusillanimis erga peccantes. Vel pusillanimem dicit pro improbo, et pro omni daemone qui a virtute scientiaque exciderit.

Rectam itaque vitam dicit hominis donum, quantum quisque id ampliat, et cum plenitudine offert digna Deo: idque etiam cathedram dynastarum nominat, id est sanctarum

Ἡ θρασύτης, ἀπὸ τοῦ πράου χωρίζουσα τὴν ψυχὴν, τῷ θανάτῳ δίδωσιν. v. 6.

Ὀκνηροὺς εἰς μετάνοιαν καταβαλεῖ οὐ φόβος θεοῦ, ἀλλ' ὁ τῶν δαιμόνων· διεγείρουσι γὰρ αὐτοὺς εἰς ἀπόγνωσιν· ἢ ὁ τοῦ κυρίου [φόβος], χωρίζων αὐτοὺς τοῦ ὀκνηροῦ, καὶ διεγείρων αὐτοὺς ἐκ τῆς κακίας δι' ἔργων ἀγαθῶν εἰς μετάνοιαν· ἀνδρόγυνος δέ ἐστι ψυχὴν καὶ σῶμα, ὁ ἐκκεχυμένος, ὁ μαλακὸς, ὁ μήτε διδάσκειν δυνάμενος ἑαυτὸν μήτε μανθάνειν παρ' ἑτέρων βουλόμενος· ἢ τοὺς ὀκνοῦντας πρὸς ἀρετὴν ὁ τῶν κακῶν φόβος προκαταβάλλει, τὸ παραθαῤῥοῦνον πρὸς τὸ μέλλον οὐκ ἔχοντας· ἀνὴρ δὲ τὴν προαίρεσιν θῆλυς, οὐχ ἕξει τὴν τρέφουσαν ἀρετήν· πεινάσουσι δὲ, ὅτε ἐξ ἐναντίας ἴδωσι τὴν βασιλείαν, ἐν τῇ βασάνῳ βασανιζόμενοι. v. 8. cod. f. 78. a.

Τὸν πλοῦτον τῆς γνώσεως τοῦ κυρίου, καὶ τὸ ἐνεργητικὸν τοῦ λόγου, ἰσχὺν φησίν· αὐτὸς γὰρ μόνος γινώσκει τὰ πρώην, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα· αὐτὸς καὶ ἐνετείλατο εἰπὼν, γενηθήτω φῶς· οὐρανὸς, καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς, ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρήχθησαν· αὐτὰ δὲ δείκνυσιν αὐτὸν κύριον καὶ θεὸν μόνον εἶναι· καὶ διὰ μὲν τοῦ ὀρθοῦ βίου προστρέχουσιν αὐτῷ οἱ δίκαιοι, διὰ δὲ τῆς θεωρίας ὑψοῦνται· ἢ ὅτι ἐκ τῶν κτισμάτων, ἢ τῆς μεγαλοσύνης αὐτῶν, φανερόν ἐστιν ὅτι ὁ θεὸς παντοδύναμος. v. 10.

Χρηστέον τούτῳ τῷ ῥητῷ πρὸς τοὺς μὴ λαβόντας μὲν γνῶσιν παρὰ θεοῦ, διδάσκειν δὲ ἄλλους ἐπιχειροῦντας· ὁ γὰρ Δαυὶδ φησί *· τοῦ ἀκοῦσαι μὲν φωνῆς αἰνέσεώς σου, καὶ τότε διηγήσασθαι ἄλλοις τὰ θαυμάσιά σου· καὶ ὁ Σολομῶν φησί· ἃ εἶδον οἱ ὀφθαλμοί σου, λέγε *· πολλοὶ γὰρ καὶ ἀρετῆς μὴ ἀπαρξάμενοι, ἄλλους κατορθῶσαι οὐ μόνον παραινοῦσιν, ἀλλὰ καὶ βιάζονται καὶ παρακελεύουσιν. v. 13. cod. f. 78. b.

* Ps. XXV. 7.

* Prov. XXV. 7.

Ἄνδρα ἐνταῦθα τὸν θεὸν φησί· τὸν γὰρ θυμὸν αὐτοῦ τὸν ἐν τῇ κρίσει καταπραΰνει ἐφ' ἑαυτὸν ὁ θεραπεύσας αὐτὸν ἐν ταῖς ἐντολαῖς αὐτοῦ· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν αἰσθητῶν· ὥσπερ δὲ ὁ κύριος ἡμῶν πάρδαλις ἀπορουμένη λέγεται γίνεσθαι πρὸς τοὺς πλημμελοῦντας, καὶ πέτρα σκανδάλου πρὸς τοὺς ἀπιστοῦντας, οὕτω καὶ ὀλιγόψυχος ἐπὶ τοῖς ἁμαρτάνουσι· δύναται δὲ ὀλιγόψυχον λέγειν καὶ τὸν πονηρὸν, καὶ πάντα δαίμονα ἀρετῆς ἐκπεπτωκότα καὶ γνώσεως. v. 14. cod. f. 79. a.

Τὸν βίον τὸν ὀρθὸν τοίνυν εἶπεν δόμα ἀνθρώπου, ὅστις αὐτὸν πλατύνει καὶ παρέχει τοῦ πληρώματος ἄξιον τοῦ θεοῦ· ὅπερ καθέδραν δυναστῶν ὀνομάζει, ἤγουν τῶν ἁγίων δυνάμεων· v. 16.

νοῦ γὰρ καθέδρα ἐστὶν ἕξις ἀρίστη, δυσκίνητον ἢ ἀκίνητον διατηροῦσα τὸν καθεζόμενον.

v. 18. cod. f. 79. b. Ἄνοιαν παύει γνῶσις· αὕτη γάρ ἐστιν ὁ κλῆρος τῆς φύσεως τῆς λογικῆς· καὶ ἐν δυνάσταις ὁρίζει γίνεσθαί τι, καὶ ποιοῦσι· τῷ γὰρ γνῶσιν ἔχοντι θείαν, κλίνονται πάντες· ἢ ἀντιλογίας ἐνταῦθα τοὺς ἐκ τῶν δαιμόνων καθ' ἡμῶν ἐγειρομένους λογισμοὺς φησὶ, τοὺς τῇ ἀρετῇ ἀντιπάλους, καὶ τοῦ θεοῦ χωρίσαι ἡμᾶς σπεύδοντας· παύει δὲ ταύτας ἀφ' ἡμῶν ὁ τῆς γνώσεως κλῆρος, καὶ τοὺς δυνάστας δαίμονας ὁρίζει ἀναχωρεῖν, ὡς κεκληρωμένος τῷ θεῷ, ἐξ αὐτοῦ τὲ καὶ ἄλλων ὡς θείαν γνῶσιν ἔχων.

v. 21. cod. f. 80. a. Ἡ τὴν ψυχὴν λέγει, ζωῆς καὶ θανάτου δεκτικὴν, ἀφ' ὧν τὸ αὐτεξούσιον δείκνυται τῶν νῦν τὲ καὶ τῶν μελλόντων τοὺς καρποὺς αὐτῆς ἀπολαῦσαι καλῶν τὲ ἢ κακῶν.

v. 22. Ὃς εὗρε σοφίαν ἀγαθὴν, εὗρε χάριτας θεοῦ· —Ὁ κατέχων κακίαν, ἄφρων καὶ ἀσεβὴς, ὡς ἐφευρετὴς αὐτῆς διάβολος.

potestatum. Mentis enim cathedra est, optima consuetudo quae firmum immobilemque tenet sedentem in illa.

Amentiam extinguit scientia; haec enim est rationalis naturae dos. Ipsa dynastis quoque definit quid agant; et hi faciunt. Nam ei qui divinam scientiam habet, cuncti obsequuntur. Vel contradictiones hoc loco dicit concitatas adversus nos a daemonibus cogitationes, virtutis inimicas, nosque a Deo separare satagentes. Has vero in nobis extinguit scientiae dos, dynastasque daemones fugere iubet; tamquam Deo addicti simus, ab eoque aliarum quoque rerum scientiam quasi divinam habeamus.

Vel animam dicit, vitae mortisque capacem, unde liberum eius arbitrium monstratur, ad carpendos tum praesentis tum futuri status fructus, bonorum scilicet vel malorum operum.

Qui sapientiam bonam invenit, gratias Dei invenit.—Qui nequitiam retinet, vesanus est et impius, ut inventor illius diabolus.

CAP. XIX.

v. 4. cod. f. 80. a. Πλοῦτος γνώσεως καὶ σοφίας προςτίθησιν ἡμῖν ἀγγέλους πολλούς· ὁ δὲ ἀκάθαρτος, ὃν πένητα φησὶ, καὶ ἀπὸ τοῦ δοθέντος αὐτῷ ἐκ παιδὸς ἀγγέλου χωρίζεται· ἡ γὰρ πνευματικὴ φιλία, ἀρετή ἐςι καὶ γνῶσις θεοῦ, δι' ὧν συναπτόμεθα πρὸς φιλίαν ταῖς ἁγίαις δυνάμεσιν· εἴ γε οἱ μετανοοῦντες ἄνθρωποι, χαρᾶς αἴτιοι γίνονται τοῖς ἀγγέλοις· οὕτω καὶ ὁ σωτὴρ φίλους καλεῖ, τοὺς δούλους ποτὲ, τῆς μείζονος αὐτοῦ θεωρίας καταξιώσας· οὕτω καὶ Ἀβραὰμ πλουτίσας ἐν γνώσει, τὴν μυστικὴν ἐκείνην παρατίθησι τράπεζαν τοῖς κατὰ τὴν μεσεμβρίαν φανεῖσι φίλοις αὐτοῦ· Σαοὺλ δὲ καὶ ἀπὸ τοῦ ὑπάρχοντος φίλου διὰ τὴν κακίαν χωρίζεται· γέγραπται γάρ*· καὶ ἀπέςη πνεῦμα κυρίου ἀπὸ Σα-
I. Reg. XVI. 14.
σούλ· καὶ πνεῦμα πονηρὸν παρὰ κυρίου ἔπνιγε τὸν Σαούλ· καὶ πνεῦμα κυρίου λέγων τὸν ἄγγελον· ὁ ποιῶν, γάρ, φησι, τοὺς ἀγγέλους αὐτοῦ πνεύματα,
* Ps. CIII. 7. καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον *· ὅτι δὲ ἄγγελοι τοὺς ἀνθρώπους ἐμπεπίςευνται, διδάσκει
* Matth. XVIII. 10. ἐν τοῖς εὐαγγελίοις ὁ κύριος· ὁρᾶτε, λέγων *, μὴ καταφρονῆτε ἑνὸς τῶν μικρῶν τούτων, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ
*Gen. XLVIII. 16. πατρός μου τοῦ ἐν οὐρανοῖς· καὶ πάλιν ὁ Ἰακώβ· ὁ ἄγγελός σου ὁ ῥυόμενός με ἀπὸ πάντων τῶν κακῶν.

Divitiae scientiae ac sapientiae addunt nobis angelos complures. At impurus, quem auctor pauperem nominat, et ım dato sibi ex pueritia angelo privatur. Nam spiritalis amicitia, virtus est ac scientia, a quibus amice copulamur cum potestatibus sanctis: quandoquidem paenitentes homines gaudii causa fiunt angelis. Sic etiam Dominus amicos vocat, qui antea servi erant, maiore sui cognitione dignans. Sic item Abrahamus scientia abundans mysticam illam apponit mensam, apparentibus sub meridiem amicis suis. Saul contra ab inhaerente sibi amico ob nequitiam dividitur. Scriptum est enim: et discessit spiritus Domini a Saule; et spiritus malus a Domino Saulem soffocabat. Et Spiritum Domini dicens angelum, qui facit, ait, angelos suos spiritus, et ministros suos ignem urentem. Iam quod angelis homines sint commendati, docet in evangeliis Dominus dicens: cavete ne contemnatis unum ex his pusillis, quia angeli eorum semper vident faciem patris mei qui in caelis est. Item Iacob: angelus tuus, qui eruit me de cunctis malis.

1) Vides doctrinam de custodibus hominum angelis heic et infra.

Quotquot de iudicio et providentia ignorantes doctrinam, creatorem blasphemant, testes sunt mendaces; neque impunes erunt in die iudicii. Quotquot item a suis cupiditatibus irretiti, existimant impossibilem esse virtutem, hi legis latorem iniuste accusant.

Vulgares homines non quia dignitatem honorent, reverentiam exhibent, sed assentantes respectum personae habent. At enim vir verax haud adulabitur rei malae, sed reprehendet.

Quicumque odit inopem fratrem, hic iuxta illud: beati pauperes spiritu, quoniam ipsorum est regnum caelorum, a Dei et angelorum amore procul erit. Vel, quicumque fratrem virtutis inopem odit, ab affectu quoque amicitiae procul erit in vita.—Bonam cogitationem appellavit Dei agnitionem qui, eam habentibus corde puro, solet appropinquare. Qui ergo hanc disciplinam docilis suscipit, prudens est, et inveniet eam.—Qui multa mala facit verbo et opere, is malitiam consummat, quae omne genus peccati complectitur. Qui vero adversus homines sermones exitiosos sine limite effundit, et in Deum blasphemias, hic non salvabitur.

Neque animae neque corporis deliciae vesano prosunt. Nam spiritales, cum sit sus voluptarius, pedibus conculcabit: a sensuum autem voluptate caro eius ad cupiditates commovebitur, et in Deum blasphemias iactabit. Etiamsi e servo nuper sit libertinus, ita se geret.

Si qui recte gloriatur, in Domino gloriatur; Dominus autem noster sapientia est; sequitur ut qui recte gloriatur, in sapientia glorietur. Gloriatio igitur longanimis et misericordis, sapientia est et agnitio Dei. Supervenit autem peccatoribus absterrens eos a malo, nunc quidem, quoad fieri potest; in futuro autem saeculo, necessario.

Dominus noster ignis consumens est, et iratus leo. In peccatoribus amburit consumitque, ut ligna foenum aut stipulam, militantem adversus spiritum carnem. Lux vero et ros recte agentibus, monstrans illis actarum rerum rationes, et extinguens ignita tela maligni, refrigeransque illum qui ab agendo contingit ardorem.

Impuram animam scortum appellavit; et hu-

Ὅσοι τοὺς περὶ κρίσεως καὶ προνοίας ἀγνοοῦντες v. 5. cod. f. 80. b.
λόγους, τὸν δημιουργὸν βλασφημοῦσι, μάρτυρές
εἰσι ψευδεῖς· οὐκ ἀτιμώρητοι δὲ διαμένουσιν ἐν
ἡμέρᾳ κρίσεως· καὶ ὅσοι πάλιν ὑπὸ τῶν ἰδίων πα-
θῶν ἐνοχλούμενοι νομίζουσιν ἀκατόρθωτον εἶναι
τὴν ἀρετὴν, οὗτοι τῷ δεδωκότι τὸν νόμον ἐγκα-
λοῦσιν ἀδίκως.

Οἱ χυδαῖοι οὐ τὸ ἀξίωμα τιμῶντες ἀποδιδό- v. 6.
ασι τὸν φόβον, ἀλλὰ κόλακες ὄντες προσωποληπ-
τοῦσιν· ὁ δὲ ἀληθὴς ἀνὴρ οὐ κολακεύσει τὸ κα-
κὸν, ἀλλ᾽ ἐλέγξει·

Πᾶς ὃς μισεῖ τὸν πτωχὸν ἀδελφὸν, κατὰ τὸ v. 7.
μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν
ἡ βασιλεία τῶν οὐρανῶν, καὶ ἀγάπης Θεοῦ καὶ
ἀγγέλων μακρὰν ἔσται· ἢ πᾶς ὃς ἀδελφὸν ἀρε-
τῆς πτωχὸν ὄντα μισεῖ, καὶ τῆς πρὸς τὰ πά-
θη φιλίας μακρύνεται τοῦ βίου—Ἀγαθὴν ἔν- cod. f. 81. a.
νοιαν τὴν τοῦ Θεοῦ γνῶσιν ὠνόμασε· καὶ τοῖς
εἰδόσιν αὐτὴν τοῖς καθαροῖς τῇ καρδίᾳ, εἴω-
θε τούτοις ἐγγιεῖν· ὁ δὲ πειθόμενος τούτοις εἰς
μάθησιν, φρόνιμος ἐστὶ, καὶ εὑρήσει αὐτήν.
—Ὁ πολλὰ κακοποιῶν δι᾽ ἔργων καὶ λόγων,
τελεσιουργεῖ κακίαν, ἥ ἐστιν πᾶσα ἁμαρτία· ὃς
δὲ τελεσιουργεῖ κατὰ ἀνθρώπων λόγους εἰς ἀπώ-
λειαν, καὶ βλασφημίας κατὰ Θεὸν, οὐ σωθήσε-
ται οὗτος.

Οὔτε ἡ κατὰ ψυχὴν τρυφὴ, οὔτε ἡ κατὰ v. 10.
σῶμα συμφέρει τῷ ἄφρονι· τὴν μὲν γὰρ κατα-
πατήσει τοῖς ποσὶ χοῖρος φιλήδονος ὤν· ὑπὸ δὲ
τῆς αἰσθητῆς τρυφῆς ἡ σὰρξ αὐτοῦ πρὸς πά-
θη κινηθήσεται, καὶ κατὰ Θεοῦ βλασφημίας
ῥίψει· εἰ καὶ ἀπὸ δούλων ἐλεύθερος, τοῦτο ποι-
ήσει.

Εἰ ὁ καυχώμενος ὀρθῶς, ἐν κυρίῳ καυχᾶ- v. 11. cod. f. 81. b.
ται, ὁ δὲ κύριος ἡμῶν σοφία ἐστὶν, ὁ καυχώ-
μενος ὀρθῶς, ἐν σοφίᾳ καυχᾶται· τὸ καύχημα
τοίνυν τοῦ μακροθύμου καὶ ἐλεήμονος, ἐστὶν ἡ
σοφία καὶ ἡ γνῶσις αὐτοῦ· ἐπέρχεται δὲ τοῖς
παρανόμοις ἀπαλλάττων αὐτοὺς κακίας, νῦν μὲν
ἐνδεχομένως, ἐν δὲ τῷ μέλλοντι αἰῶνι ἀναγ-
καίως.

Ὁ κύριος ἡμῶν πῦρ μὲν καταναλίσκον καὶ v. 12.
λέων ὀργιζόμενος· πρὸς δὲ τοὺς ἁμαρτάνοντας κα-
τακαῖον καὶ ἀναλίσκον, ὡς ξύλα χόρτων καλάμην,
τὴν στρατευομένην σάρκα κατὰ τοῦ πνεύματος·
φῶς δὲ καὶ δρόσος πρὸς τοὺς κατορθοῦντας, δεικνὺς
αὐτοῖς τῶν γεγονότων τοὺς λόγους, καὶ κατασβεν-
νύων τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, καὶ περιψύ-
χων τὸν ἐκ τῆς πράξεως συμβαίνοντα καύσωνα.

Τὴν ἀκάθαρτον ψυχὴν, ἑταῖραν ὠνόμασε· καὶ v. 13. cod. f. 82. a.

ταύτης τὸ μίσθωμα, τὴν κατάστασιν εἴρηκεν αὐτῆς, ἀφ' ἧς οὐ καθαραὶ γίνονται προτευχαί.

v. 14. Τὸ μὲν διδάσκειν τοὺς υἱοὺς περὶ ἀρετῆς καὶ γνώσεως τοῦ Θεοῦ, τῶν πατέρων ἐστίν· τὸ δὲ σοφίαν δοῦναι τοῖς παισὶ, τοῦ κυρίου ἐςί· γυναῖκα γὰρ ἐνταῦθα τὴν σοφίαν λέγει· ἐράσθητι γάρ φησι τῆς σοφίας, καὶ τηρήσει σε· τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ.

v. 16. Αἱ ἐντολαὶ, ὡς πρὸς μὲν τὸν ἐντειλάμενον Θεὸν, καλοῦνται ἐντολαί· ὡς δὲ πρὸς τὸν ὁδεύοντα νοῦν ἐν αὐταῖς, καλοῦνται ὁδοί· καὶ ὁ μὲν φυλάσσων, τηρεῖ ἐκ θανάτου πρὸς ζωὴν τὴν ψυχὴν ἑαυτοῦ· ὁ δὲ καταφρονῶν, τὸν ἀπέραντον θάνατον θανεῖται.

v. 17. Ἐπὶ μὲν τῶν αἰσθητῶν οὕτως ἔχει· ὅσον δὲ ὁ ἥλιος τῆς σελήνης ὑπερφυὴς, τοσοῦτον ὁ ἐλεῶν τοὺς ἐν πτωχείᾳ ἀρετῶν καὶ ἀνακτώμενος αὐτοὺς ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου· δόμα δὲ διδόναι τῷ Θεῷ, τὴν καθαρότητα τῆς καρδίας ὠνόμασε· κατὰ ἀναλογίαν γὰρ τῆς ἀπαθείας ἡμῶν καταξιούμεθα γνώσεως ὑπὸ τοῦ Θεοῦ.

v. 19. cod. f. 82. b. Ὃ λέγει τοιοῦτόν ἐστι περὶ τῶν ἐν τῷ βίῳ· ἐγὼ δὲ νομίζω, τὴν μὲν πολλὴν ζημίαν, στέρησιν περιέχειν τῆς θεωρίας τῶν γεγονότων· τὴν δὲ προσθήκην τῆς ψυχῆς, ἀφανισμὸν τῶν φυσικῶν περὶ Θεοῦ ἐννοιῶν, παντάπασιν αὐτῆς εἰς ἀλογίαν καταπεσούσης· καὶ ὁ σωτὴρ δὲ ἐν τοῖς

* Matth. XVI. 26. εὐαγγελίοις φησί*· τί ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ καὶ ζημιωθῇ; ἐνταῦθα ἡ ἀπώλεια τὴν ἄγνοιαν σωμάτων καὶ ἀσωμάτων ἐμφαίνει· ἡ δὲ ζημία, τὴν ἐσχάτην ἀλογίαν περίστησιν.

v. 23. cod. f. 83. a. Εἰ φόβος κυρίου εἰς ζωὴν ἀνδρὶ, φόβος δὲ κυρίου σοφία καὶ παιδεία, ἡ ζωὴ τοῦ ἀνδρὸς ἄρα σοφία ἐστὶ καὶ παιδεία· τὸ οὖν γνῶναι σοφίαν καὶ παιδείαν, γνῶναι ἐστὶ τὸν Χριστὸν καὶ τὴν αὐτοῦ διδασκαλίαν· ὁ οὖν ἄφοβος, ἔσται ἐν κακίᾳ καὶ ἀγνωσίᾳ, ἐν αἷς οὐκ ἔστιν ὁ Χριστός· οἱ οὖν ἐν κακίᾳ καὶ ἀγνωσίᾳ ζῶντες, οὐκ ἐπισκέπτονται ἐν αὐτοῖς τὸν φόβον τοῦ Θεοῦ, καὶ τὸ ἔλεος ἐπ' ἑαυτοῖς μὴ ἐλπίζοντες· οὐδὲ Χριστός ἐστιν ἐν αὐτοῖς, παρὰ τὸ μὴ θέλειν αὐτούς.

v. 24. Ὁ μὴ ὀρθῶς βιοὺς, κρύπτει ἐν τῇ ψυχῇ αὐτοῦ τὰς χεῖρας ἀδίκως, τὴν ἑαυτοῦ γῆν ἐργάσασθαι μὴ βουλόμενος, τουτέστι τὸ σῶμα· μὴ δὲ ἐμπλησθῆναι ἄρτων ψυχικῶν· αἱ γὰρ πρακτικαὶ ἀρεταὶ, χειρῶν ἔχουσι λόγον, αἱ τὸν ἄρτον τῷ στόματι ἡμῶν προσφέρουσαι, τὸν ἀπὸ τῶν

ius mercedem, dixit eiusdem substantiam, ex qua non purae fiunt oblationes.

Docere liberos virtutem et notitiam Dei, parentum officium est. Sed sapientiam pueris indere, Domini est. Nam mulierem heic dicit sapientiam. Ama, inquit, sapientiam, et conservabit te: honora eam, ut te complectatur.

Praecepta quatenus sunt a praecipiente Deo, ita appellantur: quatenus vero mentis iter dirigunt, viae dicuntur. Qui illa custodit, servat animam suam de morte ad vitam: qui contemnit, aeternam mortem incurret.

In rebus quidem sensibilibus ita fit. Quanto sol luna praestantior, tanto praestat ille qui virtutibus inopes miseratur, recreans eos disciplina et monitis Domini. Donum autem Deo oblatum, dicit cordis munditiem. Nam pro rata parte innocentiae nostrae, scientia donamur a Deo.

Quod dicit, ita reapse in mundi rebus contingit. Ego vero existimo, grave quidem damnum, intelligi privationem notionis eorum quae fiunt: animae vero traditionem, obscurationem esse naturalium de Deo notionum, cum anima in omnimodam vesaniam incidit. Salvator quoque in evangeliis ait: quid proderit homini, si universum mundum lucretur, animae vero suae exitiale detrimentum patiatur? Hoc loco perditio ignorantiam corporalium incorporaliumque rerum denotat: detrimentum, extremam vesaniam significat.

Si timor Domini ad vitam viro est; timor autem Domini sapientia et disciplina; sequitur ut vita viri sit sapientia ac disciplina. Ergo nosse sapientiam ac disciplinam, idem est ac nosse Christum eiusque doctrinam. Qui ergo sine Dei timore est, in nequitia et ignorantia versabitur, in quibus certe Christus non commoratur. Igitur qui in nequitia et ignorantia vivunt, non animadvertunt in se timorem Dei, neque misericordiam eius sibi sperant; neque Christus in eis est, quia ipsi nolunt.

Qui recte non vivit, manus in propria anima abscondit iniuste, terram suam nolens excolere, id est corpus, neque spiritalibus saturari panibus. Nam practicae virtutes manuum tenent rationem, eaeque panem ori nostro admovent, panem inquam qui de caelo descen-

dit, vitamque mundo dat per divinam sapientiam et scientiam.

οὐρανῶν καταβάντα, καὶ ζωὴν διδόντα τῷ κόσμῳ δι' ἐνθέου σοφίας καὶ γνώσεως.

CAP. XX.

Si furor draconum, vinum eorum; est autem res intemperans vinum; ergo intemperans furor, intemperantes seu effrenes faciens homines. Est item contumeliosa ira, quae fit ex ardente furore. Quod si vino Nazaraei iuxta legem abstinent, extra furorem esse Nazaraeos lege statutum est.

Hoc loco Christum evidenter appellavit regis nomine. Nam qui Christum peccatis irritat, adversus animam suam peccat.

Sicut stultus exprobratus non erubescit, ita qui foenore accipit frumentum ad serendum in messe. Certe ex eius agro reddetur sors foeneranti, etiamsi interim mori contigerit ei qui cum foenore acceperat.—Iam triticum cum foenore accipi messis tempore, ab iis qui agrum suum sex annis erant operati, hoc significat illorum ante Christi adventum sex aetatibus clarorum iustorum atque prophetarum virtutes imitari oportere, qui etiam septimo anno nutrierunt viduas et orphanos; ut sibi redderetur in regno caelorum merces exertae virtutis, qui immo fuerunt virtutum primitiae.

Quos secundum virtutem quis genuit, eos imaginem et laudationem relinquet posteris vir immaculatus, et ad iustitiae nutrimentum usque in finem.

Mori dixit et alibi maledicum. Sed et Christus: qui ecclesiae male dicit, privabitur fide, quae lux ei erat ante obtrectationem. Dicit fortasse etiam de tenebris exterioribus: ideo et de futuro dicitur. Et ipse Christus, pater materque dici potest: pater quidem habentium spiritum adoptionis; mater indigentium lacte et non solidiore cibo. Namque et in Paulo loquens Christus, pater Ephesiorum fiebat, sapientiae ipsis revelans mysteria: mater vero Corinthiorum quibus lac praebebat.

Excogitatam nobis a maligno voluptatem, quam partem in primis appellat, brevi quidem guttur inungere senties, mox tamen felle amariorem.

Cave dicas superbia commotus, ego solus cum hostibus pugnam conseram; sed Domi-

Εἰ θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, ἀκόλαστον δὲ ὁ οἶνος, ἀκόλαστος ἄρα ὁ θυμὸς, ἀκολάστους ποιῶν τοὺς ἀνθρώπους· καὶ ὑβριστικὸν ἡ ὀργή· γίνεται γὰρ ἀπὸ ζέοντος θυμοῦ· εἰ δὲ οἴνου οἱ ναζιραῖοι κατὰ τὸν νόμον ἀπέχονται, θυμοῦ ἄρα τοὺς ναζιραίους ἐκτὸς εἶναι νενομοθέτηται. v. 1. cod. f. 83. b.

Ἐνταῦθα τὸν Χριστὸν ἄντικρυς εἴρηκε βασιλέα· ὁ γὰρ τοῦτον διὰ τῶν ἁμαρτιῶν παροξύνων, ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν. v. 2. cod. f. 84. a.

Ὥσπερ ὁ ἄφρων τὸ ὄνειδος οὐκ αἰσχύνεται, οὕτως ὁ δανεισάμενος σῖτον σπεῖραι ἐν ἀμητῷ· ἤδη ὅτι ἐκ τοῦ γεωργίου αὐτοῦ ἀποδοθήσεται τῷ δανείσαντι, κἂν τύχῃ ἀποθανεῖν τὸν δανεισθέντα. —Εἰ ἔστιν ἐν ἀμητῷ σῖτον δανείσασθαι παρὰ τῶν ἐργασαμένων ἐν τοῖς ἓξ ἔτεσι τὴν ἑαυτῶν γῆν, τουτέστι παρὰ τῶν τῆς πρὸ τοῦ Χριστοῦ παρουσίας ἐν τοῖς ἓξ αἰῶσι λαμψάντων δικαίων καὶ προφητῶν τὰς ἀρετὰς μιμήσασθαι, τῶν καὶ τρεφόντων ἐν τῷ ἑβδόμῳ ἔτει χήραν καὶ ὀρφανοὺς, εἰς τὸ ἀνταποδοθῆναι αὐτοῖς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν τὸν μισθὸν τῆς ἐνδείξεως τῶν ἀρετῶν, ὡς ἀπαρχὴ γεγονότες τῶν ἀρετῶν. v. 4.

Οὓς κατ' ἀρετὴν δηλονότι γεγέννηκέ τις, εἰκόνα καὶ μακαρισμὸν καταλείψει τοῖς μετέπειτα ὁ ἄμωμος, καὶ δικαιοσύνην ἀνατροφῆς ἕως τέλους. v. 7.

Τελευτᾶν γὰρ εἶπεν ἀλλαχοῦ τὸν κακολογοῦντα· ἀλλὰ καὶ Χριστὸς*· καὶ ὁ τὴν ἐκκλησίαν κακολογῶν, στερηθήσεται τῆς πίστεως, ἥτις ἦν αὐτῷ φῶς πρὸ τῆς διαβολῆς· λέγει δ' ἂν καὶ περὶ τοῦ ἐξωτέρου σκότους· διὸ καὶ ἐπὶ μέλλοντος εἴρηται· καὶ ὁ Χριστὸς δὲ, πατὴρ καὶ μήτηρ δύναται λέγεσθαι· πατὴρ μὲν τῶν ἐχόντων πνεῦμα υἱοθεσίας· μήτηρ δὲ τῶν δεομένων γάλακτος καὶ οὐ στερεᾶς τροφῆς· καὶ γὰρ καὶ ὁ ἐν Παύλῳ λαλῶν Χριστὸς, πατὴρ μὲν τῶν Ἐφεσίων ἐγίνετο, σοφίας αὐτοῖς ἀποκαλύπτων μυστήρια· μήτηρ Κορινθίων, γαλαποτίζων αὐτούς. v. 20. cod. f. 84. b. * Matth. XVIII. 17.

Τὴν ἐκ τοῦ πονηροῦ ἐφευρεθεῖσαν ἡμῖν ἡδονὴν, ἣν μερίδα φησὶν ἐν πρώτοις, πρόσκαιρον μὲν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέν τοι πικρότερον χολῆς εὑρήσεις. v. 21.

Μὴ εἴπῃς καθ' ὑπερηφανίαν κινούμενος· ἐγὼ μόνος τοῖς ἐχθροῖς πολεμήσω, ἀλλ' ὑπόμεινον v. 22.

τὸν κύριον καὶ ἐπικαλοῦ, ἵνα σοι βοηθήσῃ· μὴ θάῤῥει σαυτῷ ὡς χωρὶς κυρίου δυνάμενος· ὅτι γὰρ χωρὶς αὐτοῦ οὐκ ἔστι βοηθὸς λέγει Δαυίδ
* Ps. XLIII. 7. σὺ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ *.

v. 10. cod. f. 85. a. Ἐπὶ μὲν τῶν αἰσθητῶν, στάθμιον μέγα καὶ μικρὸν φαμὲν εἶναι, ἐν οἷς χρυσὸς, ἄργυρος, χαλκὸς, μέταξα 1), καὶ ὅσα ἄλλα σταθμίζονται· μέτρα δὲ τὰ ἐν ἀγγείοις μετρούμενα, σῖτος, οἶνος, ἔλαιον, καὶ ὄσπρια· ἄλλως τε δὲ τὸν παρά τισι θρασύδειλον λεγόμενον, μέγα καὶ μικρὸν εἶναι στάθμιον νομίζω· καθόλου δὲ πᾶσαν ὑπερβολὴν καὶ ἔλλειψιν τοῦτο στάθμιον μέγα καὶ μικρόν ἐστιν· ἑκάτερα γὰρ κακίαι, καὶ μέτρα δισσά· ἄλλως τε, καὶ ὁ εὖ μὲν πάσχειν ὑφ' ἑτέρων βουλόμενος, αὐτὸς δὲ ὁμοίως ἄλλους ἀναπαύειν μὴ προαιρούμενος, μέτρα ἔχει δισσά· μὴ πειθόμενος τῇ ἐντολῇ τῇ λεγούσῃ, πάντα ὅσα θέλετε ἵνα ὑμεῖς ὁμοίως ποιεῖτε αὐ-
* Luc. VI. 31. τοῖς *.

v. 12. cod. f. 85. b. Οὐχὶ τὸ κακῶς ἀκοῦον οὖς, ἔργον ἐστὶ τοῦ κυρίου, ἀλλὰ τὸ ἐπὶ καλοῖς προσέχον· καὶ οὐχὶ κακῶς ὁρῶν ὀφθαλμὸς, ἔργον ἐστὶ τοῦ κυρίου, ἀλλ' ὁ ὁρῶν καὶ φανταζόμενος τὰ θεῖα· ὁ γὰρ ἀκούων τοῦ κυρίου, καὶ βλέπων τὰς ἐντολὰς αὐτοῦ, ἔργον ἐστὶ τοῦ κυρίου· καὶ ἐπὶ τῶν ἄλλων μερῶν τοῦ σώματος ὡσαύτως λεκτέον· χρήσῃ δὲ τῷ ῥητῷ τούτῳ πρὸς τοὺς κατηγοροῦντας ἡμῶν τοῦτο τὸ σῶμα, καὶ τὸν θεὸν ἐνυβρίζοντας.

v. 13. Τουτέστι μὴ κάθευδε πολλὰ, ἀλλ' ἄγρυπνος ἔσο· ἵνα μὴ ἐξαρθῇς εἰς τὴν γέενναν, μὴ καταλάλει· καὶ διὰ μὲν τῶν ἀρετῶν, ἄνοιγε τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς σου· διὰ δὲ τῆς σοφίας, νοητῶν ἐμπλήσθητι ἄρτων.

v. 23. Τὸ σταθμιεῖν ἑαυτὸν τὶς ἐπὶ τοῖς τοῦ κυρίου καὶ τοῦ διαβόλου ἔργοις, βδέλυγμα κυρίῳ· ζυγὸν δὲ δόλιον λέγει τὸν νοῦν, τὸν πεφυκότα μὲν δικαίως κρίνειν τὰ πράγματα, παρεκκλίνοντα δὲ τῇ τοῦ αὐτεξουσίου ῥοπῇ διὰ φίλους ἢ χρήματα.

v. 25. Μὴ ταχέως, φησὶν, ἐπὶ τὴν ἐπαγγελίαν πρὸς τὸν θεὸν κινοῦ, ἵνα μὴ τῆς χρείας σε πολλάκις, ἢ τῆς τοῦ πλείονος ἐπιθυμίας ἑλκούσης, ἄρξῃ μετανοεῖν, καὶ ὑβρίσῃς θεὸν, προτιμήσας αὐτοῦ ἕτερον· ἢ ἐπὶ τοῖς ἀγαθοῖς δὲ μετάνοια, οὐ δικαίοις συμβαίνει, ἀλλὰ ἀδίκοις· ἄδικοι δὲ μηδὲν ἀπερισκέπτως ὑπισχνείτωσαν τῷ θεῷ· μετὰ γὰρ τὸ εὔξασθαι, μετανοεῖν γίνεται.—Τὸ ταχὺ

num expecta et invoca, ut tibi auxilietur. Ne tibi confidas quasi absque Domino aliquid valeas; quia praeter illum non est auxiliator. Ait David: non enim in arcu meo sperabo.

In rebus quidem sensibilibus stateram magnam ac parvam esse dicimus, in quibus aurum, argentum, aes, sericum, et alia quaevis ponderantur. Alia vero vasis metimur, frumentum, vinum, oleum, legumina. Aliter vero, etiam homo quem appellant θρασύδειλον, audacem simul et timidum, stateram magnam et parvam esse puto. Omnino quicquid est hyperbolicum et diminutivum, statera magna parvaque est. Utraque mala est, nempe mensurae duplices. Aliter denique, et qui beneficio adfici ab aliis vult, nec ipse vicissim alios solari deliberat, mensuram habet duplicem: nec praecepto obtemperat dicenti: quaecumque que vultis vobis fieri ab hominibus, haec vos similiter illis facite.

Nequaquam est opus Domini auris male audiens, sed illa quae bonas res auscultat. Item nequaquam male videns oculus, opus Domini est, sed qui videt et sibi repraesentat res divinas. Nam quae auris Dominum audit, et qui oculus spectat mandata eius, haec opera Domini sunt. Et de ceteris corporis partibus similiter est dicendum. Hoc autem utèris dicto adversus eos qui nostrum hoc corpus vituperant, et Deo conviciantur.

Id est ne diu dormias, sed esto, vigilans. Ne in infernum proiiciaris, noli obtrectari: et per virtutes aperi oculos animae tuae. Denique per sapientiam intellectualibus saturare panibus.

Alternatio inter Domini et diaboli opera, abominatio Domino. Dolosam stateram dicit mentem, quae cum naturâ comparata sit ad recte de rebus iudicandum, declinat tamen liberi arbitrii pondere, propter affectiones aut pecuniam.

Ne festines, inquit, promittere Domino; ne forte te usu rerum aliquo, ut fit, vel maiore cupiditate trahente paenitere incipias, Deoque iniuriam facias, praelato alio. Ceterum bonis viris paenitentia non accidit, sed potius non iustis. Iniusti itaque caveant ne quid inconsiderate, ne quid inconsiderate promittant; nam votum paenitentia subsequitur.—Subito vo-

1) Notemus μέταξα apud Origenem, quod immerito nonnulli vocabulum barbaricum existimarunt.

vere Deo, id est ei aliquid suorum consecrare, et mox celeriter rei paenitere, laqueus viro fit.

Ventilator impiorum Christus est; isque impios insequitur, ut leo feras. Rota in area paleas a tritico secernens. Vel rotam immittet, id est poenam irrevocabilem.

Ventris receptacula intellige mentem, cor, scientiam, ubi omnes simul divinae et impiae doctrinae reponuntur. Ac veluti aliquis lucernam accendit, reperire aliquid in receptaculis positum volens; ita Dominus scientiae suae lumine scrutatur receptacula humanorum verborum et operum. Attamen habentibus scientiam Domini hominibus, lux inde oboritur. Si ergo lux Domini, scientia Domini est, lux autem Domini aspiratio vitae est hominibus, utique scientia Domini aspiratio vitalis hominibus est. At vero diabolum, qui in inscitia apparere videtur, lucernam appellavit quae mentem bonis notionibus evacuat, nec non transfiguratum in angelum lucis. Quia vero lucem Domini noluerunt agnoscere, neque in ea ambulare, inscitiam lucis instar aestimaverunt impii. Quod si inscitiam lucis loco habuerunt, utique et opera eius, qui inventor inscitiae est diaboli faciebant. Reliquum ergo est, ut qui cum inscitia illius iter fecerunt, cum eodem sint per saecula saeculorum: qui vero cum scientia Domini, cum Domino sint.

συντάξασθαι τῷ κυρίῳ, ὅπερ ἐστὶ τὸ ἁγιάσαι τί τῶν αὐτοῦ, καὶ ἐπὶ τούτῳ θᾶττον μεταμεληθῆναι, παγίς ἐστι τῷ ἀνδρί.

Λικμήτωρ ἀσεβῶν ὁ Χριστός ἐστιν· ἐπιβαλεῖ δὲ τοῖς ἀσεβέσιν ὥσπερ λέων θήρας· τροχὸς δὲ, ἅλωνος χωρίζων τὰ ἄχυρα ἀπὸ τοῦ σίτου· ἢ τροχὸν ἐπιβαλεῖ τὴν ἀναπόδιστον τιμωρίαν.

Ταμιεῖα κοιλίας ἐστὶν ὁ νοῦς, ἡ καρδία, καὶ ἡ γνῶσις, ἔνθα πάντα τὰ θεῖα τὲ καὶ ἀσεβῆ ἐναποτίθενται διδάγματα· ὥσπερ δέ τις λύχνον ἅψας, τῶν ἐν τοῖς ταμιείοις κειμένων εὑρεῖν τι βούλεται, οὕτως ὁ κύριος τῷ φωτὶ τῆς γνώσεως αὐτοῦ ἐρευνᾷ τὰ ταμιεῖα τῶν ἐν λόγοις καὶ πράξεσιν ἀνθρώπων· τοῖς δὲ τὴν γνῶσιν τοῦ κυρίου ἐπισταμένοις ἀνθρώποις, φῶς ἐστιν αὐτοῖς· εἰ οὖν τὸ φῶς τοῦ κυρίου, ἡ γνῶσις τοῦ κυρίου ἐστὶ, τὸ δὲ φῶς τοῦ κυρίου ἡ πνοὴ τῶν ἀνθρώπων, ἄρα ἡ γνῶσις τοῦ κυρίου πνοὴ τῶν ἀνθρώπων ἐστι· τὸν δὲ ἐν ἀγνοίᾳ διάβολον φαίνειν δοκοῦντα, λύχνον ὠνόμασεν ἐκκενοῦντα τὸν νοῦν τῶν ἀγαθῶν γνώσεων, καὶ μετασχηματιζόμενον εἰς ἄγγελον φωτός· ἐπεὶ δὲ τὸ φῶς τοῦ κυρίου, οὐχ εἵλαντο γνῶναι οὐδὲ πορεύεσθαι ἐν αὐτῷ, τὴν ἄγνοιαν ὡς φῶς ἐλογίζοντο οἱ ἀσεβεῖς· εἰ δὲ τὴν ἄγνοιαν ὡς φῶς εἶχον, δηλονότι καὶ τὰ ἔργα τοῦ τῆς ἀγνοίας ἐφευρετοῦ διαβόλου ἔπραττον· οἱ δὲ τῇ ἀγνοίᾳ αὐτοῦ συμπορευθέντες, σὺν αὐτῷ ἔσονται εἰς αἰῶνας αἰώνων· οἱ δὲ τῇ γνώσει τοῦ κυρίου, σὺν τῷ κυρίῳ. v. 27.

CAP. XXI.

Excludit effatum hoc irrationalium animalium sacrificium. Nam sacrificium Deo spiritus contritus.

Si sancta et recta sunt opera Domini; unum vero ex operibus eius est etiam mens; ergo recta creata est et sancta a Deo mens, quam nos rectam conservare debemus erga ipsum, contra ingruentia nobis a diabolo mala.

Domum calce litam et communem comparavit angulo subdiali. Iam si domus calce lita et communis, nequitia intelligitur; utique angulus subdialis, virtus est. Angulus subdialis igitur est actus meditatione accensus, et a sole iustitiae illuminatus. Egregie vero etiam Paulus pontificem Iudaeorum parietem calce litum seu dealbatum appellavit, et a Deo percutiendum. Et Dominus in evangeliis pharisaeos

Ἐκβάλλει τὸ ῥητὸν τοῦτο τὴν διὰ τῶν ἀλόγων ζώων θυσίαν· θυσία γὰρ τῷ θεῷ πνεῦμα συντετριμμένον. v. 3. cod. f. 86. b.

Εἰ ἁγνὰ καὶ ὀρθὰ ἔργα κυρίου, ἓν δὲ τῶν ἔργων αὐτοῦ ἐστὶ καὶ ὁ νοῦς, ὀρθὸς ἄρα ἐκτίσθη καὶ ἁγνὸς παρὰ τοῦ θεοῦ ὁ νοῦς, καὶ ὀρθὸν ὀφείλομεν διαφυλάττειν αὐτὸν πρὸς αὐτὸν ἐκ τῶν ἐπερχομένων ἡμῖν παρὰ τοῦ πονηροῦ κακῶν. v. 8. cod. f. 87. a.

Τὸν οἶκον τὸν κεκονιαμένον καὶ κοινὸν, τῇ ὑπαίθρῳ γωνίᾳ ἀντέθεικεν· εἰ δὲ ὁ οἶκος ὁ κεκονιαμένος καὶ κοινὸς, ἡ κακία ἐστὶν, ἡ ὕπαιθρος γωνία ἡ ἀρετή ἐστιν· γωνία τοίνυν ὕπαιθρός ἐστιν, πρᾶξις θεωρίας ἐφαπτομένη, καὶ φωτιζομένη ὑπὸ τοῦ τῆς δικαιοσύνης ἡλίου· καλῶς δὲ καὶ ὁ Παῦλος * τὸν ἀρχιερέα τῶν Ἰουδαίων, τοῖχον εἶπε κεκονιαμένον τυφθησόμενον * ὑπὸ τοῦ θεοῦ· καὶ ὁ σωτὴρ ἐν εὐαγγελίοις τοὺς φαρισαί- v. 9.

* Act. XXIII. 3.
* cod. τυπτηθησόμενος.

* Matth. XXIII. 27. * Matth. XXI. 42. ους, τάφους εἶπε κεκονιαμένους *· εὖ δὲ καὶ τὸ ἐπὶ γωνίας εἶπεν *, ἔνθα ὁ λίθος κεῖται ὁ ἀποδοκιμασθεὶς ὑπὸ τῶν οἰκοδόμων, καὶ γενόμενος κεφαλὴ γωνίας, ὅς ἐστι Χριστός· κοινὸν δέ ἐστιν, ὃ μὴ τοῦ ἑνός ἐστι Θεοῦ.

v. 14 cod. f. 87. b Δόσις λάθριος ἐστὶν, ὃ ποιεῖ ἡ δεξιὰ, μὴ γινώσκει δὲ ἡ ἀριστερά· θυμὸν ἐγείρει κατ' αὐτοῦ ἰσχυρὸν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὁ τῶν πρὸς τοὺς ἐνδεεῖς δώρων φειδόμενος.

v. 16. cod. f. 88. a. Ἡ συναγωγὴ τῶν γιγάντων, ἡ κακία καὶ ἡ ἀγνωσία ἐστίν· γίγαντες δὲ οἱ δαίμονες· τουτέστιν ἐν μεγάλαις ἁμαρτίαις ἀναπαύσεται ὁ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης.

v. 19. cod. f. 88. b. * Ps. LXII. 3. Ἀγύναιον εἶναι κρεῖττον, ἢ τοιαύτῃ συνεῖναι· καὶ ὁ Δαυὶδ φησὶν *· ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι· ἔρημος τοίνυν γῆ ἐστιν ἡ ἀρετὴν ἔχουσα ψυχὴ, καὶ μὴ ἔχουσα τοὺς παλαιοὺς ἀνθρώπους ἐνοικοῦντας, τοὺς φθειρομένους κατὰ τὰς παλαιὰς ἐπιθυμίας τῆς ἀπάτης· διὸ οὐδὲ εὑρίσκει ἐν αὐτῇ ἀνάπαυσιν ὁ διάβολος. εἴ γε δυσχερῶς δι' ἀνύδρων τόπων ζητῶν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει· αὐτὸς γὰρ βασιλεύς ἐστι πάντων τῶν ἐν τοῖς ὕδασι, τουτέστι τῶν ἐν ἀναπαύσει καὶ ἀπολαύσει σαρκικῶν ἡδονῶν. Καὶ πάλιν. Τῆς σοφίας στεγναὶ αἱ διατριβαὶ οἴκων αὐτῆς· εἰ δὲ τοῦτο, οὐκοῦν καὶ ἡ γυνὴ ἡ μάχιμος καὶ γλωσσώδης καὶ ὀργίλος, ἡ κακία ἐστὶν, ἥ τις τὸν συζῶντα αὐτῇ ποιεῖ μάχιμον καὶ γλωσσώδη καὶ ὀργίλον.

v. 20. Σοφία κυρίου ἀναπαύσεται ἐν καρδίᾳ δικαίου σοφοῦ· ἄφρονες δὲ ἄνδρες διαβάλλουσιν αὐτὴν τοῦ φθεῖραι.

v. 22. Ἡ σοφία ἐστὶ πόλις ὀχυρὰ, ἐν ᾗ οἱ σοφοὶ κατοικοῦσι, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. —Πόλεις ὀχυρὰς φησὶν τὰς ὀχυρωθείσας καὶ κατακρατηθείσας ψυχὰς ὑπὸ τῶν ἀσεβῶν δαιμόνων καὶ πονηρῶν ἀνθρώπων, τῶν ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· ὧν τὸ ὀχύρωμα ἐπιβὰς ὁ σοφὸς, καὶ τὴν δοκοῦσαν ἀσφάλειαν αὐτῶν, τῇ οὕτως σοφίᾳ περιφραχθεὶς καθεῖλεν.

v. 23. cod. f. 89. a. Στόμα καὶ γλῶσσαν καὶ νοῦν, θυμὸν καὶ ἐπιθυμίαν ὃς φυλάσσει, διατηρεῖ ἐκ τῆς ἐν κρίσει θλίψεως τὴν ψυχὴν αὐτοῦ.

v. 24. Αὐτός ἐστι διαφόρως ἐπινοούμενος· θρασὺς μὲν γὰρ, ὁ πᾶν ὁτιοῦν ἀφόβως ἐπιτελῶν· αὐθάδης, ὁ ἀνεπικρίτως ἐλευθεριάζειν βουλόμενος· ἀλαζὼν, ὁ μείζοσιν ἑαυτὸν ἤπερ ἔχει σεμνύνων· λοιμὸς, ὁ πρὸς τῷ ἑαυτὸν καταβλάπτειν, καὶ ἑτέροις μεταδιδούς· τοσοῦτον γάρ ἐστι βλαπτικὸς,

dixit sepulchra dealbata. Bene etiam super angulo dixit, ubi lapis ponitur ab aedificantibus reprobatus, qui tamen factus est caput anguli, qui est Christus dominus. Porro illud est commune, quod unice Dei non est.

Munus occultum illud est quod dat dextera, et a sinistra ignoratur. Furorem contra se vehementem in die iudicii concitat, qui tribuere egentibus munera parcit.

Congregatio gigantum est nequitia et inscitia. Gigantes vero sunt daemones. Id est magnis in peccatis iacebit, qui de via iustitiae aberrat.

Sine coniuge praestat esse, quam tali convivere. David quoque ait: in terra deserta et invia et inaquosa, sic in sancto apparui tibi. Deserta igitur terra, anima est virtute praedita, et quae priscos homines non habet habitatores, qui corrupti erant in antiquis cupiditatibus erroris. Quare ne diabolus quidem requiem in ea invenit; siquidem aegre per aridos locos quaerens requiem, non invenit. Ipse quippe rex est omnium in aquis degentium, id est hominum qui in otio et delectione carnalium voluptatum versantur. Item Sapientiae aedium tectae sunt mansiones. Quod si ita est, ergo mulier rixosa dicax et iracunda, nequitia est, quae contubernalem suum facit rixosum et dicacem et iracundum.

Sapientia Domini requiescet in corde iusti ac sapientis; vesani autem homines calumniantur eam ut pessumdent.

Sapientia est urbs munita, in qua sapientes habitant, mentes suas purgantes ab omni elatione quae contra Dei scientiam extollitur.—Munitas urbes dicit animas circumvallatas et subiugatas ab impiis daemonibus scelestisque hominibus qui adversus Dei scientiam extolluntur: quorum circumvallationes superans sapiens, apparentem illorum securitatem, tali sapientia munitus difflat.

Os, linguam, mentem, iram, et cupiditatem qui cohibet, is animam suam a futuri iudicii tribulatione custodit.

Idem est diverse consideratus: audax qui quodlibet intrepide adgreditur: ferox qui inconsiderate liberi hominis conditionem usurpat: superbus qui maiora veris merita iactat: pestilens, qui non sibi ipsi tantummodo sed et aliis noxius est. Tantopere enim est exitio-

sus, ut aliis quoque labem propriam impertiatur. Qui denique iniuriarum est memor, peccat.

Est etiam bona cupiditas: quippe angelorum est nihil umquam pravum cupere; daemonum, semper male concupiscere; hominum denique, modo concupiscere, modo secus. Iam verba, tota die, ponuntur pro tota vita. Sic est illud: in timore Domini esto tota die, id est tota vita.

Equum dicit mentem, a diabolo oppugnatam, cui tamen ipsa repugnat. Ascendes enim, inquit, super equos tuos; et equitatus tuus, salvatio. Et de Paulo Dominus: ut portet, inquit, nomen meum.

ὡς καὶ ἄλλοις μεταδιδόναι κακίας· ὃς δὲ μνησικακεῖ, παράνομος.

v. 25. Ἔστι γὰρ καὶ ἀγαθὴ ἐπιθυμία· ἀγγέλων μὲν μὲν οὖν τὸ μὴ ἐπιθυμεῖν ποτὲ ἐπιθυμίας κακίας· δαιμόνων δὲ τὸ ἀεὶ κακὰς ἐπιθυμεῖν· ἀνθρώπων, τὸ ποτὲ μὲν ἐπιθυμεῖν, ποτὲ δὲ μή· τὸ δὲ ὅλην τὴν ἡμέραν, ἀντὶ δι' ὅλου τοῦ βίου· τοιοῦτόν ἐστι καὶ τὸ, ἐν φόβῳ κυρίου ἴσθι ὅλην τὴν ἡμέραν*, ἀντὶ τοῦ δι' ὅλου τοῦ βίου.

* Prov. XXIII. 17.

v. 31. cod. f. 89. b. Ἵππον λέγει τὸν νοῦν, τὸν πολεμούμενον ὑπὸ τοῦ διαβόλου, καὶ ἀντιπολεμοῦντα· ἐπιβήσῃ γὰρ, φησιν, ἐπὶ τοὺς ἵππους σου· καὶ ἡ ἱππασία σου, σωτηρία*· καὶ ἐπὶ τοῦ Παύλου ὁ κύριος· τοῦ βαστάσαι τὸ ὄνομά μου φησί*.

* Hab. III. 8.

* Act. IX. 15.

CAP. XXII.

Significatam a proprio nomine virtutem, nomen dixit bonum. Nam illud bonum est nomen, quod habet bonum ex suo bono opere significatum. Sic neque iniustam mulierem, si forte Iustitia appelletur, laudabimus; sed illam potius quae iustitiam habeat, etiamsi ei Iniustitia nomen sit. Supra argentum porro est et supra aurum, divina sapientia.

Obviant sibi, dives quidem eleemosynis iram extinguens, et amorem sibi concilians; pauper autem, a conditione sua humilitatem edoctus. Hunc vult erudiri; illum largiri; ut alter sit gratus, alter misericors.

Vitam et gloriam et divitias caelestes consequetur qui sapientiam timoremque Dei habet. Cuncta enim haec genera habuit Noë; eadem Abrahamus; eadem illi etiam qui a Petro fuerunt eruditi.

In futuro saeculo, qui omnimoda scientia ac sapientia divites fuerint, dominabuntur impuris et iis omnibus qui illis divitiis caruerint. Quinam vero sint famuli et quinam domini, non est necesse vulgare, quia de hac re sermo mysticus est et altior. Et ipsis verbis heic demonstratur humanae vitae inconstantia. Sed etiam in oligarchiis divites inopibus dominantur: atque insuper, qui scientia sunt praediti, in eos qui aliter se habent, imperium exercent. Denique qui ex gentibus crediderunt, Israhelitis qui antea imperabant, magisterium foenerantur: quamquam illi antea gentibus foenerabantur multis, iisque dominabantur. Nunc vero erepto iis regno, contrarium fit.

v. 1. cod. f. 90. a. Τὴν σημαινομένην ἀρετὴν ὑπὸ οἰκείου ὀνόματος, ὄνομα εἶπε καλόν· τοῦτο γάρ ἐστι καὶ καλὸν τὸ ὄνομα, ὅπερ ἔχει τὸ σημαινόμενον ἀγαθόν· οὕτως οὐδὲ τὴν ἄδικον γυναῖκα δικαιοσύνην καλουμένην ἐπαινέσομεν, ἀλλὰ τὴν ἔχουσαν τὴν δικαιοσύνην, κἂν ἀδικία νομίζηται· ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον, σοφία θεϊκή.

v. 2. Συναντῶσιν ἀλλήλοις, ὁ μὲν πλούσιος διὰ τῶν ἐλεημοσυνῶν καθαιρῶν τὸν θυμὸν, καὶ κτώμενος τὴν ἀγάπην· ὁ δὲ, διὰ τῆς πενίας τὸ ταπεινοφρονεῖν διδασκόμενος· τὸν μὲν γὰρ, θέλει παιδεύεσθαι· τὸν δὲ, μεταδιδόναι· ὥστε τὸν μὲν εὐχάριστον εἶναι, τὸν δὲ ἐλεήμονα.

v. 4. Ζωὴν καὶ δόξαν καὶ πλοῦτον οὐράνιον κληρονομήσει ὁ σοφίαν καὶ φόβον κυρίου ἔχων· πάσας γὰρ τὰς γενέσεις ἔσχε Νῶε· ταύτας Ἀβραάμ· ταύτας καὶ οἱ παρὰ Πέτρου μαθητευθέντες.

v. 7. cod. f. 90. b. Ἐν τῷ αἰῶνι τῷ μέλλοντι οἱ ἐν παντὶ πλουτισθέντες, ἐν πάσῃ γνώσει καὶ σοφίᾳ, ἄρξουσι τῶν ἀκαθάρτων καὶ ἐστερημένων τούτου τοῦ πλούτου· τίνες δὲ οἱ οἰκέται καὶ τίνες οἱ δεσπόται, οὐκ ἀναγκαῖον δημοσιεύειν, διὰ τὸ εἶναι τὸν περὶ αὐτῶν λόγον μυστικὸν καὶ βαθύτερον· καὶ πρὸς ῥητὸν δὲ δείκνυσι τοῦ ἀνθρωπίνου βίου τὸ ἄστατον· ἀλλὰ καὶ ἐν ταῖς ὀλιγαρχίαις οἱ πλούσιοι τῶν πτωχῶν ἄρχουσιν· καὶ ἄλλως οἱ γνῶσιν ἔχοντες, τῶν μὴ τοιούτων ἄρχουσιν· καὶ οἱ ἀπὸ τῶν ἐξ ἐθνῶν πιστοὶ, τοῖς ἐξ Ἰσραὴλ, οἷς ἐκέλευον πρόσθε, διδασκαλίαν δανείζουσι· καί τοι πρότερον ἔθνεσιν ἐδάνειζον ἐκεῖνοι πολλοῖς, καὶ τούτων ἦρχον· νῦν δὲ τῆς βασιλείας ἀπ' αὐτῶν ἀρθείσης, ἔμπαλιν γέγονε.

v. 8. cod. f. 91. a. Τὸν ἐν ταῖς ἐντολαῖς ἱλαρὸν ἄνδρα, καὶ ἐν ἐλεημοσύναις δότην, ἀγαπᾷ ὁ Θεός· καθὼς καὶ
* Rom. XII. 8. ὁ Παῦλος φησὶν *, ὁ ἐλεῶν ἐν ἱλαρότητι· τὴν δὲ ματαιότητα τῶν ἔργων διὰ τῆς ἀρετῆς ὁ κύριος καὶ τῆς γνώσεως, συντελεῖ.

Hilarem in exsequendis mandatis virum, et eleemosynis indulgentem, diligit Deus. Sicut etiam Paulus ait: qui miseretur cum hilaritate. Vanitatem autem operum, per virtutem ac scientiam consummat Dominus.

v. 9. Δῶρα τοῦ ἀνθρώπου τὰς τῆς ψυχῆς ἀρετὰς ὀνομάζει, δι' ὧν νικῶν τὸν διάβολον, τίμιον ἑαυτὸν παρέχει τῷ Θεῷ, καὶ ἀφαιρεῖται τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τῶν κτησαμένων αὐτὴν δαιμόνων.

Dona hominis, virtutes animae appellat, quibus diabolum vincens, honorabilem se Deo exhibet; suamque animam ab occupantibus eam daemonibus eripit.

v. 10. Τῆς χειρίστης ἕξεως τὸν ἄνθρωπον ἐκβάλλεσθαι βούλεται διὰ πνευματικῆς διδασκαλίας μεθ' ἧς εἶχε φιλονεικίας· καὶ λοιμὸν δὲ τὸν διάβολον ὄντα τῆς ψυχῆς ἐκδιώκεσθαι δεῖ· ἐὰν γὰρ ἐν αὐτῇ καθίσῃ, διὰ τῆς ἀκαθαρσίας πάντας τοὺς ὀρθοὺς λογισμοὺς ἀτιμάζει· συνέδριον γὰρ τὴν
* Rom. II. 15. ψυχὴν καὶ ὁ ἀπόστολος δείκνυσι *, δι' ὧν λογισμοὺς κατηγοροῦντας, ἢ καὶ ἀπολογουμένους εἰσάγει· μεταξὺ γάρ, φησιν, ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων· ὅπου δὲ κατηγορία καὶ ἀπολογία, ἐκεῖ καὶ συνέδριον· ἀλλὰ καὶ ὁ λοιμὸς ἀτιμάζει πάντας ὡς ὑβριστής· ἢ ὡς τὰ ἴδια συστῆσαι βουλόμενος, τὰ τῶν ἄλλων ἀτίμως ἐκβάλλει· ὃν ἔκβαλε ἐκ συστήματος πνευματικοῦ· καὶ οὐ μόνον αὐτὸς ἐκβληθήσεται, ἀλλὰ καὶ τὰ συνόντα αὐτῷ, ἔριδες, φιλονεικίαι, μάχαι, καὶ ὅσα λοιμὸν ἀποτελεῖ.

Hominem per spiritalem doctrinam extrahi vult de pessimo animi habitu, cum eius comite rixa. Diabolum quoque, animae pestem, oportet effugare: nam si illic resideat, rectas omnes cogitationes impuritate contaminare solet. Namque et apostolus tribunal ostendit esse animam, quatenus cogitationes accusantes, simulque defendentes inducit. Interim, inquit, invicem accusantibus cogitationibus et defendentibus. Ubi autem accusatio atque defensio, ibi tribunal. Sed et diabolus pestilens cunctos vituperat utpote contumeliosus; vel quia propria commendare volens, aliena contemptim deprimit: quem tu de spiritali conventu fac eicias: neque ille tantummodo expelletur, sed et comitatus eius, iurgia, contentiones, rixae, et quaecumque exitium inferunt.

v. 12. cod. f. 91. b. Ὁ διατηρῶν τὰς ψυχὰς ἡμῶν κύριος, οὗτος καὶ διὰ τῆς πνευματικῆς ἡμᾶς γνώσεως ποιμαίνει
* Ioh. XI. 14. συγκαταβαίνων καὶ λέγων *· ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, ὃν ἀτιμάζει ὁ παράνομος· εἰ δὲ βασιλεὺς μέν ἐστι τῶν βασιλευομένων ὁ Χριστός, ποιμὴν δὲ ὁ προβάτων, ἔσται ποτὲ μόνος βασιλεὺς τῶν προβάτων, εἰς τὸ βασιλικὸν μεταβάντων ἀξίωμα.

Qui animas nostras conservat Dominus, idem pariter spiritali scientia nos pascit, condescendens dicensque: ego sum pastor bonus; quem tamen homo iniquus aspernatur. Quod si rex quidem subditorum Christus est; pastor vero ovium; erit aliquando solus ovium rex, ad regalem dignitatem translatarum.

v. 13. cod. f. 92. a. Ὁ ἐχθρὸς ἡμῶν διάβολος ὡς λέων περιέρχεται ζητῶν τίνα καταπίῃ· ὅν τινα φοβούμενος ὁ ὀκνηρός, πρὸς τὴν ἐργασίαν τῶν ἀρετῶν ἀναδύεται· εἰ δὲ λέων ἐν ταῖς ὁδοῖς τῆς δικαιοσύνης ζητεῖ θηρεῦσαι τινά, ὅς ἐστιν ὁ διάβολος· ἐν δὲ ταῖς πλατείαις ταῖς πρὸς τὴν ἀπώλειαν φερούσαις, μετὰ τὴν φάλαγγα τῶν δαιμόνων αὐτοῦ, αὐτὸς φονεύει τοὺς αὐτῷ πειθομένους.

Adversarius noster diabolus tamquam leo circuit quaerens quem devoret; quem timens piger, ad virtutum exercitium se comparat. Quippe leo in viis iustitiae quaerit aliquem venari, id est ut diximus diabolus, et in plateis quae ad perniciem deferunt, praeter quam quod daemonum phalangem circumfert, ipse quoque sibi obnoxios interficit.

v. 14. cod. f. 92. b. Βόθρος βαθὺς ὁ διάβολος ἐστίν· ὁ δὲ μισηθεὶς παρὰ κυρίου, ὁ μὴ ἑαυτῷ προσέχων ἀσφαλῶς· ὁ δὲ Ἰὼβ οὐ μισηθεὶς ὑπὸ κυρίου, ἀλλὰ
* cod. πέπωκε. δοκιμῆς χάριν εἰς τὸ τοῦ παρανόμου πέπτωκε * στόμα· ὁ δὲ μισηθεὶς ὑπὸ κυρίου, εἰς τέλος καταλιμπάνεται ἐν τῷ βόθρῳ, φιλήδονος ὢν ἐν γνώσει ἁμαρτίας.

Fovea profunda diabolus est. Invisus autem Domino est, qui propriae securitati non consulit. Iobus quidem non erat invisus Domino, sed experimenti causa, in os maligni diaboli incurrit. Verumtamen qui Domino invisus est, perpetuo deseritur in fovea, quia voluptarius est et peccati sui conscius.

v. 15. Μακρὰν ἀπὸ τῆς καρδίας τοῦ ἄφρονος ἐστὶν ἡ ῥάβδος ἡ ἐκ τῆς ῥίζης Ἰεσσαὶ ὁ Χριστός, ὅς ποι-

Longe a vesani hominis corde est virga de radice Iessae Christus, qui pascet populum

suum novum Israhelem in pascuis ovium suarum.

Sicut diabolus calumniatur nos apud Deum, tollens a nobis virtutes quas ipse non dederat; ita et nos calumniamur illum cum tollimus ab eo iniquitates quas ei non dedimus. Et quatenus quidem accipimus ab eo iniquitates, tamquam ab inope virtutum accipimus. Quatenus vero virtutes ei cedimus, nostro cum detrimento tamquam diviti iniquitate cedimus. Ne forte, inquit, tamquam exigua dans principi, apud quem calumniatur plura lucrans, gravius animae detrimentum patiatur.

Qui sapientissimis Dei verbis attendit, et eius observat mandata, hic cor confirmat, et bona esse cognoscit. Ille audit Dei verba, qui quae mandantur ab illis exsequitur. Non enim auditores legis iusti apud Deum, sed factores legis iustificabuntur. Quod si confirmaveris cor tuum ad sciendum aeque et agendum; manifestabit tibi Deus viam suam quae dicit: ego sum via et veritas.

Qui dilatat puritate cor suum, Dei doctrinas intelliget, practicas, eruditas, theologicas. Namque omnis salomonicae scripturae materia, trifariam dividitur, in ethicam, physicam et theologicam. Pertinent vero ad primam proverbia, ad secundam ecclesiastes, ad tertiam canticum canticorum: quae intelecta per puritatem cordi inscribuntur; ut respondere possis, te esse paratum ad satisfactionem omni poscenti rationem de ea quae in te est spe; sive discendum sit sive contradicendum. Vicissim tu quoque eos interroga, qui possunt interrogari; neque tamen vim facias ei qui scientiae est inops. Idcirco addit: neque inhonores infirmum in portis.

Qui pravas admiserint cogitationes, atque ita maligno diabolo honorem detulerint, hi pro viribus curent bonis meditationibus deteriores commutare. Nisi enim id agere valuerint, auferetur eis stratum desub costis animae, id est virtus.

Qui transfert religionis terminos, is superstitionem vel ipsam impietatem prae se fert. Et qui fortitudinis transfert terminos, is audaciam vel timiditatem substituit. Similiter de virtutibus aliis, et de dogmatibus, et de ipsa fide existimandum est. Praecipue vero hoc observandum est circa sanctam Trinitatem.

μανεῖ τὸν λαὸν αὐτοῦ τὸν νέον Ἰσραὴλ ἐν τῇ
νομῇ τῶν ἑαυτοῦ προβάτων.

Ὥσπερ ὁ διάβολος συκοφαντεῖ ἡμᾶς πρὸς τὸν v. 16. cod. f. 93. a.
θεὸν, λαμβάνων παρ' ἡμῶν τὰς ἀρετὰς, ἃς μὴ
δέδωκεν ἡμῖν, οὕτω καὶ ἡμεῖς συκοφαντοῦμεν αὐ-
τὸν λαμβάνοντες παρ' αὐτοῦ τὰς κακίας ἃς μὴ
δεδώκαμεν αὐτῷ· καὶ καθὸ μὲν λαμβάνομεν παρ'
αὐτοῦ τὰς κακίας, ὡς παρὰ πένητος ἐν ἀρεταῖς
λαμβάνομεν· καθὸ δὲ τὰς ἀρετὰς ἡμῶν διδόαμεν
αὐτῷ ἐπ' ἐλαττώσει ἡμῶν, ὡς πλουσίῳ ἐν κακίᾳ
διδόαμεν· μήποτε δέ, φησιν, ὡς ὀλίγα διδοὺς ἄρ-
χοντι· παρ' ᾧ συκοφαντεῖ τὰ πλείω κερδαίνων,
πλέον καὶ βλάπτεται τὴν ψυχήν.

Ὁ τοῖς πανσόφοις λόγοις προσέχων τοῦ θεοῦ, v. 17.
καὶ ποιῶν τὰ προστασσόμενα ὑπ' αὐτοῦ, οὗτος
ἐπέστησε τὴν καρδίαν, καὶ ἔγνω ὅτι καλοί εἰσιν·
οὗτος ἀκούει τῶν τοῦ θεοῦ λόγων, ὁ ποιῶν τὰ
προςασσόμενα ὑπ' αὐτῶν· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ
νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ
νόμου δικαιωθήσονται*. ἐὰν δὲ ἐπιςήσῃς σὴν καρ- * Iac. I. 22
δίαν τοῦ γνῶναι καὶ ποιῆσαι, γνωρίσει σοι τὴν ὁδὸν
αὐτοῦ τὴν εἰποῦσαν*· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια. * Ioh. XIV. 6.

Ὁ πλατύνας διὰ τῆς καθαρότητος τὴν καρ- v. 20. cod. f. 94. a.
δίαν αὐτοῦ, νοήσει τοὺς τοῦ θεοῦ λόγους, τούς
τε πρακτικοὺς, καὶ τοὺς σοφιστικοὺς, καὶ τοὺς
θεολογικούς· πᾶσα γὰρ ἡ κατὰ τὴν γραφὴν πραγ-
ματεία, τέμνεται τριχῶς, εἰς ἠθικὴν καὶ φυσι-
κὴν καὶ θεολογικήν· καὶ ἀκολουθεῖ τῇ μὲν πρώτῃ,
αἱ προοιμίαι· τῇ δὲ δευτέρᾳ, ὁ ἐκκλησιαςής· τῇ
δὲ τρίτῃ, ᾆσμα ᾀσμάτων· ἅπερ νοηθέντα διὰ
καθαρότητος ἐναπογράφεται τῇ καρδίᾳ, τοῦ ἀπο-
κρίνασθαί σε, ὡς ἕτοιμον εἶναι πρὸς ἀπολογίαν
παντὶ τῷ ἐπερωτῶντι σε λόγον περὶ τῆς ἐν σοι
ἐλπίδος*· εἴτε διὰ τὸ μαθεῖν, εἴτε διὰ τὸ ἀντιτι- * I. Petr. III. 15.
θεῖναι· ἀντερώτα δὲ καὶ σὺ τοὺς δυναμένους ἐρω-
τᾶσθαι· μὴ μέν τοι βιάζου τὸν ἐν γνώσει πενόμενον· v. 22.
διὸ ἐπάγει· καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις.

Οἱ τοὺς φαύλους ἀναδεχόμενοι λογισμοὺς, καὶ v. 26. cod. f. 95. a.
ἐν τούτῳ τιμῶντες τὸν πονηρὸν, σπουδαζέτωσαν
ὅση δύναμις διὰ τῶν ἀγαθῶν λογισμῶν ἀποδιδό-
ναι τοὺς χείρονας· ἐὰν γὰρ μὴ ἰσχύσωσι τοῦτο
ποιῆσαι, λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευ- v. 27.
ρὰς τῆς ψυχῆς, τουτέστι τὴν ἀρετήν.

Ὁ μετατιθεὶς τὰ ὅρια τῆς θεοσεβείας, δει- v. 28.
σιδαιμονίαν ἢ ἀσέβειαν αὐτὴν ἀποδείκνυσι· καὶ ὁ
μετατιθεὶς τὰ ὅρια τῆς ἀνδρείας, θρασύτητα ἢ
δειλίαν αὐτὴν ἀπεργάζεται· ὡσαύτως δὲ καὶ ἐπὶ
τῶν ἄλλων ἀρετῶν, καὶ ἐπὶ τῶν δογμάτων, καὶ
ἐπ' αὐτῆς τῆς πίστεως νοητέον· μάλιςα δὲ τοῦτο
τηρητέον ἐπὶ τῆς ἁγίας τριάδος· ὁ γὰρ μὴ θεο-

λογῶν τὸ πνεῦμα τὸ ἅγιον, διαλύει τὸ βάπτισμα· ὁ δὲ καὶ ἄλλους τινὰς ὀνομάζων θεοὺς, δῆμον εἰσάγει θεῶν· ἢ καὶ τὰς περὶ πράγματος ἑκάστου πατρικὰς διατάξεις, καὶ τούτου χάριν μένειν ὀφειλούσας, μὴ μετακινεῖν δεῖ.

Nam qui Deum non dicit sanctum Spiritum 1), baptisma destruit: qui vero alios quosdam nominat deos, is deorum populum introducit. Item de rebus singulis patrum constitutiones (quae propterea perseverare debent) nequaquam oportet commovere.

CAP. XXIII.

v. 1. cod. f. 95. b. Δυνάστην ἐνταῦθα τὸν διάβολον φησὶν τρά-
πεζαι δὲ αὐτοῦ εἰσὶ ψευδομαρτυρίαι, λοιδορίαι,
καταλαλιαὶ, συμβουλίαι κακαὶ, ἐπιθυμίαι αἰσ-
χραὶ, καὶ πᾶν ὁτιοῦν σατανικὸν ἐπιτήδευμα·
ταῦτα δὲ παρατιθέμενά σοι ὑπὸ τοῦ πονηροῦ,
νοητῶς νόει, καὶ ἐπίβαλε τὴν διάνοιάν σου, ὅ
v. 2. ἐστιν ἡ χείρ· εἰδὼς ὅτι τοιαῦτα σε δεῖ παρα-
σκευάσαι, οἷα καὶ συμπαρεστάναι σοι ὀφείλουσιν
ἐν ἡμέρᾳ κυρίου, ὅτε ἀπονέμει ἑκάστῳ κατὰ τὰ
ἔργα αὐτοῦ· εἰ δὲ ἀπληστότερος εἶ, καὶ ὀρέγῃ
τῶν ὑψηλῶν καὶ πλειόνων καὶ μειζόνων, ἅ τινα
εἰσὶ θεῖα καὶ θεοῦ, μὴ ἐπιθύμει τῶν τοῦ πονη-
ροῦ ἐδεσμάτων· ταῦτα γὰρ ἔχεται ζωῆς προσκαί-
ρου, ὅ ἐστι ψευδοῦς· δεῖ δὲ τὴν θειαν γραφὴν
νοητῶς νοεῖσθαι καὶ πνευματικῶς· ἡ γὰρ κατὰ
τὴν ἱστορίαν αἰσθητὴ γνῶσις, οὐκ ἔστιν ἀληθής 2).
v. 5. cod. f. 96. b. Ἐὰν ἑλκύσαι τὸν θεῖον νοῦν πρὸς τὸ ῥητὸν
κατὰ τὴν ἔξω μόνον ὅρασιν ἐθελήσῃς, ἀσύστα-
τος ὢν εἰς τὸν ἴδιον οἶκον ἀποφοίτα, ὅς ἐστι τὸ
κατάλληλον αὐτοῦ θεώρημα· πτέρυγας ἔχων τὰς
ὑπὸ τοῦ προεστηκότος αὐτοῦ ἁγίου πνεύματος κα-
τασκευασθείσας αὐτῷ, αἵπερ εἰσὶ τὰ πνευματι-
κὰ χαρίσματα· ἄπεισιν οὖν ὑψηλὸς ὑπὲρ αὐτὸν
ὡς εἰπεῖν τὸν αἰθέρα· τὸ οὖν μὴ ὑπεράνω χω-
ρεῖν τοῦ ῥητοῦ, ἀλλ' ἀπλήστως ἔχειν πρὸς αὐτὰ,
ζωῆς ἐστι ψευδοῦς.
v. 6. cod. f. 97. a. Εἰ ὁ βάσκανος σῖτα ἀσεβείας ἐσθίει, καὶ
οἴνῳ παρανόμῳ μεθύσκεται, οὐ δεῖ δὲ συνδειπ-
νεῖν τούτῳ· οὐ χρὴ ἄρα εἶναι ἀσεβῆ καὶ παρά-
νομον· αὗται γὰρ αἱ κακίαι λοιμαίνονται γνῶσιν
πνευματικήν.
v. 9. Μηδὲν λέγε συνετόν, φησι, τουτέστι βαθὺ

Dynastam nunc diabolum dicit: mensae autem eius sunt falsa testimonia, convicia, obtrectationes, coniurationes malae, turpes cupiditates, et omne quodlibet satanicum opus. Haec omnia tibi apposita a maligno, spiritaliter intellige, et mentem tuam intende, quae heic dicitur manus, sciens a te talia esse apparanda, quae tibi patrocinari possint in die Domini, cum is remunerabitur singulos secundum opera eorum. Quod si insatiabilior es, cupisque alta et plura atque maiora, quae sunt caelestia ac divina, cave ligurias circa maligni edulia: haec enim brevi vita fruuntur, id est fallaci. Oportet autem divinam scripturam intellectualiter ac spiritaliter intelligi: nam quae secundum historiam est materialis notio, vera non est.

Si trahere divinum sensum, iuxta litteram, ad externum tantummodo conspectum volueris, is fundamento carens ad proprium domicilium revertetur, quae est conveniens illi theoria. Sed alas habens a dirigente ipsam sancto Spiritu fabricatas, quae sunt spiritalia charismata, abit sublimis super ipsum ut ita dicam aetherem. Ergo nolle conscendere supra litteram, sed mordicus huic inhaerere, falsae vitae proprium est.

Si invidus triticum impietatis comedat, et vino illegitimo ebrietur, non oportet cum hoc convivari; neque enim expedit fieri impium ac peccatorem: nam huiusmodi iniquitates spiritalem scientiam pessumdant.

Nihil dicas prudens, id est grave ac my-

1) Amimadverte testimonium Origenis de Spiritus sancti divinitate.

2) Vides Origenis dictum insigne pro mystico s. scripturae sensu, qui tantopere ipsi in deliciis fuit, eoque interdum abusus, ut scimus; quae causa fuit Theodoro mopsuesteno opus condendi contra allegoricos, praesertimque Origenem. Et quidem consule sis Huetium in origenianis quaest. XIII. p. 240. seqq. *Origenes*, (inquit S. Hieronymus in prologo ad lib. V. in Esaiam) *liberis allegoriae spatiis evagatur, et interpretatis nominibus singulorum, ingenium suum facit ecclesiae sacramenta.* Rectâ item eidem Origeni contradicere videtur S. Gregorius PP. qui etsi plurimum allegorico anagogicoque sensui indulsit, attamen in calce primi libri moralium in Iobum, ita sapienter concludit. *Hoc magnopere petimus, ut qui ad spiritalem intelligentiam mentem sublevat, a veneratione historiae non recedat.* Nihilominus in libris Origenis infinitus ac pretiosissimus est mysticarum moraliumque interpretationum thesaurus; et ipse Chrysosto-mus in Proverbiorum a nobis edita explanatione spiritales sensus libenter sequitur.

sticum; non enim te oportet margaritas proiicere ante porcos.

Terminos aeternos religionis ne transferas; neque ad regionem accedas eorum qui se a Deo seiunxerunt, et possessionem daemonum malitiam retinent, cuius causa caelesti patre orbati sunt. Qui enim eos vindicavit ex tenebris in splendidissimam lucem, fortis est.

Filius bene moratus labia sua in sapientia exercebit; vicissimque sapientia cum eo colloquetur ac permanebit. At perversus illam amittet.

Si timore Domini declinat aliquis a malo, pulchre hortatur, ut per omnem vitam ab omni malo declinemus.

Quisquis malitia est ebrius, et ex sapientia ad inscitiam quasi moechus transilit, divinae gratiae erit inops: neque veste nuptiali induetur quisquis in daemoniaca nocte dormitans, carnem suam detriti instar panniculi vulneratam atterens, *facit* incendium gehennae.

Ait senior quidam, animam esse matrem mentis; animae vocabulo denotans patheticas animae qualitates, impetum et cupiditatem: etenim virtutum exercitio in lucem mentem educit: siquidem fortitudine ac temperantia sapientiam adipiscimur et scientiam Dei, quae sunt virtutes, impetûs et cupiditatis. Fortasse aliquis dicet matrem esse testamentum vetus quod suae contemni nequit.

Homines hoc loco dicit magistrorum scripta volumina. Qui vero operati simul sunt et docuerunt, iterque in caelum fecerunt, ambulationes nominavit. Multi enim doctores nequaquam ad caelum iter fecerunt, quia dicta propria non observarunt. Nam qui disserit in ambulationibus (hoc est enim facere et docere) digne ambulat vocatione qua a Deo vocatus fuit.

Mentis peccatum simile phialae, operae peccatum poculo. Ὕπερον vero est quod a coquis τριβεὺς appellatur. Multa enim pulsat ὕπερον (pistillus) neque tamen aperit locum quem pulsat. At vero discipulis aiebat Servator: pulsate, et aperietur vobis.

Mens quae alienum consilium aut disciplinam suscipit, malas cogitationes fovebit. Qui autem cautum se geret, is vitae compos fiet.

Mala res socordia indolens. Nam postea dices conscientiam tuam pulsans, non laboravi non fui sollicitus praemia adipiscendi, et cruciatus vitandi. Illuserunt mihi, id est mihi

καὶ μυστικόν· οὐ δεῖ γάρ σε βαλεῖν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.

Ὅρια αἰώνια θεοσεβείας μὴ μέταιρε· εἰς δὲ γῆν τῶν ἀπορφανισάντων ἑαυτοὺς ἀπὸ τοῦ θεοῦ, κτῆμα δὲ δαιμόνων τὴν κακίαν ἐχόντας, μὴ εἰσέλθῃς, δι' ἣν ἐστερήθησαν τοῦ ἐπουρανίου πατρός· ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος ἐκ τοῦ ὑπερλάμπρου φωτὸς ἀπὸ σκότους, ἰσχυρός ἐστιν. v. 10.

Υἱὸς ὀρθὸς ἐνδιατρίψει τὰ χείλη αὐτοῦ σοφίᾳ, καὶ ἡ σοφία πρὸς αὐτὸν συλλαλήσει καὶ διαμενεῖ· ὁ δὲ στρεβλὸς ἐκπεσεῖται ἀπ' αὐτῆς. v. 16. cod. f. 97. b.

Εἰ τῷ φόβῳ κυρίου ἐκκλίνει τίς ἀπὸ κακοῦ, καλῶς παραινεῖ διὰ πάσης τῆς ζωῆς ἐκκλίνειν ἡμᾶς ἀπὸ παντὸς κακοῦ. v. 17.

Πᾶς ὁ ἐν κακίᾳ μέθυσος, καὶ ὁ ἐκ σοφίας πρὸς ἀγνωσίαν καταπορνεύων, πτωχεύσει ἐκ θείας χάριτος, καὶ οὐκ ἐνδύσεται ἔνδυμα τοῦ γάμου· πᾶς ὁ ἐν τῇ δαιμονιώδει νυκτὶ ὑπνώδης, ἀλλὰ τὴν ὡς ῥάκος τετραυματισμένην σάρκα διαθλίβων γεέννης φλόγα. v. 24. cod. f. 98. a.

Ἔφη τίς τῶν γερόντων, τὴν ψυχὴν εἶναι μητέρα τοῦ νοῦ, ψυχὴν λέγων τὸ παθητικὸν τῆς ψυχῆς, θυμόν τε καὶ ἐπιθυμίαν· διὰ γὰρ τῶν πρακτικῶν ἀρετῶν εἰς φῶς προάγει τὸν νοῦν· διὰ γὰρ ἀνδρείας καὶ σωφροσύνης κτώμεθα σοφίαν καὶ γνῶσιν θεοῦ, αἵπερ εἰσὶν ἀρεταὶ θυμοῦ καὶ ἐπιθυμίας· λέγει δ' ἂν ἴσως μητέρα καὶ τὴν παλαιὰν διαθήκην οὐ καταφρόνητον. v. 24. cod. f. 98. b.

Ἀνθρώπους ἐνταῦθα, τῶν διδασκάλων τὰς συγγραφάς φησί· τοὺς δὲ ποιήσαντας καὶ διδάξαντας, καὶ τὴν πορείαν πρὸς οὐρανοὺς ποιησαμένους, περιπάτους ὠνόμασε· πολλοὶ γὰρ διδάξαντες, οὐ πρὸς οὐρανὸν τὴν πορείαν ἐποιήσαντο, ὅτι οὐκ ἐφύλαξαν· ὁ γὰρ ὁμιλῶν ἐν περιπάτοις, τουτέστι ποιεῖν τε καὶ διδάσκειν, ἀξίως περιπατεῖ τῆς κλήσεως ἧς ἐκλήθη ὑπὸ τοῦ θεοῦ. v. 31. cod. f. 99. a.

Ἡ μὲν κατὰ διάνοιαν ἁμαρτία ἔοικε φιάλῃ· ἡ δὲ κατ' ἐνέργειαν, ποτηρίῳ· ὕπερον δέ ἐστι, τὸ παρὰ τοῖς μαγείροις λεγόμενον τριβεύς· πολλὰ γὰρ κρούει τοῦτο τὸ ὕπερον, καὶ οὐκ ἀνοίγει τὸν τόπον ὃν κρούει· τοῖς δὲ μαθηταῖς ὁ κύριος φησί· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν*. cod. f. 99. b.

* Matth. VII. 7.

Νοῦς δεξάμενος ἀλλότριον νόημα ἢ μάθησιν, μελετήσει λογισμοὺς κακούς· ὁ δὲ τηρήσας ἑαυτὸν, κληρονομήσει ζωήν. v. 34.

Δεινὸν ἡ ἀναλγησία· εἶτα ἐρεῖς τυπτόμενος τὴν συνείδησιν, οὐκ ἐπόνεσα φροντίσαι τῶν μὲν γερῶν τυχεῖν, ῥυσθῆναι δὲ τῶν βασάνων· ἐνέπαιξάν μοι, τουτέστι προσωνείδισάν μοι· ἐγὼ δὲ v. 35. cod. f. 100. a.

θέλων οὐκ ᾔδειν πότε ὄρθρος ψυχῆς, καὶ ἐπίγνωσις ἁμαρτίας.

conviciati sunt. Ego vero sponte nescivi quandonam diluculum animae, et peccati cognitio.

CAP. XXIV.

v. 3. cod. f. 110. b. Ὁ οἶκος τῶν ἀρετῶν μετὰ θείας σοφίας οἰκοδομεῖται, καὶ μετὰ συνέσεως φόβου Θεοῦ καὶ γνώσεως ἀνορθοῦται.

v. 6. cod. f. 101. a. Ὁ περὶ τὴν πίστιν, ἤ τινα τῶν ἀρετῶν ναυαγῶν, ἀκυβέρνητος πρὸς πόλεμον τῶν ἀντικειμένων δυνάμεων, τῇ τε θεολογίᾳ καὶ ταῖς ἀρεταῖς· ὁ δὲ μετὰ κυβερνήσεως πολεμῶν, ἔοικεν ἐπὶ γῆς νοῦν ἔχειν· προηγεῖται δὲ τῆς τοῦ Θεοῦ βοηθείας, καρδία βουλευτικὴ, ἡ πάντα μετὰ βουλῆς ποιοῦσα· δυνατὸν δὲ καὶ ἐπὶ πάσης ἀρετῆς τὸ αὐτὸ τοῦτο εἰπεῖν· ἔστι γὰρ καὶ περὶ σωφροσύνην ναυάγιον, καὶ περὶ ἀγάπην, καὶ φιλαργυρίαν, καὶ περὶ ἕκαστον δὲ δόγμα ὁμοίως τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας συμβαίνει ναυάγιον· εἰ δὲ μετὰ κυβερνήσεως πολεμεῖν δεῖ τοῖς ἀντικειμένοις, ναυμαχίᾳ παραπλήσιος ἡμῖν ἐστιν ὁ βίος ἐπὶ τῆς γῆς· ἐὰν γὰρ θέλωμεν ἡμεῖς, ποντίζομεν αὐτοὺς ἐν προσευχῇ καρδίας, καὶ διανοίᾳ πρὸς Θεὸν τετραμμένῃ· ἐὰν δὲ μὴ θέλωμεν, ποντιζόμεθα· ἐὰν δὲ καὶ πολεμούμεθα ὑπ' ἐκείνων, εἰ καὶ πολὺς καὶ σφοδρὸς ὁ πόλεμος αὐτῶν, οὐθέν ἐστι· νηστείᾳ μόνον καὶ ἐγκρατείᾳ περιφράξωμεν ἑαυτοὺς, καὶ ὡς ἀράχνην αὐτούς τε καὶ τὰ ὅπλα αὐτῶν συγκόψομεν· ἐὰν δὲ κατὰ τὴν τοῦ κυρίου φωνὴν *, ὅπου εἰσὶ δύο ἢ τρεῖς, ἡ καρδία, ὁ νοῦς, καὶ ἡ ψυχὴ, συμφωνήσουσι δὲ ἐν ἐντολαῖς αὐτοῦ περιέχεσθαι, ὁ κύριος μεθ' ἡμῶν.

* Matth. XVIII. 20.

v. 7. cod. f. 101. b. Πάντα γὰρ ὅσα πράττει ὁ Θεὸς νοοῦντες, καὶ ὅσα διδάσκει πράττοντες, κατ' οὐδὲν παραβαίνουσι τὸν λόγον αὐτοῦ· πύλαι δὲ σοφῶν αἱ πρακτικαὶ εἰσὶν ἀρεταὶ, καὶ ἡ τοῦ νοῦ θεωρία, δι' ὧν εἰσέρχεται σοφία Θεοῦ· οὐκ ἐκκλίνουσι δὲ, οὔτε δεξιὰ οὔτε ἀριστερὰ, ὅτι λογίζονται ἐν συνεδρίοις εἶναι καλοῦ καὶ κακοῦ· καὶ τοῦ μὲν καλοῦ, ἀντιποιοῦνται, τὸ δὲ κακὸν προσακοντοῦσιν.

v. 8. Τοῖς μὴ θέλουσιν ὑπὸ τὴν τοῦ Θεοῦ σοφίαν καὶ γνῶσιν παιδευθῆναι, διὰ τοῦ ἐνεστῶτος θανάτου συναντᾷ ὁ αἰώνιος· ἄφρων δέ ἐστιν ὁ γλυκανθεὶς μὲν ἐν σοφίᾳ Θεοῦ, εἶτα καταλιπὼν αὐτὴν, τῇ δὲ ἀφροσύνῃ συνάξει· διὸ καὶ συναπέθανεν ταῖς ἁμαρτίαις· εἰ δὲ ἀρετὴν ἡ κακία μειοῖ, καὶ τὴν κακίαν δηλονότι ἡ ἀρετὴ διαφθείρει· τοῦτο δὲ γενήσεται ἐν τῷ μέλλοντι αἰῶνι, ἕως

Sapientiae domus cum divina sapientia aedificatur; et cum intellectu timoris Dei atque eius agnitione erigitur.

Qui fidei vel cuiuslibet virtutis naufragium patitur, sine duce pugnat cum adversariis potestatibus, id est sine theologia et virtutibus: qui vero sub regimine pugnat, videtur mentem in hoc mundo habere. Praeit autem divino auxilio cor deliberans, quod nihil sine consilio agit. Idque adeo de qualibet virtute dici potest. Est etiam circa temperantiam naufragium, et circa caritatem, et propter pecuniae amorem, et circa singula pariter dogmata catholicae et apostolicae ecclesiae contingit naufragium. Si ergo non sine regimine pugnare oportet cum adversariis, vita nostra in terra pugnae navali similis est. Nam si nos noluerimus, demergemus adversarios oratione cordis, et mente ad Deum conversa. Si vero noluerimus, nos utique demergemur. Et si ab illis oppugnemur, quantumlibet diuturna acrisque pugna sit, nihil interest. Ieiunio tantum et oratione nosmet communiamus, et tamquam aranei telam ipsos et eorum arma concidemus. Quod si secundum Domini dictum, alicubi sint duo vel tres, cor nimirum, mens, et anima, si modo consenserint intra illius praeceptorum fines consistere, Dominus nobiscum est.

Qui cuncta quae Deus facit cogitant, et quae docet faciunt, nullatenus doctrinam eius transgrediuntur. Portae vero sapientium sunt practicae virtutes, et mentis contemplatio, per quas ingreditur sapientia Dei. Haud porro declinant sive dextrorsum sive sinistrorsum, quia se reputant velut in tribunalibus versari, ubi de recto et pravo contenditur. Et rectum quidem tuentur, pravum autem repellunt.

Iis qui nolunt sub Dei sapientia scientiaque erudiri, per ingruentem mortem obviam fit aeternus Deus. Excors est, qui gustata sapientia Dei, deinde hac omissa, stultitiae adhaeret: quare et in peccatis moritur. Quod si virtutem nequitia deminuit, profecto nequitiam quoque vice versa virtus dissipat. Hoc autem fiet in futuro saeculo, quo nequitiae

finis imponetur. Namque inquinabitur dixit pro dissipabitur. Dissipatur vero immunditia vel practica virtute, vel acerba punitione.

Utendum est hoc dicto adversus eos, qui sunt adepti divinae scientiae beneficium, quominus susceptam doctrinam negligant, quoniam multi a malitia in mortem pertracti fuerunt. At illos qui insontes ad necem ducuntur, ne renuas proprio sanguine redimere: redime saltem data pecunia, vel utili verborum patrocinio. Quod si dixeris: non novi hunc, arguêris mendacii; erisque dupliciter reus et de falso et de homicidio. Nam qui fecit spiritum, is novit singula quae singulis dedit, pro cuiusque qualitate, bonum bono, malo mala. Nam quod non secundum quantitatem cuiusque det, patet: non enim sunt condignae passiones huius temporis ad futuram gloriam. Quod si quis secundum quantitatem intelligere malit, pro portione virium cuiusque retributionem fieri existimet: sicut etiam Spiritus charismata pro fidei rata parte dantur.

Mel comedit, qui a divinis scripturis iuvatur. Qui autem ab ipsis extundit factis doctrinas, unde hauserunt sancti prophetae et apostoli, agendi et docendi rationem, hic favum comedit. Et mel quidem comedere cuique volenti prostat; sed favum, nonnisi mundus homo potest. Vel mel dicendum est allegoriam esse; favum autem, eam quam dicimus speculationem et indagationem, quae habent abstrusiorem sensum et profundiorem: inest enim favo mel. Guttur dicit alimentariam animae facultatem, vi cuius cibi in ventrem mittuntur. Si ergo haec recte constitueris, et quae ad mentem pertinent et quae ad indagationem, erunt tibi ex sapientiae sensu sapientia ipsa dogmata. Nam si inveneris spiritalem scripturae sensum, bona tibi continget mors, ut dicas: pretiosa in conspectu Domini mors sanctorum eius. Nec vero de futuris spem abicies.

Ne praeferas diabolum iustitiae Dei, qua sancti pascuntur. Neque ludificeris, ut stultis mortiferisque doctrinis cor tuum, quod ventris instar est, satures.—Ne voluptatis causa Deum prodideris: hic enim iustos pascit, neque te derelinquet.

Avertit Deus iram suam ab eo qui cadit, misertus eius: irascitur autem ei qui extollitur ob lapsum inimici sui. Quisquis enim de

ἂν ἐκλίπῃ ἡ κακία· τὸ γὰρ ἐμμολυνθήσεται, ἀντὶ v. 9.
τοῦ διαφθαρήσεται· διαφθείρεται δὲ ἡ ἀκαθαρσία,
ἤτοι ὑπὸ πρακτικῆς, ἢ ὑπὸ δριμείας κολάσεως.

Χρηστέον τούτῳ τῷ ῥητῷ πρὸς τοὺς κατα- v. 11. cod. f. 102. a.
ξιωθέντας θείας γνώσεως, ἵνα μὴ ἀμελῶσι τῆς
διδασκαλίας, πολλῶν ἀπαγομένων ὑπὸ τῆς κα-
κίας εἰς θάνατον· τοὺς δὲ κτεινομένους ἐξ ἀκα-
κίας εἰς θάνατον, μὴ φείσῃ πρίασθαι τῷ ἰδίῳ
αἵματι· ἐκπριοῦ δὲ, διδοὺς χρήματα ἢ λόγον
ὠφέλιμον· ἐὰν δὲ εἴπῃς οὐκ οἶδα τοῦτον, ἐλέγ-
ξει σε ψευδόμενον, καὶ ἔσῃ ἔνοχος δυσὶν,
ἤγουν ψεύδει καὶ φόνῳ· ὁ γὰρ πλάσας πνοὴν,
αὐτὸς οἶδε πάντα ὅσα ἀποδίδωσιν ἑκάστῳ κα-
τὰ τὸ ποιόν· ἀγαθὸν ἀγαθῷ, καὶ πονηρῷ πο-
νηρά· ὅτι γὰρ οὐ κατὰ τὸ ποσὸν, δῆλον· οὐ
γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς
τὴν μέλλουσαν δόξαν*· εἰ δὲ καὶ ἐπὶ ποσοῦ τίς * Rom. VIII. 18.
ἐκλαβεῖν ἐθέλοι, κατ᾽ ἀναλογίαν τῆς ἑκάστου
δυνάμεως τὴν ἀνταπόδοσιν οἰέσθω· ὡς καὶ τὰ
τοῦ πνεύματος χαρίσματα κατ᾽ ἀναλογίαν τῆς
πίστεως δίδοται.

Ἐσθίει μέλι ὁ ἀπὸ τῶν θείων γραφῶν ὠφε- v. 13. cod. f. 102. b.
λούμενος· ὁ δὲ ἀπ᾽ αὐτῶν ἐκβάλλων τῶν πραγ-
μάτων τοὺς λόγους, ἀφ᾽ ὧν εἰλήφασιν ἅγιοι προ-
φῆται καὶ οἱ ἀπόστολοι, ἐν τῷ ποιεῖν τὲ καὶ δι-
δάσκειν, τρώγει κηρίον· καὶ τὸ μὲν μέλι φαγεῖν,
τοῦ βουλομένου παντός· τὸ δὲ κηρίον, μόνου τοῦ
καθαροῦ· ἢ καὶ μέλι ῥητέον τὴν ἀλληγορίαν· κη-
ρίον δὲ, τὴν ῥητὴν ἐπίσκεψιν καὶ ἱστορίαν,
πρὸς τὸ ἔχειν τὸν ἀποκεκρυμμένον νοῦν καὶ βα-
θύτερον· ἔνεστι γὰρ τῷ κηρίῳ μέλι· φάρυγγα δὲ
τὴν θρεπτικὴν τῆς ψυχῆς δύναμιν δι᾽ ἧς αἱ τρο-
φαὶ παραπέμπονται εἰς τὴν κοιλίαν· ἐὰν οὖν ταῦ-
τα κατορθώσῃς, τά τε κατὰ διάνοιαν, καὶ τὰ
καθ᾽ ἱστορίαν, ἔσονταί σοι αἰσθήσει τῆς σοφίας
αὐτὰ τὰ σοφὰ δόγματα· ἐὰν γὰρ εὕρῃς τὸν πνευ-
ματικὸν τῆς γραφῆς νοῦν, ἔσται καλὴ ἡ τελευ-
τή σου, ὡς λεχθῆναι· τίμιος ἐναντίον κυρίου ὁ
θάνατος τῶν ὁσίων αὐτοῦ*· οὐκ ἀποβαλεῖς δὲ τὴν * Ps. CXV. 15.
εἰς τὸ μέλλον ἐλπίδα.

Μὴ προτιμήσῃς τὸν διάβολον τῆς τοῦ θεοῦ v. 15.
δικαιοσύνης, ἣν οἱ δίκαιοι νομεύονται· μηδὲ ἀπα-
τηθῇς μωρολογίαις θανατηφόροις χορτάσαι σου
τὴν καρδίαν σου, ὅ ἐστι κοιλία.—Μὴ ἕνεκεν
ἡδονῆς προδῷς τὸν θεόν· οὗτος γὰρ νομὴ δικαίου,
καὶ οὐ μὴ ἐγκαταλείψῃ σε·

Ἀποστρέφει μὲν ὁ θεὸς τὸν θυμὸν αὐτοῦ ἀπὸ v. 18. cod. f. 103. a.
τοῦ πεσόντος, ἐλεήσας αὐτόν· ὀργίζεται δὲ τῷ
ἐπαρθέντι ἐπὶ τῷ πτώματι τοῦ ἐχθροῦ αὐτοῦ·

πᾶς γὰρ ὁ ἐπιχαίρων ἐπὶ ἀπολλυμένῃ ψυχῇ, ὅμοιός
ἐςι τῷ διαβόλῳ τῷ μὴ θέλοντι πάντας ἀνθρώπους
σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· καὶ γὰρ
* Matth. V. 44. ὁ κύριος ἐν τοῖς εὐαγγελίοις* νενομοθέτηκεν εὔχεσθαι
ὑπὲρ τῶν ἐχθρῶν ἡμῶν, ἤγουν τῶν ἀνθρώπων.

Ἡ μάχαιρα 1) δὲ τοῦ πνεύματος, ἥ ἐςι ῥῆμα
cod. f. 104. a. θεοῦ, οὐ σαρκίνη, ἀντὶ τοῦ οὐκ αἰσθητή· ὃς
δ' ἂν παραδοθῇ πταίσας αὐτῷ, συντριβήσεται
ὀστᾶ ὑπὸ ὑπέρου τυπτόμενα· καὶ ἀφανισθήσεται
ὀστᾶ ὑπὸ πυρὸς καυσούμενα· ἢ ὃς δ' ἂν παρα-
δοθῇ αὐτῷ εἰς μετάνοιαν, συντριβήσεται τῷ λόγῳ
τῆς σοφίας αὐτοῦ ὡς σῖτος, εἰς τὸ γενέσθαι αὐ-
τὸν ἡδὺν ἄρτον.—Τοὺς φθειρομένους καὶ παλαι-
ωθέντας ἀνθρώπους κατὰ τὰς ἐπιθυμίας τῆς
ἀπάτης, ἀναλίσκει ἡ μάχαιρα τοῦ θεοῦ εἰς ἀφα-
νισμὸν παντελῆ. Ἢ τοὺς ἐκ κακίας εἰς θεογνωσίαν
ἐλθόντας ἀνθρώπους, σὺν νεύροις ἀναλίσκει ἐκ
τῶν πράξεων τῶν πονηρῶν· ἵνα ἀποθέμενοι τὸν
παλαιὸν ἄνθρωπον, ἐνδύσωνται τὸν νέον τὸν κα-
τὰ θεὸν κτισθέντα, ὃς καὶ ἄβρωτος ἐςὶ δαίμο-
σιν ὑπὸ τοῦ κυρίου καθαρισθεὶς καὶ ἀπεχόμενος
πάσης κακίας· ἐπάγει γὰρ, ὥςε ἄβρωτα εἶναι
νεοσσοῖς ἀετῶν· ἢ καὶ ὅτι συγκαέντα καὶ τεφρω-
θέντα λοιπὸν ἄβρωτα γίνεται τοῖς ἀετοῖς· περι-
cod. f. 104. b. πέφρασθαι γὰρ τοὺς ἐμοὺς λόγους κ. τ. λ.—Τίς
συνήγαγεν ἀνέμους ἐν κόλπῳ; Τὸν ταχύτερον ἀνέ-
μου νοῦν ἡ πίςις συνήγαγεν ἀπὸ ἀνατολῶν καὶ
δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης ἐν τῇ γνώσει
τοῦ θεοῦ, καὶ δέδωκεν αὐτοῖς θεωρίαν πνευμα-
τικὴν ἐναποθεῖναι ταῖς ἀρεταῖς· ἡ γὰρ γνῶσις ἡ
τοῦ θεοῦ, κόλπος τοῦ θεοῦ ἐςιν, ἐν ᾧ ἐγκολπί-
ζεται καὶ περικρατεῖ πάντας τοὺς θεόφρονας, ὥσπερ
cod. f. 105. a. τις χρυσὸν ἐν κόλπῳ.—Ὁ ἀπὸ ἀνατολῶν καὶ δυ-
σμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης συναγαγὼν πάντα
τὰ γηγενῆ ἔθνη, καὶ πυκνώσας αὐτὰ ταῖς ἀρε-
ταῖς ἐν τῇ εἰς αὐτὸν πίστει, Χριστὸς ὁ θεὸς,
καὶ τὸ ἐπουράνιον ὕδωρ ἐναποθέμενος· τὸ ῥέον ἐκ
τῆς πηγῆς τῆς ζωῆς, τουτέςι τὴν γνῶσιν καὶ τὴν
* Ioh. IV. 14. σοφίαν, καθὼς αὐτὸς ὁ Χριςὸς φησὶν*· ὁ πίνων
ἐκ τοῦ ὕδατος τούτου, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα·
* Ioh. VII. 38. καὶ ὁ* πιςεύων εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς
cod. f. 106. a. κοιλίας αὐτοῦ ὕδατος ζῶντος.—Οὗτος κλέπτει
γνῶσιν, οὐχ ὁ τοῦ προλαβόντος λαμβάνων, ἀλλ'
ὁ ἐκ τῆς ψευδωνύμου ὑφαιρούμενος γνώσεως. καὶ
γὰρ πάντες οἱ πεπιστευκότες Χριστῷ, ἀπὸ τῶν
ἁγίων προφητῶν καὶ ἀποςόλων λαμβάνοντες θεω-
ρήματα, οὐ λέγονται κλέπται ἀλλοτρίων θεωρη-

pereunte anima gaudet, similis diabolo est, qui non vult omnes homines salvos fieri, neque ad agnitionem veritatis venire. Nam et Dominus in evangeliis mandavit, ut oremus pro inimicis nostris, utpote hominibus.

Gladius spiritûs, quod est verbum Dei, non carnalis, id est non materialis. Qui victus ei tradetur, conterentur eius ossa pistillo contusa, et igne combusta evanescent. Vel, qui tradetur ei ad paenitentiam, conteretur verbo sapientiae illius quasi triticum, ut dulcis ex eo panis fiat.—Corruptos et veterascentes in desideriis erroris homines consumit Dei gladius exitio internecivo. Vel, venientes ex iniquitate ad Dei agnitionem homines, usque ad nervos consumendo purgat pravis actibus; ut deponentes veterem hominem, induant novum creatum secundum Deum: qui quidem non erit esca daemonibus, utpote a Domino purgatus, et omni nequitia alienus. Addit enim, ita ut aquilinorum pullorum esui non sit aptus. Vel quia combustus et in cinerem redactus, iam non sit aquilis comedendus. Periphrasi enim dilatavit sermonem.—Quis congregavit in sinu ventos? Velociorem vento mentem fides congregavit ex oriente et occasu, ex aquilone ac mari, ad Dei agnitionem, deditque eis spiritalem theoriam collocare in virtutibus. Nam Dei agnitio, sinus Dei est, in quo insinuat continetque omnes homines; velut aliquis aurum in sinu gestat.—Qui ab oriente et occasu, ab aquilone et mari congregavit terrigenas gentes, et virtutibus densavit in fide erga ipsum, hic Christus Deus est, qui et caelestem aquam apposuit, de vitae fonte manantem, id est scientiam atque sapientiam, sicut ipse Christus ait: qui bibit ex hac aqua, non sitiet in aeternum. Et, qui credunt in me, flumina fluent de ventre eius aquae viventis.—Furatur scientiam, non qui a praecedente accipit, sed qui a pseudonyma scientia sibi sumit. Ecce enim omnes qui Christo crediderunt, a sanctis prophetis et ab apostolis doctrinas quum acceperint, non idcirco fures dicuntur alienarum doctrinarum. Furatur aliquis alienas doctrinas, ut famelicam mentem expleat. Verum-

1) Sequuntur perturbati, ut in editionibus bibliorum, versiculi et capitula. Hac autem super re consule sis celebriora biblia, romana in primis, tum etiam Breitingeri, Bossii, Iageri etc. cum editorum observationibus. Neque enim heic spartam hanc adornare vacat.

tamen hoc ante Servatoris adventum fiebat. Nunc vero Paulus dicit: qui furabatur, iam non furetur, sed operetur potius iustitiam, ut adeptus scientiam, communicet etiam necessitatem habenti. Quid enim est, quod nostrum non sit, ut furari opus sit nobis qui in Christo credidimus? Omnia enim nostra sunt, nos autem Christi, per quem omnia sunt facta. Christus autem, Dei est.—Mentem a nequitia profugam, ne denuo nequitiae tradas: siquidem omnis qui facit peccatum, servus est peccati. Peccatum vero nunc appellatur, is qui peccatum operatur diabolus.—Filius malus etc. Blasphemia menti, quae ipsam depromit, maledicit; et mentis matri, id est animae, non benedicit.—Vana gloria possessum a se subvertit ludificatque, ut iustum semet existimet, neque mala sua consideret, sed saepe se solum bene agere existimet.—Superbia eum, cui inest, facit ut amicos inopes despiciat, parentes ut molesta edulia abigat, iustos et pios abominetur, subditos suos subvertat, et ipse semet superaltet. Ira omnem, quem ipsa corripuit, nihil aliud quam alios adfligere et castigare cogit: obtrectandi quoque et conviciandi calumniandique nullum finem facit.

Qui hominem praxi et theoria male meditantem, et mentem suam in opus conferentem, admiratur, maledictus erit ab angelorum populis, et iis qui ex ethnicis ad salutem accesserunt invisus, quando omnes unus grex fient et unus pastor. Qui autem vituperant et in medium deferunt per confessionem actus suos, et melioris iam mentis deliberationes, excelsi videbuntur Domino, et prae omnibus commendati. Supervenietque ipsis in praesenti quidem saeculo bona benedictio actuum atque laborum, et intellectualis theoria sapientiae: in futuro autem, a Domino praemium.

Qui ambulat post Dei mandata, instauratur ad iustitiam et sanctificationem. Etenim cum sapientia aedificatur domus, quae ex anima et corpore constat, ad Dei habitaculum. In malitiosam autem animam non introibit sapientia.

Tum spinae tum pecora pessumdant agrum nisi illas aliquis purget, haec vero custodiat. Ita et in homine bardo accidit: nequitia extimulat eum ad illa ambienda quibus regnum obtinetur.

Sepes est tranquillitas animae rationalis ex

1) Adhuc laudatur ab Origene peccatorum confessio.

μάτων· κλέπτει γάρ τις ἀλλότρια θεωρήματα, ἵνα νοῦν ἐμπλήσῃ πεινῶντα· ἀλλὰ τοῦτο μὲν πρὸ τῆς ἐπιδημίας τοῦ σωτῆρος ἐγένετο· νυνὶ δὲ Παῦλος φησίν *· ὁ κλέπτων, μηκέτι κλεπτέτω, μᾶλλον δὲ ἐργαζέσθω δικαιοσύνην, ἵνα γνῶσιν κτησάμενος, μεταδῷ καὶ τῷ χρείαν ἔχοντι· τί γὰρ καὶ ἔςιν, ὃ μὴ ἔςιν ἡμέτερον, ἵνα κλέψωμεν οἱ πεπιςευκότες Χριςῷ; πάντα γὰρ ἡμῶν ἔςιν· ἡμεῖς δὲ Χριςοῦ, δι' οὗ τὰ πάντα ἐγένετο· Χριςὸς δὲ, θεοῦ·—Φυγόντα νοῦν τὴν κακίαν, μὴ πάλιν παραδῷς τῇ κακίᾳ· εἴπερ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλος ἐςὶ τῆς ἁμαρτίας· ἁμαρτία δὲ νῦν ὀνομάζεται ὁ ἐνεργῶν τὴν ἁμαρτίαν διάβολος·—Ἔκγονον κακὸν κ. τ. λ. Ἡ βλασφημία τὸν αὐτὴν ἐκφέροντα νοῦν καταρᾶται· τὴν δὲ τούτου μητέρα, ἤγουν τὴν ψυχὴν, οὐκ εὐλογεῖ.—Ἡ κενοδοξία τὸν αὐτὴν ἔχοντα ὑποβάλλει καὶ χλευάζει, δίκαιον ἑαυτὸν λογίζεσθαι, μὴ ἐννοῶν τὰ κακά· ἀλλὰ πολλάκις μόνον καλὰ ποιεῖν.—Ἡ ὑπερηφανία τὸν κεκτημένον αὐτὴν ποιεῖ παρορᾷν φίλους πτωχοὺς, γονεῖς ὡσαύτως βρώματα οἰκτρὰ ἀποσείεσθαι τοὺς δικαίους καὶ εὐσεβεῖς βδελύττεσθαι, τοὺς ὑπὸ χεῖρα ὑποσκελίσαι, καὶ αὐτὸς ὑπεραναβῆναι.—Ὁ θυμὸς πάντα τὸν ἔχοντα αὐτὸν, οὐδὲν ἄλλο, ἢ ὅτι κακοποιεῖν καὶ ποιναλίζειν βιάζεται, καταλαλεῖν τὲ καὶ ὑβρίζειν, καὶ συκοφαντεῖν οὐ παύεται·

* Ephes. IV. 28.
cod. f. 106. b.

Ὁ τὸν πράξει καὶ θεωρίᾳ κακῶς ἐννοοῦντα, καὶ τελεσιουργοῦντα νοῦν ἑαυτοῦ, ἢ ἄλλον τινὰ τῶν ἀνθρώπων ἐφορώμενος, ἐπικατάρατος ἔςαι παρὰ τοῖς τῶν ἀγγέλων λαοῖς, καὶ παρὰ τοῖς τῶν ἐξ ἐθνῶν σεσωσμένοις μισητὸς, ὅταν πάντες μία ποίμνη γενήσεται καὶ εἷς ποιμήν· οἱ δὲ ἐλέγχοντες καὶ φρατριοῦντες δι' ἐξαγορεύσεως τὰς ἑαυτῶν πράξεις 1), καὶ τὰς τοῦ βελτίονος νοῦ ἐνθυμήσεις, φανοῦνται ὑψηλοὶ παρὰ κυρίου, ἐπὶ πᾶσιν ἀνακηρυττόμενοι· ἐπ' αὐτοὺς δὲ ἥξει, ἐν μὲν τῷ νῦν αἰῶνι ἡ ἀγαθὴ εὐλογία τῶν πράξεων τῶν ἔργων, καὶ ἡ νοητὴ τῆς σοφίας θεωρία· ἐν δὲ τῷ μέλλοντι, ἡ παρὰ τοῦ κυρίου διανομή. v. 24. cap. 30. cod. f. 107. a.

Ὁ πορευόμενος ὄπισθεν τῶν τοῦ θεοῦ προσταγμάτων, ἀνοικοδομεῖται εἰς δικαιοσύνην καὶ ἁγιασμόν· μετὰ γὰρ σοφίας οἰκοδομεῖται οἶκος, ὁ ἐν ψυχῇ καὶ σώματι εἰς κατοίκησιν θεοῦ· εἰς δὲ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία. v. 27. cod. f. 107. b.

Εἴ τε γὰρ ἄκανθαι, εἴ τε κτήνη, ἀπόλλυσιν αὐτὸ, ἐὰν μὴ εἴη ὁ περικαθαίρων καὶ φυλάττων· ὡσαύτως καὶ ἄφρων· ἡ κακία ἐςὶν ὁ νύσσων αὐτὸν, εἰς τὰ τὴν βασιλείαν προξενοῦντα. v. 30.

Φραγμός ἐςιν ἀπάθεια ψυχῆς λογικῆς, ἐκ τῶν

πρακτικῶν ἀρετῶν συνεστῶσα· κατασκάπτεται δὲ καὶ ἀφανίζεται τῇ τοῦ ἄφρονος προαιρέσει.

virtutum exercitio proveniens. Haec vero evertitur et extinguitur a stulti hominis arbitrio.

(C A P. XXX. vulg. lat.)

v. 15. cod. f. 109. b. Ἡ φθορὰ ταῦτα ἀγαπᾷ τὰ πράγματα, ᾅδην, ἔρωτα, καὶ γυναῖκα πορνικήν· οὐδὲ γὰρ ταῦτα πέρας οὐδὲ κόρον ἔχει· τρία δέ ἐστιν ἃ καὶ πλησθήσεται· καὶ ἡ τετάρτη, οὐκ ἠρκέσθη εἰπεῖν ἱκανόν· ᾅδης, καὶ ἔρως γυναικός, καὶ γῆ οὐκ ἐμπιμπλαμένη ὕδατος· καὶ ὕδωρ, καὶ πῦρ, οὐκ εἶπον ἀρκεῖ· ἀεὶ τὰ σπέρματα δέχεται, οἷα ἐὰν καταβάλῃς, ἐφίεται· οὕτω καὶ ὁ θάνατος καὶ τὸ πῦρ, ἐφ' οἷσπερ ἐφίεται, διαφθείρει· τοιοῦτόν τι καὶ ἡ πενία· ἀναλωτικὰ ταῦτα τὰ πράγματα· τοιοῦτόν τι καὶ ὁ ὄκνος καὶ ἡ ἀργία· ἐπειδὴ γὰρ θαυμάζει ἴσως τίς, διὰ τί κόρον οὐκ ἔχει ὁ ᾅδης, καίτοι δαπανῶν τὸν ἄνθρωπον, διὰ τοῦτο φησὶν οὐδὲ ταῦτα κόρον ἔχει, οὐδὲ ἵστανταί που· ὅρα δὲ τίνα παρέβαλε τὴν πορνείαν τῷ ᾅδῃ.

*III. Reg. XVII. 6. Οὗτοι οἱ κόρακες, τοὺς μὲν δικαίους τρέφουσι *
v. 17. cod. f. 110. a. μυστικῶς, τοὺς δὲ ἀδίκους κολάζουσι, τοὺς τῆς ἀδικίας ὀφθαλμοὺς ἐξορύττοντες· διότι τοῦ πάντων πατρὸς καὶ θεοῦ κατεγέλασαν, καὶ τὴν γεννῶσαν αὐτοὺς ἀρχαίαν γνῶσιν ἠτίμασαν· ὀφθαλμὸς δὲ τοῦ πατρός ἐστιν, ὁ ἐν δικαιοσύνῃ δεδομένος ἡμῖν παρ' αὐτοῦ νόμος· καὶ τοὺς μὲν ἐξορύσσοντας τοὺς ὀφθαλμοὺς τοῦ ἀσεβοῦς, κόρακας εἶπεν· τοὺς δὲ ὅλον αὐτὸν κατεσθίοντας, ὠνόμασεν ἀετούς, διὰ τὸ τοὺς μὲν τὴν μερικήν, τοὺς δὲ τὴν καθόλου κάθαρσιν πεπιστεῦσθαι· θέλει γὰρ ὁ θεὸς καὶ τοὺς ἀσεβεῖς σώζεσθαι.

Ὁ ἀλέκτωρ τὸ ὄρνεον παρ' ἡμῖν ἄλεκτα λέ-
v. 31. cod. f. 115. b. γεται· παρὰ δὲ ταῖς συνούσαις αὐτῷ θηλείαις γνωριστά· παρέπονται δὲ αὐτῷ αἱ τῶν ὀρνίθων ἀγέλαι, διὰ τὸ πάσας ἴσως περινοστεῖν τῇ περὶ αὐτὸν ἡδονῇ· εὔψυχος δέ ἐστι πάσαις αὐτὸς εἰς ἀγάπην· οὕτως τῷ πάντων θεῷ αἱ τῶν ἀγγέλων τάξεις οὐ μόνον φόβῳ ἀλλὰ καὶ ἀγά-
* Cod. ὑπείκει. πῃ ὑπείκουσιν *, ὅτε θέλει αὐτὸς νοεῖν αὐτὰς τὸ πρόσταγμα αὐτοῦ καὶ ποιεῖν· ὡσαύτως δὲ καὶ περὶ ταῖς τῶν δικαίων ψυχαῖς πέφυκεν· ὅσαι γὰρ ὑπόκεινται τῷ προστάγματι αὐτοῦ, οὐ μόνον τὰ ἐν ταῖς γραφαῖς ἐναποκείμενα μυστήρια καὶ βάθη εὐδοκεῖ γινώσκειν, ἀλλὰ καὶ

Corruptio res huiusmodi adamat: infernum, amorem, mulierem fornicariam: haec enim nullum habent finem aut satietatem. Tria tamen sunt quae aliquando satiantur; attamen quartum, numquam se contentum dicere valet. Infernus, et amor mulieris, et terra numquam aquis saturata, et aqua, et ignis, numquam dicunt sufficit. Semper terra semina recipit; quantalibet inieceris, adhuc desiderat. Sic etiam mors et ignis quotquot corripuerint corrumpunt. Ita etiam paupertas. Hae quippe res vim consumendi habent. Ita se habent etiam pigritia et otium. Nam quia fortasse aliquis miratur, cur insatiabilis sit infernus, quamquam hominem consumat, idcirco ait, ne haec quidem satietatem habere, neque consistere. Videsis autem quomodo comparaverit scortationem inferno.

Corvi hi iustos alunt mystice, et iniustos puniunt, nequitiae oculos effodientes, quia patrem universalem ac Deum irriserunt, et ipsorum genitricem antiquam scientiam aspernati sunt. Oculus vero patris est, data nobis ab eo cum iustitia lex. Et eos quidem qui impii oculos effodiunt, dixit corvos: qui vero totum hominem vorant, aquilas vocavit: ideo scilicet, quia aliis partem, aliis omnimodam purgationem commisit. Vult enim Deus etiam impios salvari.

Gallus (ἀλέκτωρ) avis a nobis (Alexandrinis) ἄλεκτα 1) dicitur; si vero referatur ad coëuntes cum illo feminas, γνωριστά (cognitor.) Sequuntur hunc altilium greges, quia omnes ambiunt capere ex eo voluptatem, qui alacri erga omnes amore est. Sic universali Deo angelorum ordines non metu tantum sed ex amore etiam obsequuntur, cum ab eis ipse cognosci vult mandata sua et operi compleri. Sic etiam circa iustorum animas fieri comparatum est. Nam quotquot mandatis eius obtemperant, non modo quae in scripturis proposita sunt mysteria et res abstrusae, placet ei ut cogno-

1) Adnotandus est hic locus grammaticis, praesertim cum Sturzius de dialect. alex p. 134. seq. primi casus nonnisi terminationem ᾶς memoret eius dialecti. Et quidem nos de hac re locuti sumus olim in adn. ad Ciceronis pro rege alexandrino fragmenta, quae edidimus, quem regem priscus interpres pro *Alexandro* dicit *Alexam*.

scant, sed quaecumque etiam in mundo fieri solent hominibus, vel ab hominibus ipsis vel a daemonibus, vel mentis illuminatione per divini Spiritus gratiam, horum inquam praevisionem iis impertitur, vel per angelorum monitionem, vel per visionis alicuius revelationem.

ὅσα ἐν τῷ βίῳ πέφυκε γίνεσθαι τοῖς ἀνθρώποις, παρὰ ἀνθρώπων τὲ καὶ δαιμόνων, ἢ δι' ὁράσεως νοὸς, χάριτι θείου πνεύματος παρέχει πρόγνωσιν, ἢ δι' ἀγγέλου μύησιν, ἢ δι' ὁράματος ἀποκάλυψιν.

(C A P. XXXI. vulg. lat.)

Dynastas heic dicit iustos homines, qui adversus daemones et cupiditates viribus pollent, quas vocabulo iracundiae denotavit. Ne bibant, inquit, ex eo quod mentem ebriat, et cerebrum turbat, acido vino haereticorum, quod Dei sapientiae et agnitioni contrarium est: ne forte eo epoto, obliviscantur sapientiae Dei; et recte diiudicare atque intelligere scientiae theoriam haud valentes, deinceps iam non possint suae et aliorum infirmiorum animabus prodesse.

Iis qui peccatis anguntur et desperatione, date de vinea Domini bibere ad ebrietatem, id est ieiunium, orationem, continentiam, confessionem, et quaecumque animam exhilarant. At iis qui sunt in principatibus, date peccati dolores bibere ad satietatem, ut his epotis obliviscantur diabolicae inopiae. Nam qui ebrius est agnitione Domini, obliviscitur dolorum praxim.

Inopem dicit hominem scientia carentem; infirmum, peccatis inquinatum.

Δυνάστας ἐνταῦθα τοὺς δικαίους φησὶν, οἵ- v. 4. cod. f. 117. b.
τινες κατὰ τῶν δαιμόνων καὶ τῶν παθῶν τὴν δύναμιν ἔχοντες, ἥν τινα θυμὸν ἐκάλεσε· μὴ πινέτωσαν ἐκ τοῦ τὸν νοῦν μεθύσκοντος, καὶ τὰς φρένας θολοῦντος ὀξώδους οἴνου τῶν αἱρετικῶν, τοῦ κατὰ τῆς τοῦ θεοῦ σοφίας γνώσεως τί ἔχοντος· ἵνα μὴ πιόντες, ἐπιλάθωνται τῆς τοῦ θεοῦ σοφίας, καὶ ὀρθὰ κρίνειν καὶ νοεῖν τὴν θεωρίαν τῆς γνώσεως, οὐκέτι οὐ μὴ δύνανται ἑαυτούς τὲ καὶ τοὺς ἀσθενεστέρους ὠφελεῖν κατὰ ψυχήν.

Τοῖς ἐν ἁμαρτίαις ὀδυνωμένοις καὶ ἀπογνώσει, v. 6. cod. f. 118. a.
δότε ἐκ τοῦ ἀμπελῶνος τοῦ κυρίου πιεῖν εἰς μέθην, τουτέστιν νηστείαν, προσευχὴν, ἐγκράτειαν, ἐξομολόγησιν, καὶ πάντα ὅσα εἰς εὐφροσύνην ψυχῆς· τοῖς δὲ ἐν ἀρχαῖς, ὀδύνας τῆς ἁμαρτίας πιεῖν εἰς κόρον, ἵνα πιόντες ἐπιλάθωνται τῆς δαιμονιώδους πενίας· ὁ γὰρ μεθυσθεὶς ἀπὸ τῆς γνώσεως τοῦ κυρίου, ἐπιλανθάνεται τὴν πρᾶξιν τῶν ὀδυνῶν.

Πένητα λέγει τὸν ἐστερημένον τῆς γνώσεως, v. 9. cod. f. 118. b.
ἀσθενῆ δὲ τὸν ἀκάθαρτον ταῖς ἁμαρτίαις.

C A P. XXV.

Qui spiritali verbo veterem hominem occidit, corruptum illum scilicet secundum erroris cupiditates, restaurat ad iustitiam mentem eius, quae dicitur thronus esse Dei: nusquam enim solet alibi sedere sapientia et scientia atque iustitia, nisi in rationali natura. Haec autem omnia Christus est.

Qualis es, talis appareas, neque te iactes, sed coram sapientibus sile, et inter seniores esto auscultator. Ne dicas: super astra ponam thronum meum, et ero similis Altissimo. Ne affectes primam cathedram, sed extremum locum specta. Melius est enim ut tibi dicatur: ascende ad me, quam ut in postremum locum reiiciaris cum ignominia in conspectu dynastae. Neque te prudentem praedices, neque te

Ὁ λόγῳ πνευματικῷ τὸν παλαιὸν ἄνθρωπον v. 5. cod. f. 119. b.
ἀποκτέννων, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, κατορθοῖ ἐν δικαιοσύνῃ τὸν αὐτοῦ νοῦν, ὃς λέγεται θρόνος εἶναι θεοῦ· οὐδαμοῦ γὰρ πέφυκεν ἀλλαχοῦ καθέζεσθαι σοφία καὶ γνῶσις καὶ δικαιοσύνη, εἰ μὴ ἐν φύσει λογικῇ· ταῦτα δὲ πάντα ἐστὶν ὁ Χριστός.

Οἷος εἶ, τοιοῦτος φαίνου, καὶ μὴ ἀλαζονεύου, v. 6.
ἀλλ' ἐπὶ σοφῶν σίγα, καὶ ἐπὶ πρεσβυτέρων ἀκροοῦ· μὴ εἴπῃς, ἐπάνω τῶν ἄστρων θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· μὴ ἔρα τῶν πρωτείων τῆς προκαθεδρίας, ἀλλὰ τὸν ἔσχατον τόπον ἀπόβλεπε· κρεῖσσον γὰρ ῥηθῆναί σοι, ἀνάβηθι πρός με, ἢ πρὸς τὸν ἔσχατον τόπον ἀποδοθῆναί σε μετ' αἰσχύνης ἐν προσώπῳ δυνάστου· μήτε γὰρ φρόνιμον ἑαυτὸν κή-

ρυττε, μήτε δίκαιον λογίζου· κρεῖσσον γὰρ ῥη-
θῆναι περὶ σοῦ· διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύ-
ψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν
* Phil. II. 9. ὄνομα *.

v. 9. cod. f. 120. a. Ὀπίσω λέγει τὰ προγεγονότα· φίλος δὲ ἡμῶν
ἐστὶν ὁ θεὸς, ὃς διὰ τὴν πρὸς ἡμᾶς φιλίαν, ἄνθρω-
πος γέγονεν· εἴρηκεν γὰρ αὐτὸς πρὸς τοὺς μαθη-
* Ioh. XV. 15. τάς *· οὐκέτι λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους·
ἡνίκα ἄν σε ὀνειδίζῃ ὁ φίλος, ὁ Χριστὸς λέγει, διὰ
τὴν ἁμαρτίαν, ταύτης ἀπέχεσθαι, μὴ καταφρόνει,
ἀλλ' ἀναχώρει καὶ ὑπόστρεφε πρὸς τὴν πρώτην σω-
φροσύνην, τουτέστι πρὸς τὴν τοῦ θεοῦ φιλανθρωπίαν.

v. 10. Χάριν, τὰς τοῦ θεοῦ ἐντολάς φησί· φιλίαν δὲ,
τὴν πρὸς τὸν θεὸν καὶ πλησίον ἀγάπην. ὁ δὲ
ἀγαπῶν τὸν θεὸν τηρησάτω αὐτὰς ἐν ἑαυτῷ, ἵνα
μὴ ἐπονείδιστος γένηται παρ' αὐτῷ, ὅτε τὰ κατ'
ἀξίαν ἑκάστῳ ἀπονέμῃ· καὶ ὁ σωτὴρ ἐν εὐαγ-
γελίοις πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους
* Ioh. VIII. 31. φησίν *· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ,
ἀληθῶς μαθηταί μου ἐστέ· καὶ ἡ ἀλήθεια ἐλευ-
θέρωσεν ἐκ τῆς κατάρας τοῦ νόμου· εἰ οὖν ἡ
φιλία ἐλευθεροῖ, καὶ ὁ σωτὴρ ἐλευθεροῖ· Χρι-
στὸς δέ ἐστιν ἡ ἀλήθεια καὶ ἡ φιλία. ὅθεν
καὶ πάντες οἱ ἔχοντες γνῶσιν Χριστοῦ, φίλοι
ἀλλήλων εἰσίν· οὕτω καὶ ἐπὶ ταύτης μόνον τῆς
φιλίας οἱ τοῦ αὐτοῦ φίλοι, καὶ ἄλλων εἰσὶ φίλοι.

v. 11. cod. f. 120. b. Ὁ διδαχθεὶς περὶ τῶν ἀρετῶν, καὶ ταύτας
ἐνεργῶν, τὰ σαυτοῦ φυλάσσει εὐσυναλλάκτως.

Ἔμβαλε σάρδιον πολυτελὲς εἰς ἐνώτιον χρυ-
σοῦν, καὶ σοφίαν κυρίου εἰς νοῦν ἀπαθῆ καὶ εὐή-
κοον κυρίῳ.

v. 13. Ὥσπερ τὸ ἐκ χιόνος ἐκρέον ὕδωρ ἐν ἀμητῷ
κατὰ καῦμα ὠφελεῖ, καὶ ἀναψύχει καύσωνα,
οὕτως ὁ θεὸς ἐπὶ τοῖς δεχομένοις τήν τε γνῶσιν
καὶ σοφίαν, καὶ τὰ προστάγματα αὐτοῦ· καὶ
ὥσπερ χίονα τήκει καύσων, οὕτω κακίαν ψυχῆς,
δικαίου παραίνεσις·

v. 14. cod. f. 121. a. Ὥσπερ ἄνεμοι καὶ νέφη πλωτῆρσιν ἐπιφανέ-
στατοι τοῦ μὴ ναυαγῆσαι, οὕτω τοῖς ἐν σοφίᾳ
θεοῦ ἡ ψευδὴς γνῶσις, τοῦ μὴ σὺν τοῖς καυ-
χωμένοις ἐν αὐτῇ ἀπολέσθαι.

Ὥσπερ τῷ σώματι τὰ ὀστᾶ ἰσχὺς καὶ ἀσφά-
v. 15. λεια ῥώμης, οὕτω τῇ ψυχῇ αἱ ἀρεταὶ πεφύ-
κασι· συντρίβει δὲ ταῦτα τὰ ὀστᾶ μὴ παρα-
φυλασσομένη ταῖς ἁμαρτίαις· τινὲς δὲ τὴν θυ-
μώδη ψυχὴν ὠνόμασαν μαλακὴν, ἥτις συντρίβει
τὰ ἑαυτῆς πρὸς θεὸν πνευματικὰ ὀστᾶ, τὰ πε-
φυκότα λέγειν· κύριε κύριε, τίς ὅμοιός σοι *;

* Ps. XXXIV. 10. Κακοῦ ὁδὸς, ἡ κακία ἐστί· καὶ ποῦς παρα-
v. 19. cod. f. 121. b. νόμου, ἡ παρανομία ἐστίν· ἀπολεῖται δὲ ἐν ἡμέ-

iustum existimes. Melius est enim ut de te dicatur: propterea illum Deus superexaltavit, et donavit illi ei nomen quod est super omne nomen.

Retro dicit, res quae fuerunt. Amicus vero noster Deus, qui propter suam erga nos caritatem factus est homo. Ait enim ipse discipulis: iam non dico vos servos, sed amicos. Et cum te increpabit amicus, Christus inquit, ut a peccato absistas, noli contemnere; sed cede, atque ad priorem modestiam revertere, id est ad Dei benignitatem.

Gratiam dicit Dei praecepta; amicitiam vero, amorem erga Deum, et proximum. Qui vero Deum amat, observet ea apud se, ne despectissimus coram illo sit, cum unumquemque pro meritis suis remunerabitur. Et in evangeliis Salvator iis, qui sibi crediderant, Iudaeis ait: si vos in verbo meo manseritis, vere discipuli mei estis, et veritas liberavit de legis maledictione. Si ergo caritas liberat, Salvator quoque liberat: Christus autem est veritas et caritas: unde omnes qui habent Christi notitiam, amici invicem sunt. Et sancti omnes amici eius sunt: atque ita ob hanc unice caritatem, amici Dei, amici invicem sunt.

Qui edoctus fuit virtutes, easque opere exercet, res suas facile custodit.

Pone lapidem sardinum pretiosum in aurea inaure, et sapientiam Domini in mente cupiditatibus libera et obsequente Deo.

Sicut ex nive fluens aqua in messis calore prodest, et aestum refrigerat; sic est Deus erga illos qui susceperunt sapientiam atque scientiam itemque praecepta eius. Et sicut nivem liquefacit aestus, ita animae nequitiam iusti viri admonitio.

Sicut venti et nubes nautis evidenti indicio sunt, quominus naufragium incurrant; ita habentibus Dei sapientiam, falsa scientia ne cum gloriantibus in ea pereant.

Sicut corpori ossa fortitudinem roburque conferunt, ita se habent erga animam virtutes. Conterit autem ossa haec, quae peccata non praecavet anima. Nonnulli partem animae iracundam, mollem appellaverunt, quae sua frangit erga Deum spiritalia ossa, quae dicere deberent: Domine, Domine, quis similis tibi?

Hominis nequam via, nequitia est: et pes improbi, improbitas est. Peribit autem in die

iudicii. Consuetudo hominis in vocabulo viae, opera in vocabulo pedis intelligetur.

Sicut acetum vulneri, quod iam putrescere coepit, inutile est, quamquam cibis confert iucunditatem; ita mulieris conspectus et colquium cor dilacerat viri, qui se virtuti addicere coeperat. Nam quae incidit in cor commotio, nequitia est; qua qui carent, dicuntur imperturbabiles.—Moeror est caduca caducae voluptatis privatio: sed ille est laudabilis moeror, qui ob privationem virtutum scientiaeque Dei contingit.

Panem hoc loco solidam mandatorum Dei escam animae dicit. Potus vero divinam scientiam significat. Carbones ignis appellat sacrosancti Spiritus dona, quae amburunt purgantque hominum vitia. Etenim ignito carbone tetigit aliquando seraphinus Isaiae labia: qui purificatus, cunctis postea, discite iustitiam, clamabat. Hac itaque vitae bonitate ac rectitudine purgans mentem tuam, igneas sancti Spiritus gratias coges eam non solum recipere, sed studiosum tui eundem Spiritum efficies ad omne beneficii genus: quippe qui omnia quae sunt Deo placita tibi impertitur.

Diabolum dixit faciem impudentem, quippe qui animam ad vitium irritat, excitatque, veluti nubes aquilonares, pravas in anima cogitationes. Ubique vero Salomon linguam pro mente dicit. Huiuscemodi ergo faciem in iudicio revereri non decet.

Heic ergo dicitur mens iusta cadere coram satana, dum impuram cogitationem, aut falsum dogma suscipit. Fontem sapientiae is obstruit qui eius notitiam respuit, et fluxum scientiae Dei sordidat. Iam mentis cogitationes, modo lapsus dicuntur, modo surrectiones, modo sedes, modo status, aliae ambulatio, aliae offendicula vocitantur; aliae durae, aliae molles, et odoriferae et putentes, et dulces atque amarae, et planae atque erectae et salebrosae. Et insuper. Res eiusdem (mentis) partim vocantur spinae ac triboli, nec non lux, tenebrae, vita, mors. Aliae morbus, sanitas. Aliae praeterea dicuntur mendacium, veritas: et plura alia nomina imponit scriptura animae rebus et cogitationibus eius. Sed pauca e multis dicere placet; nempe mentem, animam, cor, hominem, virum, mulierem, servum, domesticum, patrem, filium, spiritum, ocu-

ρα τῆς κρίσεως· ἕξις διὰ τῆς ὁδοῦ, καὶ ἐνέργεια διὰ τοῦ ποδὸς νοηθήσεται.

Ὥσπερ τὸ ὄξος ἐν ἕλκει τοῦ ἀρχὴν σῆψιν ἔχοντος ἀσύμφορον, καί τοι βρώματος * ὄντος εἰς ἡδύτητα, οὕτω γυναικὸς θεωρία καὶ ὁμιλία καρδίαν σπαράσσει τοῦ πρὸς ἀρετὴν ἑαυτὸν ἐκδόντος καὶ ἀρχὴν ἔχοντος. τὸ γὰρ προσπίπτον τῇ καρδίᾳ πάθος, ἡ κακία ἐστίν· ἧς κατὰ στέρησιν τινὲς ἀπαθεῖς ὀνομάζονται.—Λύπη ἐστὶ φθαρτὴ στέρησις φθαρτῆς ἡδονῆς· λύπη δέ ἐστιν ἐπαινετὴ στέρησις ἀρετῶν καὶ γνώσεως θεοῦ. v. 20. * l. m. βρώμασιν.

Ἄρτον ἐνταῦθα τὴν στερεὰν τῶν ἐντολῶν τῆς ψυχῆς τροφὴν φησί· πόμα δὲ, τὴν θείαν γνῶσιν δηλοῖ· ἄνθρακας δὲ πυρὸς τὰς τοῦ παναγίου πνεύματος δωρεὰς, τὰς φλογιζούσας καὶ καθαιρούσας τὰς τῶν ἀνθρώπων ῥυτίδας· ἄνθρακι γὰρ πυρὸς τῶν Ἡσαΐου σεραφεὶμ θίγει χειλέων ποτέ· ὁ δὲ καθηράμενος, δικαιοσύνην μάθετε, πᾶσιν ἐκραύγαζε· διὰ γὰρ ταύτης τῆς χρηστότητος καὶ εὐποιΐας καθαρίζων αὐτοῦ τὸ ἡγεμονικὸν, τὰς πυρφόρους χάριτας τοῦ ἁγίου πνεύματος ποιήσεις αὐτὸν βιασθῆναι, οὐ μόνον προσλαβέσθαι, ἀλλὰ καὶ ζηλωτὴν σοῦ αὐτὸν ἐργάσῃ ἐν πάσῃ ἀγαθοεργίᾳ, ὡς προξένου σου γεγονότος αὐτοῦ ἐν πᾶσι τῷ θεῷ φίλοις. v. 21. cod. f. 122. a.

Τὸν διάβολον εἶπε πρόσωπον ἀναιδὲς, ἐρεθίζοντα τὴν ψυχὴν πρὸς κακίαν, καὶ ἐγείροντα ὡς βοῤῥᾶς νέφη λογισμοὺς τῇ ψυχῇ πονηρούς· πανταχοῦ δὲ ὁ Σολομῶν γλῶσσαν τὸν νοῦν λέγει· τοῦτο οὖν τὸ πρόσωπον αἰδεῖσθαι ἐν κρίσει οὐ καλόν. v. 26.

Ἐνταῦθα οὖν πίπτει δίκαιος νοῦς ἐνώπιον τοῦ σατανᾶ, λογισμὸν ἀκάθαρτον, ἢ ψευδὲς δόγμα ὑποδεξάμενος· τὴν δὲ πηγὴν τῆς σοφίας φράσσοι τίς, ἀποστρεφόμενος τὴν γνῶσιν αὐτῆς, καὶ τὴν διέξοδον τῆς γνώσεως τοῦ θεοῦ ἀποῤῥυπῶν *· τὰ δὲ νοήματα τοῦ νοῦ, τὰ μὲν πτώματα λέγονται, τὰ δὲ ἐγέρσεις, τὰ δὲ καθέδρα, τὰ δὲ στάσις, καὶ ἄλλα περίπατος, καὶ τινὰ αὐτῶν προσκόμματα ὀνομάζεται, καὶ ἄλλα σκληρὰ καὶ μαλακὰ, καὶ εὐώδη καὶ δυσώδη, καὶ γλυκεῖα καὶ πικρὰ, καὶ λεῖα καὶ ὀρθὰ, καὶ σχολιά· καὶ πάλιν, τὰ μὲν αὐτοῦ καλεῖται ἄκανθαι καὶ τρίβολοι, τὰ δὲ φῶς καὶ σκότος καὶ ζωὴ, καὶ θάνατος· τὰ δὲ, νόσος καὶ ὑγεία, καὶ ἄλλα παλιν ὀνομάζεται, ψεῦδος καὶ ἀλήθεια, καὶ πολλὰ ἕτερα ὀνόματα τίθησιν γραφὴ, κατά τε τῆς ψυχῆς καὶ τῶν νοημάτων αὐτῆς. ὀλίγα δὲ ἐκ πολλῶν ἐστιν εἰπεῖν· ἔστι δὲ ταῦτα· νοῦν, ψυχὴν, καρδίαν, ἄνθρωπον, ἄνδρα, γυναῖκα, δοῦλον, οἰκέτην, πα- v. 26. cod. f. 122. b. * cod. ἀποῤῥίπτων.

τέρα, υἱὸν, πνεῦμα, ὀφθαλμὸν, ςόμα, χείλη, γλῶσσαν, λάρυγγα, κοιλίαν, κόλπον, βραχίονα, δάκτυλον, μυκτῆρα, πρόβατον, ἔριφον, ποιμένα, καὶ ἄλλα πλείονα ὀνόματα τῆς ψυχῆς, ἃ οὐ δυνατὸν νῦν παραθέσθαι κατ' εἶδος.

v. 28. cod. f. 123. a. Βουλὴν εἶπεν ἐνταῦθα τὴν ἐπὶ τὸ κρεῖττον ῥοπὴν τῆς καρδίας· ὅταν τις οὐκ ἐπικαλούμενος τὴν βοήθειαν τοῦ θεοῦ ἐν ἑαυτῷ, εἰς βουλὴν ποιήσῃ τί ἀγαθὸν μετὰ σκέψεως, ἀλλὰ αὐθαδῶς καὶ ἀλαζονευόμενος ἄρξηται· οὐ τελεσθήσεται δὲ, ἀλλὰ συμπτωθήσεται ὃ ἐπιχειρεῖ, ὅτι οὐ περιετείχισεν ἑαυτὸν τῇ βοηθείᾳ τοῦ θεοῦ εἰς βουλήν.

lum, os, labia, linguam, guttur, ventrem, sinum, brachium, digitum, nares, lignum, ovem, haedum, pastorem, et alia plura nomina animae, quae nunc singillatim proferri nequeunt.

Consilium nunc dicit cordis ad virtutem motum. Cum aliquis Dei auxilium sibi non invocaverit quasi ad consilium, ut boni aliquid considerate faciat; sed audacter atque superbe initium rei fecerit; ad exitum non deducet, sed cum re sua suscepta corruet: quia non se communivit Dei auxilio ad consilium.

CAP. XXVI.

v. 3. cod. f. 123. b Ἵππον ἐνταῦθα, φησὶ, τὸν ταχὺν εἰς μάθησιν σοφίας, καὶ δικαιοσύνης δεκτικὸν ἄνθρωπον· δι' αἰνιγμάτων δὲ μαστίζει· ὄνῳ δὲ κέντρον· τὸν βραδὺν ἐν τούτοις τοῖς λόγοις σκληροῖς κεντᾷν, φόβον ἐμποιοῦντας· ἔθνει δὲ ἄφρονι ῥάβδῳ τύπτεσθαι, τοὺς ἀναισθήτους οἰκέτας ἢ ὑποχειρίους ὁρίζεται· ἡ ῥάβδος γὰρ σύμβολόν ἐςι κολάσεως.

v. 6. * ποδῶν pro ὁδῶν. Ἐκ τῶν ποδῶν * αὐτοῦ κ. τ. λ. Πόδας ἐνταῦθα τοὺς οἰκέτας φησίν· ὄνειδος δὲ ἐξ αὐτῶν ὁ δεσπότης ἑαυτῷ ποιεῖται, ὁ ἀποστέλλων λόγον δι' ἀγγέλου ἄφρονος, ἢ βουλῆς, ἢ σοφίας, ἢ πρεσβείας, ἢ συμμαχίας, ἢ λόγων συμπαθείας. ὁ γὰρ ἄφρων ἡττᾶται ἐν παντί· καὶ γὰρ ὁ κύριος
* Matth. VII. 6. ἐν εὐαγγελίοις φησίν*· οὐ δεῖ τοῖς κυσὶ διδόναι τὰ ἅγια, οὐδὲ βάλλειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.

v. 7. cod. f. 124. a. Περίελε ἄφρονος ὁδὸν κακὴν, καὶ γνῶσιν ψευδῆ μακρὰν ποίησον ἀπ' αὐτοῦ.

v. 8. Ὁ μεταδιδοὺς ἄφρονι γνῶσιν, ὅμοιός ἐστι τῷ λίθον ἄτιμον ἐν σφενδόνῃ χρυσῇ προσπήξαντι· ἢ λίθον ἔντιμον ἐν σφενδόνῃ λιθοβολούσῃ λιθάσαντι.

v. 10. cod. f. 124. b. Ἐὰν συντριβῇ ἡ ἔκστασις τῶν ἀφρόνων, καθ' ἣν ἐξέστησαν θεοῦ, πάλιν καθαροὶ γενόμενοι προσέρχονται τῷ θεῷ· πᾶσα γὰρ σὰρξ ὄψεται τὸ
* Luc. III. 6. σωτήριον τοῦ θεοῦ*· Προσεκτέον δὲ ἐνταῦθα, ὅτι τὰς παχυνθείσας ψυχὰς ἀπὸ τῆς κακίας, σάρ-
* Gen. VI. 3. κας ἀφρόνων ὠνόμασεν· οὕτω καὶ ὁ κύριος φησίν*· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

v. 11. Ὁ ἀποβαλών, φησι, κακίαν αὐτοῦ, καὶ πρὸς αὐτὴν πάλιν ἐπιςρέψας, ὅμοιός ἐςιν κυνὶ ἐσθίοντι τὸν ἴδιον ἔμετον· οἷα ἦν ἡ τοῦ Λὼτ γυνὴ, καὶ πρὸς ὃν τὸ ἀκάθαρτον πνεῦμα ἐπέστρεψεν.

v. 17. cod. f. 125. a. Χρηστέον τούτῳ τῷ ῥητῷ πρὸς τοὺς ψηφιζομέ-

Equum nunc dicit celerem ad sapientiae perceptionem, et iustitiae capacem hominem. Aenigmatibus autem flagellat: asino stimulus; tardum duris verbis compunge, incusso timore. Genti vesanae virgae percussionem, nec non stupidis famulis subditisque decernit. Nam virga punitionis symbolum est.

Ex pedibus suis etc. Pedes nunc dicit famulos. Opprobrium sibi conciliat, qui verbum per stultum nuncium mittit, sive consilii, sive sapientiae, sive legationis, sive bellicae societatis, vel consolandi causa. Nam stultus, in omni re imbecillus. Quare et Dominus in evangeliis ait: non oportet sancta dare canibus, neque margaritas ante porcos proiicere.

Fac vites stulti viam malam, et falsam scientiam a te procul amove.

Qui impertitur vesano scientiam, similis est ei qui vilem lapidem in aureo anulo collocat; vel lapidem pretiosum in funda quae lapidem lapidanti remittit.

Si dissipetur imprudentium stupor, quo a Deo recesserunt, denuo mundi facti ad Deum accedent: omnis enim caro videbit salutare Dei. Heic est animadvertendum, quod incrassatas peccato animas, carnes stultorum nominavit. Sic etiam Dominus dixit: non permanebit spiritus meus in hominibus, quia carnes sunt.

Qui postquam peccatum suum abiecit, denuo ad illud revertitur, similis est cani vomitum suum resumenti. Sic fuit Loti uxor, et ille ad quem immundus spiritus rediit.

Utendum est hoc effato adversus eos qui

suffragiis nonnullos indignos eligunt ad sacerdotium, clerove adscribunt. Neque enim quisquam ex nobis iusti iudicii ius ac libertatem in ecclesia constituit: neque haec praerogativa nostra est, sed Christi, qua iudicavit, semet iustificans tradere neci, et sanguinem pro illa fundere. Sic etiam quisquis ecclesiae clavum occupare optat, debet semet ipsum tradere, et maligni caudam tenere, et eos qui sub nequitia iacent liberare, et ad Christi agnitionem adducere.

Sicut in lignis flamma, ita in pravis cogitationibus gliscit et urit mentis ad passiones ardor. Ubi autem non sit duplex commotio, id est animi ambiguitas, sed vel Dei vel mamonae amor, cessabit in homine alteruter. Nam si vincat Dei mandatum, illud maligni evanescet, et a malitia otiabitur homo. Sin ambo retinere voluerit, vita excidet, et temporalibus etiam spoliabitur.

Labia hoc loco cogitationes dicit. Qui autem mentis labia non aperit contra malignum, Deo confitens vitia sua, quotquot ei ille inseruit adversus Deum, sed potius celat, hic moerore obruit cor suum, stulte existimans se non habere peccatum, neque interim agnoscit Dei clementiam: quia potius, nempe his ita sperantibus et haec ei confitentibus, coronas tribuit, ceu quotidie propter eum dimicantibus.

νους τινὰς τῶν ἀναξίων ἐν ἱερωσύνῃ, ἢ ἐν κλήρῳ· οὐ γὰρ ἐκ τῶν καθ' ἡμᾶς τίς τὴν δικαιοκρισίαν καὶ ἐλευθερίαν τῆς ἐκκλησίας ἐποιήσατο· ἢ ἡμετέρα ἐςίν, ἀλλὰ Χριςοῦ, δι' ἣν ἔκρινε δικαιώσας ἑαυτὸν σφαγῇ δοθῆναι, καὶ χυθῆναι τὸ αἷμα αὐτοῦ ὑπὲρ αὐτῆς· οὕτως καὶ ὁ πᾶς τις ἐκκλησίας οἴακας ἐγκεχειρίσθαι ἐπιθυμῶν, ὀφείλει ἑαυτὸν ἐκδοῦναι, καὶ τῆς κέρκου τοῦ πονηροῦ κρατῆσαι, καὶ τοὺς ὑπὸ τὴν αὐτοῦ κακίαν ἐλευθερῶσαι, καὶ εἰς τὴν τοῦ Χριστοῦ ἐπίγνωσιν προσαγαγεῖν.

Ὥσπερ ἐν ξύλοις τὸ πῦρ, οὕτως ἐν πονηροῖς v. 20. cod. f. 125. b.
λογισμοῖς θάλλει καὶ καίει ὁ πρὸς τὰ πάθη τοῦ νοῦ θυμός· ὅπου δὲ οὐκ ἔστι δίθυμος, τουτέστι δίψυχος, ἀλλ' ἢ τῷ θεῷ, ἢ τῷ μαμωνᾷ, ἡσυχασθήσεται ἐξ αὐτοῦ τὸ ἓν τοῦ ἑτέρου· ἢ τὸ τοῦ θεοῦ πρόσταγμα νικῆσαν, τὸ τοῦ πονηροῦ τακήσεται, καὶ τῇ κακίᾳ προσειρηνεύσει· ἐὰν δὲ τὰ δύο ἕλοιτο, καὶ τῆς ζωῆς ἐκπέσοι, καὶ τῶν προσκαίρων στερηθήσεται.

Χείλη ἐνταῦθα τοὺς λογισμοὺς φησίν· ὁ δὲ v. 24. cod. f. 120. a.
τὰ χείλη τοῦ νοῦ μὴ ἀνοίγων κατὰ τοῦ πονηροῦ, πρὸς τὸν θεὸν ἐξομολογούμενος τὰ κακὰ, ὅσα ἐνσπείρειεν αὐτῷ κατὰ τοῦ θεοῦ, ἀλλὰ κρύπτει, λύπῃ καλύπτει ἑαυτοῦ καρδίαν, ἐξ ἀφροσύνης μὴ νομίζων ἔχειν ἁμάρτημα ἐν τούτοις· οὐκ εἰδὼς τὴν τοῦ θεοῦ εὐσπλαγχνίαν· ὅτι μᾶλλον τοῖς οὕτω ὑπομένουσι καὶ ἐξαγγέλλουσιν αὐτῷ ταῦτα, ςεφάνους ἀπονέμει ὡς καθ' ἑκάςην ἀθλοῦσι δι' αὐτόν.

CAP. XXVII.

Illudit, pro gaudet, intellexit. Nam pura anima, dum deliciatur in scientia scripturarum, gaudet bene satura. At impura anima falsam quoque scientiam putat omnino esse veram.

Vel cordis locus, est virtus ac scientia; a quibus alienatus homo, incidit in nequitiam atque inscitiam, fitque servus peccati quod patrat. Nam quatenus homo rationalis est, locus eius virtus est.

Mens cupiditatibus libera multimodis delectatur, sapientia, et scientia, atque hymnodia. Mens contra passionibus obnoxia, ignorantia et iniquitate proscinditur, fitque magna ruina et paene irreparabilis.

Amicus noster et antiquorum patrum et posterorum nostrorum, Deus est. Ipse enim dixit: me dereliquerunt fontem aquae viventis, et effoderunt sibi cisternas dissipatas.—Hoc

Ἐμπαίζει ἀντὶ τοῦ χαίρει ἔλαβε· ψυχὴ γὰρ v. 7. cod. f. 127. a.
καθαρὰ, κατατρυφῶσα τῆς γνώσεως τῶν γραφῶν, χαίρει ἐμπιπλαμένη· ψυχὴ δὲ ἀκάθαρτος, καὶ τὴν ψευδώνυμον γνῶσιν, ἀληθῆ πάντως νομίζει.

Ἢ τόπος καρδίας, ἀρετὴ καὶ γνῶσις, ἀφ' ὧν v. 8.
ἀποξενωθεὶς ἄνθρωπος πίπτει εἰς κακίαν καὶ ἀγνωσίαν, καὶ γίνεται δοῦλος τῆς ἁμαρτίας ποιῶν αὐτήν· καθὸ γὰρ λογικός ἐστιν, τόπος αὐτοῦ ἡ ἀρετή.

Νοῦς ἀπαθὴς ποικίλοις τέρπεται, σοφίᾳ, v. 9. cod. f. 127. b.
καὶ γνώσει, καὶ ὑμνῳδίᾳ· νοῦς δὲ ἐμπαθὴς, ἐν ἀγνωσίᾳ καὶ κακίᾳ καταῤῥήγνυται, καὶ εἰς πτῶμα ἔρχεται δυσίατον καὶ μέγα.

Φίλος ἡμῶν καὶ τῶν πρόπαλαι πατέρων, καὶ v. 10.
τῶν μεθ' ἡμᾶς, ὁ θεός ἐστιν· αὐτὸς γὰρ εἶπεν· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ
ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους.—Ἐν- * Hier. II. 13.

ταῦθα ἀδελφὸς ὁ Χριστός ἐστι κατὰ χάριν· εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σοῦ, ἄνευ τῶν ἐντολῶν, ὧν ἡμῖν δέδωκεν, εἰς ἐξουσίαν τοῦ εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, τουτέστιν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, μὴ εἰσέλθῃς ἀτυχῶν τούτων· τοιοῦτος γὰρ ἦν καὶ ὁ εἰσελθὼν εἰς τὸν γάμον, μὴ ἔχων ἔνδυμα γάμου· δεθεὶς δὲ χεῖρας καὶ πόδας ἐξεβλήθη τοῦ γάμου.—Ἀδελφὸς ἡμῶν ἐνταῦθα ὁ τῶν ἀγγέλων χορός ἐστι· κατὰ γὰρ τὴν τῶν ἀγγέλων φύσιν πρὸ τῆς παραβάσεως καὶ πτώσεως ὁ διάβολος, τῶν ἀγγέλων καὶ ἡμῶν ὑπῆρχε· φίλος δὲ ἡμῶν ἐστιν ὁ Θεός· κρεῖσσον δὲ τῷ ἐγγυτέρῳ καὶ ἀληθινῷ Θεῷ ἡμῶν καὶ φίλῳ ἐγγὺς καὶ πλησιεστέρως οἰκεῖν, ἢ τῷ μακρὰν ἀπ' αὐτοῦ ἑαυτὸν ποιήσαντι διαβόλῳ, ὡς ἀδελφῷ ὑπεί-
cod. f. 128. a. κειν, εἰς τὸ συναπολέσθαι αὐτῷ.—Κρείσσων ὁ συναπτόμενός μοι διὰ τῆς ἀληθοῦς γνώσεως, ὑπὲρ τὸν συναπτόμενόν μοι μόνον διὰ τῆς φύσεως.

loco frater, Christus est per gratiam. Sed in domum fratris tui, absque praeceptis quae dedit nobis, ut copia esset ingrediendi in domum eius, id est in caelorum regnum, ne introeas si his inquam careas. Nam talis erat, qui ad nuptias introiit absque veste nuptiali, qui ligatis manibus ac pedibus de illo loco pulsus fuit.—Vel, frater noster hoc loco est angelorum chorus. Nam pro sua angelica natura ante transgressionem et lapsum diabolus et angelorum et nostri frater erat. Sed amicus noster Deus est. Iam vero melius est, proximiori veroque Deo nostro atque amico, prope et proximius habitare, quam ei qui ab illo procul se submovit, obsequi tamquam fratri, id est diabolo, ut cum eodem pereamus.—Melior est qui cohaeret mihi per veram scientiam, quam qui mihi cohaeret solius vi naturae.

v. 15. Τοῦ ἀνθρώπου οἶκος, ἡ ἀρετή· ἐὰν οὖν μὴ σπουδαίως ταύτης ἐπιμελῆται, ἐν καιρῷ πειρασμῶν ἐκπίπτει αὐτῆς.

Hominis domus, est virtus. Nisi ergo huius diligentem curam gerat, tentationum tempore ab ea excidet.

v. 18. cod. f. 129. a. Συκῆ ἐνταῦθα ἡ δικαιοσύνη ἡ τοῦ Θεοῦ ἐστιν, ἣν οἱ φυτεύοντες ἐν ἑαυτοῖς, καὶ ἑτέροις μετάφυτα διδόντες, τὸν καρπὸν αὐτῆς φάγονται ἐκ χειρὸς κυρίου τοῦ μόνου δικαίου, καὶ τὴν δικαιοσύνην βραβεύσαντος· καὶ τοῖς τὴν δικαιοσύνην αὐτοῦ φυλάξασι σὺν ἑαυτῷ συντάττων, ἀπονέμει δικαιοσύνην, τὴν καὶ ἀγγέλους δικαιοῦσαν, ἐν τῇ ἀτρέπτῳ τῆς δικαιοσύνης λαμπρότητι· ὃς δὲ φυλάσσει τὸν λόγον τοῦ κυρίου, τὸν κύριον φυλάσσει ἐν τῇ καρδίᾳ αὐτοῦ ἀχώριστον εἶναι ἀπ' αὐτοῦ· τιμηθήσεται δὲ οὐ μόνον ἐντεῦθεν ὑπὸ τῶν ἀγγέλων, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ὑπὸ τοῦ τῶν ἀγγέλων δημιουργοῦ.

Ficus hoc loco iustitia Dei est, quam in se ipsis plantantes, aliisque surculos transplantandos cedentes, fructum eius comedunt de manu Domini, qui solus iustus est, et iustitiam muneratur. Et iis qui iustitiam custodiunt, apud se positis, concedit iustitiam illam quae angelos ipsos iustificat aeterna iustitiae claritate. Quisquis Domini verbum custodit in corde suo, Dominum ipsum custodit, ne longe fiat ab eo. Porro honorabitur non modo nunc ab angelis, sed etiam in futuro saeculo ab angelorum creatore.

v. 22. Οἷον, οὐκ ἀτιμάζων τὸν ἄφρονα ἀποστήσεις τῆς ἀφροσύνης, ἀλλὰ διδάσκων αὐτὸν ὁποίας ἀτιμίας ἡ ἀφροσύνη γίνεται πρόξενος· ὁ γὰρ εἰς πρόσωπον ἔλεγχος, ἀναισχυντότερον ποιεῖ τὸν ἁμαρτάνοντα.

Id est, non per illatum dedecus stultum revocabis a stultitia sua, sed potius eum docendo quanti dedecoris stultitia sit causa. Nam reprehensio in faciem obiecta impudentiorem facit peccatorem.

v. 27. cod. f. 130. a. Τῶν τοῦ Θεοῦ ῥημάτων, τὰ μὲν εἰς υἱῶν ζωὴν, τὰ δὲ εἰς θεραπόντων γέγραπται.

Dei verba partim ad filiorum, partim ad famulorum regendam vitam scripta fuerunt.

CAP. XXVIII.

v. 3. Εἰ ἔστιν ἀνδρεῖος ἐν ἀσεβείαις, ἔστιν ἀνδρεῖος καὶ ἐν ἀρεταῖς· καὶ εἰ ὁ ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πτωχοὺς, ὁ ἀνδρεῖος ἐν ἀρεταῖς παρακαλεῖ πτωχούς· οὐκοῦν πᾶς ὁ παρακαλῶν πτωχοὺς ἐν ἀσεβείαις συμπράττειν, συκοφαν-

Si est fortis in impietatibus, est etiam fortis in virtutibus. Et si fortis in impietatibus calumniatur pauperes, qui fortis est in virtutibus confortat pauperes. Ergo qui pauperes confortat ad participandas impietates,

calumniatur eos apud Deum; id est vicissim criminatur, ut una pereant.

Vehemens pluvia non solum fruges pessumdat, verum etiam terrae faciem, quae fruges profert, devastat. Est etiam mitis pluvia, quae floridam facit terrae faciem, nutriens ac vivificans fruges eius. Et vehemens quidem, pessumdatis frugibus, homines simul extinguit; at mitis alendo fruges, hominum vitam conservat.

Est lex iniusta, et item lex iusta. Iniusta obtemperantes sibi perdit; iusta non modo longitudinem dierum tribuit, sed etiam regni caelorum fit donatrix obtemperantibus sibi, quia lex Dei est. Quisquis vero Deum amat, legem quoque eiusdem amat; et quae lex mandat, operatur. Iam quisquis legi morem gerit, perturbationum quietem consequitur et Dei agnitionem. Quod si legis amatores muro se communiunt, nunc murus quietem a perturbationibus significat, et Dei scientiam; quae solae rationalem naturam custodire queunt.

Si divitiae sunt impiorum nequitia, viri autem sapientes eas abiiciunt, patet nequitiam pessumdari a iustis atque sapientibus, dum per spiritalem doctrinam impuros ad virtutem reducunt.

Nequaquam lex preces cuiusquam aversatur, sed qui tulit legem Deus aversatur eius preces qui aurem suam avertit, quominus audiat legis auctorem. Et Paulus ait: praescia autem scriptura futuri: pro eo ac dicat, qui scripturam dedit, praesciebat futurum.

Qui sata in eius corde a maligno mala non confitetur Deo, aut Deo grato homini, non consequetur felicem de maligno victoriam. Qui autem confitetur, diligetur a Deo et ab angelis eius. Et Iacobus ait: confitemini alterutrum peccata vestra, ut sanemini. Psalmista quoque ait: confitebor adversus me iniustitiam meam Domino, et tu remisisti impietatem cordis mei.

Iniqui regis proventus, iniquitates sunt et falsa dogmata. Haec enim eidem pendunt subditi eius. Calumniantur autem Deum, qui maligno obediunt; quia non Deo, sed inimico eius diabolo subiecti sunt. Quia vero Deus odit diabolum ob perversa opera eius, hic vicissim calumniatur homines apud Deum. Qui odit

τεῖ αὐτοὺς πρὸς τὸν θεὸν, τουτέστιν ἀντιδιαβάλλει ὅπως συναπολεσθῶσιν αὐτῷ.

Ὁ λαῦρος ὑετὸς οὐ μόνον τοὺς καρποὺς ἀπόλλει, ἀλλὰ καὶ τὸ πρόσωπον τῆς γῆς, τὸ τοὺς καρποὺς διδοῦν, ἐκδαφίζει· ἔστι δὲ καὶ ὑετὸς εἰρηνικὸς, ποιῶν εὐθαλὲς τὸ πρόσωπον τῆς γῆς, καὶ τρέφων καὶ ζωογονῶν τοὺς ἐν αὐτῇ καρπούς· καὶ ὁ μὲν λαῦρος, διὰ τὴν ἀπώλειαν τῶν καρπῶν ἀποκτέννει τοὺς ἀνθρώπους, ὁ δὲ εἰρηνικὸς, διὰ τῶν καρπῶν ζωογονεῖ. cod. f. 130. b.

Ἐστι καὶ νόμος παράνομος, καὶ νόμος δίκαιος· v. 4.
καὶ ὁ μὲν παράνομος τοὺς αὐτῷ πειθομένους ἀπόλλει· ὁ δὲ δίκαιος οὐ μόνον μακρότητα ἡμερῶν δωρεῖται, ἀλλὰ καὶ βασιλείας οὐρανῶν πρόξενος γίνεται τοῖς αὐτῷ ὑπείκουσιν, ὅτι τοῦ θεοῦ ἐστί· πᾶς δὲ ὁ ἀγαπῶν τὸν θεὸν, ἀγαπᾷ τὸν νόμον αὐτοῦ, καὶ ποιεῖ τὰ τοῦ νόμου· πᾶς δὲ ὁ ποιῶν τὸν νόμον, ἀπάθειαν κτᾶται καὶ γνῶσιν θεοῦ· εἰ δὲ οἱ ἀγαπῶντες τὸν νόμον, παραβάλλουσιν ἑαυτοῖς τεῖχος, νῦν τεῖχος τὴν ἀπάθειαν σημαίνει καὶ τὴν γνῶσιν τοῦ θεοῦ, ἅπερ μόνα πέφυκε φυλάσσειν τὴν φύσιν τὴν λογικήν.

Εἰ πλοῦτος ἀσεβῶν κακία, ἄνδρες δὲ σοφοὶ v. 8. cod. f. 131. a.
ἀπολέσουσιν αὐτὸν, δῆλον ὡς κακίαν ἀπολλύουσιν οἱ δίκαιοι καὶ σοφοὶ, διὰ τῆς πνευματικῆς διδασκαλίας τοὺς ἀκαθάρτους πρὸς ἀρετὴν ἐπανάγοντες.

Οὐχ ὁ νόμος βδελύσσεται τινὸς τὴν προσευ- v. 9.
χὴν, ἀλλ' ὁ δεδωκὼς τὸν νόμον θεὸς, τοῦ ἐκκλίνοντος τὸ οὖς αὐτοῦ, καὶ μὴ εἰσακούειν ποιοῦντος τοῦ νόμου· καὶ ὁ Παῦλος φησί *· προ- * Gal. III. 8.
ειδοῦσα δὲ ἡ γραφὴ τὸ μέλλον, ἀντὶ τοῦ ὁ τὴν γραφὴν δεδωκὼς προῄδει τὸ μέλλον.

Ὁ τὰ ἐνσπειρόμενα ἐν τῇ καρδίᾳ αὐτοῦ ὑπὸ v. 13. cod. f. 131. b.
τοῦ πονηροῦ κακὰ, μὴ ἐξαγγέλλων αὐτὰ κυρίῳ τῷ θεῷ ἢ θεοφιλεῖ ἀνθρώπῳ 1), οὐκ εὐοδωθήσεται ἐν τῇ κατὰ τοῦ πονηροῦ νίκῃ· ὁ δὲ ἐξαγγέλλων ἀγαπηθήσεται ὑπὸ τοῦ θεοῦ καὶ τῶν ἀγγέλων αὐ-
τοῦ· καὶ ὁ Ἰάκωβος φησίν *· ἀλλήλοις ἐξαγγέλλετε * Iac. V. 16
τὰ παραπτώματα ὑμῶν, ὅπως ἰαθῆτε· καὶ ὁ ψαλμω-
δὸς εἶπεν *· ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου * Ps. XXXI. 5.
κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Αἱ πρόσοδοι τοῦ πονηροῦ βασιλέως, εἰσὶν αἱ v. 16. cod. f. 132. a.
κακίαι καὶ τὰ ψευδῆ δόγματα· ταῦτα γὰρ αὐτῷ προσοδεύουσιν οἱ βασιλευόμενοι ὑπ' αὐτοῦ· συκοφαντοῦνται δὲ τῷ θεῷ οἱ τῷ πονηρῷ πειθαρχοῦντες· ὅτι οὐ τῷ θεῷ ἀλλὰ τῷ ἐχθρῷ αὐτοῦ τῷ διαβόλῳ ὑπόκεινται· ἐπεὶ δὲ ὁ θεὸς μισεῖ τὸν διάβολον διὰ τὰ ἔργα αὐτοῦ τὰ πονηρὰ, αὐτὸς πάλιν διὰ τῶν

1) Videmus Origenis auctoritatem pro confitendo religiosis viris peccata. Item infra p. 54.

ἔργων αὐτοῦ συκοφαντεῖ τοὺς ἀνθρώπους πρὸς τὸν θεόν· ὁ δὲ μισῶν ἀδικῆσαι τὴν ψυχὴν αὐτοῦ, τὸν μακρὸν τοῦ ἀπεράντου αἰῶνος χρόνον βιώσεται.

Ἄνδρα ἐνταῦθα φονέα τὸν διάβολον φησίν·
ὁ δὲ ἐγγυώμενος τὴν ἀδικίαν, ἐγγυᾶται τὸν σα-
v. 17. τανᾶ, ὑπισχνούμενος αὐτῷ ἐκεῖνος, τοὺς τῆς
ἀδικίας ἀποδώσειν καρπούς.—Ἔθνος παράνομον,
τὰ δόγματα τῶν δαιμόνων ἐστὶν, οἷς οὐχ ὑπα-
κούει ὁ παιδευθεὶς υἱός· υἱὸν δὲ τὸν νοῦν φησίν·
ὁ δὲ ἐποχὴν ποιῶν τοῦ νοῦ τοῦ μὴ παραρίπτεσθαι
ἐν τῇ τοῦ πονηροῦ ἔθνους κακίᾳ, ὡς περιτραχή-
λιον κόσμον προξενεῖ λαβεῖν τῇ ἰδίᾳ ψυχῇ ἄφ-
θαρτον ἐκ χειρὸς κυρίου.

Ὁ καθαίρων ἑαυτὸν ἐκ τῶν παθῶν, καὶ ἐρ-
γαζόμενος τὰς ἐντολὰς τοῦ θεοῦ, τοῦ ψυχοτρό-
v. 19. φου ἄρτου σοφίας καὶ γνώσεως θεοῦ ἐμπλησθή-
σεται· ὁ δὲ διώκων σχολὴν τοῦ μὴ ποιεῖν τὰς
ἐντολὰς τοῦ θεοῦ, πλησθήσεται πενίας.

Οἱ νῦν ἐλεήμονες, ἐν τῷ αἰῶνι τῷ μέλλοντι
ἐλεηθέντες ὑπὸ τοῦ θεοῦ, καὶ γενόμενοι ἄγγελοι,
v. 22. cod. f. 133. a. ἄρξουσι τῶν βασκάνων καὶ πλουσίων ἀσεβῶν·
τοιοῦτον δὲ ἀξίωμα καὶ τοῖς μαθηταῖς αὐτοῦ
ὑπέσχετο δώσειν κύριος *, τὸ καθίσαι αὐτοὺς ἐπὶ
δώδεκα θρόνων, κρίνοντας δώδεκα φυλὰς τοῦ Ἰσ-
* Luc. XXII. 30. ραήλ· θρόνος δὲ ἐστιν ἐν ᾧ ὁ νοῦς καθέζεται, πλή-
ρης γνώσεως πνευματικῆς, τοὺς πλανηθέντας ἀπὸ
τῆς θεοσεβείας ἐπισυνάγουσα· τὸ δὲ κρίνειν ἐν-
* Prov. XXXI. 9. ταῦθα, τὸ διδάσκειν σημαίνει· ὡς καὶ τὸ *, ἄνοιγε
σὸν στόμα λόγῳ θεοῦ, καὶ κρίνε πάντα ὑγιῶς,
ἀντὶ τοῦ δίδασκε· ἅμα δὲ καὶ τοῦτο ἰστέον, ὅτι
ὁ ἐλεήμων κρατήσας τοῦ βασκάνου, αὐτὸς μὲν
οὐ γενήσεται βάσκανος, ἐλεήμονα δὲ μᾶλλον
ποιήσει τὸν βάσκανον.

Ἐὰν ἀποθῶνται οἱ ἀσεβεῖς τὸ εἶναι ἀσεβεῖς,
γενήσονται δίκαιοι· ἡ γὰρ ἀπώλεια νῦν τὴν ἀναί-
v. 27. cod. f. 133. b. ρεσιν τῆς ἀσεβείας σημαίνει· οὕτω καὶ Ματθαῖον
τοῦ τελωνείου ἀπολέσας ὁ κύριος, δικαιοσύνην αὐ-
τῷ ἐχαρίσατο· πληθύνονται γὰρ οἱ δίκαιοι, ὅταν
οἱ ἀσεβεῖς καταλείψωσι τὴν ἀσέβειαν, καὶ σὺν
τοῖς δικαίοις γενήσονται δίκαιοι· στένουσι δὲ καὶ οἱ
δίκαιοι καὶ ὀδυνῶνται, ὁρῶντες τοὺς ἀσεβεῖς ἐν τό-
πῳ τῆς ἀσεβείας ἱσταμένους, καὶ μὴ μετανοοῦντας.

laedere animam suam, longum infiniti saeculi tempus vivet.

Virum heic homicidam dicit diabolum. Qui spondet pro iniustitia, spondet pro satana, qui promittit ei vicissim, fructus iniquitatis se daturum.—Gens iniqua, dogmata daemonum sunt, quibus non attendit bene institutus filius. Porro filium dicit pro mente. Qui vero menti impedimentum ponit, quominus ad pravae gentis nequitiam semet abiiciat, is tamquam colli immortalem ornatum parat animae suae de manu Domini recipiendum.

Qui se purgat animi perturbationibus, et Dei mandata exsequitur, nutritore animarum pane, sapientia nimirum et agnitione Dei, saturabitur. Qui vero otium sectatur, quominus Dei mandata exsequatur, is quidem inopia obruetur.

Qui nunc sunt misericordes, in futuro saeculo misericordiam a Deo nacti, factique angeli, imperabunt invidis et impiis divitibus. Hanc dignitatem daturum se spondebat discipulis Dominus, nempe sessuros eos super duodecim thronos, iudicantes duodecim tribus Israhelis. Thronus autem est in quo mens sedet, plena scientiae spiritalis, quae a religione devios reducit. Iudicare autem hoc loco, docere significat. Ut illud: aperi os tuum verbo Dei, et integre de omnibus iudica, id est doce. Simul et hoc sciendum est, quod si misericors vincat invidum, ipse quidem non fiet invidus, sed illum misericordem potius faciet qui erat invidus.

Si impietatem suam deponent impii, iusti fient. Nam perditio hoc loco, iniquitatis extinctionem significat. Sic Matthaeum de telonio exterminatum Dominus iustitia donavit. Multiplicantur enim iusti, cum impii impietatem omiserint, et cum iustis iusti fient. Interim gemunt dolentque iusti, quamdiu impios vident in impietatis loco consistere, et nondum resipiscere.

CAP. XXIX.

Κρείσσων γὰρ ἀνὴρ ὁ ἐν παιδείᾳ καὶ νουθε-
σίᾳ κυρίου ἐλέγχων, ἢ ὁ ἐν σκληρᾷ καρδίᾳ παρ-
v. 1. cod. f. 134. a. αινῶν καὶ ὑπισχνούμενος συναπολαῦσαι αὐτῷ
τῶν ἐν κακίᾳ· ἐξαπίνης γὰρ φλεγομένου αὐτοῦ
ἐν τῇ ὀρέξει τῶν παθῶν, ὁ ἐπὶ πάντας θανα-

Melior est enim vir qui cum disciplina et monitis Domini reprehendit, quam qui duro corde animos peccatori addit, promittens insuper se fore ei sodalem gaudii mali. Repente enim, dum ille in passionum appetitu exaestuat, de-

creta omnibus morte, ingruente eius complicibus, medela non supererit animae ipsorum. Non autem dixit: cessante flamma haud fore medelam; sed ipsi exaestuanti non fore medelam, habenti cupiditatum incentiva, ligna, foenum, stipulam. Nam et ambustis post cauterem solet sanitas redire

Laudatis a Domino iustis in iudicii die, qui sunt in illorum factione populi laetabuntur. Quotquot autem sunt sub principatibus et potestatibus ac rectoribus huius mundi, hi omnino tunc ingemiscent.

Patrem heic dicit Deum. Deus autem et pater domini nostri Iesu Christi, illos qui a Christo sunt denominati, et verbo atque opere ac sapientia illum subsequuntur et imitantur, aspiciens laetatur in ipsis. Pastor vero bonus, est mens, imperturbatas cogitationes habens. Quod si ita est, ergo haedus est cogitatio vitiosa; ovis autem, cogitatio ingenua. Propterea Dominus haedos collocat in sinistra parte, oves in dextra: haedos dicens eos, qui habent cogitationes vitiosas. Sic etiam habentes zizania, vocabulo zizaniorum appellavit; et habentes triticum, dixit triticum; nempe a pessima vel optima qualitate eos denominans, Tale est et Pauli dictum: caritas non inflatur. id est qui caritatem habet.

Christus quidem erigit rationalem naturam mandatis suis; scelestus vero Antichristus ad perniciem concitat humanum genus.

Ubique verbum iudicare dicitur pro docere. Nam et qui inter duos vel plures de aliquo negotio iudicat, is aequitatem docet, et ab iniquitate absterret. Similiter et in virtutibus et in quavis re bona, iudicare pro docere dicitur. Virum autem heic iudicantem gentes, Petrum dicit, qui mundum universum docuit Christi fidem ac religionem. Paulum item et reliquos per tempora magistros. At virum pravum dicit Theudam, et Iudam, et Samosatensem, et eorum sententiae homines. De pravo quidem homine ait David: super eum ridebunt, et dicent: ecce homo qui non posuit Deum adiutorem suum.

Viri sanguinum daemones sunt, qui homines in Christo viventes sanguinis effusione oc-

τος, ἐπελθὼν ἐπὶ τοὺς κατ᾽ αὐτῶν συμπράκτορας, οὐκ ἔστιν ἴασις τῇ ψυχῇ αὐτῶν· οὐκ εἶπεν δὲ ὅτι παυσαμένης τῆς φλογὸς οὐκ ἔσται ἴασις, ἀλλὰ φλεγομένου αὐτοῦ οὐκ ἔσται ἴασις, ὡς ἔχοντος δηλονότι τὰ τῶν παθῶν ὑπεκκαύματα, ξύλα, χόρτον, καλάμην· εἴπερ καὶ τοῖς καιομένοις μετὰ τὸν καυτῆρα πέφυκεν ἡ ὑγεία προσγίνεσθαι.

Ἐγκωμιαζομένων τῶν δικαίων ὑπὸ τοῦ κυρίου v. 2.
ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, οἱ τῆς αὐτῶν μερίδος
λαοὶ εὐφρανθήσονται· ὅσοι δέ εἰσιν ὑπὸ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, οὗτοι πάντως τότε ςένουσιν.

Πατέρα ἐνταῦθα τὸν Θεὸν φησίν· ὁ δὲ Θεὸς v. 3.
καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, τοὺς
κατὰ Χριςὸν ἐπονομαζομένους, ἐν ἔργῳ καὶ λόγῳ καὶ σοφίᾳ ἑπομένους τὲ καὶ μιμουμένους αὐτὸν, θεωρῶν αὐτοὺς, εὐφραίνεται ἐπ᾽ αὐτοῖς· ποιμὴν δέ ἐςιν ἀγαθὸς νοῦς, ἀπαθεῖς λογισμοὺς κεκτημένος· εἰ δὲ τοῦτο, οὐκοῦν ἔριφός ἐςιν, λογισμὸς ἐμπαθής· καὶ πρόβατόν ἐστι λογισμὸς ἀπαθής· διὸ καὶ τοὺς ἐρίφους ὁ κύριος ἵςησιν ἐξ ἀριςερῶν, τὰ δὲ πρόβατα ἐκ δεξιῶν· ἐρίφους λέγων τοὺς κεκτημένους λογισμοὺς ἐμπαθεῖς· οὕτω καὶ τοὺς ἔχοντας τὰ ζιζάνια, ζιζάνια προσηγόρευσε· καὶ τοὺς τὸν σῖτον ἔχοντας, σῖτον, ἀπὸ τῆς χειρίςης καὶ ἀρίςης ἕξεως ὀνομάσας αὐτούς· τοιοῦτόν ἐστι καὶ
τὸ παρὰ τῷ Παύλῳ λεγόμενον *· ἡ ἀγάπη οὐ περ- * I. Cor. XIII. 4.
περεύεται, ἀντὶ τοῦ ὁ ἔχων τὴν ἀγάπην.

Ὁ μὲν Χριςὸς ἀνίςησι τὴν φύσιν τὴν λογικὴν v. 4. cod. f. 134. b.
διὰ τῶν ἐντολῶν αὐτοῦ· ὁ δὲ παράνομος ἀντίχριςος, πρὸς ἀπώλειαν ἐρεθίζει τὸ γένος τῶν ἀνθρώπων.

Ἐν παντὶ τὸ κρίνειν, διδάσκειν λέγεται· καὶ v. 9. cod. f. 135. a.
γὰρ ὁ μεταξὺ δύο ἢ καὶ πλειόνων, περὶ ἑνὸς πράγματος κρίνων, διδάσκει τὸ δίκαιον, καὶ ἀπέχεσθαι ἀδικίας· ὡσαύτως καὶ ἐπὶ ἀρετῶν, καὶ ἐπὶ πᾶν ὁτιοῦν ἀγαθὸν, τὸ κρίνειν διδάσκειν λέγεται· ἄνδρα δὲ ἐνταῦθα κρίνειν ἔθνη, τὸν Πέτρον φησὶ, τὸν τὴν οἰκουμένην διδάξαντα τὴν εἰς Χριςὸν πίςιν καὶ εὐσέβειαν 1)· καὶ Παῦλον, καὶ τοὺς λοιποὺς μετέπειτα διδασκάλους· ἄνδρα δὲ φαῦλον, τοὺς κατὰ Θευδᾶν καὶ Ἰούδαν καὶ
Σαμοσατέα 2), καὶ τοὺς τούτων ὁμόφρονας· ἐπὶ
δὲ τὸν φαῦλον * φησὶν ὁ Δαυὶδ *· καὶ ἐπ᾽ αὐτὸν * cod. παυλον. * Ps. LI. 8.
γελάσονται, καὶ ἐροῦσιν· ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ.

Ἄνδρες αἱμάτων οἱ δαίμονές εἰσιν, οἱ τοὺς ἐν Χριστῷ ζῶντας ἐκχύσει αἵματος ἀποκτείναν-

1) Animadverte quomodo Origenes dicat Petrum fidei ac religionis extitisse mundo magistrum.

2) Quo pacto Samosatensem (si Paulum intelligit) nominat Origenes, qui aliquanto senior illo fuit, quamquam intra idem tertium Christi saeculum? Sane in codice nomen Origenis huic quoque fragmento appingitur; sed nihil vetat quominus, vel amanuensis mendum sit, ut in catenis facile usuvenit, vel quaelibet interpolatio.

v. 10. τες· οἱ δὲ εὐθεῖς ἐκζητήσουσι ψυχὴν αὐτοῦ· οὗτοι
οἱ τὰ αὐτῶν πρακτέα καὶ νενοημένα ποιῆσαι καὶ
νοῆσαι βουλόμενοι.

Ὄντως ὁ ἄφρων ἀκράτητον ἔχει τὸν θυμὸν
αὐτοῦ· οὗτος δὲ ταμιεύεται κατὰ μέρος, ἤγουν
v. 11. cod. f. 135. b. ἐπὶ τοῖς δικαίοις ὀργιζόμενος πράγμασι. καὶ πρὸς
μὲν τοὺς ἁπλουστέρους λεκτέον τοῦτο· πρὸς δὲ
τοὺς σπουδαίους, ὁ διὰ τῆς μακροθυμίας κατ-
αναλίσκων τὸν θυμὸν κατὰ μέρος.

Τοῖς μὲν φυλάξασι τὸν νόμον ὑπάρξει ἐξηγητὴς
ὁ κύριος ἐν τῇ βασιλείᾳ· τοῖς δὲ παρανομήσασιν,
v. 18. cod. f. 136. b. ἐξηγητὴς μὲν οὐχ ὑπάρξει, κολαστὴς δὲ ὑπάρξει.

Ὅτι οὐδεὶς κατὰ φύσιν σκληρὸς, παρίστησι
*Prov. XXIX. 19. τὸ, ἐὰν γὰρ καὶ νοήσῃ οὐχ ὑπακούσεται * ὁ γὰρ
v. 19. κατὰ φύσιν σκληρὸς, οὐκ ἂν ὀρθόν τι νοήσοι
ποτέ· τοῦτο δὲ λέγω διὰ τὸν Φαραὼ σκληρυν-
θέντα ἐπὶ τὸν Ἰσραὴλ, καὶ οὐ λόγοις ἀλλὰ μά-
στιξι παιδευθέντα.

Εἰ τὸ κατασπαταλᾷν, ἁμαρτάνειν ποιεῖ, πᾶς
δὲ ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρ-
v. 21. τίας, πᾶς ἄρα ὁ σπαταλῶν, δοῦλος ἐστὶ τῆς
ἁμαρτίας· ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ οὐκ ὀλίγα ἐφ'
ἑαυτῷ ὀδυνηθήσεται.

Ὑβριστὰς ταπεινοῖ κύριος, ταπεινοῖς δὲ δί-
δωσιν δόξαν.—Ὕβριν τὴν κακίαν φησίν· ὕβριν
v. 23. cod. f. 136. b. δὲ καὶ ταπείνωσιν ἀπωλείας προξενεῖ ἡ κακία
τοῖς πράττουσιν αὐτὴν, ἐν τῇ ἡμέρᾳ τῆς κρί-
σεως· τοὺς δὲ ταπεινόφρονας ἡ δόξα, ἣν ἐδό-
ξαζον τὸν θεὸν ἐν ὕμνοις καὶ τηρήσει τῶν ἐν-
τολῶν αὐτοῦ, δοξάσει αὐτούς· δόξα γὰρ θεοῦ τὸ
ποιεῖν τὰς ἐντολὰς αὐτοῦ· καθὼς αὐτὸς φησὶν
*I. Reg. II. 30. ὁ κύριος * ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω·
ἡ δὲ κακία ὕβριν λογικῆς ψυχῆς προξενεῖ.

Κλέπτην οὐκ ἄλλόν τινα, εἰ μὴ τὸν διάβολον
λέγει· ὁ δὲ μεριζόμενος, ἤγουν μέρος μὲν τῶν
v. 24. τοῦ θεοῦ προσταγμάτων τηρῶν, μέρος δὲ τοῦ πο-
νηροῦ ποιῶν, οὗτος μισεῖ τὴν ἑαυτοῦ ψυχήν· μι-
κρὸν γὰρ ὅσον καὶ τέλειον αὐτὸν κλέψας ὁ διά-
βολος, θύσει ἑαυτῷ· ὁ κλέπτης γάρ, φησιν,
οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπο-
*Ioh. X. 10. cod. f. 137. a. λέσῃ *.—Ὅρκον εἶπε τὸν νόμον· ὥσπερ γάρ ὁ ὅρ-
κος τίθησι τὸν θεὸν ἐν ψυχῇ, οὕτω καὶ ὁ νόμος
εἰσάγει θεὸν εἰς ψυχήν· καὶ ὃν τρόπον πάλιν ἀναι-
ρεῖ ἡ ἐπιορκία θεὸν ἐκ ψυχῆς, οὕτω καὶ ἡ πα-
ρανομία ἐκβάλλει θεὸν ἀπ' αὐτῆς· ἐὰν οὖν, φη-
σιν, νόμου τεθέντος ἀκούσαντες μὴ ἐξαγορεύσωσιν
ἑαυτῶν τὰς ἁμαρτίας, φοβηθέντες καὶ αἰσχυν-
θέντες ἀνθρώπους, ὑποσκελισθήσονται πρὸς ἀπώ-
*Ps. XXXI. 5. λειαν· οὕτω φησὶ καὶ ὁ Δαυίδ *· εἶπα, ἐξαγορεύσω
κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆ-

cidunt. Recti autem exquirent animam eius. Hi sunt qui illorum acta et cogitata, mente et opere imitari volunt.

Revera insanus iracundiam suam continere nequit. Hic (sapiens) autem dispensat per partes, id est in rebus iustis irascitur. Et ad simpliciores quidem dicendum est hoc. Ad doctiores autem: qui cum longanimitate consumit iracundiam per partes.

Observantibus legem enarrator erit Dominus in regno: transgressoribus non erit enarrator sed punitor.

Neminem suapte natura durum esse demonstrat dictum illud: nam etsi intellexerit, non obediet. Qui enim suapte natura durus est, nihil rectum intelliget. Hoc autem aio propter Pharaonem induratum contra Israhelem, et non verbis sed castigationibus eruditum.

Si luxui indulgere, peccare facit; quisquis vero facit peccatum, servus est peccati; profecto omnis luxuriosus servus est peccati. Extrema vero die haud leviter sui causa dolebit.

Contumeliosos humiliat Dominus, humilibus autem gloriam tribuit.—Contumeliam heic dicit pro nequitia, quia reapse contumeliam et ruinae depressionem nequitia auctoribus suis conferet in die iudicii. At humiles ipsa gloria, qua Deum glorificarunt hymnis, et mandatorum observantia, extollet. Gloria enim Dei est praeceptis eius obedire. Quemadmodum ipse dicit Dominus: honorantes me honorabo. Nequitia vero contumeliam rationali animae infert.

Furem haud alium dicit quam diabolum. Qui vero in partes scinditur, id est partim quidem mandata Dei exsequitur, partim vero maligni, hic animam propriam odit. Sed hunc propediem totum suffurans diabolus, sibi immolabit. Fur enim, inquit Christus, non venit nisi ut furetur et mactet et perdat.—Iusiurandum dixit legem. Sicut enim iusiurandum Deum in anima ponit, sic etiam lex Deum in animam inducit. Et quemadmodum periurium Deum ex anima delet, ita legis violatio Deum ex illa abigit. Si ergo stante lege, peccata sua confiteri noluerint, metu ac pudore hominum, exitialiter subvertentur. Sic ait et David: confitebor adversus me iniustitiam meam Domino, et tu remisisti impietatem cordis mei. Et: dic tu prior pec-

cata tua, ut iustificeris. Item Salomon ait: qui operit iniquitatem suam, non prosperabitur: qui autem enarrat et vituperat, hic diligetur.

Quicumque mandata Dei observamus, angelos demeremur. Ipsi duces nostri sunt, suscepta ab initio tutela nostra, cum dividebat Altissimus gentes, statuebatque fines populorum secundum numerum angelorum Dei. Age vero demerendo duces nostros angelos, Dominique voluntate adimplenda, iustum a Domino praemium illa die consequemur, qua mundum iudicabit cum iustitia: quandoquidem omne iudicium pater filio tradidit.

κας τὴν ἀσέβειαν τῆς καρδίας μου· καὶ λέγε σὺ
πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς*· καὶ πά- * Is. XLIII. 26.
λιν ὁ Σολομῶν φησὶν *· ὁ ἐπικαλύπτων ἀσέβειαν * Prov. XXVIII. 13.
αὐτοῦ, οὐκ εὐοδωθήσεται· ὁ δὲ ἐξηγούμενος καὶ
ἐλέγχων, ἀγαπηθήσεται.

Ὅσοι κατορθοῦμεν τὰς ἐντολὰς, θεραπεύομεν
τοὺς ἀγγέλους· αὐτοὶ γάρ εἰσιν οἱ ἡγούμενοι ἡμῶν 1), v. 26.
ἀπ' ἀρχῆς λαβόντες ἡμᾶς, ὅτε διεμέριζεν ὁ ὕψιστος
ἔθνη, καὶ ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγ-
γέλων αὐτοῦ· ἐν δὲ τῷ θεραπεύειν ἡμᾶς τοὺς
ἡγουμένους ἡμῶν ἀγγέλους, ἐν τῷ θελήματι τοῦ
κυρίου, ἐν τῇ κρίσει δίκαιον ὑπάρξει ἡμῖν παρὰ
τοῦ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτε κρινεῖ τὴν οἰ-
κουμένην ἐν δικαιοσύνῃ· εἴ γε πᾶσαν τὴν κρίσιν
ὁ πατὴρ δέδωκε τῷ υἱῷ.

CAP. XXXI.

Fortitudo est optima qualitas animae rationalis, qua adversantes sibi inimicos anima superat.

Superata adversaria potentia, manubias inde capimus, litteraturam eius discendo: ut vitia eius palam facientes, non modo caveant a laqueis simpliciores, sed etiam quotquot irretiti fuerant facile effugiant.

Lanam linumque net anima, cum animatarum et inanimatarum doctrinas meditatur; vel cum practicae et physicae scrutatur methodos: vel cum incorporeorum theoriam practica ad se trahit consuetudine.

Noctu exsurgentem animam, vigilem invenit sponsus iustitiae sol, nec non enixe orantem ut ne in tentationem incidat, dicentemque: vigilavi et facta sum velut passer solitarius. Est autem cibus animae, meditatio divinorum eloquiorum: opera, sunt virtutes: ancillae, sensus. Haec ergo confert domicilio suo corporali aestimabilior pretiosis lapidibus anima.

Animam viri frugi dicit ecclesiam, lignum scientiae et lignum vitae habentem; scientiae ut legis, vitae ut verbi. Ipsa enim est ecclesia quae de latere Christi processit, eiusque sponsa inventa est, pudica et fortis mulier, fidem huic servans, eumque sponsum de caelis iterum expectans.

Fusus, est pura mens, virtutem virtuti agglomerans, et dogma dogmati: vel sermo

Ἀνδρεία ἐστὶν ἕξις ἀρίστη λογικῆς ψυχῆς,
καθ' ἣν τῶν ἀντικειμένων αὕτη κεκράτηκεν ἐχ- v. 10. cod. f. 137. b.
θρῶν.

Νικήσαντες τὴν ἀντικειμένην δύναμιν, σκυλεύο- v. 11.
μεν αὐτὴν, τοὺς περὶ αὐτῆς λόγους μανθάνοντες·
ἵνα τὰ κατ' αὐτὴν φαῦλα δῆλα ποιήσαντες, ἀπαγί-
δευτοι μένωσι, μὴ μόνον οἱ ἁπλούστεροι, ἀλλὰ καὶ οἱ
συλλαγωγηθέντες ῥᾳδίως ἐκφεύγωσιν ἀπ' αὐτῆς.

Μηρύεται τὸ ἔριον καὶ λίνον ψυχὴ, τοὺς περὶ v. 13.
ἐμψύχων καὶ ἀψύχων λόγους γυμνάζουσα· ἢ τοὺς
περὶ πρακτικῆς καὶ φυσικῆς ἐξετάζουσα λόγους·
ἢ τὴν περὶ σωμάτων καὶ ἀσωμάτων θεωρίαν διὰ
τῆς πρακτικῆς ἕλκουσα πρὸς αὐτὴν ἕξεως.

Ἡ καὶ τὴν ἐκ νυκτὸς ἀνισταμένην ψυχὴν, v. 15. cod. f. 138. a.
γρηγοροῦσαν εὑρίσκει ὁ τῆς δικαιοσύνης ἥλιος
νυμφίος· πάντως δὲ καὶ προσευχομένην τοῦ μὴ
ἐμπεσεῖν εἰς πειρασμὸν, λέγουσαν τὸ, ἠγρύπνησα
καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος*· * Ps. CI. 8.
βρῶμα δέ ἐστι ψυχῆς, ἡ μελέτη τῶν θείων λόγων·
ἔργα δὲ, αἱ ἀρεταί· θεραπαινίδες δὲ, αἱ αἰσθή-
σεις· ταῦτ' οὖν παρέχει ἡ τιμιωτέρα λίθων πολυ-
τελῶν ψυχὴ τῷ σωματικῷ αὐτῆς οἴκῳ.

Τὴν τοῦ σπουδαίου ψυχὴν φησὶν ἔχουσαν ἐκ- v. 16.
κλησίαν ξύλον γνώσεως, καὶ ξύλον ζωῆς· γνώσεως
μὲν ὡς νόμου, ζωῆς δὲ ὡς λόγου· αὕτη γάρ ἐστιν
ἡ ἐκ πλευρᾶς Χριστοῦ προελθοῦσα, καὶ νύμφη
τούτου εὑρεθεῖσα, ἡ σώφρων καὶ ἀνδρεία γυνὴ,
ἡ τὴν πίστιν τούτου τηρήσασα, καὶ τοῦτον νυμφίον
ἀπ' οὐρανῶν πάλιν προσδοκῶσα.

Ἄτρακτός ἐστιν νοῦς καθαρὸς, συμπλέκων v. 19. cod. f. 138. b.
ἀρετὴν ἐπ' ἀρετῇ, καὶ δόγματι δόγμα· ἢ λόγος

1) Observa Origenis testimonium de custodibus hominum angelis.

προφορικὸς, ἕλκων ἀπὸ τοῦ νοῦ πνευματικὴν θεωρίαν.

externe prolatus, qui ex mente deducit spiritalem theoriam.

v. 21. cod. f. 139. a. Οὐκ ἂν προέλθοι νοῦς, οὐδὲ ἐν θεωρίᾳ γένοιτο τῶν ἀσωμάτων, μὴ τὰ ἔνδον διορθωσάμενος· ἡ γὰρ ταραχὴ τῶν οἰκείων ἐπιστρέφειν αὐτὸν εἴωθε πρὸς τὰ ἀφ' ὧν ἐξελήλυθεν· ἀπάθειαν δὲ κτησάμενος, χρονίσει τε ἐν τῇ θεωρίᾳ, καὶ οὐ φροντίσει τῶν ἐν οἴκῳ· ἐνδέδυνται γὰρ πάντες οἱ παρ' αὐτῆς· ὁ μὲν θυμὸς, πρᾳότητα καὶ ταπεινοφροσύνην· ἡ δὲ ἐπιθυμία, σωφροσύνην καὶ ἐγκράτειαν.

Mens non proficiet, neque theoriam incorporeorum adsequetur, nisi interiora sua recte composuerit. Nam proprii status perturbatio, solet mentem eo revocare, unde discesserat. Sed tranquillitatem cupiditatum adepta, demorabitur in contemplatione, et domesticarum rerum curam seponet: sunt enim omnes vestiti familiares eius: furor, lenitate et humilitate cupiditas, temperantia atque continentia.

v. 27. cod. f. 138. b. Σῖτα ὀκνηρὰ, τὰ ὀκνοποιοῦντα τυχεῖν τῆς βασιλείας τοὺς ἁπλουστέρους καὶ ἀφελεστέρους, ἡ εὐγνώμων καὶ θεοφιλὴς ψυχὴ οὐκ ἐσθίει, οὔτε μὴν τούτων γεύεται, εἰ τάχα τύχοι αὐτῶν ἐπιθυμῆσαι· τὰς κακίας γάρ φησι σῖτα ὀκνηρά.

Otiosas escas, et quae pigros ad regnum consequendum reddunt homines simpliciores, aut ineptiores, fidelis ac religiosa anima non comedit; et ne gustat quidem, si forte illorum cupiditas ei accidat. Porro iniquitates dicit escas otiosas.

v. 30. cod. f. 140. v Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος. Ἡ ἀφρονεστάτη ψυχὴ οὐ μόνον ἐννοεῖ καὶ φαντάζεται τὸ αὐτῇ ἀρεστὸν, ἀλλὰ καὶ ἔργῳ ἐγχειρεῖ πληρῶσαι τὴν θεωρίαν· εἰ δὲ ἀρχὴ σοφίας φόβος κυρίου, δικαίως ἡ τυχοῦσα σοφίας ψυχὴ αἰνεῖ τὸν φόβον τοῦ κυρίου, ὃς γέγονεν αὐτῇ τῆς τοιαύτης γνώσεως πρόξενος.

Fallaces gratiae sunt et vana pulchritudo. Stultissima quaeque anima non modo cogitat et imaginatur, quod sibi est libitum, sed etiam in opus conferre adgreditur meditatum suum. Quod si initium sapientiae est timor Domini, merito anima sapientiam adepta, timorem Domini commendat, qui ei talis scientiae conciliator fuit.

ADDITAMENTUM.

Cap. I. 13. cod. ottob. 117. p. 16. Ἴσασι γὰρ ὅτι τὴν μὲν περὶ τὰ πρακτέα κέκτηται γνῶσιν, ἀρετῆς μὲν αἵρεσιν, φυγὴν δὲ κακίας, καὶ ὅτι κτῆσιν ἔχει τοὺς διδασκομένους ὑπ' αὐτοῦ· φασὶν οὖν ὡς αὐτὸν ἑλόντες, καὶ τούτοις χειρούμεθα· ἄλλως δὲ κτῆσις τοῦ δικαίου, σοφία καὶ φρόνησις, σύνεσίς τε καὶ ἀρετή· καταλαμβάνονται δὲ τὴν κτῆσιν ταύτην οἱ ἀσεβεῖς, πείθοντες τὸν δίκαιον ποιῆσαί τι τῶν ἀπηγορευμένων θεῷ· ἵνα τυφλωθεὶς ἀπὸ τῆς ἁμαρτίας ὁ νοῦς ἐκπέσῃ τῶν ἁγίων τούτων κτημάτων.

Norunt enim, eum agendarum rerum scientiam possidere, et in propria potestate habere alumnos suos. Aiunt itaque, tamquam eo capto, hisce dominamur. Alioqui vero possessio iusti viri est sapientia, prudentia, intelligentia atque virtus. Occupant autem eiusmodi possessionem improbi, si quando iusto suadent ut aliquid a Deo vetitum perpetret: nempe ut mens peccato excaecata, a sancta huiusmodi possessione excidat.

Cap. X. 8. cod. reg. 77. p. 310. Τὸ μὲν συνετῷ δικαίῳ, καὶ τὰ δυσχερῆ τῶν πραγμάτων εὔκολα γίνεται· τῷ δὲ ἑτέρως ἔχοντι, καὶ τὰ εὔκολα καὶ ἀνάψυξίν τινα ἔχοντα, δυσχερῆ καθίσταται.

Sapienti iusto difficilia quoque negotia fiunt facilia. At ei qui aliter se habet, facilia etiam et solatium quoddam habentia, difficilia evadunt.

v. 21. cod. p. 318. Λόγον γὰρ ἔχουσι θεωρημάτων ἐπιστήμονα, μηδὲν ἔχοντες ὑψηλόν.

Theoreticam doctrinam habent, sed excelsum nihil.

FINIS ORIGENIS.

ΕΚ ΤΩΝ ΔΙΔΥΜΟΥ

ΕΙΣ ΠΑΡΟΙΜΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ

ΕΞΗΓΗΣΕΩΝ.

EX DIDYMI

IN PROVERBIA SALOMONIS

COMMENTARIIS.

CAP. I.

Proverbium est veluti si dicas: dulce est inexperto bellum. Et, gutta perpetua cavat lapidem.

Proverbii denominatio inde orta est, quod cum olim viae nullis signis interstinctae essent, illa nunc a Romanis appellata miliaria, antea vero dicta signa, prisci homines quibusdam in locis statuerunt, hisque inscripserunt aliquas quaestiones. Id porro duplici de causa factitabant tum ut viae quantitatem viatori indicarent, tum ut dum is legeret inscriptionem, et dum in huius intelligentia occuparetur, labore levaretur. Namque οἶμος (hinc παροιμία) via dicitur.

Cognoscere verba prudentiae, officium praecipue virtutis est, quod et ceteri interpretes satis declarant, qui non scripserunt prudentiae sed intelligentiae. Vel verba prudentiae dicit illa quae sunt sophistica et callide elaborata.

Reprehendens sacer sermo illos qui iustitiam simulant, et eam prout oportet se habere dicunt, ait: si vere utique iustitiam loquimini, recta iudicate, filii hominum.

Audio Theodotionis interpretationem, quam in editione sua posuit etiam Symmachus; hi enim problema scripserunt. Quid est igitur tenebrosus sermo? confusus scilicet sensu et phrasi; velut ille apud Isaiam prophetam. « Vae » terrae navium, trans flumina Aethiopiae! » Qui mittit in mare obsides, et epistolas » papyraceas super aquas. » Nihil enim horum sive in ratione parabolae dictionem perspicuam habet, sive alicuius historiae manifestam narrationem. Iam vero aenigmatis

Παροιμία ἐστὶν, οἷον, γλυκὺς ἀπείρῳ πόλεμος· καὶ ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν. Cod. A. f. I. vat. 1802. B. f. 5. C. reg. p. 28. Cat. latin. Pelt. p. 6.

Ἡ παροιμία εἴρηται· ἐν ἀρχῇ γὰρ ἔτι τῶν τρίβων οὐσῶν ἀσήμων, τὰ νῦν προσηγορευόμενα μίλια παρὰ Ῥωμαίοις, τότε σημεῖα καλούμενα, οἱ παλαιοὶ κατά τινας τῆς ὁδοῦ τόπους ἐτίθεσαν, καὶ τούτοις ἐπέγραφον τινὰ ζητήματα· τοῦτο γὰρ ἐποίουν δυοῖν ἕνεκεν, τοῦ τε γνωρίζειν τὸν ὁδεύοντα τὸ ποσὸν τῆς ὁδοῦ, καὶ τοῦ ἀναγινώσκοντα τὸ ἐπίγραμμα, καὶ περὶ τὴν τούτου σαφήνειαν γινόμενον, τοῦ καμάτου ἐπικουφίζεσθαι.- Οἶμος γὰρ λεγεται ἡ ὁδός.

Τὸ γνῶναι λόγους φρονήσεως, κυρίως ἐστὶ τῆς ἀρετῆς δηλονότι, ὥσπερ καὶ οἱ λοιποὶ ἑρμηνευταὶ σαφηνίζουσιν, ἐκδεδωκότες ὡς οὐ φρονήσεως ἀλλὰ συνέσεως λόγους. Ἢ λόγους φρονήσεως φησὶ τοὺς σοφισματώδεις καὶ πανουργευμένους. v. 3. B. ot. f. 7. C. p. 117. 42.

Ἐλέγχων ὁ λόγος τοὺς ἐπιμορφαζομένους τὴν δικαιοσύνην, καὶ λέγοντας ἔχειν αὐτὴν ὡς δεῖ, φησίν· εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε υἱοὶ τῶν ἀνθρώπων. v. 3. A. f. 2. b.

Ἀκούω τοῦ Θεοδοτίωνος ἑρμηνείαν, ἣν ἐξέδωκε καὶ Σύμμαχος, ὅτι πρόβλημα ἐκδεδώκασιν· τί οὖν ἐστιν ὁ σκοτεινὸς λόγος; ὁ συγκεχυμένος κατά τε λόγον καὶ διάνοιαν καὶ φράσιν· οἷον τὸ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ *. « οὐαὶ γῆς πλοίων, » ἐπέκεινα ποταμῶν Αἰθιοπίας· ὁ ἀποστέλλων » ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνους » ἐπάνω τοῦ ὕδατος· » οὐδὲν γὰρ τούτων οὔτε ἐν παραβολαῖς τὴν λέξιν σαφῆ ἔχει, οὔτε μὲν ἱστορίας διήγησιν φανεράν· καὶ τοῦ μὲν αἰνίγματος ἔστι νοεῖν τὸ ῥητὸν, τοῦ δὲ σκοτεινοῦ v. 6. B. f. 12. b. C. p. 74. Pelt. lat. p. 36.

* Is. XVIII. I.

B. f. 13. C. p. 78. Pelt. lat. p. 38. λόγου οὐδὲ τὸ ῥητόν.—Σκοτεινὸς μὲν λόγος, γενική ἐστι φωνή· ἡ δὲ παραβολὴ, ἰδική· σκοτεινὸς δὲ οὐ τὸν κατὰ στέρησιν φωτὸς, ἀλλὰ τὸν κεκρυμμένον, ὡς σκοτίζεσθαι τὸν ἀγνοοῦντα. ῥήσεις δὲ τὰ καλλιεπῆ ἀποφθέγματα· αἴνιγμα δὲ λόγος μετ᾽ ἐπικρύψεως σημαίνων τὸ ἀληθές· ὁποῖον ἐστὶ τὸ, διάνοιξον ὁ Λίβανος τὰς πύλας σου, καὶ καταφαγείτω πῦρ τὰς κέδρους σου.

v. 7. A. f. 5. b. Ἀληθὴς γὰρ φόβος, ἡ κατὰ σεβασμὸν εὐλάβεια· σύνεσις δὲ ἀγαθή. Εἰς τόδε ὑποστικτέον· οὐκ ἀρκεῖ γὰρ εἰς μακαριότητα τὸ εἰδῆναι τὸ ἀγαθὸν, εἰ μὴ καὶ πράττοι τίς αὐτό· εὐσέβεια δὲ εἰς Θεὸν, ἀρχὴ συνέσεως.

v. 8. B. f. 14. b. C. p. 92. Pelt. lat. p. 46. Πατὴρ μὲν δικαίων ὁ Θεός· πᾶς γὰρ ὁ ποιῶν τὴν δικαιοσύνην, ἐκ τοῦ Θεοῦ γεγένηται· μήτηρ δὲ ἡμῶν ἡ ἐκκλησία, ἧς νυμφίος ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. Θεσμοὶ δὲ αἱ ἀποστολικαὶ διατάξεις 1)·—
A. f. 6. b. Εἰ καὶ ἀναγωγὴν ἔχει τὰ προκείμενα, ἀλλ᾽ ἐφαρμόζονται καὶ τοῖς κατὰ φύσιν γονεῦσιν, ὅταν θεοσεβεῖς ὄντες ἀνατρέφωσι τὰ τέκνα· ὄντος δὲ ἀνδρὸς τοῦ διδασκάλου τοῦ γεννήσαντος διὰ τοῦ εὐαγγελίου τοὺς παιδευομένους, σύζυγος τούτῳ καὶ μήτηρ τῶν τεχθέντων ἐστὶν ἡ ἐκκλησία, μᾶλλον δὲ ἡ ἐκκλησιαστικὴ γνώμη καὶ πολιτεία· ἣν τοίνυν ἐμοῦ, φησὶ, τοῦ παροιμιαστοῦ, νῦν ὡς καθηγητοῦ καὶ πατρὸς, νῦν δὲ σοφίας καὶ ἀρετῆς ἀντὶ μητρὸς κατακούσῃς, στεφθήσῃ χαρίτων στεφάνῳ, καὶ τὸν τράχηλον κοσμηθήσῃ κλοιῷ, ἐκ νοητοῦ χρυσοῦ καὶ κόσμου κατεσκευασμένῳ· ὕλη γὰρ στεφάνου ὃν ἀναδεῖται ἡ τοῦ ἔσω ἀνθρώπου κεφαλὴ, ἡ τῶν ἀρετῶν περιοχὴ, χάριτες ὀνομαζόμεναι τυγχάνουσι· συμφώνως τῷ στεφάνῳ νοητῷ ὄντι, ἐκληπτέον καὶ τὸν χρυσοῦν κλοιὸν ἐπιβαλλόμενον τῷ τῆς ψυχῆς τραχήλῳ, τουτέστι τῷ ὑποτακτικῷ αὐτῆς·

v. 9. B. f. 15. a. C. p. 94. P. lat. p. 47. Κορυφὴν δὲ καὶ τράχηλον λέγει τὸν νοῦν· κλοιὸν δὲ χρύσεον, τὴν γνῶσιν καὶ τὸν νοητὸν τῆς ψυχῆς κόσμον· ἢ κλοιὸς χρύσεος ἡ ὑποταγὴ τοῦ Θεοῦ, καὶ ἡ τῶν θείων λογίων περιοχή.

v. 10. Καὶ τὸ σὺν ἄλλοις μὲν ἁμαρτάνειν, κόλασιν ἐπιφέρει· ἄνδρες γε μὲν ἀσεβεῖς, οἱ ἐν κακίᾳ τέλειοι.

v. 11. B. f. 15. b. Κρύπτουσιν εἰς γῆν, οὓς ἂν πείσωσι τὰ ἐπίγεια φρονεῖν· ἄνδρα δὲ δίκαιον νοήσεις τὸν οὐράνιον ἔχοντα φρόνημα· δύναται δὲ ταῦτα νοεῖσθαι καὶ εἰς Χριστὸν, καὶ εἰς τὸν τῶν Ἰουδαίων λαόν.

v. 12. B. f. 16. a. Τὸ ἱκανὸν ἡ γραφὴ δηλοῖ διὰ τοῦ καταπιεῖν,

quidem saltem dictum intelligi potest, tenebrosi vero sermonis ne dictum quidem.—Tenebrosus sermo, est generalis vox; parabola, peculiaris. Tenebrosus haud ob lucis defectum, sed quia abtrusus est, ita ut tenebrae ignoranti oboriantur. Effata sunt venusta apophthegmata. Aenigma, oratio occulte significans rem veram; velut illud: aperi, Libane, portas suas, et devoret ignis cedros tuas.

Verus timor est in religione reverentia. Intellectus autem bonus. Heic interpungendum est. Non enim sufficit ad beatitudinem cognoscere bonum, nisi quisque id etiam opere exerceat. Pietas vero in Deum, initium intelligentiae.

Pater iustorum Deus. Quisquis enim iustitiam exercet, ex Deo natus est. Mater nostra ecclesia, cuius sponsus dominus noster Iesus Christus. Leges, sunt apostolicae constitutiones.—Etsi autem anagogen quoque habent supradicta, attamen accommodantur etiam naturalibus genitoribus, cum pro sua in Deum pietate liberos educant. Iam quum sit vir, magister ille qui gignit per evangelium alumnos suos, coniux huius, et natorum mater, ecclesia est, immo potius ecclesiastica doctrina et vivendi ratio. Si ergo me, inquit, proverbiorum auctorem, modo ut patris enarratorem, modo ut sapientiae et virtutis, id est matris, audies, cingêris gratiarum corona, et collum tuum torque ornabitur, ex intellectuali auro et ornamentis confecto. Materia enim coronae, qua interioris hominis caput cingitur, est virtutum circulus, quae gratiae appellantur. Itaque consonanter coronae intellectuali intelligendus est etiam torques aureus animae collo iniectus, id est obedientiae eius.

Verticem collumque dicit mentem: torquem vero aureum scientiam et intellectualem animae ornatum. Vel torques aureus, est subiectio Deo, et divinorum eloquiorum munimentum.

Peccare quoque cum aliis, non caret poena. Viri impii sunt, in nequitia consummati.

Obruunt eos sub terra, quibus suaserint terrena cogitare. Virum iustum illum reputabis, qui caelestem habet animi sensum. Possunt haec etiam de Christo et de iudaico populo intelligi.

Quod multum est, scriptura vocabulo de-

1) Animadverte testimonium Didymi de apostolicis constitutionibus.

glutiendi denotat; ut illic: ne abundantiore tristitia deglutiatur qui huiusmodi est. Aiunt itaque: hominem hunc caelesti animi sensu praeditum, devictum comprehendentes ad nos transferemus, ut terrena cogitet. Vivens autem deglutitur, qui rectam habens circa res agendas sententiam, hanc abiicit.

ὡς ἐν τῷ· ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ τοιοῦτος· φασὶν οὖν, ὅτι τὸν οὐράνιον ἔχοντα φρόνημα καθελόντες καὶ νικήσαντες, εἰς ἑαυτοὺς μεταστήσωμεν, ὥστε τὰ ἐπίγεια φρονεῖν· ζῶν δὲ καταπίεται, ὁ δόξαν ἔχων ὀρθὴν περὶ τῶν πρακτέων, καὶ ταύτην ἀποβαλών.

CAP. II.

Consilium dicit, animi propositum, quo constituimus facere quae debemus, vel secus. Cogitationem vero dicit quae est circa visibilia, ut haec omittamus, et ad Deum accedamus, et mandata eius pro viribus observemus.

v. 11. B. f. 20. b. Βουλὴν δὲ λέγει τὴν προαίρεσιν, καθ' ἣν αἱρούμεθα τὰ πρακτέα ποιεῖν, ἢ καὶ μή· ἔννοιαν δὲ τὴν περὶ τὰ θεωρητά, ὥστε καταλιμπάνειν αὐτά, καὶ Θεῷ προσοικειοῦσθαι, τὰς ἐντολὰς αὐτοῦ ὅση δύναμις φυλάττεσθαι.

CAP. III.

Qui virtutum consuetudinem habet, nec facile ad illarum exercitium torpet, hic habet eas inscriptas in tabula cordis sui, in penetrali videlicet animae suae seu perpetui adfectus, ne umquam adversarius te subvertat.

Corpus esse aio, animae virium congeriem. Ossa, sunt firmae vires eius: omnia enim ossa nostra dicent: Domine Domine.

Dextera eius, est divinarum rerum scientia, unde aeterna vita. Sinistra, est rerum humanarum cognitio.

Heic rursus vitae lignum appellat crucem. Nam iis qui sincere Christo adhaerent, multiplex ex ligno manat vita: et innitentibus basi eius, munita firmitas stat indeclinabiliter, velut iis qui in Domino tute sunt fundati.— Quod si vitae lignum sapientia Dei est, merito prohibitus est eam Adamus participare. Etenim in malitiosam animam sapientia non introibit, quoniam ex iustitiae fructibus pullulat arbor vitae. Non inveniens autem cui comparet sperantem in Dominum, in se convertit sermonem quasi loquatur de Domino: nam qui in eam incumbit, tamquam in Dominum, securus est.

Congruit hoc nunc quoque filio Dei, qui sapientia et prudentia Dei est. Sed et fidelis anima, terra est fructum centuplicem reddens. Illa vero ex pinguedine sapientiae fit sapiens, stabiliente eam in hac Deo patre. Fundat enim in ea doctrinae magisterium, eamque sapientia coagmentat, atque in melius semper pro-

v. 3. C. p. 136. Ἐν ἕξει τὰς ἀρετὰς ἔχων, μὴ ἐπιπολαίως καταῤῥαθυμῶν αὐτῶν, οὗτος ἔχει αὐτὰς γεγραμμένας ἐπὶ πλακὸς τῆς ἑαυτοῦ καρδίας, ἐπὶ τοῦ βάθους δηλαδὴ τῆς ἑαυτοῦ ψυχῆς, ἤτοι τῆς διηνεκοῦς ἐπιθυμήσεως, ἵνα ὁ ἐξ ἐναντίας μὴ παρατρέπῃ σε.

Σῶμα τὸ ἄθροισμα τῶν δυνάμεων τῆς ψυχῆς
v. 8. A. f. 16. b. λέγω· ὀστᾶ, αἱ στερεαὶ δυνάμεις αὐτῆς· πάντα γὰρ τὰ ὀστᾶ ἡμῶν ἐροῦσι, κύριε κύριε.

Δεξιὰ αὐτῆς, ἡ τῶν θείων ἐπιστήμη, ἐξ
v. 16. C. p. 146. ὧν ἡ αἰώνιος ζωή· ἀριστερὰ δὲ ἡ τῶν ἀνθρωπίνων γνῶσις.

v. 18. B. f. 24. b. Ἐνταῦθα πάλιν ξύλον ζωῆς, τὸν σταυρὸν ὀνομάζει· τοῖς γὰρ εἰλικρινῶς ἐξηρτημένοις ἐν τῷ Χριστῷ, ἡ διάφορος ἐκ τοῦ ξύλου ἀποστάζει ζωή· τοῖς δὲ ἐπερειδομένοις ταῖς κρηπῖσιν αὐτοῦ, βεβαίωσις ὀχυρὰ πέπηγεν ἀκλινῶς, οἷα δὴ καὶ ἐπὶ κύριον ἀσφαλῶς ἱδρυμένοις.—Εἰ δὲ ξύλον ζωῆς ἡ σοφία τοῦ Θεοῦ, δικαίως κεκώλυται μεταλαβεῖν αὐτῆς ὁ Ἀδάμ· εἰς γὰρ κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται· ἐπείπερ ἀπὸ καρπῶν δικαιοσύνης φύεται δένδρον ζωῆς· μὴ εὑρηκὼς δέ τινι ὁμοιώσει τὸν ἐλπίζοντα ἐπὶ κύριον, εἰς ἑαυτὸν μεταστρέφει τὸν λόγον, λέγων ὡς ἐπὶ κύριον· ὁ γὰρ ἐπερειδόμενος ἐπ' αὐτῇ, ἅτε δὲ εἰς Θεὸν ἐλπίζων, ἐστὶν ἀσφαλής.

v. 20. B. f. 25. C. p. 150. Ἁρμόττει τοῦτο καὶ νῦν τῷ υἱῷ τοῦ Θεοῦ, σοφίᾳ καὶ φρονήσει ὄντι θεοῦ· ἀλλὰ καὶ ἡ ψυχὴ ἡ πιστή, γῆ ἐστιν ἑκατονταπλασίονα καρποφοροῦσα· αὕτη δὲ ἐκ τῆς πιότητος τῆς σοφίας γίνεται σοφή, θεμελιοῦντος αὐτὴν ἐπ' αὐτῇ τοῦ θεοῦ καὶ πατρός· ἑδράζει γὰρ αὐτῇ τὴν εἰσαγωγὴν τῆς διδασκαλίας, πῆξιν ἀπὸ σοφίας ποιούμενος

ἐν αὐτῇ· καὶ ἀεὶ προκόπτουσαν αὐτὴν ἀποδεικνύς· οὐρανὸν δὲ ἐργάζεται καθαρώτατον κτίσμα, ἀγγέλων καὶ τῶν νοερῶν οὐσιῶν οἰκητήριον· λαβοῦσα δὲ αἴσθησιν τοῦ ὄντος, καὶ κατανοοῦσα τὴν τῶν πραγμάτων ἀκρίβειαν, οἷον τὸ πολύβυθον τῶν τοῦ Θεοῦ κριμάτων, νέφη ταῦτα προσεῖπεν· ἢ νέφη τοὺς προφήτας ἐκάλεσε, δρόσον τὴν διδασκαλίαν.

vehens, caelum veluti efficit, creaturam purissimam, angelorum et intellectualium substantiarum habitaculum. Illa autem sensu rerum existentium percepto, et illarum accuratam rationem considerans, quasi abyssum multam iudiciorum Dei, nubes ea nominavit. Vel nubes, prophetas appellavit; rorem, doctrinam.

v. 21. A. f. 18. b. Μὴ ἐκτὸς γένῃ τοῦ ποτίμου τῆς ζωῆς ὕδατος· βουλὴν δὲ λέγει τὴν περὶ πρακτέα κίνησιν· ἔννοιαν, τὴν περὶ τὰ θεωρητικά· τράχηλον τὴν αὐτὴν ψυχὴν εἶπε, τὴν βαστάσασαν τὸν ζυγὸν τοῦ κυρίου· ὥσπερ δὲ ὁ τράχηλος τοὺς στηθοδέσμους περίκειται, οὕτως ἡ ψυχὴ τὰ τοῦ Θεοῦ γέρα κομιεῖται ἐν τῇ βασιλείᾳ, ὡς καὶ ἐν τῇδε τὰς ἐντολὰς αὐτοῦ.

Ne longe abeas a potabili vitae aqua. Consilium autem dicit, erga res agendas motum; meditationem, eam quae fit circa theoretica. Collum dicit ipsam animam, quae iugum Domini portat. Sicut autem collum pectoralibus praecingitur, sic anima dona Dei in regno gestabit, sicut heic mandata eius.

v. 33. A. f. 20. a. Τῶν ἀσεβῶν καὶ τὰ ἐπίδοξα κεκατήραται· τῶν δὲ δικαίων καὶ τὰ εὐτελέστερα ηὐλόγηται· οἶκον δὲ λέγει, τῆς λογικῆς ψυχῆς τὰς δυνάμεις· ἐπαύλεις δὲ, τὰς τοῦ θυμικοῦ καὶ τοῦ ἐπιθυμητικοῦ· ἐν αὐταῖς γὰρ τὰ ἄλογα διατρίβουσι πάθη.

Impiorum res etiam splendidae maledictione feriuntur; at iustorum etiam viles benedicuntur. Domum dicit, rationalis animae facultates: tuguria, partem iracundam et concupiscibilem: ibi enim irrationales habitant passiones.

CAP. IV.

v. 8. A. f. 21. b. Τιμὴ σοφίας, ἡ τήρησις τῶν ἐντολῶν· σοφία δὲ ὁ Χριστὸς, οὗ νύμφη ἡ διὰ τῶν ἀρετῶν τιμῶσα αὐτὸν ψυχὴ, ἥτις ὑπ' αὐτοῦ περιληφθήσεται.

Honor sapientiae, mandatorum observantia. Sapientia Christus, cuius sponsa est, quae eum virtutibus honorat anima, quam ille amplexabitur.

v. 20. A. f. 23. a. Καθάπερ νηπίῳ τινὶ παιδίῳ ἔπαθλα ἀεὶ ταῖς προσοχαῖς τίθησι, καὶ διεγείρει ἔξω που διεπτοημένον· πηγαὶ δὲ ζωῆς αἱ ἀρεταὶ, ἀφ' ὧν τὸ ζῶν ὕδωρ, ἡ γνῶσις ἡ τοῦ Χριστοῦ. Τῷ κατὰ σοφίαν προκόπτοντι, πολλαὶ πηγαὶ καὶ οὐ μία γίνεται, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ἀρετῶν· τοῖς τὰς παραινέσεις, φησὶ φυλάττουσι ταύτας, ζωὴ γίνονται· αὗται τὸ ἆθλον.

Simplici veluti puerulo praemia semper proponit attentionibus eius, erigitque extra aliquando prolapsum. Vitae fontes, virtutes; unde aqua vivens, Christi agnitio. Proficienti sapientiâ multi fontes, non unus, sed pro virtutum numero. Iis qui observant has monitiones, vita fiunt. Item praemia sunt.

v. 26. A. f. 23. b. Τὴν κατὰ τὸν βίον πορείαν ὀρθῶς βάδιζε, φησί· πόδες εἰσὶ τῆς ψυχῆς αἱ μεταβατικαὶ ταύτης ὁρμαί· μεσότης γάρ ἐστιν ἡ ἀρετή.

Vitae iter recte persequere, inquit. Pedes sunt, tralaticii huius motus; nam virtus medium tenet.

CAP. V.

v. 2. A. f. 24. b. Μὴ πρόσεχε ἀπατηλῇ διδασκαλίᾳ, διὰ τῆς χρηστολογίας δελεαζούσῃ, τουτέστιν αἱρέσει καὶ τῇ εἰδωλολατρίᾳ καὶ ματαίοις ῥήμασι.

Cave adtendas fraudulentae doctrinae, quae per dulces sermones inescat, id est haeresi et idololatriae et vaniloquiis.

v. 3. A. f. 24. b. Μέχρι τῆς ἀκοῆς αὐτῶν τὸ καλόν· τοιαύτη γὰρ ἡ ἀπάτη· τὸ μὲν ὀλέθριον κρύπτειν εἴωθε, προβάλλεται δὲ τὸ ἡδὺ, ὥστε ἑλεῖν· ἢ γὰρ ἂν εὐθέως ἀπεπήδησαν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ τὸ ἡδὺ ἀποκρύπτει, τὸ δὲ ἐπίπονον προτίθησι· καὶ οὐκ εἶπεν ἀποῤῥεῖ, ἀλλὰ ἀποστάζει, ὡς μὴ

Auditûs tenus, harum rerum bonitas. Talis est erroris natura, perniciem celare solet, iucunditatem prae se ferre, ut decipiat; aliter enim, statim homines recederent. Non ita Deus, qui dulce celat, laboriosum proponit. Neque dixit defluit, sed destillat, ne satiatura vi-

deatur amaritudo; nam postea felle amarior sentietur. Non quanta est (vitii) dulcedo, tanta etiam amaritudo, sed multo maior.

Viae nomine mentem quae ad virtutem tendit, heic denotavit. Vel fortasse mandat virtuti ut nos a nequitia separet.

Id est in senectute. Vel carnium contritione denotat intemperantiam quae est quaedam corruptio.

Introducit hominem corruptum, qui semet vituperat quia disciplinam oderit, aitque: perii et contabui conterendo carnes meas in luxuriis, et vitam propemodum proieci. Ideo palam facta est punitio mea in medio ecclesiae ac synagogae. Est enim haec poenitentis vox, qui nondum est in ea extremitate cui proximus fuit. Par illud est: paene effusi sunt gressus mei. Namque evigilans, sentiensque, ubinam inquit prope fui? Quomodo igitur possumus ex natura orienti insaniae mederi.

Scientia, simul est puteus ac fons: his qui ad virtutes accedunt, puteus: illis qui in eis sunt perfecti, fons. Scientia dicitur etiam mater, uxor, soror: mater, quia per eam a magistro gignimur: uxor quia copulata parit virtutes et recta dogmata: soror, quia ex uno Deo existimus. Et dixi sapientiae: soror mea es.

Videsis quomodo non modo abundantià facilitatem ostendit, sed et neminem habendo gaudii participem. Duplicat autem eam rem, et possessionem appellat: novit enim eiusdem rei voluptatem.

προσκορῆ γενέσθαι τὴν πικρίαν· ὕστερον μέν τοι
πικρότερον χολῆς· οὐχ ὅσον τὸ ἡδὺ, τοσοῦτον
τὸ πικρὸν, ἀλλὰ πολλῷ πλέον.

Ὁδὸν εἶπεν ἐνταῦθα, τὸν ἐπὶ τὴν ἀρετὴν v. 8. A. f. 25. b.
ὁδεύοντα νοῦν· ἢ τάχα τὴν ἀρετὴν προστάσσει
χωρίζειν ἡμᾶς ἀπὸ κακίας.

Τουτέστιν ἐν γήρᾳ· ἢ διὰ τοῦ κατατριβῆναι v. 11. A. f. 26. a.
τὰς σάρκας, τὴν ἀκολασίαν δηλοῖ φθοράν τινα
οὖσαν.

Εἰσάγει τὸν διαφθαρέντα κακίζοντα ἑαυτὸν v. 12. ibid.
ὡς μισήσαντα παιδείαν, καὶ φησίν· ἀϖολοίμην
ἂν καὶ διεφθάρην, κατατρίψας τὰς σάρκας μου
ἐν ἀσωτίαις, καὶ τὴν ζωὴν αὐτὴν μικροῦ δεῖν
προηκάμην. διὸ φανερὸν ἐγένετο τὸ ἐπιτίμιόν μου
ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς· μετανενοηκότος
γὰρ ἡ φωνὴ, καὶ μὴ γεγονότος ἐν ᾧ παρ᾽
ὀλίγον γεγένηται· ὅμοιον καὶ τὸ, παρ᾽ ὀλίγον v. 14.
ἐξεχύθη τὰ διαβήματά μου· ἀνανήψας γὰρ καὶ
αἰσθηθεὶς, ποῦ ἐστι, λέγει, τὸ παρὰ μικρόν·
πῶς οὖν ἔνι τὴν ἐκ τῆς φύσεως μανίαν ϖαραμυθήσασθαι;

Ἡ γνῶσις, καὶ φρέαρ ἐστὶ καὶ πηγή· τοῖς v. 15. A. f. 26. b. B. f. 31. b.
μὲν ϖροσερχομένοις ταῖς ἀρεταῖς φρέαρ ἐστι· C. p. 160.
τοῖς δὲ κατ᾽ αὐτὰς τελειωθεῖσι, πηγή· λέγεται
δὲ ἡ γνῶσις καὶ μήτηρ, καὶ γυνὴ, καὶ ἀδελφή·
μήτηρ ὅτι δι᾽ αὐτῆς ὑπὸ τοῦ διδασκάλου γεγεννήμεθα·
γυνὴ, ὅτι συνοῦσα τίκτει ἀρετὰς καὶ
ὀρθὰ δόγματα· ἀδελφὴ, ὅτι ἐξ ἑνὸς θεοῦ γεγόναμεν·
καὶ εἶπα τὴν σοφίαν ἀδελφήν.

Ὅρα ὡς οὐ μόνον τῇ ἀφθονίᾳ τὴν εὐκολίαν v. 16. A. f. 27. a.
ἐνδείκνυται, ἀλλὰ καὶ τῷ μηδένα κοινωνὸν ἔχειν
τῆς ἀπολαύσεως· διπλασιάζει δὲ αὐτὸ, καὶ κτῆσιν
ἀποκαλεῖ· οἶδε γὰρ τὴν τοῦ πράγματος ἡδονήν. v. 17.

CAP. VI.

Ipsam brutorum naturalem operam imitare. Vel, vade dictum est pro scias. Multi enim theoriae tenus et auditus bene agunt, non autem usque ad disciplinam.—Apes dicit prophetas atque apostolos, quorum labores utiles sunt tum alta conditione praeditis tum etiam humilibus. Favum dicit negotia; mel, horum theoriam. Sicut ducit capellas cicur animal, ita rex apes. Pulchra res itaque in omni vita ordo est.

Insipiens est atheus, qui theoreticam abolet; iniquus, qui practicam.

Κἂν τὴν φυσικὴν τῶν ἀλόγων ἐργασίαν μίμη- v. 8. A. f. 30. b.
σαι· ἢ ἴσθι, τουτέστι πορεύου· πολλοὶ γὰρ ἀγα- B. f. 33. b.
θοεργοῦσιν ἀπὸ θεωρίας ἢ ἀκοῆς, καὶ οὐκ ἐξ C. p. 214.
ἐπιστήμης.—Μελίσσας λέγει προφήτας καὶ ἀποστόλους,
ὧν οἱ πόνοι χρήσιμοι τοῖς τε μεγάλοις
τὴν ἕξιν καὶ τοῖς βραχέσι· κηρὸν μὲν οὖν λέγει
τὰ ϖράγματα· μέλι δὲ, τὴν τούτων θεωρίαν.
Ὥσϖερ ὁδηγεῖ τὰς αἶγας ὁ κτῖλος, οὕτως ὁ
ἐσσὴν τὰς μελίσσας· καλὸν οὖν ϖαρὰ πάντα
τὸν βίον ἡ τάξις.

Ἄφρων ὁ ἄθεος, ὁ τὸ θεωρητικὸν ἀπολέσας· v. 12. A. f. 31. b.
παράνομος δὲ, ὁ τὸ πρακτικόν.

CAP. VII.

v. 1. A. f. 35. a. Κατὰ κοινοῦ φύλαξον, ἵν' ᾖ σοι, φησὶ, καὶ βιῶναι ζωὴν αἰώνιον, καὶ θεωρατικῷ γενέσθαι· πολλῷ γὰρ τοῦ τῶν ὀμμάτων φωτὸς λαμπρότερον αἱ τῶν θείων ἐντολῶν τηρήσεις ἡμῖν ἀναλάμπουσιν.

v. 3. C. p. 247. Χεὶρ ἡ ὁλοσχερὴς πρᾶξις, δάκτυλος δὲ ἡ μερικοτέρα· πειθόμενος δέ μοι, πλατεῖαν ἕξεις τὴν καρδίαν εἰς ὑποδοχὴν τῶν ἀρετῶν.

v. 19. A. f. 7. a. Συνοικεῖν ἀνδρὶ προσποιεῖται ὡς κατὰ νόμον βιοῦσα· καὶ ἀναιρεῖ πάντα τὰ φοβερὰ καὶ κωλυτικὰ, τὴν ἀποδημίαν προβαλλομένη τοῦ συνοικοῦντος.

v. 27. C. p. 304. Ὁ γὰρ οἶκος αὐτῆς ὁδοὶ ᾅδου εἰς ταμεῖα θανάτου κατάγουσαι· οἱ γὰρ πειθόμενοι αὐτῇ, χοϊκοὶ γινόμενοι παρ' αὐτῆς καὶ γήϊνοι, οὕτως ἀπολοῦνται· τὸ δὲ ἐπὶ πέταυρον ᾅδου, οἱ λοιποὶ ἐν βάθεσιν εἶπον.

Lato sensu dicitur custodi; ut tibi contingat, inquit, vita aeterna frui, et esse speculativo. Ceterum multo oculorum luce splendidius divinorum mandatorum observantia fulget.

Manus est tota actio; digitus, pars eius. Si mihi obediveris, latum cor habebis ad virtutum receptionem.

Habitare cum marito simulat, quasi ad legis normam vivens: omnesque timores et impedimenta aufert, peregrinationem praetendens coniugis sui.

Domus eius viae inferni, quae ad mortis conclavia ducunt. Nam qui huiusmodi mulieri morem gesserint, lutei ab ipsa facti et terreni, sic peribunt. Quod autem heic dicitur « ad petaurum inferni » ceteri interpretes scribunt profunditatem.

CAP. VIII.

v. 22. A. f. 40. b. B. f. 40. C. p. 271. Πολλὰ σημαίνουσα, καθάπερ εἴπομεν, ἡ ἀρχὴ, νῦν τὸ ἀΐδιον δηλοῖ, καὶ τὸ αἴτιον, καὶ τὸ ποιητικόν· ἡ δὲ ἀρχὴ, τινῶν ἐστιν ἀρχὴ καὶ σημαίνει σχέσιν, ἀλλ' οὐκ οὐσίωσιν· τὰ γὰρ πρός τι, τοιαῦτα· ὡς τὸ δεξιὸν καὶ ἀριστερόν· οὐσία τοίνυν οὖσα ἡ τοῦ θεοῦ σοφία, οὐκ ἀρχὴ τινῶν ἐστι· καὶ πρὸ κτίσεως γὰρ ἔχει τὸ εἶναι σοφία 1)· ἡνίκα δὲ σχέσιν τὴν πρὸς τὰ γενητὰ δέξεται, τότε ἀρχὴ γίνεται τῶν ὁδῶν τοῦ θεοῦ ποιητικῶν καὶ προνοητικῶν, εἰς τὰ ἔργα ἃ τὴν ὕπαρξιν ἐκ τοῦ δημιουργοῦ ἔχει, μηδὲν αὐτῇ συνενεγκόντα πρὸς τὸ εἶναι σοφίαν· ἀλλ' ἡ σχέσις καθ' ἣν ἀρχὴ καὶ δημιουργὸς λέγεται, τότε ὑπέστη ὅτε καὶ τὰ γενόμενα· ἀρχὴ γὰρ οὐ προϋπάρχει ὧν ἐστιν ἀρχή· οὔτε ταῦτα μετ' ἐκείνην ὑπάρχειν λέγεται, εἰ τὴν οὐσίαν ἔχουσιν ἐν χρόνῳ τὰ κτίσματα· οὖσα γὰρ ἀΐδιος ἡ σοφία, οὐχ ὑπόκειται χρόνῳ· σύζυγος οὖν ἡ ἀρχὴ τοῖς κτίσμασι· προϋπάρχων τῆς κτίσεως, σοφία ὢν, ὁ υἱὸς τοῦ θεοῦ· ἐὰν λέγει, κύριος ἔκτισέ με, μὴ οὐσίωσιν τὴν νόησιν ἔχῃ, ἀλλ' εἰς σχέσιν τὴν πρὸς τὰ κτίσματα· εἰς ἔργα γὰρ ἐκτίσθαι φησὶν, ἐπὶ τῷ ἀρχὴ εἶναι τῶν ποιητικῶν καὶ προνοητικῶν ὁδῶν τοῦ θεοῦ, τουτέστιν αἰτία εἰσαγωγικῶς γε μὴν ἔτι εἰπεῖν· ὁ

Quum initium multa, ut diximus, significet, nunc aeternum significat, et causale, et creativum. Iam initium, alicuius rei est initium; et relationem demonstrat, non substantiam. Haec enim ratio est eorum quae sunt ad aliquid, ut dextrum atque sinistrum. Substantia itaque cum sit Dei sapientia, non est alicuius rei initium; nam et ante creationem sapientia erat. Sed postquam relationem erga res creatas habere coepit, tunc initium facta est viarum Dei, agendi ac providendi, ad opera quae existentiam a creatore habent, quae tamen nihil ei conferunt ut sit sapientia: sed relatio, ob quam initium dicitur et creatrix, tunc subsistentiam habuit quando etiam res creatae. Namque initium non existit ante illa quorum est initium: neque illa post hoc dicuntur esse; etsi creaturae substantiam in tempore accipiunt. Iam sempiterna cum sit sapientia, tempori non subest. Socium est itaque initium creaturis. Sed enim qui ante creaturas existit, utpote sapientia, filius Dei, etiamsi dicit Dominus creavit me, id non de substantia intelligendum est, sed de relatione erga creaturas. Ad opera enim se conditam dicit, ut sit

1) Valent haec contra redivivos pantheistas.

initium activarum et providentialium viarum Dei, id est causa, ut scholastico more loquamur. Dei filius factus est homo, adsumpta servi forma; isque licet sit ante saecula aeternus, quatenus Dei Verbum est, nihilominus creatus dicitur postquam nativitatem de Maria habuit, factus caro: ut qui voluerint secundum Deum ambulare, et ad Deum, hoc utantur magistro, exemplari optimae vitae, et doctrinam adseclis tradenti. Denique quod vocabulum « creavit » non ubique significet facere substantiam, testis David qui ait: cor mundum crea in me Deus. Postulat enim, non quasi cor non habeat, sed quia id inquinaverat, recuperare mundatum cupit. Paulus quoque dum ait, duos creare in unum novum hominem, non substantiam collatam hominibus, sed unitatem ex concordia ostendit. Quod interpretes, creavit me ediderunt.

Dicit hoc pro, causam protulit et fundamentum creaturarum. Secundum illud: omnia in se constituit, et ipse est ante omnia. Et ipse Dominus dicit: ego sum principium creaturae Dei. Nam sicut fundamentum ecclesiae volens esse, homo fieri sustinuit, ut ea in ipso stabiliretur immobilis; ita etiam creaturae volens existentiam dare, ad eius normam se accommodavit, praedictam relationem inducens, factus futuris rebus initium et causa. Attamen quamvis secundum haec fui creatus, ante omnia me Deus genuit, qui videlicet est filius.

Thronum pro suo regno, ventos autem pro intellectualibus spiritibus dicit. Vel quomodo David: qui ambulat super pennas ventorum; quibus verbis levem atque incorpoream substantiam Dei vult denotare.

Specta distribuentes inter se opera, sapientiam atque Deum. Ille faciebat, inquit; ego disponebam. Cur autem valida? quia nullo fundamento egent, nam sola Dei voluntate consistunt.

Vel, quia statim ac appareo, vitam praebeo. Vel, quia per revelationem condescendens infirmitati eius, tunc egreditur. Nam cum vita sit, et extra hominum conspectum, vitam praebet. Voluntatem vel pro amore dicit; vel quia fecit nos liberi arbitrii compotes, ut ad agenda quae oportet parati simus.

υἱὸς τοῦ θεοῦ ἄνθρωπος γέγονεν ἀναλαβὼν τὴν τοῦ δούλου μορφήν· καὶ πρὸ αἰώνων ὢν καὶ ἀΐδιος καθ᾽ ὁ θεὸς λόγος ἐστὶν, ἐκτίσθαι λέγεται ὅτι γέννησιν τὴν ἐκ Μαρίας ἔσχε γενόμενος σάρξ· ὡς ἂν οἱ θέλοντες κατὰ θεὸν ὁδεύειν καὶ πρὸς θεὸν, χρῶνται διδασκάλῳ, ὑπογραμμὸν ἀρίστου βίου καὶ διδασκαλίαν τοῖς ἑπομένοις παρέχοντα· ὅτι δὲ τὸ ἔκτισεν οὐ δηλοῖ πάντως οὐσίωσιν, δηλοῖ λέγων ὁ Δαβίδ· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός· αἰτεῖ γὰρ οὐχ ὡς μὴ ἔχων, λαβεῖν, ἀλλ᾽ ὡς ῥιπώσας αὐτὴν, ἀναλαβεῖν αὖθις κεκαθαρμένην· καὶ Παῦλος δὲ λέγων τοὺς δύο κτίζεσθαι εἰς ἕνα καινὸν ἄνθρωπον, οὐκ οὐσίωσιν ἀνθρώπων, ἀλλ᾽ ἕνωσιν ἐξ ὁμονοίας δηλοῖ· ὅσπερ οἱ ἑρμηνεύσαντες, ἐκτίσατό με ἐξέδωκαν 1).

Ἀντὶ τοῦ κατέβαλεν αἰτίαν τε καὶ κρηπῖδα v. 23. B. f. 42. a.
τῶν κτισμάτων· κατὰ τὸ, πάντα ἐν αὐτῷ συνέστησε, καὶ αὐτός ἐστι πρὸ πάντων· καὶ αὐτὸς δέ φησιν ὁ κύριος *, ἐγώ εἰμι ἡ ἀρχὴ τῆς κτίσεως * Ioh. VIII. 25
τοῦ θεοῦ· ὡς γὰρ θεμέλιος βουλόμενος εἶναι τῆς ἐκκλησίας, ἄνθρωπος ὑπέμενε γενέσθαι, ἵν᾽ ἐπ᾽ αὐτῷ ἱδρυνθῇ μὴ σαλευομένη· οὕτω καὶ τῇ κτίσει παρασχεῖν τὸ εἶναι βουλόμενος, κατ᾽ αὐτὴν γέγονεν, τὴν προειρημένην σχέσιν εἰσάγων, γινόμενος τοῖς ἐσομένοις ἀρχὴ καὶ αἰτία· ἀλλ᾽ εἰ καὶ κατὰ ταῦτα φησὶν ἐκτίσθην, ἀλλὰ πρὸ πάντων γεννᾷ με θεὸς, ὅπερ ἐστὶν υἱόν.

Θρόνον τὴν ἑαυτοῦ βασιλείαν, ἀνέμους δὲ τὰ v. 27. A. f. 41. b.
νοερὰ πνεύματα λέγει· ἢ καθὼς καὶ Δαυὶδ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· τὸ κουφότερον αὐτοῦ τῆς οὐσίας καὶ ἀσώματον παραστῆσαι βουλόμενος.

Ὅρα διαιρουμένους τὰ ἔργα, τὴν σοφίαν v. 29. A. f. 41. b.
καὶ τὸν θεόν· ὁ μὲν ἐποίει, φησίν· ἐγὼ δὲ ἥρμοζον· ἰσχυρὰ δὲ, πῶς; οὐ δεόμενα τινὸς ὑποβάθρας· βουλήσει γὰρ μόνῃ κατέχεται τοῦ θεοῦ.

Ἢ ὅτι ἅμα τῷ φανῆναι παρέχω ζωὴν, ἢ v. 35. A. f. 42. a.
ὅτι ὅτε ἀποκαλύψει τινὶ συγκαταβαίνων πρὸς τὴν ἐκείνου ἀσθένειαν, τότε ἐξέρχεται· ζωὴ γὰρ ὢν, καὶ ἔξω γενόμενος τοῖς δυναμένοις ἰδεῖν αὐτὸν, ζωὴν δίδωσι· θέλησιν δὲ ἢ ἀγάπην φησὶν, ἢ ὅτι ἐποίησεν ἡμᾶς αὐτεξουσίους εἰς τὸ ἑτοίμους εἶναι πράττειν ἃ δεῖ.

1) Citat hunc locum suum Didymus apud nos in commentario ad II. Cor. cap. V. 17, quod est veri huius operis testimonium. (ubi corrige n. 1. pro 3.)

CAP. IX.

v. 4. A. f. 43. b. Ἐκκλινάτω, ἵνα φρόνησιν λάβῃ· ῥώννυται γὰρ ὁ ἀτελὴς ὑπὸ τῶν τῆς σοφίας λόγων καὶ μυστηρίων.

v. 5. A. f. 44. a. Ἡ αὐτὴ τροφὴ καὶ κρέα ὀνομάζεται καὶ ἄρτος καὶ γάλα καὶ οἶνος. πλὴν οἱ ἄφρονες ὡς ἄρτου αὐτῶν μεταλαμβάνειν λέγονται καὶ ὡς οἴνου κεκερασμένου· εἰ δὲ τοῦτο, πῶς νοήσομεν, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος; ἄρτον δέ μοι νόει τὰς στερεὰς ἐντολὰς τοῦ θεοῦ, καὶ οἶνον, τὴν ἐκ μελέτης τῶν θείων γραφῶν ἐπίγνωσιν αὐτοῦ· ὡσαύτως δὲ καὶ τὸ θεῖον σῶμα καὶ τίμιον αἷμα αὐτοῦ.

Declinet, inquam, ut prudentiam discat: nam roboratur imperfectus a sapientiae verbis atque mysteriis.

Eadem esca nominatur et caro, et panis, et lac, et vinum. Verumtamen insipientes tamquam panem se sumere dicunt et vinum mistum. Quod si ita se haberet, quomodo verba illa intelligemus: panem angelorum manducavit homo? Nunc panem mecum intellige solida Dei mandata; et vinum, agnitionem Dei ex divinarum scripturarum meditatione. Similiter divinum quoque corpus et pretiosum sanguinem eius.

CAP. X.

v. 5. C. p. 310. Ἀκούει ὁ φυσικὸς νοήμων, ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σὲ, οὐδὲ ἡ σελήνη τὴν νύκτα· τὰς βιωτικὰς φροντίδας καῦμα καλεῖ· τοὺς ὑπ' αὐτοῦ δὲ ξηραινομένους, καλεῖ χόρτον· ὁ δὲ σωτὴρ διὰ τῆς παραβολῆς τὰς θλίψεις δηλοῖ· τὰς κατὰ τοῦ λόγου δὲ καὶ τοὺς διωγμοὺς ἐκάλεσε καῦμα.

v. 13. A. f. 49. a. Ὁ σοφὸς ἐπιτιμητικῷ λόγῳ εἰς αἴσθησιν ἄγει τὸν βαρυκάρδιον.

Audit cordatus physicus: per diem sol non uret te, neque luna per noctem. Mundanas curas aestum vocat; et qui ab eo exuruntur, dicit foenum. At Salvator in parabola tribulationes esse ostendit; et illas contra sacram doctrinam, nec non persecutiones, appellavit aestum.

Sapiens increpatorio sermone ad sensum revocat hominem excordem.

CAP. XI.

v. 7. A. f. 54. a. Ὁρᾷς ὅτι οὐ τὸ ἐπιθυμεῖν πονηρὸν, ἀλλὰ τὸ τοιῶσδε ἐπιθυμεῖν, πονηρόν; τῶν δὲ ἀσεβῶν καὶ ἐλπίδες πονηραί· πᾶν γὰρ ὃ ἐλπίσει, ἀπώλεια.

v. 8. C. p. 330. Τὸ ἀντ' αὐτοῦ, οὐχ ὡς ὑποκειμένου τοῦ εὐσεβοῦς τῇ δίκῃ, ἀλλ' ἐπειδὴ ἡ παγὶς ἕστηκεν ἀπὸ τοῦ πονηροῦ κατὰ τοῦ δικαίου, ὁ μὲν εὐσεβὴς ῥύεται ἐξ αὐτῆς παρὰ τοῦ θεοῦ, ὁ δὲ ἀσεβὴς ἐγκαταλειφθεὶς παρὰ τῆς θείας προνοίας, πίπτει ἐν αὐτῇ· ἢ ὅτι ἐπειδὴ ὁ δίκαιος ὑπόκειταί τισιν ὡς ἄνθρωπος ἁμαρτίαις, ἐλθὼν δὲ ὁ ἀσεβὴς καὶ κακοποιήσας τὸν δίκαιον, τῶν μὲν ἁμαρτιῶν καὶ τῶν μελλουσῶν κολάσεων ἐρρύσατο αὐτὸν, εἰς ἑαυτὸν δὲ τὰς τιμωρίας ὑπεδέξατο, παραδίδοται δὲ οὐχ ὑπό τινος ἄλλου, ἀλλ' ὑπὸ τῆς ἰδίας κακίας, ὡς προπαραδοὺς ἑαυτὸν εἰς ἀδόκιμον νοῦν.

v. 24. A. f. 54. b. Οἱ συνάγοντες φθορὰν, ἐλαττοῦνται τῶν ἀρετῶν· ἢ οἱ λόγους συνάγοντες, καὶ μὴ μεταδιδόντες.

Viden' quod non desiderium malum sit, sed quod tali modo desiderare, malum? Sed tamen impiorum spes ipsae improbae sunt. Nam quidquid impius optat, perditio est.

Verba « pro iusto » non ita dicuntur quasi hic damnationi sit obnoxius; sed quia cum laqueus positus fuerit ab improbo adversus iustum, pius quidem inde eripitur a Deo, impius vero a divina providentia derelictus in illum cidit. Vel quia cum etiam iustus peccatis aliquibus, utpote homo, obnoxius sit; si impius superveniens adfligat iustum, a peccatis eum et futuris suppliciis eruit, sed in se poenas illas derivat. Traditur autem non ab alio, quam a sua propria malitia, quoniam antea iam se tradiderat in mentem reprobam.

Qui corruptelam augent, minuuntur virtutibus. Vel intelliguntur ii qui litteraturam suam augentes, aliis non communicant.

Qui ad singulos familiae suae defectus stomachatur, sine familia erit. Serviet autem insipiens prudenti.

Impius ille est, qui Deum odit; peccator, qui actibus nequam est. Iustum hoc loco dicit virum actuosum tum verbis tum scientia. Multus enim est iustitiae rigor.

Ὁ ἐφ' ἑκάστῳ τῶν ἐλαττωμάτων τοῦ ἰδίου v. 29. A. f. 55. a.
οἴκου δυσχεραίνων, ἄοικος ἔσται· δουλεύσει δὲ ἄφρων φρονίμῳ.

Ἀσεβὴς τοίνυν, φησὶν, ὁ τὸν Θεὸν μισῶν· v. 31. C. p. 348.
ἁμαρτωλὸς δὲ, ὁ περὶ τὰς πράξεις πονηρός· δίκαιον δὲ ἐνταῦθα τὸν πρακτικὸν μετὰ λόγου καὶ ἐπιστήμης λέγει· πολλὴ γάρ ἐστιν ἡ τῆς δικαιοσύνης ἀκρίβεια.

C A P. XII.

Heic melior non est comparativum sed pro bono dicitur.

Vir actuosus, etsi idiota, honorabilior est eo qui verbo pompaticus est et iners.

Id est radices iustorum non extirpabuntur, bonae scilicet consuetudines.

Quidquid dixerit, operibus testatur, et siquid opere credibilius est. Vel ita dicit, pro, perspicuam, probatam, irreprehensibilem, idoneam denique ipsam demonstrare. Rei vero iniquae testem dicit eum, qui etiamsi iniusta faciat, ea defendit; dolosum autem, qui nihil rectum habet.

Sermo de punitionibus terret eum qui nuper ad practicam vitam accessit; recreat autem promissionum nuncius. Nam perfectus quidem iustus non timebit ab auditione mala. Domini timorem habens qui omnibus superior est.

Iustus humanae conscius infirmitatis ignoscit, etiamsi amicus peccaverit. Vel quia sciens factum esse amicum ad imaginem Dei, consonat sibi modeste sentiens, seque cohibens; et nihil hostilis malitiae retinens, tranquillas fovet cogitationes.

Τὸ κρεῖσσον οὐ συγκριτικὸν, ἀλλ' ἀντὶ τοῦ v. 2. C. p. 348.
ἀγαθοῦ 1).

Ὁ πρακτικὸς καὶ ἰδιώτης, τοῦ ἐν λόγῳ καὶ v. 9. A. f. 57.
κομψοῦ καὶ ἀπράκτου, τιμιώτερος 2).

Αἱ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται, τουτ- v. 12. A. f. 56. a.
έστιν αἱ ἀγαθαὶ ἕξεις.

Ὃ ἐὰν λέγῃ, φησὶ, πιστοῦται τοῖς ἔργοις· v. 17. A. f. 58. b.
καὶ εἰ ἔργου ἐστὶ πιστότερον· ἢ ἀντὶ τοῦ φανερὰν, βεβασανισμένην, ἀνέλεγκτον, ἱκανὴν αὐτὴν ἐπιδεῖξαι· ἀδίκων δὲ μάρτυς, ὁ συνιστᾶν ἐπιχειρῶν ἃ ἂν ἄδικα πράττῃ· δόλιος δὲ, ὡς οὐδὲν ἔχων εὐθές.

Ὁ μὲν τῶν κολάσεων λόγος ταράσσει τὸν ἄρ- v. 25. A. f. 59. b.
τι φοιτῶντα τῷ πρακτικῷ βίῳ· εὐφραίνει δὲ ὁ τῶν ἐπαγγελιῶν· ὁ γὰρ τέλειος δίκαιος οὐ φοβηθήσεται ἀπὸ ἀκοῆς πονηρᾶς, φόβον ἔχων κυρίου τὸν ὑπεραίροντα πάντα.

Ὁ μὲν δίκαιος εἰδὼς τὴν ἀνθρωπίνην ἀσθέ- v. 26. ibid.
νειαν, συγγινώσκει, κἂν ἁμάρτημα ᾖ τὸ παρὰ τοῦ φίλου· ἢ ὅτι ἐπιγινώσκων ὅτι κατ' εἰκόνα Θεοῦ ἐστιν ὁ φίλος, σύμφωνος ἑαυτοῦ ἐστι μετριοφρονῶν, καὶ φυλάσσων ἑαυτὸν, καὶ μηδὲν τῆς ἔχθρας κακίας ἔχων, ἀστασιάστους ἔχει τοὺς λογισμούς.

C A P. XIII.

Iustus finem virtutis suae consequetur, sed iniusti fructum non carpent maturum. Terrebit se ipsum iniquus, non inveniens defensionem peccato suo.

Lex naturalis, ex qua pullulat vitae causa. Iusto enim lex non est posita; poena ad mortem, irretito peccatis. Fons vitae, mandatorum exsecutio. Iustis gentilibus circumcisorum opes obtingent.

Ὁ μὲν γὰρ ἕξει τὸ τέλος τῆς ἀρετῆς, οἱ δὲ v. 2. Ibid.
καρπὸν οὐχ ἕξουσιν ὥριμον· πτοήσει δ' ἑαυτὸν, οὐχ εὑρίσκων συστῆναι τῇ ἑαυτοῦ ἁμαρτίᾳ.

Νόμος ὁ φυσικὸς, ἀφ' οὗ βρύει τὸ τῆς ζωῆς v. 14. A. f. 61.
αἴτιον· δικαίῳ γὰρ νόμος οὐ κεῖται· τιμωρία δὲ ἐπὶ θάνατον τῷ παγιδευθέντι κακοῖς· ἡ πηγὴ ζωῆς, τὰ ἔργα τῶν ἐντολῶν. Δικαίοις τοῖς ἔθνεσιν ὁ τῶν ἐκ περιτομῆς πλοῦτος προσγενήσεται 3).

1) Sic fere etiam sanctus Cyrillus in commentario epistolae ad Hebr. I. 4, cuius nos commentarii deperditi reliquias edidimus in hac PP. nova bibliotheca T. III.

2) Iuxta vetus illud: *odi hominem ignava opera, philosopha sententia.*

3) Sicuti Iobo incircumciso (non tamen idolorum cultori) sua naturalis iustitia profuit.

CAP. XIV.

v. 10. A. f. 64. a. Ὁ νοῦς αἰσθανόμενος ἁμαρτίας, ὀδυνᾷ τὴν ψυχήν· οἰκίαι δὲ τῶν ἀσεβῶν, ἕξεις καὶ δια-
A. f. 64. b. θέσεις· σκηναὶ δὲ εἰσὶν αἱ προαιρέσεις· ἔστι δὲ ὁδὸς, ἡ δοκεῖ ὀρθὴ εἶναι, ἡ τῶν ὄντων τὰ δοκοῦντα προκρίνουσα. Καρτερικῶς τὸ πρακτέον λογίζεται. Μερίδα σχήσουσιν, ἢ συμμερίσονται· ὁ θρασὺς γὰρ οὐκ ἂν εἴη δειλός.

Mens peccati conscia dolere facit animam. Domus impiorum, animi habitus et consuetudines: tabernacula, sunt animi proposita. Est via quae videtur recta, ea quae videntur existere, existentibus anteponens. Constanter quod agendum est deliberat. Partem tenebunt, vel inter se partientur. Nam ferox, non erit timidus.

v. 20. A. f. 64. b. Τοῦτο ἐμοὶ δοκεῖ ὡς οὐκ ἐν τάξει παραινέσεως τέθεικεν, ἀλλὰ τὰ συμβάντα ἀπαγγέλλει· εἶτα διορθωτικῶς τὸ ἐπαγόμενον· τὸ, ὁ ἀτιμάζων πένητα, ἁμαρτάνει· τὰ γὰρ αὐτόθι δῆλα κακά· οὐ δὲ διορθοῦται τίς, οὐκ ἂν καταγνοίη τῶν τοι-
v. 22. A. f. 65. a. ούτων· τίς δ' ἂν τοὺς ἄλλους ἐπαινέσειεν; Ὁ ὑπὲρ ἀρετῆς φροντίζων, περιττεύει πράξει καὶ γνώσει· καὶ γὰρ ὁ περὶ τῶν πρακτέων ἀεὶ σκοπῶν, ἕξει τί πλέον· ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος, ἤγουν ὁ τοὺς πόνους ἐκτρεπόμενος, ἐν ἐνδείᾳ ἔσται τῶν ἀρετῶν.

Hoc mihi videtur non adhortationis gratia dicere, sed quod contingere solet, narrare. Deinde correctionis rationem habent sequentia: qui despicit pauperem, peccat: mala enim hinc consequentia patent. Nisi aliquis corrigat, quemnam horum poeniteat? Quis alios laudaverit? Qui virtutis studiosus est, abundat opere et scientia. Nam de officio semper cogitans, magis proficiet. At mollis et indolens, id est laborum fugitans, virtutum egestate laborabit.

CAP. XVI.

v. 16. B. f. 64. C. p. 444. Pelt. p. 233. Τὰ νοσσιὰ ποτὲ τὸν τόπον σημαίνει, ποτὲ δὲ τὰ ἐνοσσεύοντα ζῶα· ἢ τοίνυν ὁ τόπος τῆς σοφίας, τὰ θεωρήματα ἐν οἷς οἰκεῖ, αἱρετώτερά ἐστι τῆς ψευδωνύμου γνώσεως· ἢ τὰ κυήματα τῆς σοφίας· ὥσπερ γὰρ χρυσὸς ἀργύρου κρείσσων, οὕτω καὶ σοφία φρονήσεως· ἡ μὲν γὰρ ἐν τῷ γινώσκειν ἐστὶν, ἡ δὲ ἐν τῷ ἑρμηνεύειν τὰ γινωσκόμενα· ἢ νοσσιὰς σοφίας, τὰς ἐκκλησίας, ἢ τὰς τῶν ἁγίων ἐκεῖθεν μονάς· σοφία δὲ ὁ Χριστός.

Nidus modo significat locum, modo ipsa quae sunt in nido animalia. Vel igitur locus sapientiae, id est theoremata in quibus diversatur, praeferenda sunt falsae scientiae; vel sapientiae foeturae intelliguntur. Nam sicut aurum est argento melius, ita sapientia praestat prudentiae: illa enim in coguoscendo versatur, haec incognita interpretando. Vel nidos sapientiae intellige ecclesias, vel sanctorum in supernis mansiones. Sapientia autem Christus est.

v. 17. A. f. 70. a. Τὸ γὰρ ἀδιάστατον τῶν πράξεων ἔχουσαι, τὸ τῆς ζωῆς τῆς καταλλήλου μῆκος ἔχουσιν, ἀπὸ κακῶν ἐκκλίνουσαι, τουτέστι θανάτου.

Actuum perpetuam seriem tenentes, consentaneae vitae diuturnitatem habent, a malis declinantes, id est a morte.

v. 29. C. p. 452. Ἐνταῦθα ἄνδρα παράνομον διάβολον καλεῖ, ὃς ἀποπειρᾶται τῶν ἀνθρώπων, γνῶναι θέλων τινὲς εἰσὶν ἐξ αὐτῶν ὅμοιοι αὐτῷ καὶ θέλοντες παρανομεῖν· καὶ ἀπάγων αὐτοὺς εἰς ὁδοὺς ἤτοι εἰς πράξεις οὐκ ἀγαθάς· ὁ αὐτὸς δέ ἐστιν ὁ στηρίζων τοὺς ὀφθαλμοὺς ἐφ' ἕκαστον τῶν ἀνθρώπων, καὶ νοῶν ἀκριβῶς πρὸς ποῖον πάθος ἐπιρρεπῶς τις ἔχει· καὶ γνοὺς ἐκ τῶν κινημάτων, ἱστᾷ αὐτοῦ παγίδας· καὶ συλλαβὼν ἀπάγει αὐτὸν εἰς πάντα τὰ κακά· ὁρίζειν δὲ τοῖς χείλεσιν εἶπεν, διότι ταῖς πονηραῖς αὐτοῦ ὑποβολαῖς, ἔργοις τελειῶσαι σπουδάζει διὰ τῶν ἀνθρώπων

Heic virum iniquum dicit pro diabolo, qui homines tentat, scire volens quinam ei sint similes et peccare volentes; atque hos in vias id est ad acta non bona impellit. Idem est, qui oculos obfirmat super unumquemque hominem, sedulo observans cuinam cupiditati sit proclivis; quod ubi ex commotionibus novit, laqueos suos intendit; illumque captum ad quaevis mala transfert. Definire autem labiis dicit, quia pravis suis suggestionibus opere compleri curat per homines, quidquid ei libitum fuerit. Haec est

autem nequitiae fornax, quae captum inescationibus suis ad quamlibet iniquitatem inflammat.

Oculus pulchra spectans, id est quaenam pulchra sint discernens. Quaenam vero sint bona, quaerendum est. Aurum non cernens, maeret: aut venustum corpus spectans, enecatur. Atqui audi, quaenam sint pulchra: caelum, terra, mare, et universa possessio. Haec spectate, quae animam iucundant. Quid enim prodest delectari oculum, nihil vero capere utilitatis, immo animae perniciem pati?

Quum iam multas diaboli nequitias retro dixerimus, praedictis reliquas addemus. Praeter omnes suas hyperbolas, ita quoque suis adseclis loquitur: res haec necessaria est: (phantasiam ad malum acuens) ergo ea utendum. Voluptas naturalis est: fruendum illa. A Deo sunt opes: gaudendum illis. Quae quum omnia adseclae suo persuaserit, tunc facit illum in mente gloriari, quasi magnas iustitias operetur, et in senectutis honoribus id reponit.

πάντα τὰ αὐτῷ καταθύμια· οὗτος δέ ἐστιν ἡ κάμινος τῆς κακίας, ἡ φλέγουσα τὸν ὑποδεξάμενον τοῖς δελεάσμασιν αὐτοῦ εἰς πᾶσαν κακίαν.

v. 30. C. d. 432. Ὀφθαλμὸς θεωρῶν καλὰ, ἤτοι διακεκριμμένος· τίνα δὲ τὰ καλὰ, ζητητέον· καὶ μὴ θεωρῶν χρυσὸν, λυπεῖται· εἴτε σῶμα λαμπρὸν, πάλιν κατατήκεται· ἀλλὰ τίνα ἐστὶ τὰ καλὰ, ἄκουσον· τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν καὶ τὴν κτῆσιν πᾶσαν· ὥστε τὰ τοιαῦτα βλέπετε, οἷον τὴν ψυχὴν εὐφραίνει· ἐπεὶ τί ὄφελος τερφθῆναι μὲν τὸν ὀφθαλμὸν, μηδὲν δὲ γενέσθαι πλέον, ἀλλὰ τὴν ψυχὴν διαφθαρῆναι;

v. 31. C. p. 454. Τὰ πολλὰ τῆς κακίας αὐτοῦ ἀνωτέρω εἰπόντες, τοῖς εἰρημένοις τὰ λείποντα προσθήσομεν· μετὰ τῶν ὑπερβολῶν αὐτοῦ πάντων· λέγει καὶ ταῦτα τοῖς πειθομένοις αὐτῷ· τοῦτο τὸ πρᾶγμα κατ᾽ ἀνάγκην ἐςὶ [τὸ διορατικὸν ἀκονήσας εἰς τὸ κακὸν] χρηστέον αὐτῷ· ἡ ἡδονὴ φυσική ἐςι, χρηστέον αὐτῇ· ἐκ θεοῦ τὰ χρήματα, ἀπολαυςέον αὐτῶν· ὁπόταν δὲ εἰς πάντα καταπείσῃ τὸν ὑπήκοον αὐτοῦ, τότε ποιεῖ αὐτὸν ἐγκαυχᾶσθαι κατὰ διάνοιαν, ὡς δικαιοσύνας μεγάλας ποιῶν, καὶ ὅτι ἐν τοῖς γηραιοῖς ταῦτα ὑποτίθεται.

CAP. XVII.

Fidelis homo, qui sensibilibus non studet, cuncta habere videtur. Secus, qui illis studet, nihil videtur habere. Nam qui amat pecuniam, non satiabitur ea. Vel, fidelis spectabit quaecumque de hoc mundo dicuntur, tamquam mentis divitias tropice narratas. At infidelis nullius rei doctrinam attinget ob animae impuritatem.

Ἐνεὸς videtur, vel qui silentio ignorantiam suam silentio tegit, vel qui animi perturbationem aut apud se abdit, aut proximos celat.

Non omnem perficit nequitiam, impossibile enim est, sed ea patrat quae consistere queunt; sed a male faciendo non desinit. Vel cogitationem bonam dicit Christum; ipse enim eam praestat. Et quisquis bene agit, inveniet eum. Nam prudentem, quicumque opus bonum facit, appellat.

Qui non recte vivit, abscondit in anima sua manus iniuste. Agrum suum nolens excolere, quomodo saturabitur panibus? Nam practicae virtutes manuum locum tenent, panem nostrum ori admoventes, panem qui de caelo descendit. Nequit igitur, qui eiusmodi est, ne ab initio quidem iuvari, quia piger est.

v. 6. C. p. 464. Ὁ πιστὸς μὴ σπεύδων περὶ τὰ αἰσθητὰ, ὡς πάντα ἔχων ἐστίν· ὁ δὲ περὶ ταῦτα σπεύδων, ὡς μηδὲν ἔχων ἐστίν· ἀγαπῶν γὰρ ἀργύριον, οὐ πλησθήσεται ἀργυρίου· ἢ καὶ, ὁ πιστὸς ὄψεται τοὺς λόγους τοῦ κόσμου τούτου, ὡς χρήματα τοῦ νοῦ τροπικῶς εἰρημένους· ὁ δὲ ἄπιστος, οὐδὲ τοῦ τυχόντος ἅψεται πράγματος τῶν λόγων δι᾽ ἀκαθαρσίαν ψυχῆς.

v. 28. A. f. 77. a. Ἐνεὸς, ὁ τῇ σιωπῇ τὴν ἑαυτοῦ ἀμαθίαν, ἢ τὸ πάθος κρύπτων παρ᾽ ἑαυτῷ ἢ τοῖς πέλας, δοκεῖ.

Cap. XIX. 7. C. p. 498. Οὐ πᾶσαν ἐκτελεῖ τὴν κακίαν, ἀδύνατον γὰρ, ἀλλὰ πράττει τὰ συνυπάρχειν δυνάμενα· ἔτι δὲ κακοποιῶν οὐκ ἐπαύσατο. Ἢ ἔννοιαν ἀγαθὴν τὸν Χριστὸν λέγει· αὐτὸς γὰρ αὐτὴν ἐγγυᾷ· καὶ πᾶς δὲ ὁ ἀγαθὰ πράττων, εὑρήσει αὐτόν· φρόνιμον γὰρ, τὸν πᾶν ἔργον ἀγαθὸν ποιοῦντα λέγει.

v. 24. C. p. 510. Ὁ μὴ ὀρθῶς βιοὺς, κρύπτει ἐν τῇ ψυχῇ τὰς χεῖρας ἀδίκως· τὴν ἑαυτοῦ γῆν ἐργάσασθαι μὴ βουλόμενος, πῶς ἐμπλησθήσεται ἄρτων; αἱ γὰρ πρακτικαὶ ἀρεταὶ χειρῶν ἐπέχουσι λόγον, τὸν ἄρτον ἡμῶν προσφέρουσαι τῷ στόματι τὸν ἀπ᾽ οὐρανοῦ καταβάντα· οὐ δύναται τοίνυν οὗτος οὐδὲ τὴν ἀρχὴν ὠφεληθῆναι, ὀκνηρὸς ὤν.

Cap. XXI. 21. B. f. 76. b. v. 28. A. f. 83. b. Ἤγουν ἡ κρίσις καλύπτει τὴν ἀπολογίαν τῶν ἀσεβῶν. Ὑπερβάλλει γὰρ ὁ Θεὸς τοὺς εὖ ποιοῦντας ταῖς ἀμοιβαῖς.

Cap. XXII. 26. B. f. 80. Μὴ δίδου σεαυτὸν εἰς τὸ ὑπερτίθεσθαι μετανοεῖν, αἰσχυνόμενος τινά· ἐὰν γὰρ ἀποθάνῃς, καὶ οὐκ ἔχῃς καιρὸν τοῦ μετανοῆσαι, οὐκέτι ἕξεις ἀνάπαυσιν.

Cap. XXIII. 6. A. f. 96. b. Εἰσάγει δὲ παρ᾽ ἑαυτῷ τὸν βάσκανον διάβολον, καὶ τρώγει τὸν ψωμὸν αὐτοῦ μετ᾽ αὐτοῦ, ὁ μετὰ κενοδοξίας, ἢ ἀνθρωποπαρεσκείας ποιῶν τί τῶν ἀγαθῶν ἔργων· ὁ γὰρ τοιοῦτος ἀπέχει τὸν μισθὸν αὐτοῦ· καὶ γὰρ ὁ διάβολος φανεροῖ αὐτὰ τοῖς ἀνθρώποις, ἵνα διὰ τοῦ ἐπαίνου τοῦ πρὸς τὸν ἀνθρωπάρεσκον λοιμανῆται καὶ ἀποστερήσῃ τῶν αἰωνίων ἀγαθῶν.

Cap. XXIV. 20. A. f. 103. a. Οὐ γεννήσουσι πονηροὶ ἀρετὰς καὶ δόγματα ὀρθὰ (ταῦτα γάρ ἐστι γεννήματα τῆς ψυχῆς) διὰ τὸ μὴ φοβεῖσθαι αὐτοὺς τὸν κύριον· οἱ δὲ ὄντες ἐν φόβῳ κυρίου, ὅλην τὴν ἡμέραν ἕξουσιν ἔκγονα, καὶ ἡ ἐλπὶς αὐτῶν οὐκ ἀποστήσεται· ἀκολουθεῖ δὲ ταῦτα τοῖς εἰρημένοις· οἱ μὲν γὰρ ἐχθροί, φησι, πονηροὶ ὄντες, ἑτέρων ἐπέχαιρον πτώμασιν· ὃ δὲ μέμφῃ σὺ, μὴ ζηλώσῃς· τὸ γὰρ λαμπρὸν δῆθεν αὐτῶν καὶ ἀπατηλὸν, μέχρι τούτου τοῦ βίου, καὶ σβέννυται τελευτῇ· πολλάκις δὲ καὶ ἔτι ζώντων διελεγχθέντων ἐσβέσθη.

Vulg. XXX. 7. A. f. 105. b. B. f. 86. a. Ὁ σοφὸς ταῦτα τῇ σοφίᾳ φησὶν, ἢ ὁ τοῦ Χριστοῦ δοῦλος τῷ κυρίῳ· δύο δὲ φήσας, περὶ πλειόνων αἰτεῖ· ἀλλὰ τὸ δοκοῦν πρῶτον προαιτητικόν ἐστι τοῦ τυχεῖν ὧν αἰτεῖ λέγοντος, μή μου παρακούσῃς, ἀλλὰ δίδου τὴν χάριν, ἐφ᾽ ᾧ τὸ πρῶτον ἐπήγαγεν αἴτημα· μάταιον λόγον, τὴν ψευδώνυμον μακράν μου ποίησον, ἵνα μὴ πλησθεὶς, ψευδὴς γένωμαι· ὁ κόρος ὑπερηφανίαν ποιεῖ, καὶ τὸ δοκεῖν ὑπὲρ ἔλεγχον εἶναι· λόγῳ καὶ ἔργῳ, ὡς ἀναμάρτητον· τὸ γὰρ, τίς με ὁρᾷ, ἀντὶ τοῦ ἐλέγχει φησὶν, ἵνα μὴ πλησθεὶς σοφίας, ἀκατάληπτος εἶναι δόξω τοῖς ἄλλοις, ἢ καὶ ψεύστης δόξω τὰ ὑπὲρ τούτους λαλῶν.

Vulg. XXX. 15. B. f. 87. b. C. p. 617. Ἡ βδέλλα τίκτεται μὲν ἐν τοῖς γλυκέσι τῶν ὑδάτων, σκωληκοειδὲς οὖσα τι ζῷον· λειοτάτη δέ ἐστι τῇ ἁφῇ, ἥτις τοῖς χανδὸν τοῦ ὕδατος μεταλαμβάνουσι, λεληθότως ὑπεισέρχεται τῇ λειότητι· εἶτα περιπλακεῖσα ἔνδον τινὶ τῶν μορίων, οὐ πρότερον ἀπορρήγνυται, ἕως ἂν τῇ ἐκπόσει τοῦ αἵματος ἀποκτείνῃ τὸν ἄνθρωπον· αἱμοπότης γάρ ἐστι, καὶ ἐντεῦθεν τρέφεται καὶ αὔξεται· ταύτῃ νῦν εἴκασε τὸν διάβολον, ὅστις βίᾳ τῶν

Id est iudicium obruit impiorum defensionem. Superat enim Deus bene agentes remunerationibus suis.

Ne tradas te ad differendam poenitentiam, reverentia cuiuslibet. Nam si moriaris, neque tempus poenitendi habueris, numquam requiem invenies.

Introducit ad se invidum diabolum, comeditque bucellam suam cum eo, is qui vanae gloriae causa, vel ut hominibus placeat, bonorum quidquam operum facit. Nam homo huiusmodi habet mercedem suam. Nimirum diabolus talia opera hominibus facienda proponit, ut laudibus humanae adprobationis pessumdet, et aeternis bonis spoliet.

Haud gignent virtutes improbi neque recta dogmata (sunt enim hae generationes animae) quia Dominum non timent. Qui autem in timore Domini manent, progeniem quotidie ex se reddent, et spes eorum non recedet. Praedictis haec subsequuntur. Inimici, inquit, improbi cum essent, aliorum lapsibus laetabantur: sed quod tu vituperas, cave imiteris. Nam mundanus eorum splendor atque illusio, hac vita tenus, et morte extinguitur: saepe etiam, viventibus adhuc reis, evanescit.

Haec vel sapiens ipsi sapientiae dicit, vel Christi servus Domino. At duo dicens, plura petit. Sed quae videtur prima postulatio, ea exordium potius postulandi est; orat enim impetrare quod petit, dicens: ne meis precibus aures obstruas, sed gratiam largire. Post quae, primum subdit postulatum: vanum sermonem falsamque sententiam procul me pelle, ne his satur, mendax fiam. Saturitas superbiam creat facitque ut homo superiorem se reprehensionibus putet, verbo et opere insontem. Nam verba, quis me videt? dicit pro, quis me reprehendet? Ne forte sapientia plenus, incomprehensibilis aliis videar: vel etiam mendax appaream, superiora horum captui loquens.

Hirudo in dulcibus aquis nascitur, de specie vermium animal, laevissima tactui, quae iis qui aquam ore patulo ebibunt, latenter ob suam laevitatem subit: deinde parti alicui interiori insinuata, haud ante dirumpitur, quam sanguinem ebibendo hominem interemerit. Est enim sanguisuga, et inde alitur atque crescit. Huic nunc diabolum comparat, qui quum vi nequeat hominibus potiri, tri-

bus potissimum utitur adversus eos incursionibus, voluptate, delenimento, dolo; atque ita pedetemptim latenterque ipsos perimens, primo quidem per falsi dogmatis vias ducit ad perditionem, quam infernum vocat: ipso vindictae fine, magnitudinem peccati demontrans. Deinde luxuriae dulcedine obruit, quem mulierum amorem appellat. Postea pecuniae amore seu avaritia, quam etiam terram aqua numquam saturatam dicit; namque arenosa certe, insatiabilis est. Hae igitur passiones sunt, quas malignus ad hominum perniciem excogitavit; quasque ipse haud secus diligit fovetque quam proprias filias. Quartum dicit, horum actuum frequentiam et consuetudinem. Neque enim qui semel pravam sententiam suscepit, aut scortatus est, aut plura concupivit, subito incidit in has passiones, sed consuetudine potius et sensu victus. Tales comperies qui falsis opinionibus sunt obruti, numquam scilicet satietate earum capi, sed passiones suas latius semper proferre, in tantum ut alios quoque ad easdem hortentur. Velut aqua et ignis suppeditata materia congrua non desinunt, neque dicunt sufficit, sed incrementum potius accipiunt; itemque aqua influxu aquae, non subsidet sed augetur. Quae tu cognoscens, o puer, ab his abstine, ne inscius paulatim tamquam mollissimae hirudini, voluptati praeda fias.

Vestigia aquilae volantis, sapientis est anima, quae etsi sapiens, attamen haud potis est cognoscendis per se ipsam intellectualis aquilae volatibus. De qua scriptum est: aquila magna et praelonga, plena unguibus, non habens vestigium praesentiae diaboli, utrum ad me alicunde advolaverit, nescio. Nam declinante a me maligno, non sensi, quia nullum eius mihi desiderium inest. Talis est via adulterae, nempe spuria doctrina.

Populus nimirum ethnicus, qui antea peccati et diaboli servus erat. Sic illud: in gente insipiente irritabo vos. Et stolidus saturabitur escis vitae. Et, odibilis mulier, id est meretrix. Quae enim nunc ex gentibus est ecclesia, ea fuit olim meretrix, deorum alienorum sectatrix. Et ancilla eiiciet dominam suam; gentium ecclesia, synagogam quae domina erat; huic enim obnoxii sunt lex et prophetae.—Intellectualis doctrinae serva erat illa

ἀνθρώπων κρατεῖν οὐ δυνάμενος· τρισὶ γὰρ κέχρηται μάλιστα κατ' αὐτῶν ὁρμητηρίοις, ἥδων, θέλγων, ἀπατῶν, καὶ διὰ τοῦτο κατὰ μικρὸν λεληθότως αὐτοὺς ἀναιρῶν· πρῶτον μὲν γὰρ αὐτοὺς ταῖς τῆς ψευδοδοξίαις ὁδοῖς ἐνάγει πρὸς ἀπώλειαν, ὅπερ δὴ καὶ ᾅδην καλεῖ· τῷ τέλει τῆς δίκης δεικνὺς τῆς ἁμαρτίας τὸ μέγεθος· ἔπειτα περιβάλλων τῇ τῆς ἀκολασίας ἡδυπαθείᾳ, ὃ δὴ καὶ ἔρωτα καλεῖ γυναικῶν. ἐπὶ τούτοις φιλαργυρίᾳ ἤτοι πλεονεξίᾳ, ὅπερ δὴ καὶ γῆν οὐκ ἐμπιπλαμένην ὕδατος ἔφη· τοιαύτη γὰρ ἡ ψαμμώδης ἄπληστος· ταῦτα τοίνυν εἰσὶ τὰ πάθη, ἅτινα ἐξεύρηται τῷ πονηρῷ πρὸς τὴν τῶν ἀνθρώπων ἀπώλειαν, ἅπερ οὕτως φιλεῖ καὶ στέργει, ὡς ἂν θυγατέρας ἰδίας· τὸ τέταρτον δὲ καλεῖ τὴν τούτων τριβὴν καὶ συνήθειαν· οὐδὲ γὰρ ὁ πρὸς ἅπαξ ψευδοδοξήσας, ἢ πορνεύσας, ἢ ἐπιθυμήσας τοῦ πλείονος, εὐθὺς ὑπέπεσε τοῖς παθήμασιν, ἀλλ' ὁ τῇ συνηθείᾳ λοιπὸν καὶ τὴν αἴσθησιν ἡττηθείς· τοιούτους γὰρ ἂν εὕροις τοὺς ταῖς ψευδοδοξίαις ἐντεθαμμένους, οὐδέποτε κόρον λαμβάνοντας, ἀλλ' ἀεὶ προεπιτείνοντας τὰ πάθη, ὡς καὶ ἑτέρους ἐπὶ ταῦτα προτρέπεσθαι· ὥσπερ οὖν καὶ ὕδωρ καὶ πῦρ τῇ χορηγίᾳ τῶν προσφόρων οὐ παύεται, οὐδὲ λέγει ἀρκεῖ, ἀλλὰ μᾶλλον ἐπαύξον γίνεται· τότε ὕδωρ τῇ ἐπιῤῥοῇ τοῦ ὕδατος, οὐ λήγει ἀλλ' αὔξεται· ἃ καὶ σύ, φησιν, ὦ παῖ γινώσκων, ἀπέχου τούτων, ἵνα μὴ λάθῃς κατὰ βραχὺ, καθάπερ βδέλλῃ λειοτάτῃ, τῇ ἡδονῇ τὸν βίον ἀποσυλώμενος.

Ἴχνη ἀετοῦ πετομένου, ἡ τοῦ σοφοῦ ψυχὴ, Vulg. XXX. 19. A. f. 111. a.
ἣ σοφὸς οὖσα, ἀδυνάτως ἔχει πρὸς τὸ γνῶναι ἀφ' ἑαυτῆς τὰ τοῦ νοητοῦ ἀετοῦ πετάσματα· περὶ οὗ γέγραπται· ἀετὸς ὁ μέγας καὶ ὁ μακρὸς τῇ ἐκτάσει καὶ πλήρης ὀνύχων, οὐκ ἔχων ἴχνος τῆς παρουσίας τοῦ διαβόλου, εἰ καὶ προέπτη μοι πόθεν οὐκ οἶδα· ἐκκλίνοντος γὰρ ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον, τῷ μὴ ἔχειν με πρὸς αὐτὸν πόθον. Τοιαύτη ὁδὸς μοιχαλίδος, ἡ νενοθευ- 20. Ibid.
μένη διδασκαλία.

Ὁ ἐξ ἐθνῶν λαὸς, δοῦλος ὢν τῆς ἁμαρτίας Vulg. XXX. 22. A. f. 113. a,
καὶ τοῦ διαβόλου τὸ πρότερον· οὕτως, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς· καὶ ἄφρων πλησθῇ σιτίων τῶν τῆς ζωῆς· καὶ μισητὴ γυνὴ, ὅ ἐστι πόρνη· πόρνη γὰρ ἦν ἡ ἐξ ἐθνῶν ἐκκλησία, ὀπίσω θεῶν ἀλλοτρίων πορευομένη· καὶ οἰκέτις ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, ἡ τῶν ἐθνῶν ἐκκλησία τὴν συναγωγὴν οὖσαν κυρίαν· ταύτης γὰρ ὁ νόμος καὶ οἱ προφῆται δέονται.—Τῆς διανοητικῆς ἐπισκέψεως δούλη ἡ κατὰ τὸ γράμμα, ἣν

Ἰουδαῖοι μὲν ὡς δέσποιναν προετίμων· τὰ δὲ ἔθνη μεταλαμβάνοντα, τὸ ῥητὸν εἰς τὸ πνευματικὸν, τὴν ὡς δέσποιναν παρ' ἐκείνοις ἐξέβαλον, τὴν σωματικὴν τοῦ νόμου παρατήρησιν.

quae secundum litteram est, quamque Iudaei ut dominam antea reverebantur. At ethnici materiale verbum in spiritale convertentes, illam quae apud ipsos domina erat expulerunt, nempe corporalem legis observantiam.

v. 25. A. f. 114. a. Τὰ ἔθνη φησὶν, οἷς οὐκ ἔστιν ἰσχὺς, καὶ θησαυρίζουσιν ἑαυτοῖς δι' ἔργων ἀγαθῶν τὴν αἰώνιον ζωήν. Καὶ οἱ χοιρογρύλλιοι· εἶδος ἰχθύος, ἤτοι οἱ λαγωοὶ οἱ καλούμενοι οἴστροι, τὰ πρώην ἀσθενῆ ἔθνη, καταφυγόντα πρὸς τὸν Χριστόν· πέτρα γὰρ καταφυγὴ τοῖς χοιρογρυλλίοις, οἳ ἐποιήσαντο ἐν πέτραις· Καὶ σὺ οὖν, φησὶ, κἂν ἀσθενὲς ἦς ζῶον, ἐπιλαβοῦ τῆς πέτρας τῆς ἀληθοῦς πίστεως, καὶ πρὸς αὐτὴν τὸν βίον ἀπεύθυνε.

Gentes dicit, quibus non sunt vires, et tamen sibi thesaurizant bonis suis operibus vitam aeternam. Et choerogryllii. Piscis genus, vel lepores qui appellantur histrices, id est ethnici prius infirmi, ad Christum postea confugientes. Petra enim choerogylliis confugium est, in quibus degunt. Tu quoque igitur, inquit, quamquam infirmum es animal, confuge ad petram verae fidei, ibique vitam emenda.

v. 25. Ibid. Πράξεσιν ἐρειδόμενος εἰς τὴν βασιλείαν εἰσέρχεται· οὐκοῦν καὶ σὺ, φησὶ, μὴ διὰ τὸ ἀσθενὲς τῆς πίστεως ἀπιστήσῃς τῇ τῶν οὐρανῶν βασιλείᾳ, ἀλλὰ πιστεύων τῇ περὶ αὐτῆς ὑποσχέσει, τὰ ταύτης ποιητικὰ μετέρχου προστάγματα.
Ibid. b. Λέων Χριστός· πάντα γὰρ τὰ λογικὰ πρὸς αὐτὸν, κτήνη εἰσί· Μωϋσῆς γὰρ φησὶν, ἐγὼ δὲ
A. f. 15. a. ἄλογος 1) εἰμί.—Τὸ τὴν φυσικὴν ἐνέργειαν, ἀνεμποδίστως διαβαίνειν λέγεται.

Operibus fretus in regnum ingreditur. Itaque et tu, inquit, ne propter fidei infirmitatem, de caelorum regno desperes; sed confidens promissionibus, opera aggredere quae illud promerentur. Leo Christus: cuncta enim rationalia prae illo, iumenta sunt. Moyses enim ait: ego autem infans sum.—Propter naturalem alacritatem, libere incedere dicitur.

v. 31. Ibid. Ὁ ὑπὲρ ἁμαρτιῶν προσενεχθεὶς, καὶ ἐν ὕψει βαίνων, ἔχει ἑπομένην αὐτῷ τὴν ἀγέλην· ὅταν γὰρ ὑψωθῶ, φησὶ, πάντας ἑλκύσω πρὸς ἐμαυ-
Ibid. b. τόν· Ὁ ἀλεκτρυὼν διδασκάλου πρόσωπον φέρει, ὃς τὸν λόγον σπείρων ἐν ταῖς ψυχαῖς, ἰσχυρῶς ἐστι προσαγγέλλων τὸ φῶς· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· οὗτος ἦν ὁ ἀπ' ἀρχῆς διυπνίζων τὰς καρδίας τῶν ἀνθρώπων, καὶ τὴν ἡμέραν τῆς ἐνσάρκου αὐτοῦ παρουσίας διὰ πολλῶν προμηνύων· καὶ σκότος ἐκθλίβων, καὶ τὸ φῶς αἰώνιον πᾶσι φανερῶς ὑποδεικνύων. Ἐμπεριπατῶν ἐν θηλείαις εὐψύχως, τουτέστιν ἐν ἐν ταῖς ἐκκλησίαις, εὐψύχως καὶ γενναίως, ὥς φησίν· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

Nempe ille pro peccatis hostia oblatus, et alte incedens, habet sequacem gregem. Cum exaltatus fuero, inquit, omnes ad me traham. Gallus magistri personam gerit, qui doctrinam in animabus serens, voce valida diurnam lucem annunciat. Poenitentiam agite, appropinquavit enim regnum caelorum. Hic ab initio corda hominum e somno suscitabat, et adventus sui in carne diem multis indiciis portendebat; tenebras pellebat, et aeternam lucem cunctis aperte ostendebat. Ambulans inter feminas alacriter, id est in ecclesiis alacriter fortiterque, ut ipse ait: ecce ego vobiscum sum omnibus diebus usque ad saeculi consummationem.

v. 32. A. f. 116. b. Ἢ καὶ ἐὰν εἰς τὸν νοῦν τῶν γραφῶν καθιῇς σεαυτόν· ἢ ἐὰν μὴ ἔχῃς μαθητικὸν οὖς, ἀλλ' ἀντιλογητικὸς εἶ, ἀκούσῃ; εἰ δέ τις φιλόνεικος εἶ, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν.

Vel, si te in sensum scripturarum immittas. Vel, nisi habueris docilem aurem, sed contumax fueris, num audies? Si quis autem videtur contentiosus esse, nos talem consuetudinem non habemus.

Vulg. XXXI. 3. A. f. 117. b. Ἡδοναῖς ἢ διδαχαῖς ἀλλοτρίαις τὸν σὸν πλοῦτον μὴ δώσεις. Μετὰ βουλῆς οἰνοπότει. Τὸν τῆς ἀληθινῆς ἀμπέλου πίνων οἶνον, τὴν τῶν γραφῶν ἑρμηνείαν, καὶ τὴν τῶν ὄντων θεωρίαν, μετὰ πολλῆς προσέρχου διακρίσεως τῇ τῆς διανοίας ἐπισκέψει.

Voluptatibus aut doctrinis alienis cave des opes tuas. Prudenter vinum bibe; nempe verae vitis vinum pota, scripturarum scilicet interpretationem, et rerum contemplationem: multa cum discretione mentem exerce.

1) Exod. VI. 12. ἄλογος *infans*. Sed nunc a Didymo intelligitur *iumentum*.

Nunc moerorem dicit pro labore. Qui ergo propter Deum laborant et dolent, postquam pinguedine domûs Domini inebriati fuerint, dolorum obliviscentur.

Νῦν λύπην εἶπε τὸν πόνον· οἱ οὖν διὰ Θεὸν κοπιῶντες καὶ ὀδυνώμενοι, ἐπ᾽ ἂν μεθισθῶσι τῆς πρὸς τοῦ οἴκου κυρίου πιότητος, τῶν ὀδυνῶν ἐπιλανθάνονται. v. 6. A. f. 118. a.

Propositum tuum ad verborum meorum observantiam obfirma, quae Dei ipsius sunt.

Τὴν προαίρεσίν σου ἔχε εἰς τὸ προσέχειν τοὺς λόγους μου, εἰρημένους ὑπὸ Θεοῦ. v. 8. Ibid. b.

Ventus boreas diabolus est, qui incitat atque tentat sanctos in excelsitate positos, quos nollet operari. Vel, verba commovens contra sua dogmata.

Ἄνεμος βορέας, ὁ διάβολος, διεγείρων καὶ πειράζων τοὺς ἁγίους ὑψηλοὺς αὐτοὺς ὄντας, καὶ μὴ θέλων ἐργάζεσθαι· ἢ ἐγείρων λόγους κατὰ τῶν ἑαυτοῦ δογμάτων. Graec. cap. XX. v. 23. A. f. 122. a.

Ergo sicuti haec ad officium animalia impellunt, ita virga, id est obiurgatio, gentem iniquam corrigit.

Ὥσπερ οὖν ταῦτα μεταφέρει μᾶλλον ἐπὶ τὸ εὖ ἔχον τὰ ζῶα, οὕτως ἡ ῥάβδος, τουτέστιν ἐπιτιμία, τὸ παράνομον ἔθνος ῥυθμίζει. Gr. cap. XXVI. v. 3. A. f. 123. b.

Horum, inquit, extingue potius principatum, et neque practicum neque theoricum regimen iis concede.

Τῶν τοιούτων, φησὶ, περιαίρει μᾶλλον τὴν δυναστείαν, καὶ μήτε πρακτικὴν ἀρχὴν μήτε λογικὴν τούτοις ἐγχείριζε. v. 7. A. f. 124. a.

Si ex iustitiae fructibus nascitur arbor vitae, quisquis obruit iniquitate iustitiam, quae manus dicitur, non comedet de vitae arbore.

Εἰ ἀπὸ καρπῶν δικαιοσύνης φύεται δένδρον ζωῆς, πᾶς ὁ κρύπτων τὴν δικαιοσύνην τῇ ἀδικίᾳ, ἥτις λέγεται χεὶρ, οὐ βρώσεται ἐκ τοῦ τῆς ζωῆς δένδρου. v. 15. A. f. 125. a.

Discipulorum tuorum, ne ex consuetudine tantum magisterium exerceas.

Τῶν μαθητῶν σου, ἵνα μὴ πρὸς τὴν ἕξιν ἐπάγῃς τὴν διδασκαλίαν. Gr. cap. XXVII. v. 23. A. f. 129. b.

Actarum rerum meditationem, nec non sanctae Trinitatis theoriam, indumentum esse ait hominis puri, ex bysso et purpura.

Τὴν θεωρίαν τῶν γεγονότων, καὶ τὴν θεωρίαν τῆς ἁγίας τριάδος, ἔνδυμα εἶναι λέγει νοῦ καθαροῦ, ἐκ βύσσου καὶ πορφύρας. Vulg. cap. XXXI. v. 22. A. f. 139. a.

ΕΚ ΤΩΝ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ.

Hippolyti. Proverbia igitur sermones exhortatorii sunt, qui universae vitae moderandae conferunt: nam iis qui iter ad Deum instituunt, duces quidam fiunt ac veluti indices, qui laborantes a viae longitudine recreant. Porro haec proverbia Salomonis sunt, pacifici nimirum, sive Christi servatoris. Quia vero Domini sermones, propterea quod Domini sunt, idcirco eos sine offendiculo cognoscimus; nequis forte nos nominis paritate falleret, addit quis haec scripserit, et cuius gentis rex fuerit. Sic enim dicentis auctoritas commendatiorem sermonem attentioresque auditores faciet. Verba enim Salomonis illius sunt, cui dixit Dominus: dabo tibi cor prudens atque sapiens: nemo tui par in orbe fuit, neque postero tempore existet; et reliqua de eo scripta. Iam is sapiens a sapiente genitus fuit: quare adtexitur Davidis nomen, unde Salomon procreatus fuit: idem a puero sacris litteris eruditus; neque sorte vel vi aliqua regnum obtinuit, sed iudicio Spiritus et decreto Dei.

Ad sciendam sapientiam et disciplinam. Qui Dei sapientiam novit, is ab eodem quoque eruditur, ita ut intelligat sermonum mysteria. Iam qui veram caelestemque sapientiam tenent, ii mysteriorum sententiam facile percipiunt. Idcirco ait: *ad capiendas sermonum strophas.* Nam quae praeposteris veluti verbis a sancto Spiritu dicta fuerunt, ea illis, qui fideli erga Deum corde sunt praediti, expedite innotescunt.

B

Ἱππολύτου. Παροιμίαι τοίνυν εἰσὶ λόγοι προτρεπτικοὶ παρὰ πᾶσαν ὁδὸν τοῦ βίου χρησιμεύοντες· τοῖς γὰρ ἐπὶ τὸν Θεὸν τὴν ὁδὸν ποιουμένοις, ὁδηγός τις γίνεται παραπλησίως τῷ ὑποδείγματι, τοὺς κάμνοντας διὰ τὸ τῆς ὁδοῦ μῆκος ἀνακτωμένη· εἰσὶν οὖν αὗται αἱ παροιμίαι Σολομῶντος, ὅ ἐστιν εἰρηνικοῦ, ἤτοι τοῦ σωτῆρος Χριστοῦ· ἐπειδὴ δὲ τοὺς τοῦ κυρίου λόγους, ἅτε δὴ κυρίου τυγχάνοντας, ἀπταίστως ἐπιστάμεθα, ἵνα μή τις ἐκ τῆς ὁμωνυμίας ἡμᾶς ἀφαρπάσῃ, φησὶ τίς ὁ γράψας ταῦτα, καὶ τίνων ἦν βασιλεύς· ἵνα ἡ τοῦ λέγοντος ἀξιοπιστία εὐπαράδεκτον τὸν λόγον καταστήσῃ καὶ προσεχεῖς τοὺς ἀκούοντας. Σολομῶντος γὰρ εἰσιν ἐκείνου, πρὸς ὃν εἶπεν ὁ κύριος· δώσω σοι καρδίαν φρονίμην καὶ σοφήν· ὡς σὺ οὐ γέγονεν ἐπὶ τῆς γῆς, καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι· καὶ τὰ λοιπὰ περὶ αὐτοῦ γεγραμμένα· ἦν δὲ σοφὸς ἐκ σοφοῦ· διὸ πρόσκειται τὸ Δαβὶδ, ἐξ οὗ Σολομὼν γέγονε, ἐκ βρέφους τὰ ἱερὰ γράμματα παιδευόμενος, καὶ οὐ κλήρῳ τὴν ἀρχὴν λαβόμενος οὐδὲ βίᾳ, ἀλλὰ κρίσει τοῦ πνεύματος καὶ ψήφῳ Θεοῦ.

Ex catena vat. ms. Cap. I. 1.

* III. Reg. III. 12.

Γνῶναι σοφίαν καὶ παιδείαν. Ὁ γνοὺς τὴν σοφίαν τοῦ Θεοῦ λαμβάνει παρ᾽ αὐτοῦ καὶ παιδείαν, ἐκμανθάνων δι᾽ αὐτῆς τὰ τοῦ λόγου μυστήρια· καὶ οἱ γνόντες τὴν ἀληθῆ καὶ ἐπουράνιον σοφίαν, εὐκόλως νοήσουσι τοὺς ὑπ᾽ αὐτῶν λαλουμένους λόγους· διό φησι, δέξασθαι στροφὰς λόγων· τὰ γὰρ ἀντιστρόφως ὑπὸ τοῦ ἁγίου πνεύματος λελαλημένα, ταῦτα τοῖς πιστὴν καρδίαν ἔχουσι πρὸς Θεὸν εὔγνωστα γίνεται. v. 2.

Cod. vat. 1802. sive A. f. 7. b. Cap. I. 11. Ταῦτα εἰς τὸν τῶν Ἰουδαίων δῆμον καὶ τὴν κατὰ Χριστοῦ μιαιφονίαν ἐξείληφεν· ᾤοντο γὰρ αὐτὸν ἐπὶ γῆς μόνον ἔχειν τὸ πολίτευμα.

Haec de Iudaeorum populo, et de Christi caede, intelligit. Putabant enim illum in terra tantummodo habere conversationem.

Cap. III. 35. A. f. 20. b. Οὐχ ἁπλῶς λήψονται, ἀλλὰ κληρονομήσουσιν· οἱ δὲ ἀσεβεῖς, εἰ καὶ ὑψοῦνται, ἀλλ' ὥστε μείζονα γενέσθαι τὴν ἀτιμίαν αὐτῶν· ὡς γάρ τις τὸν δυσειδῆ καὶ διεστραμμένον, εἰ ὑψώσειεν, οὐκ ἐδόξασε, ἀλλ' ἠτίμασε πλέον, κατάδηλον αὐτοῦ τὸ αἶσχος πλείοσι καταστήσας· οὕτω καὶ ὁ θεὸς ὑψοῖ τοὺς ἀσεβεῖς, ἵνα ἐμφανῆ καταστήσῃ τὴν ἐκείνων ἀσχημοσύνην· ὑψώθη καὶ Φαραὼ, ἀλλ' ὥστε τὴν οἰκουμένην κατήγορον ἔχειν.

Non accipient tantum, sed etiam hereditabunt. Impii vero etiamsi extolluntur, id ad maiorem ipsorum ignominiam redundat. Veluti si quis hominem deformem atque distortum in alto collocet, non honorat sed magis dehonestat, manifestam constituens pluribus turpitudinem eius. Sic item Deus extollit impios, ut publicum faciat dedecus illorum. Exaltatus fuit etiam Pharao, sed ut mundum accusatorem haberet.

Cap. IV. 2. A. f. 20. b. Σημειωτέον ὅτι δῶρον ἀγαθὸν ὀνομάζει τὸν νόμον, διὰ τὸν λαμβάνοντα δῶρα ἐν κόλποις ἀδίκως· οὗτος δὲ ἐγκαταλιμπάνει νόμον, ὁ παραβαίνων αὐτόν· νόμον δὲ ἤτοι ὃν λέγει, ἢ ὃν καὶ αὐτὸς ἐφύλαξεν.

Animadvertendum est, donum bonum dici ab eo pro lege, propter illum qui dona in sinum iniuste accipit. Ille legem deserit, qui eam transgreditur. Legem porro vel quam diserte nominat, vel quam idem observavit.

v. 8. A. f. 21. a. Καὶ πῶς ἐστι περιχαράκωσον; λογισμοὺς αὐτῇ κύκλῳ περίθες ἱερούς· πολλῆς γάρ σοι δεῖ τῆς ἀσφαλείας, ἐπεὶ καὶ πολλὰ τὰ ἐπιβουλεύοντα τῇ τοιαύτῃ κτήσει· εἰ δὲ ἐφ' ἡμῖν ἐστι τὸ περιχαρακοῦν αὐτὴν, αἱ δὲ ἀρεταὶ ἐφ' ἡμῖν, χάρακες ἄρα εἶεν, αἱ ὑψοῦσαι τὴν γνῶσιν τοῦ θεοῦ· οἷον, ἄσκησις, μελέτη, καὶ ὁ ἄλλος τῶν ἀρετῶν ὁρμαθός· ἃς ὁ τηρῶν, τὴν σοφίαν τιμᾷ· μισθὸς δὲ, τὸ πρὸς αὐτὴν μετεωρισθῆναι καὶ περιληφθῆναι ὑπ' αὐτῆς ἐν τῷ ὑπερκοσμίῳ παστῷ.

Quid est circumda? Sanctas ei circumiice cogitationes. Multo enim tibi opus est munimine, quoniam multa sunt tali possessioni insidiantia. Quod si in nostra potestate est, eam circumvallare, munimina quidem nobis erunt virtutes, quae Dei scientiam extollunt, veluti ascetica, et meditatio, et reliquus virtutum chorus; quas qui tenet, sapientiam honorat: merces vero est, ad ipsam extolli, et cum ea deliciari in caelesti thalamo.

v. 14. A. f. 22. b. Ἀσεβεῖς μὲν οἱ ἑτερόδοξοι, παράνομοι δὲ οἱ παραβάται τοῦ νόμου· ὧν τὰς ὁδοὺς, ἤτοι τὰς πράξεις, μὴ ἐπελθεῖν φησί.

Impii sunt heterodoxi: peccatores autem legis transgressores; quorum vias et actus sectari vetat.

v. 25. A. f. 23. b. Ὀρθὰ ὁρᾷ, ὁ λογισμοὺς ἔχων ἀπαθεῖς· καὶ δόγματα ἀληθῆ, ὁ μὴ περὶ τὰς ἔξω φαντασίας ἐπτοημένος· ὅταν λέγῃ ὅτι οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὴν ὅρασιν δηλοῖ τῆς ψυχῆς· καὶ ὅταν παραινῇ, φάγε μέλι, υἱὲ, ἵνα γλυκανθῇ ὁ φάρυγξ σου, μέλι τροπικῶς τὴν θείαν λέγει διδασκαλίαν, ἥτις τὴν πνευματικὴν καταρτίζει τῆς ψυχῆς γνῶσιν· ἀλλὰ καὶ ἅπτεται ψυχῆς ἡ σοφία· ἐράσθητι γάρ φησιν αὐτῆς, ἵνα σε περιλάβῃ· ψυχὴ δὲ διὰ περιπλοκῆς σοφίᾳ ἑνωθεῖσα, ἁγιασμοῦ πληροῦται καὶ καθαρότητος· ἔτι γε μὴν τῶν Χριστοῦ μύρων ἡ τῆς ψυχῆς ἀντιλαμβάνεται ὄσφρησις.

Recta videt qui cogitationes habet perturbatione liberas: et vera dogmata, is qui exterioribus phantasiis non percellitur. Cum dicit: oculi mei videant aequitatem, de visione animae loquitur. Et cum hortatur: comede mel, fili, ut sit dulcedo gutturi tuo, mel tropice dicit divinam doctrinam, quae spiritalem conficit animae scientiam. Sed et animam tangit sapientia. Ama enim eam, ut amplexetur te. Iam anima per complexum virtuti copulata, sanctitate repletur et puritate. Insuper Christi unguentorum anima affectat odoratum.

v. 27. A. f. 24. a. Ἡ ἀρετὴ μεσότης· διὸ καὶ τὴν ἀνδρείαν μεταξὺ τῆς θρασύτητος καὶ τῆς δειλίας εἶναι φησί· νῦν δὲ ὀνομάζει δεξιά· οὐ τὰ φύσει δεξιά ἐστιν αἱ ἀρεταί, ἀλλὰ τὰ φαινόμενα σοὶ δεξιὰ διὰ τὰς ἡδονάς· ἡδοναὶ δέ εἰσιν, οὐ μόνον ἀφροδίσια, ἀλλὰ καὶ πλοῦτος καὶ τρυφή· ἀριστερὰ δὲ, φθόνος, ἁρπαγαὶ, καὶ τὰ τούτοις ὅμοια· βορέας γὰρ, φησι, σκληρὸς ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται· βορέαν γὰρ συμβολικῶς τὸν πονηρὸν καλεῖ ἤτοι τὸν διάβολον, ἀφ' οὗ ἐξεκαύθη πάντα τὰ κακὰ ἐπὶ τῆς γῆς· ὀνόματι δὲ οὗτος ἐπιδέξιος, ὅτι ἄγγελος καλεῖται δεξιῷ ὀνόματι.—Σὺ φησὶν ἔκκλινον ἀπὸ κακοῦ, καὶ τῷ θεῷ μελήσει τοῦ τέλους· προπορεύεται γάρ σου· καταλύων τοὺς πολεμίους, ὡς ἐν εἰρήνῃ σε βαδίσαι.

Virtus medium tenet. Quare etiam fortitudinem dicit esse mediam inter audaciam et timorem. Nunc vero dicit dextera, non quae sunt naturaliter dextera, cuiusmodi sunt virtutes, sed quae dextera propter voluptates tibi videntur. Voluptates autem sunt non solum venereae, verum etiam divitiae ac deliciae. Sinistra vero, caedes, rapinae, et his similia. Nam boreas rigidus ventus, dexter appellatur. Quippe boream symbolice, malignum diabolum vocitat, a quo mala omnia incenduntur in orbe. Eidem nomen est dexter, quia angelus vocatur dextro id est fausto nomine.—Tu, inquit, declina a malo, et Deo cura erit finis tui. Anteibit enim te, hostes profligans, ut pacifice gradiaris.

Cap. V. 19. A. f. 27. b. Δείκνυσι γὰρ καὶ διὰ τοῦ ζῴου, τὸ τῆς ἡδονῆς καθαρόν· καὶ διὰ τοῦ πώλου, τὸ τῆς γυναικὸς παρίστησι γαῦρον καὶ ποθεινόν· καὶ ἐπειδὴ πολλὰ οἶδε τὰ παροξύνοντα, ἀσφαλίζει· ἀῤῥαγῆ τὸν τῆς φιλίας αὐτοῖς δεσμὸν ἐπιτίθησι, τὸ ἀδιάῤῥηκτον αὐτοῖς μηχανώμενος· ἄλλως δὲ ἡ σοφία, ἡτοιοῦν ἔλαφος, τοὺς τῶν ἑτεροδόξων ὀφιώδεις λόγους πέφυκεν ἐλαύνειν καὶ ἀναιρεῖν· αὕτη οὖν, φησὶ,

Nempe per cervam denotat voluptatis in coniugio innocentiam; et per pullum, alacritatem mulieris exprimit et amabilitatem. Et quia multa cernit ad vitium incitantia, caute consulit, et indissolubile coniugibus vinculum iniicit, constantiam illis concilians. Alioqui sapientia, cervi instar, heterodoxorum serpentinas doctrinas repellere valet et extin-

guere. Haec igitur, inquit, tecum sit quasi pullus, ut omnem virtutem innovet. Et quia non est mulieri similis sapientia, haec potius sit tibi dux. Sic enim bonas procreabis cogitationes.

Ne forte dicas: cur noceant oculi, cum plane non sit necesse eum perverti qui cernit? ostendit tibi concupiscentiam esse ignem; carnem, vestimentum; hanc quidem facile capi; illam vero esse tyrannicam. Quod vero non modo est inclusum, verum etiam colligatum, haud ante egredietur quam sibi exitum fecerit. Iam qui spectat mulierem, etiamsi diffugiat, non tamen purus concupiscentia discedet. Cur autem opus est negotia habere, si absque ipsis possumus esse pudici? Observa quid dicat Iobus: foedus pepigi cum oculis meis, ne de muliere aliena cogitarem. Hic nimirum illusionis vim agnoscebat. Paulus etiam hanc ob causam castigabat corpus et in servitutem redigebat. Spiritali autem sensu, ille alligat in sinu ignem, qui impuram cogitationem immorari in corde sinit: incedit autem super carbones is qui peccatum operando propriam animam perdit.

Cemphus est lari species: qui tam effrenis ad voluptatem est, ut oculos sanguine implere in coëundo videatur; et incautus saepe in laqueos aut hominum manus incidit. Huic ergo virum meretrici deditum comparat ob libidinem. Vel ob eius avis stultitiam, etenim et haec tamquam stolida quemque sectatur. Aiunt etiam cemphum tantopere spuma delectari, ut si quis navigans spumam manu teneat, ille manui insideat. Parit etiam cum dolore.

Novisti eius damnum; cave itaque ne concupiscentiam admittas; mors enim eius immortalis est. Ceteroqui vulnerat quidem sermonibus, occidit vero peccatis eos qui sibi indulgent. Nam multa nequitiae genera stultos ad inferna deducunt. Conclavia mortis, vel profunditas, vel divitiae. Quis ergo effugiet?

Novam Hierusalem, sanctam carnem dicit. Columnas septem, septenarium sancti Spiritus in ea quiescentis. Veluti testatur Esaias dicens: immolavit victimas suas.

Animadverte, oportere sapientem multis esse utilem; adeo ut qui utilis sibi soli est, non sit sapiens. Valde enim improbatur sapientia, si vim suam ad unum sui possidentem redigat. Sicut venenum non est noxium alteri corpori, sed recipienti tantummodo; ita qui fit improbus, se ipsum laedit, non alium. Nemo quippe virtute praeditus, ab improbo laeditur.

Fructus iustitiae et arbor vitae, Christus est; qui quatenus homo tantummodo, omnem iustitiam implevit; et tamquam suapte vita, scientiae et virtutis fructus quasi arbor protulit, unde comedentes vitam aeternam adquirent, et vitalem paradisi arborem gustabunt, cum Adamo et omnibus iustis. At animae peccatorum abripiuntur immaturae a facie Dei, qui eas derelicturus est in tormenti igne.

Non hominum sed Dei potius gratiam inveniat.

Hic interrogat sapientiam, qui voluntatem Dei

συνέστω σοι πῶλος οὖσα τῷ νεάζειν ἅπασαν ἀρετήν· καὶ ἐπεὶ μὴ ὅμοιον γυνὴ καὶ σοφία, αὕτη τοὐναντίον ἡγείσθω σοι· οὕτω γὰρ ἀποκυήσεις λογισμοὺς ἀγαθούς.

Ἵνα μὴ λέγῃς· τί γὰρ βλάβος τοῖς ὀφθαλμοῖς, μὴ πάντως οὔσης ἀνάγκης τὸν ἐνορῶντα τραπῆναι; δείκνυσί σοι, ὡς ἡ μὲν ἐπιθυμία, πῦρ ἐστιν· ἡ δὲ σάρξ, ἱμάτιον· τὸ μὲν, εὐάλωτον· ἡ δὲ τυραννική· ὅταν δὲ οὐχ ἁπλῶς ἐγκείμενον ᾖ, ἀλλὰ καὶ ἀποδεδεμένον, οὐ πρότερον ἐξελεύσεται, ἕως ἑαυτῷ ποιήσει διέξοδον· ὁ γὰρ ἰδὼν γυναῖκα, εἰ καὶ διέφυγεν, ἀλλ' οὐκ ἐπιθυμίας καθαρὸς ἀνεχώρησε· τί δὲ δεῖ πραγμάτων, παρὸν ἀπραγμόνως σωφρονεῖν; ὅρα τί φησὶν ὁ Ἰὼβ· διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, τοῦ μὴ κατανοῆσαι γυναῖκα ἀλλοτρίαν· οὕτως οἶδε τὴν τῆς ἐπηρείας ἰσχύν· καὶ ὁ Παῦλος δὲ τούτου ἕνεκεν ὑπεπίεζε τὸ σῶμα καὶ ἐδουλαγώγει· κατὰ δὲ θεωρίαν, ἀποδεσμεύει πῦρ ἐν κόλπῳ ὁ συγχωρῶν ἀκάθαρτον λογισμὸν ἐγχρονίζειν τῇ καρδίᾳ· περιπατεῖ δὲ ἐπάνω ἀνθράκων, ὁ διὰ τῆς κατ' ἐνέργειαν ἁμαρτίας τὴν ἰδίαν ἀπολλύων ψυχήν. Cap. VI. 27. A. f. 34. a.

Κέμφος ἐστὶν εἶδος λάρου, ὃς οὕτως ἀκρατῶς ἔχει πρὸς ἡδονὴν, ὡς αἵματος πληροῦσθαι δοκεῖν τοὺς ὀφθαλμοὺς ἐν τῷ ὀχεύειν· καὶ λανθάνει ἀναισθητῶν βρόχοις πολλάκις ἢ χερσὶ περιπίπτων ἀνθρώπων· τούτῳ οὖν τὸν προστιθέμενον τῇ πόρνῃ, δι' ἀκολασίαν ἀπείκασεν· ἢ διὰ τοῦ ζῴου εὔηθες· καὶ γὰρ καὶ οὗτος ὡς ἄφρων ἐπηκολούθησε· φασὶ δὲ αὐτὸν τοσοῦτον χαίρειν ἀφρῷ, ὥστε εἴ τις πλέων ἀφρὸν ἐπὶ χειρὸς ἕξει, ἐπικάθηται τῇ χειρί· τίκτει δὲ καὶ ἐν ὀδύνῃ. Cap. VII. 22. A. f. 37. b.

Εἶδες αὐτῆς τὴν βλάβην· μὴ ἀναμείνῃς δέξασθαι τὴν ἐπιθυμίαν· ἀθάνατος γὰρ αὐτῆς ἡ τελευτή· ἄλλως δὲ τιτρώσκει μὲν λόγοις, ἤτοι λογισμοῖς, φονεύει δὲ ταῖς ἁμαρτίαις τοὺς πειθομένους· πολλὰ γὰρ εἴδη κακίας τοὺς ἀνοήτους εἰς ᾅδου κατάγοντα· ταμεῖα δὲ θανάτου, ἢ τὸ βάθος ἢ ὁ πλοῦτος αὐτοῦ· πῶς οὖν ἔστι διαφυγεῖν; v. 26. A. f. 38. a.

Τὴν νέαν Ἱερουσαλὴμ καὶ ἁγίαν σάρκα· στύλους ἑπτὰ, τὴν ἑβδομάδα τοῦ ἁγίου πνεύματος ἐπ' αὐτῇ ἀναπαυομένου, ἐσήμανε· καθὼς Ἡσαΐας μαρτυρεῖ λέγων· ἔσφαξε τὰ ἑαυτῆς θύματα. Cap. IX. 1. A. f. 43. a.

Σημείωσαι ὅτι τὸν σοφὸν πολλοῖς εἶναι χρήσιμον ἀναγκαῖον· ὡς ὅ γε ἑαυτῷ χρήσιμος μόνον, οὐκ εἴη σοφός· πολλὴ γὰρ τῆς σοφίας κατηγορία, εἰ μέχρι τοῦ κεκτημένου τὴν δύναμιν ἕξει· ὥσπερ δὲ ἰὸς οὐκ ἂν εἴη βλαβερὸς ἑτέρῳ σώματι, ἀλλὰ τῷ δεχομένῳ μόνῳ· οὕτως καὶ ὁ ἀποβὰς κακὸς, ἑαυτὸν βλάψει, οὐκ ἄλλον· οὐδεὶς γὰρ ἐνάρετος παρὰ κακοῦ βλάπτεται. Cap. IX. 12.

Καρπὸς δικαιοσύνης καὶ δένδρον ζωῆς, ὁ Χριστός ἐστιν· ὁ μόνος ἀνθρωπίνως πᾶσαν δικαιοσύνην πληρώσας· καὶ ὡς αὐτοζωὴ τοὺς τῆς γνώσεως καὶ ἀρετῆς καρποὺς ὡς δένδρον ἐβλάστησεν, ἐξ οὗ οἱ ἐσθίοντες ἀειζωΐαν λήψονται, καὶ τοῦ παραδείσου τοῦ δένδρου τῆς ζωῆς ἀπολαύσονται, σὺν Ἀδὰμ καὶ πᾶσι τοῖς δικαίοις· αἱ δὲ τῶν παρανόμων ψυχαὶ ἀφαιροῦνται μὲν ἄωροι ἐκ προσώπου τοῦ θεοῦ, παρὰ τὸ παρορᾶν αὐτὸς αὐτοὺς ἐν τῇ φλογὶ τῆς βασάνου. Cap. XI. 30. A. f. 55. b.

Οὐ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ τῷ θεῷ δύναμιν εὕρῃ. Cap. XII. 2. A. f. 56. a.

Οὗτος ἐρωτᾷ σοφίαν, ὁ γνῶναι ζητῶν τί τὸ θέλημα τοῦ Cap. XVII. 26. A. f. 77. a.

θεοῦ· ἐνεὸν δὲ ἑαυτὸν ποιήσας, περὶ οὗ μαθεῖν ἦλθεν, οὗτος δόξει φρόνιμος εἶναι· εἰ οὗτος ἐρωτᾷ περὶ σοφίας, ὁ βουλόμενος τί περὶ σοφίας μαθεῖν· οὗτος δὲ σιωπᾷ ἀπὸ σοφίας, ὁ μὴ μόνον οὐδὲ θέλων γνῶναι περὶ σοφίας, ἀλλ' ἀποπαύων καὶ τοὺς πλησίον· διὸ καὶ φρονιμώτερος λέγεται εἶναι ὁ πρότερος τοῦ δευτέρου.

Vulg. cap. XXX. v. 15. A. f. 109. a. et cod. vat. 432. f. 90., sive B. Τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν τῇ ἁμαρτίᾳ ἀγαπώμεναι ἀγαπήσει, ἡ πορνεία, ὁ φόνος *, καὶ εἰδωλολατρεία· αἱ τρεῖς οὐ ἐνεπίπλησαν αὐτήν· οὐ γὰρ ἐμπίπλαται· διὰ τούτων τῶν πράξεων νεκροῦσα ἡ ἁμαρτία τὸν ἄνθρωπον, μηδέποτε ἠλλοιωμένη, ἀλλὰ πάντοτε ἐπαύξουσα· ἡ γὰρ τετάρτη, φησὶν, οὐκ ἠρκέσθη εἰπεῖν ἱκανὸν, ἡ κατὰ πάντα πονηρὰ ἐπιθυμία· τετάρτην λέγων, τὴν μετὰ πάντων ἐπιθυμίαν ἐσήμανεν· ὥσπερ γὰρ ἓν μέν ἐστι τὸ σῶμα, μέλη δὲ πολλὰ ἔχει, οὕτω καὶ ἡ ἁμαρτία μία οὖσα, πολλὰς καὶ ποικίλας ἐπιθυμίας ἐν ἑαυτῇ ἔχει, δι' ὧν ἐπίβουλος τῶν ἀνθρώπων γίνεται· ὅθεν τοῦτο διδάξαι βουλόμενος, διὰ παραδειγμάτων δή φησιν, ᾅδης καὶ ἔρως γυναικὸς, καὶ τάρταρος, καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος· καὶ ὕδωρ, καὶ πῦρ, οὐ μὴ εἴπωσιν ἀρκεῖ· οὐδένα γὰρ τρόπον ὁ ᾅδης, οὐ διαλείπει δεχόμενος ψυχὰς ἀνόμων ἀνθρώπων· οὐδὲ ὁ ἔρως τῆς ἁμαρτίας ὡς γυναικὸς παύεται ἐκπορνεύων, προδότης τῆς αὑτοῦ ψυχῆς ὅστις γενόμενος· ὡς τάρταρος δὲ, ἀεὶ ἐν λυγρώδει καὶ ζοφώδει τόπῳ ὑπάρχων, οὐ καταλαμβάνεται ὑπὸ ἀκτῖνος φωτὸς, οὕτως δὲ πᾶς ὁ ἐν παντὶ πάθει σαρκὸς τῇ ἁμαρτίᾳ δουλεύων, ὡς γῆ οὐκ ἐμπιπλαμένη ὑδάτων, μηδέποτε εἰς ἐξομολόγησιν καὶ λουτρὸν παλινγενεσίας ἐλθεῖν δυνάμενος, ὡς ὕδωρ καὶ πῦρ μὴ λέγοντα ἀρκεῖ.

* cod. φθόνος.

Vulg. XXX. 19. A f. III. a. Ὃν γὰρ τρόπον ὄφις ἐπὶ πέτρας ἰχνοποιῆσαι οὐ δύναται, οὕτως οὐδὲ ὁ διάβολος ἐπὶ σῶμα Χριστοῦ ἁμαρτίαν ἠδυνήθη εὑρεῖν· λέγει γὰρ ὁ κύριος· ἰδοὺ ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν.— Καθὼς γὰρ ναῦς διαπλέουσα ἐν τῷ πελάγει, ἴχνη καὶ ὁδοὺς οὐ καταλείπει, οὕτως οὐδὲ ἡ ἐκκλησία ἐν κόσμῳ πολιτευομένη ὡς ἐν πελάγει, καταλείπει τὴν ἰδίαν ἐλπίδα ἐπὶ τῆς γῆς, ἔχουσα τὴν ζωὴν ἀποκειμένην ἐν τοῖς οὐρανοῖς· ἧς ἐπὶ βραχὺ παρελθούσης, οὐκ ἔστιν ἰχνηλατῆσαι τὴν δίοδον.—Τῆς ἐκκλησίας μὴ καταλιμπανούσης ἐν κόσμῳ τὴν ἐλπίδα, τῆς τὰ πάντα φερούσης Χριστοῦ σαρκώσεως, τρίβον νεκρώσεως ἐν ᾅδου οὐχ ὑπελίπετο.— Τίνος, ἀλλ' ἢ τοῦ ἐκ πνεύματος ἁγίου καὶ παρθένου γεγεννημένου, ὃς τὸν τέλειον ἄνθρωπον ἀνανεώσας ἐν κόσμῳ ἐπιτελεῖ τὰς δυνάμεις, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ὡς καὶ ὁ εὐαγγελιστὴς μαρτυρεῖ· ἦν δὲ ὁ Ἰησοῦς ἀρχόμενος ὡς ἐτῶν τριάκοντα· τούτου οὖν τὸ νέον καὶ ἀκμαῖον τῆς ἡλικίας, ὃς διοδεύων κατὰ πόλεις καὶ χώρας, ἰᾶτο τὰς νόσους καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων.

B. f. 90. Ὀφθαλμὸς καταγελῶν τὰ πατρὸς καὶ ἀτιμάζοντα γῆρας μητρός. Βλασφημοῦντα τὸν θεὸν, καὶ μητέρα ἐξουθενοῦντα Χριστοῦ τὴν τοῦ θεοῦ σοφίαν, ἐκκόψασαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, τὰ ἀκάθαρτα καὶ πονηρὰ πνεύματα, τὸ διορατικὸν τῆς εὐφροσύνης ὄμμα· καὶ καταφάγοιεν αὐτὸν νεοσσοὶ ἀετῶν· καὶ καταπατημένα ἔσονται τοῖς ποσὶ τῶν ἁγίων.

v. 19. Τρία ἐστὶν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω· ἴχνη ἀετοῦ πετομένου, τοῦ Χριστοῦ τὴν ἀνάληψιν. Καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας, ὁ διάβολος οὐχ εὗρεν ἴχνος ἁμαρτίας ἐν τῷ σώματι τοῦ Χριστοῦ. Καὶ τρί-

explorat. Rudem se eius rei praebens, quam discere venit, videbitur prudens. Si quis interrogat de sapientia, scire volens partem eius; alter vero silet, non solum a sapientia nihil discere volens, sed et ceteros ab eius studio deterrere; procul dubio prior prudentior posteriore aestimabitur.

Hirudini. Tres erant peccato dilectae admodum filiae, scortatio, homicidium, idololatria. Neque tamen hae tres saturant illud, quoniam est insatiabile. Per hos quippe semper actus perimens hominem peccatum, numquam mutatur, sed augetur perpetuo. Quarta enim, inquit, numquam ait: satis est; quartam esse significans universalem concupiscentiam. Sicut enim unum est corpus, multa vero membra habet; sic et peccatum multas ac varias concupiscentias in se habet, quibus insidias homini struit. Quod volens demonstrare, utitur exemptis inferni, et amoris mulierum, tartari, et terrae numquam imbre repletae. Et aqua, et ignis numquam dicent, sufficit. Nullatenus etiam infernus desinit a recipiendis affligendisque improborum hominum animabus. Neque peccati amor, id est erga mulierem, cessat a scortando, factus animae propriae proditor. Sicut vero tartarus in tristi ac tenebroso loco reconditus, radios non recipit; ita etiam omnis qui in qualibet carnis passione servit peccato. Sicut terra numquam aquis repleta, ita hic ad confessionem et lavacrum regenerationis venire non valens, aquae instar et ignis, numquam dicit, sufficit.

Quemadmodum serpens in petra vestigium facere nequit, sic neque diabolus in Christi corpore invenire peccatum potuit. Dicit enim Dominus: ecce venit princeps huius mundi, et in me nihil inveniet. —Sicut enim navis mare tranans, vestigium viasque post se non relinquit; sic neque ecclesia in mundo tamquam in pelago versans, spem suam in mundo relinquit, quia vitam suam in caelis reposuit: atque interim brevi tempore transiens, vestigia transitus in via non imprimit. Quum ecclesia spem suam non dimittat, quam habet erga omnis boni fontem, Christi incarnationem, semitam mortis in inferno non facit.—Cuiusnam, nisi nati de Spiritu sancto et virgine? qui perfectum hominem in mundo renovans prodigia edidit, capto initio a Iohannis baptismate, sicut evangelista testatur. Erat autem Iesus incipiens quasi annorum triginta. In hac igitur iuvenili et florente aetate, circumiens civitates et regiones, hominum morbos et infirmitates sanabat.

Oculus qui subsanant patrem, et qui despicit senectutem matris. Nempe oculum blasphemantis Deum, et Christi matrem sapientiam Dei, effodiant eum corvi de vallibus; impuri scilicet malique spiritus visualem laetitiae oculum, eumque comedant pulli aquilarum: nempe qui sunt eiusmodi, conculcentur pedibus sanctorum.

Tria ego intelligere nequeo, et quartum penitus ignoro: vestigium aquilae volantis; nempe Christi ascensum. Viam serpentis in petra; nempe diabolus non invenit peccati vestigium in corpore Christi. Et

semitam navis mare decurrentis; nempe ecclesiae in huius mundi pelago fluctuantis, et ob spem suam in Christum a cruce quasi gubernaculo rectae. Denique vias viri in adolescentia; nimirum Spiritus sancti, qui virgini supervenit. Ecce enim, inquit scriptura, vir cui nomen oriens.

Talis est via mulieris adulterae, quae ubi rem patravit, abstergens se, nihil ait se mali egisse. Videlicet ita se gessit ecclesia, quae postquam cum idolis fornicata fuerat, his abrenuncians atque diabolo, et peccato eluto, veniaque impetrata, nulli iam pravitati se obnoxiam affirmat.

Per tria movetur terra; nempe per Patrem, Filium, et Spiritum sanctum. Et quartum non potest sustinere, id est postremum Christi adventum.—Si servus regnaverit. Israhel In Aegypto servus, in regione promissa regnator.—Stultus dapibus plenus. Hic scilicet facile regionem adeptus, et comedens, atque repletus, recalcitravit.—Et ancilla si expulerit heram suam. Domini interfectrix synagoga, Christi carnem cruci suffixit.

Tria sunt minima in terra, et haec sunt sapientiora sapientibus: formicae, gens infirma, quae parant sibi in messe cibum. Gentes similiter per fidem in Christum parant sibi vitam aeternam operibus bonis. Choerogryllii, populus aeque invalidus, curant sibi in petra cubilia. Gentes super spiritali lapide Christo aedificatae sunt, qui factus est in caput anguli. Stellio qui manibus innititur, et facile capitur, hic moratur in regum castellis. Latro extensis in cruce manibus Christoque innixus, in paradiso habitat, quae est arx trium regum Patris, Filii, et Spiritus sancti.

Regem locusta non habet, et tamen tamquam ad unius iussum in aciem procedit. Sine rege erant gentes, quia peccato erant subiectae: nunc autem Deo credentes caelestem militiam exercent.—Tria sunt quae bene gradiuntur, et quartum quod incedit feliciter. Angeli nimirum in caelis, sancti in terra, animae iustorum sub terra. Quartum, nempe Dei verbum incarnatum, pertransiit feliciter per virginis vulvam; reformatoque Adamo, pertransit caelorum ianuam, primitiae resurrectionis itemque ascensionis factus.

Leonis catulus bestiarum fortissimus. Christus in Iuda a Iacob praedictus.—Gallus inter feminas incedens alacriter. Paulus in ecclesiis intrepide praedicans doctrinam Christi Dei.—Hircus caprarum dux. Idem Christus propter mundi peccata immolatus.—Et concionans in populo. Christus super gentes regnans, praedicat per prophetas atque apostolos docrinam veritatis.

Stabilitum in nequitia. Apostolus autem, peccantes, inquit, coram omnibus argue. Vel facile perversum.—Quinam sunt choerogryllii, nisi nos, qui olim similes suibus eramus, et in omni huius mundi spurcitia volutabamur? sed nunc postquam Christo credidimus, aedificamus domos nostras super sanctam Christi carnem *, tamquam super petram.

Terrae motus significat rerum in mundo conversionem. Peccatum itaque, quod suapte natura ser-

βους νηὸς ποντοπορούσης, τῆς ἐκκλησίας ὡς ἐν πελάγει τῷ βίῳ τούτῳ, τῇ εἰς Χριστὸν ἐλπίδι διὰ τοῦ σταυροῦ κυβερνωμένης. Καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι, τοῦ ἐκ πνεύματος ἁγίου καὶ τῆς παρθένου γεγεννημένου· ἰδοὺ γάρ φησιν ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ.

Τοιαύτη ὁδὸς μοιχαλίδος, ἣ ὅταν πράξῃ ἀπονιψαμένη, οὐδέν φήσει πεπραχθῆναι ἄτοπον· τοιαύτη ἐστὶν ἡ ἀναστροφὴ τῆς ἐκκλησίας πιστευούσης Χριστῷ, ἣ μετὰ τὸ πορνεῦσαι τοῖς εἰδώλοις, ἀποταξαμένη τούτοις καὶ τῷ διαβόλῳ, καὶ ἀπολουσαμένη τὰς ἁμαρτίας, καὶ λαβοῦσα ἄφεσιν, οὐδέν φησι πεπραχέναι ἄτοπον.

Διὰ τριῶν σείεται ἡ γῆ, διὰ πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύματος· καὶ τὸ τέταρτον οὐ δύναται φέρειν τὴν ἐσχάτην ἐπιφάνειαν τοῦ Χριστοῦ.—Ἐὰν οἰκέτης βασιλεύσῃ. Ὁ Ἰσραὴλ ἐν Αἰγύπτῳ δοῦλος γενόμενος, καὶ ἐν τῇ γῇ τῆς ἐπαγγελίας βασιλεύσας. Καὶ ἄφρων πλησθεὶς σιτίων. Τὴν γῆν ἐξ ἑτοίμου λαβὼν, καὶ φαγὼν καὶ ἐμπλησθεὶς ἀπελάκτισε.—Καὶ παιδίσκη ἐὰν ἐκβάλλῃ τὴν ἑαυτῆς κυρίαν. Ἡ κυριοκτόνος συναγωγὴ σταυρώσασα τὴν σάρκα τοῦ Χριστοῦ.

Τέσσαρα εἰσὶν ἐλάχιστα ἐπὶ τῆς γῆς, ταῦτα δὲ τῶν σοφῶν σοφώτερα· οἱ μύρμηκες οἷς οὐκ ἔστιν ἰσχὺς, ἑτοιμάζονται θέρους τὴν τροφήν. Καὶ τὰ ἔθνη διὰ τῆς εἰς Χριστὸν πίστεως ἑτοιμάζουσιν ἑαυτοῖς τὴν αἰώνιον ζωὴν δι' ἔργων ἀγαθῶν. Καὶ οἱ χοιρογρύλλιοι ἔθνος οὐκ ἰσχυρὸν ἐποίησαν ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους. Τὰ ἔθνη ἐπὶ τῇ πνευματικῇ πέτρᾳ Χριστῷ ᾠκοδόμηνται, ἥτις ἐγενήθη εἰς κεφαλὴν γωνίας. Ἀσκαλαβώτης χερσὶν ἐρειδόμενος καὶ εὐάλωτος ὢν· οὗτος οἰκεῖ ἐν ὀχυρώμασι βασιλέων. Ὁ λῃστὴς ἐν τῇ ἐκτάσει τῶν χειρῶν τῷ σταυρῷ τοῦ Χριστοῦ ἐπερειδόμενος, οἰκεῖ ἐν τῷ παραδείσῳ, τῷ ὀχυρώματι τῶν τριῶν βασιλέων, πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.

Ἀβασίλευτον ἡ ἀκρὶς, καὶ ἐκστρατεύει ἀφ' ἑνὸς κελεύ- B. f. 91.
σματος εὐτάκτως. Ἀβασίλευτα ἦσαν τὰ ἔθνη, ὑπὸ τῆς ἁμαρτίας γὰρ ἐβασιλεύοντο· νῦν δὲ πιστεύσαντες τῷ θεῷ, στρατεύονται τὴν ἐπουράνιον στρατείαν.—Τρία ἐστὶν ἃ εὐόδως πορεύεται, καὶ τὸ τέταρτον ὃ καλῶς διαβαίνει. Ἄγγελοι ἐν οὐρανοῖς, ἅγιοι ἐπὶ τῆς γῆς, ψυχαὶ δικαίων ὑπὸ γῆν· καὶ τὸ τέταρτον, ὁ θεὸς λόγος σαρκωθεὶς, διέβη καλῶς μήτραν παρθένου· ἀνάπλασιν τοῦ Ἀδὰμ ποιούμενος, διέβη πύλας οὐρανῶν, ἀπαρχὴ ἀναστάσεως καὶ ἀναλήψεως πᾶσι γενόμενος.

Σκύμνος λέοντος ἰσχυρότερος κτηνῶν. Χριστὸς ἐν τῷ Ἰούδᾳ ὑπὸ Ἰακὼβ προφητευόμενος.—Ἀλέκτωρ περιπατῶν ἐν θηλείαις εὐψύχως. Παῦλος ἐν ταῖς ἐκκλησίαις προθύμως κηρύσσων τὸν λόγον Χριστοῦ τοῦ θεοῦ.—Τράγος ἡγούμενος αἰπολίου. Ὁ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ κόσμου ἁγιασθείς.—Καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει· Χριστὸς βασιλεύσας ἐπὶ τὰ ἔθνη, δημηγορεῖ διὰ προφητῶν καὶ ἀποστόλων τὸν λόγον τῆς ἀληθείας.

Τὸν πεποιωμένον ἐν τῇ κακίᾳ· ὁ δὲ ἀπόστολος, τοὺς Gr. cap. XXVII. 22.
ἁμαρτάνοντας φησὶν ἐνώπιον πάντων ἔλεγχε· τὸν ἐκτραπέντα πρὸς ὀλίγον.—Τίνες οἱ χοιρογαρίλλιοι, ἀλλ' ἢ ἡ- v. 26.
μεῖς; οἳ ἐοίκαμεν ποτὲ χοίροις, ἐν πάσῃ ῥυπαρίᾳ τοῦ κόσμου ἀναστρεφόμεναι, νυνὶ δὲ πιστεύσαντες Χριστῷ, ἐπικοδομοῦμεν τοὺς ἑαυτῶν οἴκους ἐπὶ τὴν ἁγίαν σάρκα Χριστοῦ, ὡς ἐπὶ πέτραν.

Ὁ σεισμὸς δηλοῖ τὴν ἐπὶ γῆς πραγμάτων μεταβολήν· v. 31.
ἡ ἁμαρτία τοίνυν δούλη οὖσα φύσει, ἐβασίλευσεν ἐν τῷ A. f. 112. a.

* s. communio in baptismo.

θνητῷ τῶν ἀνθρώπων σώματι, ἅπαξ μὲν ἐπὶ τοῦ κατακλυσμοῦ· δεύτερον ἐπὶ τῶν Σοδομιτῶν, μὴ ἐνεγκάντων τὴν εὐφορίαν τῆς γῆς, ἀλλὰ καὶ τοὺς ξένους βιασαμένων· τρίτον ἐπὶ τῆς μισητῆς Αἰγύπτου τῆς λαχούσης ἄνδρα τὸν Ἰωσὴφ, σιτομετροῦντα πᾶσιν, ἵνα μὴ διαφθαρῶσι λιμῷ· ἀλλ' οὐκ ἤνεγκε τὴν εὐτυχίαν, εἰς τοὺς υἱοὺς Ἰσραὴλ ἐξυβρίσασα· οἰκέτις δὲ ἐκβαλοῦσα τὴν ἑαυτῆς δέσποιναν, ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἡ δούλη οὖσα καὶ ξένη τῶν ἐπαγγελιῶν, τὴν εὐγενίδα καὶ κυρίαν συναγωγὴν ἐκβαλοῦσα, γέγονε κυρία καὶ νύμφη Χριστοῦ.—Διὰ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος σείεται πᾶσα ἡ γῆ· τὸ τέταρτον οὐ δύναται φέρειν· ἦλθε γὰρ τὸ μὲν πρῶτον διὰ νομοδιδασκάλων· δεύτερον δὲ διὰ προφητῶν· τρίτον διὰ τοῦ εὐαγγελίου ἑαυτὸν φανερῶς ἐπιδεικνύς· τέταρτον κριτὴς ζώντων καὶ νεκρῶν ἐρχόμενος· οὗ τὴν δόξαν σύμπασα κτίσις οὐ μὴ βαστάξῃ.

vile est, regnavit in corpore hominum mortali, semel quidem diluvii tempore: iterum apud Sodomitas qui terrae fertilitate non contenti, hospitibus quoque vim faciebant: tertio denique in exosa Aegypto, quae nacta virum Iosephum, cunctis triticum distribuentem ne fame perirent, non tulit sapienter felicitatem suam, filios Israhelis iniuria adficiens. Ancilla vero expellens dominam, ecclesia ex gentibus est, quae ancilla cum esset et extranea promissionibus, nobilem et dominam synagogam eiiciens, facta est domina et sponsa Christi.—A Patre et Filio et sancto Spiritu terra universa concutitur. Quartum ferre non potest. Venit primo per legislatores: secundo per prophetas: tertio per evangelium ipse semet palam ostendens. Quarto iudex vivorum et mortuorum veniet, cuius gloriam universa creatura ferre non poterit.

ΕΚ ΤΩΝ ΑΠΟΛΙΝΑΡΙΟΥ ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ.

Cap. I. 4. A. f. 4. a. Pelt. lat. p. 29. ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοὺς μὲν ἀδεεῖς φησὶ καὶ τὴν διάνοιαν ἀπρολήπτους, φρονίμους ποιήσειε· νῦν γὰρ τὴν φρόνησιν πανουργίαν ὀνομάζει· τοὺς δὲ ἔτι νέους καὶ διὰ τοῦτο παιδεύσεως χρήζοντας, σοφοὺς καταστήσειεν, ὁ ταύτῃ τῇ βίβλῳ προσέχων τὸν νοῦν καθ' ὃ δεῖ· διὰ γὰρ τοῦτο τὴν αἴσθησιν πρὸ τῆς ἐννοίας ἔταξεν, ἵνα καὶ τὸν ἁρμοδιώτερον τρόπον ὑποδείξῃ τῆς τῶν νέων διδασκαλίας· ὅτι περ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ τὴν διάνοιαν ἀναχθέντες, ἔσονται σοφοὶ καὶ αὐτοί· ἀλλ' ἐπειδήπερ ἀκάκων καὶ νέων ἐμνήσθη, ἵνα μὴ παρὰ τῶν ἐν ἀκμῇ τοῦ τε φρονεῖν καὶ τῆς ἡλικίας καταφρονηθῇ, ὡς νέων ἐστὶ καὶ μειρακίων παιδευτήριον ἥδε ἡ βίβλος.

v. 10. A. f. 7. a. Pelt. lat. p. 49. Παιδευτὴς ὁ παροιμιαστὴς, καὶ τῆς τῶν νέων στοχαζόμενος ἕξεως, ἐν ἀπαγορεύσει τῆς μιαιφονίας, οὐ πρότερα τίθησι τὰ δοκοῦντα ἐξ αὐτῆς περιγίνεσθαι κέρδη, ὡς ἂν μὴ λάθῃ δι' ὧν ἀποτρέπει τὸν φόνον, μᾶλλον προτρεπόμενος· ἀλλὰ πολλὰ τὰ ἐκ ψιλῆς τῆς προσηγορίας ἀποτρέποντα τὸν ἀκούοντα προθεὶς, ὀψέ ποτε ἐπάγει τὰ ἀπὸ τῶν τοιούτων τοῖς τοιούτοις περιγενόμενα κέρδη· μὴ ὑπόσχῃς οὖν τὴν ἀκοὴν ἀσεβῶν διδάγμασιν· σκόπησον γὰρ πρότερον, ἐφ' οἵαν σε κοινωνίαν προτρέπονται, καὶ τίνων ἐργάτην γενέσθαι παρακαλοῦσιν· οὐ γὰρ ἐπὶ πορείαν ὀνήσιμον ἄγουσιν, οὐκ ἐπ' ἐργασίαν ἐλευθέροις προσήκουσαν, ἀλλ' ἔκχυσιν αἵματος, καὶ τούτου δικαίου, οὐκ ἀφορμὴν δεδωκότος, οὐ λύπης αἰτίαν παρεσχηκότος, ὡς καὶ αὐτοὶ συνομολογοῦσι καὶ λέγουσιν· ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν εἰς γῆν ἄνδρα δίκαιον.

Cap. VI. 6. A. f. 31. a. Ὥστε μὴ πρόφασιν ἔχειν τὸν ὀκνηρὸν εἰς ἀσθένειαν καταφεύγειν, παρέλαβε ζῷον ἀσθε-

APOLLINARIS. Incautos, inquit, et improvida mente homines faciet prudentes: namque astutiam hoc loco dicit pro prudentia. Adhuc autem adolescentulos, ideoque institutione egentes, sapientes reddet, si quis huic libro mentem ut par est intendet. Ideo enim sensum cogitationi praemisit, ut convenientiorem locum ostenderet adolescentulorum institutionis: quia a sensilibus ad intellectualia mentem provehentes, ipsi quoque fient sapientes. Sed quia innocentium et adolescentium fecit mentionem, cavet ne ab iis, qui in prudentiae atque aetatis flore sunt, liber hic spernatur, tamquam adolescentium ac puerorum magisterium.

Puerorum institutor, hic proverbiorum auctor, et adolescentium divinans indolem, dum a caede deterret, haud prima statim ponit quae illinc videntur confieri lucra, ne incautus dum dehortatur, ad caedem potius impellat: sed multis praemissis quae vel solo nomine audientem deterrere possunt, sero demum addit ea quae improbis ab eiusmodi criminibus lucra accedunt. Ne praebeas itaque aurem impiorum magisterio: immo in primis expende ad quamnam te sodalitatem invitent, et quae agere suggerant. Non enim ad utilem vitae rationem trahunt, nec ad opus liberis hominibus dignum, sed ad sanguinis effusionem, et quidem iusti, nec occasionem facinori praebentis, nec molestiam alicui creantis; ut et ipsi confitentur, dum aiunt: veni nobiscum; particeps esto sanguinis; obruamus sub terra hominem iustum.

Ne piger praetextum obtendat infirmitatem suam, sumit exemplum de infirmo animali,

et tamen ob operae sedulitatem laudato: et cuius non solum utile est opus, sed mirabile ac sapiens: emendat enim naturae defectum, artis sollertia, seque fortioribus anteponit. Vel, per formicam quidem practicam videtur innuere vitae rationem; per apem vero rerum contemplationem, quam puri aeque ac impuri, sapientes et insipientes, ad animae sanitatem referunt.

Opus naturale nostrum, veritas atque virtus. Sicut ergo qui relictis agriculturae laboribus vagatur, ita etiam hic doctrinam vitaeque regulam omittens, et vias ad rectitudinem ducentes, vanum laborem exantlat.

Quoniam qui iustitiam operatur, ex Deo est; Deus autem vita est; impius vero tendit ad mortem, quae vitae contraria est. Vel quia omni studio impius ad propriam mortem decurrit.

Nonnullorum dissipatio, fit redituum accessio, Deo illis addente ceu fidelibus oeconomis alias opes. Aliorum autem cocervatio, fit causa deminutionis. Neque id tamen in cunctis accidit, ne virtus fiat coacta Ceterum qui in corpus congregat, corruptionem parat.

Pati iniuriam mavult, quam inferre. Dominus gloriatio eius est, vindexque eius fit, puniens qui illum inique laedunt.

Affectiones eius utpote absurdas, desideria non voluntates appellavit, quas inertes dicit; ne si forte voluptaria optaret, etiam ad honesta torpens, necaretur.

Ne temere testimonium dicas apud magistratus, qui aliquid rescire volunt: nam si res aliter apparuerit, ad te debitum recidet quod non poteris solvere. Nemo enim pro alio bonus, sed sibi soli vix sufficiet. Exigent certe, quae tu spoponderis, magistratus. In moralibus, opera exigitur: in intellectualibus recte de Deo et mundo opinandum est. Quae nisi fiant, auferent operimentum tuum, et spiritalium virium tuarum solamen. Nam latera, vires significant. Sicut apud Iobum de diabolo: latera eius aenea, id est vires vocis ministrae. Montes Sionis latera aquilonis. Sancti montes sunt Sionis et latera eius, sive virtutes, oppositae boreae. Vel sic: qui olim erant latera boreae, nunc Sionis montes sunt.

Invidum dicit hominem illiberalem, et divinae scripturae contemptorem. Cave igitur ne cum hoc mediteris de sacrae scripturae

νὲς διὰ τῆς ἐργασίας ἐπαινούμενον· οὐ γὰρ δὴ τὸ χρήσιμον μόνον ἔχει αὐτῆς τὸ ἔργον, ἀλλὰ καὶ τὸ θαυμαστὸν καὶ σοφόν· διωρθώσατο γὰρ τὸ τῆς φύσεως ἐλλιπὲς τῇ τῆς τέχνης σοφίᾳ, καὶ τῶν ἰσχυρῶν προτέθειται· ἢ διὰ μὲν τοῦ μύρμηκος, τὴν πρακτικὴν ἔοικε δηλοῦν ὁδόν· διὰ δὲ τῆς μελίττης, τὴν τῶν ὄντων θεωρίαν, ἥν τινα καθαροὶ καὶ ἀκάθαρτοι, σοφοὶ καὶ ἄσοφοι, πρὸς τὴν τῆς ψυχῆς ὑγείαν προσφέρονται.

Ἡμῶν γὰρ ἔργον κατὰ φύσιν ἡ ἀλήθεια καὶ Cap. IX. 12 A. f. 45. b.
ἡ ἀρετή· ὡς οὖν ὁ τοὺς πόνους τῆς γεωργίας ἀφεὶς πλανᾶται, οὕτως καὶ οὗτος καταλιπὼν τὴν διδασκαλίαν καὶ πολιτείαν, καὶ τὰς ἐπ' εὐθεῖαν φερούσας ὁδοὺς, μάταιον πόνον ἀντλεῖ.

Ἐπεὶ ὁ ποιῶν τὴν δικαιοσύνην, ἐκ θεοῦ γέγονεν, Cap. XI. 19. A. f. 53. b.
ὁ δὲ θεὸς ζωή ἐστιν, ὁ δὲ ἀσεβὴς διώκεται εἰς θάνατον τὸν τῆς ζωῆς ἐναντίον· ἢ ὅτι πᾶσα ἡ σπουδὴ τῷ ἀσεβεῖ καὶ ὁ δρόμος πρὸς θάνατον ἑαυτοῦ ἐστιν.

Τῶν μὲν ὁ σκορπισμὸς, προσόδου ὑπόθεσις v. 24. A. f. 54. a.
γίνεται, τοῦ θεοῦ προστιθέντος αὐτοῖς ὡς πιστοῖς οἰκονόμοις ἕτερα χρήματα· τῶν δὲ ἡ συναγωγὴ, ἐλαττώσεως· οὐ συμβαίνει δὲ ἐπὶ πάντων, ἵνα μὴ ἀναγκαστὸν γένηται ἡ ἀρετή· καὶ ἄλλως δὲ, ὁ μὲν εἰς τὸ σῶμα, φθοράν.

Ἀδικηθῆναι γὰρ οὐκ ἀδικῆσαι αἱρεῖται· ὁ δὲ Cap. XIX. 11. A. f. 81. b.
κύριος καύχημα αὐτοῦ ὢν, ἐκδικητὴς αὐτοῦ γίνεται, τιμωρούμενος τοὺς ἀδικοῦντας αὐτόν.

Τὰς ἕξεις αὐτοῦ ὡς ἀλόγους οὔσας, ἐπιθυ- Cap. XXI. 25. A. f. 89. a.
μίας οὐ βουλήσεις ἐκάλεσεν, ἃς ἀκινήτους εἶναι φησὶ, μήποτε δὲ τῶν ἡδέων ἐπιθυμῶν, καὶ πρὸς τὸ καλὸν ὀκνῶν ἀναιρεῖται.

Μὴ μαρτύρει προπετῶς διδασκάλοις περί τινων Cap. XXII. 26. A. f. 94. b.
βουλομένων μαθεῖν· ἀλλοίου γὰρ ἐκείνου φανέντος, ἐπὶ σὲ τὸ χρέος ἥξει μὴ δυνάμενον ἀποτίσαι· οὐδεὶς γὰρ ὑπὲρ ἄλλου ἀγαθός· ἑαυτῷ γὰρ μόγις ἀρκέσει· ἀπαιτήσουσι δὲ οἷς ἐνηγγυήσω διδάσκαλοι· ἐν μὲν ἠθικοῖς, πράξεις· ἐν δὲ γνώσεσιν, ὀρθῶς περὶ θεοῦ καὶ κόσμου νοεῖν· ὧν μὴ ἀποδιδομένων, λήψονται τὸ σκέπον καὶ διαναπαῦον τὰς ψυχικάς σου δυνάμεις· αἱ γὰρ πλευραὶ, δυνάμεως ἐμφαντικαί· ὡς καὶ ἐν τῷ Ἰὼβ περὶ τοῦ διαβόλου, αἱ πλευραὶ αὐτοῦ, πλευραὶ χαλκεῖαι· τουτέστι δυνάμεις φωνῆς διάκονοι. ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ· οἱ ἅγιοι ὄρη εἰσὶ τῆς Σιὼν, καὶ πλευραὶ αὐτῆς· ἤτοι δυνάμεις ἀντικείμεναι τῷ βοῤῥᾷ. Ἢ οὕτως· οἱ πάλαι ὄντες πλευραὶ τοῦ βοῤῥᾶ, νῦν εἰσὶ τῆς Σιὼν ὄρη.

Βάσκανον τὸν μικροπρεπῆ καὶ τὴν θείαν γρα- Cap. XXIII. 5. A. f. 96. b.
φὴν ἐξευτελίζοντα φησί· μὴ συσκέπτου οὖν περὶ θεωρημάτων γραφῆς τῷ τοιούτῳ, μηδὲ ἀποκαλύ-

ψῆς αὐτῷ τὰ μυστικὰ τῆς γραφῆς· τῷ γὰρ ἑτεροδόξῳ καὶ κακοδιδασκάλῳ οὔτε μεταδιδόναι δεῖ τῶν ἁγίων λόγων, οὔτε μετέχειν τῶν αὐτοῦ. Διὰ δὲ τοῦ παραδείγματος τῆς πόσεως τῆς τριχὸς, τοὺς τῶν ἑτεροδόξων λόγους δηλοῖ, δηλητήρια μᾶλλον ὄντας ἢ τροφάς· ἐξεμέσει γὰρ αὐτὸν καὶ λοιμανεῖται· ἐντεῦθεν δείκνυται ὅτι οὐ περὶ αἰσθητοῦ δείπνου τὰ λελεγμένα, περὶ δὲ λόγων καλῶν.

sensibus, neque ei reveles scripturae arcana. Namque heterodoxo et malo magistro haud communicare oportet sanctas litteras, neque partem cum eo habere. Exemplo autem potati pili, heterodoxorum sermones denotat, qui venena sunt potius quam alimenta: namque his vescentem, vomere potius facient, et corrumpent. Hinc patet, non de materiali convivio dici haec, sed de sermonibus bonis.

Cap. XXIII. 32. A. f. 99. b. Καθάπερ γὰρ ὑπὸ ὄφεως δηχθεὶς, εὐθέως μὲν οὐκ ἔχει τὴν αἴσθησιν τῆς ὀδύνης, ὕστερον δὲ ἀπολεῖται, οὕτως καὶ ἐνταῦθα· ὁ δὲ κεράστης ζῷον πονηρότατον, ἀποκρύπτων μὲν αὐτοῦ τὸ σῶμα πᾶν ἐν ταῖς ψάμμοις, ἄνω δὲ νεύοντα καταλιμπάνων τὰ κέρατα, ἅπερ ὡς ἐπὶ σκωλήκων σαλεύων τὰ τούτοις ὡς τροφῇ προσέχοντα διαφθείρει ζῷα.

Sicut enim a serpente percussus haud ilico sensum doloris experitur; ita heic etiam. Cerastes autem animal improbissimum, totum suum abscondit in arenis corpus, cornibus tantum superextantibus, quae vermium instar commovens, animalia quae ad pastum veluti accedunt, invadens perimit.

v. 34. ibid. Ὁ παντὶ ἀνέμῳ διδασκαλίας περιφερόμενος, ναυαγήσει ἐν τῷ μέλλοντι αἰῶνι· χωρεῖ γὰρ εἰς βυθὸν τοιοῦτος· οὐκ ἐπινήχεται χωρὶς οἰάκων, προβόλοις προσαράττων καὶ πέτραις δόγμασιν ἀλλοτρίοις· καὶ κατακείσεται ἐννοῶν καὶ λέγων· δικαία ἡ κρίσις τοῦ Θεοῦ· ὅτι τὴν καλλίστην διδασκαλίαν μαθὼν, οὐ προσεῖχον, ἀλλὰ τῆς εἰς ἀπώλειαν φερούσης ἐφρόντισα.

Qui omni vento doctrinae circumfertur, naufragium in futuro saeculo patietur. Ruit enim heic in abyssum, nec innatat carens gubernaculo, in extantes petras impingens dogmatum extraneorum. Deinde iacebit meditans dicensque: iustum iudicium Dei, quia cum optimam didicissem doctrinam, in ea non substiti, sed eius quae ad interitum ducit fui studiosus.

v. 35. B. f. 100. Μετανοοῦντος ἐφ' οἷς ἠσέβησεν ὑπόκειται πρόσωπον· οὕτως εἰρῆσθαι νομίζω καὶ τὸ, ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω, ἀναισθητῶν πρὸς τοὺς αἰκισμοὺς αὐτῶν· ἠγνόουν, φησὶν, ἀσεβῶν ὅτι μὴ σώζειν οἶδεν ἀσέβεια· τὴν δὲ σοφίαν σώζειν μαθὼν, ἔγνων· ὡς πρὸς τῶν ἀθέων ἀναισθήτως ἐτυπτόμην δογμάτων· ἀπηλγηκὼς οὖν, πότε γίνεται ὄρθρος ἠγνόουν, ἀνατέλλοντός μοι τοῦ τῆς δικαιοσύνης ἡλίου, ἵνα ζητήσω μετὰ τίνων συνελευσόμενος.

Poenitentis eorum quae peccavit, proponitur persona. Hoc sensu dictum quoque illud fuisse puto: quod operor, non cognosco; obduratus ad illorum flagella. Dum impie agerem, inquit, nesciebam, ab impietate non conferri salutem. Attamen sapientiam esse salutiferam non ignorabam. Interim irreligiosis dogmatibus sine sensu pulsabar. Ergo stupore oppressus, quandonam mane fieret nesciebam, et sol mihi iustitiae oriretur, ut quaererem qua in societate deinceps essem futurus.

Cap. XXIV. 3. A. f. 100. b. Ὁ σοφὸς ἄνθρωπος συμπληροῦται καὶ κοσμεῖται θεωρητικῷ καὶ πρακτικῷ βίῳ· σοφίᾳ, τῇ γνώσει· συνέσει, τῇ ἐπιστημονικῇ ἕξει· αἰσθήσει, τῇ πράξει.

Homo sapiens perficitur atque exornatur theoretica simul et practica vita: sapientia, ut Dei agnitione: prudentia, ut exercitato animi habitu: sensu, ut praxi.

Vulg. XXX. 21. A. f. 112. a. Μετατίθεται τὰ ἔθνη· σεισμὸν γὰρ νῦν οὐ τὸν κλόνον φησὶ τῆς γῆς, ἀλλὰ τὴν ἀνατροπὴν τῆς καθεστώσης πολιτείας· τὸ δὲ τέταρτον, αἱ μαρμαρυγαὶ τοῦ φωτὸς τῶν ἐξ ἐθνῶν βαροῦσι τοὺς ἀσθενεῖς τῶν ἐπὶ τῆς γῆς ὀφθαλμοὺς, οὐ δυναμένους ἐνατενίζειν αὐτῇ.

Transfert gentes. Nam terrae motum nunc nequaquam concussionem dicit terrae, sed praesentis vitae eversionem. Quartum autem, nimirum splendores lucis laedunt gentilium infirmos terrigenarum oculos, qui in illos intendere aciem nequeunt.

v. 24. A. f. 113. b. Ἐλάχιστα ἐπὶ τῆς γῆς οἱ προσελθόντες Χριστῷ· τὰ γὰρ ἀσθενῆ τοῦ κόσμου καὶ τὰ μωρὰ ἐξελέξατο· οἱ σοφώτεροι εἰσὶ τῶν σοφῶν καὶ μέγιστοι ἐν οὐρανοῖς· οὓς διδάσκει ὁ κύριος ἐργάζεσθαι ἕως ἡμέρα ἐστί· καὶ λευκαὶ εἰσὶν αἱ χώ-

Minimi in terra sunt qui ad Christum accedunt (namque infirma mundi et stulta elegit) qui sapientibus sapientiores sunt et maximi in caelis; quos monet Dominus operari quamdiu dies est. Et, albae sunt regiones ad

messem. Et, parate alimoniam ante venturam irae hiemem. Symbolum vero sunt choerogryllii fidelium in vitae petra Christo habitantium. Quae autem intellectualis Pharaonis regnum destruxit ecclesia ex gentibus conflata, locustae propter hominum contemptum comparata, ducatu eius contra artificia diaboli militat, et Aegyptiorum labores difflat. Idem vero ex ethnicis populus, voce absonus, veluti stellio, id est mentem confusam gerens, barbarum idioma loquens, quia tamen virtutibus innititur, in caelorum regno incolatum tenebit.

Absque rege est locusta; nam ne haec quidem, aeque atque apes, ducem habet; sed unaquaeque sibi dux: quia sponte quisque sua moventur, qui supra terrena se extollentes ad propositam iter faciunt vitam.

Cum accedis ad virtutem Deique agnitionem, isagogicum magisterium quaere. Nam postquam lacte potatus fueris, idque satis digesseris, erit tibi cibus solidus. Sin elementis omissis, ad perfectiora violenter irruperis, animae mortem pro esca invenies.

Scito, inquit, quod qui committit gloriam stulto, principatum, aut dynastiam, idem facit ei qui ligans in funda lapidem, et in altum iactans, sibi et aliis hac vana ostentatione male facit.

Fraudulenti heterodoxorum sermones suasoria vi penetrant in simpliciorum animas.

Rogat nos Satanas modo impuris cogitationibus nos titillans, et voluptatis mollitie attrahens: modo etiam articulatam si victus fuerit vocem emittens: cui resistendum est, bellum inexpiabile contra nos habenti.

Anima munda, divinae scientiae confidens, aut ea fruens, externas litteras non ut alimoniam sed ut bellaria sumit. Impura autem anima, falsam etiam scientiam, veram existimat.

Hypocrisim eius, qui in indumentis ovium lupus est, reprehende. Nam contumeliosus adversus veritatem, alienis ovibus nocet. Vel, reliquias virtutum ac scientiae ab iis tolle, qui male eisdem utuntur.

Qui peccatum suum celat, non ut poeniteat, sed ut clam peragat, hic bono non utetur successu, sed male semper vitam deget. At ille qui ad poenitentiam confessionemque venerit, misericordiam consequetur.

1) Animadverte testimonium pro peccatorum confessione.

ραι πρὸς θερισμόν. καὶ ἑτοιμάζεσθε τὴν τροφὴν
πρὸ τοῦ μέλλοντος τῆς ὀργῆς τοῦ χειμῶνος· σύμ-
βολον δὲ οἱ χοιρογρύλλιοι τῶν κατοικούντων πιστῶν
ἐν τῇ τῆς ζωῆς πέτρᾳ τῷ Χριστῷ· ἡ δὲ τὴν τοῦ
νοητοῦ Φαραὼ ἀθετήσασα βασιλείαν, ἐξ ἐθνῶν
ἐκκλησία, ἀκρίδι διὰ τὸ πρὸς τῶν ἀνθρώπων μὲν
καταφρονεῖσθαι παραβαλλομένη, τῷ αὐτοῦ κελεύ-
σματι κατὰ τῶν μεθοδειῶν στρατεύει τοῦ διαβόλου,
καὶ τοὺς τῶν Αἰγυπτίων ἀφανίζει πόνους· ὁ αὐτὸς
δὲ ἐξ ἐθνῶν λαὸς φωνὴν ἄσημον, ὥσπερ ἀσκαλαβώ-
της, τούτεστι συγκεχυμένην νόησιν, καὶ ἄγροικον
λόγον προϊέμενος, ὅταν ἀρετῶν πράξεσιν ἐπερείδε-
ται, ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ τὴν οἴκησιν σχήσει.

Ἀβασίλευτος ἡ ἀκρίς· οὐ γὰρ ἔχουσι τὸν ἡγού- v. 17. A. f. 114. a.
μενον ὡς αἱ μέλιτται, ἀλλ᾽ ἑκάστη ἑαυτῇ ἡγεῖ-
ται· πρὸς τὸ ἀσυμφώνως κινεῖσθαι οἱ προαιρέσει
κουφιζόμενοι τῶν γηΐνων, καὶ εἰς τεταγμένην
ὁδεύοντες τὴν ζωήν.

Προσερχόμενος ἀρετῇ καὶ γνώσει, τὸν εἰσα- v. 32. A. f. 117. a.
γωγικὸν ζήτει λόγον· ποθεὶς γὰρ ὡς γάλα, καὶ
πεφθεὶς, ἔσται σοι στερεὰ τροφή· ἐὰν δὲ τὰ
στοιχειώδη ὑπερβὰς τοῖς τελειοτέροις προσβιάσῃ,
θάνατον ψυχῆς ἀντὶ τροφῆς εὑρήσεις.

Γίνωσκε γάρ φησιν ὅτι ὁ ἐγχειρίζων δόξαν Cap. XXVI. 8. A. f. 124. a.
ἄφρονι, ἀρχὴν καὶ δυναστείαν, ὅμοιός ἐστι τῷ
ἀποδεσμεύοντι λίθον ἐν σφενδόνῃ, αὐτόν τε κου-
φίζων, καὶ ἑτέρους δι᾽ αὐτοῦ κακοποιῶν τῇ τού-
των ἀλαζονείᾳ.

Οἱ ἀπατηλοὶ τῶν ἑτεροδόξων λόγοι διὰ πειθανό- v. 22. A. f. 125. b.
τητος εἰσδύνουσιν εἰς τὰς τῶν ἀφελεστέρων ψυχάς.

Δέεται ἡμῶν ὁ σατανᾶς ποτὲ μὲν διὰ τῶν v. 23. A. f. 126. a.
ἀκαθάρτων λογισμῶν γαργαλίζων ἡμᾶς καὶ τῷ
λείῳ τῆς ἡδονῆς ἐπισπώμενος· ποτὲ δὲ καὶ φωνὴν
οὕτως ἔναρθρον, ὡς ἡττηθεὶς προϊέμενος· ᾧ ἀντι-
στατέον ἄσπονδον τὸν πρὸς ἡμᾶς ἔχοντι πόλεμον.

Ψυχὴ καθαρὰ, θείας γνώσεως κατατολμῶσα Cap. XXVII. 7. A. f. 127.
ἢ κατατρυφῶσα, τοὺς τῶν ἔξω λόγους, οὐχ ὡς τρο-
φὴν, ἀλλ᾽ ὡς χαρίεντας μόνον προσίεται· ἀκάθαρ-
τος δὲ, καὶ τὴν ψευδώνυμον γνῶσιν ἀληθῆ νομίζει.

Ὑπόκρισιν τοῦ ἐν ἐνδύμασι προβάτων λύκου v. 12. A. f. 128. a.
ἔλεγχε· ὑβριστὴς γὰρ ὢν τῆς ἀληθείας, τὰ ἀλ-
λότρια λυμαίνεται πρόβατα· ἢ τὰ τῶν ἀρετῶν
λείψανα, καὶ τῆς γνώσεως τῶν κακῶς αὐτοῖς
χρωμένων λάμβανε.

Ὁ κρύπτων τὴν ἑαυτοῦ ἁμαρτίαν οὐκ ἐπὶ τῷ Cap. XXVIII. 13. A. f. 131. b.
μεταγνῶναι, ἀλλ᾽ ἐπὶ τῷ λανθάνοντα πράττειν,
οὗτος οὐκ εὐοδωθήσεται, ἀλλ᾽ ἀεὶ κακῶς ὁδεύ-
σει τὸν βίον· ὁ δὲ εἰς μετάγνωσιν ἐρχόμενος
καὶ ἐξομολογούμενος 1) οἰκτειρηθήσεται.

Cap. XXIX. 1. A. f. 133. b. Ὁ μὲν γὰρ ἐλέγχων ἰᾶται· ὁ δὲ σκληροτράχηλος ὑβρίζων, οὐκ ἰᾶται, ἀλλὰ καταισχύνων ἐρεθίζει.

Qui reprehendit, sanat: at vero qui dure increpat, non sanat, sed impositâ ignominiâ exasperat.

v. 3. A. f. 134. b. Ὃς ποιμαίνει ἐμπαθεῖς λογισμοὺς, ἀπόλλυσι τὸν πνευματικὸν πλοῦτον.

Qui vitiosas fovet cogitationes, spiritales opes pessumdat.

v. 19. A. f. 136. Ῥέπων γὰρ πρὸς κακίαν, οὐχ ὑπακούσεται λόγοις ἀλλ' ἢ τιμωριῶν ὡς Φαραώ.

Qui ad nequitiam declinat, verbis non cedet, sed punitionibus ut Pharao.

v. 21. ibid. Ὁ σπαταλῶν ἁμαρτάνει, καὶ δοῦλος ἐστὶ τῆς ἁμαρτίας, ὕστερον δὲ ἐν αἰσθήσει γενόμενος, οἷ κακῶν ἐστιν, ὀδυνηθήσεται.

Qui luxu peccat, et peccati servus est, postea sensum rei capiens, in quantum malorum devenerit, deplorabit.

Vulg. XXXI. 10. A. f. 37. b. Γυνὴ ἐν παροιμίᾳ, ἡ σοφία, καὶ ἡ ἐκκλησία, καὶ ἡ κατ' ἀρετὴν ψυχή· ἀνδρεία δὲ, ἡ τῶν ἀντικειμένων κρατοῦσα.

Mulier in hac parabola, sapientia est, vel ecclesia, vel dedita virtuti anima. Fortitudo autem illa est, quae adversarios superat.

v. 14. B. f. 38. a. Οἱ γὰρ ὑπὸ τῆς σοφίας κατασταθέντες διδάσκαλοι, τοὺς πολυτίμους ἐμπορεύονται μαργαρίτας, οὐκ ἐκ μόνων τῶν κοινῶν ἐννοιῶν, ἀλλὰ κἀκ τῶν ἐναντίων.

Qui sunt a sapientia constituti magistri, pretiosas mercantur margaritas non ex communibus solum notionibus, verum etiam ex contrariis.

FINIS APOLLINARIS.

ΙΟΥΛΙΑΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Cap. I. 4. A. f. 3. b. B. f. 10. b. qui est Ottob. 117. Παιδίῳ δὲ νέῳ φησὶν, οὐ τοῦ ἔξω ἀνθρώπου, ἀλλὰ τοῦ ἐντὸς, σωματικὴν δίδωσιν αἴσθησιν· συνεπιγεννῶνται γὰρ ἡμῖν αἱ σωματικαὶ αἰσθήσεις· ἐπειδὴ δὲ διπλοῦς ὁ ἄνθρωπος κατὰ Παῦλον, καὶ παιδική τις ἐστὶ κατάστασις τῆς ψυχῆς, καὶ ἀκματιστὴ, καὶ πρεσβυτική· οἱ γοῦν ἐν Κορίνθῳ οἷα νήπιοι ἔτι ἐδέοντο γάλακτος τῆς εἰσαγωγικῆς τοῦ εὐαγγελίου διδασκαλίας. Νεανίσκος δὲ, ὁ τοῖς εἴδεσι τῆς ἀρετῆς πρὸς τὸ τέλειον ἀπηρτισμένος· ἤτοι ὁ ζέων τῷ πνεύματι, ὡς σφριγῶν πρὸς πᾶν ἔργον τῆς εὐσεβείας. Πρεσβύτερος κατὰ τὴν ψυχὴν, ὁ τέλειος τὴν φρόνησιν κατὰ Δανιήλ· καὶ νῦν ἄρα παιδίον νέον φησὶ, τὸν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ὡς παιδίον νέον γενόμενον, καὶ εὔθετον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν 1)· τῷ δὲ οὕτως ἀρτιγενεῖ παιδίῳ τὸ λογικὸν καὶ ἄδηλον τί γάλα ἡ τῶν παροιμιῶν δίδωσι βίβλος, δι' αὐτῆς γεγυμνασμένῳ, αἴσθησίν τε τῶν παρόντων, καὶ ἔννοιαν τῶν μελλόντων, ὡς μὴ ἐπιπτοεῖσθαι πρὸς ἡδονὰς, ἢ τοῦ βίου τὸ μάταιον. Ὡς δὲ τοῦ ἔσω ἀνθρώπου τυγχάνουσιν ἡλικίαι, οὕτω καὶ αἰσθήσεις τῆς ψυχῆς καὶ δυνάμεις· ὥστε λέγων, ἐμοῖς λόγοις παράβαλε σὸν οὖς, τὸ εὐήκοον ὑπεμφαίνει τῆς ψυχῆς· ὅταν λέγει, οἱ ὀφθαλμοί σου βλεπέτωσαν ὀρθὰ, τὴν ὅρασιν δηλοῖ τῆς ψυχῆς· καὶ ὅταν παραινῇ λέγων, φάγε μέλι υἱὲ, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ, τροπικῶς μέλι

IULIANI DIACONI.

Puero novello, inquit, non exterioris sed interioris hominis, corporalem dat sensum. Sunt enim nobis congeniti corporales sensus. Sed quia duplex est homo, iuxta Paulum, et est etiam quidam puerilis status animae, nec non iuvenescens, et denique senilis; ideo Corinthii quasi infantes adhuc lacte egebant elementaris doctrinae evangelii. Adolelescens autem, qui virtutis formis perfecte instructus est, sive fervens spiritu, et ad omne pietatis opus alacer. Senex animo, qui perfectam habet prudentiam, sicuti Daniel. Et nunc quidem forte dicit recentem puellum, scilicet per regenerationis lavacrum, factum veluti puerum, et regno caelorum idoneum. Huiusmodi autem nuper genito infanti rationale quoddam et absconsum lac suppeditat liber proverbiorum, (si modo in ipso exerceatur) sensumque praesentium rerum, et futurarum intelligentiam, ne voluptatibus vitaeque vanitati succumbat. Sicut autem interioris hominis sunt aetates, ita etiam animae sensus ac vires. Quare cum dicit: sermonibus meis aurem tuam praebe, animae attentionem innuit. Cum vero dicit: oculi tui videant aequitatem, animae visum denotat. Postremo cum hortatur, dicens: comede mel, o fili, ut dulcorentur fauces tuae, tropice mellis vo-

1) Sic in homiliis patrum latinorum, v. gr. S. Augustini, *infantes* dicuntur etiam ii qui adulta iam aetate baptismum suscipiebant, tamquam vitae spiritalis initium.

cabulo appellat divinam doctrinam. Sed enim animam quoque sapientia attingit; dilige enim, inquit, illam ut te complectatur. Insuper et animae odoratum, Christi scilicet unguentorum, sectatur: in odorem quippe unguenti tui, inquit, ego Christi sponsa curro. Licet etiam in vocabulo novelli pueri, humanum genus intelligere; inveteratum autem, Deum, uti apud Danielem. Namque inveteratus dicitur qui antiquus est.

ARETHAE.

Id est in medium progressa ac dilatata bonorum operum exhibitione, fiduciam sumens ex concordia scientiae cum moribus. Quantum enim dilatantur bona et diffunduntur, tanto maiorem confidentiam capit, fore ut non confundatur: qua spe freta, in altitudinem insuperabilem attollitur, incrementorum accessionibus amplificata. Atque inde cunctis urbibus inclamat, et illarum dynastas subiugat.

OLYMPIODORI.

Parabola apud scripturam dicitur non modo sermo per similitudinem inductus, sed etiam quilibet sapientiâ conditus sermo. Namque et Balaamus assumpta parabola loquebatur. Et David: aperiam, inquit, in parabolis os meum. Quo loco non similitudines exponit, sed sapientes sermones.

Hauri doctrinas ex divinis scripturis, et potum ex puteis pietatis. Fons nimirum appellatur copulata nobis a Deo iam inde ab initio scientia, unde potus scaturit mentem laetificans, qui et in plateas diffunditur, in quibus sapientia confidenter versatur. Non sinit autem nostri fontis aquas extra effundi, ut in alienos deriventur; sed res augustas, iubet clam habere hominibus suinam vitam agentibus.

AQUILAE ET THEODOTIONIS.

An qui corda ponderat, ipse non intelliget? Significant autem ponderatam alicui a Deo sive misericordiam sive punitionem. Id est ponderante Deo cogitationes et consilia cordium toto illorum vitae tempore. Flatum vero dicit animam.

SYMMACHI.

Ne publica quidem reprehensio insipientem emendat.

φησὶν τὴν θείαν διδασκαλίαν. Ἀλλὰ καὶ ἅπτεται τῆς ψυχῆς ἡ σοφία· ἐράσθητι γὰρ αὐτῆς, φησὶν ἵνα σε περιλάβῃ· ἔτι γε μὴν ὄσφρησιν τῆς ψυχῆς τῶν Χριστοῦ μύρων, ἀντιλαμβάνεται· εἰς ὀσμὴν γάρ, φησι, μύρου σου, ἡ νύμφη Χριστοῦ δραμοῦμαι. Ἔστι δὲ παῖδα νέον ὑπονοεῖν, καὶ τῶν ἀνθρώπων τὴν γένεσιν· παλαιὸν δὲ τὸν θεὸν, ὡς ἐν τῷ Δανιήλ· παλαιὸν γὰρ τὸ ἀρχαῖον.

ΑΡΕΘΑ.

Ἀντὶ τοῦ διεξοδευομένη καὶ πλατυνομένη τῇ ἐπιδείξει τῆς ἀγαθοεργίας· ἐν τῷ σύνδρομον ὁρᾶσθαι τῇ γνώσει τὸν βίον, τὸ πεπαῤῥησιασμένον εὑρίσκουσα· ὅσῳ γὰρ πλατύνεται τὰ χρηστὰ καὶ ἐξαπλοῦται, τοσούτῳ καὶ τῷ ἀκαταισχύντῳ τὴν παῤῥησίαν καταπλουτεῖ· οὗ σύμβατος, αἴρεται πρὸς ὕψος ἀμήχανον τῇ τῶν ἐπιδιδόντων ἀναβάσει πυργουμένη, καὶ ἐκεῖθεν κηρυσσομένη πόλεσιν ὅλαις, καὶ τοὺς ἐν αὐταῖς χειρουμένη δυνάστας. Cap. I. 20. A. f. 9. a.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ.

Παραβολὴ εἴρηται παρὰ γραφῇ οὐ μόνον ὁ καθ' ὁμοίωσιν εἰσαγόμενος λόγος, ἀλλὰ καὶ πᾶς λόγος σοφός· καὶ Βαλαὰμ γὰρ ἀναλαβὼν τὴν παραβολὴν ἔλεγε. Καὶ ὁ Δαυίδ· ἀνοίξω γὰρ ἐν παραβολαῖς τὸ στόμα μου· οὐχ ὁμοιώματα διεξιὼν, ἀλλὰ λόγους σοφούς. Cap. I. 6. A. f. 6.

Πίνε διδάγματα ἀπὸ τῶν θείων γραφῶν, καὶ πόματα εὐσεβείας ἀπὸ φρεάτων· τῆς συνοικισθείσης ἡμῖν ἀπ' ἀρχῆς, παρὰ τοῦ θεοῦ γνώσεως πηγῆς προσαγορευομένης, ἀφ' ἧς ἀναβλύζει πόματα εὐφραίνοντα νοῦν, ἅπερ πορεύεται ἐν ταῖς πλατείαις, ἐν αἷς ἡ σοφία παῤῥησίαν ἄγει· οὐκ ἐπιτρέπει δὲ ὕδατα τῆς ἡμετέρας πηγῆς προσεκχύσθαι, ὥστε εἰς ἀλλοτρίους χωρεῖν, ἀλλὰ κρύπτειν τὰ σεμνὰ, ἀπὸ τῶν χοιρώδη βίον ἐχόντων. Cap. V. 15. A. f. 26. b.

ΑΚΥΛΑ ΚΑΙ ΘΕΟΔΟΤΙΩΝΟΣ.

Μή τι ὁ σταθμίζων καρδίας, αὐτὸς οὐ συνήσει; ἐμφαίνουσι δὲ τὴν γινομένην σταθμῷ, εἴτε ἐλεημοσύνην ἀπὸ κυρίου τινὶ, εἴτε κολάσεις· οἱονεὶ σταθμίζοντος τοὺς διαλογισμοὺς καὶ τὰς βουλὰς τῶν καρδιῶν, ὅλου τοῦ χρόνου τῆς ζωῆς αὐτῶν· πνοὴν δὲ λέγει τὴν ψυχήν. Cap. XXIV. 12. A. f. 102. a.

ΣΥΜΜΑΧΟΥ.

Ὅτι οὐδὲ δημοσία ἐπιτιμήσις σωφρονίζει τὸν ἄφρονα. Cap. XXVII. 22. A. f. 129.

FINIS COMMENTARIORUM IN PROVERBIA.

ΑΠΟΛΙΝΑΡΙΟΥ

ΕΚ ΤΩΝ ΕΙΣ ΤΟΝ ΙΕΖΕΚΙΗΛ ΕΞΗΓΗΣΕΩΝ.

EX APOLLINARIS

IN EZECHIELEM COMMENTARIIS.

CAP. I.

Cod. ottob. vat. 452. f. 192. a. Παρ' ὕδωρ ποτάμιον ἐνορᾷ καὶ Ἰεζεκιὴλ καὶ
v. 1. Δανιὴλ ὀπτασίας οὐ μάτην· ἐπεὶ καὶ ὕδατι τὸ
v. 4. πνεῦμα τὸ ἅγιον ἀπεικάζεται.—Φωτεινὰ γὰρ τὰ
τοῦ θεοῦ κρίματα, κἂν ᾖ τοῖς πάσχουσιν ἐνίοτε σκυθρωπά· τὰ γὰρ ἔνδοθεν τῶν φοβερῶν καὶ κολαστικῶν, φαιδρὰ καὶ τερπνά· χρηστότης δὲ αὕτη καὶ σωτήριος τοῦ παντὸς πρόνοια, συμφερόντως καὶ τὰς ἐπιτιμήσεις ἐκπέμπουσα.

v. 7. cod f. 192. b. Ἀκαμπὴς ἡ στάσις, καὶ μετέωρος οὐκ ἐπίγειος,
καὶ βοὸς ἡ χηλὴ γεωπόνου καὶ ἡμέρου ζώου διὰ τὴν περὶ ἀνθρώπους καὶ περὶ γῆν ἐνέργειαν ἀγαθουργόν.—Φαιδρὰ γὰρ τὰ οὐράνια καὶ ἀσκότιστα.
v. 8. —Καὶ ἐν τούτῳ πάλιν τὸ λογικὸν τῶν δυνάμεων·
μονονουχὶ λέγων· νόει ἐν τοῖς ῥηθεῖσιν, μὴ τὰς οὐρανίους μόνον δυνάμεις, ἀλλὰ καὶ τὰ ὁρώμενα ἅπαντα· ἐπεὶ καὶ εἷς τῶν ἁπάντων δημιουργός· διὰ γὰρ τοῦτο καὶ ἐν τύποις τῶν ὁρωμένων φαίνονται, οὐχ ὥστε ἡμᾶς τερατόμορφά τινα νοῆσαι τὰς ἀγγελικὰς φύσεις, ἀλλ' ὥστε τήν τε πρὸς ἡμᾶς συμφωνίαν μαθεῖν τῶν ἀοράτων δυνάμεων, καὶ τὴν κατὰ πάντων τοῦ θεοῦ δεσποτείαν· αὐτίκα οὐκ ἀλόγων μόνον μορφὰς ὁρᾷ, ἀλλὰ καὶ ἀνθρώπων· καὶ ταύτας οὐ διῃρημένας ἀλλὰ συνημμένας· εἰ γὰρ καὶ πολὺ τὸ διάφορον ἡμῶν τε καὶ τῶν ἀλόγων, ἀλλ' οὖν οὐ κατὰ πάντα ἀλλήλων διῃρήμεθα· ἀλλ' ἔχομεν καὶ πρὸς τὰς λογικὰς δυνάμεις τινὰ κοινωνίαν, πρὸς μὲν τὰ φαινόμενα διὰ τοῦ σώματος, πρὸς δὲ τὰς ἄνω
v. 10. δυνάμεις διὰ τῆς ψυχῆς. Καὶ μεθ' ἕτερα. Καὶ
διὰ μὲν τῶν ἀνθρώπων τὸ λογικὸν μηνύουσι, διὰ δὲ τοῦ λέοντος καὶ τοῦ μόσχου, ὡς καὶ ἡμέρων καὶ ἀγρίων δεσπότης ἐστὶν ὁ θεός, πάντα πρὸς τὸ λυσιτελοῦν ἐξ ἀρχῆς πεποιηκώς· τὸ δὲ τοῦ ἀετοῦ, ὁμοῦ τὴν τῶν νηκτῶν καὶ πετεινῶν φύσιν σημαίνει, ἐπείπερ ἐκ τῶν ὑδάτων ἑκατέρων τούτων φύσις γεγένηται· καὶ ὥσπερ οἱ Ῥωμαῖοι τὰς βασιλικὰς εἰκόνας γράφοντες, τούς τε δορυφόρους παριστῶσι, καὶ τὰ ἔθνη ὑποτεταγμένα ποιοῦσι, τὸν ὅμοιον τρόπον κἀνταῦθα, ἐπειδὴ ὡς βασιλέα διὰ τῆς ὀπτασίας σχηματίζει τὸν θεὸν ὡς ἐπὶ θρόνου ὀχούμενον, πάντων τῶν ἐπὶ γῆς δείκνυσι τὰς εἰκόνας, τῷ τε σχήματι τὸ πρέπον ἀποδιδοὺς, καὶ τὴν κατὰ πάντα τοῦ θεοῦ διδάσκων δεσποτείαν·—Δηλοῖ δὲ πάλιν καὶ τὸ λογικὸν ἐν τούτῳ καὶ τὸ ἰσχυρὸν, καὶ τὸ εἰς ἡμᾶς εὐποιητικὸν, μετὰ τοῦ κατάγεσθαι, μήτε ταπεινοῦσθαι τῇ τῶν ταπεινῶν προνοίᾳ, ἀλλ' ὑψη-
λὸν εἶναι καὶ οὐράνιον.—Αἱ γὰρ πρὸς θεὸν ἀνα- v. 11.
τάσεις, καὶ ἡ ἐν αὐταῖς ἐπιφαινομένη κουφότης οὐρανοπόρος· οὐδαμοῦ γὰρ γυμναὶ τῆς οὐρανίου φρονήσεως φαίνονται, οὐδὲ ἀπρεπεῖς διὰ γυμνότητα καθάπερ ἄνθρωποι, τὰ πρὸς θεὸν ἐν ἐκστάσει μεγαλυνόμενοι τὰ κατ' αὐτοὺς ἐν πράξεσι ταπεινοῦνται.

Τὴν ἐν κύκλῳ τῶν πραγμάτων περιφορὰν ση- v. 18. Cod. f. 192.
μαίνει, τὴν ἐν ἀρχῇ καὶ ἐπιδόσει καὶ τέλει· καὶ κρίσει τὰς καὶ ἐλέῳ τῷ παρὰ θεοῦ κυκλοῦν διαδοχὴν ἐξειλίττουσιν· κίνησεις δὲ ἰδία τοῦ τροχοῦ κατὰ πνεύματος ἐνέργειαν· ὅτι τὰ πράγματα περιάγεται ῥᾳδίως καὶ οὐ βίᾳ· ἀλλ' οὖν ἀκολούθητι κατὰ περιαγωγὴν πρὸς τὸ τοῦ ἁγίου πνεύματος βούλημα· καὶ πάλιν διὰ τὰς ἐν πολλοῖς γένεσι καὶ χρόνοις ἐγκυκλίους περιαγωγὰς τῶν πραγμάτων.—Ἐπαναλαμβάνεται τοῦτο διὰ τὸ δοκεῖν μὴ εἰς τοὔμπροσθεν ὁδεύειν τὰ πράγματα, ὅσον τῇ τοῦ κόσμου μεταστροφῇ καὶ φθορᾷ.

Ἡ ὅρασις ὑποδείκνυσι τὸ ὑποκεῖσθαι θεῷ τὰς v. 28. cod. f. 19
λειτουργικὰς δυνάμεις, ὡς ἅρμα ἑκουσίως τρέ-

χον ὑπὸ δεσπότῃ ἄνευ ἡνίων· τὸν δὲ Θεὸν ἐπάνω πάσης εἶναι δυνάμεως ἀθορύβως καὶ ἀκμητὶ κρατοῦντα καὶ ὑπάρχοντα ὑπερουράνιον καὶ ὑπὲρ ἅπαν ὕψος.

CAP. II.

v. 1. cod. f. 193. b. Ἑστῶτος γὰρ ἡ θεία ἀκρόασις, οὐκ ἀνατετραμμένου.

CAP. III.

v. 4. cod. f. 194. a. Χωριζόμενος γὰρ αὐτῶν ἐπὶ ποταμοῦ ἐκαθέζετο, διὰ τὸ μὴ ἀρέσκεσθαι αὐτοῖς· ἐμφαίνει δὲ διὰ τούτων τὴν τῶν ἐθνῶν κλῆσιν εὐκολωτέραν, εἰ καὶ δύσκολον ἀλλογλώσσους καλεῖν.

v. 15. cod. f. 194. b. Ὁρᾷ γὰρ ἀτοπίας ἐπὶ πολὺ, παρὼν οὐ συν-
διαιτᾶται αὐτοῖς, ἀλλ' ἡσυχῇ κάθηται θυμῷ κατ-
v. 18. εχόμενος ἐκ τοῦ πνεύματος.—Σιωπῶν γάρ τις
οὐκ ἀκίνδυνον ἕξει τὴν ἡσυχίαν· παῤῥησιαζόμενος
δὲ τὴν ἐκ τῆς σιωπῆς ἐκφεύγει τιμωρίαν, καὶ τὴν
ἐπὶ τῷ σωθέντι εὐφροσύνην λήψεται, καὶ ὁ ἀπό-
στολος δὲ κατακαιόμενον λέγει σωθήσεσθαι τὸν
ἐργάτην, διὰ πυρὸς δοκιμασθέντα, εἰ ἀναίτιος
τοῦ ὀλέθρου τῶν κατακαιομένων μαθητῶν· οὕτω
v. 23. γὰρ τὸ ἔργον.—Ἀντὶ τοῦ, ἤδη εὐτρεπὲς εἶδον τὸ
δικαστήριον.—Διὰ δὲ τῶν πραγμάτων κελεύει
γενέσθαι τὴν προφητείαν, καὶ προδηλωθῆναι δι'
ὧν ὁ προφήτης ποιεῖν ἐκελεύετο τὴν τῆς Ἱερου-
v. 24. σαλὴμ πολιορκίαν.—Οὐδὲν ἥμερον διαλέγεται,
ἀλλ' ἀπηνὲς καὶ τραχὺ καὶ τιμωρίαν ἔχον.

v. 25. cod. f. 195. a. Παιδοτρίβου δίκην ὁ δεσπότης καθάπερ τινα ἀθλητὴν τὸν προφήτην ἀλείφει· προλέγων μὲν αὐτῷ τὰ ἐσόμενα λυπηρὰ, καὶ τὰ ἐπαχθησόμενα παρὰ τοῦ λαοῦ σκυθρωπὰ, ὑπομένειν καὶ καρτερεῖν παρακελεύεται, καὶ σιγὴν ἄγειν ἕως ἂν αὐτὸς ἐπιτρέψει λαλεῖν.

v. 26. cod. f. 195. a. Διδάσκων μὴ δεδιέναι τοὺς θεὸν ἀδεῶς παροξύνειν ἐπιτηδεύοντας· εὐκαταφρόνητοι γὰρ οἱ παράνομοι.

CAP. IV.

v. 3. cod. f. 195. a. Θεοδωρίτου καὶ Ἀπολιναρίου. Τοῦ Θεοῦ τὸν τύπον ἐπέχειν ὁ προφήτης κελεύεται· διὸ καὶ τήγανον σιδηροῦν μεταξὺ αὐτοῦ καὶ τῆς ἐν τῇ πλίνθῳ διαγραφομένης πόλεως θεῖναι προστάττεται· διδασκόμενος ὅτι παρὼν ὁ Θεὸς καὶ ἐφορῶν τὰ κατὰ Ἱεροσολύμων γινόμενα, οὐδεμίας αὐτοὺς ἀξιώσειε προνοίας, ἀλλ' ὥσπέρ τινι τειχείῳ σιδηρῷ διειργόμενος, οὔτε ὁρᾷν δόξει τὰ γινόμενα, οὔτε τῶν ἱκετευόντων ἀκούσεται.

Τὸ ἓν ποιεῖ χοεῖς δύο.—Εἰς ἔνδειξιν τῶν v. 11. cod. f. 195. b.
ἐσομένων αὐτοῖς ἐν τοῖς ἔθνεσιν μιασμάτων. Καὶ μετ' ὀλίγα. Σημαίνων δὲ καὶ τὴν τῶν ξύλων καὶ φρυγάνων ἔνδειαν, διὰ τὸ μηδὲν ἐπείσακτον ἔχειν.

CAP. V.

Ἀπολιναρίου καὶ Θεοδωρίτου. Ἀνάγκη γὰρ v. 7.
ἦν, ἅτε δὴ αἰχμαλώτοις καὶ ἀλλοφύλοις ἔθνε-
σιν ἐπιμιγνυμένους οὐ κατὰ νόμον πολιτεύεσθαι,
ἀλλὰ πολλὰς ἐκ τῆς ἐπιμιξίας ἀφορμὰς εἰς πα-
ρανομίαν παραλαμβάνειν.—Δεικνὺς ὡς ἔνεστιν v. 8. cod. f. 196. a.
τινὰ δίχα τῆς τοῦ Θεοῦ προνοίας ἔξω τῆς τῶν
πολεμίων γενέσθαι χειρός. εἶεν δ' ἂν οὗτοι οἱ
μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος ὑπὸ Μα-
κεδόνων φθειρόμενοι.

Προσημαίνει καὶ τὰς μετὰ τὴν ἐπάνοδον ἐπ' v. 9. cod. f. 196. a.
Ἀντιόχου τοῦ ἐπιφανοῦς γενομένας στάσεις· διὸ ταῖς μυρίαις ἐκείναις περιέπεσαν συμφοραῖς· διαφερόντως δὲ προσαγορεύει τὴν κατὰ τοῦ δεσπότου Χριστοῦ μανίαν, καὶ τὴν μετὰ τὸν σταυρὸν γενομένην αὐτῶν πανωλεθρίαν, καὶ εἰς πᾶσαν τὴν οἰκουμένην διασποράν.

Ἀπολιναρίου καὶ Πολυχρονίου. Ταῦτα αὐτοῖς v. 17. cod. f. 196. a.
ἑρμηνεύει μετὰ βραχέα· καὶ καλεῖ πῦρ τὸν λιμὸν καὶ τὸν θάνατον· διὸ τὰ δύο τέταρτα προσέταξε τῷ πυρὶ παραδοθῆναι, ὡς καὶ τούτου κἀκείνου δίκην πυρὸς ἐπινεμομένου τοὺς αὐτούς· διὰ δὲ τῆς ῥομφαίας, τὴν τῶν πολεμίων ἔφοδον ἐσήμανε, καὶ τὰς ὑπ' ἐκείνων γενομένας σφαγὰς, τὸν διασκορπισμὸν, τὴν αἰχμαλωσίαν, καὶ τὴν ἐσομένην διασποράν.

CAP. VII.

Ἐβλάστησεν ἡ ῥάβδος, ἤνθησεν ἡ ὑπερηφα- v. 10. cod. 197. b.
νία· ἵνα ἐπιτρέπηται τοῖς ὑπερηφάνοις ἡ κρίσις, καὶ τοῖς πλεονέκταις ἐξουσία κατὰ τῶν ἀξίων·

Τὸ ἄφυκτον τῆς ὀργῆς δείκνυται, πανταχόθεν v. 15. cod. f. 198. a.

τῶν δεινῶν περιεστώτων· τὸ γὰρ πεσεῖν ὑπὸ γῆν,
v. 16. οὐδὲ ἀνταίρειν ἐᾷ τοῖς ἐχθροῖς.—Ὀδυρόμενοι γὰρ
καὶ θρηνοῦντες περιστεραῖς μελετώσαις ἀπεικα-
σθήσονται· στένουσι γὰρ ἔοικε τῶν περιστερῶν
ἡ φωνή·—Οὐκ ἀδίκως ἐπάγω τὴν τιμωρίαν, ἀλλὰ
v. 20. τὰς ἀξίας ἕκαστον ἀπαιτήσω δίκας.—Ὁρῶν γὰρ
ἀνόητον τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τὴν κτῆ-
σιν, περιόψονται αὐτὰ ἐῤῥιμμένα, οὐκέτι τὴν
προτέραν ποιούμενοι φυλακήν.

Θεοδωρίτου καὶ Ἀπολιναρίου. Ποίαν γὰρ αὐτοῖς
ὄνησιν παρέξει χρυσὸς ἢ ἄργυρος; λιμοῦ πολεμούν-
των, καὶ τῆς σπάνεως τῶν ἀναγκαίων ἐπικειμένης,
δι' ἣν κεναὶ μὲν τροφῆς αἱ γαστέρες, αἱ δὲ ψυ-
χαὶ τῶν σιτῶν ἐφίενται.—Τὸ γὰρ χρυσίον καὶ τὸν
ἄργυρον καὶ τοὺς τιμίους λίθους ὕλην ἔσχον ἀλα-
ζονίας ὁμοῦ καὶ ἀσεβείας· πολυτελῆ μὲν κόσμον
ἐκεῖθεν κατασκευάζοντες, εἰς εἰδώλων δὲ ἐργα-
v. 27. σίαν τὰ πλεῖστα δαπανῶντες.—Ταύτας αὐτούς,
φησιν, εἰσπράξομαι τὰς δίκας, ὑπὲρ ὧν ἐπλημ-
μέλησαν ἀπαιτῶν τὰς εὐθύνας.

CAP. VIII.

v. 4. Οὐκ ἐκπλήσσεται νῦν ὁ προφήτης, οὐδὲ πίπτει,
συνηθισμένος ἤδη τῷ θείῳ θεάματι.

v. 9. cod. f. 199. a. Οὐχ ἁπλῶς δὲ εἶπεν ἀνομίας, ἀλλὰ μεγά-
λας· καὶ οὐκ ὁ δεῖνα ἢ ὁ δεῖνα, ἀλλὰ πάντες
κατὰ ταυτόν· ἐπαινετὴ δὲ καὶ ἡ τοῦ ὧδε προσ-
θήκη, ἀντὶ τοῦ ἐν τῷ ναῷ.

v. 18. cod. f. 199. b. Καθάπερ γὰρ αὐτοὶ οὐ τὰ τῆς εὐσεβείας ἐξέ-
τειλαν κλήματα, καὶ τὴν τῶν γειτόνων ἐπέτει-
ναν βλάβην, οὕτως ἀφειδῶς ἐγὼ τὴν ἰατρικὴν
ἐπάξω τομήν.

CAP. IX.

v. 10. cod. f. 200. a. Πολυχρονίου καὶ Ἀπολιναρίου. Οὐκ ἀνήμερος,
ἀλλ' ὡς δίκαιος μετὰ τοῦ φιλανθρώπου· τὸ μὲν
γὰρ δίκαιον, ἐν τῇ τιμωρίᾳ γίνεται· τὸ δὲ φι-
λάνθρωπον, ἐν τῇ ἀναστάσει καὶ τῇ προῤῥήσει
τῶν δείνων γνωρίζεται· διόπερ ἄξια ὧν ἔπραξαν
ἀπέλαβον· ὅπερ ἐστὶ δικαιοσύνης τεκμήριον· τὸ
δὲ ἑπόμενον, φιλανθρωπίας ἀπόδειξις.

CAP. XI.

15. cod. f. 201. a. Οὐ καλὸν τοίνυν τὸ ἐπιβαίνειν τοῖς πάσχουσι
τὰ ἀπὸ κρίσεως θεοῦ· οὐδ' ὅτι μὴ πέπονθέ τις
ἤδη τὰ αὐτά, διὰ τοῦτο νομίζειν ὅτι προκέκρι-
ται τοῦ πεπονθότος·—Τέως μὲν γὰρ αὐτούς φη- v. 16.
σιν αἰχμαλώτους καὶ μετοίκους καὶ σποράδας πε-
ποίηκα· ἀλλ' ὅμως ἐν τῇ μετοικίᾳ τῇ προσδοκίᾳ
τῆς τῶν συμφορῶν μεταβολῆς, καὶ ἐλπίδι τῶν
ἀγαθῶν, παραψυχὴν αὐταῖς παρέξομαι· τοῦτο
γὰρ παρεδήλωσεν εἰπών, ἔσομαι αὐτοῖς εἰς ἁ-
γίασμα μικρόν.

CAP. XII.

Σημεῖον τῆς Σεδεκίου τυφλώσεως· ταῦτα δὲ v. 7. cod. f. 201. b
πρὸς τὸ ἐξαγγελθῆναι τοῖς ἐν Ἱερουσαλὴμ καὶ
τῷ Σεδεκίᾳ.

CAP. XIII.

Οὐ γὰρ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. v. 7. cod. f. 202. a

Κατὰ γὰρ τὰς τοῦ Ἱερεμίου φωνὰς ὁ Βαβυ- v. 9. ibid.
λώνιος ὡς προφητεύοντος κατ' αὐτοῦ ἐτιμωρήσατο·
ἡνίκα δηλονότι καὶ τῆς ἑαυτῶν ἀπάτης ἐπιγνώ-
μονες γεγόνασιν.

Ἀνωφελῆ ποιῆσαι φησὶ τὴν χρῆσιν, ἀντὶ τῆς v. 12. cod. f. 202.
εἰρήνης ἣν προεφητεύσατε, συντρίβειν καταγαγὼν
ὡς κατὰ τοίχου τὴν διὰ λέλαπος.—Τροπικῶς v. 20.
διὰ τούτων τοὺς ἁπαλωτέρους καὶ χρηστοτέρους
ἠνίξατο λόγους· τά τε γὰρ ὑπαυχένια καὶ τὰ ὑπαγ-
κώνια ἀνάπαυλάν τινα καὶ θεραπείαν προσφέρει
τοῖς μέλεσιν οἷς ὑποτίθεται· καὶ οἱ χρηστότεροι
λόγοι καὶ ψευδεῖς ὄντες, πρὸς καιρὸν μὲν τὴν
ἀκοὴν γαργαλίζουσι, διαστροφὰς δὲ παντοδαπὰς
προσφέρουσι ταῖς ψυχαῖς· οὕτω καὶ αἱ ψευδοπρο-
φήτιδες, τῷ μὲν λαῷ τὴν κατὰ ψυχὴν βλάβην,
ἑαυταῖς χρηματικὸν περιεποιοῦντο κέρδος, τὰ
δοκοῦντα χρηστὰ προφητεύουσαι·—Ἵνα εἴπῃ ὅτι
τοῖς περιάπτοις κέχρηται, καὶ κατὰ κεφαλῆς
καὶ κατὰ βραχίονος, ὃ ἔτι καὶ νῦν παρά τισίν
ἐστιν ἰδεῖν πολιτευόμενον· ἃ δικαίως ἐπὶ τὸ πολὺ
ὑπὸ γυναικῶν εἴωθε καὶ γραϊδίων γίνεσθαι.

Ταῦτα, φησὶ, ποιοῦσαι, παντελῶς ἀφεῖλκον v. 22.
τῶν θείων νομίμων.—Τοῦ κέρδους τὸ εὐτελὲς
λέγει.—Σμικροῦ γὰρ ἕνεκεν κέρδους, τοὺς μὲν
ἐπῃνεῖτε μάτην ἔτι τοῦ λαοῦ, τοὺς δὲ τιμωρίας
εἶναι ἀξίους ἐλέγετε, τῇ τοῦ λαοῦ κουφότητι καὶ

εὐκολίᾳ κακῶς ἀποχρώμενοι.—Τουτέστι ποτὲ μὲν ἐπὶ σωτηρίᾳ ἑαυτῶν αἰτοῦσι γίνεσθαι παρὰ τῶν τὰ τοιαῦτα ποιούντων· ποτὲ δὲ πρὸς θάνατον τῶν ἐχθρῶν· τὸ γὰρ ἀποκτεῖναι ψυχὰς ἃς οὐκ ἔδει ἀποθανεῖν, ἀντὶ τοῦ ἀναιτίους· ὡς πολλῶν κατ' ἔχθραν τὰς μαγγανίας ταύτας αἰτούντων γενέσθαι πρὸς ἄμυναν τῶν ἐχθρῶν·—Ὡς τῶν εἰς ἀσέβειαν ἐξοκειλάντων καὶ τῶν ταῦτα πραττομένων, κατὰ μὲν τὸν νόμον ὑπευθύνων ὄντων τῷ θανάτῳ· σχηματιζομένων δὲ τούτων δῆθεν πρὸς σωτηρίαν τῶν ὑπευθύνων τιμωρίᾳ.

CAP. XIV.

v. 3. cod. f. 203. a. Οὐ τυγχάνουσι δὲ ἀποκρίσεως περὶ ὧν ἐπιζητοῦσιν, ὅτι μὴ ἐν καρδίᾳ ζητοῦσι Θεὸν, ἀλλ' ἐν προσώπῳ καθάπερ ἄνθρωπον.

v. 14. cod. f. 203. b. Δῆλον δὲ ὅτι οἱ μετανοίας ὑπάρχοντες ἔρημοι, οὐδεμίαν ὠφέλειαν ἐκ τῶν δικαίων καρποῦνται· ὅτι γὰρ ἀκολουθεῖ τῇ μετανοίᾳ ἡ σωτηρία, μάρτυς ἡ θεία γραφὴ πανταχοῦ τοῦτο διδάσκουσα· Νινευῖται γὰρ οὔτε τὸν Νῶε οὔτε τὸν Ἰὼβ οὔτε τὸν Δανιὴλ ἔχοντες, ἀλλὰ τὸν Ἰωνᾶν οὐχ ὑπερευχόμενον ἀλλ' ἀληθεύοντα, βουλόμενοι διὰ μετανοίας ἦραν τὴν σωτηρίαν· διδάσκει τοίνυν ὁ προφητικὸς λόγος ὡς οὐδεμίαν ἕξουσι συγγνώμην οἱ παρανομίᾳ συζῶντες, καὶ τῇ μετανοίᾳ χρήσασθαι μὴ βουλόμενοι, δικαίοις συνοικεῖν σεμνυνόμενοι.

CAP. XVI.

v. 9. cod. f. 204. b. Ὕδατι, τῷ νόμῳ· τὸ αἷμα τὸ ἐν θυσίαις ἀσεβέσι, καὶ τοῖς σαρκὸς καὶ αἵματος πλημμελήμασιν.—Τῶν ἐν τοῖς ἄρχουσι πνεύματος.

v. 11. Τὴν ποιεῖαν σου κατεκόσμησα καὶ ἐφαίδρυνα.—Πρὸς ἐμὴν διακονίαν ηὐτρέπισα ὡς εἶχεν ἐπὶ τῶν ἱερέων.—Τὸ εὐπρεπὲς διὰ πάντων καθ' ἣν ἔσχον δόξαν, καὶ τὰς νίκας ἐμφαίνων.—Οὐ γὰρ ἓν εἶδος τῆς κοσμούσης αὐτὴν λατρείας Θεοῦ, ἀλλὰ διὰ πολλῶν καὶ ποικίλων τῶν περὶ σῶμα.

v. 10.

cod. f. 205. a.

v. 14. cod. f. 205. a. Ἀπολιναρίου καὶ Θεοδωρίτου. Ὀνομαστάτη φησὶ γενομένη, καὶ μέγα διὰ τοῦτο φρονήσασα, ἐμοῦ μὲν ἀπέστης, εἰς ἐσχάτην δὲ ἀκολασίαν ἐξώκειλας, οὐχ ἕνα ἐραστὴν οὐδὲ δύο δεχομένη, ἀλλὰ πάντα τὸν διὰ σοῦ παρελθεῖν ἐθελήσαντα.

Ἀπολιναρίου καὶ Θεοδωρίτου. Ταύτη τῶν κακῶν ἡ ἀρχὴ, τὸ καταλιπεῖν μὲν τὴν θείαν ἐλπίδα, τοῖς δὲ οἰκείοις ἐναβρύνεσθαι κατορθώμασιν. v. 15.

Βρῶμα δαιμόνων, οἱ πρὸς ἡδονὴν αὐτῶν θυόμενοι. v. 20.

CAP. XVII.

Θεοδωρίτου καὶ Ἀπολιναρίου. Τὸν Ναβουχοδονόσορ διὰ τοῦτο ᾐνίξατο, μέγαν μὲν ὀνομάσας, διὰ τὸ πολυθρύλλητον γενέσθαι· μεγαλόπτέρυγον δὲ, ὡς πλεῖστον τὴν ἡγεμονίαν ἐκτείναντα· μακρὸν δὲ τῇ ἐκτάσει, ὡς μεγαλόφρονα καὶ ἀλαζόνα· πλήρη δὲ αὐτὸν ὀνύχων ἐκάλεσεν, ὡς πολλὴν στρατιὰν ἔχοντα, καὶ τὸ ὀξὺ καὶ τὸ δυνατὸν εἰς τὸ πλήττειν θηρίου δίκην τοὺς ἀντιλέγειν ἐπιχειροῦντας. v. 3. cod. f. 207. a.

Ἐνταῦθα σαφῶς ἐδίδαξεν ὅτι οὐκ αὐτόματος εἰς τὴν Ἱερουσαλὴμ ἐλήλυθεν, ἀλλ' ἀοράτως τοῦ Θεοῦ παρακινήσαντός τε καὶ ἀγαγόντος. Λίβανον γὰρ τὴν Ἱερουσαλὴμ προσηγόρευσεν, οὐχ ὡς ἐπίσημον μόνον, ἀλλὰ καὶ ὡς κομῶσαν τηνικαῦτα καὶ οἰκητόρων πλήθει, καὶ τῶν κατὰ νόμον ἱερέων καὶ προφητῶν τὰ θεῖα προθεσπιζόντων. v. 4.

Τὸν Ἰεχονίαν διὰ τούτων ᾐνίξατο· ἐπίλεκτα δὲ ἔφη τῆς κέδρου διὰ τὴν βασιλείαν· ἄκρον δὲ τῆς ἁπαλότητος οὐ μόνον διὰ τὸ ὑψηλὸν, ἀλλὰ καὶ διὰ τὸ νέον τῆς ἡλικίας· νέος γὰρ ὢν ἔτι, καὶ τὴν βασιλείαν ἐδέξατο, καὶ τὴν αἰχμαλωσίαν ὑπέμεινεν· ἁρμοδίως δὲ καὶ τὸ ἀπέκνισε τέθεικεν, ἐπειδὴ ἀετὸν αὐτὸν προσηγόρευσεν πλείστοις ὄνυξι κεχρημένον—Τὴν Βαβυλῶνα διὰ τούτων ἐσήμανε· πάλιν δὲ αὐτὴν Χαναὰν ἐσήμανε διὰ τὴν τῶν τρόπων συγγένειαν.—Ἐπὶ τῷ αἰγυπτίῳ, φησὶ, τὴν ἰδίαν αὔξησιν ἔθετο, καὶ παρ' ἐκείνου προσεδόκησεν ἀρδείαν αὐξητικὴν κάτωθεν ἐκ ῥιζῶν ἀνάγειν αὐτὸν εἰς ὕψος δυναμένην.—Θαῤῥεῖν δὲ αὐτὸν καὶ τῇ χώρᾳ φησὶν, ἣν ἔχει πρὸς αὔξησιν αὐτῷ συμβαλλομένην.—Οὐ τῇ ἑαυτοῦ δυνάμει ταῦτα διαπράξεται, ἀλλ' ἐγώ σε δίκας εἰσπράξομαι, οὐχ ἁπλῶς σε τιμωρησάμενος, ἀλλὰ καὶ τῆς βασιλείας στήσας τὴν διαδοχήν.

cod. f. 207. a.

v. 4.

v. 7.

v. 7. cod. f. 207. a. Ἀπολιναρίου καὶ Πολυχρονίου. Ἀντὶ τοῦ μὴ
ἀποβαλοῦσα τὴν ἀξίαν ἣν ἔλαβεν· τὸ οὖν ἡ ἄμ-
πελος αὐτῇ περιπλεκομένη ἑαυτὴν, ἐν τῷ αἰ-
γυπτίῳ φησὶν ἐπεχείρισεν ὁ Σεδεκίας ἑαυτὸν ςῆ-
σαι, τὸν βαβυλώνιον ἀπολειπὼν, οὐ βουλήσει
τὴν ῥίζωσιν ἔσχεν ὑφ' ὃν ηὐξάνετο μεγέθει μι-
κρῷ τῷ μεθ' ὑπακοῆς.

CAP. XIX.

v. 1. cod. f. 209. a. Σημαίνει δὲ τὰ μετὰ τὸν Ἰωσίαν συμβάντα·
τέσσαρας γάρ, φησι, βασιλεῖς ἐν ὀλίγῳ χρόνῳ
τῆς Ἱερουσαλὴμ ἡγήσαντο, Ἰωαχὰς, Ἰωακεὶμ,
Ἰεχονίας, Σεδεκίας.—Τὸν Ἰωαχὰς λέγει, ὃς Ἰω-
σίαν τὸν πατέρα διαδεξάμενος, καὶ περὶ τὸ θεῖον
ἐγένετο δυσσεβὴς, καὶ περὶ τοὺς ὑπηκόους παρά-
νομος· ἀλλὰ τοῦτον Φαραὼ Νεχαὼ τῶν Αἰγυπ-
τίων τῆς παρανομίας τὰς δίκας ἐξέτισε· καὶ τοῦ-
το ἐσήμανεν εἰρηκὼς, συνελήφθη ἐν τῇ ἰδίᾳ διαφ-
θορᾷ αὐτοῦ.

v. 14. cod. f. 209. b. Δῆλον δὲ ὅτι τὰ πρὸ τῆς ἐπανόδου λέγει·
τηνικαῦτα γὰρ ὑπὸ τῶν οἰκείων ἐθρηνεῖτο· τοῖς
δὲ ἀλλοτρίοις παροιμία ἐγένετο θρήνου· εἰώθασι
γὰρ οἱ ἄνθρωποι ἐπὶ τῶν μεγίσταις συμφοραῖς
περιπιπτόντων λέγειν, μὴ πάθοιμι οἷα ὁ δεῖνα
πέπονθε· τοῦτο τοίνυν παραβολὴν ἐκάλεσε θρήνου.

CAP. XX.

v. 1. A, f. 209. b. Οὗτοι πονηρίᾳ συζῶντες, καὶ τῷ τῆς μετα-
μελείας φαρμάκῳ ἰαθῆναι μὴ βουληθέντες ἐρω-
τᾶν ἐπειράθησαν τὸν δεσπότην, οὐχ ἵνα πάντως
τὰ κελευόμενα πράξωσιν, ἀλλ' ἵνα μάθωσιν, εἰ
συμβαίνουσι τοῖς οἰκείοις λογισμοῖς οἱ θεῖοι χρη-
v. 3. σμοί.—Ἀντὶ τοῦ μὴ φροντίσῃς αὐτῶν οἷα κηδε-
μὼν αὐτῶν ὑπάρχων· μὴ δέξῃ αὐτὴν τὴν ἐπερώτη-
σιν.—Τούτοις, φησὶν, ὦ προφῆτα, τοῖς πρός
σε παραγενομένοις, καὶ τὰς ἐμὰς ὑπόδειξον εὐερ-
γεσίας, καὶ τὰς τῶν πατέρων ὑμῶν ἁμαρτίας
v. 6. ἀπρίθμησαι.—Οὕτως προσαγορεύσας τὰ τοῦ μέλι-
τος πεπληρωμένα κηρία· ἔχει δὲ ὅμως ἑκάςη λέξις
πολλὴν τὴν ἔμφασιν τῆς τοῦ θεοῦ ἀγαθότητος.—
v. 8. cod f. 210. a. Καὶ ταῦτα δὲ ὁ θεσπέσιος διδάσκει Μωϋσῆς,
λέγων πρὸς τὸν θεὸν, ὅτι ἐὰν πατάξῃς αὐτοὺς,
ἀκούσεται Αἴγυπτος, καὶ ἐρεῖ· παρὰ τὸ μὴ δυ-
νηθῆναι κύριον εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν,
ἣν ἐπηγγείλατο τοῖς πατράσιν αὐτῶν, κατανά-
λωσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ.—Τοὺς γὰρ παρανό-
μους ἐκείνους διαφόροις παραδοὺς τιμωρίαις, τὰ
τέκνα αὐτῶν οὐδὲν ἀμείνω ἐκείνων διατεθήσεσθαι
μέλλοντα διαφύλαξεν, καὶ εἰς τὴν ἐπηγγελμένην
τοῖς προγόνοις εἰσήγαγε γῆν.

Λέγει δὲ διὰ τούτων τοὺς δέκα λόγους τοῦ νό- v. 11.
μου· παρέβησαν δὲ ταῦτα, καὶ πατοῦντες ἀδεῶς
διετέλεσαν·—Ἐπειδὴ τὰ δοθέντα, φησὶν, ἤδη v. 25.
χρηστὰ προστάγματα οὐκ ἐφυλάξαντο, ἑτέροις
αὐτοὺς προστάγμασι προσέδησα καὶ προσήλωσα,
ζωὴν αὐτοῖς οὐδεμίαν δυναμένοις παρέχειν· τῇ δὲ
περὶ αὐτὰ φυλακῇ τε καὶ ἀσχολίᾳ τὴν ἀναγκαίων
νόμων παράβασιν παύονται· αἰνίττεται δὲ διὰ τού-
των τὰς περὶ λέπρας, καὶ ὀστέου νεκροῦ, καὶ
θνησιμαίου, καὶ γονοῤῥοίας, καὶ τῶν ἄλλων τῶν
τοιούτων ἐντολὰς, καὶ τὰ συχνὰ ταῦτα περιραν-
τήρια, καὶ τὰς ὑπὲρ τούτων προσφερομένας θυ-
σίας· Καὶ μετ' ὀλίγα· Οὔτε γὰρ κακίαν ἐδί-
δασκεν, οὔτε ἀρετῆς αὐτὰ καθ' αὐτὰ ποιητικὰ
ὄντα ἐτύγχανεν, ἀλλὰ συχνῶς φοιτᾶν εἰς τὸν
θεῖον νεὼν, καὶ τῷ προσεδρεύειν ἠνάγκαζεν· αὐ-
τὰ τοίνυν καθ' αὐτὰ οὐ καλά· οὐ γὰρ τῷ θείῳ
συνέβαινε σκοπῷ, ἀλλὰ τῇ τῶν νομοθετουμένων
ἥρμοττεν ἀσθενείᾳ.

Τινὲς μὲν οὖν ταῦτα εἰς τὴν τῶν εἰδώ-
λων ἔλαβον θεραπείαν· ἔδωκα, ἀντὶ τοῦ συν-
εχώρησα νενοηκότες· δῆλοι δέ εἰσιν οὐδαμῶς
τὴν τῶν εἰρημένων κατειληφότες διάνοιαν· τὴν
γὰρ τῆς ἀσεβείας τῶν εἰδώλων θρησκείαν οὐ-
δεὶς ἂν εὖ φρονῶν εἴποι οὐ καλὴν, ἀλλὰ λίαν
κακήν.—Συνεχώρησα γὰρ αὐτοῖς μιαίνεσθαι τοῖς
σφῶν αὐτῶν ἐπιτηδεύμασιν, ἐν τῷ διὰ πυρὸς
παραγαγεῖν τὰ παιδία καὶ τὰ πρωτότοκα τῶν
τέκνων προσφέρειν τοῖς δαίμοσιν.—Δόγματα μὲν
οὖν λέγει τὰ παρὰ Ἰουδαίων ὁπωσοῦν διδόμενα.—
Διανοῖγον δὲ μήτραν λέγει τῶν πρωτοτόκων τὴν v. 26.
προσκομιδήν· ἡγοῦμαι τοίνυν ἐνταῦθα οὐ κατὰ
τῶν λοιπῶν μόνον ἀποφαίνεσθαι τὸν θεὸν, ἀλλὰ
καὶ κατ' αὐτῶν τῶν λευιτῶν· ἐπειδὴ γὰρ τῶν
λοιπῶν ἀμείνους ἐνομίζοντο, καὶ ὡς θεῷ ἀνα-
κείμενοι, ἀπειλεῖ κατ' αὐτῶν τούτων ἐνέγκαι τὴν

τιμωρίαν· ὥστε τῇ σφοδρότητι τῶν λόγων δυσωπηθῆναι τοὺς ἀγνώμονας· τὸ οὖν ἐν τοῖς δόγμασιν αὐτῶν, ἀντὶ τοῦ ἐν τοῖς παρ' αὐτῶν δοθεῖσιν, ἵνα εἴπῃ τοῖς λευίταις.

v. 28. Οὐκ ἠρκέσθησάν, φησι, τῇ ἐν Αἰγύπτῳ ἀντιλογίᾳ, καὶ ταῖς ἐν τῇ ἐρήμῳ παρανομίαις, ἀλλὰ εἰς τὴν ἐπαγγελθεῖσαν αὐτοῖς εἰσελθόντες γῆν, καὶ πολλῆς αὐτὴν ἀσεβείας ἐνέπλησαν, ἐν ἅπασι τοῖς βουνοῖς δειμάμενοι, καὶ εἴδωλα ἱδρυσάμενοι, καὶ σπονδὰς αὐτοῖς καὶ θυσίας διαφόρους προσε-
v. 29. νεγκόντες.—Τόπος οὗτος ἐπίσημος ἐκ τῆς περὶ
v. 31. τὰ εἴδωλα δυσσεβείας γεγενημένος.—Τοῦτο ἐλπίζετέ, φησι, τῆς πατρῴας παρανομίας καὶ τῆς δυσσεβείας ἐν ὑμῖν πολιτευομένης· καὶ τούτων ἁπάντων ὧν διεξῆλθον ὑφ' ὑμῶν τολμωμένων ἀποκρίσεως τυχὸν παρ' ἐμοῦ τυχεῖν, μὴ ἐξαπατᾶτε ὑμᾶς αὐτούς· τῶν γὰρ ἀδυνάτων ἐμὲ πρὸς τὰς ὑμετέρας ἀποκρίνεσθαι πεύσεις, τῆς ἀσεβείας ἔτι
v. 33. παρ' ὑμῶν τολμωμένης·—Οὐ μὴν δὴ οὐδὲ ἐκεῖνος ὑμῶν λογισμὸς πέρας λήψεται, ὅτι πᾶσι παραπλησίως τοῖς ἔθνεσι τὰ ξύλα καὶ τοὺς λίθους θεοποιοῦντες, τῷ θεῷ πρέπον αὐτοῖς προσοίσετε γέρας.

Ἀπολιναρίου καὶ Θεοδωρίτου. Μὴ ἐκφεύξεσθε, ὁ λόγος ἀπειλεῖ αὐτοῖς, τοῦ βαρβάρου τὰς χεῖρας· ἐκεῖθεν τε αὐτοὺς ληφθέντας τὴν ἐσχάτην ὑφέξειν δίκην.—Ἀπολιναρίου καὶ Θεοδωρίτου.
p. 36. Καθάπερ γάρ, φησι, τοὺς προγόνους τοὺς ὑμετέρους πολλὰς τὰς ἀποδείξεις τῆς ἐμῆς δυνάμεως λαβόντας, καὶ κατὰ τὴν ἔρημον γενομένους, ἀγνωμόνως διατεθέντας ἐκόλασα, τὸν ὅμοιον τρόπον καὶ ὑμᾶς διαθήσω.—Τῶν αὐτῶν. Τὸν διὰ τῶν πραγμάτων ἔλεγχον παραδηλοῖ. Καὶ πάλιν. Ὥσπερ τοίνυν πρὸς τοὺς ὑμετέρους πατέρας ἐν τῇ ἐρήμῳ διακριθεὶς, ὀλέθρῳ αὐτοὺς παντελεῖ παραδέδωκα, οὕτως καὶ ὑμῖν ἐπάξω τὴν τιμωρίαν.—Τῶν αὐτῶν. Τοὺς διαριθμῷ ἀξίους καὶ
cod. f. 211. a. τῆς ἐμῆς ἀξιώσω προνοίας· ἐσήμανε διὰ τούτων τόν τε ἀποστολικὸν χορὸν, καὶ τοὺς δὲ ἐκείνων τῷ θείῳ πεπιστευκότας κηρύγματι.

CAP. XXII.

v. 25. cod. f. 213. Τῷ δὲ τῶν λεόντων παραδείγματι τὸ δυνατὸν τῶν ληϊζομένων τοὺς πένητας παρέστησεν· τὸ δὲ ὠρυόμενον, τὴν περὶ τὸ κακὸν αὐτῶν προθυμίαν ἐμφαίνει· τὸ δὲ ἁρπάζοντες ἁρπάγματα, ἵνα εἴπῃ ἅπερ ἂν νομίσωσι κάλλιστα. Ἐμφαίνει ὡς καὶ περὶ τοὺς φόνους ἠσχολοῦντο τῶν μὴ προχείρως τὰ ἑαυτῶν προϊεμένων.—Τῶν γὰρ ἀνδρῶν ἀνελομένων, δηλονότι ἡ χηρία χώραν ἐλάμβανεν· ἐντεῦθεν ἐπὶ τοὺς ἱερέας τὸν κατηγορικὸν μεταφέρει λόγον.

CAP. XXIII.

Τὸ μὴ μόνον τοῖς ἔξωθεν προστίθεσθαι σε- v. 13. cod. f. 214. a.
βάσμασιν, ἀλλὰ καὶ εἰς τὴν χώραν ἐπαγαγέσθαι αὐτά.—Καλῶς καὶ λίαν ἁρμοδίως τὸ τῶν εἰδώλων ἀδρανὲς ἐκωμῴδησεν, διδάξας οὐδὲν ἕτερον ὄντα ἢ χρώματα καὶ σχήματα καὶ τέχνης ἀποτελέσματα.

CAP. XXIV.

Δηλοῖ ὅτι οὐδεὶς τὰς ἐπενεχθείσας διέφυγε v. 7. cod. f. 215. a.
συμφορὰς, οὐδὲ ἐκληρώθησαν οἱ μὲν εἰς ὄλεθρον, οἱ δὲ εἰς σωτηρίαν· καθάπερ ἐν ταῖς ἤδη πρότερον γεγενημέναις πολιορκίαις συνέβη· ἀλλὰ πάντες ἁπαξαπλῶς οἱ μὲν λιμῷ, οἱ δὲ λοιμῷ παρεδόθησαν· οἱ δὲ ταῦτα διαφυγόντες, ἢ πολεμοῦντες ἀνῃρέθησαν, ἢ πολιορκηθέντες ἐξηνδραποδίσθησαν. Διδάσκει δὲ τῶν κακῶν τὴν αἰτίαν, καὶ φησί· ταῦτα ὑπομενοῦσι, τῆς ἄγαν μιαιφονίας τείνοντες δίκας· ἐπὶ Χριστὸν δὲ ὁ λόγος ἐρχόμενος, οἰκείως ἔχει τὸ ἓν αἷμα, καὶ τὴν ἀείμνηστον ἐπὶ τοῦτο δίκην· διήκει γὰρ ἡ προφητεία καὶ εἰς τὰ τότε καὶ εἰς τὰ ὕστερον.

CAP. XXVII.

Διὰ τὸ ἐνάλιον εἶναι τὴν Τύρον διέξεισιν αὐ- v. 8. cod. f. 217. a.
τῆς τὰ λαμπρὰ, ὡς ἐπὶ νεοστοιχοὺς τε λέγων καὶ ἱστὸν καὶ κέρας καὶ ἄρμενον καὶ σκέπαστρον, ἕκαστον αὐτῶν ἐπίλεκτον τῇ καλλονῇ. Ἵνα εἴπῃ ἐπήλυδας ἔσχες τοὺς ἄγαν ἐν συνέσει διαβεβοημένους, ὥστε καὶ τῆς πόλεως τὴν διοίκησιν ἐγχειρισθῆναι· καὶ τὰ δυσχερῆ μὲν διωθούμενοι, τὴν δὲ εὐπρέπειαν αὔξοντες.—Καὶ ἐκ τῶν ὑπηρετούντων δείκνυσι τὸ σεμνὸν καὶ τίμιον αὐτῆς, οἱονεὶ νεὼς ναυτῶν ὄντων καὶ κυβερνήτων.

v. 14. cod. f. 217. b. Ἵνα εἴπῃ Ἴωνας, Καππάδοκας, καὶ Ἴβηρας κομίζειν ἀνδράποδα.

CAP. XXVIII.

v. 2. cod. f. 218. a. Βδελυρὰ μὲν ἅπαντα τῆς ἁμαρτίας τὰ εἴδη· βδελυρωτάτη δὲ πάντων ἡ ὑπερηφανία. πᾶν γὰρ ὑψηλὸν, φησι, βδέλυγμα ἐναντίον κυρίου· καὶ ὁ θεῖος ἀπόστολος, μὴ νεόφυτόν φησι, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπεσῇ τοῦ διαβόλου· ταύτην ἔσχε τὴν νόσον καὶ ὁ τῆς Τύρου ἄρχων, ὅτε ὁρώμενος ὅ τε ἀόρατος· καὶ γὰρ ἡμεῖς οἱ εὐσεβεῖς βασιλευόμεθα μὲν κυρίως καὶ ἀληθῶς ὑπὸ τούτων ὅλων θεοῦ· καὶ Τύρος τοίνυν παραπλησίως ἡμῖν καὶ τὸν θεὸν ἔχει βασιλέα, καὶ τοὺς ὑπ' αὐτοῦ βασιλεύειν ταχθέντας ἀνθρώπους· πάλαι δὲ ἄγνοιαν νοσοῦσαν θεοῦ, καὶ τῇ ἀσεβείᾳ δουλεύουσαν, ἄρχοντα εἶχε καὶ βασιλέα τὸν τῆς κακίας καὶ ἀσεβείας εὑρετὴν ὁμοῦ καὶ διδάσκαλον διάβολον· ἔσχε δὲ καὶ ὁρώμενον ἄρχοντα, τὸν ὑπὸ τούτου κακῶς ἐνεργούμενον, καὶ τῇ δυσσεβείᾳ δεδουλωμένον· πρὸς ἀμφοτέρους τοίνυν ὁ λόγος· ἀλλ' οὔτε τούτῳ οὔτε ἐκείνῳ πάντα ἁρμόττει, ἔνια δὲ ἀμφοτέροις, τινὰ δὲ θατέρῳ, τὰ δὲ νῦν ἀναγκασθέντα ἑκατέρῳ· ὅ τε γὰρ διάβολος εἰς ἐκείνην τὴν μανίαν ἐξώκειλεν, καὶ λυττήσας θεὸν αὐτὸν ἀνηγόρευσεν, καὶ τοῦτο προσέφερεν ἑαυτῷ τὸ σέβας, τοὺς ἀνθρώπους ἀναπείθων· καὶ ὁρώμενος τῶν Τυρίων ἄρχων, τοῦτον νοήσας τὸν τύφον, καὶ εἰς τὴν οἰκείαν ἀφορῶν εὐημερίαν, ὑπέλαβεν εἶναι θεός· διὸ πρὸς αὐτὸν ὁ θεός, φησι, σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός.

v. 15. cod. f. 218. b. Τὰ πρὸ τῆς ἐκτροπῆς τῶν δυνάμεων τούτων
cod. f. 219. a. διηγεῖται. Τὸ ἐντὸς αὐτοῦ γενόμενον ἐκκαλύπτει κακὸν, τὴν ὑπερηφανίαν, ἣ τὸ κάλλος λυμαίνεται τῶν λογικῶν, ἅτε δὴ χωρίζουσα τῆς τοῦ καλλίονος οἰκειώσεως, διὰ τὸ νομίζειν πεπληρῶσθαι, οἷον τὸ, ἤδη κεκορεσμένοι ἐστέ.—Πολλὰ γὰρ ἦν ἅμα ἡ πρὸς θεὸν ἀνοικειότης, ὁ πρὸς τοὺς καλλίονας φθόνος, ἡ πρὸς τὸν ὅμοιον ἄνθρωπον ἐπιβουλευτικὴ πονηρία· διά περ οὐκέτι ἄξιος τῶν καθαρῶν οἰκήσεων ἦν τῶν οὐρανίων καλουμένων· ἡ εἰς γῆν οὖν πτῶσις τὸν περίγειον ἀέρα· ἐπεὶ καὶ οὕτως ἐν τοῖς ἐπουρανίοις εἶναι λέγεται· ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν ὑπάρχοντες οὐκ ὀλίγον.—Ὡς ἐπὶ τοῦ τυπικοῦ λέγων ἄρχοντος δηλοῖ τὸν ἐπὶ τῶν οὐρανῶν δυνάμεων καταισχυνόμενον διὰ τὴν ἔπαρσιν.—Ἐκ τῆς περιέργου σπουδῆς ἀπέβαλες τὸ ἴδιον κάλλος.—Αἴτιον γὰρ τῶν κολάσεων τὸ ἐν ἡμῖν κακόν· ὡς πρὸς ἀνθρώπους λέγεται, πορεύεσθαι τῇ φλογῇ ᾗ ἐκαύσατε.

CAP. XXIX.

Αἴνιγμα δὲ πάλιν ἐστὶν εἰς τὸν ἀόρατον Φα- v. 2. cod. f. 219. a.
ραὼ θεοποιοῦντα ἑαυτὸν, καὶ ἀγέννητον εἶναι λέγοντα, καὶ οὐχ ὑπὸ θεοῦ πεποιῆσθαι.

CAP. XXXI.

Ἄνεισιν ἐπὶ τὴν ἀντικειμένην δύναμιν ὁ λόγος v. 5. cod. f. 221. a.
ὡς ὑπερβάλλουσαν τὰς ἄλλας τὰς ἐν ἀρχῇ τιμίας.

Τοῦ θεοῦ ζηλωτὴν ταῖς συντεταγμέναις δυνάμε- v. 9. cod. f. 221. b.
σι δηλοῖ ταύτην γενέσθαι δι' ὑπερβολὴν κάλλους καὶ γνώσεως, ἅπερ ἐστὶν αὔξησις πνευματική.

Πτῶσιν μεγάλην τοῦ Ἀντιχρίστου καὶ τῆς v. 12.
σὺν αὐτῷ δυνάμεως τῆς πολλῆς ὑποφαίνει τὸ τοῦ Ναβουχοδονόσορ ὁμοίωμα, ὡς δένδρου τινὸς ὑπερφυοῦς συντριβὴν, καὶ πανταχοῦ σκεδασμόν· αἰνίσσεται δὲ καὶ τῆς ἀοράτου δυνάμεως τὴν εἰς ᾅδου καταγωγὴν παράδοξον καὶ ἐν ἅπασι τοῖς κάτω διαβόητον καὶ ἐπιφανῆ· θάνατος καὶ δαιμόνων ἡ εἰς γῆς βάθος καταγωγή.

CAP. XXXIV.

Τὰ μὲν περὶ τῶν ὑπολελειμμένων ἐν τοῖς Ἱε- v. 2. cod. f. 224. a.
ρουσαλὴμ ἐριπίοις ἐν καιρῷ προεῖπεν· ἡνίκα ἡ πόλις ἠρημώθη· καὶ τά γε περὶ τῶν αἰχμαλώτων τῶν ἐν Βαβυλῶνι, ὅτι οὐκ ἄξιοι τῆς ἐπανόδου διὰ τὴν ἄχρι νῦν ἀπείθειαν· ὥστε οὐδέτεροι τῆς γῆς ἄξιοι· ἐν καιρῷ δὲ καὶ περὶ τῶν ποιμένων, δι' οὓς κακῶς ποιμένοντας ἡ ἅλωσις γέγονεν· οἷς ἐγκαλεῖ τὸ μὴ φροντίζειν τῶν προβάτων εἰς τὸ ἀγαθὸν, ἀλλ' ἑαυτῶν εἰς τὴν τρυφήν.

CAP. XXXV.

Τοῦτο δὲ οὐ μόνον τὴν ἀπληστίαν καὶ πλεο- v. 10. cod. f. 225. b.
νεξίαν ἐλέγχει, ἀλλὰ καὶ τὴν τῆς ἀσεβείας

δείκνυσιν ὑπερβολήν· καὶ τοῖς τοῦ Σεναχερεὶμ
ἀλαζονικοῖς ἔοικε λόγοις· καὶ γὰρ ἐκεῖνος ἔλεγεν
ὅτι οὐ μὴ ῥύσεται κύριος τὴν Ἱερουσαλὴμ ἐκ
χειρός μου· καὶ Ἰδουμαῖοι ὡσαύτως ἔλεγον θρα-
συνόμενοι, ὅτι ἂν ᾖ ὁ κύριος ἐν Ἱερουσαλὴμ,
τὰς δύο καθέξομεν χώρας· καὶ μὴν ὁ τῶν ὅλων
θεὸς ἐξ Αἰγύπτου τὸν Ἰσραὴλ ἐξαγαγὼν, οὐκ
εἴασεν αὐτὸν πολεμῆσαι τοῖς Ἰδουμαίοις· οὐ πο-
λεμήσεις γὰρ, ἔφη, πρὸς αὐτοὺς, ὅτι ἀδελφοί
σου εἰσίν· διὸ καὶ τῆς ὁδοῦ κωλυθέντες, τὸ ὄρος
ἐκύκλωσαν, καὶ τὴν ἔρημον, ὡς προσετάχθη-
σαν· καὶ περὶ τῆς γῆς ἐκείνης ἁπάσης ἔφη τῷ
Ἰσραὴλ ὁ θεὸς, οὐ δώσω σοι αὐτήν· τοῖς γὰρ
υἱοῖς Ἠσαῦ δέδωκα αὐτὴν ἐν κλήρῳ· ἀλλ᾽ ὅμως
οὐκ ἀρκεσθέντες Ἰδουμαῖοι τοῖς θεοσδότοις ἀγα-
θοῖς ἤλπισαν καὶ τὴν Ἰουδαίων κληρονομῆσαι
γῆν· ὅθεν εἰκότως ὁ τῶν ὅλων θεὸς ἀπειλεῖ τὰς
τιμωρίας, καὶ ὅρκῳ βεβαιοῖ τὴν ἀπόφασιν.
v. 11. Κἂν κύριος ἐκεῖ ᾖ, ἀσεβείας ἡ κόλασις· ἥξει
δὲ ἐπὶ τοὺς διαδόχους ἀπογόνους ὄντας τῆς αὐ-
τῆς γνώμης· ὡς καὶ ἐπὶ τὸν Ἰσραὴλ ἡ τιμωρία,
διὰ τοὺς πρότερον ἐπὶ τοὺς ὕστερον· οὕτω γοῦν
καὶ ἡ τοῦ Ἀντιχρίστου κατ᾽ αὐτῶν ἀπάτη, διὰ
τοὺς ἠπιστηκότας Χριστῷ, εἰπόντας· τὸ αἷμα
αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

CAP. XXXVI.

cod. f. 226. a. v. 11. Οὐ τὰ ὄρη γνώσονται, ἀλλ᾽ οἱ ἐν τοῖς ὄρε-
σιν οἰκοῦντες· ταῦτα δὲ πέρας ἔλαβεν μετὰ τὴν
ἐκ Βαβυλῶνος ἐπάνοδον· καὶ μαρτυρεῖ τὰ πράγ-
ματα· πλήρεις γὰρ τῆς Παλαιστίνης αἱ πόλεις
τῶν ἐνοικούντων ἀνῳκοδόμηνται πᾶσαι, καὶ λαμ-
πρότητι διαπρέπουσιν.
cod. f. 226. b. v. 25. Ὕδωρ δὲ καθαρὸν τὸ τῆς παλιγγενεσίας ὠνό-
μασεν ὕδωρ, ἐν ᾧ βαπτισθέντες τὴν ἄφεσιν
τῶν παραπτωμάτων ἐλάβομεν· καὶ τὰ ἐπιφερό-
v. 26. μενα βεβαιοῖ τὰ εἰρημένα.—Λιθίνην δὲ καρδίαν
καλεῖ τὴν ἀντίτυπον καὶ ἀπειθῆ· σαρκίνην δὲ
τὴν εὐπειθῆ καὶ εὐήκοον, καὶ τῶν θείων γραμ-
μάτων δέξασθαι δυναμένην τοὺς τύπους.—
v. 27. Τοῦτο δὲ τῆς τοῦ πνεύματος χάριτος ἴδιον· αὐ-
τὴ γὰρ συνεργοῦσα τῷ ἡμετέρῳ αὐτεξουσίῳ, κατ-
ορθοῦσθαι παρασκευάζει τὰ εἰρημένα 1).—Καὶ v. 28.
πάλιν ἐπὶ τὸ καινὸν ἐπάγει τὸν λόγον, καὶ ἀπὸ
τῶν πνευματικῶν ἐπὶ τὰ σωματικὰ μεταφέρει τὸν
λόγον.—Οἶδα μὲν οὖν ὅτι πνευματικῶς τούτων v. 30.
ἕκαστον ἐκλαβεῖν δυνατὸν, ἀλλ᾽ ὅμως ἡγοῦμαι
τὸν προφητικὸν λόγον, τὰ σωματικὰ νῦν τοῖς
Ἰουδαίοις ὑπισχνεῖσθαι· ἐπειδὴ γὰρ ἐρημία πολ-
λὴ κατεῖχεν τηνικαῦτα τὴν γῆν, ὑπισχνεῖται
αὐτοῖς τῶν παντοδαπῶν καρπῶν τὴν ἀφθονίαν,
καὶ τὴν ἐντεῦθεν δὲ ἐσομένοις ὠφέλειαν προα-
γορεύει·—Τούτων φησὶν ἀπολαύοντες τῶν ἀγαθῶν, v. 31.
καὶ μανθάνοντες ἡλίκους ἡ δικαιοσύνη φέρει καρ-
ποὺς, τῆς προτέρας ἀναμνησθήσεσθε πονηρίας, καὶ
τῆς δι᾽ ἐκείνην ὑμῖν τιμωρίας ἐπενεχθείσαν· καὶ
μισήσετε σφόδρα τὴν προτέραν παρανομίαν· τὸ
γὰρ προσοχθεῖτε, ἀντὶ τοῦ βδελύξασθε τέθηκε.—
Γνωστὸν ἔστω, οἶκος Ἰσραήλ· οὐχ ὑμεῖς, φη- v. 32.
σὶν, ἄξιοι τῶν ἐπηγγελμένων ἀγαθῶν, ἀλλ᾽ ἐγὼ
τὰ τῇ ἐμῇ φύσει πρέποντα ποιῶ.—Μὴ ἀναλ-
γήτως, φησὶ, μηδὲ ἀναισθήτως φέρετε τὰς
παντοδαπὰς ὑμῶν τιμωρίας· ἀλλ᾽ ὀψὲ γοῦν ποτὲ εἰς
νοῦν λαβόντες τῶν ὑμετέρων ἐπιτηδευμάτων τὴν
πονηρίαν, ἐπὶ τοῖς τετολμημένοις ἐρυθριάσετε. v. 36.
Ὅταν, φησὶν, ἄφεσιν ὑμῖν τῶν ἁμαρτημά-
των χαρίσομαι, καὶ καθαροὺς ὑμᾶς ἀποφήνω
τῇ συγχωρήσει, τηνικαῦτα καὶ ταῖς πόλεσι τὰς
οἰκοδομίας, καὶ τῇ γῇ τὰς φυτουργίας παρέξο-
μαι· καὶ ἀντὶ τῆς προτέρας ἐρημίας, ἣν ἅπαντες
ἑώρων οἱ παριόντες, οἰκεῖσθαι παρασκευάσω.—
Ὥσπερ γάρ, φησιν, ἅπαντες πάλαι τὴν σὴν ἐρη-
μίαν ἐν τοῖς στόμασι περιέφερον, οὕτω νῦν ἔσῃ
πολυθρύλλητος, καὶ θαῦμα παρέξεις πᾶσιν τῆς
μὲν ἐρήμου σου γῆς τῷ παραδείσῳ τῆς τρυφῆς
εἰκαζομένης· τῶν δὲ οἰκήτων πόλεων καὶ ἀνα-
στάτων γεγενημένων, ὀχυροῖς περιβόλοις τειχιζο-
μένων.—Μαθήσονται δὲ τὰ ἐκ γειτόνων ἔθνη v. 38.
ὅτι ἐγὼ καὶ τὰ σκυθρωπὰ πρότερον, καὶ νῦν τὰ
θυμήρη παρέχω.—Δεσπότης γὰρ ὢν καὶ ποιῆσαι
δυνάμενος οἷς εἶπον ἐπιθήσω τὸ πέρας·—Πρὸς
ταῖς προτέραις, φησὶν, εὐεργεσίαις καὶ ταύτην
προσθήσω, καὶ τῆς ἀνακλήσεως αὐτοὺς ἀξιώ-
σω·—Ἐπειδὴ γὰρ δίκην αὐτοὺς προβάτων ὑπὸ

1) Animadverte Apollinaris testimonium de divinae gratiae auxiliis et humani arbitrii libertate.

τὴν ἐμὴν ἀφώρισα κηδεμονίαν, ποιμαινικῆς αὐ-
τοῖς ἐπιμελείας μεταδώσω.

CAP. XXXVII.

v. 3. cod. f. 227. a. Περὶ τῆς εὐθὺς ἀναστάσεως ἐπέτρεπε Θεῷ
γινώσκειν, ἣν οὐκ οἶδεν ἐσομένην· οὐ περὶ τῆς
εἰς ὕστερον τῆς καθόλου ἢ πάντως ἔσται· περὶ
τούτων οὖν τῶν ὁρωμένων ἦν τὸ ἐρωτώμενον, οὐ
v. 4. περὶ πάντων.—Σημειωτέον, ὡς κἂν ταῦτα προ-
φητείαν λέγει τὴν πρὸς τὰ ὀστᾶ ὁμιλίαν, διὰ
τί ἐπειδὴ μὴ ἱστορίᾳ χρῆται, ἀλλ' ἀπὸ τῶν
ὁρωμένων προλέγει τὰ μέλλοντα;

v. 5. Ἐπεισιοῦσα δὲ ἦν ἡ ζωὴ τοῦ ἀνθρώπου σώ-
ματι παρὰ Θεοῦ ἐπιπεμπομένη διὰ τοῦ κοσμικοῦ
πνεύματος· ὃ δὴ καὶ ἐπεισάγει τοῖς ὀστέοις κατὰ
τὴν ὅρασιν· οὐ γὰρ τὸ νοητὸν ἔρχεται, καθ' αὐ-
τὸ, ἀλλ' ἐν τούτῳ καὶ ὡς τοῦτο ὂν οὐχ ὡς ἕτε-
ρον, ὡς καὶ ἐπὶ τῆς ἀληθοῦς ἀνθρωποποιΐας
λέγεται πνεῦμα ζωῆς ἐμπεφύσεσθαι κατὰ μυκτή-
ρων ἀνθρώπῳ· ὅπερ ἐστι τὸ αἰσθητόν.—Θεοῦ
δὲ πρόσταγμα, καὶ σείεται ἡ κτίσις μεταστά-
σεως γινομένης τῶν πραγμάτων εἰς ἀποκατάστα-
σιν τῶν διαλελυμένων· τοῦτο δὲ καὶ ἐπὶ τῆς τοῦ
λαοῦ σωτηρίας, κίνησις κοσμικὴ πρὸς τὴν ἐπι-
v. 6. συναγωγὴν τοῦ λαοῦ.—Ἀκολουθεῖ τῇ προτέρᾳ
δημιουργίᾳ καὶ ἡ δευτέρα ἀνάκτισις· ὥσπερ γὰρ
τοῦ προπάτορος Ἀδὰμ πρότερον τὸ σῶμα διεπλά-
σθη, καὶ τότε διεπνεύσθη αὐτῷ ἡ ψυχὴ, οὕ-
τως καὶ ἐνταῦθα συνῆλθε μὲν τὰ ὀστᾶ πρὸς
οἰκείαν ἁρμονίαν, ἔφυσε δὲ σάρκας καὶ νεῦρα
καὶ ἐκαλύφθη τῷ δέρματι, ἔκειτο δὲ ἄπνοα τινὰ
καὶ ἀκίνητα· ἀλλὰ τυγχάνει πάλιν καὶ ζωτικῆς
αἰσθήσεως διὰ τοῦ θείου βουλήματος.

Νεκρῶν ἀναβίωσις ἐδείχθη, ξηρῶν ὀστέων ζωοποιηθέντων ἐν τύπῳ λαοῦ ἀναβλαστήσαντος ἐξ αἰχμαλωσίας καὶ ἀδοξίας.—Δείκνυται τὸ τῆς ἀναστάσεως, ὅτι οὐ φύσει σώματος, ἀλλὰ δυνάμει Θεοῦ γίνεται περὶ τὸ λείψανον τῶν σωμάτων ἐνεργοῦσα, ὅ τι περ ἂν εἴη τοῦτο λειπόμενον, εἰ καὶ μὴ ὀστᾶ ἀλλὰ χοῦς ὡς ἐξ ἀρχῆς. Καὶ πάλιν. Τοῦ πνεύματος ἄρα τοῦ ἀερίου γίνεται εἴσπνευσις εἰς τὸ σῶμα, καὶ τοῦτο τὸ ζωτικόν· τὸ δὲ νοερὸν οὐκ ἀπὸ κόσμου ἀλλ' ἄνωθεν ἅμα τούτῳ παραγίνεται, οὐ καλούμενον ἀλλ' ἐκπεμπόμενον· παρὰ Θεῷ γὰρ ἡ νοερὰ οὐσία τῷ θείῳ πνεύματι περιεχομένη.

Ὅρασίς ἐστι καὶ τύπος ἀναστάσεως· πνεύματι v. 10. cod. f. 227. b.
οὖν ἑνὶ φαίνονται ζωογονούμενοι πάντες, ὥσπερ
καὶ ἑνὶ πνεύματι τῷ ζωτικῷ πάντες ἐκ διαδοχῆς
ἄνθρωποι ζωοῦνται· ἴδιον μὲν τῷ πατέρα ἑκά-
στου· ὃ δὴ ἐπὶ τῆς ἀληθοῦς ἀναστάσεως ἐπι-
στρέφῃ πρὸς τὸ ἴδιον σῶμα· ὡς ἐν τῷ εὐαγγε-
λίῳ γέγραπται, ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς.

Ἰστέον δὲ ὡς καὶ Ἀπολινάριος ταύτῃ ἐχρή- v. 24. cod. f. 227. b
σατο τῇ ἑρμηνείᾳ· ὁ δὲ Πολυχρόνιος τὰ μετὰ τὴν
ἀπὸ τῆς αἰχμαλωσίας ἐπάνοδον τῶν Ἰουδαίων
διὰ τούτων σημαίνεσθαί φησιν, ἰουδαϊκῶς αὐτὰ
ἐκλαμβάνων, καὶ ὡς τὰ πρότερα τὰ τούτων πα-
ραπλήσια.

CAP. XXXVIII.

Ὠσηὲ καὶ Ἰωὴλ καὶ Μιχαίας, καὶ ἄλλοι v. 17. cod. f. 228. b
προφῆται περὶ τούτων τῶν ἐθνῶν προεθέσπισαν·
Ὠσηὲ * μὲν γὰρ λέγει. «Καὶ διαθήσομαι αὐτοῖς * Os. II. 18.
» διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θη-
» ρίων τοῦ ἀγροῦ, καὶ μετὰ τῶν πετεινῶν τοῦ
» οὐρανοῦ, καὶ μετὰ τῶν ἑρπετῶν τῆς γῆς· καὶ
» τόξον καὶ ῥομφαίαν καὶ πόλεμον, συντρίψω
» ἀπὸ τῆς γῆς, καὶ κατοικιῶσαι ἐπ' ἐλπίδι.»
Καὶ Ἰωὴλ * δέ· «Ἰδοὺ, φησιν, ἐγὼ ἐν ταῖς * Iohel. III. 1
» ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν
» ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα καὶ Ἱε-
» ρουσαλὴμ, καὶ συνάξω πάντα τὰ ἔθνη, καὶ
» κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφάτ· καὶ
» διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ
» μου καὶ τῆς κληρονομίας μου Ἰσραήλ.» Μι-
χαίας * δὲ οὕτω φησίν· «Ὤδινε καὶ ἀνδρίζου θύ- * Mich. IV.
» γατερ Σιὼν ὡς τίκτουσα, διότι νῦν ἐξελεύσῃ
» ἐκ πόλεως, καὶ κατασκηνώσεις ἐν πεδίῳ, καὶ
» ἥξεις ἕως Βαβυλῶνος· ἐκεῖθεν ῥύσεταί σε,
» κύριος ὁ Θεός σου ἐκ χειρὸς ἐχθροῦ σου· καὶ
» νῦν ἐπισυνήχθη ἐπὶ σὲ ἔθνη πολλὰ, οἱ λέ-
» γοντες, ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ
» Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν· καὶ αὐτοὶ οὐκ ἔγνω-
» σαν τὸν λογισμὸν κυρίου, καὶ οὐ συνῆκαν τὴν
» βουλὴν αὐτοῦ· ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγ-

» ματα ἅλωνος· ἀνάστηθι, καὶ ἀλόα αὐτοὺς θυ-
» γάτηρ Σιών· ὅτι τὰ κέρατά σου θήσομαι σιδη-
» ρᾶ, καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς, καὶ
» κατατήξεις ἐν αὐτοῖς ἔθνη, καὶ λεπτυνεῖς λαοὺς
» πολλούς, καὶ ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος
» αὐτῶν, καὶ τὴν ἰσχὺν αὐτῶν τῷ κυρίῳ πάσης
Zach. IV. 6. » τῆς γῆς » Καὶ Ζαχαρίας δέ φησιν. « Οὗτος
» ὁ λόγος τοῦ κυρίου πρὸς Ζοροβάβελ λέγων· οὐκ
» ἐν δυνάμει μεγάλῃ, ἀλλ' ἐν πνεύματί μου,
» λέγει κύριος παντοκράτωρ· τίς εἶ σὺ τὸ ὄρος
» τὸ μέγα, τὸ πρὸ προσώπου Ζοροβάβελ κατ-
» ορθῶσαι; » Ἐξ ὧν δῆλον ὡς μετὰ τὴν ἐπάν-
οδον ἐπεστράτευσε τὰ ἔθνη ταῦτα, καὶ κατε-
λύθη θείᾳ χάριτι.

CAP. XXXIX.

v. 2. cod. f. 229. b. Οὐχ ἁπλῶς εἶπεν ἐπὶ τοῦ ὄρους, καὶ περ
γνωρίμου ὄντος ἐφ' οὗ πόλις· ἀλλ' ἐπ' ὄρους ὑψη-
λοῦ σφόδρα· ὑψωθήσεται γὰρ αὐτό, φησίν, ὑπὲρ
τὰ ὄρη. Μιχαίας καὶ Ἡσαΐας· ἀπὸ τοῦ νότου
δὲ ἡ οἰκοδομὴ φαίνεται τῷ ἀπὸ βοῤῥᾶ προσιόντι.
v. 3. --Τὴν μὲν γὰρ τῶν οἰκοδομημάτων διαγραφὴν ἰδεῖν
δεῖ· τὴν δὲ τῆς λειτουργίας διάταξιν ἀκοῦσαι,
καὶ τὰς διαιρέσεις τῆς χώρας· εὔγνωστον μὲν
οὖν ὡς ἡ μεγάλη καὶ ἔνδοξος αὕτη κατασκευὴ οὐκ ἔστιν ὑπὸ Ζοροβάβελ, ἡ ὑπὸ τῶν λειψάνων τῆς αἰχμαλωσίας εὐτελῶς ποιηθεῖσα· διὰ τὸ μηδὲ ἐγγὺς ἥκειν αὐτοὺς τῆς Δαβὶδ καὶ Σολομῶντος δυνάμεως· διὸ καὶ κλαυθμὸς ἐπὶ τῇ οἰκοδομῇ τοῦ ναοῦ μείζων τῆς σαλπίγγων βοῆς, ἅτε δὲ ὄντων ἔτι πρεσβυτέρων, ὡς γέγραπται, οἳ ἑωρακέναι φασὶ τὸν πρὸ τούτου οἶκον πρὸς τὴν τούτου οἰκοδομήν· ἀναντίῤῥητον δὲ περὶ τῶν προειρημένων ἐπὶ τῇ κατασκευῇ τοῦ ναοῦ, ὅτι οὐκ ἦν ταῦτα, τῆς ἐπὶ Ζοροβάβελ ἀνανεώσεως, οἷον ἡ τῶν ἱερέων καὶ λευϊτῶν διάκρισις τῶν τε εἰδωλολατρησάντων· καὶ μὴ εἰς τὸ μὴ προσιέναι τῇ λειτουργίᾳ τοὺς μὴ συνεξαμαρτῶντας τῷ λαῷ· ἀλλὰ τὸ Σαδδοὺκ γένος τὸ μὴ ἐκπεσὸν εἰς ἀσέβειαν· καὶ ὁ ἀφορισμὸς τῆς χώρας τῆς περὶ τὴν πόλιν εἰς πέντε καὶ εἴκοσι χιλιάδας πηχέων μῆκος, καὶ εὖρος δέκα χιλιάδας τοῖς ἱερεῦσιν, καὶ λευΐταις, καὶ τῷ ἀφηγουμένῳ· καὶ ἁπλῶς εἰπεῖν, οὐ βούλεται τὰ εἰρημένα τῷ προφήτῃ περὶ τῆς ἐπανόδου τῶν υἱῶν Ἰσραὴλ τῆς ἐπὶ Ζοροβάβελ ἐκλαβεῖν, ἀλλὰ περὶ τῆς τοῦ Χριστοῦ ἐπιγείου βασιλείας· ἣν αὐτῷ ὁ κακὸς Ἀπολινάριος ἑαυτῷ ἀνεπλάσατο, ἐν τῇ δευτέρᾳ φάσκων αὐτοῦ παρουσίᾳ ταῦτα ἐπιτελεῖσθαι 1).

1) Clausula haec non Apollinaris est, sed nescio cuius Apollinarem ceu millenarium reprehendentis. Abhinc autem nihil subsequi Apollinaris in codice videbatur, usque ad prophetae finem.

MONITUM.

1. Ex ineditis graecis Ezechielis prophetae explanatoribus tres prae ceteris sunt copiosi, Origenes, Apollinaris, et Polychronius; quae res antea constabat ex opere Pradi ac Villalpandi in hunc prophetam, ubi latine tantum permulta praedictorum patrum graecorum fragmenta, et quidem ex vaticana ut aiunt catena, recitantur. Nos vero graeca ubique originalia quaeritantes, Apollinarem iam supra scripsimus; nunc autem ad Polychronium magis adhuc uberem pergimus; Origenem postea, si otium fuerit, daturi; quamquam reapse Origenis graeca etiam selecta fragmenta multa in eius editione sunt. Utique Polychronio mihi semet revelare non semel libuit; etenim peramplum eiusdem in Danihelem commentarium alio tempore divulgavi, et nunc contemporalem huic prophetam a se explanatum, idem nobis Polychronius in manus tradit.

ΠΟΛΥΧΡΟΝΙΟΥ

ΕΚ ΤΩΝ ΕΙΣ ΙΕΖΕΚΙΗΛ ΕΞΗΓΗΣΕΩΝ.

EX POLYCHRONII

IN EZECHIELEM COMMENTARIIS.

PROLOGUS 1).

Cod. vat. ottob. 452. f. 191. b.

Ἦσαν δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ ψευδοπροφῆται, ἀπατῶντες τὸν λαὸν, οὐκ ἐν τῇ Ἰουδαίᾳ μόνον ἀλλὰ καὶ ἐν Βαβυλῶνι· ὁ δὲ λαὸς ῥέπων ἐπὶ τὴν ἀσέβειαν, μᾶλλον ἐπαιδοτρίβετο τῇ τῶν ψευδοπροφητῶν ἀπάτῃ· καὶ παντελῶς ἐνόμιζον ψευδῆ τὰ παρὰ τῶν προφητῶν λεγόμενα· ἦσαν οὖν οὐ μόνον ἐπὶ τῆς Ἰουδαίας οἱ διαστρέφειν τὸν λαὸν βουλόμενοι· ἢ γὰρ ἂν ἤρκεσεν Ἱερεμίας πρὸς τὴν τούτων παραίνεσιν· ἀλλὰ καὶ ἐν Βαβυλῶνι ἦσαν ψευδοπροφῆται ταῦτα λέγοντες τοῖς ἐν τῇ γῇ τῆς ἐπαγγελίας· πρὸς οὓς ἀνθιστάμενος εἰσηγεῖτο τοῖς ἐν Βαβυλῶνι καὶ ὁ Ἰεζεκιὴλ τὰ προσήκοντα· ἐπειδὴ γὰρ δι' ἀλλήλων οἵ τε τὴν Ἰουδαίαν οἰκοῦντες, οἵ τε εἰς ἀποικίαν ἀπελθόντες πρὸς κακίαν ἐστρέφοντο, ἀναγκαίως ἐν ἑκατέρᾳ γῇ ἐδείχθησαν προφῆται, τῶν τε ἀπόντων ἐλέγχοντες τὴν κακίαν, καὶ τὸ πλῆθος εἰς εὐσέβειαν χειραγωγοῦντες· οὔτε γὰρ ἐν τῇ ἀποικίᾳ ἠγνόουν τὰ ὑπὸ Ἱερεμίου λεγόμενα· καὶ οἱ ἐπὶ Ἰουδαίας ἠπίσταντο τὰ ὑπὸ Ἰεζεκιὴλ χρηματιζόμενα· οὕτω γοῦν φαίνονται καὶ δι' ἐπιστολῶν ἀλλήλοις ὁμιλοῦντες· λέγει γοῦν Ἱερεμίας· οὗτοι οἱ λόγοι τῆς βίβλου, ἧς ἀπέστειλε Ἱερεμίας ὁ προφήτης ἐξ Ἱερουσαλὴμ πρὸς τοὺς πρεσβυτέρους τῆς ἀποικίας καὶ πρὸς τοὺς ἱερεῖς καὶ πρὸς τοὺς ψευδοπροφήτας καὶ πρὸς πάντα τὸν λαὸν, ἐπιστολὴν εἰς Βαβυλῶνα. Διδάσκει δὲ ὁ αὐτὸς προφήτης ὅτι Σεμείας ὁ ἐλαμίτης ἀπὸ τῆς Βαβυλῶνος γράφει τοῖς ἐν τῇ Ἰουδαίᾳ, τῷ μὲν λαῷ ἄδειαν τῶν ἀπειλουμένων μηνύων, τῷ δὲ Σοφονίᾳ μεμφόμενος, ὅτι μὴ τὴν ἱερέως τάξιν ἔχων δεσμωτηρίῳ καθεῖρξεν Ἱερεμίαν ἅλωσιν ἀπειλοῦντα τῷ πλήθει· ἐν τοιαύτῃ δὲ καιρῶν δυσχερίᾳ γεγονὼς ὁ μακάριος Ἰεζεκιὴλ, ἐξηλεγμένος σχεδὸν, καὶ τῷ εἴδει τῆς προφητείας χρῆται· οἱ μὲν γὰρ λοιποὶ προφῆται διὰ λόγων μόνον φαίνονται τὴν πρόῤῥησιν τῆς ἁλώσεως ποιούμενοι· πλὴν εἰ μή που κατὰ τὸ σπάνιον τοῖς ἄλλοις τρόποις τῆς προφητείας ἐχρήσαντο· ὁ δὲ Ἰεζεκιὴλ οὐ παραπλησίως· οἷον Ἡσαΐας, ὁ Ὠσηὲ, ὁ Ἀβδιοῦ, καὶ ὅσοι κατ' ἐκείνους ἐγένοντο τοὺς χρόνους ἀπειλοῦντες μόνον καὶ παραινοῦντες προύλεγον τὰ δεινά· ὁ οὖν Ἰεζεκιὴλ τὰ πολλὰ τύπῳ καὶ πάθει τὴν πρόῤῥησιν ποιεῖται· τύπῳ μὲν γάρ ἐστι προφητεία, τὸ ἐπὶ τῆς πλίνθου διαγράψαι πόλιν καὶ δοῦναι περιοχὴν, καὶ σχηματίσαι προμαχῶνας, καὶ περιβαλεῖν χάρακα, καὶ δεῖξαι παρεμβολάς· πάθει δὲ τὸ ἐπὶ τοῦ πλευροῦ κοιμηθῆναι ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας, καὶ κριθὰς καὶ κύαμον καὶ φακὸν καὶ κέγχρον καὶ ὄλυραν ἀρτοποιεῖσθαι, καὶ μὴν καὶ βολβίτοις κόπρου ἄρτον κατασκευάσαι· τοῦ αὐτοῦ εἴδους καὶ τὸ ξύρασθαι τὴν κεφαλὴν, καὶ τῶν τριχῶν τὰς μὲν κατακαῦσαι πυρὶ, τὰς δὲ κατατεμεῖν μαχαίρᾳ, τὰς δὲ ἐκδοῦναι τῇ τοῦ ἀνέμου φορᾷ· εἰ καὶ μικτόν πως εἶναι δοκεῖ· πάθους δὲ ἐστι καὶ τὴν γυναῖκα ἀποβαλεῖν καὶ μὴν καὶ τὸ κρείττονα προσταχθῆναι τὸν λογισμὸν δεῖξαι τῆς συμφορᾶς, καὶ μήτε δακρῦσαι, μήτε τί τῶν νενομισμένων πληρῶσαι, καὶ ὅσα τοιαῦτα· ἐπειδὴ γὰρ ἐκτὸς τρόπου σωφρονῆσαι θεὸς τὸν λαὸν ἠβούλετο, τοῖς πάθεσι τῶν προ-

1) Prologus hic editus olim fuit ab Hoëschelio, qui tamen repetendus a nobis fuit, ne acephalum commentarium efficeremus.

φητῶν ἐπιστεῦτο τοὺς λόγους· χρόνου μὲν γὰρ ὕστερον ἐσομένων, ἤρκει καὶ ὁ λόγος· ἐνεστώτων δὲ τῶν κακῶν, κἂν τῶν ἀκουσάντων προβυσάντων τῇ ἀσεβείᾳ τὰ ὦτα, ἀναγκαῖος οὗτος τῆς διδασκαλίας ὁ τρόπος, ἀναμφισβήτητον παρέχων τῶν προλεγομένων τὴν ἀλήθειαν.

ΕΞΗΓΗΣΙΣ

CAP I.

v. 1. cod. f. 192. a. Οὐχ' ἁπλῶς ἐπεσημήνατο τὸν τόπον, ἀλλὰ δείκνυσι τὴν κατάστασιν τῶν ἐπὶ τῆς αἰχμαλωσίας τυγχανόντων· ὡς μὲν γὰρ ἐπιχώριοι, οὐ συνανεμίγνυντο τοῖς Ἑβραίοις· ἐπείπερ καὶ ὡς πρὸς οἰκέτας ἀπηξίουν τὴν πρὸς τούτους συνουσίαν.

Οἷόν ἐστι τὸ τοῦ Δανιὴλ, ἐν οἷς εἶδε τὰ θηρία· οὐ τῆς φύσεως τοῦτο ἐπιδεχομένης, τῆς δὲ ὄψεως πάντα ὡς ἀληθῆ δεικνυούσης· τὸν ὅμοιον τρόπον κἀνταῦθα ἐπὶ τῆς ὀπτασίας, ὁμοῦ τε βλέπει τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὴν νεφέλην κατιοῦσαν· καὶ πάλιν ἀπὸ τοῦ βορείου μέρους ἀρχομένην.

v. 2. Ἀπὸ τῆς πατρωνυμίας, καὶ τῆς ἀξίας τοῦ ἱερέως ἐχαρακτήριζε τὸ πρόσωπον· τὸ δὲ, καὶ ἐγένετο λόγος κυρίου, ἀντὶ τοῦ περιέχει οὐκ ὀπτασίας μόνον τὸ βιβλίον, ἀλλὰ καὶ ἐλέγχους τοῦ προφήτου, οὓς οὐκ ἀπὸ τῆς οἰκείας αὐθεντίας ἐποιήσατο, ἀλλ' ἐκ θείου προστάγματος, πολλὰ διὰ τούτων παραδηλῶν· πρῶτον μὲν ὅτι τὸ θεῖον ἀπερίγραπτον, καὶ οὐκ ἐν μόνοις Ἱεροσολύμοις ἔχων τὴν ἐξουσίαν, οὐδὲ μόνων Ἰουδαίων δεσπόζων, ἀλλὰ πάντων ὑπάρχων καὶ ποιητὴς καὶ δεσπότης καὶ πρύτανις.

v. 4. Δεικνὺς τῷ προφήτῃ διὰ τῆς ὀπτασίας τὴν κατὰ πάντων πρόνοιαν, καὶ ὡς οὐ τῷ ναῷ περιγράφεται· ἡ τοίνυν νεφέλη ὥσπερ σχῆμά τι φαίνεται τῆς θείας φύσεως· τὸ δὲ πνεῦμα οἱονεὶ δορυφόρων τάξιν ἐπέχει· τὸ δὲ φέγγος τὸ κύκλῳ, τὴν τοῦ θεοῦ παρουσίαν διδάσκει· τὸ δὲ αὖθις ἐπαγόμενον πῦρ ἐξαστράπτον, πρὸς κατάπληξιν δέδεικταί τε καὶ εἴρηται.—Ἵνα τὸ ἀξιόπιστον μηνύσῃ τῆς φύσεως, φωτός τινος ἀπροσίτου κυκλοῦντος τὸν θεὸν, καὶ φῶς αὐτὸν ὄντα νοήσωμεν.—Κἀνταῦθα τὸ μὲν πῦρ καὶ τὸ φέγγος μηνύει τοῦ θεοῦ τὴν παρουσίαν· τὸ δὲ ἤλεκτρον οἱονεὶ τὴν αὐτοῦ ἐνέργειαν. Καὶ μετ' ὀλίγα. Δεικνὺς ὅτι θεὸς καὶ πάντα περιέχει, καὶ ἐντός ἐστι πάντων, οὐ κατά τινα περιγραφὴν, ἀλλὰ κατὰ ἀσώματον δύναμιν—Σαφέστερον δὲ ὁ ἑβραῖος λέγει· φησὶ γὰρ, ἐν μέσῳ αὐτοῦ ὡς ὅρασις ἴριδος· καὶ αὕτη διειδὴς ἦν ἐν μέσῳ αὐτῶν· ἀντὶ τοῦ ἠλέκτρου ἶριν σημάνας· ἵνα εἴπῃ τὸ, ὁ θεὸς φῶς ὢν περιεῖχε τὲ τὴν νεφέλην, ἐν ἧπερ ἐγνωρίζετο καὶ ἐνείγη ἐν αὐτῇ.

Ζῶον καλεῖται λογικὸν καὶ ὁ ἄνθρωπος, καὶ v. 8.
ὁ ἄγγελος· ἀλλ' ὁ μὲν, λογικὸν θνητόν· ὁ δὲ
λογικὸν ἀθάνατον· τίς δ' ἂν δυνηθείη σαφῶς ἑρ-
μηνεῦσαι τὴν ἀποκάλυψιν, αὐτοῦ τοῦ προφήτου
περὶ τὴν διήγησιν ἀτονήσαντος; οὐ γὰρ ἁπλῶς
ἔφη τεθεᾶσθαι τέσσαρα ζῶα, οὔτε μὲν ὁμοίωμα
τεσσάρων ζώων· ὡς εἶναι δῆλον, ὅτι οὐκ αὐτὰς
ἐθεώρουν τῶν ἀοράτων τὰς φύσεις οἱ θεσπέσιοι
προφῆται, ἀλλ' εἰκάσματά τινα καὶ ἐκτυπώματα
εἰς χρείαν ἑκάστην ὑπὸ τοῦ μεγαλοδώρου δεικ-
νύμενα·—Αὐτοῦ τοῦ θεοῦ σαφῶς λέγοντος· ἐγὼ
ὁράσεις ἐπλήθυνα, καὶ ἐν ἐν χερσὶν προφητῶν
ὡμοιώθην· οὕτω κἀπὶ τῆς παρούσης ὀπτασίας
οὐ παράδοξόν τινα φύσιν ἐστὶν νοῆσαι ἐξ ἁπάν- cod. f. 192. b.
των τῶν ἐπὶ γῆς ζώων συγκειμένην, ἀλλ' ἐνέρ-
γειαν θείαν πρὸς παιδαγωγίαν τῶν ἀνοήτων.

Τουτέστιν ἀμετάβλητον τὴν ἐπὶ τῇ λειτουργίᾳ v. 9.
γνώμην ἐκέκτηντο, πάσῃ δυνάμει τὸ προσταττό-
μενον τελοῦντες.—Τουτέστιν συμφώνῳ τῇ γνώμῃ,
ἐτέλουν ἅπαντα.—Μεγάλαι γὰρ αἱ τοῦ θεοῦ δυν- v. 14. cod. f. 193. a.
άμεις καὶ ὑψηλαὶ καὶ φοβεραί. Ὅπερ ἐμήνυε τοῦ 15.
χρόνου τὴν περίοδον, καὶ τῶν ἐνιαυτῶν τοὺς κύ-
κλους· ἵνα μὴ τῇ τῶν ἀγγέλων ἐξουσίᾳ ἐπιγράφω-
μεν τῶν φαινομένων τὴν διοίκησιν, ἐξηγησάμενος
κατὰ ἀκρίβειαν τὰ προλαβόντα ἤρτησεν τῆς γνώ-
μης τοῦ καθημένου τὸ πᾶν· ἵνα μάθωμεν ὅτι
ὥσπερ τινὶ βασιλεῖ δορυφόροι, οὕτως ἄγγελοι

ὑπακούοντες τὰ προσταττόμενα ποιοῦσιν.—Ἵνα εἴπῃ κατὰ τὴν τῶν ἀγγέλων ἐπιστασίαν ἅπαντα ἐνεργεῖται ἐπὶ γῆς. Βούλεται γὰρ δεῖξαι ἐνταῦθα τὴν ἐν τῇ κτίσει εὐταξίαν.

CAP. II.

v. 1. cod. f. 193. b. Τουτέστι, μὴ φοβοῦ· οὐ γὰρ ἐπὶ τιμωρίᾳ ἥκω, ἀλλ' ἐπὶ τῷ σὲ τοῦ λαοῦ χειροτονῆσαι προφήτην· ὥστε μὴ μέλλε τοῖς ἐμοῖς διακονεῖσθαι λόγοις.—
v. 2. Φοβερὸν προοίμιον λόγου τὸ ἀποφαίνειν αὐτοὺς τοιούτους καὶ τὸ ἀνεξίκακον, ὅτι ἀποστέλλει πρὸς τοὺς ἀναξίους ἀγγέλους θεοῦ· ἀποστέλλει δὲ οὐκ εἰς τόπον ἐκ τόπου, ἀλλ' ἐκ θείου ὕψους πρὸς τοὺς κάτω κειμένους.

v. 3. Τουτέστιν, οὐκ ἀγνοῶ τὴν κακίαν τῶν μελλόντων παρὰ σοῦ διδάσκεσθαι· καὶ γὰρ ἀναίσχυντοί εἰσι πρὸς τοὺς ἐλέγχους καὶ ἀσεβεῖς τὴν γνώμην· σκληροπροσώπους γὰρ ἐκάλεσε τοὺς μὴ ἐρυθριῶντας ἐφ' οἷς ἠλέγχοντο ἀσεβήμασι.—
v. 4. Τὸ δὲ ἀδωναῒ καὶ αὐτὸ τὸ κύριος σημαίνει· ἔχει γὰρ καὶ σμικράν τινα ἑτέραν ἔμφασιν· τάδε γάρ, φησι, λέγει κύριος ὁ κύριός μου· τὸ δὲ ἑβραῖον ἔχει ἀδωναῒ ἐλωέ.

v. 6. Προλαβὼν δὲ λέγει τὰ δεινὰ, καὶ τῶν Ἰουδαίων τὴν ἀγνωμοσύνην. ὥστε μὴ ἀπροσδοκήτοις τοῖς δεινοῖς περιπεσόντας ἀπογνῶναι· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ὁ δεσπότης ποιεῖ Χριστός· προλαβὼν λέγει τοὺς διωγμοὺς, τὰς συμφορὰς, τὰς πληγὰς, τὰ δικαστήρια· ἵν' ὁμοῦ τε πρὸς τὰ ἐπαχθησόμενα δεινὰ παρασκευάσωνται· καὶ τῆς ἐκβάσεως γενομένης, ἐκπλαγῶσι τῆς προῤῥήσεως τὸ ἀληθές.—Τουτέστι μήτε τὰς διὰ τῶν λόγων λοιδορίας φύγῃς, μήτε αὐτοὺς ὁμόσε χωροῦντας πρὸς φόνον δειλιάσῃς.—Λόγησαι γὰρ ὡς καὶ κατ' ἐμοῦ τοῦ δεσπότου τοιοῦτοι πεφήνασιν, οὐκ ἐν ὀλίγῳ χρόνῳ ἀλλ' ἐπὶ πολλῷ· καὶ ὁρῶν τὴν πρὸς ἐμὲ κοινωνίαν, ἀρκοῦσαν δέχου παραμυθίαν.

Τουτέστι, πειθάρχει· μὴ μίμησαι τὴν τούτων κακίαν, μὴ δὲ ἀσεβῶν εἰς ἐμὲ, κατά γε τοῦτο ὀφθεὶς αὐτοῖς παραπλήσιος· καὶ ἐπειδὴ ἀπὸ τούτων τῶν λόγων ὀκνηρότερος ἐστὶ, ἣν πρὸς τοὺς
v. 8. ἐλέγχους ἐπάγει, χάνε τὸ στόμα.—Οὐκ ἀπὸ
τῶν λόγων αὐτὸν μόνον βούλεται παραθαρσῦναι, ἀλλὰ καὶ ἀπὸ τῶν ἔργων· οὐ γὰρ ἀφ' ἑαυτοῦ φησὶ φθέγγεσθαι μέλλεις, ἀλλὰ τῆς παρ' ἐμοῦ χάριτος ἀξιωθεὶς, καὶ θαρσαλεώτερος ἀπὸ τῆς ἐμῆς συνεργείας γινόμενος.

CAP. III.

Κεφαλίδα δὲ καλεῖ τὰ εἱλητὰ βιβλία· οὕτως v. 1.
γὰρ οἱ παλαιοὶ τὴν τῶν συγγραμμάτων ἐφύλαττον μνήμην· Ἰουδαῖοι δὲ καὶ μέχρι τοῦ παρόντος ἐν τοιούτοις εἱλήμασιν ἔχουσι τὰς γραφάς—Τουτέστιν ἡ τῶν λεγομένων ἀλήθεια πλείστην σοι παρέξει παῤῥησίαν· ἀπωσάμενος οὖν πᾶσαν δειλίαν, μετὰ παῤῥησίας φθέγγου, μικρὰ φροντίζων τῆς ἐκείνων κακίας.

Μηδεὶς δὲ αἰσθητὴν καὶ σωματικὴν ὑπολάβῃ v. 3. cod. f. 194. a.
τῆς κεφαλίδος τὴν βρῶσιν· ὥσπερ γὰρ ἐκείνην τὴν θεωρίαν πνευματικῶς ἐθεάσατο, οὕτως καὶ ταύτης πνευματικῶς μεταλαμβάνει τῆς γεύσεως. Καὶ μετ' ὀλίγα· ὥσπερ δὲ οἱ μάντεις εἰς παραφροσύνην χωροῦσιν, τοῦ δαίμονος ἀναισθησίαν αὐτοῖς ἐμποιοῦντος, οὕτω καὶ τοῖς προφήταις αἴσθησίς τις γίνεται, τῆς ψυχῆς φωτιζομένης ἐκ τῆς τοῦ πνεύματος ἐνεργείας.—Ὡς γλυκεῖα γάρ, φησιν ὁ θεῖος Δαβὶδ, τὰ λόγιά σου τῷ λάρυγγί μου· ὑπὲρ μέλι κηρίον τῷ στόματί μου· γλυκὺς δὲ καὶ λίαν ἡδὺς καὶ τῶν ἁμαρτημάτων ὁ θρῆνος.

Ἀλλὰ καὶ Νινευῖται ἐδυσώπησαν τὴν ὑπὸ τοῦ Ἰωνᾶ κηρυχθεῖσαν αὐτοῖς διδασκαλίαν.

Μὴ τοῦτο, φησὶ, λογίσῃ, εἰ μόνος πρὸς πολ- v. 7.
λοὺς μέλλεις διαλέγεσθαι· ἀλλ' ἐννόησον κρείττω.

Ἀντὶ τοῦ μετεώρησεν ἀφ' οὗπερ ἤμην τόπου. v. 12.
Τουτέστιν ὕμνους ἀνέπεμπον τῷ θεῷ, ἐκπληττόμεναι τοῦ θεοῦ τὴν ἀγαθότητα, ὅτι καὶ πρὸς ἀπειθοῦντας οὕτω φιλάνθρωπος.—Ἅπαντα ἐτελεῖτο οὐ δι' ὀργὴν τὴν κατὰ τοῦ προφήτου, ἀλλὰ πρὸς ὠφέλειαν, καὶ ὥστε αὐτὸν δυσωπηθῆναι μετὰ παῤῥησίας φθέγξασθαι πρὸς τὸ πλῆθος.—

Ὁ μὲν δώσει δίκην, ἅτε ἐξ αὐτῶν τῶν πραγμάτων ἐλεγχόμενος, ὡς οὐκ ἀγνοίᾳ τοῦ κρείττονος τὸ χεῖρον μετέρχεται· σὺ δὲ οὐκ ἀνεύθυνος ἔσῃ, προτιμήσας τὴν τοῦ φαινομένου ἀξιο-

πιστίαν τῆς ἐμῆς αὐθεντίας·—Ἐπειδὴ ἔτι ἔμει-
νεν ἀπειθὴς καὶ ἡσυχίαν ἦγεν, διὰ τοῦτο αὖ-
θις αὐτὸν εἰς τὸ πεδίον, ἔνθα περ πρότερον τῆς
ὀπτασίας ἠξιώθη, ἐξιέναι κελεύει ὥσπερ ἐπὶ δι-
καστηρίου πρὸ βήματος πάλιν μέλλοντος τοῦ ἄρ-
χοντος καθέζεσθαι, καὶ ἐκεῖ τὴν κρίσιν τῶν πα-
ραβαινόντων τοὺς νόμους ποιεῖσθαι.—Τοῦτο ἐποί-
ησεν ἑτοίμως· οὐ γὰρ ὡς δυσπειθὴς οὐκ ἤκουσεν,
ἀλλὰ μείζονα τῶν προσαττομένων τὸν φόβον ἔχων.

v. 14. cod. f. 194. b. Πάλιν αὐτὴν σημαίνει τὴν χάριν τοῦ πνεύμα-
τος.—Τουτέστιν οὐ βαδίζων, ἀλλὰ δι' ἀέρος
v. 15. φερόμενος.—Ἐνταῦθα, φησὶν, ἤγαγε τοῦ πνεύ-
ματος ἡ χάρις, ὅπου περ πρότερον προσταχθεὶς
ἐλθεῖν οὐκ ἠβουλήθην, καὶ δείσας περιείην τῶν
προσταχθέντων λόγων ἄρξασθαι βουλόμενος.

v. 26. cod. f. 195. a. Εἰ γὰρ οἱ δεσμοὶ παρὰ ἀνθρώπων ἐγίνοντο,
οὐκ ἂν αὐτὸς ἔφη ἀφωνίαν αὐτὸν καταδικάζειν·
εὔδηλον τοίνυν ὡς ἅπαντα ταῦτα κατὰ θείαν
ἐγένετο συγχώρησιν, ἵνα μάθῃ ὡς ἄμεινον μετὰ
παῤῥησίας λέγοντα, τὰ παρὰ τοῦ πλήθους ὑπο-
μένειν, ἢ ἐπ' οἴκου καθεζόμενον παραβαίνειν τοὺς
θείους νόμους.

Τουτέστιν, ἐπειδὴ παρ' ἡσυχίαν βούλῃ ἄγειν,
ἐκ πολλῆς σοὶ περιουσίας, τὸ τῆς ἐπιθυμίας
ἀποπληρώσω· ἰδοὺ γοῦν ἀφωνίᾳ σε καταδικάζω,
ὥστε μηδὲ βουλόμενον δύνασθαι φθέγξασθαι,
ὅπως μὴ δεδειὼς τυγχάνῃς.

v. 27. Ἐνταῦθα μὲν οὖν σέ φησιν, διαθήσω· ἐπει-
δὰν δὲ ἐκ τῶν πραγμάτων καμφθῇς τὴν γνώμην,
καὶ τῇ διανοίᾳ ἱκετεύσῃς, καὶ μάθῃς ὡς λυσι-
τελὲς τὸ ὑπακούειν τοῖς ἐμοῖς προστάγμασι, τότε
ἀφείσω σε τῶν δεσμῶν.—Τουτέστιν ἀλλὰ βού-
λομαί σε φθέγγεσθαι, τὴν ἐμὴν προβαλλόμενον
δεσποτείαν.—Τουτέστιν τὰ παρὰ σεαυτοῦ ποίη-
σον· ἔασον δὲ ἐκείνους τὴν οἰκείαν ἐπιδείξασθαι
γνώμην ἐπὶ τῇ σῇ διδασκαλίᾳ.—Οὐ γὰρ σὲ ἀπαι-
τῶ τὴν τῶν ἀκουόντων εὐπείθειαν, ἀλλὰ μόνον
διδασκαλίαν.

CAP. IV.

v. 1. Φοβερὸν, φησι, νενόμισται τῷ ἐξεναντίας
πλήθει διαλέγεσθαι, καὶ προλέγειν τῆς πόλεως
τὴν πόρθησιν, καὶ τοῦ ναοῦ τὴν κατασκαφὴν,
καὶ τὰ ἐκ τούτου συμβησόμενα δεινά· ἑτέρως
τοῦτο μήνυσον, ὃ κἀκείνους σωφρονίζει καὶ σοῦ
δείκνυσι τὴν ἐπιείκειαν.—Ἐπιγεγράφθω δὲ τῆς
πόλεως ἡ προσηγορία, ὥστε γνωρίζεσθαι ταύτην
οὖσαν τὴν Ἱερουσαλήμ.—Ἵνα εἴπῃ στρατοπέ- v. 2.
δου πλῆθος· αἱ δὲ δυνάμεις κατὰ τάξιν πολεμι-
κὴν προϊέτωσαν· τοῦτο γὰρ λέγει παρεμβολὰς,
ἀντὶ τοῦ τάγματα στρατιωτικά· παρέστωσαν δὲ
οὗτοι τοῖς λοιποῖς μὴ μόνον περιπεφραγμένοι
ὅπλοις, ἀλλὰ καὶ τὰ μηχανήματα ἐπιφερόμενοι,
οἷς καθαιρήσουσι τά τε τείχη· ταῦτα γὰρ μηνύει
τὰς βελοστάσεις· θαυμασιώτατα δὲ μόνον, τὴν
περὶ τὴν πόλιν ἐπιστασίαν τοῦ πλήθους μηνύει,
ἵνα πρὸ τῶν δεινῶν τῷ φόβῳ καταπλήξας, ἀπο-
στήσῃ αὐτοὺς τῆς παρανομίας—Τὸ τήγανον, v. 3.
φησι, περίστησον τῇ πόλει, ὥστε εἶναι μήνυμα
τῆς βαρύτητος τῶν πολεμίων, καὶ ὡς ἥκιστα
διαφεύξονται, εἰ τοῖς ἁμαρτήμασιν ἐμμένοιεν.

Ἀντὶ τοῦ ὥστε μὴ δοκεῖν ἀποβλέπειν πρὸς
τὴν πόλιν· ἵν' ᾖ μήνυμα τοῦ μὴ ἀπὸ προαιρέ- v. 3.
σεως τὰ δεινὰ ἐξαγγελεῖν.—Τουτέστιν, ὡς εἴ-
ρηκα, σχήματι περίφραξον, ὥστε φαίνεσθαι, ὡς
ἀναπόδραστος αὐτοῖς.—Τουτέστι διδασκαλία τοῖς
ἀκούουσι τὰ γινόμενα ἔσται.

Δύο δὲ ἀδικίας λέγει ὑπὲρ ἑκατέρας βασιλείας, v. 4. cod. f. 195. b.
τουτέστι καὶ ὑπὲρ τῶν δύο. Δῆλον ὅτι ἐν ταῖς
ἑκατὸν πεντήκοντα ἡμέραις, αἷς προλαβὼν εἶπεν·
εἶτα μνημονεύει καὶ τῶν τεσσαράκοντα ἰδίᾳ.—Ἀν-
τὶ τοῦ μήνυμα τῆς αὐτῶν παρανομίας ἔξω τὸ γινό-
μενον.—Οὐ περὶ τῶν τεσσαράκοντα ἡμερῶν μόνον v. 5.
λέγει, ἀλλὰ καὶ περὶ τῶν ἑκατὸν πεντήκοντα.

Ἡ δὲ τοιαύτη βρῶσις ἐνδείας καὶ σιτοδείας
σημεῖον· καὶ ὁ σταθμὸς δὲ πάλιν τὴν σπάνιν v. 10.
σημαίνει· κ' γὰρ σίκλοι ποιοῦσι γ' οὐγκίας καὶ
μικρόν τι πρὸς, ὡς φασὶν οἱ τὰ στάθμα καὶ
μέτρα ἠκριβωμένοι.—Τὴν τοῦ σίκλου προσηγο-
ρίαν ἑβραϊκὴν φασί τινες μηνύειν οὐγκίας ε'·
οἱ δὲ δραχμὰς κ', οἵπερ εἰσὶ δραχμαὶ π'· τὸ δὲ
ἀπὸ καιροῦ ἕως καιροῦ, ἀπὸ ἔτους ἕως ἔτους,
Ἀπολινάριος βούλεται. Πολυχρόνιος δὲ ἀπὸ ἑσπέ-
ρας εἰς ἑσπέραν.

Τὸ ἳν φησὶν ἑβραϊκὸν ὂν, σημαίνει τοῦ ξέστου
τὸ ὄγδοον.

CAP. V.

v. 1. cod. f. 196. a. Τὰ δὲ ἐκ τῆς πολιορκίας συμβησόμενα κακὰ προμηνύσας, διδάσκει τὴν ἐκ τοῦ πολέμου αὐτοὺς καταληψομένην συμφοράν.

v. 2. Ἀπολιναρίου καὶ Πολυχρονίου. Ταῦτα αὐτοῖς ἑρμηνεύει μετὰ βραχέα, καὶ καλεῖ πῦρ τὸν λιμὸν καὶ τὸν θάνατον· διὸ τὰ δύο τέταρτα προσέταξε τῷ πυρὶ παραδοθῆναι, ὡς καὶ τούτου κἀκείνου δίκην πυρὸς ἐπινεμομένου τοὺς ἀνθρώπους· διὰ δὲ τῆς ῥομφαίας τὴν τῶν πολεμίων ἔφοδον ἐσήμανε, καὶ τὰς ὑπ' ἐκείνων γενομένας σφαγὰς, τὸν διασκορπισμὸν, τὴν αἰχμαλωσίαν, καὶ τὴν ἐσομένην διασποράν.—Καὶ γὰρ μετὰ τὸ γενέσθαι δορυαλώτους, μυρία θανάτου ὑπέμειναν εἴδη.

v. 4. Ἐνταῦθα δείκνυσιν ὡς οὐκ ἐν ὀργῇ ἐπὶ τοσοῦτον ἐπήγαγεν τὰς συμφορὰς, ἀλλὰ φειδοῖ· οὕτω γοῦν καὶ τοὺς ἀξίους ἐλέου ἀνασώζεσθαι κελεύει.

v. 5. Ἵνα τὴν εὐετηρίαν διδάξῃ τῆς πόλεως, ἐσχημάτισεν δὲ ὡς ἐπὶ εἰκόνος τὸν λόγον· τὴν μὲν ὥσπερ προκαθημένην δείξας, τὰς δὲ λοιπὰς δορυφορούσας·—Τουτέστιν ἐπειδήπερ ἐκείνους ἐζηλώσατε.—Τουτέστιν οὐκ ἐφυλάξατε τὰ πρὸς ἀλλήλους δίκαια.—Τουτέστιν οὐκ ἠσεβήσατε εἰς
v. 6. ἐμέ.—Τουτέστιν οὐδὲ τῶν ἀσεβῶν τὴν περὶ τὰ εἴδωλα θρησκείαν ἐμιμήσασθε τῇ εἰς ἐμὲ εὐσεβείᾳ· οἱ μὲν γὰρ ἔμειναν τῇ ἀπάτῃ, σέβοντες τοὺς οἰκείους θεοὺς, καὶ οὔτε ἡ τούτων ἀσθένεια, οὔτε τῆς ὕλης τὸ εὐτελὲς, οὔτε τὸ παρὰ ἀνθρώπων γεγενῆσθαι, οὐδὲ τὸ μηδεμίαν συμμαχίαν παρέχειν αὐτοῖς, ἢ κινδύνων μὴ ἀπαλλάττειν, ἀπέστησεν αὐτοὺς τῆς αὐτῶν προσκυνήσεως· ὑμεῖς δὲ τἀναντία πάντα ἐπράξατε.

v. 9. cod. f. 196. b. Ὡς εἰδέναι πάντας ὅτι ἐκ τῆς ἐμῆς ὀργῆς ἐπενέχθη σοι ἡ τιμωρία παιδεύσασά σε ἐφ' οἷς πρότερον οὐκ ἔμαθες τὰ προσήκοντα, τῶν ἀγαθῶν παρ' ἐμοῦ ἀπολαύουσα.—Ἱκανὴ γὰρ ἡ τοῦ προσώπου δήλωσις τὴν ἀλήθειαν δεῖξαι.—Καὶ ἐπάξω ὑμῖν τὰ δεινά· ὅτ' ἂν ἀμεταμέλητα παίῃ τις, ἵν' ἐξ αὐτῶν τῶν πραγμάτων γνοίητε ὡς οὐκ οἰκείᾳ δυνάμει ὁ βάρβαρος τῆς πόλεως περιγίνεται, ἀλλ' ἐκ τῆς ἐμῆς ἀποφάσεως.

CAP. VI.

v. 3. cod. f. 197. b. Τουτέστι πρὸς ἐκεῖνα ἀπόβλεψον· ὥσπερ γὰρ ὁ Δανιὴλ προσευχόμενος ἐπὶ τὰ Ἱεροσόλυμα κλίμα ἀποβλέπων τῇ φαντασίᾳ, ἐδόκει ἐν αὐτῇ εἶναι τῇ πόλει, οὕτως ἐκέλευσε καὶ τὸν προφήτην πρὸς ἐκεῖνα ἀφορᾷν, καὶ τὴν προφητείαν ποιεῖσθαι, ὥστε ἐναργέστερον τὸν λόγον γενέσθαι.—Τουτέστιν οἱ ἐκεῖ τὴν θεραπείαν ποιούμενοι, εἴτουν ἐν τοῖς ὀρεωτέροις τόποις οἰκοῦντες.—
v. 6. Ἀντὶ τοῦ πᾶσα ἐπίνεια εἰδώλων ἀπωλεῖται· ἤτοι ὡς αὐτῶν κατασκευαζόντων τὰ εἴδωλα ἢ τὴν περὶ ξόανα γινομένην θεραπείαν σημαίνων.

v. 8. Ἴστε τοίνυν φησὶν, ὡς οὐχ ἁπλῶς κατὰ πάντων ἀπεφηνάμην, ἀλλὰ κατὰ τῶν ἀνίατα νοσούντων· αὐτίκα γοῦν οὐχ ἅπαντας ἀπολέσω, ἀλλ' ἔσονταί τινες οἱ διασωθησόμενοι, καὶ ἀμείνους ἐκ τῶν συμφορῶν γενησόμενοι.

CAP. VII.

v. 9. cod. f. 197. a. Τουτέστιν οὐκ ἐξ ἀπάτης τὴν ἀσέβειαν εἰργάσαντο, ἀλλ' ἐπιμελῶς τὰς παρανομίας ἔπραξαν, καὶ ὅλοι πρὸς ἐκείνους εἰσὶ τεταμένοι.

Διηγησάμενος αὐτῶν τὰ κακὰ, οὐκ ἔστη μέχρι τῶν εἰρημένων, ἀλλὰ καὶ ἐπισυνῆψε τὰ νῦν ῥηθέντα· τουτέστιν οὐκ ἠπείλησα μόνον, ἀλλὰ καὶ ὠμώμοκα· ὥστε πληροφορηθέντας περὶ τῶν ἐσομένων κακῶν μεταβάλλεσθαι τὸν τρόπον· ἀλλ' ὅμως οὐδὲ οὕτως ἀμείνους γεγόνασι τὴν γνώμην.

v. 11. Τουτέστιν ἐπὶ τούτοις στέναξον, καὶ ὀδυρτικὴν ἄφες φωνὴν, ἀλγῶν ἐπὶ τοῖς πάσχουσιν ἐπὶ τὸ συμφορᾶς μέγεθος.—Ἀντὶ τοῦ λυπήθητι· εἰς τοσαύτην γὰρ παρανομίαν ἐληλάκασιν ὥστε καὶ ἐπισπᾶσθαι τρόπον τινα τὴν παρὰ τοῦ θεοῦ
v. 15. δίκην.—Τουτέστιν ὅσοι διαφεύξονται τῶν πολεμίων τὴν δεξιὰν, πινώμενοι διαφθαρήσονται, οὐδεμίαν ἀφορμὴν σωτηρίας ἕξοντες· ὁ δὲ πλησίον ληφθεὶς, τὴν διὰ ξίφους δώσει δίκην.—Ὅσοι δὲ, φησι, κατὰ τὴν πόλιν εὑρεθῶσιν, οὗτοι ἐν ἐνδείᾳ θανατοῦνται.—Τουτέστι πέρας ἐπιθήσω τοῖς λόγοις, τὴν κατ' αὐτῶν ἐνέγκας τιμωρίαν.—Ἐπειδὰν εἴδητε φησὶ μὲν ἅπασι τοῖς τόποις τοῖς παρ' ὑμῶν προσκυνουμένοις τοὺς νεκροὺς ὑμῶν ἐῤῥιμμένους, τότε γνώσεσθε τῆς

rr. in praec. g. Cap. VI. ἐμῆς δυναστείας τὸ μέγεθος—Τὴν Δεβλαθὰ λέγουσιν εἶναι Δάφνην τὴν πρὸς Ἀντιόχειαν τῆς Συρίας· ἐμνημόνευσε δὲ αὐτῆς νῦν ὡς κατὰ μῆκος τῆς γῆς Ἰουδαίας ἄχρι ταύτης ἐκτεταμένης· ἵνα δείξῃ ὅτι κατὰ πάντων ἐξήνεγκε τὴν ψῆφον· ἄλλως τε καὶ φαίνεται ὁ Βαβυλώνιος ἐπὶ ταύτης καθεζόμενος ἀναμένων τοῦ πολέμου τὸ τέλος· ἐνταῦθα γοῦν καὶ ὁ Σεδεκίας ἁλοὺς ἤχθη πρὸς τὸν Ναβουχοδονόσορ, καὶ τῆς τῶν συνθηκῶν παραβάσεως εἰσεπράχθη δίκην. Καὶ μετ' ὀλίγα· τὸ δὲ ἀπὸ τῆς ἐρήμου εἶπεν, ὡς ἤδη ἀπῳκισμένων τῶν αὐτόθι πρότερον κατοικούντων.

CAP. VII.

v. 7. cod. f. 197. b. Τὴν πολιορκίαν καὶ τὴν περίφραξιν ἣν περιέβαλον τῇ Ἱερουσαλὴμ οἱ Βαβυλώνιοι, πλοκὴν ἀποκαλεῖ· ἔχει δέ τινα ἔμφασιν τὸ λέγειν τὸν κατοικοῦντα τὴν γῆν, ἣν οὐδεπωποτέ φησιν ἁλῶναι ἤλπισας, ἢ παθεῖν τι κακὸν ἀπὸ τῶν ἐχθρῶν· διά τοι τὸ ἐν αὐτῇ τὸν θεῖον ἑστάναι ναόν.

v. 7. Τουτέστιν οὐ δεηθέσεται πόνων, ἀλλ' ἀρκεῖ μόνον ἐπελθὼν ἀπωλέσαι τοὺς ἐνοικοῦντας.

v. 9. Ἐπαναλαμβάνει δὲ συνεχῶς τὰ αὐτὰ, τὸν κατὰ τῶν ἁμαρτανόντων ἐμφαίνων θυμόν· ἴδιον γὰρ τῶν ὀργιζομένων συνεχεῖ τῇ ἀειλογίᾳ κεχρῆσθαι, της μνήμης τῶν ἐπταισμένων, αὐξούσης τῆς διανοίας τὴν πύρωσιν, ἐκ τῶν λόγων τὴν δευτέρωσιν ἐργαζομένης.

v. 10. Ἡ ῥάβδος ἤνθησε, τουτέστιν τοῦ Ναβουχοδονόσορ ἡ βασιλεία· ἄνθος δὲ καλεῖ τὴν αὐτῆς εὐπρέπειαν.—Τουτέστιν ἡ κατὰ τοῦ Θεοῦ ἀλαζονία ἀπολεῖται, ἥ τε περὶ τὰ εἴδωλα θεραπεία, καὶ κατὰ τῶν θείων νόμων ὑπεροψία.—Τοῦτο ἀντὶ τοῦ οὐκέτι ἐάσει τὰς κατὰ νόμον τελεῖσθαι λατρείας, καὶ ταύτας ἀθορύβως ποιεῖσθαι φησὶ καὶ ἀμογητί.

v. 13. Τὸ οὐκέτι ἦν ζωὴ τὸ ζῆν αὐτῶν, ἀντὶ τοῦ οὐ συνήθει χρήσονται ἀγωγῇ, ἐν ἧπερ εὐδοξοῦντες καὶ τρυφῶντες διῆγον, ἀλλ' ἀντίστροφον ἕξουσι τοῦ βίου τὴν κατάστασιν.—Τουτέστιν οὐκέτι ἕξουσι χώραν περὶ τῶν αὐτῶν διαλέγεσθαι ἀλλήλοις.

Τουτέστιν οὐδεὶς περιέσται τῆς ἐπενεχθείσης συμφορᾶς· πάντες δὲ τῷ λίνῳ σαγηνευθήσονται.

Ἔθος δὲ τῷ Θεῷ ἐν ταῖς μεγάλαις μάλιστα v. 14.
ἀποφάσεσιν, εἰς κρίσιν ἕλκειν τὸ πλῆθος, ὥστε
δεῖξαι ὡς οὐκ ἄκριτον ἐκφέρει τὴν ψῆφον κατὰ
τῶν ἁμαρτανόντων, καὶ μειζόνως καθάψασθαι
τῶν ὑπὸ τὴν τιμωρίαν κειμένων· ὡς τὸ, κρίνατε
ἐν ἐμοὶ καὶ ἀναμέσον τοῦ ἀμπελῶνος.—Ἀντὶ v. 17.
τοῦ οὐδ' εἰς χεῖρας ἕξουσι τῷ βαρβάρῳ.

Πολυχρονίου καὶ Θεοδωρίτου. Ὡς ὑπὸ δειλίας cod. f. 198. a. τῆς φυσικῆς αὐτοῖς ἐκκρίσεως ἀθρόως ἐσήμανεν· εὐδῆλον δὲ ὡς τὸν ὑπερβάλλοντα ἔδειξε φόβον.

Ὅταν γάρ, φησιν, ἴδωσι τῶν ἐπιφερομένων v. 18. κακῶν τὸ νέφος, καὶ οὐδεμίαν οὐδαμόθεν φαινομένην βοήθειαν, τότε ἀπαγορεύοντες ῥίψωσι μὲν τὰ πολεμικὰ ὅπλα, τὸ δὲ πένθιμον ἀναλήψονται σχῆμα, ὅπερ διὰ τοῦ σάκκου καὶ τῆς ἐξυρισμένης κεφαλῆς ἐμφαίνεται· ταῦτα γὰρ εἰώθασιν οἱ τηνικάδε πενθοῦντες ἐπιτηδεύειν.

Ἢ ἐπειδὴ οὐκ ἐλάττους χρημάτων ἔσονται οἱ v. 19. πολέμιοι, οὐδὲ περὶ τὴν τούτων ἁρπαγὴν ἀσχοληθέντες, παύσονται τῆς σφαγῆς τῶν ἁλόντων.

Παρασκευάσω, φησὶ, τοὺς πολεμίους περιϊδεῖν αὐτά· ὡς γὰρ χρήματα λήψονται, καὶ οὐχ ὡς θεοὺς θεραπεύσουσιν. v. 21.

Ἐπειδήπερ, φησὶν, εἰς παντελῆ παρανομίαν v. 23. cod. f. 198. b. οἱ ἐνοικοῦντες ἐξέκλιναν, οὐδὲ τοῦ οἴκου ποιήσομαι πρόνοιαν.—Οὐχ ἁπλῶς κρατήσουσιν, ἀλλὰ τελείως δεσπόσουσιν.—Τουτέστιν ἀσθενῆ δείξω πάντα ἐφ' οἷς ἐφρόνουν μεγάλα.

CAP. VIII.

Ὡς τελείας ἀπωλείας καταψηφισθείσης τῆς v. 1. πόλεως, συνέρρεον πρὸς αὐτὸν, μανθάνειν τί πλέον σπουδάζοντες· φιλεῖ γὰρ τό τε ἄδηλον μείζονα τὴν ταραχὴν ἐμποιεῖν, καὶ ἡ ὁπωσοῦν ἀπόκρισις φέρει τοῖς ἐν συμφοραῖς παραμυθίαν.

Οὐ δι' ἀγγέλων μὲν τοὺς λόγους ποιεῖται, v. 2. ἀλλὰ δι' ἑαυτοῦ πληροφορίαν μείζονα ἐντιθεὶς τῷ προφήτῃ, καὶ φόβον ἐμποιῶν τοῖς παρανόμοις.

Εἴδωλον ἦν ἐκεῖ παρανομίας ἱδρυμένον· ζήλου δὲ αὐτὸ καλεῖ ἐκ μεταφορᾶς τῶν μοιχευομένων γυναικῶν, καὶ τοὺς μὲν ἄνδρας καταλιμπανουσῶν, ἑτέροις δὲ μιγνυμένων, καὶ εἰς ζηλοτυπίαν τοὺς ἄνδρας ἀγουσῶν. v. 3.

v. 11. cod. f. 199. a. Οἶμαι δὲ Ἰεχονίαν εἶναι τὸν υἱὸν Σαφὰν, ὃν
Ἱερεμίας Σοφονίαν λέγει· αὐτὸς γὰρ δὴ Σοφο-
νίας κατὰ τὴν Ἱερεμίου φωνὴν, ἱερεὺς ἦν τοῦ
ἐν Ἱεροσολύμοις ναοῦ, πρὸς ὃν ὁ Σαμέας ἀπέ-
v. 12. στειλε, διαθεῖναι κατὰ τὸν Ἱερεμίαν.—Ἵνα εἴ-
πῃ οὐ μόνον ἔθρων αὐτὰ, ἀλλὰ καὶ τοσαύτῃ
περὶ τὸ κακὸν ἐχρῶντο φιλοτιμίᾳ, ὥστε μηδὲ
κατὰ τοὺς οἴκους ἀπέχεσθαι τῆς τῶν εἰδώλων
θρησκείας.

cod. f. 199. b. Οὐ γὰρ ζητῶ τῆς φωνῆς τὸν τόνον ἀλλὰ τῆς γνώμης τὴν μεταβολήν.

CAP. IX.

v. 2. Οὐ μόνον ἐπειδὴ ἐκεῖ πρῶτον εἶδεν τὴν ἀσέβειαν, ἀλλ' ἵνα καὶ Βαβυλωνίων ἐνδείξηται τὴν ἔφοδον.—Δείκνυσι πρῶτον ὡς οὐχ ἥδεται τῷ θανάτῳ τῶν ἁμαρτανόντων ὁ θεὸς, καὶ ὅτι μετὰ ἀναβολῆς τὴν κατὰ τῶν ὑπευθύνων τιμωρίαν ἐπάγουσιν αἱ ἀόρατοι δυνάμεις· διὰ τοῦτο φησὶν ὅτι εἰσελθόντες, ἔστησαν ἐχόμενοι τοῦ θυσιαντηρίου τοῦ χαλκοῦ.—Οὐχ οἷόν τε γὰρ ἦν τοῦ θεοῦ τῷ τόπῳ παραμένοντος, ἀπηχές τι γενέσθαι περὶ τὸν ναόν.

v. 4. Ἦσαν γὰρ πολλοὶ δίκαιοι, ὡς ὁ Ἱερεμίας, ὡς οἱ υἱοὶ Ῥηχὰβ, ὡς ὁ Οὐρίας, καὶ ὅσοι τὴν αὐτὴν γνώμην τῷ προφήτῃ ἐκέκτηντο· εἰ δὲ παρὰ τῷ Ἱερεμίᾳ κεῖται, περιέλθατε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε ἐὰν εὕρητε δίκαιον ἐν αὐτῇ, ἵλεος ἔσομαι λέγει κύριος ἐν αὐτῇ, οὐ θαυμαστόν· οὐ γὰρ περὶ τῶν δικαίων λέγει, ἀλλὰ περὶ πάντων τῶν τῇ θείᾳ ψήφῳ εἰς παρανομίαν ἐκκλινάντων.

v. 6. Δείκνυσι τῶν ἀοράτων δυνάμεων τὴν περὶ ἀνθρώπους κηδεμονίαν· ὡς γὰρ ὀκνοῦντας πρὸς τὸν φόνον προτρέπεται τῷ λόγῳ ἀφειδῶς τοὺς φόνους ἐργάζεσθαι.—Δόξει δὲ λίαν ἀτοπώτατον τὸ κατὰ τῶν νηπίων φέρεσθαι τὴν ψῆφον, τῶν μηδέπω ἁμαρτησάντων· ἀλλ' ἔχει σύντομον τὴν λύσιν· πάντων γὰρ ἐπὶ τὸ χεῖρον ἐκκλινάντων, ὥστε καὶ εἰς τὴν αὐτὴν ἀσέβειαν καὶ τὰ νήπια χειραγωγεῖσθαι, ἀναγκαίως τοὺς μὲν ἀσεβοῦντας ἐκόλασεν, τῶν δὲ προανεῖλε τὴν ἀδικίαν, ὥστε μὴ ἐπὶ πολὺ χυθεῖσαν τὴν παρανομίαν, πανταπασιν ἀφανῆ καταστῆσαι τὴν ἀσέβειαν· εἴποι δ' ἄν τίς καὶ κατ' ὀπτασίαν οὐ μόνον γεγενῆσθαι ταῦτα, πρὸς φόβον τῶν ἀσεβῶν, ἢ καὶ ἐπὶ τινῶν ἴσως ἐκβεβληκέναι· πολλὰς, ὡς ἐπὶ πολὺ, τῶν πολέμων ἐχόντων τὰς ἐπιτάσεις.

Οὐχ ἁπλῶς δὲ ἀπὸ τῶν ἀνδρῶν ἀλλ' ἐκ τῶν cod. f. 200. a.
πρεσβυτέρων, τουτέστι τῶν ἡγουμένων, οἱ καὶ
ἑτέρους ἐπαιδοτρίβουν εἰς κακίαν.—Τουτέστι μη- v. .
δεμίαν ποιήσασθαι φειδώ· οὐ γὰρ ἔτι ἐμὸν λο-
γίζομαι τοῦτον, ἐν ᾧπερ τὸ πλῆθος τῶν εἰδώ-
λων ἔστησαν· τὰ δὲ μιάνατε ἔφη κατὰ τὴν ἰου-
δαϊκὴν ὑπόληψιν, ἐπειδὴ ἀκάθαρτος ἐνομίζετο ὁ
ἀψάμενος νεκροῦ.

Πολυχρονίου καὶ Ἀπολιναρίου. Τουτέστιν οὐκ ἀρκεῖ τῇ αἰχμαλωσίᾳ τῶν προτέρων, ἀλλὰ καὶ τούτους ἅπαντας εἰς ἀποικίαν πέμπεις, μᾶλλον δὲ ἀφανίζεις τὸ γένος.

Καὶ εἰς βίον δὲ αὐτοὺς διαβάλλει, καὶ εἰς τὸ v. 9.
τὴν πρόνοιαν τοῦ θεοῦ λοιδορεῖν.

Πολυχρονίου καὶ Ἀπολιναρίου. Θαυμαστὸν δὲ v. 10.
εἰ ἐν τοῖς κατόπιν φήσας τινὰ σεσημειῶσθαι ἐπὶ τὸ μὴ παθεῖν, νῦν πάντας ἀπολωλέναι εἴρηκεν· τὸ μὲν γὰρ ἦν τῆς ἀληθείας τοῦ πράγματος, τὸ δὲ τοῦ πάθους τοῦ προφήτου εἰωθότων πῶς ἡμῶν ἐν ταῖς μεγίσταις συμφοραῖς μείζονα τῶν ὁρωμένων φαντάζεσθαι.—Εἰ δὲ καὶ ἐνταῦθα ἐθεάσατο τινὰ καθήμενον, ἀλλ' εὔδηλον ὡς τοῦτο μηνύει· ὑπομνήσεως γὰρ ἕνεκεν τῶν ἔμπροσθεν λεχθέντων, ταῦτα προσέθηκε.

Πολυχρονίου καὶ Ἀπολιναρίου. Οὐκ ἀνήμερος ἀλλ' ὡς δίκαιος μετὰ τοῦ φιλανθρώπου· τὸ μὲν γὰρ δίκαιον ἐν τῇ τιμωρίᾳ γίνεται, τὸ δὲ φιλάνθρωπον ἐν τῇ ἀναστάσει καὶ τῇ προῤῥήσει τῶν δεινῶν γνωρίζεται· διόπερ ἄξια ὧν ἔπραξαν ἀπέλαβον, ὅπερ ἐστὶ δικαιοσύνης τεκμήριον· τὸ δὲ ἑπόμενον, φιλανθρωπίας ἀπόδειξις.

Δηλονότι ὁ καθήμενος· ὡς γὰρ ἀρκεσθεὶς τῇ ὑπομνήσει συνυφῆναι καὶ τὸ παραλειφθὲν· διὰ τοῦτο οὐκ ἐνέφαινε τὸ παραλειφθέν· δῆλον γὰρ ὅτι ἦν τις καθήμενος, ὃς εἶπε πρὸς τὸν ἄνδρα.

CAP. X.

Ἵνα τὸ δαψιλὲς δείξῃ τῆς τιμωρίας, καὶ ὅτι v. 1.

κατὰ πάσης ὁμοῦ τῆς πόλεως ἀποφαίνεται παν-
ταχόσε γράφησιν, ὡς ἔτυχε διασπείρων τὸ πῦρ,
πάντας ὁμοῦ τῇ συμφορᾷ περιλαμβάνων.
v. 3. cod. f. 200. b. Ἐπειδὴ οὐχ οἷόν τε ἦν τοῦ Θεοῦ ἔνδον ὄντος,
ἢ δοκοῦντος γενέσθαί τι περὶ τὸν ναὸν τραχὺ,
σχηματίζει διὰ τῆς ὀπτασίας τὸν Θεὸν ὥσπερ
ἐξιστάμενον τοῦ οἴκου· τὸ οὖν εἱστήκει ἐκ δεξιῶν
τοῦ οἴκου, ἐσχημάτιζεν ὡς ἂν εἴ τινος ὀργιζομέ-
v. 4. νου καὶ ἐπιτάττοντος τὴν κατασφαγήν.—Οὐ κα-
τὰ τὸ παρὸν τοῦτο γεγενῆσθαι λέγει ἀλλ' ὅτι
οὕτως ἐξ ἀρχῆς ὤφθη ἡ δειχθεῖσα ὄψις πληροῦσα
τὸν οἶκον διὰ τῆς νεφέλης· οἶκον δὲ λέγει τὸν
v. 5. ἐνδοτάτω ὅπου τῶν ἁγίων τὰ ἅγια.—Μέγιστον,
φησὶν, ἦχος ἀποτελεῖ τὸ τῶν πτερύγων κινου-
μένων τῶν χερουβὶμ, ὡς ὑπολαμβάνειν βροντὴν
εἶναι ἢ θείαν φωνήν· τὸ γὰρ ὡς φωνὴ σαδδαΐ,
ἱκανοῦ Θεοῦ βροντὴν ὁ Σύμμαχος καὶ Θεοδοτίων
ἡρμήνευσαν· τουτέστιν εἰκάσασαν τὸν ἦχον τοῦ
ἱκανοῦ καὶ δυνατοῦ Θεοῦ, φωνῇ τῇ κατὰ θείαν
ἐνέργειαν ἀποτελουμένῃ βροντήν.

CAP. XI.

v. 1. Ἀναλαμβάνει τὰ ἤδη ἔμπροσθεν εἰρημένα· οὐ
γὰρ ἄλλην νῦν ἔφη παρ' ἣν ἔφη ἤδη πρότερον,
ἔνθα τοὺς εἴκοσι πέντε ἄνδρας ἐθεάσατο τῷ
ἡλίῳ προσκυνοῦντας.
v. 7. Ἐπισυνάπτει ἕτερον ἔγκλημα, ὡς οὐ μό-
νον οὐ πειθαρχούντων αὐτῶν τοῖς παρὰ τῶν προ-
φητῶν λεγομένοις, ἀλλὰ καὶ χλευαζόντων.—
Μάλιστα μὲν τουτέστιν οὐδ' οὕτως διέψευσται
ἡ πρόῤῥησις· λέβητα γὰρ πεποιήκατε τὴν πόλιν,
κατασφάζοντες ἐν αὐτῇ τοὺς πένητας, καὶ ἀντὶ
πυρὸς αὐτῇ γεγονότες· ἴστε δὲ καὶ ὡς ἡ κατὰ
τῆς πόλεως ψῆφος αὐτίκα μάλα ἐπαχθήσεται,
καὶ χείρονα τῶν ἠδικημένων πείσεσθε.
v. 13. cod. f. 201. a. Θαυμάσαι δέ ἐστιν, ὅπως ἕνα ἑωρακὼς τε-
τελευτηκότα, περὶ πάντων ὁμοῦ διαλέγεται· οὐ
γὰρ δήπου ἐν τῷ θανάτῳ τοῦ ἑνὸς οἱ λοιποὶ
συναπόλλυνται· ἀλλὰ τοῦτο τῆς περὶ λαὸν δια-
θέσεως τοῦ προφήτου τὴν ἀπόδειξιν ἔχει.
Εἰ γὰρ καί τινες μετὰ τὴν ἐπάνοδον ἐξέκλι-
ναν, ἀλλ' οὖν γεγόνασιν δίκαιοι, ὡς ὁ Ματθίας
καὶ Ἰούδας ὁ μακκαβαῖος, καὶ πάντες οἱ ὑπὲρ
τῆς εὐσεβείας ἑλόμενοι τὸν θάνατον τὸν ἐπὶ
Ἀντιόχου.
Ἔστι δὲ τοῦτο τὸ ὄρος τῶν ἐλαιῶν, ὅθεν ἡ v. 23.
ἡ κατὰ σάρκα ἀνάληψις τοῦ σωτῆρος ἐγένετο·
κατὰ γὰρ τῆς Ἱερουσαλὴμ τὴν ψῆφον ἐξενεγκὼν
εἰς τὸ ὄρος τοῦτο χωρεῖ, κἀκεῖθεν ποιεῖ τὴν εἰς
οὐρανοὺς ἄνοδον· μετὰ γὰρ τὸν σταυρὸν καὶ τὸν
θάνατον, καὶ τὴν κατὰ τῆς Ἱερουσαλὴμ πάλιν
ψῆφον ἐξενεγκὼν, ὅτι οὐ μὴ μείνῃ ὧδε λίθος
ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθῇ, εἰς τὸ ὄρος
ἐκεῖνο μετὰ τῶν μαθητῶν ἀνελθὼν, ὑπὸ νοερῶν
καὶ ἀοράτων φερόμενος δυνάμεων εἰς οὐρανοὺς
ἀνελήφθη· τύπος τοίνυν τῶν ἐσομένων κατὰ τῷ
προφήτῃ δειχθέντα αἰσθητά.
Ἐπειδὴ γὰρ ὄψις καὶ ἀκοὴ μόνη τῶν πραγ- v. 24.
μάτων δέχεται τὴν παραίνεσιν· ἢ γὰρ ὁρῶντες
ἐν ἑτέροις τὰς συμφορὰς, σωφρονέστεροι γινόμε-
θα· ἢ ἀκούοντες τῶν θείων νόμων, σπουδαιότε-
ροι περὶ τὴν ἀρετὴν καθιστάμεθα· ἄλλη δὲ αἴ-
σθησις οὐκ ἔστιν ὁδηγοῦσα εἰς εὐσέβειαν.

CAP. XII.

Ἄγε δὴ οὖν, φησιν, ἐφ' ἕτερον εἶδος ἐλθὲ v. 3. cod. f. 201. b.
διδασκαλίας, πρὸς τὰ τῶν ποιούντων καὶ πα-
σχόντων πάθη σεαυτὸν μετασκευάζων.
Ἀντὶ τοῦ, τὴν μὲν φύσιν μήνυσον τῷ τοίχῳ v. 12.
διαδὺς μὴ μὴν αὐτὸς σεαυτῷ τοῦτο ποιήσεις,
ἀλλ' ὑφ' ἑτέρου φερόμενος, ὡς ἂν ὑπὸ δειλίας
ἀφῃρημένος, καὶ τὴν ἐπὶ τὸ βαδίζειν δύναμιν· εἰ
γὰρ αὐτὸς ἀξιῶν φεύγειν προσετάττετο, οὐκ ἂν
ἐκαλύψαντο· ὥστε μηδὲ ὁρᾶν τί τῶν ἐν ποσίν·
πῶς δὲ ἔτι καὶ ἀποδιδράσκειν ἠδύνατο, ἀφῃρη-
μένος τοῦ βλέπειν; τὸν μὲν οὖν τοῖχον διορύτ-
τειν ἐπ' ὄψεσιν αὐτῶν ἐκελεύετο· ἐπὶ μετεώρου
δὲ ὄντα εἰς φυγὴν τραπῆναι, καλυψάμενον παν-
ταχόθεν, ἵνα διὰ μὲν τῆς προφητείας μηδένα
λάθῃ τὰ προφητευόμενα· διὰ δὲ τοῦ σχήματος
τὴν συμφορὰν διδαχθῶσι.
Τοῦτο δέ φησιν οὐχ ὅτι κατὰ τὸν παρόντα v. 28.
καιρὸν ἐν ᾧπερ ὁ προφήτης ταῦτα λέγει, πέρας
εἶχε τὰ κατὰ Ἰουδαίους, εὔδηλον γὰρ ὡς κατὰ
τὸ ἕκτον τῆς βασιλείας Σεδεκίου ταῦτα ὁ προφή-
της λέγει, συνέβη δὲ κατὰ τὸ ἑνδέκατον ἔτος τῆς

*

τούτου βασιλείας τὴν ἐσχάτην ἅλωσιν ὑπομεῖναι τὴν πόλιν· ἀλλ' ὃ βούλεται εἰπεῖν τοῦτό ἐστιν· ἴστε ὡς αὐτίκα μάλα ἐπαχθήσεται τὸ δεινὸν, οὐκέτι ἑτέρου βασιλέως διαδεξαμένου τὸν Σεδεκίαν· ἐπὶ γὰρ τούτου τῶν προῤῥήσεων ἐκβήσεται τέλος.

CAP. XIII.

v. 4. cod. f. 202. a. Ἐπειδὴ ἡ γραφὴ πολλαχοῦ ἀμπελῶνα καλεῖ
τὸν λαόν· ἄμπελον γὰρ, φησιν, ἐξ Αἰγύπτου μετῆρας· καὶ πάλιν ἀμπελὼν κυρίου σαβαώθ· καὶ πάλιν· ὑμεῖς δὲ ἀνεπυρίσατε τὸν ἀμπελῶνά μου· τὸν ὅμοιον τρόπον καὶ νῦν τῷ παραδείγματι τῶν ἀλωπέκων ἐβουλήθη τὸ φιλοκερδὲς τῶν ψευδοπροφητῶν, καὶ τὴν ἐξ αὐτῶν κατὰ τοῦ λαοῦ σημᾶναι θύμην· ὥσπερ γάρ φησιν ἀλώπεκες λανθάνουσι τοὺς φύλακας τῶν ἀμπελώνων, καὶ εἰσιόντες κερδὸν οὐδὲν ποιοῦσι· τῶν δὲ γηπόνων τὸν καρπὸν ἀφαιροῦνται, παραπλησίως καὶ οὗτοι δολερῷ τῷ σχήματι πολλοὺς λανθάνοντες ὡς ἐπὶ τινὶ ὠφελείᾳ λαλοῦντες, πρὸς τὸ ἑαυτῶν βλέποντες κέρδος, τὰ πρὸς ἡδονὴν διαλέγονται.—Ἀντὶ τοῦ, οὐδὲν ἀληθὲς ἐφθέγξαντο, οὐδὲ ἠδυνήσαν τὴν ὑπ' ἐμοῦ διὰ τῶν προφητῶν γενομένην ἀπόφασιν ἀνακαλέσασθαι.—Ἔδειξεν αὐτῶν καὶ τὴν ἀλαζονίαν καὶ τὴν ἀσθένειαν· ὡς μὲν γὰρ ποιμένες, φησι, καὶ κηδεμόνες τῶν προβάτων ἠβουλήθησαν συγκροτεῖν τὸν λαὸν, ἠλέγχθησαν δὲ ὑπὸ τῶν πραγμάτων· τοῦ γὰρ πολεμίου ἐπιστάντος, οὐ μόνον εἶρξαι τοῦ Βαβυλωνίου τὴν ἔφοδον οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ ὁρῶντες πολλαχόθεν διασπειρόμενον τὸ πλῆθος, καὶ ὑπὸ λιμοῦ καὶ ξίφους καὶ πυρὸς διαπανώμενον, ἐφωράθησαν τὴν τῶν ἀλλοτρίων, καὶ οὐ τὴν τῶν ποιμένων, ἔχοντες τάξιν.

Οἱ μεγαλαυχούμενοι τίσιν φησὶ πρὸ τῆς πείρας τῶν δεινῶν· καὶ τὸν τοῦ θεοῦ χρησμὸν προβαλλόμενοι, δειλοὶ καὶ ἄτολμοι πρὸς τὸ κακὸν πεφήνασιν· τὸ οὖν ὡς ἐν πολέμῳ, οὐχὶ κατὰ παραβολὴν κεῖται, ἀλλ' ὡς ἐπ' αὐτῆς τῆς ἀληθείας—Τῷ ὀνόματί, φησι, τῷ ἐμῷ κατεχρῆσθαι ψευδεῖς μαντείας τῷ λαῷ προσφέροντες· ἐγὼ δὲ οὐχ ὑμῖν τοῦτον ἐξέπνευσα.

Τούτῳ ἐπειδήπερ εἰς τὸ κακὸν ἐξέκλιναν, καὶ ἀπὸ καρδίας πλάττεσθαι ἠβουλήθησαν, ἐξ ἀνάγκης ἔσχον δαίμονας ἐνοικοῦντας, τοῦ θεοῦ ἀλλοτρίους ἑαυτοὺς κατασκευάσαντες· ἐπιστάμενοι γὰρ τῶν προφητῶν τὴν ἀλήθειαν, ἐπὶ τοὺς ἐναντίους ἐχώρησαν λόγους.

Ὅτ' ἂν διὰ τῶν πραγμάτων μάθωσί, φησι, v. 12. cod. f. 202. b.
ψευδεῖς τὰς ὑμετέρας προῤῥήσεις, καὶ πόλεμον καὶ σφαγὴν καὶ αἰχμαλωσίαν ἀντὶ τῆς ἐλπισθείσης εἰρήνης, οὐκ ἐροῦσιν ὑμῖν, ποῦ οἱ χρηστοὶ ὑμῶν λόγοι, καὶ τῆς εἰρήνης αἱ ἐπαγγελίαι; Καὶ μετ' ὀλίγα. Ἐπειδὴ δὲ ὡς ἐπὶ τοίχου καὶ οἰκοδομῆς ἔλαβεν αὐτῶν τὴν ἀσέβειαν, παρέλαβε τοῦ θεοῦ τὴν ἀπόφασιν, καὶ τὴν ἐπαγομένην αὐτοῖς τιμωρίαν κατακλυσμῷ.

Τὸ κακότεχνον αὐτῶν τῆς γνώμης παριστῶν. v. 18.
—Μέμφεται γὰρ οὐ μόνον τοῖς χρησμῳδεῖν πειρωμένοις, ἀλλὰ καὶ τοῖς κεχρημένοις περιάμμασι καὶ ἐπῳδαῖς τισίν.

Εἰς τὸ πωτᾶσθαι, τουτέστι διὰ τὸ περιάπτων ὑμᾶς κεχρῆσθαι πρὸς ἀπάτην τοῦ λαοῦ, καὶ ἀναῤῥιπίζεσθαι αὐτοὺς ἀσέβειαν τῇ καθ' ὑμῶν ὀργῇ χρήσομαι· προσκεφάλαια γὰρ ἐνταῦθα τὰ περιαπτὰ ἔφη, ὡς ἤδη εἴρηται· τὸ δὲ ἐφ' ἃ ὑμεῖς ἐπιστρέφετε ἐκεῖ ψυχὰς, ἀντὶ τοῦ ἐφ' ἃ ὑμεῖς συνάγετε τοὺς πολλοὺς ἐλπίδι κρείττονι.

Τουτέστιν αὐτοῖς ὑμᾶς τοῖς ἔργοις πείσω, ὡς v. 21.
ἀνόητος ὑμῖν ἡ περὶ τὰ τοιαῦτα εὐπείθεια· διὰ μὲν γὰρ τῶν ἔμπροσθεν πρὸς τὰς ποιούσας φησιν, ἐνταῦθα δὲ πρὸς τοὺς κεχρημένους ἀπεφήνετο.—Τουτέστι τὰ περιάμματα δείξω κενὰ, ὥστε ὑμᾶς αὐτοὺς πρὸς τὸ ἀνόητον ἀφορῶντας, γνῶναι τῶν τοιούτων τὸ μάταιον.

Τουτέστιν ἀπ' αὐτῶν τῶν ἔργων πείσω αὐ- v. 22. cod. f. 203. a.
τοὺς ὡς οὐδὲν ἔχουσι κέρδος ἀπὸ τῶν γινομένων.—Ἀτὶ τοῦ ἀνελεῖν ἐπεχειρεῖτε τοὺς ἀνευθύνους.—Καὶ ταῦτα πάντα, φησι, ποιοῦντες, ἐπ' ἐμὲ ἀναφέρετε τῶν γινομένων τὴν αἰτίαν, ὃ καὶ μεγίστην κατηγορίαν ἔχει τῆς γνώμης.—Ἀντὶ τοῦ τὰς πράξεις τοῦ ἀσεβοῦς βεβαιοῦτε διὰ τῶν οἰκείων λόγων πολλὴν αὐτοῖς προσμαρτυροῦσαι τὴν ἰσχὺν, καὶ οὐδὲν ἀνατιθέντες θεῷ τῷ τῶν ὅλων δεσπότῃ.—Ἐνταῦθά, φησιν, εἰ καί τις

ὑμῖν ἐλπὶς σωτηρίας, καὶ ταύτην ἀφαιρεῖτε·
* ita cod. ὅλους σαυτῶν ποιοῦσαι * διὰ τῆς ὑποσχέσεως τῶν γινομένων.—Ταύτης ἕνεκεν τῆς αἰτίας, φησὶν, οὐκέτι ἐν ἀπειλῇ στήσω τὸ δεινὸν· ἀλλ' ἐπαγαγὼν τοὺς βαρβάρους, ποικίλας παρ' ὑμῶν εἰσπράξομαι τιμωρίας.—Τουτέστιν ἀπαλλάξω τὸ πλῆθος τῆς ὑμετέρας ἀπάτης.

CAP. XIV.

v. 1. Τουτέστι κατ' οἶκον συνῆλθον πρός με, καὶ ὡς φίλοι ἐκαθέζοντο.—Πρεσβυτέρους, τοὺς τοῦ λαοῦ ἐξάρχους καλεῖ.

v. 2. Ἀγνοοῦντί μοι, φησὶ, τῆς παρουσίας τὴν αἰτίαν, ἀπεκάλυψεν ὁ Θεὸς τὰ ἐν ἀποῤῥήτῳ τῆς διανοίας τυγχάνοντα.

Τουτέστιν ὡς ἀπογνῶντες ἅπαντα διαπράττονται, μικρὰ φροντίζοντες τῆς ἀπειληθείσης τιμωρίας.

v. 3. Ἐπειδὴ γὰρ ᾔτουν μὲν ἐκεῖνοι ἀπόκρισιν τὸν προφήτην, πανταχοῦ δὲ ὁ δίκαιος ἀναμένων τοῦ Θεοῦ τὴν ἀποκάλυψιν, τὴν πρὸς τὸ πλῆθος ἐποιεῖτο διάλεξιν, ἀναγκαίως ἐν ἀποῤῥήτῳ τῆς διανοίας τῷ προφήτῃ γνωρίζει καὶ τὴν ἐκείνων γνώμην.

v. 9. cod. f. 203. b. Ἀλλ' οὐκ ἔστιν ἴδιον τοῦ δικαίου κριτοῦ καὶ πλανᾷν τὸν προφήτην, καὶ πλανηθέντα κολάζειν. Οὐ τοίνυν κατ' ἐνέργειαν λέγει τὸν προφήτην πλανᾷν, ἀλλὰ κατὰ συγχώρησιν.—Οὐ μάτην φησὶ ταύτην ἐπεῖνοις ἐξάξω τὴν τιμωρίαν, ἀλλὰ διὰ τοῦ ἐκείνων ὀλέθρου εὐεργετῶν, καὶ τῆς ἐκείνων εὐσεβείας ἐλευθερῶν· βούλομαι γὰρ αὐτὸν ἔχειν λαὸν, καὶ εἶναι αὐτῶν θέλω Θεὸς, πᾶσαν αὐτῶν κηδεμονίαν ποιούμενος.—Τὴν ἴσην τιμωρίαν ἀπειλεῖ καὶ τῷ κακῶς ἐρωτῶντι, καὶ τῷ κακῶς ἀποκρινομένῳ.

v. 20. cod. f. 203. b. Ἐὰν ἁμαρτῆσαν ἔθνος κολάσει βουληθῶ καὶ λιμῷ παραδοῦναι, μετανοίᾳ δὲ χρήσασθαι μὴ βουληθῶσιν οἱ κολαζόμενοι, οὐδεμιᾶς τεύξονται συγγνώμης, οὐδὲ εἰ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ εὑρεθείη ἐν αὐτοῖς· ἀλλ' οὗτοι μὲν τῆς οἰκείας δικαιοσύνης τρυγήσωσι τοὺς καρποὺς, καὶ τῆς σωτηρίας ἀπολαύσονται, ἐκείνους δὲ τῆς ἐπαγομένης οὐκ ἀπαλλάξωσι τιμωρίας.

Τούτων δὲ τῶν ἀνδρῶν ἐμνημόνευσε Νῶε, τοῖς εἰρημένοις τῶν κατὰ τοὺς χρόνους αὐτῶν γενομένων λίαν συμβαινόντων· ὅ τε γὰρ Νῶε ἐν ἀσεβῶν εὑρεθεὶς γενεᾷ, οὐκ ἴσχυσε τῆς τοῦ κατακλυσμοῦ πανωλεθρίας, ἀπαλλάξαι τοὺς μετανοίᾳ χρήσασθαι μὴ βουληθέντας· καὶ ὁ Δανιὴλ ὡσαύτως κατὰ τὸν τῆς αἰχμαλωσίας γενόμενος καιρὸν, τοὺς μὲν ἄλλους διὰ τὴν πολλὴν ἀσέβειαν οὐκ ἐλευθέρωσε τῶν ἐπενεχθέντων κακῶν· αὐτὸς δὲ καὶ δορυάλωτος γενόμενος τῶν πολεμίων ἐκράτησεν καὶ τοὺς ἀνδραποδήσαντας ἔλαβεν ὑπηκόους· οὐδὲ οἱ τοῦ Ἰὼβ δὲ παῖδες τῆς τοῦ πατρὸς δικαιοσύνης ἀπώναντο· μόνος δὲ κρείττων τῆς τοῦ πολεμήσαντος ἐπιβουλῆς ἀπεφάνθη.—Νῶε γὰρ πειθομένους ἔσχε τοὺς τῆς οἰκίας ἅπαντας· καὶ Ἰὼβ προσελθόντων τῶν φίλων, τὴν ὑπὲρ αὐτῶν ἐποιήσατο ἱκεσίαν· καὶ Δανιὴλ ὑπὲρ αἰσθομένων τοῦ πταίσματος ἐποιεῖτο τὴν πρεσβείαν· ἐπειδὴ τοίνυν καὶ ἐνταῦθα ὁ προφήτης περὶ τοῦ λαοῦ ἱκέτευεν, βουλόμενος αὐτὸν παραμυθήσασθαι ὑπὲρ ὧν οὐ προσδεκτέα γίνεται αὐτοῦ ἡ προσευχὴ, δείκνυσιν μὲν αὐτῷ τὸ ἀμετάβλητον τῆς γνώμης τοῦ λαοῦ· ἄγει δὲ εἰς παράδειγμα τοῦ γιγνομένου ἄνδρας ἁγίους καὶ ἐναρέτους, τὸν Νῶε, τὸν Ἰὼβ, τὸν Δανιήλ.

Οὐκ ἐπειδὴ πάντες εἰς τὸ χεῖρον ἐξέκλιναν, cod. f. 204. a.
καὶ τοὺς ἀναιτίους ὑπάγω τῇ δίκῃ· οὕτω γοῦν εἰ καὶ οἱ δίκαιοι εἰς ἀποικίαν ἀπῆλθον, ὡς οἱ περὶ τὸν Δανιὴλ, καὶ Ἐζεκιὴλ, καὶ Ἱερεμίαν· ἀλλ' οὖν οὐδὲ ἐβλάβησαν ἀπὸ τῆς ἀποικίας· ἐπιφανέστεροι γοῦν ἐκεῖ γεγόνασιν.

Θεοδωρίτου καὶ Πολυχρονίου. Θάνατον δὲ καλεῖ τὴν αἰφνίδιον τελευτήν· ῥομφαίαν δὲ τὴν σφαγήν· λιμὸν δηλονότι τὴν ἔνδειαν· θηρία πονηρὰ, τοὺς ὠμῶς ἐξανδραποδήσαντας.

Γνοὺς αὐτῶν τὸ ἀμετάβλητον τοῦ τρόπου, πα- v. 23.
ραδείγματι λοιπὸν βούλεται δεῖξαι καὶ τὴν αὐτοῦ περὶ τὸ πλῆθος κηδεμονίαν, κἀκείνων κατὰ σύγκρισιν τῶν περιοίκων περιφανεστέραν τὴν περὶ τὸ κακὸν ἐπιμέλειαν.

CAP. XV.

Ξύλα δὲ δρυμοῦ λέγει τὰ ἄγρια, οἷον κυπά- v. 2.

ρισσον, κέδρον, πίτυν, καὶ ὅσα τοιαῦτα· τὰ μὲν γὰρ πρός τε οἰκοδομὴν, καὶ ἐν ἑτέροις πλείοσιν ἐστὶν ἐπιτήδεια, ἡ δὲ πρὸς τὸ καρποφορεῖν μόνον· ὅπερ εἰ μὴ προσείη, παντάπασιν ἄχρηστος εἰς ἐργασίαν καθέστηκεν· ἵνα εἴπῃ, τοῖς μὲν ἔθνεσιν ὕπεστιν ἐλπὶς σωτηρίας, διδασκάλων ἐπιστασία, προφητῶν λόγοι, ἀποστόλων κήρυγμα, οἰκονομία ἡ διὰ τοῦ Χριστοῦ, τὰ ἐσόμενα θαύματα· τούτοις δὲ οὐδὲν τούτων ἐνέλειψε· καὶ γὰρ καὶ προφῆται καὶ πατριάρχαι, καὶ παραδόξων μεγαλουργία, καὶ τῶν δεδομένων ἀγαθῶν τύποι, καὶ εἰκόνες, καὶ προῤῥήσεις· οὐ μὴν σωφρονέστεροι κατέστησαν τὸν τρόπον.—Τουτέστι, τί λέγω; εἰς τί τῶν ἀναγκαίων οὐκ ἐπιτήδειον τὸ φυτόν; ἀλλ' οὐδὲ εἰς τὴν τυχοῦσαν χρείαν· ἵνα εἴπῃ ὅτι οὔτε ἄλλοις εἰσὶ χρήσιμοι, ὅπερ ὤφειλον, ἐκ τοῦ νόμου παιδευόμενοι· ἀλλ' οὐδ' ἑαυταῖς ἐπιτήδειοι γεγόνασι.—Ἡ γὰρ πρὸς καρποφορίαν λοιπὸν ἄχρηστος, εἰς οὐδὲν ἕτερον ἢ εἰς καῦσιν ταῖς γεωργοῖς ἔγκειται.

CAP XVI.

v. 3. cod. f. 204. b. Οὕτω πλήξας αὐτοὺς τῇ τοῦ Χαναὰν δυσγενείᾳ, κατὰ μέρος καὶ τὴν αὐτῶν παρανομίαν, καὶ τὴν ἰδίαν διηγεῖται εὐεργεσίαν.—Οὐ διὰ τὴν τοῦ τρόπου μόνον ὁμοιότητα, ἀλλὰ διὰ τὸ τοῦ χρόνου ἀρχαῖον.—Τουτέστιν ἔτι τὴν αἶνον τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.

v. 4. Τοῦτο ἐκ μεταφορᾶς τῶν βρεφῶν, τῶν μετὰ τὸν τόκον λουομένων καὶ ἀπονιπτομένων καὶ τοῦ μητρῴου αἵματος ἀπαλλαττομένων· σὺ, φησὶ, τούτων οὐκ ἀπηλλάγης, ἀλλ' ἔτι καὶ σήμερον φέρεις τῆς μητρῴας νηδύος τὰ σημεῖα.—Οὐκ ἐδέξω, φησὶ, τὰ τῆς διδασκαλίας, οὐδὲ τὰ προσενεχθέντα σοι διὰ τοῦ νόμου σπάργανα· ἵνα εἴ τι ἂν τῶν μελῶν ἐν ταῖς ὠδῖσι σου εὐθέως παρατραπῇ διευθύνηται, τὸ προσῆκον ἀπολαμβάνει σχῆμα.—Βούλεται οὖν εἰπεῖν, φησὶν, ὅτι ἐν πολλῇ ἐτύγχανες ταλαιπωρίᾳ, ὡς μηδὲ ζῆν δύνασθαι, ἵνα καὶ τὰ νενομισμένα ἐπὶ τοῖς τικτομένοις ἐπὶ σοὶ γίνηται.

v. 6. Ἔκδηλον ὡς αἰνίττεται κατ' ἐκεῖνον καιροῦ καταλιπεῖν Ἑβραίους τὸν Θεὸν ἐν ταῖς συμφοραῖς.— Ἵνα εἴπῃ, προσέταξα, καὶ ἐξ ὀλίγων v. 7. πλείους γεγόνατε· καὶ ταῦτα τῆς κακουχίας κωλυούσης τὴν πολυγονίαν, καὶ τοῦ νόμου ἀναιροῦντος τὰ τικτόμενα.—Οὐ μόνον, φησὶν, ἐσῶσα, ἀλλὰ καὶ εἰς πλῆθος ἐπιδοῦναι, δίκην τῶν ἀπὸ γῆς βλαστημάτων.

Ἵνα τὴν περιουσίαν δείξῃ τοῦ πλούτου, ὃ ἐπὶ v. 10. τῶν βασιλίδων μάλιστα γίνεσθαι φιλεῖ.—Ἀντὶ τοῦ, ἀπήλλαξά σε τοῦ φόβου τοῦ ἐπηρ- cod. f. 204. b τημένου ἐκ τοῦ νόμου τοῦ Φαραώ· καὶ δι' ὅλου σχηματίζει τὸν λόγον ὡς ἐπὶ ἀνδρὸς γυναῖκα καλλωπίζοντος.

Ἄλλο τι εἶδος περὶ τὴν κεφαλὴν τιθεμένον, cod. f. 205. a. πολύτιμον μὲν ὂν, ἔχον δὲ διήκοντα μαργαρίτην μέχρι τοῦ μυκτῆρος.—Ἵνα εἴπῃ βασιλίδι πρέπουσαν τιμὴν δέδωκα, ὥστε παρὰ πάντων θαυμάζεσθαι.

Τὸν γυναικεῖον κόσμον.—Ἐκεῖνα μὲν οὖν ἐπὶ v. 13. κατασκευῇ τῶν εἰδώλων εἰργάζου, ταῦτα δὲ ἐπὶ θεραπείᾳ τῶν γινομένων· οὐ νομιζομένη ὡς πολλῷ γε ἀμείνων ὁ πεποιηκὼς τοῦ ποιηθέντος.

Ἀποτροπιασμὸς λέγεται ἡ ἐπὶ τῷ μή τι κα- v. 21. κὸν γενέσθαι θυσία τελουμένη· ὅπερ ὁ νόμος ἀποπομπαῖον ἐκάλεσε, κελεύσας τὸν τράγον ὡς ἀποτάτω ἀπαγόμενον ἀφίεσθαι κατὰ τὴν ἔρημον.

Ἔκθεμα δὲ λέγει, οἷον τὲ προαγώγιον, ἔν- v. 24. cod. f. 205. b. θα τὰς πόρνας τρέφειν εἰώθασι.—Ὅτι πάντων τῶν ἐθνῶν τὴν ἀσέβειαν ἐμιμήσαντο· τὸ γὰρ ἐν ἀρχῇ πάσης ὁδοῦ, ἵνα εἴπῃ κατὰ τὰς ὁδοὺς τὰς ἐπαγούσας ἐπὶ τὰ ἔθνη· ὥστε ἀπὸ τόπου τοὺς ἐνοικοῦντας σημᾶναι.—Τουτέστι, διέφθειράς σου τὴν εὐπρέπειαν, καὶ τὸν κόσμον ἀπώσω, τοῖς εἰδώλοις προθεῖσα.—Ἐχρήσατο μὲν οὖν ἔτι τῇ τῆς πόρνης μεταφορᾷ· βούλεται δὲ εἰπεῖν ὅτι εὔκολος πρὸς ἀπάτην ἐγίνου.

Τοῦ ναοῦ τὸν κόσμον, τῆς βασιλείας τὴν v. 36. cod. f. 206. a. κατάστασιν, τὰ λοιπὰ οἷς εἴωθε πόλις φαιδρύνεσθαι—Γυμνὴν μὲν διὰ τὸ μὴ ἔχειν τὴν ἄνωθεν ῥοπήν· ἀσχημονοῦσαν δὲ, διὰ τὸ ἐπὶ τοῖς εἰδώλοις πεποιθέναι.

Οὐ τοῦτο δὲ λέγει, ὅτι μετὰ τὸ λιθοβοληθῆ- v. 40 ναι κατασφάττει, ἐπεὶ μὴ δυνατὸν ἦν, ἀλλὰ τοῦ μὲν νόμου ἐμνημόνευσε τοῦ λίθοις βάλλεσθαι

ὑπὸ πάντων τὰς μοιχαλίδας παρακελευομένου, ἵνα παραστῆσαι τὸ δίκαιον.

v. 44. Ἁρμόττει σοι, φησὶν, ἡ περιφερομένη παροιμία, ὅτι τῇ μητρὶ ἔοικεν ἡ θυγάτηρ· μητέρα δὲ αὐτῆς ἄνω τὴν χετταίαν ὠνόμασεν.—Ἄνδρα δὲ αὐτῆς λέγει τὸν βασιλέα· τέκνα δὲ τῆς πόλεως τὸ πλῆθος.—Αἰνιττόμενος τὰς ι' φυλάς· εἰ γὰρ καὶ Χαναναίους, φησὶ, καὶ τὰ λοιπὰ ἔθνη ἀγνοεῖν σχηματίσῃ, οὐδεμίαν σοι ἀπολογίαν παρέξει τὰ ταῖς ι' φυλαῖς συμβαίνοντα· ἐπεὶ μηδὲ ἀρχαῖα, ἀλλ' ἐφ' ὑμῶν αὐτῶν τὰ κατ' αὐτοὺς γεγένηται.

v. 48. Σημειωτέον ὡς οὐκ ἐπὶ τῆς τιμωρίας ὤμωσεν· ἀνέμενε γὰρ τὴν μετάνοιαν, ἀλλ' ἐπὶ τῶν ἐλέγχων· ἦν γὰρ ὁμολογούμενον ἀπὸ τῶν ἔργων.

cod. f. 206. b. Εἰ καὶ ἐτιμωρησάμην αὐτοὺς, οὐ καταλείψω τέλεον ἐν ταῖς συμφοραῖς· λέγει δὲ τὰς πέραν τοῦ Ἰορδάνου φυλὰς, ὡς εἴρηται.—Τουτέστιν ἐπανάξω καὶ σὲ μετ' αὐτῶν· τὸ δὲ ἐν μέσῳ αὐτῶν, ἐμφαίνειν, οἶμαι τὸ τὴν οἰκείαν ἀξίαν τὴν βασιλικὴν ἕξειν φυλήν.—Ταῦτα δέ, φησιν, ἔσται μετὰ τὸ δοῦναι σε τιμωρίαν τῶν πλημμελημάτων, ἐπειδήπερ ταῖς συμβουλαῖς πεισθῆναι οὐκ ἐβουλήθης.—Σαφῶς γὰρ διὰ τούτων ταῖς δύο ἡμισειφυλαῖς ἐπισυνάπτει τὰς λοιπάς.—Ὅπερ γὰρ πολλαχοῦ ποιεῖ, πάντων ὁμοῦ τὴν ἐπάνοδον προλέγων· τοῦτο καὶ ἐνταῦθα ὑπισχνεῖται.

v. 49. —Εἰ μὴ ἐμεμαθήκεις, φησὶ, τῶν Σοδόμων τὴν τιμωρίαν, καὶ περιεφέρετο ἐν τῷ στόματί σου ἡ ἐκείνων πανολεθρία, ὃν τρόπον νῦν ἡ σὴ πολιορκία ἐν ταῖς τῆς Συρίας καὶ Παλαιστίνης πόλεσι· τί γὰρ πλέον ἂν εἰργάσω κακόν; οὐδὲ γὰρ τὸ ἐκείνων ὤνησέν σε παράδειγμα, ἀλλ' εἰδυῖα τά τε ὑπ' αὐτῶν τολμηθέντα, τά τε ἐπενεχθέντα αὐτοῖς κακὰ, οὐδὲν ἧττον ἐπέμεινας παρανομοῦσα.

v. 57. Ἐπειδὴ τοίνυν, φησὶν, οὐκ ἔλαττον ἐκείνων, ἀλλὰ καὶ μεῖζον εἰς ἀσέβειαν πεφόρασαι, δέξαι τῶν σῶν ἔργων τὴν ἐπικαρπίαν.

v. 61. Τουτέστι τῇ ἐμῇ φιλανθρωπίᾳ ἐργάσομαι ταῦτα.—Ταῦτα δέ, φησι, τοῦτον ἐργάσομαι τὸν τρόπον, ἵνα ἐκ παραλλήλου λογιζομένη, ὡς ἀσεβοῦσα μὲν ἀτίμως τε τῆς ἐνεγκούσης μετανέστης, καὶ εἰς ἐσχάτην ἐκ τῶν συμφορῶν περιπέπτωκας αἰσχύνην· νεύσασα δὲ πρὸς ἀρετὴν, ἀπηλλάγης μὲν τῶν δυσχερῶν, ἀπείληφας δὲ τὸ οἰκεῖον ἀξίωμα.—Τουτέστι παρέξω σοι ὥστε αὔξησιν τῶν ἀγαθῶν λαμβάνειν, οὐκ ἐκ τῆς σῆς ἀγνωμοσύνης, ἀλλ' ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας.

CAP. XVII.

Πρόθεσιν ἔχει, φησὶ, κρατῆσαι τῶν Ἱεροσολύμων. Λίβανον γὰρ καλεῖ τῆς γῆς τὴν ἐπαγγελίαν, ἐπειδὴ μέχρι τῶν τόπων ἐκτείνεται ὁ Λίβανος.—Ἤδη γάρ, φησιν, ἐπιβὰς τῶν Ἱεροσολύμων, πᾶν εἴ τι λαμπρὸν κατὰ τὴν πόλιν ἐτύγχανε, τοῦτο λαβὼν ᾤχετο· ἡνίκα καὶ τὸν Ἰωακεὶμ ἀνελὼν, ἄταφον ἔῤῥιψε πρὸ τῶν τειχῶν, ὡς μαρτυρεῖ Ἱερεμίας, καὶ Δανιὴλ ἐπισημαίνεται· ἐκλεκτὰ δὲ καλεῖ τῶν κειμηλίων τὸν κόσμον· κέδρον δὲ αὐτὸν τὸν βασιλέα, ἅτε τῶν ἁπάντων κρατοῦντα. v. 3. cod. f. 207. a.

Ἵνα εἴπῃ ὅτι οὐ τοῦτον μόνον ἀπέκτεινεν, ἀλ- v. 4.
λὰ καὶ τὸν παῖδα τούτου αἰχμάλωτον ἔλαβεν· ἄκρον γὰρ ἁπαλότητος αὐτῆς ἔφη τῆς κέδρου, ἵνα εἴπῃ αὐτοῦ τοῦ βασιλέως· λέγει δὲ τὸν Ἰεχονίαν· οὗτος γὰρ μετὰ τὸν θάνατον τοῦ Ἰωακεὶμ κατέσχεν, οὐκ ἀπὸ τοῦ Βαβυλωνίου ἀποδειχθεὶς, ἀλλ' ὡς ἐξ ἀκολουθίας λαβὼν τὴν βασιλείαν· οὐ μὴν ἐπὶ πλεῖστον ἐκράτησεν, ἀλλὰ τοῦτον μεταστήσας ἐχειροτόνησεν τὸν Σεδεκίαν· τὸ οὖν ἀπέκνισεν, ἀντὶ τοῦ ἀπέτεμεν, ἐπειδὴ μὴ κατὰ τὴν προτέραν ἀκολουθίαν ὡς παῖδα τοῦ Ἰεχονίου κατέστησε βασιλέα, ἀλλὰ τὸν τοῦ πατρὸς ἀδελφόν· θεῖος γὰρ ἦν τοῦ Ἰεχονίου ὁ Σεδεκίας.—Τουτέστιν μετέστησεν αὐτὸν ὥστε εἶναι ἐν ἀσφαλείᾳ· φαίνεται γὰρ ἐν δεσμοῖς τὸν ἅπαντα βίον τοῦ Ναβουχοδονόσορ διανοίσας.—Δίκην, φησὶ, φυτοῦ ἀρδευομένου ἠβούλετο αὐτὸν θάλλειν, καὶ τῆς περὶ αὐτὸν κομᾶν, ἵνα τετραμμένα ὦσιν οἱ κλάδοι αὐτοῦ πρὸς αὐτόν.—Μόνον γὰρ τοῦτο ἀπῄτησεν αὐτὸν, πρὸς αὐτὸν βλέπειν καὶ ἐπιγινώσκειν τὸν εὐεργέτην.—Ὥστε γνώριμον εἶναι πᾶσιν ὡς παρ' αὐτοῦ τὴν ἐξουσίαν λαβὼν ἔχει.—Τουτέστιν πλέον τοῦ δέοντος ἐπεκτεῖναι τὴν ἀρχὴν ἠβουλήθη.—Τουτέστιν ὑπερέβη τοὺς ὅρους πρὸς Αἰγυπτίους χωρήσας.—Ὡς

ἔχοντα ὑπηκόους πλείονας, οὐ μὴν προσέθηκε
καὶ μακρὸς τῇ ἐκστάσει ὡς ἐπὶ τοῦ Βαβυλωνίου·
ἐπειδὴ μὴ τοσαύτην τὴν ἀρχὴν ἔσχεν ὅσην
ἐκεῖνος.

cod. f. 207. a. Τουτέστι παρέξω, ὥστε αἰνιγματωδῶς ποιή-
σασθαι αὐτῷ τὴν προφητείαν διακελεύεται, ἵν'
ἀγνοοῦντες οἱ ἀκούοντες τὰ λεγόμενα, σπουδαιό-
τεροι περὶ τὴν τούτων γένωνται ζήτησιν, καὶ
δι' ἐρωτήσεως παρὰ τοῦ προφήτου δέξωνται τὴν
ἑρμηνείαν.—Ἵνα μὴ τραχύτεροι γενόμενοι πρὸς
τὴν ἀκρόασιν, ἀποπηδήσωσι τῆς διδασκαλίας.

Τουτέστιν τοὺς ὀφειλομένους φόρους τῷ Να-
βουχοδονόσορ, ἀπέστειλε τῷ αἰγυπτίῳ.

Τουτέστιν ἀνάγγειλον τὴν ἐμὴν ἀπόφασιν.—
v. 9. Ῥίζαν ἁπαλότητος νῦν λέγει τῆς βασιλείας τὸ
γένος, αἰνιττόμενος ὡς οὐκέτι κατὰ τοὺς προλα-
βόντας εἰς ἑτέρους παρεπέμψει τὴν ἀρχήν.—
Τουτέστιν ἀπωλεῖται ἐξουσία, δασμῶν τε εἰσ-
φοραὶ, ἡ λοιπὴ τῆς βασιλείας φαντασία.—Τουτ-
έστιν οὐδεὶς τοῦ γένους ἄρξῃ· εἰ γὰρ καὶ μετὰ
τὴν ἐπάνοδον τοῦ γένους ἐφυλάχθη ἡ τιμὴ, διὰ
τὴν τοῦ θεοῦ ἐπαγγελίαν, ἀλλ' οὖν τὸ τηνι-
καῦτα τέως ἡ βασιλικὴ κατάστασις παρὰ Ἰου-
δαίοις ἐπαύσατο.—Ἵνα εἴπῃ τὸ Ἰουδαίων ἔθνος
ὑποτάξαι ἐβουλήθη τῷ αἰγυπτίῳ.

v. 13. Cod. f. 207. b. Πεποίηκεν ἑαυτὸν τῆς χώρας, φησὶν, ἄρ-
χοντα, συνθήκας μετ' αὐτοῦ θέμενος· ἄρα γὰρ
v. 15. τὰς συνθήκας, καὶ τὸν ὅρκον φησί.—Ἀντὶ τοῦ,
ἀποστὰς τοῦ Βαβυλωνίου, προσεκλήθη τῷ αἰ-
γυπτίῳ.—Ἀλλ' οὐ κατευθυνθήσεται ὁ ποιῶν
ἁμαρτίαν· ἀλλ' οἱ παραβαίνοντες, φησὶ, τοὺς
v. 17. ὅρκους τῆς διαθήκης, οὐ σωθήσονται.—Ἵνα δεί-
ξῃ ὅτι αὐτὸς ἦν ὁ συμμαχῶν τῷ Βαβυλωνίῳ
φησίν· ὡς Φαραὼ πολεμήσει τῷ Βαβυλονίῳ οὐκ
ἔχοντι ὄχλον πολύν· ἀλλὰ καὶ οὕτως αὐτοῦ δια-
κειμένου, τουτέστι μετ' ὀλίγων ὄντος, εὑρεθή-
σεται πολὺ αὐτοῦ ἀσθενέστερος αἰγύπτιος· ὡς
πολιορκῆσαι αὐτὸν Βαβυλώνιον χάρακα βαλλόμε-
νον, καὶ βελοστάσεις οἰκοδομοῦντα· πολὺ δὲ ἐπι-
κρατέστεροι οἱ πολιορκοῦντες τῶν πολιορκουμένων.
ὡς ἐπὶ δικαστηρίου ἔφη, ἵνα τὸ εὔλογον τῆς ἀπο-
φάσεως σημαίνῃ.—Τουτέστιν δίκας αὐτὸν εἰσ-
πράξομαι ὑπὲρ ἁπάντων τῶν ὑπὲρ ὧν ἀποφεύγων
τὴν φυλακὴν τῶν ἐμῶν νομίμων, ἐξεκυλίετο εἰς
ἁμαρτήματα.

Κέδρον καλεῖ τὸ βασιλικὸν γένος· ἐπίλεκτον v. 22.
δὲ ἔφη ἐξειλεγμένον παρὰ θεῷ παρὰ πάντας τοὺς
τῆς φυλῆς· τὸ δὲ ἐκ κορυφῆς, ἵνα εἴπῃ ἐκ τῶν
δεδοκιμασμένων ἐν ἀρετῇ.—Τὸ ἀπὸ κεφαλῆς ἀντὶ cod. f. 208. a.
τοῦ ἀπὸ τῆς ἀρχῆς· τὸ δὲ παραφυάδων, ἵνα
εἴπῃ τοῦ γένους τὸ ἀπὸ καρδίας, ἀντὶ τοῦ τὸ
δόκιμον, ἀπὸ τοῦ πᾶσαν τὴν ἰσχὺν τοῦ κέδρου
ἐν τῷ βάθει κεῖσθαι.—Τὸ δὲ ἀποκνείω ἀντὶ τοῦ
λήψομαι· ἵνα εἴπῃ ὅτι οὐκ ἔκ τινος ἀκολουθίας
ἔσται ὑμῖν τὰ χρηστὰ, ἀλλ' ἀπὸ τῆς ἐμῆς δυ-
νάμεως.—Τουτέστιν ἐν περιφανείᾳ αὐτὸν κατα-
στήσω.—Τουτέστι πάντων ὑψηλότερον ἐργάσομαι·
τῷ δὲ μετεώρῳ, ἀντὶ τοῦ πᾶσιν εἶναι γνώριμον.—
Ἀντὶ τοῦ κατὰ διαδοχὴν ἔσονται ἐπίδοξοι, ὡς
οὐκέτι διατμηθησομένου τοῦ γένους.—Τουτέστι
κατορθώσει πολλά· λέγει δὲ τὰ περὶ τοῦ Ζορο-
βάβελ· καὶ γὰρ ἐπίδοξος ἀνὴρ γεγένηται τῇ θεοῦ
βοηθείᾳ.—Τουτέστιν οὐ κατὰ τοὺς νῦν βασι-
λέας φανεῖται, μόνον ἔχων τοῦ βασιλέως τὸ ἀξίω-
μα, ἀλλὰ περίβλεπτος αὐτοῦ ἔσται ἡ ἐξουσία.—
Ἵνα εἴπῃ, πολλοὶ τῆς αὐτοῦ δεηθήσονται προ-
στασίας· ὄρνεα γὰρ καλεῖ τοὺς πρακτικοὺς, πε-
τεινὰ δὲ τοὺς κατὰ πόλεμον ὀξεῖς· κλάδους δὲ
τοὺς ὑπηκόους, εἴτουν τὸ βασιλικὸν γένος· σκιὰν
δὲ τὴν κατὰ τῶν ὑπηκόων ἐξουσίαν· τὸ δὲ ἀνα-
παύσονται, ἀντὶ τοῦ ἡσθήσονται αὐτοῦ τῇ ἀρ-
χῇ· ἵνα εἴπῃ οὐδεὶς ἔσται πρὸς αὐτὸν διαστα-
σιάζων.—Ἀντὶ τοῦ ἐν προτέρᾳ ἔσται καταστά-
σει, ἔχων τοὺς ὑπηκόους μετὰ ἀσφαλείας αὐτῷ
δουλεύοντας.—Τουτέστι τοὺς ἐνισχύοντας, καὶ
πάντων τὴν ἀφθονίαν ἔχοντας· τούτους ἀφαιρού-
μενος τῶν προσόντων.

CAP. XVIII.

Οὐχ ἁπλῶς δὲ τὴν ἐν ὄρεσι βρῶσιν κωλύει, v. 6. cod. f. 208. a.
ἀλλὰ τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐκκόπ-
των.

Συντόμως δὲ, φησι, λέγω· οὗτος φανεῖται
δίκαιος, ὃς οὐκ ἐμιμήσατο τῶν προγόνων τὴν
παρανομίαν· καλῶς δὲ τὰ ἐνθυμήματα, ἵνα δεί-
ξῃ παρ' αὐτῶν νοηθέντα.

v. 7. cod. f. 208. b. Αὐτὸς ἑαυτοῦ τῆς τιμωρίας καὶ τοῦ θανάτου ἔνοχος εὑρέθη.

v. 10. Πάλιν ἐκ τοῦ ἐναντίου κατασκευάζει ἀνελεῖν παντελῶς τὴν παραβολὴν ἐκείνην βουλόμενος· φησὶν οὖν, ὡς ὁ λοιμὸς ἄνθρωπος ποιήσας παῖδα χρηστὸν, οὐ δι' αὐτὸ τὸ εἶναι αὐτοῦ πατὴρ αἴτιος αὐτῷ γενήσεται τιμωρίας εἰ δικαιοπραγῇ, ἀλλ' ἀθῷος μενεῖ, εἰ καὶ προγόνους ἔσχε πονηροτάτους· οὐκοῦν ὑμεῖς τιμωρεῖσθε, φησὶ, οὐχ ὅτι προγόνους ἔσχετε πονηροὺς, ἀλλ' ὅτι μιμηταὶ τῶν προγονικῶν γεγόνατε κακῶν.—Ἵνα δείξῃ ὅτι ἐκ πολλῆς σπουδῆς αὐτοῖς ἐπράττετο τὸ κακόν.

Ἐπερωτήσετέ, φησι, διά τι διῆκε εἰς τοὺς παῖδας ἡ τιμωρία τοῦ πονηροῦ πνεύματος; ἀκούσεσθε ὅτι οὐκ ἐμιμήσατο τὴν πονηρίαν ἐκείνου.—Οὕτω φησὶ δικαίως ὁρίζω πρὸς τὰς ἑκάστου πράξεις, ὡς καὶ τοῖς ἁμαρτάνουσι πολλὰ, καὶ μετανοοῦσιν ἐξ ὅλης καρδίας, συγγνώμην νεῖμαι· καὶ τοῖς δικαιοπραγήσασί ποτε, εἶτα μεταβαλλομένοις, καὶ ἀνίατα ἁμαρτάνουσι, τὰς τιμωρίας ἐπάγειν· οὔτε γὰρ χρὴ πρὸς ὀλίγον εἶναι χρηστοὺς, εἶτα πονηρούς· δοκοῦμεν γὰρ καὶ τὸν ἔμπροσθεν χρόνον οὐκ ἐπιμελείᾳ καὶ πόθῳ τῷ περὶ τὸ καλὸν αὐτὸ κατεργάζεσθαι, ἀλλ' ἁπλῶς ἔθει φερόμενον. Καὶ μετ' ὀλίγα. Μὴ ταραττέτω ἡμᾶς τὸ λέγειν, παραπτώματι αὐτοῦ· τὸ γὰρ παράπτωμα ἐπὶ τῆς ἐμμόνου μεταβολῆς τέθηκε, καὶ τῆς ἀμεταβλήτου περὶ τὸ καλὸν ἕξεως.

v. 11. cod. f. 209. a. Κατ' ἐρώτησιν ἀναγνωστέον. Ὁδὸν μὲν οὖν λέγει τὴν πρᾶξιν· ὡς τό· οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν· βούλεται δὲ εἰπεῖν, μὴ ἄρα τὰ παρ' ἐμοῦ γινόμενα οὐκ ἐπαινετά; ἢ τὰ ὑμέτερα, κατηγορίας ἄξια;—Ἐγὼ γάρ, φησι, τὸν εὐσεβείας ἐπιμελόμενον, εἶτα ῥεύσαντα ἐπὶ τὸ χεῖρον ἐξετάζων, τῶν ἁμαρτημάτων ἀπαιτῶ τὴν δίκην· λαμβάνει δὲ ἐνταῦθα τὸν ἀμετάβλητα πταίοντα· τοῦτο γὰρ σημαίνει τὸ καὶ ἐναποθανεῖται ἐν αὐτῷ, ἀντὶ τοῦ διὰ παντὸς τοῦ βίου.—Αὐτὰ γὰρ βοᾷ τὰ πράγματα ὅτι αἱ μὲν κρίσεις ὀρθαὶ καὶ δίκαιαι, ἡ δὲ ὑμέτερα προαίρεσις παρανομίας ἔσται μεστή.—Τουτέστι ἐὰν ἔσω αὐτοῦ τοῦ ναοῦ ἐστήσατε τὰ εἴδωλα, καὶ ἂν ἐμολύνατε τὰ ἅγιά μου, καὶ ἐξυβρίσατε εἰς τὸν νόμον· νῦν οὖν μεταγνῶτε, ἄλλην διάνοιαν ἐπὶ τοῖς προτέροις λαβόντες.—Ὥσπερ ἤδη παλαιωθέντων ἐπὶ τοῖς ἁμαρτήμασιν.

CAP. XIX.

Ἀντὶ τοῦ, μήνυσον αὐτῷ τῶν συμφορῶν τὸ v. 1. cod. f. 209. a.
μέγεθος.—Ἀντὶ τοῦ, τὸ βασιλέως ἔσχεν ἀξίωμα.—Τουτέστι τὸν περὶ αὐτοῦ ἐδέξαντο λόγον, ὡς περιφανοῦς δηλονότι.—Τουτέστιν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν γενόμενος προέκειτο πρὸς τὸ παθεῖν καὶ διαφθαρῆναι· λέγει δὲ τὸν Ἰωάχας.—
Ὡς ἐπὶ ἀλόγου, αὐτὸν δὲ τὸν Ἰωάχας φησίν· v. 2.
ἐλθὼν γὰρ ὁ αἰγύπτιος, καὶ δήσας αὐτὸν ἄποικον εἰς αἰγυπτίους ἔλαβε.—Τὸ δὲ ἀπώλετο ἡ ὑπόστασις αὐτῆς τὸ τὸν Ἰωακεὶμ, τὸν ὑπὸ τοῦ αἰγυπτίου καταστάντα ἁλῶναι ὑπὸ τοῦ Βαβυλωνίου.—Ἀντὶ τοῦ ἕτερον ἔταξε βασιλέα· λέγει δὲ τὸν Ἰεχονίαν.—Καὶ πάλιν αὐτὸς, φησι, τῷ αὐτῷ φρονήματι ἐκέχρητο.—Τουτέστι κατὰ τῶν ὁμοφύλων ἐπήρετο.—Ἵνα εἴπῃ καὶ μικροὺς καὶ μεγάλους ἀδικῶν διετέλει, ἀπὸ τῆς ἀπειλῆς τῆς βασιλικῆς.

Ἵνα εἴπῃ τοὺς ὑποτεταγμένους τῷ Βαβυλω- v. 8. cod. f. 209. b.
νίῳ.—Τοῖς ὑποτεταγμένοις, φησὶν, ὑπέστρεψε πολιορκεῖν.—Ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ γενόμενος, προέκειτο εἰς τὸ παθεῖν.—Ἵνα τὴν ἐσχάτην εὐτέλειαν παραστήσῃ, ὅτι οὐχ ὡς λέοντα συνέλαβεν, ἀλλ' ὥς τι τῶν εὐτελεστάτων.—Καλῶς δὲ τὸ ἐν κημῷ προσηγόρευσεν, ἵνα τὴν εὐτέλειαν παραστήσῃ· ἡνίκα γὰρ τὸ φρόνημα παραστῆσαι ἐβούλετο, λέοντι παρείκασεν· ὅτε δὲ τὴν συμφορὰν παρέστησεν, εὐτελεῖ παραδείγματι ἔδειξε τοῦ κρατοῦντος τὴν ταλαιπωρίαν—Οὐ γὰρ ἀνδρεῖος ἀνηρέθη, ἀλλ' ὡς εὐτελὴς δέσμιος ἤγετο.—Αὐτή, φησιν, τοιαῦτα παθοῦσα, οἷά περ προλαβὼν ὁ λόγος ἔδειξεν, οὐδὲν διέφερεν ἀμπέ-
λου πολυφόρου.—Ἵνα εἴπῃ ἐκ τῆς φυλῆς κατὰ v. 10.
τοὺς θείους χρησμοὺς οἱ βασιλεῖς διεῖπον· αἰνίττεται δὲ ὅτι αἱ μὲν δέκα φυλαὶ, ἐπειδὴ μὴ κατὰ θείαν ἐπαγγελίαν εἶχον τὸν κρατοῦντα, ἄλλος παρ' ἄλλου τὴν βασιλείαν λαμβάνων, οὐ τῆς διαδοχῆς τοῦ γένους σωζομένης, τοῦ δὲ δυνα-

στεύοντος εἰς τὸ διοικεῖν καθισταμένου· ἐπὶ δὲ Δαυὶδ οὐχ οὕτως, ἀλλ' αὐτός τε λαμπρὸς δι' ἀρετὴν γεγένηται, καὶ τοῖς ἐξ αὐτοῦ τῆς βασιλείας παρεπέμψατο γέρας. Καὶ πάλιν. Τὸ οὖν ἐγένετο αὐτῇ, ἵνα εἴπῃ παρεσχέθη αὐτῷ παρὰ
v. 11. Θεοῦ τὸ ἀξίωμα.—Τὸ δὲ ῥάβδος ἰσχύος, ἀντὶ τοῦ βασιλεῖς κρατοῦντες.—Ἀντὶ τοῦ περίβλεπτος γέγονεν ἔχουσα τοὺς βασιλεύοντας.—Ἀντὶ τοῦ ἅπαντες ἐμαρτύρουν τῇ περιφανείᾳ τῆς πό-
v. 13. λεως.—Τροπικῶς ἅπαντα καὶ παραβολικῶς, ὡς ἐπὶ ἀμπέλου καὶ ῥοᾶς.—Ἀντὶ τοῦ ἐξελεξάμην· τουτέστιν οὐχ ὑμεῖς ἐμοὶ προσέλθατε, ἀλλ' ἐγὼ προενόησα ὅλου τοῦ γένους.—Τουτέστιν οὐδὲν ἤτησα παρ' ὑμῶν ἐπιγινώσκειν μου τὴν δεσποτείαν.

CAP. XX.

v. 11. cod. f. 210. a. Τὰ προστάγματα φησὶ τὴν δεκάλογον εἶναι· τὰ δὲ δικαιώματα, τὴν ἐπὶ τῇ λατρείᾳ τοῦ θεοῦ διάταξιν, καὶ τἄλλα τὰ τῆς δεκαλόγου χωρὶς προσταχθέντα.—Ἵνα εἴπῃ, ὥστε αὐτοὺς μνημονεύειν μου, καὶ ἀφθόνου τῆς παρ' ἐμοῦ ἀπο-
v. 12. λαύειν εὐεργεσίας.—Συνεχῶς δὲ μέμνηται τῆς περὶ τοῦ σαββάτου ἐντολῆς, ἐπειδήπερ τοῖς ῥαθύμοις ὁδός τις ἦν ἐπὶ τὴν θείαν ἄγουσα γνῶσιν. Καὶ πάλιν. Ὅτι ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ λέγειν τοῦτο τοῖς πᾶσι παραινεῖ· ὡς διὰ τῆς συνεχοῦς μελέτης ἐν ἕξει τινὶ καταστῶσι τῶν κρειττόνων.

cod. f. 219. b. Προστάγματα καὶ δικαιώματα καλεῖ τῶν θυσιῶν τὰς διατάξεις· τὰ δὲ, οὐ καλὰ, ἐπεὶ μὴ ὡς ἀναγκαῖα προσετάγη, διὰ δὲ τὴν τῶν δεξαμένων ἀσθένειαν· ὡς ἂν μὴ δυσχερὴς αὐτοῖς φανείη ἡ ἐπὶ τὴν τελειότητα ἀθρόα μεταβολή· τὸ δὲ, οὐ καλὰ, θαυμασίως ἐνεδείξατο, ὅτι οὐ πρέπουσα Θεῷ ἡ θυσία· διὸ καὶ διὰ τοῦ Ἡσαΐου φησὶν, ὁλοκαυτώματα κριῶν καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, καὶ τὰ ἑξῆς· τὸ οὖν, προστάγματα οὐ καλὰ, οὐ τὴν νομοθεσίαν τοῦ Θεοῦ διαβάλλει, ἀλλὰ τὴν πρὸς τοὺς ἀτελεῖς συγκατάβασιν αὐτοῦ μηνύει.

v. 21. cod. f. 211. a. Ἵνα εἴπῃ τοῦ γένους τῶν ἐξυβριζόντων τῶν θεῶν.—Οὐχ ὡς βλάβην δυναμένου τοῦ θεοῦ ὑπομεῖναι, ἀλλ' ὥστε μὴ τὴν αὐτοῦ προσηγορίαν κοινὴν τῶν πεποιημένων εἶναι.—Ἐπεὶ μηδ' ἑτέροις φησὶν οὐκ ἔνεστι θεραπεῦσαι θεόν· ἢ τῶν δαιμόνων φεύγονται, καὶ τὴν νενομισμένην αὐτῷ ἐκτελοῦνται θεραπείαν ἐν τῷ ἤδη ἀφορισθέντι τόπῳ.—Τοῦτον φησὶ μεταβληθέντας τὸν τρόπον οἰκειώσομαι.—Τοὺς ναζιραίους λέγει, καὶ εἴ τινες ἦσαν τοιοῦτοι κατ' εὐχὴν ἀνακείμενοι τῷ θεῷ.
—Τὸ δὲ ἁγιασθήσομαι, ἀντὶ τοῦ δοξασθήσομαι v. 41.
τέθηκεν· ὁρῶντες γὰρ ἅπαντες καὶ τὰς ἐμὰς εὐεργεσίας, καὶ τὴν ὑμετέραν εὐγνωμοσύνην, πολλὴν ὠφέλειαν καρπώσονται· τῶν μὲν καλουμένων αὐτῶν θεῶν βλέποντες τὴν ἀσθένειαν, τὴν δὲ ἐμὴν διὰ τῆς περὶ ὑμᾶς εὐεργεσίας δύναμιν θεωροῦντες.

Θαιμὰν τὸν προφήτην, ἐγώ γέ φημι, κατὰ τὸ v. 46. cod. f. 211. a.
παρὸν αὐτὴν τὴν Ἱερουσαλήμ. Τὸν δαροὺμ δὲ λέγει τὰ ἅγια· τοῦτο γὰρ, ὥς φασιν, ἐκ τῆς Ἑβραίων γλώττης μεταφερομένη ἡ λέξις ἑρμηνεύεται· οἱονεὶ καὶ κατὰ τῆς πόλεως καὶ κατὰ τοῦ ναοῦ.—Ναγὲβ κατὰ μὲν τὸ πρόχειρον, ὄνομα σημαίνει τόπου· ὁ δὲ Σύμμαχος σαφέστερον ἡρμήνευσε τὴν λέξιν· φησὶ δὲ, ἐπὶ δρυμὸν τῆς χώρας τῆς μεσημβρινῆς· βούλεται δὲ εἰπεῖν, ὅτι μήνυσον ὡς οὐ μόνον ἁλώσεται ἡ πόλις, ἀλλὰ καὶ κατὰ πάσης τῆς χώρας ἥξει τὸ κακόν.

Δρυμὸν οὖν λέγει τῶν οἰκητόρων τὸ σύστημα, καὶ οὓς ἐνόμισεν ὁ Σεδεκίας ἕξειν συμμάχους· ἵνα πανταχόθεν αὐτῶν τὴν ἐλπίδα τῆς σωτηρίας ἐκκόψῃ.

CAP. XXI.

Τοῦτο οὖν φησι, πρὸς ἐκείνην ἀποβλέπων ποιοῦ v. 2.
τοὺς λόγους· καὶ μὴ μόνον κατὰ τῆς πόλεως, ἀλλὰ καὶ κατ' αὐτοῦ τοῦ ναοῦ ἐνεγκὼν τὴν ἀπόφασιν, καὶ μὴν καὶ κατὰ πάντων τῶν ἐνοικούντων τὴν χώραν.

Τινὲς εἰρήκασι τοῦτο μηνύειν τοῦ πολέμου τὴν v. 7. cod. f. 211. b
βαρύτητα, ὡς τοῦ πλήθους τοῦ αἵματος διὰ παντὸς τοῦ σώματος· τινὲς δὲ τὴν ἐπίτασιν ἔφασαν τῆς δειλίας ὡς ἱδρῶτι ῥεομένων· ἢ τῆς τοῦ σώματος δυνάμεως λυομένης κατὰ τὴν φυσικὴν ἔκκρισιν ἀθρόως γενομένης.

v. 9. Ἵνα εἴπῃ, ὥστε εὐχερῶς ἀποτελεῖν τὸ ἑαυτῆς ἔργον· τὸ γὰρ περὶ τὸν φόνον ἀκώλυτον τῆς μαχαίρας παραστῆσαι βουλόμενος, ἔδειξε τῷ σχήματι τοῦ λόγου μὴ μόνον αὐτὴν παροῦσαν, ἀλλὰ καὶ ἐπιτηδείαν πρὸς φόνον. Καὶ μετ᾽ ὀλίγα. Ἵνα εἴπῃ ἐπιτηδείαν αὐτὴν ἐποίησεν πρός τε τὸ κρατεῖσθαι, καὶ ῥᾳδίως τὸ ἑαυτῆς ἐκτελεῖν ἔργον.

v. 12. Κοινωνήσαντες γὰρ τῷ λαῷ τῆς παρανομίας οἱ ἱερεῖς, ἐκοινώνησαν καὶ τῆς τιμωρίας· τούτους γὰρ ὠνόμασε παροικοῦντας, ἅτε δὴ ἔνδοθεν ἐν τῷ ναῷ διάγοντας, καὶ τὰς ἱερατικὰς λειτουργίας πεπιστευμένους.

v. 14. Μία γὰρ γέγονεν, ἡνίκα τὸν μὲν Ἰωακεὶμ ἀπέκτεινε, πλεῖστα δὲ τῶν κειμηλίων ἐσύλησε· δευτέρα δὲ ἡ ἐπὶ Ἰεχονίου, ὅτε καὶ εἰς αἰχμαλωσίαν αὐτὸν ἀπαγαγὼν, κατέστησε τὸν Σεδεκίαν βασιλέα· τρίτη δὲ ἐν ᾗ ὅ τε Σεδεκίας ἀπῳκίσθη, καὶ ἡ πόλις ἑάλω, καὶ ὁ ναὸς ἐνεπρήσθη.

Τουτέστι τὰς προτέρας ὑπερηκόντισε τιμωρίας.—Ἀντὶ τοῦ οὐκ ἀρκέσουσιν ἀντιστῆναι τῷ βαρβάρῳ.—Ἵνα εἴπῃ εἰς ἔσχατον φόβον καταστήσονται.—Μηνύει ἐνταῦθα τὴν πρὸ τῆς ἁλώσεως αὐτῶν τῆς πόλεως ταλαιπωρίαν· φαίνονται γὰρ ὑπὸ τοῦ λιμοῦ τὰ χείριστα πεπονθότες.—Διὰ τὸ πολλοὺς θέλειν φυγεῖν λανθάνοντας τοὺς κρατοῦντας εἴρηται.—Τουτέστιν ἀλλ᾽ οὐ διαδυνήσονται τῶν πολεμίων τὰς χεῖρας.

Ἀντὶ τοῦ τὰ κελευσθέντα εἰς πέρας ἄγετε· ἵνα γὰρ μὴ νομίσωσιν ὅτι ἀπὸ τῆς περιπαθείας οὐκέτι ἐποίσει αὐτοῖς τὰ δεινὰ ὁ Θεὸς, ἀναγκαίως ἀπὸ τῶν πασχόντων ἐπὶ τοὺς ποιοῦντας μεταγαγὼν τὸν λόγον, διδάσκει τοῦ πράττοντος τὴν ἰσχὺν, ἵνα μειζόνως φοβήσῃ τοὺς ἀκούοντας.
Cod. f. 212. a. —Ἀντὶ τοῦ, ἐὰν ἐπαγάγῃ ὁ Θεὸς τὴν δίκην· πρόσωπον δὲ ξίφους ἐκάλεσεν αὐτὴν τὴν ἀκμήν.—Ταῦτά, φησι, ποιήσω ὑπὸ παλαιᾶς ἀγανακτήσεως· οὐ γὰρ τοῦτο λέγει, ὅτι ἐπιχαρήσομαι, ὅτι οὐδὲ ὑπ᾽ αὐτῶν τῶν δεινῶν ἀμείνους γε-
v. 21. γόνασι.

Τὸν τρόπον τῆς πλάνης λέγει· ὁδὸν γὰρ ἐνταῦθα τὴν πρᾶξιν ἔφη· ἀρχαίαν δὲ, ἵνα εἴπῃ τὴν συνήθη.—Ἀντὶ τοῦ, τοῦτο δὲ ἀποσκόπει διὰ μαντείας μαθεῖν, ὡς ἔθος ἔχει.—Δυο βούλεται δεῖξαι, ὅτι τὸ χρησμὸν ἐβούλετο λαβεῖν παρὰ τῶν ξοάνων, καὶ ὅτι καὶ συμβόλοις τισὶν ἐκέχρητο πρὸς τὸ προκείμενον. Καὶ μετ᾽ ὀλίγα.

Ἀντὶ τοῦ ῥίψαι βέλη· ταύτῃ γὰρ τῇ λέξει ἐχρήσατο καὶ ὁ ἑβραῖος.

Προσήκει δὲ εἰδέναι, ὅτι τῶν ἐσομένων οὐδὲν v. 22.
οἱ δαίμονες ἴσασι, καταστοχαζόμενοι δὲ τῶν πραγμάτων προλέγειν ἐπιχειροῦσι· καὶ ἔστι μὲν ὅτι κατ᾽ εὐθὺ φέρονται, πολλάκις δὲ καὶ διαμαρτάνουσι· καὶ τοῦτο οὐ μόνον ἀπὸ τῶν πραγμάτων ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ὑπὸ τῆς θείας διδαχθῆναι γραφῆς· προειπόντες γὰρ διὰ Σεδεκίου τοῦ προφήτου νίκην τῷ Ἀχαὰβ, τῆς ἀληθείας ἐξέπεσαν· οὐ γὰρ μόνον ἡττήθη παραταξάμενος, ἀλλὰ καὶ ἀνῃρέθη· καὶ ἐνταῦθα δὲ καὶ τὸν δεδομένον τῷ Ἰσραὴλ ἐπιστάμενοι νόμον, καὶ τὴν ἔξω τῶν τούτου διαγορεύσεων πολιτείαν ὁρῶντες, καὶ μέντοι καὶ τῶν προφητικῶν προῤῥήσεων, ἐπαΐοντες πανταχόθεν τὴν θείαν ἀγανάκτησιν ἐδιδάσκοντο· ταύτην τοίνυν καὶ διὰ τῶν μαντειῶν τῷ δυσσεβεῖ προεσήμανον βασιλεῖ, ὅτι δεῖ πρῶτον τῇ Ἱερουσαλὴμ ἐπιστρατεῦσαι, καὶ χαρακώμασι καὶ χώμασι χρήσασθαι, καὶ τοῖς ἄλλοις πολεμικοῖς μηχανήμασιν.—Ἀντὶ τοῦ ἐπαλαλάξαι τοῖς ὑπεναντίοις· οἱ γὰρ ἐκ τοῦ κρείττονος ἐν τοῖς πολεμίοις γινόμενοι, μετὰ βοῆς κατὰ τῶν τραπέντων χωρεῖν εἰώθασιν.—Ἀντὶ τοῦ διατάξαι πρὸς πόλεμον τὸ στρατόπεδον.—Βελοστάσεις μὲν λέγει τὰ πολεμιστήρια ὄργανα, δι᾽ ὧν λίθους ἢ ξίφη, ἅτινα τοιαῦτα κατὰ τῶν τειχῶν τῶν πολεμίων ῥίπτουσιν.—Τουτέστι μαντεύεται ὁ Βαβυλώνιος, καὶ τοῦ μέλλοντος χρησμὸν ἀπαιτεῖ παρὰ τῶν εἰδώλων, ὅνπερ τρόπον καὶ Ἰουδαῖοι ποιοῦσιν· ἀπαιτοῦνται γὰρ οὗτοι πειθόμενοι τοῖς κατὰ δαιμονικὴν ἐνέργειαν καλοῦσιν.

Ἀντὶ τοῦ, ἐλέγχων αὐτοὺς ἐπ᾽ ἀδικίᾳ· ἵνα εἴπῃ τὴν παρασπόνδησιν.

Τὸ οὗ ὧ καθήκει μηνύει τὸν Ζοροβάβελ καὶ v. 27.
τὸν Ἰησοῦν καὶ τὸν Ἰωσεδὲκ, τὸν μὲν ἐν βασιλέως τάξει ἑπόμενον τῷ πλήθει, τὸν δὲ ἱερέως· τὸ δὲ ἕως οὗ ἔλθῃ, ἀντὶ τοῦ ἄχρις οὗ ὁ τῆς ἐπανόδου καιρὸς ἀφίκεται.—Ἐμαντεύσατο Cod. f. 212. b.
οὐχ ἡ ῥομφαία, ἀλλ᾽ οἱ ταύτῃ χρησάμενοι, ψευ-

δὴ δὲ τὴν μαντείαν καὶ ματαίαν τὴν ὅρασιν προηγόρευσεν, ὡς ἀλλοτρίαν δὴ τῆς ἀληθείας ὑπάρχουσαν· εἰ γὰρ καὶ τότε ἀληθῆ προεσήμανεν, ἀλλὰ τῶν θείων προφητῶν προηγορευκότων τὴν θείαν ἀπόφασιν· ἅπερ γὰρ ἐκείνων ἤκουσαν, προμηνύειν ἔδοξαν· πονηρίᾳ γὰρ συζῶντες οἱ ἀλιτήριοι δαίμονες, τῷ μὲν Ναβουχοδονόσορ διὰ τῶν μαντειῶν τὰ παρὰ τῶν προφητῶν διεπόρθμευον· τοῖς δὲ Ἰουδαίοις διὰ τῶν ψευδοπροφητῶν τἀναντία προηγόρευον, εἰρήνην αὐτοῖς ὑπισχνούμενοι καὶ τῶν πολεμίων φυγήν· ἵν᾽ ἀπειθοῦντες τῷ θεῷ, καὶ ἀντιλέγοντες, καὶ γυμνοὶ τῆς συνήθους προμηθείας γενόμενοι, παραδωθῶσι τοῖς πολεμίοις ὑπὸ τῆς δίκης, καὶ ἀληθεῖς ἀποφανθῶσιν αὐτῶν οἱ χρησμοί.—Οὕτως ἐντειλάμενος τῇ ῥομφαίᾳ τοῖς τραχήλοις ἐπιτεθῆναι τῶν ἀνόμως καὶ παρανόμως βεβιωκότων, ὡς τοῦ τέλους αὐτὸν ἐφθακότως παρακελεύεται λέγων, ἀπόστρεφε τὸν κολεόν σου, καὶ μὴ καταλύσῃς ἐν τῷ τόπῳ τούτῳ ᾧ γεγέννησαι· ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε· ὑμᾶς δέ φησι ὦ Βαβυλώνιοι, οὓς ῥομφαίαν ὀνομάζω, πάντα πεποιηκότας ἃ παρεγγύησα· ἀλλ᾽ οὐκ ἐν τῇ οἰκείᾳ γῇ δίκας ἀπαιτήσω τῆς ἀσε-
v. 31. cod. f. 212. b. βείας.

Τὸ εὔκολον τῆς θείας δυνάμεως διὰ τούτων ἐδήλωσεν· ὥσπερ γάρ, φησι, τὸ ἐμφυσῆσαι ῥάδιον, οὕτως εὐπετὲς καὶ λίαν εὐμαρὲς παραδοῦναί σε παντοδαπῇ τιμωρίᾳ.—Τὴν Μηδῶν καὶ Περσῶν ἐπανάστασιν κατὰ τῆς Βαβυλῶνος διὰ τούτων ἠνίξατο, οἳ πᾶν εἶδος μηχανημάτων τοῖς περιβόλοις πολιορκοῦντες προσήνεγκαν, καὶ νύκτωρ ἐν ἑορτῇ εἴσω τοῦ ἄστεως γεγονότες, ἅπασαν μὲν ἐχειρώσαντο τὴν πόλιν· ἐνέπρησαν δὲ τὸ πλεῖστον· αἱμάτων δὲ καὶ τὰς οἰκίας καὶ τὰς ἀγυιὰς ἁπάσας ἐπλήρωσαν.

CAP. XXII.

v. 12. cod. f. 213. a. Τὸ γὰρ συντελέσω, ἀντὶ τοῦ πάντα ἔπραξας τὰ κακά· τὸ δὲ εἰς συντέλειαν, ἀντὶ τοῦ μετ᾽ ἐπιτάσεως, ἀλλ᾽ οὐ παρέργως.—Ἐν ἑνὶ γὰρ ἡγουμένῳ καὶ προφήτῃ τὸ ὅλον σώζεται, εἰ εὑρεθείη ὁ τοιοῦτος· μὴ εὑρεθείσης δὲ οἱονεὶ ζύμης τοῦ ἀγαθοῦ, τὸ πᾶν διαφθείρεται.

Οὐκ εἶπεν δὲ ἐξ ἡμῶν, ἀλλ᾽ ἐξ αὐτῶν παν- cod. f. 213. b
τελῶς διορίσας τῶν δικαίων τοὺς ἀσεβεῖς· ἐπειδὴ πονηρῶς περὶ τοὺς κηρύττοντας διέκειντο.—Ἀντὶ τοῦ μεταβαλλόμενος τῆς προτέρας κακίας.—Καὶ δεικνὺς τῆς τιμωρίας τὸ δίκαιον, ἐπήγαγεν· τὰς ὁδοὺς αὐτῶν, εἰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει ἀδωναῒ κύριος.

CAP. XXIII.

Οἱ μὲν οὖν, φασι, πόρνας εἶναι ταύτας ἐν v. 2. cod. f. 213. b
Αἰγύπτῳ, καὶ πρὸς ὕβριν παραβάλλειν ἐκείνας τὰς πόλεις· εἰληφέναι δὲ αὐτοὺς οἶμαι τὴν ἔννοιαν, ἀπὸ τοῦ τὴν ἐν Αἰγύπτῳ αὐτῶν ἀσέβειαν ἐλέγχειν τὸν προφήτην.—Ἄλλοι δὲ ἔφασαν τὸ ὀολὰ μωκισμὸν σημαίνειν, τὸ δὲ ὀλιβὰ μεμωκισμένην, οἱονεὶ μυκτηριζομένας καὶ εὐτελεῖς παρὰ πάντας· ἐγὼ δὲ ἑβραίου τινὸς ἤκουσα λέγοντος, ὅτι τὸ μὲν ὀολά, σκηνὴ σημαίνει· τὸ δὲ ὀλιβά, σκηνή μου· καὶ σκηνὴν μὲν καλέσαι τὰς ι′ φυλάς, ἅτε καὶ αὐτὰς ἐν τῇ γῇ τῆς ἐπαγγελίας τυγχανούσας· σκηνὴν δέ μου καλέσαι τὴν Ἱερουσαλήμ, ὡς αὐτόθι τοῦ ναοῦ καθεστῶτος.

Ἵνα εἴπῃ ἀσέβειαν λογιζομένη· περισκοποῦσα γὰρ τοὺς περιοίκους, πρὸς τὸν ἐκείνων ἐξωμοιοῦτο τρόπον.—Ἵνα τὸ πλῆθος παραστήσῃ τῆς ἀσεβείας· πολλὴ γὰρ παρ᾽ Αἰγυπτίοις δυσιδαιμονία.—Τουτέστι παντελῶς αὐτοὺς τῆς εὐθείας ἐξέκλιναν ὁδοῦ· λέγει δὲ Βαβυλωνίους.—Τουτέστιν
ἐπέμεινεν τῷ κακῷ.—Διαβάλλειν δὲ αὐτοὺς ἔοι- v. 20. cod. f. 214
κεν ἐνταῦθα οὐκ ἐπὶ εἰδωλολατρείᾳ μόνον, ἀλλὰ καὶ ἐπὶ ἀσελγείᾳ, ἀναγκαίως γὰρ ἀκολουθεῖ τῇ εἰδώλων θεραπείᾳ, τοῦ βίου ἡ διαφθορά· σαφέστερον δὲ αὐτὸ ὁ ἑβραῖος ἔχει· φησὶ γὰρ καὶ αἱ διεγέρσεις αὐτῶν ὡς ἵππων,
τῆς ἐπιθυμίας τὴν μανίαν παριστῶν.—Ἀντὶ cod. f. 214
τοῦ τῷ μεγέθει τῶν δεινῶν, καὶ τοῦ φρονεῖν ἐκστήσῃ, οὐδαμοῦ οἷα τε οὖσα αὐχεῖν, ἐφ᾽ οἷς
ἀγαθοῖς ἡβρύνου.—Κάλλιστα δὲ τῷ σχηματι- v. 35.
σμῷ ἐχρήσατο· τὸ ἐπελάθου μου ὡς ἐπὶ ἀνδρὸς πολλὰ εὐεργετήσαντος καὶ εἰς τιμὴν ἀγαγόντος.—Ὡς ἐπὶ γυναικὸς μοιχαλίδος ἀποστρεφομένης μὲν τὸν ἴδιον ἄνδρα, ἀσπαζομένης δὲ τὸν μοιχώμενον.

v. 37. Πολυχρονίου καὶ Θεοδωρίτου. Πολλὴ δὲ ἡ τῆς ἀσεβείας ὑπερβολή· πρῶτον μὲν γὰρ αὐτὸ τὸ σφάζειν τοὺς παῖδας, ὅρος ἔσχατος ἀσεβείας· τὸ δὲ καὶ τοῖς δαίμοσι τὰ τοιαῦτα προσφέρειν σφάγια, πάλιν ἐπίτασις τοῦ κακοῦ· τὸ δὲ καὶ ἐν σαββάτῳ ταῦτα τολμᾷν, ἐν ᾧ καὶ ἡ ἀναγκαία ἀπείρητο ἐργασία, μείζονα πολλῷ δείκνυσιν τὴν ἀσέβειαν· τὸ δὲ καὶ μετὰ τοιαύτην ἐργασίαν, τῶν θείων ἐπιβαίνειν προθύρων, ποίαν ἀσεβείας ὑπερβολὴν καταλείπει; διὸ καὶ τελευταῖον αὐτὸ τέθηκε. Τῶν αὐτῶν. Ταύτην, φησὶ, τὴν ἀσέβειαν ἐν τῷ ἀφιερωμένῳ μοι τετολμήκασιν οἴκῳ.—Τουτέστιν τῶν εἰδώλων.—Εὐφροσύνη γὰρ δαιμόνων ἡ τῶν ἀνθρώπων ἀπώλεια.—Τί γὰρ ἐρημότερον τῶν τὰ εἴδωλα προσκυνούντων; ἐξ ἐκείνων φησὶ τῶν ἐρήμων ψυχῶν τὰ τῆς ἀσεβείας ἐκομίζετό σοι διδάγματα· καὶ ἐδέχου ταῦτα ἐν μουσικοῖς ὀργάνοις ἀνακρουομένη τὴν ἡδεῖαν ἠχήν.—Οὐδὲ γὰρ παρὰ τῶν εἰδώλων λαμβάνουσιν οἱ τούτοις λατρεύειν αἱρούμενοι· ἀλλὰ τὰ θεόσδοτα δῶρα τούτοις προσφέρουσι, παντοδαπὸν αὐτοῖς κόσμον περιτιθέντες.

v. 42. Ἔλεγον γάρ, φησιν, ὀργάνοις χρωμένοις τοῖς προφήταις, ὅτι ἐν τούτοις τοῖς ἀψύχοις ἡ μοιχεία ὑμῖν τολμᾶται· καὶ πορνικὰ ὑμῶν τὰ τοιαῦτα ἐπιτηδεύματα.—Τὸ δὲ δίκαιοι τέθηκεν, οὐ δικαιοσύνην αὐτοῖς μαρτυρῶν· ἀδικώτατοι γὰρ καὶ παρανομώτατοι, καὶ λίαν ὑπῆρχον δυσσεβέστατοι, ἀλλ' ἐκ παραθέσεως τῶν αὐτοῖς ἀσεβημάτων, τὸ δίκαιοι τέθηκεν· ἀντὶ τοῦ οὐ παρεξεταζόμενοι ὑπάρχουσιν.—Μιαιφονίας, φησὶ, καὶ μοιχείας τίσουσι δίκας, τοὺς ἐραστῶν αὐτῶν λαμβάνουσαι δικαστάς· καὶ ταῦτα πείσονται, ἅπερ αἱ μοιχεύτριαι γυναῖκες καὶ ἀνδροφόνοι.—
cod. f. 215. a. Τούτων γάρ, φησι, ταῦτα ὑπομενουσῶν, καὶ λίθοις καὶ ξίφεσι καὶ πυρὶ διδομένων, πᾶσα πόλις ὠφέλειαν καρπώσεται, μανθάνουσαι οἷα τῆς ἀσεβείας τὰ ἐπίχειρα· γυναῖκας πάλιν ἐνταῦθα
v. 49. τὰς πόλεις ὠνόμασεν. Τοὺς τῆς ἀσθενείας ὑμῶν, φησι, κομιεῖσθε καρπούς· οὐ γὰρ ἀνάγκη ταύτην ἐδέξασθε ἀλλὰ γνώμῃ καὶ πόθῳ· ἐκ δὲ τῆς τιμωρίας ὠφέλειαν μεγίστην τρυγήσετε τὴν τῆς ἐμῆς δεσποτείας ἐπίγνωσιν.

CAP. XXIV.

v. 3. Ἐπειδὴ γὰρ νηπιώδεις ἦσαν τὸν λογισμὸν, καὶ τὰ αὐτὰ ἀκούοντες, γέλωτα ἐνόμιζον, ἀναγκαίως ποικίλλει τῶν λόγων τὴν διήγησιν, πρὸς κατάπληξιν τῶν ἀκουόντων.—Λέβητα προσαγορεύει τὴν πόλιν, ὕδωρ δὲ ἐκχεόμενον τὰς παντοδαπὰς συμφορὰς, καὶ διχοτομήματα δὲ καὶ σκέλη καὶ ὤμους ἐξ ἐπιλέκτων κτηνῶν· τοὺς δὲ ἐν εὐπορίᾳ καὶ πλούτῳ καὶ δυνάμει, ἄρχοντάς τε καὶ ἡγουμένους καὶ ἱερέας κατὰ ταυτὸν παραδιδομένους ταῖς συμφοραῖς· ὀστᾶ δὲ ὑποκαιόμενα, τοὺς πενίᾳ συζῶντας προτέρους τῷ λιμῷ παραδωθέντας· πῦρ δὲ τὸν Βαβυλώνιον καὶ τὴν τούτου παράταξιν.

Ἀντὶ τοῦ ἥψατο μὲν αὐτῶν ἡ συμφορά, καὶ ἄχρηστα πρὸς πάντα γεγόνασιν· τὸ γὰρ ἐξέζησεν ἀντὶ τοῦ ἀπερρίφη, ἐκ μεταφορᾶς αὐτὸ λαβὼν τοῦ ἀναπαφλάζοντος καὶ δεχομένου πρὸς ἀπώ-
λειαν.—Ἐδίδαξεν ἡμῖν ἐνταῦθα ὅτι καὶ ἄνω v. 16.
λέβητα τὴν πόλιν ὠνόμασεν· ἰὸν δὲ τοῦ λέβητος τὴν ἁμαρτίαν καλῶν· μεγίστη δὲ κατηγορία, ὅτι οὐδὲ τοσοῦτον πῦρ τῶν συμφορῶν τὸν τοῦ λέβητος ἰὸν ἐδαπάνησεν.

Τουτέστι πένθος ἐστὶν ἔχων ὑπόδειγμα τῶν v. 17. cod. f. 215. b.
ἀναιρουμένων κατὰ τὴν πόλιν.—Ἀντὶ τοῦ βαρὺς καὶ ἀφόρητος, οὐ δεχόμενος τὴν ἐξ ἑτέρων παράκλησιν· ἔλαβε δὲ αὐτὸ ἐκ μεταφορᾶς τῶν τῷ πενθικῷ σχήματι καθημένων, καὶ μηδὲν τῶν συνήθων διαπραττομένων.—Ἵνα καὶ πρὸς τὸ παράδοξον τῶν γινομένων ἐκπλαγέντες, ἐρωτήσωσι τὴν αἰτίαν· εἶτα μαθόντες σωφρονέστεροι γένωνται.

CAP. XXV.

Ἀντὶ τοῦ μετὰ παῤῥησίας πρὸς ἐκείνους δια- v. 2. cod. f. 216. a.
λέχθητι.—Ταῦτα δὲ λέγει, οὐχ ὡς ἐκείνων v. 3.
ἀκουόντων, ἀλλὰ σωφρονίζων τοὺς Ἰουδαίους· τὰ γὰρ περὶ τούτους γινόμενα, κοινὴ ἦν ἁπάντων διδασκαλία· διὰ γὰρ τοῦτο καὶ ἐπιδόξους αὐτοὺς κατὰ τὴν Βαβυλῶνα πεποίηκε, καὶ παρὰ τῶν κρατούντων τιμηθῆναι παρεσκεύασεν· ἵν' ἡ τούτων εὐδοξία, κοινὴ τῶν λοιπῶν τῆς εὐσεβείας
γένηται παιδαγωγία.—Ἀναγκαίως μετὰ τὴν προ- v. 5.
αγόρευσιν τῶν καταληψομένων δεινῶν Ἰουδαίους, τρέπει κατὰ Ἀμμανιτῶν τὸν λόγον· ὁμοῦ δὲ τοῖς

ἀκούουσι δεικνὺς ὡς ἀπεχθείᾳ τῇ πρὸς τοὺς ὁμοφύλους διαλέγεται, καὶ διδάσκων αὐτοὺς ὡς πάντων δεσπότης ἐστὶ Θεὸς, τούς τε οἰκείους εἰσπραττόμενος δίκας ὑπὲρ τῶν εἰς αὐτὸν πλημμελημάτων· τῶν τε ἀλλοτρίων ἀλαζονευομένων καταστέλλων τὸ θράσος εἰς τὸ μὴ δοκεῖν τὴν Ἱερουσαλὴμ, θεοσέβειαν, ὑπὸ τῆς ἐν ἔθνεσι εἰδωλολατρείας νενικῆσθαι· ὅπερ ἂν ἡ κοινὴ βλάβη τοῦ κόσμου·—Οἱ ἄλλοι ἑρμηνευταὶ υἱοὺς ἀνατολῶν ἡρμήνευσαν· εἰσὶν δὲ οὗτοι οἱ ἀπὸ Ἰσμαὴλ
v. 9. τὸ γένος κατάγοντες·—Τὸν οἶκον τοῦ Ἰασιμοὺθ εἰδώλου οὕτως καλουμένου.—Ἐπειδὴ γὰρ οὐ μόνον παραπλησίως Μωαβίταις καὶ Ἀμμανίταις ἐφήσθησαν, ἀλλὰ καὶ ἔργῳ τὴν οἰκείαν ἐπεδείξαντο πονηρίαν· καὶ πρότερον ἐκείνην μῆνιν φυλάξαντες· ἐνεκότει γάρ, φησι, τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ· τούτου χάριν οὐχ ἑτέροις αὐτὸν πολεμίοις παραδώσω, ἀλλ' αὐτῷ τῷ ὑπ' αὐτῶν ἠδικημένῳ λαῷ μου· ὥστε διὰ τῆς παντελοῦς ἐρημίας μαθεῖν αὐτοὺς τῆς ἐμῆς δεσποτείας τὴν δύναμιν.

CAP. XXVI.

v. 14. Cod. f. 216. b. Ἀντὶ τοῦ ἰσόπεδον αὐτὴν δείξω· λεωπετρίαν γὰρ νῦν λέγει τὴν ἐκ τοῦ χρόνου κεκρατημένην γῆν.

Θαυμάσαι μηδεὶς λογιζόμενος ὡς ἐνταῦθα ὁ προφήτης οὐδὲ τὴν ἐς ὕστερον ἐλπίδα κατέλιπε τῇ πόλει· νυνὶ δὲ ἐν ἠρεμίᾳ καθέστηκε· μάλιστα μὲν γὰρ ἀναγκαίως ἔφη ταῦτα, ἰσόρρεπον τῇ τοῦ κρατοῦντος ἀλαζονίᾳ τὴν ἀπόφασιν ποιούμενος· ἔπειτα λογιστέον ὡς πανταχοῦ ἀπειλεῖ μεγάλα, οὐκ ἐπάγειν βουλόμενος, ἀλλὰ φοβῆσαι. διόπερ τὴν σύμμετρον τιμωρίαν εἰσπραξάμενος τοὺς ἐνοικοῦντας, οὐκ ἐφθόνει μετὰ ταῦτα τῆς οἰκήσεως τοῦ τόπου· ἐπείπερ οὐ τὴν γῆν ἠμύνατο, ἀλλὰ τῶν ἐνοικούντων κατήνεγκε τὸν τύφον· τοῦτο ἐποίησε καὶ ἐπὶ Νινευιτῶν.

CAP. XXVII.

v. 2. cod. f. 217. a. Θρῆνος ἐπὶ τὴν Σόρ. Φιλανθρωπίας θεοῦ καὶ ἀγαθότητος ὑπερβολὴν σημαίνει τὰ εἰρημένα· διδάσκει δὲ ἡμᾶς ὁ λόγος παιδείαν τινὰ τοῖς ἁμαρτάνουσιν ἐπιφέροντας, μὴ δυσμενείᾳ τινὶ καὶ ἀπεχθείᾳ κεχρημένους τοῦτο ποιεῖν, ἀλλὰ συμπάσχοντας καὶ λίαν ὀδυνωμένους· καὶ γὰρ αὐτὸς ἐνδίκως καὶ μάλα δικαίως δικάζων, θρηνεῖν τῷ προφήτῃ τὴν κολαζομένην παρακελεύεται πόλιν, παραδηλῶν τὴν διάθεσιν, ᾗ κεχρημένος ἐκόλαζεν.

Ἡ Αἴγυπτος, φησι, προσέφερέ σοι στρωμνὰς v. 7. cod. f. 217. a
ποικίλας καὶ παντοδαπάς· δηλοῖ δὲ τοὺς τάπητας καὶ τἄλλα τὰ ἐκεῖθεν κομιζόμενα· ἡ δὲ Ἑλλὰς περιβόλαιά σοι ἔπεμπε παντοδαπὰ, τὰ μὲν ἁλουργὰ, τὰ δὲ ὑακινθίνην περικείμενα χροιάν. Ἐλισσὰ γὰρ τὴν Ἑλλάδα καλεῖ.—Ἀντὶ τοῦ τὴν ἁπάντων ἀναδεδεγμένοι φροντίδα.—Κωπηλάτας v. 8.
λέγει ἐνταῦθα οὐκ αὐτοὺς ἐν θαλάττῃ ἐργαζομένους, ἀλλὰ τοὺς διοικητάς· ἐπειδὴ γάρ, φησι, παράλιος ἡ Τύρος καὶ ἐπὶ τῆς θαλάσσης ἐμπορίας ἐκαυχᾶτο, τῇ τῶν κωπηλάτων μεταφορᾷ τοὺς τῇ πόλει ἐπιστατοῦντας ἐδήλωσεν.—Ἵνα εἴπῃ ἐκ διαφόρων τόπων ἐν ταῖς ἐσχάταις οἰκούντων· βούλεται οὖν εἰπεῖν ὅτι οὕτω ζηλωτὴ ἡ πόλις, ὥστε καὶ τὴν οἴκησιν αὐτῆς μεταδιώκειν ἅπαντας.—Ὅτι ἀπὸ τῆς προσούσης ἀσφαλείας τῇ πόλει, καὶ αἱ ἄποθεν ἐθάῤῥουν ἐμπορεύεσθαι ὡς ἐπ' ἀσφαλῆ λιμένα τῇ πόλει καταφεύγοντες.

Βούλεται εἰπεῖν ὅτι ἀπὸ τῆς Ἑλλάδος ἄλλα v. 13. cod. f. 217. b.
τέ τινα ἐκομίζετο καὶ χαλκός· ἀντίδοσιν δὲ τῶν κομιζομένων ἐλάμβανον ἀνθρώπους εἰς δουλείαν, κατά τινα δυναστείαν * τινὰς εἰς δουλείαν ἕλκοντες· * cod. δυστείαν.
ὡς ἂν μὴ τῷ χρόνῳ τὴν ἐλευθερίαν ἐλέγξωσιν, εἰς ἐσχάτην ταλαιπωρίαν καθιστῶντες ἀπεδίδοντο ξένοις· τοῦτο γὰρ σημαίνει τὸ ἐν ψυχαῖς ἀνθρώπων.—Τοὺς Καππαδοκίας, ἤτοι Γαλάτας.—Ἵνα εἴπῃ ἀπὸ τοῦ πλήθους τῶν ἀνθρώπων τῶν ἐνοικούντων εἶχες τοὺς ταῦτα μετιόντας.

Θαρσεῖς τὴν θάλασσαν λέγει· τὸ δὲ ῥαμὼθ, v. 16.
τὸν ἀμέθυστον λίθον· τὸ δὲ χολχὼδ τὸ λεγόμενον ἀλαβάνδηνον.—Τοσαύτη γάρ, φησιν, ἦν ἐκ τῆς ἰουδαϊκῆς ἐμπορίας προσφερομένη σοι ἡ ἀφθονία, ὅτι σὺν σοὶ καὶ οἱ ἐν σοὶ ξένοι καὶ μέτοικοι τῶν εἰσφερομένων ἀπήλαυσαν ἀγαθῶν.—Τὰ παρὰ σοῦ, φησι, γινόμενα ἡ Δαμασκὸς ὠνεῖτο· ἐνεπορεύου τοίνυν καὶ ταύτῃ ἀπεμπολοῦ-

σα τὰ περιττὰ, καὶ τὸ ἐντεῦθεν χρυσίον συλλέγουσα.—Χελβὼν λέγει τὴν Μάλλαβα λεγομένην κώμην· παρὰ γοῦν Σύροις Μαελβὴ καλεῖται. Κιλικίας δὲ κώμη ἐστὶν ὑπὸ Ἀναζαρβόν· τὴν δὲ Δὰν φησι τὴν νῦν λεγομένην Παλμύραν. Ἰωῦὰν δὲ καὶ Μεωζὲλ ὀνόματα χωρίων παλμυρηνῶν.—Ἰωῦὰν, τὴν Ἰωνίαν· Δαιδὰν δὲ, πόλιν Ἰδουμαίας· ἡ δὲ Χελβὼν κώμη τίς αὐτῆς ἦν πλησιόχωρος· πανταχόθεν σοὶ, φησι, προσεφέρετο τὰ ἀγαθά· οἶνος ἡδὺς καὶ ἀνθοσμίας, ἐκ τοῦδε καὶ ἐκ τοῦδε τοῦ ἔθνους· τὸ κάλλιστον ἔριον ἀπὸ τῆς Μιλήτου· πόλις δὲ καὶ αὕτη, πάλαι μὲν τῆς Ἰωνίας, νῦν δὲ τῆς Καρίας· τὸ δὲ Χελβὼν, Χαλβάνην ὁ Σύμμαχος ἡρμήνευσε.—Ἀσὲλ εἶναι φησὶ τὴν καλουμένην Γερμανικίαν. Καὶ μετ' ὀλίγα. Τὸ δὲ τροχοὶ ἐν τῷ συμμίκτῳ σου, ἵνα εἴπῃ ὅτι οἱ ἐξ ἀξιοπιστίας τυγχάνοντες ἔτρεχον πρὸς σέ, ὑπὸ τῆς κατὰ τὴν πόλιν φήμης ἑλκόμενοι πρός τε θεωρίαν καὶ τὰ αὐτόθι κέρδη. Κηδὰρ δὲ νῦν καλεῖ τὸν λεγόμενον Γαβουλὰν, ἔρημον μὲν ὄντα νῦν, πάλαι δὲ μεγίστην καὶ τῆς Ἀραβίας, ἤτουν τῶν νῦν λεγομένων Σαρακηνῶν μητρόπολιν.—Εἰσὶ μὲν οὖν οὗτοι τοῦ Χὰμ ἀπόγονοι, ἀπὸ τοῦ Χοὺς παιδοποιηθέντες· δῆλον οὖν ὡς τὴν περίοικον χώραν ᾤκουν.

v. 24. Σημαίνει τῶν κομιζομένων τὸ πλῆθος, ὡς μηδὲ ὑποζυγίοις κεχρῆσθαι ἀλλὰ ναυσίν.—Τοῦτο κατὰ παράληψιν εἴρηται, ἵνα εἴπῃ παρίημι δὲ τοὺς τὴν Ἀφρικὴν οἰκοῦντας, ὅσα τε καὶ οἷα οὗτοι ἐκόμιζον.—Τουτέστι διαπρεπὴς ἐτύγχανε ἐκ τῶν προσόντων ἀγαθῶν.—Τουτέστι πανταχοῦ γῆς ἦσθα περίφημος· τῶν τε εἰσπλεόντων καὶ ἀποπλεόντων διαγγελλόντων τῆς πόλεως τὴν εὐημερίαν.—Ὡς ἐπὶ νηὸς ἡ ἐπιφορὰ τῶν κακῶν· ἐπέμεινε γὰρ τῇ μεταφορᾷ· καὶ τῶν οἰκείων ἐκστήσονται ἔργων οἱ διὰ χειρὸς ἔχοντες τῆς πολιτίας τὴν διοίκησιν· καὶ ἐν ἀμηχανίᾳ τὸ πλῆθος ἔσται, καὶ πάντα τὰ τῶν θρηνούντων ποιήσουσιν.

Οὐκ εἶπεν, ἀνθ' ὧν εἶ μέγας, ἀλλ' ὑψώθη ἡ καρδία σου· δεικνὺς τοῦ λογισμοῦ τὸν ὄγκον.

CAP. XXVIII.

v. 2. cod. f. 218. a. Βούλονταί τινες ταῦτα μηκέτι περὶ ἀνθρώπου λέγεσθαι, ἀλλὰ περὶ τοῦ διαβόλου ὥσπερ φιλοτιμούμενοι μὴ αὐτοὶ τῇ τῶν θείων γραφῶν ἀκολουθῆσαι ἐννοίᾳ, ἀλλὰ πρὸς τὴν ἑαυτῶν φαντασίαν ἐκβιβάζεσθαι τὰ ῥητά· σαφῶς δὲ ἐξ αὐτῶν τῶν ῥητῶν δειχθήσεται ψευδῆ τὰ πρὸς ἐκείνων εἰρημένα· ταύτης δὲ τῆς ἀλληγορίας ἡγεμὼν γέγονεν Ὠριγένης*· ἠκολούθησαν δὲ καὶ ἕτεροί τινες, οἱ ἐν τοῖς οἰκείοις συγγράμμασιν ὥσπερ ἐξ αὐτῆς τῆς ἀληθείας βιαζόμενοι ὡμολόγησαν περὶ ἀνθρώπου εἶναί τῷ προφήτῃ τὸν λόγον· δεῖν δὲ φασὶ καὶ περὶ τοῦ διαβόλου νοεῖν τὰ κείμενα· οὐκ αἰσχυνόμενοι καὶ τιθέναι τὴν ἀλήθειαν, καὶ ἄντικρυς πρὸς αὐτὴν μάχεσθαι, διαῤῥήδην ἁπάσης τῆς ἀληθείας δεικνυούσης ὡς τὸ φιλότιμον ἐγκαλεῖ τῷ Τυρίων βασιλεῖ· καὶ ὡς διὰ τὸ τῶν κατορθωμάτων μέγεθος, καὶ τοῦ πλούτου τὴν περιουσίαν ἰσοθεΐαν ἐφαντάσθη.

* Origenes reprehenditur.

Σκοπητέον δὲ ὡς τῇ τῶν ῥημάτων ἐχρήσατο ἁρμονίᾳ· προθέμενος γὰρ εἰπεῖν κατὰ τῆς πόλεως, διεῖλε τὸν λόγον εἰς τὸ πλῆθος καὶ τὸν κρατοῦντα· τῷ μὲν γὰρ ἐγκαλεῖ ὡς ἄρχοντι τῶν κακῶν, τῷ δὲ ὡς ἑπομένῳ τῇ ἀσεβείᾳ· ὅτι μὲν οὖν κατὰ τὸ δέκατον ἔτος τῆς βασιλείας Σεδεκίου τὴν προφητείαν ταύτην ποιεῖται Ἰεζεκιὴλ, σαφῶς αὐτὸς διδάσκει προτάξας ἐν τῇ ὁράσει ταύτῃ τὸν χρόνον· ἦν δὲ τοῦτο τὸ ἔτος ὀκτωκαιδέκατον τῆς τοῦ Ναβουχοδονόσορ δυναστείας, ἡνίκα τὴν εἰκόνα στήσας, ἠξίου παρὰ πάντων προσκυνεῖσθαι· τοῦ τοίνυν Ναβουχοδονόσορ πάντων κατεσχηκότος, ὥστε καὶ ἰσοθεΐαν φαντάζεσθαι, οὐ δυνηθέντος δὲ περιγενέσθαι τῶν τοῦ Τύρου, ἐφρόνει μεγάλως, σοφίᾳ τε καὶ δυναστείᾳ πάντας νικῶν· καὶ ὅσῳ μεγίστη ἦν ἡ τοῦ Βαβυλωνίου δόξα, τοσούτῳ πλέον ἐφυσᾶτο, μείζονα φρονῶν ἢ κατὰ ἄνθρωπον, ὡς καὶ τοῦ πάντων κρατοῦντος Ναβουχοδονόσορ ἀμείνων ὀφθῇ.

Οὐκ εἶπεν ἐλογίσω, ἀλλὰ καὶ ἐφθέγξω, τουτέστιν ἐκύρωσας τὴν γνώμην· εἶτα τῆς ἐννοίας ἡ κατασκευή· κατοικίαν θεοῦ κατῴκηκα ἐν καρδίᾳ v. 2.
θαλάσσης· πανταχοῦ φαίνεται καρδίαν θαλάσσης καλέσας τῶν ἐξ αὐτῆς ἀγαθῶν τὸ ἐξαίρετον.—
Ὥσπερ γάρ, φησι, θεὸς ἐν οὐρανῷ τὴν κατοι- v. 2.
κίαν ἔχων, ἀσύγκριτον ἔχει τὴν ἰσχὺν, οὕτω

καὶ αὐτὸς παράλιον κατοικῶν πόλιν, τὰ ἐκ τῆς
θαλάττης κομιζόμενα ἀγαθά· κρείττων κατά τε
σοφίαν καὶ ἰσχὺν τυγχάνων ἁπάντων.—Τουτέστι
διέψευσαι τὸν λογισμόν.—Τουτέστι μείζονα τῆς
φύσεως ἐφρόνησας.—Σοφοὺς καλέσας τοὺς βα-
βυλωνίους μάγους τὲ καὶ μάντεις, καὶ τῶν ἀπο-
βησομένων αὐχοῦντας τὴν εἴδησιν.—Ἀντὶ τοῦ,
μὴ ἤρκεσας αὐτῷ πρὸς τὴν φυλακὴν τῶν προσ-
όντων· δύναμιν γὰρ νῦν ἐκάλεσε καὶ τὴν ἀπὸ
τῶν συμμάχων ἰσχύν.—Ἀντὶ τοῦ, ὧν δοκεῖς
καταφρονεῖν, τούτους σοι συμφορὰν ἐποίσω.—
cod. f. 218. b. Ἀντὶ τοῦ τῆς σῆς πόλεως εὐπρέπειαν περιαι-
ρήσουσιν· κάλλος γὰρ καλεῖ τὴν περικειμένην τῇ
πόλει δόξαν.—Ἀντὶ τοῦ ἐδαφιοῦσι τῆς πόλεως
τὴν εὐπρέπειαν.—Ἵνα εἴπῃ, παντελῶς διαφθε-
ροῦσιν.—Τουτέστι θανάτου δίκην εἰσπράξομαί
σε, ὥστε σοι μηδὲν κέρδος γενέσθαι τῶν ἐκ θα-
v. 10. λάσσης ἀγαθῶν.—Ηὔξησε τὴν τιμωρίαν διὰ τού-
των· σὺ γάρ, φησιν, ὁ πάντων δόξας κεκρατη-
κέναι, παρανάλωμα τῆς τῶν πολεμίων γενόμενος
δεξιᾶς, οὐδὲ τάφῳ καταλείψεις τὴν μνήμην· θαυ-
μασίως δὲ τὸ, θανάτοις ἀπεριτμήτοις ἔφη· ἐπει-
δὴ γὰρ οἱ Ἰουδαῖοι ἦσαν ᾑρημένοι ὑπὸ Βαβυλω-
νίων, ἀφ' ὧν μάλιστα καὶ κατὰ θεοῦ ἠλαζονεύ-
σαντο, βουλόμενος δεῖξαι ὡς οὐ περικλείεται τῇ
Ἰουδαίων βασιλείᾳ ἡ αὐτὴ δυναστεία, ἐκείνους
ὑπερέτας τῆς αὐτοῦ ἀποφάσεως εἶναι τοὺς νομι-
ζομένους, ἀλλοτρίους τὲ δεῖξαι ὅτι ἁπάντων κύ-
ριος καθεστὼς κατὰ τὸ δοκοῦν ἅπαντα γίνεσθαι
κελεύει.—Ἡ ἐμή, φησιν, ἀπόφασις κρείττων φα-
νεῖται τῆς προσούσης σοι ἰσχύος.

Κελεύεται θρῆνον λαβεῖν οἱονεὶ προμηνῦσαι
τὴν ἐπὶ τὸ ἐναντίον τῶν πραγμάτων μεταβολήν,
καὶ τὴν ἀπὸ τοῦ θεοῦ ἀλλοτρίωσιν.—Τὸ δὲ ἐν
v. 12. μέσῳ τῆς μνήμης τῶν λίθων κεῖσθαι ἀργύριον
καὶ χρυσίον, οὐ παραλλαγὴν δείκνυσιν πρὸς τὰ
παρὰ τοῦ Μωϋσέως εἰρημένα, ἀλλὰ τὴν τῶν λί-
θων ὑφὴν σημαίνει, δι' ὧν συνείχοντο περισφιγ-
γόμενοι.—Ἐκ γὰρ τῆς πρὸς Σολομῶνα φιλίας, καὶ
τῆς περὶ τὸν ναὸν σπουδῆς, εἴς τε δόξαν καὶ πλοῦ-
τον ἐπέδωκεν.—Τουτέστιν ἐξ ἁρπαγῆς καὶ πλεο-
νεξίας καὶ τῆς εἰς τὸν θεὸν ὕβρεως, κατά τε γῆν
καὶ θάλατταν ἐδυνήθης τοσοῦτον πλοῦτον ἀγεῖραι.

Μετήχθης οὖν ἀπὸ τῆς τῶν ἁγίων διατριβῆς cod. f. 219. a.
καὶ κατήχθης ὑπὸ τῆς ἄνω δυνάμεως.—Ἐγώ,
φησιν ὁ θεός, ἀπὸ τῶν χερουβὶμ χρηματίζων,
ὃν ἐγνώρισαν οἱ πρόγονοί σου, καὶ τοῖς εἰς ὕστε-
ρον μετέδωκαν τῆς εὐσεβείας τὴν διδασκαλίαν,
δίκην σε εἰσπράττομαι· δι' ἑκατέρων δεικνὺς τὴν
ἐμαυτοῦ δεσποτείαν· δι' ὧν τε εὐδοκοῦντα ηὔξησα
ἐν ἀγαθοῖς, καὶ παρανομοῦντα κολάζων.—Λί- v. 14.
θους πυρίνους λέγει τὰς πλάκας τὰς ἐχούσας
τὰς φωνὰς τὰς διὰ τοῦ πυρὸς ἐνεχθείσας· τὴν
γὰρ δεκάλογον ἀπὸ τοῦ πυρὸς τοῦ ἐν τῷ Σινᾷ
ὄρει δειχθέντος δημηγόρευσεν ὁ θεός. Καὶ πάλιν.
Ἀντὶ τοῦ πεῖραν ἔσχηκας τῶν ἐμῶν νομίμων,
ἀφ' ὧν δείκνυται ὡς οὐκ ἄμοιρος τῆς εὐσεβείας ἦν.
—Ἐφρόνησας τῆς φύσεως μείζονα, ἀπὸ τῆς προσ-
ούσης δόξης· κάλλος γὰρ νῦν τὴν βασιλείαν λέ-
γει.—Ἀντὶ τοῦ τὴν ἐντρέχειαν καὶ τὴν φρόνησιν
ἐλεγχθήσῃ ἀποβαλὼν καὶ τὴν δόξαν.—Τὸ δὲ εἰς v. 17.
γῆν ἔρριψά σε, πρὸς τὴν ἐκείνου ὑπόληψιν εἴ-
ρηκεν.—Τουτέστι παρ' οἷς ἐπίδοξος ἐγένου, ὑπὸ
τούτων ἔσῃ καταγέλαστος.—Τουτέστι, οὐδεμίαν
ἐλπίδα ἕξεις ἀνακλήσεως.—Ἵνα εἴπῃ τὸ προσὸν
σοι ἐξαίρετον ἀπώλεσας· ὥστε μηδὲν τῶν πολλῶν
διαφέρειν· τοῦτο δὲ ἔφη ἐπειδὴ Ἰουδαίους τιμω-
ρούμενος ῥητῷ χρόνῳ, ἀριθμοῦ περιώρισε τὴν
συμφοράν.—Ὅτι μὲν οὖν εἰσί τινες καὶ ταύτην
τὴν ὅρασιν οὐ περὶ ἀνθρώπου βουλόμενοι λέγε-
σθαι, ἀλλὰ περὶ διαβόλου, οἶδα σαφῶς· ἐγὼ δὲ
πολλῆς ἀπάτης γέμειν καὶ ταύτην τίθεμαι τὴν
ἔννοιαν.

Ἐμφαίνει διὰ τούτων τῶν ῥημάτων τὴν κατὰ cod. f. 219. b.
τοῦ θεοῦ τῶν ὅλων ἀλαζονίαν.—Τουτέστιν ἐκβα-
λῶ σε τῆς ἰδίας χώρας.—Ἀντὶ τοῦ οὐχ ὑπο-
στήσεις αὐτοῦ τὴν ἔφοδον.—Ἀντὶ τοῦ, πᾶν τὸ
πλῆθος μετὰ σοῦ διαφθερῶ.—Ἀντὶ τοῦ ἄταφος
ἔσῃ κείμενος, διὰ τὸ κοινὸν ἅπαντας τὴν συμφο-
ρὰν τοῦ θανάτου καταλήψεσθαι, καὶ μὴ εἶναι
τὸν πληροῦντα τὰ νενομισμένα ἐπὶ τοῖς τετελευ-
τηκόσι.—Σημαίνει δὲ τὴν ἐπὶ τοῦ Ἰωακεὶμ βοή-
θειαν ὑπὸ τοῦ αἰγυπτίου γενομένην Ἰουδαίοις,
κατὰ τὸ τέταρτον ἔτος τῆς τούτου βασιλείας,
ἡνίκα ὁ μὲν Ἰωακεὶμ ὑπὸ φόρον τυγχάνων τῷ
Ναβουχοδονόσορ, ἀποστατῶν ὡμολογημένων, ἃ

Cap. XXIX. incipit in praec. pag. voc. ἐμφαίνει.
δὲ αἰγύπτιος ὑπισχνεῖτο τὴν αὐτοῦ βοήθειαν·
καὶ ἡττηθεὶς ἀνεχώρησεν, ὡς κἀν ταῖς βασι-
λείαις εἴρηται, καὶ σαφέστερον ὁ Ἱερεμίας ἐν
τοῖς οἰκείοις διδάσκει λόγοις· τὸ οὖν ἐγενήθης
v. 7. ῥάβδος καλαμίνη τῷ οἴκῳ Ἰσραὴλ, ἀντὶ τοῦ ὑπο-
σχόμενος τὴν βοήθειαν, ὠφέλησας μὲν οὐδὲν,
ἔβλαψας δὲ, δίκην καλάμου περιπαρεὶς τοῖς ἐπι-
v. 8. στηριζομένοις.—Ἀντὶ τοῦ ὅτ' ἂν παρὰ γνώμην
ἐμὴν τὴν σὴν ἐπικαλεσάμενοι βοήθειαν, ἔγνωσας
ἐκ τοῦ τέλους τῆς ἀποστασίας τὸ ἐπιβλαβές.—
v. 10. Τὸ δὲ ἀπὸ Μαγδωλοῦ, ὁ ἑβραῖος ἀπὸ Μαγδὰ
ἔχει· σημαίνει δὲ ἡ λέξις εἰς τὴν ἑλλάδα μετα-
φερομένη γλῶτταν, πύργος· ἵνα ᾖ τοιοῦτός τις
νοῦς· ἵν' ἀπὸ τοῦ πύργου τῆς Συήνης καὶ ἕως
τῶν ὁρίων Αἰθιόπων ἐπάξω τὴν τιμωρίαν—Αἰ-
θίοπας δὲ λέγει τὰς παρὰ τοῖς παλαιοῖς λεγο-
μένας αἰγυπτίας Θήβας· ἐπεὶ καὶ νῦν μέν εἰσι
κεχωρισμέναι, πολλῷ δὲ πλέον τότε οὐ κατὰ πα-
τρίδας καὶ γένη μόνον πάντων διῃρημένων ἀλλὰ
καὶ κατὰ τόπον ὄντων τῶν κρατούντων.—Ἐν-
ταῦθα ποῦ πληροῦσθαι τεσσαρακοστὸν ἔτος τῆς
αἰχμαλωσίας, οὐκ ἔστι δῆλον, ἐπεὶ μηδὲ τὴν
ἀρχὴν τῶν ἐτῶν ἐδήλωσεν ὁ προφήτης. Καὶ μετ'
ὀλίγα. Θαυμάσειε δ' ἄν τις ὅτου περ ἕνεκεν νῦν
μηνύει Αἰγυπτίων ἐπάνοδον, ἐπ' οὐδενὸς αὐτὸ τῶν
λοιπῶν ἐθνῶν πεποιηκώς· καὶ τοῦτο προσέθηκε,
δεικνὺς τὸ εὔλογον τῆς ἐφ' ἑκάστῳ τιμωρίας·
ἐπειδὴ γὰρ οἶμαι καταφυγόντας Ἰουδαίους εἰς
Αἴγυπτον μετὰ τὴν τοῦ Γοδολίου τελευτὴν, οὐ-
δὲν αὐτοῖς κακῶς διατεθείκασιν, Αἰγύπτιοι καὶ
ταῦτα τοῦ Ἱερεμίου προλέγοντος τῆς χώρας τὴν
ἀπώλειαν· τῆς εἰς Ἰουδαίους οἶμαι ἡμερότητος
ἀμοιβὴν αὐτοῖς ἀντιδιδοὺς ἐπηγγείλατο αὐτοῖς τὴν
ἐπάνοδον χαρίζεσθαι.
v. 17. cod. f. 220. a. Ἕβδομον μὲν οὖν καὶ εἰκοστὸν ἔτος λέγει τῆς
βασιλείας Ναβουχοδονόσορ, ἀρχὴν δὲ τῆς βα-
σιλείας τίθησι τὸ τέταρτον ἔτος τῆς τοῦ Ἰωα-
κεὶμ βασιλείας· οὕτω γὰρ ἀριθμεῖν τοὺς χρό-
νους τοῦ βαβυλωνίου ἔθος τῇ θείᾳ γραφῇ, ὡς
καὶ ἐν ἑτέροις δέδεικται, καὶ μάλιστα τοῖς εἰς τὸν
Δανιὴλ ἡμῖν πονηθεῖσιν 1)· ὡς εἶναι τὸ ὄγδοον ἔτος
παντελοῦς ἁλώσεως Ἱεροσολύμων τέλος τοῦ ἑβ-
δόμου καὶ εἰκοστοῦ ἔτους· ἐπεὶ μὲν οὖν τῆς Ἰου-
δαίων ἁλώσεως τῇ πρεπούσῃ τάξει κέχρηται, ἀρ-
ξάμενος μὲν ἀπὸ τοῦ πρώτου ἔτους τῆς βασιλείας
τοῦ Σεδεκίου· ἐπεὶ καὶ μέχρι τῶν τοῦ Γοδολίου
χρόνων ἔληξε προφητεύων· ἐπειδὴ δὲ χρόνους τῆς
αἰγυπτιακῆς ἁλώσεως ἔδει μνημονεῦσαι, ἀφεὶς
τοὺς ἑβραϊκοὺς, ὡς ἂν μὴ σύγχυσιν ἐργάσηται,
μετῆλθεν ἐπὶ τοὺς χρόνους τῆς ἐξουσίας τοῦ
κρατοῦντος, οὐδὲ τοὺς καιροὺς ἀδιακρίτους κα-
ταλιμπάνων, καὶ τοῦτον διδάσκων προσηκόντως·
τοῦτο τοίνυν τὸ ἕβδομον καὶ εἰκοστὸν ἔτος, ἔστιν
ὄγδοον τῆς παντελοῦς ἁλώσεως τῶν Ἱεροσολύμων·
τίθησι γὰρ κατὰ τὸ σύνηθες τῇ γραφῇ τὸ τέταρ-
τον ἔτος τῆς τοῦ Ἰωακεὶμ βασιλείας, πρῶτον τῆς
ἀρχῆς τοῦ Ναβουχοδονόσορ· λογιστέον τοίνυν ὀκ-
τὼ μὲν τοῦ Ἰωακεὶμ ἔτη· ἕνδεκα δὲ τοῦ Σεδε-
κίου, ἡνίκα καὶ τὴν παντελῆ ἅλωσιν ὑπέστη ἡ
Ἱερουσαλήμ· καὶ ὀκτὼ ἕτερα ὅτ' ἂν καὶ τῆς κατ'
Αἰγυπτίων δηώσεως ἤρξατο ὁ βαβυλώνιος· ἐπε-
σημαίνετο δὲ τοῦτον τὸν χρόνον ὁ προφήτης οὐχ
ὡς ἐν τούτῳ ποιούμενος τὴν προφητείαν, ἀλλ' ὡς
ἐνταῦθα ἐκβαινούσης τῆς κατ' Αἰγυπτίων προῤ-
ῥήσεως· τίνος ἕνεκεν; ἵνα ἀπὸ τούτου λοιπὸν συλ-
λογιζώμεθα καὶ τὸν χρόνον τῶν μ' ἐτῶν, ὧν
ἐν τῇ ἀποικίᾳ Αἰγυπτίους ἔφασκεν ἔσεσθαι· τεύ-
ξεσθαι τινὸς παραμυθίας μετὰ τοῦτον τὸν χρό-
νον εὑρήσει κατὰ τὸν τεσσαρακονταετῆ χρόνον
πληρούμενον κατὰ τὴν τῶν Ἰουδαίων ἐπάνοδον· τὸ
τοίνυν ἕβδομον καὶ εἰκοστὸν ἔτος τῆς παντελοῦς
αἰχμαλωσίας Ἱεροσολύμων· ὡς λείπεσθαι λοιπὸν
ἄχρι τοῦ πρώτου ἔτους Κύρου τοῦ βασιλέως ἐνι-
αυτοὺς μγ'· εἰ δὴ οὖν τις κατὰ τοῦτον τὸν και-
ρὸν ἐννοήσειε τὸν βαβυλώνιον ἐπιδεδραμηκότα τὴν
Αἴγυπτον, καὶ λογίσεται τρεῖς ἐνιαυτοὺς ἢ δύο
τῆς τοῦ πολέμου τριβῆς, εὑρήσει κατὰ τὴν ἀρ-
χὴν τῆς Κύρου βασιλείας πληρούμενον τὸν τεσ-
σαρακονταετῆ χρόνον.
Ἵνα εἴπῃ ἐπὶ πολὺ πονῆσαι τὸν στρατὸν πε- v. 18.
ποίηκε—Ἐνταῦθα λέγει τὴν περὶ τὸ σῶμα τα-
λαιπωρίαν τῶν πεπονηκότων· εἰκὸς γὰρ αὐτοὺς
καὶ ἀῤῥωστήμασι τισὶ περιπεσεῖν ἐκ τῶν πόνων·
τὸ γὰρ πᾶς ὦμος μαδῶν, ἀκριβῶς τοῦ πόνου

1) Commemorat Polychronius explanationem suam in Danihelem, quam nos edidimus in tomo I. Script. vet.

ἐμφαντικὸν καθέστηκεν.—Τὴν πόλιν ἑλὼν ὁ βαβυλώνιος, οὐδὲν ἀπήλαυσε τῶν ἐν τῇ πόλει ἀγαθῶν· παράλιος γὰρ ἦν ἡ πόλις καὶ πλεῖον κατὰ θάλατταν ἢ τοῖς τείχεσιν ἴσχυεν· εἰκὸς οὖν θεασαμένους ἑαυτοὺς ἐν δεινοῖς ἐξεταζομένους μετασκευάσαι τὸν πλοῦτον. Καὶ μεθ' ἕτερα. Ἀλλ' ἴσως τισὶ θαυμαστὸν εἰ διακόνῳ θεὸς κατὰ τῶν ὑπευθύνων χρησάμενος τῷ βαρβάρῳ, τοὺς μὲν εἰσεπράξατο τὴν δίκην, τοῦτον δὲ ἔρημον τῶν πόνων ἔδειξεν· λύων τοίνυν τὸ ἀπορούμενον ὀξέως ἐπάγει, διὰ τοῦτο τάδε λέγει ἀδωναῒ κύριος.—Παραδηλοῦν γὰρ οἶμαι ἐνταῦθα τὸν προφήτην ὡς ὁ Ναβουχοδονόσορ ὤκλασεν μὲν πρότερον πρὸς τὴν πολιορκίαν τῆς Τύρου, προεθυμήθη δὲ λογιζόμενος τὰ κατὰ Ἰουδαίους, καὶ πιστεύων ὡς ἀποφάσει πέπειστο Ἰουδαίων περιγενέσθαι· μάρτυς Ἱερεμίας· λέγει γὰρ τὸν Ναβουζαρδὰν εἰπεῖν πρὸς τὸν προφήτην· κύριος ὁ θεός σου ἐχρημάτισε τὰ κακὰ ταῦτα ἐπὶ τὴν πόλιν ταύτην· ἐποίησε κύριος καθὰ ἐλάλησεν, ὅτι ἡμάρτετε αὐτῷ, καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς αὐτοῦ· ἐντεῦθεν θαῤῥῶν καὶ τῇ κατὰ Τυρίων νίκῃ, προσέδρευσε τῇ πολιορκίᾳ.

v. 21. Ἵνα εἴπῃ τὸ τηνικαῦτα, ὅτι ἐκεῖνοι τούτων τῶν δεινῶν ἀπαλλαγῶσιν.—Οὐκ ἐν τῇ ἐπανόδῳ λέγει, ἀλλὰ τούτων ἐκβάντων τῶν εἰρημένων κατ' Αἰγυπτίων· ἐπειδὴ γάρ, φησι, νῦν ἀγνώμοσι συμβαίνει δὴ πάντας ἀποίκους εἰς Βαβυλῶνα γενέσθαι, μέλλεις τότε σὺν αὐτοῖς διατρίβειν· ἐπειδὰν παρ' ἐλπίδας θεάσονται τὴν Αἴγυπτον ἐρεθεῖσαν, καὶ μηδὲν ἀπωναμένους τῆς εἰς τὸν προφήτην παρακοῆς τοὺς εἰς Αἴγυπτον ἐλθόντας· τότε μετὰ παῤῥησίας φθέγξῃ ἐλέγχων αὐτῶν τὴν ἀγνωμοσύνην· ὅπερ λέγει πεποιηκέναι ἐπὶ τῶν Ἰουδαίων, γράψας μὲν τὴν ἡμέραν καθ' ἣν ἐπέστη ὁ βαβυλώνιος τοῖς Ἱεροσολύμοις· ἐλέγξας δὲ αὐτοὺς τῆς προῤῥήσεως ἐκβάσης.

C A P. XXX.

v. 4. cod. f. 220. b. Τοῦτο δὲ οὐ μόνους Ἰουδαίους ἔπληττεν, ἀλλὰ καὶ Αἰγυπτίους· οὐ μικρὰν γὰρ ἐνόμιζον ἔχειν συμμαχίαν, τούτων τὴν συνουσίαν.—Ἵνα εἴπῃ ὅτι ὥσπερ ἤδη τοὺς πρότερον τὴν Τύρον οἰκοῦντας, καὶ τοὺς μὲν ἐν στρατηγῶν ὄντας τάξει, τοὺς δὲ συντελοῦντας τί εἰς κάλλος τῆς πόλεως, τοὺς δὲ αὔξοντας τῇ ἐμπορίᾳ τῶν αὐτόθι, τὸν πλοῦτον πάντα ἀπώλεσα· οὕτως καὶ αἰγύπτιος εἰ καὶ τοὺς ἁπανταχοῦ συναγάγοιεν πρὸς συμμαχίαν, οὐδὲν αὐτοῖς ἔσται πλέον ἀπὸ τοῦ πράγματος· οὐδενὸς ἀρκοῦντος πρὸς τὴν ἐμὴν ἀπόφασιν.—Τουτέστιν οὐδὲν ἕξουσιν ἀσφαλὲς ἔχυρον σωτηρίας, καὶ ἐλεγχθήσονται μάτην ἀλαζονευόμενοι.

Κἀνταῦθα Μαγδωλὸν, οὐ πόλιν ἔφη, ἀλλ' v. 6.
ὡς ἔμπροσθεν εἴπομεν, ἀπὸ τοῦ πύργου τῆς Συήνης ἕως Αἰθιοπίας· ἵνα δείξῃ ὅτι ἑκάτεραι αἱ χῶραι τῆς συμφορᾶς ἀπολαύσουσιν.—Τουτέστιν, οὐδὲν πλέον ἕξει τῶν λοιπῶν, οὓς ἡττήσας ὁ βαβυλώνιος ἔσχεν ὑποχειρίους.—Τουτέστιν, ὅτ' ἂν δίκην πυρὸς ἐπελθεῖν τῇ Αἰγύπτῳ ποιήσω τὸν βαβυλώνιον, καὶ πάντα ἐπινείμασθαι· τότε γὰρ καὶ ἄκοντες ὁμολογήσουσί μου τὴν δεσποτείαν.—Τὰ ἐν ταῖς ἁλώσεσιν ἐξ ἀνάγκης συμβαίνοντα προσέθηκε· τὸ τηνικαῦτα γάρ, φησιν, ὅτ' ἂν ὁ βάρβαρος ἐπελθὼν ἀνύποιστος ᾖ πᾶσιν, οὐκ ἀρκοῦντες πρὸς τὸ δεινὸν, οἱ πολλοὶ εἰς ἑτέρας ἀποφυγόντες χώρας, ἔσονται ἄγγελοι τῶν αἰγυπτιακῶν συμφορῶν.—Ἡ δὲ προσθήκη τοῦ ἰδοὺ ἥκει, ἀντὶ τοῦ ἐπεὶ μὴ δυνατὸν ἦν παρελκυσθῆναι τὸν χρόνον τῆς τῶν Αἰγυπτίων ἀπωλείας.

Βούλεται δεῖξαι ὡς οὐ τὴν ἐπ' εὐθεῖαν μό- v. 16.
νον ὁ βάρβαρος τὰς ἐμπιπτούσας διαφθείρει, ἀλλὰ καὶ τὰς ἄποθεν καὶ τὰς παρεκάτερα κειμένας· τοῦτο γὰρ μηνύει τὸ ἔκρηγμα, ἀπὸ μεταφορᾶς αὐτὸ λαβὼν τῷ σφοδρῷ ὑδάτων ἀναῤῥηγνύντων τῶν χωμάτων τὰς κατασκευάς.—Ἀκολούθως τῇ μεταφορᾷ κεχρημένος, τὸ εὔ-
κολον τῆς ἐφόδου γνωρίζων.—Ἔοικεν ἐπεμφαί- v. 18.
νειν ὡς ἐπ' ὀχυρωτέραν μὲν ταύτην τὴν πόλιν καταδραμοῦνται, τῶν λοιπῶν ἀποχωροῦντες· πρὸς δὲ τὴν τοῦ βαρβάρου ἔφοδον, εἰς ἐσχάτην ἀπόγνωσιν καταστήσονται, ἐκ τῶν προλαβόντων, καὶ ταύτης αἱρήσεσθαι ἐλπίζοντες· ὥστε τῷ μεγέθει τῆς συμφορᾶς, μηδὲν διαλλάττειν τῶν ἐν τῷ σκότῳ ἐξεταζομένων.—Τουτέστι καὶ τὰς λοιπὰς πόλεις τοῖς ὁμοίοις περιβαλῶ—Τουτέστιν

ἐνόμισεν ἀρκεῖν κατὰ πόλεμον.—Ἵνα εἴπῃ τοὺς
ἰσχυροὺς εἰς πόλεμον.—Οὓς ἤδη πρότερον συνέ-
τριψα ἰσχύοντας.—Εἰς τοσαύτην ἀσθένειαν αὐ-
τὸν καταστήσω, ὥστε μηδ' ἀντάραι χεῖρας εἰς
πόλεμον δύνασθαι.

C A P. XXXI.

v. 1. cod. f. 221. a. Ἐνδέκατον ἔτος λέγει τῆς Σεδεκίου βασι-
v. 3. λείας· τοῦτο δέ ἐστι τὸ ἔτος ἐν ᾧπερ καὶ τὴν
ἐσχάτην ἅλωσιν Ἰουδαῖοι ὑπέμειναν.—Λίβα-
νον λέγει τῆς γῆς τὴν ἐπαγγελίαν, ἀπὸ τοῦ
καὶ μέχρις ἐκεῖ διατετάσθαι τὸν Λίβανον.—
Ὕδωρ καλεῖ τοὺς παρὰ τῶν ἐθνῶν δασμοὺς,
καὶ τῆς βασιλικῆς τραπέζης τὴν πολυτέλειαν,
καὶ ἀπὸ τοῦ χρόνου αὔξονται τὰ λεγόμενα.—
Ἵνα εἴπῃ τῶν ὑπηκόων τὸ πλῆθος· ἀνηγόρευσέ
τε βασιλέα, καὶ τῇ θεραπείᾳ ἐπίδοξον πεποίηκεν.—
Ποταμοὺς καλεῖ τὰ τάγματα τὰ στρατιωτικά·
τὸ δὲ κύκλῳ τῶν φυτῶν αὐτοῦ, ἵνα εἴπῃ ἐν τῇ
περὶ αὐτοῦ θεραπείᾳ.—Τουτέστιν ἐπὶ πλεῖστον
ἐξέτεινεν αὐτοῦ τὴν ἀρχήν·—Παραφυάδας λέγει
τοὺς ἄρχοντας, τοὺς κατὰ τὰ ἔθνη παρ' αὐτοῦ
ἐκπεμπομένους.—Ἀντὶ τοῦ ὑπερηφανεῖς τὸν βίον
κατὰ τὸν βίον καὶ περίβληπτοι ἦσαν ὑπὸ τὴν
τούτου διοίκησιν.—Ἵνα εἴπῃ τῆς αὐτοῦ προστα-
σίας πάντες ἐδέοντο.—Ἀντὶ τοῦ λαμπρὸς κατὰ
τὴν βασιλείαν ὤφθη, πολλοὺς καὶ καλοὺς ἔχων
v. 4. τοὺς ὑπηκόους.—Ὕδωρ τὰ παρ' ἑκάστου τέλη λέγει,
ἀφ' ὧν εἴωθεν αὔξεσθαι ἡ βασιλικὴ θεραπεία.

v. 8. Παράδεισον θεοῦ καλεῖ τὴν τῆς γῆς ἐπαγ-
γελίαν· βούλεται δὲ εἰπεῖν ὅτι οὐδεὶς τῶν ἐν Ἱε-
ρουσαλὴμ βασιλέων οὕτω γέγονεν λαμπρὸς καὶ
περίβλεπτος· οὐδεὶς γὰρ αὐτῶν ἐξέτεινε τὴν ἀρ-
χὴν εἰς ὅσην ἀσσύριος.—Ἐκλάβοιμεν οὖν ἀντὶ
τὰς πίτυς καὶ τὰς ἐλάτας εἰς ἄρχοντας· οὐκ ἂν
δέ τις ἁμάρτοι λαμβάνων καὶ τοὺς κριτὰς κατ'
ἐκεῖνον τὸν καιρὸν, καὶ τῶν δέκα φυλῶν τὴν βα-
σιλείαν· ἄρχοντας δὲ μεταφορικῶς εἴποι ἄν τις
κλάδους τῶν βασιλέων· ἵνα πάντα τὸν χρόνον τῆς
ἀρχῆς τῆς παρὰ Ἰουδαίοις τῇ βασιλείᾳ Ἀσσυρίων
ἀντεξετάσας, δείξῃ ἐλάττονας τούτους γενομένους.

v. 10. cod. f 221. b. Τοὺς κατὰ πόλεμον λαμπροὺς ἐνταῦθα λέγει,
οὐ τοὺς κατὰ θείαν χάριν περιφανεῖς γεγενημέ-
νους.—Τουτέστιν ἐπεθύμησαν ἀπολαῦσαι τῆς
ἐκείνου δόξης.—Τὸν εἰς τοσοῦτον ἐκτείναντα τὴν
βασιλείαν, καὶ ζηλωτὸν παρὰ Ἰουδαίοις γενόμε-
νον, ἐπειδήπερ οὐκ ἔγνω χάριν τῷ δεδωκότι,
εἰσεπραξάμην δίκην.—Ἴσως μὲν οὖν καὶ τόπον
νῦν λέγει, ἐν ᾧπερ τοῦ πολέμου ἡ κρίσις γεγέ-
νηται· ἔστι δὲ τοῦτο λαβεῖν καὶ κατὰ μεταφο-
ρὰν ὡς ἐπὶ δένδρου· τοῦτο γὰρ ὑπεμφαίνει καὶ
τὸ ἐπαγόμενον.—Ἀκολούθως ἔμπροσθε ταῦτα
ἐπαγαγών.—Ἵνα εἴπῃ ὅτι τὴν ἀρχὴν παντελῶς
κατέλυσα.—Ἵνα εἴπῃ κατεφρόνησαν αὐτοῦ, ἐγνω-
κότες ἑτέρῳ δεῖν ὑπακούειν·—Τουτέστι καὶ συνέ-
πραξαν τῷ κρατοῦντι εἰς τὴν ἐκείνου ἀπώλειαν.—
Τουτέστιν οὐκέτι οἱ ἐπίδοξοι ἐπ' ἐκείνῳ ἐφρόνουν
μεγάλα.—Τὸν ὅμοιον, φησὶ, τρόπον τοῖς λαμ-
προῖς καὶ ἐπιδόξοις κατὰ τὸν βίον καὶ οἱ λοιποὶ
πάντες διετέθησαν· ἵνα εἴπῃ οἱ ἤδη πρότερον
ἐπ' αὐτῷ πεποιθότες, τῆς βασιλείας ὑπερίδον.—

Ταῦτα δέ, φησι, περὶ ἐκείνων πεποίηκα, ὡς ἂν v. 13.
ἕκαστος ἐν ὑπερηφανίᾳ γενόμενος, ἐπίγνωσίν τε
λαμβάνῃ τοῦ δημιουργοῦ τῶν ὅλων, καὶ γιγνώ-
σκῃ χάριν τῷ δεδωκότι τὴν τιμήν.—Ἵνα εἴπῃ
ὅτε, φησιν, καὶ περιγένοιντο Ἰουδαίων, μὴ οἴ-
ονται αὐτοῦ τοῦ θεοῦ κεκρατηκέναι, ἀλλὰ λογί-
ζονται ὡς ἐκείνων διὰ τὴν εἰς ἐμὲ πλημμέλειαν
ἀμείνους ὤφθησαν.—Ὥστε, φησὶν, μὴ ἀπὸ τῆς
τιμῆς τῆς περὶ αὐτοῦ γενομένης τρόπον τινὰ
ἀντοφθαλμεῖν τῷ θεῷ.—Ἵνα εἴπῃ οἱ ἀπολαύον-
τες τῶν κατὰ τὸν βίον λαμπρῶν.—Ἔστι δέ,
φησιν, οὐκ ἐπὶ τοὺς Ἀσσυρίους μόνον ἰδεῖν, ἀλ-
λὰ καὶ πάντων τῶν πάλαι εἰς ἐμὲ ἐξυβρισάν-
των, διαδραμοῦσαν τὴν δίκην.—Ἀντὶ τοῦ πάν-
τες ἐξεπλάγησαν ἐπὶ τῇ ἀθρόᾳ μεταβολῇ τοῦ
ἀσσυρίου.—Ἀντὶ τοῦ πάντες οἱ πρότερον τιμῶν-
τες ἀσθενήσαντι ἐπέβησαν.—Τουτέστιν ὁ στρα-
τὸς πρὸς τὸν βαβυλώνιον μετετάξατο.—Οὐκέτι
ἐκείνῳ ἐτέλουν τοὺς φόρους.—Τουτέστιν ἅπαντας
πολὺς φόβος κατείληφε.—Τουτέστιν ἐξάκουστος
γέγονεν ἡ κατ' αὐτοῦ τιμωρία.—Τουτέστιν οὐκ
ἀνδρεῖος ἐτελεύτησεν ἀλλὰ παραπλήσιον ἔσχε τὸ
τέλος.

Ξύλα τρυφῆς λέγει Ἰουδαίους, ὡς ἀφθόνως v. 16.
ἀπολαύοντας τῶν παρὰ θεοῦ καλῶν, ὁμοίως τῇ με-

cod. f. 222. a. ταφορᾷ κεχρημένος.—Ἵνα εἴπῃ τοὺς λαμβάνοντας παρὰ τῶν ὑπηκόων φόρους πλείστους διέφθειρα, καὶ τοῖς ἐναντίοις ἐξέδωκα, ἐλέγχων αὐτοὺς ἐπὶ τοῖς ἁμαρτήμασιν.—Ὁμοίως γὰρ φαίνονται, φησὶ, τῷ ἀσσυρίῳ καὶ Ἰουδαῖοι πολλοὶ ἀπολωλότες· ἀνίττεται δὲ τῶν δέκα φυλῶν τὴν αἰχμαλωσίαν, ἤδη γεγενημένων πιστούμενος τὴν κατ' Αἰγυπτίων ἀπὸ τῶν ἀπόφασιν.—Ὁμοίως μὲν οὖν Ἰουδαίοις, φησὶ, τὸν ἀσσύριον διέφθειρα· ἀλλὰ τοῖς μὲν ἀνάκλησιν ἐπηγγειλάμην, ἐκείνου δὲ παντελῶς τὴν βασιλείαν καθεῖλον.—Μηδεμίαν, φησὶν, ὦ οὗτος, ἐλπίσῃς σωτηρίαν, λογιζόμενος ὡς οὐδὲ Ἰουδαῖοι τῆς παρ' ἐμοῦ πολλῆς ἀπολαύσαντες προνοίας διέφυγον τὴν τιμωρίαν ἐπταικότες εἰς ἐμέ· ὁ γὰρ τῶν οἰκείων ἁμαρτανόντων μὴ φεισάμενος, πολλῷ μᾶλλον σὲ τῆς ἀλαζονίας εἰσπράξομαι τὴν δίκην.—Καλῶς ἀκριβέστατα διεξελθὼν τὰ κατὰ τὸν ἀσσύριον, καὶ μνημονεύσας τῶν δι' ἁμαρτίας ἀπολωμένων Ἰουδαίων, ἠρκέσθη τῷ τε παραδείγματι καὶ τῇ τοῦ Θεοῦ μνήμῃ, ἵνα καὶ ἀπὸ τῆς ἀξιοπιστίας τοῦ εἰρηκότος, καὶ ἀπὸ τῶν ἤδη ὡμολογημένων ἀναμφισβήτητος γένηται τῆς ἀποφάσεως ἡ ἀλήθεια.

CAP. XXXII.

v. 2. Ἀντὶ τοῦ παραπλήσιος ἐγένου τῷ ἀσσυρίῳ, ὡς λέοντος δίκην ἐπιὼν τοῖς λοιποῖς, πάντα εἵρει κατ' ἐξουσίαν· κατὰ δὲ τὸ οἰκεῖον ἔθος πρότερον τὴν περιφάνειαν, καὶ τὴν κατὰ πάντων ἰσχὺν λέγει τοῦ αἰγυπτίου, ἵνα ἡ ἧττα μὴ ἀπὸ τῆς ἀσθενείας τοῦ νικωμένου δειχθῇ· καὶ οὐκ ἐπειδὴ οὐκ ἐπισχύει μόνον, ἐθάῤῥει ὥσπερ ὁ ἀσσύριος, ἀλλὰ μᾶλλον ἐπὶ τῇ τοῦ τόπου ὀχυρότητι· ὡσανεὶ τῆς χώρας διὰ τὸ πανταχόθεν τοῖς ποταμοῖς περικλύζεσθαι δυσαλώτου τυγχανούσης.—Ὡς δράκοντα μὲν οὖν λέγει τὸ μέγιστον καὶ θαλάττιον κῆτος, περὶ οὗ πολλαχοῦ μὲν διδάσκει ἡ γραφὴ, μάλιστα δὲ Θεὸς πρὸς τὸν Ἰὼβ διαλεγόμενος· βούλεται δὲ εἰπεῖν· ὅπερ ὁ λέων τοῖς ἐν γῇ τετράποσι, καὶ δράκων ἐν θαλάσσῃ ἰχθύσι, τοῦτο ᾤου αὐτὸς τοῖς λοιποῖς εἶναι ἀνθρώποις· ὥστε μηδένα σοι τῶν ἀπανταχοῦ παραβάλλεσθαι.—Τουτέστι πάντας ἐφόβησε τῆς ἑαυτοῦ χώρας τυγχάνων.—Ἀντὶ τοῦ πολλοὺς εἰς ταραχὴν καθίστης, καὶ ἐφόβεις τῇ προσόδῳ σου δυναστείᾳ· ὕδωρ γὰρ νῦν καλεῖ τὸ πλῆθος·—Ἵνα εἴπῃ καὶ
τοὺς ὑποτεταγμένους σοι ἠδίκεις.—Ἐπέμεινε τῇ v. 3.
μεταφορᾷ, ὡς ἐπὶ ἰχθύος ποιούμενος τὸν λόγον.—Τουτέστι γυμνῶσαι τῶν προσόντων ἀγαθῶν· κατὰ μεταφορὰν δὲ, δίκτυον μὲν ἐκάλεσεν τοῦ στρατοῦ τὸ πλῆθος· ἄγκυστρον δὲ τὸν Ναβουχοδονόσορ, ἤτ' οὖν αὐτὴν τὴν συμφορὰν ᾗ κατασχεθήσεται.—Ἔστι μὲν οὖν εἰπεῖν ὅτι μεταφορᾷ κέχρηται ὡς ἐπ' ἀναιρημένου ζώου, ἅτε τῶν πτηνῶν ἐπὶ τοῖς τεθνεῶσιν ὡς ἐπὶ κοινὴν τρεχόντων θοινήν· ἔστι δὲ πάλιν περί τινα ἐκλαβεῖν τῶν ἐθνῶν τοὺς ἐπιδόξους· ἵνα σημάνῃ, ὡς ἄνδρες πολεμικοὶ ἐπελθόντες τήν τε χώραν καθέξουσι, καὶ τοὺς ἐνοικοῦντας διαρπάξουσι.—Ἵνα εἴπῃ, καὶ ἐν πεδίοις καὶ ἐν ὄρεσιν οὐδαμοῦ ἀντιστῆναι τῷ βαρβάρῳ δυνάμενος.—Διδάσκει ὡς πάντα μὲν τόπον καταλήψεται φεύγων, οὐδεμίαν δὲ ἕξει σωτηρίας ἀσφάλειαν.—Τῆς συμφορᾶς σκότους δίκην περιχυθείσης, καὶ τὴν ἐκ τῆς ζωῆς ἡδονὴν ἀφαιρούμενοι, ὥσπερ τινος σκότους καταλαβόντος διατεθήσονται.—Τουτέστιν οὐκ ἐν ἡμέρᾳ οὐκ ἐν νυκτὶ ἕξουσιν ἄνεσιν, πανταχοῦ τοὺς πολεμίους ἐπιέναι νομίζοντες.

Τῶν συμφορῶν μηνύει τὴν ἐπίτασιν.—Οὐ γὰρ v. 4.
δήπου εἰς τὸ πάθος περὶ αὐτὸν τὸν ἥλιον καὶ τὴν σελήνην ἐγίνετο καὶ τὰ ἄστρα· οὐκ Αἰγύπτιοι μόνον ἤσθοντο τοῦ συμβαίνοντος, ἀλλὰ καὶ οἱ πανταχοῦ τῆς οἰκουμένης.—Ἐπίτασιν ἔχει τοῦτο τοῦ προειρημένου· οὐ γὰρ ἐν ἀποικίᾳ, φησὶ, καὶ δουλείᾳ καταστὰς ἕξεις τινὰ παραψυχὴν παρὰ τῶν δεσποζόντων· μεμνημένοι γὰρ τῆς προτέρας σου κακίας, εἰς τὸν κατὰ σοῦ χωρήσουσι θυμόν.—Οὐ θρηνεῖν τινὰς ἑαυτῷ λέγει, ἀλλὰ τὴν ἐπὶ τῷ συμβαίνοντι ἔκπληξιν διηγεῖται· ἴσως δὲ καὶ τοὺς κατὰ τὴν Αἴγυπτον πορευομένους λυπηθήσεσθαι προλέγει· οὐδὲ τοὺς παθόντας, ἀλλὰ διὰ τὴν σφῶν αὐτῷ χρείαν.—Ὡς προσδεχόμενοι τὴν πτῶσιν αὐτῶν.—Καὶ πρὸς τὴν ἔφοδον, φησὶ, τῶν βαρβάρων ἐκπλαγήσονται, πρὸ ὀφθαλμῶν ὁρῶντες τὸν θάνατον, καὶ πρὸ τῆς πείρας τῶν κακῶν τῷ δέει τεθνήξονται.

v. 11. cod. f. 222. b. Τουτέστιν ἐπελεύσεται ὁ Ναβουχοδονόσορ πολλοὺς ἄγων ἰσχυρούς.—Ἵνα εἴπῃ, ἔσται δὲ ταῦτα διὰ τὴν σὴν ἀλαζονίαν· ὥστε τῇ πείρᾳ γοῦν τῶν κακῶν παιδευθῆναι σε ὡς μάτην ηὔχεις ἐπὶ τοῖς προσοῦσιν σοι.—Τουτέστι μετὰ τῶν προσόντων αὐτῶν κακῶν διαφθερῶ τοὺς οἰκήτορας· τὸ δὲ ἐφ' ὕδατος πολλοῦ, ἔφη ὡς τοῦ ποταμοῦ πάντα τε αὐτοῖς τἄλλα γινομένου, καὶ τῶν καρπῶν τὴν εὐετηρίαν παρέχοντος.—Τουτέστι οὐκέτι τῇ ὁμοίᾳ χρήσονται ἐργασίᾳ.—Ἀναγκαίως γὰρ τοῦτο συνέβαινε πάντων ἀπολωμένων·—Τούτων, φησὶ, γινομένων οὐδεὶς ἔσται περὶ τοῦ ποταμοῦ ἐργασίαν πονούμενος.—Τουτέστιν ἀληθῆ ἔσται τὰ εἰρημένα.—Οἱ πανταχοῦ, φησι, τὰ κατὰ τοῦτον διηγήσονται, καὶ ὡς θρήνων ἄξια πείσεται.

v. 17. Τινὲς μὲν ἐνταῦθα ἠβουλήθησαν δωδέκατον ἔτος λέγειν τὸν προφήτην ἀπὸ τῆς κατὰ Ἰουδαίων ἀρχῆς τοῦ Ναβουχοδονόσορ, ὅπερ ἦν τέταρτον ἔτος τῆς βασιλείας τοῦ Ἰωακείμ· ἔχει δὲ παρὰ πόδας τὸν ἔλεγχον· εὑρίσκεται γὰρ τὸ δωδέκατον ἔτος, τέταρτον ἔτος τῆς Σεδεκίου βασιλείας, ἡνίκα οὐδὲ προφητεύων φαίνεται ὁ Ἰεζεκιήλ· σαφῶς γὰρ ἐν ἀρχῇ τῆς βίβλου λέγει, ὡς κατὰ τὸ πέμπτον ἔτος τῆς αἰχμαλωσίας ἤρξατο τῆς προφητείας· τοῦτο δὲ ἦν πέμπτον τῆς Σεδεκίου βασιλείας· ἰστέον τοίνυν ὡς δωδέκατον ἔτος συνάγεται εἰς τὸ πρῶτον ἔτος μετὰ τὴν παντελῆ τῶν Ἱεροσολύμων ἅλωσιν, ἕνδεκα τὰ πάντα βασιλεύσαντος τοῦ Σεδεκίου, μεθ' οὗπερ ἔτους ἥλω ἡ πόλις· ἐπειδὴ γὰρ μετὰ τὴν τῆς πόλεως ἅλωσιν, καὶ τοῦ Γοδολίου τελευτὴν, ἐπὶ τὴν Αἴγυπτον κατέφυγον Ἰουδαῖοι, μικρὰ τῶν Ἱερεμίου φροντίσαντες λόγων· κατὰ τὸν αὐτὸν καιρὸν ἐκελεύετο Ἰεζεκιὴλ ταῦτα εἰπεῖν κατ' Αἰγυπτίων, καὶ τρόπον τινὰ ἀπιστούμενα τὰ παρὰ Ἱερεμίου βεβαιῶν τοῖς παρ' ἑαυτοῦ λόγοις.—Παρεσιώπησε μὲν οὖν οὐδαμῶς, οὐδὲ κατὰ τὴν τοῦ πλήθους ἀπόφασιν ἐν τῷ κατὰ τοῦ Φαραὼ θρήνῳ. ὅμως νῦν ὥσπερ ἐπεξερχόμενος τὰ εἰρημένα, κέχρηται τοῖς παροῦσι λόγοις.—Ἀντὶ τοῦ ἐκ τῆς προτέρας περιφανείας ἐκπεσεῖσθε· ὕδατα μὲν γὰρ καλεῖ συνήθως τὸ πλῆθος· εὐπρεπῆ δὲ διά τε τὴν τῶν προσόντων εὐετηρίαν, καὶ τὴν ἐν τοῖς κατὰ πόλεμον περιφάνειαν.

Καὶ πάλιν. Τὸ κατάβηθι ἐναργεστάτην μεταβο- v. 20.
λὴν τῶν πραγμάτων παραδηλῶν.—Οὐχ ὡς Ἰου-
δαίους, φησὶν, καὶ τοὺς ἐμοὶ διαφέροντας τιμωρή-
σομαι, ἀλλ' ὡς ἀλλότριον κολάσομαι.—Ἔργον,
φησὶ, γενήσῃ τῆς τῶν πολεμίων δεξιᾶς.—Συνα-
γωγὴν καλεῖ τὸν στρατόν· τούτοις, φησὶν, ὁμοίως
ἀπέθανες.—Λάκκον μὲν οὖν λέγει τῆς ταφῆς τὸ
βάθος· μῆκος δὲ καλεῖ τὴν κατ' ἔκτασιν οἰκοδομήν·
τὸ οὖν ἔδωκαν τὰς ταφὰς αὐτῆς, ἵνα εἴπῃ· οἱ
ἀποκτείναντες αὐτοὺς ταφῆναι παρασκεύασεν.— cod. f. 223. a.
Τὸ ἐπὶ τῶν τελευτώντων ὑπὸ τῶν προσηκόντων
πολλάκις γινόμενον ἔφη, μονονουχὶ βοῶντες καὶ λέ-
γοντες ὡς ματαία τοῖς χρησαμένοις γεγένηται.—
Τουτέστι τῶν πονηρῶν πράξεων τοῦτο ἔσχατον τὸ
τέλος· οὐ μόνον τετελευτηκότες, ἀλλὰ καὶ τῆς
σφετέρας παρανομίας δίκην δεδωκότες.—Τουτέστιν
ἅμα σφαγήν.—Τὸ μὲν παρακληθήσεται ὡς ἐπὶ
τῶν ἐν συμφοραῖς ἐξεταζομένων ἔφη· ἔχει δὲ σχῆ-
μα ὁ λόγος· οὐ γὰρ δήπου μετὰ θάνατον τίς
παρακαλεῖται· βούλεται τάνυν εἰπεῖν ὅτι ἐν τῇ
συμφορᾷ ἐξετασθεὶς, καὶ λογιζόμενος τοὺς οὕτως
ἰσχυροὺς καὶ κατὰ πόλεμον γενναίους ἀπολωμέ-
νους, εἴσεται τῆς φύσεως τὴν ἀσθένειαν.

CAP. XXXIII.

v. 1. Τί τοῦτο λέγων; ὅτι παραπλήσιον καὶ αὐτὸς πεποίηκα· ἐπειδὴ γὰρ πολλὴν τὴν κατὰ τῆς πόλεως παράταξιν ἔβλεπον τοῦ βαρβάρου, καὶ ὡς ἁμαρτανόντων ἡμῶν ἰσχύσει, ὥσπερ τινα σκοπὸν λαβὼν τὸν προφήτην, ἐπὶ μὲν τῆς Ἰουδαίας τὸν Ἱερεμίαν, ἐπὶ δὲ τῆς ἀποικίας τὸν Ἰεζεκιὴλ, μηνύειν ἐκέλευσα τὸ μέλλον δεινόν· ὡς ἂν τῷ φόβῳ τῶν ἐπαχθησομένων μεταβαλλόμενοι τὴν γνώμην, δέξονται τῶν κινδύνων τὴν ἀπαλλαγήν· εἰ μὲν οὖν τὰ παρ' ἐμοῦ γεγένητο, ἀναγκαίως ἐπὶ τοῖς συμβαίνουσιν ἐμέμφοντο· εἰ δὲ ἡ πρόρρησις ἐδίδου τὸ φυλάττεσθαι, οὗτοι δὲ ἐθελοδοκοῦντες τῆς χείρονος γεγόνασι μοίρας, δῆλον ὅτι ὁ θεὸς μὲν καθαρὸς μέμψεως, Ἰουδαῖοι δὲ πάσης ἄξιοι τιμωρίας, οὐδ' ἐν ἐσχάτοις κακοῖς τῆς ἀσεβείας ἀποστάντες.

Ἐάν, φησιν, ἀμελήσας ὁ κατασταθεὶς κα-
τάσκοπος, μὴ σημάνῃ τῷ λαῷ τὴν ἔφοδον τῶν
πολεμίων, οἱ μὲν ἁλισκόμενοι, δίκας ὧν ἐπλημ-
μέλησαν τίσουσι· τῆς δὲ γεγενημένης, ὑπὸ τοῦ
σκοποῦ προδοσίας αὐτὸς ὑφέξει τὰς εὐθύνας.
ταῦτα ἔφη, σπουδαιότερον τὸν προφήτην περὶ τὴν
τοῦ λόγου διακονίαν ποιῶν.—Ὅπερ ἐν τοῖς πο-
λεμίοις εἴωθε ποιεῖν ὁ κατάσκοπος, τοῦτό σε
δρᾷν ὦ προφῆτα προσήκει, καὶ τὰ παρ' ἐμοῦ
λεγόμενα μετὰ πάσης προθυμίας διαπορθμεύειν.
v. 4. —Ἐάν, φησι, καταψηφίσωμαι τινὸς θάνατον,
καὶ μὴ γνωρίσῃς αὐτῷ τὴν ἐξενεχθεῖσαν κατ'
αὐτοῦ ψῆφον, ἵνα διὰ μετανοίας λύσῃ τὴν ψῆ-
φον, ἐκεῖνος ἄξιον εὑρήσει τοῦ βίου τὸ πέρας· σὲ
δὲ τῆς ἀπωλείας αὐτοῦ εἰσπράξομαι τὰς εὐθύνας.
v. 11. cod. f. 223. b. Τίς ἂν ἀξίως θαυμάσειε τοῦ δεσπότου τὴν
ἀγαθότητα; ἀγνωμονούμενος γὰρ καὶ ἀχαριστού-
μενος κήδεται τῶν ἀχαρίστων, καὶ πᾶσαν αὐ-
τῶν ποιεῖται προμήθειαν, ἰδεῖν αὐτῶν βουλόμε-
νος τὴν μεταβολήν· διὸ καὶ ἐπάγει πατρικῆς φι-
λοστοργίας πεπληρωμένην παραίνεσιν· ἐπιστροφῇ
ἐπιστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς·
καὶ τὰ ἑξῆς.—Οὐ τοῦτο λέγει ὅτι εἴπερ ἁμάρ-
τοι ὁ δίκαιος παρωσάμενος τὰς πράξεις αὐτοῦ
τὰς πολλάς, καὶ τῆς ἀρετῆς τὰ κατορθώματα
δίκην εἰσπράττεται· ἀλλ' ἐάν τις δίκαιος εἶναι
νομιζόμενος μέν, οὐκ ὢν δέ, τῷ χρόνῳ φωραθῇ,
οὐκ ἀπὸ τῆς τῶν πολλῶν ὑπολήψεως τὴν σωτη-
ρίαν παρέχω, ἀλλ' ὑπὸ τῆς ἀληθείας τῶν πραγ-
μάτων τὴν ψῆφον ἐκφέρω.—Τοῦτο γὰρ ἔχει κα-
τηγορίαν, τὸ πρὸ τῆς ἀληθείας τὴν τῶν ἀνθρώ-
v. 16. πων τιμήν.—Οὐχ ὡς οὐσῶν μέν, ἀμνημονοῦντος
δὲ τοῦ θεοῦ· τοῦτο γὰρ ἀλλότριον τῆς τοῦ θεου
ἀγαθότητος· ἀλλ' ὡς νομιζομένων, ἐλεγχομένων
δὲ τῷ χρόνῳ· καὶ τοῦ θεοῦ οὐκ ἀπὸ τῆς ἀνθρω-
πίνης οἰήσεως, ἀλλ' ἀπὸ τῆς ἀληθείας τῶν πραγ-
μάτων τὴν ψῆφον φέροντος· εὖ γὰρ ἴστε, φησίν,
ὅτι κἂν πάλιν τίς μυρία ἡμαρτηκὼς ᾖ, καὶ πάν-
τας παραβεβηκὼς τοὺς νόμους, καὶ πλημμελή-
σας εἰς θεόν, μεταβαλλόμενος ὅλος τῆς εὐσε-
βείας γένοιτο, οὐδεμίαν τῶν προτέρων ποιησάμε-
νος μνήμην, ἀπὸ τῶν παρόντων καταλλήλων τῶν
ὑπὲρ ἀρετῆς πόνων, τὴν ἀμοιβὴν ὁρίζω.

Καὶ μετ' ὀλίγα. Τοιγαροῦν, φησιν, ὡς εἴ τις v. 3.
προσχήματι τὴν εὐσέβειαν μετιών, τῷ χρόνῳ φω-
ραθῇ εἰς ἁμαρτίας ἐκκλίνας, τιμωρήσομαι τὸν
τοιοῦτον· ὥστε πρόκειται ὑμῖν ἢ πειθαρχοῦσι σώ-
ζεσθαι, ἢ ἀντιλέγουσι δίκην ὑπέχειν, ἐμοῦ ἴσην
καὶ δικαίαν τοῖς παρ' ὑμῶν νόμοις ἐκφέροντος τὴν
ψῆφον. Καὶ μετ' ὀλίγα. Ἔστιν ἄρα τι γινόμε-
νον ἐκ τῆς ἡμετέρας ἀμελείας ἢ σπουδῆς, δι'
οὗ λύεται τὸ αὐτεξούσιον ἐν τῷ προδιατετάχθαι
πάντα παρὰ θεῷ· συμπεριείληπται γὰρ ἡ τοῦ αὐτ-
εξουσίου ῥοπὴ τοῖς ἐπ' αὐτῇ προοριζομένοις· καὶ
οὐ κωλύεται οὐδὲ ἀναγκάζεται προαίρεσις, ἀλλὰ
καὶ τὰς ἐκβάσεις ἐπ' αὐτῇ ποιεῖται θεός· ἵνα
καὶ τῆς ἰδίας ἕκαστοι προαιρέσεως ἔχωσι τοὺς
καρπούς· μὴ βιαζομένης τῆς προνοίας ἀνακόψαι
τούτους, καὶ παρὰ λόγον ποιεῖ ζῆν τὸν μὴ φυ-
λαξάμενον.
Ὅτι δὲ πολλαχοῦ τὰ τῶν χρόνων ἐν ταῖς v. 21.
θείαις γραφαῖς διασφάλλεται, πολλάκις εἴρηται·
σκοπήσας γάρ τις ἀκριβῶς εἴσεται ταύτας τὰς
βίβλους περὶ τῶν αὐτῶν οὐ τὰ αὐτὰ λεγούσας·
ὁ μὲν οὖν Ἀμὼς κατὰ μέν τινας τῶν ἑρμηνευ-
τῶν δώδεκα ἐβασίλευσεν· κατὰ δὲ τοὺς ο', δύο·
καὶ ὁ μὲν Ἱερεμίας τὴν κατὰ τῆς πόλεως ἐπι-
στρατίαν τοῦ βαρβάρου ἐνάτῳ ἔτει λέγει γεγε-
νῆσθαι τῆς Σεδεκίου βασιλείας, μηνὶ δεκάτῳ· ἐν
δὲ ταῖς βασιλείαις ὁ ἱστοριογράφος, ἐνάτῳ ἔτει
μηνὶ δευτέρῳ· πάλιν περὶ μὲν τῆς παντελοῦς
ἁλώσεως, ὁ μὲν ἱστοριογράφος φησί· καὶ ἦλθεν
ἡ πόλις εἰς συνοχὴν ἕως τοῦ ἑνδεκάτου ἔτους
Σεδεκίου τοῦ βασιλέως, ἐνάτῃ τοῦ μηνός· οὐ
συμφώνως δὲ αὐτῷ Ἱερεμίας· καὶ ἐν τῷ ἑνδεκά-
τῳ γάρ, φησιν, ἔτει τοῦ Σεδεκίου, ἐν τῷ μηνὶ
τετάρτῳ, ἐνάτῃ τοῦ μηνός, ἐῤῥάγη πόλις· ταῦτα
δέ φημι, οὐχ ἵνα μαχομένην τὴν θείαν γραφὴν
δείξω πρὸς ἑαυτήν, ἀλλ' ὥστε γνῶναι, ὅτι ὅπου
μὲν τῶν πραγμάτων τὴν διδασκαλίαν ὁ χρόνος
ἐποιεῖτο, πολλῇ τῇ ἀκριβολογίᾳ ἐχρήσατο· ὅπου
δὲ δυνατὸν ἦν καὶ ἑκάστου χρόνου τὰ πράγματα
διδαχθῆναι, οὐ πολὺ περὶ τοῦτο κατεγένοντο τὸ
μέρος· καὶ ὅτι ὥσπερ ἐν τούτοις ἀδιαφόρως τῶν
χρόνων ἡ ἐπισημασία γενομένη, ἔδοξε μάχην
τινὰ ἐν τοῖς προκειμένοις δεικνῦναι· οὕτω καὶ

κατὰ τὸ παρὸν, τὸ δωδέκατον ἔτος κεῖται, οὐκ ἀκριβῶς τῶν γεγραφότων ἐπισημηναμένων τὸν χρόνον· αὐτίκα τὸ ἑβραϊκὸν, ὡς οἱ περὶ ταῦτα ἔμπειροι ἔφασαν, δωδέκατον ἔτος οὐκ ἔχει, ἀλλὰ καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ μηνὶ ἐν ἀρχῇ τοῦ ἐνιαυτοῦ, ἑνδεκάτῃ τοῦ μηνός· ὁμολογησαμένου γὰρ ὡς ἐν ἀρχῇ τοῦ ἑνδεκάτου ἔτους τὴν ἅλωσιν ὑπέστη ἡ πόλις, περιττὴ ἦν λοιπὸν ἡ ἐπισημασία τοῦ χρόνου ἐν τῇ κατὰ τὴν πόλιν διηγήσει· ἡ δὲ τοῦ μηνὸς ἀναγκαία οὖσα ἐτύγχανεν· ἐπειδήπερ τῆς ἁλώσεως γενομένης, εἰκὸς ἦν εὐθὺς τὸν ἀγγέλλοντα εἰς Βαβυλῶνα στείλασθαι.

v. 22. cod. f. 224. a. Οὐδὲν ἕτερον μηνύει ἢ τὴν ἐπὶ τοῖς λεγομέ-
v. 24. νοις παῤῥησίαν τοῦ δικαίου.—Τοὺς ὑπολειφθέν-
τας μετὰ τὴν πόρθησιν τῆς πόλεως λέγει.—Ἵνα
εἴπῃ, εἰς τί ἀμφισβητοῦσιν, ὡς ὑπὸ τῆς αὐτῶν
κακίας τὰ δεινὰ συνέβη τῇ πόλει; σκόπησον
τῶν νῦν αὐτόθι κατοικούντων τὴν γνώμην· τοσού-
του γάρ φησι δέουσιν οὕτοι ἀμείνους γενέσθαι
τὸν τρόπον, ὥστε καὶ συγκρίνειν ἑαυτοὺς τῷ
προπάτορι τολμῶσιν, τῶν μὲν οἰκείων ἔργων οὐ-
δεμίαν ποιούμενοι μνήμην, κατὰ δὲ σύγκρισιν τοῦ
δικαίου τὰ ἑαυτῶν συνιστᾶν βουλόμενοι.

CAP. XXXIV.

v. 1. Δηλονότι ὁ λόγος αὐτῷ πρέπει πρὸς αὐτοὺς
περιλειφθέντας τῶν τοῦ βασιλικοῦ γένους· οἳ καὶ
τὴν κατ' αὐτῶν εἶχον ἡγεμονίαν τὸ τηνικαῦτα·
οὐ γὰρ ἱερεῖς αὐτοῖς ἐχρημάτιζον, τότε τοῦ ναοῦ
v. 2. καθῃρημένου.—Ἀντὶ τοῦ πρὸ τῆς προφητείας τέως
τὸν ἔλεγχον ποιῆσαι· πρὸς πολλοὺς δὲ, οὐ πρὸς
ἕνα διαλέγεται· ἐπεὶ μηδὲ ἐσώζετο τῆς βασιλείας
cod. f. 224. b. ἡ εὐταξία.—Πολυχρόνιος δὲ ἱστορικῶς ταῦτα ἐκ-
λαμβάνων, περὶ μόνης τῆς ἐπανόδου εἰρῆσθαι
ταῦτά φησι τῶν υἱῶν Ἰσραὴλ, ποιμένα τὸν Ζο-
ροβάβελ φάσκων, καὶ πᾶσαν ἀκολούθως τὴν ἑρ-
μηνείαν τῇ ἐννοίᾳ ταύτῃ παρατιθέμενος.

CAP. XXXV.

v. 2. cod. f. 225. a. Δόξει ἂν τῷ μηδεμίαν ἔχειν ἀκολουθίαν ταῦτα πρὸς τὰ ἡγούμενα· πλείστη δὲ κἀνταῦθα ἡ τάξις σώζεται τῶν λεγομένων, εἴ τις ἀκριβῶς ἕκαστον ἐπεξίοι· ἐπειδὴ γὰρ ὡς εἴρηται μηνύσας αὐτῶν τὴν ἄνοδον, ὥσπερ δεδοικότας μὴ τῶν αὐτῶν αὖθις λάβωσι πεῖραν, παραμυθούμενος αὐτὸς ὁ Θεὸς ἔφη, καὶ διαθήσομαι τῷ Δαυὶδ διαθήκην εἰρήνης· καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς· καὶ κατοικήσουσιν ἐν τῇ ἐρήμῳ πεποιθότες, καὶ τὰ ἑξῆς· ἤμελλον δὲ εἰ καὶ μὴ ἐν ἀποικίᾳ γενέσθαι, ἀλλ' οὖν οὐ μικραῖς περιπίπτειν συμφοραῖς· πάντων μὲν τῶν περιοίκων βασκάνως περὶ αὐτοὺς διακειμένων, ἐξαιρέτως δὲ Ἰδουμαίων· ἀναγκαίως τοίνυν μέμνηται καὶ τούτων, καὶ τῇ τούτων ἀγαθῇ ὑποσχέσει ἐπισυνῆψε τὴν κατὰ Ἰδουμαίων ὅρασιν, οὐ τὰ κατ' ἐκεῖνο καιροῦ, ὡς ἐγὼ νομίζω, ἐκβησόμενα μηνύων, ἀλλὰ τὰ μετὰ τὴν ἐπάνοδον, καὶ τὴν κατὰ Ἰδουμαίων πληγὴν ὑπὸ Ἰούδα τοῦ μακκαβαίου ἐσομένην.

Δύο δὲ ἔθνη λέγει τὰς δέκα φυλὰς καὶ τὰς v. 10. cod. f. 225. b.
δύο· δύο δὲ χώρας τὴν Ἰουδαίαν καὶ τὴν Σαμά-
ρειαν· τὸ δὲ κύριος ἐκεῖ ἐστιν, ὁ ἑβραῖος καὶ
ἐκεῖ ἦν, ἀντὶ τοῦ οὐκ ἔλαθεν Θεὸν τῶν ῥημά-
των ἡ μεγαλαυχία· εἰ καὶ ἀνεξικακίᾳ παρεπέμ-
ψατο τὴν αὐτίκα δίκην.—Ὑψηλὰ καλέσας διὰ
τὰ ἐπ' αὐτοῖς παράδοξα γεγενημένα· αἰώνια δὲ
διὰ τὸ ἐπὶ πολλῷ χρόνῳ αὐτόθι κατοικῆσαι Ἰου-
δαίους· ἵνα εἴπῃ, ὅτι οὐκ ἀγνοῶν τὴν ἐμὴν δύ-
ναμιν, ἀλλ' ἐκ πολλῶν πεῖραν λαβὼν, ὥσπερ
ἐπιλαθόμενος τῶν προτέρων, εἰς ὄνειδος ἐχώρεις.
—Πανταχοῦ φαίνεται ὁ Θεὸς ἀφορμὴν ζητῶν v. 13.
τὴν εἰς ἀνθρώπους εὐεργεσίαν· ὥσπερ κἀνταῦθα
οὐδὲ μετὰ τὴν συμφορὰν τῶν Ἰουδαίων βελτιω-
θέντων, ἔλαβε τῶν ἐναντίων τὰ ὀνείδη εἰς ὑπό-
θεσιν σωτηρίας· ἐπειδὴ τοίνυν χαλεπῶν, φησιν,
ἐλάβετε πεῖραν, καὶ τῆς προτέρας εὐνομίας ἐκ-
πεπτώκατε, ὥστε μὴ μόνον τοῖς ἄποθεν, ἀλ-
λὰ τοῖς περιοίκοις ὄνειδος γενέσθαι, πάντων
ὑμῖν τῶν ἀγαθῶν παρέξω τὴν ἀπόλαυσιν· ἵνα
γνῶσιν ὅτι ὥσπερ ἐν Αἰγύπτῳ τυγχάνοντες, ἐξ
ὀλίγων πολλοὶ γεγόνασι κατὰ τὴν τοῦ θεοῦ κη-
δεμονίαν, οὕτω κατὰ τὸ παρὸν εἰς πλῆθος ἐπι-
δώσουσιν.

Ἐπειδὴ τοίνυν, φησὶν, Ἰδουμαῖοι, καὶ πάντες v. 15.
οἱ περίοικοι ἔργον ἔθεντο τοῦ ἄρδην ἀπολέσαι τὸν

λαὸν, ἡδονὴν οἰκείαν τιθέμενοι τὴν ὑμετέραν συμφορὰν, ἀγανακτήσας κατ' αὐτῶν ἀποφαίνομαι.— Σημειωτέον ὡς οὐδαμοῦ Ἰουδαίους ἀξίους δείκνυσι τῶν παρὰ Θεοῦ ἀγαθῶν, ἀλλ' ἄνω καὶ κάτω τῆς εἰς αὐτοὺς εὐεργεσίας τὴν αἰτίαν παρέχων. —Τουτέστι κατὰ τούτων χρήσομαι τιμωρίᾳ, καὶ τῆς προσούσης δόξης ἐκτὸς καταστήσονται.— Ἐπειδὴ δὲ ἐδόκουν πῶς ἀμφιβάλλειν εἰ μετὰ τοσαύτην ἐρημίαν, τήν τε οἰκείαν ἀπολήψονται, καὶ ἐν ἀφθονίᾳ διάξουσιν, ἀναγκαίως ἐπὶ τὰ ἤδη γεγονότα τῇ μνήμῃ αὐτοὺς ἀνάγει. Καλῶς τὸ γεννήσω, ἵνα δείξῃ αὐτοῦ ἔργον τὸ ἐσόμενον—Ὥσπερ γάρ, φησιν, νῦν ἐν ἀφθόνοις διάγοντας ὑμᾶς ἐδοκίμασα τοῖς ἐχθροῖς παραδοῦναι, καὶ ὁρᾶτε τῶν λόγων τὴν ἔκβασιν, οὕτως αὖθις ὑπισχνοῦμαι ὑμῖν τὴν ἄνοδον, καὶ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖσθε.

CAP. XXXVI.

v. 17. cod. f. 226. a. Ταῦτά, φησι, τὰ πράγματα μαρτυρεῖ τῷ
δικαίῳ τῆς τιμωρίας· οὐ γὰρ μόνον τὰ παντοδαπὰ εἴδωλα θεραπεύοντες διετέλεσαν, ἀλλὰ καὶ πᾶν εἶδος ἐπετήδευσαν παρανομίας, ὡς πάσης βλασφημίας καὶ βδελυγμίας καὶ μίσους ἀναπλησθῆναι· καὶ ἐπειδὴ κατὰ τὸν νόμον λίαν ἀκάθαρτος ἀποκαθημένη ἐδόκει, τουτέστιν ἡ ἐν ῥύσει αἵματος, ἐκείνῳ τῷ περιττώματι τῆς παρανομίας ἀπεικάζει τὴν βδελυγμίαν.

Καὶ πάλιν τῆς τιμωρίας τὸ δίκαιον δείκνυσιν· —Αἷμα δὲ ἐνταῦθα κέκληκεν οὐ μόνον τὰς ἄλλας μιαιφονίας, ἀλλὰ καὶ τὰς τῶν τέκνων θυσίας, ἃς τοῖς αἱμοβόροις καὶ πονηροῖς προσέφερον δαίμοσιν.—Ἐτρύγησάν, φησιν, ὧν ἐφύτευσαν τοὺς καρπούς.—Πονηρίᾳ, φησὶ, συζῶντες, βλασφημίας μοὶ γεγένηνται πρόξενοι· πρῶτον μὲν γὰρ ὑπέλαβον τὰ ἔθνη, διὰ τὴν ἐμὴν ἀσθένειαν τούτους ἡττηθῆναι, καὶ ὑπὸ τοῖς πολεμίοις γενέσθαι· ἔπειτα, πείρᾳ τὴν πονηρίαν αὐτῶν μεμαθηκότες, κατ' ἐμοῦ τὴν βλασφημίαν ἐκίνησαν, ὡς τοιούτοις ἐπιτηδεύμασιν χαίροντος, καὶ τοὺς οὕτω πονηροὺς ἀνθρώπους οἰκεῖον λαὸν ὀνομάσαντος.

v. 22. Οὐχ ὑμεῖς, φησιν, ἄξιοι τῆς σωτηρίας, ἀλ-
λὰ τὰ ἔθνη προσήκει θεραπείας τυχεῖν, ἀφορμὴν τῆς κατ' ἐμοῦ βλασφημίας παρ' ὑμῶν εἰληφότα· λυθήσεται δὲ ἡ βλασφημία διὰ τῆς ὑμετέρας σωτηρίας τῆς ἐμῆς δεικνυμένης δυνάμεως· μαθόντες γὰρ ὅπως μέγα μου τὸ ὄνομα, καὶ ἀρκοῦν εἰς τὴν τῶν προσοικειωμένων σωτηρίαν, δοξάσουσί μου τὴν δεσποτείαν καὶ ὑμνήσουσιν.

Πᾶσαν ταύτην τὴν ὅρασιν κατὰ τὸ ῥητὸν ἀκο- v. 25. Cod. f. 226.
λούθως τοῖς προτέροις ἐξέλαβε· τὸ ῥανῶ ἐφ' ὑμᾶς ὕδωρ καθαρὸν ἑρμηνεύσας εἰς τὴν ἐν νόμῳ λατρείαν· καὶ ὡς ἐκ τοῦ λοιποῦ τῆς ἀσεβείας ἀποστάντες, τοῖς θείοις προσέξουσι νόμοις· καὶ τὸ δώσω δὲ ὑμῖν καρδίαν καινὴν καὶ πνεῦμα καινὸν, ἀμείνονα φησὶν ὑμῶν ἀπεργάσομαι τὴν προαίρεσιν.—Τοῦτο πᾶσιν τοῖς ἐπανελθοῦσιν ἁρμόττει· οἱ γὰρ ἐπανελθεῖν βουληθέντες, ἔτυχον τῆς ἐπανόδου.—Τὴν οὖν περὶ τὸ καλὸν γνησιότητα νῦν παραστῆσαι βουλόμενος, καρδίαν ἔφη καινὴν καὶ πνεῦμα καινὸν, ἀντὶ τοῦ ἑτέραν παρὰ τὴν οὖσαν· οἱ γὰρ νῦν, φησιν, οὕτως ἀνένδοτον ἐσχηκότες τὸν λογισμὸν, τοσαύτην ἕξονται τηνικαῦτα μεταβολήν· ὥστε καὶ πολλὴν σπουδὴν ἐπιδείκνυσθαι περὶ τὴν εὐσέβειαν· καὶ οὐ μόνον, φησὶν, ὑμῖν γῆν τοῖς προγόνοις ἐπαγγελθεῖσαν εἰς ἀπόλαυσιν δώσω, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων τὴν ἀμνηστίαν παρέξομαι.

CAP. XXXVII.

Θεὸς μὲν οὖν τοσαύτην Ἰουδαίοις τῶν ἀγα- v. 1. cod. f. 227.
θῶν τὴν ἀφθονίαν ὑπέσχετο· οἱ δὲ ἀπὸ τῆς κατεχούσης ταλαιπωρίας οὐκ ἐδέχοντο τῶν λόγων τὴν εὐφημίαν· ἀπὸ γὰρ τῶν ἤδη συμβάντων, καὶ τοῦ πλήθους τῶν τεθνηκότων ἑαυτῶν ἀπεγίνωσκον, καὶ εἰς ἀπιστίαν καθίσταντο· εἰ μετὰ τοσαύτας συμφορὰς τὴν ἑαυτῶν γῆν ἀπολήψονται· ταύτης ἕνεκα τῆς αἰτίας ὀλιγοψυχοῦντας αὐτοὺς παραμυθούμενος Θεὸς, δι' ὀπτασίας ἄγει τὸν προφήτην ἐπὶ τὸ πεδίον, καὶ δείκνυσιν αὐτῷ, ὀστέων τε κατεψυγμῶν κίνησιν καὶ νεκρῶν ἀνάστασιν· ὡς ἂν μὴ μόνον ἀπὸ ψιλῶν ῥημάτων, ἀλλ' ἐκ τοῦ παραδόξου τῶν φαινομένων πιστώσῃ περὶ τῶν λεγομένων.

Καλῶς δὲ τὸ μεσον, ἐπειδὴ πᾶσι κατὰ ταυ- v. 2.

τὸν τὴν ἄνοδον ἤμελλεν ἐπαγγέλλεσθαι· τὸ δὲ
περιήγαγέ με φησὶν, ἵν' ἐπὶ τὸν Θεὸν ἀνενέγκῃ
v. 3. τὸ γιγνόμενον.—Ἐπειδὴ δὲ καὶ παρῆσάν τινες,
ἐνθουσιαμένου τοῦ δικαίου πυνθάνεται, ἵνα τὰ
πρὸς τὸν προφήτην λεγόμενα, κοινὴ διδασκαλία
τῶν ἁπάντων γένηται.

v. 9. Βούλεται δεῖξαι ὅτι Θεός ἐστιν ὁ ταῦτα ποιῶν,
ὁ καὶ ἐξ ἀρχῆς παραγαγὼν τὸν ἄνθρωπον· καὶ
ὥσπερ ἐν τῇ πρώτῃ δημιουργίᾳ τὸ σῶμα πλάσας,
εἴασεν νεκρὸν, εἶτα τοῦτο ἐζωοποίησεν τῇ τῆς
ψυχῆς εἰσόδῳ, τὸν ὅμοιον τρόπον καὶ νῦν τοῦ σώ-
ματος τὴν πλάσιν ἐργασάμενος, κατέλειπεν ἐπὶ
τοῦ σχήματος.—Οὐ τοῦτο βούλεται εἰπεῖν ὅτι
μία ψυχὴ εἰς ὅλα τὰ σώματα εἰσεδύετο, ἀλλ'
ὅτι προσετάχθη ἑκάστη ἀπολαβεῖν τὸ ἑαυτῆς ὄρ-
γανον· καὶ μηνύει τοῦτο, τὸ εἰπεῖν ἐκ τῶν τεσ-
σάρων πνευμάτων, ἀντὶ τοῦ πανταχόθεν· οὐ
κενὴν δὲ μίαν ψυχὴν τῇ ὑποστάσει ἐκ διαφόρων
τόπων συνδραμεῖν· ὅτου τοίνυν ἕνεκεν ἐπὶ πλήθους
βλέπει τὴν ὀπτασίαν· καὶ ἐκ τῶν τεσσάρων πνευ-
μάτων ἔφη, ἐπειδήπερ κατὰ διαφόρους τόπους
καὶ μικροῦ πανταχοῦ γῆς ἦσαν διεσπαρμένοι Ἰου-
δαῖοι· ἵνα αὐτοὺς πείσῃ ὡς ἐκ παντὸς αὐτοὺς
v. 10. ἐπανάξει τόπου.—Ταῦτα, φησὶν, εἴρηται οὐχ
ὡς ἀληθῶς ἀναστάσεως γενομένης, ἀλλ' ὡς κα-
τὰ πνευματικὴν θεωρίαν δειχθέντων τῷ προφή-
v. 12. τῃ.—Σαφῶς δεικνὺς ὅτι νεκροὺς ἐκάλεσε τοὺς
ἐν αἰχμαλωσίᾳ ταῖς συμφοραῖς τρόπον τινὰ τεθ-
νηκότας, διὰ τὸ μηδενὸς τῶν ἐν βίῳ λαμπρῶν
ἀπολαύειν.

CAP. XXXVIII.

v. 1. Cod. f. 228. a. Ἀντὶ τοῦ, ὅρα διὰ τῆς πνευματικῆς ἀποκα-
λύψεως πρὸς τοῖς εἰρημένοις καὶ ἕτερα τῷ πλή-
θει συμβησόμενα· τὸ δὲ ἐπὶ τὴν γῆν τοῦ Μα-
γὼγ ἄρχοντα Ῥῶς, Μοσὸχ, καὶ Θόβελ, ἵνα
σημάνῃ τῶν συμμάχων τὸ πλῆθος· καὶ τὸ μὲν
Ῥῶς εὔδηλον ὡς ὄνομα πόλεως ἢ χώρας τυγ-
χάνει· τοὺς δὲ ἀπὸ Βελ Ἴβηρας· τὸ δὲ Ῥῶς ἡ
Ἑβραίων φωνὴ κεφαλὴν ἑρμηνεύει· οὕτω γὰρ καὶ
ὁ σύρος ἡρμήνευσεν· καὶ ὁ Ἀκύλας δὲ κεφαλὴν
v. 2. Μοσόχ· τὸ Ῥῶς, Μοσὸχ ἡρμήνευσεν.—Ἀντὶ
τοῦ ἐφ' ὑμᾶς τὸ πλῆθος· ἐπάγει οὖν ἄρχοντα
Ῥῶς Μοσὸχ καὶ Θοβὲλ, ἵνα εἴπῃ τοὺς ἐκ δια-
φόρων συλλεγέντας ἐθνῶν· ὡς δὲ καὶ πρὸς ἕνα,
οἶμαι, τὸν Ἀντίοχον οὐ διαλέγεται, ἀλλὰ πρὸς
αὐτὸ τὸ σύστημα· ἐπειδήπερ οὐκ αὐτὸς ἔπραξε
τὸν πόλεμον, οἱ στρατηγοὶ δὲ μιγάδας ἐκ δια-
φόρων λαβόντες ἐθνῶν, πρὸς μάχην ἐχώρησαν.

Τουτέστι κωλύσω σε εἰς ἔργον ἐκβαλεῖν τὴν v. 3.
πρόθεσιν· καὶ βουλόμενος δεῖξαι τοῦ Θεοῦ τὴν
δύναμιν, διηγεῖται τὴν ἰσχὺν τοῦ πολέμου.—
Ἔσονται δέ φησι μετ' αὐτῶν καὶ ἕτερα ἔθνη·
Φοὺδ δὲ φησὶν εἶναι τοὺς Φιλιστιαίους, ἢ κατά
τινας ἕτερον ἔθνος Λίβυσι προσοικοῦν.—Θοργα-
μὰ δὲ λέγει κατὰ μέν τινας Ἀρμενίους καὶ Ἴβη- v. 6.
ρας· κατὰ δὲ ἑτέρους Καππάδοκας καὶ Γαλάτας.
—Ἀντὶ τοῦ, παρασκευάσαι μετὰ τῶν εἰρημένων v. 7.
εἰς πόλεμον, καὶ ἐπαγάγου καὶ ἑτέρους πλείο-
νας.—Ἀντὶ τοῦ, συγχωρήσω σοι πάντα κατὰ γνώ-
μην διαπράξασθαι, τῇ παρουσίᾳ φυλάττων τὴν
ἀπόφασιν.—Τουτέστιν ἐκ μακροῦ χρόνου πρὸς v. 11.
τὸν πόλεμον εὐτρεπίσαι· εἰ γάρ τις λογίσαιτο
τῶν ἐθνῶν τὴν διαφορὰν, καὶ τῶν ὅπλων τὴν
παρασκευὴν, εὑρήσει οὐ μικροῦ τινος χρόνου τῶν
τοιούτων τὴν συλλογήν.—Ἄρτι γάρ, φησι, τῆς
δουλείας ἀπαλλαγέντες, μόλις ἐν εἰρήνῃ διῆγον.—
Ἀλλ' ὅμως, φησὶν, οὐδεμίαν ἀναψυχὴν συγ-
χωρήσας αὐτοῖς γενέσθαι, πρὸς τὸν κατ' αὐτῶν
ἐχώρησας πόλεμον· ἀλλὰ διὰ μὲν τοῦ κατὰ τὸν
ὑετὸν παραδείγματος, ἐσήμανεν τὸ πλῆθος· διὰ
δὲ τῆς καταιγίδος, τὸ σφοδρὸν τῶν πολεμίων· διὰ
δὲ τῆς νεφέλης, τὸ φοβερόν.—Τουτέστι πείσῃ
ταῦτα, ἅπερ ἑτέρους διαθῆναι ἐσπούδασας σὺν
πᾶσι τοῖς συμμάχοις.

Πολλῇ γάρ, φησι, πονηρίᾳ κεχρημένος, οὐκ
ἐνθυμούμενος τοῦ λαοῦ ἣν ὑπέστησαν ταλαιπωρίαν·
σκοπῶ δὲ ὡς εὐαλώτους ἕξεις, ἄρτι μὲν τῆς ἀλ-
λοτρίας γῆς ἐπανελθόντας· ἡσυχάζειν δὲ διεγ-
νωκότας ἐπὶ τῆς γῆς αὐτῶν ἐπιστρατεῦσαι βου-
λεύῃ.—Φαίνεται γὰρ ὁ Ἀντίοχος μετὰ τὴν ἀπ'
Αἰγύπτου ὑποστροφὴν, τῆς μὲν πόλεως κατεσχη-
κὼς, συλήσας δὲ τὸν ναὸν, περιελών τε τὸ τεῖ-
χος, καὶ πολλοὺς κατασφάξας.—Ἀλλὰ τού-
των, φησὶ, γενομένων, αὐτὸς εἰς βοήθειαν κατα-
στήσομαι τῶν ἀδικουμένων· καθάπερ ἤδη πρό-

τερον ἀϖαλλάξας αὐτοὺς τῶν ϖολεμίων, καὶ ϖανταχόθεν τὲ αὐτοὺς συναγαγὼν καὶ εἰς τὸ ἀρχαῖον ἀποκαταστήσας, καὶ δοὺς τῆς γῆς τὴν ἐπαγγελίαν· ὀμφαλὸν γὰρ τῆς γῆς καλεῖ τῆς γῆς τὸ πιότατον.

v. 13. cod. f. 228. a. Ὁ μὲν Σαβὰ καὶ Δαιδὰν ἀϖόγονοί εἰσι τοῦ Χὰμ, οἳ κατῴκησαν τὴν νῦν λεγομένην Περσίδα καὶ Βαβυλῶνα μέχρις Αἰθοπίας· φασὶ δὲ ταύτας τὰς πόλεις, ἤτοῦν τὰ χωρία ἐπ' ὄνομα θέντα τῶν οἰκιστῶν μεταξὺ κεῖσθαι Αἰθιοϖίας καὶ Βαβυλῶνος.—Τὸ δὲ ἔμϖοροι Θαρσεῖς λέγειν, βούλεται εἰπεῖν ὅτι εἰς τὸν κατὰ Ἰουδαίων σου παρασκευαζομένου πόλεμον ὡς ἐπὶ ὡμολογημένῃ τῇ νίκῃ πλεῖστοι εἰς ἐμπορίαν ἀφίξονται, οἱ μὲν ἀϖὸ θαλάττης, οἱ δὲ ἀϖὸ Αἰθιοϖίας τρέχοντες.—Δείκνυσι τὴν κακίαν τοῦ Ἀντιόχου, ὅτι κατέχων τῆς χώρας, οὐδὲ ὡς οἰκείων ἐφείσατο, ϖανολεθρίᾳ δὲ αὐτοὺς ἀϖολέσαι ἐβουλεύσατο· ἔστη δέ, φησιν, οὐ μέχρι τούτων, ὥστε τὸν λαὸν διαθῆναι τὰ χείριστα, ἀλλὰ καὶ κατ' αὐτοῦ τοῦ θεοῦ ἐξέτεινε τὴν τόλμαν· εἰς γὰρ τὸν ναὸν ϖαρανόμως εἰσελθὼν, τὰ ἐν αὐτῷ ὄντα ἔλαβε.—Τὸ δὲ ἀπενέγκασθαι κτῆσιν, ἀντὶ τοῦ ἴδια αὐτοῦ ϖοιήσασθαι τὰ θεῷ ἀνακείμενα.—Ἵνα εἴϖῃ τὰ ἐκ ϖολλῶν συναχθέντα εἰς τὴν τιμὴν τοῦ θεοῦ, ταῦτα λαβεῖν ἐσπούδασεν.—

Ἐπειδὴ τοίνυν, φησὶν, εἰς τοσοῦτον ἐλήλακας τόλμης, ἴσθι ὡς πρὸς ἐμὲ τείνεις τὴν τόλμαν· ἐϖειδήϖερ καὶ τὸν λαὸν ἐν εἰρήνῃ κατῴκησα· πορθεῖν διέγνωκας, οὐδὲν πρὸς ἀπώλειαν παραλειμϖάνων τοῦ ϖλήθους.—Οὐχ ὑϖεροψίᾳ τοῦ λαοῦ ταῦτα γενέσθαι συγχωρήσω, ἀλλ' ὥστε πᾶσι διαγνωσθῆναι μου τὴν δύναμιν.—Διαλύσω σου, φησὶ, τὴν δύναμιν, ὥστε ἐκϖεσεῖν τὰ ἐν ταῖς χερσί σου φερόμενα τόξα· θαυμασιώτατα δὲ ἀποτεινάξω τὸ τόξον σου· ὡς οὐ τῶν περὶ τὸν Ἰούδαν νικώντων, ἀλλὰ τοῦ θεοῦ τὴν ἑαυτοῦ
cod. f. 229. a. δεικνύντος βοήθειαν.—Τὸ δὲ κληθήσεται, ἀντὶ τοῦ ἐπὶ πολὺν χρόνον ἡ μνήμη τῶν γινομένων διατεθήσεται· ἕκαςος γὰρ περὶ τοῦτο πολὺ ἐρωτῶν, ἐμάνθανε τὸ κατόρθωμα.

Ἐνταῦθα οὐ κατὰ τὸ συνεχὲς τῶν νεκρῶν θαπτομένων λέγει καθαρίζεσθαι τὸν τόπον, ἀλλ' ὅτι μετὰ τοὺς πολέμους παυθῆναι καὶ ἡσυχίαν γενέσθαι τῶν δεινῶν ϖολλῶν ὡς εἰκὸς διεσκεδασμένων, διὰ τὸ πλῆθος τῶν τεθνεώτων ὀφθήσεται μέχρις ἑπταμηνοῦ· καὶ κατὰ τὸ μέσον ἐῤῥιμμένον τί τῶν ὀστέων, ὃ συνάγοντες, ῥίψουσιν εἰς τὸν ἀφωρισμένον τόπον.—Ἀκαθάρτου γὰρ νομιζομένου τοῦ νεκροῦ, ἀναγκαίως ἅπερ ὁ λαὸς καὶ μάλιστα εὐσεβεῖν διεγνωκὼς, ὡς ἂν μὴ μολύναιτο τὰ παρευρισκόμενα τῶν τεθνεώτων λείψανα, ἀπεῤῥίπτουν εἰς τὸν ἰδιάζοντα τόπον.—Τουτέστιν οὐκ ἔλαττον τῶν πώποτε γενομένων, καὶ τὰ συμβησόμενα ἐν διηγήσει ἕξουσι—Ἐπειδὴ γὰρ ὁ ἁπτόμενος νεκροῦ ἀκάθαρτος ἦν κατὰ τὸν νόμον, ὡς ἂν μὴ πάντες μολύνοιντο τῇ ταφῇ τοῦ νεκροῦ, ἀναγκαίως τινὰς ἠφόρισαν εἰς τοῦτο.

C A P. XL.

Παραπλησίως τῷ Δανιὴλ ἐν ἐκπλήκτῳ τῇ θέᾳ v. . cod. f. 229. b.
ὡς ἂν μὴ τῇ συνηθείᾳ εὐκαταφρόνητος νομισθῇ τῶν εὐαγγελίων ἡ ϖρόῤῥησις.—Ἀκολούθως τῇ ϖροκειμένῃ ὀπτασίᾳ ἡ ὄψις δείκνυται· ἐπειδὴ τούτοις οἱ οἰκοδόμοι κεχρῆσθαι εἰώθασιν.—Ἐνθάπερ πρότερον οἱ δικάζοντες ἐκάθεντο, ἔνθα καὶ Ἱερεμίας πλείστους ἐποιήσατο τῶν λόγων, ὡσανεὶ ϖαῤῥησιαζόμενος ἐϖὶ τοῖς λόγοις, καὶ τὸ βέβαιον τῶν δεικνυμένων διδάσκων, ὡς καὶ εἰς τὴν προτέραν εὐνομίαν ἀϖοκατασταθήσεται τὰ πράγματα.

Εἰδέναι δὲ δεῖ ὡς οὐ δυνατόν ἐςιν μετὰ ἀκρι- v. 5. cod. f. 230.
βείας ἅπαντα ἐπεξελθεῖν τὰ ῥήματα· ϖλείστην γὰρ ἔχειν δοκεῖ τὴν ὑπερβολήν· ἀληθὴς δὲ οἶμαι τῆς ἀληθείας εὕρεσις, τῶν ἀδυνάτων ἡ μάθησις· καὶ βραχέων τινῶν ἐπιμνησθεὶς, συντόμως πειράσομαι δεῖξαι τὸ προκείμενον· πρῶτον μὲν οὖν ἀϖοροίην ἄν τις τί λέγει προτείχισμα, πότερον δεύτερον τεῖχος παρὰ τὸ πρότερον, ἢ τόπον τινὰ ϖρὸ τοῦ τείχους; ἀλλὰ τὸ μὲν δεύτερον, οὐχ οἷόν τε ἐκλαβεῖν, ἐπείπερ καὶ ὕψος καὶ πλάτος λέγει τοῦ μετρουμένου· τὸ δὲ πρότερον τῆς ῥηθησομένης μεγαλοφυΐας οὐκ ἄξιον τὸ πήχεις μόνον ἓξ εἶναι τὸ ὕψος τοῦ τείχους, καὶ μάλιστα τοσούτου ὄντος καὶ τοῦ πλάτους· πῶς δὲ ὅλως οἷόν τε ἦν ἴσον εἶναι τὸ ὕψος τῷ πλάτει; ἀλ-

λῶς τε οὐδὲ φαίνεται δύο τειχῶν μνημονεύων ὁ προφήτης.

Οὕτως οὖν ὁ Πολυχρόνιος πάντα τὰ περὶ τῆς κατασκευῆς τοῦ ναοῦ διεξελθὼν, καὶ ἐν πᾶσι διαπορήσας, καὶ τὸ ἀδύνατον δείξας τῶν γεγραμμένων· διὸ καὶ περιττὸν ᾠήθην ἐνθῆναι ταῦτα τῇ δε τῇ βίβλῳ· ὕστερον ἐπιφέρει ταῦτα. Τούτων τοίνυν οὕτως ἐχόντων, οὐδὲν ἀπεικὸς καὶ νῦν τὸν μὲν προφήτην μετὰ πάσης ἀκριβείας δέξασθαι παρὰ τοῦ πνεύματος τῶν προκειμένων τὴν ἀποκάλυψιν, καὶ αὐτὸν σημειώσασθαι ἀκολούθως ὁμοίως τῇ ἀποκαλύψει· μὴ μὴν τοὺς μετὰ ταῦτα διάγοντας ἀσυνάρτητον δόξει τῶν ῥητῶν τὴν ἀκολουθίαν ἐκτίθεσθαι· ὁ τοίνυν τὸν εἰρημένον τρόπον καταμαθὼν, ἀναγκαίως οὐδὲν ἀκριβολογησάμενος τῶν κατὰ μέρος διὰ τὴν προειρημένην αἰτίαν ὄψεται τοῦ θεοῦ τὴν πρόνοιαν· οὐ γὰρ ἅπερ ἡμεῖς μὴ καταλαμβάνομεν, ταῦτα εἰς κατηγορίαν τοῦ κηδεμόνος ἕλκειν ὀφείλομεν, ἀλλὰ θαυμάζειν μὲν τῆς προνοίας τὸν θεὸν, ὁμολογεῖν δὲ τὴν οἰκείαν ἀσθένειαν ἐν οἷς μὴ ἐφικνούμεθα τῶν γεγραμμένων.

CAP. XLIII.

v. 2. cod. f. 231. b. Ἐπειδὴ ἐν τοῖς κατὰ τῆς πόλεως λόγοις ἔφη ὅτι ἡ δόξα τοῦ θεοῦ Ἰσραὴλ ἐπέβη ἐπὶ τῶν χερουβὶμ, καὶ τότε τὰ Χερουβὶμ ἀπέπτη τοῦ ναοῦ, ὥστε ἔρημον καταλειφθῆναι τὸν οἶκον, ἀναγκαίως νῦν περὶ τῆς οἰκοδομῆς διαλεχθεὶς, αὖθις εὐδοκοῦντα τῷ ναῷ πάλιν δείκνυσιν τὸν θεὸν καὶ τρόπον τινα ἐνοικεῖν τῷ τόπῳ προαιρούμενον.—Βούλεται δὲ εἰπεῖν ὡς παραπλήσιον τι βασιλικῇ εἰσόδῳ ἐγίνετο, πάντων εἰς εὐφημίαν κινουμένων τῶν πρὸς λειτουργίαν ἑτοίμων· τὸ γὰρ πλῆθος τῶν ἀοράτων δυνάμεων παραστῆσαι βουλόμενος, παρεμβολὴν ἐκάλεσεν· εἴποι δ' ἄν τι τὸ διπλασιαζόντων, ὡς οὐ μόνον τῇ φωνῇ πρὸς ὕμνον ἐτρέποντο, ἀλλὰ καὶ τὰς χεῖρας ἐκίνουν· οἷον δὴ φιλεῖ γίνεσθαι ἐπὶ τῶν δημοτῶν τῶν τὰς ὀθόνας τῇ τῆς φωνῆς ἐκβοήσει ἐπισειόντων τοῖς ἄρχουσιν.

Δόξαν καλεῖ τοῦ φωτὸς τὰς λαμπηδόνας· τὸ δὲ κύκλωθεν οἶμαι εἰρῆσθαι ἀκολούθως τῇ προτέρᾳ ὀπτασίᾳ· οὐδὲν γὰρ τούτου διαλλάττειν νομίζω τὸ φέγγος κύκλῳ αὐτοῦ· ἵνα δείξῃ ὅτι οὐκ ἄλλοθέν ποθεν τὸ φῶς ἀπετελεῖτο, ἀλλ' ἀπ' αὐτοῦ τοῦ φαινομένου βασιλέως τῷ τῆς φύσεως ἐξαιρέτῳ, ἔκπληξίν τινα τοῖς θεωμένοις θαυμασίως παρέχοντος· καὶ διδάσκων ὡς οὐχ ἕτερον ἰδεῖν παρ' ὃν ἤδη πρότερον τεθέαται ἐπὶ τοῦ ναοῦ.—Αὐλὴν δὲ ἐσωτέραν λέγει ἔνθα ἤδη πρότερον ἐθεά- cod. f. 232. a.
σατο τοὺς ἄνδρας, τὰ μὲν ὀπίσθια δεδωκότος τῷ θυσιαστηρίῳ, προσκυνοῦντας δὲ τῷ ἡλίῳ· δεικνὺς ὅτι τὰ πάλαι διὰ τὴν ἁμαρτίαν αὐτῶν ἀπολωλότα, νυνὶ διὰ τὴν τοῦ θεοῦ ἀγαθότητα αὖθις τὴν οἰκείαν ἀπολαμβάνει δόξαν.

Ἐκεῖνοι μὲν οὖν τῶν εἰρημένων ἕνεκεν ἔδω- v. 9.
καν δίκας· ἡμεῖς δὲ ἐκείνων φυγόντες ζῆλον, ἀσεβείας τε καὶ τῆς λοιπῆς ἀδικίας ἀπέχεσθαι.—Εἰ ταύτην, φησὶν, ἐπεδείξαντο τὴν προαίρεσιν, τὰ ἐπαγγελθέντα πληρῶ· θαυμασίως δὲ τῇ τῶν ἀγαθῶν ὑποσχέσει συνῆψε ταῦτα, ὡς ἂν μὴ ἀναντίῤῥητον τὴν ἐπαγγελθέντων τὴν δόσιν νομίσαντες, ἀδεῶς ἁμαρτάνωσι· ποθοῦντες δὲ τῶν οἰκείων τὴν ἀπόληψιν, πονῶσι περὶ τὴν ἀρετήν· ἐπειδὴ τοίνυν, φησὶ, τοσαύτην τὴν περὶ αὐτοὺς προῄρημαι ἐπιδείξασθαι εὔνοιαν, τὰ κατὰ τὸν ναὸν αὐτοῖς διάγραψον, παραινέσας καὶ τῶν προσηκόντων αὐτοῖς φυλάττεσθαι· εἴ πως ὀψέ γ' οὖν ποτὲ ἐγνωκότες ὡς ἀξίαν τῶν πλημμελημάτων ἔδωκαν δίκην, τὴν ἐπὶ τὸ κρεῖττον λάβωσι ῥοπήν.

Ἱλαστήριον δὲ τινὲς μὲν φασὶ πέταλον εἶ- v. 14.
ναι ὑπὸ τὰ χερουβὶμ ἐκτεταμένον, ἀφ' οὗπερ θεὸς χρηματίζειν ἐλέγετο· τινὲς δὲ αὐτῆς τῆς κιβωτοῦ τὸ πῶμα, ὡσανεὶ τοῦ θεοῦ κάτωθεν ἀπὸ τῶν τῆς νομοθεσίας πλακῶν τὴν φωνὴν ἐκ-
πέμποντος.—Τὸ ἀριὴλ, φησὶ, πηχέων τεσσά- v. 15.
ρων σημαίνεσθαί φασι τὸ θυσιαστήριον· τὸ γὰρ ἀριὴλ ἀπὸ τῆς ἑβραΐδος γλώττης εἰς τὴν ἑλλάδα μεταφερόμενον, ὄρος θεοῦ ἑρμηνεύεται· οὕτω δὲ τὸν προφήτην πρὸς τὸ παρὸν καλεῖν τὸ θυσιαστήριον.

CAP. XLIV.

Οὐ τοῦτο λέγει ὅτι ἔνδον εἰσιόντα ἐσθίειν τὸν v. 3. cod. f. 232. b.

*

ἀρχιερέα, ἀλλὰ τοῦ νομίμου τοῦ περὶ τῶν προσκομιζομένων ἄρτων ὑπομιμνήσκει· προστέτακτο, γὰρ καθ' ἑκάστην ἑβδομάδα ἀπὸ σαββάτου εἰς σάββατον ἐπὶ τοῦ θυσιαστηρίου ἑπτὰ τίθεσθαι ἄρτους· μετὰ δὲ ταῦτα λαμβανομένους ἐσθίεσθαι παρ' αὐτῶν τῶν ἱερέων, οὐκ ἐπ' οἴκου ἀλλ' ἐν τόπῳ κεχωρισμένῳ ἐν τῷ ναῷ, ὃν καὶ ἅγιον προσαγορεύουσι.—Τοῦτο δὲ ἔφη πρὸς μείζονα εὐλάβειαν, ὡς τὸν εἰσιόντα τρόπον τινα ἀναποδίζοντα τὴν ἔξοδον ποιεῖσθαι, οὐδαμοῦ νῶτα διδόντα τῷ θυσιαστηρίῳ.

v. 15. cod. f. 233. a. Ζητητέον ἐνταῦθα τίνος ἕνεκεν τοὺς ἐκ τοῦ Σαδδοὺκ ἔφη ἱερατεύειν, ἀλλ' οὐχ ἁπλῶς τοὺς ἐκ τοῦ Λευΐ· τί οὖν ἐστιν; τὴν λευιτικὴν φύλην θεὸς ἀφώρισεν εἰς λειτουργίαν τοῦ ἱεροῦ· τὸ δὲ τοῦ Ἀαρὼν γένος εἰς ἱερωσύνην· τοῦ δὲ Ἠλεὶ ἡμαρτηκότος, θεὸς τὸν Σαμουὴλ χειροτονεῖ ἱερέα, ἐκβαλὼν τοῦ Ἠλεὶ τὸ γένος· τούτου γὰρ παῖδα τὸν ἐπὶ τοῦ Δαυὶδ Ἀβιάθαρ διδάσκει ἡ θεία γραφή, μεταστήσας αὐτὸν Σολομῶν, τὸν Σαδδοὺκ ἀνέδειξε, οὐ συγγενῆ ὄντα μόνον τῶν ἀπὸ τοῦ Ἀαρὼν, ἀλλὰ καὶ ἀπόγονον· ἐπειδὴ τοίνυν· ἡμαρτηκότας κοινῶς ἅπαντας ἐξέβαλε, ὑπισχνεῖται δὲ αὐτοῖς θεὸς ἅπαντα λαμπρὰ καὶ περίβλεπτα παρέξειν· ἦν δὲ τὸ κῦρος τῶν ἀγαθῶν, ἡ τῆς ἱερωσύνης λατρεία· ἀναγκαίως καὶ τῆς ἱερωσύνης μέμνηται· καὶ ταύτης οὐχ ἁπλῶς ἀλλὰ τοῦ Σαδδοὺκ, ὃς τὴν ἀρχαίαν ὑπόσχεσιν ἐφ' ἑαυτῷ δείξας θείᾳ χάριτι τοῖς μετὰ ταῦτα παρέδωκεν.—Κατὰ σύγκρισιν ποιεῖται τὸν λόγον, ἵνα εἴπῃ, ὥσπερ πάλαι ἐπὶ τοῦ Μωϋσέως ἡμαρτηκότος τοῦ λαοῦ ἐπὶ τῆς μοσχοποιΐας, τοὺς λευΐτας ἐξελεξάμην οὐ κοινωνήσαντας τῷ πλήθει τῆς εἰδωλολατρείας, οὕτω καὶ νῦν ἅπασι μὲν παρέξω τὴν ἄνοδον· τοὺς δὲ Σαδδοὺκ ἱερατεύειν ἀποδείξω· λέγει δὲ Ἰησοῦν τὸν τοῦ Ἰωσεδέκ.

CAP. XLV.

v. 11. cod. f. 233. b. Χοίνικα κατὰ τὸν ἑβραῖον σημαίνει τὸν παρ' ἡμῶν λεγόμενον κάβον· τὸ δὲ γομὸρ οἱονεὶ ξέσαι τριάκοντα· οἱ δὲ κόρον καλοῦσι· τὸ δὲ ὑφὶ λέγουσι σημαίνειν τριμόδιον· τὸ αὐτὸ καὶ σάτον καλοῦσι· τίνος δὲ ἕνεκεν καθῆκεν εἰς τὴν περὶ τούτων ἀκριβολογίαν, καὶ μάλιστα ἐν τῷ περὶ τοὺς ἱερέας λόγῳ; ἐπειδὴ προσέταξεν αὐτοὺς δεκάτας λαμβάνειν πάντων, οἴνου καὶ ἐλαίου καὶ σίτου, ταῦτα δὲ μέτρῳ πάντως ἐδίδοντο, ὡς ἂν μὴ ὑπὸ πλεονεξίας περὶ τὰ μέτρα κακουργῶσι, κἀκ τούτου αὐτοί τε βλασφημοῦνται, καὶ βλάπτονται οἱ προσκομίζοντες, τοὺς ἑτέρων διδασκάλους ὁρῶντες πρὸς πλεονεξίαν βλέποντας, ἀναγκαίως περὶ ταῦτα κατεγίνετο, ὡς ἂν καὶ αὐτοὶ ἔχοιεν τὴν ἀπόλαυσιν, καὶ τῇ περὶ τὸ δίκαιον ἀκριβείᾳ, ἀξιόπιστοι εἶεν περὶ τῶν προση-
κόντων διαλεγόμενοι.—Οἱ ὀβολοὶ ἑρμηνεύονται v. 12.
γράμματα· τὸ δὲ μνᾶ τινὲς μέν φασι πέμματα σημαίνειν, τινὲς δὲ πᾶν τὸ εἰς τιμὴν τῷ θεῷ διδόμενον.—Σίκλος μέτρον ἐστὶν ἑβραϊστὶ λεγόμενον· τὸ γὰρ σεκὲλ κατὰ τὴν Ἑβραίων φωνὴν, μέτρον σημαίνει εἰς τὴν ἑλλάδα μεταφερόμενον γλῶσσαν.

CAP. XLVI.

Τὸ δὲ ὅτι πρόσωπον αὐτοῦ ἔβλεπεν κατὰ ἀνα- v. 1. cod. f. 234.
τολὰς, οὐχ ἁπλῶς πρόσκειται, ἀλλ' ἵνα διδάξῃ ὡς ἐκ τῶν ἀνατολικωτέρων ἐχώρει· πρόσωπον γὰρ τοῦ ναοῦ αὐτὴν λέγει τὴν θέσιν, οἱονεὶ τοῦ ναοῦ τὴν ἀρχὴν, ὡσανεὶ ἐκ τοῦ ἐναντίου μέρους τινὸς εἰσιόντος ἐπ' ἀνατολὰς βλέποντος ἐκεῖθεν τοῦ ὕδατος ἐπὶ πρόσω φερομένου· καὶ δεικνὺς ὡς οὐκ ἐν μέρει γῆς τὸ εὐαγγέλιον κηρυχθήσεται ὡς ἐπὶ τοῦ Μωϋσέως, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης διασπαρήσεται ὁ λόγος.—Οὐ τοῦτο βούλεται σημᾶναι, ὡς ἕτερον ὕδωρ παρὰ τῷ ἐκ τοῦ οἴκου ἐκπορευόμενον, ἐφέρετο ἀπὸ τοῦ νοτιωτέρου μέρους, ἀλλ' ὅτι αὐτὸ τὸ ὕδωρ ἐξιὸν ἀπὸ τῶν προθύρων τοῦ ναοῦ, ἐφέρετο κατὰ τὸ δεξιὸν κλίμα· ἐκεῖ γὰρ καὶ τὸ θυσιαστήριον εἱστήκει μετὰ τὸν ναὸν ἔξω ἐν τῇ αὐλῇ· βούλεται δὲ τῇ τῶν κλιμάτων ὀνομασίᾳ τὴν πᾶσαν οἰκουμένην δηλῶσαι· φήσας γ' οὖν τὸν λόγον ἀπὸ τῶν ἀνατολικωτέρων ἄρχεσθαι μερῶν, εἶτα τοῦ νοτίου μνημονεύσας, δύο λιπομένων ἔτι κλιμάτων, τοῦ τε βορείου καὶ τοῦ δυτικοῦ, οὐδὲ τοῦτο καταλιμπάνων, ἐπάγει τὰ ἑξῆς—Ἵνα εἴπῃ περιαγαγών με διὰ τοῦ βορείου μέρους, ἔστησεν ἐπὶ

τοῦ δυτικοῦ μέρους· ἐν ᾧ περ τίς ἑστὼς πρὸς ἀνατολὰς βλέπει. διὰ τοῦτο οὐδὲ εἶπεν ἐνταῦθα πρόσωπον, ἀλλ' ἁπλῶς πρὸς τὴν πύλην τῆς αὐλῆς, ἔνθα περ τὰ ἅγια ἦν· τὸ ἀντιτεταμένον διδάσκει μέρος.—Τὸ δὲ κατὰ τὴν ὁδὸν τῆς πύλης ἔξωθεν σημαίνειν μοι δοκεῖ, ὅτι καὶ ἐπὶ τοὺς ἀνημέρους τῶν ἀνθρώπων διαδοθήσεται ὁ λόγος· καὶ ὁρῶμεν τοῖς λόγοις συμφωνοῦντα τὰ πράγματα, οὐκ Ἑλλήνων μόνων ἀλλὰ καὶ βαρβάρων, πολλάκις μὲν καὶ ἄλλοτε, μάλιστα ἐν τοῖς καθ' ἡμᾶς καιροῖς δεξαμένων τὸν λόγον· ὅπου γε Πέρσας τε καὶ Μαύρους, καὶ πλεῖστα κατὰ τὸ ἀρκτῷον Σκυθικὰ γένη ἴσμεν εὐμενείᾳ τοῦ κρείττονος ὑπελθόντα τοῦ Χριστοῦ τὴν δεσποτείαν.

CAP. XLVII.

v. 1. Οὐκ ἐναντίον ἐστὶν τοῦτο τῷ ἔμπροσθεν εἰρημένῳ, ὡς τὸ ὕδωρ, ἐξεπορεύετο ὑποκάτω τοῦ αἰθρίου· ἄνω μὲν γὰρ ἔφη ἐξ αὐτοῦ τοῦ ναοῦ φέρεσθαι τὸ ὕδωρ· ὡσανεὶ ἀπὸ τοῦ νόμου τὴν ἀρχὴν λαβόντος τοῦ εὐαγγελικοῦ κηρύγματος· νυνὶ δὲ ἀπὸ τοῦ δεξιοῦ μέρους τὴν πολλὴν φορὰν ποιεῖσθαι τὸ ὕδωρ λέγει, ἔνθα περ εἱστήκει τὸ θυσιαστήριον, ὡσανεὶ οὐχ ἑτέρως τῶν ἀγαθῶν ἡμῶν τευξομένων, ἢ ἀπὸ τῆς περὶ τὸν θεὸν θεραπείας, ἣν ἐπεδειξάμεθα, τὸν ὑπὸ τοῦ νόμου κηρυττόμενον δεξάμενοι· τὸ οὖν καθὼς ἔξοδος, ἵνα εἴπῃ κατὰ τὴν ἔξοδον.

v. 3. Τὸ δὲ ἀνδρὸς ἐξ ἐναντίας, ἵνα εἴπῃ κατάντικρυς τοῦ ὕδατος ἐξιόντος εἶδον τὸν ἑστῶτα· Τὸ μὲν ῥητὸν μηνύει ὥς τινος ἔνδοθεν τοῦ οἴκου ἐξιόντος. —Σαφέστερον δὲ αὐτὸ ὁ ἑβραῖος ἔφη· φησὶ γάρ· καὶ ἰδοὺ ἐν τῷ ἐξιέναι τινὰ ἄνθρωπον, εἱστήκει ἐξεναντίας· φήσας γὰρ ἀνωτέρω, καὶ εἰσήγαγέ με εἰς τὰ πρόθυρα τοῦ οἴκου, ἵνα μὴ νομίσωμεν ἔνδον αὐτὸν εἰσεληλυθέναι, ἔφη αὐτὸν κατὰ τὴν ἔξοδον ἑστάναι, ἃ παρέλειπεν ἀνωτέρω νῦν προστιθείς. ἐπειδὴ γὰρ ὕδατι παρέβαλε τὸ κήρυγμα, τοῦτο ἔφη ἄρχεσθαι μὲν ἀπὸ τοῦ ναοῦ, χωρεῖν δὲ ἐπὶ τὸ νοτιώτερον μέρος, ἔνθάπερ τὸ θυσιαστήριον εἱστήκει· ἐκεῖθέν τε περιφερόμενον ἄγεσθαι ἐπὶ τὸ βορεῖον, χωρεῖν δὲ ἐπὶ τὴν δύσιν, οὐδὲν τῶν ἔξωθεν καταλιμπάνων· τὸ δὲ κήρυγμα οὐχ ἁπλῶς αὐτὸ καθ' ἑαυτὸ ἔτρεχεν, ἀλλὰ κηρυττόντων τῶν ἀποστόλων, συνεργούντων δὲ τῶν ἀγγέλων, βοηθοῦντός τε τοῦ θεοῦ. Ἐθεάσατό τινα καὶ ἐν ἀνθρωπίῳ σχήματι παρ' αὐτὸν τὸν τόπον, ἐν ᾧπερ ἐφέρετο τὸ ὕδωρ, ἑστῶτα· μηνύων ἀγγέλου τὴν φύσιν, καὶ δι' ἐκείνου τὴν τοῖς ἀποστόλοις δεθησομένην συνέργειαν παρ' αὐτῶν τῶν ἀγγέλων προστάγματι θεοῦ· τοῦτο γάρ, οἶμαι, καὶ ὁ Χριστὸς διδάσκει λέγων· ἀπάρτι ὄψεσθε τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, οὐρανοῦ ἄνοιξιν λέγων τὴν πρὸς ἀνθρώπους λοιπὸν κοινωνίαν τῶν ἀγγέλων· πρὸ γὰρ τῆς Χριστοῦ παρουσίας, τῆς ἁμαρτίας κεχυμένης, καὶ πανταχοῦ τῆς ἀσεβείας κρατούσης, τρόπον τινὰ διῄρητο τὰ ἐπουράνια τῶν ἐπιγείων· ἐλθὼν δὲ ὁ Χριστὸς κατήλλαξεν ἀμφότερα, λύσας μὲν τὴν ἁμαρτίαν, δεδωκὼς δὲ τὴν δικαιοσύνην, καὶ τῆς υἱοθεσίας τὸ ἀξίωμα τῷ γένει τῶν ἀνθρώπων δωρησάμενος.

Μέτρον καλεῖ τὸν χρόνον ὡς εἰς πολλὰ διῃ- v. 4.
ρημένον· καὶ ὁ μακάριος δὲ λέγει Δαβίδ· ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου· οὐ γὰρ ἀθρόως πανταχοῦ κατήγγειλαν τὸ κήρυγμα οἱ ἀπόστολοι, ἀλλὰ κατὰ μέρος ἔσχε τὴν ἐπίδοσιν· ἠδύνατο μὲν γὰρ θεὸς σημείοις τισὶν ἅπαντας ἀγαγεῖν εἰς πίστιν, ἠβούλετο δὲ τοὺς ἀνθρώπους, μὴ ἀνάγκῃ ἀλλὰ γνώμῃ δέξασθαι τὸν λόγον. τὸ δὲ ἐν τῇ χειρὶ αὐτοῦ, ἵνα εἴπῃ τῇ τῶν ἀγγέλων συνεργείᾳ.

Λέγει δὲ τετρακισχιλίους πήχεις μεμετρῆσθαι· οὐκ ἔφη δὲ αὐτῶν ὑφ' ἓν γεγενῆσθαι τὴν μέτρησιν, ἀλλ' ἀνὰ μέρος ἐπίδοσιν καθ' ἑκάστην γεγενημένην μέτρησιν· ἐπειδήπερ ἀπὸ μικροῦ τὸ κήρυγμα ἀρξάμενον ἐπέδωκεν· ὅπερ ὁ κύριος διδάσκων ἐν τοῖς εὐαγγελίοις φησίν· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃ μικρότερόν ἐστι πάντων τῶν σπερμάτων· ὅτ' ἂν δὲ αὐξηθῇ, μεῖζον πάντων τῶν λαχάνων γίνεται, ὥστε κατασκηνῶσαι ἐν τοῖς κλάδοις αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ· ἀλλὰ τούτους τοὺς πήχεις

προϊὼν ὁ προφήτης, μῆνας προσαγορεύει ὡς εἶναι πάντας κατὰ τὸν προφήτην μῆνας τετρακισχιλίους, οἳ ποιοῦσιν ἀριθμὸν ἐνιαυτῶν τριακοσιτριάκοντα τριῶν σὺν μησὶν τέτρασι.

Cod. f. 235.a. Εἰ δέ τις λογίσῃ τούτων τῶν ἐτῶν τὴν ποσότητα, ἀφ' οὗπερ ὁ δεσπότης Χριστὸς ἐπεδήμησε τῷ γένει τῶν ἀνθρώπων ἐκ παρθένου τεχθεὶς, εὑρήσει συναγόμενον τὸν χρόνον ἐπὶ τὴν τοῦ μακαρίου Κωνςαντίνου βασιλείαν· ἀφ' οὗπερ μάλιςα τὴν ἐλευθερίαν ἔλαβον Χριςιανοί· ἐπεὶ καὶ τὴν ἀρχὴν τῆς εὐσεβείας ἔσχεν ἐξ ἀποκαλύψεως, ἐντεῦθεν θερμὸς ἐραστὴς εὐσεβείας γεγονὼς, τοὺς ἁπανταχοῦ ἐπισκόπους τιμᾷν διεγίνωσκεν.—Σημειωτέον δὲ ὡς φήσας τὸ ὕδωρ φέρεσθαι ἕως τῆς ὀσφύος, οὐκέτι ἔφη ὡς ὑπῆρε τὴν κεφαλὴν τοῦ φαινομένου ἀνδρὸς, ἀλλὰ μόνον τὸ ῥαγδαῖον τῆς φορᾶς ἐδίδαξεν· ἐπειδὴ ὅσῳ περ ηὔξει τὸ εὐαγγελικὸν κήρυγμα, τοσοῦτο μεῖζον ἡ εὐκολία τοῖς κηρύττουσιν ἐγίγνετο· ὡς γὰρ οἶμαι, ὁ Δανιὴλ διὰ τῶν ἑβδομάδων σημαίνει, τὸν μέχρι τῆς τοῦ Χριςοῦ παρουσίας χρόνον, ὡς ἀκριβέστερον ἐν ἐκείνοις δέδεικται 1)· οὕτως ὁ Ἰεζεκιὴλ τῷ ὀνόματι τῶν πηχέων, ἤτουν τῶν μηνῶν παρέστησε τῶν ἐτῶν τὸν ἀριθμόν· οὐκ ἂν δέ τις ἁμάρτοι εἰς τέσσαρας χιλιάδας φήσας τὸν ἅπαντα διῃρῆσθαι χρόνον, ἀκολούθως τῇ τῶν κλιμάτων ὀνομασίᾳ· ἵνα καὶ τῇ διαιρέσει τοὺς ἁπανταχοῦ σημάναι· καὶ τῇ συναφείᾳ τῶν προειρημένων παραστήσῃ χρόνον.

v. 5. Καὶ τὸ πάντων τῶν ἀνθισταμένων περιέσεσθαι ὁ προφήτης μηνύει διὰ τοῦ, καὶ ἰδοὺ χειμάῤῥους οὐκ ἠδύναντο διελθεῖν, ὅτι ἐκβράζον τὸ ὕδωρ, ἀντὶ τοῦ ἀθρόως φερόμενον, καὶ πᾶν τὸ προσπίπτον παρασῦρον.—Ἵνα εἴπῃ, ῥαγδαίως φερομένου καὶ ἀνυποίςου.—Ἵνα εἴπῃ, αὖθις περιαγαγὼν ἔστησέ με ἐπὶ τοῦ προτέρου τόπου· ἔνθα περ ἐθεάσατο τοῦ ὕδατος τὴν ἔξοδον, ἵνα μάθωμεν, ὡς εἰ καὶ ἀρχὴν τὸ εὐαγγελικὸν κήρυγμα ἔσχεν ἀπὸ τῆς ἐκ παρθένου γεννήσεως, ἀλλ' οὖν ἡ εἰς ἀνθρώπους οἰκονομία οὐ νεωτέρα καθέστηκεν, ἀλλ' ἀρχαία καὶ ἄγαν πρεσβυτάτη.

Ποταμὸν μὲν καλεῖ τοῦ ὕδατος τὴν φοράν· v. 7.
χεῖλος δὲ ποταμοῦ τὸν τόπον δι' οὗ φέρεται τὸ ὕδωρ· τὸ γὰρ χεῖλος νῦν ἀντὶ ἀρχῆς ἔφη· τὸ δὲ δένδρα πολλὰ ἔνθεν καὶ ἔνθεν, τοὺς ἐν τῷ νόμῳ λέγει προφήτας· εἰ γὰρ, ὡς ἔφην, ὁ Χριστὸς ἐφ' ὑςέροις καιροῖς ἀφίκετο κατὰ τὴν ἐνανθρώπησιν, ἀλλ' οὖν καὶ τοῖς ἀρχαίοις κατὰ τὴν θείαν φύσιν παρέσχε τὴν χάριν.—Ἀντὶ τοῦ ἐπὶ τοὺς ἐρήμους εὐσεβείας· ὁ δὲ ἑβραῖος καὶ τοῦτο ἄμεινον διδάσκει· φησὶ γάρ· καὶ ἐρχόμενον ἐπὶ δυσμάς· ἡ δὲ ἀσάφεια γεγένηται ἀπὸ τοῦ διὰ τῶν αὐτῶν λέξεων, καὶ τὰς δυσμὰς, καὶ τὴν ἀοίκητον παρὰ τῶν Ἑβραίων γράφεσθαι· τὸ γὰρ ἄραμα κατὰ τὴν Ἑβραίων φωνὴν ἑκάτερα σημαίνει· ὅθεν καὶ ἀντὶ δυσμῶν, ἀοίκητον ἔφασαν.

Ὁ δέ γε ἑβραῖος φησὶ ἐπὶ τὸ ὕδωρ τῆς ἀλ- v. 11.
μυρᾶς θαλασσης· θάλασσαν τροπικῶς ὠνόμασεν τὴν πᾶσαν οἰκουμένην, ἁλμυρὰν δὲ διὰ τὴν ἁμαρτίαν· πανταχοῦ γὰρ μικροῦ φαίνεται ὁ προφήτης μεταφοραῖς κεχρημένος, καὶ δι' ὅλου ἐπιμένειν τῷ χρηματισμῷ. Καὶ μετ' ὀλίγα.—Ἀντὶ τοὺς ἐπὶ τὸ ὕδωρ τῆς ἐπὶ πολὺ διηκούσης, οἱονεὶ τὴν ἐξωτάτω· ὥςε τῶν μὲν ἑλληνικῶν τὴν ἐσχατιὰν σημάναι, τῶν δὲ Ἑβραίων τῆς γνώμης τὸ ἀνήμερον.—Τουτέςι τῆς προτέρας ἀποςήσονται κακίας, ὑγίειαν καλέσας τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. σαφέςερον δὲ ὁ ἑβραῖος ἔχει καὶ τοῦτο· ἀντὶ γὰρ τοῦ ὑγιᾶσαι, γλυκάνωσιν ἔχει.

Τουτέστιν ἅπασιν πρόκειται ἡ σωτηρία, καὶ τῆς ζωῆς ἡ ἀπόλαυσις.—Τουτέςιν ἐπὶ τοῦ τὴν ὑφ' ἡλίῳ ἅπασαν χωρήσει τὸ κήρυγμα, καὶ ἅπαντες τῆς διὰ τοῦ βαπτίσματος τεύξονται σωτηρίας.—Ἀντὶ τοῦ ἄπειροι τῷ πλήθει, τὴν παρὰ τοῦ Χριστοῦ ἀναμένοντες σωτηρίαν.—Δαψιλὴς, φησὶν, ἔσται ἡ παρὰ τοῦ δεσπότου δεδομένη χάρις· ἕκαστος γὰρ τῶν προσιόντων, τῶν τε ἁμαρτημάτων λήψεται τὴν ἄφεσιν, καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν μετουσίαν καρπώσεται.

C A P. XLVIII.

Τινὲς δὲ ἔφασαν ταῦτα ὀνόματα χωρίων εἶναι, v. I.

1) Rursus Polychronius memorat explanationem suam in Danihelem.

οἷς τὰ ὅρια περιεγράφετο τῆς Παλαιστίνης· ἕτεροι δὲ φασὶν σημαίνειν ἀπό τινος τόπου ἕως τῆς θαλάσσης τῆς μεγάλης.—Ἀντὶ ἀργήσει ἅπαν ἐναντίον δόγμα· ἐχρήσατο δὲ τῷ ὀνόματι, ἐπιμείνας τῇ μεταφορᾷ.—Ἀντὶ τοῦ ἡ περὶ τοῦ Χριστοῦ διδασκαλία ἀκοινώνητος ἔσται ταῖς λοιπαῖς θρησκείαις· Ἑλλήνων μὲν γὰρ ἦν ἐναντία, Ἰουδαίων δὲ μεῖζον· τὰ γὰρ ἐκείνοις λείποντα ὁ δεσπότης ἐλθὼν προσέθηκεν.—Ἵνα εἴπῃ, ἄπειροι ἔσονται οἱ τῷ Χριστῷ πιστεύοντες.—Ἀντὶ τοῦ, πολλῷ πλείους ἔσονται τοῦ ἰουδαϊκοῦ γένους· εἰ γὰρ καὶ ἐπέδοσαν ἐκεῖνοι ἀδιαφόρως ταῖς παιδοποιίαις κεχρημένοι, ἀλλ' οὖν τοῖς ἁπανταχοῦ οἰκοῦσιν συγκρινόμενοι, πολλῷ ἐλάττους ηὑρίσκοντο.

Πέλαγος λέγεται τῶν ὑδάτων τὸ σύστημα· ἐπιμείνας οὖν τῇ μεταφορᾷ, τοὺς κατὰ τὰ ἔθνη ἀπιστοῦντας ἐσήμανεν· ἔστι μὲν γὰρ ἔθνη πλεῖστα ἐν ταῖς ἐσχατιαῖς τοῦ βορείου καὶ νοτίου μέρους, θηριωδεστέραν τὴν δίαιταν ἔχοντα· κατὰ μὲν τὸ βόρειον, Σκυθῶν γένη διάφορα, ὧν οἱ μὲν ἱπποφάγοι, οἱ δὲ ἀνθρωποφάγοι καλοῦνται· οὗτοι δὲ καὶ πλεῖστοι ἕτεροι ἄχρι τοῦ Ὤξους καλουμένου ποταμοῦ διήκοντες, λέγονται εἶναι νομάδες· ἕτεροι δ' αὖ πάλιν κατὰ τὸ νότιόν εἰσι τὸν ὅμοιον τρόπον τοῖς προειρημένοις διακείμενοι, καὶ κατὰ ἄλλα μέρη τῆς γῆς οὐκ ἀπεικὸς εἶναι θηριωδεστέρους· εἰσὶ δὲ ἕτεροι οἳ οὐ δι' ἀγριότητα φύσεως ἀπαράδεκτον εἶχον τὸ κήρυγμα, ἀλλὰ διὰ τρόπων δυσκολίαν· ἵνα τοίνυν μή τις ἀκούσας ὡς ἀπὸ τῆς ἑώας ἄχρι τῆς ἑσπέρας διαγγελθήσεται τὸ κήρυγμα, δόξει ἐλέγχειν τὰ εἰρημένα τοῖς λόγοις συγκρίνων τὰ πράγματα θαυμάσια, καὶ ταύτῃ τῇ ἐπισημασίᾳ ἐχρήσατο· οὐδὲ γὰρ ἐκεῖνο, φησὶν, ἀγνοῶ, ὡς ὁ μὲν λόγος ὁ εὐαγγελικὸς ἄρξεται μὲν ἀπὸ τῆς Ἰουδαίας, χωρήσει δὲ ἄχρι τῆς ἑσπέρας· οὐδὲν δὲ τῶν ἐθνῶν ἀπείρατον ἔσται τῆς τοῦ Χριστοῦ χάριτος· τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἔφη· κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο εἰς πᾶσαν τὴν οἰκουμένην, εἰς μαρτύριον αὐτοῖς· ἀλλ' ὅμως φησὶ, τούτου γινομένου, ἔσονται πολλοὶ οἱ ἀπιστήσαντες· τὸ γὰρ οὐ μὴ ἰαθῶσιν, οὐδὲν ἕτερον διδάσκει, ἢ ὅτι τὴν οἰκείαν πονηρίαν μείζονα ἐπιδείξονται τῆς τοῦ θεοῦ χάριτος.

Τουτέστιν ἄχρηστοι φανοῦνται, οὐ δεξάμενοι cod. f. 235. b.
τὴν ἄνωθεν σωτηρίαν. Περὶ μὲν οὖν, φησὶν, ἐκείνων οὐκ ἀγνοῶ ὡς τοῦτον διατεθήσονται τὸν τρόπον. (ἀλλὰ καὶ) πλεῖστοι ἐκ διαφόρων τρόπων προσελθόντες τῷ Χριστῷ, καὶ τῆς παρ' αὐτοῦ τετυχότες χάριτος, κάλλιστον καὶ ἐπωφελῆ τὸν καρπὸν ἐκδώσουσιν· τὸ γὰρ βρώσιμον, ἡδὺ καὶ προσηνὲς, ὅπερ μηνύει τῆς ἀρετῆς τὴν πρᾶξιν.—Ἀθάνατον γάρ ἐστι τὸ παρὰ τοῦ θεοῦ δῶρον· τὰ μὲν γὰρ ἀνθρώπινα οὐ μένει, ἀρετὴ δὲ καὶ μετὰ θάνατον κόσμος ἐστὶ τῷ κεκτημένῳ.—Εἰ γὰρ καὶ τὸν ἀνθρώπινον βίον ὑπεξέρχονται οἱ πιστοὶ, ἀλλ' οὖν μείζονα τὴν δόξαν μετὰ θάνατον κέκτηνται· οὕτω γοῦν τοὺς ἀποστόλους ὁρῶμεν κατὰ μὲν τὸν παρόντα βίον διωχθέντας, ἀοίδιμον δὲ τὴν δόξαν πανταχοῦ μετὰ θάνατον κτησαμένους· ὡς καὶ ὁ μακάριος ἀπόστολος λέγει· πάντοτε τὴν νέκρωσιν τοῦ κυρίου ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν· τὸ αὐτὸ ἂν εὕρῃς ἐπὶ τῶν προφητῶν, ἐπὶ μαρτύρων, ἐπὶ τῶν δικαίων, ἐπὶ πάντων τῶν τῇ εὐσεβείᾳ συναναστραφέντων.—Θαυμασιώτατα δὲ καὶ τὸ τῆς καινότητος αὐτοῦ· ἐπειδήπερ ἀνακαινιζόμενοι, τρόπον τινὰ ἕτεροι ἐξ ἑτέρων γινόμεθα· ὡς καὶ ὁ μακάριος Παῦλος λέγει, εἴ τις ἐν Χριστῷ καινὴ κτίσις.

Ἀντὶ τοῦ, ταῦτα δέ, φησιν, ἔσται τὸν εἰρημένον τρόπον· ἐπειδήπερ δαψιλῶς ἡ θεία χάρις εἰς ἀνθρώπους ἐκκέχυται, ἀρξαμένη μὲν κατὰ τὴν οἰκονομίαν ἀπὸ τοῦ . . . χωρήσασα δὲ κατὰ τὸ λεῖον τῆς διδασκαλίας καὶ εἰς ἅπαντας τοὺς νῦν πιστεύοντας. —Ἀντὶ τοῦ, τῆς ἀρετῆς πρᾶξις ἡδονὴν ἔχει οὐ μικράν.—Αἱμὰθ δὲ τὴν Ἐπιφάνειαν καλοῦσι· τινὲς δὲ τὴν Νέμισαν (Ἔμισαν?)
καὶ ἡ θεία γραφὴ δύο ὁμωνύμους λέγει.—Πρὸς v. 28.
δὲ νότον ἕως ὕδατος Μαρημὼθ Χάδης, ὅπερ οἶμαι σημαίνων ὁ Ἰησοῦς Μάρων καλεῖ, παρατεινομένη ἄχρι τῆς Σιδῶνος.—Καὶ οἱ ἐν ἑκάστῃ, φησὶ, φυλῇ συνοικοῦντες προσήλυτοι μετὰ τῆς αὐτῆς φυλῆς τὴν κληρονομίαν λαβέτωσαν.

FINIS POLYCHRONII.

ΕΧ ΤΩΝ ΑΠΟΛΙΝΑΡΙΟΥ

ΕΙΣ ΤΟΝ ΗΣΑΙΑΝ ΕΞΗΓΗΣΕΩΝ.

EX APOLLINARIS

IN ESAIAM COMMENTARIIS.

Cap. XXX. Cod. vat. 755. Ἀπολιναρίου. Ἐπηρώτησαν δι' Ἱερεμίου, ἀλλ'
v. 2. cod. f. 211. οὐχ ὡς ἔδει τοὺς ἐπερωτῶντας θεὸν, ἐφ' ᾧ τε
πεισθῆναι.

v. 13. cod. f. 122. Ὅτι μετὰ τὴν παράδοσιν τῆς πόλεως, εἰς Αἴ-
γυπτον καταφύγοντες, κἀκεῖ συνετρίβησαν, ὡς μη-
δένα ἐπανελθεῖν· διὸ ἐπάγει, ὡς περὶ κεραμίου
εἰς λεπτὰ λυθέντος· σαφῶς δὲ ταῦτα ὁ Ἱερε-
μίας ἐν αὐτῷ τῷ χρόνῳ διδάσκει.

v. 18. Ἐν τῇ ἐπανόδῳ τῇ ἐπὶ Κύρου.

Cap. XLII. v. 1. cod. f. 155. Εἰς ἀπόδειξιν θεότητος τοῦ πατρὸς ὁ υἱός·
καὶ κατὰ τὴν δουλείαν τὴν ἀνθρωπίνην, δι' ἧς
τὰ εἰς σωτηρίαν ἀνθρώπων· διὰ τοῦτο ἡ χρίσις·
καίτοι ὄντος φύσει καὶ ἀπ' ἀρχῆς ἁγίου, καὶ ἐκ
πνεύματος γεννηθέντος.

v. 3. cod. f. 156. Ὀρθῶς κρίνει τοὺς ἀδίκως ἀντιστάντας, ἐλεγ-
χθέντας πρότερον ἐν τῇ τοῦ κριτοῦ μακροθυμίᾳ.

v. 4. Ἐν τῇ δευτέρᾳ καὶ κριτικῇ παρουσίᾳ.

v. 5. Ἐπεὶ ἄνθρωπος ἐκ θεοῦ δόσεως ἐψύχωται.—
Ὡς ἄνθρωπον προκεχειρισμένον· εἰς ὃν καὶ ἐν ὀνό-
ματι αὐτοῦ ὡς θεοῦ τὰ ἔθνη ἐλπιοῦσιν.

v. 6. Τοῦτο ἐπὶ μὲν ἐθνῶν ἤδη γίνεται· ἐπὶ δε
Ἰσραὴλ, ὕστερον.

v. 7. Ἡμᾶς μὲν τῆς ὑπὸ διαβόλου κατοχῆς, ἐκεί-
νους δὲ καὶ τῆς ὑπ' ἀνθρώπων.

v. 8. Τοῦτο ἴδιον θεοῦ ἐν Χριστῷ· Χριστὸς γὰρ ὁ
κύριος. Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὔτε τὰς
ἀρετάς μοῦ τοῖς γλυπτοῖς· οὐ παραδώσω, φησὶν,
εἰδώλοις τὴν ἐξουσίαν· ἐν Χριστῷ δὲ ἡ ἐξουσία
ἡ θεοῦ· καὶ κατὰ ταύτην οὖν οὐ διορίζεται πα-
τρὸς, οἰκειότητα ἔχων ὡς λόγος πρὸς τὸν θεόν.

Cap. XLIII. v. 10. cod. f. 160. Μάρτυς μου, φησὶν, ἔσται Χριστὸς, ἔργῳ
πληρῶν ἃ προεῖπεν ὑπὲρ τοῦ Ἰσραὴλ καὶ κατὰ
τῶν ἐχθρῶν.

v. 11. cod. f. 161. Οὔτε γὰρ ἦν πρὸ τῆς μόνης ἀρχῆς ἑτέρα τὶς
ἀΐδιος ἀρχὴ, οὔτε νέος ἐπιγενήσεται θεὸς ὁ οὐκ
ὢν ἀπ' ἀρχῆς· οὐδὲ γὰρ θεὸς, ὁ μὴ ὢν ἀεί·
ταῦτα δὲ οὐδαμῶς πρὸς τὴν ἰδίαν θεοῦ δύναμιν,
τὴν μετὰ θεοῦ τε οὖσαν, καὶ σὺν θεῷ δοξαζο-
μένην.

Μόνος θεὸς ἑαυτοῦ μάρτυς· καὶ διὰ τοῦτο καὶ v. 12.
Χριστὸς, ὁ θεοῦ δύναμις, κἂν ἐγὼ, φησὶ, μαρ-
τυρῶ περὶ ἐμαυτοῦ, ἀληθής μου ἡ μαρτυρία.

Εἰς αἰχμαλωσίαν φοράδην κομιζόμενα· ἔλεγ- Cap. XLVI. v. 1. cod. f. 170.
χος ἀσθενείας τῶν σεβασμάτων· οὐ γὰρ διὰ κα-
κίας τῶν σεβόντων, ὁπότε ταῖς κακίαις ἥδονται
καὶ συνεργοῦσιν οἱ Ἑλλήνων θεοί. Ἐγὼ ἐποίησα,
καὶ ἐγὼ ἀρῶ, καὶ ἐγὼ βαστάσω· ὡς ποιημάτων
φείδομαί, φησιν· οἱ δὲ μὴ ποιήσαντες, οὐ φεί-
δονται.

Οὐ δεῖ ταῖς παρούσαις εὐπραγίαις πεποιθέναι, Cap. XLVII. v. 6. cod. f. 170.
προορᾷν δὲ τὰς εἰς ὕστερον ἐσομένας μεταβολάς.

Οὐ δεῖ τοῖς ὑπὸ θεοῦ ταπεινωμένοις ἐπεμ-
βαίνειν, ἀλλὰ παιδευθέντας ἐλεεῖν· προορᾷν δὲ v. 7. cod. f. 173.
τὰς εἰς ὕστερον ἐσομένας μεταβολάς.

Οὐκ ἐπιδεικτικῶς, ἀλλ' ἐπ' ὠφελείᾳ προλέ- Cap. XLVIII. v. 5. cod. f. 174.
γει, ἵνα μὴ τοῖς εἰδώλοις ὡς ἐπιφέρουσι τὰ συμ-
βαίνοντα προσέχοιεν· προλέγων δὲ τὰ μέλλοντα
ὁ κύριος ἐπὶ τούτων προλέγει· ἵνα πιστεύσητέ,
φησιν, ὅτι ἐγὼ εἶπον ὑμῖν· οὕτω καὶ τῷ Φα-
ραὼ προελέγετο, καὶ ἐπεφέρετο, ἵνα εἴδῃ τὸν
ἐπιφέροντα.

Διὰ τοῦτο ὁ Χριστὸς ἤνοιξε τὸν νοῦν τῶν ἀπο- v. 7.
στόλων τοῦ συνιέναι τὰς γραφάς· τότε δὲ καὶ τὰ
ὦτα ἀνοίγεται, ὅ τε νοῦς· οὐ γὰρ μάτην ἀκούει.

Τῇ προγνώσει οὕτως ἀπηλλοτριώθησαν οἱ ἁμαρ- v. 8.
τωλοὶ ἀπὸ μήτρας.

Τοῦτο πρὸς τοὺς οὐκ ὄντας θεοὺς, περὶ ὧν v. 13. Cod. f. 175.
λέγεται· θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ
ἐποίησαν ἀπολέσθωσαν· εἰ δὲ χεὶρ θεοῦ, μὴ
ἔστιν ὡς μέρος, ἢ τελεία ἂν εἴη, δι' ἧς ἐρ-
γάζεται ἡ ἐξ αὐτοῦ δύναμις ἐγγυτάτη αὐτῷ.

Κατὰ δὲ τὸν Ἀκύλαν, τοῦτον εἴρηται τὸν v. 14.

τρόπον· τίς ἐν ἀνθρώποις ἀπήγγειλε ταῦτα; κύριος ἠγάπησεν αὐτόν· ὁμοίως τῷ Συμμάχῳ φήσαντι· τίς αὐτῷ ἀπήγγειλε ταῦτα; αὐτὸς οὖν οὗτος ὃν κύριος ἠγάπησεν, ἀκουστὰ ἐποίησε ταῦτα ἀνθρώποις· ὁ δὲ αὐτὸς οὗτος, ὃν ἠγάπησε κύριος, τὸ θέλημα τοῦ πατρὸς ἐνεργήσει. Τὰ προλεχθέντα διὰ τῶν ἔμπροσθεν κατὰ τῆς Βαβυλῶνος ἐπάξω· καὶ ἀνακαλεσάμενος τὸν ἑαυτοῦ λαὸν ἀπὸ τῆς πολεμίας γῆς, ἐπανάξων τε αὐτὸν εἰς τὴν οἰκείαν, καὶ ὁδηγήσων τὴν ὁδὸν αὐτοῦ· ταῦτα μὲν οὖν κατὰ καιρὸν τὸν μέλλοντα ποιήσω· ὑμεῖς δὲ ταῦτα προμεμαθηκότες οὐκ ἐν κρυφῇ λαλούμενα, ἀλλὰ μετὰ παῤῥησίας ὑμῖν ἀπαγγελλόμενα, ἥκετε πρός με σπεύδοντες· καὶ γὰρ ὅτε ἐβουλεύετο ταῦτα ὁ πατὴρ, παρ' αὐτῷ ἤμην· καὶ νῦν ὁ αὐτὸς κύριος ὁ ἐπὶ πάντων θεὸς κύριος ὢν, καὶ τὸ πνεῦμα τῆς ἁγιωσύνης αὐτοῦ ἀπέστειλέ με τὰ ἅπαξ ὡρισμένα ὑπ' αὐτοῦ διαπράξασθαι.

v. 16. Χριστοῦ πρόσωπον προσκαλουμένου τοῦ Ἰσραὴλ ἐπὶ τῇ δηλώσει τῆς σωτηρίας τῆς δι' αὐτοῦ, οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα· μὴ οὐκ ἐκ παλαιοῦ, φησι, προεῖπον ἐπικεκαλυμμένως ταῦτα διὰ προφητῶν; ἀπὸ τοῦ καιροῦ τοῦ γενέσθαι αὐτὸ, ἐκεῖ ἤμην· πρὶν ἢ γενέσθαι τὴν ἑαυτοῦ παρουσίαν, ἀοράτως γεγονέναι ταύτην λέγει παρὰ θεῷ· κατὰ τὸν προορισμὸν τὸν πρὸ καταβολῆς κόσμου· ἅτε δὴ ὄντος αὐτοῦ παρὰ θεῷ· ἐξελέξατο ἡμᾶς, φησιν, ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου. Ὅπερ ἦν, φησι, παρὰ θεῷ ἀοράτως ἀεὶ, τοῦτο νῦν ὁρατῶς ἐν κόσμῳ γίνεται· ἡ ἐμὴ ἀποστολὴ θεοῦ πέμποντος· λέγει δὲ ὡς ἄνθρωπος· ἀνθρωποειδὴς γὰρ ἡ ἀποστολή· θεὸς γὰρ ἀεὶ πάρεστι τοῖς πᾶσι· ἀλλὰ καθ' ὃ ἄνθρωπος, κατὰ τοῦτο καὶ πέμπεται παρὰ θεοῦ καὶ ἐκ τοῦ πνεύματος ἁγίου γεννᾶται.

Εἰ μὲν οὖν σωματικώτερον ταῦτα τίς ἐκδέχοιτο, ὡς πρὸς Ἰουδαίους σαρκίνους ὄντας καὶ σωματικωτέρους, εἴποι ἂν εἰρῆσθαι τὴν ἐπαγγελίαν, σεμνυνόμενος ἐπὶ τῇ τῶν παίδων πολυπληθείᾳ, διὰ τὸ μηδὲν σεμνὸν μηδὲ θεοπρεπὲς νοεῖν· εἰ δὲ πρὸς τὴν ἐπαγγελίαν τοῦ θεοῦ τὸ ἀξίωμα τοῦ λέγοντος ἀπίδοις, νόει μοι σπέρμα δι' οὗ ἐδηλοῦτο ἀποστολικὸς χορὸς, καὶ πάντες οἱ τοῦ σωτῆρος ἡμῶν ἐξ Ἰουδαίων γενόμενοι μαθηταὶ, οἱ πατέρες κατέστησαν τῶν τῆς οἰκουμένης ἐκκλησιῶν, καὶ τοῦ πλήθους τῶν ἐν αὐταῖς κατὰ θεὸν ἀναγεγεννημένων, οἱ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν.—Ἐκ παρανομίας ἐπίσπαστον δηλοῖ κάκωσιν.—Τῆς νομοθεσίας ὑπο- v. 17.
μιμνήσκει πρῶτον.—Διὰ τοὺς ὑπολειπομένους, v. 19.
ἐν οἷς τὸ ὄνομα τοῦ Ἰσραὴλ, ὁ λόγος· οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει κύριος, τοῖς ἀπολλυμένοις καὶ μὴ κοινωνοῦσι τῶν ἐπαγγελιῶν.

Ἐπειδὴ τῷ πνεύματι τῶν χειλέων αὐτοῦ ἀνε- Cap. XLIX. v. 2. Cod. f. 176.
λεῖ ἀσεβῆ· τοῦτο δὲ ἐκ θεοῦ.

Οὐ γὰρ ἐξήλειπται παρὰ θεῷ τὰ ἐπὶ γῆς v. 16. cod. f. 179.
ἐξηλειμμένα, ἀλλ' ἔστιν αὐτῷ καὶ τὰ μὴ ὄντα· οἷον ἔν τινι ζωγραφίᾳ προκειμένη τῇ θεοῦ γνώσει διὰ παντὸς, ὅσα καὶ πρέποντα τῇ θεοῦ αὐθεντείᾳ, καὶ ἔχοντα τὴν πρὸς αὐτὸν οἰκείωσιν· καὶ κατὰ τοῦτο ἐν δυνάμει αὐτοῦ στηριζόμενα· οὕτως ἡ Ἱερουσαλὴμ διὰ τοὺς ἐξ αὐτῆς ἁγίους μεθ' ὧν καὶ ἡ πόλις αὕτη τιμία, καὶ ὡς ἁγίων μήτηρ ἀνεγερθήσεται, οὖσα τεῖχος τῆς ἄνω Ἱερουσαλήμ.

Τῆς οὖν ἄνω μητρὸς τύπος ἐστὶ τῆς πνευ- v. 20. cod. f. 180.
ματικῆς, καὶ αὐξηθήσεται εἰς μέγεθος, ὡς ὁ Ζαχαρίας προλέγει.

Ταῦτα πρὸς τὴν βασίλισσαν τὴν ἐκ δεξιῶν v. 23.
Χριστοῦ παρισταμένην ὁ μδ' λέγει ψαλμὸς, ἣν καὶ ἐξ ἀλλοφύλων οὖσαν δηλοῖ· ὅμοια δὲ καὶ εἰς αὐτὸν τὸν βασιλέα ὁ οα'· οὐκοῦν περὶ τῆς ἐκκλησίας τῆς ἐν κυρίῳ τὰ λεγόμενα πρὸς τὴν Ἱερουσαλὴμ τὴν δοξολογίαν ἔχει τὴν Χριστοῦ.

Μήτις καταιτιάσθω ὡς ἐμοῦ βιβλίον ἀποστα- Cap. L. v. 1. cod. f. 181.
σίου δεδωκότος τὴν πάλαι χώραν, γαμετῆς ἐπεχούσῃ παρ' ἐμοὶ μητρὶ ὑμῶν· ἀλλὰ μηδὲ ἐκβιασθέντα ὑπὸ χρεωστῶν τινῶν πεπρακέναι ὑμᾶς νομιζέτω εἰς ἀπόδοσιν τοῦ χρέους· τούτων γὰρ οὐδὲν ἐξ ἐμοῦ γεγένηται· εἰ δὲ χρὴ τἀληθῆ λέγειν, ὑμεῖς ἑαυτοὺς πεπράκατε ταῖς ὑμετέραις ἁμαρτίαις· ἐγὼ γὰρ ἐλευθέρας φύσεως ἅπαξ τὸν ἄνθρωπον βουληθεὶς εἶναι, καὶ αὐτεξούσιον αὐτὸν κατασκευάσας, οὐκ ἄν ποτε αὐτὸν δοῦλον

ἑτέρων ποιήσαιμι· εἰ δὲ δουλεύσειεν ποτέ τισιν,
ἑαυτὸν καταδουλώσας τοῦτ' ἂν πάθοι.—Ὥσπερ
νύμφης· ἐν τύπῳ γάρ ἐστι τῆς νοερᾶς νύμφης τῆς
ἀχωρίστου ἀπὸ θεοῦ.
v. 2. Ὃς ἐλθὼν, ἔρημον ηὗρε τὴν πόλιν· τὸ γὰρ
ἀνήκοον πλῆθος οὐκ ἂν λελόγισθαι εἶναι· οἱ δὲ
ὑπακούσαντες ὀλίγοι, ὡς πρὸς τὸ πλῆθος τοῦ
ἔθνους, ὡς μὴ ἀριθμεῖσθαι εἰς τὸν τοῦ ἔθνους
λόγον· διὸ καὶ ὑπεξαιρέθησαν, ὡς ὁ Λὼτ ἀπὸ
Σοδόμων.—Πρὸς τοὺς δυσφημοῦντας θεὸν ὡς
οὐ δυνηθέντος σῶσαι τὸν λαὸν, ὁποῖον καὶ ὁ
σωτὴρ πρὸς τοὺς οἰομένους αὐτὸν ἀκούοντα πά-
σχειν, ἐπιδείκνυσι τὴν τῶν ἀγγέλων παράστα-
σιν, πλέον ἢ δώδεκα λεγεώνων παραστῆναι δυ-
cod. f. 182. ναμένων αὐτῷ παρὰ πατρός.—Τὴν ἐξουσίαν ἐπι-
δεικνύει, μὴ μόνον ἐπ' ἀνθρώποις ἰσχύουσαν,
ἀλλ' ἐπὶ τῇ πάσῃ κτίσει διὰ μόνης ἀπειλῆς·
οἷον τὸ ἐπὶ Μωϋσέως καὶ Ἰησοῦ ὅμοιον.
v. 3. Ὡς ἐσόμενα ταῦτα ἐν τῇ δίκῃ τῇ κατὰ τῶν
v. 4. ἀσεβῶν ἐπερχομένῃ. Εὐθὺς ἐπὶ τῇ πραγγελλο-
μένῃ σωτηρίᾳ τὸν σωτῆρα εἰσάγει τοῖς ἐκλυομέ-
νοις ἀπαγγελλόμενον ὑποστηριγμὸν ἐν λόγῳ θεοῦ·
ἵνα καὶ ἄνθρωπος ὢν, καὶ μὴ κατ' ἄνθρωπον
σώζων φαίνηται.
v. 5. Καὶ ἐπιστάντος τοῦ καιροῦ τῶν ὑμετέρων τολ-
μημάτων, βουλομένου τοῦ πατρὸς σιωπὴν ἦγον,
v. 6. ὡς μηδὲν ἀποκρίνεσθαι συκοφαντούμενον· αὐτίκα
γ' οὖν καὶ τύπτειν βουλομένοις παρεῖχον τὸν
ἐμαυτοῦ νῶτον· ὑβρίζουσί τε αἰσχρῶς καὶ κατὰ
τοῦ προσώπου τύπτουσι παρεῖχον τὰς σιαγόνας,
καὶ τὸ πρόσωπον δέ μου πληρούμενον τῶν ὑμε-
τέρων σιέλων οὐκ ἀπέστρεφον, ἔμενον δὲ ἀδιά-
τρεπτος, τὸ ἐμαυτοῦ σῶμα ἔκδοτον παντοίαις
ἀτιμίαις καὶ ὕβρεσι παρέχων, μηδένα κατὰ μη-
δὲν ἀμυνόμενος· ἀπήρκει μοι γὰρ τὸ πνεῦμα τὸ
πατρικὸν, ᾧ γινόμενος ὑπήκοος, τῶν ἁπάντων
ἠνειχόμην· εἰδὼς ὅτι κύριος βοηθός μοι παρῆν.
v. 10. Παντὶ δεικνύει καὶ σχεδὸν οὐδένα τὸν πληροῦν-
τα ἐν αὐτοῖς τὰ τῆς εὐλαβείας ἣν ἐδόκουν μετ-
έρχεσθαι. Λογισμὸς εἰς τὸ μὴ φοβεῖσθαι τὰ ἐξ
v. 11. cod. f. 183. ἀνθρώπων τῶν ἀπολλυμένων, καὶ ἔνδειξις τῆς
τοῦ λέγοντος ἀφθαρσίας.

Ὡς ἀλλοτρίους Ἰουδαίων τούτους καλεῖ· πάν- Cap. LII. v. 1.
τας γὰρ προεῖπεν πῦρ καίειν, ἐν ᾧ καὶ κατε-
καύθησαν.
Πλούσιος ἦν ὁ Ἰσραὴλ, πένης δὲ τὰ ἔθνη· Cap. LIII. v. 9. cod. f. 191.
σαφῶς δὲ ὁ Χριστοῦ θάνατος, καὶ τὰ ἐπακολου-
θήσαντα τῷ Ἰσραὴλ δι' αὐτὸν, καὶ ἡ ζωὴ ὅτι
ὑπ' αὐτοῦ.
Ὅτι νομικὰς τηρήσεις παρέχονται, νῦν, ἐπ' Cap. LV. v. 2. cod. f. 195.
οὐδενὶ κέρδει κοπιῶντες ἀνόνητα.
Ὑμεῖς γὰρ πρὸς ὀλίγας ἡμέρας τὰς βουλὰς v. 8. cod. f. 196.
ποιεῖσθε, ἐγὼ δὲ πρὸς αἰῶνα, καὶ ἀμεταμέλη-
τός εἰμι μέχρι τοῦ παντός.
Δεῖ, φησι, τὴν ἐπάνοδον ὑμῶν γενέσθαι, ἣν v. 12.
καὶ ἐξ ἀρχῆς καὶ ἔκρινα καὶ ἐπηγγειλάμην.
Οὐ τόπος οὖν τὸ ὕψος, ἀλλὰ σχέσις· τῇ γ' Cap. LVII. v. 1 cod. f. 200.
οὖν πρὸς τὸν ἅγιον σχέσει, καὶ κάτω πάρεστιν·
ἄξιος δὲ καὶ ὁ ταπεινόφρων ἐπὶ τοῖς προημαρ-
τημένοις.
Οὐδεὶς οὖν ὁδοὺς θεοῦ γνώσεται μὴ δίκαιος ὤν. Cap. LVIII. v. cod. f. 201.
Τὸν μὲν πορευθέντα στυγνὸν ἐν ταῖς ὁδοῖς v. 5.
αὐτοῦ, καὶ τοῦ πνεύματος συντριβὴν ἐν τῷ βίῳ
καὶ ταῖς πράξεσιν ἔχοντα, εἶπεν, ἰάσεται· τὸν
δὲ τὴν ἐφήμερον ἐν νηστείᾳ ταπείνωσιν σχηματι-
ζόμενον, οὐ προσίεται.
Βοὴ δὲ, ἡ ἐκτενὴς ἔντευξις, ἧς καὶ ἡ νη- v. 9. cod. f. 202.
στεία συνεργός· προσηύχον γὰρ μετὰ νηστειῶν
οἱ ἅγιοι· οὕτω Δανιὴλ, οὕτως οἱ ἀπόστολοι.
Ἔτι λαλοῦντος αὐτοῦ, ἐρεῖ ἰδοὺ πάρειμι· τῷ
ἔργῳ δεικνὺς τὴν παρουσίαν· ὡς καὶ τῷ Δανιὴλ
ἐδηλώθη μετὰ τὰς τρεῖς ἑβδομάδας τῶν νηστειῶν·
ὅτι ἐξ ἀρχῆς ἠκολούθησαν οἱ λόγοι αὐτοῦ.
Ὡς ὁ Ἰούδας ἀπὸ τῆς αἰσχροκερδείας ἐπὶ Cap. LIX. v. cod. f. 204.
τὴν χειρίστην αἰσχροκέρδειαν διὰ μελέτης προ-
ήχθη· αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι· δια-
στροφὴ γ' οὖν τοῦ ὀρθοῦ τὸ κακόν.
Ἔσχεν ἡ ἀδικία χώραν κατ' αὐτῶν, ὥστε v. 9.
ὑπὸ ἀσεβῶν ἁρπασθῆναι οἷον ὑπὸ ἀσσυρίων.
Καὶ θρασεῖς κατὰ τῶν ἀσθενεστέρων, καὶ v. 11.
δειλοὶ πρὸς τοὺς ἰσχυτέρους.
Μηδεμίαν ἰσχὺν ἐχόντων αὐτῶν πρὸς τοὺς v. 16. cod. f. 205.
ἐχθροὺς διὰ τὰς ἁμαρτίας, ἐν ἰσχύει θεοῦ ἡ
νίκη, καὶ ἡ σωτηρία πάρεστι διὰ Χριστοῦ.

ΔΙΔΥΜΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΕΙΣ ΨΑΛΜΟΥΣ.

DIDYMI ALEXANDRINI
IN PSALMOS.

PROOEMIUM.

In novo testamento, dictionum de psalmorum libro sumptarum testimonia extant, tamquam a divino Spiritu pronunciatarum. Paulus quidem in epistola ad Hebraeos ex nonagesimo quarto psalmo capitulum sumens, sancti Spiritus illud esse dictum scribit, dicens: sicut ait Spiritus sanctus: «hodie si vocem eius audieritis» et reliqua. Praeterea summus Petrus in actibus apostolorum paria dicit, nempe oportuisse impleri scripturam quam Spiritus sanctus praedixit per os Davidis de Iuda qui factus est dux eorum a quibus comprehensus est Iesus, et reliqua. Et paucis interiectis addidit: « scriptum est enim in libro » psalmorum: fiat commoratio eius deserta, » et non sit qui habitet in ea, et episcopa- » tum eius accipiat alter. » Nihil vero mirum est, quandoquidem ipse potissime Servator ea confirmat. Nam facta in evangelio mentione initii centesimi noni psalmi, quod ita se habet: dixit dominus domino meo, sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum » pharisaeos interrogavit: si David in Spiritu sancto Christum dominum dixit, quomodo filius eius est? Si ergo spiritales sensus continent psalmi, non perfunctorie in ipsorum contextu versandum est.

Ἐν τῇ καινῇ διαθήκῃ λέξεων απο τῆς βίβλου τῶν ψαλμῶν παραληφθεισῶν μαρτυρίαι κεῖνται, ὡς ὑπὸ ἁγίου πνεύματος εἰρημέναι. Παῦλος μὲν ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ἀπὸ τοῦ ἐνενηκοστοῦ τετάρτου ψαλμοῦ κεφάλαιον λαβὼν, ὑπὸ τοῦ ἁγίου πνεύματος ἀπηγγέλθαι αὐτὸ γράφει, φήσας· καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, καὶ τὰ ἑξῆς· πρὸς τοῦτο καὶ ὁ τῶν ἀποστόλων πρόκριτος Πέτρος ἐν ταῖς πράξεσιν τῶν ἀποστόλων σύμφωνα λέγει ὅπου μὲν ἔδει πληρωθῆναι τὴν γραφὴν ἣν προεῖπεν τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν, καὶ τὰ ἑξῆς· εἰς ὀλίγα ἐπειπὼν ἐπήγαγεν· « γέγραπται γὰρ ἐν βίβλῳ ψαλ- » μῶν· γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ » μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπι- » σκοπὴν αὐτοῦ λαβέτω ἕτερος. » Οὐδὲν δὲ ξένον εἰ οἱ ἀπόστολοι ταῦτα γράφουσιν, αὐτοῦ μάλιστα τοῦ σωτῆρος ταῦτα ἐπισφραγιζομένου· μνήμης γὰρ γεναμένης ἐν τῷ εὐαγγελίῳ τῆς ἀρχῆς τοῦ ἑκατοστοῦ ἐννάτου ψαλμοῦ ὧδε ἐχούσης· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθροὺς μου ὑποπόδιον τῶν ποδῶν σου, ἐπείθετο τῶν φαρισαίων, εἰ Δαυὶδ ἐν πνεύματι ἁγίῳ τὸν Χριστὸν κύριον εἶπεν, πῶς υἱὸς αὐτοῦ ἐστιν; Εἰ τοίνυν τὰ πνευματικὰ νοήματα περιέχουσιν οἱ ψαλμοὶ, οὐχ ὡς ἔτυχεν ἐντευκτέον τῇ γραφῇ αὐτῶν. cod. A. f. 3. seu vat 1789.

PSALMUS I.

Peccatorum viam dicere licet diabolum, cui viae qui institerit, caveat ne ibi moretur; iuxta illud: resistite diabolo, et fugiet a vobis. Nam qui in dicta via non steterit, ad Dominum veniet

Ἔστι δὲ ἁμαρτωλῶν ὁδὸν εἰπεῖν τὸν διάβολον· ἐν ᾗ ὁ γενόμενος μὴ ἐμμενέτω· κατὰ τὸ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ᾽ ὑμῶν· ὁ γὰρ μὴ στὰς ἐν αὐτῇ, πρὸς κύριον ἥξει τὸν v. 1. cod. B. f. 2. sive vat. 1682. Item apud Corderium.

εἰπόντα, ἐγώ εἰμι ἡ ὁδός· ἐν ᾗ γενόμενος κατὰ σκοπὸν δραμὼν τεύξεται τοῦ βραβείου.

dicentem: ego sum via; quam qui sectatus fuerit ad scopum pergens, praemium consequetur.

v. 3. B. f. 2. b. et Cord. Ὁμοιωθεὶς τῇ σοφίᾳ, ὅμοιος γίνεται Θεῷ τῷ ποιότητα τοιάνδε χαριζομένῳ· δικαιοσύνῃ γὰρ ὁμοιοῦται αὐτῷ ὁ δίκαιος, καὶ ἁγιότητι ἅγιος, καὶ τῇ σοφίᾳ σοφὸς, σπάσας ἀπ' αὐτῆς τὸ εἶναι σοφὸς, κατὰ τὸ λεχθὲν ὑπὸ τοῦ σωτῆρος· ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ· ὁ δὲ ὁμοιούμενος τῷ τῆς ζωῆς ξύλῳ, γίνεται μὲν ἐν τῷ παραδείσῳ ἵνα σὺν αὐτῷ φυτευθῇ· ὡς ἀπὸ προσώπου τοῦ θεοῦ φησὶν Ἡσαΐας· κατὰ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς, ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου· οὐκοῦν συνδιαιωνίζει ὁ δίκαιος τῷ ξύλῳ, γινόμενος συμφυὴς κλάδος αὐτοῦ, καὶ κλῆμα γινόμενος ἐπὶ τῷ θεῖον καρπὸν ἀγαγεῖν· ἄμπελος γὰρ ἀληθινὴ, τὸ ξύλον τῆς ζωῆς τυγχάνον, φησὶ πρὸς τοὺς μαθητάς· « ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὑμεῖς τὰ κλήματα, ὁ πατήρ μου ὁ γεωργός· πᾶν κλῆμα ἐν ἐμοὶ μένον, καθαίρει αὐτὸ ὁ πατὴρ, ἵνα καρπὸν πλείονα φέρῃ.

Qui sapientiae assimilatur, similis ei fit qui hanc qualitatem largitur. Nam iustitiâ similis evadit Deo iustus, sanctitate sanctus, et sapientiâ sapiens, hauriens ab ipsa ut sit sapiens, iuxta Salvatoris dictum: sufficit discipulo ut sit sicut magister eius. Qui autem ligno vitae se fecit similem, in paradiso consistit, ut pariter complantetur. Quemadmodum in persona Dei Esaias propheta dicit: quot dies ligni vitae sunt, totidem erunt dies populi mei. Igitur simul perennat iustus, cum vitae ligno complantatus, cuius fit ramus et palmes ob divinum fructum faciendum. Nam vera illa vitis, quae vitae lignum est, discipulis aiebat: ego sum vitis vera, vos palmites, pater meus agricola est: omnem palmitem in me manentem, purgat pater meus, ut fructum plus adferat.

v. 3. B. f. 3. a. Ὁ δὲ τοιοῦτος κατευοδοῦται· τοῖς γὰρ ἀγαπῶσι τὸ θεῖον, πάντα συνεργεῖ εἰς ἀγαθόν· παρὰ κυρίου γάρ φησι τὰ διαβήματα ἀνθρώπου κατευθύνεται· ἀσφαλῶς δὲ τὸ πάντα εἶπε, μετὰ τὸ δεῖξαι τὴν τελειότητα· τῷ γὰρ θείῳ νόμῳ τὸ οἰκεῖον θέλημα συναρμόττων, οὐδὲν ἐναντίον ποιήσειεν· εἰ δὲ γέγραπται, ὁδὸς ἀσεβῶν εὐοδοῦται, οὐχ ἁπλῶς, ἀλλ' ἀσεβῶν εἴρηται· εἴρηται γάρ· ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί.

Qui huiusmodi est, prosperatur. Nam diligentibus Deum, omnia cooperantur in bonum. A Domino enim, inquit, diriguntur gressus hominis. Accurate autem «omnia» dixit, ut rei perfectionem ostendat. Qui enim Dei legi propriam voluntatem conformat, nihil contrarium aget. Quod si etiam alicubi scribitur, via impiorum prosperatur, haud simpliciter id dicitur, sed cum additamento impiorum, iuxta illud: est viro prosperitas in malitia.

v. 3. B. f. 3. b. Τοῦτο δέ ἐστιν ἡ τοῦ θεοῦ σοφία· καρπὸς μέν ἐστιν ἡ μυστικὴ καὶ πνευματικὴ τῶν γραφῶν διάνοια· φύλλα δὲ σκέποντα τὸν εἰρημένον καρπὸν, αἱ πρόχειροι λέξεις, αἱ πρὸς τὸ ποιεῖν τὸ ἴδιον ἔργον ἐν τῷ φυλάττειν τοὺς καρποὺς, καὶ τροφὴ γίνονται τῶν ἀκεραιοτέρων ἀνθρώπων, τῶν δι' ἁπλότητα κτηνῶν λεγομένων· κατὰ τὸ, ἀνθρώπους καὶ κτήνη σώσεις κύριε.

Arbor, est Dei sapientia: fructus eius, mysticus et spiritalis scripturarum sensus: folia praedictum fructum tegentia, sunt externa vocabula, quae praeter quam quod propriam operam impendunt tegendis fructibus, fiunt etiam pabulum bonorum virorum, qui ob suam simplicitatem iumenta dicuntur, iuxta illud: homines et iumenta salvabis, Domine.

v. 4. B. Ibidem Cord. Νοήσεις δὲ ἄνεμον τὸν ἄνω κάτω τούτους διαρριπίζοντα, τὸν τιμωρούμενον αὐτοὺς ἄγγελον, καὶ τὴν ὁρμὴν τῆς πλάνης αὐτοὺς διδασκαλίας, περιφερομένους παντὶ ἀνέμῳ διδασκαλίας, ἐν τῇ κυβίᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ.

Ventum, qui hos sus deque dispergit, angelum vindicem esse putabis, nec non fallacis ipsorum doctrinae impetum; qui nempe omni vento doctrinae circumferuntur, in nequitia hominum, in astutia.

PSALMUS II.

v. 5. B. Ibid. Cord. Ἤγουν ἐν κρίσει οὐκ ἀναστήσονται· ἀλλ' ἀναστήσονται μὲν, οὐ κριθήσονται δὲ, τυγχάνοντες αὐτοκατάκριτοι· ὁ γὰρ μὴ πιστεύων εἰς ἐμὲ, φησὶν, ἤδη κέκριται 1).

Id est ad iudicium non resurgent. Nam resurgent quidem, sed non iudicabuntur, cum per se fuerint praeiudicati. Qui enim, inquit, non credit, iam iudicatus est.

1) Consonat prorsus sibi Didymus in fragmentis commentarii in ep. 2. ad Cor. apud nos T. IV. part. II. p. 147.

Quum omnes homines sponte moveantur, quia libero sunt praediti arbitrio, nemo naturaliter vel bonus est vel malus. Et quoniam is solus qui virtutis est compos, Deo fit familiaris, quisquis huiusmodi est, hereditas Dei est. Quamdiu igitur Israhel bonus fuit, de eo dicebatur: factus est portio Domini Iacob, funiculus hereditatis eius Israhel. Sed non sortito tantum ita se habuit hic, verum etiam ob morum probitatem talis extitit, veluti de Deo loquuntur sancti homines: elegit nobis hereditatem suam, speciem Iacob quam dilexit. Quod si mandatorum observantia et fide in Deum, fit aliquis Dei hereditas; qui vicissim Dei praecepta transgreditur, et a fide erga eum descisit, hoc honore depellitur: quemadmodum contra, qui declinat a malo et facit bonum, fit Dei hereditas, quamquam antea non esset. Quae cum ita se habeant, qui populus olim propter pietatem heres Dei Israhelis erat, a Deo aversus, sorte sua excidit, quia non excepit illum, qui ut ei potissimum bene faceret, deinde etiam aliis hominibus, salvator advenit. Oportuit itaque alium introduci populum, ex pluribus conflatum gentibus, qui ad evangelium accederet. Verba igitur: postula a me, et dabo tibi; nostri causa, non filii, dicta sunt. Significant enim non ipsi filio addi aliquid, sed indigentibus illo: sicut magistro et medico datur virtus, ut homines fiant sani ac sapientes ope illius. Sed et verba possessionem tuam terminos terrae, simplicius intelligentur sic: usque ad terminos terrae doctrina tua vim obtinebit, praedicato nimirum evangelio creaturae universae quae sub caelo est. Fortasse etiam vocabulo «termini» eos hoc loco appellare licet, qui vitae suae mentisque excellentia terrenos terminos excedunt.

Didymi simul et Theodoreti. Quod si de Iudaeis dicitur: tamquam vas figuli confringes eos; utique verum evadet illud: filii Sionis inclyti, argento superbientes, quomodo reputati sunt ceu vasa lutea, opera manuum figuli? Atque hoc aio congruenter prophetae dicenti: et erit ruina, peccatoris nimirum populi, tamquam urbis captae, et tamquam vasis lutei minutatim contriti. Unde . . .

Πάντων ἀνθρώπων προαιρετικῶς κινουμένων, v. 8. A. f. 8. b. et B f. 7. b.
αὐτεξούσιοι γάρ, οὐδεὶς κατ᾽ οὐσίαν ἀγαθὸς ἢ
κακός ἐστιν· καὶ ἐπεὶ ὁ ἀρετῆς κατέχων οἰκειοῦ-
ται θεῷ μόνος, καὶ πᾶς ὁ τοιοῦτος κληρονομία
θεοῦ τυγχάνει· ὅτε οὖν ὁ Ἰσραὴλ ἀγαθὸς ὑπῆρ-
χεν, ἐλέγετο περὶ αὐτοῦ· ἐγενήθη μερὶς κυρίου
Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ·
παρίσταται ὡς οὐκ ἀποκληρωτικῶς μόνον τὸ ἔθ-
νος τοῦτο, ἀλλὰ διὰ καλοκαγαθίαν οὕτως ἐχρη-
μάτισεν, ἐκ τοῦ περὶ θεοῦ λεγομένου ὑπὸ τῶν
ἁγίων ἀνδρῶν· ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν
αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν· εἰ
δὲ τηρήσει ἐντολῶν καὶ πίστει τῇ εἰς θεὸν κλη-
ρονομία τις γίνεται θεοῦ, ὁ παραβαίνων τὰς
ἐντολὰς τοῦ θεοῦ καὶ τῆς εἰς αὐτὸν πίστεως
μεταπίπτων, ἐκβάλλεται τῆς τοιαύτης τιμῆς·
ὡς αὖ ὁ ἐκκλίνας ἀπὸ τοῦ κακοῦ, καὶ τὸ ἀγα-
θὸν ποιῶν, γίνεται θεοῦ κλῆρος, καίπερ οὐκ ὢν
πρότερον· ταύτης μενούσης τῆς ἀκολουθίας, ὁ
πάλαι διὰ θεοσέβειαν ὢν κληρονόμος θεοῦ Ἰσ-
ραὴλ, ἀποστάτης θεοῦ γενόμενος, μετέπεσεν,
οὐ δεξάμενος τὸν ἐπ᾽ εὐεργεσίᾳ προηγουμένως αὐ-
τοῦ εἶναι καὶ τῶν ἄλλων ἀνθρώπων ἐληλυθότα
σωτῆρα· ἔδει τοίνυν ἀντεισαχθῆναι ἕτερον, συμ-
πληρούμενον ἐκ πλειόνων ἐθνῶν καὶ προσερχόμε-
νον τῷ εὐαγγελίῳ· τὸ οὖν αἴτησαι παρ᾽ ἐμοῦ,
καὶ δώσω σοι, ἡμῶν ἕνεκα, ἀλλ᾽ οὐ τοῦ υἱοῦ
εἴρηται· δηλοῖ γὰρ ὡς οὐκ αὐτῷ προστίθεταί τι,
ἀλλὰ τοῖς δεομένοις αὐτοῦ· ὡς γὰρ ἰατρῷ καὶ
διδασκάλῳ δίδοται, ἵνα ὑγιαίνοντες καὶ ἐπιστή-
μονες ἐξ αὐτοῦ γένωνται· ἀλλὰ καὶ τὸ, τὴν κα-
τάσχεσίν σου τὰ πέρατα τῆς γῆς, ἁπλούστερον B. f. 8.
νοηθείη οὕτως· μέχρι τῶν ἐσχάτων τῆς γῆς
ἡ σὴ κρατήσει διδασκαλία, κηρυττομένου τοῦ
εὐαγγελίου ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐ-
ρανόν· εἰ δυνατὸν πέρατα τῆς γῆς καλεῖσθαι
ἐνταῦθα τοὺς βίῳ καὶ φρονήματι περάσαντας
τὴν γῆν.

Διδύμου ὁμοῦ Θεοδωρίτου 1). Εἰ δὲ περὶ τῶν v. 9. A. f. 10. b.
Ἰουδαίων λέγοιτο, ὡς σκεῦος κεραμέως συντρί-
ψεις αὐτούς, πληρωθήσεται τὸ, υἱοὶ Σιὼν οἱ τί-
μιοι ἐπηρμένοι ἀργυρίῳ, πῶς ἐλογίσθησαν εἰς
ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως; ὡς
μηδὲν ἔτι χρήσιμον ὑπ᾽ αὐτῶν ὑπολείπεσθαι· εἴ-
ρηται δέ μοι ταῦτα συμφερομένως τῷ προφήτῃ
λέγοντι· καὶ ἔσται τὸ πτῶμα, τοῦ ἁμαρτωλοῦ
λαοῦ δηλονότι, ὡς πόλεως ἑαλωκυίας, καὶ ὡς
συντριβὴ σκεύους ὀστρακίνου εἰς λεπτά· ἐξ ὧν 2)...

1) Atqui apud Theodoretum nihil huiusmodi legitur. Scimus tamen eum nonnisi ex catenis decerptum nobis superesse.
2) Desunt in codice paginae quatuor.

v. 10. B. f. 8. Νόει δὲ τὸ, καὶ νῦν βασιλεῖς, ἀντὶ τοῦ, κἂν νῦν τοῦ σταυρωθέντος (ἀλλ') ἀναστάντος ἐκ ἐκ τῶν νεκρῶν· καὶ φοβηθῆτε οἱ ἄρχοντες, ἐγνωκότες ὡς ἐστι θεός· ὅπως ἂν τῆς ἐν φόβῳ δουλείας προκοπτικῶς πεπαυμένης, ἀγαλλίασις ὑμῖν ἐπιγένηται· τοιοῦτον καὶ τὸ *, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι κύριος ὕψιστος φοβερός· τοιούτου γὰρ ὄντος, ἀνάγκη μετὰ τρόμου τὴν ἀγαλλίασιν ἔχειν.

* Ps. XLVI. 2.

Intellige autem verba « et nunc reges » pro: etsi nunc crucifixus est, attamen mox resurget: timete itaque, o principes, et scitote hunc esse Deum: ut servili timore utiliter deinde cessante, laetitia vobis oboriatur. Sic est etiam illud: iubilate Deo in voce exultationis, quoniam dominus excelsus terribilis. Quod cum ita sit, necesse est non sine tremore exultationem fieri.

v. 10. B. f. 9. b. Δύναται δὲ καὶ πρὸς τὸ, δράξασθε παιδείας, εἰρῆσθαι δηλοῦν τὸ ἔτι ὄντες ἐν τῷ βίῳ τούτῳ παιδεύθητε.

Iam dictio apprehendite disciplinam, potest hoc etiam significare: quamdiu hac vita utimini, disciplinam condiscite.

v. 10. B. Ibid. Οὐκ ἀλλότριον τῆς χρηστότητος τοῦ σωτῆρος τὸ τοῖς παραστᾶσιν βασιλεῦσιν τῆς γῆς μετὰ τῶν ἀρχόντων τῶν συναχθέντων κατ' αὐτοῦ, λέγειν τὸ, καὶ νῦν βασιλεῖς σύνετε· εἰ γὰρ καὶ πρότερον ἀγνοήσαντες ἐπεβουλεύσατε, ἀλλὰ συνέντες μετανοήσατε ἢ σύνεσιν λάβετε, ἀναστάντος ἐκ νεκρῶν τοῦ σταυρωθέντος· ἐντεῦθεν μεταβὰς ὁ λόγος, διδασκαλίαν ἐκτίθεται τοῖς ἄρχουσιν καὶ τοῖς βασιλεῦσιν τοῖς ὑπὸ τῇ σιδηρᾷ ῥάβδῳ ποιμανθησομένοις· καί φησιν, ὅτι γνῶντες, ὦ οὗτοι, καὶ συνέντες ὅπως ἥ τις ἡ δύναμις τοῦ παρὰ τοῦ πατρὸς εἰληφότος τὰ ἔθνη κληρονομίαν· καὶ ὁποία τις τυγχάνει ἡ σιδηρὰ ῥάβδος ἡ καθ' ὑμῶν ἐπεγειρομένη, παύσασθε πολεμοῦντες αὐτῷ· ἀναλαβόντες δὲ μᾶλλον σύνεσιν, ἐπίδοτε ἑαυτοὺς τῇ λογικῇ παιδείᾳ.

Non est alienum a Servatoris benignitate, ut adstantibus terrae regibus, cum principibus adversus se congregatis, dicat: et nunc, reges, intelligite. Etiamsi enim per inscitiam antea insidiati estis, at nunc edocti resipiscite; vel ad intellectum redite, postquam a morte surrexit qui fuerat crucifixus. Hinc pergens oratio, disciplinam tradit principibus regibusque, quos ferrea virga recturus est, aitque: heus vos! eruditi iam, et intelligentes quanta sit vis illius qui gentes hereditatis instar a patre accepit; et qualis quantaque virga sit adversus vos intenta, ab eo oppugnando desinite: sed prudente potius animo imbuti, rationali vosmet tradite disciplinae.

v. 13. A. f. 11. B. f. 10. Τὸ ἐν τάχει, τῷ δράξασθε παιδείας ἀποδοτέον καθ' ὑπέρβατον εἰρημένον· ὡς εἶναι τὸ ἀκόλουθον τῆς φράσεως οὕτως· δράξασθε παιδείας ἐν τάχει, καὶ ἔτι ἐν τῷ βίῳ τούτῳ τυγχάνοντες· μήποτε ῥᾳθυμούντων ὑμῶν, ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.—Τὸ δὲ πεποιθέναι, ἐμφαίνει πίστιν μετ' ἐλπίδος ἀπτώτου βεβαιοτάτην· οὐδὲ γὰρ ἐν τοῖς δοκοῦσι χαλεπωτάτοις καιροῖς ὁ πεποιθὼς ἀπογινώσκει τὴν τοῦ κυρίου εἰς αὐτὸν παρουσίαν.

Locutio « in brevi » referenda est ad illam apprehendite disciplinam, tamquam fuerit per hyperbatum posita: ut sit dictionis series haec: apprehendite disciplinam brevi; dum adhuc hac luce vitali utimini: ne forte pigrescentibus vobis, irascatur Dominus, et de via iusta pereatis.—Verbum autem «confidere» fidem denotat, cum spe indeficiente, firmissimam. Etenim ne in rebus quidem, quae videntur asperrimae, vir pia fiducia pollens, de adfuturo sibi Domini auxilio desperat.

PSALMUS III.

v. 1. B. f. 10. b. Cord. Ἀφίησι δὲ θεὸς πολλοὺς θλίβειν τὸν δίκαιον, διδοὺς ἀφορμὴν αὐτῷ βάρους δόξης, ἀπὸ τῶν ὑπερβαλλουσῶν θλίψεων ὑφισταμένης· καὶ εἴ ποτε ὁ δίκαιος ἐπαπορῶν λέγοι τῷ θεῷ· κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; ἔτι αὐτοῦ λαλοῦντος, εἰπὼν ἰδοὺ πάρειμι ἀποκρίνεται, ἵνα βάρος δόξης ἐργάσηταί σοι τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολήν· διὸ πολ-

Sinit Deus hominem iustum a multis affligi, dans illi occasionem pondus gloriae adquirendi, quae ex copia tribulationum conficitur. Et si aliquando iustus augustiis pressus dixerit Deo: Domine, quid multiplicati sunt qui tribulant me? adhuc eo loquente, ecce adsum respondet Dominus, ut pondus gloriae tibi protinus levem faciat tribulationem, ita per hyper-

bolem dictam. Unde illud: multae tribulationes iustorum. Et ne salus absque Deo esse videatur, ideo David adiungit « in Deo. »

Quoniam psalmus tamquam ex persona Domini pronunciatur, dicendum est ipsius quoque caput exaltari, quod Dei est; cum nempe eius deitas, demonstratione externa fidelibus fit manifesta. Significat capitis vocabulum hoc loco principem. Idcirco sanctorum virorum princeps Christus, merito rex eorum est; atque ita caput eorumdem est.—Namque eius, qui cum Christo surrexit, et quae sursum sunt sapit non quae super terram, exaltabitur caput a Domino qui Verbum est. - Gloria eius qui ipsum selegit, quam ab eo solo postulat, is qui gloriam hominum non accipit.

Mons sanctus Dei, eximia illius cognitio potest intelligi. Mons sanctus Dei, unde supplices exaudit Deus unigenitus filius Dei. De quo monte dictum est: erit conspicuus mons Dei novissimis diebus. Quae locutio manifestationem illius denotat futuram, cum in saeculorum consummatione adveniet.

Cubare significat reclinationem, post quam supervenit somnus. Quia ergo animam suam sponte deposuit, postea decumbens soporatus est. Sed mox a mortuis resurgens, Deo suscipiente, primogenitus mortuorum factus est.

Decet virum sanctum, Deo confidentem, extra metum versari. Sic in vigesimo sexto psalmo: si consistant adversus me castra, non non timebit cor meum. Praedicit autem haec etiam Salvator innumeros cernens qui eum crucifici postulaturi erunt; contra quos se praebuit interritum.

Temere inimicos habet, qui odii atque inimicitiae causam non praebuit. Tales sunt omnes qui persecutionem patiuntur, propterea quod pie vivunt in Christo Iesu. Quibus a Servatore dicitur: beati estis cum exprobraverint vos, et dixerint omne malum mentientes propter me, et reliqua. Hoc morum instituto cum esset etiam David, multos habuit sine causa inimicos, ut Saulem et Abesalomum horumque stipatores. Nam sancto viro, et qui multam mansuetudinem bonitatemque erga eos saepe exprompserat, sine causa infensi erant.

Quaenam est benedictio populo superveniens, nisi patris voluntas de filii in mundum adventu?

λαὶ αἱ θλίψεις τῶν δικαίων· εἰ δέ ἐστι σωτηρία μὲν οὐκ ἐν τῷ θεῷ, Δαυὶδ τοις τέως πρόσκειται τὸ ἐν τῷ θεῷ.

Ἐπειδὴ δ' ἐλέχθη ὡς ἐκ προσώπου κυρίου ὁ v. 4. A. f. 11.
ψαλμὸς ἐπαγγέλλεται, ῥητέον ὡς καὶ αὐτοῦ ὑψοῦται ἡ κεφαλὴ ὁ θεὸς οὖσα, ὅτ' ἂν ἡ θεότης αὐτοῦ φανερὰ δι' ἀποδείξεως τοῖς πιστοῖς γίνηται· σημαίνει τὸ τῆς κεφαλῆς ὄνομα ἐν τούτοις ἄρχοντα· διὸ τῶν ἀνδρῶν ἄρχων ὁ Χριςὸς ἁγίων ὄντων, βασιλεὺς αὐτῶν εἰκότως ἐστίν· καὶ ταύτῃ κεφαλὴ αὐτῶν χρηματίζει.—Εἰ γὰρ v. 4. B. f. 11. b.
συνηγέρθη Χριστῷ, καὶ τὰ ἄνω φρονεῖ οὐ τὰ ἐπὶ γῆς, ὑψωθήσεται αὐτοῦ ἡ κεφαλὴ ἀπὸ τοῦ κυρίου ὅς ἐστιν ὁ λόγος.—Δόξα ἂν τοῦ χωρίσαντος αὐτόν· ἣν ἀπὸ τοῦ μόνου ἐζήτησεν ὁ μὴ λαμβάνων δόξαν ἀνθρώπων.

Ὄρος ἅγιον θεοῦ, ἡ ὑπερφυὴς γνῶσις αὐτοῦ v. 5. B. f. 12.
δύναται [νοεῖσθαι]· ὄρος ἅγιον τοῦ θεοῦ, ἐξ οὗ εἰσακούει τῶν εὐχομένων θεὸς ὁ μονογενὴς υἱὸς αὐτοῦ· περὶ οὗ εἴρηται· ἔσται ἐμφανὲς τὸ ὄρος κυρίου ἐπ' ἐσχάτων τῶν ἡμερῶν· δηλούσης τῆς λέξεως ταύτης τὴν γενομένην αὐτοῦ φανέρωσιν κατὰ τὴν ἐπιδημίαν ἐπὶ συντελείᾳ τῶν αἰώνων.

Τὸ μὲν κοιμηθῆναι σημαίνει τὴν ἀνάκλισιν v. 6. B. f. 12. b.
μεθ' ἣν ὁ ὕπνος ἐπιγίνεται· ἐπεὶ οὖν ἑκουσίως τὴν ψυχὴν αὐτοῦ ἔθηκεν, κατὰ τοῦτο κοιμηθεὶς ὕπνωσεν· ἐξεγερθεὶς δὲ ἐκ νεκρῶν, ἀντιλαβομένου θεοῦ, πρωτότοκος ἐκ νεκρῶν γεγένηται.

Πρέπει δὲ ἁγίῳ πεποιθότι θεῷ τὴν ἀφοβίαν v. 7. B. ibid.
ἀσκεῖν· οὕτως ἐν κϛ' λέγει ψαλμῷ· ἐὰν παρατάξεται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου· προλέγει δὲ ταῦτα καὶ ὁ σωτὴρ τὰς μυριάδας βλέπων τῶν αἰτουμένων αὐτὸν σταυρωθῆναι, πρὸς ἃς ἀταράχως διέκειτο.

Ματαίως ἐχθροὺς ἔχει ὁ μὴ παρέχων μίσους v. 8. A. f. 16.
καὶ ἔχθρας πρόφασιν· τοιοῦτοι δέ εἰσιν πάντες οἱ διωκόμενοι διὰ τὸ ζῆν εὐσεβῶς ἐν Χριςῷ Ἰησοῦ· πρὸς οὓς λέγεται ὑπὸ τοῦ σωτῆρος· μακάριοί ἐστε ὅτ' ἂν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσιν πᾶν πονηρὸν ψευδόμενοι ἕνεκεν ἐμοῦ, καὶ τὰ ἑξῆς· ταύτης τῆς προθέσεως ὢν καὶ ὁ Δαυὶδ, πολλοὺς εἶχεν ματαίως ἐχθροὺς, ὡς τὸν Σαοὺλ, καὶ τὸν Ἀβεσαλὼμ, καὶ τοὺς σὺν αὐτοῖς· τοῦ γὰρ ἁγίου πολλὴν πρᾳότητα καὶ ἀγαθότητα εἰς αὐτοὺς πολλάκις ἐνδειξαμένου, μάτην ἦσαν ἐχθροί.

Τίς ἡ εὐλογία ἡ ἐπὶ τὸν λαὸν ἐρχομένη, ἢ v. 9. B. f. 13.
βούλησις τοῦ πατρὸς ἡ περὶ τῆς ἐπιδημίας;

PSALMUS IV.

v. 2. A. f. 19. b. B. f. 14. et 15. Πλατύνει δὲ ἐν θλίψει ὁ θεὸς, οὐ παύων τὴν περίστασιν, οὐκ ἀνατρέπων τοὺς κακοῦντας, ἀλλὰ παρέχων μεγαλοψυχίαν γενναίως φέρειν τὰ περιστατικά· κατὰ ταύτην τὴν διάνοιαν ἀκουστέον καὶ τὸ, πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς, ὑπομονὴν χαριζόμενος· ἔστι δὲ ὅτε καὶ ἔξω τῶν περιστάσεων ποιεῖ τὸν μεγαλοψύχως πρὸς τὰς περιστάσεις στάντα, ὡς τὸν Ἰωσὴφ καὶ τὸν Ἰὼβ, ἀλλὰ καὶ αὐτὸν περὶ οὗ τὰ προκείμενα.

v. 3. A. f. 20. b. B. f. 15. Υἱοὶ ἀνθρώπων περίφρασίς ἐστι, ὡς παρ᾽ Ἕλλησι τὸ, υἷες Ἀχαιῶν· πολλὰ δὲ τοιαῦτα φέρεται καὶ ἐν τῇ γραφῇ· ὧν ἐστιν καὶ τὸ, βροτὸς γὰρ γεννητὸς γυναικός· καὶ τὸ, ἐν γεννητοῖς γυναικῶν, Ἰωάννου οὐδεὶς μείζων ἐστίν· καὶ αὗται γὰρ αἱ λέξεις ἀντὶ τοῦ ἄνθρωποι εἴρηνται.

v. 3. A. f. 22. b. Ἢ οὐ θαυμαστοῦται ὁ ὅσιος τοῦ θεοῦ ὅτ᾽ ἂν θλίψεις φέρει μεγαλοψύχως, δοκούσας ὑπὲρ ἄνθρωπον εἶναι· ἀλλὰ καὶ ὅτ᾽ ἂν ἐπικαλούμενος θεὸν ἐπινεύοντα εὐθέως ἔχῃ· ἅπερ πάντα ἀγνοεῖ ὁ βαρείαν καρδίαν, τοῦτ᾽ ἐστιν νόησιν μετὰ κακίας ἔχων· ἢ περὶ τοῦ Χριστοῦ εἴρηται πρὸς Ἰουδαίους ὁ λόγος, διὰ τὸ βαρυκάρδιον οὐκ ἔτι θεοῦ ἀλλ᾽ ἀνθρώπων υἱούς· πῶς γὰρ οὐκ ἐθαυμάστωσεν ἐν αὐτῷ καὶ δι᾽ αὐτοῦ πληρώσας προφητείας, παραδόξων δυνάμεων γενομένων δι᾽ αὐτοῦ· ἔτι μὴν καὶ ἀναστάντος ἐκ νεκρῶν; γνώσεσθε δὲ ἀποβαλόντες τὸ βαρυκάρδιον, καὶ ἐρευνήσαντες τὰς περὶ τοῦ ὁσίου γραφάς· ἐρευνήσασι γὰρ ὑμῖν, ἡ καινότης τοῦ πνεύματος εὑρεθήσεται.

v. 5. A. f. 23. b. B. f. 16. Ταύτην τὴν λέξιν παραλαβὼν ὁ ἀπόστολος, ἐπήγαγεν αὐτῇ· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μὴ δὲ δίδοτε τόπον τῷ διαβόλῳ· ὁ ταύτην καταδεξάμενος τὴν ἀποστολικὴν προτροπὴν, ὀργισθεὶς οὐχ ἁμαρτάνει, τοῦ κατ᾽ ὀργὴν διακειμένου ἐπίμονον αὐτὴν ἔχοντος, ὃν καὶ μηνιαστὴν 1) ἔθος καλεῖν· βεβαιοῖ ταύτην τὴν νόησιν τὸ ἑξῆς ἐπιφερόμενον· ἃ λέγετε γάρ, φησιν, ὀργισθέντες δηλονότι, ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις κατανύγητε, ὥστε ἀναστάντες ἐξ ὕπνου μηδὲν πρᾶξαι ἢ εἰπεῖν τῶν ἐν τῇ καρδίᾳ ἐν ὀργῇ διεσκεμμένων.

v. 7. A. f. 27. b. B. f. 8. b. id est cod. reg. vat. 40. Δυνατὸν φῶς τοῦ προσώπου τοῦ θεοῦ, τὸν χαρακτῆρα τῆς ὑποστάσεως καὶ εἰκόνα αὐτοῦ τοῦ ἀοράτου θεοῦ εἰπεῖν· ὅπερ φῶς ἀπεντεῦθεν ἐση-

Dilatat in tribulatione Deus, non calamitatem sedans, neque maleficos cohibens, sed magnanimitatem praebens fortiter ferendi calamitatem. Hoc sensu illud quoque intelligendum: multae tribulationes iustorum, et ex his omnibus eripiet eos, patientiam scilicet suppeditans. Quandoque etiam e calamitatibus reapse eripit Deus iustum hominem qui fuit contra illas magnanimus, veluti Iosephum ac Iobum, et hunc de quo nunc sermo est.

Filii hominum periphrasis est, velut apud ethnicos, filii Achaeorum. Multa huiusmodi in in sacra quoque scriptura feruntur; veluti mortalis est, de muliere natus. Item: inter natos mulierum, nemo maior Iohanne. Nam et hae locutiones nihil praeter hominem dicunt.

Vel dignus admiratione est vir Dei sanctus, cum tribulationes magno animo fert, quae supra hominis patientiam videntur; praesertim quia Deum invocans, ilico sibi annuentem experitur. Quae omnia ignorat gravis cordis homo, id est qui mentem pravam habet. Vel, de Christo sermo fit ad Iudaeos, propter cordis duritiam iam non Dei sed hominum filios. Quid ni enim in se perque se mirabilis Christus sit, completis vaticiniis, et stupendis miraculis per ipsum patratis, et demum a mortuis resurgens? Quae vos agnoscetis, si omissa cordis duritie, scripturas de sancto loquentes scrutabimini. Namque a vobis scrutantibus novitas spiritus invenietur.

Hanc arripiens locutionem apostolus, mox subiecit: sol non occidat super iracundiam vestram, et ne detis locum diabolo. Qui hanc admiserit apostolicam adhortationem, ad iracundiam commotus non peccat: quia ille potius qui iram fovet, habet illam perseverantem; quem irae tenacem mos est appellari. Confirmat hunc loci sensum, quod mox subsequitur, nam quae dicitis, inquit, irati scilicet in cordibus vestris, de his in cubilibus compungimini; ita ut somno experrecti nihil eorum agatis vel dicatis quae in corde per iram deliberastis.

Possumus lumen vultus Dei dicere figuram substantiae et imaginem ipsius Dei invisibilis. Quod lumen deinceps signatum fuit super nos,

1) Animadverte vocabulum μηνιαστής.

ad eius imaginem conformatos. Non est ignorandum quosdam legere sic: quidam ostendet nobis bona. Nam non multorum, sed unius est, bona ostendere. Hic autem unigenitus est filius Dei. Iis qui ita intelligunt, vocabulum quis (quidam) significat id quod proprie appellatur certa tali qualitate praeditum, et individuum, atque una numero substantia. Utuntur autem hoc testimonio: homo quidam nobilis. Nam et hoc loco quis (quidam) aliquid denotat quod proprie tale est.

Quamquam hi iucundis sibi rebus videntur expleri, attamen ego saeculum expectans futurum rectaeque vitae mercedem, extra omnem perturbationem propter spem constitutus, in id ipsum recumbam et soporabor; reclinationem somnumque dicens ex hac vita discessum. Iam causa narrata, cur recubuerit et in pace dormiverit, statim addit: quoniam in pace constituisti me. Quippe etiam apud Oseam dicitur animae ex persona Dei: constituam te in pace. Facit hoc autem Deus, futurorum spem divinorum bonorum exhibens constitutis ab eo in intellectuali practicaque virtute, et in veritatis dogmatibus et ecclesiasticis legibus.

μειώθη ἐφ' ἡμᾶς μορφωθέντας κατ' αὐτόν· οὐκ ἀγνωστέον ὡς ἀναγινώσκουσί τινες τὸ, τὶς δείξει ἡμῖν τὰ ἀγαθὰ, οὕτως· τὰ ἀγαθὰ οὐ πολλῶν ἐστιν, ἀλλ' ἑνός ἐστιν δεῖξαι· οὗτος δὲ ὁ μονογενής ἐστι τοῦ Θεοῦ υἱός· σημαίνει τοῖς οὕτως ἐκλαμβάνουσι τὸ τίς, τὸ ὀνομαζόμενον ἰδίως ποιὸν ἢ ἄτομον καὶ μίαν τῷ ἀριθμῷ οὐσίαν· συγχρῶνται μαρτυρίῳ τὸ, ἄνθρωπος τὶς εὐγενής· καὶ ἐνταῦθα γὰρ τὸ τὶς δηλοῖ τὸν ἰδίως ποιόν.

v. 8. A. f. 28. b. B. f. 18.

Εἰ καὶ οὗτοι ἀπὸ τῶν ἡδέων αὐτοῖς ἔδοξαν πληθύνεσθαι, ἀλλά γε ἐγὼ προσδοκῶν αἰῶνα μέλλοντα καὶ μισθὸν ὀρθῆς πολιτείας, πάσης ταραχῆς ἐκτὸς διὰ τὴν ἐλπίδα γεγονὼς, ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· κοίμησιν καὶ ὕπνον λέγων τὴν ἀπὸ τοῦ βίου ἀναχώρησιν. ὁ ἀποδιδοὺς τὴν αἰτίαν τοῦ κεκοιμῆσθαι καὶ ὑπνωκέναι ἐν εἰρήνῃ, εὐθὺς ἐπήγαγεν· ὅτι ἐπ' ἐλπίδι κατῴκισάς με· εἴρηται δὲ καὶ ἐν Ὠσηὲ πρὸς τὴν ψυχὴν, ἐκ προσώπου τοῦ Θεοῦ, « κατοικιῶ σε » ἐπ' ἐλπίδι· » ποιεῖ δὲ τοῦτο θεὸς, ἐλπίδα μελλόντων θείων ἀγαθῶν προτείνων τοῖς κατοικιζομένοις ὑπ' αὐτοῦ ἐν διανοητικῇ καὶ πρακτικῇ ἀρετῇ, καὶ ἐν δόγμασιν ἀληθείας, καὶ θεσμοῖς ἐκκλησιαστικοῖς.

PSALMUS V.

In finem. Ob gratiarum actionem hymnus canitur, pro anima seu ecclesia ad divinam hereditatem evecta, non materialem sed spiritalem. Attolluntur enim Dei famuli, secundum apostolum, ad hereditatem incorruptibilem, incontaminatam et inmarcessibilem, in caelis conservatam. Ad quam Servator invitans, ait: venite qui a dextris meis estis, benedicti a patre meo, possidete paratum vobis regnum: quod is, qui heic loquitur, cupiens, preces extollit ad illius praeparatorem Deum.

Verbum ἐνώτισαι, quod insuetum est, constanter in scriptura sacra ponitur, significans quod in aurem excipiat is qui audit sermones ab aliquo pronunciatos, cui proximus ipse est. Porro autem Deo proximi affectu sunt iusti homines. Unde fit, ut iustorum preces audire dicatur Deus, et aures postulatis illorum praebere. Rex autem simul et creator Deus est illorum, qui manus suas ad alienum Deum non extendunt, neque sub peccati dominio sunt.

v. 1. B. f. 18. b.

Εἰς τὸ τέλος. Χαριστήριος ὕμνος ᾄδεται ὑπὲρ τῆς ἀναφερομένης ψυχῆς ἤτοι ἐκκλησίας εἰς θείαν κληρονομίαν οὐκ αἰσθητὴν ἀλλὰ νοητήν· εἰσάγονται γὰρ οἱ τὸν Θεὸν θεραπεύοντες κατὰ τὸν ἀπόστολον εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς· εἰς ἣν καλῶν ὁ σωτὴρ ἔφη· δεῦτε οἱ ἐκ δεξιῶν μου οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· ἣν ὁ λέγων ποθήσας, εὐχὴν ἀναπέμπει τῷ εὐτρεπίσαντι αὐτὴν Θεῷ.

v. 2. A. f. 32. b. B. f. 19.

Τὸ δὲ ἐνώτισαι, μὴ φερόμενον ἐν τῇ συνηθείᾳ, ἐν τῇ γραφῇ κεῖται συνεχῶς, δηλοῦν τὸ εἰς τὰ ὦτα δέχεσθαι τὸν ἀκούοντα τοὺς ἀπαγγελλομένους λόγους τοῦ λέγοντος αὐτοὺς, διὰ τὸ ἐγγὺς εἶναι· σχέσει δ' ἐγγὺς οἱ δίκαιοι θεοῦ· ὅθεν εὐχαῖς δικαίων ἐπακούειν εἴρηται ὁ Θεὸς, καὶ τὰ ὦτα ἔχειν εἰς δέησιν αὐτῶν· βασιλεὺς δ' ἅμα καὶ δημιουργὸς ὁ Θεὸς τυγχάνει, τῶν μὴ διαπετασάντων χεῖρας αὐτῶν πρὸς Θεὸν ἀλλότριον, μὴ δὲ βασιλευομένων ὑπὸ τῆς ἁμαρτίας.

Κατὰ θεωρίαν δὲ, ᾧ ὁ τῆς δικαιοσύνης ἥλιος ἀνέτειλεν, ἐν ἀρχῇ νοητῆς ἡμέρας γεγονὼς, χαριστήριον αἶνον προσφέρων τῷ αἰτίῳ τοῦ φωτισμοῦ, τὸ πρωῒ ἔφη εἰσακούσῃ τῆς φωνῆς μου· τί γὰρ ἔδει
v. 4. C. f. 9. id est Reg. 40. χάριν ὁμολογῆσαι ὑπὲρ τηλικούτου ἀγαθοῦ, ἢ σοὶ ὦ δέσποτα τῷ ἀνατείλαντί μοι φῶς, αἴτιόν μοι μεγίστης θεωρίας ὑπάρχον; ἀεὶ γοῦν ἔρως εἰσέρχεται πρὸ ταῖς ὑπαρξάσαις θεωρίαις, καὶ ἔτι θέλειν βλέπειν τὰ κάλλη τῆς ἀληθείας· παρίσταται τοῦτο ἐκ τοῦ καὶ ἐπόψομαι· ὡς γὰρ τὸ ἐπέρχομαι ἀκατάπαυστον πρόσωπον δηλοῖ, οὕτω τὸ ἐπόψομαι, συνεχῶς προστιθεμένην κατανόησιν ἐμφαίνει· πῶς γὰρ οὐκ ἀεὶ βλέπει ὁ ἐπαγγελίας τυχὼν τῆς, ἔσται σοὶ κύριος φῶς αἰώνιον, καὶ φῶς δικαίοις διὰ παντός; ἐπεὶ δὲ καὶ ἑτέρα γραφὴ ἔχουσα, παραστήσομαί σοι, ἐπ᾽ ὄψει με· ὅπερ οὐ παντὸς λέγειν, ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἡλίαν διὰ τὴν ἀπὸ τῆς πολιτείας παῤῥησίαν λέγειν θαῤῥούντων· ζῇ κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον.

v. 6. B. f. 20. b. Τούτου ἀληθοῦς ὄντος, οὐκ ἔστιν ἐκ θεοῦ τὸ κακὸν κατὰ τοὺς λέγοντας ἐνυπόστατον τὴν κακίαν 1)· ἐκ στόματος γὰρ ὑψίστου οὐκ ἐξελεύσεται τὸ κακὸν καὶ τὸ ἀγαθὸν, βουλομένου μόνον εἶναι τὸ ἀγαθόν· οὗ ὄντος, οὐκ ἂν ἔν τινι συσταίη κακόν· ἀπόλλυσι δὲ τοὺς ψεύστας καθ᾽ ὃ ψεύσται εἰς ἐπίγνωσιν ἀληθείας· πάντων δὲ τῶν λαλούντων τὸ ψεῦδος ὑπὸ θεοῦ ἀπολλυμένων, ἀπόλλυται κἀκεῖνος περὶ οὗ εἴρηται· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· εἰ δὲ τοῦτο, οὐκ ἔστιν κατ᾽ οὐσίαν κακός· οὐ γὰρ ἅμα τὸ γενέσθαι καὶ εἰς ὑπόστασιν ἐλθεῖν, ἀλλὰ μετὰ ταῦτα τραπεὶς, ἀρχὴν τοῦ λαλεῖν τὸ ψεῦδος ἔσχεν, ἐσχηκὼς ποτὲ ἐν ἀληθείᾳ εἶναι· δηλοῦται δὲ τοῦτο ἐκ τῶν οὕτω περὶ αὐτοῦ γεγραμμένων, ἐν τῇ ἀληθείᾳ οὐκ ἕστηκεν, ὅτι ἀλήθεια οὐκ ἔστιν ἐν αὐτῷ· ὁ γὰρ ψεκτὸς ὢν διὰ τὸ μὴ ἑστάναι, φανερῶς ἐστιν πειραθεὶς τούτων τῶν διαθέσεων· κριτέον δὲ ἐκ προθέσεως ἀλλ᾽ οὐκ ἐκ μόνης φωνῆς τὸν ψευδόμενον, ἵνα μὴ ὦσιν ὑπὸ τὴν ἀπειλὴν οἱ οἰκονομικῶς ποτὲ τοῦτο πεποιηκότες, ὡς Ῥαάβ· ἔδοξε γὰρ ψεύδεσθαι πρὸς τοὺς ἀναζητοῦντας ἐπὶ τῷ ἀποκτεῖναι τοὺς κατασκόπους ἀγαθοὺς ἄνδρας ὄντας· ὑπὸ Ἰησοῦ γὰρ τοῦ Ναυῆ ἀποσταλέντες, ἐπαινετοὶ ἦσαν· τῆς προθέσεως τῆς ἀνθρώπου πολὺ τὸ σπουδαῖον ἐχούσης, οὐκ ἀκόλουθον ἔσται τάξαι αὐτὴν ἐν τοῖς ἀπολλυμένοις ἢ ἐν τοῖς ψεῦδος λαλοῦσιν· ὥσπερ δὲ οὐχ ὅπως ποτὲ κτείνας ἄνθρωπον, φονεύς ἐστι·

Contemplativa ratione autem, is cui iustitiae sol exoritur, initio spiritalis diei apparens, laudem grati animi causa recitans luminis auctori, mane inquit exaudies vocem meam. Nam cuinam gratiam habere tanti boni oporteret, nisi tibi Domine qui lumen mihi extulisti, quod mihi maximae illuminationis causa est? Semper itaque praeit amor illuminationibus, et pulchrae veritatis cognoscendae voluntas. Hoc demonstrat etiam vocabulo videbo: nam sicut «advenio» personam inquietam ostendit, ita «videbo» perpetuo intentam contemplationem ostendit. Quid ni enim semper videt, qui promissionem meruit: erit tibi Deus lumen aeternum, et lux iustis in perpetuum? Namque et alia scriptura occurrit: exhibebo me conspectui tuo. Quod non cuilibet licet dicere, sed magni Heliae similibus, qui ob vitae suae actae fiduciam audent dicere: vivit Dominus, in cuius conspectu hodie sto.

Quod verum cum sit, non est a Deo malum ut illorum opinio est, qui substantivam malitiam esse dicunt. Nam ex ore Altissimi non exibit malum et bonum, volentis tantummodo esse bonum. Quod quum ita se habeat, nemini congenitum malum est. Perdit autem mendaces, quatenus mendaces sunt, ut cognoscatur veritas. Iam quum omnes qui loquuntur mendacium, a Deo perdantur; is quoque peribit, de quo dictum est: cum loquetur mendacium, de suo loquetur: quod si ita est, non est substantialiter malus. Id demonstratur ex his quae de illo sunt scripta: in veritate non stetit, quia veritas in eo non est. Nam qui reprehensibilis est quia non stetit, manifeste his passionibus obnoxius fuit. Verumtamen mendacium ex animi proposito non ex sola voce iudicandum est; ne sub hanc imputationem cadant ii qui prudente aliquo consilio id egerunt: veluti Rhaab, quae visa est mentiri apud quaerentes interficere exploratores, bonos viros; qui a Iesu Navi filio missi, laudabiles erant. Quum huius feminae propositum valde esset honestum, non est consentaneum ut ea collocetur inter perditos, vel inter eos qui mendacium loquuntur. Sicuti ne ideo quidem quia aliquis hominem occidit, homicida est; nec qui sanguinem utcumque fuderit, vir sanguinum est. Nam nec homicidas nec viros san-

1) Reprehendit Manichaeos, adversus quos extat peculiare Didymi nostri opus.

guinum dicimus viros illos qui ex divinae legis norma morte eos adfecerunt qui talia pati digni erant. Alioqui Samuhelem quoque atque Eliam ita appellare oporteret, qui pro recta religione multos interimendos curarunt.

Improbis ac legis transgressoribus tecum non habitantibus, neque sub benivolo conspectu tuo manentibus, ego inquit te miserente domum tuam ingrediar. Sic enim dicere potero: mane adstabo tibi et videbo, et tamquam misericordiam consecutus, pie te adorabo in spiritu ac veritate. Iam vero firmus in virtute status, templum Dei est, quod qui tenent confidenter aiunt: Christus tamquam filius herilis domi suae est, quam domum ipsi constituimus, qui nostri similibus dicimus: templum sanctum estis; et corpora vestra templum Spiritus sancti sunt; apud quos filius paterque mansionem faciunt. Ecclesiasticum quoque dogma et doctrina, domus Dei templumque sunt; velut apud Timotheum: quomodo te oporteat in domo Dei conversari, quae est ecclesia Dei viventis. Utroque autem sensu ingreditur aliquis in domum, et adorat ad templum Domini, videlicet misericordia Dei potius quam sua vita frugi et recta.—Careo, inquit, virtutibus quae me Deo coniungere, et in eius domum introducere queant; sed tamen benignitati tuae confido, et ea fretus ingrediar. Neque deinceps contemptui erit apud me, qui recte egerit ducatu tuo ac providentia. Partem virium mearum violentiorem subtrahunt, ceu viae cuiusdam obstacula; ut sic iustitiam veram tenens, eiusdem quoque fortitudinem habeam contra adversarios.

Qui sibi proposuit recte sapere et agere, multos experitur adversantes homines atque daemones, emolumentis bene agentium ob invidiam infensos: contra quos se debilem sentiens, auxiliarem implorat Deum.—In aliquot exemplaribus scribitur: coram me viam tuam. Nam si via nostra coram Deo recta fuerit, nullum experiemur errorem. Et si via Domini prae oculis nobis fuerit, per eam incedemus alacriter. At Symmachus pro dirige, complana inquit; iuxta Esaiam dicentem: fient obliqua in rectam, et aspera in vias planas. In alio quoque psalmo dictum est: a Domino gressus hominis diriguntur. Ceteroqui cum demisso animo haud postulat iustitiae suae causa, quae

οὕτως οὐ καθάπαξ ὁ ἐκχέων αἷμα, ἀνὴρ αἱμάτων ἐστίν· οὐ γὰρ λέγομεν φονέας ἢ αἱμάτων ἄνδρας τοὺς κατὰ νόμον θεῖον ἀποκτείνοντας τοὺς ἀξίους παθεῖν τοῦτο· ἐπεὶ ὥρα λέγειν τοῦτο Σαμουὴλ καὶ Ἠλίαν, οἱ ἐπ' εὐσεβείᾳ πολλοὺς ἔκτειναν.

Τῶν πονηρευομένων καὶ παρανόμων οὐ παροι- v. 7. B. f. 20. b.
κούντων σοι, οὐδὲ διαμενόντων ὑπὸ τὴν θεωρίαν σου, ἐγὼ φησὶν ἐλέῳ τῷ σῷ εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· οὕτω γὰρ καὶ λέγειν δυνήσομαι τὸ, πρωῒ παραστήσομαί σοι καὶ ἐπόψομαι, καὶ ὡς ἠλεημένος σὺν εὐλαβείᾳ προσκυνήσω σε πνεύματι καὶ ἀληθείᾳ· ἡ δὲ κατ' ἀρετὴν κατάστασις, ναός ἐστι θεοῦ, ἣν οἱ ἔχοντες, μετὰ παῤῥησίας φασί· Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν, ἡμεῖς τοῖς ὁμοίοις ἐροῦντες, ναὸς ἅγιος ἐστέ· καὶ τὰ σώματα ὑμῶν, ναὸς τοῦ ἁγίου πνεύματος· πρὸς οὓς ὁ υἱὸς καὶ ὁ πατὴρ μονὴν ποιοῦνται· καὶ ἡ ἐκκλησιαστικὴ δὲ γνώμη τε καὶ διδασκαλία, οἶκος θεοῦ καὶ ναὸς, κατὰ τὸ πρὸς Τιμόθεον· πῶς δεῖ σὲ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥ τις ἐστιν ἐκκλησία θεοῦ ζῶντος· κατ' ἀμφοτέρας δὲ τὰς θεωρίας εἰσέρχεταί τις εἰς τὸν οἶκον, καὶ προσκυνεῖ πρὸς τὸν ναὸν κυρίου, ἐλέῳ θεοῦ
μᾶλλον ἢ οἰκείᾳ πολιτείᾳ καὶ φρονήσει·—Οὐκ B. f. 21.
ἔχω, φησὶν, ἀρετὰς αἵτινές με τῷ θεῷ συνάψαι καὶ εἰς τὸν οἶκον τὸν αὐτοῦ εἰσαγαγεῖν δυνήσονται· φιλανθρωπίᾳ δὲ τῇ σῇ θαῤῥῶ, καὶ δι' αὐτῆς εἰσέρχομαι· οὐκέτι δὲ καταπεφρονημένως εἴη φησὶν παρ' ἐμοὶ κατορθούμενον τὸ δίκαιον ὁδηγίᾳ τῇ σῇ καὶ προνοίᾳ· τὰ βιαιότερα τῆς ἐμῆς δυνάμεως ὑφαιροῦσιν, καθάπερ ὁδοῦ τινὸς ἐμπόδια, ἵνα τῆς δικαιοσύνης τὸ ἀληθὲς ἔχων, καὶ τὸ ἰσχυρὸν ἔχοιμι αὐτῆς κατὰ τῶν ἐναντίων.

Ὁ προτιθέμενος ὀρθῶς φρονεῖν καὶ πράττειν, v. 8. B. f. 21. et partim. Cord.
πολλοὺς ἐναντίους ἔχει ἀνθρώπους καὶ δαίμονας, ἐπὶ τοῖς ἀγαθοῖς τῶν κατορθούντων διὰ φθόνον ἀνιωμένους· πρὸς οὓς ἐξασθενῶν ἐπικαλεῖται σύμμαχον τὸν θεόν.—Ἔν τισι δὲ γράφεται, ἐνώπιόν μου τὴν ὁδόν σου· ἐάν τε δὲ ἡμῶν ἡ ὁδὸς κατευθύνθαι ἐνώπιον τοῦ θεοῦ, πλάνης οὐ ληψόμεθα πεῖραν· ἐάν τε τοῦ θεοῦ ἡ ὁδὸς ἐνώπιον ἡμῶν, αὐτὴν ὁδεύσωμεν προθύμως. Ἀντὶ δὲ τοῦ κατεύθυνον, ὁ Σύμμαχος ὁμάλισον εἴρηκεν, κατὰ τὸν Ἡσαΐαν εἰπόντα· ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας· εἴρηται δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ, παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται· οὐκ αἰτεῖ δὲ ταπεινοφρόνως διὰ τὴν ἰδίαν δικαιοσύνην, ἡ κληρονομοῦσα

κατευθύναι, διὰ δὲ τοὺς ἀσεβῶς αὐτῇ πολεμοῦντας· εἶτα κατὰ μέρος ἐπεξέρχεται· τῷ γὰρ ψεύδει συζῶσι, καὶ συμφώνους ἔχουσι τῇ γλώττῃ τοὺς λογισμοὺς, καὶ τὴν δυσωδίαν πρόδηλον ἔχουσιν ἐπὶ λύμῃ τῶν ἄλλων· λέγει δὲ τὴν κατὰ τοῦ θεοῦ βλασφημίαν, καὶ τῆς ἀκολασίας τὰ ῥήματα· ἀλλὰ καὶ χαλεπώτερα τῶν προφερομένων ῥημάτων τὰ κεκρυμμένα δόλῳ κατὰ τῶν πέλας τυρεύοντα.—Πῶς δὲ ὁδηγεῖταί τις τῇ τοῦ θεοῦ δικαιοσύνῃ, ἐξεταστέον, μήπω τ' οὖν ὁ κατὰ τὴν τοῦ θεοῦ δικαιοσύνην (αὕτη δέ ἐστιν ἡ γνησία ἀρετὴ) προκόπτων ἑπόμενος θεῷ· κατὰ τὸ, ὀπίσω κυρίου τοῦ θεοῦ σου πορεύσῃ, ὁδηγεῖται ὑπὸ τοῦ χορηγοῦντος τὴν ἀρετὴν αὐτοῦ, τοῦ θεοῦ δηλονότι.

v. 11. A. f. 35. b. Καὶ ἐπεὶ ἀνθρώπινον τὸ παρεπίκραναν, σκοπητέον πῶς ἐκλαβεῖν αὐτὸ δεῖ περὶ θεοῦ εἰρημένον· ὁ θεὸς ἀναλλοίωτος καὶ ἄτρεπτος ὑπάρχων . . ἔχωμεν· τὰ γὰρ ἡμέτερα ὡς ἐκείνῳ ἐγγιζόμενα νομίζεται, οἷον ἡ λήθη ἣν ἔχομεν περὶ αὐτοῦ, ὑπολαμβάνεται αὐτοῦ εἶναι· περὶ ἡμῶν γοῦν εἶπεν· ἐπελάθου νόμου θεοῦ σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου. Ὅμοιον τῷ ῥητῷ τούτῳ τὸ γραφόμενον ὑπὸ Παύλου· εἴ τις ἀγνοεῖ, ἀγνοεῖται· δῆλον ὅτι ὑπὸ τοῦ εἰπόντος πρὸς τοὺς φαύλους· ἀποχωρεῖτε ἀπ' ἐμοῦ ἐργάται ἀνομίας· οὐδέποτε ὑμᾶς ἔγνων· ὡς οὖν ταῦτα ὁ παραπικραίνων ἑαυτοῦ τὸ ἦθος, διὰ τῆς πικροτάτης κακίας ἀντάξια πάσχων ὧν ἔδρασεν, οἴεται τὸν θεὸν κατ' αὐτοῦ πικράζεσθαι· εἶπεν γοῦν τοῦτ' αὐτό· ψυχὴ δίκῃ ὑποπεσοῦσα ψήφῳ θεοῦ δι' ἁμαρτήματα· ἐγὼ παραπικραίνουσα παρεπικράνθην· ὅθεν καὶ συνορῶσα τὴν τοῦ κρίματος ἀκολουθίαν εἶπεν· δίκαιός ἐστιν ὁ κύριος, ὅτι τὸ στόμα αὐτοῦ παρεπίκρανα.

v. 12. A. f. 36. Ῥηθείη τὰ προκείμενα καὶ περὶ τῆς τοῦ σωτῆρος ἐπιδημίας, εὐφρανθέντων πάντων τῶν καραδοκούντων αὐτοῦ τὴν ἐνανθρώπησιν· ἠλπίζετο γὰρ αὕτη τοῖς προφήταις καὶ τοῖς νοοῦσι τὰς προφητείας· ἐπεδήμησεν γὰρ ὁ θεὸς λόγος σὰρξ γεγονὼς πρὸς . . λόγος γάρ, φησι, σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· οὕτω σκηνώσαντος αὐτοῦ, εἰς αἰῶνα ἀγαλλιάσονται οἱ ὑποδεξάμενοι αὐτὸν ἐν ἑαυτοῖς· ὄψονται γὰρ τοῦ κατασκηνώσαντος ἐν αὐτοῖς διὰ σαρκὸς λόγου τὴν δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· οὐ τοῦ χρόνου τούτου εἰς αἰῶνα ἀγαλλιώμενοι, ἔργῳ θεασάμενοι τὴν ὡς μονογενοῦς πατρὸς δόξαν, οἳ φασίν· εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν·

recte agere sortita sit, sed propter eos qui se impie oppugnabant. Deinde particulatim pergit dicere: etenim plenam mendacii vitam degunt, et linguae consonas habent cogitationes, foetoremque manifestum olent ad aliorum corruptelam. Designat nimirum blasphemiam adversus Deum, et intemperantis lasciviae verba: immo et peiora verbis, dolo tecta adversus proximum molimina.—Quomodo autem homo dirigatur a iustitia Dei, quaerendum est. Ille scilicet qui secundum Dei iustitiam (talis enim est germana virtus) proficiens in sequendo Deum; iuxta illud: post dominum Deum tuum ambulabis; ille, inquam, a largiente sibi virtutem Deo ducitur.

Quia humanum est exacerbari, considerandum superest quomodo id de Deo dictum intelligi oporteat. Deus cum sit immutabilis . . habemus. Nostra enim tamquam ei propinquantia aestimantur, veluti oblivio qua circa Deum nos laboramus, Dei esse reputatur. Ergo de nobis dixit: oblitus es legis Dei tui; ego quoque obliviscar filiorum tuorum. Simile est dicto huic, quod a Paulo scribitur: si quis ignorat, ignoratur; videlicet a Deo qui dixit improbis: discedite a me operarii iniquitatis; non novi vos. Similiter ergo qui mores suos exacerbat, dum acerbissimae suae nequitiae paria meritis experitur, is e contrario existimat Deum sibi esse exacerbatum. Hoc ipsum itaque dicit anima poenae supposita decreto Dei propter peccata: ego exacerbans exacerbata fui. Unde et cernens iudicii effectum ait: iustus est Dominus, quoniam os eius exacerbavi.

Haec dici possunt etiam de Servatoris adventu, gestientibus cunctis qui ipsius incarnationem expectabant. Sperabant enim hanc prophetae et quotqnot prophetias intelligebant. Venit quippe Dei Verbum, caro factum ad . . Verbum enim caro, inquit, factum est, et habitavit in nobis. Sic eo inhabitante, aeternaliter exultabunt, qui eum intra se receperunt. Videbunt enim habitantis intra ipsos incarnati Verbi gloriam quasi unigeniti a patre, plenum gratiae et veritatis. Haud huius temporis saeculo exultant, qui reapse viderunt gloriam quasi unigeniti a patre; qui aiunt: etsi agnovimus secundum carnem Christum, nunc tam iam amplius non cognoscimus, ha-

bentes contemplationem gloriae eius, qua unigenitus a patre est.

ἔχοντες θεωρίαν τῆς δόξης αὐτοῦ, καθ' ἣν μονογενὴς παρὰ πατρός ἐστιν.

Armatura et corona scutum est: armatura pugnantibus, corona victoribus: armatura militibus laborum patientibus, corona regnantibus.

Ὅπλον καὶ στέφανος ὁ θυρεός, ὅπλον διὰ τοὺς πολεμοῦντας, στέφανος διὰ τοὺς νικῶντας· ὅπλον διὰ τοὺς στρατιώτας συγκακοπαθήσαντας, στέφανος διὰ τοὺς βασιλεύοντας. v. 13. B. f. 22.

PSALMUS VI

Quum diviniorem sensum psalmus habeat, hymnis continetur. In finem autem canitur, quia perfectissimae sunt illae de octava contemplationes. Iam qui spiritalem habet circumcisionem, Deo circumciditur; qui carnalem, non item. Idcirco ait propheta: circumcidimini Deo vestro, et nolite circumcidi in carne praeputii vestri. Et rursus: cunctae gentes incircumcisae carne, domus autem Israhelis incircumcisi cordibus suis. Sicut ergo qui materialiter circumciditur, partem aliquam genitalis membri aufert; ita qui omnem generandi curam abiicit, corde circumciditur; veluti veri caelibes quae sunt Domini cogitantes, ut ei placeant. Octava autem die haec circumcisio peragitur; quia oportet extollendo se supra hunc sex diebus conditum mundum, pervenire ad septimam quae est verum sabbatum, sanctum et deliciosum. Et quia non sufficit ad perfectam beatitudinem, vacare a creaturis mundanis, supermundialem necesse est supraque praecedentem assumere vitae statum, quae est octava; quam qui consequi optat, neque mundum diliget neque quicquid in eo est. Quod autem reapse lex ad huiusmodi scopum deduceret, constat inde quod necis minas intendebat puero octava die non circumciso; et non potius adversus parentes aut pueri nutritores: quum alioqui consentaneum non esset, necem ei comminari, qui praecepto observando par non erat.

Θειοτέραν δὲ νόησιν ὁ ψαλμὸς ἔχων, ἐν ὕμνοις ἐμπεριέχεται· εἰς δὲ τὸ τέλος ᾄδεται τῷ τελεώτατα εἶναι τὰ περὶ τῆς ὀγδόης θεωρήματα· τὴν πνευματικὴν δέ τις ἔχων περιτομὴν, θεῷ περιτέμνεται τὴν δὲ σαρκικὴν, οὐ πάντως· διὸ φησὶν ὁ προφήτης· περιτμήθητε τῷ θεῷ ὑμῶν, καὶ μὴ περιτέμνεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν· καὶ πάλιν· πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίαις αὐτῶν· ὥσπερ τοίνυν ὁ αἰσθητῶς περιτεμνόμενος περιαιρεῖ τι τοῦ ὑπηρετοῦντος γενέσει μέλους, οὕτως ὁ πάντα φίλον γενέσει λογισμὸν ἐκβαλὼν, περιτέμνεται τὴν καρδίαν· ὡς οἱ γνησίως ἄγαμοι μεριμνῶντες τὰ τοῦ κυρίου, ἵνα αὐτῷ ἀρέσωσιν· ἐν ὀγδόῃ δὲ ἡμέρᾳ ἡ τοιαύτη κατορθοῦται περιτομή· δεῖ γὰρ ὑπερβάντα τὸν ἐν ϛ' ἡμέραις γενόμενον κόσμον, ἐν τῇ ἑβδόμῃ γενέσθαι οὔσῃ ἀληθινῷ σαββάτῳ ἁγίῳ καὶ τρυφερῷ· καὶ ἐπεὶ οὐκ ἀρκεῖ πρὸς τελείαν μακαριότητα τὸ τῶν κοσμικῶς γινομένων ἀργῆσαι, δεῖ προσλαβεῖν τὴν ὑπερκόσμιον ὑπὲρ ταύτην κατάστασιν οὖσαν ὀγδόην· ὁ ταύτης πειραθῆναι ποθῶν, οὐκ ἀγαπήσει τὸν κόσμον οὐδὲ τὰ ἐν αὐτῷ. Ὅτι δὲ πρὸς ταύτην ὁ νόμος τὴν νόησιν ὁδηγεῖ, δῆλον ἐκ τοῦ φέρειν ἀπειλὴν ἐξολοθρεύσεως κατὰ τοῦ μὴ τῇ ὀγδόῃ περιτμηθέντος ἡμέρᾳ παιδίου, ἀλλὰ μὴ κατὰ τῶν γονέων, ἢ τῶν ἄλλως τὸ παιδίον ἀνατρεφόντων· οὐ γὰρ ἀκόλουθον ἀπειλεῖσθαι θάνατον τῷ μὴ δὲ τηρεῖν δυναμένῳ τὴν ἐντολήν. v. 1. B. f. 22. b. et Cord.

Homo autem sensum a castigatione adeptus, dicit: iram Domini perferam, quia illi peccavi, donec iustificet causam meam, et auferat poenam meam, atque in lumen me educat. Sciebat enim opis ferendae gratia fieri iudicium, atque hunc exitum rei fore. Sed iracunda reprehensione melior est verbalis admonitio quae voluntariam paenitentiam provocat; melior, inquam, quam illa quae non omnino voluntaria est. De verbali quidem castigatione

Αἴσθησιν δέ τις ἐπὶ παιδείᾳ λαβὼν, λέγει· ὀργὴν κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως οὗ δικαιῶσαι τὴν κρίσιν μου, καὶ ἀποίσει τὸ κρίμα μου, καὶ ἐξάξει με εἰς τὸ φῶς· οἶδε γὰρ ὡς βοηθείας χάριν ἡ κρίσις, καὶ τοιοῦτον ἔχει τὸ πέρας· ἀλλὰ τοῦ μετ' ὀργῆς ἐλέγχου, ὁ διὰ λόγου διδασκαλίας ἀμείνων, τὴν μετάγνωσιν ἔχων ἑκούσιον, ἐκείνου μὴ πάντη τὸ ἑκούσιον ἔχοντος· περὶ δὲ τοῦ διὰ λόγου καὶ Παῦλος ἔφη· τὰ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦνται· ἡ γὰρ v. 2. B. f. 23. et Cord.

παιδεία διὰ φωτὸς, φανέρωσίς ἐστιν, ἀποδείξεως τρόπῳ γινομένη· οὐχ ἁμαρτωλῶν μόνων ἀλλὰ καὶ δικαίων, φωτίζοντος τοῦ θεοῦ τὰ κρυπτὰ, δι' ἄγνοιαν καὶ κακίαν σκότος ὀνομασμένον· καὶ φανεροῦντος τὰς βουλὰς τῶν καρδιῶν τῶν δικαίων· πλὴν εἰ καὶ πονηροὺς ὁ θυμὸς ἄγει καὶ ἡ παιδεία, ἀλλ' ἐπὶ τέλει χρηστῷ κωλυτικοὺς ὄντας κακίας καὶ ἀσεβείας· τοιγαροῦν ὁ πειραθεὶς τοῦ διὰ τούτων χρησίμου, εὐλογήσω σε, κύριε, φησὶν, ὅτι ὠργίσθης μοι εἰς σωτηρίαν· ἀπέστρεψας τὸ πρόσωπόν σου καὶ ἠλέησάς με· καὶ αὐτὸς δὲ φανεροῖ τὴν ἐγκεκρυμμένην ὁ θεὸς ἐν τῇ ὀργῇ αὐτοῦ ἀγαθότητα λέγων· ὅταν ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι· εἰ γὰρ καὶ ἀποκαλύπτεται ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ, ἀλλ' ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, ἀφανιστικὴ τούτων ὑπάρχουσα· ὅτι δὲ μὴ πάθος ἐπὶ θεοῦ ἡ ὀργὴ, δηλοῖ λέγων ὁ Μωϋσῆς· ἀπέστειλας τὴν ὀργήν σου, καὶ κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην· ἡ ὀργὴ γὰρ τὸ πάθος οὐκ ἀποστέλλεται, θυμικὴ δύναμις οὖσα ψυχῆς· τὴν δὲ τῶν επιπόνων ἐπαγωγὴν τοῖς ἁμαρτωλοῖς, ὀργὴν ἐν τούτοις φησίν.

v. 3. A. f. 27. Ἴασις ἀσθενείας ψυχῆς, ἡ ἐκ θεοῦ δύναμις· ὡς λέγειν τὸν ταύτης τυχόντα, πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ· ὅτι δὲ οὐκ εἴ που τῆς γραφῆς εἴρηται ὀστᾶ, οὐ πάντως περὶ τῶν αἰσθητῶν ἐστιν τὸ δηλούμενον, ἐπιστατέον τῷ, πάντα τὰ ὀστᾶ μου ἐροῦσιν, κύριε κύριε, τίς ὅμοιός σοι; καὶ τῷ, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην.

v. 4. B. f. 23. b. Καὶ σὺ κύριε ἕως πότε; ἐπίστρεψον κύριε ῥῦσαι τὴν ψυχήν μου· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὡς ἀποστραφέντος δὲ αὐτὸν ἐν οἷς ἡμάρτανε τοῦ θεοῦ· διὸ πάντα τὰ κατ' οἶκον γέγονεν αὐτῷ δυσχερῆ, καὶ ἡ τοῦ παιδὸς ἐπανάστασις· ἐπίστρεψόν, φησι, κύριε, γενόμενος λοιπὸν εὐμενὴς, καὶ τὴν ἐμὴν ἀνάσωσον ἐκ τῆς ἀσθενείας ψυχὴν, διὰ τὴν σὴν μόνην φιλανθρωπίαν.

v. 5. A. f. 37. b. B. f. 24. Τὸ ἐπίστρεψον, διττῶς νοεῖται· δηλοῦται γὰρ ὅτε μὲν, νόησις τοιαύτη· ἐπεὶ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· διά τι μοι χρήσιμον παρακαλῶ ὅπως ἐπιστρέψῃς, καὶ ἐπιφάνῃς μοι αὐτό· ὅτε δὲ, παρίσταται θεωρία τοιαύτη· ἐπεὶ ἡ ψυχή μου ἁμαρτάνουσα ἀπεστράφη ἐπὶ κακῷ τῷ ἑαυτῆς, ἐπιστρέψας αὐτὴν πρὸς ἑαυτὸν ἀνακαλούμενος (κατὰ τὸ, ἐπιστράφητε υἱοὶ ἀφεστηκότες) λύτρωσαι αὐτὴν ἀπὸ τῶν μακρυνάντων ἁμαρ-

Paulus quoque ait: omnia coarguta a lumine manifestantur. Nam quae per lumen correptio fit, ea manifestatio est, ad instar demonstrationis, non peccatoribus tantummodo, verum etiam iustis exhibita: Deo occulta illuminante, quae ob ignorantiam seu malitiam tenebrae appellantur, et cordium iustorum deliberationes manifestante. Sed enim quamvis improbos ira Dei exagitat et castigatio, attamen nonnisi ad bonum finem, cum ita a malo et impietate se retrahunt. Qui ergo utilitatem ex his percepit, benedicam te, inquit, Domine; quia iratus es mihi ad salutem. Avertisti faciem tuam; et misertus es mei. Immo ipse Deus manifestat latentem in ira sua bonitatem dicens: cum ira furoris mei erit, tunc sanabo. Etsi enim revelatur ira Dei de caelo, ea tamen adversus omnem impietatem et iniustitiam hominum tendit, ut eas de medio tollat. Quod autem ira Dei passio non sit, docet Moyses dicendo: misisti iram tuam, et devoravit eos tamquam stipulam. Atqui illa ira, quae passio est, non mittitur, cum sit animae irascibilis facultas. Sed calamitatum immissionem in improbos heic iram appellat.

Sanatio animae infirmae est, Dei virtus; ita ut hanc expertus dicat: omnia possum in Christo qui me confortat. Quod vero sicubi in sacra scriptura nominantur ossa, haud semper de materialibus sermo sit, vel hinc cognoscitur: omnia ossa mea dicent, Domine Domine, quis similis sibi? Et rursus: dispersa sunt ossa nostra apud inferos.

Et tu, Domine, quousque? Convertere, Domine; eripe animam meam; salva me propter misericordiam tuam. Sic ait, quasi ab ipso Deus sit aversus propter peccata: cuius causa res cunctae domesticae factae sunt ei calamitosae, et ipsius filii rebellio obtigit. Convertere inquit, Domine; et deinceps esto benivolus, meamque serva ex infirmitate animam, propter tuam unice benignitatem.

Verbum convertere, dupliciter intelligitur. Aliquando enim sensus est hic: quoniam avertisti faciem tuam a me, propterea rogo ut clementem eam ad me convertas, mihique ostendas. Aliquando significatio eius haec est: quoniam anima mea aversa est in malum proprium, tu convertens ipsam atque ad te revocans (iuxta illud: convertimini qui aversi estis) redime ab elongantibus eam pec-

catis, et a causantibus haec malis potestatibus.

Qui opinantur dici haec de communi morte, falluntur vel potius irreligiose sentiunt. Nam sancti homines, non tunc tantummodo Dei sunt memores, cum communem hanc vitam retinent, sed multo tunc magis cum a corruptibili hoc corpore separantur. Quid ergo ait? quia nemo, qui tui meminerit, in mortem illam incidit, quam parit peccatum; haec enim mors illa est quae peccantem animam a virtutis vita separat); ego vero cupio memor esse tui, in id ipsum vergens benivolentiam tuam, salva me, ne praevalente adversus me infirmitate mea atque animi perturbatione, in mortem absorbear. Non itaque dictum est: non est memor tui qui moritur; sed qui memor est tui, in illam mortem non incidit, de qua Servator aiebat: qui sermonem meum audit, mortem non videbit in aeternum.

Videsis, an et alius sensus esse possit verborum: inveteravi inter inimicos meos. Cum iuste vivebam, iuvenescebam semper vivens secundum novitatem spiritus et novum foedus. Postquam vero ob humanam socordiam, a probo vitae genere excidi, inveteravi secundum illius hominis vetustatem quam exuere Paulus hortatur (loquitur scilicet de vitiosa vita) ut induamur novo homine, qui est secundum Deum creatus in sanctitate et veritatis agnitione. Est autem haec vita immaculata.

Haec dici intelliges etiam contra insidias illi struentes invisibiles hostes et malas potestates, quae ipsius erga Deum profectui invidebant, et post patratum peccatum perverso cum gaudio aiebant: non est salus ipsi in Deo eius.

Laudabili mentis proposito pro inimicis orat: vult enim ipsos pudere actuum suorum, quibus et iustorum et Dei hostes erant. Id autem ipsis utile futurum erat: nam qui ex sensu intimo pudorem contrahit, et ob patratum a se scelus perhorrescit, paenitentia tactus peccare ulterius desinet. Explanatio haec confirmatur a subsequente commate: convertantur conturbati hostes retrorsum, haud ulterius malitiâ suâ provecti, sed ad probam illam quam deseruerant vitam reversi. Quod utinam bonum ipsis, haud post diu-

τημάτων καὶ τῶν ἐνεργουσῶν αὐτὰ πονηρῶν δυνάμεων.

v. 6. A. f. 38. B. f. 24.

Οἱ περὶ τοῦ κοινοῦ θανάτου ὑπονοοῦντες εἰρῆσθαι τὰ προκείμενα, σφάλλονται, μᾶλλον δὲ ἀσεβοῦσιν· οἱ γὰρ ἅγιοι ἄνδρες οὐ τότε μόνον μνήμην ἔχουσι θεοῦ, ὅτε τὴν κοινὴν ζωὴν ἔχουσιν, ἀλλὰ πολλῷ μᾶλλον ὅτε χωρίζονται τοῦ φθαρτοῦ σώματος· τί οὖν φησίν; ἐπεὶ οὐδεὶς μεμνημένος σου ἐν θανάτῳ γίνεται, ὃν ἡ ἁμαρτία ἀποτίκτει· οὗτος δὲ ἔστιν ὁ χωρίζων ἐναρέτου ζωῆς τὴν ἁμαρτάνουσαν ψυχήν· ποθῶ δὲ μνήμην σου ἔχειν, εἰς τοῦτ' αὐτὸ ῥέψας τὴν ἀγαθότητά σου, σῶσόν με, ἵνα μὴ ἰσχυσάσης κατ' ἐμοῦ τῆς προσούσης ἀσθενείας καὶ ταραχῆς, καταποθῶ ὑπὸ τοῦ θανάτου· οὐ γὰρ εἴρηται, οὐ μέμνηται θεοῦ ὁ ἐν θανάτῳ, ἀλλ' ὁ μνημονεύων αὐτοῦ οὐκ ἔστιν ἐν θανάτῳ, περὶ οὗ φησὶν ὁ σωτήρ· ὁ τὸν λόγον μου ἀκούων, θάνατον οὐ θεωρεῖ εἰς τὸν αἰῶνα.

v. 8. A. f. 38. b. B. f. 24. b.

Ὅρα εἰ δύναται τὸ ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου, καὶ ἑτέραν νόησιν ἔχειν· ὅτε σὺν δικαιοσύνῃ ἔζων, ἐνέαζον ἀεὶ ζῶν κατὰ τὴν καινότητα τοῦ πνεύματος καὶ τὴν καινὴν διαθήκην· ἐπειδὴ δὲ ἐξ ἀπροσεξίας ἡμετέρας μετέστην τοῦ ἐπαινετῶς ζῆν παρὰ τοῖς ἐχθροῖς γενάμενος, πεπαλαίωμαι, κατὰ τὴν τοῦ ἀνθρώπου ἐκείνου παλαιότητα, ὃν ἐνδύσασθαι Παῦλος παραινεῖ· φαῦλος δὲ βίος οὗτος, ἵν' ἐνδυσώμεθα τὸν νέον ἄνθρωπον, τὸν κατὰ θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ γνώσει τῆς ἀληθείας· οὗτος δέ ἐστιν ὁ βίος ὁ ἀκηλίδωτος.

v. 9. A. f. 38. b.

Νοήσεις δὲ ταῦτα λέγεσθαι καὶ πρὸς τοὺς τὴν συσκευὴν αὐτῷ κατεργασαμένους ἀοράτους ἐχθροὺς καὶ πονηρὰς δυνάμεις, τὰς διαφθονουμένας τῇ κατὰ θεὸν αὐτοῦ προκοπῇ, καὶ μετὰ τὴν ἁμαρτίαν ἐπιχαιρεσικάκως λεγούσας, οὐκ ἔστιν σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ·

v. 11. A. f. 39. B. f. 24. b. et partim Cord.

Ἀγαθῇ προθέσει εὔχεται ὑπὲρ τῶν ἐχθρῶν· θέλει γὰρ αὐτοὺς αἰσχυνθῆναι ἐφ' οἷς ἔπραττον, δι' ἃ καὶ ἐχθροὶ τῶν δικαίων καὶ τοῦ θεοῦ ἦσαν· ἔσται δὲ τοῦτ' αὐτοῖς ἐπωφελές· ὁ γὰρ ἐξ αἰσθήσεως αἰσχυνθεὶς, καὶ ταραχθεὶς ἐπὶ τῇ ἐνεργουμένῃ ὑπ' αὐτοῦ κακίᾳ, καταγνοὺς αὐτῆς πεπαύσεται τοῦ ἐνεργεῖν ἔτι· οὕτως βεβαιοῦται ἡ ἐξήγησις ἐκ τοῦ ἐπιφερομένου στίχου οὕτως ἔχοντος· ἐπιστραφείησαν ταραχθέντες οἱ ἐχθροὶ εἰς τὰ ὀπίσω, μηκέτι τῆς κακίας ἔμπροσθεν ἐλαύνοντες, ἀλλ' ἀνακάμπτοντες εἰς ἣν κατέλιπον ἐνάρετον πολιτείαν· τοῦτο δὲ αὐτὸ πρὸς

ἀγαθοῦ γινόμενον αὐτοῖς, μὴ ἐν ὑπερθέσει χρονικῇ ἢ ἀνειμένως, ἀλλὰ σφόδρα διὰ τάχους.

turnam moram vel lente fiat, sed valde velociter!

PSALMUS VII.

v. 1. A. f. 39. b. Χουσὶ υἱὸς Ἰεμενὶ ἐκλήθη, ἀπὸ τοῦ δήμου ὅθεν ἦν ὁ Σαοὺλ καὶ ὁ Σεμεῒ καὶ ὁ τὴν ἀγγελίαν καταμηνύσας τοῦ Σαούλ· υἱὸς δὲ Ἀραχὶ ἀπὸ τοῦ πατρός· ἀρχιεταῖρος δὲ, ὁ ἄρχων τῶν φίλων
B. f. 25. καὶ παλαιὸς κατὰ τὴν φιλίαν· ᾄδει δὲ τὸν ψαλμὸν, πρακτικῶς ἅμα καὶ θεωρητικῶς αὐτὸν προφέρων· εἴρηται δὲ ἐν τῇ ἐπιγραφῇ τοῦ τετάρτου 1), ὡς πρᾶξιν ὁ ψαλμὸς, θεωρίαν δὲ ἡ ᾠδὴ δηλοῖ· καὶ ἐπεὶ εἰσὶν ἐπιγραφαὶ ἔχουσαι ψαλμὸν ᾠδῆς, ἢ ᾠδὴν ψαλμοῦ, ῥητέον περὶ αὐτῶν, ὡς ψαλμοῦ μὲν ᾠδή ἐστιν, ἡ περὶ πρακτικῶν καὶ ἠθικῆς παιδεύσεως θεωρία· ψαλμὸς δὲ ᾠδῆς, ἡ ἀναγκαίως ἐν τῷ θεωρεῖν τὴν ἀλήθειαν παραλαμβανομένη πρᾶξις· πολλὰ γὰρ πράττεται ὑπὲρ θεωρίας τῆς σοφίας, ἃ ψαλμὸν ᾠδῆς, οὐκ ἀπὸ σκοποῦ τις ἐρεῖ· τούτων ὧδε θεωρουμένων, εἰκότως τὸν προκείμενον ψαλμὸν ᾄδει ὁ Δαυὶδ πρακτικὸν ὄντα, θεωρῶν περὶ ἑκάστου τῶν πραττομένων σοφῶς καὶ πάνυ θεοπρεπῶς· γνῶναι θέλων τί ἕκαστον δηλοῦται ἐκ τῶν οὕτως αἰσθητῶς ἐπιτελουμένων· ἐκθετέον δὲ καὶ αὐτὰς τὰς τοῦ ψαλμοῦ λέξεις οὕτως ἀρχομένας. κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα κ. τ. λ.

Chusi Iemini filius dictus est, ex gente unde Saul et Semei oriundi erant, et qui Saulis nuncium attulit: filius autem Arachi, qui eius pater erat; amicus summus, id est amicorum princeps, et vetere amicitia coniunctus. Canit autem psalmum, practice simul et theoretice eum proferens. Dictum porro fuit a nobis in quarti psalmi titulo, vocabulo psalmi denotari praxim, cantici vero theoriam. Et quoniam sunt etiam tituli, in quibus scribitur psalmus cantici, vel canticum psalmi; dicendum est, psalmi canticum esse theoriam practicae vitae et morum disciplinae: cantici vero psalmum, illam esse necessario, ad veritatis contemplationem, adiunctam praxim. Multa enim fiunt supra sapientiae contemplationem, quae psalmum cantici haud incongrue dicas. His ita observatis, apte praesentem psalmum canit David in re gesta versantem, speculans simul circa rem quamlibet gestam sapienter ac plane divinitus: cognoscere avens, quid horum singula significent, quae materialiter sic aguntur. Sed age ipsa psalmi verba ponemus, quae ita exordiuntur: domine Deus meus, in te speravi etc.

v. 2. A. f. 40. b. Τίς δὲ οὗτος ἢ ὁ εἰπὼν, σώζων οὐκ ἔστιν
B. f. 25. b. πάρεξ ἐμοῦ; ὁ ἐληλυθὼς ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· ταῦτα δὲ δηλοῖ, ὡς ὁ πατὴρ θεὸς ὢν, σώζει διὰ υἱοῦ θεοῦ λόγου ὄντος· ὅθεν οὐδὲ ἐν τοῖς προκειμένοις διαιρετέον τὴν θεότητα πατρὸς καὶ υἱοῦ, ὡς ἔδοξέ τισιν 2).

Quis vero iste est? nisi qui ait: non est qui salvet, praeter me. Qui venit quaerere et salvare quod perierat, et dare animam suam redemptionem pro multis. Haec autem ostendunt, quod Deus pater per filium Deum salvat. Quamobrem non est in praedictis verbis distinguenda deitas patris ac filii, secus ac quibusdam visum est.

v. 6. Cord. Λεγέσθω καὶ οὕτως. Ὑψηλὸν ἐν τοῖς πέρασι τῶν ἐχθρῶν ὀφθῆναι παρακαλεῖ τὸν θεόν· οὕτω γάρ, φησι, τέλος ἕξει τὰ τῆς ἀδικίας, δι' ὧν ἐχθροί μοι τυγχάνουσι· λέγει δὲ ἂν καὶ πέρατα ἐχθρῶν τὰς ἀλαζονείας, ἐφ' ἃς φθάσαντες, τὸ βέβαιον ἕξειν ἐν τέλεσιν ἀρίστοις νομίζουσιν.

Vel ita dicatur. Excelsum in inimicorum finibus apparere orat Deum. Sic enim, inquit, finem habebit iniquitas, cuius causa mihi inimici sunt. Fortasse etiam fines inimicorum dicit superbiam, in quam elati, firmitatem se habituros in optimis finibus arbitrantur.

v. 9. A. f. 43. Μονονουχὶ κατὰ τὴν ἀκακίαν καὶ δικαιοσύνην
B. f. 27. b. τὴν ἐμὴν, ἐπάγαγέ σου τὸ κρίμα· οὕτω γὰρ καὶ δικαιωθήσομαι, ἀδικίας οὐχ εὑρισκομένης ἐν ταῖς

Nonnisi pro merito innocentiae ac iustitiae meae, tuam infer sententiam. Sic enim iustificabor, nulla inventa in actibus meis iniqui-

1) Hanc Didymi expositionem in titulum psalmi quarti iam edidimus nos in tertio huius bibliothecae volumine part. I. p. 456.

2) Innuit Arianos, quibus vivente Didymo adhuc redundabat Alexandria.

tate. Innocentia vero haud hoc loco fatuitas quodammodo intelligenda est, iuxta illud: innocens homo fidem adiungit omni verbo; sed simplicitas potius doli pura: quo sensu dictum est ab hoc sancto viro: innocentiam meam suscipe. Item: in innocentiam mea ambulavi. Quod autem in quibusdam exemplaribus legitur: iudica me, Domine, secundum iustitiam tuam; dictio sic est explananda: est quaedam iustitia Dei, quam homines adsequi possunt, quaeque abs deteriore alia iustitia distincta est. Paulus itaque de harum differentia circa Iudaeos scribens: « testor, inquit, illis quod zelum Dei habeant, sed non secundum scientiam. Nescientes enim iustitiam Dei, suamque stabilire volentes, iustitiae Dei non obediverunt. » Dei nimirum iustitiam dicens illam, quae cunctis credentibus per Iesum Christum datur: quam ipse quoque habere cupiens, omnibus dicit valedixisse, quibus iudaice iustus erat, ut habere comperirietur illam quae ex Deo est iustitiam, nequaquam vero suam. Hanc discipulos quoque habere volens Iesus, aiebat eis: nisi abundaverit iustitia vestra plus quam scribarum et pharisaeorum, non intrabitis in regnum caelorum. Age vero hac statuta differentia humanae iustitiae ab illa Dei, secundum Domini iustitiam psalmista vult iudicari; probe sciens, salutare sibi fore, ita iudicari.

Cum de Deo sermo est, verba « examinare corda atque scrutari » nequaquam denotant quaerere et investigare, sed omnimodam potius comprehensionem habere. Renes autem intelligere oportet intellectuales animae facultates. Certe de stultis dictum est: prope es ori eorum, sed renibus procul.—Virtualiter hoc docet: si rectos corde salvat, iustum postulo auxilium. Ab ipso, inquit, salvabor, quia rectum cor habeo et omni dolo vacuum. Quamobrem secundum innocentiam meam iudicari rogo.

Qui parturiit iniquitatem, conceperat laborem, ut pareret iniustitiam. Partus hi perniciem parienti inferunt, propter suam iniquitatem atque iniustitiam puniendo: quarum causa laborem in punitione experietur, vel in ipso patrando peccato. Gravissima enim est et permolesta iniquitatis operatio, et quae plumbi talento comparari queat: nihil enim ponderosius est nequitia, quae semper ad ima inclinat homi-

πράξεσιν μου· ἀκακίαν δὲ ἐν τούτοις, φησὶν, οὐ τὴν εὐήθειαν ἐκληπτέον, κατὰ τὸ γεγραμμένον ἄκακος πιστεύει παντὶ λόγῳ· ἀλλὰ τὴν ἁπλότητα τὴν δόλου καθαρεύουσαν· καθ' ὃν σημαινόμενον εἴρηται πρὸς τὸν θεὸν ὑπὸ τοῦ ἁγίου· ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου· καὶ τὸ, ἐν ἀκακίᾳ μου ἐπορεύθην. Φερομένου δὲ ἔν τισιν ἀντιγράφοις, κρίνον με κύριε κατὰ τὴν δικαιοσύνην σου, ἐξηγητέον τὴν λέξιν οὕτως· ἔστι τις δικαιοσύνη θεοῦ ἀνθρώποις ἐφικτὴ, διαστελλομένη πρὸς δικαιοσύνην ὑποδεεστέραν. Παῦλος γοῦν περὶ τῆς διαφορᾶς τούτων γράφων περὶ Ἰουδαίων· « μαρτυρῶ γὰρ αὐτοῖς, ἔφη, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν θέλοντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν. » Θεοῦ δὲ δικαιοσύνην λέγων, τὴν εἰς πάντας τοὺς πιστεύοντας διὰ Ἰησοῦ Χριστοῦ γινομένην· ἣν καὶ αὐτὸς ἔχειν ποθήσας, λέγει πάντα ἀποπεπέμφθαι δι' ἃ ἰουδαϊκῶς δίκαιος ὑπῆρχεν, ἵνα εὑρεθῇ τὴν ἐκ θεοῦ διὰ πίστεως δικαιοσύνην ἔχων, καὶ μὴ τὴν ἑαυτοῦ· ταύτην καὶ τοῖς μαθηταῖς ὑπαρχθῆναι ὁ Ἰησοῦς θέλων, εἶπεν πρὸς αὐτούς· ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ταύτης τῆς διαστολῆς οὔσης, ἀνθρωπίνης δικαιοσύνης καὶ τῆς τοῦ θεοῦ, κατὰ τὴν τοῦ δεσπότου βούλεται κριθῆναι· εἰδὼς ὡς ἀποβήσεται αὐτῷ εἰς σωτηρίαν τὸ οὕτω κριθῆναι.

Ἐπὶ θεῷ τὸ ἐξετάζειν καὶ ἐρευνᾶν καρδίας, v. 10. B. f. 28.
οὐ τὸ ζητεῖν καὶ ἀνιχνεύειν δηλοῖ, ἀλλὰ παντελῆ κατάληψιν ἔχειν. Νεφροὺς δὲ, ψυχῆς νοητὰς ἀκουστέον δυνάμεις· ἀμέλει περὶ φαύλων εἴρηται· ἐγγὺς εἶ τοῦ στόματος αὐτῶν, πόρρω δὲ ἀπὸ τῶν νεφρῶν.—Δυνάμει τοῦτο διδάσκει· εἰ τοὺς εὐθεῖς τῇ καρδίᾳ σώζει, ἀπαιτῶ δικαίαν βοήθειαν· παρ' αὐτοῦ, ἔφη, σωθήσομαι, εὐθεῖαν καρδίαν ἔχων ἐκτὸς οὖσαν παντὸς δόλου· διὸ καὶ ἐπὶ τῇ ἀκακίᾳ μου κριθῆναι δέομαι.

Ὁ ὠδινήσας ἀνομίαν, συνέλαβεν πόνον ἐπὶ v. 15. A. f. 45.
τῷ τεκεῖν ἀδικίαν· ταῦτα τὰ γεννήματα ὄλεθρον B. f. 29.
τῷ κυήσαντι προξενεῖ κολασθησομένῳ δι' ἀνομίαν καὶ ἀδικίαν ἃ ἐποίησεν· οἷς καταλλήλως, καὶ πόνον τὸν ἐν τῇ κολάσει συλλήψεται· ἢ πόνον τὸν ἐπὶ τῷ ἁμαρτάνειν· βαρυτάτη γὰρ καὶ ἐπαχθὴς ἡ τῆς ἀνομίας ἐργασία παραβαλλομένη ταλάντῳ μολίβου· οὐδὲν γὰρ κατωφερέστερον τῆς κακίας, ἀεὶ κάτω φερούσης τὸν κατ' αὐτὴν ποιω-

θέντα· εἴρηται τισιν ὡς διὰ τὸ ἄτακτον τῆς κακίας, πρὸ τῆς συλλήψεως τῆς ὠδινήσεως λεχθείσης· ἐπὶ γὰρ τῶν κυουσῶν μετὰ τὴν σύλληψιν, ἡ ὠδὶν, μεθ' ἣν τὸ τεκεῖν· ἐνταῦθα δὲ πρὸ τῆς συλλήψεως ἡ ὠδὶν ὠνόμασται, τῷ μηδὲν τῶν ἐν κακίᾳ εἱρμὸν καὶ τάξιν ἔχειν. εὖ δὲ καὶ τὸ προτετάχθαι τῆς ἀδικίας τὴν ἀνομίαν· ἐκ ταύτης γὰρ ἄνομος γεγονώς τις, οὐκ ἔτι ὑπὸ τὸν νόμον ἐστὶν τῆς δικαιοσύνης· ὡς λοιπὸν καὶ κατὰ τῶν ἄλλων ἀνθρώπων ἐπιτίθεσθαι ἐπὶ τὸ ἀδικεῖν αὐτούς· εὑρίσκεται τοῦτο μάλιστα περὶ τοῦ Καΐν· πρότερον γὰρ ἄνομος γεγονὼς, τῷ μὴ ὀρθῶς διαιρεῖν ἃ ἔδει θεῷ θύειν· ὕστερον καὶ ἀδικίαν ἔτεκεν, φονικῶς ἐπιθέμενος τῷ ἀδελφῷ· μάλιστα δὲ τῷ διαβόλῳ προσοικειοῦνται αἱ φωναὶ αὗται, ἀρχεκάκῳ ὄντι, διὰ τὸ πρὸ πάντων ἠνομηκέναι καὶ ἠδικέναι· καὶ πᾶς δὲ ἁμαρτάνων πρῶτον ἑαυτὸν, εἶτα ἄλλον ἢ ἄλλους βλάπτει· ἐπιζήμιον γὰρ καὶ βλαπτικὸν ὂν τὸ κακὸν, πρὸ πάντων τὸν μετέχοντα αὐτὸν ζημιοῖ καὶ βλάπτει. « Ἀφροσύνη γὰρ ἀνδρὸς λυμαίνεται τὰς » ὁδοὺς αὐτοῦ· » ὅθεν προσφυῶς εἴρηται τὸ « ἁμαρτάνοντας καταδιώξεται κακά. » Τίς δὲ ὁ λάκκος ὃν ὤρυξεν ὁ ψεγόμενος, ἢ ἣν ἐποίησεν κακίαν; γέγραπται γὰρ περὶ ἁμαρτανούσης ψυχῆς· ὡς ψύχει λάκκος ὕδωρ, οὕτως ψύχει κακία αὐτῆς· βόθρος δὲ πολλαχοῦ τῆς γραφῆς ἀντὶ κακίας λαμβάνεται· ὡς τὸ, τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι ἐμπεσοῦνται εἰς βόθρον· καὶ ἐνταῦθα γὰρ τοὺς ὑπ' ἀνοίας καὶ ἄλλης κακίας τυφλοὺς διδασκάλους καὶ μαθητὰς ἐκληπτέον.

v. 18. A. f. 46. Ἀπὸ τοῦ ἐλπίζειν ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ ἀρξάμενος τοῦ ψαλμοῦ, εἰς εὐχαριστίαν καταπαύει, ὡς εἰκὸς, τυχὼν τῶν αἰτηθέντων, ἢ πιστῶς προσδοκῶν αὐτά· εὐχαριστίαν γὰρ δηλοῖ ἐνταῦθα τὸ ἐξομολογήσομαι· διὸ καὶ συνέζευκται αὐτῷ τὸ ψαλῶ· ἐξομολογεῖται δὲ οὐχ ὡς ἔτυχεν, ἀλλὰ κατὰ τὴν δικαιοσύνην τοῦ θεοῦ· καὶ ψάλλει οὐ παρέργως, ἀλλὰ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου· ὡς ἤδη σχὼν ἐπικεκλημένον ἑαυτῷ αὐτό· διὸ καὶ ὑψηλὸς κατὰ ἁγιότητα καὶ ἀρετήν ἐστιν· οὐδεὶς γὰρ ταπεινὸς ἀλλὰ μόνος ὁ ὑπὲρ εὐσεβείας μετεωριζόμενος, μετέχει τῆς τοῦ ὑψίστου προσηγορίας.

nem ipsa suffarcinatum. Aiunt nonnulli, proproper nequitiae perturbatam indolem, dictam esse parturitionem ante conceptionem: nam certe in gravidis post conceptionem fit dolor, et post hunc partus: heic autem ante conceptionem dolor nominatur, quia nullum habet nequitia ordinem vel sequelam. Bene item iniquitas ante anarchiam nominatur. Namque iniquitate factus homo transgressor, iam deinceps sub iustitiae lege non est: immo et ceteris hominibus animum intendit, ut eos iniuria adficiat. Hoc in Cain praecipue compertum est: qui primo factus iniquus, quia non recte quae Deo sacrificanda erant divisit; deinde etiam iniustitiam peperit, parricidialem manum fratri inferens. Sed diabolo in primis conveniunt dictiones hae, malorum origini, quia ante omnes iniquus iniustusque fuit. Sane qui peccat primo se ipsum, deinde alium vel alios laedit. Nam cum damnosum noxiumque sit peccatum, id apprime peccantem laedit mulcatque. Siquidem « viri stultitia vias eiusdem pessumdat. » Unde commode dictum est: « peccatores persequentur » mala. » Quis vero puteus quem, sibi effodit ille qui heic reprehenditur, nisi ipsum quod perpetravit peccatum? Scriptum est enim de anima peccatrice: sicut frigefacit puteus aquam, ita frigefacit animam nequitia ipsius. Porro fovea saepe in scriptura pro nequitia sumitur, veluti: si caecus caeco ducatum praestet, ambo in foveam cadent. Namque et hoc loco intelligendi sunt magistri simul atque discipuli vecordia et reliqua nequitia caecutientes.

Qui a spe erga dominum Deum suum psalmi initium fecerat, nunc in gratiarum actione desinit, ut par est, postulata consecutus, aut fiducialiter praestolans. Nam gratiarum actionem heic continet verbum confitebor; quare et psallam ei connectitur. Confitetur autem non quolibet modo, sed secundum iustitiam Dei: et psallit non perfunctorie, sed Domini altissimi nomini, ceu si illud invocatum, iam sibi impetraverit, quia celsus per sanctitatem et virtutem est. Nemo enim abiectus, sed is tantummodo qui pietate in altum elatus fuerit, altissimi appellationem participat.

Uniuscuiusque hominis vita apud sacras scripturas vinea appellatur. Idcirco etiam Nabuthes mori maluit, quam tyrannice spoliari ab illo qui ex ea hortum olusculorum facere volebat. Significabat enim illa vinea hanc militantem vitam, practicam simul et theoreticam, quam improbi trahere ad temporalia volunt, atque ad cito marcescentia negotia, cuiusmodi olera sunt: nam sicut olera, celeriter decident. De his vineis sponsa dicit: filii matris meae pugnaverunt contra me; posuerunt me custodem in vineis; vineam meam non custodivi. Qui in hac vinea fructificat botros veritatis, uvam quoque fert; quam suo tempore decerpere oportet, et in torcularia congerere, ut compressa vinum efficiat cor hominis laetificans. Et alii quidem veritatis doctrinas, alii opera spiritalia germinant. Neque unum est torcular: multae enim practicae virtutes, et singularum fructui peculiare paratum est torcular: veluti ad pudicitiae torcular hi qui caelibatum recte tenent suos fructus conferunt, nec non illi qui torum immaculatum servant; sic et ceteri. Multa etiam theoreticae vitae sunt torcularia, ad quae deferunt dogmata ii qui veritatis theoremata germinant. Iam vero haec dicimus, haud perimentes virtutum nexum atque sequelam; sed quia non ad omnes virtutes cuncti inclinantur: ideo quam quisque magis participat, ex ea peculiariter inclarescit. Hinc etiam in evangeliis diversae sunt beatitudines. Sed et in proprio numero ode haec ponitur, quae est octava: habet enim congruentiam multam cum resurrectionis dominicae die, in qua vinearum multarum vindemia fuit, quia missi fuerunt discipuli ad dandum ei qui resurrexerat testimonium usque ad extrema terrae.

Olim quidem de Deo dictum fuit: in Israhel magnum nomen eius: at nunc impletum est de illo vaticinium, quod dicit: omnes gentes servient ei. Ipse enim est expectatio gentium. Idcirco admirabile est apud omnes nomen eius. Cuius rei causam esse dicit eiusdem assumptionem: quoniam magnificavit super omne nomen sanctum suum, in alio psalmo ait. Non est ante[illegible] prae eius incarnatione [illegible] magnificentia. Quid enim in ipsa

Ὁ γὰρ ἑκάστου βίος ἀμπελὼν κατὰ τὰς γρα- v. 1. B. f. 30.
φὰς καλεῖται· διὸ καὶ Ναβουθαὶ τεθνάναι μᾶλλον εἵλετο, ἢ τυραννικῶς ἀφαιρεθῆναι παρὰ τοῦ θελήσαντος κῆπον αὐτὸν λαχάνων ποιῆσαι· ἦν γὰρ ἀμπελὼν περιμάχητος βίος ὢν πρακτικὸς ἅμα καὶ θεωρητικὸς, ὃν πονηροὶ κατασπᾷν εἰς πρόσκαιρα βούλονται καὶ ταχὺ μαραινόμενα πράγματα, ὁποῖα τὰ λάχανα· ὡσεὶ λάχανα γὰρ ταχὺ ἀποπεσοῦνται· περὶ τοιούτων ἀμπελώνων ἡ νύμφη φησίν· υἱοὶ μητρός μου ἐμαχήσαντο ἐν ἐμοί. ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. Ὁ κατὰ τὸν τοιοῦτον ἀμπελῶνα καρποφορῶν βότρυς ἀληθείας, καὶ σταφυλὴν φέρει, οὓς ὅτε καιρὸς δρέψασθαι προσήκει καὶ εἰς ληνοὺς ἀπαγαγεῖν, ὡς ἂν ἐκθλιβέντα οἶνον ποιήσωσι τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου· τῶν μὲν ἀληθείας θεωρήματα, τῶν δὲ ἔργα καρποφορούντων πνευματικά· οὐ μία δὴ ἡ ληνός· πολλαὶ γὰρ αἱ πρακτικαὶ ἀρεταὶ, καὶ τοῦ καρποῦ ἑκάστης οἰκεία τίς ἐσται ληνός· οἷον ἐπὶ τὴν τῆς σωφροσύνης ληνὸν οἱ ἀγαμίαν κατορθώσαντες φέρουσι τοὺς καρποὺς, καὶ οἱ κοίτην τηροῦντες ἀμίαντον· οὕτως ἐπὶ τῶν ἄλλων· πλείους δὲ καὶ τοῦ θεωρητικοῦ βίου τυγχάνουσιν αἱ ληνοὶ, εἰς ἃς τὰ δόγματα φέρουσιν οἱ καρποφοροῦντες τῆς ἀληθείας τὰ θεωρήματα. Ταῦτα δὲ φαμὲν, οὐκ ἀναιροῦντες τῶν ἀρετῶν τὴν ἀντακολούθησιν, ἀλλ᾽ ἐπεὶ μὴ πρὸς πάσας οἱ μετιόντες ῥοπὴν ἔχουσιν· ἀφ᾽ ἧς δὲ μᾶλλον ἕκαστος μετέχει, τὸ γνώρισμα φέρεται· διάφοροι γὰρ καὶ ἐν εὐαγγελίοις ἐντεῦθεν εἰσὶν οἱ μακαρισμοί· ἀλλὰ καὶ ἐν ἀριθμῷ οἰκείῳ ἡ ᾠδὴ αὕτη τέτακται, οὖσα ὀγδόη· ἔχει γὰρ συμφωνίαν πολλὴν πρὸς τὴν ἀναστάσιμον ἡμέραν τοῦ κυρίου· ἐν ᾗ τρυγετὸς πολλῶν ἀμπελώνων γέγονεν, ἀποσταλέντων τῶν μαθητῶν μαρτυρῆσαι τῷ ἀναστάντι ἕως ἐσχάτου τῆς γῆς.

Πάλαι μὲν οὖν ἐρρέθη περὶ θεοῦ· ἐν τῷ Ἰσ- Cord. p. 160.
ραὴλ μέγα τὸ ὄνομα αὐτοῦ· νῦν δὲ πεπλήρωται περὶ αὐτοῦ ἡ λέγουσα προφητεία· πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ· αὐτὸς γάρ ἐστιν ἡ τῶν ἐθνῶν προσδοκία· διὸ καὶ θαυμαστὸν αὐτοῦ παρὰ πᾶσι τοὔνομα· καὶ τὴν αἰτίαν ἐπάγει, τὴν ἀνάληψιν τὴν αὐτοῦ· ἐμεγάλυνε γὰρ ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, ἐν ἄλλῳ λέγει ψαλμῷ· οὐκ ἄλλη δὲ τῆς οἰκονομίας αὐτοῦ ἡ ἐπαρθεῖσα μεγαλοπρέπεια· τί γάρ ἐστιν ἐν αὐτῇ μὴ ἔχον ἐν

μεγάλοις τὸ πρέπον; αὐτὴ τοίνυν ἐπήρθη, καθίσαντος ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, μετὰ τὸ καθαρισμὸν τῶν ἁμαρτιῶν πεποιηκέναι· οὕτω νοητέον, καὶ ὑψηλότερον αὐτὸν τῶν οὐρανῶν γεγονέναι μετὰ τὴν ἀνάστασιν· νήπιοι δὲ πάντες οἱ προσελθόντες τῇ πίστει, νηπιάζοντες τῇ κακίᾳ· τοὺς ἔτι δὲ θηλάζοντες οἱ νηπιάζοντες ὑπερέβησαν ἡλικίᾳ, καὶ τούτοις τὸ μετὰ τὸ γάλα βρῶμα κατάλληλον· τοιοῦτοι δὲ πάντες οἱ στραφέντες καὶ γενόμενοι ὡς τὰ παιδία 1).

v. 4. B. f. 12. et Gord. Ἔστι δὲ τοῖς ἀκριβῶς κατανοοῦσι προσδοκία τοῦ δύνασθαι μαθεῖν τοὺς οὐρανοὺς καὶ τὰ ἐν αὐτοῖς τίνα τρόπον τεθεμελίωται πρὸς οὐσίαν ἐλθόντα· λέγοις δ' ἂν καὶ οὐρανοὺς τοὺς τὰ ἄνω φρονοῦντας, καὶ οὐ τὰ πρόσκαιρα· οὗτοι γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ· σελήνην δὲ τὴν ἐκκλησίαν· καὶ ἀστέρας τοὺς ἀκούσαντας, ὑμεῖς τὸ φῶς τοῦ κόσμου· ὡς εἶναι ταυτὸν τοῦτο τῷ τοὺς ἀνθρώπους ἔργα εἶναι τῶν τοῦ θεοῦ χειρῶν· ἔργα γάρ, φησι, τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· εἰ μή τις λέγει τὰ μεγαλοφυέστερα τῶν κτισμάτων θεοῦ γενέσθαι χερσίν, τὰ δ' ἄλλα δακτύλοις αὐτοῦ· σαφηνίζων δὲ ὡς κατὰ τὸ σῶμα τὸν ἄνθρωπον ἔλαβεν, ἐπάγει τὸ, ἢ υἱὸς ἀνθρώπου· κατὰ σῶμα γάρ, οὐ κατὰ ψυχήν, υἱός τις ἀνθρώπου ἐστίν· μεθ' ὃ δεικνὺς τὴν λογικὴν οὐσίαν, ταύτης τὸ μέγεθος ἐπιφέρει.

v. 5. B. f. 32. Οὐκ εἶπε δὲ ὅτι ἔπλασας αὐτόν, οὐκ γὰρ περὶ δημιουργίας ἀλλὰ προνοίας νῦν διαλέγεται· ἐκτραγῳδεῖ δὲ πολλάκις ἡ γραφὴ τὴν ἀνθρωπίνην εὐτέλειαν· ἄνθρωπος γάρ, φησιν, ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡς σκιαὶ παράγουσι· καὶ πάλιν· ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

v. 8. A. f. 47. b. B. f. 33. Ὅρα τὴν ἀκολουθίαν· οὐ καθάπαξ πάντων θνητῶν ζώων ἄρχειν τέθειται, ἀλλὰ τῶν ἡμέρων· οὐ γὰρ κρατεῖ μονοκέρωτος, οὐδὲ τῶν ἄλλων ἰσχυρῶν τε καὶ ἀγρίων παρίσταται ὡς ἡμέρων ἄρχειν, ἐκ τοῦ πρόβατα καὶ βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, καὶ τὰ ἑξῆς· νομίζω τοῦτο καλῶς εἰρῆσθαι· πρὸ γὰρ τῆς παραβάσεως καὶ τούτων ἦρχεν ὁ ἄνθρωπος· οἱ δίκαιοι δὲ καὶ τούτων μετὰ τὴν παράβασιν ἄρχουσιν· ὡς Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων βληθεὶς, καὶ μηδεμίαν ἐξ αὐτῶν ὑποστὰς βλάβην· καὶ ὁ Παῦλος τὴν ἔχιδναν τῆς ἑαυτοῦ χειρὸς ἐκτινάξας ἐπὶ τὴν πυράν· θῆρες γὰρ ἄγριοι, φη-

est nisi magnificentissimum? Ipsa igitur exaltata est, illo post expiationem peccatorum sedente ad dexteram maiestatis in excelsis. Et sic intelligendum illud, quod nempe post resurrectionem caelis excelsior factus sit. Infantes vero sunt omnes, qui accedentes ad fidem, parvuli sunt malitiâ. Illos tamen lactentes, hi qui parvuli sunt, aetate superant, estque ipsis, post lac, cibus dandus idoneus. Istiusmodi autem sunt omnes qui conversi sunt, et effecti tamquam parvuli.

His qui sedulo speculantur, spes quaedam est cognoscendi caelos et in eis contenta, et quemadmodum fundata sint cum primo coeperunt existere. Potes etiam dicere caelos homines qui superna sapiunt et non temporalia. Namque hi reapse caeli enarrant gloriam Dei. Lunam potes intelligere ecclesiam. Sidera illos qui audierunt: vos estis lux mundi. Quare perinde est ac si dicat homines esse opera manuum Dei. Opera enim manuum tuarum sunt caeli. Nisi forte dicit grandiora opera, creaturas esse manuum Dei; reliqua, digitorum eiusdem. Ut autem ostendat se de hominis corpore loqui, addit: aut filius hominis. Nam corpore non anima quisque est hominis filius. Postea rationalem substantiam esse denotans, huius praestantiam subiungit.

Non dixit formasti eum; neque enim de creatione sed de providentia nunc loquitur. Deplorat autem saepenumero scriptura humanam vilitatem: homo, enim, inquit, vanitati similis factus est; dies eius sicut umbra praetereunt. Et rursus: homo, sicut foenum dies eius; sicut flos agri, ita efflorebit: quia spiritus pertransit in illo, et non subsistet, et non cognoscetur amplius locus eius.

Videsis quid sequitur. Haud cunctis prorsus mortalibus animantibus imperare homo dicitur, sed cicuribus: non enim monoceronti dominatur, neque aliis validis ac silvestribus, tamquam cicuribus, dominari adfirmatur, sed ovibus et omni boum generi, agri iumentis, et reliquis. Atque haec praeclare dicta puto; etenim ante transgressionem, feris quoque imperabat homo. Immo iusti homines post transgressionem quoque his imperitaverunt; veluti Danihel in leonum lacum coniectus, nullumque ab his detrimentum passus. Item Paulus colubrum manu sua excussit in ignem. Ferae enim

1) Confer novum S. Augustini sermonem 35. apud nos T. I. cum adn.

silvestres, inquit, pacificae erunt tibi. Praeterea in iumentis agri comprehenduntur etiam ferae ut ex genesi discimus.

Domine noster, quam admirabile est nomen tuum in universa terra! Decebat, canticum in Salvatoris resurrectione dictum, similem initio habere finem. Nam reapse et incipiens et desinens, eadem locutione utitur, docente Spiritu, ut initio finis respondeat. enique Dverba, quam admirabile est nomen tuum, consonant illis: universa terra adoret te, tibique psallat.

σὶν, εἰρηνεύσουσίν σοι· πρὸς δὲ τούτοις διὰ τῶν κτηνῶν τοῦ πεδίου περιείληπται καὶ τὰ θηρία, ὡς ἐν τῇ γενέσει μεμαθήκαμεν.

Ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ἔπρεπεν τὴν ἐπὶ ἀναστάσει τοῦ v. 10.
σωτῆρος λεγομένην ᾠδὴν ὅμοιον ἔχειν τῇ ἀρχῇ τὸ τέλος· καὶ γὰρ ἀρχόμενος καὶ λήγων, τῇ αὐτῇ κέχρηται λέξει, διδάσκοντος τοῦ πνεύματος, τὴν ἀρχὴν τῷ τέλει καθ' ὑποκείμενον εἶναι· συνᾴδει τῷ, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· καὶ τῷ πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.

PSALMUS IX.

Filii vocabulum in multis scripturae locis indefinite ponitur. Certe cum non adiicitur cuiusnam sit filius, constat hunc esse Salvatorem, qui saepe sic est ostensus ac nominatus. Itaque in epistola ad Hebraeos Paulus: « Christus, » inquit, tamquam filius in domo sua, cuius » domus nos sumus. » Et rursus: « in fine die» rum horum locutus est nobis in filio. » Tum et ipse Salvator de se in evangelio: « si ergo » vos filius liberaverit, vere liberi eritis. » Bene insuper dictio « in finem » ad praesens victoriale canticum refertur: namque huiusce finis causa advenit Salvator: de quo princeps apostolorum scribit: « reportantes finem fidei » salutem animarum: de qua salute exquisie» runt atque scrutati sunt prophetae. » Et paucis interiectis: « praenuntiantes quae in Christo » sunt passiones, et posteriores glorias. Fortasse Iudaei de Abessalomo psalmistae filio titulum loqui dicent; quem tamen non bene interpretari arguuntur, quippe qui ubique ob omissam scripturarum scrutationem peccant. Nam quid probabile dicere habent de dictione « pro occultis? » nisi forte de occulta Abessalomi coniuratione dictionem « pro occultis » positam aiunt. Atqui admodum fatue hoc ab ipso dicitur.

Theodoreti, simulque Origenis, ac Didymi. Perfectorum hominum mos est totum suum Deo cor offerre, eique universam mentem dicare. « Diliges enim, inquit, dominum » Deum tuum ex toto corde tuo, et ex totis » viribus tuis, et ex tota anima tua, et ex » tota virtute tua. » Qui autem non est ita adfectus, haud potest vere dicere: confitebor tibi, Domine, toto corde meo. Propheta au-

Ἐν πολλοῖς δὲ τῆς γραφῆς ἀορίστως εἴρηται· v. 1. A. f. 48. b.
μὴ προσκειμένου δὲ τοῦ τίνος ὁ υἱὸς ὑπάρχει, B. f. 34. et part. Cord.
φανερὸν ὅτι ὁ σωτήρ ἐστιν, δηλούμενος πολλαχοῦ οὕτως ὀνομαζόμενος· ἐν γοῦν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ὁ Παῦλος « Χριστὸς, εἶπεν, ὡς » υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. » Καὶ πάλιν· ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων » ἐλάλησεν ἡμῖν ἐν υἱῷ. » καὶ αὐτὸς δὲ ὁ σωτὴρ περὶ ἑαυτοῦ ἐν εὐαγγελίῳ· « ἐὰν οὖν ὁ υἱὸς » ὑμᾶς ἐλευθερώσῃ, ἐλεύθεροι ἔσεσθε. » Εὖ δὲ καὶ τὸ εἰς τέλος, ἀναφορὰν ἔχει πρὸς τὴν προκειμένην ἐπινίκιον ᾠδήν· τοῦ γὰρ τέλους ἐκείνου χάριν ἐπεδήμησεν ὁ σωτήρ· περὶ οὗ ὁ πρόκριτος τῶν ἀποστόλων γράφει· « κομιζόμενοι τὸ τέλος » τῆς πίστεως σωτηρίαν ψυχῶν· περὶ ἧς σωτη» ρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται. » Καὶ μετ' ὀλίγα· « προμαρτυράμενοι τὰ εἰς Χρι» στὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας. » Ἴσως Ἰουδαῖοι περὶ τοῦ Ἀβεσαλὼμ ὄντος υἱοῦ τοῦ ψάλλοντος ἐροῦσιν τὴν ἐπιγραφὴν εἶναι, ἐλεγχόμενοι ὡς οὐ καλῶς αὐτὴν ἐξειλήφασιν, ἅτε διὰ πάντων ἐσφαλμένοι τῷ μὴ ἐρευνᾷν τὰς γραφάς· τί γὰρ καὶ πιθανὸν εἰπεῖν ἔχουσιν εἰς τὸ περὶ τῶν κρυφίων; εἰ μὴ ἄρα περὶ τῶν κρύβδην γενομένων σκέψεων τοῦ Ἀβεσαλὼμ ἐροῦσιν τὰ ὑπὲρ τῶν κρυφίων κεῖσθαι· ἔχει δὲ πολλὴν εὐήθειαν τὸ λεγόμενον ὑπ' αὐτῶν.

Θεοδωρήτου ὁμοῦ Ὠριγένους καὶ Διδύμου· Τῶν v. 2. A. f. 20.
τελείων ἴδιον τὸ πᾶσαν ἀνατιθέναι τῷ θεῷ B. f. 34.
τὴν καρδίαν, καὶ πᾶσαν αὐτῷ καθιεροῦν τὴν διάνοιαν· « ἀγαπήσεις γάρ, φησὶ, κύριον τὸν » θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ » ὅλης ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεως » σου· » ὁ δὲ μὴ οὕτω διακείμενος, οὐ δύναται εἰπεῖν ἀληθεύων, ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου· ὁ δὲ προφήτης πνευματικοῖς ὀφ-

θαλμοῖς, τὰ ἐσόμενα προειδὼς, οὐκ ἐξομολογεῖται μόνον ἐν ὅλῃ καρδίᾳ, ἀλλὰ καὶ διηγεῖται αὐτοῦ πάντα τὰ θαυμάσια, κοινωνοὺς τοὺς ἀκούοντας τῆς ὑμνῳδίας ποιούμενος· ἀνατραπέντων γὰρ τῶν ἐχθρῶν μου ὀπίσω μου καὶ ἀπολομένων ἐκ προσώπου σου, τὰς σὰς ᾄδων εὐεργεσίας διατελῶ· καὶ εὐφραινόμενος ἐν σοὶ τῷ Θεῷ μου, ἔχων χαρὰν τὸν καρπὸν τοῦ πνεύματος· καὶ ψαλῶ τῷ ὀνόματί σου ὑψηλῶς καὶ ἐπηρμένως θεωρήσας ἃ διηγοῦμαι θαυμάσιά σου· ταῦτα δὲ ὁ προφήτης ὑπὲρ τῆς ἀνθρωπείας διεξέρχεται φύσεως, ἅτε δὴ τοῦ ἀλάστορος ἀπαλλαγείσης, καὶ τὴν ἀλευθερίαν διὰ τῆς θείας φύσεως δεξαμένης· οὐ γὰρ ὥς τινες ὑπέλαβον ἐξ αὐτοῦ τοῦ σωτῆρος οὗτος εἴρηται ὁ ψαλμὸς, ἀλλὰ μᾶλλον πρὸς αὐτὸν ὡς πρὸς εὐεργέτην ὑπὸ τῶν εὖ πεπονθότων, ὡς αὐτὰ διδάξει τὰ ῥήματα « ὅτι ἐποίησας τὴν κρί» σιν μου καὶ τὴν δίκην μου· » τίνα τρόπον; « ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην· » καὶ ψῆφον ὁποίαν ἐξήνεγκεν; « ἐπετίμησας ἔθ» νεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐ» τοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰ» ῶνα τοῦ αἰῶνος. » Οὐ γὰρ ἠνέσχου, φησὶν, ἐπὶ πλεῖστον περιϊδεῖν τῶν ἀνθρώπων τὴν φύσιν ὑπὸ τοῦ πικροῦ τυράννου δουλουμένην κακῶς· ἀλλ' οἷόν τις δικαστὴς ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καὶ φοβεροῦ βήματος προκαθίσας τοιαύτην αὐτῷ τιμωρίαν ἐπήνεγκας· ὥστε λήθῃ παντελεῖ τούτου παραδοθῆναι τὴν μνήμην. Τὸ δὲ ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβὴς, ταύτην ἔχει τὴν διάνοιαν· διὰ τῶν ἱερῶν ἀποστόλων, καὶ τῶν μετ' ἐκείνους τῶν τῆς ἀληθείας κηρύκων, προσήνεγκεν τοῖς ἔθνεσιν τὰ θεῖα διδάγματα· ἐκείνων δὲ δεξαμένων, καὶ τῆς πλάνης ἀπαλλαγέντων, ἀπώλετο ἀσεβὴς, τοὺς ἀπατωμένους καὶ προσκυνοῦντας οὐκ ἔχων· οὕτως Βαρνάβας καὶ Παῦλος θῦσαι πειραθεῖσι Λυκάοσιν ἐπετίμησαν βοῶντες· « τί » ποιεῖτε, ἄνδρες; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν » ἄνθρωποι, ἀπὸ τούτων τῶν ματαίων πρὸς τὸν » Θεὸν ὑμᾶς ἐπιστρέφοντες· » Οὕτω Γαλάταις ὁ μακάριος ἐπετίμησεν Παῦλος βοῶν· « ὦ ἀνόητοι Γα» λάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλμοὺς » Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυρωμένος; Οὕ» τω Κορινθίοις· » ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται; Ἐπετίμησας τοίνυν ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής, τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐσβέσθησαν γὰρ παντελῶς αἱ τελεταὶ, καὶ λήθῃ παντελεῖ παρεδόθησαν ὡς μηδένα τῶν νῦν ἀνθρώπων εἰδέναι καὶ τῆς ἀσεβείας μυστήρια.

tem spiritalibus oculis futura praevidens, non confitetur solum toto corde, sed etiam enarrat illius mirabilia omnia, participes hymnodiae faciens auditores omnes. Nam post me profligatis inimicis cunctis, et coram me pereuntibus, tua pergam beneficia canere: atque in te laetabor Deo meo, fructum spiritus habens gaudium: psallamque nomini tuo sublimiter elata voce, tua quae concelebro mirabilia demirans. Haec propheta pro humana eloquitur natura, quae et ex malo daemone erepta est, et libertatem a divina natura accepit. Non enim, ut nonnulli existimarunt, ab ipso Salvatore psalmus hic recitatur, sed potius ad eum dicitur ab his qui beneficio usi sunt, ut ipsa verba demonstrant: « quia fecisti iudicium » meum et causam meam » Quonam modo? « sedisti super thronum qui iudicas iustitiam. » Quamnam vero sententiam intulit? « increpasti gentes, et periit impius; nomen eius » delevisti in aeternum. » Non enim passus es, inquit, diutius negligere humanam naturam, ab acerbo tyranno malo servitio oppressam; sed iudicis instar celso in throno tremendoque tribunali sedens, hanc ei poenam decrevisti, ut ipsius memoria sempiternae oblivioni tradatur. Iam verba « increpasti gen» tes, et periit impius » hanc habent significationem, nempe per sacros apostolos, et illorum successores veritatis praecones, obtulit gentibus divinas doctrinas; quibus has recipientibus, et ab errore discedentibus, periit impius, nullos iam errore deceptos et adoratores habens. Sic Barnabas atque Paulus ad Lycaonas sibi sacrificare volentes cum increpatione inclamarunt: quid agitis, o viri? Nos quoque vestri similes sumus mortales homines, et ab his vanitatibus ad Deum vos convertimus. Ita Galatas beatus increpuit Paulus clamans: « o insensati Galatae, quis vos » fascinavit, quibus ante oculos Iesus Chri» stus praescriptus fuit crucifixus? » Sic Corinthiis: « omnino auditur inter vos forni» catio, quae ne inter gentes quidem no» minatur. « Increpasti igitur gentes, et periit impius; nomen eius delevisti in aeter» num, et in saeculum saeculi. » Abolitae omnino sunt initiationes illae, et perpetuae oblivioni traditae; ita ut iam nemo impietatis mysteria nunc cognoscat.

Sessio huiusmodi eum iudicem esse significat, non autem supra cathedram aliquam sedentem. Et videsis utrum adhuc dicere liceat: increpitis gentibus, irreligiosos illarum mores perire, ita ut iam nullatenus supersint. Hoc autem eveniet, cum illud antea dictum complebitur: via impiorum peribit.

Origenis et Didymi. Verbum increpasti, emendationem denotat, quod constat ex verbis argue, increpa, commone. Videlicet utilitatis causa increpationem fieri apparet.

Frameae inimici fortasse sunt haereticae doctrinae, et nequitiae singulae, quae defecerunt, ita ut iam non possint civitates quas occupabant tueri, quae et ipsae destruuntur. Sunt autem turbarum instar civitates impie constitutae et administratae. Nam de illarum fundatore scriptum est: « qui aedificat urbes » in sanguinibus, qui exstruxit civitates in » nequitiis. Nam materia illarum iniquitates, » et effusio sanguinis scandalizantium est. » Has destruxit adventu suo Salvator, inimicum profligans qui urbes tyrannice retinere volebat, quas se possidere putabat. Iam qui praeclarum hoc facinus sublimi oculo spectant, victori plaudentes, una veluti voce, gratiarum actionem concinunt, ita exordientes: « domine » Deus, laudabo te, celebrabo nomen tuum, » quia mirabilia opera fecisti, consilium an» tiquum verum. Ita Domine! quoniam civi» tates foveam effecisti, urbes impiorum in » aeternum non aedificabuntur. » Et videsis num irreparabilis Hierosolymorum ruina denotetur, postquam Salvator ibi fuit crucifixus, et cives illi deinceps impiorum in numero habiti propter Domini caedem.—Cum sonitu, id est non sine militari clamore vincentibus. « Paravit in iudicio thronum suum: et ipse » iudicabit orbem terrae in aequitate: iudica» bit populos in iustitia. » Admonent haec ut a malitia atque impietate recedamus, et virtutem pietatemque sequamur. Nam quis cordatus, si modo his credat, non extimescet ne in manus incidat iuste recteque iudicantis propter suos vituperabiles actus et impias cogitationes? Etenim tali sub iudice damnationem non vitabit.

Rem hanc demonstrat, quod ab ipso Deo dictum est: « tempore acceptabili exaudivi te.

Ἡ τοιαύτη κάθισις κριτὴν αὐτὸν σημαίνει, v. 5. A. f. 50.
ἀλλ' οὐ τὸ ἐπί τινος καθέδρας ἱδρύσθαι· ἐπί-
στησον, εἰ χώραν ἔχει ἔτι εἰπεῖν· ἐπιτιμηθέντων
τῶν ἐθνῶν, ἀπόλλυσθαι ἀσεβῆ τὸν ἄθεον τρό-
πον αὐτῶν, ὥστε μηκέτι χρηματίζειν αὐτούς·
συμβήσεται δὲ τοῦτο, πληρουμένου τοῦ πρότε-
ρον εἰρημένου ἔχοντος οὕτως· ὁδὸς ἀσεβῶν ἀπω-
λεῖται.

Ὠριγένους καὶ Διδύμου. Τὸ ἐπετίμησας, διόρ-
θωσιν σημαίνει· ὅπερ δῆλον ἐκ τοῦ ἔλεγξον, ἐπι-
τίμησον, παρακάλεσον· δηλοῦται γὰρ ὅτι ἐπ'
ὠφελείᾳ ἐστὶν ἡ ἐπιτιμία.

Ῥομφαῖαι δὲ τοῦ ἐχθροῦ εἶεν ἂν ἴσως αἱ αἱ- v. 7. A. f. 50. b.
ρετικαὶ διδασκαλίαι, καὶ αἱ κατ' εἶδος κακίαι, B. f. 35. b.
αἵτινες ἐξέλιπον, ὡς μηκέτι δύνασθαι ὑπεραγω-
νίζεσθαι ὧν εἶχον πόλεων, καὶ αὐταὶ καθαιρε-
θήσονται· ἀθροίσματα δὲ αἱ πόλεις παρανόμως
συστᾶσαι καὶ διοικούμεναι· γέγραπται γὰρ περὶ
τοῦ ἱδρυσαμένου αὐτὰς ὡς « εἴη οἰκοδομῶν πόλεις
» ἐν αἵμασιν, καὶ ἑτοιμάζων πόλεις ἐν ἀδικίαις·
» ἡ γὰρ ὕλη αὐτῶν ἀδικήματα, καὶ ἔκχυσις αἱ-
» μάτων τῶν σκανδαλιζομένων ἐστίν. » Ταύτας
καθαιρεῖ ἐπιδημήσας ὁ σωτὴρ, καθελὼν τὸν ἐχ-
θρὸν τυραννικῶς κρατεῖν θέλοντα, ὧν ᾤετο ἐσχη-
κέναι πόλεων· οἱ ταύτην τὴν ἀνδραγαθίαν ὄμ-
ματι θείῳ θεασάμενοι εὐφημοῦντες τὸν ἀριστέα
φασὶν, ὡς ἐκ μιᾶς φωνῆς τὴν χαριστήριον προ-
φέροντες φωνὴν, ἀρχόμενοι ὧδε· « Κύριε ὁ θεός
» μου δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου· ὅτι
» ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν
» ἀληθινήν· γένοιτο κύριε, ὅτι ἔθηκας πόλεις
» εἰς χῶμα, πόλις τῶν ἀσεβῶν εἰς τὸν αἰῶνα
» οὐ μὴ οἰκοδομηθῇ. » Ἐπίστησον εἰ σημαίνει
τὸ ἀνέγερτον πτῶμα τῆς Ἱερουσαλὴμ, τοῦ σω-
τῆρος ἐν αὐτῇ σταυρωθέντος, τῶν πολιτῶν αὐ-
τῆς ὄντων λοιπὸν ἀσεβῶν διὰ τὴν κυριοκτονίαν.—
Τὸ μετ' ἤχους, ἀντὶ τοῦ, οὐ σὺν ἐρημίᾳ ἀλαλαγ-
μοῦ νικησάντων τὸ κατόρθωμα ὑπῆρκται. « Ἡτοί- v. 9.
» μασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐ-
» τὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· κρι-
» νεῖ λαοὺς ἐν εὐθύτητι. » Προτρέπει τὰ προ-
κείμενα ἀναχωρῆσαι μὲν κακίας καὶ δυσσεβείας,
προσελθεῖν δὲ ἀρετῇ καὶ εὐσεβείᾳ· τίς γὰρ νοῦν
ἔχων, πιστεύσας τοῖς οὕτως εἰρημένοις, οὐ φο-
βηθήσεται μὴ ὑποπέσῃ τῷ κρίνοντι ἐν δικαιοσύνῃ
καὶ εὐθύτητι, διὰ πράξεις ψεκτὰς καὶ φρόνη-
μα ἀσεβές; οὕτω γὰρ κρίνοντος αὐτοῦ, ἀναπό-
δραστον τὸ κρίμα ἔσται.

Τούτου δηλωτικὸν τὸ ἐκ προσώπου λεχθὲν τοῦ v. 10. A. f. 51.
θεοῦ· « καιρῷ δεκτῷ ἐπήκουσά σου. Καὶ τὸ ἐν B. f. 36.

ἑκατοστῷ πρώτῳ ψαλμῷ οὕτω ἔχον· « σὺ ἀνα-
στὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκ-
» τειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός.
v. 11. Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ
ὄνομά σου· ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦν-
τάς σε, κύριε· πάσης ἀνθρωπίνης πεποιθήσεως
ἀνωτέρω χωρήσαντες· γνῶσιν γὰρ τοῦ ὀνόματός
σου ἔχοντες ἀσφαλῆ καὶ τελείαν, ἐπ' οὐδενὶ ἐκεί-
νων ἐλπίσουσιν· ζητοῦσι δὲ θεὸν οἱ πάντα παρ'
αὐτοῦ θέλοντες ὑπαρχθῆναι ἃ ἐξ ἑαυτῶν ἔχειν
οὐχ οἷοί τε εἰσίν· ὅθεν οὐκ ἐγκαταλείπονται ὑπ'
αὐτοῦ· ὁσίως καὶ φρονίμως καὶ ταύτης τῆς λέ-
ξεως ἀκοῦσαι προσήκει· εἰ γὰρ νομίσοι τις μὴ
ἐγκαταλείπεσθαι ὑπὸ θεοῦ τὸν ἐν τοῖς βιωτι-
κοῖς εὐοδούμενον, σφάλλεται· πολλοὶ γὰρ ἀσε-
βεῖς διάγουσιν οὕτως· ἐπεὶ ὥρα λέγειν τὸν Ἄβελ
ἐγκαταλεῖφθαι, ἀνῃρέθη γάρ· ἀλλὰ καὶ τοὺς
προφήτας καὶ ἀποστόλους· ἐθλίβησαν γὰρ διη-
νεκῶς, καὶ τέλος ἀνῃρέθησαν ὑπὸ ἀνθρώπων οἱ
πλεῖστοι αὐτῶν· οὕτω διαστολῆς γεγενημένης,
φαμὲν μὴ ἐγκαταλείφθαι τὸν μέχρις ἐσχάτης
ἀναπνοῆς περιεχόμενον ὑπὸ θεοῦ, κἂν μυριάκις
ὑπ' ἐχθρῶν πάθῃ· τοῦτο γὰρ ἀληθῶς τὸ μὴ ἐγ-
καταλειφθῆναι ὑπὸ κυρίου ἐστίν· παρίσταται ὁ
τρόπος ὡς δεῖ ζητεῖν τὸν θεὸν, ἐκ τῶν ἐν τῇ
σοφίᾳ οὕτως ἐχόντων· « φρονήσατε περὶ τοῦ κυ-
» ρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας
» ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πει-
» ράζουσιν αὐτὸν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπι-
» στοῦσιν αὐτῷ. »
v. 12. A. f. 52. Ὕμνον εἰπεῖν προστάττονται οἱ πνεύματι καὶ
B. f. 36. νῷ τὸ ψάλλειν ἐσχηκότες· ψάλλουσιν δὲ οὗτοι,
εὐσεβεῖ νοήσει καὶ ἐπιπνοίᾳ τοῦ πνεύματος· προ-
στάττονται γὰρ ᾄδειν καὶ ψάλλειν τῇ καρδίᾳ,
οἱ οὕτω ψάλλοντες τῷ κατοικοῦντι ἐν τῇ Σιὼν
κυρίῳ καθ' ὑφήγησιν τοῦ ἁγίου πνεύματος· καὶ
ἑτέραν πρόσταξιν δέχονται πρὸς αὐτοῦ, ἐν τῷ
ἀναγγεῖλαι ἐν τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐ-
τοῦ· ταῦτα δέ ἐστιν, ὅσα θαυμασίως ἐποίησεν
ἐπιδημήσας νοητά τε καὶ αἰσθητά. Ῥηθείη δ' ἂν
ἡ δευτέρα πρόσταξις μάλιστα τοῖς ἀποστόλοις
v. 13 πεμφθεῖσιν μαθητεῦσαι πάντα τὰ ἔθνη· καὶ ὅτι
ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη τῶν ἀναιρε-
θέντων ὑπὸ τῶν πεπυρωμένων βελῶν τοῦ πονη-
ροῦ· τούτοις, φησὶν, ἐπιφέρεται τὸ, οὐκ ἐπελά-
θετο τῆς κραυγῆς τῶν πενήτων· περὶ οὗ ἐπαπο-
ρήσει τις λέγων· πῶς ἔκραζον πρὸς θεὸν οἱ ἀπὸ
ἐθνῶν πένητες ὄντες, καί τοι ἀναιρεθέντες ὑπὸ
τῆς κατεχούσης πολυθέου ἀπάτης καὶ τῶν ἐνερ-
γούντων αὐτὴν ἀοράτων ἐχθρῶν; πρὸς ὃ λεκτέον,

Item quod in nonagesimo primo psalmo ita se habet: » tu consurgens misereberis Sionis, quia tempus miserendi eius, quia venit tempus.

« Et sperent in te qui agnoscunt nomen » tuum. Quia non dereliquisti quaerentes te, » Domine. » Videlicet humanae spei cuilibet superiores effecti. Nam cognitionem nominis tui perfectam habentes, nulli alteri rei confidunt. Deum autem quaerunt illi, qui omnia ab eo sibi fieri volunt, quae ipsi viribus propriis comparare nequeunt. Quamobrem ab illo non derelinquuntur: quod verbum pie atque prudenter intelligendum est: nam si quis putet non derelinqui a Deo hominem, qui mundanis in rebus prospere agat, fallitur. Etenim complures impii ita se habent. Secus, Abelem fuisse derelictum dici oporteret, qui interfectus fuit: quin etiam prophetas atque apostolos; namque et hi perpetuo adflicti fuerunt, tandemque ab hominibus plurimi eorum interempti. Hac ergo facta distinctione, dicimus non derelinqui illum qui usque ad extremum spiritum cum Deo est, etiamsi innumera ab inimicis patiatur. Id enimvero recte dicitur, non derelinqui a Deo. Iam qua ratione quaerendus sit Deus, cognoscitur ex iis qui ita sapienter se gerunt: «sentite de Deo cum bonitate, et cum simplicitate cordis quaerite il» lum: quia invenitur ab iis qui non tentant » illum, et apparet iis qui ei non discredunt.

Hymnum dicere iubentur, qui spiritu ac mente psallere solent: namque hi demum pio intellectu, ac Spiritus instinctu psallunt. Nam iubentur canere atque psallere corde, qui ita habitanti Sionem Domino psallunt, Spiritu sancto chorum ducente. Aliud insuper mandatum ab eo accipiunt, nempe ut inter gentes annuntient studia eius: illa scilicet quae mirabiliter in adventu suo fecit tum intellectualia tum sensibilia. Porro alterum hoc mandatum apostolis praecipue dari credendum est ad omnes gentes docendas missis. Et quia requirens sanguinem eorum, recordatus est interfectorum ab ignitis diaboli telis; his subiungitur: non est oblitus clamorem pauperum. Quo in loco ambiget aliquis, dicens: quomodo clamaverunt ad Deum ethnici, qui pauperum nomine vocitantur, etsi polytheismi errore suffocati erant, et ab illius sectatoribus inimicis invisibilibus? Cui respondendum est, operibus illos clamorem

emittere, velut Abelis sanguis clamat ad Deum: et sicut operariorum merces negata: « ecce » enim, inquit, merces metentium agros ve» stros, quam non solvistis, clamat. » Clamor nimirum erat negatae mercedis, quae non apud operarium erat, sed apud agri demessi possessorem. Alium quoque loci sensum dicamus. Haud prorsus ethnici, quorum sanguinis recordatus est, pauperes illi sunt quorum clamorem non est oblitus benefactor Deus: namque hi pauperes fortasse sunt prophetae illi, qui de ethnicis vaticinia ediderunt; quorum alius dixit: ad te gentes venient ab extremis terrae. Alius vero: omnes gentes, quascumque fecisti, venient et adorabunt coram te. Pauperes vero heic dicuntur, quia multa divinarum opum parte destituebantur ac divinae scientiae. Illatenus enim, ex parte tantum prophetabant.

In infernis partibus mors illa est, de qua scriptum est: devoravit mors praevalens. Inimici dant operam ut illic sint quoscumque ipsi humiliaverint vel afflictione vel peccato. Extra huiusmodi mortem ac depressionem misericordià Dei fieri possumus. Nam qui adhuc in hoc mortis genere est, et in mundi passionibus, atque animi depressione, si malorum suorum sensum perceperit, et divinae bonitatis notionem, precantis more dicet: miserere mei, et vide humilitatem meam, quam ab inimicis meis patior. Hi enim me humiliaverunt inferne trahentes. Tu vero solus ob substantialem tuam bonitatem me de portis mortis potes exaltare.

Origenis et Didymi. Portae mortis, mortalia peccata, de quibus ille exaltatur qui peccatum ne cogitatione quidem admisit; qui et solus potest laudes omnes Domini annuntiare.

Filias Sionis intellige homines illius incolas. Aeque ac cum dicuntur alii filii lucis et pacis et sapientiae. Portae filiae Sionis, contrariae portis mortis, actus sunt laudabiles, et secundum virtutem sapientiàmque Dei peractae meditationes.

Quoniam virtus appellatur incorruptio illo loco: gratia sit cum diligentibus dominum nostrum Iesum Christum in incorruptione; illa quae prorsus contraria est nequitia, corruptela et corruptio consentanee nominabitur. Porro

πραγματικῶς αὐτοὺς τὴν κραυγὴν ἀναφέρειν, ὡς τοῦ Ἄβελ τὸ αἷμα βοᾷ πρὸς τὸν θεόν· καὶ ὁ μισθὸς ὁ ἀποςερηθεὶς τῶν ἐργατῶν· « ἰδοὺ γάρ, » φησιν, ὁ μισθὸς τῶν ἀμησάντων τὰς χώρας » ὑμῶν κράζει ὁ ἀποςερηθεὶς ἀφ᾽ ὑμῶν. » κραυγὴ γὰρ ἡ τοῦ ἀποστερηθέντος μισθοῦ, τῷ μὴ εἶναι παρὰ τῷ ἐργασαμένῳ, ἀλλὰ τῷ κτήτορι τῆς χώρας τῆς ἀμηθείσης· ῥηθείη δὲ καὶ ἑτέρα διάνοια· οὐ πάντως οἱ αὐτοὶ τῶν ἀπὸ ἐθνῶν ὧν ἐμνήσθη τὰ αἵματα, οἱ πένητές εἰσιν, ὧν τῆς φωνῆς οὐκ ἐπελάθετο ὁ εὐεργέτης· δύνανται γὰρ οὗτοι εἶναι οἱ περὶ ἐθνῶν προφητικῶς προαναφωνήσαντες· ὧν ὁ μὲν εἶπεν· πρός σε ἔθνη ἥξουσιν ἀπ᾽ ἐσχάτου τῆς γῆς· ὁ δέ, πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου· πένητες δὲ καὶ ἐν τούτοις εἴρηνται, οἱ πολὺ τοῦ πλούτου τῆς θεότητος ἀπολειπόμενοι, ἢ καὶ τῆς θείας γνώσεως· τέως γὰρ ἐκ μέρους προεφήτευον.

Κάτω που τυγχάνοντος τοῦ θανάτου ἐκείνου, v. 15. A. f. 53.
περὶ οὗ γέγραπται, κατέπιεν ὁ θάνατος ἰσχύ- B. f. 36. b.
σας· οἱ ἐχθροὶ ποιοῦσιν ἐν αὐτῷ γενέσθαι τοὺς ὑπ᾽ αὐτῶν ταπεινουμένους, ἤτοι διὰ κακώσεως ἢ τοῦ ἁμαρτάνειν· τούτου τοῦ θανάτου καὶ τῆς ἐπ᾽ αὐτῷ ταπεινώσεως, δυνατὸν ἐκτὸς γενέσθαι ἐλέῳ θεοῦ· ὁ γὰρ ἔτι περὶ τὰ τῇδε ἔχων, καὶ προσπάσχων τῷ κόσμῳ, ἐν ταπεινώσει τυγχάνων, εἰ λάβοι αἴσθησιν τῶν οἰκείων κακῶν, καὶ γνῶσιν τῆς τοῦ θεοῦ ἀγαθότητος, εὐχῆς τρόπῳ ἐρεῖ· ἐλέησόν με, καὶ ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου γεγενημένην· αὐτοὶ γὰρ ἐταπείνωσαν καθελκύσαντές με· σὺ δὲ μόνος δύνασαι δι᾽ ἀγαθότητα, οὐσιωδῶς προσοῦσαν ὑψῶσθαί με ἐκ τῶν πυλῶν τοῦ θανάτου.

Ὠριγένους καὶ Διδύμου. Πύλαι δὲ τοῦ θανάτου B. Ibid.
αἱ πρὸς θάνατον ἁμαρτίαι, ἀφ᾽ ὧν ὑψοῦται ὁ μὴ δὲ λογισάμενος αὐτὰς ἁμαρτεῖν· ὃς καὶ μόνος δύναται ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις τοῦ κυρίου.

Θυγατέρας τῆς Σιὼν ἀκούδει* τοὺς μετέχοντας * ita cod. v. 15.
ταύτης καταλλήλως, τῷ λέγεσθαι τίνας υἱοὺς B. f. 37.
φωτὸς καὶ εἰρήνης καὶ σοφίας· πύλαι τῆς θυγατρὸς τῆς Σιὼν ἀπεναντίως ταῖς πύλαις τοῦ θανάτου ἔχουσαι, πράξεις εἰσὶν ἐπαινεταί, ἐπιτελεσθεῖσαι κατ᾽ ἀρετὴν καὶ σοφίαν θεοῦ θεωρίαι.

Τῆς ἀρετῆς ἀφθαρσίας λεγομένης, ἐν τῷ, v. 16. A. f. 53. b.
ἡ χάρις μετὰ τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν B. f. 37.
Ἰησοῦν Χριςὸν ἐν ἀφθαρσίᾳ, ἡ ἀπεναντίως ἔχουσα κακία, διαφθορὰ καὶ φθορὰ ἀκολούθως κληθήσεται· παρίσταται τὸ φθορὰν τὴν κακίαν λεγε-

σθαι, ἐκ τοῦ « εἴ τίς τὸν ναὸν τοῦ θεοῦ φθεί-
» ρει· καὶ ἐκ τοῦ ἐν τῷ προφήτῃ λεγομένου πρὸς
τοὺς φαύλους. « ἕνεκεν ἀφθαρσίας διεφθείρητε
» φθορᾷ· » σύμφωνον τούτοις καὶ τὸ, τῇ διαφθο-
ρᾷ σου Ἰσραὴλ τίς βοηθήσει; ἡ οὕτω λεγομένη
διαφθορὰ ἐν τῷ πράττεσθαι τὸ εἶναι ἔχουσα,
πεποιῆσθαι ὑπὸ τῶν ἐχόντων αὐτὴν ἐπαγγέλλε-
v. 16. ται· φησὶν ὁ λόγος ἐμπεπῆχθαι τὰ ἔθνη ἐν ῇ
ἐποίησαν διαφθορᾷ· οὐ γὰρ ἄλλος τῇ ἄλλου ἀσε-
βείᾳ καὶ ἁμαρτίᾳ ἐνέχεται. ἕκαστος γὰρ τῇ ἑαυ-
τοῦ ἁμαρτίᾳ ἀποθανεῖται· εἶτ' ἐπεὶ οἱ κακοὶ πρό-
τερον ἑαυτοὺς βλάψαντες, καὶ ἑτέρους εἰς τὴν
αὐτὴν βλάβην δι' ἀπάτης ἄγειν πειρῶνται, σκευ-
άζουσιν κεκρυμμένως παγίδας ἐν τοῖς δολεροῖς
φρονήμασιν καὶ λόγοις αὐτῶν, ἐπὶ τῷ ἀγρεῦσαι
τὸν ἀπροοράτως ἔχοντα· αὐτῇ δὲ τῇ παγίδι ἣ
ἔκρυψαν τιμωροῦνται· δίκας γὰρ διδόασιν καὶ δι'
οὓς ἠπάτησαν· γίνεται δὲ τὸ παθεῖν οὕτως, δια-
κρίσει τοῦ προνοουμένου θεοῦ· πῶς γὰρ οὐ κρίμα
αὐτοῦ, τὸ ἐν τοῖς ἔργοις αὐτοῦ συλλαμβάνεσθαι
τὸν ἁμαρτωλὸν, ἔχοντα τὴν πρόφασιν τοῦ κα-
ταδικάζεσθαι ἐξ ὧν ἔδρασεν πονηρῶς; τούτῳ συν-
ᾴδει τὸ ὀλίγῳ πρότερον λεχθὲν, ἔχον ὧδε· ὁ
ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν.
B. f. 37. Περὶ τοῦ διαψάλματος εἰρηκότες ἤδη, περὶ
τῆς τοῦ διαψάλματος ᾠδῆς νυνὶ λεκτέον· ἀρξα-
μένου τοῦ προκειμένου ψαλμοῦ ἀπὸ τοῦ ἐξομολο-
γήσομαί σοι κύριε, παρέτεινεν ἡ ἀπαγγελία,
ἕως τοῦ συνελήφθη ὁ ἁμαρτωλός· μεθ' ἣν λέξιν
ᾠδῆς ἀρχομένης ἀπὸ τοῦ ἀποστραφήτωσαν, ἀκό-
λουθον τῷ διαψάλματι συμπλέξαι τῆς ᾠδῆς τὸ
ὄνομα· εἰ γὰρ ὅλος ὁ ψαλμὸς ᾠδὴ εἴρηται τρό-
πῳ καὶ δυνάμει, κἂν πρὸ αὐτοῦ πάντως ἐτάτ-
τετο ἡ ᾠδῆς προσηγορία, ὡς ἐπὶ πλειόνων ψαλ-
μῶν ἀποδείκνυται· τῷ δὲ μὴ οὕτως ἔχειν, ἀρ-
χὴν δὲ λαμβάνειν μετὰ τὸ διάψαλμα τὸ ᾆσμα,
εἰκότως ᾠδὴ διαψάλματος μεταξὺ τέθειται· δειχ-
θήσεται ὡς ᾠδῆς διάνοιαν ἔχει τὰ ἑξῆς, τῶν
v. 18. λέξεων αὐτῶν ἐκτεθεισῶν « ἀποστραφήτωσαν οἱ
» ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ
v. 19. » ἐπιλανθανόμενα τοῦ θεοῦ· ὅτι οὐκ εἰς τέλος
» ἐπιλησθήσεται ὁ πτωχός· ἡ ὑπομονὴ τῶν πε-
νήτων οὐκ ἀπολεῖται εἰς τέλος.

v. 18. A. f. 54. B f. 37. b. C. f. 18. et Cord. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ, οἱ πολεμίων
δίκην ἐπιτηθέμενοι, εἰς τὸν ᾅδην· ἑρμηνεύων δέ
τινες οἱ ἁμαρτωλοὶ, ἐπήγαγεν· ὡς τὰ ἐπιλανθα-
νόμενα ἔθνη οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ
ἀσάρκους δυνάμεις ἐκλαβεῖν δεῖ· εἰ γὰρ μὴ ση-
μαίνει οὐσίαν ἀλλὰ ποιὸν ἡ ἁμαρτωλὸς φωνὴ,
παρωνυμία οὖσα ἀπὸ τῆς ἁμαρτίας, οὕτως ὀνο-

nequitiam corruptionis nomine indigitari, vel hinc constat: si quis templum Dei corruperit. Item ex propheta improbis dicente: «propter incorruptionem corrupti estis corruptione. Consonat etiam illud: corruptioni tuae, o Israhel, quis auxiliabitur? Vel corruptio sic ab opere dicta, ab eius auctoribus creata dicitur. Heic dicuntur infixae gentes in corruptione quam fecerunt. Non enim quisquam alterius impietate et peccato tenetur; nam unusquisque in proprio peccato morietur. Deinde quia improbi sibi ipsis prius nocentes, deinde alios in idem damnum fraudulenter nituntur impellere; ideo struunt clam laqueos dolosis consiliis suis atque sermonibus, ut improvidum quemque capiant. Sed ipsomet, quem absconderant, laqueo puniuntur: nam eos ipsos, quos deceperunt, vindices habent. Haec vero punitio, providi Dei iudicio fit. Quid ni enim Dei iudicium sit, propriis operibus peccatorem comprehendi, quandoquidem causam suae damnationis habet, ex iis quae improbe egit. Consonat quod paulo ante dictum est: « qui fo-
» veam effodit proximo suo, incidet in illam. »

Quum de diapsalmate iam dixerimus, nunc de diapsalmatis cantico dicendum est. Quum praesens psalmus inceperit a verbis confitebor tibi Domine, pergit oratio usque ad comprehensus est peccator. Post quam dictionem, cantico incipiente a verbo avertantur, consentaneum est copulare diapsalmati nomen cantici. Nam si totus psalmus canticum diceretur tenore proprio ac vi, utique ei cantici appellatio praeposita fuisset, ut in compluribus psalmis fit. Sed cum aliter res se habeat, et post diapsalma revera canticum incipiat, merito interponitur titulus canticum diapsalmatis. Constabit autem, sequentia habere psalmi sensum, his prolatis verbis: «avertan-
» tur peccatores in infernum, omnes gentes
» quae obliviscuntur Deum: quoniam non in
» finem oblivio erit pauperis: patientia pau-
» perum non peribit in finem. »

Avertantur peccatores, hostium instar molesti, in infernum. Tum explanans quinam sint peccatores, pergit ita loqui, ut gentes quae obliviscuntur, non homines tantummodo sed immateriales quoque potestates intelligere oporteat. Nam si non significat substantiam sed qalitatem vox peccator, quod nomen a

peccato deducitur, pari modo gentes quoque denominari putabis : et veluti qui nondum in caelis localiter est, quia adhuc in tellure ambulat, attamen conversatione ac mente illic esse potest; ita qui nondum in infernis locis consistit, potest signa gestare mortis atque peccati, quasi iam in inferis habitet, etsi adhuc in corpore vivit. Porro dicitur pauper, tum qui peccato miser est, tum etiam modestus et humilis, et qui aliquid accipere a Deo indiget. Et quidem omnis homo natus ita se habet. Iam qualibet ex his ratione dictus pauper, a Dei memoria non excidit, quamvis ob causam aliquam utilem videatur interdum traditus oblivioni; quae tamen perpetua non est. Quid autem intersit inter pauperem et inopem, infra dicemus, ubi occasio de his loqui tulerit.

Tu es Domine, qui tumidos ac ferocientes a vituperabili celsitudine facis excidere, ac superbis resistis : ne itaque roborentur hi, sed abs te iudicentur : hinc enim ipsis summa utilitas accidet. Possumus etiam interpretari verba ne confortetur homo, quasi de diabolo dicta; qui in zizaniorum parabola inimicus homo dicitur. Quin etiam in prophetia: hic est homo exasperans terram. Et quoniam homo huiusmodi validus erat ante Salvatoris adventum, aiebatque : mundum universum manu instar nidi capiam, et tamquam derelicta ova tollam : non est qui effugiat aut resistat mihi; non ferens hominum genus superbos illius sermones, precem Servatori extollit dicens : exsurge Domine, veni ad nos, ne diutius hic qui superbit adversus nos homo praevaleat. Porro hominis nomine dicitur diabolus, non quod mortale logicum sit animal, sed quia aeque ac homines a divina conditione excidit : quibus Deus, ego dixi inquit vos dii estis et filii Excelsi omnes: vos vero tamquam homines morimini.

Utique diabolus istiusmodi eligit, qui mendacibus verbis divites esse videntur, cum quibus sedet occultus, latere volens, ut interficiat innocentem, ipsum ardentibus suis sagittis traiiciens: letiferae enim sunt, utpote quae a vita proba avellunt. Posset etiam illud, in occultis, cum praecedente et sequente sententia coniungi. Verumtamen non potest sagittis suis conficere illum, qui indutus est armatura Dei. Unde

μαςέον, καταλλήλως τούτοις καὶ τὰ ἔθνη ἐκλήψῃ· ὥσπερ δὲ οὐκ ὤν τις ἐν οὐρανῷ τοπικῶς, ἔτι ἐπὶ γῆς περιπατῶν, δύναται ἐκεῖ πολιτείᾳ καὶ νοήσει τυγχάνειν, οὕτω μὴ διατρίβων τις ἐν ᾅδῃ τοπικῶς, δύναται σημεῖα φέρειν νεκρότητος, καὶ αὐτοῦ τοῦ ἁμαρτάνειν, ὡς οἰκεῖν αὐτὸν τὸν ᾅδην ἤδη, καί τοι ὄντα ἐν τῇ μετὰ σώματος ζωῇ· πτωχὸς δὲ λέγεται καὶ ὁ πτωχεύων δι' ἁμαρτίαν, καὶ ὁ μέτριος καὶ ἄτυφος, καὶ ὁ χρῄζων δέξασθαι παρὰ θεοῦ· ἕκαστος δὲ γενητός ἐστι τοιοῦτος· κατὰ πάντας τούτους τοὺς τρόπους ὁ λεγόμενος πτωχὸς, μνημονεύεται θεῷ, κἂν διά τι συμφέρον δόξῃ λήθη τίς αὐτοῦ γίνεσθαι· οὐκ εἰς τὸ παντελὲς δὲ παραμένει αὕτη· καὶ διὰ τοῦτο οὐκ εἰς τέλος ἐπιλησθήσεται· τίνος δὲ διοίσει πτωχὸς, πένητος, προϊόντες ἐροῦμεν, ὅτι ἂν καιρὸς καλέσῃ εἰπεῖν περὶ τούτων.

Σὺ κύριε ὁ τοὺς ὀγκυλλομένους καὶ ἀπαυθα- v. 20. A. f. 55.
διζομένους πίπτειν ποιῶν ἀπὸ τοῦ ψεκτοῦ ὕψους, B. f. 38.
ἀντιταττόμενος τοῖς ὑπερηφάνοις· μὴ τοίνυν κραταιούσθωσαν, ἀλλὰ κριθήτωσαν ἐνώπιόν σου· ἕψεται γὰρ αὐτοῖς ὑπερβάλλουσα ὠφέλεια· ἑρμηνευθείη δὲ τὸ μὴ κραταιούσθω ἄνθρωπος, ὡς λεχθὲν περὶ διαβόλου· περὶ οὗ εἴρηται ἐν τῇ παραβολῇ τῶν ζιζανίων, ὡς ὄντος ἀνθρώπου ἐχθροῦ· ἀλλὰ καὶ ἐν τῇ προφητείᾳ, οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν· καὶ ἐπεὶ ὁ ἄνθρωπος οὗτος ἐκραταιοῦτο πρὸ τῆς τοῦ σωτῆρος καθόδου, λέγων· τὴν οἰκουμένην ὅλην ἀπολήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς ὠὰ καταλελειμμένα ἀρῶ· οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι· οὐκ ἐνεγκὼν τὸ γένος τῶν ἀνθρώπων τοὺς μεθ' ὑπερηφανίας αὐτοῦ λόγους, πρεσβείαν προσάγει τῷ σωτῆρι λέγων· ἀνάςηθι ὦ δέσποτα, κατάβηθι πρὸς ἡμᾶς, ἵνα μὴ ἐπὶ πολὺ ὁ καθ' ἡμῶν ὑπερηφανευόμενος ἄνθρωπος κραταιωθῇ· ἄνθρωπος δὲ εἴρηται ὁ διάβολος, οὐ τῷ θνητὸν λογικὸν ζῷον εἶναι, ἀλλὰ τῷ θεότητος ἀποπεπτωκέναι ὡσαύτως ἐκείνοις· πρὸς οὓς ὁ θεὸς ἐγὼ εἶπα « θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· » ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε.

Ἡγοῦν ὁ διάβολος ἐπιλέγεται, δοκοῦντας εἶ- Cord. 198.
δε πλουσίους ἐν λόγῳ ψευδεῖ, μεθ' ὧν καθέζεται κρύφα, λανθάνειν βουλόμενος, ὡς ἂν ἀθῷον ἀποκτείνῃ, τρώσας αὐτὸν τοῖς πεπυρωμένοις αὐτοῦ βέλεσι, θανατικὰ γάρ ἐστιν, ἀπὸ τῆς σὺν ἀρετῇ ζωῆς κατασπῶντα. Δύναται δὲ τὸ, ἐν ἀποκρύφοις, συνταχθῆναι καὶ τῷ προάγοντι ῥητῷ, καὶ τῷ μετ' αὐτό· πλὴν οὐ δύναται τοῖς ἰδίοις ἀποκτεῖναι βέλεσι τὸν ἐνδεδυμένον τὴν τοῦ

θεοῦ πανοπλίαν. Διὸ τοὺς ὀφθαλμοὺς εἰς ὡς εὐάλωτον ἔχει τὸν πένητα, τὸν αὐτὸν ὄντα τῷ ἐνπυριζομένῳ πτωχῷ ἐπὶ τῇ τοῦ ἀσεβοῦς ὑπερηφανίᾳ· τὸν τοιοῦτον δὲ ἁρπάζει διὰ λόγων ἀπατηλῶν ἢ καὶ πράξεων, πρὸς τὴν ἰδίαν παγίδα, καταφαγεῖν αὐτὸν ὡς λέων ἐθέλων· ἐνεδρεύει δὲ, ἡνίκα περὶ οἰκονομίας τυχὸν ὁμιλῶν, τὸν περὶ τῆς φυλαργυρίας λόγον ἐγκρύψῃ, ἢ καὶ τῷ σωφρονεῖν βουλομένῳ ὑποβάλλει τρόπον ἀκολασίας· ὡς καὶ τῇ Εὔᾳ διὰ τῆς ἰσοθείας ἐνέβαλε τὴν παράβασιν. Τὸ δὲ κύψει, δηλοῖ ὡς κάτω στρέψας τὸν ὀφθαλμὸν, ἔπεσε· πῶς δὴ οὐ κάτω βλέπει λέγων, ἐπιλέλησται ὁ θεὸς, καὶ τὴν πρόνοιαν ἀθετῶν;

oculos in pauperem, ut captu facilem, coniicit, qui idem est cum isto paupere superbiâ impii incenso: istiusmodi autem verbis, aut etiam operibus dolosis trahit in rete suum, ut ipsum tamquam leo devoret. Insidiatur porro, cum de rei, puta, domesticae administratione loquens, avaritiae verba latenter ingerit: vel etiam illi qui caste vivere statuerat, lasciviae modum suggerit: sicut etiam Evam, sub specie divinae aequalitatis, ad praevaricandum induxit. Illud autem, inclinabit se, significat, quemadmodum deorsum convertens oculum, corruerit. Quomodo enim non deorsum oculos vertit, qui dicit: oblitus est Deus, etiam providentiam contemnens?

Cord. p. 199. Ἐν τῇ ἐντολῇ τῇ δοθείσῃ ἐν τῷ παραδείσῳ ἥρπασε πτωχὸν, καὶ εἵλκυσεν ἐν τῇ παγίδι αὐτοῦ, ὥστε ἐν αὐτῇ ταπεινῶσαι τὸν ἁρπασθέντα· πάλιν ἐνεδρεύσας ἐν ἀποκρύφῳ, ἥρπασε πτωχὸν γενόμενον τὸν Ἰούδαν διὰ φυραργυρίας, ὃν καὶ ἑλκύσας πρὸς ἑαυτὸν, ἐν ᾗ ἔκρυψε παγίδι ἐταπείνωσεν αὐτόν.

In praecepto quod in paradiso datum fuerat, rapuit pauperem, et traxit in laqueum suum, ut in illo raptum humiliaret. Rursus insidiatus in occulto rapuit Iudam factum pauperem per avaritiam; quem etiam ad se trahens, humiliavit in laqueo quem absconderat.

(*Psalmus X. secundum Hebraeos, sed adhuc IX. secundum Latinos et Graec. vatic.*)

v. 1. B. f. 30. «Ἵνα τί κύριε ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν; ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός.» Ὁ προφήτης ὡς ἄνθρωπος ἐρωτᾷ, καὶ πυνθάνεται τοῦ θεοῦ λέγων· ἵνα τί κύριε ἀφέστηκας μακρόθεν; εἶπεν δ' ἂν ὁ λόγος πρὸς αὐτὸν ἀποκρινόμενος, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιαν ἄγει τοὺς ἁμαρτάνοντας· ἀφέστηκεν δὲ τῶν ἁμαρτωλῶν μακρὰν ὁ θεὸς, τῆς ἁμαρτίας αὐτῆς διοριζούσης καὶ μακρὰν ἐλαυνούσης τοὺς ἁμαρτάνοντας, κατὰ τὸ εἰρημένον· «αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν μεταξὺ ἐμοῦ καὶ ὑμῶν.» Ἄλλως γὰρ ὁ θεὸς ἀεὶ τοῖς πᾶσι πάρεστιν, καὶ τὰ πάντα πληροῖ πανταχοῦ τυγχάνων· διὸ λέλεκται ἐν προφητείαις· «θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει κύριος, καὶ οὐ θεὸς πόρρωθεν.» Θλιβομένων δὲ κατὰ τὸν ἐνεστῶτα βίον τῶν δικαίων καὶ ὑπὸ τῶν ἀσεβῶν καταπονουμένων, ὥσπερ μακρὰν ἀφεστὼς, καταλείπεις αὐτοὺς, φησὶν, ὦ κύριε, καὶ ὑπερορᾷς· διὸ αὔξει ἡ ὑπερηφανία τῶν ἀσεβῶν· τὸν δὲ σὸν πένητα καὶ πτωχὸν ἐμπυρίζεις, ζηλοῦντα τὸν θεοσεβῆ ζῆλον, καὶ ἔνδοθεν φλεγόμενον τὴν ψυχήν.

«Ut quid, Domine, recessisti longe, despicis in opportunitatibus, in tribulatione? Dum superbit impius, incenditur pauper.» Propheta tamquam homo interrogat, et ex Deo sciscitatur dicens: cur Domine procul recessisti? Sed enim huic scriptura respondet, nempe quod Dei bonitas ad paenitentiam adducit peccatores. Longe autem recessit a peccatoribus Deus, peccato ipso dirimente, et peccatores procul expellente, prout dictum est: «peccata vestra intervallum inter me vosque efficiunt.» Nam ceteroqui Deus cunctis adest, atque omnia implet, ubique existens. Ideo in prophetiis dicitur: «Deus propinquans ego sum, dicit Dominus, et non Deus longinquus.» Attamen cum in praesenti vita premuntur iusti et ab impiis adfliguntur, quasi procul abscedens derelinquis eos, ait, o Domine, atque despicis. Propterea impiorum superbia augebitur: inopem vero tuum ac pauperem cura urit, zelo religioso zelantem, et intimo animo inflammatum.

v. 3. A. f. 56. B. f. 38. b. Καὶ μάλιστα οἱ θείου πλούτου καὶ σοφίας στερούμενοι, καὶ μὴ ἀκριβεῖς ὄντες περὶ τὰ δόγ-

Eiusmodi praecipue sunt, qui divinis opibus et sapientia carent, neque religionis dog-

mata accurate tenent. Hi quippe sapientis providentiae iudicia incurrunt, dum peccatorem laudant desideriis propriis indulgentem : cum satis appareat, peccatorem non meliora, sed iucunda tantum et voluptaria expetere. Insuper eodem errore iudicant in benedictione versari eos qui divitias et humanam temporalemque gloriam habent, aiuntque iniquos a Deo benedici. Oportebat autem credere, Dei benedictionem iustis tribui.

Etiamsi videatur procul esse et negligere Deus homines adflictos, et ob impii superbiam conturbatos, nihilominus valde irascitur superbo qui scandala infert, atque ut cum scriptura loquar, pauperem incendit, et bonis Dei providentia ipsi suppeditatis male utitur. Hoc enim in sequentibus verbis traditur. Dicitur enim : exacerbavit Dominum peccator; est autem hic superbus impius, et in desideriis suis laudatus. Tantopere autem exacerbavit Dominum, ut iram erumpere fecerit, quam ipse sibi congesserat; iuxta illud : « secundum duritiam tuam et impaenitens cor » thesaurizas sibi iram ad diem irae. » Sed quantumvis multam peccator sibi iram congesserit, haud tamen pro multitudine ac magnitudine eius quaestio exercebitur in die iudicii, propter iudicantis Dei bonitatem. Nam si pro irae magnitudine quaestio institueretur, funditus et ilico perirent improbi. Quod ipsum animadvertentes, Deo bonitatem prae se ferenti, dicunt : « si iniquitates observaveris Domine, Domine, quis sustinebit? »

Cur autem Dominum exacerbet peccator, causa haec est, quod illum prae oculis non habet, quia se avertit a Deo. Ita enim quisquis peccat se gerit. Ea propter de cunctis huiusmodi ait Deus, « converterunt ad me » dorsa, et non vultus. » Huius impietatis Cain parens, exiit a conspectu domini Dei, id est ab illo se avertit. Quod si de hominibus peccatoribus dicuntur haec, multo potius et de diabolo Deum exasperante eumque prae oculis non habente : nam de ipso potissimum sequentes lectiones dicuntur: inquinantur viae illius omni tempore. Nam cuiusnam hominis omni tempore inquinantur viae? quoniam impii quoque multa saepe honeste agunt. Pergit autem profane non ad vitiosos tantummo-

ματα τῆς εὐσεβείας· οὗτοι γὰρ τοῖς τῆς σοφῆς
προνοίας προσκόπτουσιν κρίμασιν, ἐπαινοῦντες
τὸν ἁμαρτωλὸν ἐφ' οἷς ἐπιθυμεῖ· φανεροῦ ὄντος
ὡς οὐ τῶν αἱρετῶν ἀλλὰ τῶν ἡδέων καὶ ἐμπα-
θῶν ὀρέγεται ὁ ἁμαρτωλός· πρὸς τούτοις, ἐκ
τοῦ αὐτοῦ σφάλματος εὐλογίαν ἡγοῦνται τοὺς
πλοῦτον καὶ δόξαν ἀνθρωπίνην καὶ πρόσκαιρον
ἔχοντας, φάσκοντες τοὺς ἀδικοῦντας πρὸς θεοῦ
εὐλογεῖσθαι· ἔδει δὲ τοπάσαι ὡς ἡ τοῦ θεοῦ εὐ-
λογία δίδοται δικαίοις.

Εἰ καὶ ἔδοξεν μακρὰν ἀφεστᾶναι καὶ ὑπερο- v. 4. A. f. 56. b.
ρᾷν θεὸς τοὺς θλιβομένους διὰ τὸ ταράττεσθαι
ὑπὸ τῆς τοῦ ἀσεβοῦς ὑπερηφανίας, ἀλλ' οὖν
πάνυ ἀγανακτεῖ κατὰ τοῦ ὑπερηφάνου σκανδαλί-
σαντος· καὶ ἵνα κατὰ τὴν γραφὴν εἴπω, ἐμπυ-
ρίσαντος τὸν πτωχὸν, καὶ διὰ τὸ κακῶς κεχρῆ-
σθαι τοῖς ὑπάρξασιν αὐτῷ τῇ θεοῦ προνοίᾳ· τοῦτο
γὰρ ἐκ τῶν ἑξῆς λέξεων παρίσταται· εἴρηται
γὰρ, παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός· οὗτος
δ' ἐστὶν ὁ ὑπερηφανευόμενος ἀσεβὴς, καὶ ἐπὶ
ταῖς ἐπιθυμίαις ἑαυτοῦ ἐπαινούμενος· εἰς τοσοῦ-
τον δὲ παρώξυνεν τὸν κύριον, ὡς ἐπιτεταμένην
ὀργὴν γενέσθαι, ἣν αὐτὸς ἑαυτῷ ἐθησαύρισεν,
κατὰ τὸ λεχθὲν « κατὰ τὴν σκληρότητά σου καὶ B. f. 38. b.
» ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀρ-
» γὴν ἐν ἡμέρᾳ ὀργῆς. » Πλὴν εἰ καὶ πολλὴ ἡ
θησαυρισθεῖσα ὑπ' αὐτοῦ ὀργὴ, ἀλλά γε οὐκ
ἔσται κατὰ τὸ πλῆθος καὶ μέγεθος αὐτῆς ἐκ-
ζήτησις ἐν ἡμέρᾳ κρίσεως, δι' ἀγαθότητα τοῦ
κρίνοντος θεοῦ· εἰ γὰρ ἐκζήτησις κατὰ τὸ πλῆθος B. f. 39.
τῆς ὀργῆς ἐγίνετο, ἄρδην ἀπώλλυντο καὶ παρ-
αυτὰ οἱ κακοί· τοῦτ' αὐτὸ θεωρήσαντες, τῷ ἀγα-
θότητα ἐνδεικνυμένῳ φασίν· « ἐὰν ἀνομίας πα-
» ρατηρήσῃ κύριε, κύριε, τίς ὑποστήσεται; »

Πρόφασις δὲ τοῦ παροξῦναι τὸν ἁμαρτωλὸν v. 5.
τὸν κύριον, τὸ μὴ πρὸ ὀφθαλμῶν καὶ ἐνώπιον
αὐτὸν ἔχειν, ἐπείπερ ἀπεστράφη θεόν· πᾶς γὰρ
ἁμαρτάνων, τοῦτο πράττει· διὸ φησὶν ὁ θεὸς περὶ
παντὸς τοιούτου « ἔστρεψαν ἐπ' ἐμὲ νῶτα αὐτῶν
» καὶ οὐχὶ πρόσωπα. » Ταύτης τῆς ἀσεβείας ὁ
Κάϊν πατὴρ γεγονὼς ἐξῆλθεν ἀπὸ προσώπου κυ-
ρίου τοῦ θεοῦ, ἀποστραφεὶς αὐτὸν δηλονότι· εἰ
περὶ ἀνθρώπων ἁμαρτωλῶν λέγεται ταῦτα, πολ-
λῷ μᾶλλον καὶ περὶ διαβόλου παροξύναντος τὸν
θεὸν, καὶ οὐκ ἔχοντος αὐτὸν ἐνώπιον αὐτοῦ·
μάλιστα γὰρ αἱ ἑπόμεναι λέξεις περὶ αὐτοῦ λέ-
γονται· βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ και-
ρῷ· τίνος γὰρ ἀνθρώπου βεβηλοῦνται αἱ ὁδοὶ ἐν
παντὶ καιρῷ, τῶν ἀσεβῶν καθηκόντως πολλὰ
πολλάκις ἐπιτελούντων; βαδίζει δὲ βεβήλως οὐκ

εἰς μόνας πράξεις ἐπιλήπτους ἄγων τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀπρονοησίαν ὁρίζων· πολλοὺς γοῦν ἔπεισεν ἀπροςασίαστον τὸν κόσμον δογματίσαι, πρότερος αὐτὸς ἐκπεσὼν τῆς ὀρθῆς περὶ διοικήσεως Θεοῦ καὶ κρίσεως γνώμης· παρίςαται τοῦτο ἐκ τοῦ λεγομένου τῷ θεῷ περὶ αὐτοῦ· ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει· οὐχ ὡς πάντως τοῦτο σχήσοντος, ἀλλὰ διὰ τὸ αὐτὸν τοῦτο προτεθεῖσθαι· ψεῦδος γὰρ, τὸ κύριον αὐτὸν πάντων τῶν ἐχθρῶν αὐτοῦ εἶναι ἢ γενήσεσθαι· μάλιστα γὰρ ἐχθροὶ αὐτοῦ εἰσὶν οἱ ἐν ἁγιότητι τέλειοι· ὧν οὐδενὸς βασιλεύει, μόνων δὲ τῶν ποιούτων τὴν ἁμαρτίαν κατακυριεύει· εἴρηται γάρ· « πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, » δοῦλός ἐστιν τῆς ἁμαρτίας. » κατακυριεύεται ὑπὸ τοῦ διαβόλου τοῦ ἐνεργήσαντος ἐν αὐτῷ τὴν ἁμαρτίαν.

v. 6. Κατὰ δὲ τὸ ἀκόρεςον τῆς κακίας αὐτοῦ, ἐςὶν τὸ ἑξῆς ἐπιφερόμενον· « εἶπεν γάρ, φησιν· οὐ » μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κα- » κοῦ· » δηλοῖ τὸ ῥῆμα τῆς ἀλαζονείας αὐτοῦ θράσος ὁμοῦ καὶ ἀναισχυντίαν· Ταύτῃ τῇ φωνῇ ἐπιστήσας τις, ἑρμηνεύσει περὶ μόνων τῶν ἀνθρώπων ἐχθρῶν αὐτοῦ κατακυριεύσειν· εἰ γὰρ ἀπὸ γενεᾶς εἰς γενεὰν εἶπεν ἐν τῇ καρδίᾳ ἄνευ κακοῦ μὴ δὲ πώποτε κεκλονῆσθαι, φανερὸν ὡς περὶ τῶν κατὰ διαδοχὴν ἐχόντων τὸ εἶναι μόνων ἀνθρώπων εἴρηται· πλὴν οὐδὲ τοῦτο πάντως ἀληθές· τῶν γὰρ ἁγίων πατριαρχῶν καὶ προφητῶν καὶ ἀποστόλων οὐκ ἐκυρίευσεν· μᾶλλον γὰρ αὐτοὶ αὐτὸν ὑπὸ πόδας ἔσχον, τοῦ Ἰησοῦ τὴν ἐξουσίαν ταύτην ὀρέξαντος.

v. 7.

« Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πι- » κρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κό- » πος καὶ πόνος. » Ὁ τῆς ἁγιότητος αὐτοῦ ἐκπεσὼν, τῆς ἀληθείας καὶ εὐλογίας πόρρω ἑαυτὸν ἀπαγαγὼν, τὸ στόμα πλῆρες ἔχει ἀρᾶς, δι' ὧν λέγει πειρώμενος ὑπὸ κόλασιν καὶ ἀρὰν ποιεῖν τοὺς ἀπατωμένους· ἔχει δὲ αὐτοῦ ὁ λόγος σὺν τῷ δολερῷ πολλὴν δεινότητα· διὸ σὺν τῇ ἀρᾷ καὶ πικρίας καὶ δόλου ὁ λόγος αὐτοῦ πλήρης ἐστὶν, [λόγον] στόμα αὐτοῦ καλούμενος· καὶ ἐπὶ τούτων ἐπὶ τὸ βλάψαι καὶ ἀπολέσαι προφέρει ὑπὸ τὴν γλῶσσαν αὐτοῦ· αὕτη δὲ ὁ λόγος ὁ δολερός ἐστιν, πόνος καὶ κόπος ὑπάρ-
v. 8. χει· οὐδὲν γὰρ προσηνὲς ἢ χρηστὸν, ἀλλ' εἴ τι
A. f. 58. κόπον καὶ πόνον ἐμποιοῦν προφέρει.
B. f. 39. b.

Διὰ πάντων βλαπτικὸς καὶ ἀπωλείας προθέ-

do actus trahens homines, verum etiam Dei providentiam negans. Multis itaque suadet, mundum sine Dei gubernatione credere, postquam ipse primus a recta excidit de Dei gubernatione et iudicio sententia. Hoc probatur ex his quae Deo de peccatore dicuntur: auferuntur iudicia tua a facie eius, omnium inimicorum suorum dominabitur; non quod omnino id sit consecuturus, sed quia id potius sibi faciendum proposuerit: namque falso diceretur, ipsum omnium inimicorum suorum dominum esse vel fore. Praecipui enim inimici sunt homines sanctitate perfecti, quorum neminem possidet, sed illis tantummodo qui peccatum faciunt dominatur. Dictum est enim: « omnis qui facit peccatum, servus est pec- » cati. » Ergo a diabolo imperio premitur, qui in ipso peccatum operatur.

Ex immodica autem malitia eius, quae sequuntur dimanant. « Dixit enim: non move- » bor a generatione in generationem, sine ma- » lo. » Quae dictio superbiae ipsius audaciam impudentiamque demonstrat. Verumtamen hac animadversa locutione, aliquis interpretari volet, quod hominibus tantummodo inimicis suis dominabitur: nam si a generatione in generationem dixit in corde suo, se mali expertem numquam iri commotum, constat de hominibus tantum serie generis sibi succedentibus verba fieri. Atqui ne hoc quidem prorsus verum est. Nam sanctis prophetis et apostolis non est dominatus; sed ipsi potius eum pedibus suppositum habuerunt, hanc Iesu potestatem tradente.

« Cuius maledictione os plenum est, et ama- » ritudine ac dolo: sub lingua eius labor ac » dolor. » Qui a Dei sanctitate excidit, et a veritate ac benedictione se abducit, os habet maledictione plenum, dans operam scilicet ut poenae et maledictioni obnoxios faciat quos ipse decepit. Habet autem oratio eius multam cum fallacia vim. Propterea maledicto, amaritudine, ac dolo sermo eius redundat; os dicens pro sermone eius: atque ut noceat et perdat, haec gerit sub lingua sua; talis vero sermo dolosus est, dolor laborque: nihil enim habet blandum bonumve; sed quicquid dolorem laboremque ingerit, id eloquitur.

Cum usquequaque se noxium et exitiosum

esse decreverit, deligit sibi socios homines qui divite oratione esse videntur, fallacibus nimirum verbis utentes: cumque iis clam sedens, ut qui sit lateat, insidias struit, quibus innocentem interimat, igneis suis illum vulnerans telis: sunt enim haec mortifera, utpote quae a comite virtutis vita abstrahunt hominem his armis confixum. Attamen sic etiam interpungere possumus: sedet in insidiis cum divitibus: dehinc facta interpunctione prosequemur, ut in occultis innocentem occidat: nam quia in occultis amphibolïam habet, utrimque interpungi potest: quod nuper primo fecimus interpungendo: sedet in insidiis, cum divitibus in occultis. Postea vero legere maluimus: sedet in insidiis cum divitibus, ut in occultis innocentem occidat. Attamen quamvis insidiatur, cum praedictis divitibus sedens ut capiat occidatque innocentem, nihilominus sciendum est, ab eo neminem qui secundum Deum sit sapiens posse feriri, utpote armatura Dei munitum. Unde oculos in inopem intendit, sperans ipsum capere; quasi ille esset pauper, qui uritur ob impii superbiam. Insidiatur in abscondito ceu saevus leo in spelunca sua, ut pauperem dolosa oratione abripiat, et quandoque etiam operibus: quem etiam, postquam laqueo comprehendit, ad apostasiam trahet. Immanis enim fera est, immo vero leo. Igitur saepe insidians, dum de parsimonia disserit, latenter avaritiam suadet: et de pudicitia loquens, luxuriae aliquam speciem insinuat. Sic Evam fraudulenter in paradiso ad mandati transgressionem perpulit, parem illam fore Deo dictitans. Sic Iudam avaritia illaqueavit.

Quod incurvatus iacet, demonstrat eum fixo deorsum oculo procubuisse. Quid ni enim ille deorsum spectat, qui providentiam negat, dum ait: oblitus est Deus, et reliqua?

Quum sine mora possis superbum humiliare, qui turbatos ab ipsius audacia opprimit, cur inquam quum possis optime his auxiliari, sinis eos tempore aliquo in pressuris versari? cuius certe rei aerumnam a te spectari scitum est. Verum ita contingit, ut qui a temporali calamitate eruditi fuerint, sponte se tradant in manus tuas, cupientes posthinc a te regi atque doceri. Tibi ergo derelictus est pauper: tu salutis eius negotium

μενος εἶναι αἴτιος, ἐπιλέγεται δοκοῦντας εἶναι πλουσίους ἐν λόγῳ, ψευδώνυμον λόγον ἔχοντας ἀνθρώπους· καὶ σὺν αὐτοῖς καθεζόμενος κεκρυμμένως ἐπὶ τὸ λανθάνειν τίς ἐστιν, ἐνεδρεύειν πειρᾶται ἵνα ἀθῷον ἀποκτείνῃ, τρώσας αὐτὸν τοῖς πεπυρωμένοις αὐτοῦ βέλεσιν, θανάτου γὰρ ποιητικὰ ταῦτα, κατασπῶντα ἀπὸ τῆς σὺν ἀρετῇ ζωῆς, τὸν ὑπὸ τῶν βελῶν βαλλόμενον· στίξαι δυνατὸν καὶ οὕτως· ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων· μεθ᾽ ὃ στίξαντες ἐπιφέρομεν, ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῷον· τὸ γὰρ ἐν ἀποκρύφοις ἀμφιβολίαν ποιοῦν, ἑκατέρως διαστέλλεται· ὅπερ ἤδη πεποιήκαμεν πρότερον, στίξαντες ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις· ὕστερον οὕτως ἀναγνόντες ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων, ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῷον· πλὴν εἰ καὶ ἐνεδρεύει, πλουσίοις τοῖς προειρημένοις συγκαθήμενος ἐπὶ τῷ ἑλεῖν καὶ ἀποκτεῖναι ἀθῷον, ἀλλά γε ἐπιστατέον ὡς οὐδένα τῶν κατὰ θεὸν σοφῶν τρῶσαι δύναται ἐνδεδυμένων τὴν πανοπλίαν θεοῦ· ὅθεν τοὺς ὀφθαλμοὺς εἰς τὸν πένητα ἔχειν, πειθόμενος αὐτὸν ἔχειν ἁλωτὸν, τὸν αὐτὸν ὄντα τῷ ἐμπυριζομένῳ πτωχῷ ἐπὶ τῇ τοῦ ἀσεβοῦς ὑπερηφανίᾳ· ἐνεδρεύει ἐν ἀποκρύφῳ οἷα ἄγριος λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ, τοῦ ἁρπάσαι πτωχὸν διὰ λόγων ἀπατηλῶν, ἔστιν δ᾽ ὅτε καὶ διὰ πράξεων· ὃν καὶ ἑλκύσει μετὰ τὸ ἁρπάσαι ἐν τῇ παγίδι αὐτοῦ, ἐπὶ τῷ καταφυγεῖν· θὴρ γὰρ ἄγριός ἐστιν, μᾶλλον δὲ αὐτὸ τοῦτο λέων· πολλάκις γοῦν ἐνεδρεύων, περὶ οἰκονομίας δῆθεν ὁμιλῶν, ἐγκρύπτει τὸν περὶ φιλαργυρίας λόγον· ὡς περὶ σωφροσύνης φθεγγόμενος, τρόπον ἀκολασίας ὑποβάλλει· οὕτως τὴν Εὔαν ἠπάτησεν ἐν τῷ παραδείσῳ διὰ τῆς παραβάσεως τῆς ἐντολῆς, ἰσοθεΐαν ὑποβάλλων· καὶ τὸν Ἰούδαν διὰ φιλαργυρίας.

Τὸ κύψαι κείμενον δηλοῖ, ὡς κάτω στρέψας v. 10.
τὸν ὀφθαλμὸν ἔπεσεν· πῶς γὰρ οὐ κάτω τὴν
βλέψιν ἔχει ὁ ἀθετῶν πρόνοιαν διὰ τοῦ λέγειν,
ἐπιλέλησται ὁ θεὸς, καὶ τὰ ἑξῆς;

Δυνάμενος παραχρῆμα ταπεινῶσαι τὸν ὑπερή- v. 12. A. I. 59.
φανον καταδυναστεύοντα τοὺς ταραττομένους ἐπὶ
τῇ θρασύτητι αὐτοῦ, διά τι χρήσιμον βοηθῆσαι
αὐτοῖς δυνάμενος, εἴασας αὐτοὺς χρόνον τινὰ v. 13.
θλιβῆναι; ἐφ᾽ ᾧ γινομένῳ ἐγνώσθης οὐ μόνον καὶ
τὸν ἐπ᾽ αὐτῷ καὶ δι᾽ αὐτοῦ πόνον κατανοῶν· γέ-
γονε δὲ τοῦτο, ἵν᾽ οἱ ὠφεληθέντες διὰ τῆς προσ-
καίρου κακώσεως, ἑκουσίως ἑαυτοὺς παραδῶσιν
εἰς τὰς χεῖράς σου, πόθον λοιπὸν ἔχοντες παι- v. 14.
δεύεσθαι καὶ ἄρχεσθαι ὑπὸ σοῦ· σοὶ οὖν ἐγκα-

ταλέλειπται ὁ πτωχός· σὺ τὰ περὶ τῆς σωτηρίας
B. f. 40. b. αὐτοῦ οἰκονομήσεις, ἵνα πλούσιον αὐτὸν ποιήσῃς ἀγαθὰ οὐρανόθεν παρασχών· οὕτω καὶ ὀρφανῷ αὐτὸς βοηθεῖ, προϊστάμενος καὶ ἀνατρέφων αὐτὸν εἰς υἱοῦ τάξιν· ὀρφανὸν ἐν τούτοις ἐκλαβεῖν δεῖ τὸν ποτὲ ἔχοντα τὸν πατέρα τὸν διάβολον διὰ κακίαν· νῦν δὲ αὐτὸν ἀποβαλόντα μετανοίας
v. 15. τρόπῳ· ἁμαρτωλὸς δὲ τίς καὶ πονηρός, μετὰ τοῦ ἄρθρου εἰρημένος, ἢ ὁ διάβολος; τούτου ὁ βραχίων ὑπὸ κυρίου συντρίβεται, καὶ ἡ ἁμαρτία αὐτοῦ ζητουμένη οὐχ εὑρίσκεται, ἔχουσα ἐν τῷ ἐπιτελεῖσθαι τὸ τέλος λαβοῦσα· οὐ γὰρ οὐσία τίς ἐστιν τὸ κακόν, ἀλλὰ ποιότης· καὶ οὕτως ἐνστήσεται τὸ ἐπὶ πᾶσι τέλος, οὗ χάριν τὰ ἄλλα πάντα γέγονεν· αὐτὸς δὲ οὐδενὸς ἕνεκά ἐστιν.

v. 16. B. f. 41. » Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς » τὸν αἰῶνα τοῦ αἰῶνος· » ὡς τῆς βασιλείας αὐτοῦ μὴ εἶναι τέλος· οὐ γὰρ οἷόν τε τὸν αὐτὸν ὑπὸ δύο κυρίους καὶ βασιλεῖς εἶναι· ὅτε ἐκυρίευεν καὶ ἐβασίλευεν ἡ ἁμαρτία, τοῦ αὐτὴν ποιοῦντος, ὁ θεὸς οὐ κύριος, οὐ βασιλεὺς τοῦ ἁμαρτάνοντος ἦν· ἐπειδὴ δὲ ζητηθεῖσα ἡ ἁμαρτία ἡ βασιλεύουσα τοῦ ἐνεργοῦντος αὐτὴν οὐχ εὑρέθη, « κύριος εἰς τὸν αἰῶνα βασιλεύει καὶ εἰς τὸν αἰ- » ῶνα τοῦ αἰῶνος· ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς » αὐτοῦ. » Γῆ τοῦ θεοῦ, ἡ ἀγαθὴ καρδία εἴρηται· ἐκ ταύτης τῆς γῆς ἔθνη ἀπόλλυνται, ὅτ' ἂν ἐκβληθῇ πᾶν ἐνθύμημα φαῦλον καὶ λογισμὸς πονηρός· ἔθνη γὰρ τὰ φαῦλα ἐνθυμήματα καὶ λογισμοὶ εὐεργεσίᾳ θεοῦ ἀπολλύμενα· εἰ δὲ καὶ τὴν τῶν πραέων γῆν δηλοῦσθαί τις βούλεται, κυρίου γὰρ καὶ αὐτή, ἀπόλλυνται ἐκ τῆς γῆς ταύτης ἔθνη· πᾶς γὰρ ὁ ἁμαρτάνων οὐκ ἐπιτρεπόμενος εἰς αὐτὴν ἀναβῆναι· μόνοι γὰρ ἅγιοι κληρονομήσουσιν αὐτήν· εἴρηται γὰρ πρός τινος ἁγίου, πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων· καὶ πρὸς ἄλλον ὁ θεὸς εἶπεν· ἀναβιβάσω σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς.

v. 17. « Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, » κύριε, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσ- » έσχε τὸ οὖς σου· » ἐπιθυμία τῶν πενήτων ὑπῆρχεν τὸ πεσεῖν τὸν τυραννικῶς κατακυρεύσαντα αὐτῶν· ἐπεὶ οὖν ὑπῆρκται αὕτη, συντριβέντος τοῦ βραχίονος τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, εἰκότως θεῷ τῷ τὰς καρδίας ἐπισταμένῳ καὶ τὸ κρυπτὸν εἰδότι, ἡ ἐπιθυμία αὐτῶν πεφανέρωται, ἐνεργὴς οὖσα προσευχή· εἰσήκουσεν δὲ αὐτῶν ὁ κύριος, προσχόντος τοῦ ὠτὸς αὐτοῦ τῇ ἑτοιμασίᾳ τοῦ ἡγεμονικοῦ αὐτῶν· πῶς γὰρ οὐχ

curabis, ut eum divitem supernis bonis efficias. Sic etiam orphano ipse auxiliatur, patrocinans atque alens in filii loco. Orphanum heic intelligere oportet hominem, qui olim diabolum habuit patrem ob suam malitiam; nunc vero illum per paenitentiae mores abiecit. Iam quinam peccator sit et improbus, praesertim si (more graeco et italico) cum articulo proferatur, nisi diabolus? Huius brachium a Domino conteritur; et peccatum eius conquisitum non invenitur, quia in quo patratur articulo, in eodem desinit: non enim substantia aliqua est peccatum, sed qualitas. Ita eveniet ut sit quidam supremus finis, cuius causa omnia fiunt; ipse autem a nulla causa est.

« Regnabit Dominus in aeternum, et in sae- » culum saeculi » ita ut regni eius nullus sit finis. Neque enim fieri potest, ut idem homo sub duobus dominis regibusve sit. Cum dominabatur regnabatque peccatum, eius qui illud patrabat non erat Deus dominus, neque rex peccatoris audiebat. Postquam vero conquisitum quod dominabatur auctori suo peccatum, inventum non est, « Dominus in aeternum regnat et in saeculum saeculi. Peribitis gen- » tes de terra ipsius. » Terra Dei, cor bonum dicitur: de terra hac gentes pereunt, quando scilicet prava quaelibet animi molitio et omnis mala cogitatio expellitur. Nam gentium nomine denotantur prava animi molimina et cogitationes, quae Deo favente pereunt. Quod si quis terram mansuetorum heic designari vult, nam et haec Domini est, pereunt ex hac terra gentes: siquidem nemo peccator in hanc ingredi sinitur: nam sancti tantummodo eam possidebunt. Dictum est enim a quodam sancto viro: credo videre bona Domini in terra viventium. Atque alii Deus dixit: extollam te ad bona terrae.

« Desiderium pauperum exaudisti, Domine: « praeparationi cordis eorum intendit se auris » tua. » Desiderium pauperum fuit, ut is caderet, qui tyrannide ipsos premebat. Quia vero id contigit, fracto peccatoris atque improbi brachio, recte Deo cordium cognitori et arcanorum conscio, desiderium pauperum patefactum est efficaci prece. Audivit autem eos Dominus, voluntati ipsorum aurem praebens. Quid ni enim paratum cor haberent propriae saluti, qui praedictorum bo-

norum cupidi erant, suamque animam ad promissum Dei regnum capiendum comparaverant?

Duplici heic quoque sensu hominis vocabulum est accipiendum; nempe et de mortali logico animante in superbiam elato; et de diabolo dicente: « mundum universum manu ca» piam; neque erit qui me effugiat, aut mihi » resistat. » Utique iam ulterius non gloriabitur, sanctis pede potentiam eius prementibus, propter datam ipsis abs Iesu facultatem.

ἕτοιμον τὴν καρδίαν εἶχον πρὸς τὸ σωθῆναι οἱ τῶν προλεχθέντων ἔχοντες ἐπιθυμίαν, καὶ ἕτοιμον ἑαυτῶν ποιοῦντες τὴν ψυχὴν εἰς τὴν ἐπηγγελμένην αὐτοῖς βασιλείαν τοῦ Θεοῦ;

Διχῶς καὶ ἐνταῦθα τὸν ἄνθρωπον ἐκληπτέον, v. 18. A. f. 60.
εἴς τε τὸ θνητὸν λογικὸν ζῷον ἀλαζονευόμενον, καὶ εἰς τὸν λέγοντα διάβολον « τὴν οἰκουμένην » ὅλην καταλήψομαι τῇ χειρὶ, καὶ οὐκ ἔστιν » ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι· » οὐ γὰρ ἔτι μεγαλαυχήσει συντριβόμενος ὑπὸ τοὺς πόδας τῶν ἁγίων ϖατούντων αὐτοῦ τὴν δύναμιν, Ἰησοῦ τοῦτο χαρισαμένου.

PSALMUS X

« In Domino confido; quomodo dicitis ani» mae meae etc. Ecce peccatores intenderunt » arcum, paraverunt sagittas in pharetra, et » reliqua. » Quibus dictis adhortatur animam suam, ut se attollat passeris instar alis virtutis, ut altos transcendens spiritales montes, incolumis maneat. Verum utcumque huius lectionis distinctio facienda sit, certe in Domino confidendum est.

Spiritali autem sensu, multis calliditate pollentibus tum visibilibus tum etiam invisibilibus hostibus, qui intentam voluntatem habent, et qui ob paratam vim arcui intento comparantur. Sed et parata tela, sermones diserti sunt. Haec tibi configendo adsunt. Tu tamen (o anima) celsis in montibus mansionem habes: illic posita, nequaquam vulneraberis. Dictum porro est, diviniores scripturarum sententias, montium appellatione designari; nec non etiam sapientes magistros apostolos ac prophetas. Verbum transmigra in montes sicut passer, possumus hoc sensu dictum a Spiritu reputare, hortante ad secessum animam, quae venenata sagittariorum tela vitare velit. Quod si forte invisibiles ipsae potestates et arcitenentibus similes, dicant: transmigra in montes sicut passer, dici hoc irridenter putabimus, dum eos denotare volunt qui toto corde Deo confidunt. Item quia tenebrarum noctisque filii sunt, qui hac sophistica oratione utuntur, tamquam sagittarii per obscuram noctem tela vibrare constituunt adversus homines recto corde praeditos.

Si vel de Patre, vel etiam de ipso Salvatore ante incarnationem sermo est, sanctum eius

« Ἐπὶ τῷ κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ v. 1. A. f. 60. b.
» μου κ. τ. λ. Ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τό» ξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, καὶ τὰ ἑξῆς. » Ἐφ' οἷς εἰρημένοις ϖαρορμᾷ τὴν ψυχὴν ἑαυτοῦ μετεωρισθῆναι δίκην στρουθίου ϖτεροῖς ἀρετῆς, ἵνα περάσας ἐπὶ τὰ ὕψος ἔχοντα ὄρη πνευματικὰ, ἀβλαβὴς διαμείνῃ· ὅπως δ' ἂν ἔχῃ τὰ τῆς διαστολῆς τοῦ ἀναγνώσματος, ϖεϖοιθέναι ἐϖὶ κύριον προσήκει.

Κατὰ θεωρίαν δὲ, πολλῶν σοφιστικῶς παρε- v. 3. B. f. 42.
σκευασμένων ὁρατῶν τὲ καὶ ἀοράτων ἐχθρῶν, ὡς ἤδη τὸ ἡγεμονικὸν ἔχειν τεταμένον, δι' ἑτοιμασίαν τόξῳ ἐντεταμένῳ ἐοικός· ἀλλὰ καὶ βέλη ἕτοιμα, λόγοι δὴ πιθανοί· ταῦτα πρὸς τὸ κατατοξεῦσαί σε· ἔχεις διατριβὴν ἐν ὑψηλοῖς ὄρεσιν· ἐνταῦθα γεναμένη οὐ τρωθήσῃ· εἴρηται δὲ ὡς τὰ θειότερα τῶν γραφῶν νοήματα τῇ τῶν ὀρῶν προσηγορίᾳ σημαίνεται· πρὸς τούτοις καὶ οἱ σοφοὶ διδάσκαλοι ἀπόστολοι καὶ προφῆται, δυνατὸν ὑπὸ τοῦ πνεύματος εἰρημένον ἐκλαβεῖν τὸ μετανάστευε ἐπὶ τὰ ὄρη ὡς στρουθίον, προτρεπομένου ἀναχωρεῖν, τὸν διαδρᾶναι θέλοντα τὴν ἰοβόλον τρῶσιν τῶν τοξοτῶν· εἰ δὲ καὶ ἀόρατοι δυνάμεις αἱ αὐταὶ οὖσαι, ἢ συγγενεῖς τοῖς τοξόταις, λέγοιεν τὸ μετανάστευε ἐπὶ τὰ ὄρη ὡς στρουθίον, χλευαστικῶς αὐτὸ εἰρημένον ἐκληψόμεθα, ὑποδηλῶσαι θελόντων τοὺς ἐν ὅλῃ καρδίᾳ ἐπὶ θεὸν πεποιθότας· εἶτ' ἐπεὶ σκότους υἱοὶ καὶ νυκτός εἰσιν οἱ ϖρὸς τὸ οὕτως σοφιστεύειν παρεσκευασμένοι, τοξόται ἐν ἀφεγγεῖ νυκτὶ κατατοξεύειν ϖροτέθεινται τοὺς εὐθεῖαν καρδίαν ἔχοντας.

Εἰ ἢ περὶ τοῦ πατρὸς, ἢ καὶ αὐτοῦ τοῦ σω- v. 5. A. f. 61.
τῆρος πρὸ τῆς ἐνανθρωπήσεως, ναὸν ἅγιον αὐ-

τοῦ ἐκληπτέον τὴν περὶ αὐτοῦ ἁγίαν καὶ οὐράνιον νόησιν, ᾧ ἐν ναῷ ἁγίῳ καὶ τὸν θρόνον ἔχει ἐν οὐρανῷ θεϊκῶς καὶ ἐπουρανίως βασιλεύων· ἐσημειωσάμεθα καὶ ἐν τοῖς πρότερον ἀντὶ βασιλείας τὸν θρόνον λαμβάνεσθαι· αἱ δὲ ἐποπτικαὶ καὶ ἔφοροι τοῦ θεοῦ δυνάμεις, ὀφθαλμοὶ αὐτοῦ καλούμεναι, πρὸς τὸν πένητα γινόμεναι, φρουροῦσιν αὐτὸν ἀβλαβῆ· τούτων περὶ αὐτὸν οἰκονομηθέντων, τὰ βλέφαρα τῶν ὀφθαλμῶν τοῦ θεοῦ ἐξετάζει τὰς πράξεις καὶ τοὺς λογισμοὺς τῶν ἀνθρώπων· ἐκ τούτου παρίσταται τοῦ κριτοῦ τὸ φιλάνθρωπον· εἰ γὰρ ὀφθαλμοῖς ἐξήταζεν καὶ βλεφάροις, ἀνύποιστος ἦν ἀνθρώποις ἡ κρίσις· τῷ δὲ τοῖς βλεφάροις ἑαυτοῦ ἐξετάζειν τὰ κατ' αὐτοὺς, οὐ παρατηρεῖται πάντα τὰ ἁμαρτήματα τῶν κρινομένων, οὐδὲ οἵου μεγέθους ὑπάρχει ταῦτα. εὖ δὲ καὶ τὸ εἰπεῖν, τοὺς μὲν ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν εὐεργετούμενον εἶναι, κἂν εἷς πένης ὑπάρχῃ· τὰ δὲ βλέφαρα ἐπὶ τοὺς πολλοὺς ἀνθρώπων υἱοὺς, ἵν' αἱ μὲν εὐεργεσίαι δαψιλῶς παῤῥησίᾳ ἐπιτελῶνται· αἱ δὲ κολάσεις πολὺ τὸ κεκρυμμένον ἔχουσι περὶ θεοῦ· καὶ ταῦτα λέξει διανοούμενα, οὐδὲν αἰσθητὸν βλέφαρον ἢ ἕτερόν τι τοιοῦτον ἐμφαίνουσιν· ὅθεν καὶ ταῦτα θεοπρεπῶς νοητέον.

v. 6. « Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ. » Ὁ Χριστός ἐστιν οὗ τῷ βήματι φανερωθῆναι πάντας δεῖ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴ τε ἀγαθὸν εἴ τε κακόν· εἰπὼν δὲ ὑπὸ κυρίου ἐξέτασιν γινομένην τοῦ δικαίου καὶ τοῦ ἀσεβοῦς, ἐπιφέρει· ὡς μισεῖ τὴν ἑαυτοῦ ψυχὴν, ὁ τὴν κακίαν οὖσαν ἀδικίαν ἀγαπῶν, ποιῶν αὐτὴν κολαστέαν, διὰ τοῦ ἁμαρτάνειν· ᾧ ἐναντίον ποιεῖ ὁ δικαίως ἐνεργῶν, ἀγαπῶν τὴν ψυχὴν αὐτοῦ, καὶ τὸν πλησίον ὡς ἑαυτὸν, ὁ εἰς ἀρετὴν αὐτὸν ἄγων. Οὐ μάχεται τὸ δίκαιος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, τῷ μὴ ἀνίστασθαι ἀσεβεῖς ἐν κρίσει· τὸ μὲν γὰρ, τοὺς πάντη ἀθέους σημαίνει· τὸ δὲ, τοὺς διὰ τὸ ἁμαρτάνειν καταφρονοῦντας θεοῦ· πλέονες γὰρ γραφαὶ δηλοῦσι τοῦτο, μάλιστα ἡ λέγουσα, ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβὴς, ἐν γενέσει.

v. 7. B. f. 42. b. « Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας· » τοῦτ' ἔστι κολάσεις παγιδευούσας, καὶ ἐντὸς ἀρκύων ποιούσας τοὺς ἀγρευομένους· εἰ μὴ ἄρα τὸ παραδιδόσθαι αὐτοὺς ὑπ' αὐτοῦ ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν τοῦτο δηλοῖ, καὶ πάθεσιν ἀτιμίας, καὶ ἀδοκίμῳ νῷ· καὶ ὅρα εἰ μὴ διὰ

templum intelligendum est, ipsum esse sanctum caelestemque intellectum, in quo ceu sancto templo suo thronum habet quasi in caelo, ubi scilicet divine et sublimiter regnat. Iamque in anterioribus diximus thronum pro regno accipi. Inspectrices autem ac providae Dei virtutes, quae oculi eius appellantur, pauperi intentae, incolumem eum servant. His circa pauperem curatis, oculorum Dei palpebrae, actus cogitationesque hominum explorant. Atque hoc dicto benignitas iudicis ostenditur. Nam si oculis simul et palpebris suis exploraret, intolerabile hominibus iudicium fieret: nunc quum palpebris suis tantummodo res singulorum exploret, haud omnia iudicandorum hominum peccata observari constat, neque horum magnitudo quanta sit. Bene item dicitur, oculos eius ad eum qui beneficio adficitur intendi, etiamsi unus de pauperum numero sit: palpebras autem ad multitudinem filiorum hominum; ut beneficia quidem copiose alacriterque dentur; at poenae multo occultius a Deo proveniant. Atque haec ad litteram considerata, nullam materialem palpebram, aut quidlibet huiusmodi denotant; nam decente Deum modo intelligenda sunt.

« Dominus explorat iustum et impium. » Dominus videlicet Christus est, ante cuius tribunal manifestari omnes oportet, ut referat unusquisque propria in corpore suo, prout gessit, sive bonum sive malum. Iam postquam dixit a Domino explorari iustum et impium; subdit, eum odio habere animam suam qui malitiam seu iniquitatem diligens, facit eam poenae obnoxiam peccando. Secus vero agit qui iustitiam sectando, animam suam diligit, nec non proximum tamquam se ipsum, quem etiam ad virtutem deducit. Neque dictio « explorat iustum et impium » repugnat illi « non resurgent impii in iudicio: » nam haec dictio homines omnino irreligiosos significat: illa autem homines qui peccandi tantum causa Deum aspernantur. Multi enim sacrae scripturae textus id ostendunt; et illa praecipue geneseos verba: erit iustus sicut impius.

« Superpluet peccatoribus laqueos » id est poenas quae illaqueant, ac veluti retibus venaticam praedam capiunt. Nisi forte hoc innuit, tradi eos a Deo cupiditatibus cordium suorum, et passionibus ignominiae reproboque sensui. Et vide num ideo forsitan dixerit

superpluet, et non pluet, laqueos: nam iam illaqueatis, adhuc superpluuntur laquei. Id illa quoque dictione demonstratur: « declinantes autem in obliquitates adducet Dominus cum operantibus iniquitatem. » Utrique sensui accommodabis illud quod in proverbiis scriptum est de perversis: « vias perversas aversabitur Deus. » Nam iuxta priorem sensum, poenae loco erunt perversae viae, hominibus malitia perversis oblatae: posteriore autem sensu traditiones intelliguntur illorum, quibus traduntur sponte peccantes: quae sunt passiones ignominiae, et alia ibidem numerata.

« Ignis et sulphur et spiritus procellae, » pars calicis eorum. » Molestae punitiones denotantur saepe apud scripturam calicis vocabulo; veluti in Esaia: « exsurge exsurge Hierusalem, quae bibisti calicem ruinae, craterem furoris, et reliqua. » Sed etiam apud Hieremiam idem sensus aperitur hac locutione: « dixit Dominus omnipotens, Deus Israhelis: sume calicem vini meri de manu mea, eoque potabis gentes, ad quas ego te mittam. » Num ergo congruenter his, praesente quoque loco punitionem denotat pars calicis ipsis distributi? praesertim quia plenitudo calicis huius est ignis, sulphur, et spiritus procellae: cuius symbola erant, quae in genesi scribuntur, poenarum genera Sodomis et Gomorrae inflictarum a Domino. Et ignis quidem significat inflammatas minas: sulphur, impetum quo ignis magis incenditur: denique spiritus procellae, tentationis turbinem quemdam demonstrat. Quod autem tentationem procella significet, perspicue possumus discere ex Esaia scribente: « et sicut » procella per desertum transiens, in proximo » terribilis saevaque visio nunciata mihi est. » Fugiamus ergo impietatem, ut huiusmodi calix procul nobis sit, et pie vivamus; ut bibamus ad ebrietatem quod est optimum. Ex quo illud quoque fortasse dictum est: « Dominus » pars hereditatis meae et calicis mei. Quoniam iustus Dominus, et iustitiam diligit, » rectitudines videt vultus eius: », ideoque super pauperem oculos intentos habet, de salute ipsius sollicitus. Sed tamen super peccatores laqueos immittit. Non enim temere Dei providentia ac iudicia fiunt: quippe Deus

τοῦτο ἐπιβρέξει ἀλλ' οὐ βρέξει παγίδας, εἴρηται· ἤδη γὰρ παγιδευθεῖσιν ὑφ' ἑαυτῶν ἐπιβρέχονται παγίδας· τοῦτο δηλοῦται καὶ ἐκ τοῦ « τοὺς δὲ » ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύ» ριος μετὰ τῶν ἐργαζόμενων τὴν ἀνομίαν. » Ἐφαρμόσεις πρὸς ἑκατέρας τὰς ἀποδόσεις τὸ οὕτω γεγραμμένον ἐν παροιμίαις πρὸς τοὺς σκολιοὺς « σκολιὰς ὁδοὺς ἀποςελεῖ ὁ θεός· » πρὸς μὲν γὰρ τὴν προτέραν ἀπόδοσιν, κολάσεις εἶεν αἱ σκολιαὶ ὁδοὶ τοῖς διὰ κακίαν σκολιοῖς γεγενημένοις ἐκπεμπόμεναι· πρὸς δὲ τὴν ἑτέραν, αἱ παραδόσεις εἰσὶν αἷς παραδίδονται οἱ ἑκουσίως ἁμαρτάνοντες· αἱ δηλοῦνται διὰ τῶν παθῶν τῆς ἀτιμίας, καὶ τῶν κατηριθμημένων.

« Πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ v. 7.
» μερὶς τοῦ ποτηρίου αὐτῶν. » Αἱ ἐπίπονοι ἀνταποδόσεις δηλοῦνται πολλάκις ἐν τῇ γραφῇ ὀνόματι τοῦ ποτηρίου· ὡς ἐν Ἡσαΐᾳ « ἐξεγείρου ἐξεγείρου Ἱερουσαλὴμ, ἡ πιοῦσα τὸ ποτήριον τῆς » πτώσεως, τὸ κόνδυλον τοῦ θυμοῦ » καὶ τὰ ἑξῆς· ἀλλὰ καὶ ἐν Ἱερεμίᾳ παρίςαται τὸ αὐτὸ ἐκ τῆς ἐχούσης οὕτω φωνῆς· « εἶπεν κύριος ὁ παντοκρά» τωρ, ὁ θεὸς τοῦ Ἰσραήλ· λάβε τὸ ποτήριον » τοῦ οἴνου τοῦ ἀκράτου ἐκ χειρός μου· καὶ πο» τιεῖς αὐτὸ πάντα ἔθνη πρὸς οὓς ἐγὼ ἀποςε» λῶ σε. » Μήποτ' οὖν συμφώνως τούτοις καὶ ἐν τοῖς προκειμένοις κόλασιν δηλοῖ ἡ μερὶς τοῦ ποτηρίου τοῦ μερισθέντος αὐτοῖς; μάλιστα ὅτι τὸ πλήρωμα τοῦ ποτηρίου τούτου, πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἐςίν· οὗ σύμβολα τὰ ἐν γενέσει ἀναγεγραμμένα εἴδη κολάσεων ἐλθόντα ἐπὶ Σόδομα καὶ Γόμοῤῥα παρὰ κυρίου· πρὸς τούτῳ τῷ πυρὶ καὶ τῷ θείῳ, καὶ πνεῦμα καταιγίδος ἐςὶν ἐν τῷ ποτισμῷ τοῦ ποτηρίου· δηλοῖ τὸ πῦρ τὴν διὰ καύσεως ἀπειλήν· τὸ δὲ θεῖον, τὴν διεγείρουσαν ἔτι μᾶλλον τὸ πῦρ ἀφορμήν· πρὸς τούτοις τὸ πνεῦμα τῆς καταιγίδος, πειρασμοῦ τινὸς συςροφὴν δηλοῖ· ὅτι δὲ πειρασμὸν, ἡ καταιγὶς δηλοῖ, σαφῶς ἐστιν μαθεῖν ἀπὸ τοῦ ἐν Ἡσαΐᾳ γεγραμμένου « ὡς καὶ καταιγὶς δι' ἐρήμου διέλθοι ἐρχομένη, ἐγγὺς φοβερὸν τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μου. » Φύγωμεν τοίνυν τὴν ἀσέβειαν, ἵνα τοῦτο τὸ ποτήριον μακρὰν γένηται ἀφ' ἡμῶν, καὶ ἐν εὐσεβείᾳ ζήσωμεν, ἵνα πίωμεν τὸ μεθύσκον ὡς κράτιστον· περὶ οὗ κἀκεῖνο λέλεκται· « κύριος ἡ μερὶς τῆς κληρονο» μίας μου καὶ ποτηρίου μου· ὅτι δίκαιος κύριος » καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδεν τὸ » πρόσωπον αὐτοῦ· » καὶ τούτου χάριν ἐπὶ τὸν πένητα τοὺς ὀφθαλμοὺς ἔχει, φροντίζων αὐτοῦ τῆς

σωτηρίας· ἀλλὰ καὶ ἐπὶ τοὺς ἁμαρτωλοὺς παγίδας ἐπιπέμπει· οὐ γὰρ ὡς ἔτυχεν εἰκῇ γίνεται τὰ τῆς προνοίας καὶ θεοῦ κρίσεως· δίκαιος δὲ κύριος κατ᾽ οὐσίαν, ἀλλ᾽ οὐ μετοχῇ δικαιοσύνης ἐστίν· πλὴν εἰ καὶ οὕτως ἔχει φύσεως, ἀλλ᾽ οὖν ἀγαπᾷ τὰς ἐν τοῖς πολλοῖς δικαίοις δικαιοσύνας, τὴν ἑκάστου πρόθεσιν ἀποδεχόμενος· ἔστιν καὶ ἄλλως εἰπεῖν ἀγαπᾶν αὐτὸν δικαιοσύνας· ἐπεὶ ἑκάστου κρίματος ἐστίν τις δικαιοσύνη· πολλὰ δὲ τὰ κρίματα τοῦ θεοῦ, περὶ ὧν γέγραπται· τὰ κρίματα τοῦ κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό· ἀνάγκη καὶ τὰς δικαιοσύνας πολλὰς εἶναι· ὥσπερ δὲ δίκαιός ἐστιν, οὕτω καὶ εὐθύτητα βλέπων· εὐθύτητα δὲ ἐρεῖς γνώμην τὴν πρὸς ὀρθὸν λόγον κανονιζομένην· ταύτην ὁρᾷ χαίρων ἐπὶ τοῖς ἔχουσιν· ῥηθείη καὶ περὶ τῆς εὐθύτητος ἁρμονίως τῇ περὶ τῶν δικαιοσυνῶν δευτέρᾳ νοήσει, ὑπαρχούσῃ ἐν τοῖς κρίμασιν τοῖς ἀνεξερευνήτοις αὐτοῦ· ἣν διὰ τὸ πάνυ ἀποδέχεσθαι, τὸ πρόσωπον αὐτοῦ ὁρᾷ· ἐπιφαίνεται γὰρ παρὼν ὁ θεὸς τοῖς ἔργοις τῆς προνοίας καὶ τοῖς ἀποτελέσμασιν τῶν κριμάτων.

substantialiter iustus est, non autem iustitiae particeps: qui cum ita natura propria sit comparatus, diligit pariter in multis iustis esse iustitiam, bonum cuiusque propositum adprobans. Possumus et aliter explanare quomodo Deus iustitias diligat; quoniam singulorum iudiciorum est quaedam iustitia: multa vero sunt iudicia Dei, de quibus scriptum est: iudicia Domini vera, iustificata in id ipsum. Et quidem opus est multas esse iustitias. Et quomodo iustus est, ita etiam rectitudinem esse dices voluntatem illam quae ad rectam rationem exigitur. Eam Deus libenter in iis qui habent spectat. Dicendum vero est de rectitudine, sensu congruo secundae illi de iustitiis notioni, quam in inscrutabilibus Dei iudiciis constituimus: quamque ob omnimodam adprobationem facies eius spectare dicitur. Nam Dei praesentia, ex providentiae actibus et ex iudiciorum effectibus, innotescit.

PSALMUS XI.

Οὐ γὰρ τὰ μέλη τοῦ σώματος ἐξολοθρευόμενα
v. 4. ἡγεῖσθαι δεῖ, ἀλλὰ τὴν χρῆσιν τὴν δολίαν αὐ-
A. f. 63. b. B f. 44. τῶν καὶ τὸν μεγαλορήμονα λόγον· καὶ γὰρ ἐν
παροιμίαις εἴρηται «περίελε σεαυτοῦ σκολιὸν στό-
» μα, καὶ ἄδικα χείλη μακρὰν ἄπωσαι ἀπὸ
» σοῦ.»

«Τὰ χείλη ἡμῶν παρ᾽ ἡμῶν ἐστιν· τίς ἡμῶν » κύριος ἐστίν;» Ἀπὸ ταύτης τῆς θρασύτητος ὁ ἀσεβὴς εὐοδούμενος ἐν τῷ τυγχάνειν ὧν ἐπιθυμεῖ, προφέρει φωνὴν τὴν ἐν τῷ Ἰὼβ· λέγει δὲ κυρίῳ· «ἀπόστα ἀπ᾽ ἐμοῦ· ὁδούς σου εἰδέναι » οὐ βούλομαι· τίς ἱκανὸς, ὅτι δουλεύσομεν αὐ- » τῷ.» Καὶ γὰρ οὗτοι τῆς προσούσης αὐτοῖς εὐπραγίας αἴτιοι νομίζοντες εἶναι, λέγουσι κυρίῳ· ἀπόστα, μὴ φανεροῦ μοι τὰς ὁδούς σου· εἰδέναι γὰρ αὐτὰς οὐ θέλω· τί γὰρ πλέον ἡμῶν ἔχων ἱκανὸς εἶ, ἵνα δουλεύσωμέν σοι;

v. 6. A. f. 64. Ἐπὶ τῶν ἀσεβῶν μέγα φρονούντων ὡς μεγαλορήμονα γλῶτταν καὶ χείλη δόλια αὐχεῖν, οἱ πτωχοὶ ταλαιπωροῦσιν, καὶ στενάζουσιν οἱ πένητες, τὸ τυραννικὸν αὐτῶν οὐ φέροντες· τούτου χάριν φησὶν ὁ κύριος· ἀναστήσομαι νῦν, ἵνα θήσομαι τὴν βουλὴν ἐν σωτηρίῳ· παῤῥησιάσομαι ἐν αὐτῷ κατὰ τῶν ἐναβρυνομένων ὑπερηφάνως τῶν ὑποδεεστέρων· ἀπολύσω δὲ τοῦ ταλαιπωρεῖν καὶ στενάζειν τοὺς πτωχοὺς καὶ πένητας· πτωχοὺς

Nequaquam existimandum est corporis membra heic destruenda dici, sed illorum dolosum usum, et arrogantem sermonem. Nam et in proverbiis dicitur: « aufer a te os per- » versum, et iniqua labia a te procul re- » pelle. »

« Labia nostra a nobis sunt; quis no- » ster dominus est? » Hac audacia impius elatus dum expetita re potitur, vocem emittit, cuiusmodi apud Iobum est, dicitque Domino: « recede a me, vias tuas scire nolo. » Quid prodest, si ei nos serviamus? » Nimirum hi propriae felicitatis putantes se esse auctores, dicunt Domino: recede, ne mihi vias tuas manifestare velis; namque eas cognoscere nolo. Quid enim nobis utilitatis accedet, si tibi famulemur?

Dum impii tumida mente sunt, linguaque magniloqua et dolosis labiis insolescunt, pauperes moerent, inopes gemunt, tyrannicum illorum morem minime ferentes. Propterea dicit Dominus: nunc exsurgam, ut ponam consilium in salutari: fiducialiter agam in eo, contra illos qui superbe se extollunt supra infirmiores. En solvam a sua miseria, ne gemant, pauperes ac inopes. Porro pauperes at-

que inopes nunc quoque dices eos, qui semet tueri ob virium infirmitatem nequeunt, vel qui propter nequitiam suam ad huiusmodi statum redacti sunt. Hi celsiores calamitate et gemitu facti sunt eo tempore, quo Christus ad nos venit et resurrexit; ita ut salvi apparuerint, erepti aerumnis atque ploratibus. Praedictis itaque consentaneum est verba illa audire: infelix ego homo! quis me liberabit de corpore mortis huius? Quo dicto, confidenter deinde ait: gratias ago Deo per Iesum Christum. Per haec enim ostenditur, Iesum Christum, qui calamitosum hominem corporis mortalis causa liberavit, illum esse qui ait: nunc exsurgam, dicit Dominus.

Venit in mentem nonnullis dicere, pauperes quidem esse qui patrimonio eversi sunt; inopes autem illos qui labore operae victum comparant. Atque hoc sensu pauper quidem, necessario est inops; neque tamen vicissim inops, pauper est. Immo quod de paupere dicitur, fortasse etiam a scriptura argumentum habet, ubi dicitur: divites eguerunt. Et pauperes admodum facti sumus. Consonanter his accipietur, etiam quod de Salvatore dicitur: qui pauper propter nos factus est, cum esset dives, ut illius paupertate nos divites essemus. Favet item sensui vocabuli inopis « dictio: » gemitus inopum; qui nimirum semper gemunt plorantque propter laborem, quem ob rerum necessariarum inopiam tolerant. Dictio « ponam in salutari » significat definiam et faciam. Sicut in verbis: quem posuit heredem universorum; id est quem decrevit constituitque heredem. Similiter intelliges: posuit Deus in ecclesia primum quidem apostolos, et reliqua. Nec non illud quod ecclesiae senioribus dictum fuit: posuit vos Spiritus sanctus episcopos regere ecclesiam. Nam verbum posuit, electionem demonstrat, qua constituti sunt et facti apostoli atque episcopi.

Hac notione verbi « servare » Salvatór quoque de discipulis aiebat patri: « pater sancte, » serva eos. Quamdiu fui cum ipsis, ego servabam eos, neque hos attingebat malignus. » Hoc autem sensu sum heic ego locutus, quia in genesi dicitur de Adamo serpenti: ipse ser-

καὶ ἐν τούτοις καὶ πένητας ἐρεῖς τοὺς μὴ οἵους τε ἐϖαμύνειν ἑαυτοῖς δι' ἀσθένειαν ϖροσοῦσαν· ἢ διὰ τῆς εἰς τοιαύτην κατάστασιν ἄγουσαν κακίαν· οὗτοι ἀνώτεροι ταλαιπωρίας καὶ τοῦ στενάζειν γεγένηνται, τοῦ κυρίου κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν ἀναστάντος καὶ ϖρὸς ἡμᾶς ἐληλυθότος· ὡς φανερωθῆναι τὴν σωτηρίαν τῶν ἔξω ταλαιϖωρίας καὶ τοῦ στενάζειν γεγενημένων· ἔστιν γοῦν καταλλήλως τοῖς προκειμένοις ἀκοῦσαι τὸ, ταλαίπωρος ἐγὼ ἄνθρωπος. τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; ἐφ' ᾧ λεχθέντι ϖαῤῥησιαζόμενος ἑξῆς λέγει· εὐχαριστῶ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ· δείκνυται γὰρ διὰ τούτων, ὡς Ἰησοῦς ὁ Χριστὸς ὁ ῥυσάμενος τὸν ταλαιπωροῦντα δι' ὃ εἶχεν σῶμα θανάτου, ὁ εἰϖὼν ἐστι· νῦν ἀναστήσομαι, λέγει κύριος.

Ἐπῆλθέν τισιν εἰπεῖν πτωχοὺς μὲν εἶναι τοὺς μεταπεσόντας τοῦ πλούτου· ϖένητας δὲ τοὺς ἐκ πόνου δι' ἐργασίας γινομένου τὸ ζῆν ἔχοντας 1)· καὶ ἐστίν γε κατὰ ταύτην τὴν νόησιν ὁ πτωχὸς, πένης ἐξ ἀνάγκης, οὐκ ἀντιστρέφοντος τὸν πένητα ϖτωχὸν εἶναι· καὶ τάχα γε τὰ εἰρημένα ϖερὶ τοῦ ϖτωχοῦ κατασκευάσεται καὶ ἐκ τῆς γραφῆς· εἴρηται γάρ· πλούσιοι ἐϖτώχευσαν· καὶ ὅτι ἐϖτωχεύσαμεν σφόδρα· συμφώνως τούτοις ἐκλήψεται, καὶ τὸ ϖερὶ τοῦ σωτῆρος λεχθέν· ὡς ἐπτώχευσεν δι' ἡμᾶς πλούσιος ὤν, ἵνα ἡμεῖς ϖλουτήσωμεν τῇ αὐτοῦ ϖτωχείᾳ· συναινεῖ καὶ τοῖς περὶ τοῦ πένητος τὸ, στεναγμοῦ τῶν πενήτων, στενόντων ἀεὶ καὶ ὀλοφυρομένων, ἐϖὶ τῷ πόνῳ τῷ ἐκ τοῦ ἀπορεῖν τῶν ἐπιτηδείων προσόντι. Τὸ θήσομαι ἐν σωτηρίῳ, δηλοῖ τὸ ὁρίσω καὶ ποίησω· ὥσπερ καὶ ἐν τῷ, ὃν ἔθηκεν κληρονόμον πάντων· δηλούσης τῆς λέξεως, ὃν ὥρισεν καὶ ἀνέδειξεν κληρονόμον· εἰς ταῦτα λήψει τὸ, ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, καὶ τὰ ἑξῆς· καὶ τὸ πρὸς τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας εἰρημένον· ὑμᾶς ἔθετο τὸ ϖνεῦμα τὸ ἅγιον ἐϖισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν· τὸ γὰρ ἔθετο, ἀϖόδειξιν τὴν διὰ τοῦ ὡρίσθαι καὶ πεποιῆσθαι ἀποστόλους καὶ ἐπισκόπους δηλοῖ.

Κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ διατηρεῖν, v. 8. A. f. 65.
καὶ ὁ σωτὴρ περὶ τῶν μαθητῶν ἔλεγεν τῷ πατρί· « ϖάτερ ἅγιε, τήρησον αὐτούς· ὅτε ἤμην » μετ' αὐτῶν, ἐγὼ ἐτήρουν αὐτοὺς, καὶ ὁ πο- » νηρὸς οὐχ ἥϖτετο αὐτῶν. » εἶπον δὲ κατὰ τοῦτο τὸ σημαινόμενον, διὰ τὸ ἐν τῇ γενέ-

1) Adnotent graeci lexicographi hanc vocabulorum πτωχός et πένης distinctionem. Omnino et Itali adhuc retinent distinguuntque *pitocco* (ex graeco πτωχός) et *povero*.

σει λεχθὲν περὶ τοῦ Ἀδὰμ πρὸς τὸν ὄφιν· « αὐ-
τός σου τηρήσει κεφαλὴν· σὺ δὲ τηρήσεις αὐτοῦ
πτέρναν· οὐκέτι γὰρ ἐνταῦθα ταὐτὸν τὸ φυλάξαι
καὶ τὸ τηρεῖν· φαίνεται γὰρ ἐξ αὐτοῦ τὸ, αὐτός
σου ἐπιτηρήσει κεφαλὴν, καὶ σὺ αὐτοῦ πτέρναν·
ἀναπέμπει τὴν εὐχὴν ὁ φάσκων· σὺ κύριε φυλά-
ξεις ἡμᾶς, μετὰ τὸ πάντα ποιῆσαι τὰ παρ'
ἑαυτοῦ, ἐν τῷ τηρεῖν τὴν λέγουσαν παραίνεσιν
« πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· » καὶ ἐπεὶ
τούτων κατορθουμένων, οὐκ αὐτάρκη πρὸς τὸ ἀνε-
πιβούλευτον τὰ ὑφ' ἡμῶν σπουδαζόμενα· « ἐὰν
» γὰρ μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύ-
» πνησεν ὁ φυλάσσων αὐτήν· » εἱρμὸς ἄγει μετὰ
τὸ φρουρηθῆναι ἡμᾶς ὑφ' ἑαυτῶν, προσευχὴν
προσαγαγεῖν τὴν λέγουσαν· σὺ κύριε φυλάξεις
ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς· αὐτοῦ γὰρ φυλάτ-
τοντος θαρσήσωμεν, ὡς ἀνεπιβούλευτοι εἰς τὸν
v. 9. αἰῶνα ἐσόμεθα· ὕψιστος γὰρ ὢν, δέσποτα, καὶ ἐν
ὑψηλοῖς ὑπάρχων κατὰ τὸ προσὸν ὕψος τῇ ἀγα-
θότητί σου, τοὺς υἱοὺς τῶν ἀνθρώπων ἐπολυώ-
ρησας, κρίνας αὐτοὺς ἀξίους εἶναι τοῦ προστα-
σίαν ἔχειν ἐκ προνοίας τῆς σῆς.

vabit (observabit) caput tuum; et tu servabis (observabis) calcaneum illius: non enim hoc loco idem est observabis et servabis: apparet enim dicendum esse: ipse observabit caput tuum, et tu vicissim illius calcaneum. Precatur nimirum dicens: « tu, Domine, custodies nos; postquam omnia quae suarum » virium erant, praestitit; admonitione nempe illa observata: omni custodia serva cor » tuum. Quamquam his rite curatis, nondum satis adversus omnes insidias curae nostrae sunt: « nam nisi Dominus custodierit » civitatem, frustra vigilat qui custodit eam. » Consentaneum ergo est postquam nosmet custodierimus, precem pronunciare dicentem: tu Domine custodies nos, et conservabis nos. Etenim eo custodiente, fiducialiter agemus, et tamquam ab insidiis tuti in aeternum erimus. Nam cum altissimus sis, Domine, et in excelsis habites, prout celsitudinem bonitatis tuae decet, filios hominum multiplicasti, dignos eos iudicans tutelam providentiae tuae experiri.

PSALMUS XII.

v. 1. A. f. 66. b. Εἰ καὶ πρεσβείας τρόπῳ ὑπὸ τοῦ ἁγίου λέγε-
ται ταῦτα, ἀλλά γε οὐχ ὑποκείμενος λήθῃ θεοῦ,
ἀλλὰ τὰ ἄλλων εἰς ἑαυτὸν ἀναδεξάμενος, λέγει
τὰ τῆς αἰτήσεως. Πάντα δῆλον ὡς οὐ περὶ αἰ-
σθητοῦ φωτισμοῦ ἢ ὕπνου καὶ θανάτου τὰ τῆς
αἰτήσεώς ἐστιν, ἀλλὰ περὶ τοῦ ἐκ γνώσεως θεοῦ
φωτισμοῦ· « φωτίσατε γὰρ ἑαυτοῖς φῶς γνώσεως,
» καὶ προσέλθετε τῷ κυρίῳ καὶ φωτίσθητε· »
Γίνεται ὁ φωτισμὸς οὗτος, οὐ περὶ τὸ τῆς σαρ-
κὸς ὄμμα· ὁρατικὸν γὰρ τοῦτο ἡλίου, καὶ εἴ τε
ἕτερον αἰσθητὸν φῶς τῶν ὁρώντων τὸν τῆς δικαι-
οσύνης ἥλιον, τὸ φῶς τὸ ἀληθινὸν, ὀφθαλμῶν
οὐ σώματος, ἀλλὰ καρδίας ὄντων· τοῦ γὰρ ἔσω
ἀνθρώπου ὀφθαλμοὶ αἱ νοητικαὶ δυνάμεις· τῷ
οὕτω φωτιζομένῳ, ἕπεται ζωὴν μακαρίαν ἔχειν·
v. 5. « ἐγὼ γάρ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ κύριος
» λέγει· ὁ περιπατῶν ἐν ἐμοὶ, φησὶν, ἐν τῇ
» σκοτείᾳ οὐ μὴ μείνῃ, ἀλλ' ἕξει τὸ φῶς τῆς
v. 6. » ζωῆς· » ἧς ζωῆς παραγινομένης εἰς τὸν φω-
τισθέντα, ἄπεστιν αὐτοῦ τὸ ὑπνῶσαι εἰς θάνα-
τον, ὑπνοῦντος καὶ ἀποθνήσκοντος τοῦ ὄντος ἐν
σκότει τῆς ἀγνοίας· ὁ γὰρ δοὺς δι' ἀμελείας καὶ
ῥαθυμίας εἰς ὕπνον τοὺς ὀφθαλμοὺς αὐτοῦ, εὐ-
θέως τεθνήξεται, ἐκπίπτων τῆς σὺν ἀρετῇ ζωῆς·
ὅθεν φευκτέον τὸν ψεγόμενον ὕπνον τοῦτον καὶ

Quamquam orantis specie haec a sancto viro dicuntur; haud is tamen quasi a Deo oblivioni traditus, sed quasi aliorum persona indutus, hanc precem recitat. Prorsus constat, non de materiali lumine, neque de somno et morte verba orationis loqui, sed de lumine quod a Dei cognitione nanciscimur: « accendite enim » vobismet lumen scientiae, et accedite ad Do- » minum atque illuminamini. » Fit autem haec illuminatio, non in carnis oculo, qui nonnisi solem aspicit, et si quod est aliud materiale lumen: sed fit illis qui solem iustitiae aspiciunt, quod verum est lumen, non corporis sed cordis oculorum. Namque interioris hominis oculi, sunt vires intellectuales. Homini sic illuminato vita beata contingit. « Ego enim sum lux » mundi, ait Dominus. Qui in me, inquit, am- » bulat, in tenebris non manet, sed lumen vi- » tae habebit. » Quam vitam postquam illuminatus adeptus est, caret mortis somno; dum contra obdormiscit et moritur is qui in tenebris ignorantiae versatur. Nam qui per negligentiam atque socordiam tradit somno oculos suos, statim morietur, ab agenda cum virtute vita discedens. Quamobrem fugiendus est hic

vituperabilis somnus atque mors; ut sic conservato oculorum animae lumine, haud queat inimicus dicere: praevalui adversus eum; iamdiu se praevaluisse existimans, cum nos peccavimus.

« Qui tribulant me, exultabunt, si motus » fuero; ego autem in misericordia tua spe» ravi: exultabit cor meum in salutari tuo.» Qui iustos tribulant inimici, malo gaudio exultant si qua evenerit ex peccato ruina, quum contra opus esset condolere cadentibus. Sed quamvis illi ob alicuius lapsum exultaturi sint, ego Domine de tua sperans misericordia, non patiar ea quae in me videre illi exoptant. Expecto enim salutare tuum quantocius venturum, cuius causa cor meum exultat. Quid ni enim laetetur exultetque is qui salutem a Deo expertus est? Quod vero etiam prophetia extet de venturo salutari Dei Christo, animadverte sis. Hic enim ad mundi salutem veniens, perdidit eos qui de ruina animarum gaudebant; una cum iis profligans inimicum superbe se extollentem: lucem oculis tribuit, ne quis animae mortem videret. Hic mundum ingressus, respiciens exaudiit, dolorem sedavit. Quibus feliciter actis, homo beneficio accepto, hymnum gratiarum actionis canit dicens: « cantabo Domino, qui bona tribuit » mihi, et psallam nomini Domini altissimi.» Quippe opere ipso edoctus, quid sit illud orantibus praeclare dictum a Domino: « adhuc » te loquente, dicam: ecce adsum.» Dicit nimirum sibi adstantibus: bene habeo, qui voti compos sum factus; ideoque nomini Domini altissimi psallam. Superest ut ad singula tributa nobis beneficia nos quoque praesentem hymnum canamus dicentes non meditatione tantummodo verum etiam psallendo. Porro canere, meditationem significat; psallere autem, practicum opus.

θάνατον, ἵνα πεφωτισμένων τῶν ὀφθαλμῶν τῆς ψυχῆς, μηκέτι εἴπῃ ὁ ἐχθρὸς, ἴσχυσα πρὸς αὐτόν· πάλαι νομίζων ἰσχυκέναι, ὅτε ἡμάρτομεν.

« Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευ» θῶ· ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα· ἀγαλλιά» σεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου.» Ἐπεὶ χαιρέκακοι ὄντες οἱ θλίβοντες τοὺς δικαίους ἐχθροὶ ἀγαλλιῶνται, εἰ συμβαίη ἐξ ἁμαρτίας γεγονέναι κλόνον, δέον λυπεῖσθαι ἐπὶ τοῖς πίπτουσιν· ἀλλ' εἰ καὶ ἀγαλλιῶνται ἐπὶ τῷ σαλεύεσθαί τινα ἐκεῖνοι, ἐγὼ, ὦ δέσποτα, ἐλέει τῷ σῷ ἐλπίζων, οὐ πείσομαι ὃ ἰδεῖν ἐν ἐμοὶ ποθοῦσιν· προσδοκῶ γὰρ τὸ σωτήριόν σου θᾶττον παραγενόμενον, ἐφ' ᾧ ἀγαλλιᾶται ἡ καρδία μου· πῶς γὰρ οὐκ εὐφραίνεται καὶ ἀγαλλιᾶται ὁ πεῖρᾳ θεοῦ σωτηρίαν ἔχων; εἰ δὲ καὶ προφητεία ἐστὶν δηλουμένη περὶ τοῦ ἐλεύσεσθαι τὸ σωτήριον τοῦ θεοῦ τὸν Χριστὸν, ἐπίσκεψαι· οὗτος γὰρ ἐλθὼν ἐπὶ σωτηρίᾳ κόσμου, καθεῖλεν τοὺς ἐφηδομένους ἐπὶ τοῖς κλονουμένοις κατὰ ψυχὴν, καταβαλὼν σὺν αὐτοῖς τὸν ἐχθρὸν τὸν ὑψούμενον ὑπερηφάνως· ἐφώτισεν τοὺς ὀφθαλμοὺς, ἵνα μή τις ἴδῃ τὸν τῆς ψυχῆς θάνατον· οὗτος ἐπιδημήσας, ἐπιβλέψας ἤκουσεν, ὀδύνην ἔπαυσεν· ὧν κατορθωθέντων, ὁ εὖ παθὼν χαριστήριον ἐπινίκιον ᾠδὴν ᾄδει λέγων· « ᾄσω τῷ » κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ » ὀνόματι κυρίου τοῦ ὑψίστου· » πραγματικῶς μαθὼν τὸ πρὸς τοὺς εὐχομένους καλῶς λεγόμενον ὑπὸ κυρίου· « ἔτι σου λαλοῦντος ἐρῶ, ἰδοὺ » πάρειμι.» λέγει δὲ ταῦτα πρὸς τοὺς συνόντας ἤδη· εὖ πέπονθα τυχὼν ὧν ᾐτησάμην· ὅθεν ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου· διὸ ἐφ' ἑκάστης εὐεργεσίας γινομένης εἰς ἡμᾶς, ὑμνῶμεν καὶ ἡμεῖς τὸν προκείμενον ὕμνον, λέγοντες μὴ θεωρίᾳ μόνῃ, ἀλλὰ καὶ τῷ ψάλλειν. Θεωρίαν τὸ ᾄδειν, ἐνέργειαν δὲ πρακτικὴν τὸ ψάλλειν δηλοῖ 1).

PSALMUS XIII.

Insipiens heic intelligitur non ille qui communi sensu sit expers vel sollerti mentis acumine, sed qui una ex virtutibus caret prudentia, de qua scriptum est: « qui possidet prudentiam, diligit se ipsum. Et qui custodit prudentiam, inveniet bona.» Reapse quod hic

Ἄφρων δὲ οὐ κοινῶν ἐννοιῶν λειπόμενος, ἢ v. 1. A. f. 68. A. f. 46. b.
τῆς σὺν δεινότητι ἐντρεχείας, ἀλλὰ τῆς μιᾶς τῶν ἀρετῶν φρονήσεως, περὶ ἧς γέγραπται· « ὁ » κτώμενος φρόνησιν, ἀγαπᾷ ἑαυτόν· καὶ ὁ φυ» λάσσων φρόνησιν, εὑρήσει ἀγαθά·» ὅτι δὲ εἶχεν τὴν φυσικὴν ἐντρέχειαν, παρίστησιν ἡ

1) Recole quae nos diximus p. 144. adn. 1.

διάλεξις, δηλοῦσα ὡς οὐκ εἰς ὑπήκοον τινῶν, ἀλλ᾽ ἐν τῇ ἑαυτῶν καρδίᾳ λέγει μὴ εἶναι Θεόν· ᾔδει γὰρ ὅτι οὐδεὶς ἐδέχετο τοὺς περὶ ἀρνήσεως Θεοῦ λόγους· πάντων σχεδὸν ἀνθρώπων ἀδιάστροφον τὴν περὶ Θεοῦ ἔννοιαν ἐχόντων 1).

Ἔχει πολλὴν οἰκειότητα ὁ πρῶτος στίχος, ὡς εἰρημένος περὶ διαβόλου· καὶ γὰρ ἐκεῖνος οὐ τινὶ ἢ τισιν εἶπεν, ἀλλ᾽ ἐν διανοίᾳ τῇ ἑαυτοῦ «εἰς τὸν » οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ » οὐρανοῦ θήσω τὸν θρόνον μου, ἔσομαι ὅμοιος » τῷ ὑψίστῳ·» ὥσπερ γὰρ ὁ γνῶσιν ἔχων θεοῦ τηρεῖ τὸν λόγον αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ εἰς ἔργα μεταβάλλει, οὕτω πᾶς ἁμαρτάνων, ἀγνοῶν θεὸν εἰς τοῦτο ἔρχεται· γράφει γοῦν Ἰωάννης ὡς πᾶς ὁ ἁμαρτάνων, μακράν ἐστι τοῦ ἔχειν γνῶσιν Θεοῦ· ὡς πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν· ἐκβαλὼν γὰρ ἀπὸ τῆς ψυχῆς τὴν προὔχουσαν καὶ βασιλεύουσαν τῶν ἀρετῶν εὐσέβειαν, συναναχωρούσας αὐτῇ ἔχει τὰς ἀρετάς· ὅτι δὲ αὕτη ἡ νόησις ἔρρωται, δῆλον ἂν γένοιτο ἐκ τῶν γεγραμμένων περὶ τῶν υἱῶν Ἡλεί· οὐκ εἰδότες γὰρ οὗτοι τὸν κύριον, λοιμοὶ ἀποδεδειγμένοι, ἡμάρτανον, μᾶλλον δὲ ἠσέβουν περὶ τὴν ἱερουργίαν, διαφθείροντες ἐν ἐπιτηδεύμασιν τοῖς τῆς νομοθεσίας τε καὶ θεοσεβείας. Λήψῃ τὰ προκείμενα καὶ εἰς τὰ ἐν Ἱερεμίᾳ ἐπαγγελλόμενα οὕτως· « τόκος ἐπὶ τόκον, δόλος ἐπὶ δόλον· πάντες μοιχῶνται· σύνοδος ἀθετούντων· » ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξῆλθον, ἐμὲ δὲ οὐκ » ᾔδεισαν, λέγει κύριος· » πῶς γὰρ οὐκ ἔμελλον ἄγνοιαν Θεοῦ ἔχοντες, παραβάται εἶναι τῶν νόμων αὐτοῦ; ταῦτα καθόλου θεωρούμενα πείθει διὰ μνήμης ἔχειν Θεὸν, ἵνα ἐν ἐπιτηδεύμασιν ἐπαινετοὶ ἀποδειχθῶμεν, ἀφθάρτῳ προθέσει αὐτὰ μεταδιώκοντες· « Οὐκ ἔστιν ὁ ποιῶν χρηστότητα οὐκ ἔστιν ἕως ἑνός » ἐν τοῖς βδελυχθεῖσιν τῷ διαφθείρειν ἐν τοῖς ἐπιτηδεύμασιν, οὐδεὶς ποιῶν χρηστότητα εὑρίσκεται· πάντες γὰρ εἰσὶν πονηροὶ, πᾶσαν χρηστότητα ἐκτμηθέντες διὰ σκληρότητα καρδίας.

v. 2. « Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς » υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστιν συνιῶν ἢ ἐκζητῶν τὸν Θεόν· » τῆς ἀσωμάτου οὐσίας οὐχ ὑποκειμένης περιγραφαῖς καὶ τόπων διατριβαῖς, εἴ ποτ᾽ οὖν περὶ θεοῦ λέγοιτο, πῶς ὑπάρχοντος ἐν τόπῳ ἢ ἐξ ἑτέρου ἢ εἰς ἕτερον

homo naturalem sollertiam retineat, demonstrat locutio quae ait, eum non ad aures aliquorum, sed intra cor suum dicere, non esse Deum; noverat enim neminem passurum audire orationem quae Deum neget; quandoquidem cuncti propemodum homines, firmam de Deo opinionem habent.

Habet multam primus hic versiculus adfinitatem cum illo qui de diabolo dictus fuit. Nam et diabolus non alicui vel aliquibus, sed intra propriam mentem aiebat: « in caelum conscendam, » super astra caeli thronum meum collocabo, » similis ero Altissimo. » Nam sicuti qui scientiam habet Dei, observat verba eius, et eiusdem praecepta in rem confert, ita quisquis peccat, ideo quia Deum ignorat, sic agit. Scribit itaque Iohannes: quicumque peccat, longe abest ut Dei scientiam possideat. Item, qui peccat non vidit illum. Eiiciens enim ex anima praecipuam reginamque virtutum religionem, discedere pariter cum illa experitur virtutes. Quod autem sententia haec firmo nitatur fulcro, ex iis quae Heli liberis acciderunt constat. Namque hi Dominum nescientes, evaserunt pessimi, immo munus sacerdotale impie gesserunt, legalia et religiosa officia male tractantes. Hactenus dicta cognosces etiam comparatione eorum quae apud Hieremiam dicuntur: « foenus supra foe» nus, dolus supra dolum: omnes fornicantur: » conciliabulum contumacium: quoniam de » malo in malum prolapsi sunt, et me ignora» verunt, dicit Dominus. » Quî enim fieri poterat, ut Deum ignorantes, transgressores legum eius non evaderent? Haec si bene considerentur, Dei memoriam retinere suadebunt, ut laudabili vitae genere uti videamur, sanae mentis proposito id sectantes. « Non est qui faciat » bonum, non est usque ad unum. » Inter eos qui abominandis studiis semet impiaverunt, qui boni aliquid faciat nemo comperitur. Omnes enim reprobi sunt, omnemque bonitatem ob suam cordis duritiem abiecerunt.

« Dominus de caelo prospexit super filios » hominum, ut videat an sit intelligens vel » requirens Deum. » Quum incorporea natura neque circumscriptionibus obnoxia sit neque locorum mansionibus, si Deus aliquando in loco esse dicatur, vel de loco in locum trans-

1) Adnotemus Didymi dictum de universali hominum consensu circa Dei existentiam. Item mox eiusdem Didymi effatum: *praecipua et regina virtutum religio est; qua deficiente, virtutes pariter discedunt.*

sire, id digna Deo ratione intelligendum est, sicut et alia pari modo de eodem dicta; veluti quod pedes habeat et manus et oculos, et quod consurgat et sedeat. Quoniam itaque haec conclusio religiosa est, Deum habitare in caelo intelligemus, quatenus veluti templo suo utitur augustis potestatibus, quae in caelo appellationem, locis in quibus sunt homonymam, habent. Sic enim etiam homines terra veluti sunt, ut cum dicitur: universa terra adoret te. Et, omnis terra clamat cum laetitia. Tum quia Deus in hominibus etiam versatur, qui caelestem imaginem retinent, dici potest in caelis habitare. Praeterea, tertia quoque ita loquendi causa dicetur. Quoniam opus eius orbis terrarum est; ipse autem creationis ac providentiae ratione in omni creatura versatur; a pulcherrima mundi parte, quae caelum est, demonstratur Deum esse in mundo. Veluti: pater noster, qui es in caelis. Et, Deus in caelo superne. Praeter hactenus dicta, aliter quoque in multis divinae doctrinae locis apparet, caeli appellatione denotari intellectualem substantiam, in qua potissimum Deum exquirere decet. Caelum quippe caeli Domino. Ex hoc indulgenter prospectat, observans inferioris naturae homines, ut videat quinam ex his prudente sensu praediti Deum exquirant, invenire eum studentes, ut eiusdem beneficia impetrent. Tunc autem id praecipue fit, cum inter homines malitia multa, non sine impietate, versatur, ut iam dicatur: « non est misericordia, neque » veritas, neque Dei cognitio in terra: maledi» ctio et mendacium et furtum et adulterium » inundaverunt in terra, et sanguis sanguini » miscetur. » Ad homines tantopere calamitosos nonne oportebat bonum Salvatorem respicere, ut si in aliquo intelligentiae vestigium comperiret, id augeret vel potius compleret? Et si quis foret Dei studiosus, illi se inveniendum praeberet? Apparet enim iis, qui sibi fidem non denegant.

Sicut in malitiosam animam non ingredietur sapientia, neque habitat in corpore peccatis obnoxio, ita non recipit Dei scientiam is qui adhuc iniquitates operatur. Nullus enim peccator videt aut agnoscit Deum, prout in Iohannis epistola scribitur: quamobrem qui sapiens fieri cupit, iustitiam serit, metit vitae fructum, ut ita sibi comparet scientiae

χῶρον μεταβαίνοντος, θεοπρεπῶς προσήκει νοεῖν, ὥσπερ καὶ τὰ ἄλλα τῶν παραπλησίως περὶ αὐτοῦ ἐπαγγελλομένων· ὡς εἴη πόδας καὶ χεῖρας καὶ ὀφθαλμοὺς ἔχων, ἀνιστάμενός τε καὶ καθήμενος· ταύτης τῆς ἀκολουθίας εὐσεβοῦς οὔσης, τὸ κατοικεῖν αὐτὸν ἐν οὐρανοῖς νοηθείη, ὡς εἴη χρώμενος ναῷ ταῖς θείαις δυνάμεσιν ταῖς ἐν οὐρανῷ ὁμωνύμως καλουμέναις τοῖς ἐν οἷς εἰσὶ τόποις· οὕτω γὰρ καὶ οἱ ἄνθρωποι χρηματίζουσιν γῆ, ὡς ἐν τῷ, πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι· καὶ πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης· ῥηθείη δὲ καὶ ἐν τοῖς ἁγίοις ἀνθρώποις τυγχάνων, δι' ἣν φοροῦσιν εἰκόνα τοῦ ἐπουρανίου, κατοικεῖν ἐν οὐρανοῖς· πρὸς τούτοις καὶ τρίτον τι λελέξεται· εἰπεὶ ποίημα αὐτοῦ ὁ κόσμος ὑπάρχει· ἔστιν δὲ δημιουργίας τρόπῳ καὶ προνοίας ἐν πάσῃ τῇ κτίσει, ἐκ τῶν καλλίστων μερῶν τοῦ κόσμου, ταῦτα δέ εἰσιν οἱ οὐρανοὶ, δηλοῦται ὢν ἐν τῷ κόσμῳ· ὡς τὸ πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· καὶ θεὸν ἐν τῷ οὐρανῷ ἄνω· πρὸς τοῖς εἰρημένοις, καὶ ἑτέρως θεωρηθείη πολλαχοῦ τῆς θείας παιδεύσεως, ὅτι ἡ τοῦ οὐρανοῦ προσηγορία δηλοῖ τὴν νοητὴν οὐσίαν, ἐν ᾗ μάλιστα θεὸν ζητεῖν προσήκει· ὁ οὐρανὸς γὰρ τοῦ οὐρανοῦ τῷ κυρίῳ· ἐκ τούτου συγκαταβατικῶς διακύπτει ἐπισκοπῶν τοὺς τῆς ὑποδεεστέρας καταστάσεως, τοῦ ἰδεῖν τίνες αὐτῶν σύνεσιν κεκτημένοι ἐκζητοῦσιν τὸν θεὸν, εὑρεῖν αὐτὸν βουλόμενοι, ἐπὶ τῷ τυχεῖν τῶν παρ' αὐτοῦ δωρεῶν· τότε δὲ μάλιστα γίνεται τοῦτο, ὅτ' ἂν ἐν ἀνθρώποις πολλὴ κακία σὺν ἀσεβείᾳ γένηται· ὡς λεχθῆναι « οὐκ ἔστιν ἔλεος, οὐδὲ » ἀλήθεια, οὐδὲ ἐπίγνωσις θεοῦ ἐπὶ τῆς γῆς· » ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία κέ» χυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμα» σιν· » οὕτω τῶν ἀνθρώπων ἄγαν βλαβέντων, πῶς οὐκ ἔδει τὸν ἀγαθὸν σωτῆρα ἐπιβλέψαι, ἵν' εἰ εὕροι ἔν τινι ἀφορμὴν συνέσεως, ταύτην πληθύνῃ, μᾶλλον δὲ πληρώσῃ; εἰ δὲ καὶ ἐκζητοῦντα τὸν θεὸν, ἵν' εὑρεθῇ ἐκείνῳ; ἐμφανίζεται γὰρ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

Ὡς εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται v. 3.
σοφία, οὔτε κατοικεῖ ἐν σώματι καταχρέῳ ἁμαρτίας, οὕτως οὐ δέχεται γνῶσιν θείαν ὁ ἔτι ἀνομίας ἐργαζόμενος· οὐδεὶς γὰρ ἁμαρτάνων ὁρᾷ ἢ γινώσκει θεὸν, κατὰ τὸ γεγραμμένον ἐν τῇ Ἰωάννου ἐπιστολῇ· ὅθεν ὁ γνωστικὸς εἶναι ποθῶν, σπείρει εἰς δικαιοσύνην, τρυγᾷ καρπὸν ζωῆς, ἵν' οὕτω φωτίσῃ ἑαυτῷ φῶς γνώσεως· καὶ ἐπεὶ ἐρ-

γάται ἀνομίας τυγχάνουσιν οἱ ἐχθροὶ τοῦ λαοῦ
τοῦ Θεοῦ, ὡς κατεσθίειν αὐτὸν οἷα ἄρτον, γνώ-
v. 4. σεως Θεοῦ στεροῦνται· κατεσθίειν δέ τις τινὰ,
βλάπτειν αὐτὸν προτιθέμενος· κατὰ τὸ, εἰ ἀλ-
λήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ
ἀλλήλων ἀναλωθῆτε· καὶ ἐν Ἡσαΐα δὲ γέγραπ-
ται οὕτως· « Συρίαν ἀφ' ἡλίου ἀνατολῶν, καὶ
» τοὺς Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κα-
» τεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι· »
πλὴν κἂν ποτε δυνηθῶσιν κατεσθίειν τὸν τοῦ
Θεοῦ λαὸν παραδοθέντα αὐτοῖς δι' ἁμαρτίας,
δίκην ὑφέξουσιν· ἅγιος γὰρ Ἰσραὴλ τῷ κυρίῳ,
ἀρχὴ γεννημάτων αὐτοῦ· πάντες οἱ ἐσθίοντες αὐ-
τὸν πλημμελήσουσιν· κακὰ ἥξει ἐπ' αὐτοὺς, φη-
σὶ κύριος, οἱ προκείμενοι κατεσθίειν τὸν Θεοῦ
v. 5. λαὸν, ἄρτου δίκην. Τὸν κύριον οὐκ ἐπεκαλέσαντο,
τῇ αὐτῶν δυνάμει πάντα ἀνύειν, καὶ καταδυνα-
στευκέναι τὸν Θεοῦ λαὸν οἰόμενοι· εἰ γὰρ ἦσαν
εἰδότες, ὡς δι' ἁμαρτίας κρίσει Θεοῦ παρέλαβον
αὐτὸν, κἂν ἐφοβήθησαν ἔτι μᾶλλον τὸ μέτρον
ἐπιθέσθαι κατὰ τοῦ παραδοθέντος, ἵνα μὴ κρί-
ματι τῷ αὐτῷ ὑποπέσωσιν.

Διὸ λέγεται πρὸς αὐτοὺς πέρα τοῦ προσήκοντος ἐξαγριωθέντας· ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά· οὕτως καταδυναστεύσαντες τὸν λαὸν τοῦ θεοῦ ἀδίκως, εἰς δειλίαν ἐνέπεσαν, ἔνθα οὐδὲ φοβεῖσθαι ἔδει· φόβος γὰρ οὐκ ἦν, εἰ παραλαβόντες τοὺς κρίσει Θεοῦ παραδοθέντας, φιλανθρώπως καὶ ἡμέρως προσενεχθέντες ἦσαν· ἐπειδὴ δὲ σκληρῶς καὶ ἀνελεημόνως πάντα ἐποίησαν, ἐδειλίασαν, περιπεσόντες οἷς ἄλλους διέθηκαν· ὑπῆρκται δὲ τοῦτο, ἐπεὶ ἐν γενεᾷ δικαίων ὁ Θεός· γενεὰν δὲ δικαίων ἐρεῖς ἤτοι τὴν τῶν δικαίων πραγμάτων συμφωνίαν, ἐν ᾗ ὁ δίκαιος κριτὴς εὑρίσκεται· ἢ τὴν τῶν δικαίων ἀνδρῶν ὁμοφροσύνην, καὶ τὴν εἰς ταυτὸν σύνοδον· εἰ γὰρ ἔνθα δύο καὶ τρεῖς συνέρχονται ἐπὶ τῇ αὐτοῦ προσηγορίᾳ, παρὼν εὑρίσκεται ὁ κύριος, πόσῳ μᾶλλον εὑρεθείη ἂν ἔνθα ὅλη δικαίων γενεά; ὅτι δὲ οἱ τῆς αὐτῆς γνώμης καὶ βίου τοῦ αὐτοῦ, μίαν συμπληροῦσι γενεὰν, κἂν ἐν διαφόροις χρόνοις γένωνται, μετὰ ταῦτα ῥηθείη, ὅτ' ἂν εἰς τοῦτο καλέσῃ καιρός· δειλιᾷ τις φόβῳ οὗ οὐκ ἦν φόβος, καὶ ὁ φοβούμενος ἄνθρωπον, καὶ ἁπαξαπλῶς τοὺς ἀποκτείνοντας τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένους ἀποκτεῖναι· εἴρηται γὰρ, πλὴν τοῦ Θεοῦ μὴ φοβοῦ ἄλλον· τούτῳ τῷ πάθει συσχεθεῖσαν τὴν Ἱερουσαλὴμ ὁ κύριος ἐλέγχει

lumen. Et quia operatores iniquitatis sunt tantopere inimici plebis Dei, ut eam veluti panem devorent, idcirco scientia Dei carent. Videtur autem homo hominem vorare, cum ei nocere studet; iuxta illud: si invicem mordetis et comeditis, cavete ne ab invicem consumamini. Item in Esaia sic est scriptum: « Syriam ab ortu solis, et Graecos a solis occasu, Israhelem toto ore devorantes. » Sed enim quamquam plebem Dei aliquando forte devorent, peccatorum causa iis traditam, poenas tamen luent. Sacer est enim Deo Israhel, primogenitus filiorum eius. Mala iis evenient, dicit Dominus, qui sibi plebem Dei panis instar devorandam proposuerunt. Dominum non invocaverunt, quia viribus suis omnia posse perficere, et populo Dei dominari, putaverunt. Etenim si cognovissent, se nonnisi iudicio Dei peccatorum vindicis, captivum illum fecisse, utique veriti essent, mensuram malorum populi traditi cumulare, ne in par iudicium incurrerent.

Ideo dicitur illis praeter debitum ferocientibus: quia ego parumper iratus fui, isti aerumnis inferendis incubuerunt. Atque ita Dei populum dominatu iniusto prementes, in metum deciderunt, ubi nihil timeri oportebat. Nullus enim imminebat timor, si modo captivos Dei iudicio eis traditos, clementer humaniterque tractassent: sed quia dure atque inclementer omnia egerunt, timore correpti sunt, et in mala quae aliis intulerant incurrerunt. Hoc vero fiebat, quia cum generatione iustorum Deus est. Porro generationem iustorum dices vel iustorum operum congruentiam, cuius iudex vir iustus comperitur; vel iustorum virorum concordiam, et in idem propositum convenientiam. Nam si ubi duo vel tres congregantur in nomine eius, praesens comperitur Dominus, quanto magis ibi invenietur ubi universa iustorum generatio est? Quod autem homines eiusdem sententiae eiusdemque vitae, unam efficiant generationem etiamsi diversis temporibus fuerint, posthinc dicetur cum nos occasio ad id invitaverit. Formidat aliquis timore ubi non erat timor, etiam ille qui hominem timet, nominatimque illos qui corpus occidunt, sed animam occidere nequeunt. Dictum est enim: praeter Deum, neminem metuas. Morbo hoc

laborantem Hierusalem reprehendit Dominus: cur tu mortalem hominem timuisti?

Quaenam esset populi captivitas, prius est animadvertendum, ut deinde reditum eius videamus. Qui ob suam ignaviam a bene operando deficit, captivatur lege peccati, adeo ut in diaboli tyrannidem decidat, qui mortis potestatem habet. Huiusmodi hominem ab hostibus captum, et extorrem patria, id est virtutis societate, revocat per paenitentiam Dominus, simulque ei peccatorum remissionem promittit. Atque hoc significant verba « redimi captivos, et converti captivitatem. » Quo facto per dominicam crucem, nempe universo credente ex infidelitate populo, exsultat Iacob: qui profecto idem est homo (atque Israhel) nec nisi mentis conceptu distinguitur. Nam si honeste agens, et virtuti dans operam, cupiditates et vitia et tentantium malas potestates supplantaverit, in tantum ut illarum victor existat, Iacob est exultans. Quod si post practicum vitae genus, cor mundum possidens Deum viderit, tunc Israhel fit, id est mens Deum videns. Sic enim in Graecorum linguam vocabula haec transferuntur « exsultans divina exsultatione. » nihilque obstat quominus pari sensu dictum fuerit exsultet et laetetur.

λέγων· τίς οὖσα εὐλαβήθης ἀπὸ ἀνθρώπου θνητοῦ;

Τίς δὲ ἦν ἡ αἰχμαλωσία τοῦ λαοῦ, πρῶτον v. 7.
θεωρητέον, ἵνα καὶ ἐπιστροφὴν αὐτοῦ ἑπομένως ἴδωμεν· ὁ ἐκπίπτων παρ' ἰδίαν ῥαθυμίαν τῆς τοῦ ἀγαθοῦ ποιήσεως, αἰχμαλωτίζεται ὑπὸ τοῦ νόμου τῆς ἁμαρτίας, ὡς γενέσθαι ὑπὸ τὸν καταδυναστεύοντα τυραννικῶς διάβολον, ἔχοντα τὸ κράτος τοῦ θανάτου· τοῦτον οὕτως ἑλόντα τοῖς πολεμίοις, ἔξω τῆς πατρίδος, αὕτη δ' ἐστὶν ἡ τῆς ἀρετῆς μετουσία, γεγενημένον ἀνακαλεῖται μετανοίας τρόπῳ ὁ κύριος, ἅμα καὶ ἄφεσιν τῶν προημαρτημένων ὑπισχνούμενος· καὶ τοῦτό ἐστιν τὸ λυτρωθῆναι τοὺς αἰχμαλώτους καὶ ἐπιστραφῆναι τὴν αἰχμαλωσίαν· πληρωθέντος δὲ τούτου, τῷ κυριακῷ σταυρῷ, ὡς πάντα τὸν ἀπὸ τῶν ἐθνῶν πιστεύοντα λαὸν λελυτρῶσθαι, ἀγαλλιᾷ Ἰακώβ, ὁ αὐτὸς κατὰ τὸ ὑποκείμενον ἐστὶν ἐπινοίᾳ μόνῃ ἔχων τὴν διαφοράν· εἰ μὲν γὰρ πράττων τὰ καλὰ, καὶ ἐνεργῶν τὰ κατὰ ἀρετὴν, πτερνίζει τὰ πάθη καὶ κακίας καὶ τὰς ἐνεργούσας πονηρὰς δυνάμεις, ὡς νικητὴς αὐτῶν ἀναφανῆναι, Ἰακώβ ἐστιν ἀγαλλιώμενος· εἰ δὲ μετὰ τὸν πρακτικὸν βίον, καρδίαν καθαρὰν κεκτημένος ὁρᾷ τὸν θεὸν, Ἰσραὴλ ἐστιν νοῦς ὁρῶν θεόν· οὕτω γὰρ μεταλαμβάνεται εἰς Ἑλλήνων φωνὴν εὐφραινόμενος θείαν εὐφροσύνην· οὐδὲν λυπεῖ λαβεῖν ἐκ παραλλήλου τὸ ἀγαλλιάσθω καὶ εὐφραινέσθω εἰρῆσθαι.

PSALMUS XIV.

Quum omnes ab aequitate declinaverint, sequitur ut illo egeamus qui potest peccata dimittere ac salvare. Dicitur vero ex Sione, quoniam ille de semine Israhelis est; iuxta illud: veniet de Sione qui liberat. Et rursus: ex Sione species decoris eius. Dices etiam ex superna Sione; ideo spes nostra est regnum caelorum. Quum autem omnes gentes salvabuntur, tunc qui vere in Israhele sunt iusti ac prophetae laetabuntur, gratulantes nobis completa sua vaticinia. Namque et Simeon postquam lumen ad revelationem gentium Salvatorem dixerat, addidit: et gloriam plebis tuae Israhel.

Qui in praecedentibus descriptus est, quum sit benivolus et sodalitatis studiosus, dat operam ut sit sapiens cum sapientibus versans, remis velisque stultos defugiens, ne forte de illorum numero esse videatur. Si ergo homines improbos vitat, et cum bonis sociatur, nam

Πάντων ἐκκλινάντων ἐκ τοῦ [δικαίου] λοι- v. 1. B. f. 48.
πὸν χρεία δυναμένου τὰς ἁμαρτίας ἀφεῖναι καὶ σῶσαι· ἐκ Σιὼν δὲ λέγεται διὰ τὸ ἐκ σπέρματος εἶναι Ἰσραήλ· κατὰ τὸ, ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος· καὶ πάλιν· ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ· λέγοις δ' ἂν καὶ ἐκ τῆς ἄνω Σιών· διὸ καὶ ἡ ἐλπὶς ἡμῶν ἡ βασιλεία τῶν οὐρανῶν· τῶν δὲ ἐθνῶν σωζομένων, οἱ ἀληθῶς Ἰσραὴλ δίκαιοι καὶ προφῆται ἀγαλλιάσονται συγχαίροντες ἡμῖν, καὶ πληρουμένης αὐτῶν τῆς προφητείας· καὶ Συμεὼν γὰρ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν τὸν σωτῆρα φήσας, ἐπάγει καὶ δόξαν λαοῦ σοῦ Ἰσραήλ.

Ὁ διαγραφόμενος ἐκ τῶν προκειμένων φιλάλ- v. 3. A. f. 73. b.
ληλος καὶ φιλέταιρος ὑπάρχων, σπεύδει σοφὸς B. f. 49. b.
εἶναι σοφοῖς συνδιατρίβων, παντὶ σθένει τῶν ἀφρόνων ἀπάγων ἑαυτὸν, ὅπως μὴ γνωσθῇ εἷς ὢν αὐτῶν· εἰ τοίνυν ἐκτρέπεται τοὺς φαύλους, σύνεστι δὲ τοῖς ἀγαθοῖς, ἀγαθοὶ γὰρ οἱ σοφοὶ,

σοφοὶ οἷς συμπερεύεσθαι προτέθειται, ὀνειδισμὸν οὐ δέχεται ἐπὶ τοῖς ἐγγίζουσιν αὐτῷ· ὀνειδιζομένων ἀεὶ τῶν ἐχόντων κακοὺς ἐγγίζοντας αὐτοῖς· ὡς αὖ ὑμνουμένων τῶν πλησίον καὶ φίλους ἀγαθοὺς ἐχόντων· τούτῳ αὐτῷ ἀπαρέσκεται ὁ φάσκων· « πορευόμενος ἐν » ὁδῷ ἀμώμῳ, οὗτος μοι ἐλειτούργει· λαλῶν » ἄδικα οὐ κατηύθυνεν ἐναντίον τῶν ὀφθαλ- » μῶν μου. »

sapientes boni sunt, quibuscum versari constituit, sequitur ut opprobrium causa sibi propinquantium non suscipiat. Secus enim, semper accidit ut illi mala fama laborent, qui improbos homines sibi propinquantes, id est familiares, habent: ii vero contra laudentur qui familiares amicosque bonos habent. Sententiae huic consonat ille qui dicit: ambulans in via immaculata, hic mihi ministrabat. Qui loquitur iniqua, non direxit in conspectu oculorum meorum.

v. 4. Εἰ δὲ καί ποτε τῶν πρὸς οὓς ὁ λόγος χάριν, καὶ θεοῦ μάρτυρος χρεία, ἀπεριέργως καὶ τοῦτο ποιεῖ, ὡς ὁ θεσπέσιος ἀπόστολος, τύπον καὶ ἀγωγὴν ὅρκων καταλιπὼν ἐν ταῖς ἐπιστολαῖς, ὅπου μὲν φησίν· μάρτυς μοί ἐστιν ὁ θεὸς ᾧ λατρεύω ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ· ὅπου δὲ, μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν· καὶ πάλιν· οἶδεν ὁ ὢν θεὸς ἐπὶ πάντας, οὐ ψεύδομαι· αὕτη γὰρ ἡ ἀνεπίληπτος πίστις· καὶ γὰρ ὅρκος οὐδὲν ἕτερόν ἐστιν ἢ λόγος μετὰ θεοῦ μαρτυρίας· ἢ πρᾶγμα βεβαιούμενον μετὰ θεοῦ μαρτυρίας· ὅπως δ' ἂν ἔχῃ ὁ ὅρκος, οὐκ ἀθετεῖ ὀμνὺς τῷ πλησίον.

Si aliquando apud eos quibuscum loquimur opus est Dei quoque testimonio, non incuriose hoc quoque facimus, sicut divus apostolus typum disciplinamque iurandi reliquit in epistolis ubi ait: testis mihi Deus, cui servio in evangelio filii sui. Et alibi: testem Deum invoco in animam meam. Et rursus: scit omnium Deus; non mentior. Haec est enim irreprehensibilis fides. Nam iusiurandum nihil aliud est quam sermo cum Dei testimonio, vel res testimonio Dei confirmata. Sed quidquid sit iusiurandum, quod iuravit proximo suo nemo irritum facit.

v. 5. B. f. 50. b. Ἔστιν δὲ καὶ δανείζειν πνευματικῶς ἄνευ τόκου, καθ' ὃ σημαινόμενον εἴρηται τοῖς μαθηταῖς Ἰησοῦ πρὸς τοῦ διδασκάλου· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς· πῶς γὰρ ἂν αἰσθητῶς τοῦτο φήσειέν τις εἰρῆσθαι τοῖς λέγουσιν, ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; καὶ τοῖς λέγουσιν, ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι; Ἐπεὶ τοίνυν περιγράφεται τὸ αἰσθητῶς δανείζειν τοὺς ἁγίους 1), ἂν ποτε λέγωνται τοῦτο ποιεῖν, πνευματικῶς αὐτὸ ἐκλαβεῖν δεῖ, δανείζοντος παντὸς νοητῶς τὸν διδάσκοντα λόγον ὄντα ἀργύριον ἐπὶ τῷ κερδῆσαι τι σωματικόν· εἰ γὰρ καὶ σπείροντες τὰ πνευματικὰ ἐν τῷ διδάσκειν, τὰ σαρκικὰ δέχονται πρὸς μόνον τὸ τραφῆναι, ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ, ὅμως οὐ δανείζουσιν· οὐ γὰρ τὸ κατ' ἀξίαν τῶν δοθέντων λογικῶν, ἀργύριον δέχονται, ἀλλ' ἢ μόνην τροφήν.

Possumus etiam spiritaliter fenerari absque usura. Quo sensu dictum fuit discipulis a Iesu magistro: et qui voluerit a te mutuari, ne averseris. Nam quomodo de re sensibili dictum hoc quis fuisse existimet aientibus: reliquimus omnia et secuti sumus te; quid ergo erit nobis? Itemque aienti: argentum et aurum non est mihi. Quia igitur vetitum est materialiter fenus exercere iustis, siquando id agere forte dicuntur, spiritali sensu accipiendum est, nempe spiritaliter fenerari quemlibet doctrinae auctorem, quae instar argenti est quo materialia lucra fiunt. Et quidem ii qui docendo spiritalia serunt, carnalia recipiunt, quatenus alimento satis est (dignus est enim operarius alimento suo) neque propterea fenerantur: non enim pro datorum spiritalium merito, argentum accipiunt, sed alimoniam tantummodo.

B. f. 50. b. Οὐ σαλευθήσεται δὲ εἰς τὸν αἰῶνα, διὰ βίου μένων αἷς κατώρθωσεν ἀρεταῖς· ταυτὸν γὰρ τὸ λεγόμενον ἐνταῦθα τῷ, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα· ἄσειστος εἰς τὸν αἰῶνα μένει ὁ ἀκούσας τῶν Ἰησοῦ λόγων καὶ ποιήσας αὐτούς· ἔχει γὰρ τῆς ἑαυτοῦ πολιτείας, οἰκίας ὀνομαζομένης, τοὺς θεμελίους ἐπὶ τὸν Χριστὸν

Hic autem non commovebitur in aeternum, sed per omnem vitam in virtutum exercitio permanebit. Nam praesens locutio similis illi est: non manducabo carnem in aeternum. Immotus scilicet in aeternum manet, qui Iesu sermones audit, eosque exsequitur. Habet enim vitae suae, quae domûs vocabulo denotatur, funda-

1) En etiam Didymus fenus improbat, id est a iustis hominibus non esse exercendum decet.

menta in Christo iacta, qui petra dicitur. Sic illi firmi erant, de quibus Christus dixit: sunt quidam de hic adstantibus etc. Praeterea de quibus scribit apostolus: fundati et radicati in caritate. Fortasse etiam locutio « non com- » movebitur in aeternum » maiorem temporis extensionem innuit, aeque ac dictum illud: omnis qui vivit et credit in me, vivet in aeternum. Nam sancti dum in caelo conversationem habent, in terra Dei habitant, etiamsi adhuc in hac infera terra degant.

Possis etiam dicere hoc modo: peccatorum actus minime permanent. Temporaria enim dicta est peccati voluptas, et non superfuturum esse crimen peccatoris ac mali; quaesitum enim non invenietur. At non eiusmodi est vita sanctorum; siquidem invisibilia et aeterna contemplando sectantur: de quorum unoquoque dicitur, iustitia eius manet in saeculum saeculi. Est enim vita eorum quasi columna, et symbolum victoriae. Ceterum etiam columnas vocant ea loca, ubi decreta legum affiguntur, quae κύρβεις, seu tabulas, appellant: quam appellationem quoque doctrinae sanctorum sortiuntur, non in tabulis lapideis inscriptae, sed in tabulis cordis carnalibus; facile enim cedunt, et scripturam suscipiunt.

ἱδρυμένους, καλουμένην πέτραν, οἳ οὕτω βέβαιοι ἦσαν· περὶ ὧν Ἰησοῦς εἶπεν· εἰσί τινες τῶν ὧδε ἑστηκότων κ. τ. λ. καὶ ἔτι περὶ ὧν ὁ ἀπόστολος γράφει· τεθεμελιωμένοι καὶ ἐρριζωμένοι ἐν τῇ ἀγάπῃ· εἰ δὲ τὸ εἰς τὸν αἰῶνα μὴ σαλεύεσθαι, καὶ πλειονά τινα παρέκτασιν αἰῶνος ἐμφαίνει, παραπλησίως τῷ εἰρημένῳ· καὶ πᾶς ὁ ζῶν ὁ πιστεύων εἰς ἐμὲ, ζήσεται εἰς τὸν αἰῶνα. Ἐν οὐρανῷ γὰρ οἱ ἅγιοι τὸ πολίτευμα ἔχοντες, ἐπὶ γῆς αὐτοῦ διατρίβουσιν, κἂν ἔτι ὦσιν ἐν ταύτῃ τῇ γῇ.

Λέγοις δ' ἂν καὶ οὕτος· αἱ τῶν ἁμαρτωλῶν οὐ παραμένουσι πράξεις· πρόσκαιρος γοῦν τῆς ἁμαρτίας ἀπόλαυσις εἴρηται, καὶ τὸ μὴ ἔσεσθαι τὴν ἁμαρτίαν τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ· ζητουμένη γὰρ οὐχ εὑρεθήσεται· ἀλλὰ οὐχ ὁ τῶν ἁγίων βίος τοιοῦτος· σκοποῦσι γὰρ τὰ μὴ βλεπόμενα, καὶ αἰώνια, περὶ ὧν ἑκάστου λέγεται· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· στήλη γάρ πως ὁ τούτων βίος, καὶ σύμβολον νίκης· ἀλλὰ καὶ στήλας φασὶν, ἔνθα γραφαὶ περὶ νόμων ἀνάκεινται, ἃς κύρβεις καλοῦσι καὶ πίνακας· ὁποίας ἔτυχον προσηγορίας αἱ τῶν ἁγίων διδασκαλίαι, οὐκ ἐν πλαξὶ λιθίναις γραφεῖσαι, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις· εὐεικτοι γάρ εἰσι, καὶ δέχονται τὴν γραφήν. Cord. p. 272.

PSALMUS XV.

Dei voluntates sunt, virtutes singulae; ut illic: inveni Davidem Iessae filium, virum iuxta cor meum, qui faciet omnes voluntates meas has. Mirabilis Deus in sanctis suis, qui prae reliquis hominibus virtutes exercent. Incomparabiliter certe eminuerunt fortitudine apostoli, prophetae, ac martyres; castitate Iosephus atque Susanna; alii aliis pariter virtutibus. Sic ergo homo mirabilis redditus, suam agnoscit infirmitatem, et quantopere divinae potentiae inferior sit. Verumtamen infirmitates eatenus manent, quatenus agnoscuntur: protinus vero recedunt, quia sancti roborantur a Christo, dicuntque: in Deo faciemus virtutem.

Haud simpliciter ait se non congregaturum conventicula eorum, sed addit de sanguinibus. Neque absolute ait se memorem non fore nominum eorum, sed per labia mea. Num ergo, quia sunt nonnulli, qui conventicula ex san-

Θελήματα δὲ θεοῦ αἱ κατ' εἶδός εἰσιν ἀρεταί· v. 3. B. f. 51. b.
ὡς ἐν τῷ· εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου ταῦτα· θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, τῶν λοιπῶν ἀνθρώπων ἄμεινον ἀσκοῦσι τὰς ἀρετάς· ἀσυγκρίτως γὰρ ὑπερέσχον κατὰ μὲν ἀνδρείαν ἀπόστολοί τε καὶ προφῆται καὶ μάρτυρες· κατὰ δὲ σωφροσύνην Ἰωσὴφ καὶ Σουσάννα· καὶ κατὰ τὰς ἑτέρας ὁμοίως· οὕτω δέ τις θαυμαστωθεὶς, αἰσθάνεται τῆς ἰδίας ἀσθενείας, πολὺ τῆς θείας ἰσχύος ἀπολειπόμενος· αἱ δὲ ἀσθένειαι μέχρι τοῦ ἐννοῆσαι μόνον αὐτὰς παραμένουσαι, ταχέως ἀπίασιν, διὰ τὸ ἐνδυναμοῦσθαι τοὺς ἁγίους ὑπὸ Χριστοῦ λέγοντας, ἐν τῷ θεῷ ποιήσωμεν δύναμιν.

Οὐ καθάπαξ μὴ συναγαγεῖν τὰς συναγωγὰς αὐτῶν, ἀλλ' ἐξ αἱμάτων· οὐδ' ἀπολελυμένως λέγει μεμνησθήσεσθαι τῶν ὀνομάτων αὐτῶν, ἀλλ' ἢ διὰ χειλέων μου· μήποτ' οὖν ἐπεὶ εἰσίν τινες συνάγοντες συναγωγὰς ἐξ αἱ- v. 4. B. f. 52. b.

μάτων, ἐκχέοντες αὐτὰς διὰ τοῦ βλάπτειν τοὺς συναγομένους, αὐτὸς ὠφελῶν μᾶλλον δὲ ζωοποιῶν τοὺς προκαλουμένους, οὐκ ἐξ αἱμάτων ἀλλ' ἐξ ἀθανασίας συνάγει αὐτοὺς, τῶν προσηγοριῶν αὐτῶν μεμνημένος, οὐχ ἐξ ἐπιπολῆς, ἀλλ' ἐκ διαθέσεως βάθος ἐχούσης; Λελέξεται καὶ οὕτως· εἰ καὶ πολλοὶ ἀπεκτάνθησαν προφῆται καὶ ἀπόστολοι, ἐκχυθέντος τοῦ αἵματος αὐτῶν, ἀλλ' οὐκ ἐν τούτοις τοῖς πολλοῖς αἵμασιν συνάξω τὰς συναγωγὰς αὐτῶν, ἀλλ' ἢ μόνῳ ἑνὶ αἵματι ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ· τοῦτο γὰρ τιμὴ δέδοται, ἵνα λυτρωθῶσιν ἐκ τῆς ματαίας πατροπαραδότου αὐτῶν ἀναστροφῆς· τῶν οὕτω λελυτρωμένων μεμνήσεται οὐ προφορᾷ μόνῃ ἀλλὰ βαθείᾳ νοήσει.

v. 5. B. f. 53. b. Ὁ θεὸν ἔχων, ἁρμονίως καὶ τὰ αὐτοῦ ἕξει· ὅθεν ὁ τὸν κύριον μερίδα τῆς κληρονομίας ἔχων, καὶ τῶν αὐτοῦ ἀπολαύσει λέγων· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί· ἢ οὐκ ἀποκαθίστησιν ταύτην φάσκων, δεῦτε κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν (μερίδα); Μερίς μου εἶ ἐν γῇ ζώντων· τῆς οὕτως πνευματικῆς κληρονομίας πρὸς ἀναλογίαν πίστεως καὶ ἀρίστου βίου διδομένης τοῖς κληρονόμοις, εἰκότως ἐπενήνεκται τὸ, σχοινία ἐπέπεσέν μοι ἐν τοῖς κρατίστοις· σύμβολον δὲ μέτρου καὶ κλήρου τὸ σχοινίον· ἀμέλει γοῦν καὶ τῆς αἰσθητῆς γῆς, εἰς ἣν εἰσήχθησαν ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ οἱ Ἑβραῖοι, μεριζομένης· πολλάκις ἀναγέγραπται· ἔπεσεν δὲ τὸ σχοινίον τῇ φυλῇ Ἰούδα ἢ Ῥουβὶν ἢ ἑτέρου τινὸς τῶν δώδεκα ἐπὶ τόδε τὸ κλίμα τὸ ἀνατολικὸν φέρε ἢ ἄλλο παρὰ τοῦτο· τούτων ὧδε τεθεωρημένων, ὁ λέγων σχοινία ἐπέπεσέν μοι ἐν τοῖς κρατίσταις, παρίστησιν ὡς ἀγαθὰ αὐτῷ ἐμερίσθη, εἰς τὰ κράτιστα τῆς κληρονομίας ἐλθόντος τοῦ κλήρου αὐτοῦ· ὃν δηλοῖ διὰ τῶν πνευματικῶν τούτων γεωμετρικῶν σχοινίων· τοιοῦτο σχοινίον ἄγγελος ἐν τῇ χειρὶ αὐτοῦ κατέχων ὤφθη Ζαχαρίᾳ τῷ προφήτῃ ἐπὶ τῷ μετρῆσαι πόσον τὸ μῆκος καὶ πλάτος τῆς ἀληθινῆς Ἱερουσαλήμ. Οἷς ἐπενήνεκται. « Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν. » Σημαίνει, ἀληθῶς ἡ κληρονομία μου τυγχάνει· κατὰ τοῦτο, τὸ σημαινόμενον κράτιστος ἦν ὁ Θεόφιλος ᾧ γράφει Λουκᾶς ὁ εὐαγγελιστής.

v. 7. A. f. 79. Εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με· » ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νε- » φροί μου ». Συνέσεως θεόθεν τυχὼν, ἀλλὰ

guinibus congregant, immo potius dispergunt, propterea quod congregatos damnis adficiunt, num inquam Deus iuvans potius et vivificans quos ad se advocat, non ex sanguinibus sed ex immortalitate illos congregat, nominum eorum memor; nec superficiaria ratione sed alto animi affectu? Sed et alio modo explanare licebit. Etiamsi multi occisi sunt prophetae atque apostoli, sanguine ipsorum fuso; nequaquam tamen ob horum sanguinum copiam congregabo conventicula eorum, sed ob unum tantum agni immaculati et mundi Christi sanguinem. Hic enim datus est in pretium, ut redimerentur ex ipsorum tradita a patribus inani conversatione. Redemptorum huiusmodi memor erit non exteriore tantum pronunciatione, sed intima cogitatione.

Qui Deum habet, consonanter etiam quae sunt illius habebit. Quamobrem qui habet Dominum partem hereditatis suae, bonis quoque illius fruetur, dicetque: tu es, qui restituis hereditatem meam mihi. Nonne videlicet hanc ei restituit, qui ait: venite possidete paratam vobis portionem? Pars mea tu es in terra viventium. Hac itaque spiritali hereditate heredibus data, ob fidei et optimae vitae analogiam, congrue subiungitur: funes ceciderunt mihi in praeclaris. Symbolum autem mensurae et hereditatis est funiculus: quippe etiam in materialis terrae, ad quam introducti a Iesu Navi filio Hebraei fuerunt, divisione saepe id vocabulum scriptum est: cecidit funiculus tribui Iudae, vel Rubeni, vel alterius cuiuslibet duodecim tribuum, ad orientalem regionem, puta, aut aliorsum. His ita explicatis; qui ait funes mihi ceciderunt in praeclaris, denotat bona ipsi obtigisse; praeclaram scilicet hereditatis partem ei sortito obtigisse, quam his spiritalibus geometrarum funiculis demonstrat. Huiusmodi funiculum angelus manu tenens apparuit Zachariae prophetae, ob dimetiendam longitudinem latitudinemque verae Hierusalem. Postea additur. «Namque hereditas mea praeclara est mihi.» Significat: vere hereditas mea est. Secundum hunc significatum praeclarus erat Theophilus ad quem Lucas evangelista scribit.

« Benedicam Dominum qui tribuit mihi in- » tellectum; insuper et usque ad noctem in- » crepuerunt me renes mei. » Intellectu do-

natus a Deo, praetereaque a renibus suis eruditus noctu, benedicit bonorum horum datorem. Fit autem eiusmodi intellectus ex divinarum rerum consideratione menti obiecta. Namque a facie eius, inquit, scientia et intellectus. Ita semet revelans Servator homini mandata eius observanti, intelligentiae auctor fit. Quid vero insuper significat dictio, erudiri hominem a renibus suis? Perspicuum est, non de materialibus sed de intellectualibus hoc dici, qui una cum corde sic nuncupantur, in illo dicto: scrutans corda et renes Deus. Hi nimirum renes, cum sint perfectae intellectiones, erudiunt his immorantem, lumen scientiae suppeditantes, donec ignorantiae nox illa dispellatur, de qua dictum est: nox praecessit, dies autem appropinquavit. Nox enim finem capiet, die succedente qui conficitur a renium eruditione. Quod si etiam profundiores intellectiones noctu fiunt, quatenus est quidam sermo obscurus et mysticus, patet quod per huiusmodi noctem erudiunt renes, res arcanas et aenigmaticas patefacientes. Cognosces hanc de qua agitur renum efficaciam, si parumper corporeos renes consideres. Dicunt ergo in materialibus renibus seminalem vim et genituram elaborari, ex quibus in genitales poros profectae, causa fiunt generationum. Praedictorum similitudine utens, videbis num sint animae vires, unde prodeunt pares seminibus quaedam intellectiones, quibus interioris hominis geniturae confiunt, quae in bonis actibus, et veritatis contemplationibus consistunt. Qui autem putare velit a praedictis verbis materiales renes denotari, dicet summam temperantiam . . . a renibus suis hominem edoctum, non sine pudica cogitatione corporalem genituram facere.

« Providebam Dominum in conspectu meo » semper, quoniam a dextris est mihi, ne » commovear. » Quia haec ex Christi persona dicuntur; conservatur autem absque ulla mutatione persona illa quae heic dicit: a Domino pars hereditatis meae, si quis hos quoque versiculos ceu a Domino dictos accipiat, a veritate non aberrabit. Qui autem circa Deum non habent satis firmas cogitationes, intelligunt localiter a dextris esse Patris Filium, pro-

καὶ παιδευθεὶς πρὸς τῶν ἑαυτοῦ νεφρῶν ἕως νυκτὸς, εὐλογεῖ τὸν τούτων τῶν ἀγαθῶν δοτῆρα· ὑπάρχει δὲ τὸ συνετισθῆναι φαντασίας θεϊκῆς γενομένης τῷ νῷ· « ἀπὸ προσώπου γάρ φησι αὐτοῦ, γνῶσις καὶ σύνεσις· » οὕτως ἐμφανίζων ἑαυτὸν ὁ σωτὴρ τῷ ἔχοντι τὰς ἐντολὰς αὐτοῦ καὶ τηροῦντι αὐτὰς, συνέσεως αἴτιος γίνεται. Τί δὲ βούλεται καὶ τὸ παιδεύεσθαί τινα ὑπὸ τῶν σφετέρων νεφρῶν; φανερὸν δὲ ὡς οὐ περὶ τῶν αἰσθητῶν, ἀλλὰ περὶ τῶν νοητῶν εἴρηται τοῦτο τῶν σὺν τῇ καρδίᾳ ὀνομαζομένων ἐν τῷ, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός· οὗτοι γὰρ, νοήσεις τέλειαι τυγχάνοντες, παιδεύουσιν τὸν ἐφιστάνοντα, φῶς γνώσεως παρέχοντες, ἕως ἡ τῆς ἀγνοίας λυθῇ νὺξ ἐκείνη, περὶ ἧς εἴρηται· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· (νὺξ) γὰρ τέλος λήψεται, ἡμέρας διαδεξαμένης, συνισταμένης ἐκ τῆς τῶν νεφρῶν παιδεύσεως· εἰ δὲ καὶ τὰ βαθύτερα τῶν νοημάτων διὰ τῆς νυκτὸς παρίσταται, καταλλήλως τῷ εἶναί τινα λόγον σκοτεινὸν, τοῦτ' ἔστι μυστικὸν, φανερὸν ὅτι καὶ ἕως ταύτης τῆς νυκτὸς παιδεύουσιν οἱ νεφροὶ, τὰ ἀπόκρυφα καὶ αἰνιγματώδη σαφηνίζοντες. Γνώσῃ τῶν προκειμένων νεφρῶν τὴν ἐνέργειαν, ὀλίγα ἄττα τῶν σωματικῶν θεωρήσας· λέγεται τοίνυν ὡς ἐν τοῖς αἰσθητοῖς νεφροῖς, σπερματικαί τε δυνάμεις καὶ γοναὶ συνίστανται, ἀφ' ὧν εἰς τοὺς γεννητικοὺς πόρους χωροῦσαι, αἴτιαι γίνονται γεννημάτων· τοῖς οὕτω λεχθεῖσιν εἰκόνι χρησάμενος, ὄψει εἰ εἶεν ψυχῆς δυνάμεις, ἀφ' ὧν προΐασιν ἀναλογοῦντα σπέρμασί τινα νοήματα, καθ' ἃ συνίσταται τὰ τοῦ ἔσω ἀνθρώπου γεννήματα, ἐν πράξεσιν ἐπαινεταῖς καὶ θεωρίαις τῆς ἀληθείας ἔχοντα τὸ εἶναι· ὁ βουλόμενος περὶ τῶν σωματικῶν νεφρῶν σημαίνειν τὸ προκείμενον, ἐρεῖ τὴν ἀκραιφνεστάτην σωφροσύνην ἔχοντα πεπαιδευ . . . 1) τῶν νεφρῶν αὐτοῦ, ἐπεχομένων σώφρονι λογισμῷ ῥεῖν τὰς σωματικὰς γονάς.

« Προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαν- v. 8.
» τὸς, ὅτι ἐκ ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ
» σαλευθῶ. » Ἐπεὶ ἐκ προσώπου τοῦ Χριστοῦ λέγεται τὰ προκείμενα, φυλάττεται δὲ χωρὶς πάσης μεταβολῆς τὸ λέγον ταῦτα πρόσωπον ἀπὸ τοῦ κυρίου, ἡ μερὶς τῆς κληρονομίας μου, καὶ τοὺς στίχους ὑπὸ κυρίου εἰρημένους ἐκλαμβάνων τις, οὐχ ἁμαρτάνει· οἱ μὴ ἔχοντες δὲ περὶ θεοῦ ἐννοίας διηρθρωμένας, τοπικῶς ἐκλαμβάνουσιν ἐκ δεξιῶν εἶναι τοῦ πατρὸς τὸν υἱὸν, διὰ τὸ,

1) Deest unus scripturae versiculus propter infimam praecisam codicis A membranam, quod non semel incommodum infra quoque recurret.

κάθου ἐκ δεξιῶν μου· ἢ κεκαθηκέναι τὸν σωτῆρα μετὰ τὴν ἀνάληψιν ἐκ δεξιῶν τῆς μεγαλοσύνης· οἷς ἀδύνατόν τι εἰπεῖν· εἰ γὰρ ἐκ δεξιῶν τοῦ πατρὸς ὁ υἱὸς τοπικῶς, ἀδύνατον ἐκ δεξιῶν τοῦ υἱοῦ εἶναι τὸν πατέρα κατ' αὐτὸ τὸ σημαινόμενον· ἀλλὰ λέγει ὁ υἱός· προωρώμην τὸν κύριον ἐκ δεξιῶν μου· ὅθεν ἑτέρως ἢ κατὰ τόπον ἐκληπτέον τὸν υἱὸν δεξιὸν τοῦ πατρὸς καὶ τὸν πατέρα τοῦ υἱοῦ, ὡσαύτως τῷ, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν.

Σκοπητέον δὲ, ἀνθρώπου καὶ θεοῦ ἅμα τοῦ σωτῆρος νοουμένου ποτὲ . . . ἑρμηνεῦσαι, ἢ ἐπὶ τῆς αὐτοῦ κατὰ σάρκα οἰκονομίας· ἀλλ' οὐ δυνατὸν εὐσεβῶς ἐκλαβεῖν ὡς ἐκ προσώπου τοῦ θεοῦ λόγου εἰρῆσθαι ἔχειν ἐκ δεξιῶν αὐτοῦ τὸν πατέρα καὶ ἐνώπιον ἑαυτοῦ διαπαντὸς, ὅπως ἀκλόνητος διαμείνῃ· ἄτρεπτος γὰρ ὁ θεὸς λόγος, οὐδὲ κατὰ ποσὸν κλόνον ὑφιστάμενος· καὶ ἐπεὶ ἀπεμφαίνει αἰτίαν εἰπεῖν τοῦ μὴ σαλευθῆναι τὸν θεὸν λόγον, ὄντος ἐν ὄψει αὐτοῦ καὶ ἐκ δεξιῶν διαπαντὸς τοῦ πατρός· αὐτὸς γὰρ ἐν τῷ πατρὶ τυγχάνων, καὶ ἔχων αὐτὸν ἐν ἑαυτῷ ἐκ δεξιῶν τινος καὶ ἐνώπιον διαπαντὸς ὑπάρχων, αἴτιος καθίσταται τοῦ μὴ κλονεῖσθαι τὸν ὁρῶντα αὐτὸν καὶ ἐκ δεξιῶν αὐτὸν ἔχοντα· ἐπεὶ τοίνυν ἀπεμφαίνει, μᾶλλον δὲ ἀσεβές ἐστιν περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ αὐτὰ ἐκλαβεῖν χωρὶς τῆς αὐτοῦ κατὰ σάρκα οἰκονομίας, ἁρμονίως ἐκδοτέον εἰρῆσθαι αὐτὰ ὅτε γέγονεν ἀτρέπτως ἄνθρωπος καὶ ἐταπείνωσεν ἑαυτὸν καὶ ἐπτώχευσεν πλούσιος ὤν· αὐτοῦ γὰρ γέγονε τὸ ἀνθρώπινον ὁμοιωθὲν ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· ἀλλ' οὐδὲ ἄψυχος ἦν αὐτοῦ ἡ σάρξ· οὐ γὰρ σὰρξ ψυχὴν οὐκ ἔχουσα ἐρεῖ ἐκ δεξιῶν ἔχειν θεὸν, καὶ προορᾶν αὐτὸν διαπαντὸς, ἵνα μὴ ἁμαρτάνῃ· ἁμαρτικὴ γὰρ κίνησις ἐκ τοῦ σαλευθῆναι παρίσταται· εἰ δὲ ἀδύνατα ταῦτα, σῶμα γὰρ οὐ προορᾷ θεὸν, οὐ νόησιν ἔχει τοῦ ὄντος ἐκ δεξιῶν καὶ ἐνώπιον διαπαντὸς, λείπεται κατ' οἰκονομίαν ἀνθρωπίνως εἰρῆσθαι ταῦτα ὑπὸ τοῦ θεοῦ λόγου σαρκωθέντος ἀτρέπτως καὶ τελείως καὶ ἀληθῶς· ὡς ἐξ ἑνὸς γὰρ προσώπου τὰ πάντα λελέξεται, τά τε θεοπρεπῆ καὶ ἀνθρώπινα· ὡς ἄνθρωπος τοίνυν ὅτε γέγονεν ἐκ δεξιῶν ἔχων τὸν θεὸν, οὐ κλονηθείη, κἂν πικρὰ περιεστηκότα ᾖ, κἂν παραστῶσιν οἱ βασιλεῖς τῆς γῆς, καὶ συναχθῶσιν οἱ ἄρχοντες ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· οὕτω γοῦν μὴ κλονηθεὶς κατὰ ψυχὴν, ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ,

ter verba: sede a dextris meis. Vel illa quae dicunt, sedere Servatorem post resurrectionem a dextris maiestatis. Quibuscum impossibile est disputare: nam si a dextris Patris localiter Filius est; impossibile est ab ipsius Filii dextris esse Patrem; quod tamen ait Filius: providebam Dominum a dextris meis. Unde aliter intelligendum est, Filium a dextris Patris esse, et Filii Patrem: aeque ac illud, ego in Patre, et Pater in me est.

Observandum porro est, cum Deus et homo simul sit Salvator, nunc . . . interpretari, vel de eius in carne dispensatione. Sed pie non potest tamquam ex persona Dei Verbi dici, habere a dextris suis Patrem, vel coram se semper, ut immobilis permaneat. Immutabilis est enim Deus Verbum, et nullam omnino patitur commotionem. Ac insuper causam se dicere innuit, cur sit immobilis Deus Verbum, quandoquidem in conspectu illius est semper atque a dextris Patris: nam quia ipse in Patre est, et hunc in se ipso habet, in causa est cur non commoveatur qui eum videt, quique a dextris eundem habet. Quoniam itaque id innuit, immo irreligiosum foret de unigenito filio Dei ea verba intelligere, absque eius in carne dispensatione, congrue concedendum est, ea dicta esse verba de tempore quo immutabiliter homo factus est, seque humiliavit pauperemque fecit qui dives est. Namque eius humanitas assimilata est nobis per omnia absque peccato. Sed neque inanimis fuit eius caro: non enim caro anima carens diceret se habere a dextris Deum, atque eum semper coram videre, ne peccaret. Etenim peccati motum indicat commotio. Quod si haec impossibilia sunt, corpus enim non providet Deum, non habet notionem stantis ad dexteram neque omnino in conspectu, superest ut secundum humanam dispensationem haec a Deo Verbo, invertibiliter, perfecte, et vere incarnato, dicta sint. Nam tamquam ex una persona omnia pronunciabuntur et quae Dei sunt et quae hominis. Ceu homo igitur, cum talis factus est, a dextris Deum habens, non erat commovendus, quantumlibet acerba eum circumdarent, etiamsi terrae reges adstarent, et congregarentur principes adversus Dominum et adversus Christum eius. Sic itaque minime commotus in anima, peccatum non fecit, nec inventus est dolus in ore eius, tenta-

tus alioqui per omnia pro similitudine absque peccato. Deinde pergit dicere, quomodo laetatum sit cor eius, et lingua eius exultaverit, propterea quod haberet a dextris et in conspectu suo Dominum semper. Laudabilis exultatio gaudiumque est, cum haud in re qualibet, sed in Dei contemplatione versatur!

« Insuper et caro mea habitabit in spe. Et » non derelinques animam meam in inferno, » neque dabis sanctum tuum videre corruptio» nem. » Ex his quoque dictionibus praecipue demonstratur perfecta Domini humanitas. Etenim carne ipsius in sepulcro deposita, anima eiusdem in terrae corde fuit tribus diebus tribusque noctibus: post quod tempus resurgens resumpsit carnem, quam nuper ab anima separaverat. Dicta est autem in spe habitasse caro, propter futuram statim resurrectionem. Non enim resoluta, aut corruptionem aliquam passa, sed inlibata manens, rursus coniuncta est haud derelictae in inferno animae. Quod si anima de qua loquimur, a carne separata mansit, et apud inferos fuit, ubi rationales erant hominum animae; perspicuum est, eam haud irrationalem esse potuisse. Etenim irrationalis anima, corpore separata, non subsistit, neque ad inferos proficiscitur. Atqui anima Iesu utrumque experta est. Fuit enim in humanarum animarum habitaculo, et extra corpus vixit et substitit. Ergo rationalis est, et hominum animabus consubstantialis; sicut et caro consubstantialis est hominum carni, utpote ex Maria profecta. Quod si visa est in cruce pati, non tamen corruptionem experta est, incolumibus simul manentibus anima et carne; ex quibus recompositis, denuo extitit sanctus Dei, quin corruptionem fuisset expertus, sed et causa aliorum mortuorum resurrectionis existens. Nam propter eundem primogenitum mortuorum, corruptibile nostrum incorruptionem induens, immortalitatem adipiscitur cum illo qui corruptionem ignoravit sancto Dei.

« Notas mihi fecisti vias vitae, adimplebis » me laetitia cum vultu tuo: delectatio in » dextera tua usque in finem. » A mortuis resurgens incarnatum Dei Verbum hymno celebrat, quatenus homo est, non desinens pariter esse Deus, illum qui sibi ostendit vias

πειρασθεὶς κατὰ πάντα καθ᾽ ὁμοιότητα χωρὶς ἁμαρτίας· ἑξῆς ἐπιφέρεται ὡς εὐφράνθη ἡ καρδία αὐτοῦ καὶ ἠγαλλιάσατο ἡ γλῶσσα αὐτοῦ ἐπὶ τῷ ἔχειν ἐκ δεξιῶν καὶ ἐνώπιον ἑαυτοῦ τὸν κύριον διαπαντός· ἐπαινετὴ ἀγαλλίασις καὶ εὐφροσύνη τυγχάνει, ὅτε οὐ διά τι τῶν τυχόντων γίνεται ἀλλ᾽ ἐπὶ κατανοήσει θεοῦ.

« Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ v. 9. A. f. 80.
» ἐλπίδι· ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου » εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφ» θοράν. » Καὶ ἐκ τούτων τῶν συλλαβῶν δηλοῦται μάλιστα τελείως ἐνηνθρωπηκέναι τὸν κύριον· τῆς γὰρ σαρκὸς ἀποτεθειμένης ἐν τῷ μνημείῳ, ἡ ψυχὴ αὐτοῦ γέγονεν ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· μεθ᾽ ὃν ἀναστὰς ἔλαβε τὴν σάρκα, ἣν τέως διαζεύξας ἦν ἀπὸ τοῦ πνεύματος· εἴρηται δὲ ἐπ᾽ ἐλπίδι κατεσκηνωκέναι ἡ σὰρξ, διὰ τὴν ἐσομένην παραυτὰ ἀνάστασιν· οὐ γὰρ διαλυθεῖσα ἢ φθοράν τινα παθοῦσα, ἀλλ᾽ ἀβλαβὴς διαμείνασα συνεζεύχθη πάλιν τῇ μὴ ἐγκαταλειφθείσῃ εἰς τὸν ᾅδην ψυχῇ· εἰ δὲ ἡ προκειμένη ψυχὴ σαρκὸς χωριζομένη ὑφέστηκεν, καὶ ἐν τῷ ᾅδῃ γίνεται, ἔνθα αἱ λογικαὶ τῶν ἀνθρώπων ψυχαὶ, δῆλον ὅτι οὐ δύναται ἄλογος εἶναι· ἡ γὰρ ἄλογος ψυχὴ χωριζομένη σαρκὸς, οὐχ ὑφίσταται 1), οὐδὲ εἰς τὸν ᾅδην πορεύεται· ἀλλὰ μὲν ἡ τοῦ Ἰησοῦ ψυχὴ ἑκατέρων πεῖραν ἔσχεν· γέγονε γὰρ καὶ ἐν τῷ χωρίῳ τῶν ἀνθρωπίνων ψυχῶν, καὶ τῆς σαρκὸς ἐκτὸς γενομένη ζῇ καὶ ὑφίσταται· λογικὴ ἄρα καὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων ὁμοούσιος· ὥσπερ καὶ ἡ σὰρξ ὁμοούσιος τῇ τῶν ἀνθρώπων σαρκὶ τυγχάνει, ἐκ τῆς Μαρίας προελθοῦσα· εἰ δὲ καὶ ἔδοξεν πεπονθέναι διὰ τὸν σταυρὸν, ἀλλ᾽ οὖν οὐκ οἶδεν διαφθορὰν, ἀβλαβῶν διαμεινάντων τῆς τε ψυχῆς καὶ τῆς σαρκὸς, ἐξ ὧν συντεθέντων ἀνεδείχθη πάλιν ὁ ὅσιος τοῦ θεοῦ οὐχ ἑωρακὼς διαφθοράν· ἀλλὰ καὶ αἴτιος τῆς τῶν ἄλλων νεκρῶν ἐγέρσεως· δι᾽ αὐτὸν γὰρ πρωτότοκον ἐκ τῶν νεκρῶν γεγενημένον, τὸ φθαρτὸν καὶ θνητὸν ἡμῶν ἀφθαρσίαν ἐνδυσάμενον συναπαθανατίζεται τῷ μὴ ἑωρακότι διαφθορὰν ὁσίῳ τοῦ θεοῦ.

« Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με » εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνό» της ἐν τῇ δεξιᾷ σου εἰς τέλος. » Ἐκ νεκρῶν ἀναστὰς ὁ σαρκωθεὶς τοῦ θεοῦ λόγος, ὑμνεῖ καθ᾽ ὃ ἄνθρωπος γέγονε, μὴ ἀπολιπὼν καὶ τοῦ εἶναι θεὸς, τὸν φανερώσαντα αὐτῷ τὰς ὁδοὺς

1) Animadverte Didymi opinionem de brutorum anima, sive de eius post corporis obitum abolitione.

ὁδοὺς ἐπὶ τὴν αἰώνιον ζωὴν, ἵνα καὶ εὐφροσύνης πληρωθῇ τελείας, ὁ πάσης εὐφροσύνης πνευματικῆς ἐμπιπλῶν τοὺς ἁγίους· θεοῦ δὲ πρόσωπον, ἡ εἰκὼν αὐτοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· τί δὲ ἀκολουθεῖ τῷ ὁδεύσαντι τὰς γνωσθείσας ὁδοὺς τῆς ζωῆς, ἢ τὸ θείαν τέρψιν ἔχειν ἐν τῇ δεξιᾷ τοῦ θεοῦ, οὔσῃ ἀληθείᾳ καὶ σοφίᾳ; αὕτη δέ ἐστιν ὁ μονογενὴς τοῦ θεοῦ υἱός· καὶ ἐπεὶ ἀνυπέρβλητος τυγχάνει ἡ ἐν τῇ δεξιᾷ τοῦ θεοῦ τέρψις, τέλος ἔσται ἔσχατον ὀρεκτὸν οὖσα· οὐ γὰρ ἄλλου χάριν, ἀλλ' αὐτῆς ἕνεκα τὰ πάντα· εἰ τοίνυν υἱὸς τοῦ θεοῦ λόγος, καὶ ὅτε γέγονεν ἄνθρωπος, πῆ μὲν ὡς θεὸς πῆ δὲ ὡς ἄνθρωπος διελέγετο, καὶ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας, καὶ ἀπέθανεν, καὶ ἀνέστη, καθὰ καὶ ὁ πρόκριτος Πέτρος δημηγορῶν ἐν ταῖς πράξεσιν περὶ τοῦ Δαυὶδ ἔλεγεν· « προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν κατὰ σάρκα τὸν Χριστὸν, προϊδὼν ἐκάλησεν περὶ τῆς ἀναστάσεως αὐτοῦ· » Τὸ δὲ κατὰ σάρκα προσκείμενον, δείκνυσιν ὅτι καὶ θεὸς ἦν· ἦν ὡς ἄνθρωπος τὰ ἀνθρώπινα ἑκουσίως ἐσπένδετό τε καὶ ὑπέμεινεν μετὰ τοῦ εἶναι θεός.

ad vitam aeternam ducentes; ut et perfecto gaudio repleatur ipse qui ceteroquin omni spiritali laetitia sanctos replet. Dei autem vultus, est imago eius et forma substantiae ipsius. Quid autem obvenit terenti vias quas vitae esse novit, nisi ut divinam delectationem habeat in Dei dextera, quae est veritas ac sapientia? Hic est nimirum unigenitus Dei filius. Et quia exquisitissima est in dextera Dei delectatio, ipsa erit desiderabilis postremus finis. Non enim alterius cuiuslibet causa, sed propter ipsam sunt omnia. Si ergo filius Dei est Verbum, tunc etiam cum factus est homo, modo uti Deus, modo uti homo loquebatur, et crucem sustinuit ignominia contempta, et resurrexit, sicuti summus Petrus in actibus concionans de Davide aiebat. « Propheta igitur cum esset, et sciret quia iureiurando iurasset illi Deus de fructu lumbi eius suscitare secundum carnem Christum, providens locutus est de resurrectione eius. » Iam quod addidit « secundum carnem » ostendit Deum quoque fuisse, et quod tamquam homo sponte immolabatur patiebaturque, cum simul esset Deus.

Ex recitato hactenus Didymi in quindecim Psalmos commentario, cum latina translatione nostra, satis ut credimus agnovere lectores quanti pretii sit in hoc quoque opere Didymus, quamque dignus ad omnium notitiam usumque efferri. Ceteroqui nos aliis curis abstracti, nostram heic interpretationem abrumpimus, solum deinde graecum textum prosequentes ex aliquot vaticanis catenis collectum. Neque tamen defuturos aliquando speramus, qui et ipsum originale graecum consultis pluribus codicibus augeant, et latinum totum faciant; et hunc denique auctorem, in alexandrina schola percelebrem, divinis exponendis christiano sensu libris aptissimum, adserendis dogmatibus, moribusque informandis, fovendae etiam asceticae pietati perutilem, pro dignitate tandem exornatum publico commodo exhibeant. Sed cur nos Didymum laudamus? a laudatissimo viro iamdiu laudatum, id est Hieronymo, qui in quinquagesima epistola ad Domnionem, ubi auctores in varia litteratura summates enumerans, sic magnifice de nostro Didymo scribit: Didymus scientia scripturarum omnes sui temporis vincit tractatores. *Praeter ergo edita a nobis Didymi reliquias ad Proverbia, ad Iohannis evangelium, ad II. ad Corinthios, et nunc ad Psalmos, alia meminimus legere reliquias eius in catenis mss. vaticanis v. gr. ad Iobum, ad Canticum, ad Hieremiam, et alios interdum veteris testamenti libros, et in epistolam ad Romanos. Nunc igitur eius in Psalmos adnotationes prosequamur. Etenim Didymum in totum psalterium scripsisse testatur praedictus Hieronymus de vir. ill. cap.* 109, *nec non in epistola CXII.* 20.

PSALMUS XVI.

v. 1. 82. 5. et parrd. p. 293. Ἀλαζονείαν καταψηφίζονταί τινες τοῦ εὐχομένου, φάσκοντες, ὡς τῶν μετρίων τὸ ἦθος, οὐδεὶς λέξει τὸ εἰσάκουσον, κύριε, δικαιοσύνης μου· καὶ τὸ, ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι· ἀλλ' οὐκ ἀλαζὼν ὁ Δαυὶδ, ποιῶν πάντα τὰ θελήματα τοῦ Θεοῦ, ἀλλὰ σὺν ἀγαθότητι κριθῆ-
v. 2. B. f. 55. ναι θέλων, παρεκάλει ἐξελθεῖν αὐτοῦ τὸ κρίμα ἐκ τοῦ θεϊκοῦ προσώπου. « Οἱ ὀφθαλμοί μου ἰδέ» τωσαν εὐθύτητας »· εὔχεται τοῖς ὀφθαλμοῖς τοῦ ἔσω ἀνθρώπου εὐθύτητας ἰδεῖν, καθ' ἣν κρινεῖ ὁ Θεὸς ἐξάγων τὸ κρίμα ἐκ προσώπου ἑαυτοῦ· ἢ εὔχεται τὴν ἀρετὴν εὐθύτητος θεάσασθαι· εἰ δὲ εὔχεται αὐτὴν ἰδεῖν, οὔπω παροῦσαν αὐτὴν ἔχει· ᾧ ἕπεται τὸ μὴ ἀλαζονεύεσθαι αὐτὸν οὕτω τὴν εὐχὴν ἀναφέροντα· ταῦτα περὶ τῆς παντελοῦς ἀρετῆς εἰρῆσθαι ἡγητέον, ἥ τις ὀψέ ποτε παραγίνεται πλείστων ὅσων προδιανυσθέντων.

v. 3. 82. 5. b. parrd. p. 294. Καὶ διὰ τῶν προκειμένων ἐμφαίνεται πολλὴ παρουσία τοῦ λέγοντος· εἰ γὰρ ταῦτα ἐπὶ Θεοῦ λέγει, πολλὴν ἑαυτοῦ ἐμφαίνει καθαρότητα· « δοκιμάζεται γὰρ ἡ καρδία παντὸς τοῦ σκυθρωπὰ ὑπομένοντος, ὅτ' ἂν ἐν παντὶ θλιβόμενος μὴ στενοχωρῆται, ἀλλ' ὑπομένων εἰς τέλος ἀποδείκνυται δίκαιος· οἷος ἦν Ἰὼβ, ᾧ εἶπεν ὁ θεός· « οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀνα» φανῇς δίκαιος; » πρὸς τὸ δεδοκιμάσθαι τὴν καρδίαν αὐτοῦ ὑπὸ τοῦ κυρίου, καὶ πεπυρῶσθαι καὶ μὴ εὑρέσθαι ἐν αὐτῷ ἀδικίαν· τί σημαίνεται ἐκ τοῦ ἐπεσκέψω νυκτός; καὶ ὅρα εἰ τὴν κατάστασιν τῶν σκυθρωπῶν διὰ τὸ ἀφεγγὲς καὶ μηδὲν ἱλαρὸν ἔχειν νύκτα καλεῖ, ἐν ᾗ ἐπισκεψάμενος αὐτὸν ὁ Θεὸς, δόκιμον ἀπέφηνεν, καὶ πυρώσας διὰ τῶν θλιβερῶν, καθαρὸν πάντων ἀδικημάτων ἀνέδειξεν.—Ῥηθείη τὸ ἐπεσκέψω νυκτὸς καὶ οὕτως· ἐπεὶ τῆς καρδίας τὰ κρύφια οὐκ εἰσὶν φανερὰ ἢ μόνῳ τῷ πρὸς ὃν εἴρηται, σὺ μόνος γινώσκεις τὰς καρδίας τῶν ἀνθρώπων, νὺξ ὠνομάσθη· ἃ καὶ αὐτὰ καί τοι τοῖς ἄλλοις ὄντα σκοτεινὰ διὰ τὸ ἀκατάληπτον· σοὶ τῷ δοκιμάσαντί με διὰ τὸ ἐπεσκέφθαι με νυκτὸς πεφανέρωται· τούτῳ συνᾴδει τὸ, εἰ ἀδικίαν ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου κύριος.

Τὸ ἀπαγγέλλειν τὰ ἔργα τῶν ἀνθρώπων πρά- v. 4. A. f. 83.
ξει καὶ διαθέσει, ἔτι μὴν καὶ λόγῳ, φαύλων τίνα δὲ τὰ ἔργα τούτων, ἢ ἐκεῖνα περὶ ὧν ὁ ἀπόστολος γράφει· « ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν » ὑμῖν, οὐχὶ ἄνθρωποί ἐστε, καὶ κατὰ ἄνθρω» πον περιπατεῖτε; » κωλυτικὸν τοῦ λαλεῖν τὰ ἔργα τῶν ἀνθρώπων τυγχάνει· καὶ τὸ μὴ εὑρέσθαι ἐν αὐτῷ ἀδικίαν, ὑπὸ θεοῦ πυρωθέντι διὰ πειρασμῶν καὶ τῶν παραπλησίων.

Τρίβοι δὲ τοῦ κυρίου καὶ τῶν ἁγίων αὐτοῦ, v. 5. B. f. 55. b.
αἱ τηρήσεις τῶν ἐντολῶν τυγχάνουσιν, μᾶλλον δὲ αἱ κατ' ἀρετὴν ἐνέργειαι, λεῖαι καὶ ὁμαλαὶ ἀναδειχθεῖσαι, ἐκ τοῦ συνεχῶς πατεῖσθαι πρὸς τῶν σπευδόντων φθάσαι ἐπὶ τὸ τέλος αὐτῶν· τέλος δὲ αὐτῶν ἡ μακαριότης καὶ ἡ τῶν ἐπαγγελιῶν ἀπόδοσίς ἐστιν· δράμωμεν τοίνυν κατ' αὐτὰς, ἵνα σωτηρίας τύχωμεν· οὐ κλονουμένων τῶν διαβημάτων, τουτ' ἔστιν οὐ σφαλλομένων· ὅτ' ἂν ὁ κύριος ἐν ταῖς τρίβοις αὐτοῦ καταρτίσῃ αὐτά· ὁ ταύτης τῆς αἰτήσεως τυχὼν, φησὶν, « ἀνομίας ἔδραμον καὶ κατηύθυνα· καὶ τὸ, ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅτ' ἂν ἐπλάτυνας τὴν καρδίαν μου.

» Ἐγὼ ἐκέκραξα ὅτι εἰσήκουσάς μου ὁ θεός· v. 6.
» κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν » ῥημάτων μου· θαυμάστωσον τὰ ἐλέη σου ὁ » σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Τὸ κεκράξομαι, πνευματικῶς ἀκουστέον· οὐ γὰρ γεγωνοτέρᾳ τῇ φωνῇ πρὸς τὸν ἀόρατον Θεὸν κεκραγέναι δεῖ, ἀλλ' ἐπιτεταμένῃ νοήσει· αὕτη δὲ ἡ κραυγὴ τοῦ ἔσω ἀνθρώπου. Θαυμαστοὶ τὰ ἐλέη αὐτοῦ v. 7.
ἐπὶ τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν, ὅτ' ἂν παραδοξότερόν τι ἔχωσιν τὰ δι' εὐεργεσίαν ἐλέη γενόμενα· ὡς τοῦ θεοῦ κλίνοντος πρὸς ἡμᾶς εἰσακούει τῶν ῥημάτων τῆς φωνῆς ἡμῶν, οὐκ ἄλλο τι τυγχάνον, ἢ ἡ συγκαταβαίνουσα δι' ἀγαθότητα δύναμις αὐτοῦ, ἐπὶ τῷ δέχεσθαι τοὺς ἡμετέρους λόγους· εἰς τοῦτο λήψῃ τὸ, οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους· καὶ ὦτα αὐτοῦ εἰς δέησιν
αὐτῶν. Τῆς δεξιᾶς τοῦ Θεοῦ οὐχ ἑτέρας οὔσης v. 7. et 8. A. f. 84. b. B. f. 56. b.
τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ· ὡς καὶ μικρῷ πρότερον

εἴρηται, ὅτε πρόκειτο τὸ, τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος· ἀνθιστάμενοι ταύτῃ διάβολος, καὶ οἱ τούτου ἄγγελοι, καὶ πρὸς τούτοις ἄνθρωποι γόητες καὶ πονηροὶ, ἀφ' ὧν ἀβλαβὴς διαμεῖναι ποθῶν ὁ ἅγιος λέγει τῷ θεῷ· φύλαξόν με ἀπὸ τῶν ἀνθισταμένων τῇ σῇ δεξιᾷ κατὰ τὴν ὀφθαλμοῦ μου κόρην· ἵνα ἀβλαβὴς ὁ νοῦς μου διαμείνῃ· ἀλλὰ καὶ ἐν σκέπῃ τῶν πτερύγων σου σκέπασόν με ἀπὸ προσώπου ἀσεβῶν τῶν περιβαλεῖν με ταλαιπωρίᾳ ποθούντων· δυνατὸν δὲ ἀσεβεῖς καὶ ἀνθεστηκότας τῇ δεξιᾷ τοῦ θεοῦ, κατ' ἐπίνοιαν διαφόρους εἰπεῖν καθ' ὑποκείμενον τοὺς αὐτοὺς τυγχάνοντας· οὐ παντὸς δὲ ἡ φωνὴ ἡ φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ, ἀλλὰ μόνου τοῦ πεφωτισμένου κατὰ τὴν ψυχὴν, ἔχοντος τοὺς ὀφθαλμοὺς τῆς καρδίας πεφωτισμένους· τὸ δὲ ἐν σκέπει τῶν πτερύγων σου σκεπάσεις με, πνευματικῶς ἐκληπτέον· αἱ γὰρ σκεπαστικαὶ τοῦ θεοῦ δυνάμεις, πτέρυγες αὐτοῦ καλοῦνται, δι' ὧν σκέπει καὶ εἰς εὐθυμίαν ἄγει τὸν παρακαλοῦντα ἐξαιρεθῆναι ἀπὸ ἀσεβῶν τῶν ταλαιπωρίαν κατ' αὐτοῦ διανοουμένων· οὗτοι δὲ ἀόρατοί τινες εἰσὶν ἐχθροὶ, ταλαιπώρους ποιοῦντες τοὺς ἁλισκομένους πρὸς αὐτῶν τῷ ὑποβαλεῖν αὐτοὺς ἁμαρτίᾳ.

v. 9. « Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον·
v. 10. A. f. 85. » τὸ στέαρ αὐτῶν συνέκλεισαν· τὸ στόμα αὐτῶν
v. 11. » ἐλάλησεν ὑπερηφανίαν, ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με· τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλίναι ἐν τῇ γῇ. » Τὸ ἄγριον καὶ ὠμὸν τῶν ἀνθισταμένων σημαίνει διὰ τοῦ εἰπεῖν περιέχεσθαι τὴν ψυχὴν ἑαυτοῦ ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ, συγκλεισάντων τὸ στέαρ αὐτῶν διὰ τὴν πρὸς ὕλην προσπάθειαν· ὅλοι γὰρ δι' ὅλων ὑλικοὶ καὶ σάρκινοι πεφραγμένοι ὑπὸ τὴν ἁμαρτίαν τυγχάνουσιν, καὶ ἀπὸ πολλῆς εὐθυμίας καὶ τρυφῆς στέατος ὥσπερ καὶ πιμελῆς ἐπληροῦντο· διὸ ὁ Σύμμαχος, τῷ στέατι αὐτῶν ἀπεσφράγησαν· διὸ καὶ λαλεῖ τὸ στόμα αὐτῶν ὑπερηφανίαν, οὐδὲν φιλικὸν ἢ καθῆκον εὐσταθῶς προφερόντων· οὗτοι οἱ ἐχθροὶ ἀπὸ πολλῆς ἀλαζονείας ἐκβάλλοντες οἱονεὶ τὸν ταῦτα λέγοντα, περικυκλοῦσιν ἐπὶ τὸ βλάψαι καὶ ἀπολέσαι τὸν ἐντὸς ἀρκύων γεγενημένον· οὐ γὰρ χρηστόν τι ἢ ἀγαθὸν ἐπιτηδεύουσιν· ἐπεὶ παραβάται θείων νόμων γεγενημένοι, διὰ τοῦ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐν τῇ γῇ τεθεῖσθαι, ἐκκλινόντων καὶ παρανόμων γινομένων· τοῦτο γὰρ παρίσταται ἐκ τοῦ ἐν τῇ γῇ· τοὺς ὀφθαλμοὺς αὐτῶν τεθεικέναι, σκοπεῖν θέλοντας τὰ πρόσκαιρα, καὶ φρονεῖν τὰ ἐπίγεια, ἐκκλίναντας ἐκ τοῦ τὴν εὐθεῖαν ὁδὸν μὴ βούλεσθαι βαδίζειν, ἀλλὰ τὰς σκολιὰς ἃς ὁ ἔχων ταλανίζεται· « ὦ γάρ, φησιν, οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας, τοῦ πορεύεσθαι » ἐν ὁδοῖς σκότους· ὧν αἱ ὁδοὶ σκολιαὶ, καὶ » καμπύλαι αἱ τροχιαὶ αὐτῶν·» οὗτοι μὲν ἐπὶ τὸ ἐκκλίναι ἔθεντο τοὺς ὀφθαλμοὺς αὐτῶν ἐν τῇ γῇ· τῶν φορούντων τὴν εἰκόνα τοῦ ἐπουρανίου, τιθέντων τοὺς ὀφθαλμοὺς αὐτῶν ἐν τῷ οὐρανῷ, ἐπὶ τῷ κατορθῶσαι εὐθεῖαν ὁδὸν τὴν εἰς οὐρανοὺς ἀναφέρουσιν.

Ἐπεὶ μακροθυμοῦντος σου κοιμᾶσθαί σε ἔδο- v. 13. B. f. 86 A. f. 57. b.
ξαν, μὴ παραυτὰ δίκην εἰσπραττόμενοι ἐφ' οἷς φονικῶς διέκειντο, ἀνάστηθι λοιπὸν, ὦ κύριε, ἵνα προφθάσῃς αὐτοὺς ἐπὶ τῷ ὑποσκελισθῆναι· συνοίσει γὰρ αὐτοῖς παθεῖν τοῦτο, ἵνα μὴ ἀεὶ ἐπὶ τὸ κακὸν τρέχοντες αὔξωσι τὴν ἀπώλειαν αὐτῶν· περισχόντες γὰρ τὴν ψυχήν μου καὶ τὰ ἄλλα ποιοῦντες, εἰ μὴ κωλυθεῖεν, τὰ μέγιστα αὐτὴν βλάπτουσιν· ὅθεν ὑποσκέλισον αὐτοὺς, ἵνα μηκέτι κατ' ἐμοῦ δύνωνται, σοῦ ῥυσαμένου τὴν ψυχήν μου ἀφ' ἑκάστου ὄντος τοιούτου· καὶ διὰ τοῦτο ἀσεβοῦς ὀνομαζομένου· ῥῦσαι γὰρ τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, τὴν ῥομφαίαν ἑαυτοῦ ἐκ τῆς χειρὸς αὐτῶν λήψεται· εἶχον γὰρ αὐτὴν εὐλόγως δοθεῖσαν, αἴρεται δὲ ἀπ' αὐτῶν οὐ χρωμένων ὡς δεῖ· διὸ καὶ ἐν τῇ γῇ ὀλιγοῦνται, τουτέστιν εὐτελίζονται· οἱ γὰρ περὶ τὰ ὑλικὰ καὶ χοϊκὰ γινόμενοι προσπαθοῦντες αὐτοῖς, ἀποβάλλουσιν τῆς ψυχῆς τὸ ἀνάστημα καὶ τὸν πλοῦτον ὃν εἶχον, εἰ μὴ τὰ ὑλικὰ προτέθειντο· διὰ τοῦτο καὶ μὴ ὄντες ὀνομάζονται· ὡς ἐν τῷ, μὴ παραδῷς τὸ σκῆπτρον σου τοῖς μὴ οὖσιν· διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν.

Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα v. 14.
τοῖς νηπίοις αὐτῶν, τῶν ἐπὶ κακῷ συμφωνούντων καὶ ὁμονοούντων, τῆς ζωῆς ὁ μερισμὸς ὠφέ-

λιμος· ὃ γὰρ πρᾶξαι προτέθειντο κακὸν ὁμοφρονοῦντες, τοῦτο ἀποβάλλουσιν ἀτελὲς γινόμενον, διαστασιάσαντες πρὸς αὐτοὺς, ὡς γέγονεν ἐπὶ τῶν προτεθειμένων πύργον καὶ πόλιν οἰκοδομῆσαι ἐπὶ κακῷ τῷ ἑαυτῶν· εὐεργετῶν γὰρ αὐτοὺς ὁ θεὸς, συνέχεεν τὰς γλώσσας αὐτῶν, ὡς μηκέτι εἰδέναι ἕκαστον τὰ παρὰ τῶν πλησίον λεγόμενα, ἵνα ἡ προκαταλαβοῦσα ἄγνοια διαστασιάζειν αὐτοὺς πρὸς ἑαυτοὺς παρασκευάσασα, ἀτελῆ τὴν πρόθεσιν αὐτῶν ἀποδείξῃ· τοῦτο οὖν ἐστι τὸ δηλούμενον ἐν τῷ διαμέρισον τοὺς ἐν τῇ ζωῇ αὐτῶν.

Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. Κεκρυμμένα δὲ θεοῦ τὰ ἀνάξια τῆς μνήμης αὐτοῦ· ὧν πάντων τὰ κατάλοιπα τοῖς νηπίοις κατέλειπον μετὰ τὸ πλησθῆναι τὴν κοιλίαν αὐτῶν· ὅτι δὲ ἀνάξια τῶν ὄψεων τοῦ θεοῦ τὰ ἐπίληπτα, παρίσταται ἐκ τοῦ Κάϊν· ἐξῆλθεν γὰρ οὗτος ἀπὸ προσώπου τοῦ θεοῦ· καὶ ἐκ τοῦ, οὐδὲ διαμένουσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· τούτων τῶν μακρὰν θεοῦ τυγχανόντων ἐμφορηθέντες, τὰ κατάλοιπα εἴασαν τοῖς νηπίοις αὐτῶν· χορτασθέντες υἱέων, τοῦτ' ἔστιν ἀκαθάρτων· πάντων γὰρ τῶν μολυνόντων χαλεπώτεροι οἱ καὶ ἑαυτοὺς βλάπτοντες καὶ ἑτέρων αἴτιοι γινόμενοι· ὃ δηλοῦται καὶ διὰ τοῦ, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν· τέλειον γὰρ ἀπατῆσαι, οὐχ οἷοί τέ εἰσιν· διὸ περὶ αὐτῶν γέγραπται· « ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται· καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ. » Φέρεται γραφὴ ἔχουσα ἐχορτάσθησαν υἱῶν, δι' οὓς υἱωνοὺς εἰς κόρον ἔσχον· διαμερισθέντες ἐν τῇ ζωῇ ἑαυτῶν, πολύτροπον τὴν βλάβην ἔσχον· οὐ μόνον γὰρ αὐτοὶ, ἀλλὰ καὶ οἱ νήπιοι αὐτῶν ἐκορέσθησαν τῶν κεκρυμμένων τοῦ θεοῦ.

v. 15. B. f. 58. b. Ἐκεῖνοι μὲν οὕτω, φησὶν, καθὰ εἴρηται· « ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· » οὐ γὰρ τῶν κρυπτομένων ἀπὸ σοῦ ἡ ἀρετὴ ὡς ἡ ἐκείνων κακία· κἀκεῖνοι μὲν αὐθάδεις ὄντες καὶ οἰόμενοι πάντων εἶναι πλήρεις, μηδὲν ἔχοντες, ὡς ἀπεντεῦθεν δοκεῖν αὐτοὺς κεχορτάσθαι· ἐγὼ δὲ ἐκ μέρους γινώσκων ἄρτι, τότε χορτασθήσομαι ὅτ' ἂν ὀφθῇ ἡ δόξα σου ὑφισταμένη κατὰ τὸ ἐρχόμενον τέλειον· ᾧ προσβάλλειν τότε δυνατὸν πρόσωπον πρὸς πρόσωπον· δυνατὸν ὀφθησομένην θεοῦ δόξαν ἐκλαβεῖν τὸν μονογενῆ υἱὸν, περὶ οὗ γέγραπται· « ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον αὐτοῦ· καὶ ὀφθήσεται ἡ δόξα κυρίου· » πληροῦται τούτων ἕκαστον, ὅτ' ἂν θεασόμεθα τὴν δόξαν τοῦ υἱοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας.

PSALMUS XVII.

v. 1. B. f. 58. b. Τέλος δὲ λέγεται τί; οὗ χάριν τὰ ἄλλα, αὐτὸ δὲ οὐδενὸς ἕνεκα· διὰ τοίνυν τὴν κατὰ τῶν ἐχθρῶν νίκην οἱ πόλεμοι, καὶ πάντα τὰ πρὸς ἀριστείαν βασίλεως συντείνοντα ἤδη καὶ τέλος ἐκάλεσεν καὶ δικ . . δεῖν ὑμνολογίας τὸν αἴτιον, πρὸς ὃν Ἔσδρας εἶπεν, παρὰ σοῦ ἡ νίκη· οὗ δὴ καὶ παῖς καὶ θεραπευτὴς ὁ Δαυίδ· καὶ οὕτω τὴν ᾠδὴν ἐν ἡμέρᾳ, τουτέστιν ἐν τῷ φωτισμῷ προσάγει, ἡνίκα πάντες καὶ ὁ Σαοὺλ κατελύθησαν, μηδὲν βλαβέντος ὑπ' αὐτῶν τοῦ Δαυίδ.

v. 4. B. f. 56. b, et partim Cord. p. 327. Ἢ καὶ χείμαῤῥοι ἀνομίας, διὰ τὸ εἰς ἀνομίαν ἔρχεσθαι τοὺς μὴ γενναίως ὑφισταμένους πειρατήρια· καὶ μὴν ὠδῖνες θανάτου καὶ ᾅδου τὰ πρὸς θάνατον ἁμαρτήματα· οὐκοῦν καὶ χειμάῤῥους ἀνομίας ἐρεῖς τὰ ῥεύματα τῆς κακίας· καὶ θανάτου κακίας, τὰς πρακτικὰς ἁμαρτίας.

v. 6. B. f. 60. Σύμφωνα δὲ ταῦτα τῷ, ἡμῖν δὲ εἷς θεὸς ὁ πατὴρ, καὶ εἷς κύριος Ἰησοῦς Χριστός· εἰ μὴ ἄρα κατὰ τοῦ αὐτοῦ ἀμφότερα λέγεται, πατρὸς καὶ υἱοῦ θεοῦ καὶ κυρίου ὄντος, διὰ τὸ ταυτὸν τῆς θεότητος καὶ κυριότητος· εἰσακουσθεὶς δὲ πιστεύει πάλιν εἰσελεύσεσθαι ἐνώπιον αὐτοῦ τὴν ἰδίαν κραυγήν· ἢ ὅτι ᾔσθετο τοῦ θεοῦ ἐπινεύσαντος, καὶ θαῤῥεῖ περὶ τῆς ἐκβάσεως.

v. 7. B. f. 60. Ἕτερος ἔφη· τὰ ὄρη ταῦτα μεθίστησιν ἀπὸ τῶν ἠπατημένων, ὁ ἅπασαν ὡς κόκκον σινάπεως ἔχων πίστιν· ἐὰν γὰρ, φησιν ὁ Παῦλος, ἔχων πίστιν ὥστε ὄρη μεθιστάνειν· τούτων ὑπῆρχε καὶ τὸ πνεῦμα τὸ σκληνιασμοῦ, περὶ οὗ φησιν ὁ σωτὴρ, εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῷ ὄρει τούτῳ μετάβηθι ἔνθεν ἐκεῖ.
v. 8. Cord. p. 328. Ἀνέβη δὲ καπνὸς ἐν ὀργῇ αὐτοῦ, τῆς μοχθερᾶς ὕλης δαπανωμένης, ἀναλογίαν ἐχούσης πρὸς τὰ

ἐποικοδομούμενα ἐπὶ τῷ Χριστῷ θεμελίῳ ὄντι ὑπὸ
φαύλων ἀνθρώπων, ξύλα, χόρτον, καλάμην·
φαῦλαι δὲ ταῦτα πράξεις καὶ γνῶμαι· οἱ δὲ ἄν-
θρακες, ποτὲ μὲν τὰς κολάσεις σημαίνουσιν· ὡς
ἐν τῷ· ἐὰν πινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν·
ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄν-
θρακας πυρὸς σωρεύσεις ὑπὸ τὴν κεφαλὴν αὐτοῦ·
καὶ τὸ, πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρὸς,
καὶ καταβαλεῖς αὐτούς· οὗτοι ἔσονται σοι βοή-
θεια· ποτὲ δὲ τοὺς διαπύρους τοῦ θεοῦ λόγους
καθαίροντας τοὺς τῆς ψυχῆς λογισμούς· καὶ δῆ-
λον ἐξ Ἡσαΐου φήσαντος· καὶ ἀπεστάλη ἓν τῶν
σεραφὶμ, καὶ ἔλαβεν ἄνθρακα ἀπὸ τοῦ θυσια-
στηρίου· πυροῖ τοίνυν εἰς φαιδρότητα τοὺς λογι-
σμοὺς τῆς ἑτοίμου πρὸς τοῦτο ψυχῆς· ἁμαρτω-
λοὺς δὲ καθαίρει, τὰς πράξεις αὐτῶν καταφλέ-
γων· τὸ δὲ πῦρ, εἰ μὴ δέξωνται τοῦτο, κατα-
Cord. p. 329. φλέξει τὸ πῦρ αὐτοὺς τὸ αἰώνιον. Ἡ δὲ κατάβα-
σις, τῇ τοῦ σωτῆρος ἀκόλουθος οἰκονομίᾳ· κατέβη
v. 9. δὲ οὐ τοπικῶς, ἀλλὰ τῷ ἐν μορφῇ θεοῦ ὑπάρ-
χων, μορφὴν δούλου λαβεῖν· τὸ δὲ ἀσαφὲς καὶ
λανθάνον τῆς τοῦ θεοῦ γνώσεως, διὰ τοῦ γνό-
φου παρίσταται· εἰς τοῦτο γὰρ καὶ Μωϋσῆς,
ὡς ἦν ἀνθρώπῳ δυνατὸν, εἰσελήλυθεν· τοιαύτη
καὶ ἡ δεῦρο ἐπιδημία τῷ μὴ δι' ὅλων ἐγνῶσθαι
τοῖς γενητοῖς.

v. 10. Τὸ δὲ χερούβ ἑρμηνεύεται πληθυσμὸς γνώ-
σεως· τοῖς οὖν λογικοῖς τούτοις ζῴοις, ἢ καὶ
ταῖς τοιαύταις ψυχαῖς, ἐπιβὰς ὁ θεὸς ἵπταται
διὰ τῆς ὀξυτάτης νοήσεως· ἀνέμους δὲ εἰ μὴν
τοὺς αἰσθητοὺς λάβοις, τῷ λόγῳ τῆς προνοίας
ἐπιβαίνει τούτων ὁ θεός, ἄγων αὐτὸς ὡς βού-
λεται· ἐξάγων γάρ ἐστιν ἀνέμους ἐκ θησαυρῶν
αὐτῶν· εἰ δὲ τοὺς πνεύματι μετεωριζομένους,
καὶ ὡς ἀνέμους πνοὰς ἐκπέμποντας, σοφοὺς ἄν-
δρας νοήσεις, ὅτι καὶ τούτων ταῖς πτέρυξιν
ὁ θεὸς ἐπιβαίνων ἵπταται πανταχοῦ, τουτέστι
ταῖς ὑψιπετέσι νοήσεσιν· καὶ ἀνέμους δὲ διδα-
σκαλίας περὶ ἑτεροδόξων λέγων, εἶπεν ὁ ἀπό-
στολος· παντὶ ἀνέμῳ διδασκαλίας ἐν τῇ κυβίᾳ
τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθο-
δίαν τῆς πλάνης· τῶν δὲ τοιούτων ἀνέμων ταῖς
πτέρυξιν ἐπιβαίνει πνεύματα πλάνα· τῆς δὲ ἀλη-
θοῦς ὁ θεὸς ἐπιβαίνων διδασκαλίας, ὅπου βού-
λεται πνεῖ.

Σκοτεινῶν νεφελῶν εἰς φῶς διὰ σαφηνείας v. 11. A. f. 91.
προελθουσῶν, οὐδεμίας ἀπολογίας ὑπολείπεται B. f. 64. et p. 33.
πρόφασις τοῖς ἁμαρτάνουσιν· διὸ εὐθέως τηλαυ-
γήσει τῶν νεφελῶν, ἀκολουθεῖ χάλαζαν καὶ ἄν-
θρακας πυρὸς εἶναι· εἴδη δὲ κολάσεων διὰ τῶν
προσηγοριῶν σημαίνεται, καὶ τῶν περὶ Χριστοῦ
προφητευομένων ἐκβάσεως τετυχηκότων· ὁ θεὸς
εὐθὺς οὐρανόθεν βροντᾷ· ἤτοι διὰ τῆς μεγαλο-
φωνίας τῶν πληρουμένων λόγων ὑπὸ Ἰησοῦ, ἢ
τῷ ἑκάστῃ διανοίᾳ ἐμβάλλειν θεολογίας ὑψηλο-
τάτους λόγους τὸν θεὸν περὶ τοῦ μονογενοῦς υἱοῦ·
μονονουχὶ τοῦτο κεκραγὼς, οὗτός ἐστιν ὁ υἱός
μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα· ἀλλὰ καὶ ἀπο-
καλύπτων τὸν υἱὸν αὐτοῦ, φωνὴν δίδωσιν ὁ ὕψι-
στος τοῖς ὑψηλῶς περὶ Χριστοῦ διαλαβοῦσιν, ὅτε
οὐχ αἷμα καὶ σὰρξ αὐτοῖς ἀπεκάλυψεν, ἀλλ' ὁ
πατὴρ ὁ οὐράνιος τὸν ἴδιον υἱόν· ὥσπερ δὲ τοῖς
παρεσκευασμένοις τὸν νοῦν πρὸς θεοπτίαν καὶ
τὴν ἀκοὴν τοῦ ἔσω . . . ὁ κύριος καὶ ὁ ὕψι-
στος τὴν φωνὴν αὐτοῦ δίδωσιν, ἵν' ὑπὸ τῆς οὐ-
ρανόθεν ἐρχομένης βροντῆς μετεωρισθέντες, ἐκ-
στῶσι μὲν τῶν γηΐνων προσπελάσωσι δὲ τῷ οὐ-
ρανῷ, τὴν εἰκόνα τοῦ ἐπουρανίου φέροντες, καὶ
τὰ ὑψηλὰ τῶν νοημάτων πρὸς τοῦ ὑψίστου διδό-
μενα λάβωσιν· οὕτω τοῖς ἐναντίως διακειμένοις
ἐξαποστέλλει βέλη ὁ κύριος ἱκανῶς ἔχοντα συν-
ταράξαι τοὺς πρότερον περὶ τὸ κακὸν ὁμονοοῦν-
τας· βέλη δὲ νῦν λέγει τοὺς προαναφωνοῦντας
τὰς κολάσεις λόγους· ἱκαναὶ γὰρ αἱ ἀπειλαὶ ἐκ-
ταράξαι καὶ θορυβῆσαι τὴν ψυχήν· ὅτ' ἂν δὲ
καὶ τὰς μετ' αἰνιγμάτων λεγομένας ἀπειλὰς σα-
φηνίσῃ, καὶ φωτίσῃ ἀστραπῶν δίκην τοὺς ὑπὸ
τῶν βελῶν τῶν προειρημένων σκορπισθέντας συν-
ταράξει· οἱ γὰρ σκορπιζόμενοι τὴν πρὸς τὸ κα-
κὸν συμφωνίαν ἀποβάλλουσιν ὡς ἐν ταράχῳ καὶ
συγχύσει γενόμενοι.

Πολλαχοῦ τῆς γραφῆς αἱ νεφέλαι τοὺς προ- v. 12. B. f. 61.
φήτας σημαίνουσιν· ἀμπελῶνα γὰρ τὸν οἶκον Ἰσ-
ραὴλ εἰπὼν, ἐντέλλεται ταῖς νεφέλαις τοῦ μὴ
βρέχειν ἐπ' αὐτόν· οὐκέτι γὰρ παρ' ἐκείνοις τὸ,
τάδε λέγει κύριος· καὶ τὸ, ἐγένετο λόγος κυρίου

πρός με· μέχρι τούτων τῶν νεφελῶν ἡ ἀλήθεια λάμπει· αὗται ταῖς ψυχαῖς ῥέουσαι λόγων πνευματικῶν, ὑετὸν οὐ γῆς ἀλλ' ἀέρος εἰσὶν τοῖς ἐπὶ γῆς ἀποσαξάμεναι, ὑπό τε τῆς σφῶν ἀρετῆς καὶ τοῦ ἐνεργοῦντος πνεύματος μετεωριζόμεναι· τὸ ἐν αὐταῖς οὖν ὕδωρ πρὸ τῆς διὰ τοῦ σωτῆρος ἐκβάσεώς τε καὶ σαφηνείας εἶναι λέγεται σκοτεινόν· ὅταν δὲ λαλήσαντος τοῦ θεοῦ ἐν τῷ υἱῷ ἐπ' ἐσχάτων τῶν ἡμερῶν, πληρωθῶσιν ὁ νόμος καὶ οἱ προφῆται ἀπὸ τῆς τηλαυγήσεως καὶ τῆς ἐπιλάμψεως, ἐνώπιον αὐτοῦ συνελεύσονται νεφέλαι φανεραὶ γινόμεναι διὰ τὸ τὸν ὑπ' αὐτῶν προαναφωνηθέντα παρεῖναι.

v. 16. B. f. 62. « Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων. » Τῶν προειρημένων ἁπάντων συμβεβηκότων, ὀφθήσονται αἱ πηγαὶ τῶν ὑδάτων· καὶ εἰ μὲν πηγάς τις λέγοι ὑδάτων τὰς ἐβε . . τῶν καλῶν ἐννοίας, ὀφθήσεσθαι ταῦτα ἐρεῖ, ἀναβαλλομένης τῆς ἐπικειμένης τῇ ψυχῇ ἀγνοίας καὶ κακίας· αὗται γὰρ περιαιρεθεῖσαι, οὐκέτι κρύψουσιν τὰς ἐν ἡμῖν πηγὰς τῶν ἀγαθῶν· εἰ δὲ καὶ πᾶσαν θεόπνευστον γραφὴν πνευματικὴν ὑπὸ ἀσαφείας κεκαλυμμένην, πηγὰς ἐρεῖ ὀφθησομένας, ἐπίστησον· ὅτ' ἂν οὖν ἐπιστρεψάντων ἡμῶν πρὸς κύριον περιαιρεθῇ τὸ τῆς ἀγνοίας καὶ ἀσαφείας κάλυμμα, ὀφθήσονται αἱ ἐγκείμεναι τῶν ὑδάτων πηγαί, ὡς εὐκόλως ἐφ' ἑκάστης ἀρύεσθαι· κατὰ τό, ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου· τοῦτο γὰρ τὸ ὕδωρ εὐφρασίας ἐστὶν παρεκτικὸν οὐσῶν σωτηρίου πηγῶν, αἳ ἀπενεμήθησαν τῷ ἱερατικῷ, καὶ νῦν ὁρᾶν τὸν θεὸν
* ita cod. ἔχοντι γένει *· κατὰ τό, ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν, κύριον ἐκ πηγῶν Ἰσραήλ.

« Καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης ἀπὸ ἐπιτιμήσεώς σου κύριε· » τῆς οἰκουμένης ἐποικοδομούσης δι' ὧν πράττει καὶ λέγει καὶ νοεῖ· θεμελίοις τισὶν προκαταβεβλημένοις, οὐκ ἂν ἁμάρτοις τὰς ἕξεις καὶ διαθέσεις . . μένης· ὅτ' ἂν διασκορπίσῃ τοὺς φαύλους τοῖς βέλεσιν αὐτοῦ καὶ συνταράξῃ ἐκλάμψει τῶν ἀστραπῶν αὐτοῦ, τῶν κρυπτῶν τῶν ἀνθρώπων φανερῶν γινομένων, φωτίζοντος τοῦ θεοῦ τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανεροῦντος τὰ θεμέλια τῆς οἰκουμένης, ἀνακαλύψει βαθέα ἐκ σκότους ἀπὸ τῆς ἐπιτιμήσεως τῆς οἰκουμένης ὑπ' αὐτοῦ κατὰ πάντων· εἰ δὲ καὶ θεμέλια οἰκουμένης λέγοι τίς τοὺς θείους ἄνδρας, διὰ τὸ εὔτονον τοῦ βίου καὶ τὴν στεῤῥότητα τῆς ἀρετῆς, ἐφ' οἷς ἐπικοδομοῦνται οἱ κατὰ Χριστὸν πολιτευόμενοι, ἀνακαλύπτεσθαι καὶ τούτους τοὺς θεμελίους συμβήσεται, ἐπιτιμήσεως γινομένης κατὰ τῶν ἁμαρτανόντων· τῆς γὰρ κολάσεως τούτων μὴ ἁπτομένης τῶν θεμελίων, φανέρωσις καὶ ἀνακάλυψις αὐτῶν ἔσται· « Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου· » Οὐ παραυτὰ τοῖς ἁμαρτάνουσιν θεὸς ἐπαφῇ τὰς τιμωρίας· εἰ γὰρ τοῦτο ἐγίνετο, τὸ πᾶν ἄρδην ἀπώλλυτο, ἀλλ' ἀγαθότητι καὶ φιλανθρωπίᾳ πολλῇ, ἑκάστοτε πλήθους ἁμαρτημάτων γινομένου· οὐ καθ' ἑκάστην ἡμέραν ἐμπνέειν αὐτὸν πνεῦμα τῆς ὀργῆς ἑαυτοῦ διὰ τὸ προαναφωνεῖν τῆς ὀργῆς τὰς κολάσεις· παιδεύσω γὰρ αὐτοὺς ἐν τῇ ὀργῇ τῆς θλίψεως αὐτῶν.

Ἐξ ὑδάτων πολλῶν, ἤτοι τῶν ταραχωδῶν καὶ v. 17. B. f. 63. b.
ἁλμυρῶν πραγμάνων τοῦ βίου· τροπικῶς θαλάττης ὀνομαζομένων, ἢ ἀντικειμένων καὶ τεταραγμένων· ἐπίστησον δέ, εἰ καὶ δόγματα τῆς ἀθεότητος ὕδωρ ἐστὶν πολὺ οὐ δυνάμενον σβέσαι τὴν ἀγάπην· δυνατοὺς δὲ ἐχθροὺς ἐξ ὧν ῥύεται ὁ θεός, τοὺς ἀοράτους ῥητέον· τάχα δὲ καὶ τοὺς ἐν ὑπεροχαῖς ἀνθρώπους, καὶ τοὺς ἀπατᾶν προτεθειμένους διὰ ψευδωνύμου γνώσεως, ὅτ' ἂν δεινοὶ περὶ σοφιστείαν ὦσιν· οὐχ ἁμάρτοι δέ τις καὶ τοὺς ἰδίους λογισμούς, ὅτ' ἂν δυσαρεστῶνται τῇ προνοίᾳ ἢ καὶ περὶ ἄλλην ἀσέβειαν ἐπανέχωσιν, ἐχθροὺς δυνατοὺς λέγων, καὶ ῥυσθῆναι ἐκ τῶν μισούντων, ὅτ' ἂν ὑπὲρ αὐτὸν κραταιωθῶσιν ἀξιοῖ, μισούντων δὲ μάτην· οὐδὲ εἷς γὰρ διὰ τὸ φαῦλος εἶναι μισούμενος, παῤῥησιάσεται πρὸς θεὸν ταύτην τὴν εὐχὴν εἰπεῖν· ἀλλ' ὅτ' ἂν διὰ Χριστὸν καὶ τὸν ὀρθὸν βίον μισῆται παρὰ τῶν ἁμαρτωλῶν τῶν τὴν θεοσέβειαν βδελυττομένων· ἔλεγχον γὰρ τῆς ἑαυτῶν πολιτείας ἡγοῦνται τὴν τοῦ δικαίου ἀναστροφήν· οὗτοι δὲ οἱ μισητικῶς πρὸς τὸν δίκαιον ἔχοντες, τότε μάλιστα ἐπιτίθενται ὅτ' ἂν κακώσεως καιρὸς ἐνστῇ· τὸ γὰρ κρίμα τῆς προνοίας ἀγνοοῦντες, οὐ δι' ἄλ-

λό τι, ἢ δι' ἁμαρτίας θλίβεσθαι τὸν δίκαιον ὑπολαμβάνουσιν· ὡς οἱ διαλεγόμενοι τῷ Ἰώβ· τοῦ γὰρ θεοῦ θλίψεσιν αὐτὸν ὑποβαλόντος ὅπως ἀναδειχθῇ δίκαιος, ἔφασκον ἐκεῖνοι ἀσεβείας καὶ ἁμαρτίας χάριν τούτοις περιπεπτωκέναι τὸν ἄνδρα· ἀλλὰ καὶ κατὰ τοῦ πταίοντος ἰσχυροὶ πάντες οἱ ἀλιτήριοι δαίμονες καὶ ὁ διάβολος, ὡς νοεῖσθαι νῦν κάκωσιν τὴν ἁμαρτίαν.

v. 19. « Καὶ ἐγένετο κύριος ἀντιστήριγμά μου. » Ἐν ἡμέρᾳ γὰρ κακώσεως ὅτ' ἂν τις πρὸς τὸν θεὸν καταφύγῃ, ἕξει αὐτὸν ἀντιστήριγμα αὐτοῦ γινόμενον, τοῦτ' ἔστιν ἀντιστηρίζοντα αὐτὸν, ἵνα μὴ κλονηθεὶς καταπέσῃ· καὶ περὶ τῆς τελείας γοῦν ψυχῆς, ἀντιστήριγμα τὸν θεὸν λόγον ἐχούσης, θαυμαστικῶς οἱ ἀποδεχόμενοι τὴν ἀνάβασιν καὶ λάμπρινσιν αὐτῆς, φάσκουσιν· « τις αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφὸν αὐτῆς;

v. 20. A. f. 36. « Καὶ ἐξήγαγέν με εἰς πλατυσμόν. » Ἀντιστήριγμα γὰρ ὁ κύριος γινόμενός τινι, ἐξάγει αὐτὸν ἐκ τῆς στενότητος τῶν θλιβερῶν, πλατυσμὸν αὐτῷ δωρούμενος· κατὰ τὸ, ἐν θλίψει ἐπλάτυνάς μοι· ἐν θλίψει δὲ πλατύνεταί τις, οὐκ ἔξω τῆς θλίψεως πάντως γινόμενος, ἀλλὰ γενναίως καὶ εὐλαβῶς πρὸς αὐτὴν τεταμένος·
v. 20. « Ῥύσεταί με, ὅτι ἠθέλησέν με. » Κἂν ὅτι
μάλιστα πλείστην ἔχωσι δύναμιν, ἠθέλησεν γάρ
v. 21. με, πάντα τὰ θελήματα αὐτοῦ ποιοῦντα. « Καὶ
» ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην » μου, καὶ κατὰ τὴν καθαρειότητα τῶν χειρῶν » μου ἀνταποδώσει μοι. » Πάνυ γε καθαροῦ καὶ τελείου ἡ παῤῥησία, μηδὲν κἂν τὸ βραχύτατον καταγινώσκοντος ἑαυτοῦ· ὅθεν οἱ τὸν ψαλμὸν τοῦτον ἐκ προσώπου τοῦ σωτῆρος εἰρῆσθαι θέλοντες, καὶ ταύτην τὴν λέξιν προσάπτουσιν αὐτῷ πεπειραμένῳ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· δικαιοσύνην δὲ, τὴν καθόλου πρακτικὴν ἀρετὴν λέγει· καθαρειότητα δὲ χειρῶν, τὰς πρακτικὰς ἐνεργείας καθαρὰς καὶ ἀμολύντους γινομένας τῷ ἀπὸ βελτίστης λέξεως ἐπιτελεῖσθαι· πολλαχοῦ γὰρ τὰς χεῖρας ἐπὶ τῶν πρακτικῶν δυνάμεων λεγομένας ἐστὶν εὑρεῖν.

v. 20. B. f. 63. Θέλει θεὸς τὸν ποιοῦντα αὐτοῦ τὰ θελήματα. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου, καὶ οὐκ ἠσέ- B. f. 22.
» βησα ἀπὸ τοῦ θεοῦ μου. » Ταῦτα δὲ οὐκ ἀλαζονικῶς φησὶν, ὥς τινες οἴονται, ἀλλ' ἀνατιθεὶς τῷ θεῷ τὴν αἰτίαν τῶν κατορθωμάτων· φυλάσσει δὲ τὰς ὁδοὺς κυρίου, ὁ ταῖς ἐντολαῖς αὐτοῦ πορευόμενος, καὶ οὐκ ἀσεβεῖ ἀπὸ τοῦ θεοῦ ἑαυτοῦ· ὁ ὀρθῶς περὶ τῶν τῆς ἀληθείας δογμάτων διειληφὼς, ἀμέμπτως περὶ θεοῦ ἐννοῶν, καὶ ἁγίως περὶ Χριστοῦ διαλαμβάνων, καὶ εὐσεβῶς περὶ τοῦ ἁγίου πνεύματος ἐνθυμούμενος, καὶ περὶ τῶν ἄλλων δογμάνων ὃν δεῖ τρόπον δοξάζων.

« Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου. » v. 23.
Εἰ γὰρ καὶ ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀβύσσῳ ἐοικότα διὰ τὸ ἀκατάληπτον, ἀλλ' οὖν γε δυνατὸν ἐνώπιον αὐτὰ ἔχοντα, μὴ δυσαρεστεῖσθαι τῇ προνοίᾳ, μηδὲ ἀσεβεῖν εἰς τὸν προνοούμενον· εἰ γὰρ καὶ μὴ καταλαμβάνωμεν, ἀλλά γε διατεθέντες ὅτι θεοῦ κρίσει ταῦτα ἐπιτελεῖται, εὐαρεστούμεθα αὐτοῖς· καὶ αὐτὸ δὲ τὸ ὄνομα τὸ κρίματα, τὴν ὀρθότητα τῆς διοικήσεως σημαίνει· ἐμπεριέχεται γὰρ καὶ συνεξακούεται τῷ κατὰ δικαιοσύνην γεγονέναι, τῶν παρὰ τὸ ὀρθὸν ἐπιτελουμένων κριμάτων αὐτὸ τοῦτο ἀδίκων καὶ διεστραμμένων. « Ἕνεκεν γὰρ τού» του, φησὶν, ἐξελεύσεται τὸ κρίμα διεστραμ» μένον καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα » ἀπ' ἐμοῦ. » Τῶν τοῦ θεοῦ, φησὶ, δικαιωμάτων ἀντέχομαι· ἀναχωροῦσι γὰρ ἐκείνων τῶν μὴ περιεχομένων αὐτῶν· δικαιώματα δὲ ῥητέον τὰ κατ' ἰσότητα καὶ δικαιοσύνην νενομοθετημένα· ὡς τὸ « ἐὰν κτήσῃ παῖδα ἑβραῖον, καὶ τὰ ἑξῆς· » τούτων γὰρ ἁπάντων προτέτακται καὶ ταῦτα τὰ δικαιώματα· οἷς παραθήσεις καὶ τὰ ἑξῆς· δύναται δὲ τὰ ἅμα τοῖς δικαιώμασιν ὠνομασμένα σημαίνειν τοὺς δεδοκιμασμένους καὶ ἐξητασμένους τοῦ θεοῦ λόγους· οὗτοι γὰρ διὰ τὸ μὴ ἐλέγχεσθαι ἢ ἀνατρέπεσθαι κεκριμένοι ὄντες, κρίματα εἴρηται· ταύτῃ γὰρ καὶ οἱ λογισμοὶ τῶν δικαίων κρίματα, τοῦτ' ἔστιν ἠκριβωμένοι· καὶ αὐτὸ τοῦτο κανόσιν ἐοικότες.

Τάχα οἱ μὴ διὰ θεὸν ἀλλὰ διὰ δόξαν ἢ ἕτε- v. 24. A. f. 63. b.
ρόν τι τὸ ἄμωμον ἔχοντες καὶ ἀναμάρτητον, ἄμωμοι μὲν εἶναι δύνανται, οὐ μὴν μετὰ θεοῦ· οἱ

δὲ διὰ θεὸν τὸ ἀγαθὸν καὶ μὴ ἄλλου του χάριν ἀσπασάμενοι, μετὰ Θεοῦ εἰσὶν ἄμωμοι· αὕτη γὰρ ἡ πρὸς Θεὸν ἕνωσις, ἀμώμους καὶ ἀγαθοὺς φυλάττει· οἱ δὲ ἀποζευγνύμενοι καὶ χωριζόμενοι Θεοῦ, μωμητοὶ εὐθὺς γίνονται, τέκνα μωμητὰ διὰ τὸ ἁμαρτεῖν γινόμενα· «Καὶ φυλάξομαι ἀπὸ » τῆς ἀνομίας μου· » Ὁ τὰ προειρημένα πάντα κατορθώσας, πῶς ἰδίαν αὐτοῦ ἀνομίαν λέγει; ἐπιστήσεις μή ποτ' οὖν ὃ βούλεται λέγειν ἐστὶν τοῦτο· ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἔγκειται ἐπιμελῶς ἐκ νεότητος, ὡς ἐπιῤῥεπῶς ἔχειν πρὸς τὸ ἁμαρτάνειν ἡδονῇ θελγόμενος· ὁ οὖν τῷ νόμῳ τοῦ Θεοῦ ἑαυτὸν ἐπιδεδωκὼς, φυλάττεται ἀπὸ τῆς ἐνσκιρτωσάσης τῶν ἀνθρώπων ἀνομίας· τάχα δὲ καὶ τὸ λεγόμενον ἐν ἡμῖν τῆς σαρκὸς φρόνημα ἔχθρα ὂν πρὸς Θεὸν, καὶ τῷ νόμῳ αὐτοῦ μὴ ὑποταττόμενον, ἀνομία τοῦ ἀνθρώπου ἐστὶν, ἀφ' ἧς φυλάττεταί τις, πνεύματι τὰς πράξεις τοῦ σώματος θανατῶν, καὶ ἀπεχόμενος τῶν τῆς σαρκὸς ἔργων.

v. 25. « Καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δι-
» καιοσύνην μου. » Δικαιοσύνην ἐνταῦθα καλεῖ τὴν ἐκ πίστεως Ἰησοῦ Χριστοῦ συνισταμένην· δικαιοσύνη γὰρ Θεοῦ πεφανέρωται ἐπὶ πάντας τοὺς πιστεύοντας· τῷ γὰρ ὀρθῶς πιστεύοντι, ἡ πίστις εἰς δικαιοσύνην λογίζεται· συζύγως δὲ καθαρειότητα χειρῶν ἐρεῖς τὰ λαμπρῶς καὶ ἀμολύντως ἐνεργούμενα τῆς πίστεως ἔργα· ὧν χωρὶς, ἡ πίστις νεκρά ἐστιν.

v. 26. 36. b. Ἀθρόως μεταβολῆς προσώπου γεγενημένης, ἐρεῖ τις πρὸς τὸν θεὸν τοὺς προκειμένους στίχους λέγεσθαι διὰ τὰ ἑπόμενα· οὐκ ἄλλῳ γὰρ ἐρεῖ τὸ, ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις, ἢ τῷ Θεῷ· ἄλλος δὲ λέξει μὴ πρὸς τὸν θεὸν, ἀλλὰ πρὸς ἄνθρωπον ταῦτα λέγεσθαι, τῷ τὸν ὁσίοις συνδιατρίβοντα μιμεῖσθαι ἐκείνων τὴν ἀρετήν· τὸν δὲ σὺν φαύλοις ὄντα, διαστροφὴν ὑφίστασθαι, ᾗ φησὶν ἡ θεία τῶν παροιμιῶν γραφή· ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσιν, γνωσθήσεται· ἑρμηνεύσεις οὕτως· μετὰ τοῦ ὁσίου, ὦ δέσποτα, ὁσιωθήσῃ, παρέχων αὐτῷ τὴν ἐκ σοῦ χορηγουμένην ὁσιότητα, ἵνα τελειωθέντα κατ'
αὐτὴν εἰς τὴν ἁρμόζουσαν ἐπαγγελίαν εἰσάξῃς,
καὶ τὰ ἄλλα ἀκολούθως τῷ πρὸ αὐτοῦ. Εὖ δὲ v. 27.
φησὶ καὶ τὸ εἰπεῖν, διαστρέψεις· δυναμένου γὰρ εἰπεῖν, μετὰ στρεβλοῦ διαστρέφῃ, τοῦτο μὲν οὐκ εἴρηκεν, ἀλλὰ διαστρέψεις· τὴν γὰρ πρὸς τὰ φαῦλα πορείαν κωλύων ὁ Θεὸς, διαστρέφει τὸν ἔπειτα κατατρέχοντα, φράσσων τὴν ὁδὸν αὐτοῦ ἐν σκώλοψιν, καὶ τὰς τρίβους αὐτοῦ ἀνοικοδομῶν· ἀρχὴ γὰρ εὐεργεσίας, τὸ κωλύεσθαι τῶν κακῶν· ὁ δὲ δὴ ἐπ' ἀνθρώπου ἐξειλῆφθαι βουλόμενος, ἐρεῖ τὸν συνόντα ὁσίῳ ἄνδρα, ἐκ τῶν πραττομένων ὁσίων ὁσιοῦσθαι· ὡς Ἐλισσαιὲ μετὰ τοῦ Ἠλία, καὶ Τιμόθεος μετὰ τοῦ Παύλου· καὶ ὁ σὺν τῷ ἀθώῳ σπεύδων εἶναι, τὴν ἐκείνου ἀρετὴν σπασάμενος, ἀθῶος ἔσται· ὁμοίως δὲ καὶ ὁ ἀνδρὶ ἐκλεκτῷ συνδιατρίβων, καὶ ὁ στρεβλῷ δὲ συνὼν κατὰ τὸ ἐθέλειν αὐτῷ ἐξομοιοῦσθαι, διαστρέψει ἑαυτοῦ τὸν βίον· ὁ δὲ οὕτως τοὺς στίχους σαφηνίσας, μεταβαλεῖ πρὸς
τὸν Θεὸν τὸ πρόσωπον ἀπὸ τοῦ « ὅτι σὺ λαὸν v. 28.
» ταπεινὸν σώσεις.

« Ὅτι σὺ φωτιεῖς λύχνον μου, κύριε· ὁ Θεός v. 29.
» μου φωτιεῖς τὸ σκότος μου. » Τὸ δεκτικὸν φωτὸς τῆς ψυχῆς μόριον, ἤτοι δύναμις, τοῦτ' ἔστιν ὁ νοῦς ὃ καὶ λογιστικόν τινες καλοῦσιν, λύχνος αὐτῆς εἶναι λέγεται· οὐκ ὢν αὐτὸς κατ' οὐσίαν φῶς, ἀλλὰ φωτὸς δεκτικός· τὸ δὲ σκότος αὐτῆς, τὸ θυμοειδὲς καὶ ἐπιθυμητικόν ἐστιν· ὅτ' ἂν οὖν ὁ νοῦς φωτισθῇ ὑπὸ τοῦ κυρίου, μεταδόντος αὐτῷ τῶν ἰδίων αὐγῶν, τὸ τηνικάδε καὶ τὰ τῆς ψυχῆς ἄλογα κινήματα, φωτίζεται ἐπιστημονικῶς ἐπιτελούμενα· οὐχ ὅτι ἐξ αὐτῶν τὰ ἄλογα μετέχει φωτὸς, ἐπιστήμης γὰρ ἀνεπίδεκτα, ἀλλ' ὅτι ὑπὸ τοῦ πεφωτισμένου, ὑπὸ ἐπιστήμης καὶ ἀρετῆς, ὃν δεῖ τρόπον ἄγονται· ὅτ' ἂν οὖν ὑπὸ τοῦ κυρίου φωτισθῇ ὁ νοῦς, ὃς εἴρηται λύχνος, ἀναγκαίως ἀκολουθήσει καὶ τὸ φωτισθῆναι τὸ εἰρημένον ἡμῶν σκότος· εἰ δὲ τὸ ἐν ἡμῖν πεφυκὸς φωτίζεσθαι, τοῦτ' ἔστιν ὁ νοῦς, δι' ἄνοιαν καὶ ἀνεπιστημοσύνην σκότος εἴη, πολλῷ πλέον αἱ ἄλογοι τῆς ψυχῆς δυνάμεις, οὐκ ἔχουσαι πεφωτισμένον ἡγεμόνα, ἐπιτεταμένον εἶεν σκότος. Καὶ τοῦτό ἐστιν ὃ φησὶν ὁ σωτήρ·

εἰ οὖν τὸ ἐν σοὶ φῶς, σκότος ἐστιν, τὸ σκότος πόσον; εἰ γὰρ ὁ ὀφθαλμὸς τοῦ σώματος, τοῦτ᾿ ἔστιν ὁ νοῦς ὀφείλων εἶναι λύχνος ἐςέρηται φωτὸς, πολλῷ πλέον τὸ ἄλλο, ἵν᾿ οὕτως εἴπω, σῶμα τῆς ψυχῆς σκότος ὑπάρχει· σῶμα δὲ οὐχ ὃ περίκειται ἀνθρώπινον, ἀλλὰ τὸ κατὰ τὴν ἄλογον σύστασιν αὐτῆς τυγχάνον· τάχα δὲ καὶ οἱ τὴν γνῶσιν τῆς ἀληθείας πεφωτισμένοι, ἐξημμένον ἔχουσι τὸν λύχνον, τοῦ κυρίου αὐτοῖς τοῦτο δεδωκότος· τὰς δὲ πράξεις κατ᾿ ὀρθὸν ἄγοντες ἐκ τοῦ πεφωτίσθαι τὸν νοῦν, καὶ τὸ σκότος αὐτῶν ἔχουσι φωτιζόμενον. Οὐχ ἥκιστα δὲ καὶ τοῦτο ῥηθείη· οἱ θεωρίαν ἐπιστημονικὴν περὶ τῶν νοητῶν καὶ ἀοράτων πραγμάτων ἐσχηκότες, πεφωτισμένον ὑπὸ κυρίου ἔχουσι λύχνον· ἀλλὰ καὶ περὶ τῶν αἰσθητῶν εὖ μάλα κατὰ τὴν γνώμην διακείμενοι, τὴν αἴσθησιν φωτεινῶς ἀντιλαμβανομένην τῶν πραγμάτων ἔχουσιν, ἢ τις σκότος ἐστὶν τῷ μὴ πεφυκέναι καθ᾿ ἑαυτὴν φωτίζεσθαι, τοῦτ᾿ ἔστιν ἐπιστήμην δέχεσθαι· ἢ γὰρ ἂν καὶ τὰ ἄλογα ἐπιςήμην ἐδέχοντο, αἴσθησιν ἔχοντα.

v. 30. A. f. 95. «Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου,
» καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.» Οὐκ ἄλλως ῥυσθῆναι δυνατὸν ἀπὸ τῶν περιεστηκότων πραγμάτων πικρῶν, ἢ ἐν θεῷ γινόμενον· ἐν θεῷ δέ τις γίνεται, μετέχων αὐτοῦ· ὡς γὰρ ἐκ τῶν ἀγνοημάτων ῥύεταί τις ἐν ἐπιςήμῃ γεγενημένος, οὕτως ἐν θεῷ τις σπεύδων εἶναι, ῥυσθήσεται ἀπὸ πειρατηρίου, εἰς πειρασμὸν μὴ εἰσερχόμενος· οὐ τῷ ἐκτὸς πειρασμοῦ γενέσθαι· ἀλλὰ τῷ μὴ ἁλῶναι ταῖς παγίσιν αὐτοῦ· διὰ τοῦτο γὰρ καὶ ὁμολογῶν Ἰησοῦν ἔμπροσθεν τῶν ἀνθρώπων, ἐν αὐτῷ ἐστιν· «πᾶς γὰρ ὃς ἂν » ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, » ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πα» τρός μου ἐν τοῖς οὐρανοῖς·» ὁμολογεῖ τις γὰρ Ἰησοῦν μετέχων αὐτοῦ, καὶ ὁμολογεῖται ὑπὸ τοῦ θεοῦ ἐν αὐτῷ τυγχάνων· διατειχίζει δὲ ἡμᾶς ἀπὸ τοῦ θεοῦ, τὸ πλῆθος τῶν πρὸς ἡμῶν παραλόγως πραττομένων· καὶ διΐςησιν ἥ φησιν ὁ προφήτης· «μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου ῥύσασθαι; » ἢ ἐβάρυνεν τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; » ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διΐστῶσιν ἀνα» μέσον ὑμῶν καὶ τοῦ θεοῦ.» Καὶ ὅτ᾿ ἂν οὖν ἐν θεῷ τις γένηται κολλώμενος αὐτῷ πρὸς αὐτὸν γινόμενος, ὑπερβαίνει τὸ τῶν ἁμαρτημάτων τεῖχος, εἰς νῶτον καὶ ὀπίσω αὐτὰ ῥίπτων, ἵνα μὴ ὑπὸ μηδενὸς διϊργόμενος τοῦ θεοῦ προσβάλῃ αὐτῷ πρόσωπον πρὸς πρόσωπον· τάχα δὲ καὶ ὁ τῶν σωματικῶν καὶ αἰσθητῶν ὄγκος, χωρῶν μεταξὺ τῆς νοήσεως ἡμῶν καὶ θεοῦ, διαζεύγνυσιν ἡμᾶς αὐτοῦ· ὅτ᾿ ἂν οὖν ἐπιστημονικῶς κατὰ τὸ δυνατὸν τῇ περὶ θεοῦ ἐννοίᾳ ἀνωτέρω πάντων σωμάτων καὶ αἰσθήσεως αὐτὸν καταλάβωμεν ἑνωθῆναι αὐτῷ γλιχόμενοι, ἀναχωροῦμεν τῶν αἰσθητῶν καὶ σωμάτων, ὡς ὑπερπηδῆσαι τὸν κόσμον καὶ τὰ ὁρατὰ πάντα, ἵν᾿ οὕτω τῷ θεῷ παραστῆναι δυνηθῶμεν.

Ὁ ἡμέτερος θεὸς ἄμωμον ἔχει τὴν πρὸς αὐ- v. 31. B. f. 64
τὸν ἄγουσαν ὁδόν· αὕτη δέ ἐστιν ἡ ἀρετή, ἣν ὁδεύοντες διὰ μελέτης καὶ ἀσκήσεως, ἄμωμοι ἀποδειχθησόμεθα πρὸς αὐτὸν ἐρχόμενοι· μάλιςα δὲ ἄμωμος εἴη ὁδὸς θεοῦ ὁ εἰπών, ἐγώ εἰμι ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· διὰ ταύτης γὰρ τῆς ὁδοῦ πρὸς τὸν πατέρα ἐλθεῖν ἐστιν· «τὸ » λόγιον κυρίου πεπυρωμένον· τῷ ἄδολον καὶ κα» θαρὸν εἶναι, ἢ τῷ πῦρ εἶναι θερμαῖνον τοὺς » μετέχοντας ἀναλίσκειν τὴν τῆς ὕλης ἀχυρ» μίαν, ὑπερασπιστής ἐστιν πάντων τῶν ἐλπι» ζόντων ἐπ᾿ αὐτόν.» Οἱ ἐπιγνώμονες τῆς προσούσης αὐτοῖς ἀσθενείας, ὅτ᾿ ἂν ἰσχυροτέρους φωράσωσι τοὺς προσπολεμοῦντας, ἐπὶ θεὸν τὴν ἐλπίδα ῥίψαντες, ὑπέρμαχον ἔχειν αὐτὸν ἀξιοῦσιν· πολέμησον λέγοντες τοὺς πολεμοῦντας με· καὶ οὕτως θεὸς, τῇ ἑαυτοῦ ἀσπίδι ὑπερμαχεῖ αὐτῶν· κατὰ τὸ, ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

«Ὅτι τίς θεὸς πάρεξ τοῦ κυρίου;» Οὐδεὶς γὰρ v. 32.
ἀληθῶς κύριος θεὸς, πλὴν τοῦ θεοῦ λόγου, ὡς καὶ μονογενὴς θεὸς εἴρηται, διὰ τὸ μόνος εἶναι ὡς ὁ πατὴρ θεός· πάντες οἱ ἄλλοι παρουσίᾳ θεοῦ λόγου θεοὶ κατασκευάζονται· ἐκείνους γὰρ θεοὺς, εἶπεν, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο· ὁ δέ γε σωτὴρ οὐ μετέχων θεότητος, θεός ἐστιν, ποιητικὸς ὢν θεῶν· καὶ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν; εἰπὼν μηδένα θεὸν κυρίως εἶναι πλὴν τοῦ κυρίου, λέγει μηδὲ θεὸν εἶναι τινὰ ὡς τὸν θεὸν

ἡμῶν. οὐδεὶς γὰρ τῶν κατὰ μετοχὴν θεῶν ὡς ὁ κύριος Ἰησοῦς Χριστὸς εἶναι δύναται· ἢ ὁ θεὸς ἡμῶν, ὡς ὁ τοῦ μονογενοῦς πατήρ· ἡμῖν γὰρ εἷς θεὸς ὁ πατὴρ καὶ εἷς κύριος Ἰησοῦς ὁ Χριστός· εἰ δὲ καὶ ἐκ παραλλήλου οἱ δύο στίχοι εἰρῆσθαι δύνανται, καὶ αὐτὸς ἐπιστήσεις.

v. 33. 97. b. 28. b. Ἐνταῦθα περιζωννύων με δύναμιν λέγεται· παρὰ δὲ Παύλῳ τὴν ἀλήθειαν περιζώννυνται οἱ τὴν πανοπλίαν τοῦ θεοῦ ἐνδυσάμενοι· ἐξ οὗ συνάγεται, τὴν ἀλήθειαν εἶναι τὸν Χριστὸν τὴν θεοῦ δύναμιν· φησὶ γὰρ ὁ σωτὴρ, ἐγώ εἰμι ἡ ἀλήθεια· ὁ δὲ Παῦλος Χριστὸς θεοῦ δύναμις.

v. 34. Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, τοῦτ᾽ ἔστιν ἀπέδειξεν· τὸ γὰρ θεῖναι νῦν, τὸ ἀποδεῖξαι σημαίνει· ὥσπερ καὶ τὸ, ὃν ἔθηκε κληρονόμον πάντων· καλῶς δ᾽ ἔχει καὶ ἀπὸ τούτου τοῦ στίχου ἐκ προσώπου Χριστοῦ τὸν ὅλον ψαλμὸν ἀπαγγέλθαι· ὁ ταῦτα δὲ λέγων, ἀναιρήσας τὰς ὀφιώδεις κακίας, καὶ τὰς ἐνεργησάσας αὐτὰς πονηρὰς δυνάμεις ὑπὸ θεοῦ, τοὺς τοῦ ἔσω ἀνθρώπου πόδας, τοῦτ᾽ ἔστιν τὰς πορευτικὰς δυνάμεις, κατηρτισμένους ἔχει, ἵνα δυνηθῇ εἰπεῖν «ἄνευ ἀνομίας ἔδραμον, καὶ κατηύθυνα·» καὶ πληρώσας τὴν πορείαν ἐν τοῖς ὑψηλοῖς, ἀκούσεται πρὸς τοῦ θεοῦ· σὺ δὲ αὐτὸς στῆθι μετ᾽ ἐμοῦ· καὶ τὸ ἑστάναι δ᾽ ἐν τοῖς ὑψηλοῖς, οὐκ ἐξ ἑαυτοῦ τις ἀλλ᾽ ἐκ τοῦ θεοῦ ἔχει.

v. 35. 35. b. «Διδάσκων χεῖράς μου εἰς πόλεμον.» Ὥσπερ τὰ ἄλλα καλὰ, οὕτω καὶ τὸ πολεμεῖν πρὸς τὰς ἀντικειμένας δυνάμεις πρὸς τοῦ θεοῦ διδασκόμεθα· τὰς γὰρ χεῖρας τῆς ψυχῆς, λέγω δὴ τὰς δραστηρίους αὐτοῦ δυνάμεις τυποῖ· ὥστ᾽ ἐπιστημονικῶς κατέχειν τὴν νοητὴν ἀσπίδα καὶ τὴν μάχαιραν τοῦ πνεύματος, καὶ ἄλλα ὅσα πνευματικὰ ἀμυντήρια, καὶ τὸ πῶς χρῆσθαι δεῖ τοῖς τοιούτοις παιδεύων· ἀλλὰ γὰρ καὶ ὁ σωτὴρ ἄνθρωπος γενόμενος ὑπὲρ ἡμῶν πολεμήσας, ἐδίδαξεν ἡμᾶς καταπαλαίειν καὶ καταπολεμεῖν τὴν ἀντικειμένην δύναμιν· καὶ εἰς εὐχὴν δὲ, φησὶ, τὰς χεῖρας ἐκτείνων περιγίνομαι τῶν δυσμενῶν· « Καὶ ἔθετο τόξον χαλκοῦν τοὺς βραχίονάς μου, » διδάξας τὰς χεῖράς μου εἰς πόλεμον· » συμβολικῶς βραχίονας ὀνομαζομένας, χαλκοῦν ἔθετο τόξον· διὰ μὲν τοῦ χαλκοῦ, τὸ ἄτρωτον ἢ εὔτονον παριστάς· διὰ δὲ τοῦ τόξου, τὸ ἀπολύεσθαι βέλη ἀπὸ τῶν βραχιόνων τῶν ἡμετέρων, τρῶσαι δυνάμενα τοὺς ἀντιταγμένους.

« Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας·» v. 36.
πρὸς τούτοις ἅπασιν καὶ ὑπερασπισμὸν σωτηρίας μοι δέδωκας τὸν σὸν υἱὸν καταπέμψας τῇ ἰδίᾳ ἀσπίδι ὑπὲρ ἐμοῦ μαχησόμενον. « Ἀλλὰ καὶ ἡ παιδεία σου, φησὶν, ἀνώρθωσέν με εἰς τέλος· » ἤτοι ἡ παιδευτικὴ διδασκαλία, καὶ ἡ ἐπίπονος ἀγωγή· εἰς τέλος δὲ, τοῦτ᾽ ἔστιν εἰς τελείαν ἀνάστασιν καὶ στάσιν με ἤγαγεν· ἡ γὰρ παιδεία σημαίνει τὴν παιδευτικήν· ὡς ἐν τῷ, ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς· ἀλλὰ καὶ τὴν ἐπίπονον, διὰ τοῦ μὴ ὀλιγώρει παιδείας κυρίου. αὕτη δὲ ἡ ἑκατέρως παιδεία σου, διδάσκαλος τῶν καλῶν μοι γεγένηται. Σύμμαχος δὲ ἐξέδωκεν, καὶ τὸ ὑπακούειν με αὐξήσει με· ὁ δὲ Ἀκύλας, καὶ πραότης σου ἐπλήθυνέν με.

« Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω v. 37.
» μου. » Τὰ διαβήματα καθὰ ἐκ κακίας εἰς ἀρετὴν, καὶ ἐξ αἰσθητῶν ἐπὶ νοητὰ, καὶ ἀπὸ τοῦ παρόντος εἰς τὸν μέλλοντα αἰῶνα διαβαίνω· ἐπλάτυνας ὑποκάτω μου· κατ᾽ ἀρχὰς γὰρ στενὰ καὶ ἐπίπονα φαινόμενα, τῷ τὴν τεθλιμμένην ὁδεύειν ὁδὸν, ὑπεράνω αὐτῶν τῇ προκοπῇ γεγενημένος, πλατυνθέντα αὐτὰ ἐθεασάμην· ὁ γὰρ ἀνωτέρω τῶν προκοπῶν γεγενημένος, τῷ ἐπὶ τέλος ἐφθακέναι, οὐκέτι αἰσθάνεται τῆς στενότητος τῶν πόνων καὶ ἱδρώτων τῶν ἐπὶ ταῖς προκοπαῖς, ἐν εὐρυχωρίᾳ γεγενημένος· « Καὶ οὐκ » ἠσθένησε τὰ ἴχνη μου· » Εἰ διηνεκῶς ἐν τῷ πᾶν εἶναι ἐτέλουν, κἂν ἠσθένησε τὰ ἴχνη μου, τοῦτ᾽ ἔστιν τοῦ ἔσω ἀνθρώπου τὰ σκέλη· ἐπειδὴ δὲ μετὰ τοὺς ὑπὲρ ἀρετῆς καμάτους ἀνάπαυλα διαδέχεται, οὐκ ἀσθενεῖ, ἀλλ᾽ ἰσχυροποιεῖται τὰ ἴχνη μου· ὥστ᾽ ἂν εἰπεῖν ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου· ἀλλὰ καὶ ὁ Ἰησοῦ ἑπόμενος, ἐπακολουθεῖ τοῖς ἴχνεσιν αὐτοῦ, ἐξ αὐτοῦ τοῦ πατεῖν τὴν τετριμμένην ὑπὸ Ἰησοῦ ὁδὸν ἰσχυρὰ κτᾶται τὰ ἴδια ἴχνη· ὡς ἔργῳ φάναι, οὐκ ἠσθένησε τὰ ἴχνη μου.

Διὰ μυρίων συνεργηθεὶς ὑπὸ θεοῦ, θάρσος v. 38. B. f. 38. B. f. 65.

ἀνέλαβεν καταδιῶξαι τοὺς ἐχθρούς· τῆς δὲ κα-
ταδιώξεως τέλος, ἡ ἐκείνων εἰς τέλος ἔκλειψις·
v. 39. οὐ γὰρ κόπος οὔτε φόβος μοι ἐνεπόδισεν· « Ἐκ-
» θλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι.»
Φειδόμενος τῶν ἐχθραινόντων ἐκθλίβει αὐτοὺς,
ὅπως μὴ βέβαιοι καὶ ἀμετακίνητοι ἐν τῇ ἔχθρᾳ
γένωνται· οὐ γὰρ ἀπολέσαι αὐτοὺς προελόμενος
* ita cod. θλίψει περιβαλεῖ, ἀλλ' ἵνα αἰσθηθέντες οἱ * κα-
κῶν εἰσιν, παύσωνται τῆς φιλέχθρου προαιρέ-
σεως· « Πεσοῦνται ὑπὸ τοὺς πόδας μου. » Τὸ
πεσεῖν τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας τοῦ ἁγίου,
οὐκ ἄλλο τι σημαίνει ἢ ὑποταγὴν τῶν διαφορῶν·
ὡς γὰρ φαῦλον τὸ ἐν τῇ χειρίστῃ ἕξει, ἀρχὴ
σωτηρίας τὸ πεσεῖν· πεσὼν γάρ τις ἀπ' αὐτῆς,
οὐκέτι ἀντιτείνει.

v. 40. A. f. 99. Πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ συνεπό-
δισας, οὐκ ἐπιτρέπων αὐτοῖς ἔμπροσθεν τῆς
κακίας ἐλαύνειν· κωλυθέντες γὰρ τῆς ἐπὶ τὸ κα-
κὸν ὁρμῆς, ὑποκάτω μου γενήσονται, οὐκέτι διά-
φορόν με λογιζόμενοι, ἀλλ' ἄρχοντα καὶ κεφαλὴν
v. 41. αὐτῶν. Οὕτω γὰρ ἀντὶ μισούντων γένοιντο φί-
B. f. 65. C. f. 36. b. λοι· οὐ γὰρ κατὰ τὴν οὐσίαν, ἀλλὰ καθ' ὃ μι-
σοῦσιν ἀπώλοντο· θεοῦ γὰρ ἀγαθοῦ τὸ κακὸν ἀφα-
νίζειν, ἀλλ' οὐ τὴν οὐσίαν ᾗ συμβέβηκεν τοῦ-
το. Φησὶ γὰρ πρός τινας· « καὶ ἐὰν πληθύνητε
v. 42. A. f. 99. b. » τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν, τῷ τὰς
» χεῖρας ὑμῶν, τοῦτ' ἔστι τὰς πράξεις, φονι-
» κὰς καὶ πλήρεις αἵματος εἶναι.»

«Καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον
v. 43. » ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.»
Τούτους τοὺς περὶ ὧν ὁ λόγος παχυνθέντας τῷ
τὰ ἐπίγεια φρονεῖν καὶ ὑλικοὺς γεγενημένους, φο-
ροῦντας τὴν εἰκόνα τοῦ χοϊκοῦ, λεπτυνῶ διὰ προ-
τροπῶν, νουθεσιῶν, ἀπειλῶν, ἐπιπόνου ἀγωγῆς,
ἵν' ὡς χοῦς γεγενημένοι κατὰ πρόσωπον τοῦ
θείου πνεύματος, ἀνέμου τροπικῶς ὀνομαζομέ-
νου, ἅπαν τὸ χοϊκὸν διαῤῥιφὲν ὑπ' αὐτῶν ὑπὸ
τῆς πνοῆς τοῦ πνεύματος, καθαρὸν παντὸς χοῦ
τὸ ὑποκείμενον αὐτῶν ἐάσῃ, ὡς συμβεβήκει χοϊ-
κῷ εἶναι· εἶεν δὲ καὶ ἑκουσίως ἐπὶ τοῦτο καλούμε-
νοι· οἷς φησὶν ὡς πρὸς ὅλην πόλιν ὁ κύριος ἐκ-
τινάξαι τὸν χοῦν σου Ἱερουσαλήμ· αὐτοὺς δὲ τού-
τους καὶ ὡς πηλὸν πλατειῶν λεανεῖ· ἤτοι ὁ κύ-
ριος, ἢ ὁ μιμητὴς αὐτοῦ δίκαιος· λεανόμενος δὲ
οὕτως ὁ πηλὸς, δυνήσεται ἄγγος ὀστράκινον γε-
νέσθαι χρησιμεῦον ἐν τῇ μεγάλῃ οἰκίᾳ ἐν ᾗ χρυ-
σᾶ καὶ ἀργυρᾶ καὶ ξύλινα καὶ ὀστράκινα σκεύη
ἐστίν· ἀλλ' ἐπεὶ τὰ μὲν χρυσᾶ καὶ ἀργυρᾶ εἰς
τιμὴν, τὰ δὲ ξύλινα καὶ ὀστράκινα εἰς ἀτιμίαν
ἐστὶν, ὁ ἐκκαθαίρων ἑαυτὸν ἀπὸ τούτων, γίνε-
ται σκεῦος τιμῆς ἡγιασμένον καὶ εὔχρηστον τῷ
δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον·
τοὺς ὄντας τέως πηλὸν πλατειῶν τοῦτ' ἔστι βόρ-
βορον ἡδονῶν καὶ ἐπιθυμιῶν, ἀπαλλάττων πά-
σης τραχύτητος τῆς ἀπὸ τῶν παθῶν· ὁ ταῦτα
λέγων ὁμαλότητα διὰ τοῦ λεαίνειν ἐμποιῶν, αὐ-
τοὺς σκεύη ὀστράκινα ποιήσει, ἵν' αὐθαιρέτῳ ὁρ-
μῇ ἑαυτοὺς ἐκκαθάρωσιν ὡς εἰς τιμὴν σκεύη γε-
γενῆσθαι χρύσεα ἢ ἀργύρεα· ὡς γὰρ ἑαυτούς τι-
νὲς ἐκ χρυσῶν καὶ ἀργυρῶν σκεύη ὀστράκινα γε-
γόνασιν· «υἱοὶ γὰρ Σιὼν οἱ τίμιοι ἐπηρμένοι ἀρ-
» γυρίῳ πῶς ἐλογίσθησαν εἰς ἀγγεῖα ὀστράκινα
» ἔργα χειρῶν κεραμέως;» οὕτω γὰρ οἰκείας προ-
αιρέσεως ἐξ ὀστρακίνων χρυσᾶ ἢ ἀργυρᾶ γενή-
σονται.

Διττοῦ δὲ τοῦ τῆς γνώσεως ὀνόματος σημαι- v. 45. A. f. 101
νομένου, δηλοῖ ὅτε μὲν τὸ ἐπίστασθαι, ὅτε δὲ
τὸ ἡνῶσθαι καὶ ἀνακεκρᾶσθαι τὸν γινώσκοντα τῷ
γινωσκομένῳ· κατὰ τὸ πρότερον σημαινόμενον,
πάντας γινώσκει ὁ θεὸς, καὶ οὐ τοὺς σπουδαίους
μόνους· πρὸς γὰρ τοὺς φαύλους ὁ σωτὴρ εἶπεν·
« ὑμεῖς ἐστὲ οἱ δικαιοῦντες ἑαυτοὺς ἔμπροσθεν
» τῶν ἀνθρώπων· ὁ δὲ θεὸς γινώσκει τὰς καρ-
» δίας ὑμῶν.» Καὶ ἐν τῷ προφήτῃ· « διότι
» ἔγνων πάσας τὰς ἁμαρτίας ὑμῶν.» Κατὰ δὲ
τὸ δεύτερον σημαινόμενον, μόνους τοὺς δικαίους
εἰδέναι λέγεται· ἔγνω γὰρ κύριος τοὺς ὄντας αὐ-
τοῦ· τοὺς δὲ φαύλους ἠγνόει· ᾗ φησὶν πρὸς αὐ-
τοὺς ὁ σωτήρ· ἀποχωρεῖτε ἀπ' ἐμοῦ ἐργάται ἀνο-
μίας, οὐδέποτε ἔγνων ὑμᾶς· καὶ ὁ ἀπὸ τῶν ἐθ-
νῶν οὖν λαὸς μὴ γινωσκόμενος ὑπὸ τοῦ σωτῆρος
ὅτε εἴδωλα καὶ δαιμόνια ἐθεράπευσεν, καὶ τὴν
ἄλλην ἅπασαν ἔπραττεν κακίαν, μεταβαλὼν διὰ
μετανοίας, δουλεύειν τῷ Χριστῷ προσελήλυθεν·
εὖ δὲ καὶ τὸ εἰπεῖν ὃν οὐκ ἔγνων· οὐ γὰρ εἶπεν,
λαὸς ὃν οὐ γινώσκω ἐδούλευσέν μοι· ὁ γὰρ ἔτι

τα τῆς κακίας ἐνεργῶν, οὐ γινώσκεται· ὁ δὲ παυσάμενος τῶν ἁμαρτημάτων, οὐκ ἐγνώσθη μὲν πρότερον, γινώσκεται δὲ νῦν· τούτοις συνάδει τὸ ἀποστολικὸν φάσκον· ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσιν θεοῖς· νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ· ὅτε γὰρ ἠγνόουν Θεὸν, ἠγνοοῦντο ὑπ' αὐτοῦ· γνόντες δὲ αὐτὸν, ἐγνώσθησαν ὑπ' αὐτοῦ· ἴσως δὲ δόξειέν τισιν παρέλκον εἶναι τὸ εἰρημένον εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι, τῷ πάντα τὸν ὑπακούοντα ὠτίῳ ὑπακούειν· οὐ παρελκόντως δὲ οὐδὲ περιττῶς πρόσκειται τὸ ὠτίον τῷ πάντα τὸν ὑπακούοντα τῷ Θεῷ μὴ ἀνθρωπίνῃ καὶ θνητῇ ἀκοῇ χρᾶσθαι, ἀλλ' ὠτίῳ θείῳ, ἐκ προσθήκης τῷ ἔχοντι παραγινομένῳ· προσέθηκεν γάρ μοι ὠτίον ἀκούειν.

v. 46. A. f. 101. b. «Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ τὰ ἑξῆς.» Τῶν ἀγαθῶν ἀρχὴ καὶ πηγὴ τυγχάνων ὁ θεὸς, πατὴρ γίνεται τῶν ἀγαθοεργούντων· καὶ ὅσον ἐν τῷ ποιεῖν τὰ δέοντα τυγχάνουσιν οὗτοι, ἴδιοι υἱοὶ τοῦ Θεοῦ μετέχοντες τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ· εἰ δὲ ἀπροσεκτήσαντες, τῶν ἐναντίων μεθέξουσιν· ταῦτα δ' ἐστὶν τὰ κακὰ ἀλλοτριωθεῖεν θεοῦ· οἷς ἀκολουθήσει καὶ τὸ παλαιωθῆναι· κοινωνοῦντες γὰρ τῇ ἀρετῇ, λαμπρᾷ καὶ ἀμαράντῳ σοφίᾳ καὶ ἀγήρῳ ἀεὶ νεάζοντες ἐτύγχανον· μεταπεσόντες δὲ εἰς τὴν κακίαν, παλαιωθεῖεν ὑπὸ τῆς φθορᾶς αὐτῶν· ἵν' οὕτως εἴπω τριβακούμενοι· καὶ ἔτι ἐπεὶ περὶ Ἰουδαίων ἐστὶν ὁ στίχος, οὗτοι δὲ παρεκάθηνται τῇ παλαιότητι τοῦ γράμματος, οὐδὲ κατὰ ποσὸν ἕπεσθαι τῇ καινότητι τοῦ πνεύματος ἀνεχόμενοι, υἱοὶ ἀλλότριοι καὶ πεπαλαιωμένοι γεγένηνται· οὗτοι δὲ καὶ ἐπαμφοτεροὶ καὶ δίψυχοι γεγεννημένοι, χωλεύειν ἀπὸ τῶν σφῶν τριβῶν λέγονται· τὸ γὰρ ἐπαμφοτερίζειν, χωλεύειν Ἠλίας εἶπεν φάσκων· «ἕως » πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ἰγνύαις; εἰ » ἔστιν κύριος, πορεύεσθε ὀπίσω αὐτοῦ.» Καὶ τάχα πᾶς ὁ τὴν θείαν γραφὴν προσηκάμενος, μὴ ὡς δεῖ διανοούμενος αὐτὴν χωλεύειν ἐν αὐτῇ λέγεται· τοῦ μὴ παραδεξαμένου αὐτὴν, μή τε βαδίζοντος μήτε χωλεύοντος ἐν αὐτῇ.

v. 47. « Ζῇ κύριος καὶ εὐλογητὸς ὁ θεός.» Λέγεται ζῆν ὁ θεὸς, οὐ ζωῆς μεταλαμβάνων, ἀλλὰ ταύτην παρέχων· καὶ αὐτὸς γοῦν περὶ ἑαυτοῦ πολλάκις τὸ ζῶ ἐγὼ, λέγει κύριος, φησίν· ἀλλὰ καὶ ὁ σωτὴρ φάσκων, καθὼς ἀπέστειλέν με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, παρίστησιν ὅτι ζῇ, οὐ κοινωνίᾳ ζωῆς, αὐτὸς γάρ ἐστιν ἡ ζωή· ἐξ οὗ συνάγεται ὁμοούσιον εἶναι τῷ πατρὶ τὸν υἱόν· εἰ γὰρ ζωὴ ὁ υἱὸς οὐ μετουσίᾳ ζωῆς, ἀλλὰ ζωοποιῶν αὐτὸς τοὺς μετέχοντας αὐτοῦ· ζῇ δὲ καὶ ὁ πατὴρ χορηγῶν ζωὴν κατὰ τὰ αὐτὰ τῷ υἱῷ, τῆς αὐτῆς ἐνεργείας ἀποδιδομένης πρὸς πατρὸς καὶ υἱοῦ· ἡ αὐτὴ εἴη πατρὸς καὶ υἱοῦ οὐσία· καὶ αὕτη δὲ ἡ λέξις τοῦτο παρίστησιν· ζῶν φησὶν ὁ πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, ὡς εἰ ἔλεγεν διὰ τὸ τοιοῦτον ἔχειν πατέρα ὃς κατ' οὐσίαν ζῇ· καὶ αὐτὸς ζῶν ὑπάρχει, αὐτὸς ὁ ζῶν Θεὸς καὶ εὐλογητός ἐστιν, εὐλογήσας τοὺς ἁγίους ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις· ῥηθείη ἂν εὐλογητὸς, τῷ πᾶσαν εὐλογίαν περὶ αὐτὸν εἶναι· πᾶν γὰρ τὸ περὶ αὐτοῦ λεγόμενον καὶ φρονούμενον, καὶ εὐλόγως λέγεται καὶ φρονεῖται. « Καὶ ὑψωθείτω ὁ θεὸς τῆς σωτηρίας μου.» Ὁ τῆς σωτηρίας μου θεὸς ὑψοῦται, αἴσθησίν μου λαβόντος τοῦ μεγέθους αὐτοῦ· ὧν γὰρ μεγάλα τὰ ἔργα, καὶ αὐτοὶ μεγάλοι· ἐπεὶ οὖν ὑψηλὸν ἔργον ἡ σωτηρία τοῦ λογικοῦ ζώου, ἀνάγκη ὑψηλὸν εἶναι τὸν ταύτης αἴτιον· ὑψοῦται δὲ Θεὸς οὐκ ἐκ ταπεινοῦ τόπου εἰς ὑψηλὸν μεταβάλλων, ἀλλ' ἡμῶν μεγάλα περὶ αὐτοῦ φρονεῖν διεγνωκότων.

Ἤ τοι γὰρ εὐχαριστῶν ὑπὲρ τῆς τούτων προ- v. 50. A. f. 102.
κοπῆς καὶ σωτηρίας, ἐξομολογεῖται· ἢ τὰς ἁμαρτίας αὐτῶν εἰς ἑαυτὸν ἀναδεξάμενος, τῆς μετανοίας αὐτῶν πρεσβευτὴς γινόμενος· ἀμφότερα γὰρ σημαίνει ἐξομολογήσομαί σοι φωνή· ἀλλὰ καὶ ψάλλει ὀνόματι τοῦ πατρὸς ὁ υἱὸς, πάντα
ἐργαζόμενος κατὰ τὸ θέλημα τοῦ πατρός· «Με- v. 51.
» γαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ.» Τὰς σωτηρίας τοῦ βασίλεως Χριστοῦ μεγαλύνων ὁ πατὴρ οὐχ ἃς αὐτὸς ὁ βασιλεὺς σώζεται, ἀλλ' ἃς παρέχει τοῖς πρὸς αὐτοῦ σωζομένοις· Θεοῦ δέ ἐστιν ὁ βασιλεὺς, οὐχ ὡς αὐτοῦ τοῦ θεοῦ βασιλεύων, ἀλλὰ τῶν τῷ θεῷ ἀνακειμένων·

καὶ γὰρ τὸν ἄρχοντα, ὅτε μὲν τῶν ἀρχομένων εἶναι λέγομεν ὡς ἡγούμενον αὐτῶν· ὅτε δὲ τοῦ βασιλέως ἄρχοντα κατὰ τοὺς νόμους αὐτοῦ.

A. f. 103. « Καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ. » Ἔλεος ποιεῖ τῷ χριστῷ, ἐλεῶν τοὺς ὑπὸ χριστόν· ὑπὲρ ὧν ἱερᾶται καὶ ὧν βασιλεύει· ἱερέα γὰρ καὶ βασιλέα σημαίνει ἡ χριστὸς φωνή. « Τῷ » Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. » Εἰ μὲν περὶ τοῦ Δαβὶδ, τουτέστι παντὸς ἱκανοῦ τῇ χειρὶ εἴη ἡ λέξις, δηλοῖ ἐλεοῦντα τὸν θεὸν τοὺς πρακτικοὺς ἄνδρας, ἱκανοὺς ὄντας ἐν ταῖς ἐνεργείαις· καὶ εἴ τινες σπέρμα αὐτῶν τυγχάνουσιν, ἐκ διδασκαλίας καὶ μιμήσεως τοῦ σφῶν βίου· ὃν δὲ ποιεῖ τούτοις ἔλεον, οὐ πρόσκαιρος καὶ πρὸς ὀλίγον ἐστὶν, ἀλλ' ἕως αἰῶνος· εἰ δὲ περὶ θεοῦ τοῦ ἀληθῶς Δαυὶδ ὁ λόγος, ἀναστήσω γὰρ ὑμῖν ποιμένα ἕνα τὸν δοῦλον μου Δαυὶδ, αἰώνιον ἔλεος αὐτῷ ποιεῖ καὶ τῷ σπέρματι αὐτοῦ, τῷ τὸ χρίσμα καὶ τὴν ἱερωσύνην αὐτοῦ ἀκατάλυτον εἶναι· τῆς γὰρ παλαιᾶς ἱερωσύνης μετατιθεμένης, ἀπαράβατος ἡ Χριστοῦ ἱερωσύνη.

PSALMUS XVIII.

v. 2. A. f. 104. B. f. 67. Οἱ οὐρανοὶ οὖν τὴν θεοῦ διηγοῦνται δόξαν· δόξα δὲ θεοῦ ἤτοι ὁ μονογενὴς κατὰ τὸ τῆς δόξης ἀπαύγασμα· κατὰ τὸ, καὶ ὀφθήσεται ἡ δόξα κυρίου· ἢ ἡ διάταξις καὶ ἡ ὑπεροχὴ τῆς βασιλείας αὐτοῦ· ταύτην οὖν διηγοῦνται ὑμνοῦσαι καὶ θεολογοῦσαι αἱ οἰκεῖαι τοῖς οὐρανοῖς δυνάμεις· ὁμωνύμως οἷς οἰκοῦσιν οὐρανοῖς ὀνομαζόμεναι, κατὰ τὸν τῆς μετωνυμίας τρόπον· τὴν δὲ ποίησιν τῶν δραστηρίων θεοῦ δυνάμεων, χειρῶν αὐτοῦ ὀνομαζομένων, ἀναγγέλλει τὸ στερέωμα, οὐ τοσοῦτον λόγοις ἀλλ' ἔργοις αὐτοῖς.

B. f. 67. b. Ἀλλὰ καὶ οἱ τὸν θεωρητικὸν ἀσπαζόμενοι βίον θησαυρίζουσιν ἐν οὐρανῷ, κἀκεῖ τὴν καρδίαν ἔχοντες, οὐρανοί εἰσιν διηγούμενοι τὴν προειρημένην θεοδόξαν διὰ θεωρίας τῆς περὶ τῶν νοητῶν πραγμάτων· οἱ πρακτικοὶ δὲ στερέωμα εἰσὶν, ἑδραῖοι τυγχάνοντες, καὶ ἀπαγγέλλουσι τὴν ποίησιν τῶν τοῦ Χριστοῦ χειρῶν, ἐργαζόμενοι τὰ θεοῦ, καὶ τούτου τυγχάνοντες ἔργα· καὶ ἡ φωτεινὴ δὲ νόησις ἡμέρα οὖσα· ἐκάλεσε γὰρ ὁ θεὸς τὸ φῶς ἡμέραν· ἑτέρα φωτεινὴ νοήσει σύμφωνος οὖσα ἐρεύγεται ῥῆμα ὡς ἡ παλαιὰ γραφὴ τῶν πνευματικῶν πληρωθεῖσα τροφῶν ἀπὸ τοῦ πληρώματος ἐρευγομένη προφέρεται ῥήματα τῇ καινῇ διαθήκῃ· ἡ δὲ νὺξ ἡ βαθυτάτη τῶν μυστηρίων πραγμάτων διάληψις πρὸς ἑτέραν ἡμᾶς ἀσάφειαν ὁδηγεῖ, ἥνπερ διάληψιν δίδωσι τὸ τοῦ θεοῦ πνεῦμα τοῖς ἔχουσιν αὐτὸ, τὸ καὶ τὰ βάθη ἐρευνῶν τοῦ θεοῦ· ἡ λαλιὰ δὲ προποιοῦ * τοῖς (* ita cod.) λόγοις· οἱ δὲ λόγοι τὴν ἐπιστήμην ἐπάγουσιν, τὰς ἀποδείξεις παρέχοντες· ἀμφότερα δὲ διὰ τοῦτο παρὰ θεοῦ λέλεκται ὅπως ἂν ἀκουσθῶσιν· διὸ τοῖς ἀπειθοῦσιν οὐκ ἔστιν ἀπολογία· χωροῦσι δὲ τὸν φθόγγον ὅσοι τυγχάνουσι γῆ πρὸς σπόρον ἐπιτήδεια· τὴν λέξιν τὴν κατὰ τὸ αἰσθητὸν τῆς γραφῆς· οἱ δὲ τούτοις ὑπερβεβηκότες καὶ πέρατα χρηματίζοντες, δέχονται τὰ ῥήματα σαφῶς παιδευόμενοι· οὗ φθόγγου γὰρ ὁ Πέτρος ἀκούων ἔλεγε, ῥήματα ζωῆς αἰωνίου ἔχεις· καὶ ὁ σωτὴρ ἔφη· τὰ ῥήματα ἃ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστιν· ἀποστόλοις γὰρ ἔλεγε πέρατα τυγχάνουσιν οἰκουμένης.

Κατὰ δὲ τὸν τῆς ἀναγωγῆς νόμον, σκήνωμα (v. 6. A. f. 107. b.) θεοῦ ἡ ἐκκλησία εἶναι δύναται, τεθεῖσα ἐν τῷ ἡλίῳ, τοῦτ' ἔστιν ὅσον καὶ ὅπου ἥλιος φαίνει· συντρέχει γὰρ ταῖς ἡλιακαῖς . . τα αὐτοῦ εἰς τὰ πέρατα τῆς οἰκουμένης φθάσαντα· δύναται δὲ καὶ ἕκαστος τῶν χωρούντων θεοῦ δόξαν, σκήνωμα αὐτοῦ ὀνομαζόμενος, ἐν τῷ ἡλίῳ τῆς δικαιοσύνης, τοῦτ' ἔστιν Χριστῷ τεθεῖσθαι· τῶν γὰρ τοιούτων σκηνωμάτων κρηπὶς καὶ θεμέλιος τὸ φῶς τοῦ κόσμου· καὶ φῶς ἀληθινὸν, καὶ ἥλιος δικαιοσύνης ὁ σωτὴρ λέγεται· οὐχ οἷόν τε τούτου τοῦ φωτὸς νόησιν εἰληφέναι, ἀγνοοῦντα τὸ αἰσθητὸν φῶς· ὁ προσβαλὼν τῷ ὑπερέχοντι τῶν αἰσθητῶν· ἔστιν δὲ ὁ ἥλιος, ἐκ τῆς τούτου νοήσεως φαντασίαν λαμβάνων τοῦ νοεροῦ φωτὸς, ὥσπερ οὐκοῦν τὸ φῶς τὸ ἀληθινὸν ἐν τῷ αἰσθητῷ ἡλίῳ εὑρήσει· οὐ γὰρ προσεκτέον τισὶν ἑτεροδόξοις λέγουσιν ὅτι μετὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν ὁ σωτὴρ ἐν τῇ ἡλιακῇ σφαίρᾳ ἀπέθετο ὃ ἐφόρεσεν σῶμα, φυλάττεσθαι μέχρι τῆς δευτέρας

καὶ ἐνδόξου αὐτοῦ παρουσίας. « Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ » καὶ τὰ ἑξῆς, πρὸς τῇ λέξει νοήσεις κατὰ ἀναγωγὴν, ὅτι ὁ ἥλιος τῆς δικαιοσύνης ἐκ πασοῦ τῶν κόλπων τῶν πατρικῶν . . θεοῦ ἤτοι πράγμασιν, ἤτοι πονηραῖς δυνάμεσιν· φείσεται δὲ τοῦ ἑαυτοῦ δούλου ὁ θεὸς, ὅτ' ἂν μὴ φείσηται τοῦ ἰδίου υἱοῦ ὑπὲρ πάντων παραδοὺς αὐτόν; τὸ γὰρ φείσασθαι τοῦ υἱοῦ; πάντων ἀπώλεια· τὸ δὲ μὴ φείσασθαι, πρὸς τῷ σωτηρίαν πᾶσιν γενέσθαι· καὶ αὐτὸς ὁ υἱὸς ἐκτὸς ἔσται πάσης βλάβης, ταύτην δέχεσθαι οὐδ' ὅλως πεφυκώς.

v. 8. sq. B. f. 68. b. Cord. p. 358. Ἀξιόπιστος ὁ θεὸς μαρτυρῶν ἀγαθοῖς ἔργοις καὶ γνώσει τῆς ἀληθείας· κατὰ τὸ, πιστὸς ὁ λόγος· οὐ γὰρ πιστεύων, ἀλλ' ὡς πιστευόμενος· καὶ πάλιν· ὁ θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· καὶ πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε, ἤγουν ἡ μαρτυρία πιστὴ διὰ τὸ βέβαιον· αὕτη δὲ σοφοὺς ποιεῖ τοὺς στραφέντας καὶ γενομένους ὡς τὰ παιδία· σοφίζει δὲ καὶ τὰ διὰ τοῦ εὐαγγελίου ἀρτιγενῆ βρέφη· ἴσως δὲ καὶ τοὺς ἀπείρους ἀνθρωπίνης σοφίας ἀγραμμάτους καὶ ἰδιώτας· τὰ δικαιώματα δὲ μηδὲν ἔχοντα σκολιὸν, εὐθεῖς δὲ τοὺς παραδεχομένους ποιεῖ· οἵ περ λύπην οὐκ ἔχοντες, ἐν εὐφροσύνῃ γίνονται θείᾳ· ὡς μὴ παθητικὸς δὲ ὁ θεῖος φόβος ἁγνός· οὐ γάρ ἐστι κατὰ τὸν ἐκβαλλόμενον ἀπὸ τῆς θείας ἀγάπης, ὁ αὐτὸς ὢν, ἐν εὐλαβείᾳ καὶ σεβασμῷ, ὃς καὶ ἁγνοὺς ἀπεργάζεται, καὶ πρόσκαιρος οὐκ ἔστιν· ἃ δὲ κρίνει θεὸς κρίματα, διὰ τὴν ἀλήθειαν λέγεται καθ' ἣν κρίνει. Λέγει καὶ Παῦλος· οἴδαμεν γὰρ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστιν κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας· ἔστι δὲ καὶ ψευδῆ καὶ ἄδικα κρίματα, πρὸς ἃ καὶ διέστειλεν· ταῦτα δὲ τὰ θεῖα μετ' ἀλλήλων ἠρτημένα γνωρίζεται· τῇ δὲ τῶν εἰρημένων ἡδονῇ, φησὶν, οὐδὲν ἐν βίῳ τίμιον παραβάλλεται· τῇ γὰρ τῶν νοητῶν γλυκύτητι, τῶν αἰσθητῶν οὐδὲν ἀπεικάζεται· ὧν αἴσθησιν ψυχικὴν ὁ μεταστήσας ἀπὸ τούτων εἰς ἐκεῖνα τὴν ἐπιθυμίαν ὅλην λαμβάνει· ταῦτα γὰρ πᾶς ὁ τοῦ θεοῦ δοῦλος φυλάττει, πολλὴν ἕξων τὴν ἀνταπόδοσιν, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν αἰσθητῶν.

Μεγάλην δὲ ἁμαρτίαν τὴν ἀποτελεσματικὴν φησίν· εἰ γὰρ μὴ ἀπὸ τῶν κρυφίων μου καθαρισθείην, ἐπιμένοντα ταῦτα τὰ παραπτώματα, εἰς πρᾶξιν φαύλην μεταφέρει, καὶ γίνομαι ὑπεύθυνος ἁμαρτίᾳ μεγάλῃ. « Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου. » Ὅτ' ἂν ταῦτα μοι ὑπαρχθῇ παρὰ σοῦ, τότε εἰς εὐδοκίαν ἐστὶν τὰ λόγια τοῦ στόματός μου, ἃ προήνεγκα εὐχόμενός σοι ὑμνῶν σε, εὐχαριστῶν σοι· εἰς εὐδοκίαν δ' ἐστὶν τὰ λόγια, τὰ ἀποδοχῆς ἄξια. « Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου » . . λογισμοῖς καὶ νοήσεσιν, ἐκτὸς οὖσα παντὸς μώμου, ἐνώπιόν σου τυγχάνει διαπαντός· τὸ μέν τοι τῆς μελέτης ἀμεμπτον οὐκ ἄλλοθεν ἢ ἐκ σοῦ ὑπῆρκται καθαρίσαντός με ἀπὸ τῶν κρυφίων μου· « Κύριε βοηθέ μου καὶ λυτρωτά μου. » Σοῦ βοηθοῦντος, ὦ δέσποτα, οὐδενὶ ὑποπίπτω τῶν πνευματικῶς προσπολεμούντων· εἰ δὲ καὶ παρ' ἐμὴν ἀπροσεξίαν ἁλῶναι τοῖς ἐναντίοις συμβῇ, σύ με ἐκ τῶν κρατησάντων λύτρωσαι, ἅμα βοηθὸς καὶ λυτρωτής μου εὑρισκόμενος.

v. 13. B. f. 69.

v. 15.

PSALMUS XIX.

v. 5. A. f. 111. Δίδωσι θεὸς κατὰ τὴν καρδίαν τοῦ εὐχομένου, ὅτ' ἂν τοιαῦτα αἰτῆται ἃ καὶ θεῷ πρέπει διδόναι, καὶ τῷ λαμβάνοντι συμφέρει· ἡ γὰρ περὶ τούτων αἴτησις ὀρθῶς γινομένη, ἕξει τὸν θεὸν παρέχοντα. « Καὶ πᾶσαν τὴν βουλήν σου » πληρώσαι· » βουλὴν, τουτέστιν τὴν βούλησιν ὀρθῶς γινομένην πληρώσαι· πληροῦται δὲ βούλησις, ὅτ' ἂν μὴ διαμάρτῃ ἐν ταῖς σκέψεσιν, ἀλλ' ἐκεῖνα ἀπαντήσῃ περὶ ὧν προεβουλεύσατο· « Ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου. » v. 6.
Ἔστι δὲ τοῦτο περὶ οὗ εἴρηται, ἰδοὺ ἐτέχθη ἡμῖν σήμερον σωτὴρ ὅς ἐστιν Χριστὸς κύριος· λέγεται σωτήριον λέγειν τὴν σωτηρίαν ἣν σώζεται ᾧ ἐπακούει θεὸς ἐν ἡμέρᾳ θλίψεως, ἐφ' ᾗ σωτηρίᾳ ἀγαλλίασις ἔσται. « Καὶ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. » Ἄλλων ἐπὶ κοσμικοῖς πράγμασι μεγαλυνομένων, ἡμεῖς ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα· σημαίνει δὲ τὴν ἐν τῷ ὄντως ἀγαθῷ προκοπὴν τὸ μεγαλυνόμεθα· οὐ γὰρ εἶπεν μεγάλοι ἐσμέν· ταύτῃ τοι

καὶ ὁ Ἰσαὰκ προβαίνων μείζων ἐγίνετο ἕως μέγας ἐγένετο σφόδρα· μεγαλύνεται δέ τις ἐν ὀνόματι κυρίου, τὰ γνησίου καὶ τελείου δούλου ἐπιτελῶν.

v. 7. B. f. 69. b. « Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου. »
Ἐγκώμιον μέγα τοῦ περὶ οὗ ὁ λόγος τὸ πληρωθήσεσθαι ὑπὸ κυρίου πάντα τὰ αἰτήματα αὐτοῦ, οὐδὲν αἰτουμένου ὧν μὴ παρέχει ὁ θεός· πλήρωσις δὲ αἰτήσεων τὸ ἐκβῆναι καὶ εἰς ὕπαρξιν ἐλθεῖν ἐκεῖνα ὑπὲρ ὧν τις ἠξίωσεν. « Νῦν » ἔγνων ὅτι ἔσωσεν κύριος τὸν χριστὸν αὐ» τοῦ. » Τῆς χριστοῦ φωνῆς ὁτὲ μὲν ἐπὶ τοῦ ἱερέως, ὁτὲ δὲ ἐπὶ τοῦ βασιλέως, ὁτὲ δὲ ἐπὶ τῆς κατὰ σάρκα τοῦ θεοῦ λόγου οἰκονομίας· ὁ μέν τις φήσει ἐπὶ τοῦ Δαυὶδ, ὁ δὲ ἐπὶ Ἐζεκίου, περὶ οὗ καὶ τὴν ὑπόθεσιν εἴληφεν τοῦ ψαλμοῦ· ὁ δὲ καὶ εἰς τὴν οἰκονομίαν ἀνθρωπίνως εἰρημένον.—Τάχα δὲ καὶ τῶν πιστευόντων ἁπάντων συμπληρούντων τὸ σῶμα Χριστοῦ, κατὰ τὸ, οὕτω καὶ ὁ Χριστὸς ἓν σῶμα, πολλὰ δὲ μέλη· σώζεσθαι λέγεται ὁ Χριστὸς, ὅτ' ἂν οἱ γενόμενοι αὐτοῦ σῶμα καὶ μέλη σωτηρίαν ἔχωσιν· εὖ δὲ καὶ τὸ εἰπεῖν νῦν ἔγνων· νῦν γὰρ, τοῦτ' ἔστιν ἐν τῷ παρόντι αἰῶνι, γινώσκομεν τὸν Χριστὸν σωζόμενον, τῷ ἀπεντεῦθεν ἀῤῥαβῶνα σωτηρίας δέχεσθαι. « Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου » αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς » αὐτοῦ. » Ἐπακούει τοῦ Χριστοῦ κατὰ πᾶσαν ἀπόδοσιν προειρημένην· τὰ δεξιὰ δὲ τοῦ θεοῦ, τοῦτ' ἔστιν ὁ λόγος αὐτοῦ, σωτηρίαν ποιεῖ οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐν δυναστείαις, οἷα στρατηγὸς ἢ βασιλεὺς ἄριστος.

v. 8. Ἵππους μὲν νοῶν τὰ σκιρτητικὰ τῶν παθῶν, οἷς ἐπιβαίνουσιν αἱ ἀντικείμεναι δυνάμεις· ἅρματα δὲ τὴν σύμπνοιαν τῶν ὁρμητικῶν παθῶν, ἐν οἷς παρασκευάζονται καθ' ἡμῶν· ἀλλ' εἰ καὶ οὗτοι ἐν τούτοις, ἀλλ' ἡμῶν ἀμυντήριον ἀκαταμάχητον ἡ τοῦ θεοῦ προσηγορία.

PSALMUS XX.

v. 2. Ὁ κατασταθεὶς βασιλεὺς ἐπὶ Σιὼν ὄρος, κυρίως καὶ ἀληθῶς βασιλεύς ἐστιν, εὐφραινόμενος θείαν εὐφροσύνην ἀπὸ τῆς παρούσης αὐτῷ δυνάμεως θεοῦ· πᾶς δὲ ὁ ψαλμὸς ἑρμηνευθείη περὶ Χριστοῦ βασιλέως καὶ τοῦ συμβασιλεύοντος αὐτῷ, ἵνα μὴ ἐφ' ἑκάστης λέξεως τοῦτο σημαίνειν
ἀναγκαζώμεθα. « Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλ- v. 2. 3.
» λιάσεται σφόδρα· τὴν ἐπιθυμίαν τῆς καρδίας » αὐτοῦ ἔδωκας αὐτοῦ, καὶ τὴν θέλησιν τῶν » χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. » Ὁ ἐπιθυμίαν σαρκὸς μὴ τελῶν, τῷ πνεύματι περιπατεῖ· οὗτος ἀνακραθεὶς τῷ πνεύματι, ἐπιθυμίαν καρδίας λαμβάνει ἀπὸ θεοῦ· οὐ γὰρ τῶν τῆς σαρκὸς ὀρεκτῶν ἀπεσχημένος, ἃ ὀρέγεται ἡ καρδία αὐτοῦ, τοῦτ' ἔστιν ὁ νοῦς, λαμβάνει παρὰ θεοῦ· ἐμπιπλῶντος ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν αὐτοῦ· ἀλλὰ καὶ τυχών τις ὧν δεῖται, οὐκ ἐστερήθη ὑπὸ κυρίου τῆς δεήσεως τῶν χειλέων αὐτοῦ.

Ὁ Χριστὸς ἔλαιον παρὰ τοῦ ὑψίστου λαβὼν, v. 5. B. f. 70. b.
τῷ κεχρίσθαι ἐλαίῳ ἀγαλλιάσεως, ἀπαράβατον ἔχει τὴν ἐκ τῆς χρίσεως ἱερωσύνην κατὰ τὴν τάξιν Μελχισεδέκ· οὐ γὰρ πρόσκαιρος ἔσται, μὴ σαλευόμενος.

Λέγοις δ' ἂν ὅτι ἔκλιναν εἰς αὐτὸν κακὰ ἢ v. 12. B. f. 71. b.
ἄθεα δόγματα περὶ τοῦ θεοῦ· ἢ τὴν αἰτίαν τῆς κακίας προσῆψαν αὐτῷ· ἐξέκλιναν δὲ εἰς τὸν σωτῆρα κακὰ οἵ τε προδόται καὶ ἐχθροὶ αὐτοῦ· σημειωτέον δὲ ὅτι κατ' ἔγκλισιν ἐπιτελεῖται τὰ κακὰ, καὶ οὐ κατ' εὐθύτητα· ἀλλὰ δυνατοῖς ἐπιχειροῦσι διαστραφέντες οἱ φαῦλοι· τῷ γὰρ οὐχ ὑπομένοντι βλάβην ἐπιβουλεύουσιν· καὶ ἄλλως τε πᾶς κακὸς ἔχει τὴν κακίαν ἀβέβαιόν τε καὶ ἄστατον· οὓς δὲ θεὸς ἀποστρέφεται τίθησι νῶτον, δυναμένους πρόσωπον εἶναι· καὶ τοὺς μὴ καθαρὰν δὲ καρδίαν ἔχοντας, καὶ τὸ πρόσωπον αὐτοῦ διὰ τοῦτο μὴ δυναμένους ἰδεῖν, τίθεται τὰ ὀπίσθια κατανοεῖν τὰ μετ' αὐτὸν δηλονότι δημιουργήματα διὰ τῆς κτίσεως εἰς αὐτὸν παρέχων ἀνάγεσθαι· περίλοιπα γὰρ τοῦ θεοῦ τὰ ἀνωτέρω τὸν αἰσθητῶν κτισμάτων αὐτοῦ ἐστιν.

Ὑψώθητι ἐν τῇ δυνάμει σου. » Ἐπεὶ συγκα- v. 14.
ταβαίνων τῇ ἀσθενείᾳ ἡμῶν ἀσθενές τι ἀνείληφας, ὅπερ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· σταυρωθεὶς ἐξ ἀσθενείας, ὑψώθητι ἐν τῇ δυνάμει σου. « Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας· » Τὸ ᾄδειν ἐπὶ θεωρίας ληπτέον, τὸ δὲ ψάλλειν

ἐπὶ τῷ κατὰ ἀρετὴν ἐνεργεῖν· θεωροῦντες οὖν τὸ νοητὸν τῶν δυναστειῶν καὶ πράττοντες κατ' αὐτάς, ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, ἃς ἐδυνάστευσας οἷα τροπαιοῦχος βασιλεὺς κατὰ διαβόλου καὶ τῶν ἀντικειμένων δυνάμεων· δύναται δηλοῦν καὶ τὸ χαριστηρίους αἴνους ἀνακρουσόμεθά σοι δυναστεύσαντι κατὰ τοῦ θανάτου.

PSALMUS XXI.

v. 1. A. f. 114. Ἀντίληψις ἑωθινὴ κατορθοῦται, τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνίσχοντος, καὶ ἀρχὴν ἡμέρας κατασκευάζοντος· ἡ γὰρ ἀνατολὴ τοῦ ἀληθινοῦ φωτὸς, τῇ νυκτὶ τῆς ἀγνοίας καὶ πλάνης τέλος ἐπιθεῖσα, ἕω πνευματικὴν ἀνέλαμψεν· αὕτη δὲ ἀρχομένη, ἐπὶ τέλος φωτισμοῦ τελείου καταντήσει· δι' ὃν φωτισμὸν, πάντα τὰ ἄλλα πνευματικαὶ καὶ πνευματικῶς ἐτελέσθη τῷ τέλος εἶναι· οὗ χάριν τὰ ἄλλα πάντα, αὐτὸ δὲ οὐδενὸς ἕνεκα· ὃ καὶ ἔσχατον ὀρεκτὸν καλοῦσιν, τῷ μὴ εἶναι ἀνωτέρω τούτου, οὗ τίς ὀρεχθείη τῷ τούτου εἶναι τὸ τελικώτατον ἀγαθόν· ἡ προγραφὴ οὖν τοῦ προκειμένου ψαλμοῦ εἰς τέλος ᾄδεται τῆς ἑωθινῆς ἀντιλήψεως τῷ Δαυὶδ, τουτέστιν τῷ ἐκ σπέρματος αὐτοῦ τὸ κατὰ σάρκα γεγεννημένῳ· καὶ τοῦτο δὲ τηρητέον, ὅτι φυλάττει πρόσωπον ἓν λέγον ἀπ' ἀρχῆς μέχρι τέλους ὁ ψαλμὸς, οὐδεμιᾶς μεταβολῆς εὑρισκομένης περὶ τὸ λέγον πρόσωπον· καὶ ἐπεὶ ἡ καινὴ διαθήκη λέξεις ἀπὸ τοῦ ψαλμοῦ ἔλαβεν ὡς ὑπὸ τοῦ Χριστοῦ ῥηθείσας, ἀνάγκη πάντα αὐτὸν ἐκ προσώπου τοῦ Χριστοῦ ἑρμηνεῦσαι· δηλώσομεν δὲ τὰς λέξεις αἷς ἡ καινὴ διαθήκη ἐχρήσατο, ἐπ' αὐτὰς φθάσαντες.

v. 2. B. f. 72. Σημειωτέον δὲ ὅτι ὀρθῇ πτώσει ἀντὶ κλητικῆς κέχρηται· ἀντὶ γὰρ τοῦ εἰπεῖν θεέ μου θεέ μου ἵνα τί; ὁ θεὸς ὁ θεός μου εἶπεν· ἔθος δὲ τῇ γραφῇ ἐν πολλοῖς τοῦτο ποιεῖν· ὃ οὖν βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ὁ καθόλου καὶ ἀληθινὸς θεὸς, θεός μου τυγχάνων, πρόσχες μοι πολεμουμένῳ, καὶ πολλοῖς ἐπιπόνοις περιτυχόντι· ἵνα τί γὰρ ἐγκατέλιπές με; συνθανομένου δὲ τὴν αἰτίαν τῆς ἐγκαταλείψεως ἡ φωνή· ἐπεὶ γὰρ συνῄδει ἑαυτῷ ἄκραν καθαρότητα, οὐκ ᾔδει γὰρ ἁμαρτίαν, ἠπίστατο μὴ ἐπὶ ἁμαρτίᾳ ἐγκαταλεῖφθαι, ἀλλὰ δι' ἕτερόν τι τῷ παντὶ συμφέρον· τοῦτ' οὖν βούλεται φανερὸν γενέσθαι, οὐ δι' ἑαυτὸν πάσχοντα, ἀλλὰ διὰ τοὺς ὁρῶντας αὐτόν· γνόντες γὰρ ὅτι δι' αὐτοὺς ἐγκαταλείφθη, ὑμνήσουσιν αὐτὸν ὡς σωτῆρα.

Λεκτέον τοίνυν, λόγους παραπτωμάτων, οὐ v. 2.
τὰς περὶ τῶν παραπτωμάτων προφοράς· ὡς γὰρ φαμεν λόγον οὐρανοῦ καθ' ὃν γέγονεν, καὶ λόγον ἡλίου δι' ὃν ὑπῆρκται, οὕτω καὶ λόγον παραπτωμάτων ἐροῦμεν, καὶ οὐκ αὐτὰ τὰ παραπτώματα ἀνειληφέναι τὸν σωτῆρα εἰς τὸ ἑαυτοῦ σῶμα· τούτους δὲ τοὺς τῶν παραπτωμάτων λόγους πρὸ τοῦ πάθους ἔφερεν αὐτοῦ τὸ σῶμα· ἀναστὰς δὲ ἐκ νεκρῶν, ὅτι καὶ σεσῶσθαι λέγεται, μακρὰν ἀπὸ τῆς σωτηρίας αὐτοῦ τοὺς λόγους τῶν προειρημένων ἁμαρτημάτων ἔσχεν, ἀπεκδυσάμενος τὰς ἐνεργούσας τὰ παραπτώματα ἀρχὰς καὶ ἐξουσίας· ὅτε ἐθριάμβευσεν αὐτὰς ἐν αὐτῷ παῤῥησιασάμενος ἐπὶ τῷ σταυρῷ.

« Ὁ θεός μου κεκράξομαι ἡμέρας πρός σε v. 3.
» καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς καὶ οὐκ εἰς » ἄνοιαν ἐμοί. » Οὐ μόνον ἐπιπόνων καὶ σκυθρωπῶν περιεστηκότων ἃ νὺξ ἀλληγορικῶς ἐστιν, βοῶ πρὸς σὲ θεέ μου, ὅπως μὴ πάθω τι· ἀλλὰ γὰρ καὶ φαιδρῶν καὶ λαμπρῶν ὄντων τῶν κατ' ἐμὲ πάλιν κράζω, ὅπως μὴ βλαβερόν τι ἐξ ἐπάρματος γένηται· ταῦτα δὲ περὶ ἡμῶν ἐξομολογούμενος ὁ σωτὴρ λέγει· οὕτω δέ μου βοῶντος οἶδα ὅτι εἰσακούσῃ· μεθ' ὑποστιγμῆς γὰρ ἀναγνωστέον, καὶ νυκτὸς διακεκράξομαι· οὐκ ἀνοίας μου λογιζομένης, ὅτε τὰ περιεστηκότα ἐστὶν σκυθρωπὰ, τῶν πολλῶν ἐν ταῖς περιστάσεσιν σκοτιζομένων· ὡς καὶ αὐτὸ τί δεῖ κράζοντα πρὸς θεὸν λέγειν, ἀγνοεῖν· ἐπίσταμαι γὰρ ἐγὼ τίνος ἕνεκα περὶ ἐμὲ νυκτερινὴ κατάστασίς ἐστιν.

Καὶ οἱ πατέρες δὲ ἐξ ὧν εἰμὶ τὸ κατὰ σάρκα, v. 5. A. f. 116.
οὗτοί εἰσιν οἱ πατριάρχαι, ἐπὶ σοὶ ἤλπισαν προσ- B. f. 72. b.
δοκῶντες τὴν ἐμὴν ἐπίλαμψιν· ἀλλὰ καὶ ἐλπίσαντες οὐκ ἀπέτυχον· ἐῤῥύσθησαν γὰρ ἀπὸ θανάτου καὶ διαβόλου, ἐμοῦ λυτρωσαμένου καὶ ῥυσαμένου αὐτούς· πρός σε γὰρ καὶ αὐτοὶ βοήσαντες, τὴν δι' ἐμοῦ καὶ ἐξ ἐμοῦ σωτηρίαν ἔσχον.

οὐ γὰρ κατῃσχύνθησαν ἐπὶ σὲ ἐλπίσαντες· ἀπέσχον γὰρ τὰ ἐλπίδος καὶ προσδοκίας.

v. 5. B. f. 73. C. f. 41. b. Ἴστωσαν δὲ οἱ ταῦτα λέγοντες νομομαθεῖς εἶναι ἐπαγγελλόμενοι, ψευδοδοξοῦντες ἐπὶ τῆς προνοίας· τὰ γὰρ αὐτὰ λέξειεν ἄν τις Ἡσαΐου πριζομένου, καὶ οἵ τινες ἄλλοι ὑπὲρ εὐσεβείας πεπόνθασιν· ἡμεῖς γὰρ τὸ ῥυσθῆναι καὶ σωθῆναι ἐκ τῶν περιεστηκότων ἐπιπόνων, οὐ τὸ ἐκτὸς αὐτῶν γενέσθαι φαμὲν, ἀλλὰ τὸ ἀνδρείως καὶ τλητικῶς αὐτὰ ἐνεγκεῖν· ὥστε μὴ βλαβῆναι τὴν διάνοιαν, ἐκκρουομένης τῆς ὀρθῆς προθέσεως ἐκ τῶν πόνων· τοὺς γοῦν μάρτυρας τῆς ἀληθείας, μυρία ὅσα παθόντας, καὶ ἐναποθανόντας ταῖς βασάνοις, ἐῤῥύσθαι καὶ σεσῶσθαι ἐκ τῶν θλίψεων λέγομεν· οἱ γὰρ ἐκτὸς τῶν θλιβερῶν δι' ἀρνήσεως γεγενημένοι, οὐ μόνον οὐκ ἐῤῥύσθησαν καὶ ἐσώθησαν ἀπὸ τῶν πειρασμῶν, ἀλλὰ καὶ κατεπόθησαν ὑπ' αὐτῶν.

v. 10. B. f. 73. Τάχα γὰρ ὁ ἐκ σπέρματος συλληφθεὶς ἐν τῇ γαστρὶ, πληρωθέντος τοῦ καιροῦ τῆς ἀποτέξεως, ὑπ' αὐτῆς τῆς μήτρας ἐπὶ τὰ ἔξω βάλλεται· μόνον δὲ τὸν σωτῆρα ὁ πατὴρ ἐκ τῆς γαστρὸς τῆς παρθένου ἐξασπᾷ, οὐκ ἔξωθεν σπέρματος αὐτῇ καταβληθέντος, ἀλλ' ἐξ αὐτῆς τοῦ θείου τόκου ἐξεσπασμένου· « Ἡ ἐλπίς μου ἀπὸ μαστῶν » τῆς μητρός μου, ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ τῆς » μήτρας. » Τοῖς ἄλλοις ἀνθρώποις τὸ ἐλπίζειν καὶ προσδοκᾶν τὰ μέλλοντα, μετὰ συμπλήρωσιν τοῦ λόγου ἐφ' ἡλικίαις γενομένοις ἐπέρχεται, μόνον δὲ τὸ ἐκ Μαρίας βρέφος ἀπὸ μαστῶν τῆς μητρὸς ἐλπίζει τελειότητα· θεὸν γὰρ ἔχει τὴν ἐλπίδα· οὐδέποτε γὰρ ἐν κακίᾳ γεγένηται· πάντων ἀνθρώπων μετὰ ἄγνοιαν καὶ πονηρίαν τὸ ἀγαθὸν ἀσπαζομένων· καὶ τοῦτο ὑποδηλῶν Ἡσαΐας ἔλεγεν· πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν.

v. 11. « Ἀπὸ γαστρὸς μητρός μου, θεός μου εἶ σύ. » Πρὸ τῆς ἐνανθρωπήσεως ὁ Ἰησοῦς μόνην τὴν πρὸς πατέρα ἔφερεν οἰκειότητα· ἦν γὰρ αὐτοῦ πατὴρ ὁ θεὸς, καὶ αὐτὸς υἱὸς θεοῦ· ἀφ' οὗ δὲ σὰρξ γενόμενος ἐκ κοιλίας προῆλθεν, σχέσιν ἔσχεν τὴν πρὸς τὸν πατέρα, τὴν πρὸς θεόν· διὸ φησίν· εἰ καὶ ἀεὶ πατήρ μου τυγχάνεις, ἀλλὰ καὶ θεός μου εἶναι ἤρξω ἐκ κοιλίας μητρός· μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν· παρούσης θλίψεως συνὼν ὁ θεὸς, οἷός τέ ἐστιν καρτερίαν παρασχεῖν ὡς γενναιάζειν τὸν θλιβόμενον· ἀπόντος δὲ θεοῦ ἰσχυρὰ τὰ περιεστηκότα· εὔχεται οὖν ὁ τὸν ψαλμὸν λέγων, τύπος ἡμῖν τοῖς ἀνθρώποις γινόμενος, καὶ διδάσκων ἡμᾶς ἐν πειρασμοῖς οὕτω προσεύχεται, μὴ τοιαῦτα αὐτῷ πραχθῆναι ἐφ' οἷς ἂν χωρῇ θεὸς, ἵνα παρόντος θεοῦ καταπαλαίσῃ τοὺς ἐγείροντας τὴν θλίψιν· εἰ γὰρ ἀποσταίη τινὸς ὁ θεὸς, οὐχ ὑπάρξει ἐκείνῳ βοηθός.

Μόσχοι δ' ἂν εἶεν καὶ αἱ περὶ τὰ γήϊνα καὶ v. 13. A. f. 118. B. f. 73. b. C. f. 42.
σωματικὰ ἐνεργοῦσαι πονηραὶ δυνάμεις· γεωπόνον γὰρ τοῦτο τὸ ζῶον· αἱ δὲ ψευδοδοξίας προϊστάμεναι, δι' ἀπατηλῶν λόγων καὶ σοφισμάτων κερατίζουσαι, ταῦροι τυγχάνουσιν πίονες ὄντες, διὰ τὸ δῆθεν πολυμαθὲς καὶ κεκομψευμένον τῆς φράσεως· δυνατὸν δὲ καὶ τοὺς Ἰουδαίους κατὰ νόμον βουθυτοῦντας, ἐξ ὧν ἐπιτηδεύουσιν μόσχους ὠνομασμένους, περικυκλοῦν ἐχθρικῶς τὸν κύριον· Πόντιος δὲ Πιλᾶτος, καὶ εἴ τινες ἄλλοι ἐν ὑπεροχῇ ταῦροι κερατισταὶ ὑπάρχοντες, περιέχειν σπουδάζουσιν αὐτόν· λέγει δ' ἂν ταῦτα ὁ σωτὴρ καὶ περὶ τοῦ σώματος αὐτοῦ τῆς ἐκκλησίας, ἰδὼν ἀνθρώπους χαμαιπετεῖς καὶ γῆν ἐργαζομένους πολεμικῶς, περικυκλοῦντας αὐτοῦ τὸ σῶμα· τὸ ἐκύκλωσάν με μόσχοι πολλοί· τοὺς δὲ ἄρχοντας τούτου τοῦ αἰῶνος σοφίαν ἐπαγγελλομένους ἑωρακὼς περιθέοντας αὐτοῦ τὸ σῶμα ἐρεῖ· ταῦροι πίονες περιέσχον με.

Παριστὰς δὲ αὐτῶν τὸ ἐξηγριωμένον τῆς πο- v. 14.
νηρίας καὶ τὸ ἕτοιμον εἰς τὸ θλίψαι, φησίν· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος· στόμα γὰρ ἠνεῳγμένον αὐτῶν εἰς τὸ ἁρπάσαι τοὺς ἀπατωμένους, ὁ σοφιστικὸς εἴη λόγος· τάχα δὲ ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος ἀναφέρεται ἐπὶ τὸν διάβολον· ἀφ' οὗ λέοντος ἐξέσπασεν ὁ ποιμὴν ὁ καλὸς δύο σκέλη, καὶ λοβὸν ὠτίου καταπιόντος· διὰ μὲν παρακοῆς, τὸ οὖς τοῦ ἀνθρώπου τῆς ψυχῆς· διὰ δὲ τῶν σκελῶν, τὴν πορείαν αὐτῆς.

« Ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα v. 15.

τὰ ὀστᾶ μου· ἐπεὶ σῶμα Χριστοῦ οἱ πεπιστευ-
κότες εἰσὶν, τὰ τῶν πεπιστευκότων πάθη εἰς
ἑαυτὸν ἀναλαβὼν πεπονθέναι λέγει ταῦτα, ἃ
συμβέβηκεν τοῖς συμπληροῦσιν αὐτοῦ τὸ σῶμα·
ἐπεὶ οὖν σκορπισμὸν ὑπέμειναν τὰ πρόβατα πα-
ταχθέντος τοῦ ποιμένος, φησὶν ὡσεὶ ὕδωρ ἐξε-
χύθη· τὸ γὰρ ἐκκενωθὲν ὕδωρ, σκορπίζεται· ἀλ-
λὰ καὶ περὶ τῶν ἀποστόλων φησὶ τὸ διεσκορπί-
σθη πάντα τὰ ὀστᾶ μου· αὐτοὶ γὰρ ὀστᾶ αὐτοῦ
τυγχάνουσιν διὰ τὸ εὔτονον, καὶ διακρατεῖν πᾶν
τὸ σῶμα. « Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς
» τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου· ἐξηράνθη
» ὡς ὄστρακον ἡ ἰσχύς μου. » Τάχα γίνεται
τινὸς ἡ καρδία τηκομένη οἷα κηρὸς ἐν μέσῳ τῆς
κοιλίας, ὅτ' ἂν ἴδη τοὺς ὠδινηθέντας καὶ γεννη-
θέντας ὑπ' αὐτοῦ συμφορὰν ὑπομένοντας· ἐπεὶ
τοίνυν καὶ τὰ προειρημένα περὶ τοὺς μαθητὰς
Ἰησοῦ γέγονεν, ἡ καρδία αὐτοῦ διακειμένη πρὸς
αὐτοὺς ἀγαπητικῶς πυρουμένη, κηροῦ πάθος ἀνε-
δέξατο ἐν μέσῳ τῆς κοιλίας συμπαθούσης οἷς
ἔτεκεν· ἀλλὰ καὶ τὸ γλυκὺ τῆς καρδίας ὅτε κη-
ρὸς ὑπῆρχεν ἐτάκη· ὅτε τροφὴ γέγονεν καὶ εἰς
γαστέρα ἐχώρησεν· τὰς γὰρ νοήσεις τῆς καρδίας
ὡς κηρὸν τραφέντας εἰς κοιλίαν κατέβαλον τηκό-
μενον καὶ λεπτυνόμενον διὰ τῆς συνεχοῦς μελέ-
της, ἐπὶ τῷ εἰς τὴν σύστασιν τοῦ τραφέντος
ἀναδοθῆναι· ἀλλὰ καὶ ἰσχὺς εἰς τὴν κάμινον τοῦ
βίου εἰσαχθεῖσα, ὀστράκῳ παραπλησίως ἐξηράνθη·
μετὰ πεῖραν γὰρ θλιβερῶν ὡς ἐκ καμίνου τις ἐξαφ-
θεὶς, ξηρασίαν ὀστράκου ἀναδέξεται, οὐκέτι ὑγ-
ραινόμενος οἷα πηλὸς ὑπὸ τῆς ὑγρότητος τοῦ πη-
λοῦ καὶ τοῦ ῥευστοῦ τῶν ἡδονῶν.

v. 16. « Καὶ ἡ γλῶσσα μου κεκόλληται τῷ λάρυγγί
» μου· » Τῶν ἀκροατῶν διεσκορπισμένων, οὐκέτι
παρόντων εἰς οὓς ἡ γλῶττα ἐνήργει διδάσκου-
σα καὶ διαλεγομένη, ἀνενέργητος εἴη τῷ λά-
v. 17. ρυγγι κεκολλημένη· ἡ γὰρ προ.. Τὸ οὖν ὀρύξαι
τὴν τῶν ἥλων σημαίνει διάτρησιν· ἐξαριθμεῖται
δὲ σώματος ὀστᾶ ἡνίκα ἐγυμνώθη τῶν συμπε-
παρμένων ὀστῶν· ὀστᾶ μὲν οὖν αὐτοῦ οἱ ἀπόστο-
λοι· σάρκες δὲ οἱ ἐπιπολαιότερον καὶ σωματικώ-
τερον πιστεύσαντες· ὅταν οὖν ἐπὶ τὸ αὐτὸ ἐστὶ
τὸ σῶμα, τὰ μὲν ὀστᾶ διακρατεῖ τὰς σάρκας·
αἱ δὲ σάρκες περὶ τὰ ὀστᾶ τυγχάνουσιν καλύπ-
τουσαι αὐτά· ὅταν οὖν φόβος ἐκταράξῃ φευγόν- v. 18.
των τῶν ἐπιπολαίων πιστῶν καταλείπονται οἱ
στερροὶ καὶ εὔτονοι ζηλωταί, καὶ γυμνωθέντες
τοῦ πλήθους ἐξαριθμοῦνται ῥᾳδίως. Πρὸς τῇ ἱστο- B. I. 74.
ρίᾳ νοήσεις ἱματισμὸν Ἰησοῦ τὰς προχείρους τῶν v. 19.
γραφῶν λέξεις· ἕκαστος γὰρ αὐτῶν τὰς μὲν δέ-
χεται τῶν γραφῶν, τὰς δὲ οὔ· καὶ τούτου οὐ
χιτῶνος Ἰησοῦ ἀσχίστου τυγχάνοντος, διὰ τὸ
εἶναι ἄῤῥαφον· οὐ γὰρ βεβιασμένην ἕνωσιν, ἀλλὰ
συμφυῆ ἔχει· ἔστιν δὲ καὶ ἄνωθεν διὰ τὸ θεόπ-
νευστος εἶναι· ὑφαντὸς δι' ὅλου, διὰ πάσης γὰρ
δυνάμεως ἡ γραφὴ ἄνωθέν ἐστιν· ἡ δὲ ἐκκλησία
οὐ μερίζεται τὰ ἱμάτια, οὐδὲ κλῆρον βάλλει ἐπ'
αὐτοῖς· ὅλα γὰρ ἔχει καὶ ἐνδέδυται παραστᾶσα
ἐκ δεξιῶν Ἰησοῦ οἷα βασιλὶς ἐν ἱματισμῷ δια-
χρύσῳ περιβεβλημένη πεποικιλμένη· ὑπεραναβᾶ-
σα δὲ ταῦτα τὰ ἱμάτια, καὶ αὐτὸν Ἰησοῦν ἐν-
δύσεται ὄντα σοφίαν καὶ δύναμιν πατρὸς σοφὴ
καὶ δυνατὴ γινομένη.

« Σὺ δὲ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν v. 20.
» μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. » Ταῦτα
δὲ ποιούντων ἐκείνων, μὴ μακρύνῃς τὴν βοήθειαν
μου· σοῦ γὰρ βοηθοῦντος, καὶ εἰς τὴν ἀντίλη-
ψίν μου προσέχοντος, τριταῖος ἀναστὰς ἐκ νε-
κρῶν, ματαίαν τὴν κατ' ἐμοῦ ἐπιβουλὴν ἀνα-
δείξω. « Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου· » v. 21.
Ἐπεὶ οἱ περικυκλοῦντές με ἐχθροὶ κατ' ἐμοῦ φο-
νῶντες μάχαιραν ἔχουσιν, οὐ σῶμα ἀλλὰ ψυχὴν
τρῶσαι δυνατὴν, ῥῦσαι ἀπὸ τῆς τούτων ῥομφαίας
τὴν ψυχήν μου, ἀβλαβῆ αὐτὴν ἀπὸ ταράχου καὶ
δειλίας φυλάττων· εἰ γὰρ καὶ ἱκανῶς παρεσκεύα-
σται ἡ ἡμετέρα ψυχὴ, ἀλλά γε θεωροῦσα τὸν
διάβολον μετὰ πάσης τῆς τῶν δαιμόνων φάλαγ-
γος καὶ τοῦ στίφους τῶν ἀντικειμένων ἐνεργειῶν
καὶ πονηρῶν ἀνθρώπων ὑπ' αὐτῶν ἐνεργουμένων
ταραχθεῖσα, τρεπτῆς γάρ ἐστι φύσεως, σύμ-
μαχον ἔχειν παρακαλεῖ τὸν δυνάμενον ῥύσασθαι
ἀπὸ τῆς ῥομφαίας τῶν πολεμίων· τάχα δὲ καὶ
αὐτὸς ὁ διάβολος ἀλληγορικῶς ῥομφαία λέγοιτο,
ἐπὶ τολμᾷ κατὰ πάσης ψυχῆς, τρῶσαι αὐτὴν
προαιρούμενος· καὶ ἐκ ταύτης τοίνυν τῆς ῥομ-
φαίας ῥυσθῆναι παρακαλεῖ.

*

«Καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου·» Οὓς πρότερον πληθυντικῶς περικυκλώσαντας αὐτὸν κύνας εἶπεν, νῦν ἑνικῶς διὰ τὸ γένος καλεῖ· μονογενῆ δὲ αὐτοῦ τὴν ψυχὴν εἶπεν, διὰ τὸ μεμονῶσθαι καὶ κεχωρίσθαι τῶν ἄλλων ψυχῶν· πᾶσαι μὲν γὰρ ἐκεῖναι ἔγνωσαν ἁμαρτίαν, αὕτη δὲ οὔ· κἀκείναις μὲν ἐκ διαλειμμάτων ἐπιφοιτᾷ καὶ σύνεστιν ὁ θεὸς λόγος, ταύτῃ δὲ ἀχωρίστως καὶ ἀδιαστάτως μέχρι τέλους ἀδιάζευκτος διαμενεῖ· ταῦτ' οὖν τὰ ἐξαίρετα αὐτῇ συνόντα μονογενὴς εἶναι αὐτοῦ λέγεται· τάχα δὲ καὶ ἡ παραστᾶσα αὐτῷ ἔνδοξος ἐκκλησία, οὐκ ἔχουσα σπίλον ἢ ῥυτίδα συμπληρουμένη ἐκ τῶν ἀμώμως τελείων, μονογενὴς αὐτοῦ τυγχάνει· ὧν προκοπτόντων εἰς τάγματα πολλὰ διῃρημένων διὰ τὴν ἐκ τῆς προκοπῆς διαφοράν· ἑξήκοντα γοῦν οὐσῶν βασιλίδων, καὶ ὀγδοήκοντα παλλακῶν, καὶ νεανίδων ὧν οὐκ ἔστιν ἀριθμὸς, μία αὕτη ὑπὲρ πάσας ἐστὶν περιστερὰ τελεία, μονογενὴς οὖσα τῇ μητρὶ αὐτῆς τῇ ἄνω Ἱερουσαλήμ.

v. 22. « Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ » κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. » Ἀπὸ τοῦ μικρῷ πρόσθεν εἰρημένου λέοντος διαβόλου, νῦν σωθῆναι παρακαλεῖ· ἀλλὰ καὶ τὴν ταπείνωσιν ἑαυτοῦ, καθ' ἣν ἐταπείνωσεν ἑαυτὸν ὑπήκοος γενόμενος τῷ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· σωθῆναι δὲ βούλεται καὶ ἀπὸ κεράτων μονοκερώτων, ἄλλου εἴδους ἀντικειμένης δυνάμεως βασιλείαν ἐπαγγελλομένης· βασιλείας γὰρ σύμβολον τὸ κέρας· εἰσὶν δὲ οἱ νομίζοντες τὸν σταυρὸν σημαίνεσθαι ἀπὸ τῆς προκειμένης λέξεως κέρατος σχῆμα φέροντα.

v. 23. B. f. 74. Καὶ ταύτην τὴν λέξιν ἐκ προσώπου τοῦ Χριστοῦ εἰρῆσθαι, ἡ πρὸς Ἑβραίους ἐπιστολὴ φησὶν, ἀναφθεγγομένου πρὸς τὸν πατέρα· ὦ πάτερ, τὸ σὸν ὄνομα, τοῦτ' ἔστιν τὴν σὴν ἰδιότητα τὴν ἔννοιάν σου διηγήσομαι, φανερὰν αὐτὴν ποιῶν τοῖς γεναμένοις μου ἀδελφοῖς, οἷς τὸ ἐμὸν πνεῦμα κατέπεμψας· πρὸς οὓς ῥηθείην ἂν, ὅτι ἐστὲ υἱοὶ, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν· οὗτοι δέ εἰσιν οἱ τὸ πνεῦμα τῆς υἱοθεσίας ἐκ θεοῦ λαβόντες, ἵνα τοῦ θεοῦ μὲν υἱοὶ, ἀδελφοὶ δὲ τοῦ μονογενοῦς ὦσιν· καὶ ἐκ νεκρῶν γοῦν ἀναστὰς, ἐπιφανεὶς ταῖς γυναιξὶν, πορευθεῖσαι ἔφη εἴπατε τοῖς ἀδελφοῖς μου ὅτι ἠγέρθην· ἐν μέσῳ δὲ τῆς ἐκ τούτων συναγομένης ἐκκλησίας ὑμνήσει τὸν πατέρα αἴνους καὶ παιᾶνας.

Κατὰ πλείονας τρόπους τοῦ Ἰακὼβ ὀνομα- v. 24. B. f. 74. b.
ζομένου· σημαίνει γὰρ ἡ προσηγορία αὕτη ὅτε μὲν τὸν θεῖον ἄνδρα, υἱὸν μὲν Ἰσαὰκ, πατέρα δὲ τῶν δώδεκα πατριαρχῶν· ὅτε δὲ τὸν ἐκ τούτου προελθόντα δωδεκάφυλον λαόν· ὅτε δὲ τὰς δέκα φυλὰς μόνας ἀποσχισθείσας τοῦ οἴκου Δαυὶδ καὶ ἀκολουθησάσας τῷ Ἱεροβοάμ· ὅτε δὲ τὸν σωτῆρα αὐτὸν κατὰ τὸ, Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου· ταύτην γὰρ τὴν προφητείαν περὶ τοῦ σωτῆρος ὁ Ματθαῖος εἰρημένην ἔγραψεν· ζητητέον κατὰ τί τῶν σημαινομένων εἴρηται τὸ, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν· καὶ ὁ μὲν πολὺς ἐρεῖ τοῦ πατριάρχου Ἰακὼβ τὸ σπέρμα τὸ δωδεκάφυλον ἐντραφὲν τῇ ἀναγνώσει τοῦ νόμου καὶ τῶν προφητῶν, δοξάσαι βούλεται τὸν θεὸν, καὶ διὰ νοημάτων καὶ λόγων καὶ ἔργων ἀγαθῶν· τάχα δὲ ἐπὶ ψεῦδος εἴη τοῦτο, πολλῶν ἐκ τοῦ Ἰακὼβ γεγενημένων ἀπίστων καὶ προδότων Ἰησοῦ, λέξει τις ὅτι τοῦ Ἰακὼβ τοῦ πτερνιστοῦ καὶ καταπαλαίσαντος τὸν θάνατον καὶ τὴν ἀντικειμένην δύναμιν· Ἰησοῦς δέ ἐστιν οὗτος, τὸ σπέρμα αὐτοῦ, τὸ γενόμενον ἐκ διδασκαλίας δοξάσαι τὸν θεὸν ἅπαν δυνήσεται· ἐπειδὴ δὲ καὶ Ἰσραὴλ ἐστιν ὃν προσεδέξατο ἡ ψυχὴ τοῦ θεοῦ, ἐκλεκτὸν ὄντα σπέρμα αὐτοῦ, ᾗ Ἰσραὴλ ἐστιν, φοβηθήσεται τὸν θεόν· καὶ ἕκαστος δὲ τῶν μιμητῶν Ἰησοῦ, εἰ μὲν ἔχει τὴν πάλην πρὸς ἀρχὰς καὶ ἐξουσίας καὶ κοσμοκράτορας τοῦ σκότους τούτου, Ἰακὼβ ἐστιν πτερνίζων τοὺς ἀντιπάλους· εἰ δὲ καρδίαν ἔχει καθαρὰν, καὶ νοῦν διαυγῆ, ὄψεται τὸν θεὸν, Ἰσραὴλ κατὰ τοῦτο τυγχάνων· πάντως οὖν τοῦ τοιούτου τὸ σπέρμα θεὸν φοβηθήσεται.

Ἐπεὶ οὐκ ἐξουδένωσεν ἐμοῦ τοῦ πτωχοῦ τὴν v. 25. A. f. 120.
δέησιν, οὐδὲ προσώχθισεν μυχθίζων αὐτὴν, τούτου χάριν εὐχάριστοι γινόμενοι ἐπὶ τῷ ἐπηκοῦσθαι ὑπὸ κυρίου τὴν δέησιν ὑπὲρ ἡμῶν γινομέ-

νην, αἰνέσατε καὶ δοξάσατε καὶ φοβήθητε αὐτόν· εἰ γὰρ καὶ ὡς πτωχὸς . . . ὀφείλετε, ὅτι ἐγὼ πλούσιος ὢν, θησαυρὸς ὢν τοῦ πληρώματος τῶν ἀγαθῶν, δι' ὑμᾶς ἐπτώχευσα, ἵνα διὰ τῆς ἐμῆς πτωχείας πλουσίους ὑμᾶς ποιήσω· οὐ γὰρ οἷοί τε ἦτε σάρκα περικείμενοι, δέξασθαί μου τὸν πλοῦτον· τέως ἐκ μέρους γινώσκοντες καὶ προφητεύοντες· πτωχεύσας οὖν δι' ὑμᾶς, ὑπὲρ ὑμῶν πρὸς κύριον ἐκέκραξα, καὶ ὑπήκουσέν μου, δοὺς ὑμῖν ἐκεῖνα, ἐφ' οἷς πλούσιοι ἀπεφάνθητε· οὕτω γάρ μου περὶ ὑμῶν πρεσβευομένου, οὐκ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, ἀλλ' ἔτι μᾶλλον ἐπέλαμψέ μοι αὐτό· διὸ καὶ τὴν κραυγὴν προσήκατο.

v. 26. B. f. 74. Ἄνθρωποι μὲν ἐπὶ φανεροῖς ἔργοις καὶ ἐπιτηδεύμασιν ἐπαινοῦσιν· θεὸς δὲ τὸ κρυπτὸν ὁρῶν, ἐπὶ τελείᾳ ἀρετῇ καὶ γνώσει ὑπερβαλλούσῃ ἐπαινεῖ· μεγάλου τινὸς οὖν ἐστιν μετὰ παῤῥησίας εἰπεῖν, παρὰ σοῦ ὦ θεὲ ὁ ἔπαινός μου· οὐκ
Cord. p. 404. ἐπὶ τῶν τυχόντων, ἀλλ' ἐπεὶ ἐκκλησίας μεγάλης· μεγάλη δὲ ἐκκλησία, ἡ ἐκ τῶν καθ' ἕκαστον μεγάλων συναγομένη· ὡς ἐκκλησία πολλὴ ἡ
A. f. 121. b. ἐκ πολλῶν συναγομένη.—Εὐχή ἐστιν ὁμολογία γινομένη εὐχαριστίας, εἰ τῶν δὲ τινῶν θεόθεν τεύξοιτο.

Ἀλλὰ καὶ οἱ περάσαντες ἀπὸ τῆς γῆς τῷ ἔχειν ἐν οὐρανῷ τὸ πολίτευμα, πρὸς αὐτὸν ἐπιστρέψουσιν· τὰ δὲ πάλαι μὴ δυνάμενα προσκυνεῖν ἔθνη κατὰ τὸν νόμον Ἱερουσαλὴμ διὰ τὸ πόῤῥω τυγχάνειν τὴν Σοφονίου πληροῦσι προφητείαν· καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν.

v. 30. A. f. 122. b. B. f. 75. b. Πίονες γῆς εἶναι δύνανται οἱ τοῖς γηΐνοις ἐντεθραμμένοι· πνεύματι δὲ οἵ τινες εἰς μετάνοιαν κεκλημένοι, πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦντες, ὡς μηκέτι τὰ ἐπίγεια φρονεῖν, φαγόντες τὴν ὑπὸ Ἰησοῦ ὀρεγομένην πνευματικὴν τροφὴν, προσεκύνησαν τῷ θεῷ πνεύματι. Λέγεις δ' ἂν καὶ πίονας τοὺς σοφίᾳ διαφέροντας, ἤτοι κοσμικὴν σοφίαν μετερχομένους, ἢ πλουτοῦντας καὶ ἄρχοντας αἰσθητῶς· καὶ οὗτοι γὰρ φαγόντες τὴν παρὰ Ἰησοῦ τροφὴν, ἀλεξιτήριον οὖσαν τῶν προκαταλαβόντων κακῶν, προσκυνήσουσι τῷ θεῷ, εὑρόντες αὐτὸν ὑπὲρ πᾶσαν ἣν εἶχον σοφίαν καὶ πλοῦτον καὶ ἀρχήν· καταβαίνοντας δὲ εἰς γῆν εἴποι ἄν τις τοὺς ἐξ οὐρανοῦ εἰς γῆν κατιόντας ἀγγέλους πάντας, καὶ τῷ δεσπότῃ καὶ σωτῆρι προσκυνοῦντας κατὰ τὸ, προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ· ἐπίστησον δὲ εἰ καταβαίνειν εἰς γῆν δύνανται οἱ τὸν κοινὸν ἀναδεχόμενοι θάνατον, οἵ τινες προσκυνήσουσιν τὸν κύριον, ὑπὲρ αὐτῶν εἰς τὰ κατώτερα μέρη τῆς γῆς γενόμενον.

« Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἐρχομένη, v. 32.
» καὶ ἀναγγελοῦσιν τὴν δικαιοσύνην αὐτοῦ λαῷ
» τῷ τεχθησομένῳ ὃν ἐποίησεν ὁ κύριος. » Τὸ γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἐπὶ τῶν δύο λαῶν ἐκλαμβάνοντες τινὲς, γενεὰν πορευομένην τοὺς ἐκ περιτομῆς εἰρήκασιν, τῷ ἀποπεφοιτηκέναι τοῦ κυρίου· διὰ τὸ, γενεὰ σκολιὰ καὶ πονηρὰ γεγονέναι· ἐρχομένη δὲ γενεὰ, ἡ ἀπὸ τῶν ἐθνῶν
κλῆσις . . . ἐπειγομένη· αὕτη οὖν ἀναγγελήσε- A. f. 123.
ται τῷ κυρίῳ πρὸς τῶν πρεσβευόντων ὑπὲρ αὐτῆς, λεγόντων πρὸς σὲ, ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς· καὶ πάντα ἔθνη ὅσα ἐποίησας ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου· ταύτην γὰρ πρὸς αὐτὸν ἐρχομένην τὴν γενεὰν οὐκ ἐκβάλλει ὁ λέγων σωτὴρ, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω· εὖ δὲ καὶ τὸ εἰπεῖν τὸν ἐρχόμενον, καὶ οὐ τὸν ἐλθόντα· τὸν γὰρ ἀεὶ ἐνεργοῦντα τὸ πρὸς αὐτὸν ἥκειν, τῷ πράττειν τὰ τῆς ἀρετῆς, οὐκ ἐκβάλλει ἔξω· καὶ γενεὰ οὖν περὶ ἧς ὁ λόγος, οὐκ ἦλθεν ἀλλ' ἔρχεται πρὸς αὐτὸν, τὰ τῆς πίστεως περιέπουσα· αὐτοὶ δὲ οὗτοι οἱ ἀναγγέλλοντες τῷ κυρίῳ τὴν ἐρχομένην γενεὰν, καὶ τὴν τοῦ θεοῦ δικαιοσύνην τὴν διὰ πίστεως Ἰησοῦ εἰς πάντας τοὺς πιστεύοντας ἐνεργουμένην, ἀναγγελοῦσιν τῷ τεχθησομένῳ θεῖον τόκον λαῷ. « Ὃ ὁ κύριος ἐποίησεν » περιποιησάμενος αὐτὸν διὰ τοῦ ἰδίου αἵματος, καλέσας τὸν λαὸν ἑαυτοῦ.

PSALMUS XXII.

Ὁ διὰ τὸ κατορθῶσαι τὸ πρᾶον καὶ εὐστα- v. 1. A. f. 124. B. f. 76.
θὲς Χριστοῦ πρόβατον χρηματίσας, περὶ τοῦ καλοῦ ποιμένος ἐρεῖ, κύριος ποιμαίνει με, καὶ

οὐδέν με ὑστερήσει· ἀπάγει γάρ με ἐπὶ τὴν σωτήριον νομὴν ἔνθα θεῖαι βοτάναι· περὶ ἧς αὐτὸς ὁ ποιμὴν περὶ τοῦ ἰδίου προβάτου φησὶν εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει· τάχα δὲ τόπος χλόης, ἡ θεία παίδευσις εἶναι δύναται, ἔνθα πνευματικὴ πόα εὑρίσκεται, ἠθικὴ οὖσα διδασκαλία· ἐν τούτῳ οὖν τῷ τόπῳ κατεσκήνωσέν με ἀλλ' οὐ κατῴκισεν· βούλεται γάρ με ἐς ὅσον προκόπτω, χρᾶσθαί με τῇ τοιαύτῃ νομῇ τελείως· παυσάμενος γὰρ προκοπῆς, οὐ ποιμένος ἀλλὰ παιδευτοῦ καὶ διδασκάλου ἐκ προβάτου ἄνθρωπος γεγονὼς πειραθήσομαι· οὐκέτι πρόβατον ὤν, ὅ τε καὶ δι' ἁμαρτίαν πλανηθεὶς τῆς νομῆς, ἐπὶ ταύτην πάλιν ἐπέστρεψεν ὑπὸ τοῦ ποιμένος, τοῦτο ἀπολωλὸς ἐπιστρέφοντος, τῷ δεκτικὸς ἐπιστροφῆς εἶναι πρὸς τὸ ὅθεν ἐξέβη· ἐπισυνέβη γὰρ ἡ ἁμαρτία τοῖς ἀποστραφεῖσι θεόν.

v. 2. « Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν με. » Τὸ γὰρ ἠθικὸν μάθημα οὐ μόνον ἄκος ἐστὶν δίψης, ἀλλὰ καὶ λύσιν ἁμαρτημάτων παρέχει.

v. 3. « Τὴν ψυχήν μου ἐπέστρεψέν με. » Εἰ γὰρ καὶ πρόβατον ὂν πεπλάνημαι ἐκτὸς τῆς νομῆς διὰ τοῦ ἁμαρτάνειν γεγονός, ἀλλ' ὁ ἐπιστρέφων τὸ πεπλανημένον ποιμὴν, τὴν ψυχήν μου ἐπέστρεψεν· σημειωτέον ὅτι οὐδεὶς κακὸς φύσει, τῷ δεκτικὸς εἶναι ἐπιστροφῆς· ἐπιστρέφεται δέ τις ἐκεῖ, ἔνθα τὴν ἀρχὴν διῆγεν· συμβεβηκυῖα ἄρα ἡ ἁμαρτία τοῖς ἀποστραφεῖσι θεόν· διὸ καὶ ἀναιρεθείη. « Ὡδήγησέν με ἐπὶ τρίβους δικαιοσύνης » ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. » Περὶ τοῦ ποιμένος φησὶ τὸ ὡδήγησεν με προάγοντος καὶ ὁδοποιοῦντος, ἵν' ἐπιβαίνωμεν αἷς αὐτὸς ἔτριψε τρίβοις, ἐπακολουθοῦντες τοῖς ἴχνεσιν αὐτοῦ· ὅτ' ἂν γὰρ τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ ἴδια πρόβατα αὐτῷ ἀκολουθεῖ· δικαιοσύνην δὲ λέγει τὴν ἕξιν, καθ' ἣν πρακτικοὶ τῶν δικαίων ἐσμέν· τρίβους δὲ αὐτῆς τὰ κατ' αὐτὴν ἐπιτελούμενα· ἢ τάχα δικαιοσύνη ἐστὶν ἡ καθόλου καὶ γενικὴ ἀρετή· τρίβοι δὲ αὐτῆς αἱ κατ' εἶδος ἀρεταί· ἕνεκεν οὖν τῆς ἐπικληθείσης αὐτοῦ ἐπ' ἐμὲ προσηγορίας, ὡδήγησέν με ἐπὶ τὰς προειρημένας τρίβους τῆς δικαιοσύνης.

v. 4. A. f. 124. b. B. f. 76. b. Ὅτ' ἂν συνῇ θεὸς, οὐδὲν τῶν ἐπιβλαβῶν βλάψαι ἢ ζημιῶσαι δύναται, ὡς φησὶν ὁ προφήτης· ἰδοὺ κύριος βοηθήσει μοι, τίς κακώσει με; εἴ ποτ' οὖν καὶ πορευθείην ἐν θλιβεροῖς καὶ ἐπιπόνοις ἃ λέγεται σκιὰ θανάτου, οὐ φοβηθήσομαι τὰ κακωτικά, θεὸν ἔχων μετ' ἐμαυτοῦ· κακὰ δὲ ἐνταῦθα οὐ τὰ κυρίως λέγει, ἀλλὰ τὰ ἐπίπονα, πενίαν, νόσον, δυσφορίαν, καὶ τὰ παραπλήσια, περὶ ὧν ὁ Ἰώβ· τὰ κακὰ οὐχ ὑποίσομεν; οὐ γὰρ θεόν τις ἔχων μεθ' ἑαυτοῦ, γίνεται ἔνθα κακὰ τὰ ἀντικείμενα τοῖς κυρίως ἀγαθοῖς.

v. 4. A. f. 125. Ἄλλοι τὴν μὲν ῥάβδον ἐπιτιμᾶν φασὶ καὶ παιδεύειν· κατὰ τὸ, τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; τὴν βακτηρίαν ὑποστηρίξειν διὰ συμβουλῆς, προτροπῆς τε καὶ παραινέσεως. « Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας » τῶν θλιβόντων με. » Τί βούλεται τὸ ἐξεναντίας τῶν θλιβόντων με; ἔχει τι μυστήριον ἀπόρρητον· ἵνα τίς εὔχηται θλίβεσθαι· ἐπινόει μοι ὥσπερ ἐπὶ τῶν ἀγώνων τῶν μεγάλων ἄθλους ἐπικειμένους καθ' ἕκαστον ἀγώνισμα, οὕτως καθ' ἑκάστην θλῖψιν, ἡνίκα ἂν τὸ θλίβον παρῇ, καὶ αἱ θλίβουσαι δυνάμεις αἱ ἀντικείμεναι, νόει μοι ἀντικειμένην τράπεζαν πνευματικὴν καὶ νοητὴν διὰ ταύτην τὴν θλίψιν· ὁσάκις γοῦν ἐὰν θλιβῇς, τοσαυτάκις καὶ τράπεζά σοι παρατίθεται πνευματική· μόνον ἔχε ὀφθαλμοὺς τοὺς βλέποντας τραπέζας μου, ἵν' εὐχαριστῶν λέγοις μετὰ τοῦ ἀποστόλου· οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν ταῖς θλίψεσιν. Ἐν ἀρχαῖς ἐφάσκομεν, τὸν ἐν ταῖς προκοπαῖς ὄντα κατασκηνοῦν εἰς τόπον χλόης· ἐπεὶ οὖν ὁ προκόπτων καὶ ἐπὶ τὸ τέλος φθάσειεν, οὐκέτι μείνας πρόβατον, ἀλλὰ λογικὸς ἀναδειχθεὶς, τράπεζαν ἔχει λογικῶν τροφῶν ηὐτρεπισμένην ὑπὸ κυρίου· τῷ γὰρ κυρίῳ τυγχάνοντι καὶ σοφίᾳ ἡτοιμασμένη τὴν ἑαυτῆς τράπεζαν, ἐφ' ᾗ τὰ ἴδια θύματα παρέθηκεν εὐχαριστῶν φησίν· ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, οὐκέτι ἐπαγωγικὴν καὶ ἠθικὴν διδασκαλίαν καθὰ πρότερον, ἀλλὰ μυστικὴν καὶ τὴν τῆς ἀληθείας θεωρίαν· ἐπίστησον δὲ εἰ καὶ ὅσον τίς ἐστιν ἐν τῷ βίῳ τούτῳ δι' ἐσόπτρου καὶ δι'

αἰνίγματος τὴν ἀλήθειαν βλέπων, πρόβατόν ἐστιν ὑπὸ ποιμένι ἀγόμενον· μεταβὰς δὲ ἐπὶ τὸν μέλλοντα αἰῶνα, πρόσωπον πρὸς πρόσωπον προσβάλλων τῇ ἀληθείᾳ, πνευματικῇ προσβάλλει τραπέζῃ· κατὰ τὸ, κἀγὼ διαθήσομαι ὑμῖν διαθήκην, ἐσθίειν καὶ πίνειν ἐπὶ τῆς τραπέζης τοῦ πνεύματος ἐν τῇ ἀληθείᾳ· ὅθεν καὶ τὸ ἡτοίμασας εἴρηται· ἀπεντεῦθεν γὰρ ἡτοίμασεν ὁ θεὸς « ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, » καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐ κατέβη, ἃ ἡτοί» μασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.» Καὶ τὸ ἐνώπιον δέ μου δηλοῖ, πεφανερῶσθαί μοι καὶ ἐγνῶσθαί μοι τὴν τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με, πολλῶν ἐχθρεύειν μοι βουλομένων, καὶ διὰ τοῦτο θλιβόντων με. Ἐνίστασθαί με ἰσχυρῶς πρὸς αὐτοὺς ὁ κύριος θέλων, ἡτοίμασεν ἐνώπιόν μου τράπεζαν, ἐν ᾗ ἐπίκειται στερεὰ τροφή, ἵνα ταύτης ἀθλητικῶς ἐμφορηθεὶς, ἀντιστῆναι γενναίως πρὸς τοὺς θλίβοντας δυνηθῶ· καὶ γὰρ ὅτε ἀγαθῶν τελείων τυγχάνομεν, ἰσχυροὺς καὶ πλείονας ἔχομεν τοὺς ἀντικειμένους· ᾗ φησὶν ὁ ἀπόστολος· θύρα γάρ μοι ἀνεῳγμένη, καὶ οἱ ἀντικείμενοι πολλοί.

v. 5. A. f. 126. B. f. 77. Τοῦτ' ἔστι, τὸν νοῦν δαψιλῶς ἐπιχέων αὐτῷ· τοῦτο δὲ τὸ χρίσμα ἱερατικόν ἐστι μύρον, οὗ σύμβολον ἔφερεν Ἀαρών· ὡς μύρον γάρ, φησιν, ἐπὶ κεφαλὴν τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν Ἀαρών· «Καὶ τὸ ποτήριόν μου μεθύσκον ὡς κρά» τιστον·» Ἐπεὶ μὴ μόνον τράπεζαν ἡτοίμασεν ἡ σοφία, ἀλλὰ καὶ εἰς κρατῆρα ἐκέρασεν τὸν ἑαυτῆς οἶνον ἐξ αὐτῆς γεγενημένον, οὔσης ἀμπέλου ἀληθινῆς· ἐκέρασεν δὲ τοῦτον τὸν οἶνον καταμίξασα τὰ θεῖα θεωρήματα λέξεσιν ἀνθρωπίναις· ἐκ τούτου τοῦ κρατῆρος μερίζουσα ἑκάστῳ δίδωσι ποτήριον· ὅπερ ποτήριον κράτιστον, τουτέστι τίμιον καὶ ἐξαίρετον τοῦ λαβόντος λέγεται, ὡς καὶ τὸ πνεῦμα τὸ ἅγιον χρηματίζει τοῦ εἰληφότος αὐτὸ φησὶν, καὶ τὸ ποτήριόν μου· εἰ δὲ φέροιτο τὸ ποτήριόν σου τοιαύτην ἔχον διάνοιαν, σοῦ τοῦ κυρίου τὸ ποτήριόν ἐστιν, ὅπερ ἵνα πίω δέδωκας· οὐ γὰρ ἀνθρώπινον τὸ προειρημένον κρᾶμα τὸ πρὸς τῆς σοφίας προτεινόμενον.

1) Animadverte laudata nominatim hexapla a Didymo.

« Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας v. 6.
» τὰς ἡμέρας τῆς ζωῆς μου. » Οὐ τοσοῦτον ἐξ ἔργων τις καρποῦται σωτηρίαν, ὅσον ἐκ χάριτος θεοῦ ἐλεήμενος ὄντος· ὁ γὰρ θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ πολλὴν προσοῦσαν αὐτῷ πρὸς ἀνθρώπους ἀγάπην, Χριστῷ συνεζωοποίησεν τοὺς νεκροὺς δι' ἁμαρτήματα καὶ τὰ παραπτώματα γεγενημένους· ὅθεν καὶ ὁ ἅγιος φησίν· καὶ τὸ ἔλεός σου καταδιώξεται ἀεὶ ἐπερχόμενον καὶ ἐπιχεόμενόν μοι· οὐ γὰρ ποτὲ μὲν, ποτὲ δὲ οὔ· ἀλλὰ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου καταδιώκει με· πᾶσαι δὲ αἱ ἡμέραι τῆς ζωῆς, ἤτοι οἱ διάφοροι φωτισμοὶ τῆς ἀληθείας, καὶ οὓς ζωοποιούμεθα τυγχάνουσιν· ἢ ὁ διὰ βίου παρὼν ἡμῖν Χριστός· καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου, εἰς μακρότητα ἡμερῶν· εἰς τόπον μὲν χλόης κατασκηνοῖ, ἐν οἴκῳ δὲ κυρίου κατοικεῖ, οὐκ ἐπί τινα καιρὸν, ἀλλὰ πάσας τὰς ἡμέρας τῆς ζωῆς τῆς ἀθανάτου, ἀδιαστάτως καὶ ἐπαλλήλως φωτιζόμενος· πεποιθὼς τῷ σῷ ἐλέει καὶ τῇ σῇ χάριτι, οἶδ' ὅτι οὐκ ἐκπεσοῦμαι τῆς παρὰ σοῦ ἐλπίδος παιδαγωγούμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς μου ὑπὸ τοῦ σοῦ ἐλέους· τοῦτο γοῦν τὸν σὸν ἔλεος καὶ αὐτή σου ἡ χάρις κατηξίωσέν με οἰκητήριον κτήσασθαι τὸν σὸν οἶκον καὶ τὴν σὴν ἐκκλησίαν, ἔνθα τὰς διατριβὰς ποιούμενος ὡς ἐν οἴκῳ θεοῦ ἱερῷ καὶ ἁγίῳ ναῷ, μακρότητος τῶν παρὰ σοὶ ἡμερῶν καὶ ζωῆς αἰωνίου τεύξομαι· τὸ γὰρ κατοικεῖν με ἐν τῷ σῷ οἴκῳ καὶ μηδέποτε αὐτοῦ ἐξίστασθαι μηδὲ ἀπονεύειν, ἀεὶ δὲ εἴσω περιβόλων ἱερῶν τὰς διατριβὰς ποιεῖσθαι, ταῦτά μοι αἴτια γενήσεσθαι πιστεύω μακρότητος ἡμερῶν τῶν ἐκ τοῦ σοῦ φωτὸς ὑφισταμένων. Ἀντὶ δὲ τοῦ εἰς μακρότητα ἡμερῶν, εἰς μῆκος χρόνου ὁ Σύμμαχος ἡρμένευσεν, τῆς κατὰ θεὸν ζωῆς τὸ ἄπειρον καὶ ἀθάνατον σημήνας.

PSALMUS XXIII.

Ἐν ἐνίοις ἀντιγράφοις εὗρον τῆς μιᾶς τῶν v. 1. B. f. 126. b. B. f. 77.
σαββάτων, ἐν δέ γε τῷ ἑξαπλῷ 1) τοῦτο οὐ πρόσκειται· πλὴν ἵνα μηδὲ τοῦτο καταλίπωμεν

ἀνερμήνευτον, εἰδέναι χρὴ ὡς τὴν δεσποτικὴν ἀνάστασιν προσημαίνει.

v. 1. A. f. 127. b. A. f. 127. b. B. f. 77. b. partim Cord. p. 429. Μυστικώτερον δὲ τοῦ κυρίου γέγονεν ἡ γῆ, ὁπηνίκα κατελθὼν ἠλευθέρωσεν αὐτὴν τῶν τυραννικῶς κρατούντων αὐτὴν δαιμόνων, καταλύσας πάντα τὰ ἐπ᾽ αὐτῆς ἀπατελῶς ἐπιτελούμενα, μαγείαν, φαρμακείαν, τὰ χρηστήρια τῶν ἐπὶ γῆς δαιμόνων, σὺν τοῖς περὶ ἀγαλμάτων καὶ θυσιῶν νόμοις· ἀλλὰ καὶ τὸ πλήρωμα αὐτῆς τοῦ περὶ ἀγαθῶν καὶ κακῶν, ὡς ἀναχωρῆσαι τῶν φαύλων· κατὰ τὸ, ἐλέους κυρίου πλήρης ἡ γῆ· καὶ ἡ καθολικὴ δὲ ἐκκλησία πρὸς τῶν πιστῶν οἰκουμένη, μετ᾽ αὐτῶν τῶν οἰκούντων αὐτοῦ ἐστιν, φρονούντων τε καὶ βιούντων ἐκκλησιαστικῶς· ἤ τις ἀμετακίνητον ἔχει τὴν ἕδραν, ὅταν τῆς τῶν πειρασμῶν ἁλμυρίδος καὶ τρικυμίας προσβαλόντων, ἄσειστος ἐπιμείνῃ τῇ πίστει· ταύτην δὲ καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν εὐτρεπῆ ποιήσας διὰ τῆς θείας νομοθεσίας πρὸς ὑποδοχὴν τοῦ ἁγίου πνεύματος, ἀφ᾽ οὗ καθάπερ ἐκ πηγῆς τὰ ποικίλα χαρίσματα ῥέουσιν ποταμοὶ ὕδατος ζῶντος.

B. f. 77. b. Διδύμου καὶ Εὐσεβίου· Ἢ καὶ ὄρος κυρίου τὸ τελικὸν ἀγαθὸν, καὶ τὸν θεὸν λόγον· σπάνιος γὰρ ὁ πρὸς τὴν ἀκρώρειαν αὐτοῦ διὰ προκοπῆς ἀναβῆναι δυνάμενος.—Διδύμου καὶ Ὠριγένους. Ὁ γὰρ τελειωθεὶς μηκέτι περαιτέρω χωρεῖν οἷός τε ὢν, ἵσταται βέβαιος, καὶ χρηματίζων ἅγιος τόπος θεοῦ. ὀπίσω γὰρ κυρίου πορευόμενος ἀναβαίνει, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐκτεινόμενος, τέλος ἔχων τὸ στῆναι μετὰ θεοῦ ἐν τόπῳ ἁγίῳ αὐτοῦ, ἐφ᾽ ὃν δεῖ ἀναβῆναι καὶ στῆναι τὸν εὐαγγελιζόμενον τὴν Σιών. πρὸς ὃν ἐφθακότι τῷ Μωϋσῇ φησὶν ὁ θεός· σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ· ἀλλὰ καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου· ὡς ἐφ᾽ ἕτερον ἁγίασμα φασὶν ὁ προφήτης· ἐπεὶ πέτρα ἦν ὁ Χριστός.

B. f. 78. Ἀλλὰ τίς ὁ τῶν ἐπαγγελιῶν τούτων τευξόμενος; οὗτος οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ· τάχα δὲ καὶ λαβών τις ψυχὴν λογικὴν, δεκτικὴν ἀρετῶν καὶ ἐπιστημῶν, καὶ μὴ δεξάμενος ταῦτα τὰ ὧν ἐστιν δεκτικὸς, ἀλλ᾽ ἀπάτῃ τοῦ βίου καὶ μερίμνῃ βιωτικῇ καταξανθεὶς ἡδοναῖς καὶ πάθεσιν, ἐπὶ ματαίῳ τὴν ψυχὴν εἴληφεν· ὁ δ᾽ ἐναντίως τούτῳ διακείμενος, οὐκ ἐπὶ ματαίῳ αὐτὴν ἔλαβεν· καὶ ὅλος ματαιότης ματαιοτήτων ὁ τῶν πολλῶν βίος ἐστίν.

Ἐπεὶ μὴ περὶ ἑνός τινος ἀναβαίνοντος εἰς τὸ v. 3. A. f. 128.
ὄρος τοῦ κυρίου, καὶ ἱσταμένου εἰς τόπον ἅγιον αὐτοῦ ἐρώτησις γέγονεν, οὐδὲ ἀπόκρισις περὶ ἑνὸς, ἀλλὰ περὶ παντὸς ἀθώου χερσὶν καὶ καθαροῦ τῇ καρδίᾳ· διὸ καὶ ἐπιφέρει τὸ, αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον, ἀντὶ τοῦ πάντες οἱ τοιοῦτοι, καὶ τὴν ἐκ τῶν προειρημένων ἀρετῶν ἐσχηκότες, γενεὰ ζητοῦντές εἰσι, τὸν κύριον ζητοῦντες δὲ, ἐπὶ τῷ εὑρεῖν τὸ πρόσωπον τοῦ θεοῦ Ἰακὼβ, ὃν θεωρῆσαι θέλουσιν, ἵνα βελτιωθέντες ἐκ τῆς κατανοήσεως καὶ ἐκλάμψεως αὐτοῦ εἴπωσιν· ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε.

Προτρέχοντες θεῖοι ἄγγελοι προσεφώνουν τοῖς v. 7. A. f. 128. b. B. f. 78.
ἐφεστηκόσιν ταῖς οὐρανίαις πύλαις· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν τὰς ὑμετέρας καὶ φύλακες ἐστέ· ὡς γὰρ κατιὼν κλίνας οὐρανὸν καὶ οὐκ ἀνοίξας κατῆλθεν, οὕτως ἀναληφθεὶς οὐκ ἀνοιχθεισῶν πυλῶν εἰσῆλθεν, ἀλλὰ αἰρομένων· εἶτα ἐπεὶ αὗται αἱ πύλαι καὶ λογικαὶ τυγχάνουσιν, καὶ πρὸς αὐτὰς οἱ ἄγγελοι φασίν. ἐπάρθητε πύλαι αἰώνιοι· αὗται δὲ αἱ πνευματικαὶ πύλαι, οὐ πρόσκαιροι, ἐπὶ μὴ σωματικαὶ ἀλλ᾽ αἰώνιοι διὰ τὸ ἄϋλον καὶ ἀκήρατον· πλὴν φάσκοντες ἀρθῆναι καὶ ἐπαρθῆναι τὰς πύλας, οὐχ᾽ ἕνα τῶν ἐπιδόξων εἰσελεύσεσθαι, ἀλλὰ τὸν βασιλέα τῆς δόξης φασίν· βασιλεὺς δὲ δόξης ὁ σωτὴρ, τῷ ἄρχειν πάντων τῶν ἐπιδόξων· κατὰ θεὸν εἴρηται· καὶ ὡς τὴν παρὰ πάντων κομιζόμενος δόξαν καὶ τὴν ἀληθῆ καὶ μόνιμον ἔχων βασιλείαν· ταύτην δὲ παρέχων τοῖς ἀξίοις· καὶ κύριος αὐτῆς εἴρηται, κατὰ τὸ· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ἀλλ᾽ ἐπεὶ μὴ μόνος ὁ θεὸς λόγος ἀνῆλθεν, ἀλλ᾽ ἐπιφερόμενος ἣν ἀνείληφεν σάρκα ἐψυχωμένην ψυχῇ νοερᾷ, ξενιζόμεναι αἱ ἄνω δυνάμεις ἐπυνθάνοντο τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης· σάρκα γὰρ περικείμενον τὸν λεχθέντα βασιλέα τῆς δόξης ἰδοῦσαι, ἐθαύμαζον.

Πάλιν δὲ οἱ προτρέχοντες· «κύριος ἔλεγον κρα- A. f. 129.

v. 8. ταιὸς καὶ δυνατός.» Ἄντικρυς τοῦτο βοῶντες, ὃν
ἴστε παμβασιλέα καὶ τῶν ὅλων δεσπότην κρα-
ταιὸν καὶ δυνατὸν, οὗτός ἐστιν σῶμα περικείμε-
νος, ἀριστεύσας κατὰ τῶν ἀφ' ἡμῶν πεσόντων,
καὶ τυραννικὴν ἕξιν ἀναλαβόντων· κύριος ὢν δυν-
ατὸς ἐν πολέμῳ ὀφθεὶς τῷ πάντας καταλελυκέ-
ναι, ἀντιδοξῆσαι καὶ ἀντίστασθαι θελήσαντας·
ταῦτα ἀκούσαντες οἱ ἄρχοντες μετὰ καὶ τῶν αἰ-
ωνίων πυλῶν αὐτῶν, οὐκ ἠρκέσθησαν τὸ προσ-
ταχθὲν μόνον ποιῆσαι, ἀλλὰ καὶ ταῖς ὑπερτέρῳ
δυνάμεσιν ἐπιστατούσαις, καὶ αὐταῖς ταῖς πύ-
λαις τῶν ἀνωτέρων οὐρανῶν· ἅπερ ἤκουσαν, ἀνήγ-
γειλαν, κηρύττουσαι τὸ ἄρατε πύλας οἱ ἄρχον-
τες ὑμῶν, καὶ τὰ ἑξῆς· καὶ πυθομέναις πάλιν
αὐταῖς ἀπεκρίναντο ἣν ἔσχον καὶ αὗται ἀπόκρισιν.
v. 13. B. f. 78. b. Κύριος τῶν δυνάμεων εἰποῦσαι· αὐτός ἐστιν
» ὁ βασιλεὺς τῆς δόξης.» Δυνάμεων δὲ κύριον
αὐτὸν εἶπον, ὡς ἄρχοντα στρατοπέδων· Σημει-
ωτέον δὲ ὅτι οἱ τὰ Ἑβραίων ἠκριβωκότες φασὶν,
τὴν σαβαὼθ φωνὴν ἐν τῷ ἑβραϊκῷ κειμένην εἰς
ἑλλάδα φωνὴν οἱ ἑβδομήκοντα μεταλαμβάνοντες,
ὁτὲ μὲν τὸ κύριος τῶν δυνάμεων, ὁτὲ δὲ κύριος
στρατιῶν· ὁτὲ δὲ τὸ παντοκράτωρ ἔταξαν· λέ-
γουσι γοῦν καὶ ἐν τῷ τόπῳ τούτῳ κειμένου τοῦ
σαβαὼθ, μετάληψις εἰς τὸ κύριος τῶν δυνάμεων
γέγονεν· εἰ δὲ τὸ σαβαὼθ ἐπὶ τοῦ σωτῆρος εἴ-
ρηται, ἑρμηνεύεται δὲ καὶ εἰς τὸ παντοκράτωρ,
εἰκότως ἡ παντοκράτωρ φωνὴ, τοῦ σωτῆρος κατ-
ηγορηθείη· εἰ γὰρ πάντα δι' αὐτοῦ γέγονεν, καὶ
αὐτός ἐστιν πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐ-
τῷ συνέστηκεν, κρατεῖ δὲ προνοητικῶς τῶν δι'
αὐτοῦ πάντων γεγενημένων, καὶ πρὸ πάντων
ἔστιν τῶν ἐν αὐτῷ συστάντων, ἀκολούθως παν-
τοκράτωρ λέγεται· αὐτοῦ γοῦν ἐστι πρόσωπον λέ-
γον ἐν Ζαχαρίᾳ· οὕτως λέγει κύριος παντοκρά-
» τωρ· ὀπίσω δόξης ἀπέστειλέν με· καὶ γνώσῃ,
» ὅτι κύριος παντοκράτωρ ἀπέστειλέν με πρός
» σε·» παντοκράτωρ γὰρ ὑπὸ παντοκράτορος
ἀποστελλόμενος, ὁ υἱός ἐστιν ὑπὸ τοῦ πατρὸς
πεμπόμενος· ἀριδηλότατα δὲ ἐν τῇ Ἰωάννου ἀπο-
καλύψει, παντοκράτωρ ὁ σωτὴρ λέγεται. «τάδε
» γὰρ λέγει κύριος ὁ μάρτυς ὁ πιστὸς καὶ ἀλη-
» θινὸς, ὁ ἦν, καὶ ὁ ὢν, καὶ ὁ ἐρχόμενος, κύ-
» ριος ὁ θεὸς παντοκράτωρ·» ἀναμφισβήτως γὰρ
ταῦτα περὶ τοῦ υἱοῦ εἴρηται 1).

PSALMUS XXIV.

Ὁ δὲ ἐπ' ἄλλῳ τινὶ παρὰ τὸν θεὸν πεποι- v. 2. B. f. 79.
θὼς, οἷον ἐπὶ πλούτῳ, καταγελασθήσεται ὅπερ
οὐ πείσομαι, πεποιθὼς ἐπὶ σοί· ἐχθροὶ δὲ ὁ
διάβολος μετὰ δαιμόνων καὶ τῶν ἀσεβούντων ἀν-
θρώπων· ἴσως δὲ καὶ προορᾷ τοῦ σωτῆρος τὴν
ἐνανθρώπησιν, μεθ' ἣν ὁ τῶν ἐχθρῶν πέπαυται
γέλως.

Λέγοι δ' ἂν ὁδοὺς καὶ τὰς ἐντολὰς, ὧν ἄξιοι v. 4.
καὶ τὰς τρίβους μαθεῖν, ἃς οἱ προοδεύσαντες
ἔτριψαν· ἵνα τοῖς ἴχνεσιν ἀκολουθῶν ἐκείνων,
ἀπλανῆ ποιήσηται τὴν πορείαν· ὡς οὐκ ἀρκοῦντος
δὲ πρὸς σωτηρίαν τοῦ πρακτικοῦ προλαβεῖν ἱκε-
τεύει καὶ τῆς ἀληθείας τὴν θεωρίαν.

Πᾶσαι αἱ πρὸς κύριον φέρουσαι ὁδοὶ, ἢ ἃς v. 10. A. f. 131.
αὐτὸς βαδίζει τὸν εἰρημένον τρόπον, κατ' ἀλή-
θειαν κατορθούμεναι, καὶ σὺν χρηστότητι γι-
νόμεναι, ἔλεος εἰσὶν καὶ ἀλήθεια· δεῖ γὰρ ἐλεη-
θῆναι πρότερον, ἵνα τις ἐπιβῇ αὐταῖς, καὶ οὕτω
δι' αὐτοῦ τοῦ ὁδεύειν ἐπ' αὐτὴν τὴν ἀλήθειαν
φθάσῃ· οὐ πᾶσιν δὲ ἔλεος καὶ ἀλήθεια θεωροῦν-
ται αἱ ὁδοὶ τοῦ κυρίου, ἀλλὰ τοῖς ἐκζητοῦσι
τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ· ὁ
γὰρ ἐκτὸς ὢν τῆς διαθήκης καὶ τῶν μαρτυρίων,
ἄπειρός ἐστιν τῆς χρηστότητος καὶ τοῦ κάλλους
τῶν κυριακῶν ὁδῶν· ἐκζητητέον οὖν τὴν διαθή-
κην ἣν διέθετο ὁ θεὸς τοῖς πατράσιν, ἐξάγων
αὐτοὺς ἐκ τῆς πνευματικῆς Αἰγύπτου, τουτέστι
τῆς πολυθέου πλάνης· ἐκζητήσαντες γὰρ καὶ
ἐρευνήσαντες αὐτὴν, εἰσόμεθα καὶ τὴν καινὴν
διαθήκην ἣν ἐβεβαίωσεν Ἰησοῦς τῷ αἵματι τῷ
ἰδίῳ· πᾶσα γὰρ διαθήκη ἀνίσχυρος, μὴ θάνα-
τον ἐσχηκότος τοῦ διατιθεμένου, ἥ φησιν ὁ ἀπό-
στολος· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ

1) Praeter citatum a nobis in praecedente pagina fragmentum corderianum Didymi, aliud erat, ad hunc psalmum pertinens, apud eundem Corderium p. 430; quod quia a nostris codicibus aberat, omisimus. Hoc enim deinceps institutum tenebimus, ut Didymum ex codicibus tantum vaticanis sumamus, suis peculiaribus Corderio relictis. Interim quippe nos brevitati studentes, Didymum undique colligendum augendumque futuris editoribus permittemus.

μήποτε ἰσχύει ὅσον ζῇ ὁ διατιθέμενος· διὸ πληρῶσαι τὴν ἑαυτοῦ διαθήκην ὁ Ἰησοῦς βουλόμεμενος, θάνατον ἀνεδέξατο· ἐκζητέον δὲ ἐν τῇ διαθήκῃ καὶ τὰ μαρτύρια τοῦ θεοῦ, τοὺς μεμαρτυρηκότας καὶ ἐμπνευσθέντας ὑπ' αὐτοῦ λόγους.

v. 11. A. f. 131. b. Ἕνεκα τῆς σῆς προσηγορίας, ὦ δέσποτα, ἐγὼ ὁ σὸς οἰκέτης ἐκζητήσω τὴν διαθήκην σου, ἐλευθερίαν ἐξ αὐτῆς προσδοκῶν ἢ κληρονομίαν, ἣν ὡς υἱῷ γενομένῳ ὥρισας· ἀλλὰ καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, οὐ τῇ ἔτι ἐνεργουμένῃ, ἀλλὰ παυσαμένῃ· πολλὴ γάρ ἐστιν, οὐ κατὰ ποσότητα, ἀλλὰ κατὰ σύγκρισιν τῆς προσεῖναι ὀφειλούσης καθαρότητος.

v. 13. A. f. 432. B. f. 80. Ἡ ψυχὴ τοῦ εὐλαβοῦς, τῶν ἀγαθῶν περαιτέρω μὴ γινομένη, ἐν αὐτοῖς αὐλίζεται, ἐνεργοῦσα αὐτὰ ἀεί· διὸ καὶ καθόλου τεύξεται τὸ σπέρμα ἔχειν κληρονομοῦν τὸν γῆν, οὐ τὴν ὑπὸ πόδας, ἀλλὰ τὴν τῶν πραέων.

v. 16. A. f. 132. b. B. f. 80. Μονογενῆ ἑαυτὸν φάσκει, κατὰ τὸν λέγοντα· ἐγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου· διὸ καὶ πτωχός εἰμι, οὐκ ἔχων τὴν ἐκ τῶν ὁμοζήλων ἀρωγήν· ἰστέον δὲ ὅτι τὸ μονογενὴς ἐρεῖς· οὐ ταυτὸν ὂν τῷ μονογενεῖ υἱός· ὅπου γὰρ πρόσκειται τῷ μονογενεῖ υἱός, ὁ παρὰ πατρὸς μονογενὴς λέγεται τὸ μόνον ἐξ ἐκείνου τυγχάνον· Θλίψεις δὲ τῆς καρδίας νοήσεις, καὶ τοὺς διοχλοῦντας ἐναντίους λογισμούς· ἀναγκαῖαι δὲ περιστάσεις, τῆς προθέσεως ἐκπεσεῖν βιαζόμεναι.

v. 21. B. f. 133. b. B. f. 80. b. Ἀκάκους λέγει ἢ τοὺς στερομένους κακίας, ἢ τοὺς ἁπλουστέρους· εὐθεῖς δὲ τοὺς κατορθώσαντας τὴν τελείαν ἀρετήν· οὗτοι οὖν ἐκολλῶντό μοι δι' ὁμοφροσύνην, ὅτι ὑπέμεινά σε κύριε· τάχα δὲ καὶ ἀκάκους λέγει τοὺς ἐξ ἀνθρώπων σπουδαίους· εὐθεῖς δὲ τοὺς θείους ἀγγέλους κολλωμένους αὐτῷ, τῷ καὶ θείας δυνάμεις γίνεσθαι περὶ τὸν σπουδαῖον.

PSALMUS XXV.

v. 2. A. f. 134. B. f. 80. b. C. f. 59. Οὐδεὶς ἁμαρτάνων κριθῆναι βούλεται ἐφ' οἷς πεποίηκεν, καὶ μάλιστα πρὸς τοῦ τὰ κρυπτὰ ὁρῶντος· ὁ δὲ ἐν κακίᾳ πορευθεὶς, τουτέστιν προκόψας, ἀξιοῖ τούτου τυχεῖν· οἶδεν γὰρ μισθοῦ ἢ κληρονομίας τευξόμενος· ἢ ἀκακίαν καλεῖ τὸ μὴ μετασχεῖν τῆς φαυλότητος καὶ τῆς κακίας τῶν ἰδίων καὶ τῆς ἀπονοίας τῶν ἀλλοφύλων καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω· ὅσον περιέχομαι τῆς πρὸς θεὸν ἐλπίδος, ὑπ' αὐτῆς ἐνδυναμούμενος οὐκ ἀσθενήσω. Φέρεται γραφὴ λέγουσα, οὐ μὴ σαλευθῶ· καὶ διὰ ταύτης οὖν δηλοῦται· ἐπεὶ ἡ ἐλπὶς ἡ πρὸς θεὸν ἕδραν μοι βεβαίαν καὶ ἀμετακίνητον παρέχει, ἐλπίζων ἐπὶ τῷ κυρίῳ οὐ μὴ σαλευθῶ. Οὐκ ἂν ἠξίωσα παθεῖν τὰ προειρημένα ἐπίπονα, εἰ μὴ κατανενοήκειν τὸν ἔλεόν σου συμμαχούμενόν μοι εἰς τὸ ἐνεγκεῖν αὐτά.

Τὰς πρακτικὰς τῆς ψυχῆς δυνάμεις, χεῖρας v. 6. B. f. 81.
τροπικῶς καλουμένας, ἐν ἀθώοις νίπτεταί τις, οὐδὲν φαῦλον ἀλλ' εἴ τι σπουδαῖον ἐνεργῶν ἐν αὐταῖς· τάχα δὲ καὶ ὁ μολύνας αὐτὰς, ἀνθ' ὕδατος χρώμενος τῇ ἀγαθοεργίᾳ.

Ὁ τὸν κύριον ἐξ ὅλης ψυχῆς ἀγαπῶν, καὶ v. 8. A. f. 136. b. B. f. 81.
τὰ τοῦ θεοῦ πάντα, ὧν ἦν καὶ ἡ εὐπρέπεια τοῦ οἴκου αὐτοῦ τυγχάνει, ἀγαπᾷ· εὐπρέπεια δὲ τοῦ οἴκου τοῦ θεοῦ, ἡ τῶν δογμάτων ἀλήθεια, καὶ ἡ διαταγὴ τῶν κανόνων τῆς ἐκκλησίας οἴκου νοουμένης. πρὸς τούτοις δὲ, καὶ τὸ σκήνωμα τῆς δόξης τοῦ οἴκου τοῦ θεοῦ ἀγαπᾶν φησί· καὶ τάχα μὲν ἡ σκηνὴ τοῦ μαρτυρίου ἣν Μωϋσῆς κατεσκεύασεν ἐν τῇ ἐρήμῳ, τὸ σκήνωμα τῆς δόξης τοῦ θεοῦ ἐστιν· σύμβολον δὲ προκοπῆς τοῦτο· ὃν δὲ ᾠκοδόμησεν Σολομῶν μετὰ τὴν οἰδοιπορίαν εἰς τὴν Ἱερουσαλὴμ, οἶκός ἐστιν, οὗ τὴν εὐπρέπειαν ἀγαπᾷ, τελειότητος τύπον φέρων· εὔχεται δὲ μὴ ὡσαύτως τοῖς ἀσεβέσι διατεθεῖναι, ἵνα μὴ συναπόληται αὐτοῖς ἡ ψυχὴ αὐτοῦ· εὐσεβῆ γάρ τις γνώμην ἔχων, οὐ πείσεται τοῦτο· παρακαλεῖ δὲ μηδὲ φονικὸς γενέσθαι, ὅπως ἡ ζωὴ αὐτοῦ ἀνδράσιν αἱμάτων μὴ συναπόληται.

Εἰς τὸ λύτρωσαί με καὶ ἐλέησόν με· εἰ καὶ v. 11. A. f. 137. B. f. 81. b.
τὰ κάλλιστα συνειδὼς αὐτῷ τὰ προειρημένα εἶπεν· εὐλαβούμενος μὴ οὐκ ἐν τούτῳ δεδικαίωται, λανθανόντων πολλάκις τῶν ἐν κρυπτῷ ἁμαρτημάτων, λυτρωθῆναι καὶ ἐλεηθῆναι ἀξιοῖ.

PSALMUS XXXVI.

v. 1. A. f. 138. B. f. 81. b. Θεοδωρήτου καὶ Διδύμου. Ἔν τισιν ἐπιγέγραπται ψαλμὸς τοῦ Δαυὶδ πρὸ τοῦ χρισθῆναι· ταύτην ἐν τῷ ἑξαπλῷ 1) τὴν ἐπιγραφὴν οὐκ ἔστιν εὑρεῖν, ἀλλ' ἐν ἐνίοις ἀντιγράφοις· ἐντεῦθεν δὲ ὅμως τινὲς ἔλαβον ἀφορμὴν τοῦ πάσας τὰς ἐπιγραφὰς ὡς οὐκ ἀληθεῖς ἐκβαλεῖν· πῶς γάρ φησιν οἷόν τε ἦν μηδέπω χρισθέντα τὸν Δαυὶδ, μηδὲ τοῦ παναγίου πνεύματος τὴν χάριν δεξάμενον, προφητικοὺς γράψαι ψαλμούς; ἄλλως τε καὶ νέος ἦν τηνικαῦτα, πρόβατα ποιμαίνων, οὐ βασιλείαν ἰθύνων, οὐδὲ ὑπό τινων διωκόμενος δυσμενῶν· ἔδει δὲ αὐτοὺς συνιδεῖν, ὡς δὶς λέγει χρισθῆναι τὸν Δαυὶδ ἡ τῶν βασιλέων ἱστορία, μᾶλλον δὲ τρίς· πρῶτον μὲν ἐν τῇ Βηθλεὲμ ὑπὸ Σαμουὴλ τοῦ προφήτου· δεύτερον δὲ ἐν Χεβρῶν ὑπὸ τῆς τοῦ Ἰούδα φυλῆς μετὰ τὴν ἀναίρεσιν τοῦ Σαούλ· τὸ δὲ τρίτον ὑπὸ πασῶν φυλῶν μετὰ τὴν τελευτὴν τοῦ Μεμφιβοσθέ· τὸν τοίνυν ψαλμὸν τοῦτον εἴρηκεν πρὶν τὴν δευτέραν δέξασθαι χειροτονίαν, καὶ προφανῶς ἐγχειρισθῆναι τὴν τῶν πραγμάτων οἰκονομίαν· ἔτι τοίνυν διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, τούτοις ἐχρήσατο τοῖς λόγοις, ἡνίκα πρὸς Ἀχιμέλεχ εἰσῆλθεν τὸν ἱερέα, καὶ ἐν τῇ τοῦ θεοῦ σκηνῇ προσευξάμενος, καὶ τὴν ἀπὸ τῶν ἁγίων ἄρτων εὐλογίαν λαβὼν, διέφυγεν τοῦ πολεμοῦντος τὰς χεῖρας· τοῦτο δὲ καὶ ἐν αὐτῷ τῷ ψαλμῷ λέγει, ὅτι ἔκρυψέν με ἐν τῇ σκηνῇ αὐτοῦ, ἐν ἡμέρᾳ κακῶν μου· τότε δὲ καὶ Δωὴκ ὁ ἰδουμαῖος τὰς βασιλικὰς ἡμιόνους νέμων ἐκεῖ, τοῦ Δαυὶδ τὴν φυγὴν τῷ Σαοὺλ κατεμήνυσεν· διόπερ καὶ ἐν τῷ ψαλμῷ λέγει, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι.

v. 1. A. f. 138. b. B. f. 82. Σωτὴρ ἡμῶν ὁ θεός ἐστιν, ῥυόμενος ἡμᾶς ἐξ ἁμαρτιῶν καὶ τοῦ θανάτου· φωτισμὸς δὲ, λύων τὴν ἀχλὺν τῆς κακίας καὶ τῆς ἀγνοίας, καὶ ἐναυγάζων τῷ φωτὶ τῆς ἀγνώσεως· οὕτως οὖν ἑνωθεὶς καὶ πεφωτισμένος ὑπὸ τοῦ κυρίου, τίνα φοβηθήσεται; οὐδεὶς γὰρ οἷός τοῦ ἐστιν βλάψαι τὸν ἀγαθῶν τοιούτων καὶ ἀσφαλείας τετυχηκότα.

v. 3. A. f. 138. b. B. f. 82. Ῥηθείη ταῦτα καὶ περὶ αἰσθητῶν ἐχθρῶν, καὶ περὶ φάλαγγος ἀοράτων πολεμίων· ἐὰν γάρ φησι ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ τῇ μὴ φοβουμένῃ αὐτοὺς καρδίᾳ μου ἐλπίζω, ὑπέρμαχον θεὸν ἔχειν θαῤῥήσας.

Αἰτεῖ τὴν ἐκκλησίαν οἰκεῖν διὰ τοῦ φρονεῖν τὰ v. 4. B. f. 82.
ἐκκλησιαστικὰ πάσας τὰς ἡμέρας τῆς πεφωτισμένης αὐτοῦ ζωῆς· ἐπὶ γῆς δὲ φησὶ τυγχάνων, εἰ καὶ πολλῶν δεῖ μοι τῶν ἀγαθῶν, μίαν αἴτησιν τέως αὐτῷ· ἀθρόως γὰρ ἐν πᾶσιν οὐχ οἷόν τε γενέσθαι τοῖς ἀγαθοῖς, μή ποτε δὲ λείπει τὸ μεγάλην ἢ ἐξαίρετον.

Καὶ ἄλλως δὲ πολλάκις εἴρηται, τὴν μὲν v. 5. B. f. 82. b. C. f. 52. b.
σκηνὴν δηλοῦν προκοπὴν, τὸν οἶκον δὲ τελειότητα· οὐδεὶς οὖν ἐνεστηκυίας αὐτῷ τῆς τῶν κακῶν ἡμέρας, ἐν οἴκῳ εἶναι δύναται τοῦ θεοῦ, ἀλλ' ἐν τῇ σκιᾷ κρύπτεται τῷ τὴν προκοπὴν σκεπάζειν τὸν κακίας ἀπαλλαττόμενον· τὰ μέν ἐστι προφανη, τα δὲ μυστικά· οὐκ ἐν τοῖς ἐπιπολαίοις οὖν ὁ θεὸς τὸν προκόπτοντα σκέπει· αὐτοῦ δὲ εἶπε σκηνὴν, ἐπὶ μὴ πᾶσα εἰς θεὸν προκοπή· διεδέξατο δὲ τὴν προκοπὴν ἡ πέτρα τῆς τελειότητος· κατάλληλον δὲ τῇ μὲν προκοπῇ τὸ ἔκρυψε, τῇ δὲ τελειότητι τὸ ὕψωσεν· λέγοις δ' ἂν σκηνὴν καὶ τὴν διὰ νόμου καὶ προφητῶν ἀγωγὴν, ἧς ἐν τῷ κρύπτειν τὸν παιδευόμενον ὁ θεὸς ὑψῶν αὐτὸν ἐν τῇ πέτρᾳ Χριστῷ.

Ἐπιστάμενος ὁ ταῦτα λέγων εὐχαῖς δικαίων v. 7. A. f. 141. B. f. 83.
ἐπακούοντα τὸν θεὸν, ἀπὸ τῆς αὐτῆς διαθέσεως τοῖς δικαίοις κεκραγὼς, εἰσακουσθήσεσθαι ἀξιοῖ.
Οὐδεὶς γὰρ ἄξιος εἰσακουσθῆναι παρὰ θεοῦ μὴ B. f. 83. b.
ἐλεούμενος· ταῦτα δὲ, φησὶν, οὐκ ἐξ ἐπιπολῆς εἶπον χειλέων ἀλλ' ἐξ αὐτῆς τῆς καρδίας· τοιαύτης γὰρ εἰσακούει φωνῆς ὁ θεός.

Νομοθέτησόν με, ἵνα τοιοῦτον νόμον παρὰ v. 11.
σοῦ λαβὼν, ὁδεύσω τὸν εἰπόντα, ἐγώ εἰμι ἡ ὁδός· καὶ ὁδήγησόν με τῇ εὐθείᾳ καὶ ἀκαμπεῖ ὁδῷ σου, ἕνεκα τῶν ἐπικειμένων ἐχθρῶν σκάνδαλα ἐχόμενα τρίβου τιθέντων μοι· ἔτι μὴν τῆς ἀρετῆς μεσότητος οὔσης, ὑπερβολῆς καὶ ἐλλείψεως τοῦ τηρεῖν τὸ σύμμετρον· σὺ δέσποτα ὁδήγησον, φέρων με εἰς τὸ τέλος αὐτῆς, ἕνεκα τῶν ἐχθρῶν μου, τῶν ἐνεργούντων τὴν κακίαν

1) Rursus hexaplorum mentio apud Didymum.

καθ' ὑπερβολὴν ἐνεργοῦντες, παρὰ θύραν ἱστά-
μενοι τῆς ἀρετῆς, δι' ἀπάτης λαμβάνουσιν τοὺς
μὴ ἐφιστάνοντας τῇ διαφορᾷ, μεσότητος καὶ
ὑπερβολῆς· εἰ δὲ καὶ εὐθεῖαν ὁδὸν τὴν τῶν ἀλη-
θῶν δογμάτων πορείαν λέγοις, ἴσθι ὅτι μὴ ὁδη-
γοῦντος θεοῦ, οἱ τὰ παρακείμενα ψευδῆ δόγματα
τῆς ἀληθείας ἄγοντες ἄρχοντες τούτου τοῦ αἰ-
ῶνος, ἐχθροί εἰσιν· ὧν ἕνεκα, ὅπως μὴ ἐκπέ-
σωμεν εἰς τὴν ἀπάτην αὐτῶν, παρακαλοῦμεν ὁδη-
γηθῆναι ὑπὸ κυρίου τὴν εὐθεῖαν ὁδόν·

v. 12. A. f. 142. b. B f. 83. Ἐπεὶ εἱλόμην ὁδεύειν τὴν εὐθεῖαν ὁδὸν, πάν-
τες οἱ πονηροὶ θλίβειν με προτέθεινται· σὺ δὲ
κύριε κηδόμενός μου, μὴ παραδῷς με εἰς ψυχὰς
αὐτῶν· ἤτοι εὐχόμενος μὴ παραδοθῆναι αὐτοῖς,
ἢ μὴ συναριθμηθῆται ταῖς ψυχαῖς αἷς εἶχον
οἱ θλίβοντες, αὐτὸ τοῦτο μάρτυρες ἄδικοι εἶναι
ἑλόμενοι· ἀλλ' ἡ ἀδικία ᾗ ἑαυτοὺς προσῳκείω-
σαν, ἀσύστατος καὶ ἀβέβαιος οὖσα, ἐψεύσατο
ἑαυτῇ· οὐχ οἷα γὰρ εἶναι ἐπαγγέλλεται τοιαύτη
εὑρέθη· ἡ γὰρ ἐψεύσατο φωνὴ, οὐκ ἀεὶ τὸ ἐναν-
τίον τῇ ἀληθείᾳ σημαίνει· ὡς ἐν τῷ προφήτῃ·
ἅλων καὶ οἶνος ἐψεύσατο αὐτούς· ἀντὶ τοῦ, οὐχ
ὡς ἐπηγγέλλετο κατ' ἔτος ἡ ἅλων καὶ οἶνος εὑ-
ρεθέντα.

v. 13. Γῆ ζώντων ἐκλήθη ἡ ἐν ἐπαγγελίαις γῆ, κα-
τὰ τὴν αἰώνιον ζωήν· ἐπεὶ οὐδεὶς ἐν αὐτῇ μετέ-
χει τοῦ ἑπομένου τῇ ἁμαρτίᾳ θανάτου· αὕτη δὲ
ἡ γῆ ἐν τοῖς μὴ βλεπομένοις καὶ αἰωνίοις ἵδρυ-
ται, καὶ ἐπ' αὐτῆς ἐστιν τὰ ἀληθῶς· καὶ κυ-
A. f. 143. b. ρίως τοῦ θεοῦ . . . τοιοῦτόν ἐστιν· πιστεύω ζωῆς
αἰωνίου μετασχεῖν, ἵνα κατ' αὐτὴν ζωὴν μετοι-
κισθῶ εἰς τὴν τῶν ζώντων γῆν, ὥστε ἰδεῖν τὰ
ἐπ' αὐτῆς τοῦ κυρίου ἀγαθὰ, τὰ κατὰ τῆς ἐπαγ-
γελίας ἀποκείμενα τοῖς ὁσίως βεβιωκόσιν· εὖ δὲ
εἰπεῖν καὶ τὸ ἰδεῖν καὶ μὴ φαγεῖν καὶ ἅψασθαι,
ἢ ἕτερόν τι· τὸ γὰρ ὅλον ἐν τῷ θεωρεῖσθαι τὰ
θεῖα ἀγαθὰ παρέχει τὴν ὠφέλειαν.

v. 14. C. f. 54. Ἐν ἀνδρείᾳ, φησὶ, ψυχῆς καὶ ἀκρατείᾳ σώ-
ματος ἀνδρίζου· πρὸς ἐχθροὺς γὰρ ἰσχυροὺς καὶ
ἀσάρκους μαχόμεθα· ἀλλὰ καὶ διὰ τῆς ὑπομο-
νῆς νίκην ὁμοῦ καὶ τὰ παρὰ θεοῦ ἐπηγγελμένα
ἀγαθὰ κερδαίνομεν.

PSALMUS XXVII.

Σημαίνει δὲ τὸ ὄνομα τοῦ λάκκου καὶ τὸν τό- v. 1. A. f. 144. b. B. f. 84.
πον τὸν φυλάττοντα τοὺς κατακρίτους.

Ἐπεὶ οὖν πολλῶν ἐνδεὴς ὢν, ἔγνων πρός σου v. 2. A. f. 145.
ταῦτα ἀναπληροῦσθαι δύνασθαι, πρὸς σὲ βοῶν
ἀξιῶ, εἰσακοῦσαί σε τῆς φωνῆς τῆς δεήσεώς μου,
ἐν τῷ δέεσθαι οὐ πρὸς ἄλλον τινὰ ἢ σέ· οὐδὲ
γὰρ ἄλλως ἀναπληρῶσαι δύναται τὰ ὧν ἐλλει-
πής εἰμι. — Ὁ ναὸς δὲ τοῦ θεοῦ, δόξα ἐστὶν τοῦ B. f. 84.
θεοῦ· ναὸς δὲ θεοῦ εἴη ἂν καὶ ὁ ὑπερουράνιος
χῶρος, καὶ αἱ ἐν αὐτῷ δυνάμεις χωροῦσαι παρ-
ουσίαν θεοῦ, κατὰ τὸ ἐφικτόν· εἴη δὲ καὶ ὁ
λόγος τοῦ θεοῦ, ὁ φάσκων· ὁ πατὴρ μένων ἐν
ἐμοὶ, ποιεῖ τὰ ἔργα.

Εὔχεται οὖν λέγων· ἐπεὶ πάντως τῷ ἀδικοῦν- v. 3. A. f. 145. b. B. f. 84.
τι ἀπώλεια ἔσεται, δικαιοσύνην παρέχων μοι,
ἐάσῃς με ἐν ἀδικίᾳ γενέσθαι, ὅπως μὴ ἀπόλω-
μαι μετὰ τῶν ἐργαζομένων αὐτήν.

Ὁ διορατικὸς ἐπιστημονικῶς τοῖς πράγμασιν v. 4. Ibid.
προσερχόμενος, ὡς βλαπτικὰ τὰ φαῦλα ἀποστρέ-
φεται, αἱρούμενος τὰ ἀγαθὰ ὠφέλιμα ὄντα· ὁ
δὲ φαῦλος ἡδονῇ θελγόμενος, ἐργάζεται κακὰ,
οὐχ ὁρῶν αὐτῶν τὸ βλαβερόν· ἐπεὶ οὖν λογικῶς
οὐκ αἰσθάνεται τῶν βλαβερῶν, εὔχεται ὁ ἅγιος
ἀποτίσαι τῷ φαύλῳ κατὰ τὰ ἔργα ἐπίπονα, ὅπως
κἂν διὰ τοὺς πόνους, ἀποστραφῇ τὰ κακὰ αἴτια
κολάσεως αὐτῷ γεγενημένα.

Ὡς πράττει ὁ ἄνθρωπος, τὰ μὲν αὐτοῦ ἔργα, v. 5. A. f. 146.
τὰ δὲ τῶν χειρῶν αὐτοῦ ἐστιν· αὐτὸς γὰρ κατὰ
διάθεσιν ἐργάζεται· αἱ δὲ ἐνεργητικαὶ δυνάμεις,
χεῖρες αὐτοῦ καλούμεναι, ἐπιτελοῦσι τῶν ἁμαρ-
τημάτων τὰ πρακτέα· ἀξιοῖ οὖν καθ' ἕτερα ἀντ-
απόδοσιν γενέσθαι, ὅτι οὐ συνῆκαν εἰς τὰ ἔρ-
γα κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ·
τῶν ἔργων τοῦ θεοῦ τὰ μὲν ὁρατὰ, τὰ δὲ ἀό-
ρατα τυγχάνει· τοὺς γοῦν μὴ συνέντας τὰ ἔργα
τοῦ θεοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, ἀντ-
απολαβεῖν βούλεται τὸ ἀνταπόδομα αὐτῶν· αὐτοὶ
γὰρ προαιρετικῶς εἵλοντο τὸ μὴ συνιέναι τὰ ἔργα·
ᾧ ἠκολούθησε τὸ τιμωρίαις αὐτοὺς ὑποπεσεῖν.

Ἐπὶ τῷ βοηθῷ καὶ ὑπερασπιστῇ κυρίῳ ἐλ- v. 7. A. f. 147. B. f. 84.

πίσασα ἡ καρδία μου, ἐβοηθήθη, ὡς μηδὲν ἐν αὐτῇ εἶναι ἐνθύμημα αἰσχρὸν ἢ δόγμα φαῦλον· βοηθουμένης γὰρ καρδίας ἐστὶν τὸ σύγκατα τίθεσθαι οἷς δεῖ, καὶ ἀνανεύειν πρὸς τὰ ἐναντία· οὕτω δὲ τῆς καρδίας μου βοηθηθείσης, ἀνέθαλεν ἡ σάρξ μου ἐν τῷ πράττειν αὐτά· τάχα δὲ καὶ ἡ ἐλπίζουσα καρδία βοηθηθείη ἀπολαμβάνουσα κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν ἀνατείλασαν τὴν σάρκα· παραπλήσιον τούτῳ τὸ, καὶ τὰ ὀστᾶ ἡμῶν ὡς βοτάνη ἀνατελεῖ· σπέρματος γὰρ λόγον τὸ νῦν ἡμῶν σῶμα ἔχει πρὸς τὸ ἐξ ἀναστάσεως· αὐτὸ γὰρ τοῦτο σπαρὲν ἐν φθορᾷ, ἀναθάλλει ἐν ἀφθαρσίᾳ σπειρόμενον· ὅθεν καὶ καὶ τῷ παραδείγματι τῷ σπειρομένῳ, εἰς τὰ περὶ ἀναστάσεως ἐχρήσατο Παῦλος.

v. 8. B. f. 84. b. Τῷ γὰρ τοῦ θεοῦ λαῷ τί ἕτερον ἔρυμα, πλὴν τοῦ κυρίου; πᾶς δὲ Χριστοῦ μετέχων, ὁμωνύμως καλεῖται Χριστός· ὧν οὖν σώζεται σωτηρίων, οὕτω Χριστὸς αὐτὸς ὑπερασπιστής ἐστιν· ἢ καὶ τοῦ ὄντως Χριστοῦ ὑπερασπιστὴς τῶν σωτηρίων ἐστὶ καθ' ἃ σώζει.

v. 9. A. f. 147. b. B. f. 85. Σῶσον τὸν λαόν σου τοῦτον, οὗ κραταίωμα τυγχάνεις, εὐλογῶν τὴν κληρονομίαν σου, οὐκ ἄλλην τοῦ λαοῦ σου οὖσαν· εὐλόγησον δὲ αὐτὴν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις, ἐπάρας καὶ μετεωρίσας δι' ἀρετῆς αὐτούς· ἀλλὰ καὶ ποιμαίνων αὐτοὺς εἰς πάντα τὸν αἰῶνα τοῦτον· ἐν γὰρ τῷ μέλλοντι ὑπερβάντες τὴν θρεμμάτων κατάστασιν, παιδευτῇ καὶ διδασκάλῳ σοι χρήσονται.

PSALMUS XXVIII.

v. 1. A. f. 148. b. Ὁ προκείμενος ψαλμὸς, μέγιστα περιέχων μυστήρια, εἰκότως κατὰ τὸν εἰκοστὸν ὄγδοον ἀριθμὸν τέτακται, ὄντα δυνάμει ἑβδομάδα· ἐὰν γοῦν συνθῇς τοὺς ἑξῆς ἀριθμοὺς ἀπὸ μονάδος ἕως ἑβδομάδος, εἰκοστὸς ὄγδοος ἀπαρτίζεται· ὅθεν καὶ τρίγωνός ἐστιν, ἑκάστης αὐτοῦ πλευρᾶς συγκειμένης ἐξ ἑβδομάδος· ἔστιν δὲ καὶ τέλειος ἀριθμὸς, δεύτερος μετὰ τὸν ἕκτον· τέλειον δὲ ἀριθμὸν φασὶν, τὸν ἐκ τῶν μερῶν ἑαυτοῦ συντιθέμενον, ὥστε μὴ ὑπερβάλλειν μηδὲ ἐλλείπειν· καὶ ὁ παρὼν οὖν ἀριθμὸς μέρη ἔχει ἥμισυ τέταρτον, ἕβδομον τεσσαρεσκαιδέκατον, εἰκοστὸν ὄγδοον· ἅπερ συντεθέντα ἀπαρτίζει ἑαυτόν· ιδ'. ζ'. δ'. β'. α'.

Προστάττει ἤτοι τοῖς ἀγγέλοις, ἤτοι τοῖς τὸ v. 1. A. f. 149. b.
πνεῦμα τῆς υἱοθεσίας ἔχουσιν ἀνθρώποις ἐνεγ-
κεῖν ἐπὶ τὴν σκηνὴν τὰ πρὸς θεραπείαν.—Οἱ B. f. 85. b.
τὸ πνεῦμα τῆς υἱοθεσίας λαβόντες, ἄλλα τε προστάττονται καὶ υἱοὺς κριῶν ἐνεγκεῖν· κριοὺς δὲ νοητέον τοὺς εὐτόνους κατὰ θεοσέβειαν βίον ἐπανελομένους, δίχα τοῦ λογικῶς θεωρεῖν τὴν ἀλήθειαν· διὸ καὶ ἄρχειν εἰσὶν ἱκανοί· υἱοὶ δὲ κριῶν οἱ μιμήσει τῆς πολιτείας γεννηθέντες ὑπ' αὐτῶν. Δόξαν μὲν οὖν φέρουσιν οἱ τὸ προσῆκον περὶ τριάδος δοξάζοντες· τιμὴν δὲ πάντες οἱ τηροῦντες τὰς ἐντολάς· εἴπερ καὶ ὁ παραβαίνων τὸν νόμον διὰ τοῦ παραβαίνειν, τὸν θεὸν ἀτιμάζει. Ἐν αὐλῇ δὲ προσκυνεῖ ἁγίᾳ, ὁ κατὰ τὰ θεῷ δόγματα καὶ τοὺς κανόνας τῆς ἐκκλησίας τῷ λατρεύων.

Προχειρότερόν τις ἐπιβάλλων, ἐρεῖ τὸν Ἰω- v. 3. A. f. 151. B. f. 86. b.
άννην βαπτίζοντα ἐν τῷ Ἰορδάνῃ ποταμῷ, φω-
νὴν εἶναι κυρίου ἐπὶ τῶν ὑδάτων.—Ἔτι μὴν εὔ- v. 7. A. f. 153. b. B. f. 88.
τονον καὶ αὐστηρὸν βίον ἀναλαβὼν ὁ Ἰωάννης, διοδεύσιμον τὸν φλογμὸν τῶν ἡδονῶν τοῦ βίου ποιήσας, φωνή ἐστιν κυρίου διακόπτοντος φλόγα πυρός.

Ψυχὰς δηλοῦσιν ἂν ἔλαφοι, πνεύματι τὰς v. 9. B. f. 88. b.
πράξεις τοῦ σώματος θανατούσας· καὶ πνεύματι διὰ χειλέων κατὰ μίμησιν θεοῦ ἀναιροῦντας τὸν ἀσεβῆ ὄφιν.—Ὅπως φανερὰ γένωνται τὰ ἐν αὐτοῖς φωλεύοντα θηρία, ἅπερ ἀνείμωνται ἔλαφοι· σύμφυτος γὰρ τόπος ξύλων ἀκάρπων ἐστὶν ὁ δρυμὸς, κοπτομένων ὑπὸ τῆς ἀξίνης τοῦ λόγου καὶ εἰς πῦρ βαλλομένων.—Ὅτε τὰ ἐπισκιάζοντα τῇ τῶν ἀνθρώπων προκοπῇ, περιαιρεθῇ, τότε πᾶς τίς τὴν πολύθεον πλάνην ἐάσας, δόξαν ἐρεῖ ἐν τῷ ναῷ τοῦ θεοῦ.

Ἡ δὲ καθίδρυσις τὸ ἄτρεπτον παρίστησι τοῦ v. 10. B. f. 89.
θεοῦ· διαστέλλει γοῦν αὐτὴν τοῖς δι' ἀλλοίωσιν ἀπολλυμένοις, φάσκων συγκαθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα· τὸ τοίνυν μόνιμον αὐτοῦ τῆς βασιλείας παρέστησεν.

PSALMUS XXIX.

v. 1. B. f. 89. b. Ὁ ἀληθῶς Δαυὶδ, ὁ ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα γενόμενος, οἰκοδομήσας τὴν ἐκκλησίαν, ἧς τὸν θεμέλιον αἵματι τῷ ἰδίῳ κατέβαλεν, λέγων τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω, ταύτην ἐγκαινίσαι προὔθετο, ἀρχὴν τῆς ἐν αὐτῷ οἰκήσεως διδοὺς τοῖς πιστεύουσιν· ἐφ' ᾧ ψαλμὸς ᾠδῆς εὐχαριστικῶς ἀνακρούεται· τὸν αἰσθητὸν δὲ οἶκον οἰκοδομῆσαι προθυμηθεὶς ὁ Δαυὶδ ἀκήκοεν, οὐ σὺ οἰκοδομήσεις μοι οἶκον διὰ τὸ ἀνὴρ πολεμιστὴς εἶναι ἐκ νεότητός σου, ἀλλ' ὁ ἐξερχόμενος ἐκ τῆς ὀσφύος σου, οὗτος οἰκοδομήσει μοι οἶκον· τὰς οὖν ὕλας προετοιμάσας τῷ παιδὶ, καὶ τὸν ψαλμὸν ὡς ἕν τι τῶν ἀναγκαίων κατέλειπεν, ὡς ἂν συμπληρωθέντος εὐχαριστικῶς ἀνακρούηται.

v. 4. Σώζει δὲ θεὸς ἢ μὴ συγχωρῶν εἰς θάνατον κατελθεῖν, ἢ καταβαίνοντας ἀνασῶν· νοηθείη δὲ ταῦτα καὶ ἐκ προσώπου Χριστοῦ τοῦ τὴν ψυχὴν αὐτοῦ δόντος ὑπὲρ ἡμῶν, καὶ ἀναστάντος ἐκ νεκρῶν εὐδοκίᾳ τοῦ θεοῦ καὶ πατρός.

v. 6. B. f. 90. b. Ἀλλὰ καὶ οἷς ἔδυ τὸ φῶς τὸ ἀληθινὸν κλαίουσιν, ἐν ἀρχῇ νυκτὸς γεγονότες· οἷς δὲ ἀνατέλλει τῆς δικαιοσύνης ὁ ἥλιος, χαίρουσιν· ἔδυ καὶ τῷ προτέρῳ λαῷ, καὶ ἔκλαυσαν· ἀνέτειλε δὲ τοῖς ἔθνεσιν, καὶ ἠγαλλιάσαντο.

v. 7. Διδύμου καὶ Βασιλείου. Ἁρμόττει καὶ τῷ Ἀδὰμ πρὸ τῆς παραβάσεως, καὶ τῷ Ἐζεκίᾳ νενικηκότι· ἐν γὰρ ταῖς παραλειπομέναις ὑψωθῆναι λέγει τὴν τούτου καρδίαν.

v. 8. B. f. 91. Κάλλος δὲ ψυχῆς ἡ τῶν ταύτης δυνάμεων συμφωνία· ἐπεὶ καὶ σώματος ἡ τῶν μελῶν συμμετρία· τοῦτο μοι τοίνυν τὸ κάλλος παράσχου, ὅπερ ἀνέλαβον ποιήσας σου τὸ θέλημα καὶ τοῦ ἐν οὐρανοῖς πατρός· ἐπεὶ πᾶς ὁ σύμμορφος γεγονὼς τῆς εἰκόνος τοῦ υἱοῦ τοῦ θεοῦ, κάλλος θεόθεν ἔσχεν ἑνωθεὶς τῷ κυριακῷ θελήματι.

v. 11. B. f. 92. Διὰ δὲ τοῦ, κύριος ἐγενήθη βοηθός μου, δείκνυται τὸ ἐγενήθην, μὴ πάντως οὐσίωσιν ἀλλὰ καὶ σχέσιν πρός τι δηλοῦν· τοῦτο τοίνυν νοητέον καὶ περὶ τοῦ σωτῆρος εἴ ποτε λέγοιτο· ὁ δὲ κυρίως κοπετὸς, ὅταν κόπτωσι τὸ στῆθος αἱ χεῖρες· ἀφ' οὗ λέγεται τὸ ἐν συναισθήσει τῶν ἰδίων ἁμαρτημάτων γενόμενοι διὰ χειρῶν πνευματικῶν μεταβαλεῖν τὸν θρῆνον εἰς εὐφροσύνην, χαρὰν τὸν καρπὸν ἀναλαβόντα τοῦ πνεύματος· τὸ δὲ οὐ μὴ μεταγνῶ· δόξα δὲ τοῦ ψάλλοντος ὀρθὴ πολιτεία, καὶ γνῶσίς ἐστιν εἰλικρινής.

PSALMUS XXX.

Ἀλλὰ καὶ ὁ τοῦ μακαρίου τέλους ἐλπίζων τυ- v. 2. B. f. 92. b.
χεῖν, ὃς δὲ μὴ καταισχυνόμενος· ἀξιοῖ δὲ πολεμούμενος ῥυσθῆναι τῷ μονογενεῖ τοῦ θεοῦ δικαιοσύνῃ τυγχάνοντι· καὶ ἐπεὶ μὴ φθάνει, φησίν, ἡ ἡμετέρα κραυγὴ πρὸς τὸ σὸν ὕψος, κλῖνον τὸ οὖς σου πρός με διὰ συγκαταβάσεως, ὅπως ἂν καὶ τάχος ἐπιθείης αἰτούμενος.—Καὶ νῦν δὲ τὸ γενοῦ μοι, σχέσιν δηλοῖ τοῦ ὑπερασπίζοντος πρὸς τὸν ὑπερασπιζόμενον· ἀξιοῖ δὲ καὶ φρούριον αὐτῷ γενέσθαι, τοὺς ἐχθροὺς ἀποφυγόντι, καὶ τὸν οὐράνιον ἄρτον τραφῆναι.

Ἀγαλλιῶμαι καὶ εὐφραίνομαι, λύπην καὶ τὰ v. 8. B. f. 92. b.
λοιπὰ πάθη καταπατήσας. Ἡ δὲ ταπείνωσις πο- v. 8. B. f. 93.
τὲ μὲν τὴν ἀτυφίαν δηλοῖ, ποτὲ δὲ τὴν ὑπ' ἐχθροῖς κάκωσιν· ἀγαθὸν δὲ τὸ ἐπιδεῖν τὸν θεὸν τὴν ἑκατέρως ταπείνωσιν· δηλοῖ δὲ νῦν τὴν κάκωσιν, τὰς ἀνάγκας ἐπαγαγών· ἀνάγκας γὰρ τὰς περιστάσεις ἐκάλεσεν· εἰ τὸ εὐρύχωρον δὲ ταυτὸν τῇ ὁδῷ τῇ πλατείᾳ καὶ εὐρυχώρῳ δηλοῖ, ἥτις ἐστιν ἡ φιληδονία, εὐχαριστεῖ διότι ἐν τῷ περιγείῳ τόπῳ τυγχάνων, ἐν ᾧ διὰ τὰς ἐμφωλευούσας τὸ ζῆν ἐστιν ἐπισφαλὲς, στάσιν ἔσχε τοῦ μὴ τῇδε κἀκεῖσε πρὸς τῶν παθῶν περιφέρεσθαι ἡδέως, ἐπαινετὸν φησι τὸ εὐρύχωρον, ὁμολογεῖ χάριν ὅτι οὐ στενοχωρεῖται, πλατυνόμενός τε καὶ τοῖς πόνοις ἐγκαρτερῶν.

Κατὰ μὲν τὸ αἰσθητὸν, οὐ πάντως οὔτε πτω- v. 11. B. f. 93.
χεύων τὶς ἀσθενεῖ, οὔτε μὴν ἀσθενῶν πτωχεύει· ἐν δὲ τοῖς πνευματικοῖς, ἐπεὶ ταυτὸν ἰσχύς τε καὶ πλοῦτος, ὁ πλουτῶν ἐν ἔργοις ἀγαθοῖς, ἰσχὺν ἔχει· λέγει τοίνυν ὡς ἠσθένησα τὸν βλέποντα πλοῦτον ἀποστραφείς· ἰσχὺν δὲ φησὶν ἀντὶ τοῦ ταύτην ἔχοντος τὴν ἕξιν, εἰπών· ὡς γὰρ οὐκ ἔστιν ἀγνοεῖν ἐπιστήμην, οὕτως οὐδὲ ἰσχὺν ἀσθε-

νεῖν· τοιοῦτον παρὰ Παύλῳ τὸ, ἵνα δικαιοσύνη γενώμεθα Θεοῦ ἐν αὐτῷ, ἀντὶ τοῦ δικαίῳ.

v. 12. A. f. 154. a. B. f. 93. b. Οἱ ἐχθροὶ φιλήδονοι μᾶλλον ἢ φιλόθεοι τυγχάνοντες, οὐ μόνον οὐκ αἰσχύνονται οὐδ᾽ ὄνειδος ἔχειν δοκοῦσιν ἐφ᾽ οἷς πράττουσιν κακῶς, ἀλλ᾽ ἐκ τοῦ ἐναντίου σεμνύνονται· ὡς λεχθῆναι περὶ αὐτῶν, ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν· καυχῶνται δὲ ἐφ᾽ οἷς ὀνειδιστέοι γίνονται· αἰσχύνθητε γοῦν ἀπὸ καυχήσεως ὑμῶν ἐναντίον κυρίου· ὅθεν καὶ ἀναστήσονται οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον· ὁ δὲ αἰσθόμενος ἐν τῇ προειρημένῃ πτωχείᾳ ἑαυτὸν γεγονέναι, ὁμολογεῖ ὀνειδιστέος εἶναι· διό φησι, παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος· ἀλλὰ καὶ παρὰ πᾶσιν τοῖς πλησιάζουσίν μοι κατὰ τὴν οἴκησιν, τουτέστιν τοῖς ὁμοδοξοῦσιν, οἵπερ κατανοήσαντες ἐξ οἵου πλούτου πρὸς οἵαν πτωχείαν ἐξέπεσαν, εὐλαβούμενοι παθεῖν ἴσα, τὴν κατάστασιν ἀπέφυγον τὴν ἐμὴν, ὅτι σκεῦος ὢν πάλαι τίμιον καὶ εὔχρηστον τῷ δεσπότῃ, τοσοῦτον ἠχρειώθην ὡς ἀπολωλέναι δοκεῖν· ψόγου δὲ ἀκούει διδάσκαλος παρὰ τῶν δοκούντων εἶναι περὶ αὐτὸν μαθητῶν, τῷ δὲ μὴ τοῖς μαθήμασιν ἐμμένειν, μὴ κατοικούντων ἐν αὐτοῖς· ἴσως δὲ καὶ ψεγομένων ἐκείνων τῷ παροικεῖν, σκεῦος ἐγενόμην ἀπολωλός· κατὰ τὸ, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς
v. 16. σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;—Ἐγενήθην φόβος τοῖς γνωστοῖς μου, διὰ τὸ δεδιέναι, φησὶν, αὐτοὺς συγγενέσθαί μοι, μὴ τοῖς τοῖς ἐμοῖς ἐχθροῖς περιπέσωσιν.

B. f. 93. b. A. f. 154. b. Χεῖρας δέ φησι τὰς φρουρούσας δυνάμεις, ἐν αἷς φησιν εἶναι πάντα τὰ συγκληρωθέντα κατάκρισιν αὐτῷ θείαν ἤτοι παθεῖν ἢ ῥυσθῆναι· μὴ δὲ γὰρ οἴεσθαι ταῦτα συμβαίνειν συντυχικῶς.—Ἐν ταῖς σκεπαζούσαις καὶ φρουρούσαις δυνάμεσι χερσίν σου χρηματιζούσαις, οἱ κλῆροι μου τυγχάνουσιν· τουτέστιν, πάντα τὰ συγκληρωθέντα μοι κατὰ κρίσιν σὴν ἤτοι ῥυσθῆναι ἀπ᾽ αὐτῶν, ἢ παθεῖν· οὐδὲ γάρ τι συντυχικῶς οἴομαι συμβαίνειν· ἕτεροι δὲ τὴν λέξιν σαφηνίζουσιν οὕτως· αἱ δεδομέναι ἐξουσίαι φησὶν, ἤτοι ὡς ἄρχουσιν, ἢ διδασκάλοις, ἢ ἄλλην τινὰ ὑπεροχὴν ἔχουσιν, κλῆροι αὐτῶν ὀνομάζονται· οὗτοι οὖν ἐν ταῖς χερσὶν τοῦ θεοῦ εἰσίν· ὡς γὰρ αὐτὸς καθιστᾷ, οὕτως καὶ μεθιστᾷ βασιλεῖς· κἂν τοίνυν διὰ τὴν παροῦσαν μοι ὑπεροχὴν ἐπέρχωνταί τινες μετακινῆσαι αὐτὴν βουλόμενοι, οὐ δυνήσονται, τῷ πάντα τὰ κατ᾽ ἐμὲ ἐν ταῖς χερσίν σου εἶναι.

Οὐχ ἁπλῶς κρύπτει τὴν χρηστότητα τοῖς φοβουμένοις αὐτόν· πολὺ γὰρ αὐτῆς ἤδη καθορῶσιν· ἀλλὰ τὸ πλῆθος ἵνα μὴ βλαβῶσιν· εὖ δὲ καὶ τὸ εἰπεῖν τοῖς φοβουμένοις σε· αὐτοῖς γὰρ αὐτὴν ταμιεύεται· φανέρωσον αὐτὴν αὐτοῖς, ὅτ᾽ ἂν τελείᾳ ἀγάπῃ γενόμενοι, ἔξω βάλωσι τὸν φόβον· αὐτὰ δὲ ταῦτα ἃ ἔκρυψας τοῖς φοβουμένοις σε, ἤδη κατ᾽ ἐνέργειαν ἐφανέρωσας τοῖς πλέον τοῦ φόβου τὴν ἐλπίδα ἔχουσιν ἐναντίον τῶν υἱῶν ἀνθρώπων· ἀνθρώπους δ᾽ ἐρεῖς τοὺς τὸ λογικὸν καὶ κατ᾽ εἰκόνα ἀδιάστροφον φυλάξαντας· υἱοὺς δὲ αὐτῶν τοὺς λογικῶς μαθητὰς καὶ μιμητὰς αὐτῶν γενομένους· ἀπόκρυφον δὲ τοῦ προσώπου τοῦ θεοῦ ἐρεῖς, τὸ μὴ ἐφικτὸν νῦν πρὸς γνῶσιν, φανερωθησόμενον δὲ τότε ὅτε ὀψόμεθα αὐτὸν καθώς ἐστιν· τούτῳ τὸ ἀποκρύφῳ ἀντιδιαστέλλεται τὸ λεγόμενον παρὰ Παύλῳ, γνωστὸν αὐτοῦ φανερωθὲν τοῖς ἀνθρώποις, τουτέστιν τὸ δημιουργὸν καὶ προνοητικὸν αὐτοῦ· ἑξῆς γὰρ τὸ, ὁ θεὸς ἐφανέρωσεν, εἴρηται· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήσασιν νοούμενα καθορᾶται· τάχα καὶ ὁ σωτὴρ πρόσωπον ὢν θεοῦ, ἀπόκρυφον ἔχει πᾶν τὸ κατὰ τὴν θεότητα, ἐμφανὲς δὲ τὸ κατὰ τὴν οἰκονομίαν· ὅτ᾽ ἂν οὖν ὁ λόγος γενόμενος σὰρξ σκηνώσῃ ἐν ἡμῖν, κατακρυπτόμεθα ἐν τῷ ἀποκρύφῳ τοῦ προσώπου αὐτοῦ, ὀψόμενοι αὐτὸ, ὅτ᾽ ἂν ὀψώμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· ἐπίστησον δὲ εἰ καὶ τὰ προφανῆ ἔργα τῆς προνοίας, πρόσωπον αὐτοῦ εἶναι δύναται· δι᾽ αὐτῶν γὰρ θεὸν φανταζόμεθα· ἀπόκρυφον δὲ αὐτοῦ οἱ ἀπόρρητοι λόγοι καθ᾽ οὓς γίνεται τὰ γινόμενα· οὓς ἐπὶ τέλει τῶν πραγμάτων εἰσόμεθα, ἀπὸ ταραχῆς ἀνθρώπων· οἱ ἀνθρώπινα δόγματα ἐπαγγελλόμενοι, ἄνθρωποί εἰσιν ταραχὴν προβαλλόμενοι, δι᾽ ἧς ταράττουσιν τοὺς ἀνερματίστους· ταύτης τῆς ταραχῆς ἐκτὸς v. 19. A. f. 155. b. B. f. 94.

ποιῶν τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν ὁ θεὸς, κατακρύπτει αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου αὐτοῦ, κατὰ πάντας τοὺς εἰρημένους τρόπους· ὁ δὲ προκόπτων ἔτι, καὶ ἐν σκηνῇ χρήζει σκέποντος ἐν αὐτῇ τοῦ θεοῦ διὰ τὸ τὰς ψευδοδοξίας ἀποφυγεῖν ἃς ἐκάλεσε γλώσσας· πρὸς δὲ τὸν τέλειον πάσης ἀπαλλαγέντα προκοπῆς, καὶ κατανοοῦντα λοιπὸν αὐτὴν τὴν ἀλήθειαν λέγεται, καὶ πᾶσα φωνὴ ἡ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας ἡττήσεις.

v. 20, 21. A. f. 157. B. f. 94. b. Οὐ τοσοῦτον θαύματος ἄξιον ὅτ' ἂν ἐμφαί-
νηται ὁ ἔλεος τοῦ θεοῦ ἐν ταῖς ἀνετικαῖς καὶ
ἡπλωμέναις πόλεσιν, ὅσον θαυμαστούμενος τό-
τε, ὅτ' ἂν ἐν πόλει περιοχῆς γένηται· ὡς καὶ διὰ τοῦτο εὐλογητὸν εἶναι τὸν θεόν· πάνυ εὐλογούντων τῶν ἐκ πλείονος περιστάσεως ῥερυσμένων· τὸ δὲ τῆς ἐκστάσεως ὄνομα σημαίνει τὴν παραφροσύνην, δηλοῖ δὲ καὶ τὸν θαυμασμὸν μετ' ἐκπλήξεως γινόμενον· σημαίνει ἡ παροῦσα λέξις τὸ δεύτερον τῶν σημαινομένων· ὃ γὰρ λέγει ἐστὶ τοιοῦτον· ἐν ἐκστάσει, τουτέστιν ἐν ἐκπλήξει γεγενημένος εἶπα· ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου, τουτέστι μακρὰν ἔδοξα εἶναι τῶν ἐποπτικῶν καὶ ἐπισκοπευτικῶν σου δυνάμεων· καὶ ἐπεὶ οὕτως διατεθεὶς παρεκάλεσα μὴ ἀπερριμμένος μεῖναι, ἀλλ' ἐπιφανῆναι μοι τὸ πρόσωπον τῶν ὀφθαλμῶν σου, διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

v. 24. A. f. 157. b. B. f. 95. Μιᾶς ἀληθείας οὔσης τῆς εἰπούσης, ἐγώ εἰ-
μι ἡ ἀλήθεια, πολλαὶ συνίστανται ἐν τοῖς μετ-
έχουσιν τῆς μιᾶς ἑκάστης ψυχῆς ἀλήθειαν ἐχούσης· ὃν ἐδέξατο τύπον ἐκ τῆς μονογενοῦς ἀληθείας· ἐπεὶ οὖν πάσας τὰς ἀληθείας ταύτας ἐκζητεῖ κύριος, τιμῆσαι ἐπ' αὐτὰς βούλεται τοὺς ἔχοντας αὐτάς· τούτου χάριν οἱ ὅσιοι αὐτοῦ ἐκζητήσατε αὐτόν· οὐκ ἀμισθὶ καταλύοντες ἐφ' ᾗ ἔχετε ἀληθείᾳ.

PSALMUS XXXI.

v. 1. A. f. 157. b. Καὶ ἐπὶ πολλὰ κεκρυμμένα ὁ ψαλμὸς ἔχει,
συνέσεως χρεία τῷ ἐντυγχάνοντι, ἵνα συνιέναι
v. 2. A. f. 158. δυνηθῇ ἕκαστα τῶν ἀσαφῶς εἰρημένων· Ὁ ἀνα-
μάρτητος, οὐχ ἁπλῶς ἄνθρωπος, ἀλλ' ἀνὴρ διὰ τὴν τελειότητα λέγεται. Οὕτω γοῦν ὁ θεὸς οὐ λογίζεται ἁμαρτίαν, ἤτοι τῷ ἀφίεσθαι αὐτὴν, ἢ τῷ μηδ' ὅλως γεγονέναι· ἁρμόσει γὰρ τοῦτο μάλιστα τῷ Χριστῷ κατὰ τὴν οἰκονομίαν· καὶ τὸ οὐκ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος, ὁμοίως ἐκδεκτέον· ἢ τὸ ἀποβεβληκέναι, ἢ τὸ μὴ ἐσχηκέναι δόλον· οὐκ ἔστιν δὲ δόλος ἐν στόματι τοῦ λόγον ἀληθῆ καὶ ἀκατάγνωστον ἔχοντος.

Ἀπὸ τοῦ ἀληθινοῦ φωτὸς καταυγαζόμενος ἐν v. 3. A. f. 158. b. B. f. 95.
ἡμέρᾳ διῆγον, καὶ ἐν ὅλῃ ταύτῃ ἔκραζον ὑμνῶν εὐχόμενος· ἐπεὶ οὖν ἀπὸ ταύτης τῆς κραυγῆς ἐξ ἀπροσεξίας ἐσίγησα, ἐπαλαιώθη τὰ ἰσχυρὰ καὶ τὰ εὔτονα τῶν δογμάτων, ὀστᾶ μου ὀνομαζόμενα· σημαίνει δὲ τὴν μετάπτωσιν τοῦ τοιαῦτα λέγοντος, τῷ πεπαλαιῶσθαι, καὶ μὴ φύσει παλαιὰ εἶναι τὰ ὀστᾶ αὐτοῦ.

Ταῖς ἀνομίαις ταῖς χωρὶς νόμου, τὰς διὰ B. f. 95.
νόμου παραβάσεως ἁμαρτίας ἀντιδιέστειλεν· ἀλλ' αἱ μὲν ἀνομίαι ἀφίενται· χωρὶς γὰρ οὖσαι νόμου, συγγνώμης τυγχάνουσιν· αἱ δὲ ἁμαρτίαι παντὶ μὲν οὐκ ἀφίενται, ἐξ ἀγάπης δὲ μόνον ἐπισκιάζονται· ἀγάπη γὰρ καλύπτει πλῆθος ἁμαρτιῶν, ὅταν παρακούσαντες τοῦ νόμου, ὕστερον μετανοήσωσιν· ἐπεὶ τοίνυν διὰ λουτροῦ μὲν ἡ ἄφεσις, διὰ δὲ μετανοίας ἐπικάλυψις, ἀμφότερα περιέλαβεν· τινὲς δὲ τὴν μὲν ἄφεσιν, ἐπὶ τῶν ἐθνικῶν φασὶν, τήν γε μὲν ἐπικάλυψιν ἐπὶ τῶν ἐκ περιτομῆς πιστευσάντων.

Καὶ ἐν τοῖς προάγουσιν εἴρηται, ὡς ἐν πολ- v. 4. A. f. 159.
λοῖς τόποις τῆς γραφῆς ἡ κολαστικὴ τοῦ θεοῦ B. f. 95. b.
δύναμις χεὶρ αὐτοῦ ὀνομάζεται· ταύτην οὖν βαρέως ἐπικεῖσθαι αὐτῷ ἡμέρας καὶ νυκτὸς, τουτέστιν συνεχῶς, λέγει, διὰ τὴν ἐπὶ τὸ χεῖρον μεταβολήν· τὰς βιωτικὰς μέν τοι μερίμνας ἡδονάς τε τούτου τοῦ αἰῶνος, ἀκάνθας ἡρμήνευσεν ὁ σωτήρ· ὅτ' ἂν οὖν τοιαύτη ἄκανθα ἐμπαγῇ τινι, εὐθέως εἰς ταλαιπωρίαν στρέφεται· ἰστέον ὅτι κατὰ μεταβολὴν καὶ τροπὴν ταλαίπωρός τις γίνεται, μὴ φύσει ὢν τοιοῦτος· σημαίνει δὲ ἡ λέξις τὸν οἰκτρὸν καὶ ἐλεεινόν· καὶ τὸ ἐμπαγῆναι δὲ ἄκανθαν, τὸ μὴ φύσει δηλοῖ, ἀλλ' ἔξωθεν ἐπεισιοῦσαν· νυττόμενος οὖν ὑπὸ ταύτης,

ἐστράφην εἰς ταλαιπωρίαν, τὴν διὰ τῆς μετανοίας, καὶ τῆς ὑπὸ τοῦ κυρίου παιδευτικῆς νουθεσίας· ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει· μαστιγοῖ πάντα υἱὸν ὃν παραδέχεται· ἔγνωμεν δὲ ἐν ταῖς βασιλείαις, ὅσα ὑπέμεινεν διὰ ταύτην τὴν ἁμαρτίαν ὑπὸ κυρίου παιδευόμενος ὑπὸ κυρίου διὰ τὴν προτέραν αὐτοῦ δικαιοσύνην, ἵν' ἐκείνης τῆς ἁμαρτίας καὶ τῆς δι' αὐτὴν τιμωρίας ἀπαλλαγεὶς, τὴν προτέραν ὑγείαν ἀναλήψηται.

v. 5. A. 159. B. f. 95. Ὁ εἰς ἁμαρτίαν ἐμπεσὼν, ὅσον ἐνεργεῖν αὐτὴν βούλεται, σκέπει καὶ κρύπτει αὐτήν· ὁ δὲ μισήσας αὐτὴν, φανερὰν ποιεῖ τῷ δυναμένῳ ἰάσασθαι, δι' ἐξομολογήσεως ἐξαγορεύων αὐτήν· ἀλλὰ καὶ τὴν ταύτῃ κατάλληλον ἀνομίαν ἀποκαλύπτει· εἶδος γὰρ ἁμαρτίας ἡ ἀνομία· πᾶς γὰρ ὁ ἀνομῶν, ἁμαρτάνει· οὐ παντὸς ἁμαρτάνοντος ἀνομοῦντος, δύναται ἐκ παραλλήλου εἰρῆσθαι· μάλιστα διὰ τὸ, ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ· καὶ ἁμαρτία ἐστὶν ἡ ἀνομία· πραγματικῶς δὲ εἰπὼν ἐξαγορεύειν κατ' ἐμαυτοῦ ἣν πεποίηκα ἀνομίαν, πλέον οὗ ᾐτησάμην ἔσχον· οὐ μόνον γὰρ ταύτην, ἀλλὰ καὶ τὴν τῆς καρδίας ἀσέβειαν ἀφῆκεν ὁ θεός· ἀσέβεια δὲ καρδίας εἶναι δύναται, ἡ συμβαίνουσα τοῖς πολλοῖς δυσαρέστησις τῆς προνοίας, ἐκ τῆς δοκούσης τῶν πραγμάτων ἀνωμαλίας.

v. 6. A. f. 160. B. f. 95. b. Εἰ καὶ πρακτικῆς ἀνομίας καθαρεύουσιν οἱ ὅσιοι, ἀλλά γε χραινομένους ἔχουσι τοὺς λογισμοὺς πολλάκις ἐκ τῆς εἰρημένης καρδίας ἀσεβείας· καί τοι οὐ περὶ ἀνομίας ἧς οὐκ ἔχουσιν οἱ προσευχόμενοι, ὑπὲρ τῆς ἀσεβείας προσεύξονται, ἄφεσιν αὐτῆς αἰτούμενοι ἐν εὐθέτῳ καιρῷ· εὔθετος δὲ καιρὸς προσευχῆς περὶ τῆς εἰρημένης ἀφέσεως, ὅτε τις ἀπὸ πράξεως ῥυπαρᾶς καθαρεύει, καὶ ὥσπέρ τις τραυματίας ὅλος ὢν, περὶ ἀμυχῆς οὐκ ἀπαιτήσει ἰατροῦ θεραπείαν· ἀλλ' ὅλον τὸ σῶμα ὁλόκληρον ἔχων ἐν μόνῃ τῇ ἀμυχῇ τυγχάνων· οὕτως οὐδεὶς πράξεων ἐναγῶν πεπληρωμένος, περὶ καθαρότητος λογι-
Ibid. σμῶν προσεύξεται, ἀλλὰ μόνος πᾶς ὅσιος.—Ὅτ' ἂν κατακλυσμὸς πολλῶν πνευματικῶν ὑδάτων γένηται, ἐσχηκότος τινὸς ἐν ἑαυτῷ πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, τουτέστιν τῶν ὑδάτων ἐξαφανιζόντων πάντα τὰ ἁμαρτήματα, καὶ τὴν ἐπ' αὐτοῖς ἀσέβειαν τῆς καρδίας, οὐκ B. f. 96.
ἐγγιοῦσιν ἡ ἀσέβεια καὶ ἡ ἀνομία τῷ ὑπὲρ αὐτῶν προσευξαμένῳ.

Τῆς περιεστηκυίας θλίψεως ἀπαλλαγὴν, οὐκ v. 7. B. f. 160. b.
ἄλλως εὑρίσκειν ὁ ταῦτα λέγων νομίζει, ἢ καταφυγὼν πρὸς Χριστόν.

Τουτέστιν μὴ τὸ λογικῶς ἐνεργεῖν ἀποβαλόν- v. 9. A. f. 161. B. f. 96.
τες, εἰς ἄλογον πέσωνται κατάστασιν· ὥστε ἵππῳ διὰ τὸ θηλυμανὲς ὁμοιωθῆναι, ἢ ἡμιόνῳ διὰ τὸ ἐστερεῶσθαι πρὸς τὰ κακά.—Οἱ μὲν εὐ- A. f. 161. b.
εικτοι καὶ εὐήνιοι, ἑκουσίᾳ ὁρμῇ ἐγγίζουσι τῷ θεῷ· οἱ δὲ προειρημένοι, ὡς ἵππος καὶ ἡμίονος διὰ τὸ ἀσύνετον γεγονότες, τῇ προειρημένῃ ἀνάγκῃ τῶν πωλοδαμνῶν ἀχθήσονται πρὸς σέ.

PSALMUS XXXII.

Οἱ τὸν ἠθικὸν κατορθώσαντες βίον, δίκαιοι v. 1. B. f. 96. b.
εἰσὶν ἀγαλλιώμενοι ἐν τῷ κυρίῳ· εὐθέσι δὲ οἷς πρέπει αἴνεσις, οἱ πᾶσαν σκολιότητα ψευδοδοξίας διαφυγόντες· τούτοις γὰρ ἁρμόζει θεῖον αἰνεῖν· ἐπεὶ οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ.

Ἡ ἐξομολόγησις ἡ ἐνταῦθα τὴν εὐχαριστίαν v. 2. A. f. 163. B. f. 97.
δηλοῖ· ταύτην οὖν ἐν κιθάρᾳ ποιητέον· καὶ εἰ μὲν κιθάρα εἴη τὸ σῶμα, νευραὶ τεταμέναι οὐκ ἄλλαι τῶν αἰσθήσεων εἶεν, αἷς ἐπαινετῶς χρώμενοι, εὐρύθμως καὶ ἐναρμονίως ἐξομολογούμεθα τῷ κυρίῳ· εἰ δὲ τὴν ψυχὴν ὑπολάβοι τις κιθάραν, αἱ δυνάμεις αὐτῆς οἷον μνημονικὴ καὶ συγκαταθετικὴ καὶ ἀνανευτικὴ καὶ ἄλλαι κατὰ λόγον κρουομέναι νευρῶν δίκην ὑπὸ νοῦ μυστικῶς ἐξομολογήσονται τῷ κυρίῳ· ψαλτηρίου δὲ πρὸς κιθάραν διαφορὰν εἶναι λέγουσι μουσικοὶ τοιαύτην· τὴν μὲν κιθάραν ἐκ τῶν κάτω μερῶν ἀποτελεῖν ἦχον φασίν· τὸ δὲ ψαλτήριον ἐκ τῶν ἄνω μερῶν, μετὰ τοῦ καὶ εὐθύτατον εἶναι δι' ὅλων· τῆς οὖν ψυχῆς ἀποδοθείσης εἶναι κιθάραν, τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, οὐχ ἕτερον τάχα τοῦ νοῦ τυγχάνον, ψαλτήριόν ἐστι, ψάλλον οὐκ ἄλλῳ τινὶ ἢ τῷ θεῷ· ὅτε γὰρ χρώμεθα νοήσεσιν ὀρθαῖς, καὶ τῷ πνεύματι τῷ ἡμετέρῳ τὸ ἅγιον προσλαμβάνομεν πνεῦμα, τὸ

τηνικάδε ψάλλομεν ἐν ψαλτηρίῳ δεκαχόρδῳ· ἢ τάχα ἐκ τοῦ δέκα χορδὰς ἔχειν, τὸ τέλειον αὐτοῦ παρίσταται· τὸν γὰρ τοιοῦτον ἀριθμὸν συνεχῶς ὑμνούμενον ἐν ταῖς γραφαῖς ἐστὶν εὑρεῖν· καὶ τῷ ἱεροφάντῃ γοῦν Μωϋσεῖ οὐ πλείων δέκα γενικῶν λόγων ἐχρημάτισεν ὁ θεός· καὶ δεκάτας προσφέρειν ὁ λαὸς προστάττεται.

v. 3. B. f. 97. b. Ὁ διὰ πάντων γὰρ ὑμνῶν τὸν θεὸν, καὶ διὰ φωνῆς ἀλαλάζει· ὁ γὰρ ἀλαλαγμὸς φωνή τίς ἐστιν ἀθρόως καὶ ἀσήμως κατὰ νενικημένων ἐν πολέμῳ γινομένη, ὅτι καὶ καλῶς ἀλαλάζεται· τὸ δὲ καινὸν ᾆσμα συγγενὲς τῇ καινῇ διαθήκῃ καὶ τῇ καινότητι τῇ τοῦ πνεύματος.

v. 4. B. f. 98. b. Ὁ τοῦ κυρίου λόγος ὃν δίδωσι τοῖς τὰ τῆς γνώσεως μεταδιώκουσιν, οὐδὲν ἀπάτης ἐστὶν ἔχων ἢ σκολιόν· τούτῳ τῷ λόγῳ καὶ τὰ ἔργα κατάλληλα, ἃ δὴ πράττουσιν οἱ ἐργάται τούτου ἐν πίστει ὄντα καὶ βέβαια, ἐπεὶ καὶ τὰ ἔργα τοῦ λόγου ἀμετακίνητα· καὶ ὁ λόγος δὲ εὐθής ἐστιν καθ' ὃν προνοεῖ· εἰ δὲ καὶ εὐθῆ τὸν θεὸν λόγον νοήσωμεν, ἅπερ ἐν αὐτῷ ποιεῖ ἔργα ἐν πίστει ἦσαν τῶν ἐν οἷς ὁ Ἰησοῦς ἅπαν ἐποίει παράδοξον, κατὰ γὰρ τὴν πίστιν σου γενηθήτω σοι.

v. 6. B. f. 99. b. Καὶ τούτῳ τῷ ῥητῷ συναγορεύουσιν εὐσεβεῖς ἄνδρες, τῷ δημιουργικὸν εἶναι τὸ ἅγιον πνεῦμα 1).

v. 7. Ibid. Ἐπεὶ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, ἐκχέει αὐτὸ ἐπὶ πᾶσαν τὴν γῆν διὰ τῶν ὑετῶν τῷ προστάγματι αὐτοῦ ἀσκοῦ δίκην, ἀνεμώμενον τὸ ὕδωρ ὑπεραέριον ποιεῖ, ὡς συστασῶν νεφελῶν ὄμβρον ἐπὶ γῆς ἐνεχθῆναι· ἀλληγορικῶς δὲ ὁ βίος τῶν ἀνθρώπων πολλαχοῦ θάλαττα εἴρηται διὰ τὸ ἄστατον καὶ ἁλμυρὸν ἦθος τῶν ἐπὶ τῆς γῆς ὅπερ ὡς ἐν ἀσκῷ συνήγαγεν ὁ σωτὴρ ἐν ᾧ ἀνείληφε σώματι γαληνόν τε ποιήσας καὶ εὔδιον· δείκνυσι δὲ καὶ μηδὲν ἀτάκτως τῶν ἐν τῇ κτίσει φερόμενον· ὡς ἐν θησαυρῷ δὲ πάντα συνέχει τῷ ἰδίῳ βουλήματι, ἀμέλει καὶ τοὺς ἀνέμους μὴ κατ' ἰδίαν κινουμένους φορὰν, ἐκ θησαυρῶν αὐτοῦ ἐξάγειν λέγεται, οὐ κατ' ἰδίαν φορὰν τούτων φερομένων· οὕτω τοίνυν καὶ τὸ πολὺ τῶν ὑδάτων πλῆθος κατ' ἰδίαν κρίσιν οἰκονομεῖ πρὸς τὸ δοκοῦν ἐπέχων ἢ πέμπων τοὺς ὄμβρους· ὃ καὶ δι' Ἡλίου τοῦ προφήτου πεποίηκεν.

v. 7. B. f. 100. Ἀλλὰ καὶ τὸν θησαυρὸν τὸν ἀγαθὸν οὐρανὸν ἀνοίγων δίδωσιν ὑετὸν τῷ σπέρματι τῆς γῆς· ὥσπερ αὖ καὶ ἐπέχει τὸν ὑετὸν, κλείων τὸν οὐρανόν· καὶ τὰς ἀβύσσους οὖν ἱκανῶς ἐχούσας διὰ τὸ πλῆθος τὸ ἀπεριόριστον τῶν ὑδάτων βλάψαι, ἐν θησαυρῷ τίθεται περικλείων αὐτὰς ἵν' ὅτε βούληται χρήσηται αὐταῖς ὡς συμφέρει κατὰ καιρόν· δύναται δὲ καὶ τὰ ἀκατάληπτα τῶν νοημάτων καὶ ἀνεξερεύνητα τῶν κριμάτων αὐτοῦ τυγχάνοντα, ἀβύσσους τεθεικέναι ἐν τοῖς ἀποκρύφοις θησαυροῖς τῆς γνώσεως καὶ τῆς σοφίας· ὡς μηδένα ἐξ αὐτοῦ τούτου τυγχάνειν, εἰ μήπω ὁ θεὸς παράσχοι.

v. 9. B. f. 101. Ἐπεὶ αὐτοῦ εἰπόντος ἐγενήθησαν, καὶ αὐτοῦ ἐντειλαμένου ἐκτίσθησαν, σαλευθήτωσαν ὑπ' αὐτοῦ· τοῦ γὰρ πεποιηκότος καὶ τὸ ἀλλοιοῦν ἐπὶ τὸ καλόν ἐστιν· σημαίνει δὲ τὸ ἐγενήθησαν τὴν οὐσίωσιν τῶν εἰς τὸ εἶναι ἠγμένων· τὸ ἐκτίσθησαν 2) δὲ, τὴν διακόσμησιν τὴν μετὰ τὴν οὐσίωσιν γεγενημένην· εἰ δὲ εἰπόντος καὶ ἐντειλαμένου θεοῦ ἐγενήθη καὶ ἐκτίσθη τὰ πάντα, ἐστὶν ᾧ εἶπεν καὶ ἐνετείλατο οὐκ ἄλλος τοῦ δημιουργικοῦ λόγου· ἐστὶν δὲ οὗτος ὁ τοῦ θεοῦ υἱός.

v. 10. Ibid. Διδύμου καὶ Βασιλείου Ἀλλὰ καὶ τῶν ἐθνικῶν ἤθη καὶ δόγματα δεσκέδασται· μόνη δὲ τῷ κόσμῳ ἡ ἀλήθεια τοῦ εὐαγγελίου ἐμπολιτεύεται· πολλὴ γὰρ βουλὴ ἐν ἀνθρώποις, ἀλλ' ἡ βουλὴ τοῦ κυρίου ἐκράτησεν· καὶ ἐν ταῖς ψυχαῖς δὲ ταῖς ἡμετέραις ἔστη βέβαια, ἡνίκα προδιασκεδάσωμεν τὰς ἀνθρωπίνας βουλὰς, καθάπερ ἐν δέλτῳ τῶν προγραφέντων τύπων λεαινομένων· τότε γὰρ καθαρῶς ἡ ψυχὴ τὰ θεῖα δέχεται λόγια· διὸ ἐπήγαγεν, ὁ διασκεδάσας τὰς βουλὰς τῶν ἀθέων ἐθνῶν, ἀνατρέψας τὰ λαόπλανα αὐτῶν ἤθη καὶ πάτρια, καὶ τοὺς κατὰ τῆς ἀληθείας λογισμοὺς, τουτέστιν συλλογισμοὺς, ἀθετήσει ἀθετῶν τὴν σοφίαν τῶν σοφῶν· ἀλλὰ καὶ τῶν ἐκ

1) Apte Didymus hoc animadvertit, qui et librum de Spiritu sancto scripsit, abs Hieronymo latine nobis conservatum.

2) Observent sacri critici differentiam verborum ἐγενήθησαν et ἐκτίσθησαν; prout latine in theologicis distinguimus *genuit* a *fecit*, et a *creavit*.

περιτομῆς λαῶν, πολλὰ κατὰ Ἰησοῦ λογισαμένων, τοὺς λογισμοὺς ἀθετήσει ὁ κύριος· ἀθετήσει δὲ καὶ τὰς βουλὰς τῶν ἀρχόντων Ἡρώδου καὶ Ποντίου Πιλάτου καὶ τῶν ἐνεργούντων αὐτοὺς ἀοράτων ἀρχόντων τούτου τοῦ αἰῶνος.

v. 11. A. f. 164. B. f. 101. b. Ὥσπερ τὰ ἄλλα ἀφ' ὧν οἴδαμεν ἀνθρωπίνων, περὶ θεοῦ λέγει, ὡς χεῖρας καὶ ὀφθαλμοὺς καὶ τὰ ἄλλα ἔχοντος, οὕτω καρδίαν αὐτοῦ τὴν ἵν' οὕτως εἴπω βουλευτικὴν καὶ νοητικὴν αὐτοῦ ἐνέργειαν· ταύτης οὖν οἱ λογισμοὶ ἀραρότες καὶ βέβαιοι τυγχάνοντες παρατείνουσιν ἀπὸ γενεᾶς εἰς γενεάν, τουτέστιν κατὰ πᾶσαν τὴν ἐν γενεᾷ διαδοχὴν οἱ αὐτοὶ θεῖοι λογισμοὶ μένουσιν· ἢ τάχα οὓς ἐνέβαλεν λογισμοὺς τῇ ἐκ περιτομῆς γενεᾷ, τούτους ἐμβάλῃ τῇ ἀπὸ τῶν πιστευόντων ἐθνῶν γενεᾷ· οὐ γὰρ ἐπ' ἄλλοις κέκληνται τὰ ἔθνη, ἀλλ' ἐκείνοις οἷς ἔσχον οἱ ἐκ περιτομῆς σκιᾷ κρυπτομένοις.

v. 14. B. f. 402. b. Κατοικοῦσι δὲ τὴν γῆν οὐκ ἄνθρωποι μόνον, ἀλλὰ πνεύματα ἀόρατα, καὶ τὰ ἄλλα θνητὰ ζῷα· εἰς πάντας οὖν τοὺς ἐπὶ γῆς παρατείνει ἡ τοῦ θεοῦ κηδεμονία ἐφορῶντος αὐτοὺς ἐκ τοῦ προειρημένου κατοικητηρίου αὐτοῦ.

v. 16. A. f. 165. b. B. f. 103. Ὅτι δὲ οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, μαθήσῃ ἐκ τῆς ἱστορίας· Φαραὼ . . . . ἀλλὰ τὰ ἅρματα καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν ὁ θεὸς εἰς τὴν θάλασσαν· πλήρης δὲ τῶν τοιούτων πᾶσα ἡ ἱστορία· καὶ γίγαντα δὲ τὸν ὑπερβαλλόντως ἰσχυρὸν οὐ σωθήσεσθαι ἔφη ἐν τῇ παρούσῃ αὐτῷ ἰσχύϊ· ὄψει δὲ τοῦτο ἐπιστήσας τῷ κατὰ τὸν Γολιάθ· εἰ δὲ καὶ τὸν θεομάχον ἡ προσηγορία δηλοῖ, οὐδὲ οὕτως σωθήσεται ἐν πλήθει ἰσχύος ὧν ἔχει δογμάτων ἀθεότητος· τὸν μὲν οὖν ἰσχυρὸν οὕτω καλούμενόν ἐστιν εὑρεῖν ἐν Ἡσαΐᾳ λέγοντι, γίγαντα καὶ ἰσχύοντα· τὸν δὲ θεομάχον πάλιν παρὰ τῷ αὐτῷ χαίροντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου· χαίροντες ἅμα· καὶ ἐν γενέσει, καὶ ἦν Νεβρὼδ γίγας κυνηγὸς ἔναντι κυρίου.

v. 20. B. f. 104. b. Τάχα δὲ καὶ οἱ πρὸ τῆς ἐπιδημίας ἑαυτοῖς βοηθεῖν μὴ δυνάμενοι, ὑπομένουσι τῇ προσδοκίᾳ τὸν ἐσόμενον βοηθὸν καὶ ὑπερασπιστὴν σωτῆρα· ἐφ' ᾧ καὶ μόνῳ τὴν καρδίαν οἱ πιστοὶ πάντες εὐφραίνονται, μηδενὶ τῶν προσκαίρων ἡδόμενοι.

Παῤῥησίας δὲ τὸ φῆσαι, τῇ ἐμῇ ἐλπίδι τὸν v. 20. Ibid.
ἔλεόν μέτρησον· τοῦτο μέντοι καὶ ὁ σωτὴρ ἐδίδαξε φήσας· ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

PSALMUS XXXIII.

Ὥσπερ οἱ ἐν τῇ καμίνῳ βληθέντες ἐν Βαβυ- v. 4. B. f. 106.
λῶνι ἐπὶ τὸ μὴ βεβλάφθαι ὑπὸ τοῦ πυρὸς, θεὸν ὑμνοῦντες, πᾶσαν τὴν κτίσιν παρέλαβον εἰς τοῦτον, εἰδότες μὴ αὐτάρκεῖς εἶναι πρὸς τηλικοῦτον, μέγα γὰρ τὸ θεὸν ὑμνεῖν, οὕτω καὶ ὁ λέγων μεγαλύνατε τὸν κύριον σὺν ἐμοὶ, ἢ πᾶσαν τὴν κτίσιν, ἢ τοὺς πραεῖς συνδραμεῖν αὐτῷ τοῦτο βούλεται· τὸ δὲ μεγαλῦναι τὸν θεὸν, οὐκ αὐξῆσαι μέγεθός ἐστιν αὐτοῦ (ἀμεγέθης γάρ, σωμάτων γὰρ ἴδιον τοῦτο, ὁ δὲ θεὸς ἀσώματος) ἀλλὰ τὸ μεγάλα οὐχ ὡς πρὸς αὐτὸν ἀλλὰ πρὸς ἡμᾶς φρονῆσαι καὶ εἰπεῖν περὶ αὐτοῦ· ὑψοῦσι δὲ τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτοὶ οἱ κατηρτισμένοι τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ· ὑψοῦται δὲ πρὸς τῶν γενητῶν ἡ τοῦ θεοῦ προσηγορία, οὐκ ἐκ ταπεινοῦ μετεωριζομένη, ἀλλ' ὅταν οἱ φρονοῦντες αὐτὴν μηδὲν χαμαιπετὲς ἀλλὰ ὑψηλὰ καὶ οὐράνια διανοοῦνται· ὡς γὰρ βεβηλοῦσιν τὸ ὄνομα τοῦ θεοῦ, οὐκ αὐτοῦ χραινομένου τοῦ ὀνόματος, ἀλλ' ὅσον ἐπὶ τοὺς περικειμένους βέβηλα πράττοντας καὶ φρονοῦντας, οὕτω καὶ ἁγιάζεται ἐκ τῶν ἡμετέρων ἐνεργημάτων· ὅθεν ὁ σωτὴρ πρὸς ἑτέρους καὶ τοῦτο λέγει ἐν τῇ εὐχῇ διδάσκων τὸ ἁγιασθήτω τὸ ὄνομά σου, οὐκ αὐτοῦ τοῦ ὀνόματος καθ' ἑαυτὸ ἐκ μὴ ἁγίου, ἁγίου γινομένου· εὐκτέον γὰρ ἁγιασθῆναι αὐτὸ ἐν ἡμῖν, ἁγίως νοούντων καὶ πραττόντων ἡμῶν, καὶ οὕτως ἡ περὶ θεοῦ διάληψις ἣν κατ' ἔννοιαν θεοῦ ἠκριβωμένην ἔχομεν, ἢ τοῦ θεοῦ προσηγορία ἐστίν· ταύτην ἁγιαζομένην ἕξομεν, ὅταν καθ' ἁγιότητα πάντα ἐπιτελῶμεν· ὅσον γὰρ ἐν πλάνῃ καὶ ἀγνοίᾳ ἔνιοι τῶν ἀνθρώπων εἰσὶν, ἡ τοῦ θεοῦ προσηγορία τρόπον τινὰ χραίνεται, ἑλκομένη ἐφ' ἃ μὴ δεῖ· θεοὺς γοῦν ἀγάλματα καὶ τὴν σφῶν κοιλίαν ἐκάλεσάν τινες.

v. 7. B. f. 107. Πτωχὸν ἐνταῦθα καλεῖ τὸν μὴ δυνάμενον ἐκ
τῶν παρουσῶν θλίψεων ἑαυτὸν σῶσαι· πάντες δὲ
ταύτην τὴν πτωχείαν ἔχομεν· ὥστε περὶ παντὸς
λέγει χρήζοντος ἐκ θεοῦ σωτηρίας τὸ, οὗτος ὁ
πτωχὸς ἐκέκραξεν, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ.

v. 8. B. f. 107. b. Εἰ τελείους ἐκλαμβάνοιμεν τοὺς θεὸν φοβου-
μένους, παρεμβάλλοντα κύκλῳ αὐτῶν ἄγγελον ἐπὶ
τὸ ῥύεσθαι αὐτοὺς, οὐκ ἄλλον ἐροῦμεν ἢ τὸν τῆς
μεγάλης βουλῆς θεὸν σωτῆρα· τούτου ἀκόλουθον
καὶ τὸ ὑπὸ Ἰακὼβ λεγόμενον, ὁ ἄγγελος ὁ ῥυό-
v. 9. Ibid. μενός με ἐκ πάντων τῶν κακῶν· οὐχ οἷός τε ῥύε-
σθαι ἄγγελος, ἀλλ' ὁ σημαινόμενος σωτήρ.

Ἐπεὶ θεοῦ τὸ χρηστὸν, ταυτὸν τῷ ἀγαθῷ
σημαίνει· ἐπεὶ οὖν καὶ τρόφιμός ἐστιν ἄρτος ὢν
ζωῆς, προστάττει τὸ πνεῦμα τοῖς μὴ ὀρεκτικῶς
ἔχουσιν, ὥστε αὐτοῦ ἐμφορηθῆναι, κἂν μόνον
γεύσασθαι αὐτοῦ· ἡ γὰρ γεῦσις ἱκανή ἐστιν ὀρεκ-
τικοὺς αὐτοὺς ποιῆσαι, ὡς καὶ κατατρυφῆσαι
αὐτοὺς θελῆσαι τὸ γεύσασθαι δηλοῖ, κἂν ἄλλως
γέ πως ἐκζῆσαι καὶ ἐξετάσαι περὶ θεοῦ· μακά-
v. 12 B. f. 109. ριος δὲ ὁ διὰ τελειώσεως ἀνελλειπῶς ἐλπίζων ἐπὶ
τὸν κύριον ὑπάρχων ἀνήρ.

Οὐδὲ γὰρ φόβον νῦν λέγει τὸν εἰσαγωγικὸν,
ὃς καὶ τὰς ἐντολὰς κατορθοῖ· κατὰ τὸ, τὸν θεὸν
φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε· νῦν γὰρ
B. f. 109. b. ἁγίους καλεῖ διὰ τῆς εἰσαγωγῆς ὡδευκότας ἐπὶ
τὴν τελειότητα, οἷς καὶ φόβον ὑποβάλλει τὸν
πληροῦντα παντὸς ἀγαθοῦ.—Σημειωτέον, ὅτι ὡς
τὰ ἄλλα ἀγαθὰ, οὕτω καὶ ὁ θεῖος φόβος δι-
δακτός ἐστιν· ἐξ οὗ μανθάνομεν μὴ τὸν παθη-
τὸν δηλοῦσθαι φόβον· οὗτος γὰρ ἀδίδακτος τῇ
v. 16. A. f. 166. φύσει, οὐ μόνον ἀνθρώποις ἀλλὰ καὶ τοῖς ἄλλοις
ζῴοις ἐνυπάρχει.

Ἐπεὶ αἱ ἐπιβλέπουσαι τὸ πᾶν τοῦ θεοῦ δυν-
άμεις, τροπικῶς ὀφθαλμοὶ λεγόμεναι, ἐπιβλέ-
πουσι ἐπὶ τοὺς δικαίους, ἀλλὰ καὶ τὰ ὦτα αὐ-
τοῦ ἕτοιμα εἰς τὸ δέξασθαι τὴν δέησιν αὐτῶν,
B. f. 110. b. τούτου χάριν, φησὶν, εἰ θέλετε τούτων ἀπολαῦ-
σαι, ἐκκλίναντες ἀπὸ κακοῦ, τὸ ἀγαθὸν ποιήσα-
τε.—Προνοεῖται γάρ φησιν τῶν δικαίων ὁ θεός·
ὀφθαλμοὺς γὰρ ἐνταῦθα οὐχ ἁπλῶς καλεῖ τὸ ἐπο-
πτικῶς, ἀλλὰ τὸ ἐπ' εὐεργεσίᾳ καὶ προνοίᾳ παρὰ
τοῦ θεοῦ γιγνόμενον.—Ἐφορῶντος δὲ τούτους τοῦ
θεοῦ, ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν.

Τὰ ὀστᾶ τῶν δικαίων, ἤτοι δόγματα ἀλη- v. 21. C. f. 111. b.
θείας, ἢ ψυχῆς δυνάμεις, φυλάξει ὁ κύριος,
οὐκ ἐῶν οὐδὲ τὸ τυχὸν αὐτὸν συντριβῆναι· τὸ
μηδὲ τὰ δόγματα τῶν δικαίων μηδ' αὐτὰς δυν-
άμεις αὐτῶν ἀνατρέπεσθαι.

Ὁ ἁμαρτάνων στερεῖται τῆς ζωῆς τῇ ἐπι- v. 22. B. f. 112.
τηρήσει τῶν ἐντολῶν παραγινομένης, θανάτῳ
πονηρῷ περιπίπτων· πονηρὸς δὲ θάνατος, ἤτοι ὁ
ἐναντίος τῇ ἀγαθῇ ζωῇ, ἢ ὁ πόνον ἐμποιῶν τῷ
ὑποκειμένῳ· οὕτως γὰρ καὶ ἕλκει πονηρῷ ἐπαίσθη
ὁ Ἰὼβ, τῷ δηλονότι πόνον ἐμποιοῦντι.

Σημειωτέον, ἡ κυρίως λύτρωσις ψυχὰς ἀπὸ v. 23. B. f. 112. b.
αἰχμαλωσίας ἐλευθεροῖ· εἰ γάρ ποτε καὶ σώματα
λυτροῦται, οὐ προηγουμένως ἀλλὰ κατὰ συμβε-
βηκός· καὶ ψυχὴν δὲ ῥύεται οὐκ ἄλλη ἀλλ' ἢ τῶν
δούλων αὐτοῦ.

PSALMUS XXXIV.

Ἐπεὶ πολλοὶ οἱ διὰ ψευδοδοξίας καὶ τῆς ἄλ- v. 1. B. f. 113.
λης κακίας πολεμεῖν τε προὔθεντο, τούτου χά-
ριν σὺ ἀντ' ἐμοῦ πολέμησον αὐτοῖς· ἀναντιῤῥή-
τως γὰρ καταλυθήσονται, ἐπεὶ κύριος συντρίβων
πολέμους ὑπάρχεις.—Σημαίνει δὲ τὸ ἀδικεῖν, A. f. 168. b.
βλάβην, ἐν τῷ « ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω
» ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν
» τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. »

Τὰ ὅπλα κατάλληλα χρὴ νοεῖν ἐπὶ τοῦ θεοῦ. v. 2. B. f. 113. b.
—Ὁδὸς ἀσεβῶν ὁ βίος ὁ μοχθηρός· μὴ ἔστω v. 6. B. f. 114. 6.
δὲ καὶ φέγγος ἐν αὐτῇ, φησὶν, εἰ καὶ πλατεῖαν
ταύτην ἐνόμισαν· εὔχεται δὲ μηδὲ στάσιν αὐτοῖς
εὑρεῖν ἐν αὐτῇ· καὶ αἱ δυνάμεις δὲ τῶν ἀγγέλων
ὅπλα τυγχάνουσι τοῦ θεοῦ.—Δηλοῖ δὲ ὡς κατὰ v. 8. B. f. 115.
τὴν πρᾶξιν ἕκαστος τιμωρεῖται· ἀντὶ δὲ τῶν εὐκτι-
κῶν χρῆται προστακτικοῖς.

Οἱ πάντα ψιλῆς τῆς λέξεως καὶ οὐδὲν ἀλλη- v. 10. B. f. 115.
γορικῶς ἐκλαμβάνειν ποθοῦντες, ἐλεγχέσθωσαν
καὶ ἐκ τοῦ προκειμένου στίχου· οὐδὲν γὰρ οὕτως
ἠλίθιον ἐστὶν, ὡς νομίσαι τὰ αἰσθητὰ ὀστᾶ
ἔννοιαν ἔχειν θεοῦ, ὥστε ὑμνεῖν αὐτὸν καὶ εἰ-
δέναι ὅτι οὐδεὶς ὅμοιος αὐτῷ· περὶ γὰρ τῶν ἔσω
τοῦ ἔσω ἀνθρώπου, δυνάμεις δὲ αὐτοῦ καὶ δόγ-
ματα ἀληθῆ ταῦτα εἴρηται τὸ, πάντα τὰ ὀστᾶ

μου· διὰ πάσης γὰρ ἐννοίας καὶ δόγματος ἀληθινοῦ ἐβεβαιώθην, μηδὲν αὐτῶνγεννητῶν ὅμοιον εἶναι τοῦ κυρίου· μόνος γὰρ ὁ υἱὸς εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου καὶ χαρακτὴρ θεϊκῆς ὑποστάσεως ἐστιν.—Ἐνδέχεται δὲ τὸν αὐτὸν εἶναι πτωχόν τε καὶ πένητα· τὸ μὲν, ὡς ἀποπεπτωκότα πλούτου· τὸ δὲ, ὡς μετὰ πόνου τὰ πρὸς τὸν βίον περιποιούμενος.

v. 13. A. f. 171. B. f. 117. Τοῦ καλῶς προσευξαμένου ἡ προσευχὴ, εἰς αὐτὸν ἀνακάμπτει, φέρουσα τὰ ἀγαθὰ ὑπὲρ ὧν γέγονεν· καὶ ἀποστραφεῖσα εἰς κόλπον συστρέφεται τοῦ ἀναπέμψαντος αὐτήν· σημαίνει δὲ ὁ κόλπος τὸ ἡγεμονικὸν αὐτῶν· οὕτω γὰρ ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτῳ, εἰς κόλπον αὐτῶν· καὶ, εἰς κόλπον ἐπέρχεται πάντα τοῖς ἀδίκοις· καὶ ταύτῃ καὶ πάντες οἱ δίκαιοι εἰς κόλπον Ἀβραὰμ χωροῦσιν, τουτέστιν εἰς τὴν αὐτὴν αὐτῷ γνώμην καὶ ἐπαγγελίαν.

v. 14. B. f. 417. b. Ἐξηγητικὸν τὸ παρὸν εἶναι δύναται τοῦ ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν· ἐμοῦ γὰρ ὑπὲρ αὐτοῦ πενθοῦντος καὶ σκυθρωπάζοντος ἐφ' ᾗ ἔχουσιν νεκρότητι, αὐτοὶ κατ' ἐμοῦ συναγόμενοι εὐφροσύνην εἶχον ὡς ὑποχείριόν με ληψόμενοι.

v. 15. A. f. 171. b. Κατ' ἐμοῦ συναχθέντες καὶ εὐφρανθέντες, καὶ ὅμως καὶ οὕτως σκεδασθέντες, οὐ κατενύγησαν, τουτέστιν οὐ μετέγνωσαν ἐφ' οἷς κακῶς ἐβουλεύσαντο, ἀλλ' αὖθις τοῖς αὐτοῖς ἐπεχείρησαν.

v. 17. A. f. 172. b. Ὁ ἅγιος φησὶν, κύριε πότε ἐπόψει; ἐποψομένου γὰρ οἰχήσεται τὰ προειρημένα ἅπαντα συναπιόντα τοῖς δρῶσιν αὐτά· μονογενῆ δὲ λέγει τὴν ψυχὴν ἑαυτοῦ τῷ μόνην αὐτὴν ἐσχηκέναι· οὐ γὰρ προσεκτέον τῇ περὶ μετεμψυχώσεως μυθοποιΐᾳ 1)· ἢ τάχα μονογενὴς ἄλλη παρὰ τὴν ψυχὴν αὐτοῦ ἡ οὐσία τοῦ συνεζευγμένου τῇ ψυχῇ πνεύματος ἐστίν· μονογενὴς γὰρ αὕτη τῷ ἀποκεχωρίσθαι ἀπὸ πάντων τῶν ἐν ἡμῖν κατὰ θειότητα.

v. 18. B. f. 118. b. Πολλὴ ἐκκλησία ἡ ἐκ πολλῶν ἁγίων συναγο-
μένη· λαὸς πολὺς, ὁ βέβαιος καὶ στιβαρὸς, ἐπι-
v. 23. B. f. 119. b. πολαίῳ καὶ εὐχερεῖ ἀντιδιαστελλόμενος.—Ἐπεὶ
σοῦ παρόντος μοι, οἱ ἐχθροὶ μακρὰν, μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅπως μὴ ἐπέλθωσίν μοι μονωθέντι σου.

1) Videsis metempsychoseos reprehensionem.

Ἐπεὶ πολλαχοῦ ἡ τοῦ θεοῦ μακροθυμία, ὕπ- v. 23. A. f. 173. b.
νος αὐτοῦ λέγεται, ἐπιτριβομένων τῶν ἐχθρῶν, διανίστησιν εἰς ἀγανάκτησιν τὸν κύριον λέγων· ἐξεγέρθητι κύριε καὶ πρόσχες τῇ κρίσει μου, τουτέστιν ἐπίστησον τὴν ἔφορον δύναμίν σου, ὅπως ἐξετασθῇ τὰ κατ' ἐμὲ πρὸς τοὺς ἐχθροὺς μου· πατρὸς ἀγαθοῦ γὰρ τοῦτο, ἐπεὶ ἀδίκως ἐχθραίνουσί μοι. Λοιπὸν δὲ αὐτὸς περὶ ἑαυτοῦ τὸ τέλος τοῦ παντὸς λόγου ἐπισφραγίζεται φάσκων· καὶ ἡ γλῶσσα μου μελετήσει τὴν δικαιοσύνην σου.—Δίδυμος ἐξέβαλεν τὸν ψαλμὸν ἀορίστως εἰς δίκαιον.

Ἐπ' ὠφελείᾳ τῶν ἐχθρῶν ταῦτα λέγεται, v. 26.
τῷ αἰσχυνθῆναι αὐτοὺς καὶ ἐντραπῆναι καὶ αἴσθησιν λαβεῖν τῶν οἰκείων ἁμαρτημάτων, καὶ εἰς τοὐπίσω χωρῆσαι τῆς ὁδοῦ ἧς ὤδευσαν.

PSALMUS XXXV.

Ὁ καθ' ἕξιν παράνομος ἐν ἑαυτῷ λογιζόμενος v. 2. A. f. 175.
λέγει, οὐκ ἄλλό τι ἢ τὸ ἁμαρτάνειν· συγκαθέμενος γάρ τις κατὰ διάνοιαν πρότερον, ἐπὶ τὸ πρακτικῶς ἁμαρτάνειν διαβαίνει· δύναται δὲ καὶ ἐν τῷ ἐν ἑαυτῷ λέγειν ἁμαρτάνειν· οἷόν ἐστιν τὸ, σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, καὶ τὰ ἑξῆς.—Τουτέστιν ἡγεῖται μηδένα βλέπειν αὐτοῦ τὰ βουλεύματα.

Ἑτέρα ἐστὶν γραφὴ φάσκουσα· τὰ ῥήματα v. 4. A. f. 175. b. B. f. 121. b.
τοῦ στόματος αὐτοῦ, ἀνομία καὶ κόπος· τουτέστιν ἐπαχθῆ, ὡς κόπον ἐμποιεῖν τοῖς προσέχουσιν. Οὐκ ἐβουλήθη συνεῖναι τοῦ ἀγαθῦναι· δῆλον ἐκ τῶν εἰρημένων, ὡς ὁ παράνομος οὐκ ἐκ κατασκευῆς ἐστι τοιοῦτος· τὸ γὰρ μὴ βούλεσθαι σύνεσιν ἔχειν ἐπὶ τῷ ἀγαθοποιεῖν, αὐτεξουσίου.

Καὶ ἐν Ἡσαΐᾳ ἅμα ταῖς νεφέλαις μνημονεύ- v. 6. B. f. 122. b.
εται οὕτως· εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· αἰσθηταὶ δὲ νεφέλαι οὐ δικαιοσύνην ἢ ἀλήθειαν, ἀλλ' ὑετὸν ῥέουσιν· αἱ οὖν δικαιοσύνην ῥέουσαι νεφέλαι, θεῖοι ἄνδρες εἰσὶν τὸν πνευματικὸν ὑετὸν, τουτέστιν τὸν κατ' ἀρετὴν λόγον, προχέουσαι· ὑπεράνω δὲ τούτων οὐρανὸς εὐφραινόμενος, ἤτοι αἱ μακάριοι φύσεις αἱ οἰκοῦσαι τὸν οὐρανὸν τυγχάνουσιν· ἢ ὁ

σωτὴρ ἀλληγορικῶς οὕτως ὀνομαζόμενος· ἄνωθεν γὰρ ὁ οὐρανὸς οὗτος, τουτέστιν ὑπεράνω φύσεως πάσης γενητῆς τυγχάνει, καὶ ὑπὲρ τῆς πάντων ὠφελείας εὐφραίνεται· καὶ ἐνταῦθα οὖν ἐν μὲν τῷ οὐρανῷ φημὶ τῷ σωτῆρι ἔστιν τὸ ἔλεος τοῦ κυρίου πάντας ἐλεοῦντος· ἡ δὲ ἀλήθεια αὐτοῦ ἥτις καὶ τοῖς τύποις ἀντιδιαστελλομένη, ἐν ταῖς προειρημέναις νεφέλαις ἐστίν· εἰ γὰρ καὶ κατὰ σκιὰν ἐβίουν οἱ προφῆται, ἀλλ' οὐκ ἠγνόουν τὴν ἀλήθειαν, ἧς αὕτη σύμβολον.

v. 6. B. f. 124. Ἀνθρώπους τοὺς κατ' εἰκόνα καὶ τὸ λογικὸν κίνημα τηροῦντας σωτηρίας τυγχάνειν, οὐ θαῦμα· ὅταν δὲ καὶ ἀποκτηνωθέντας ἤδη καὶ ἵππους θηλυμανεῖς γεγενημένους, καὶ τῶν ἄλλων ἀλόγων ζώων ἦθος ἀναλαβόντες ἐπὶ σωτηρίαν ἐρχομένους ἴδοι τις, ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ θεοῦ ἀγαθότητι ἐρεῖ· ἐπεὶ τὸν ἔλεόν σου ἐπλήθυνας, ὦ θεέ, οὐκ ἄνθρωποι μόνον ἀλλὰ καὶ κτήνη σώζονται. τὰ γὰρ μεγάλα ἁμαρτήματα μείζονος καὶ πολλοῦ ἐλέου δεῖται.

v. 8. B. f. 124. b. Οἴκου θεοῦ τῆς ἐκκλησίας τυγχανούσης, πιότης αὐτοῦ ἡ ἐκκλησιαστικὴ διδασκαλία τυγχάνει· ἀπὸ ταύτης νηφάλαιον μεθυσθήσονται μέθην οἱ περιεχόμενοι αὐτῆς· εἰ δὲ οἶκος θεοῦ εἴη ὁ σωτήρ· ἀπὸ τῆς παιδεύσεως αὐτοῦ οὔσης πιότητος μεθυσθήσονται ἀπολαύοντες αὐτῆς.

v. 9. B. f. 124. b. Ἐπεὶ παρά σοι πηγὴ ζωῆς, αὕτη δέ ἐστιν ὁ εἰπών, ἐγώ εἰμι ὁ εἰπών, εἰκότως καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ἐρχόμενον ἀπὸ τῆς πηγῆς τῆς ζωῆς ποτιεῖς τοὺς μεθυσθέντας ἀπὸ πιότητος τοῦ οἴκου σου.

v. 10. A. f. 176. Πηγὴ ζωῆς ὁ σωτήρ, τῷ μὴ ἔξωθεν ἔχειν, ἀλλὰ παρέχειν αὐτὴν αὖθις πᾶσι τοῖς ζῶσιν, οὐκ ἀνθρώποις μόνον ἀλλὰ καὶ τοῖς ὑπεραναβεβηκόσι· κατὰ τὰ αὐτά, πηγὴ σοφίας λέγεται· χείμαῤῥος δὲ τρυφῆς τὸ ἅγιον πνεῦμα, τῷ τρυφᾶν τοὺς πεπωκότας ἀπ' αὐτοῦ, δεχομένους τὰ διάφορα αὐτοῦ χαρίσματα. « Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. » Φῶς τοῦ θεοῦ τὸ ἀληθινόν· φῶς τὸ ἀπαύγασμα τοῦ φωτὸς τοῦ ἀϊδίου· ἐν τούτῳ οὖν τῷ φωτί, ὀψόμεθα φῶς, σε τὸ ἀΐδιον φῶς, περὶ οὗ εἴρηται· ὁ θεὸς φῶς ἐστιν· συμβαλεῖς τούτῳ, ὁ ἐμὲ ἑωρακώς, ἑώρακε τὸν πατέρα.

Οἶδεν ὁ θεῖος λόγος ταῖς λεγομέναις μετα- v. 12. A. f. 177.
φοραῖς χρᾶσθαι· ὥσπερ ἐνταῦθα τῆς ὑπερηφανίας οὐ ζώου ποδωτοῦ, ἀλλ' ἕξεως οὔσης, πόδα ὠνόμασεν· καὶ ἐν παροιμίαις « τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσιν. » Ὁ γοῦν εὔχεται, τοῦτό ἐστι· μὴ λάβοι χώραν ἐν τῇ ψυχῇ μου ἐπελθεῖν ἡ ὑπερηφανία· ἀλλὰ μηδὲ χεὶρ τουτέστι πρᾶξις ἁμαρτωλοῦ σαλεῦσαι με· εἰ γὰρ πράξοιμι τὰ τῶν ἁμαρτωλῶν, κλονηθήσομαι ἀπὸ τῆς ἀρετῆς.

PSALMUS XXXVI.

Αὕτη ἡ χρηστότης προξενήσει σοι τὸ κατα- v. 3. A. f. 179.
σκηνῶσαι ἐπὶ τῆς ἁγίας γῆς, ὡς ποιμαίνεσθαι ἐπὶ τῷ πλούτῳ αὐτῆς· ἕξεις γὰρ ποιμένα τὸν ἀληθινὸν ἄγοντά σε ἐπὶ θείαν νομήν, ἥτις πλοῦτος τῆς γῆς ἐκείνης ὠνόμασται.

Διὰ πάντων ὠφελίμων ἡμῖν ἑαυτὸν παρέχων v. 4. B. f. 126.
ὁ κύριος, καὶ τροφὴ καὶ ποτὸς εὑρίσκεται· ὅταν οὖν τροφῶμεν αὐτὸν τυγχάνοντα ἄρτον ζωῆς, καὶ ἐμφορηθῶμεν τῶν σαρκῶν αὐτοῦ καὶ τοῦ αἵματος ὄντων βρώσεως καὶ πόσεως ἀληθινῆς 1) κατατρυφήσαντες αὐτοῦ, ἕξομεν αὐτὸν ὀρέγοντα τὰ αἰτήματα τῆς καρδίας, τουτέστιν τοῦ νοῦ, οὐ τὰ αἰσθητά, ἀλλὰ πνευματικὰ καὶ νοητά.

Ὀλέθριον πάθος τυγχάνει ἡ ὀργή, ὡς καὶ v. 8. A. f. 179.
τοὺς φρονίμους ἀναιρεῖν· ὀργὴ γὰρ ἀπόλλυσι καὶ φρονίμους· ἀλλὰ καὶ τῆς ἐνεργείας τῆς ἀρετῆς ἐστιν ἐμποδιστική· ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐκ ἐργάζεται· διὸ παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλειπε θυμόν, ζηλωτὴς πραΰτητος καὶ ἡμερότητος γινόμενος δύνα. . .

Ἀλλ' οὐδὲ ὑπάρξει ὁ ἁμαρτωλὸς καταργουμέ- v. 10. B. f. 127.
νης τῆς κακῆς ἕξεως καθ' ἣν τοιοῦτός ἐστιν· τόπος δὲ μὴ εὑρισκόμενος ὡς ἐν τάξει νοείσθω· οἷον ἄλλη τάξις μαθητοῦ καὶ διδασκάλου· μέχρι τὴν ὁμοίαν ἐπιστήμην ἀναλαβών, εἰς τὴν αὐτὴν αὐτῷ καταστήσεται τάξιν, τοῦ μαθητοῦ τὸν τόπον ἀπολιπών· οὕτω τῆς κακίας ἀναιρουμένης, οἱ ταύτην ἑλόμενοι, τόπον οὐχ ἕξουσιν· ἔσται δὲ πλῆθος εἰρήνης ἐπὶ τῆς τῶν πρᾳέων γῆς,

1) Vides Didymi manifestum de Christi praesente in eucharistia corpore testimonium.

ὅτε πάντες οἱ ἐχθροὶ πρὸς οὓς ἔχομεν τὸν πόλεμον καταλυθῶμεν.

v. 12. B. f. 127. b. Λεχθείη δ' ἂν καὶ περὶ τοῦ διαβόλου· μετὰ γὰρ ἄρθρου τοῦτον εἶπεν ἁμαρτωλόν· καὶ οἱ ἁμαρτωλοὶ οὐδὲ αὐτοὺς ἐν κακοῖς πλουτοῦντας τιτρώσκουσιν· οὐδὲ σφάττουσι δὲ τοὺς σκολιοὺς τῇ καρδίᾳ φίλους ὄντας αὐτοῖς.

v. 14. B. f. 128. Ἐπεὶ ὁ ἁμαρτάνων τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθνήσκει, καὶ τούτων ὁ ῥομφαία ἣν κατ' ἄλλων ἠκόνησαν βλάψει αὐτοὺς εἰσερχομένη εἰς τὴν καρδίαν αὐτῶν· ἀλλὰ καὶ τὰ τόξα αὐτῶν συντριβείη, ὅπως μηδένα τοξεῦσαι δυνηθῶσιν· τόξα δὲ αὐτῶν ἐντεταμένα, οἱ πονηροί εἰσι λογισμοί· ῥομφαία δὲ ἠκονημένη κατὰ τῶν διαφορῶν, ὁ ἀναιρετικός ἐστιν λόγος αὐτῶν.

v. 17. B. f. 128. Νόει δὲ βραχίονας τὰς πρακτικὰς τῆς ψυχῆς δυνάμεις. Πρὸς διάνοιαν κρεῖττον τῷ δικαίῳ ὀλίγον γνώσεως ἔχειν μετ' εὐσεβείας, ὑπὲρ πλοῦτον μετὰ δυσσεβείας τῶν ἁμαρτωλῶν· ὃν πλουτεῖν οἴονταί τινες, τὰ τῆς ψευδωνύμου γνώσεως μετερχόμενοι.

v. 19. B. f. 128. b. Καιρὸς πονηρός ἐστιν ὅτε ἐπιπονά τις ἀπολαμβάνει ἁμαρτημάτων ἕνεκα· ἐν τοιούτῳ οὖν καιρῷ οὐ καταισχυνθήσονται οἱ ἄμωμοι, οὐκ ἔχοντες πράξεις ἐφ' αἷς ἔστι τοῦτο παθεῖν.

v. 25. B. f. 130. Πρὸς διάνοιαν, ἐκ νεαροῦ καὶ ἀβεβαίου ἤθους, καθ' ὃν νεωτερίζω· νεώτερος ἤμην, μεταβολὼν εἰς γῆρας ἦλθον, βίον ἀκηλίδωτον καὶ πολιὰν φρόνησιν κεκτημένος· ὅμως οὖν οὕτω προκόψας οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, τῷ τὸν θεὸν ἔχειν τρέφοντα καὶ ἄρτους θείους παρέχοντα ὡς μὴ ζητῆσαι ποτὲ ἄρτους τὸ τοῦ δικαίου σπέρμα, τουτέστιν τοὺς κατὰ διδασκαλίαν γεγενημένους· ὅλην οὖν τὴν ζωὴν ἑαυτοῦ κατάστασιν οὖσαν ἡμέραν ἐλεεῖ κοινωνικὸς ὤν, καὶ δανείζει ἤτοι μαθήματα τοῖς ἀκροωμένοις ἢ θεῷ· καὶ τὸ ἐλεῶν πτωχὸν, θεῷ δανείζει, ἐπὶ τὸ κερδῆσαι τόκους σωτηριώδεις· ὥστε καὶ τὸ σπέρμα αὐτῶν εὐλογημένον εἶναι πάσῃ εὐλογίᾳ πνευματικῇ.

v. 30. A. f. 181. B. f. 131. Ὁ δίκαιος πᾶσαν τὴν ἠθικὴν κατορθώσας ἀρετὴν, ἦλθεν ἐπὶ θεωρίαν· διὸ καὶ ὁ λόγος αὐτοῦ τροπικῶς στόμα καλούμενος, οὐκ ἄλλο τι ἢ τὴν ἐν τῷ θεωρεῖν σοφίαν μελετᾷ· εἰς τοῦτο παραλήψῃ τὸ « διήγησις εὐσεβοῦς, διὰ παντὸς » σοφία· ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται. » καὶ ἡ γλῶσσα δὲ τοῦ δικαίου οὐκ ἀνεξετάστως, οὐδ' ὡς ἔτυχεν φθέγγεται· κρίνας γὰρ καὶ ἐξετάσας διαφορὰν λεκτέων καὶ οὐ λεκτέων, τὰ μὲν ἐρεῖ, τὰ δὲ ἡσυχάσει· τοιοῦτόν ἐστιν τὸ « χείλη » σοφῶν δέδεται αἰσθήσει » τῷ ἠσθημένως καὶ λέγειν καὶ σιωπᾶν· αἰσθήσει, δεσμῷ τῶν χειλέων κέχρηται.

Ὃν κατὰ φύσιν ἔχομεν νόμον ἐν καρδίᾳ, καθ' v. 31. A. f. 181. B. f. 131.
ὃν διακρίνομεν τὸ ποιητέον καὶ οὐ ποιητέον, οὐκ ἄλλου ἐστὶν, ἢ τοῦ πεποιηκότος ἡμᾶς κατὰ τὴν ἑαυτοῦ εἰκόνα θεοῦ 1)· ἀμέλει ὅτ' ἂν σώζομεν ἀδιαστρόφους τὰς ἐννοίας, τῶν χειρόνων ἀπεχόμενοι, τῶν κρειττόνων ἀντιποιούμεθα· τούτῳ τῷ νόμῳ ἡγεμόνι τῆς ὁδοῦ χρώμενοι, ἄνευ ὑποσκελισμοῦ διαβαίνομεν ἐφ' ὃν ἐπειγόμεθα τέρμα· δυνατὸν δὲ τὸν εὐαγγελικὸν νόμον δηλοῦσθαι διὰ τῆς παρούσης λέξεως.

Τῷ δικαίῳ ᾧ κατανοεῖ ὁ ἁμαρτωλὸς ζητῶν v. 34. B. f. 132.
αὐτὸν θανατῶσαι, λέγεται· ὑπόμεινον τὸν κύριον, εἰ καὶ πολλοὺς ἔχεις τοὺς φονῶντας κατὰ σοῦ, ἐκ θεοῦ δέχου τὴν σωτηρίαν· οὕτω γὰρ διατεθέντι σοι ἀκολουθῆσαι τῷ ὑψωθῆναι, ὥστε κατακληρονομῆσαι τὴν πολλάκις ἤδη εἰρημένην γῆν· σημειωτέον δὲ ὅτι ἐν ὕψει που κεῖσθαι τὴν τῆς ἐπαγγελίας λέγει γῆν· ὑψοῦταί τις, ἀλλὰ τὴν ἄνω που ἱδρυμένην· καὶ ἐν Ἡσαΐᾳ γοῦν, ἀναβιβάσει σε κύριος ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, εἴρηται· καὶ ἐν οἵῳ δὲ ὕψει τυγχάνει αὐτὴ ἡ γῆ σκόπει, ὡς θεοῦ ἀναβιβάζοντος ἐπ' αὐτὴν καὶ ὑψοῦντος, ὥστε αὐτὴν κληρονομῆσαι, τῷ μὴ οἷόν τε εἶναί τινα ἑαυτῷ ἐπ' αὐτὴν γενέσθαι.

Παρελθὼν, φησι, τῇ διανοίᾳ ἐπὶ τὸν μέλ- v. 36. A. f. 181. b.
λοντα βίον, οὐκέθ' εὗρον τὸν ἀσεβῆ, ὡς ζητῆσαι τὸν τόπον, καὶ μὴ εὑρίσκεσθαι τοὺς φαύλους μετὰ ταῦτα, οὐ τῆς οὐσίας αὐτῶν ἀφανιζομένης, ἀλλὰ τῆς ποιότητος, καθ' ἣν εἰσιν τοιοῦτοι· καὶ περὶ τοῦ μὴ εὑρίσκεσθαι τὸν ἐν τάξει τόπον αὐτῶν, προαποδέδεικται· Εἰ δὲ περὶ τοῦ σατανᾶ ταῦτα λέγοιτο, ἐπεὶ ἄρχων τοῦ κόσμου

1) Optima Didymi sententia, quod lex naturae, lex Dei sit.

τούτου εἴρηται, παρέρχεται δὲ οὗτος ὁ κόσμος, ζητήσας τις ἐν τῷ μέλλοντι αἰῶνι τὸν τόπον τούτου τοῦ ἄρχοντος οὐχ εὑρήσει· εἰ δὲ καὶ ἁμαρτία τόπος ἐστὶν τοῦ διαβόλου κατὰ τὸ, μὴ δίδοτε τόπον τῷ διαβόλῳ, τῆς κακίας ἀφανιζομένης, οὐχ εὑρέθη ὁ τόπος τοῦ ἀσεβοῦς.

v. 37. A. f. 182. B. f. 132. b. Διαφορὰν ἀκακίας καὶ εὐθύτητος εἴποι ἄν τις τοιαύτην· εἰ μὲν ἀκακία ᾖ ἡ τῶν κακῶν ἀπραξία, εὐθύτης εἴη ἡ ἕξις καθ' ἣν ἀπαθῶς πάντα ἐνεργοῦμεν· εἰ δὲ ἀκακίαν λέγει τὴν τοῦ ἤθους κατόρθωσιν, εὐθύτης εἴη ἡ ἀκαμπὴς τῶν δογμάτων τῆς ἀληθείας θεωρία· ἑκατέρως προστάσσει φυλάσσειν ἀκακίαν καὶ ἰδεῖν εὐθύτητα, τῷ εἶναι ἐγκατάλειμμα εἰς τὸν μέλλοντα βίον τῷ εἰρηνικῷ ἀνθρώπῳ πεφυλακότι διττὴν ἀκακίαν, καὶ τεθεωρακότι τὴν προειρημένην διττὴν εὐθύτητα τῶν ἐγκαταλειμμάτων τῶν ἀσεβῶν ἐξολοθρευομένων ἐπὶ τὸ αὐτὸ, καὶ ἅμα κατὰ τὸν τῆς κρίσεως καιρόν· σωτηρία δὲ τῶν δικαίων γίνεται παρὰ κυρίου ὑπερασπίζοντος αὐτῶν ἐν καιρῷ θλίψεως· ὑπάρξει δὲ αὐτοῖς καὶ τὸ βοηθείας παρὰ τοῦ κυρίου τυχεῖν, καὶ τὸ ῥυσθῆναι ἐκ πολεμίων· ἀλλὰ καὶ τὸ ἐξαιρεθῆναι ἐκ χειρὸς ἁμαρτωλῶν, τουτέστιν πράξεως ἢ δυνάμεων πονηρῶν, διότι ἤλπισαν ἐπ' αὐτόν· διὸ καὶ ὁ ψαλμὸς οὗτος ἐν οἰκείῳ ἀριθμῷ τῶν λεγομένων ἐν αὐτῷ τέτακται· ἔστιν γὰρ τριακοστὸς ἕκτος· οὗτος δὲ ὁ ἀριθμὸς ὁμοῦ τρίγωνος καὶ τετράγωνός ἐστιν πλευρᾷ τῇ ὀγδοάδι· ἔστιν δὲ ἡ ὀγδοὰς ἀναστάσιμος τοῦ σωτῆρος ἡμέρα· ἡ δὲ τετράγωνος πλευρὰν ἔχει τὸν ἓξ ὄντα ἀριθμὸν τέλειον· ἑξάκις γὰρ ἓξ, τριάκοντα ἕξ· τρίγωνος δὲ κατὰ τοῦτο· εἰ γὰρ ἀπὸ μονάδος ἑξῆς ἕως ὀγδοάδος ἀριθμήσεις, οὐκ ἄλλον τούτου εὑρήσεις ἀριθμόν.

PSALMUS XXXVII.

v. 2. A. f. 183. b. B. f. 133. b. Ἐξομολογούμενον πρόσωπον εἰσάγεται ἐν τῷ ψαλμῷ τούτῳ· εἰ πεπρακταί μοι, φησὶν, τοιοῦτο ἐφ' οἷς ἄξιον ὑπὸ θυμοῦ ἐλεγχθῆναι, ἀλλά γε μετανοήσας παρακαλῶ, ὑπὸ λόγου καὶ μὴ ὑπὸ θυμοῦ ἐλεγχθῆναι, καὶ ὑπὸ διδασκαλίας καὶ μὴ ὑπὸ ὀργῆς παιδευθῆναι· καὶ τὸ εὔλογον τῆς αἰτήσεως ἐπιφέρει λέγων· ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι· καὶ ἐπεστήρισας ἐπ' ἐμὲ τὴν χεῖρα σου· οἱ λόγοι τοῦ κυρίου βέλη εἰσίν· αὐτὸς τοίνυν ὁ σωτὴρ φησίν· ἔθηκέν με ὡς βέλος ἐκλεκτὸν, καὶ τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέν με· ὁ λέγων οὖν τὸν λόγον τοῦ κυρίου, βέλος ἀφίησιν· καὶ ἐπὰν λέγῃ ἐπιστρεπτικὰ, τῷ βέλει τούτῳ τιτρώσκει τὸν συνετὸν ἀκροατήν· ὁ οὖν δυνάμενος ἐκ τοῦ τετρῶσθαι νενοηκέναι καὶ ἠλπικέναι, θαῤῥεῖ ὅτι οὐκ ἔπεσεν τὰ βέλη τοῦ θεοῦ τὰ λογικὰ, οὐδ' ἔξω γέγονεν αὐτοῦ, ἀλλὰ καθίκετο αὐτοῦ· ὡς λέγεσθαι ἑώρακας, ὡς κατενύγη ὁ δεῖνα· καὶ ἐπεστήρισας ἐπ' ἐμὲ τὴν χεῖρά σου· λέγοι ἂν τῷ τύπτοντι διδασκάλῳ ἢ παιδαγωγῷ ὁ τυπτόμενος, ὅτε οὐ παρέργως τύπτεται, ἐπεστήρισας ἐπ' ἐμὲ τὴν χεῖρά σου· τῆς γὰρ χειρὸς κυρίου ἐπικειμένης τῷ ἀφιέντι τὰ λογικὰ βέλη, τιτρώσκεται καὶ ἐμπήγνυνται τὰ βέλη εἰς τὴν ψυχὴν τοῦ ἀκούοντος. Δηλοῖ δέ ποτε ἡ τῶν βελῶν προσηγορία καὶ τὰς κολάσεις, ὡς ἐν τοῖς προάγουσιν εἴρηται· φησὶ τοίνυν· ἐπεὶ ἁμαρτίας πεποίηκα, αἷς ἀκολουθεῖ κόλασις, τὰ βέλη σου ἤδη ἐνεπάγησάν μοι.

Τὰς μὲν ἀνομίας ὑπερηρκέναι τὴν κεφαλὴν v. 5. A. f. 186. B. f. 134.
ἑαυτοῦ φησὶν, ὥστε πιῆσαι καὶ βαρῦναι τὸ ἡγεμονικὸν αὐτοῦ τροπικῶς κεφαλὴν ὀνομαζόμενον· ταύτας δὲ καὶ τρόπον φορτίου βεβαρύνθαι ἐπ' αὐτόν· τῆς γὰρ κακίας φύσει κατωφεροῦς καὶ βαρυτάτης οὔσης, ὡς ταλάντῳ μολίβδου παραβάλλεσθαι, μόνος ὁ μετανοῶν αἴσθησιν τοῦ βάρους αὐτῆς λαμβάνει, οἰομένου κουφοτάτην αὐτὴν ὑπάρχειν τοῦ σὺν ἡδονῇ ἐνεργοῦντος αὐτήν· ὅθεν Ἰησοῦς τοὺς κοπιῶντας καὶ πεφορτισμένους διὰ μετανοίας ἥκειν πρὸς αὐτὸν καλεῖ, αἰσθηθέντας τοῦ ἄχθους τῆς ἁμαρτίας, καὶ κοπιάσαντας ἀπ' αὐτοῦ· τοὺς δὲ μώλωπας οὓς ἔσχεν ἀπὸ τῶν πεπυρωμένων τοῦ πονηροῦ βελῶν, εἰς σῆψιν καὶ δυσωδίαν τετράφθαι φησὶν ἀπὸ προσώπου ἧς ἔσχεν ἀφροσύνης· σὺν ἀφροσύνῃ γὰρ οὐχ ἡ τυχοῦσα συνίσταται κακία· ὡς αὖ μετὰ φρονήσεως τὰ κατ' ἀρετὴν εὐεργετεῖται. Τὰ δ' ἑξῆς τάχα οὕτως ἀναγνωστέον· ἐπεὶ ἕως τέλους, τουτέστιν διὰ βίου κατεκάμφθην, τὰ κάτω φρονῶν καὶ ἐπὶ γῆν βλέπων, ἠκολούθησεν τὸ οἰκτρὸν καὶ ἐλεεινόν με εἶναι· ὃ παρίσταται ἐκ τοῦ ἐταλαιπώρησα.

v. 6. et 7. A. f. 186. b. Ἤτοι τῶν λογισμῶν μου, ἢ τῶν πονηρῶν πνευμάτων· τούτου ἕνεκα διὰ βίου σκυθρωπάζων ἐπορευόμην, πάσης ἱλαρίας ἀφαιρεθείσης· ἐπειδὴ δὲ φέρονται γραφαὶ, ὧν ἡ μὲν ψύαι μου, αἱ δὲ αἱ λαγόνες μου ἐπλήσθησαν ἐμπαιγμῶν, ῥητέον ὅτι ἐπεὶ περὶ τὰς ψύας καὶ τὰς λαγόνας συνίσταται τὰ σπέρματα εἰς παιδοποιΐαν συντείνοντα, ἐμπαιγμῶν ἐμπίμπλανται ταῦτα, ὅταν μὴ εἰς παιδοποιΐαν, ἀλλὰ πορνικῶς ἐπιτελεῖται.

v. 9. A. f. 187. B. f. 137. Ἀπὸ βάθους μετανοίας τοὺς ἐπὶ μετανοίᾳ στεναγμοὺς προφέρων, οὐκ ἐξ ἐπιπολῆς καὶ ἐπιπλάσεως ὡς οἱ μετανοίας ὑποκριταί· διὸ καὶ θαῤῥῶν λέγει σοι κύριε, ὡς ἄρα ἡ ἐπιθυμία τῆς καρδιάς μου ἐναντίον σου ἐστίν· πᾶσα μὲν γὰρ φαύλων ὄρεξις μακράν σου καὶ κέκρυπταί σε· ἡ δὲ τῆς ἐμῆς καρδίας τῷ μετελθεῖν ἐκ κακίας εἰς ἀρετὴν . . σίαν μετάνοιαν ποθοῦσα, ἀγαθὴν ἐπιθυμίαν ἔχει, ἥτις ἐν ὄψεσιν οὐ τυγχάνει· δύναται καὶ περὶ τῆς φαύλης ἐπιθυμίας λέγειν· ἐπεὶ ἡ ἐγκειμένη μοι πονηρὰ ὄρεξις οὐκ ἔλαθέν σε, περὶ ταύτης ἐξομολογούμενος στενάζω, ὡς τὸν στεναγμὸν τὸν περὶ αὐτὸν εὐπαῤῥησίαστον ὄντα μὴ κεκρύφθαι ἀπὸ σοῦ.

v. 10. A. f. 187. B. f. 137. Τῆς καρδίας μου, τουτέστι τῆς διανοητικῆς μου δυνάμεως τάραχον ὑπομενούσης, ἡ ἰσχύς μου ἡ κατὰ τὰς κοινὰς ἐννοίας ἐγκατέλιπέν με· ἀλλὰ ἡ τῶν ἀληθῶν γνῶσις, φῶς τῶν ὀφθαλμῶν μου, τουτέστιν τοῦ νοῦ, τυγχάνουσα, οὐκ ἔστιν μετ' ἐμοῦ· διατεθεὶς γὰρ κατὰ τὰ ἄλογα, οὐδὲ ἐννοεῖσθαι φωτεινῶς, ἢ ἰσχυρῶς διανοεῖσθαι δυνήσομαι· δύναται καὶ ἰσχὺς εἶναι τοῦ ταῦτα λέγοντος, καὶ φῶς ὀφθαλμῶν αὐτοῦ, ὁ ὀρθὸς λόγος καθ' ὃν ἐστιν λογικός· οὗτος οὖν ἐγκατέλιπεν αὐτὸν, καὶ οὐκέτι εἶναι μετ' αὐτοῦ δοκεῖ, ταραχθείσης αὐτοῦ τῆς καρδίας ἰσχύος ὀνομαζομένης, κατὰ τὴν τῶν πρακτικῶν ὑφήγησιν· φῶς δὲ ὀφθαλμῶν, κατὰ τὸ φωτίζειν τῇ σαφηνείᾳ τῶν ὁρώντων· καὶ οὓς δὲ εἶχον, φησὶν, φίλους καὶ πλησίον, φιληδόνως ζῶν, τούτους ἀντικειμένους καὶ πολεμίους ἔσχον, ῥέψας ἐπὶ τὸ ἐκκλῖναι τοῦ κακοῦ, καὶ τὸ ἀγαθὸν ποιῆσαι· οὗτοι δὲ καὶ ἔγγιστά μου πρότερον ὄντες σχέσει καὶ διαθέσει, ἀπὸ μακρὰν πολεμίων ἔστησαν τρόπον. Ῥητέον δὲ καὶ οὕτως· ὅτ' ἄν τις περιστάσεσι περιπέσῃ, ἐγκαταλείπεται ὑπὸ πάντων τῶν πρότερον ἐγγιζόντων καὶ φίλων καὶ πλησίον ὄντων . . τὸν πάλαι ποθούμενον· τούτων εἰκόνας εὕροις ἐν τῷ Ἰώβ· καὶ οἱ βλαπτικῶς δὲ καὶ φιλονείκως ἐκζητεῖν τὴν ψυχήν μου προελόμενοι, καὶ βίᾳ περιβαλεῖν με ἠθέλησαν, ἀναγκαστικοῖς λόγοις, ὡς δῆθεν ἀποδεικτικοῖς ὑπαγαγεῖν με νομίζοντες· ἀλλὰ τὰ πρὸ τούτων λεγόμενα ἐπὶ ἐκζητήσει τῶν κακῶν οἷς ὑποβάλλειν με ἔσπευδον, ὤφθησάν μοι ματαιότης· ἤκουον γὰρ οὐχ ὡς ἀποδείξεως, ἀλλ' ὡς ματαίας καὶ ἀπατηλῆς σοφιστείας· ματαιότητα δὲ δι' ὧν σοφίζονται φθεγγόμενοι δι' ὅλης ἡμέρας, τουτέστι διὰ βίου δολιότητα μελετῶσιν· οὔτε ἀποδείξεις τότε τοῖς πράγμασιν ἐπιφέροντες, ἀλλὰ σοφιστικῶς συναρπάζειν κρίναντες.

Ὁ κρίνας φυλάττει τὸ οὐ παραδέξῃ ἀκοὴν v. 14. A. f. 189. B. f. 137. b.
ματαίαν· πρὸς τοὺς δολίους καὶ ἀπατηλοὺς λόγους κεκώφωται, οὐδ' αἴσθησιν αὐτῶν τὴν ἐξ ἀκοῆς ἔχειν βουλόμενος· πολλῷ δὲ πλέον ἀλάλου δίκην οὐδ' ἀποκρίνεσθαι πρὸς τοὺς τοιούτους λόγους ἢ ἐλέγχειν αὐτοὺς βουληθείη· εἴρηται γὰρ ἐν ἄλλοις, ἠλιθίου εἶναι τὸ ἐξελέγχειν τοὺς λίαν εὐήθεις λόγους· ἐγενόμην οὖν φησὶν πρὸς τοὺς τοιούτους ἀνθρώπους ὡς οὐκ ἀκούων, οὐδ' ἔχων ἐν στόματί μου ἐλεγμούς· κίνδυνον γὰρ ἔχει πολλάκις τὸ δυσφήμων λόγων ἀκούειν, καὶ τὸ διαλέγεσθαι περὶ προβλημάτων ὑποκειμένων κολάσει· διὸ μακάριον κεκωφῶσθαι πρὸς τὰ τοιαῦτα, καὶ νομίζεσθαι μὴ οἷόν τε εἶναι αὐτὰ ἐλέγχειν.

Ἐπεὶ πάντων τῶν ἄλλων καταφρονήσας, ἤλ- v. 15. B. f. 137.
πισα ἐπὶ μόνῳ σοι, ὦ κύριε τυγχάνων μου καὶ θεὸς σὺ εἰσακούσῃ, ὃν εὐξάμενος εἶπον, ἀρξάμενος ἀπὸ τοῦ κυρίου, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με· πολλάκις γὰρ οἱ συνόντες μοι ὅτε ἡμάρτανον ἀλιτήριοι δαίμονες ὀνειδίζουσιν, τὰ προπεπραγμένα εἰς μέσον φέροντες, ὡς διὰ τούτου ἐμποδίσαι τὴν μετάνοιάν μου πειρώμενοι, καὶ ἀπόγνωσιν σωτηρίας ἐμποιῆσαι· ἐγὼ γοῦν πρὸς οὓς ὑποβάλλουσιν τοιούτους λογισμοὺς κωφὸς καὶ οὐκ ἀκούων γεγένημαι, οὐδ' ἐλέγξαι αὐτοὺς βουλόμενος, ὅπως μὴ περὶ τοῦτο καταγινόμενος,

ἐκλύσω τὴν σύντονον περὶ τὴν μετάνοιαν προθυμίαν· ἐπεὶ οὖν ἤλπιζον, ὦ κύριε, θαῤῥῶ εἰσακουσθήσεσθαι.

v. 18. A. f. 190. B. f. 138. Ἕτοιμος καὶ εὐτρεπὴς πρὸς τὰς ἐξ αἰσθήσεως μάστιγας εἰμί· ἀμέλει οὖν καὶ ἡ ἀλγηδών μου, καθ' ἣν ἀλγῶ ἐπὶ τοῖς προπεπραγμένοις ἐνώπιόν μου ἐστὶν, τιτρώσκουσα καὶ μαστίζουσά με.

v. 18. B. f. 138. b. Ἡ πρὸς ἡμᾶς δηλονότι συμπάθεια, ἧς ἕνεκα τοῦ οἰκείου πάθους ἔχει διὰ παντὸς τὴν ἀνάμνησιν, ἀφ' ὧν γὰρ πέπονθεν, ὁ Παῦλός, φησιν αὐτὸς πειρασθεὶς, δύναται τοὺς πειραζομένους βοηθῆσαι.

v. 19. Ἔστι μεριμνᾷν ὑπὲρ τῆς ἁμαρτίας αὐτοῦ τινὰ σπεύδοντα κατορθοῦν μετανοίας ἔργα· ἁμαρτίαν ἑαυτοῦ, τὴν τοῦ γένους τοῦ ἡμετέρου καλεῖ, ὡς ἀπαρχὴ γεγονὼς τοῦ ἡμετέρου φυράματος· ὡς νέος Ἀδὰμ ἐν ἑαυτῷ τὸν παλαιὸν ἀναπλάσαι βουλόμενος, ὑπὲρ οὗ τῆς ἁμαρτίας μεριμνῶν τινὰ καθάρῃ τρόπον· μεριμνῶντος γὰρ ἦν ἅπερ ἐν εὐαγγελίοις ἐφθέγξατο ῥήματα· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη, φησίν; ἐκεῖνο γὰρ ἔλεγεν, ὃ τὰς ἡμετέρας ἀκάνθας ἐδαπάνησεν.

v. 20. B. f. 139. Θεοδωρήτου καὶ Διδύμου. Ὅσον ἐπὶ τὸ μετανοεῖν ἐπὶ ἁμαρτήμασιν, ἀγαπητὸς ὤφειλον εἶναι· αὐτοὶ δὲ πρὸς τὸ μὴ ἀγαπᾷν, ἀπέῤῥιπτόν με δίκην νεκροῦ βδελυκτοῦ διὰ τὸ ὠδωδέναι.

v. 21. B. f. 149. b. Εἰ κἀκεῖνοι ἀπέῤῥιψάν με ὡς νεκρὸν ἐβδελυγμένον, ἀλλὰ σὺ σκέπε με ὑπὸ τὴν κραταιάν σου χεῖρα· σοῦ γὰρ παρόντος, ἀνίσχυροι καὶ ἀσθενεῖς οἱ ἐχθροί.

PSALMUS XXXVIII.

v. 1. A. f. 191. b. Ὁ βασιλεὺς Δαυὶδ τὴν κιβωτὸν τοῦ θεοῦ ἀγαγὼν εἰς Ἱερουσαλὴμ, ᾠδούς τινας ἄνδρας ἱεροὺς ἔταξεν ἀπ' αὐτῆς τῆς λειτουργίας τε καὶ τάξεως, ὥστε τοὺς ὕμνους τοῦ θεοῦ ᾄδειν· εἷς οὖν ἦν τούτων καὶ ὁ Ἰδιθοὺμ ὡς ἐν τῷ καταλόγῳ καὶ ἐξαριθμήσει τῶν προειρημένων ᾠδῶν· ἐν ταῖς παραλειπομέναις φέρεται τί τοιοῦτον· τὸν προκείμενον αὐτῷ ψαλμὸν αὐτὸς ὑπὲρ τοῦ Δαυὶδ ποιήσας ᾖσεν, ἢ ὑπὸ τοῦ Δαβὶδ γενόμενον αὐτὸν παραλαβὼν ἀπήγγειλεν· ἔστιν δὲ καὶ ἐν τῷ προειρημένῳ ψαλμῷ ἐκ μετανοίας εἰς ἀρετὴν εἰσαγόμενον πρόσωπον τὸ ἀπαγγέλλον.

Ἐπεὶ σχεδὸν ἁπάσης ἁμαρτίας ἀρχὴ διὰ λόγου v. 2. A. f. 139 B. f. 140
γίνεται, ὁ φυλάξαι προθέμενος τὰς διὰ τῶν πράξεων ὁδοὺς αὐτοῦ, πρὸς σεαυτὸν συνθήκας τίθεται ὅπως μὴ ἁμαρτῇ τῇ γλώττῃ· εἰ γὰρ τὸ ἀναμάρτητον περὶ τὸν λόγον αὐτῷ τηρηθείη, ἀκολουθήσει τὸ καθαρεῦσαι ἀπὸ τῶν κατ' ἐνέργειαν ἁμαρτημάτων· ἐκ γὰρ τῶν λόγων σου, φησὶ, δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ· καὶ, ἀμὴν λέγω ὑμῖν, περὶ παντὸς ῥήματος λόγου δώσετε ἐν ἡμέρᾳ κρίσεως.

Ὁ ἁμαρτωλὸς ἐνταῦθα καὶ ὁ διάβολος, ἢ v. 2. B. f. 140
καὶ ὁ παρὼν τῷ ἀνθρώπῳ πονηρὸς ἄγγελος λέγεται· ὅταν οὖν τις πρὸς ἑαυτὸν εἴπῃ τὰς ὁδοὺς φυλάξαι ἑαυτὸν, καὶ θεῖναι φυλακὴν τῷ στόματι, τὸ τηνικαῦτα συνιστανόμενος ὁ ἁμαρτωλὸς ἀντιπαρατεταγμένος ἐναντίον τοῦ μετανοοῦντος ὑπομιμνήσκει τὰ πρότερα ἐπ' ὀνειδισμὸν, εἰς μέσον αὐτὰ φέρων· ἢ γαργαλίσαι διὰ τῆς ὑπομνήσεως θέλων, ὅπως κατασπάσῃ εἰς τὴν προτέραν ἁμαρτίαν τὸν ἀποστάντα αὐτῆς· οὕτω γοῦν, φησὶν, συστάντος τοῦ ἁμαρτωλοῦ κατενώπιόν μου, κωφωθεὶς πρὸς τοὺς λόγους αὐτοῦ ἐσίγησα ἀφ' ὧν ἠρξάμην λέγειν ἀγαθῶν· ἀρξάμενος γὰρ ἡμῖν περὶ ἀναμαρτησίας λέγειν, ἢ ἐξ ἀγαθῶν δογμάτων.

Ἐκ τῶν λόγων τοῦ συστάντος κατενώπιόν v. 3. A. f. 193 B. f. 140. b.
μου ἁμαρτωλοῦ, ἐθερμάνθη διαπυρωθεῖσα ἡ καρδία μου· ἐπεὶ δὲ μηδὲν ἐφθεγξάμην ἐκ τῶν τοιούτων λογισμῶν, ἐντός μου ἡ θέρμανσις ἐφυλάχθη, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ· Ὁ μὴ ἐκλύτως ἀλλὰ σπουδαίως καὶ διαπύρως μελετῶν τὰ θεῖα, ἐρεῖ τὸν προκείμενον, ἐξαπτομένου πυρὸς ἐκ τῆς τοιαύτης μελέτης διεσθίοντος τὴν προϋπάρχουσαν πονηρὰν ἕξιν.—Πρὸς μὲν τὸν ἁμαρτωλὸν, φησὶν, ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα· πρὸς δὲ τὸν θεὸν ἐλάλησα ἐν γλώσσῃ μου· ὁ ἀπὸ γνησίου πόθου καὶ φρονήματος προφέρων λόγους, ἐν γλώσσῃ τῇ ἑαυτοῦ λαλεῖ, τοῦ δολερῶς φθεγγομένου γλώσσῃ ἀλλοτρίᾳ λαλοῦντος· καὶ ἔτι ἐπεὶ ἔχομεν καὶ ἐν τῷ ἔσω ἀνθρώπῳ γλῶσσαν, κυρίως ἡμῶν αὕτη γλῶσσα ἐστὶν, καθ' ἣν ἀπὸ διαθέσεως ἔςιν λαλεῖν.

v. 3. B. f. 141. Ἐπεὶ πᾶς συνετὸς πράσσει καὶ ἐνεργεῖ ἐπὶ τέλει τινὶ, ὃ καὶ σκοπὸς καλεῖται, δεῖ δὲ τούτου γνῶσιν ἔχειν, εὔχεται γνῶναι τί τὸ τέλος καθ' ὃ ζῆν προτέθειται, καὶ τίς ὁ ἀριθμὸς τῶν κατὰ τὰ θεωρήματα τῆς ἀληθείας ἡμερῶν· οὕτω γὰρ εἴσεται τί αὐτῷ ὑστερεῖ πρὸς ἀναπλήρωσιν τοῦ σκοποῦ.

v. 6. B. f. 141. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου.

Ἐξ οὗ εἰς τὸν βίον παρῆλθον εἰς τὸ ἀγωνίσασθαι ἀνεγράφη· ὡς κατὰ μὲν τὴν ἀρχὴν ἔχειν τὴν πάλην πρὸς αἷμα καὶ σάρκα· ὑπερβὰς δὲ τὸν παῖδα καὶ ἀνὴρ γενόμενος, πρὸς ἀρχὰς, πρὸς ἐξουσίας κοσμοκράτορας τοῦ σκότους τούτου εἶναί μοι τὸν ἀγῶνα· σημαίνει οὖν τὸ παλαιστὰς εἶναι ταυτὸν τῷ ἐν ἀγῶνι ἔθου τὰς ἡμέρας μου· δύναται νῦν ὑπόστασις ἀντὶ οὐσίας λέγεσθαι, ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτον.

v. 5. A. f. 194. b. Ἑτέρα δὲ περιέχει γραφὴ, ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου οἰκειότητα ἔχουσα πρὸς τὸν παλαιὸν ἄνθρωπον ὃν ἐνεδυσάμην· διὸ καὶ ἡ ὑπόστασίς μου καθ' ἣν ὑφιστάμην τὰ πρὸ τῆς πίστεως πράγματα, ὡς οὐδέν ἐστιν ἐνώπιόν σου. Πλὴν τὰ σύμπαντα ματαιότης· πάντα ματαιότητα λέγει τὰ ἐπὶ τῆς γῆς ζῶα, φυτὰ, καὶ τὰ παραπλήσια· μόνος ὁ ἄνθρωπος ζῶν ἐστιν, παρὰ ταῦτα μετέχων ἀθανάτου ζωῆς.

* ita cod. v. 8. B. f. 142. Ὑπομονὴ ἡ προσδοκία. Κἂν ἡ θησία * ἀντὶ τῆς ὑποστάσεως λέγηται, καὶ αὐτὴ παρὰ θεοῦ ἐστιν ὡς ἐκ δημιουργοῦ· κἂν καθ' ὃ ὑφιστάμεθα, καὶ αὕτη ἡ ὑπόστασις ἡμῶν παρ' αὐτοῦ ἐστιν ἐνδιδόντος ἡμῖν τὸ ὑφίστασθαι τὰ συμβαίνοντα, κἂν ἐπίπονα ᾖ.

v. 7. A. f. 195. B. f. 141. b. Ὁ ἐν τῷ προκόπτειν διαπορευόμενος, εἰκόνος θείας μετέχων τοῦτο ποιεῖ, ὢν σύμμορφος εἰκόνος τοῦ υἱοῦ τοῦ θεοῦ· καὶ ἔτι μέντοι γε πᾶς ἄνθρωπος ζῶν ἐν εἰκόνι διαπορεύεται, ἤτοι τῇ τοῦ θεοῦ, τηρῶν τὸ κατ' εἰκόνα, ἢ ἄλλου τινὸς ζώου· ἵππος θηλυμανὴς, ἢ ἄλλό τι ἄλογον κατὰ τὸ ἦθος γινόμενος· καὶ ἔτι ὁ αἰσθητὸς καὶ φαινόμενος κόσμος, εἰκών ἐστι τοῦ νοητοῦ καὶ ἀοράτου· αὐτεξουσίως οὖν διαπορεύεται ὁ ἄνθρωπος ἐν τούτῳ τῷ κόσμῳ, ὅς ἐστιν εἰκών· εἰπὼν δὲ περὶ τοῦ κοινοῦ ἀνθρώπου τὰ εἰρημένα περὶ τῶν καθ' ἕκαστα φησὶν, ὡς μάτην ταρασσομένων ἐν ταῖς περὶ τὰ θνητὰ σπουδαῖς· περὶ ἑκάστου γοῦν ἐπιφέρει τὸ θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάγει αὐτά· ὁ γὰρ θησαυρίζων ἐπὶ γῆς οὐκ οἶδεν τίς διαδέχεται τὸν πλοῦτον ὑπὲρ οὗ αὐτὸς ἐσπούδασεν· ὁ δὲ θησαυρίζων ἐν οὐρανῷ, ἑαυτῷ καὶ οὐκ ἄλλῳ θησαυρίσας, οἶδεν τίνι· ἐπιστάμενος τὸν πλοῦτον ὄντα ἀναφαίρετον αὐτοῦ.

Καὶ ἐκ τῆς παρούσης λέξεως μανθάνομεν τὰς v. 10. B. f. 142. b.
λεγομένας μάστιγας τοῦ θεοῦ μὴ ἄλλας οὔσας ἐλέγχων· μετὰ γὰρ τὸ εἰπεῖν, ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου, ἐπενήνεκται τὸ ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας εἶναι αὐτάς· τοῖς γὰρ ὑπὲρ ἀνομίας προσφερομένοις ἐλεγμοῖς παιδεύεται ἄνθρωπος, ἐκτηκομένης τῆς ψυχῆς αὐτοῦ τῷ ἀποβαλεῖν πᾶσαν σαρκώδη παχύτητα· τότε γὰρ κα- v. 12.
τὰ τὴν ἀράχνην ὑφαίνειν δύναται οὐκ ἔξωθεν ὑποκειμένην ὕλην, ἀλλ' οἴκοθεν ταύτην καὶ ἐξ ἑαυτοῦ προφέρων.

Ἐπεὶ ῥυσθῆναι ἀπὸ πασῶν τῶν ἀνομιῶν μου A. f. 197. b. B. f. 142. b.
ἀξιώσας, τέως τούτου οὐ τετύχηκα, ὀνειδίζει ὁ ἄφρων, ὡς τὸ σὸν ποίημα ὑποχείριον ἔχων· ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον· ὅτ' ἂν γὰρ ἡ κολάζουσα χειρὶ ἰσχυρῶς μαστίζῃ, ἐκλείπει ὁ κολαζόμενος, καθ' ὃ τοιοῦτός ἐστιν.

Ἐπεὶ οἶδεν ἔτι ἑαυτὸν πολλῶν δεόμενον, πα- v. 14. A. f. 198. B. f. 143.
ρακαλεῖ ἐνδοθῆναι αὐτῷ ἔτι ἐνδιατρίψαι ἐν τῷ βίῳ τούτῳ, ὅπως ἀναψύξῃ κατατρυφήσας ἐν τελείοις ἀγαθοῖς· εἰ γὰρ μὴ οὕτως, ἀλλ' ἔτι λείπων ἀπέλθοι, οὐκέτι μὴ ὑπάρξῃ, οὕτω καταστρέφειν εἰς τὸ μὴ ὂν, ἀθάνατος γὰρ καὶ ἀνώλεθρος ἡ ψυχὴ, ἀλλὰ τῷ μηκέτι ἐν μετοχῇ τοῦ ὄντος ὑπάρχειν· τοῦτο γὰρ τὸ ἀληθῶς εἶναι τυγχάνει, τὸ μετέχειν τοῦ εἰρηκότος, ἐγώ εἰμι ὁ ὤν· λεγομένων μὴ εἶναι τῶν ταύτην τὴν μετοχὴν οὐκ ἐχόντων, κατὰ τὸ λελεγμένον ἐν εὐχῇ πρὸς τὸν θεόν· μὴ παραδῷς τὸ σκῆπτρον σου τοῖς μὴ οὖσιν· ταύτης τῆς ὑπάρξεως μετασχεῖν ποθῶν, εὔχεται καιρὸν αὐτῷ δοθῆναι τοῦ ἀναψύξαι τῇ μετουσίᾳ τοῦ ὄντος, ἵν' ἀληθῶς ὑπάρξῃ.

*

PSALMUS XXXIX.

v. 3. B. f. 144. Ὑπὲρ τῆς λέξεως μηδὲν δηλοῦσθαι ἐν τῇ γρα-
* ita cod. φῇ νομίζοντες λέγετε, ὡς ἂν πηλὶξ * ἀγαθοῦ τυχὸν ὁ ἐπὶ τῆς αἰσθητῆς πέτρας τοὺς πόδας τοῦ σώματος στάς· οὕτως εὐχαριστεῖ τῷ τοῦτο δωρησαμένῳ· ἡμεῖς δὲ φαμὲν ὅτι ὁ τῶν προειρημένων λάκκου καὶ πηλοῦ ἀπαλλαγεὶς, ἐπὶ τὴν ἀῤῥαγῆ καὶ ἀπλόνητον κατ' ἀρετὴν τελειότητα ἱδρυνθεὶς ἀπαγγέλλει τὰ προκείμενα· τῷ γὰρ οὕτω στάντι ἐπὶ πέτραν, ἀκολουθεῖ καὶ τὸ κατευθύνεσθαι τὰ διαβήματα αὐτοῦ ὑπὸ κυρίου, διαβαίνοντος ἀπὸ κακίας εἰς ἀρετὴν, καὶ ἀπὸ θνητῶν εἰς ἀθάνατα, ἀλλὰ καὶ κατὰ πᾶσαν προκοπήν.

v. 4. Οἰκεῖον τῇ καινότητι τοῦ πνεύματος· καὶ τάχα ᾆσμα καινὸν ὁ ἠθικός ἐστι λόγος· ὕμνος δὲ, θεολογία.

v. 5. B. f. 145. Ματαιότητας ἡγητέον λέγειν αὐτὸν τὰς βιωτικὰς σπουδὰς, μανίας δὲ ψευδεῖς τὰς ψευδεῖς διδασκαλίας καὶ ψευδοπροφητείας· σημειωτέον δὲ ὅτι ὡς οὐσῶν ἀληθινῶν μανιῶν προσέθηκεν τὸ ψευδεῖς ταῖς μανίαις· τάχα γὰρ οἱ προφητικῶς κατεχόμενοι, ἀληθῆ ἔχουσιν μανίαν· οἱ δὲ ψευδομάντεις, μανίαν ψευδῆ.

v. 6. Διαλογισμοὺς θεοῦ λέγει τοὺς, ἵν' οὕτως εἴπω, ἐκλογισμοὺς τῶν κατὰ πρόνοιαν θεοῦ γινομένων· τούτοις οὖν φησὶν τοῖς διαλογισμοῖς σου οὐχ εὑρεθείη τίς τῶν γενητῶν ὁμοιούμενος τὸ μηδένα εἶναι τὸν γινώσκοντα νοῦν κυρίου.—Τὰ θαυμάσια καὶ οἱ διαλογισμοί σου· ὅταν γάρ τις περὶ βαθέος τινὸς διεξελθεῖν ἐθέλοι, τότε μᾶλλον ἀσαφέστερον εὑρήσει αὐτὸ ἢ πρότερον· εἶπα γὰρ, σοφισθήσομαι καὶ αὐτοὺς ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ οὖν καὶ βαθὺ βάθος τίς εὑρήσει αὐτήν;

v. 7. B. f. 146. Τούτους δὲ τοὺς στίχους ἐκ προσώπου τοῦ σωτῆρος εἰρῆσθαι, ἡ πρὸς Ἑβραίους ἐπιστολὴ φησὶ λέγουσα· διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· δίδωσιν ἀφορμὴν ὅλον τὸν ψαλμὸν ὡς ἐκ προσώπου τοῦ σωτῆρος εἰρημένον νοεῖν· θέλημα δὲ λέγει πατρὸς, καθ' ὃ ἦρε τὴν ἁμαρτίαν τοῦ κόσμου τυθεὶς ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας· ὡς ἂν ἀφέσεως γενομένης, μηκέτι χρεία τις ἢ τῆς περὶ ἁμαρτίας θυσίας.

Κεφαλίδα βιβλίου πᾶσαν τὴν θεόπνευστον γρα- v. 8. B. f. 146.
φὴν νομικήν τε καὶ προφητικὴν λέγει· ἐν ταύτῃ γὰρ γέγραπται περὶ τῆς δεῦρο φοιτήσεως τοῦ σωτῆρος· κεφαλίδα δὲ εἶπεν διὰ τὸ τὴν πᾶσαν εἰς ἓν ἀνακεφαλαιοῦσθαι. Ἔστι δὲ τὸ τὸν σωτῆρα ἄνθρωπον γενέσθαι, ὅπως ποιῆσαι τὸ θέλημα τοῦ κυρίου βουληθῇ. Ἀκύλας δὲ καὶ Σύμμαχος τὸ εἴλημμά φασιν· οὕτω δὲ τὰς θείας γραφὰς μέχρι καὶ σήμερον Ἰουδαῖοι κατασκευάζειν εἰώθασιν.

Σημειωτέον δὲ ὅτι τὸ συντρέχον βούλημα, ἐξ v. 9.
ἄλλου ἑτέρῳ θελήματι, παραστατικόν ἐστι τοῦ ὁμοούσιον εἶναι τὴν βουλευτικὴν ὑπόστασιν τῇ τοῦ θέλοντος οὐσίᾳ. Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου ἔγραψας αὐτὸν τῷ ἡγεμονικῷ μου· καὶ πᾶς δὲ ὁ κατὰ τὸν νόμον τὸν πνευματικὸν ποιωθεὶς, ἔχοι ἂν τὸν νόμον ἐν τῇ καρδίᾳ, τουτέστιν ἐν τῇ ἕξει τῇ ἑαυτοῦ· ἐκ μεταφορᾶς δὲ τοῦτο εἴρηκεν τῶν εὖ περί τινα διακειμένων, καὶ ἔνδον ἐφιεμένων ἐμβάλλειν τὸν ποθούμενον· λέγει τοίνυν ὅτι πᾶσαν ἔχω σπουδὴν τὰς σὰς πληροῦν ἐντολὰς, καὶ κατὰ σὸν πολιτεύεσθαι θέλημα· ταῦτα δὲ οὔτε τῷ Δαυὶδ, οὔτε ἄλλῳ τινὶ τῶν προφητῶν ἁρμόσει λέγειν· τοῦ νόμου κρατοῦντος, ὁλοκαυτώματα καὶ θυσίαι προσεφέροντο τῷ θεῷ· ὁ δὲ προφητικὸς λόγος ἐκβαλὼν πάντα τὰ τοιαῦτα, τὴν λογικὴν θυσίαν ὑπέδειξεν.

Μεγάλη ἡ ἐκκλησία ἡ ἐκ μεγάλων καὶ τελείων v. 10. B. f. 146.
συμπληρουμένη, ἐν ᾗ εὐαγγελίζεται δικαιοσύνην τὴν διὰ πίστεως Ἰησοῦ· ἔγνω δὲ αὐτοῦ ταύτην ὡς ἀποδεξάμενός τε καὶ οἰκειούμενος· ὡς ἀδιαστάτως δὲ ἀπαγγέλλων ἔφη, τὰ χείλη μου οὐ μὴ κωλύσω.

Δηλοῖ δὲ διὰ τούτων τὴν κατ' ἔλεον γενομένην v. 11. A. f. 204.
ἄφεσιν ἁμαρτιῶν· ἀλήθειαν δὲ τὴν ἀντιδιαστελλομένην τῇ σκιᾷ.

Ὁ τὰ καλὰ γινώσκων θεὸς, καὶ τὴν τοῦ λέ- v. 11.
γοντος ἔγνω δικαιοσύνην, ἀποδεξάμενος αὐτήν.

Πολλὴν συναγωγὴν τὴν ἀπὸ πάντων ἐθνῶν v. 11. B. f. 146.
συνηγμένην λέγει, ἐν ᾗ τὸν ἔλεον τοῦ θεοῦ καὶ τὴν ἀλήθειαν μετὰ παῤῥησίας ἐπαγγέλλων φη-

σὶ μὴ κεκρυφέναι αὐτά· καὶ τάχα ἔλεον μὲν ἐπαγγέλλει, δηλῶν τὴν κατ' ἔλεον γινομένην ἄφεσιν ἁμαρτιῶν· ἀλήθειαν δὲ, τὴν ἀντιδιαςελλομένην τῇ σκιᾷ.

v. 15. A. f. 205. b. Ἐπεὶ μονοπρόσωπος ὁ ψαλμὸς ὢν ἀπὸ Χριστοῦ λέγεται, ῥητέον καὶ πρὸς τοὺς μόνον σῶμα πεφορεκέναι τὸν κύριον λέγοντας, χρωμένους τῷ, τὸ σῶμα δὲ κατηρτίσω μοι, ὅτι καὶ ψυχὴν ὁμολογεῖ ἔχειν ἣν ζητοῦσιν ἀνώλεθριον οὖσαν ἐξᾶραι οἱ τούτῳ ἐσφαλμένως νομίζοντες· οὓς καὶ αἰσχυνθῆναι ἔχεται· ὥσπερ δὲ οἱ σπεύδοντες ἐπὶ τὴν ἀρετὴν, ἐντολὴν ἔχουσιν μὴ στραφῆναι εἰς τὰ ὀπίσω, ὀλέθριον γὰρ τοῦτο, οὕτως οἱ πρὸς τὰ κακὰ ἐπειγόμενοι, σπευδέτωσαν ἀποστρέφεσθαι εἰς τὰ ὀπίσω, ἀθετοῦντες τὴν φαύλην πρόθεσιν· τότε γὰρ καὶ τὸ ἐξ αἰσθήσεως αἰσχυνθῆναι ἕξουσιν.

PSALMUS XL.

v. 2. B. f. 149. Ἡμέρα πονηρὰ ἡ τῆς κρίσεως δύναται, ἐν ᾗ τὸν ἐλεήσαντα ἐλεῶν ὁ θεὸς, ῥύεται πάσης κολάσεως· τάχα δὲ καὶ πᾶς ὁ ἐνεστηκὼς βίος, ἡμέρα ἐστὶν πονηρὰ, ἐν ᾗ καὶ αὐτῇ ῥύεται κύριος ἀπὸ τῶν περιεστηκότων.

v. 4. Ibid. Ζώσει αὐτὸν τὴν ἀληθινὴν ζωὴν ἐν τῇ γῇ τῶν πράσεων.—Οὐ παραδίδοται δὲ εἰς ψυχὰς ἐχθρῶν αὐτοῦ ὁ κωλυόμενος εἶναι τοιοῦτος.

v. 4. B. f. 149. b. Ἐκ τούτων μανθάνομεν ὅτι νόσος καὶ τρῶσις ψυχῆς ἁμαρτία.

v. 5. Τὰ δ' ἑξῆς κυρίως ἁρμόττειν τοῖς περὶ τοῦ πάθους τοῦ σωτῆρος λόγοις πάντες φασίν· τὸ δὲ ἥμαρτόν σοι, ὅτι εἰς τοὺς σοὺς ὦ δέσποτα πεπαρώνηκα νόμους· πᾶσα γὰρ ἡμῶν ἡ ἁμαρτία καταφωρᾶται τοιαύτη.

v. 7. A. f. 207. Ἔξω τοῦ σωτῆρος καὶ τῆς τῶν ἀποστόλων καταστάσεως ἤδη γενόμενος ὁ Ἰούδας, ἀφ' οὗ προέθετο προδοῦναι τὸν διδάσκαλον, εἰσιὼν προσποιητῶς ὡς ἂν ἔτι ἀπόστολος, μάτην ἐλάλει, ῥαββὶν καὶ διδάσκαλον προσαγορεύων τὸν Ἰησοῦν, τῆς καρδίας αὐτοῦ ἀνομίαν συναγούσης· βαλόντος γὰρ τοῦ διαβόλου εἰς τὴν καρδίαν αὐτοῦ φιλοχρηματίαν, ἐπισυνήγαγε καὶ τὸ προδοῦναι τὸν Ἰησοῦν· οὗτος δὲ καὶ ἐκπορευόμενος, τουτέστιν ἔξω γενόμενος τῆς Ἰησοῦ μαθητείας, ἐλάλει ἐπὶ τὸ αὐτὸ τοῖς Φαρισαίοις κατὰ τοῦ σωτῆρος· καὶ ἐπεὶ λάθρα συνετίθεντο τὸ περὶ τῆς δόσεως τῶν τριάκοντα ἀργυρίων, κατ' αὐτὸν ἐψιθύριζον . . . τὸ γὰρ ψιθυρίζειν, ἀπαῤῥησίαστον φθέγμα· ἐλογίσαντο δὲ κακὰ, περιβαλεῖν τὸν σωτῆρα θανάτῳ διανοούμενοι, λόγον παράνομον κατέθεντο κατ' αὐτοῦ· τὸ γὰρ αγοράζειν καὶ πιπράσκειν αἷμα ἀθῶον, παρανόμου συνθήκης ἔργον.

Θαυμαστὸν οὐδὲν, ἐρεῖ ὁ σωτὴρ, εἰ οἱ ἐχ- v. 10. Ibid.
θροί μου κατέθεντο κατ' ἐμοῦ τοιαῦτα· καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης ὁ εἰρηνεύων μοι, καὶ τὴν ὑπὲρ ἐμοῦ εἰρήνην σπουδάζων, ἐφ' ᾧ καὶ θαρσῆσαι ἐλπίσαντα ἐπ' αὐτὸν συνέβαινον . . . ὁμοδίαιτός μοι γὰρ τυγχάνων, καὶ τῶν αὐτῶν ἁλῶν μεταλαμβάνων, μᾶλλον δὲ τοὺς ἐμοὺς ἄρτους ἐσθίων, ἐπ' ἐμὲ τὴν πτέρναν πολεμίως ἐπῆρεν, φάσκων δολερῶς, χαῖρε ῥαββί· καὶ εἴ τι ἄλλο πανουργευόμενος εἶπεν· σαφῶς τοίνυν ἐνταῦθα περὶ τοῦ Ἰούδα φησὶν ἐν τοῖς πρὸ τούτου ἐπικεκαλυμμένως περὶ αὐτοῦ διηγούμενος.

Διὰ τοῦ ἀντεισάξαί μοι ἀντὶ τοῦ ἀποβληθέν- v. 13. B. f. 151.
τος ἕτερον λαὸν, καὶ ἀντὶ Ἰούδα Ματθίαν· ἀλλὰ καὶ ἀνάςησόν με ὅπως ἀνταποδώσω αὐτοῖς τῆς ἀνταποδώσεως πρὸς καλοῦ αὐτοῖς γενησομένης.

Εὐλογούμενος μέν ἐστιν ὅταν ὦσιν οἱ εὐλο- v. 14. B. f. 151. b.
γοῦντες· εὐλογητὸς δὲ τουτέστιν ἄξιος τοῦ εὐλογεῖσθαι αἰωνίως εὐλογητοῦ τοῦ θεοῦ Ἰσραὴλ ὄντος ἐπεύχεται τὸ γένοιτο, γένοιτο· οὐχ ὅτι ἡ εὐχὴ, εὐλογητὸν τὸν θεὸν ποιεῖ· ὥσπερ οὐδὲ τὸ ὄνομα τοῦ θεοῦ ἁγιάζει ἡ εὐχὴ τῶν λεγόντων ἁγιασθήτω τὸ ὄνομά σου· εἴρηται δὲ περὶ τούτων ἐν ἀνωτέροις.

PSALMUS XLI.

Τρεῖς δὲ ἦσαν οἱ υἱοὶ Κορὲ τεταγμένοι μετὰ v. 1. A. f. 209. B. f. 152.
ἄλλων εἰς τὸ ᾄδειν τοὺς θείους ψαλμοὺς, οὓς καὶ ᾠδοὺς ἡ γραφὴ καλεῖ, ὧν καὶ τὰ ὀνόματα φέρεται ἐν παραλειπομέναις· οὗτοι οὖν οἱ τρεῖς τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ κατηρτισμένοι, ἑνωθέντες τῷ περὶ πάντα συμφώνως ἔχειν, ἑνικῶς τὰ ἐν τῷ προκειμένῳ ψαλμῷ προφέρονται πάντα.

v. 2. A. f. 210. b. B. f. 156. Θεία πηγὴ ὁ πατὴρ εἰπὼν, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος· καὶ ὁ σωτὴρ περὶ οὗ εἴρηται πρός τινα, ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας· καὶ τὸ ἅγιον πνεῦμα ὑπὲρ οὗ ἀπήγγελται τὸ, ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον· τάχα δὲ καὶ πᾶσα θεόπνευστος γραφὴ, πηγαὶ σωτήριοι τυγχάνουσιν· ὁμοιοῦται οὖν ἡ πρόθεσις τοῦ σπουδαίου πρὸς τὸν θεὸν, τῷ πρὸς τὰς πηγὰς τῶν ὑδάτων πόθῳ τῆς ἐλάφου· καὶ ἐπεὶ οἶδεν ἐν τῷ παρόντι βίῳ δι' ἐσόπτρου προσβάλλοντα αὐτὸν τῷ θεῷ, τοῦ πρόσωπον πρὸς πρόσωπον ἀποκειμένου εἰς τὰ μετὰ ταῦτα, εὔχεται ἐνστῆναι καιρὸν, καθ' ὃν ἐλθὼν ὀφθείη τῷ προσώπῳ τοῦ θεοῦ· καὶ ἔτι ἐπεὶ σκιὰν καθόλου περιέχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν ἐστιν καὶ αἱ ἑορταὶ καθ' ἃς ὠπτάνετο τὰ ἀρσενικὰ τῷ προσώπῳ τοῦ θεοῦ, σκιὰ καὶ σύμβολά εἰσιν μελλουσῶν ἑορτῶν, εὔχεται ἐλθεῖν εἰς τὰς πνευματικὰς ἑορτὰς, ὅπως, τελείως ὀφθῇ τῷ προσώπῳ τοῦ θεοῦ· οὐχ ἑτέρου τυγχάνοντος τῆς εἰκόνος τοῦ θεοῦ τοῦ ἀοράτου.

v. 2. B. f. 152. b. Ἡ ἔλαφος τὸ ζῶον πολεμίως ἔχουσα πρὸς τοὺς ὄφεις καὶ ἐσθίειν αὐτοὺς, εἴ ποτε φαγοῦσα ἀπὸ τοῦ δίψους φλέγοιτο τοῦ ἐγγινομένου ἀπὸ τοῦ ἰοῦ ὧν ἔφαγεν ἑρπετῶν, ζητεῖ διὰ σπουδῆς πηγὰς ὑδάτων, ἐπὶ τὸ ἀκέσασθαι τὸ δίψος· εἰσὶ δὲ λέγοντες ὅτι καὶ ἐσοπτρίσασθαι θέλουσα ἐν τοῖς ὕδασιν, ἰχνεύει τὰς πηγὰς, ὅπως ἴδῃ τὸν περὶ αὐτὴν γενόμενον μολυσμὸν ἐκ τοῦ αἵματος τῶν ὄφεων, ἵν' ἀπονίψηται αὐτόν· ἐν γὰρ τῷ σπαράττεσθαι τοὺς ὄφεις, ἀποσειόμενοι ῥαντίζουσιν εἰς αὐτὴν τὸ ἴδιον αἷμα· καὶ ὁ ἅγιος οὖν ἀναιρῶν τοὺς ὄφεις καὶ σκορπίους, καθὼς ἔσχεν ὑπὸ Ἰησοῦ ἐξουσίαν ἀλλὰ καὶ ἐκδικῶν πᾶσαν παρακοὴν, πνευματικὸς ὢν ἔλαφος, σπεύδει ἀνιχνεύειν θείας πηγὰς ὑδάτων.

v. 4. B. f. 153. b. Ὁ μὴ μάτην δακρύων ἀλλ' ἀπὸ διαθέσεως, τῷ ὑπὲρ ἀρετῆς πονεῖν, ἐκεῖνος τὰ δάκρυα αὐτοῦ ἄρτου δίκην τραφήσεται, οὐκ ἐν τοῖς ἀνετικοῖς μόνοις, ἃ ἡμέραν καλεῖ, ἀλλὰ καὶ ἐν τοῖς περιστατικοῖς, ἃ νύκτα ὀνομάζει.

Τελείου δ' ἐστὶν τὸ δύνασθαι τοῦτο λέγειν· v. 4. ἐπείπερ ὁ ἀτελὴς, ταραχῆς ἐμπιμπλάμενος ὑπὸ τῶν ἔξωθεν ταραττόντων, ἔξω τὴν ἑαυτοῦ ψυχὴν ἐκχεῖ ἀσχημονῶν καὶ ἐλεγχόμενος παρὰ τοῖς πᾶσιν, διά τε τῆς φωνῆς αὐτῆς, καὶ δι' ὧν προφέρεται λόγων τὴν ἑαυτοῦ ψυχὴν ἀπογυμνῶν.

Οἱ περὶ πάντα ἠπατημένοι σφάλλονται καὶ v. 4. περὶ τὸ νομίζειν τὸν θεὸν ἐν τόπῳ εἶναι· ὀνειδίζοντες γοῦν λέγουσιν, ποῦ ἐστιν ὁ θεός σου;—

Μετὰ γὰρ τῆς ἐπιθυμίας ταύτης ἐπέτεινέ μοι v. 6. τὴν ἀθυμίαν καὶ τὸ ὀνειδίζεσθαι παρὰ τῶν κατεχόντων ὡς οὐκ ὄντος τοῦ βοηθοῦντος· καὶ πρὸς τούτοις ἡ μνήμη τῶν ἐπιτελουμένων ἐν τοῖς τόποις ἐκείνοις εἰς θεραπείαν σήν· τὸ δὲ, ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, ἀντὶ τοῦ ἀπὸ τῆς ἀθυμίας διελυόμην.

Εἰ γενοίμην ἐν τῇ γῇ τοῦ Ἰορδάνου, τουτέ- v. 7. A. f. 215. b. B. f. 154. b. στιν εἰ ἀξιωθείην τοῦ ἁγίου βαπτίσματος, τὸ τηνικάδε σου μνησθήσομαι· διερμηνεύουσι δὲ καὶ τὸ Ἑρμωνιεὶμ, ὁδὸς λύχνου, ὡς τοῦ ἁγίου βαπτίσματος ὁδὸν αὐτοῖς ἀνοιγνῦντος φωτισμοῦ καὶ αὐγῆς τῆς εἰς νοῦν καὶ καρδίαν.

Καταῤῥάκται τοῦ θεοῦ οἱ περὶ αὐτοῦ βαθύ- v. 8. A. f. 216. B. f. 155. b. τατοι λόγοι, ἢ οἱ θεῖοι, προφῆται· ἢ τοῦ τοίνυν Ἰησοῦ διδασκαλία, ἄβυσσος οὖσα, ἐπικαλεῖται τὴν ἄβυσσον ἐκ τῆς παλαιᾶς γραφῆς· τάχα δὲ καὶ ἐπεὶ τὰ κρίματα ἑτέρων εἴρηται κριμάτων, κἀκεῖνα ἄλλων πάντων ἀπὸ τοῦ λόγου τοῦ θεοῦ, ὃ εἴρηται μικρόν· ὄρος γὰρ μέγα, φησὶν, ὁ θεὸς λόγος· ὄρος δὲ μικρὸν δι' ἣν ὑπέμεινεν ἐθελούσιον κένωσιν δι' ἡμᾶς. Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον· θαλάττης τροπικῶς ὄντος τοῦ ἀνθρωπίνου βίου, ὁ μὴ ναυαγῶν ἐν αὐτῇ, ἀλλὰ κατ' ὀρθὸν πλέων, πεῖραν τρικυμιῶν καὶ τῶν ἀπὸ χειμῶνος τῆς θαλάττης ἔχων, ἐπὶ τὸν λιμένα τῆς σωτηρίας ἐλθὼν ἐρεῖ τὸν στίχον· οὐ γὰρ εἶπεν ἐπ' ἐμὲ διέρχονται, ἀλλὰ διῆλθον.

Παῤῥησιαζομένου ἡ φωνή· ὁ γὰρ λέγων, διὰ v. 10. A. f. 218. τί μου ἐπελάθου, θαῤῥεῖ μηδὲν πεποιηκὼς, δι' ἃ ἐπιλανθάνεται θεός· καὶ ἐπεὶ ἐκθλίβοντος ἐχθροῦ, σκυθρωπάζων πορεύομαι, πυνθάνομαι τί

τὸ αἴτιον τούτου· ἵν᾽ εἰ ἐξ ἐμοῦ εἴη, ἀναιρήσω
B. f. 155. b. διὰ μετανοίας αὐτό· πάντες γὰρ διειλήφαμεν περὶ
θεοῦ φανερῶς, ὡς ἐλεήμονος· εἰ καὶ μὴ πάντες
ὁρῶμεν πῶς ἐλεεῖ· πολλάκις γὰρ τὰ κατὰ ἐλεη-
μοσύνην αὐτοῦ γινόμενα τῷ ἐπίπονα εἶναι, οὐχ
ἡδέως ἔχοντες, οὐδ᾽ ἔλεον εἶναι νομίζομεν· καὶ
διὰ τοῦτο λέγομεν, ἵνα τί μου ἐπελάθου; ὁ δὲ
διειληφὼς ὅτι πᾶν ὃ ἐπαγάγῃ ὁ θεὸς, συμφε-
ρόντως ἐπάγει, οὐδὲν ἐρεῖ τοιοῦτον, εἰ μὴ τὴν
μετάνοιαν ἑαυτοῦ πραγματευόμενος.

v. 11. A. f. 218. B. f. 156. Ὀστᾶ δὲ ψυχῆς διὰ τῶν προαγόντων καὶ τὰ
εὔτονα αὐτῆς δόγματα καὶ αἱ δυνάμεις εἴρηνται·
ἐπεὶ οὖν λαμβάνει πολλάκις ὑπὸ δεινῶν σοφιστῶν
καταθλᾶσθαι τὰ ὀστᾶ, ὀνειδίζουσιν οἱ ἀπατεῶ-
νες, οὐκ ἄλλα λεγόντες ἢ ποῦ ἐστιν ὁ θεός σου;
ἐφ᾽ ᾧ ηὔχεις λέγων τῇ σοφίᾳ αὐτοῦ πεπαιδεῦσθαι·
ἀλλὰ καὶ περὶ τούτου τοῦ πάθους πρὸς τὴν ἑαυτοῦ
ψυχὴν διαλέγεται φάσκων· ἵνα τί περίλυπος εἶ;
ἐλπίσας γὰρ ἐπὶ κύριον ἐξομολόγησαι· πάντως
γὰρ ἐπιλάμψει σοι τὸ πρόσωπον αὐτοῦ, οὐκ ἄλλο
ὂν τῆς ἀληθείας, ὡς ἔχοντά σε τὴν ἐκ θεοῦ ἀλή-
θειαν λύειν δύνασθαι τὰς ἀπάτας τῶν καταθλα-
σόντων τὰ προκείμενά σου ὀστᾶ.

PSALMUS XLII.

v. 1. A. f. 219. b. B. f. 157. Τὸ πρόσωπον τοῦ σωτῆρος παρεισήγαγεν λέ-
γον πρὸς τὸν πατέρα τὰ ἐν τῷ ψαλμῷ· καὶ ἔθ-
νος μὲν οὐχ ὅσιον, τοὺς Ἰουδαίους ὀνομάζον·
ἄδικον δὲ καὶ δόλιον, τὸν Ἰούδαν· ἀλλ᾽ οὐκ ἐδυ-
νήθη συναρμόσαι τοῖς ἑξῆς τὰ λεγόμενα· πῶς
γὰρ οἷόν τε ἦν αὐτὸν λέγειν, ἐξαπόστειλον τὸ
φῶς σου, καὶ τὴν ἀλήθειάν σου, καὶ τὰ ἑξῆς;

v. 3. B. f. 157. b. Ἐπεὶ φῶς ἀληθινὸν ὁ σωτὴρ καὶ αὐτὸς ἡ
ἀλήθεια εἶναι φησὶν, οἱ πρὸ τῆς ἐπιδημίας ἄν-
θρωποι ἐκ τῶν προφητευομένων μαθόντες ὡς ἐπι-
λάμψει τὸ φῶς καὶ ἡ ἀλήθεια τοῦ θεοῦ, παρε-
κάλουν ἀποσταλῆναι διὰ τῆς ἐνανθρωπήσεως τὸ
φῶς καὶ τὴν ἀλήθειαν, ὅπως ὁδηγηθῶσιν ὑπ᾽ αὐ-
τῶν ἐπὶ τὸ ὄρος τὸ ἅγιον, τὸν περὶ τῆς τριάδος
ὑψηλότερον λόγον, καὶ τὰς αἰωνίους σκηνάς·
οὐχ ἕτερον δὲ τὸ φῶς τῆς ἀληθείας κατ᾽ οὐσίαν·
ἀμφότερα γάρ ἐστιν ὁ τοῦ θεοῦ υἱὸς ἀλλ᾽ ἐπι-
νοίᾳ μόνῃ· ἡ γὰρ, σκιᾶς καὶ ψεύδους ἐλευθε-
ροῖ· ἡ δὲ, πλάνης καὶ ἀγνοίας φῶς ἐστιν.

Τὸ εἰσελεύσομαι οὐ παρέργως εἴρηται· ὁ γὰρ v. 4. B. f. 158.
ἀπὸ τοῦ αἰσθητοῦ θυσιαστηρίου φαντασίαν τοῦ
νοητοῦ λαβὼν, εἴσεισιν πρὸς αὐτὸν τὸν θεὸν
ἀοράτως ἐπ᾽ αὐτῷ ἀναφέρων θυσίας.

PSALMUS XLIII.

Οἱ δὲ διαβάλλοντες ὡς οὐκ ἀκριβῆ τὴν γρα- v. 2. B. f. 159.
φὴν φασί· τίνι γὰρ εἶχον ἀκούειν ἢ τοῖς ὠσίν;
ἀγνοοῦντες, ὡς οὐ κοινοῖς ὠσὶν ἀλλὰ τοῖς ἀνθρώ-
πων φησὶν ὅσοι λογικῶς ἀκροῶνται· ὡσεὶ καὶ
μουσικοὶ ἄνδρες μαθήματα μουσικὰ τοῖς τῶν μου-
σικῶν ὠσὶν παρεδίδοσαν· ὁποῖόν ἐστιν τὸ, ὁ
ἔχων ὦτα ἀκούειν ἀκουέτω· λέγοις δ᾽ ἂν πατέ-
ρας καὶ τοὺς κατὰ παίδευσιν.

Κακώσας τοὺς ἐκ περιτομῆς λαοὺς ὁ θεὸς, v. 3. A. f. 223.
ἐξέβαλεν ἐκ τῆς ἱερᾶς τοῦ νόμου παιδεύσεως· οὐ B. f. 159. b.
νόμῳ δὲ πολέμου νικήσαντες οἱ ἀπὸ τῶν ἐθνῶν
πιστεύσαντες ἐκληρονόμησαν τὴν ἔναγχος εἰρη-
μένην γῆν· οὐδὲ ὁ βραχίων αὐτῶν ἔσωσεν αὐ-
τοὺς, τουτέστιν ἡ ἐργασία αὐτῶν· χάριτι γὰρ
τὴν σωτηρίαν ἐσχήκασιν ὑπὸ τῆς σῆς δεξιᾶς
καὶ τοῦ βραχίονος, τουτέστι τοῦ μονογενοῦς υἱοῦ·
φωτισμὸς δὲ ὁ φωτίζων πρόσωπόν σου τυγχά-
νον· ὅτι ηὐδόκησας ἐν αὐτοῖς τοῦ σῶσαι αὐτοὺς
τῇ χάριτι, οὐκ ἐξ ἔργων αὐτῶν, ἵνα μὴ καυ-
χήσονται.

Τὰς τοῦ Ἰακὼβ σωτηρίας τοῦ πτερνίζοντος v. 5. A. f. 224.
τὰ φαῦλα καθ᾽ ἃ σώζεται, ἐντέλλεται ὁ θεὸς B. f. 160.
τοῖς ἁγίοις πνεύμασιν, τοῖς εἰς διακονίαν ἀπο-
στελλομένοις διὰ τοὺς μέλλοντας κληρονομεῖν σω-
τηρίαν.

Κέρατα δὲ τοῖς ἁγίοις καὶ αἱ τοῦ Χριστοῦ v. 6. Ibid.
δυνάμεις εἰσὶν, καθ᾽ ἃς τοὺς ἐχθροὺς αὐτῶν
κερατίζουσιν· διὸ καὶ πάντα τὰ ζῶα τὰ κέρασι
χρώμενα καθαρὰ ὄντα, ἢ ἐπὶ τὸν θεῖον βωμὸν
ἀπάγεται, ἢ τροφὴ τῇ μερίδι τοῦ θεοῦ τυγχάνει.

Ὅλην τὴν ἡμέραν ἐν τῷ θεῷ εἶπεν ζωὴν, v. 9. B. f. 160. b.
ἥτις συνέστηκεν ἀπὸ ἀπαθείας καὶ γνώσεως θεοῦ.

Ἀπωθεῖται ὁ θεὸς ἀφ᾽ ἑαυτοῦ οὐ πάντως δι᾽ v. 10. A. f. 225. b.
ἁμαρτίας, ἀλλὰ καὶ δι᾽ ἄλλας ἃς οἶδεν αὐτὸς B. f. 161.
αἰτίας· οὐ πᾶς δὲ ὁ εἰς τὰ ὀπίσω ἀποστρεφό- v. 11.

μενος ψεκτῶς τοῦτο ὑφίσταται· εἰ γάρ τις τὰ φαῦλα καταλιπὼν, μακρὰν φύγοι ἀποχωρῶν ἀπ' αὐτῶν, οὗτος εἰς τὰ ὀπίσω στραφεὶς ἐφ' ἃ καταλέλοιπεν, ὀλέθρῳ περιπίπτει· εἰ δέ τις τὴν Σιὼν τουτέστι τὴν ἀρετὴν καταλείψας, ἐπείγοιτο ἐπὶ τὴν κακίαν, Βαβυλῶνα καλουμένην, ἀποστρεφόμενος εἰς τὰ ὀπίσω, μακάριον ἀναδέχεται πρᾶγμα· πλὴν οἱ τὰ προκείμενα λέγοντες ἐπεὶ παρὰ τοῖς ἐχθροῖς γεγόνασιν, εἰς τὰ ὀπίσω ἀποστραφέντες ψεκτοὶ περιέπεσον.

v. 12. Ἐοίκασιν οἱ ταῦτα λέγοντες ἅγιοι τινὲς ὄντες, παραπλησίως τῷ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγομένῳ δεδόσθαι, ὡς πρόβατα βρώσεως τροφὴ γινόμενοι τοῖς ἐπ' ὠφελείᾳ τοὺς λόγους καὶ βίον αὐτοῖς προσιεμένοις· ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν οὗτοι ὑπὸ θεοῦ διεσπάρησαν, δίκην σπέρματος, γεωργικῶς καταβαλλόμενοι, ἵνα μεταποιήσαντες τὰ ἔθνη εἰς τὴν αὐτὴν αὐτοῖς ποιότητα ἀγάγωσιν· οὐ γὰρ προσεκτέον τοῖς λέγουσιν διεσπάρθαι ἐν τοῖς ἔθνεσιν τὴν τοῦ θεοῦ μερίδα αἰχμαλωσίας τρόπῳ.

v. 16. B. f. 162. Ἐπεὶ τοῖς προειρημένοις ἀπευκτέοις ὑπεπέσαμεν· διὰ βίου ἐντρεπόμενοι ὅλην τὴν ἡμέραν ἐναντίον τὴν ἐντροπὴν ἑαυτῶν ἔχομεν, τῆς αἰσχύνης τοῦ προσώπου ἡμῶν καλυπτούσης ἡμᾶς, ὡς μηκέτι παῤῥησίαν ἔχειν ἀνακεκαλυμμένῳ τῷ προσώπῳ τῆς ψυχῆς κατοπτρίζεσθαι τὴν δόξαν κυρίου.

v. 17. B. f. 162. Ἐκ τῆς τοῦ ὀνειδίζοντος καὶ δίκην παραπαίοντος καὶ παρακαλοῦντος, ὅλην ἐντροπὴν τὴν ἡμέραν εἶναι κατενώπιον ἑαυτοῦ θεωρεῖ· ἀπὸ δὲ τοῦ ἐπιδεικνύντος ἑαυτοῦ φοβερὸν τὸ πρόσωπον ἐκδιώκοντος ἐχθροῦ ἡ αἰσχύνη ἐκάλυψεν τὸ πρόσωπον αὐτῶν.

v. 18. B. f. 162. Τελείαν ἀνδρείαν ἀναλαβόντων ἡ φωνή· πολλῶν γὰρ καὶ διαφόρων θλίψεων ἐπ' αὐτοὺς ἡκουσῶν καὶ ἐκβιαζομένων ἐπιλαθέσθαι τοῦ θεοῦ, ἐξεναντίας αὐτῶν ἀνεπόλουν θεόν· ὡς ἕκαστον εἰπεῖν, ἐν θλίψει τοῦ κυρίου ἐμνήσθην.

v. 19. A. f. 226. b. B. f. 162. b. Ἐκκλίνει τὰς τρίβους τινὸς ὁ θεὸς ἐκ τῆς ἑαυτοῦ ὁδοῦ, παραδιδοὺς αὐτὸν ταῖς ἐπιθυμίαις τῆς καρδίας ἑαυτοῦ καὶ εἰς ἀδόκιμον νοῦν.

Τόπος κακώσεως ὁ περὶ γῆν καὶ ὁ καταχθό- v. 20. B. f. 163.
νιος χῶρος, ἔνθα ταπεινοῦνται οἱ πεῖραν ἔχοντες τοῦ σώματος τοῦ θανάτου 1). — Τὰς ἐν καρδίᾳ τυπώσεις, ἃς καὶ ἑξῆς προσαγορευτέον.

Εἰ μὲν τροπικῶς ταῦτα λέγοιτο, τὸ δηλού- v. 26. B. f. 163. b.
μενον ἐστὶν τοιοῦτο· ἐπεὶ χοῦν περικείμεθα τῶν ἐξ ἡδονῶν καὶ τῶν ἄλλων παθῶν συγκείμενον, διὰ τοῦτο ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν χαμαιριφῶν γενομένων· ἀλλὰ καὶ εἰς γῆν ἐκολλήθη ἡ γαστὴρ ἡμῶν, οὐδὲν οὐράνιον τρεφομένων, ἀλλὰ κατὰ τὸν ὄφιν γῆν ἐσθιόντων πάσας τὰς ἡμέρας τῆς ζωῆς ἑαυτῶν· εἰ δὲ πρὸς ἀλληγορίαν ἐξηγηθείη τὸ προκείμενον εἰς τὸ σῶμα ἐμβατεύουσα ἡ ψυχὴ ἐρεῖ, ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν· αὕτη καὶ τῆς μακαρίας ζωῆς τῆς ἐπουρανίου ἐκπεσοῦσα ἐν τῷ τὰ κάτω φρονεῖν, ἐρεῖ τὸ, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν· οὐκ ἄλλα γὰρ τῶν γηΐνων τρέφεται.

Λέγει ἐνταῦθα καὶ πρὸς τὸν σωτῆρα, ἐν τῇ v. 27. B. f. 164
καρδίᾳ τῆς γῆς διατρίβοντα κατὰ τὸν τοῦ πάθους καιρόν· ἵνα ἀναστὰς, ἀρωγὴν παράσχοι καὶ λύτρα, διδοὺς τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

PSALMUS XLIV.

Διδύμου καὶ Εὐσεβίου. Τινὲς ᾠήθησαν ἐκ v. 1. A. f. 230. B. f. 164. b.
προσώπου τοῦ πατρὸς λέγεσθαι τὴν ᾠδὴν περὶ τοῦ ἐν ἀρχῇ ὄντος πρὸς αὐτὸν λόγου, ὃν ἐκ τῆς οἱονεὶ καρδίας ἢ αὐτῶν τῶν σπλάγχνων, φησὶν, προήγαγεν, καὶ ἀπὸ ἀγαθῆς καρδίας ἀγαθὸς λόγος προῆλθεν· ἐμοὶ δὲ δοκεῖ ταῦτα ἐπὶ τὸ προφητικὸν ἀναφέρεσθαι πρόσωπον· τὸ γὰρ ἐφεξῆς τοῦ ῥητοῦ, οὐκέτι ὁμοίως ἐξομαλίζει ἡμῖν τὴν περὶ τοῦ πατρὸς ἐξήγησιν· οὔτε γὰρ ἂν περὶ τῆς ἑαυτοῦ γλώσσης ὁ πατὴρ εἶπεν ὅτι ἡ γλῶσσα μου κάλαμος γραμματέως ὀξυγράφου· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· οὐ γὰρ ἐκ τῆς πρὸς τοὺς ἀνθρώπους συγκρίσεως τὴν ὑπεροχὴν τοῦ κάλλους ἔχει· καὶ προϊὼν δὲ φησίν· διὰ τοῦτο ἔχρισέν σε ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως· οὐ γὰρ εἶπεν ἔχρισα σε ἐγὼ ὁ θεὸς, ἀλλ' ἔχρισέν σε· ὥστε ἐκ τούτου παρίστασθαι ἑτε-

1) Animadverte Didymi testimonium de inferiorum poenis.

ρον εἶναι τὸ διαλεγόμενον πρόσωπον· ποῖον οὖν ἐστιν τοῦτο, ἢ ὁ προφήτης ὁ χωρήσας τὴν τοῦ ἁγίου πνεύματος εἰς ἑαυτὸν γενομένην ἐνέργειαν; ἐξηρεύξατο, φησὶν, ἡ καρδία μου λόγον ἀγαθόν.

v. 2. B. f. 165. Γραφέα μὲν ἐρεῖ τὸν Θεὸν λόγον, ἐγγράφοντα ταῖς διανοίαις τοὺς θείους αὐτοῦ νόμους· κάλαμον δὲ τοῦ ὀξυγράφου γραφέως ὃν ἀνέλαβεν γράψαντα ἄνθρωπον τὸν λόγον τοῦ εὐαγγελίου ἐν ἁπάσῃ γῇ τουτέστιν ψυχῇ ἀνθρώπου.

v. 3. B. f. 166. Γραφόντων καὶ αὐτῶν παιδεύσεις τινάς· ὡς γὰρ ὁ λόγος τοῦ εὐαγγελίου κόκκῳ συνάπεως παραβαλλόμενος, εἰ γεωργίας τύχοι, μείζων γίνεται τῶν ἀνθρωπίνων λόγων, λαχάνων διὰ τὸ πρόσκαιρον ὀνομαζομένων, οὕτως ἃ γράφει ὁ τοῦ Θεοῦ λόγος καλάμῳ ἰδίῳ καιρίως ἐπιδείκνυται αὐτὰς παρὰ τὰς τῶν ἀνθρώπων συγγραφάς.

v. 3. A. f. 236. B. f. 166. b. et 167. b. Ἐπεὶ περὶ τὸν μηρὸν ἐνεργεῖται τὰ γενέσεως πράγματα, φύονται δὲ περὶ ταῦτα αἰσχραὶ ἐπιθυμίαι, χρεία τοῦ τιμητικοῦ λόγου ῥομφαίας ὀνομαζομένου, ἵνα περὶ τὸν μηρὸν ζωσθεὶς ἐκτέμνοι τὰς ἀκολάστους ἡδονάς· ὁ σωτὴρ οὖν κατὰ τὸν ἄνθρωπον τύπον ἀρίστης πολιτείας καταβαλλόμενος ὑπὲρ αὐτοτελοῦς ἁγνείας περιζώννυται ῥομφαίαν ἐπὶ τὸν μηρὸν αὐτοῦ· ὡραιότητα ἔχων καὶ κάλλος διὰ τὴν προσοῦσαν ἐν ἀναμαρτησίᾳ ἀρετήν· ὅτι δὲ σύμβολον ὁ μηρὸς τῶν προειρημένων, ἤδη προείρηται· δύναται ὁ γενόμενος σὰρξ λόγος, ᾗ μὲν λόγος, ῥομφαία εἶναι· ᾗ δὲ σὰρξ, μηρὸς τῷ ἐκεῖθεν τὴν ἀρχὴν ἔχειν τὴν σάρκα· οὗτος δὲ, πρὸς ὃν ὁ λόγος, πᾶσαν ἀσθένειαν διαφυγὼν δυνατός ἐστι τὴν φαιδρότητα τῆς θεότητος, κάλλος καὶ ὡραιότητα ἔχειν.

v. 5. B. f. 167. Ἐντείνας δὲ οἷα τοξότης ἄριστος τόξον, κατευοδοῦ τιτρώσκων εἰς ἔρωτα θεῖον τοὺς βαλλομένους· ἀναγνωστέον δὲ καὶ κατευόδου, ἴσον τῷ εὐοδίαν πάρεχε· καὶ πρὸς τούτοις βασίλευε τῶν βεβλημένων πόθῳ· ἡ δὲ αἰτία τοῦ βασιλεῦσαί σε, τελειότης ἀρετῆς ἐστιν, οὐκ ἐν πράξει μόνῃ ἀλλὰ καὶ γνώσει· τὸ γὰρ ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης, τοῦτο σημαίνει· βασίλευε γάρ, φησιν, ἕνεκα τοῦ γνωσθῆναι τὴν ἀλήθειαν, καὶ πρᾳότητα, καὶ δικαιοσύνην κατορθωθῆναι τοῖς ὑπὸ τὴν σὴν ἀρχήν. Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· ὁ κατὰ Θεὸν πάντα πράττων, ὑπὸ τῆς τῶν καλῶν πρακτικῆς δυνάμεως, δεξιᾶς οὔσης, θαυμαστῶς ὁδηγεῖται, ἡγεμονίᾳ αὐτῆς χρώμενος τῆς ἐπὶ τὸν σωτῆρα ὁδοῦ· καὶ ὁ σωτὴρ οὖν ἐπιτελῶν δεξιῶς παραδόξους δυνάμεις, ὑπὸ δεξιᾶς αὐτοῦ θαυμαστῶς ὁδηγεῖται.

Καὶ φαύλην στάσιν ἔχοντα τῷ ἐν κακοῖς ἱδρῦ- v. 6. A. f. 237. b.
σθαι πληγέντα τούτοις τοῖς βέλεσιν, ὑποκάτω αὐτοῦ πεσεῖν, τουτέστιν ὑποταγῆναι αὐτῷ καὶ ὑπ' αὐτὸν γεγονέναι. Οἱ ἐχθροὶ τοῦ βασιλέως Χριστοῦ πάντες οἱ ἁμαρτάνοντες· ὅταν οὖν ἐν τῇ καρδίᾳ τούτων τὰ προειρημένα βέλη γένηται, πίπτουσιν ἀπὸ τῆς ἔχθρας, τὸν βασιλέα γονυπετοῦντες· ἢ τάχα οἱ ἑστηκότες ἐν τῇ καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως κατὰ τὸ βούλημα τῆς ἔχθρας αὐτῶν βεβαιούμενοι, βληθέντες ὑπὸ τῶν βελῶν γενήσονται ὑπὸ Χριστὸν, τῇ καρδίᾳ τῶν ἐχθρῶν αὐτοῦ καταπεσόντες.

Εἰ δὲ εἴη πρὸς τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ v. 8. A. f. 239. B. f. 168. b.
ταῦτα, ὁ υἱὸς τοῦ Θεοῦ μισήσας τὴν πρὸ τῆς ἐπιδημίας αὐτοῦ πολιτευομένην ἀνομίαν, ἀγαπήσας δὲ τὴν ἐκ τῆς παρουσίας αὐτοῦ φυομένην ἐκ πίστεως δικαιοσύνην, ἐπιδέδωκεν ἑαυτὸν εὐδοκίᾳ πατρικῇ ἄνθρωπος γενέσθαι, καὶ χρισθῆναι ἐλαίῳ ἀγαλλιάσεως, τουτέστιν τῷ ἁγίῳ πνεύματι.

Βασιλεῖς ἐνταῦθα ῥητέον τοὺς Χριστῷ συμ- v. 10. B. f. 170.
βασιλεύοντας, ὧν αὐτὸς βασιλεὺς βασιλευόντων· τούτων θυγατέρες γεγόνασιν κατὰ διδασκαλίαν, ἃς παιδεύουσιν ψυχάς· μᾶλλον δὲ ἐκκλησίας, αἵπερ θυγατέρες ἐν τιμῇ τοῦ ὑμνουμένου οὖσαι ηὔφραναν τὸν βασιλέα Χριστὸν ἀπὸ βαρέων ἐλεφαντίνων· βαρεῖς δὲ ἐλεφαντίνας ἐρεῖς τὰς ὑψηλὰς θεολογίας· τὸ γὰρ ἐλεφάντινον ὀδοὺς τυγχάνων, λόγου σύμβολόν ἐστιν· φωνητικὰ γὰρ ὄργανα καὶ οἱ ὀδόντες· βάρεις εἰσὶν αἱ μεγάλαι οἰκίαι· ἐπεὶ οὖν τὸν ἑαυτῶν λόγον οὕτως ἐμεγάλυναν ὡς οἶκον μέγιστον θεωριῶν· τῶν περὶ Θεοῦ γενέσθαι αἱ πολλαὶ τῶν βασιλέων θυγατέρες, ἀπὸ τῶν προειρημένων βασιλέων ἐλεφαντίνων ηὔφραναν Χριστόν.

Μεταβολὴ προσώπου εὐφραίνεται γενομένη· v. 11. B. f. 171.
θεὸς γάρ ἐστιν ὁ προσφωνῶν τῇ ἀπὸ ἐθνῶν ἐκ-

κλησίᾳ, ἣν καὶ θυγατέρα αὐτοῦ ὀνομάζει· φησὶν γοῦν· δεξαμένη τοὺς ἐμοὺς λόγους, ὦ θύγατερ, ἄκουσον καὶ ἴδε αὐτῶν τὴν διάνοιαν, ἐπιστήσασα αὐτοῖς· ἔτι γὰρ μᾶλλον πλεῖον θελήσεις τὸ οὖς σου κλίναι ἐπὶ τὸ πλειόνως αὐτὰ καὶ ἐξεργαστικώτερον ἀκοῦσαι καὶ ποθῆσαι· ἀκολουθήσει δέ σε λήθη τῶν ὁμοφύλων, μηκέτι θελησάσης σου τὰ αὐτὰ ἐκεῖνα περιστέλλειν ἔθη καὶ πάτρια· ἐπιλήσει δὲ καὶ τοῦ οἴκου τοῦ πατρός σου γεννήσαντός σε κατὰ κακίαν τοῦ διαβόλου.

v. 12. A. f. 242. b. B. f. 171. et 172. Διὰ τοῦτό σε καλῶ, θύγατερ, φησὶ πρὸς αὐτὴν ὁ θεὸς, ἐπὶ τῷ ποιῆσαι τὰ προστεταγμένα σοι· ἐπείπερ ὁ ἐμὸς υἱὸς βασιλεὺς ὢν ἐπεθύμησεν τοῦ ἐνυπάρχοντός σοι κάλλους κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐμὴν γενενημένης· αὐτὸς δὲ οὗτος ὁ βασιλεὺς ἐπιθυμῶν τοῦ κάλλους σου, οὐχ εἷς τῶν ὁμοτίμων σου τυγχάνει· αὐτὸς γάρ ἐστιν ὁ κύριός σου· οὐ γὰρ ἄγγελος ἢ ἀρχάγγελος ἢ τις ἄλλος γεννητὸς ὢν ὑπάρχει· αὐτῷ γὰρ καὶ προσκυνοῦσι πάντες· ἐπεὶ οὖν θεοῦ τὸ προσκυνεῖσθαι, ἴσθι θεὸν ὄντα τὸν βασιλέα τὸν ἐπιθυμοῦντα τοῦ κάλλους σου· ὃς καὶ κύριός σου ἐστιν.

v. 13. Πρὸς τούτοις ἴσθι ὅτι πολλὴν μεταβολὴν ἔσχες· θυγάτηρ γὰρ Τύρου οὖσα δι' ἣν εἶχες δεισιδαιμονίαν, ἐμοῦ θυγάτηρ ἐχρημάτισας, ὡς λιτὰς τῷ προσώπῳ σου προσάγειν πάντας τοὺς πλουσίους τοῦ λαοῦ, ὅσοι πλουτοῦσιν κατὰ πίστιν καὶ τὴν τοῦ εὐαγγελίου ἀλήθειαν, σοὶ προσέρχονται, τὸ πρόσωπόν σου λιτανεύοντες, διὰ τὸ σύζυγον τῷ βασιλεῖ γεγονέναι· ὡς γὰρ παλαιοὶ ἀπὸ τῶν ἐθνῶν τῇ κατὰ θεὸν θεραπείᾳ προσερχόμενοι τῷ Ἰσραὴλ προσηλύτευον, τὸ πρόσωπον αὐτοῦ παρακαλοῦντες, οὕτως νῦν οἱ ἀπὸ τῶν Ἰουδαίων μετανοοῦντες προσφεύγουσιν τῇ τῶν ἐθνῶν ἐκκλησίᾳ, ἀξιοῦντες ὑποδεχθῆναι παρ' αὐτῆς.

v. 14. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς βασιλέων Ἐσεβών 1). Ἐσεβὼν ἑρμηνεύεται λογισμοί· ὁ βασιλεὺς δὲ τῶν λογισμῶν τῶν δικαίων ὄντων, ἐστὶν κύριος· τῆς οὖν ὑμνευμένης θυγατρὸς Τύρου ἡ δόξα οὐκ ἄλλοθέν ἐστιν, ἢ ἀπὸ τοῦ βασιλέως τῶν λογισμῶν· ἰστέον δὲ ὅτι πολλαχοῦ τῶν γραφῶν ἀντὶ τῆς νοητῆς οὐσίας λαμβάνεται ὁ χρυσός· ἐπεὶ οὖν ἐν τοῖς ἐνδύμασιν αὐτῆς τυγχανούσαις ἀρεταῖς συγκατύφανται καὶ ὁ περὶ τῶν νοητῶν λόγος μάλιστα ὁ περὶ τῆς τριάδος, κροσσωτὰ χρυσᾶ περιβέβληται, ὄντα πεποικιλμένα διὰ τὸ πολύτροπον καὶ πολυειδὲς τῆς Χριστοῦ διδασκαλίας.

Εἰ καὶ πολλαὶ ἀδιάφθοροι εἶεν ψυχαὶ ἃς παρθένους ἔθος καλεῖν, ἀλλ' οὐ πᾶσαι ἤδη ἀποφέρονται τῷ βασιλεῖ, ἀλλ' αἱ πλησίον καὶ ἐγγὺς γενόμεναι τῇ διαθέσει τῆς τελείας νύμφης· οὗ δὲ καὶ τὸ ἀπενεχθήσονται· αἱ γὰρ πεῖραν μὴ ἔχουσαι τοῦ νυμφίου λόγου, οὐχ οἷαί τε εἰσὶ δι' ἑαυτῶν πρὸς αὐτὸν ἰέναι· ἄγουσι δ' αὐτὰς πρὸς αὐτὸν οἱ τὰ προπαιδεύματα αὐταῖς παραδιδόντες· εἰσὶν δὲ οὗτοι νόμος καὶ προφῆται· v. 15. A. f. 143. b. B. f. 272.

Τῆς λέξεως ἀσάφειαν ἐχούσης, ἐξ ἄλλης τὴν διάνοιαν αὐτῆς ληψώμεθα· ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων τὰς διαφορὰς τῶν Χριστῷ προσερχομένων ψυχῶν ἑρμηνεύων ὁ λόγος φησίν· εἰσὶν βασίλισσαι, καὶ παλλακαὶ, καὶ νεανίδες ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶν περιστερά μου, τελεία μου· ὡς περὶ ταύτης εἰρῆσθαι· εἴδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτὴν, βασίλισσαι καὶ παλλακαὶ, καὶ αἰνέσουσιν αὐτήν· ἐξ ὧν δείκνυται ἄλλη οὖσα παρὰ τὰς θυγατέρας αἳ εἴρηνται νεανίδες καὶ παλλακαὶ καὶ βασιλίδες· δηλοῦται δὲ ἐκ τῶν λέξεων τούτων, ὡς ἄρα αἱ Χριστῷ προσερχόμεναι ψυχαὶ, αἱ μὲν οὔπω καιρὸν ἔχουσαι γάμου, νεανίδες εἰσίν· αἱ δὲ συνελθοῦσαι αὐτῷ ἤδη ἀνακραθέναι αὐταῖς· αἱ μὲν εὐγενίδες καὶ ὑπεραναβεβηκυῖαι τὸν ἐν ἓξ ἡμέραις γενόμενον κόσμον, ἑξήκοντά εἰσι βασίλισσαι· αἱ δὲ τὴν ὀκταήμερον περιτομὴν λαβοῦσαι ἀκμὴν, τὸ τῆς δουλείας ἔχουσαι πνεῦμα, ὀγδοήκοντα παλλακίδες εἰσίν· ἡ δὲ πάσας ὑπερέχουσα κατὰ τὸ πνεῦμα πεποιωμένη, ὥστ' εἶναι περιστερὰν, τε- v. 16. B. f. 172.

1) En Didymus alexandrinus legebat Ἐσεβὼν, ut est in codice antiquissimo omnium vaticano septuaginta interpretum. (Recole quae nos diximus T. III. ad S. Cyrill. in ps. part. lat. p. 205.) Ceterum recte heic interpretatur Didymus; reapse enim חשבון est *cogitatio*.

λεια τοῦ λόγου ἡ ἔνδοξος ἐκκλησία ἐστὶν, ἡ μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων· ταύτην τὴν ἐκκλησίαν ὑμνῶν ὁ ψαλμῳδὸς ἐν τοῖς πρὸ τούτου στίχοις, τὰ νῦν μετ' ἐκείνην φησὶν ἐνεχθήσεσθαι τῷ νυμφίῳ αὐτῆς βασιλεῖ, τὰς πάλαι μὲν ὥραν συμβιώσεως οὐκ ἐχούσας, νῦν δὲ διὰ τὸ τετελειῶσθαι, προσαγομένας εἰς τὸν θάλαμον, ὅπως συγκαθευδήσασαι τῷ βασιλεῖ ἀναληφθῶσιν εἰς τὸ μέλη γενέσθαι τῆς μιᾶς τελείας νύμφης, οὐκέτι ἄλλαι παρὰ ταύτης τυγχάνουσαι, ὡς ὅτε ἀτελεῖς ἦσαν.

v. 17. A. f. 244. b. Ἐπεὶ πρὸς Χριςὸν λέγεται σχεδὸν τὰ πάντα τοῦ ψαλμοῦ, καὶ οὗτος ὁ ςίχος λέγοι· ἀντὶ ὧν εἶχες κατὰ σάρκα πατέρων, τουτέστι τῶν ἐκ περιτομῆς, ἐγενήθησάν σοι ἐκ τοῦ αὐτοῦ γένους υἱοὶ, προσηκάμενοι τὸν εὐαγγελικὸν λόγον· τούτους δὲ καὶ κατέστησας ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν, φάσκων αὐτοῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.

v. 18. A. f. 234. b. A. f. 173. b. Διὰ τοῦτο λαοὶ εὐχαριςικῶς ἐξομολογήσονται, οὐκ ἐφ' ἕνα ἢ δεύτερον αἰῶνα, ἀλλὰ καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὴν γὰρ ἐφ' ἁμαρτίαις ἐξομολόγησιν οὐ τὸν αἰῶνα τοῦ αἰῶνος αὕτη γίνεται· μόνον γὰρ ἐν τούτῳ τῷ αἰῶνι μετανοεῖν ἐξομολογεῖσθαι οἷόν τε· εἰ δὲ μνησθήσονται ἔχει καθ' ἑτέραν γραφὴν, ἀντὶ τοῦ οἱ πρός σου ἄρχειν κεχειροτονημένοι, τοῦ ὀνόματός σου μνησθήσονται ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, τῷ εἰς πάντας τοὺς αἰῶνας παρατείνειν σου τὴν βασιλείαν.

PSALMUS XLV.

v. 1. B. f. 173. b. Ἔθος τὰ ἀσαφῶς λεγόμενα δι' οἰκονομίαν τινὰ κρύφια καλεῖν· κατὰ τοῦτο γὰρ καὶ ἡ τοῦ θεοῦ σοφία ἐν μυστηρίῳ ἀποκεκρυμμένη ἐστίν· οὕτω καὶ οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι εἴρηνται· ἔστιν οὖν καὶ τούτων τῶν κρυφίων τέλος οἱονεὶ σκοπὸς, ἤτοι τὸ λαθεῖν τοὺς ἀναξίους τὴν τῶν θείων γνῶσιν· ἢ οἱ λαοὶ * πόθεν ἔχοντες καταλήψεως τῆς θείας γνώσεως, πόνοις καὶ ἀσκήσεσιν ἐπιδόντες ἑαυτοὺς τύχωσι τοῦ σκοποῦ.

* Cod. ναοί.

v. 2. A. f. 246. b. B. f. 174. Οὐ πάντων ἐστὶν ὁ θεὸς καταφυγὴ, μόνον δὲ τῶν ἀποταξαμένων ταῖς ἀνθρωπίναις ἐπικουρίαις· τούτων γὰρ ἀσφάλεια γίνεται καὶ δύναμις, τὸ μετέχειν αὐτοῦ κατὰ τὸν ἀπόστολον εἰρηκότα, πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ· τὸ δὲ, ταῖς εὑρούσαις ἡμᾶς σφόδρα, ἢ πρὸς τὸ βοηθὸς ἀποδοτέον, ἢ πρὸς τὸ θλίψεσιν.

v. 3. B. f. 174. b. Ὄρη μετατιθέμενα ἐν καρδίαις θαλασσῶν, οὐ τὰ αἰσθητὰ τυγχάνοντα μέρη γῆς ἡγητέον, ἀλλὰ πονηρὰς δυνάμεις μετατιθεμένας εἰς τὰς τεταραγμένας ὑπὸ τρικυμιῶν παθῶν ψυχὰς, ἔνθα ἁλμυρόν τι καὶ πικρότης ἠθῶν· ἀμέλει καὶ ὁ σωτὴρ πρὸς τοὺς μαθητὰς, ἐὰν ἔχητε, ἔφη, πίστιν ὡσεὶ κόκκον σινάπεως, οὐ μόνον τὸ τῆς συκῆς ποιήσεται, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, οὐδὲν ἀδυνατήσει ὑμῖν· δεικνύμενον δὲ ὄρος ὑπὸ τοῦ σωτῆρος, οὐκ ἄλλο τῆς ἀντικειμένης δυνάμεως· καὶ γὰρ περὶ τοῦ κινοῦντος τὸν σεληνιασμὸν δαίμονος πάλιν εἶπεν· ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ μεταβῆναι ἐντεῦθεν ἐκεῖ· ἔοικε δὲ τὴν τελειοτάτην πίστιν κόκκῳ σινάπεως παραβάλλειν· καὶ γὰρ ὁ ἀπόστολος ἐὰν ἔχω, φησὶν, πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν.

v. 4. B. f. 175. Τῇ Χριστοῦ κραταιότητι ἐταράχθη τὰ πονηρὰ πνεύματα ψυχῶν καὶ σωμάτων τῶν προκατεσχημένων ἐλαυνόμενα· μέγα γὰρ ἐφ' ἑαυτοῖς τὰ ὄρη ταῦτα φρονοῦντες, ἐξαπιναίως ἰδόντα τὸν μετ' ἐξουσίας ἐλαύνοντα ἐνέπεσον εἰς ταραχήν.

v. 5. B. f. 175. Πόλιν θεοῦ ἤτοι τὴν ἐκκλησίαν, ἢ τὴν Ἱερουσαλὴμ τὴν ἐπουράνιον νομιστέον λέγεσθαι· ταύτην τὴν ἑκατέρως χρηματίζουσαν πόλιν θεοῦ εὐφραίνουσιν τὰ ὁρμήματα τοῦ ποταμοῦ· ποταμὸς δέ ἐστιν ὁ τοῦ θεοῦ λόγος ὁ ἐξ Ἐδὲμ τῆς θείας τρυφῆς ἐκπορευόμενος, καὶ πάντα τὸν πνευματικὸν παράδεισον ἐπαρδόμενος, καὶ πάντας καλῶν πρὸς ἑαυτὸν, εἴ τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω· ὁρμήματα δ' αὐτοῦ αἱ κατὰ μέρος διδασκαλίαι, ἢ ἔννοιαι ἃς ὑποβάλλει τῇ ψυχῇ.

v. 5. B. f. 175. b. Διδύμου καὶ Βασιλείου. Σκήνωμα δὲ τοῦ ὑψίστου νοήσεις καὶ τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ θεοῦ· συνῳδὸν τούτῳ τὸ, γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ· δίδωσι δὲ τῇ πόλει τὴν βοήθειαν ἐν

ταῖς πρώταις ἀνατολαῖς τοῦ φωτὸς τοῦ ἡλίου τῆς δικαιοσύνης ἡμέραν ἐμποιοῦντος τῷ δεξαμένῳ, καὶ τῆς νυκτὸς τῆς ἀγνωσίας αὐτὸν ἀπαλλάττοντος· ἡ νὺξ γὰρ προέκοψε, φησὶν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἢ τάχα ἐπειδὴ ὄρθρου βαθέος ἡ ἀνάστασις ἦν, αὐτὴν καλεῖ τὴν βοήθειαν.—Ὁ ὕψιστος κατ᾽ οὐσίαν ἅγιος ὑπάρχων, μεταδοτικὸς ἁγιότητός ἐστιν· ὅθεν ἁγιάζει πάντας τοὺς ἐν οἷς κατασκηνοῖ, σκήνωμα αὐτοῦ καλουμένους· δύναται δὲ καὶ ὃ ἀνέλαβεν σῶμα ἐκ τῆς παρθένου, σκήνωμα αὐτοῦ τυγχάνον ἁγιάζειν ἐν αὐτῷ
v. 6. A. f. 248. B. f. 176. γεγενημένου.

Διδύμου καὶ Κυρίλλου. Ἑτέρα δ᾽ ἐστὶν γραφὴ ἡ λέγουσα, βοηθήσει αὐτῇ ὁ θεὸς τῷ προσώπῳ· σώζει γὰρ αὐτῆς τὸ κάλλος ἄτρωτόν τε καὶ ἀπαράφθορον, τὸ νοητὸν δηλονότι ὅτ᾽ ἂν ταραχὴν δέξηται ἀπὸ τῶν ἀντικειμένων· ἕως μὲν γὰρ ἀδιάβλητον ἔχει τὴν πίστιν ἐν ἑαυτῇ ψυχὴ, καὶ τοὺς ἐξ ἁπάσης ἀρετῆς ὡραϊσμοὺς ἑαυτῇ περιτίθησιν, κάλλος ἔχει τὸ νοητὸν, ᾧ καὶ αὐτὸς ἐπιγάννυται Χριστός· παρενεχθεῖσα γε μὴν τοῦ εἰδεχθὲς εἰκότος παραχρῆμα καὶ ἀτερπὲς ἔχει· ἀλλ᾽ οὐ πείσεται τοῦτο φησὶν ἡ ἐκκλησία· σώζει γὰρ αὐτῆς τὸ κάλλος.

Ὁ θεὸς ἐν μέσῳ αὐτῆς μὴ σαλευόμενος διὰ τὴν προσοῦσαν αὐτῇ ἀναμαρτησίαν· σαλεύεται γὰρ ἀπὸ τῶν ἁμαρτανόντων· ὅθεν καὶ τῷ Ἀδὰμ μετὰ τὸ ἁμαρτεῖν περιπατῶν εὑρίσκεται· καὶ ἐν τῷ Ζαχαρίᾳ φησίν· πορεύσεται ἐν σάλῳ ἀπειλῆς ὁ κύριος.

v. 7. A. f. 248. b. B. f. 176. Ἔθνη τὰ στίφη τῶν κατ᾽ αὐτῆς στρατευομένων δαιμόνων ὀνομάζει· ὅτ᾽ ἂν οὖν ταῦτα θεάσωνται τοῦ σωτῆρος τὴν ἔνσαρκον ἐπιφάνειαν, ταράττονται κατὰ τῆς αὐτοῦ ἐκκλησίας, ἢ καὶ δέους πληροῦνται· τηνικαῦτα δὲ ἀκολουθήσει καὶ τὸ κληθῆναι τὰς ψεκτὰς βασιλείας καθ᾽ ἃς ἐβασίλευσεν ὁ θάνατος καὶ ἡ ἁμαρτία· εἰ δὲ καὶ βασιλείαν λέγοις τοὺς βασιλευομένους, ἐκλήθησαν καὶ οὗτοι ἐκ πλάνης εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἐκ κακίας εἰς ἀρετὴν ῥέψαντες· τοῦ γὰρ θεοῦ σιωπῶντος, βεβαιότητα καὶ στάσιν ἔχειν δοκεῖ τὰ γήϊνα καὶ ὑλικὰ πράγματα κλονούμενα θεοῦ φωνὴν δεδωκότος· ὅτ᾽ ἂν γὰρ ὁ θεὸς ἐμβοήσῃ τῇ διανοίᾳ, εὐθὺς μετακινεῖται ταύτης πᾶν εἴ τι γεῶδες· θεοῦ τὴν κατὰ τὸ εὐαγγέλιον φωνὴν δεδωκότος, ἡ γῆ σεσάλευται, μετατιθεμένων ἁπάντων τῶν ἐπ᾽ αὐτῆς ἐθῶν νομίμων, πατρίων χρηστηρίων, καὶ εἴ τι ἕτερον τῆς δυσσεβοῦς ἀπάτης ταραττόμενον τῶν ἐθνῶν καὶ κλινουσῶν τῶν βασιλειῶν τῆς γῆς σαλευομένης· ἡμεῖς θαῤῥοῦμεν μεθ᾽ ἑαυτῶν ἔχοντες τὸν τῶν δυνάμεων κύριον ἀντιλαμβανόμενον ἡμῶν τὸν θεὸν Ἰακώβ· ὥσπερ δὲ ὁ ποιῶν τὰ ἔργα τοῦ Ἀβραὰμ, τέκνον αὐτοῦ ἐστιν, οὕτως ὁ τὴν ἄσκησιν τοῦ Ἰακὼβ μιμούμενος, τυγχάνει υἱὸς αὐτοῦ, ἀντίληψιν ἔχων παρὰ τοῦ θεοῦ Ἰακώβ.

Καλεῖ δὲ τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τὴν τού- v. 9. A. f. 149. b.
των κατανόησιν τοὺς ὀξὺ καθορῶντας διὰ τοῦ
δεῦτε, συνεγγύζειν αὐτούς· διὰ δὲ τοῦ ἴδετε,
ἀτενίζειν τῇ ἀληθείᾳ παρασκευάζων.—Ἐπλή- v. 6. B. f. 177.
ρωσαν δὲ καὶ τεράτων τὴν οἰκουμένην οἱ ἀπό-
στολοι πανταχῇ διατρέχοντες, τά τε δι᾽ αὐτοῦ
γεγονότα διηγούμενοι, καὶ ἐν ὀνόματι αὐτοῦ θαυ-
ματουργοῦντες· δύναται καὶ καλεῖν ὁ λόγος τὰ
ἔθνη ἐκ τῶν ὁρωμένων περὶ τὴν κτίσιν θαυμά-
των τὸν ταύτης ἐπιγνῶναι δημιουργόν.

Ἐλθὼν καὶ καταλύσας διάβολον τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ τὰς ἄλλας πονηρὰς δυνάμεις, ἀνταναεῖλεν πολέμους ἕως τῶν περάτων τῆς γῆς, τουτέστιν τῶν περασάντων ἀπὸ τῶν γηΐνων· συντρίβων τὸ τόξον, ἀφ᾽ οὗ ἠφίετο τὰ πεπυρωμένα τοῦ πονηροῦ βέλη· ἀλλὰ καὶ πυρὶ κατακαύσει τὸν θυρεὸν τῆς ἀπιστίας ἐναντίως ἔχοντα τῷ θυρεῷ τῆς πίστεως. v. 10. B. f. 177.

PSALMUS XLVI.

Ἐπεὶ αἱ χεῖρες ἀντὶ τῶν πράξεων πολλάκις εἴρηνται, ἔπραττε δὲ τὰ ἔθνη διάφορα κατὰ τὰ ποικίλα πάτρια πρὸ τῆς ἐπιδημίας, ὁ σωτὴρ εἰς ἀνθρώπους φοιτήσας προστάττει κρότον γενέσθαι, τουτέστιν συμφωνίαν τῶν πρακτικῶν δυνάμεων τῶν ἐθνῶν τροπικῶς χειρῶν ὀνομαζομένων·—Οὐ μόνον ἀπαρκεῖ πρὸς σωτηρίαν πράξεως συμφωνία, εἰ μὴ καὶ φρόνημα ὀρθὸν σὺν τούτοις εἴη· διὸ καὶ ἀλαλάζειν ἐν φωνῇ ἀγαλλιάσεως μετὰ τοῦ κρότου προστάττει τοῖς ἔθνεσιν. v. 2. B. f. 178. b.

—Οὐκ ἀμφίβολον εἰ τῶν ὑπερκειμένων βασιλεύει· περὶ τῆς γῆς δὲ ἀμφιβαλλόντων τινῶν, εἰ καὶ αὐτῆς κρατεῖ, λέγεται προκείμενος στίχος, καὶ μάλιστα διὰ τοὺς περιγράφοντας τὴν πρόνοιαν μέχρι τῆς σεληνιακῆς σφαίρας 1), οὐ βουλομένους τὰ ἐπὶ γῆν ὑπὸ πρόνοιαν εἶναι.

v. 3. A. f. 251. b. B. f. 178. b. Ἔστιν δὲ φοβερὸς καὶ τῷ σεβάσμιος εἶναι, ὡς εὐλάβειαν εἰς αὐτοὺς ἔχειν τοὺς ἐννοοῦντας αὐτόν.

v. 4. A. f. 251. b. B. f. 179. Νοήσεις δὲ καὶ οὕτως· ὑπέταξεν τοῖς ἁγίοις ἀποστόλοις τοὺς ἐκ περιτομῆς λαοὺς, καὶ τὰ ἔθνη ὑπὸ τοὺς πόδας αὐτῶν, πάντων ἀνθρώπων ἄρ-
v. 5. χοντας καὶ διδασκάλους χειροτονήσας αὐτούς. Ἐκλεξάμενος τὴν κληρονομίαν αὐτοῦ, οὐχ ἑτέραν οὖσαν τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰακὼβ τὴν ἐκλογὴν, ἣν αὐτὸς ἐκλεξάμενος ἠγάπησεν· Ἰακὼβ δὲ τὸν πάντα λαὸν τῶν Ἑβραίων φησίν· ἐκ τούτου γνωρίζεται τὸ ἀπροσωπόληπτον τοῦ θεοῦ, τὴν καλλονὴν οὐκ ἄλλό τι τοῦ Ἰακὼβ ἀγαπήσαντος· ἐν παντὶ γὰρ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν.

v. 6. A. f. 253. B. f. 179. Φωνὴ δὲ ἄσημος καταπεσόντων πολεμίων ὁ ἀλαλαγμὸς, ἐν ᾧ ἄνεισιν αὐτός· ἀναβαίνει δὲ ὑπεράνω τῆς νοήσεως ἡμῶν εὑρισκόμενος· ἔοικεν τὴν μεγαλοφωνίαν καὶ τὸ διάτορον τῶν δογμάτων φωνὴ σάλπιγγος ὀνομάζεσθαι· ἐπεὶ γὰρ τοῦ φανεροῦ καὶ ἐν τῷ εὐαγγελίῳ σάλπιγξ λαμβάνεται, ὡς ἐν τῷ λέγειν· σὺ δὲ ποιῶν ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὅ ἐςιν μὴ φανερώσῃς.

v. 7. B. f. 180. Τὸν ψάλλοντα δεῖ καὶ νόησιν τῶν προφερομένων ἐν τῇ ᾠδῇ ἔχειν· οὐ γὰρ περὶ τὴν κλάσιν καὶ τὸ μέλος τῆς φωνῆς καταγίνεσθαι προηγουμένως δεῖ, ἀλλὰ συνεῖναι τὰ ψαλλόμενα· τοὺς γὰρ μὴ οὕτω ψάλλοντας, ἀλλὰ μόνον ἦχον ἀποτελοῦντας παραιτεῖται θεὸς λέγων· μετάςησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι· ψάλλει δὲ συνετῶς ὁ πράττων κατὰ τὰ θεῖα παιδεύματα, καὶ νοῶν αὐτά.

v. 10. B. f. 180. Οἱ τῶν λαῶν ἄρχοντες, ἢ οἱ ἀπόστολοι, ἢ οἱ ἡγούμενοι τῶν ἐκκλησιῶν εἰσὶ συναγόμενοι μετὰ τοῦ Ἀβραὰμ, ἵνα προσάγωσιν τοὺς πρὸς αὐτῶν ὠφελουμένους λαούς· καὶ γὰρ αὐτῶν θεὸς ἐστιν τέκνων γενομένων τοῦ Ἀβραάμ· ἐπίςησον δὲ εἰ ἄρχοντες τῶν λαῶν εἶναι δύνανται ἄγγελοι περὶ ὧν εἴρηται· ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, οἵ τινες καὶ συνάγονται μετὰ τοῦ θεοῦ Ἀβραὰμ, ἐπεὶ διὰ πίςεως υἱοποιήθησαν τῷ Ἀβραὰμ αἱ μερίδες ὧν τυγχάνουσιν ἄρχοντες.

Κραταιοὶ τῆς γῆς οἱ ἐξ αὐτῶν ὀρθῶς πολι- v. 10. B. f. 180. b.
τευσάμενοι, ἐπαιρόμενοι τῷ ἄνω φρονεῖν, τῷ τὰ ἄνω ζητεῖν· οὗτοι γὰρ σφόδρα ἐπαρθέντες γνώσει θείᾳ, καὶ ἀρετῇ μετεωριζόμενοι, τοῦ θεοῦ γεγένηνται· οἱ γὰρ κραταιοὶ τῆς γῆς, τοῦ θεοῦ κτῆμα γεγενημένοι ἐπήρθησαν.

PSALMUS XLVII

Τὸ μέγας εἶναι καὶ αἰνετὸς σφόδρα, οὐ παν- v. 2. B. f. 180. b.
ταχοῦ ἐπιδείκνυται, ἀλλὰ ἐν τῇ τοῦ θεοῦ πόλει ἤτοι τῇ ἁγίᾳ ἐκκλησίᾳ τῇ ἐπουρανίῳ Ἱερουσαλήμ· αὕτη δὲ ἡ πόλις οὐ χαμαίζηλος οὐδὲ ἐν τόπῳ ταπεινῷ καὶ κοίλῳ, ἀλλ' ἐν ὄρει μάλιςα ἁγίῳ ἵδρυται· τοῦτο δὲ τὸ ἅγιον ὄρος, ἤτοι ἡ τελειοτάτη ἀρετὴ καὶ γνῶσις τοῦ θεοῦ, λόγος ἐστίν· καὶ γὰρ αὐτὸς θεμέλιος ταύτης τῆς πόλεως, ὥσπερ καὶ οἰκοδόμος.

Τὸ πάσης τῆς γῆς ἀγαλλίαμα εὐρίζον καὶ v. 3. B. f. 181. b.
ἀγαθὰς ῥίζας ἔχον, ἐστὶν τάχα οὐχ ἕτερον ὂν τοῦ εἰπόντος, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· αὐτὸς γὰρ ἐςιν τὸ ἀγαλλίαμα πάσης τῆς γῆς,
αἴτιος καὶ χορηγὸς τυγχάνων ἀγαλλιάσεως.— B. f. 182. b.
Πόλεις τοῦ μεγάλου βασιλέως εἰκὸς εἶναι ψυχὰς ἐγκύμονας ἀπ' αὐτοῦ ὄντος καὶ νυμφίου γεγενημένας, αἳ καὶ μορφώσασαι τὰς παρ' αὐτοῦ καταβεβλημένας γονὰς, καιρὸν ἔχουσιν ἀποτέξεως.

Οὐκ οἶδ' ὁπόθεν κινηθέντες τινὲς ᾠήθησαν v. 3. A. f. 257. b.
ἔνθα πέπονθεν ὁ σωτὴρ σημαίνεσθαι ἐκ τῆς προκειμένης λέξεως· φασὶ γὰρ τὸν σωτῆρα ἐςαυρῶσθαι ἐν τοῖς βορείοις πλευροῖς τῆς Σιὼν, ἐκεῖσε τυγχάνοντος τοῦ κρανίου τόπου· ἡμεῖς δὲ φαμὲν ἑπόμενοι πολλαῖς γραφαῖς, τὸν βορρᾶν οὐκ ἄλλον εἶναι, ἢ τὸν διάβολον· κατὰ τὸ, ἐξεγείρου βορρᾶ, καὶ ἔρχου νότε· τούτου οὖν πλευρὰ οἱ πονηροὶ ἄνθρωποι, ὥσπερ καὶ ἄρχοντος

1) Nempe Aristoteles, ut iam diximus cum S. Cyrillo T. III. part. lat. p. 160.

πλευρὰ φασὶν τοὺς δορυφόρους αὐτοῦ· οἱ πονηροὶ οὖν ἄνθρωποι, οἱ δορυφοροῦντες τὸν διάβολον, πλευρὰ αὐτοῦ πρότερον ὄντες, εἰ τοσοῦτον μεταβάλλοντες κατὰ ἀρετὴν διεπρε . . Σιὼν χρηματίσαι, ἀλλ' ὄρη αὐτῆς ἀποδειχθῆναι. Παῦλος οὖν ὅτε διώκτης ἦν, πλευρὰ τυγχάνων τοῦ βοῤῥᾶ, μεταβαλλόμενος ὄρος τῆς ἐκκλησίας τυγχανούσης Σιὼν ἐχρημάτισεν· καὶ ἐπεὶ ἡ γυνὴ πλευρὰ λέγεται, καὶ αἱ γενόμεναι πλευραὶ σύζυγοι τῷ διαβόλῳ πλευραὶ αὐτοῦ τυγχάνουσαι τῇ πρὸς ἐκεῖνον κοινωνίᾳ, ὄρη τῆς Σιὼν διὰ μεταβολῆς γεγένηνται· ὡς καὶ πόλιν αὐτοῦ τοῦ μεγάλου βασιλέως Χριστοῦ χρηματίσαι.

v. 5. A. f. 259. B. f. 181. Ἐν τῇ πόλει οἱ βασιλεῖς ἐληλυθότες, καὶ εἰς αὐτὴν συναχθέντες ἐπὶ τὸ αὐτὸ γεγενημένοι, καταρτισθέντες τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ· εἰσὶν δὲ οἱ βασιλεῖς οὗτοι οἱ κατὰ θεὸν βασιλεύσαντες, οἷος ἦν Ἀβραὰμ πρὸς ὃν εἶπον τινὲς καί τοι οὐχ αἰσθητῶς βασιλεύοντα, βασιλεὺς παρὰ θεοῦ σὺ εἶ ἐν ἡμῖν· οὗτοι ἰδόντες τοὺς πάλαι πλευρὰ ὄντας τοῦ βοῤῥᾶ εἰς τοσοῦτον ὕψος ἀναβάντας, ὡς εἶναι τῆς Σιὼν ὄρη, ἐθαύμασαν ἐκπλαγέντες τὴν περὶ τὴν λογικὴν φύσιν γινομένην τροπήν· ὅτ' ἂν δὲ καὶ ἐκ φαύλων σπουδαίους καὶ σοφοὺς γινομένους ἴδοι τίς, θαυμάσας τὴν μεταβολὴν, εἰσκοπήσει ὅτι ἀνάπαλιν ἐνδέχεται γενέσθαι τοὺς σπουδαίους καὶ σοφοὺς μεταπεσεῖν δυναμένους· τουτέστιν νοηθέντες καὶ τοῖς πάνυ προκόψασιν κατ' ἀρετὴν, τάραχον ἐμποιήσει καὶ κλόνον, ὡς τὸν ἐκ δέους τρόμον ἐπιλαβέσθαι αὐτῶν· τούτῳ συνῳδὸν τὸ, ἐν τόποις ἀσεβῶν στένουσιν δίκαιοι· ἐκείνων πιπτόντων, κατάφοβοι γίνωνται.

v. 8. Πρὸς διάνοιαν, πλοῖα τῶν ψυχῶν τὰ σώματα πολλαχοῦ τῆς γραφῆς λέγεται· ὥσπερ καὶ οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν ἐν πλοίοις· ταῦτα οὖν τὰ σώματα αὐτοῖς συντρίβεται τουτέστιν διαλύεται, ἵνα κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν ἄφθαρτα ἰσχυρὰ ἐπίδοξα πνευματικὰ ἐκ φθαρτῶν ἀσθενῶν καὶ ἀτίμων καὶ ψυχικῶν γένηται· οὐχ ἁπλῶς δὲ, ἀλλὰ Θαρσεῖς ἐστιν τὰ πλοῖα ταῦτα μεταλαμβανομένας ἑλλάδι φωνῇ . . . . χαρᾶς· τότε γὰρ ἐπαινετῶς συντρίβεται τὰ σώματα ὑποπιεζόμενα καὶ νεκρούμενα, ὅταν κατασκοπῶσιν οἱ περικείμενοι αὐτὰ τὴν θείαν χαράν.

Ὄνομα τὴν θείαν δόξαν λέγειν ἔθος τῇ θείᾳ v. 11. B. f. 183.
γραφῇ· ὑμνεῖται δὲ παρὰ τῶν βοώντων ὁ θεὸς, τίς ὁμοιωθήσεταί σοι· πέρατα δὲ γῆς οὐ μόνον τὰς ἐσχατιὰς αὐτῆς ἡγητέον εἶναι, ἀλλὰ καὶ τοὺς περάσαντας ἀπὸ τῆς γῆς εἰς οὐρανὸν, ἐφ' οὓς τὸ ὄνομα καὶ ἡ αἴνεσις τοῦ θεοῦ ἔφθασεν.

Τῆς ἐκκλησιαστικῆς γνώμης σκοπευτικῆς τῆς v. 13. A. f. 263. b. B. f. 483. b.
ἀληθείας τυγχανούσης, καὶ διὰ τοῦτο Σιὼν καλουμένης, τῇ φρονήσει περιλαβεῖν αὐτὴν προσήκει· ἵνα περινοήσαντες τὰ τῆς ἀληθείας δόγματα, ὡς ἐν κύκλῳ περιγράψωμεν αὐτὰ τῇ ἑαυτῶν νοήσει· καὶ ἐπεὶ ἡ τοῦ θεοῦ πόλις πάντοθεν ὠχύρωται διὰ τοὺς ἐπερχομένους πολεμίους καὶ πύργους ἐγκατασκευασμένους ἔχει, ἀφ' ὧν ἐστιν κατασκοπῆσαι τοὺς ἐπερχομένους ἐχθροὺς, ἀνάγκη τοὺς ἐν τοῖς πύργοις ὄντας αὐτῆς διηγεῖσθαι· συνᾴδει καὶ τὸ « ἐπὶ τῶν τειχέων σου » κατέστησαν φύλακας ἡμέρας καὶ νυκτὸς, οἳ » διὰ τέλους οὐ σιωπήσονται, μιμνησκόμενοι κυ-
» ρίου. » Ταύτῃ καὶ ἡ σοφία ἐπ' ἄκρων τυχέων v. 14. B. f. 184.
κηρύττεται· θέσθε τοίνυν τὴν καρδίαν ὑμῶν τουτέστι τὸν νοῦν ἐπιστημονικῶς ἐφιστάνοντες εἰς τὴν δύναμιν τῆς Σιὼν, αὕτη δ' ἐστὶν ἡ ἐκκλησιαστικὴ διδασκαλία, καὶ καταδιέλεσθε διαιρετικῶς ἑκάστοις ἐφιστάνοντες· ὡς γὰρ ἐστιν λογικῶς διελεῖν τὰ ὄντα εἰς οὐσίαν καὶ συμβεβηκὸς, καὶ τὰ γένη εἰς εἴδη, οὕτω καὶ τὴν δύναμιν τῆς Σιὼν καταδιελεῖν εἰς τὰς βάρεις αὐτῆς δυνατόν· βάρεις δὲ αὐτῆς αἱ καθ' ἕκαστον θεωρίαι ἐν αἷς οἰκεῖ τὰ τῆς εὐσεβείας δόγματα· τοῦτο δὲ πράξητε ὅπως διηγήσεσθε εἰς γενεὰν ἑτέραν, ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν· ἐπεὶ ἡ προτέρα γενεὰ ἡ τὴν πόλιν καὶ τὴν δύναμιν αὐτῆς παραλαβοῦσα, πονηρὰ καὶ μοιχαλὶς καὶ σκολιὰ καὶ διεστραμμένη ἐξ ἰδίας αἱρέσεως ἠλέγχθη· ἐπι-
στήσαντες τῇ δυνάμει τῆς πόλεως καὶ καταδιε- B. f. 184. b.
λόντες τὰς βάρεις αὐτῆς, γνώσεσθε τὰ περὶ τῆς κλήσεως τῶν ἁγίων, ἥτις ἐστὶν ἑτέρα γενεὰ παρὰ τὴν προτέραν· ἥπερ καὶ διηγήσεσθε, ὅτι οὗτος ὁ θεός ἐστιν, ὁ τὰ προειρημένα παράδο-

ξα ποιήσας, ἀποβαλὼν τὴν προτέραν γενεὰν, καὶ
v. 15. ἄλλην καὶ ἄλλους καλέσας. Οὗτος δὲ ὁ θεὸς περὶ
οὗ ἡ προκειμένη θεολογία, εἰ κατὰ τὰ αὐτὰ καὶ
ὡσαύτως ἔχει εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος· καὶ αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς
αἰῶνας, κατὰ τὸ εἰρημένον· καὶ στήσεται, καὶ
ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ
κύριος.

PSALMUS XLVIII.

v. 3. B. f. 185. b. Ἐπεὶ ἐν τοῖς καλουμένοις ἔθνεσιν εἰς ἀκρόα-
σιν, οἱ μέν εἰσιν γεώδεις ὅλοι τῆς ὕλης καὶ τοῦ
γηΐνου φρονήματος· γεγενημένοι δὲ υἱοὶ ἀνθρώ-
πων κατ' ἐπιστήμην καὶ παίδευσιν εἰσὶν ὅσοι
μαθήμασιν καὶ λόγοις ἐξητασμένοις ἐπανέχουσιν·
καλεῖ δὲ οὐ μόνον τοὺς ἀγελαίους καὶ βοσκημα-
τώδεις, ἀλλὰ καὶ τοὺς συνετούς· ἐρεῖ, ἀκούσατε
ταῦτα οἱ ἐν τοῖς ἔθνεσιν γηγενεῖς καὶ ἀνθρώ-
πων υἱοί· ὀφείλεται γὰρ οἱ διδάσκαλοι οὐ μόνον
σοφῶν ἀλλὰ καὶ ἀνοήτων εἰσίν.
v. 4. B. f. 185. b. Προφέρω ἐκ στόματος τὴν σοφίαν, προμελε-
τήσας ἐν καρδίᾳ σύνεσιν· τότε γὰρ ἀλήπτως
δυνήσεταί τις σοφὸν προσενέγκασθαι λόγον, ὅταν
συγγεγυμνασμένην κατὰ σύνεσιν ἔχει τὴν διάνοιαν.
v. 6. A. f. 168. Εἰ ἄρα κυκλώσει με τῆς πτέρνης μου ἡ ἀνο-
μία οὐκ ἄλλη οὖσα τῆς πατροπαραδότου, ἧς ὁ
ὄφις ἐνῆκεν τῇ πτέρνῃ τοῦ Ἀδάμ.
v. 7. B. f. 187. Διδύμου, Βασίλειου, Ὠριγένους. Ἀποτείνεται
πρὸς τοὺς γεγενεῖς καὶ πλουσίους· τῶν μὲν, τὸ
ἐπὶ τῇ δυνάμει· τῶν δὲ, τὸ ἐπὶ τῷ πλούτῳ φρό-
νημα καθαίρων· ἀκούσατε γάρ, φησιν, οἱ διὰ σώ-
ματος ἰσχὺν ἢ πλούτου ἀδηλότητα νομίζοντες
ἀρκεῖν ἑαυτοῖς· λύτρων ἡμῖν δεῖ πρὸς τὸ ῥυσθῆ-
ναι τῆς τοῦ διαβόλου δουλείας· δεῖ δὲ ἀξιοχρέων
εἶναι τὸ λύτρον, καὶ οὐχ ὁμογενὲς τοῖς κατεχο-
v. 8. μένοις· οὐδεὶς οὖν ἄνθρωπος πεῖσαι δυνήσεται
τὸν διάβολον, οὐδὲ ὑπὲρ ἀδελφῶν τις διδόμενος·
ἄνθρωπος οὖν οὐδὲ ὑπὲρ τῶν ἰδίων ἁμαρτημά-
των οἷός τέ ἐστιν ἐξίλασμα δοῦναι τῷ θεῷ· τί
δὲ τοιοῦτον αὐτῷ ὡς ἀντιδοθῆναι τῆς τιμίας ψυ-
χῆς; διότι καὶ κατ' εἰκόνα τοῦ κτίσαντος αὐ-
τὴν ἐγένετο· ἢ πόσα κοπιῶν ἄνθρωπος ἄξιόν τι
ποιήσει τῆς μελλούσης ζωῆς; διὰ τούτων ἱκανῶς
ὁ λόγος καθαίρει τῶν ἀνθρώπων τὴν οἴησιν· ῥη-
θείη δ' ἂν ὑψηλότερον περὶ τῶν ψυχικῶν δυνά-
μεων, εἴ τε ἰσχὺς καὶ ὁ πλοῦτος· οὐδεμία γὰρ
ἑαυτῇ ψυχὴ πρὸς σωτηρίαν ἀρκεῖ· καὶ γὰρ ἐὰν
τέλειος τίς ᾖ ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ θεοῦ
σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται· κἂν
πλοῦτον ἀνθρωπίνων ἔχῃ θεωρημάτων, μανθα-
νέτω τὴν ἰδίαν δουλείαν αἰχμάλωτος ἡγμένος ὑπὸ
τῆς ἁμαρτίας· καὶ ὅτι μηδεὶς ὑπὲρ ἀνθρώπων
διδόμενος ἄνθρωπος, εἰς ἀνάληψιν ἧς ἀπώλεσεν
ἐλευθερίας ἐστὶν ἱκανός· πάντες γὰρ ἥμαρτον,
καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ, δικαιούμε-
νοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώ-
σεως τῆς ἐν Χριστῷ Ἰησοῦ τοῦ κυρίου ἡμῶν· μὴ
ζήτει τοίνυν εἰς ἀπολύτρωσιν ἀδελφὸν ἢ ψιλὸν
ἄνθρωπον, ἀλλ' ἄνθρωπον θεὸν Ἰησοῦν Χρι-
στὸν, μόνον ἐξίλασμα δοῦναι δυνάμενον ὑπὲρ
ἡμῶν τῷ θεῷ· ὅτι αὐτὸν προέθετο ὁ θεὸς ἱλα-
στήριον διὰ τῆς πίστεος· ὃν τῷ αὐτοῦ αἵματι
ἀδελφὸς ἦν τοῦ Ἰσραὴλ ὁ Μωϋσῆς, καὶ οὐκ
ἠδυνήθη τοῦτον λυτρώσασθαι· πῶς οὖν ὁ τυχὼν
λυτρώσεται ἄνθρωπος; διὸ τὸ λυτρώσεται ἄνθρω-
πος ἐρωτηματικὸν μετὰ βαρύτητος· οὐ γὰρ τῆς
ἁμαρτίας ἠλευθέρωσεν ὁ Μωϋσῆς τὸν λαὸν, ἀλλὰ
τοῦ θεοῦ τὴν ἐπὶ τῇ ἁμαρτίᾳ κίνησιν παρῃτήσατο·
ἀλλὰ καὶ γενόμενος ἐν παραπτώματι, οὐκ ἠδυ-
νήθη παρασχεῖν ἐξίλασμα ὑπὲρ ἑαυτοῦ τῷ θεῷ·
ὅτε μετὰ τοσαῦτα καὶ τηλικαῦτα σημεῖα διστά-
ζων ἔφη· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν
ὕδωρ ὑμῖν; διὸ φησὶν ὁ θεός· διὰ τοῦτο οὐκ εἰσ-
άξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν
ἣν ἔδωκα αὐτοῖς· ἐδόθη οὖν εἰς τιμὴν λυτρώσεως
τῆς ψυχῆς ἡμῶν τὸ ἅγιον καὶ πολυτίμητον αἷ-
μα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· διόπερ καὶ
τιμῆς ἠγοράσθημεν· εἰ δὲ ἄνθρωπος οὐ λυτροῦ-
ται, ὁ λυτρωσάμενος ἡμᾶς οὐκ ἄνθρωπος μόνος,
οὐ χρείαν ἔσχε δοῦναι τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ·
διότι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος
ἐν τῷ στόματι αὐτοῦ· ὃς ἐλυτρώσατο ἡμᾶς οὐ
μετὰ λύτρων οὐδὲ μετὰ δώρων κατὰ τὸν Ἡσαΐαν,
ἀλλ' ἐν τῷ ἑαυτοῦ αἵματι, οὐκ ἀδελφοὺς ἀλλ' ἐχ-
θροὺς ἡμᾶς γενομένους τοῖς παραπτώμασιν· καὶ
μετὰ τὴν ἐλευθερίαν ἣν χαρίζεται ἡμῖν, καὶ ἀδελ-

φοὺς ἡμᾶς ἑαυτοῦ προσαγορεύει· ἀπαγγελῶ γάρ φησι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, οὐ κατὰ φύσιν θεότητος ὑφ᾽ ἧς ἐλυτρώθημεν, ἀλλὰ κατὰ συγκατάβασιν χάριτος, οὐ δεόμενος ἐξιλασμοῦ ὧν αὐτὸς ἱλαστήριον· τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς ὅσιος ἄκακος ἀμίαντος καὶ τὰ ἐπὶ τούτῳ· ὅστις ὢν ἡ αὐτὴ ζωή, ἡ ἀκάματος φύσις, ἐκοπίασεν ἐν τῷ αἰῶνι τούτῳ· ἦν γὰρ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέσθη ἐπὶ τῆς πηγῆς.

v. 7. B. f. 186. b. Πάντες οἱ γεννητοὶ ὁμογενεῖς καὶ ἀδελφοί· οὐδεὶς δὲ τὸν ἑαυτοῦ ἀδελφὸν ἁμαρτάνοντα λυτρώσασθαι δύναται· μόνος γὰρ ὁ ἄνθρωπος ἐκεῖνος λυτρώσεται, περὶ οὗ εἴρηται· ἀποστελεῖ αὐτοῖς ἄνθρωπον, ὃς σώσει αὐτούς· ὃς καὶ περὶ ἑαυτοῦ φησίν· νῦν δέ με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· οὗτος δὲ ὁ ἄνθρωπος ἐπεὶ οὐκ ἔγνω ἁμαρτίαν οὐδὲ ἐποίησεν ἁμαρτίαν, οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ τὸ ὑπὲρ τῶν ἁμαρτανόντων διδόμενον· ἀλλ᾽ οὐδὲ τιμὴν ὀρέξει λυτρώσεως αὐτοῦ τῆς ψυχῆς· κοπιάσας δὲ κατ᾽ ἀρετὴν ζήσεται εἰς τέλος, οὐδεπώποτε ἔτι τεθνηξόμενος· δύναται δὲ καὶ περὶ τοῦ λυτρουμένου λέγεσθαι τό, οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ· οὐ γὰρ ἕκαστος περὶ ἑαυτοῦ οἷός τέ ἐστιν ἐξίλασμα δοῦναι, Χριστοῦ πάντας ἱλασκομένου ἐν τῷ ἰδίῳ αἵματι· ἀλλ᾽ οὐδὲ δοῦναί τις τιμὴν ἱκανὸς τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, δόντος Χριστοῦ ὑπὲρ πάντων λύτρον τὴν ψυχὴν αὐτοῦ· εἰ καὶ οὐ δώσει δὲ ἐξίλασμα οὐδὲ τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, ἀλλά γε μετὰ τὸ ἀπολυτρωθῆναι, ἐντολὰς δέχεται, ἵνα κατ᾽ αὐτὰς κοπιάσας ζῆσαι εἰς τέλος δυνηθῇ ἐσχηκὼς τὴν αἰώνιον ζωήν.

v. 10. B. f. 188. Ὁ λυτρωθεὶς ὑπὸ Χριστοῦ, οὕτω βεβαίως ἕξει τὴν σωτηρίαν, ὡς μὴ εὔσειστος καὶ εὐκίνητος εἶναι· κἂν γοῦν τοὺς οἰομένους . . . σοφοὺς δι᾽ ὧν ἁμαρτάνοντας ἀποθνήσκοντας· ἐπειδὴ οὐ σκανδαλίζεται ὥστε διαφθορὰν ἰδεῖν· μικρὸν γὰρ τὸ βλάπτεσθαι ἐπὶ τὸ ὁρᾶν πταίοντας τοὺς νομιζομένους σοφούς.

v. 11. B. f. 188. b. Ὁ ἄφρων καὶ ἄνους ἀγνοήσαντες ἑαυτοὺς τίνες εἰσίν, ἔδοξαν ὅτι κατὰ τὰ ἄλογα ζῷα οὐκ ἐπιδιαμεινούσης αὐτῶν τῆς ψυχῆς εἰσίν· φασιν γάρ, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· οὗτοι τοὺς τάφους ἐν οἷς εἰσὶν ἐντετυμβούμενοι οἴονται οἰκίας αὐτῶν εἶναι εἰς τὸν αἰῶνα, ἀνάστασιν νεκρῶν οὐ προσδοκῶντες· ἀλλὰ καὶ σκηνώματα αὐτῶν ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ οἴονται εἶναι τὰ μνήματα, ἐν μόνῃ ταύτῃ τῇ ζωῇ ἐλεεινῶς ἠλπικότες· τάχα δὲ καὶ μηδὲν ζωτικὸν ἐνεργοῦντες ἀλλὰ νενεκρωμένοι δι᾽ ὧν ἁμαρτάνουσιν· ἐν τάφῳ καταβαλλόμενοι, οἴονται τὸν τάφον οἰκίαν αἰώνιον.

Ἄνουν οὐ τὸν πάντῃ ἐκτετμημένον, ἀλλὰ τὸν κακόνουν καὶ κακόφρονα φησίν· καὶ γὰρ τὸν κακοπρόσωπον, ἀπρόσωπον· καὶ τὸν κακότεχνον, ἄτεχνον λέγειν εἰώθαμεν· οὕτως οὖν ὁ κακόνους καὶ κακόφρων, ἅμα τιμωρίαν ὑφέξουσιν· αὕτη γὰρ αὐτῶν ἡ ἀπώλεια, δι᾽ ἣν τὸν πλοῦτον αὐτῶν ὃν κακῶς ἐθαύρισαν, καταλείψουσιν ἀλλοτρίοις· οὐδεὶς γὰρ ἴδιος τοῦ ταῦτα λέγοντος κληρονόμος πλουσίου ἄφρονος καὶ ἄνου. v. 11. A. f. 172. B. f. 189.

Ὁ προκείμενος πλούσιος οὐκ εἰδὼς ἄλλην ζωὴν ἐν τῇ ζωῇ αὐτοῦ, ταύτῃ εὐλογεῖσθαι τὴν ψυχὴν αὐτοῦ νομίζει· καὶ τότε μόνον ἐξομολογεῖται ὅταν ἀγαθύνῃς αὐτῷ διὰ δόσεως τῶν ἐπιθυμιῶν τῶν ὑλικῶν·—Εἰ καὶ τὰ προειρημένα τοῖς πλείστοις τῶν ἀνθρώπων συμβέβηκεν, ἀλλά γε τὴν ἐμὴν ψυχὴν λήψεται ὁ θεὸς ἐκ τοῦ ᾅδου ἤδη κρατοῦντος αὐτὴν καὶ καταπιεῖν θέλοντος· καὶ ἐπεὶ ἐν ᾅδῃ κατὰ τὴν κατάστασιν ὁ ἁμαρτάνων ἐστίν, ὁ ἄφεσιν τῶν κρατούντων αὐτὸν ἁμαρτημάτων ἔχων, εὐχαριστεῖ τῷ θεῷ λαβόντι τὴν ψυχὴν αὐτοῦ ἀπ᾽ αὐτῆς τῆς χειρὸς τοῦ ᾅδου. v. 19. B. f. 190. b.

Πατέρας ἔσχεν ἔργοις φαύλοις καὶ χειρίστῳ φρονήματι γεννήσαντας αὐτόν· ὡσαύτως αὐτοῖς δρῶν ἐμιμήσατο τοὺς γεννήτορας, ἕως τῆς γενεᾶς τῶν πατέρων ἐξομοιούμενος αὐτοῖς εἰσελεύσεται· οὗτος δὲ τὴν παροῦσαν μόνην ζωὴν ἀποδεξάμενος, οὐκ ἐπίστευσεν τὸ φῶς θεωρῆσαι· διὸ καὶ ἕως αἰῶνος εἴρηται μὴ προσπελάζειν αὐτῷ· τάχα γὰρ ἐν ἐξωτέρῳ σκότῳ καταδικασθεὶς οὐκ ἐπιτραπήσεται τὸ αἰώνιον φῶς ἔτι θεάσασθαι. v. 20. B. f. 191. b.

PSALMUS XLIX.

v. 1. A. f. 280. B. f. 191. b. Εὐσεβίου καὶ Διδύμου. Χοροῦ ψαλτῳδῶν χο-
ροδιδάσκαλος οὗτος, ὡς ἡ τῶν παραλειπομένων
ἐδίδαξεν ἱστορία. Θεὸς θεῶν κύριος ἐλάλησεν,
καὶ ἐκάλεσεν τὴν γῆν· τοῦτο οἱ τρεῖς ἑτέρως
ἡρμήνευσαν, ἰσχυρὸς θεὸς λαλήσας ἐκάλεσεν
τὴν γῆν· οἱ δὲ ἑβδομήκοντα, θεοὺς ὀνομά-
ζουσιν τοὺς ἄρχειν λαχόντας καὶ κρίνειν πε-
πιστευμένους, ὅπερ ἴδιον νόμου θεοῦ· τοῦτο ἡμᾶς
ὁ ὀγδοηκοστὸς πρῶτος διδάσκει ψαλμὸς, καὶ αὐ-
τὸς τῷ Ἀσὰφ ἐπιγεγραμμένος· εἰρηκὼς γὰρ ὅτι
» ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ
» θεοὺς διακρινεῖ, ἐπήγαγεν· ἕως πότε κρίνετε
» ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνε-
» τε; κρίνατε ὀρφανῷ καὶ πτωχῷ· ταπεινὸν καὶ
» πένητα δικαιώσατε. » Τοῦτο δὲ ἱερέων ἴδιον
καὶ τῶν ἄλλων ὅσοι τὸ δικάζειν ἐνεχειρίσθησαν·
οὕτω καὶ ὁ νόμος διαγορεύει· θεοὺς οὐ κακολο-
γήσεις, καὶ ἄρχοντας τοῦ λαοῦ οὐκ ἐρεῖς κακῶς·
εὐλόγως δ' ἂν θεοὶ κληθεῖεν οἱ τὸ κατ' εἰκόνα
φυλάξαντες· ὁ τούτων θεὸς πᾶσαν συνάγει τὴν
οἰκουμένην εἰς τὸ κριτήριον.

v. 1. A. f. 275. Καὶ πάλιν τοῖς ἀπὸ ἀνατολῶν ἡλίου φησὶ καὶ
μέχρι δυσμῶν ἐπέλαμψεν· ἐκ γὰρ τῆς ἄνω Σιὼν
καὶ δευτέραν παρουσίαν ποιήσεται. Καλέσας οὖν
τὴν γῆν, τουτέστιν τοὺς ἐπὶ γῆς, ἐπέλαμψεν
αὐτοῖς ὡς προσβάλλοντας αὐτῷ γνῶναι ὅτι ἐκ
τῆς Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ γε-
γένηται· ἐδείχθη γὰρ ἐκ σπέρματος Δαυεὶδ κατὰ
σάρκα.—Αὐτὸς ὁ τῶν θεῶν θεὸς, ὁ πᾶσαν τὴν
γῆν ἐπὶ τὸ μετασχεῖν αὐτοῦ καλέσας, οὐ κρύβ-
δην οὐδὲ λεληθότως ἀλλ' ἐμφανῶς ἥξει κατὰ τὴν
δευτέραν ἐν δόξῃ μετ' ἀγγέλων αὐτοῦ παρουσίαν·
οὐ παρασιωπήσεται, ἑκάστῳ κατὰ τὰ ἔργα καὶ
τὴν πρᾶξιν κρίσιν ποιῶν· καὶ σημειωτέον ὅτι καὶ
ἐν τῷ παρόντι ψαλμῷ ἀμφοτέρας τὰς Χριστοῦ
παρουσίας δηλοῖ· τὴν μὲν πρώτην, διὰ τοῦ ἐκ
Σιὼν ἡ εὐπρέπεια· τὴν δὲ δευτέραν, διὰ τοῦ ὁ
θεὸς ἐμφανῶς ἥξει.

v. 4. A. f. 277. B. f. 193. Οὐρανὸν δέ φησιν τὰς θείας δυνάμεις· γῆν
δὲ τοὺς ἐνοικοῦντας ἐπ' αὐτὴν, ἐπὶ τὸ διελεγχ-
θῆναι αὐτοὺς ἐπ' αὐτῶν τούτων υἱοποιηθέντας.

Ἐπεὶ ἡ δόσις τοῦ νόμου ἐπὶ μάρτυσιν οὐρα- v. 4. B. f. 193. b.
νῷ καὶ γῇ δέδοται, ὡς ἐν δευτερονομίῳ γέγραπ-
ται, ἀνάγκη τὸν λαὸν διακρινόμενον ἐπὶ μάρτυ-
σιν ἐφ' ὧν τὸν νόμον ἔλαβεν ἐξετασθῆναι, πα-
ραβεβηκότα τοὺς θείους νόμους· προσκαλεῖται
οὖν τὸν οὐρανὸν ἄνω, τουτέστιν τὰς θείας δυνά-
μεις· καὶ τὴν γῆν, λέγω δὲ τοὺς ἐνοικοῦντας
ἐπ' αὐτῇ, ἐπὶ τὸ διελεγχθῆναι τοὺς ἑαυτῶν υἱο- A. f. 277.
ποιηθέντας· ἄκουε γὰρ οὐρανὲ καὶ ἐνωτίζου γῆ,
ἐκκηρυττομένων τῶν τέκνων τοῦ θεοῦ· ἐφ' ὑμῖν
γὰρ τὸν νόμον λαβόντες, οὐκ ἐφύλαξαν· δηλοῖ
δὲ διὰ τούτων τοὺς ἐν οὐρανῷ τε καὶ ἐπὶ γῆς.

Ἀγγέλοις τάχα προστάττει ἢ ἀνδράσιν ἱεροῖς, v. 5. B. f. 193.
ὅπως τοὺς ὁσίους αὐτοῦ συναγαγὼν ἐπὶ τὸ δια-
θέσθαι καὶ συνθέσθαι τὴν διαθήκην αὐτοῦ τοῦ
θεοῦ ἐπὶ θυσίαις πνευματικαῖς· θυσίας δὲ πνευ-
ματικὰς τὴν τῆς αἰνέσεως καὶ εἴ τις ἄλλη παρα-
πλησία· τὰς οὖν θυσίας ἐφ' ἃς ἡ πνευματικὴ
διαθήκη ἀποδεχόμενος συναχθῆναι αὐτῷ τοὺς
ὁσίους αὐτοῦ προστάττει, ἵνα τὰ προειρημένα
ἐπιτελέσωσιν.

Δικαιοσύνην προσονομαζόμενοι ἀναγγελοῦσιν v. 6. A. f. 277. b.
οἱ οὐρανοὶ, ἄνδρες ὄντες ἱεροὶ φοροῦντες τὴν
εἰκόνα τοῦ ἐπουρανίου.

Ἀλλ' οὐδ' ἐπὶ τῇ διαθέσει καθ' ἣν προσφέ- v. 8. A. f. 281.
ρεις ταύτας, ὡς καὶ τὸν Κάϊν ἐπὶ τῷ μὴ ὀρθῶς
διῃρηκέναι διήλεγξα.—Ἐλέγχει θεὸς οὐκ ἐπ' αὐ- B. f. 193. b.
τὰ τοῖς προσαγομένοις, ἀλλ' ἐπὶ τῇ διαθέσει
καθ' ἣν προσάγεται ταῦτα· καὶ τὸν Κάϊν γοῦν
ἐπὶ τὸ μὴ ὀρθῶς διῃρηκέναι ἃ ἔδει προσάγειν,
ἤλεγξεν· κἂν πνευματικὴν οὖν θυσίαν προσφέρῃ
τὶς εἰς ὁλοκαυτώματα διὰ παντελοῦς ἀγαμίας τὸ
σῶμα ἑαυτοῦ, ὀρθῇ γνώμῃ τοῦτο ποιείτω· οὐ γὰρ
ἐπὶ τοῖς πραττομένοις ἐπαινετοῖς οὖσιν, ἀλλ' ἐπὶ
τῇ γνώμῃ οὐκ ὀρθῶς ἐπιτελοῦσιν ἐλέγχεταί τις.

Ἐπεὶ οἱ ἐν τῷ οἴκῳ σου τροπικῶς λεγόμενοι v. 9. B. f. 194.
μόσχοι πολέμιοι τῷ σωτῆρι ὤφθησαν, λέγοντες,
ἐκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες πε-
ριέσχον με· τούτου χάριν οὐ δέξομαι αὐτοὺς,
οὐδὲ τοὺς συγκαταλεγομένους αὐτοῖς χιμάρους·
καὶ οὗτοι γὰρ ὑπὲρ ἁμαρτίας προσάγοντες ἑαυ-
τοὺς, οὐδὲν ἧττον ἁμαρτάνουσιν· γίνωσκε γὰρ
ὅτι οἱ ποτὲ θῆρες τοῦ δρυμοῦ οἱ ἀπὸ τῶν ἐθνῶν

ἐξηγριωμένοι ἄνθρωποι τῇ θείᾳ διδασκαλίᾳ τιθασσευόμενοι ἐμοὶ γεγένηνται, τὸ πρότερον ἀκαρπίᾳ συνόντες· ταύτης γὰρ σύμβολον ὁ δρυμός· ἀλλὰ καὶ τὰ κτήνη οἱονεὶ πρόβατα Χριστοῦ, καὶ οἱ βόες οἱ ὑπεραναβάντες σου τὸν οἶκον, τουτέστι τὴν τοῦ νόμου σκιὰν, ἐν τοῖς δόγμασιν τοῦ εὐαγγελίου, διὰ τὸ ὕψος ὄρεσιν οὖσιν διατρίβοντες, κτῆμα ἡμέτερόν εἰσιν. Παῦλος οὖν βοῦς ὢν τῶν ἐπὶ τὰ ὄρη, τὸν περὶ βοὸς ἐκθέμενος νόμον, ἐπήγαγεν τὸ, μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ πάντως περὶ ἡμῶν λέγει· ἀλλὰ καὶ ὑψιπετεῖς γενόμεναι ψυχαὶ ἐπτερωμέναι νοήσεσιν καὶ ἐνεργείαις ὀρθαῖς, πετεινὰ οὐρανοῦ χρηματίζουσιν, ἃ ἔγνωκα· ἐγὼ γινώσκων γάρ εἰμι τοὺς ὄντας ἐμοί.

v. 11. B. f. 194. Ἡ δεξαμένη ἀγαθὴ γῆ, τουτέστιν καρδία ὀρθὴ τὸν ὑπὸ Ἰησοῦ βαλλόμενον σπόρον καὶ καρποφορήσασα ἑκατὸν, ἑξήκοντα, τριάκοντα, τὸν πλήρη καὶ ὥριμον καρπὸν ἔχουσαν, ὡραιότης ἐστὶν ἀγροῦ, οὐ μακρὰν οὖσα τοῦ σπορέως· αὐτὸς γάρ φησιν, ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστίν.

v. 12. B. f. 194. Πεινᾷ ὁ σωτὴρ τὴν τινῶν σωτηρίαν, ὥσπερ ἀμέλει περὶ τῆς σωτηρίας τῆς Σαμαρίτιδος πρὸς τοὺς μαθητάς φησιν· ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε· καὶ ἐμὸν βρῶμά ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με· ἐπεὶ οὖν οἱ ἐκ περιτομῆς ἐχόμενοι τῆς σκιᾶς, ὡς πεινῶντι αὐτῷ προσάγουσιν τὰς αἰσθητὰς λατρείας, φησίν· ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἔχω γὰρ κτῆμα μου γεγενημένην τὴν ἔνδοξον ἐκκλησίαν οἰκουμένην χρηματίζουσαν· καὶ τὸ πλήρωμα αὐτῆς, πλήρωμα δ' αὐτῆς τὸ εὐαγγέλιον, μὴ ὁ τύπος ἢ σκιά· τρεφόμενος οὖν τὸ πλήρωμα τῶν ἐθνῶν, οὐκ ἀπαιτήσω σε κατὰ σκιὰν τροφήν· εἰ δὲ θέλῃς με τῷ ὄντι θεραπεύειν θεόν σου τυγχάνοντα,
v. 14. θῦσον μοι θυσίαν αἰνέσεως, αἰτῶν καὶ θεολογῶν· ταύτας γὰρ δέχομαι τὰς προσφοράς· ἔλεον γὰρ θέλω, ἢ θυσίαν· καὶ ἐπίγνωσιν θεοῦ, ἢ ὁλοκαυτώματα.

A. f. 181. b. Ἀλλὰ καὶ τῷ ὑψίστῳ τῷ πατρὶ ἀπόδος δι' ἐμοῦ ἃ νοητῶς ηὔξω· ἐπίγνωσις γὰρ θεοῦ εἴη ἀληθὴς καὶ ἀκραιφνεστάτη διὰ τῆς εἰς Χριστὸν πίστεως.

Ἐπεὶ οὐχ ὡραῖος (ἔπαινος) ἐν στόματι ἁμαρ- v. 16. B. f. 195.
τωλοῦ, τῷ ἁμαρτάνοντι ἐπιπλήττει ὁ θεὸς φάσκων· ἵνα τί διηγῇ τὰ δικαιώματά μου, ἃ ἐπιτελεῖν οὐ θέλεις; ἀλλὰ καὶ ἵνα τί ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματος; ἔδει γὰρ ἐν καρδίᾳ σε αὐτὴν δεξάμενον, καὶ τυπώσαντά σου κατ' αὐτὴν τὰς νοήσεις, οὕτω προφέρειν τοὺς λόγους τῆς διαθήκης μου· τούτῳ συνᾴδει ὁ κηρύττων· μὴ κλέπτων κλέψεις, καὶ τὰ ἑξῆς.

Πρὸς δὲ διάνοιαν νοήσεις καὶ οὕτως. Εἴ πο- v. 18. A. f. 282. b.
τε ἐθεώρεις ἑτεροδόξῳ γνώμῃ κλέπτοντα τὸ βούλημα τῆς ἀληθείας, συναινῶν συνέτρεχες αὐτῷ· ἀλλὰ καὶ τοὺς μοιχεύειν πειρωμένους τὴν Χριστοῦ νύμφην τῷ περισπᾶν εἰς αὐτοὺς τὰς ἐκκλησιαστικὰς ψυχὰς, ὁμογνωμονῶν αὐτοῖς, ἢ μὴ ἐκτρεπόμενος αὐτοὺς, μετὰ τῶν μοιχῶν ὄντων τὴν μερίδα σου ἐτίθεις· ἁρμόζειν ἐρεῖς τὴν λέξιν ταύτην τοῖς ἐπαγγελλομένοις μὲν ἐκκλησιαστικοῖς εἶναι, εἰς κοινωνίαν δὲ ἐρχομένοις μὴ ἐκκλησιαστικοῖς ἀνδράσιν.

Ὁ ἀγνοῶν τὸ ἀγαθὸν, πράττων δὲ τὸ κακὸν, v. 19. B. f. 195. b.
ἧττον ἁμαρτάνει· ὁ δὲ μετὰ τὸ ἐπίστασθαι τὸ ἀγαθὸν ἁμαρτάνει, ἐπιτεινομένην ἔχει κακίαν· διὸ καὶ ὁ ἐγνωκὼς τὸ θέλημα τοῦ κυρίου δοῦλος, δαρήσεται πολλὰ μὴ ποιῶν αὐτό· δύναται δὲ καὶ οὕτως· ἐπεὶ διὰ στόματος ἀναλαβὼν τὴν θεοῦ διαθήκην, τὴν καρδίαν πλήρη εἶχεν ἁμαρτίας, πρὸς ὃν ὁ λόγος· ἁμαρτωλὸς γάρ ἐστιν ἐκ τοῦ περισσεύματος τῆς καρδίας φαύλου, ὄντως ἐν τῷ στόματι πλεοναζομένην εἶχεν κακίαν, ὡς τὴν γλῶσσαν αὐτοῦ δι' ὧν σοφίζεται περιπλέκειν δολιότητας· περιπλέκει γὰρ καὶ συντίθει τοὺς αἱρετικοὺς λόγους ὄντας σοφίσματα.

Σιγὴ θεοῦ λέγεται ἡ πρὸς τοὺς ἁμαρτωλοὺς v. 21. B. f. 195. b.
μακροθυμία· ὅταν γὰρ παρ' αὐτὰ τιμωρεῖται, οὐ σιωπᾷ ἀποφαινόμενος κατ' αὐτῶν ἃ δεῖ αὐτοὺς παθεῖν· τοῦτον τὸν νοῦν ἔχει καὶ τὸ, ἐσιώπησα ἀπ' αἰῶνος, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι, λέγει κύριος; πρὸς τὸ ἐλεγχόμενον οὖν ταῦτα ἐποίησας ἃ προλέλεκται ἁμαρτήματα καὶ ἐσίγησα, διὰ μακροθυμίαν τόπον διδοὺς μετανοίας· σὺ δὲ ὠφεληθῆναι ἐκ τῆς τοιαύτης σιωπῆς ἐκ τοῦ ἐναντίου ὑπέλαβες πρὸς οἷς εἶχες κα-

κοῖς ἀνομίαν, καθ' ἣν νομίζεις με ὅμοιόν σοι τυγχάνειν· ἔδοξάς με γὰρ χαίροντα οἷς πράττεις μὴ ἐπεξέρχεσθαι κατὰ σοῦ.

v. 23. B. f. 196. Οὐκ ἐνταῦθα ἐν τῇ αἰσθητῇ λατρείᾳ, ἀλλ' ἐκεῖ τῇ θείᾳ τυγχανούσῃ αἰνέσεως, ἡ ὁδός ἐστιν ἣν δείκνυσι φωτίζων ὁ θεὸς τὸ σωτήριον ἑαυτοῦ τὸν μονογενῆ υἱὸν σωτῆρα ὄντα, ἢ αὐτὴν τὴν σωτηρίαν, ὅτε δὲ τὸν σωτῆρα Χριστὸν σημαίνει.

PSALMUS L.

v. 1. B. f. 197. Ἀλλὰ μηδεὶς ἐπεμβαινέτω τῷ μεγάλῳ Δαβὶδ, δικαιώσαντος γὰρ τοῦ θεοῦ, οὐδεὶς ἔσται ὁ κατακρίνων· ἀλλὰ καὶ τοσοῦτον χρόνον ἐν βασιλείᾳ γεγονότος, τοῦτο μόνον αὐτοῦ φέρεται ἁμάρτημα, καὶ τὸ μεμετρηκέναι τὸν λαὸν παρὰ τὸ βούλημα τοῦ θεοῦ· ἀλλ' οὐδὲ τὴν ἁμαρτίαν ἐπίμονον ἔσχεν· βασιλεὺς δὲ τοσοῦτος ὑπ' ἰδιώτου διελεγχθεὶς, μηδὲν ἀγανακτήσας, ἐκάκισεν ἑαυτὸν, ὡς τὸν προφήτην εἰπεῖν· καὶ κύριος παρήγαγεν τὴν ἁμαρτίαν σου· τῷ γὰρ εἰπεῖν, καὶ κύριος, καὶ τὸν Δαυὶδ ἔδειξεν αὐτὴν διὰ μετανοίας παρενενεγκόντα σφόδρα· οἱ μὲν γὰρ ἄλλοι ἄνθρωποι καταπίπτουσιν ἐν ταῖς ἁμαρτίαις, οἱ δὲ ἅγιοι τρέχοντες τῆς σωτηρίας τὸν δρόμον, εἴ τι καὶ πάθοιεν ἀπροσεκτοῦντες, οὐ καταπίπτουσιν ἀδιαστάτῳ δρόμῳ, μὴ δὲ προσκεκοφῆναι δοκοῦντες· ἀνεγράφη δὲ τῶν ἁγίων τὰ πλημμελήματα πρὸς τὸ μὴ ὀκνεῖν ἡμᾶς πρὸς ζῆλον τούτων ἐλθεῖν, προφασίζεσθαι τὸ θεῖαν εἶναι μοῖραν καὶ ἀνεπίδεκτον ἁμαρτίας τοὺς ἁγίους· ὅθεν δέδωκεν ἡ πρόνοια πρόφασιν ἁμαρτίας γενέσθαι περὶ αὐτούς· ἵν' ὥσπερ ἀρετῆς οὕτω καὶ μετανοίας ὦσι διδάσκαλοι· τάχα δὲ καὶ μὴ πλημμελοῦντες ἐπέγραφον ἂν ἰδίᾳ δυνάμει τὴν ἀρετὴν, ἀλλ' οὐ θεοῦ συνεργείᾳ· παρορῶσα τοίνυν ἡ θεία χάρις τὸ μέγα τῆς οἰήσεως ἀποκωλύει τούτοις ἁμάρτημα πρὸς ἐπίγνωσιν τῆς φυσικῆς ἀσθενείας καὶ τῆς ἐπὶ θεὸν προσφυγῆς.

Πεντηκοστὸς δὲ ψαλμὸς ἀναγέγραπται, ἐπείπερ ὁρμονίαν ὁ ψαλμὸς ἔχει πρὸς ἄφεσιν· ἄλλως γὰρ οὐκ ἂν τὸ συγγραφικὸν πνεῦμα προύταξεν αὐτὸν τοῦ να', καὶ νγ', καὶ τῶν ἐφεξῆς, εἰ καθ' ἱστορίαν ὑπῆρξεν ἡ τάξις· ὁ γὰρ να' περὶ τῆς Δωὴκ τοῦ σύρου καὶ τῆς πρὸς τὸν Σαοὺλ αὐτοῦ διαβολῆς ἐπιγέγραπται· τὸ δὲ πρὸ τῆς βασιλείας ἦν τοῦ Δαυίδ· καὶ ὁ νγ' περὶ τῆς πρὸς τὸν Σαοὺλ τῶν Ξιφάκων * διαβολῆς· ὅτε δὲ ἀναλογίαν ὁ ἀριθμὸς ἔχει πρὸς ἔλεον, ὁ σωτὴρ περὶ ἀφέσεως διδάσκων, χρεώστας παρέλαβεν ὑπευθύνους ν' καὶ φ' δηναρίοις ἀφέσεως ἑκατέροις γεγενημένης, διὰ τὸν ν' καὶ τὸν συγγενῆ χρεωστεῖν ἀριθμόν· ἀμέλει τοῦ σφαγέντος ἀμνοῦ τοῦ θεοῦ καὶ ἀναστάντος καὶ πεποιηκότος ἡμῖν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· ἐπὶ ν' ἡμέρας διάγομεν εὐφραινόμενοι, τῇ πεντηκοστῇ ἡμέρᾳ τῆς ἐκχύσεως τοῦ πνεύματος ἀξιούμενοι· καὶ ὁ ἰωβηλαῖος δὲ διὰ τῶν ν' παρ' Ἑβραίοις ἄφεσιν ὡς χρεῶν ἀποκοπτομένων· ἐν ᾧ καὶ τῶν Ἑβραίων ἐλευθερία, καὶ κτήσεων ἀποκαταστάσεις, ὡς εἶναι τὸν ἐνιαυτὸν ἑορτήν· εἰκότως οὖν πεντηκοστὸς ὁ τῆς μετανοίας ψαλμός· ἔστι δὲ καὶ ἐξ ἑβδομάδων ζ' καὶ μονάδος, ὡς εἶναι ἑβδομάδα ἑβδομάδων ἀριθμὸν, ἐν ᾧ ᾄδει γενέσθαι τὸν ἀποβάλλοντα τὸ ἄχθος καὶ τὸ ἔργον τῆς ἁμαρτίας.

* ita cod.

v. 3. A. f. 287. b. B. f. 197. b. Ὁ σφοδρῶς μετανοῶν καὶ τοὺς προσήκοντας τῇ μετανοίᾳ καρποὺς ἀγαπῶν, αἰτεῖ καὶ τὸν παρὰ θεοῦ μέγαν ἔλεον εἰς αὐτὸν γενέσθαι, οὐκ ἐπαρκούσης τῆς μετανοίας, ἄνευ ἐλέου θεοῦ· οὐδὲ τοῦ ἐλέου θεοῦ, ἄνευ τῆς ἐκ τοῦ ἐφ' ἡμῖν μεταγνώσεως πρὸς σωτηρίαν.

v. 4. B. f. 197. b. Ὥσπερ αἱ δυσέκπλυτοι βαφαὶ οὐ μιᾷ πλύσει ἀλλὰ πολλαῖς ἐξίτηλοι γίνονται, οὕτω καὶ τὰ μεγάλα τῶν ἀνομημάτων πολλοῖς οἰκτιρμοῖς θεοῦ ἀπαλείφεται.—v. 4. Ibid. Τὴν θνητὴν ἐνέργειαν ἀνομίαν καὶ ἁμαρτίαν καλεῖ, τῷ κατὰ τὴν ἔννοιαν διαφέρειν· τῷ ἄνευ μὲν νόμου συνίστασθαι ἀνομίαν· τῷ δὲ κατὰ παράβασιν νόμου συνίστασθαι ἁμαρτίαν· πλὴν ἑκατέρως αὐτὴν ἐκπλυθῆναι καὶ καθαρισθῆναι ἀξιοῖ θεὸν, τὸν ἐκπλῦναι αὐτὴν καὶ καθαρίσαι δυνάμενον ἀπὸ τῆς προειρημένης ἕξεως.

v. 4. et 5. A. f. 298. Ὁ δὲ τὴν ἅπαξ πραχθεῖσαν ἁμαρτίαν ἐνώπιον αὐτοῦ ἔχων, οὐκ ἀνάσχοιτο ἑτέραν ποιῆσαι· τῶν γὰρ προτέρων ἐπιλανθανόμενοι, ἑτέρας ἐνεργοῦμεν ἡμεῖς.

v. 6. A. f. 288. b. B. f. 198. Ὅσον ἐπὶ τῷ εἶναι βασιλεὺς οὐχ ὑπέκειτο ἀν-
θρωπίνῳ νόμῳ· ὅθεν οὐδὲ τινὶ τῶν νομοθετῶν
ἥμαρτεν, οὐδ' ἐνώπιόν τινος αὐτῶν τὸ πονηρὸν
ἐποίησεν· ἐπειδὴ δὲ πρὸς τὸ βασιλεὺς, καὶ θεο-
σεβὴς εἶναι βούλεται, ὑπέκειτο τῷ τοῦ θεοῦ νό-
μῳ· διὸ καὶ ἅμαρτεν μόνῳ θεῷ, καὶ τὸ πονη-
A. f. 289. B. f. 198. b. ρὸν ἐνώπιον αὐτοῦ ἐποίησεν.—Καὶ πάλιν. Ἐπεὶ
θεὸς εἶπεν ἐπιῤῥεπεστέραν εἶναι τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπὶ τὰ πονηρά· καὶ τὸ, οὐκ ἔστιν ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται, ἁμαρτανόντων καὶ αὐτῶν τῶν τελείων, δικαιοῦται ὁ θεὸς ἐν τοῖς λόγοις ἑαυτοῦ, ἐν οἷς εἶπεν πάντας ἐκκεκλικότας, ἅμα ἠχρειῶσθαι· ταύτῃ δὲ καὶ νικᾷ κρινόμενος πρὸς τοὺς ἀνθρώπους, ἀποδεικνὺς αὐτοὺς ἁμαρτωλούς· συνῳδὸν τούτοις τὸ, ἐὰν εἴπωμεν, οὐχ ἡμαρτήκαμεν, ψευστὴν ποιοῦμεν αὐτόν· ὁ γὰρ ἀναμαρτησίαν αὐχῶν, ὅσον εἰς αὐτὸν, ψεύστην ἀποφαίνει τὸν θεόν.

v. 8. B. f. 199. b. Ὁ τῇ σοφιστικῇ ἕξει ἐγγεγυμνασμένος ἐπὶ θήρᾳ τῆς ἀληθείας, τὸ μέγεθος αὐτῆς γνοὺς, ἀγάπην πρὸς αὐτὴν ἔσχεν τελείαν· οἱ γὰρ τοῖς ψεύδεσιν ἐγγυμνασάμενοι διορατικώτεροι γεγενημένοι, καθορῶσι τῆς ἀληθείας τὸ ἀξιάγαστον κάλλος· οἷός ἐστιν Μωϋσῆς καὶ Δανιήλ· μετὰ γὰρ τὸ πειραθῆναι σοφιστικῶν λόγων, ἐπ' αὐτὴν τὴν ἀληθῆ σοφίαν ἀναβάντες, ὑπὸ τοῦ θεοῦ μαρτυρίαν ἔσχον, ὡς ὄντες τέλειοι, σοφῶς δηλώσαντος αὐτοῖς τοῦ θεοῦ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ, ὡς μηδὲν αὐτοῖς ἔτι ἀσαφῆ ἐπεσκιασμένον εἶναι ταύτης τῆς ἕξεως, καὶ ὁ Δαυὶδ τυγχάνων ἀνεφθέγξατο τὸν προκείμενον στίχον.

v. 10. B. f. 200. Πολλάκις ἤδη δόγματα, καὶ ψυχῆς δυνάμεις εἶναι εἴρηται· τὰ ὀστᾶ ταπεινοῦται ταῦτα ὑπὸ ἁμαρτίας καὶ σοφιστικῆς γοητείας· θεοῦ ἀκουτίσαντος, ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιᾶται τὰ τεταπεινωμένα ὀστᾶ.

v. 11. B. f. 200. b. Ἐξαλείφονται ἁμαρτίαι ἀπὸ τῆς μετουσίας τῶν ἀρετῶν· ὡς γὰρ ἡ ἐπιστήμη εἰς ψυχὴν ἐλθοῦσα ἀφανίζει καὶ ἐξαλείφει τὴν ἄγνοιαν, οὕτω παρουσίᾳ ἀρετῆς τελείας ἐξαλείφεται ἁμαρτία πᾶσα.

v. 13. B. f. 201. Τῶν σπουδαίων ἀδιαστάτως τῷ τοῦ θεοῦ προσώπῳ παριςαμένων, ὁ ἁμαρτάνων ἀποῤῥίπτεται· μὴ πάθοιμι δὲ τοῦτο, φησὶ, περιεχόμενος τῆς θείας κατανοήσεως· μὴ δὲ τοῦ δοθέντος μοι θείου πνεύματος γυμνωθείην.

Προσδοκῶν τὴν δεῦρο κάθοδον τοῦ σωτῆρος, v. 14. B. f. 201. b.
ἐφ' ᾗ ἀγαλλίασιν τελείαν ἔχειν συμβαίνει, παρακαλεῖ τὸν πατέρα φάσκων· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, ὅπως καὶ πνεύματι ἡγεμονικῷ καὶ τελείῳ στηρίσῃς με· ἑκατέρως δὲ καὶ ἐν τούτοις πνεῦμα λέγει ἤτοι τὸ ἅγιον ἄρχον καὶ ἡγεμονικόν· ἢ τὸ τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ ἕτερον ὂν τῆς τοῦ ἀνθρώπου ψυχῆς.

Καὶ ἐν τῇ προγραφῇ τοῦ ψαλμοῦ ἐφάσκομεν v. 15. Ibid.
παρορᾶν ποτὲ τὸν θεὸν τοὺς σπουδαίους ὥστε ἁμαρτίαν ποιεῖν, ἵνα μετανοοῦντες ἔργῳ καὶ τὴν περὶ μετανοίας διδασκαλίαν ἐπιδείξωνται· ἰδοὺ γοῦν καὶ ἐνταῦθα βεβαιοῖ τῷ θεῷ ῥῆμα· διὰ γὰρ τῆς ἐξομολογήσεως τῆς πρὸς θεὸν, διδάσκειν ὑπισχνεῖται ἀνόμους αὐτοῦ τοῦ θεοῦ τὰς ὁδούς· ἵνα τούτων ἐπιβάντες, εἰ καὶ πότε ἠσέβησαν ἐξ ὀλιγωρίας, ἐπιστρέψωσιν πρὸς αὐτόν.

Ἐπεὶ δι' ὧν ἐποίησα πρὸς θάνατον ἁμαρτιῶν v. 16. B. f. 202.
πλήρης εἰμὶ αἱμάτων, ἐκ τούτων ῥῦσαί με ὁ καθάπαξ θεὸς ὢν καὶ ἡμέτερος.—Ὁ λόγος ὁ ἡμέτερος γλῶσσα μοῦ καλούμενος, ἐν τῷ ἀεὶ περὶ δικαιοσύνης σου φθέγγεσθαι, ἀγαλλιάσεται τὴν δικαιοσύνην σου.

Ἐκείνου ἀνεῖλου τὰ χείλη ὁ θεὸς τοῦ λα- v. 17. B. f. 202
βόντος λόγον ἐν ἀνοίξει τοῦ στόματος· διὸ καὶ τὸ ςόμα αὐτοῦ ἐξαγγέλλει τὴν αἴνεσιν τοῦ θεοῦ, ἀεὶ αἰνοῦν καὶ εὐχαριστοῦν αὐτῷ.

Ὁ περὶ ἁμαρτίας ἰδίας ἐξομολογούμενος, τί v. 20. B. f. 202.
βούλεται περὶ τῆς Σιὼν καὶ Ἱερουσαλὴμ διαλέγεσθαι; ἀλλ' ἐπεὶ εἴπομεν μὴ πάντως αὐτὸν βεβλάφθαι ἐκ τοῦ ἐπταικέναι ἐν τῷ συντόνῳ δρόμῳ, τούτου χάριν προφητικὴν ἔτι ἕξιν ἔχων, καὶ τὴν τοῦ ἁγίου πνεύματος κοινωνίαν, εὔχεται καὶ προφητεύει, ἀγάθυνον λέγων τὴν Σιὼν ἐν τῇ εὐδοκίᾳ τῷ υἱῷ σου γεγενημένην, καὶ τῷ πνεύματι συνεγγίζουσαν· ἀλλὰ καὶ οἰκοδομεῖται τὰ τείχη τῆς Ἱερουσαλήμ· ἀγγέλων δὲ φρουραὶ ταῦτα, ἢ δογμάτων ἀκαταλύτων ἵδρυσις.

Δικαιοσύνην φησὶ τὴν διὰ πίςεως Ἰησοῦ Χρι- v. 21. B f. 203.

στοῦ εἰς πάντας τοὺς πιστεύοντας συνισταμένην· αὕτη δὲ ἡ δικαιοσύνη ἀναφορὰ καὶ ὁλοκαυτώματα πνευματικὰ τυγχάνει· καὶ τὸ θύσατε θυσίαν δικαιοσύνης· ἀλλὰ καὶ ἐπὶ τὸ πνευματικὸν θυσιαστήριον ἀνοίσουσι μόσχους γεωπόνους ἕλκοντας ἄροτρα ψυχὰς, οὐκ ἄλλας τυγχανούσας τῶν ψυχῶν τῶν μαρτύρων, ὀφθείσας παρὰ τὸ ἐπουράνιον θυσιαστήριον, ἀναφερομένας ἐπ' αὐτῷ μόσχων δίκην· ἐν γὰρ τῇ ἀποκαλύψει Ἰωάννου αἱ τῶν πεπελεκισμένων ψυχαὶ διὰ τὸ ὄνομα Ἰησοῦ καὶ τὴν μαρτυρίαν αὐτοῦ, ὑπὸ τὸ θυσιαστήριον τὸ ἐπουράνιον τεθεώρηνται 1).

PSALMUS LI.

v. 1. B. f. 204. Ὄντως γὰρ συνέσεως δεῖται τῆς ἐκ θεοῦ ἡ τῶν ἐμφερομένων λόγων διάνοια· τινὰ δὲ δεῖ τὴν εἰς τοσαύτης τραγῳδίας πρόφασιν παρασχεῖν ἢ τὸν νομέα τῶν ἀλόγων ζώων; ἀγελάρχης γὰρ ἦν (Δωὴκ) ἡμιόνων· ὁ γοῦν Δαβὶδ συνιεὶς τὴν πολλὴν αὐτοῦ κακίαν ἢ τὸν κινήσαντα ἐν αὐτῷ τὸν φθόνον διάβολον, ὡς πρὸς παρόντα τὰς λέξεις ἐφθέγξατο τοῦ ψαλμοῦ.

v. 3. B. f. 204. b. Τὸ ἡμέρα ἐνταῦθα φανέρωσιν δηλοῖ, ἢ ὅλον τὸν χρόνον καθ' ὃν ἀνομεῖ.

v. 8. B. f. 205. b. Διδύμου καὶ Εὐσεβίου. Οἱ πάνυ εὐλαβεῖς ὅταν καταπίπτοντας ἐξ ἀρετῆς τὴν κακίαν ἴδωσι τινὰς, φόβον λαμβάνουσι μὴ τὰ αὐτὰ πάθοιεν οὗτοι δὲ καὶ ἐπικερτομεῖς εἶεν κατὰ τοῦ λαλοῦντος, ὡς ἐπ' αὐτῷ γελᾶν, ἐροῦντες ἰδοὺ ἄνθρωπος, καὶ τὰ ἑξῆς.

v. 9. Ibid. Τάχα πᾶς πλουτῶν ἐν κακίᾳ ψευδωνύμῳ γνώσει ἐν τῷ μεγαλοφρονεῖν ἐπὶ τούτοις ἐπελπίζει ἐπὶ τῷ πλήθει τοῦ τυφλοῦ πλούτου· ἀλλὰ καὶ ἐνδυναμοῦσθαι νομίζει· ἄρχων ἀνομίας, καὶ σείρωσιν πρὸς πᾶν ἀγαθὸν ἔχων ἔργον.

v. 10. B. f. 206. Ἐν τῷ οἴκῳ τοῦ θεοῦ διὰ πίστεως φυτευθεὶς ἀρετὴν φέρει ἀλέξουσαν τὰς ἐκ παθῶν καὶ ἁμαρτημάτων νόσους, καὶ τρέφουσαν τὸ φῶς τῆς γνώσεως· ὁ τοιοῦτος ἐλεημόνας καρποφορήσας ἐλπίζει ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ, εἰδὼς ὅτι οἱ ἐλεήμονες ἐλεηθήσονται· ἔχει δὲ τὴν ἐλπίδα οὐκ ἐφ' ἕνα αἰῶνα, ἀλλ' εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

PSALMUS LII.

Ἄφρονα ἡγητέον λέγεσθαι τὸν φρονήσεως θείας στερούμενον· φαίνεται γὰρ αὐτὸς περὶ οὗ ὁ λόγος, μὴ σώζων κοινὴν φρένα· εἰδὼς γὰρ πάσῃ ψυχῇ ἐννοιῶν θεοῦ καταβεβλημένην ἀθεότητα, ἀσπαζόμενος οὐδενὶ ἄλλῳ εἰ μὴ τῇ ἑαυτοῦ καρδίᾳ μὴ εἶναι θεόν. v. 2. B. f. 207.

Διδύμου καὶ Εὐσεβίου. Ὁ παρὼν στίχος προνοητὴν εἰσάγει τὸν θεὸν, οὐ τῶν κατ' οὐρανὸν μόνον ἀλλὰ καὶ τῶν ἐπὶ γῆς· ἐξ οὐρανοῦ γὰρ ἐφορᾷν προνοητικῶς τοὺς υἱοὺς τῶν ἀνθρώπων εἴρηται· οὐκ ἔξωθεν κατὰ τὸ σῶμα μόνον ἐπιβλέποντας αὐτοὺς, ἀλλὰ καὶ κατὰ τὸ κρυπτὸν τῆς καρδίας· ἐπιβλέπει γοῦν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὅπως ἴδῃ εἰ ἔστιν ὁ διὰ τοῦτο καλὸν ποιεῖν συνιὼν, καὶ διὰ τοῦ ἐξετάζειν τὴν ἀλήθειαν ἐκζητῶν τὸν θεόν· ἀνθρωπίνως δὲ καὶ ἀφ' ὧν ἴσμεν εἴρηται τὸ διακύπτειν ἐξ οὐρανοῦ καὶ τοῦ ἰδεῖν εἰ ἔστιν συνιών· μεγάλῃ γὰρ, ἵν' οὕτως εἴπω, προσβολῇ βλέψεως, τοῦ πάντως κρυπτοῦ γνῶσιν ἔχει. v. 3. A. f. 207.

Ἐκ δὲ προκειμένης λέξεως μανθάνομεν κατὰ παράβασιν νόμου τὴν ἁμαρτίαν συνίστασθαι· ᾧ ἀκολουθεῖ, μὴ εἶναι τινὰ φύσει πονηρόν· πάντες γὰρ ἐξέκλιναν· ἡ δὲ ἔκκλισις ἁμαρτία ἐστὶν, ἀποτυχία οὖσα τῆς εὐθείας ὁδοῦ· ἅμα δὲ καὶ ἠχρειώθησαν οἱ ἐκκλίνοντες, ἀχρεῖον λέγων ἢ κατὰ τὴν ἐπικράτησιν τῶν παθῶν, ἢ τὴν ἄνοιαν τοῦ μὴ νοοῦντος συγχεομένου τῷ μετιέναι ἐξ ἑτέρων εἰς ἕτερα πράγματα. v. 4. Ibid.

Διδύμου καὶ Εὐσεβίου. Τὰ αὐτὰ καὶ ἐν τῷ ιγ' ἐδηλοῦτο, εἰ καὶ τὰ μάλιστα τῆς παρ' ἡμῖν ἑρμηνείας λέξεις τινὰς ἐνηλλαγμένας περιέχειν δοκεῖ· ἐκεῖ γὰρ διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν ἔχει, ἐνταῦθα δὲ διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις· παρὰ δὲ τοὺς ἑρμηνεύσαντας ἡ ἐναλλαγὴ φέρεται· σημαίνει δὲ διὰ τούτων ὁ λόγος τὴν ἔκπτωσιν τῶν v. 4. B. f. 207. b.

1) Hactenus ex codice vat. 1789. (A). At vero ex cod. vat. 1682. (B) ab initio et hactenus, et deinceps usque ad paginam suo loco indicandam. Exin usque ad finem psalterii ex cod. vat. reg. 40. (C), et ex vat. 754. (D), et ex vat. 1685. (E).

κοινῶν περιεννοιῶν τὸν δυσσεβῆ καὶ ἄθεον λογισμὸν τῆς ἀνθρωπότητος ἁπάσης πρὸ τῆς τοῦ σωτῆρος ἐπιφανείας ἐπικρατήσαντα· καὶ ὡς διέφθειραν τὰ σπαρέντα ἐν αὐτοῖς ὑγιῆ περὶ θεοῦ σπέρματα, καὶ τῇ τῶν βδελυρῶν εἰδώλων λατρείᾳ ἑαυτοὺς παραδέδωκαν, τὴν ἀσέβειαν διελόμενοι, εἴτε παντελῶς ἀθεΐαν καὶ πολυθεΐαν, καὶ τὰ ἀκόλουθα δρῶντες, καὶ τοῖς ἀθέοις καὶ ἐνδιαστρόφοις αὐτῶν ἐπιτηδεύμασιν.

v. 4. B. f. 145. b. Ὁ γὰρ κακῶς περὶ θεοῦ φρονήσας, καὶ εἰς τὴν ἄλλην ἔρχεται κακίαν· τὴν γὰρ εὐσέβειαν τῆς ἑαυτοῦ ψυχῆς ἐκβάλλων, συνεκβέβληκεν αὐτῇ πᾶσαν ἀρετὴν ἀκολουθοῦσαν ὡς βασιλίδι τῇ εὐσεβείᾳ· οἱ γοῦν δι' ἀφροσύνην λέγοντες μὴ εἶναι θεὸν, διέφθειραν τὴν ἑαυτῶν γνώμην ἐν ἀνομίαις αἷς ἔπραξαν· ἐξ ὧν ἐβδελύχθησαν, τουτέστι βδελυκτοὶ ἐγένοντο.—Ἢ πάντων ἁμαρτανόντων, ἢ καὶ αὐτῶν τῶν δοκούντων ἀγαθῶς ποιεῖν, οὐ κυρίως καὶ ἀληθῶς ποιούντων.

v. 5. A. f. 208. Ἐπεὶ εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐ γνώσονται ἃ δεῖ εἰδέναι κατὰ θείαν γνῶσιν· οὐ κατὰ πεῦσιν δὲ, ἀλλὰ κατ' ἀπόφασιν ἀναγνωστέον 1).

v. 6. Ibid. Τὸ ἐφοβήθησαν ἀντὶ τοῦ φοβηθήσονται, εἴρηται· τὸ οὖν ἐκεῖ φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος, δύναται ἀναφέρεσθαι εἰς τὸν μέλλοντα αἰῶνα· φοβηθήσονται γὰρ οἱ ἐπιφερόμενοι τὰ ἐφ' οἷς κολασθήσονται· ἐν ᾧ ἔδει θάρσος ἔχειν· διὰ τοῦτο δὲ φοβηθήσονται, ὅτι τοὺς ὑποκριτὰς γενομένους ἐνταῦθα καὶ σκοπὸν ἔχοντας ἀνθρώποις ἀρέσαι, ἐφανέρωσεν ἐκεῖ ὁ θεὸς σκορπίσας αὐτῶν τὰ ὀςᾶ, δόγματα καὶ τῆς ψυχῆς ἐνθυμήσεις ὄντα.

PSALMUS LIII.

v. 3. B. f. 210. Δύναμις τοῦ πατρὸς ὁ Χριστός· οὗτος δὲ κρινεῖ τὰ κρυπτὰ τῶν ἀνθρώπων· παρακαλεῖ δὲ μὴ ἄλλοις κριταῖς, ἀλλὰ τῇ δυνάμει τοῦ ἀγαθοῦ θεοῦ εἰς ἐξέτασιν παραδοθῆναι· οἶδε γὰρ συγγνώμης τευξόμενος ἐφ' οἷς παρεῖδεν· ἐκδικίαν δὲ γενησομένην κατὰ τῶν αὐτῶν πορθούντων ματαίως.

Ἀλλοτρίους φησὶν τοὺς ἐναντίαν προαίρεσιν v. 5. Ibid.
τοῖς σπουδαίοις ἔχοντας· κραταιοὺς δὲ, τοὺς πονηροὺς δαίμονας· καὶ φησίν· ἐπεὶ οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν ἀποστραφέντες αὐτὸν, καὶ νῶτα δεδωκότες ἐπανέστησαν τῷ δικαίῳ, καὶ ἐζήτησαν τὴν ψυχὴν αὐτοῦ.

Θεὸν βοηθὸν ἔχειν ὁμολογεῖ· τάχα τὸν πα- v. 6. B. f. 210. b.
τέρα καὶ κύριον ἀντιλαμβανόμενον τῆς ψυχῆς αὐτοῦ· ἵνα εἴπῃ τὸν υἱὸν, ὃς ἀποστρέψει τὰ
κακὰ τοῖς ἐχθροῖς μου· ἃ γὰρ ἐπαγαγεῖν μοι βε- v. 7.
βούληνται κακόν τι, κατ' αὐτὰ πρὸς αὐτοὺς ἀναστρέψει, τοῦτο τοῦ κυρίου κρίναντος οὕτω· συνᾴδει τούτῳ τὸ, ποιήσατε αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ πλησίῳ.

Διδύμου καὶ Θεοδωρήτου. Τούτων συμβεβηκό- v. 8. B. f. 211.
των, φησὶν, αὐθαιρέτῳ γνώμῃ ἐπ' εὐχαριστίαν ἐρχόμενος ἑκουσίως θύσω σοι, οὐκ ἀνάγκης ἢ βίας εἰς τοῦτο καλούσης, ἀλλ' αὐτοκελεύστου προθυμίας εἰς τοῦτο καλούσης.

PSALMUS LIV.

Προσευχὴν ἀναφέρων θεῷ, παρακαλεῖ αὐτὸν v. 2. B. f. 212. b.
ἐγγίσαι αὐτῷ, ὅπως εἰς τὰ ἴδια ὦτα δέξηται ἣν προσήγαγεν προσευχήν· ἐνωτίζεται γὰρ ὁ ἐγγὺς ὢν τοῦ λέγοντος, εἰς τὰ ὦτα δεχόμενος τὸν λόγον· καὶ ἐπεί φησιν δεόμενον, οὐκ ἄλλοθεν θαρρῶ τὰ λείποντά μοι ἀναπληρωθῆναι, ἢ ἐξ οὗ μὴ ὑπερίδῃς τὴν ὑπὲρ ὃ δέομαι παράκλησιν, πρόσχες δέ μοι ἐπαίροντι ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ, κοσμικῶς καὶ ἱεροπρεπῶς παρισταμένῳ σοι, καὶ εἰσάκουσον τῶν λόγων ὧν ἐκ καθαρᾶς συνειδήσεως ἀναπέμπω.

Δύναται ὁ ἐχθρὸς ὁ αὐτὸς εἶναι τῷ ἁμαρτω- v. 4. B. f. 213.
λῷ, σχέσει μόνῃ τῆς διαφορᾶς οὔσης· θλίβοντος οὖν τοῦ ἁμαρτωλοῦ δι' ὧν πράττει κακῶς καὶ ἄθεα φθεγγομένου τοῦ ἐχθροῦ τῆς ἀληθείας ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου· ἐκτέτακα ἕως νῦν· περὶ γὰρ τῆς προσευχῆς αὐτῆς τοῦτο λέγει· ὁ ἅγιος οὖν φησιν, τὸν ἐχθρὸν ὑπερήφανα φθεγγόμενον καὶ θλίβοντα τὸν ἁμαρτωλὸν ὁρῶν, πρὸς τὸν θεὸν δι' εὐχῆς ἀδολεσχῶν ἐλυπήθην, τοὺς ὁμοουσίους καὶ ὁμοεθνεῖς μοι ὁρῶν εἰς βα-

1) Iuxta Didymum igitur dicendum esset *non*, pro *nonne*, in hoc versiculo.

θος κακίας πεσόντας, ὡς καὶ ταραχθῆναι ἐπὶ τῷ τρεπτῷ τῆς φύσεως, μή πη ἄρα κἀγὼ ταύτην ὑποςῶ τὴν τροπήν· τάχα δὲ καὶ κηδεμονικώτατα λυπεῖται καὶ ταράττεται, ὁρῶν τοὺς φαύλους παραπαίοντας· ὡς εἴ τις πατὴρ λυπεῖ τῷ ἐπιμανέντι υἱῷ· καὶ γὰρ τὸν ψαλμὸν τοῦτον ἐκ προσώπου τοῦ Χριςοῦ κατὰ τὸ ἀνθρώπινον ἐπαγγέλλουσίν τινες, ᾧ καὶ ἁρμόζει περὶ τῶν βλαπτομένων λυπεῖσθαι.

v. 6. B. f. 214. Ἐπίςαται πᾶς σπουδαῖος ἕτερον εἶναι τὸ ἐν λογισμοῖς ἁμαρτάνειν, ὃ καὶ ἀνεκτόν ἐστιν· καὶ ἕτερον ἐν πράξει καὶ λόγοις, ὃ καὶ ἐπικίνδυνον καὶ βαρύ· διὸ καὶ εἴ ποτε ἐν λογισμοῖς συμβαίνει κλόνον καὶ βλάβην γενέσθαι, ἐν ἑαυτῷ φυλάττων αὐτά, οὐδὲ προφέρει λόγον κατὰ τὸ ἐν κρυπτῷ ἁμάρτημα, οὐδὲ πράττει ἀποτελεσματικῶς, εἰδὼς ἰάσιμον εἶναι τὸ ἐνθύμημα· τὸ δ' ἐν πράξει καὶ λόγοις δυσίατον ἔστω τε ἢ καὶ ἀνίατον· διὸ φησὶν, ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί· οὐ γὰρ ἡρμήνευσα τὴν ταραχὴν, ἢ ἔπραξά τι κατ' αὐτὴν, ἀλλὰ καὶ δειλίας ἐπιπεσούσης θανάτου τοῦ ἀκολουθοῦντος τῇ ἁμαρτίᾳ, ἐν ἐμαυτῷ αὐτὴν κατέσχον· συμβαίνει γὰρ ἐκ τοῦ ἔξω τὴν δειλίαν φανῆναι, καὶ ἑτέρων πρόσκομμα γενέσθαι τὸν δηλωθέντα.

v. 17. B. f. 217. b. Τῶν κατὰ τοῦ σωτῆρος τολμηθησομένων τοιούτων ὄντων, ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ἔσχον εἰσακουομένην ὑπὸ κυρίου τὴν φωνήν μου· μόνος γὰρ εἰσακούεται ὑπὸ κυρίου ὁ πρὸς τὸν θεὸν κεκραγώς· οὐ γὰρ πᾶς κράζων, πρὸς θεὸν βοᾷ· περὶ Σοδομιτῶν γέγραπται· φωνὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται, οὐ πρὸς θεὸν κεκραγότων.

v. 18. Ibid. Ἐπεὶ διήγησις εὐσεβοῦς διαπαντὸς σοφία, εὐσεβὴς ὢν καὶ διαπαντὸς διηγούμενος σοφίαν ὁ ψάλλων φησὶν ἑσπέρας, ὅταν δύνῃ μοι τὰ τῆς κακίας, καὶ τὸ σβεννύμενον φῶς τῶν ἀσεβῶν· ἀνατέλῃ δέ μοι ὁ τῆς δικαιοσύνης ἥλιος ὡς ἐν πρωΐᾳ με ποιῆσαι· οὗ ἀκμάσαντος, ἐν τῷ μεσημβρινῷ γενόμενος διηγήσομαι τὰ τῆς προειρημένης ἑσπέρας καὶ τοῦ προαπηγγελμένου πρωῒ καὶ τῆς προειρημένης μεσημβρίας· ἀπαγγέλλοντος δέ μου ταῦτα εἰσακούσεται ὁ θεὸς τῆς φωνῆς μου, ἀποδεχόμενος καὶ ἵν' οὕτως εἴπω τερπόμενος ἐπὶ τῇ φωνῇ μου τῇ πάντα διηγησαμένῃ.

v. 20. B. f. 218. b. Ὑπάρχοντα πρὸ τῶν αἰώνων φησὶν τὸν θεὸν, οὐχ ὑπάρξαντα· εἰ γὰρ εἰρήκει ὑπάρξαντα, καὶ αὐτὸς ἀρχὴν ἔχων μεμετρημένῳ τινὶ διαστήματι πρὸ αἰώνων ὑπῆρχεν· διὰ τοῦτο οὖν εἶπεν, ὁ ὑπάρχων, ἄναρχον καὶ ἀΐδιον αὐτοῦ ὕπαρξιν τιθέμενος· διὰ δὲ τοῦ πρὸ αἰώνων, ἀρχὴν ὑπάρξεως τῶν αἰώνων καταλαμβανόμενος· δεῖ δὲ τῶν αἰώνων ἀκοεῖν*, ὡς παρεκτάσεων οὐσῶν τῶν κτισμάτων· καὶ ὁ σωτὴρ δὲ ἀΐδιος ἐξ ἀϊδίου τυγχάνων πρὸ τῶν αἰώνων ἐστὶν, τῷ καὶ αὐτοὺς τοὺς αἰῶνας δι' αὐτοῦ γεγονέναι· καὶ Παῦλος δὲ, καὶ αὐτός ἐστιν φησὶν πρὸ πάντων· ἴσον δὲ τὸ ὑπάρχων τῷ, αὐτός ἐστιν πρὸ πάντων· οὐ γὰρ εἶπεν καὶ αὐτὸς γέγονε πρὸ πάντων.

* ita cod.

v. 20. B. f. 218. b. Οὐ γάρ ἐστιν αὐτῆς ἀντάλλαγμα τῶν ἁμαρτημάτων, τὰ μὲν δυσίατα ἢ καὶ ἀνίατα, τὰ δὲ ἰάσιμα· καὶ περὶ μὲν τῶν ἰασίμων ἐςὶν ἀντάλλαγμα εὑρεῖν τὴν ὑπὲρ ἁμαρτιῶν προσαγομένην θυσίαν, ἀλλὰ καὶ ἐλεημοσύνην καὶ νηςείαν μετὰ προσευχῆς· ταῦτα γὰρ ῥύεται ἐκ θανάτου· τῶν δὲ ἀνίατα ἡμαρτηκότων οὐκ ἔςιν ἀντάλλαγμα· λύτρον καὶ... καταθέσθαι· ἐὰν γὰρ ἁμαρτῶν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτοῦ, ἔστι τούτων ἀντάλλαγμα· ἐὰν πρὸς κύριον τὸν θεὸν προσεύξηται περὶ αὐτοῦ, οὐκ ἔςιν γὰρ τῶν τοιούτων ἀντάλλαγμα.

v. 21. A. f. 219. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι τὰ ἀντάξια ὧν ἠργάσαντο· ἐπεὶ γὰρ προδόται καὶ φονεῖς Χριςοῦ γεγένηνται . . . λλακτα ἠνομηκότες, ἄξιοι ὑποπεσεῖν τιμωρίᾳ ὤφθησαν· ἐβεβήλωσαν γὰρ τὴν διαθήκην τοῦ θεοῦ, οὐ προσηκάμενοι, ἀλλὰ καὶ ἀναιρήσαντες τὸν ὑπ' αὐτῆς προφητευόμενον· τάχα δὲ καὶ ἐπεὶ μέχρι καιροῦ ὥριστο τηρεῖσθαι κατὰ τὸ αἰσθητὸν ἡ διαθήκη, πληρωθέντος τοῦ χρόνου καθ' ὃν ἔδει ἐκ τοῦ κατὰ σάρκα ἐπὶ τὸ κατὰ πνεῦμα αὐτὴν μεταβαλεῖν, ἐμμείναντες τῇ τυπικῇ λατρείᾳ, ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ· διὸ καὶ ἐκτείνας τὴν χεῖρα τὴν κολαστικὴν, ἀπέδωκεν αὐτοὺς, ὡς φθάσαι τὴν ὀργὴν αὐτοῦ εἰς τέλος· ὑφ' ἧς καὶ διεμερίσθησαν ἐν παντὶ ἔθνει διεσκορπισμένοι.

v. 22. E. f. 220. Ἤγγισεν ὁ θεὸς τοῖς ἀνθρώποις, φησὶν, συγκαταβαίνων· λόγους δὲ προφέρων ἐλαίου δίκην ἰωμένους καὶ λύοντας τὰς ἀλγηδόνας τῶν καμνόντων· οὗτος δὲ οἱ ὑπὲρ ἔλαιον ἁπαλοὶ λόγοι τοῖς καταφρονοῦσιν εὑρίσκονται βολίδες κολάζοντες τοὺς καταφρονοῦντας· πολλαχοῦ δὲ ἐπὶ τῶν κολάσεων κεῖται ἡ βέλους προσηγορία· βέλος δὲ καὶ βολὶς ταυτὸν ὑποκείμενον· εἰ καὶ ἁπαλοὶ εἶναι καὶ λεῖοι νομιζόμενοι Ἰουδαῖοι, διὰ τὸ μεθ' ὑποκρίσεως αὐτοὺς προσφέρεσθαι, βολίδες ἦσαν ἀναιρετικαὶ καὶ ἰοῦ πλήρεις.

v. 24. B. f. 220. b. Οὓς εὔχεται ταπεινωθῆναι ὑπὸ τοῦ θεοῦ τοῦ ὑπάρχοντος πρὸ τῶν αἰώνων, οὐ φοβηθέντας θεὸν, ἀλλὰ καὶ βεβηλώσαντας τὴν διαθήκην αὐτοῦ· ἄνδρας αἱμάτων λέγει εἰπόντας, τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, ὄντας καὶ ἐνόχους παντὸς αἵματος ἐκκεχυμένου τῶν δικαίων· οἱ δ' αὐτοὶ καὶ δολιότητος εἰσὶν ἄνδρες, δολερῶς ἀεὶ τῷ σωτῆρι καὶ τοῖς ἁγίοις προσερχόμενοι· τούτους οὖν εὔχεται μηδ' ἐπὶ τὸ ἥμισυ τῶν ἡμερῶν αὐτῶν φθάσαι· ἐπεὶ γὰρ ἀποστραφέντες τὴν ἡμέραν τὴν ἐκ τῆς λάμψεως τοῦ ἀληθινοῦ φωτὸς συνισταμένην, ἑαυτοὺς ἡμέραν δῆθεν φωτισμοῦ διὰ μυθικῶν παραδόσεων ἐπενόησαν, πονηρὸν δὲ τὸ ἐν τούτοις ἀναπληρωθῆναι αὐτῶν τὰς ἡμέρας, παρακαλεῖ μή ποτε ἐπὶ τὸ ἥμισυ αὐτῶν τῶν ἡμερῶν φθάσασιν, ἀνατεῖλαι αὐτοῖς τὸν ἥλιον τῆς δικαιοσύνης, ἵνα ἐν ἡμέρᾳ κυρίου γένωνται. Καὶ πρὸς τὸ ῥητὸν δὲ βιάσοιτό τις τοιαῦτα· ἐπεὶ ἐν τῷ βίῳ διαμένοντες ἀμετανοήτῳ προαιρέσει κακὰ δρῶσιν, φειδόμενος αὐτῶν, ἀξιοῖ ὅπως μεσούσης τῆς ἀνθρωπίνης ζωῆς ἁρπαγῶσιν τοῦ βίου, ἵνα ὑπὲρ ὀλίγων ἁμαρτημάτων καὶ μὴ πολλῶν τιμωρηθῶσιν.— Τούτων, φησὶν, οὕτω διακειμένων, ἐγὼ τὴν προσδοκίαν καὶ ἐλπίδα ἐπὶ σὲ ἔχω κύριε.

PSALMUS LV.

v. 2. B. f. 222. Τὸ καταπατεῖσθαι ἐπὶ καταφρονήσεως τάττει ἡ γραφὴ, ὥσπερ ἐπὶ τοῦ μεμωραμμένου ἁλὸς λέγεται ἔξω βάλλουσιν αὐτὸ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων· καὶ ὁ ἀπόστολος· πόσον δοκεῖται χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας; Καὶ ὁ ἅγιος οὖν ἐξευτελιζόμενος ὑπὸ τοῦ διὰ φαυλότητα ἀνθρώπου ὄντος· κατὰ τὸ, ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν· οὐχὶ ἄνθρωποι ἐστὲ ἐλεηθῆναι ὑπὸ θεοῦ ἄξιοι· οὗτος δὲ ἀδιάστατος πολέμιος καὶ φονικὸς ὢν, ὅλην τὴν τοῦ βίου ἡμέραν ἐκθλίβει πολεμῶν τὸν δίκαιον· οὐδὲ κἂν πόσως εἰρηνικὸς εἶναι βουλόμενος· ἐπειδὴ δὲ καὶ ἐν τῇ παραβολῇ τῶν ζιζανίων ὁ τούτων σπορεὺς πονηρὸς ἄνθρωπος ὁ διάβολος ἑρμηνεύεται, ἐπίστησον εἰ καὶ περὶ αὐτοῦ ῥηθείη τὰ προκείμενα.

v. 3. B. f. 222. b. Ἀρξάμενοι ἀπὸ πολλοῦ τοῦτο ποιεῖν φησίν· ἢ τάχα ἀπὸ ὑψηλοτέρας ἡμέρας καὶ ζωῆς καταπεσόντες ἐπὶ τὸ ἐχθροί μου εἶναι ἐληλύθασιν.

v. 5. B. f. 223. Σάρκα δὲ ἢ τὸν ἄνθρωπον λέγει, ἢ ἐκείνην ἧς τὸ φρόνημα ἔχθρα εἰς θεὸν, τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτασσομένη· ὁ γὰρ ἐν αὐτῇ τῇ σαρκὶ γινόμενος, θεῷ ἀρέσαι οὐ δύναται· οὐ φοβείτω οὖν μή τι ποιήσει αὐτῷ σάρξ, ὁ ἐν πνεύματι γινόμενος, ὡς ἂν τὰ ἔργα τῆς σαρκὸς νεκρώσας· οὕτω γὰρ ἀληθῶς ἐπὶ θεὸν ἤλπισεν.

v. 9. A. f. 225. Σὺ ὑπέσχου νομοθετῶν, τῶν ἀδικουμένων ὑπακούειν στενόντων· στενάζει γὰρ πρός με, καὶ πεπλήρωκα τὴν ὑπόσχεσιν· καὶ ἔτι λαλοῦντός μου ἔφης, ἰδοὺ πάρειμι, κατὰ τὰς ἀψευδεῖς σου ἐπαγγελίας.

v. 11. B. f. 225. b. Τὸ ἐπὶ τῷ θεῷ καὶ διὰ τὸν θεὸν προφερόμενον ῥῆμα, αἰνετόν ἐστιν· ὡσαύτως καὶ ὁ λόγος· ἤτοι δὲ ἐκ παραλλήλου κατὰ τοῦ αὐτοῦ τὸ ῥῆμα καὶ τὸν λόγον κατηγορεῖ· καὶ ἐπ' ἄλλου καὶ ἄλλου τίθεται τὰς τοιαύτας προσηγορίας· ἐπεὶ γὰρ τὸ ῥῆμα μέρος ἐστὶ λόγου, ὁ εἰς τὴν θεοσέβειαν εἰσαγόμενος πληρεστάτῳ λόγῳ μήπω δυνάμενος κοινωνεῖν, ἀπὸ ῥήματος ἄρχεται, τουτέστιν μερικοῦ λόγου· ἀμέλει πρότερον τὸ ῥῆμα κυρίου γίνεται ἐπὶ Ἱερεμίαν, καὶ τότε λόγος κυρίου· καὶ ἐν Ἡσαΐᾳ, ἀκούσατε ῥῆμα κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ· ἀκούετε δὲ ῥῆμα κυρίου τῷ ἐν εἰσαγωγῇ γινομένῳ δι' αὐτοῦ· εἰ δέ τις ἐνστήσεται ῥῆμα λέγων δίδοσθαι τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, εἰς τὸ πρὸς τὴν μέλλουσαν γνῶσιν καὶ διδασκαλίαν ῥῆμα λαμβάνειν· νῦν ἐκ μέρους γινώσκοντας καὶ προφητεύοντας·

ἀποδεχόμενος οὖν καὶ τὴν εἰσαγωγὴν καὶ τὴν πληρεστάτην τοῦ λόγου ἐπιφοίτησιν, ἐπὶ τῷ θεῷ αἰνεῖ ῥήματι καὶ λόγῳ.

v. 12. B. f. 226. Ὁ εὐχόμενος ὅτε καταλλήλως διάκειται εἰς ἐπαγγέλλεται διὰ τῆς εὐχῆς· ἐν ἑαυτῷ ἔχει τὰς εὐχὰς τῆς αἰνέσεως ἃς ἀποδώσει τῷ θεῷ· εὐχαὶ δὲ αἰνέσεως αἱ περὶ αἰνέσεως· ὡς γὰρ εὔχεται τις ποιῆσαι ἢ ἀποδοῦναι τῷ Θεῷ τόδε τι, οὕτως εὔχεταί τις αἰνέσαι τὸν Θεόν.—Ἐπείπερ ἀκολουθεῖ τῷ θανατουμένῳ τὸ θρηνεῖσθαι καὶ δάκρυα ἐπ' αὐτῷ γενέσθαι, οὐκ ἄλλος δὲ θρηνεῖ τὸν κατὰ ψυχὴν τεθνηκότα ἢ αὐτὸς ἑαυτὸν, εἰκότως μετὰ τὸ ῥεῦσθαι τὴν ψυχὴν ἐκ θανάτου, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ δακρύων ἠλευθέρωνται· ἐῤῥύσατο δὲ ἀπὸ ὀλισθήματος τοὺς πόδας, ὑποδήσας αὐτοὺς ὑπόδημα, μετεωρίζον καὶ ἄνω τῆς γῆς ποιοῦν· μετεωριζομένου οὖν τοῦ ὑποδεδεμένου, ἀκολουθεῖ τὸ ῥεῦσθαι ἀπὸ ὀλισθήματος τοὺς πόδας αὐτοῦ· ῥύεται δέ τις ἀπὸ τῶν προειρημένων ἐπιβλαβῶν ἐπὶ τῷ εὐαρεστῆσαι τῷ θεῷ ζῶντα καὶ πεφωτισμένον· ὁ γὰρ εὐαρεστῶν τῷ Θεῷ, ἐν φωτὶ ζώντων τοῦτο ποιεῖ. ζῇ δὲ καὶ πεφώτισται πᾶς μετέχων Θεοῦ· αὐτὸς γὰρ ζωὴ ὢν, φῶς ἐστιν τῶν ἀνθρώπων· οἱ μὲν γὰρ ἐχθροὶ, τὸ ὅσον ἐπ' αὐτοῖς ἤλαυνον, καὶ ἐξεβιάζοντο εἰς θάνατον ἐκπεσεῖν· ἐλαύνοντες γάρ με, καὶ μέσον ἀλλοφύλων καὶ ἀλλογενῶν ἐθνῶν οἰκεῖν καταναγκάζοντες, τὴν ψυχήν μου τὸ ἐπ' αὐτοῖς ἐθανάτουν, ἀναγκάζοντες συνάπτειν τῇ τῶν ἀλλοφύλων εἰδωλολατρείᾳ· ἀλλ' ἡ σὴ χάρις καὶ τὸ ἔλεος οὐ συνεχώρησεν τοῦτο γενέσθαι ἀλλὰ καὶ παρὰ τοῖς ἀλλοφύλοις με ὄντα περιέγραττες, ὡς μηδὲν καταβλάπτεσθαι ἐκ τῆς τούτων συνουσίας· διὸ εὐχαριστῶ ὅτι ἐῤῥύσω τοὺς πόδας μου τῆς ψυχῆς ἀπὸ ὀλισθήματος.

PSALMUS LVI.

f. 226. b. Ἰστέον ὥς τινες τοῦτον αὐτῷ εἰρῆσθαι φασὶ τὸν ψαλμὸν ἡνίκα τὸν Σαοὺλ ἀπεκρύβη ἐν τῷ σπηλαίῳ. Ἡγγαδδί· καὶ εἰσελθόντα αὐτὸν ἀποσκευάσασθαι, δυνηθεὶς ἀνελεῖν, οὐκ ἀνεῖλε.

v. 2. B. f. 227. Ὁ ἐπιδιπλασιασμὸς δηλοῖ, ὅτι καὶ ἐν τῷ βίῳ τούτῳ καὶ ἐν τῷ μέλλοντι ἐλέους θεοῦ χρήζομεν· σκιὰν δὲ πτερύγων τὴν θείαν κηδεμονίαν καλεῖ· εἰ δὲ προδιαστέλλοιτο ἡ σκιὰ τῇ ἀληθείᾳ, ὃ βούλεται τοιοῦτόν ἐστιν· ἐν τῷ βίῳ τούτῳ τυγχάνων, ἐν τῇ σκιᾷ τῶν πτερύγων εἰμί· ἐλπίζων καὶ ἐπ' αὐτὰς τὰς πτέρυγας ἐλθεῖν ἐπτερωμένος ἀρετῇ καὶ νοήσει πνευματικῇ· πτέρυγες δὲ Θεοῦ αἱ σκεπαστικαὶ αὐτοῦ δυνάμεις, ἢ αἱ ὑψιπετεῖς περὶ αὐτοῦ νοήσεις.—Τὸ παρέρχεσθαι τὴν ἀνομίαν, δηλοῖ πρόσκαιρον αὐτὴν εἶναι· ὥσπερ οὖν παρερχομένη, οὕτως καὶ ἀπό τινος χρόνου ἀρξαμένη ἐστὶν ἡ ἀνομία· περὶ γάρ τινος εἴδους αὐτῆς εἴρηται· οὔτε ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται.

Ἐπεὶ γὰρ ἡ ἀνομία ἑρπιστικὴ καὶ χαμαιπετής ἐστιν, ὁ ταύτης ἀπαλλακτιῶν, πρὸς τὸν ὕψιστον βοᾷ, ἵν' εἰς ὕψος αἰρόμενος τῇ βοῇ, μακρὰν ἀπὸ τοῦ βλαβεροῦ θηρὸς γένηται· διὰ τοῦτό φησι, τὸν Θεὸν τὸν ὕψιστον. v. 3. B. f. 227.

Ὁ ἀποσταλεὶς ἐξ οὐρανοῦ ἐπὶ τὸ σῶσαι, ὁ κύριος ἔστιν φάσκων, καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ· τοῦτον γὰρ ὄντα λόγον αὐτοῦ ἐξαπέστειλεν ὁ θεὸς, καὶ ἰάσατο τοὺς τετρυμμένους ἐκ τῶν διαφθορῶν αὐτῶν· ζητήσει δ' ἄν τις τὸ ἐξ οὐρανοῦ ἀπεστάλθαι, εἰ τοπικὴν ἐκ τοῦ σωματικοῦ οὐρανοῦ ἐκπομπὴν δηλοῖ; δόξει γὰρ ἄλογον εἶναι τοπικὴν κατάβασιν τῷ Θεῷ προσάπτειν· μή ποτ' οὖν σημαίνει ὁ οὐρανὸς φωνὴ τὴν ἀσώματον καὶ νοητὴν οὐσίαν· κατὰ τὸ, θησαυρίζετε ἐν οὐρανῷ ἄνω· ὁ ἐν μορφῇ τοίνυν Θεοῦ καὶ ἴσα Θεῷ ὑπάρχων, μορφὴν δούλου λαβὼν εἰς ἀνθρώπους ἧκεν· καὶ τοῦτό ἐστι τὸ ἐξ οὐρανοῦ ἀποστεῖλαι, ἵνα ὁ Θεὸς λόγος σὰρξ γένηται, καὶ ἐπὶ γῆς ὀφθεὶς, ἀνθρώποις συνανεστράφη. Τὰ αὐτὰ καὶ ἐπὶ τοῦ ἁγίου πνεύματος μυσταγωγῶν ὁ Πέτρος γράφει· ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς, πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ· ἀποσταλὲν γὰρ ἐκ τοῦ νοητὴν οὐσίαν τυγχάνειν τὸ πνεῦμα ἀνθρώποις ἐνῳκίσθη τοῖς εὐαγγελισαμένοις ὑμᾶς. v. 4. Ibid.

Ἐν τῷ προάγοντι στίχῳ εἰπὼν ἐξαπέστειλεν ἐξ οὐρανοῦ, οὐκ εἰρηκὼς τί τὸ ἀποσταλὲν, νῦν ἑρμηνεύει ὅτι τὸ ἔλεος καὶ ἡ ἀλήθεια· ἅπερ οὐχ ἕτερα κατ' οὐσίαν, ἀλλ' αὐτὸς ὁ σωτὴρ ἀμφό- v. 5. B. f. 228.

τερα ῥυόμενος τὴν ψυχὴν αὐτοῦ γενομένην μεταξὺ ἐχθρῶν τῶν καταπατησάντων· οἳ διὰ τὸ ἄγριον καὶ ὠμόθυμον εἰσὶ σκύμνοι.

v. 5. B. f. 228. b. Ἡ κοίμησις τὴν ἀνάπαυλαν δηλοῖ πολλάκις· ὡς ἐν τῷ, ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· ὃ οὖν βούλεται λέγειν, τοῦτό ἐστιν· εἰ καὶ ἐταράχθην καταπατούμενος ὑπὸ ἐχθρῶν, καὶ θαμβούμενος τῶν σκύμνων τῶν μέσον με λαβόντων, ἀλλ' οὐ παρέμεινεν ἡ ταραχή· ἐκοιμήθην γὰρ τεταραγμένος, οὐχὶ τεταραγμένος γρηγορῶν ἔμεινα, ἀλλ' ἐκοιμήθην ἀποβαλὼν τὴν ψυχήν μου τούτου σύμβολον ἦν η συνεχομένη πνεύματι ἀσθενείας γυνή, συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελὲς, ἣν ἔλυσεν Ἰησοῦς ἀπὸ τῶν βρόχων τῶν σατανικῶν, θυγατέρα οὖσαν Ἀβραάμ· τάχα δὲ καὶ πᾶς ὁ κάτω φρονῶν καταχεκαμμένην ἔχει τὴν ψυχὴν, οὐ δυναμένην τὰ ἄνω σκοπεῖν ὅσον ἐστὶ τοιαύτη.

v. 10. B. f. 230. Λαοὺς δὲ νοήσεις καὶ τοὺς ἐκ περιτομῆς· ἔθνη δὲ τοὺς ἀπὸ τῶν εἰδώλων μετανοήσαντας· ὡς μία γενέσθαι ἐκκλησία.

PSALMUS LVII.

v. 3. B. f. 231. Οὗτος γὰρ καρπὸς δικαιοσύνης καὶ ἐν παροιμίαις· νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν· συμπλέκει δὲ ἀδικίαν, ἁμαρτίας συνάπτων, ἐν τῷ ἀδιαστάτως ἐνεργεῖν τὸ κακόν· τούτῳ ἰσοδυναμεῖ τὸ, σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται· οὐ μάτην πρόσκειται τῷ ἀνομίας ἐργάζεσθαι, τὸ ἐν τῇ γῇ· κἂν γὰρ ἐν καρδίᾳ τις ἀνομίαν ποιήσῃ, ἐν τῇ γῇ, τουτέστι περὶ τὰ ὑλικὰ, ἐνεργεῖ αὐτήν.

v. 4. B. f. 232. Τὸν μέγαν κριτὴν, φησὶν, οὐδὲν λανθάνει τῶν κατὰ διάνοιαν ἑκάστῳ λογιζομένων· κἂν γὰρ δοκῇ τὶς ἀνθρώπων ὀφθαλμοὺς κρύπτειν, ἀλλ' οὐκ ἂν λάθοι θεὸν, ὁπότε καὶ πρὶν εἰς φῶς προελθεῖν, πάντα εἰδότι πρὸ γενέσεως ἐγνωρίζοντο· διὸ πρὶν γεννηθῆναι αὐτοὺς, ὡς ἤδη ὑφεστῶτας καὶ τοιούτους ὄντας οἷοι νῦν εἰσι προεώρα· ἤδη τε ἐξ ἐκείνου ἀπόβλητοι ἦσαν παρ αὐτῷ· ἀπηλλοτριώθησαν γοῦν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας· καὶ εἰ καὶ τὰ μάλιστα σήμερον δικαιοσύνην λαλεῖν προσποιοῦνται, τοῖς ἔργοις τὰ ἐναντία μετερχόμενοι· ἀλλ' οὐχὶ καὶ παρὰ θεῷ συνεφάνησαν τοιοῦτοι, ἀλλὰ πρὶν ἀπὸ γαστρὸς προελθεῖν αὐτοὺς, μᾶλλον δὲ καὶ πρὸ τοῦ συλληφθῆναι, ἐν πεπλανημένοις ἐλογίσθησαν παρ' αὐτῷ, καὶ μέλλοντες ἔσεσθαι τοιοῦτοι οὐκ ἠγνοοῦντο 1).

Οἱ διαβάλλειν δὲ τὰς γραφὰς ἀποτολμῶντες, v. 5. Ibid.
καὶ ταύτην τὴν λέξιν διέσυραν λέγοντες· μὴ εἶναι οἷόν τε ἀπὸ γαστρὸς πλανηθῆναι καὶ ψεῦδος λαλῆσαι· συμπεπληρωκότων γὰρ τὸν λόγον φασὶ τὸ ἁμαρτάνειν· ἀλλὰ φαμὲν τὸ ἀρτίτοκον βρέφος δεκτικὸν ἀρετῆς καὶ κακίας ἐστὶν δυνάμει, τότε δεχόμενον κατ' ἐνέργειαν ὁποτέραν τούτων τῶν ἕξεων, ὅταν γνῶσιν ἀγαθοῦ καὶ κακοῦ σχῇ· τότε γὰρ καὶ συμπληροῦται ὁ λόγος, ὅταν κατ' ἀρετὴν ἄρξηται ἐνεργεῖν, ἐκ κοιλίας μητρὸς λέγεται καὶ ἀγαθὸν πεποιηκέναι· τοιοῦτον καὶ τὸ παρ' Ἰώβ· εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ ὀρφανῷ οὐ μετέδωκα· ἐκ κοιλίας γὰρ μητρὸς ὡδήγουν αὐτοὺς καὶ ἐξέτρεφον ὡς πατήρ· καὶ οὗτοι οὖν ὁμοίως, περὶ ὧν ὁ λόγος, φθάσαντες ἐπὶ συμπλήρωσιν τοῦ λόγου ἀπὸ πλάνης ἤρξαντο ἐνεργεῖν· καὶ σημαίνει τὸ κατ' αὐτὴν τὴν λέξιν φθέγγεσθαι τὸ λελαληκέναι ψευδῆ· τάχα δὲ καὶ οἱ τεχθέντες ἀπὸ φαύλης διδασκαλίας, ἀπ' αὐτῆς τῆς γαστρὸς τῆς αὐτοὺς τεκούσης εἶχον καὶ τὸ πεπλανῆσθαι καὶ ψευδῆ λελαληκέναι.

Καὶ πρότερον εἴπομεν τὰ βέλη σημαίνειν ποτὲ v. 8. B. f. 234.
τὰς κολάσεις· τόξον δ' ἐστὶν, ἀφ' οὗ ἀφίεται τὰ βέλη ταῦτα, ἡ κριτικὴ τοῦ θεοῦ δύναμις· τοῦτο οὖν τὸ τόξον ἐντείνει οὐκ ἂν εἰς αὐτὸ ἕως οὗ ἀσθενήσωσιν οἱ βαλλόμενοι, πρὸς ἀγαθὸν δὲ αὐτοῖς τὸ ἀσθενῆσαι, καθαιρουμένης ἧς εἶχον ἰσχύος περὶ τὴν κακίαν. ὥσπερ δὲ ὁ τηκόμενος κηρὸς ἀναιρεῖται, καθ' ὃ τηκτὸς καὶ παχύτητα ἔχων, τοῦ πρώτου ὑποκειμένου εἰς πῦρ μεταβαλόντος, οὕτως καὶ οἱ φαῦλοι κολάσεως πεπειραμένοι, τὴν ἐκ μοχθηρᾶς ἕξεως παχύτητα ἀποβάλλουσι· πρὸ κολάσεως δέ ἐστι τὸ φῶς τὸ ἀληθινὸν τυγχάνων δικαιοσύνης ἥλιος, οὐχ οἷόν τε προσβάλλειν τῇ λαμπηδόνι τοῦ νοητοῦ ἡλίου· ὅθεν

1) Vides quae sit divina praedestinatio apud Didymum. Reliqua item doctrina praeclara.

ἐνταῦθα εἴρηται, ὡς ἄρα ἐπιπεσόντος τοῦ κολαστικοῦ φωτὸς, οὐκ εἶδον τὸν ἥλιον οἱ τῇ κολάσει περιπεσόντες· οἱ δὲ συνέντες τὰ ἴδια πάθη ἀλληγορικώτερον ἀκάνθας ὀνομαζόμενα, οὐ πειρασθήσονται κολαζούσης ὀργῆς, πρὸ τοῦδε συνιέναι τὰς πνευματικῶς λεγομένας ἀκάνθας καὶ ῥάμνον, ὡσεὶ ζῶντες ὑπὸ ὀργῆς καταποθήσονται· οὐ γὰρ ζῶντες ἀλλὰ ζῶσιν ὅμοιοι τυγχάνοντες ὑπὸ ὀργῆς συλληφθήσονται· τὸ γὰρ καταπιεῖν κατὰ τὴν γραφὴν τὸ κρατῆσαι καὶ νικῆσαι σημαίνει τοῦ καταποθέντος ἤδη κεκρατημένου καὶ νενικημένου· καταπίνεται γοῦν τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, κρατούσης καὶ νικώσης τῆς ζωῆς τὸν θάνατον.

PSALMUS LVIII.

v. 5. B. f. 237. Εὖ δὲ καὶ τὸ ἔδραμον· τελέσαντος γὰρ τὸν δρόμον ἡ φωνή· εἰ δέ τις ἀντερεῖ πρὸς τὴν τοῦ Οὐρίου ἁμαρτίαν ὕστερον γενομένην, μὴ ἀληθεύειν νυνὶ ὡς ἤδη τελέσαντος τὸν δρόμον αὐτοῦ, φαμὲν ὅτι τὴν πρὸς τὸν Σαοὺλ ὑπηρεσίαν ἄνευ ἀνομίας κατευθυνθηκέναι φησὶ, καὶ μάτην ἐκεῖνον ἐπιβουλεύειν· ἢ καὶ ὅτι τότε δραμὼν ἄνευ ἀνομίας καὶ κατευθύνας ἦν πάντα τὰ διανυθέντα αὐτῷ· ἀλλ' ἐπεὶ τρεπτὸς καθόλου πᾶς ἄνθρωπος, μετὰ ταῦτα πταίσας, ὡς μὴ ἔχων συνήθειαν πρὸς τὸ ἁμαρτάνειν, ῥᾷστα μετενόησεν.

v. 12. B. f. 240. Ὡς πρὸς ἱστορίαν τοὺς ἐπικειμένους ἐχθροὺς ἐπιτιμηθῆναι πρὸς θεοῦ, ἀλλ' οὐκ ἀποθανεῖν ἀξιοῖ· οἶδεν γὰρ ὅτι εἰ μένοντες φαῦλοι ἀποθάνοιεν, λήθην ἕξουσι τοῦ θεϊκοῦ νόμου· διασκορπισθέντες δὲ τῇ τοῦ θεοῦ δυνάμει εἰς αἰχμαλωσίαν παραδοθέντες στενάξουσι πρὸς θεὸν πεῖραν κακώσεως ἐσχηκότες· βούλεται αὐτοὺς καὶ καταχθῆναι ἀπὸ ὕψους ἧς ἔχουσιν ὑπερηφανίας, ποιοῦντος αὐτὸ τοῦ ὑπερασπίζοντος κυρίου τοῦ τὴν δέησιν ἀναφέροντος· ἡ γὰρ παντελὴς τιμωρία εἰς ἀπόγνωσιν παρασκευάζει καὶ προτρέπεται· ὅτι δὲ φειδόμενος αὐτῶν τοῦτο ὁ Δαυὶδ ἐπρεσβεύετο, ἵνα τῇ μετριωτέρᾳ τιμωρίᾳ σωφρονισθέντες νήψωσιν, ἐπάγει τὰ ἑξῆς· ἐὰν γὰρ διασκορπισθῶσιν ὁμοῦ καὶ τιμωροῦνται, καὶ συναχθῆναι πάλιν δυνήσονται μετανοήσαντες· ὁμοίως δὲ καὶ καταχθῆναι τουτέστιν ταπεινωθῆναι βούλεται ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν συμφέρον αὐτοῖς τε τοῖς ταπεινουμένοις καὶ τοῖς πλείοσιν· ὥστε μὴ παροξυνθῆναι πρὸς ζῆλον τῶν ἐν ὑπερηφανίᾳ λαλούντων καὶ φθεγγομένων ἄδικα· οἱ γὰρ μεθ' ὑπερηφανίας λελαληκότες, οἱ κατὰ τοῦ δικαίου ψευσάμενοι, ὅταν ἐναντίαν τοῖς ἔργοις τὴν ἔκβασιν ἐν τῇ ὑπερηφανίᾳ τῶν οἰκείων λόγων συλλαμβάνονται, ὡς παράνομοι καταληφθέντες ἐξελέγχονται.

PSALMUS LIX.

Τίς ἡ σημείωσις ἣν δίδωσιν ο θεος, η ο φω- v. 6. B. f. 244.
τισμὸς καθ' ὃν δυνατὸν διάκρισιν ἔχειν πνευμάτων ἀγαθοῦ καὶ κακοῦ; ταύτης γὰρ τῆς γνώσεως ὑπαρξάσης, φεύγομεν ἀπὸ τῶν χειρόνων μακρὰν, κακοῦ ἔργου καὶ πνεύματος πονηροῦ γινόμενοι· δίδοται δὲ οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς κατὰ θεὸν εὐσεβέσιν αὕτη ἡ σημείωσις.

Θεὸς λαλεῖ ἐν παντὶ μετέχοντι ἁγιότητος· v. 8. et 245. b.
οὕτω γοῦν καὶ ἐν Παύλῳ ἁγίῳ ὄντι ἐλάλει θεὸς καὶ ἐν παντὶ προφήτῃ· εἰ δὲ περὶ τοῦ πατρὸς ἐκλαμβάνεται ἡ φωνὴ, ἅγιος ἐν ᾧ λαλεῖ, ὁ σωτὴρ ἂν εἴη· συμφώνως τῷ, ὁ πατὴρ ὁ μένων ἐν ἐμοὶ ποιεῖ τὰ ἔργα· καὶ ἐντολὴν δέδωκέν μοι ὁ πατὴρ, τί εἴπω καὶ τί λαλήσω· καὶ ἁρμόζει ταῦτα μάλιστα τῇ οἰκονομίᾳ.

PSALMUS LX.

Ὁ ἐνταῦθα εὐχόμενος, πόῤῥω τυγχάνοντα ἑαυ- v. 3. B. f. 248. b.
τὸν εἰδὼς τοῦ ᾧ τὴν εὐχὴν ἀναπέμπει ἐκ τῶν περάτων εἶναι τῆς γῆς, καὶ κεκραγέναι πρὸς θεὸν τότε, ὅτε ἀκηδιᾷ· καθὰ γάρ φησιν ἐν τῷ ἐκκλησιαστῇ, ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐν τῇ γῇ κάτω· σημαίνεται δὲ διὰ τῆς λέξεως οὐ διάστασις τοπικὴ ἀλλ' οὐσίας, ἀκτίστου καὶ κτισμάτων διαφορᾶς, τῆς τοῦ θεοῦ ὑπάρξεως, δι' ὑπεροχὴν τιμῆς, ἄνω ἐν οὐρανῷ λεγομένης· τῆς τοῦ ἀνθρώπου κάτω εἰς γῆν τυγχανούσης, τῷ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐληλυθέναι εἰς ταύτην τὴν διαφοράν. Καὶ ὁ βαπτιστὴς σκοπήσας τὸν σωτῆρα, ἄνωθεν ἐξ οὐρανοῦ

εἶναι λέγει· τὸν δὲ ἄνθρωπον ἐκ τῆς γῆς τυγχάνειν καὶ λαλεῖν· προφέρει γὰρ ἃ κτίσματι δυνατὸν εἰπεῖν.

v. 3. A. f. 249. b. Πέτραν σημαίνεσθαι ἐκδεξόμεθα ῥέουσαν πνευματικὸν πόμα τὸν Χριστόν· ὁ ἐν ταύτῃ τῇ πέτρᾳ γινόμενος τῷ μετέχειν αὐτῆς, ὑπάρχει γὰρ σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς, μετεωρίζεται κατὰ τὸν νοῦν ὑψούμενος ἀπὸ θεοῦ· καὶ οἱ ἕπεσθαι δὲ τῷ σωτῆρι προθέμενοι κατὰ τὰς αὐτοῦ προτροπὰς λέγοντος δεῦτε ὀπίσω μου, ὁδηγῷ αὐτῷ χρώμενοι, οὐκ ἄλλου ἐλπίσαντες ἡγεμόνα εὑρήσειν τῆς ἀγούσης πρὸς τῶν πάντων αἴτιον ὁδοῦ· ταύτης τῆς δωρεᾶς τυχὼν καὶ Δαυὶδ, μεθ' ὕμνου λέγει τῷ κυρίῳ· ὡδήγησάς με ὅτι ἐγενήθης ἐλπίς μου· οὐ μόνον δὲ ὁδηγὸς ἀλλὰ καὶ πύργος γέγονάς μοι ἀπὸ προσώπου ἐχθροῦ· σὲ γὰρ ἰσχὺν ἔχων καὶ ἰσχύος πύργον, ἀβλαβὴς διέμεινα· καίτοι τοῦ ἐχθροῦ τυγχάνοντος ἀντιπροσώπου, καὶ πολεμεῖν με θέλοντος· δύναται ἀναφορὰν ἔχειν εἰς τὸ ἀπὸ προσώπου ἐχθροῦ καὶ τὸ, ὡδήγησάς με εἱρμῷ τοιούτῳ, ὡδήγησάς με ἀπὸ προσώπου ἐχθροῦ, ἐλπίς μου γεγενημένος· ἀλλὰ καὶ πύργος ἰσχύος πρὸς τῷ ὡδηγηκέναι με ἀπὸ προσώπου ἐχθροῦ, γέγονάς μοι ἐλπὶς τῶν ἁγίων ἀληθινὴ καὶ ἀδιάπτωτος ὁ σωτήρ· ἥ φησιν Παῦλος, καὶ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν· καὶ ἡ προφητεία, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν· αὐτὸς γὰρ ὁ προαναφωνηθεὶς ἔσεσθαι ἐθνῶν προσδοκία, παροικεῖ δέ τις τελειωθεὶς ἐν ἁγιότητι εἰς τοὺς αἰῶνας ἐν ἐκείνῳ τῷ σκηνώματι· ὃ δηλοῖ τὸ, τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; αἰώνιον γὰρ τοῦτο, ταυτὸν ὂν τῇ σκηνῇ ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος· πλὴν εἰ καὶ οὕτω τελειότητος ἔχει ἡ τοιαύτη σκηνὴ, ὡς καὶ ἅγια ἁγίων εἶναι, ἀλλ' οὖν ἐστιν μετ' αὐτὴν κατάστασις ὑπερέχουσα τῶν λογικῶν, καθ' ἣν ἔσονται ἐν πατρὶ καὶ υἱῷ, μᾶλλον δὲ τῇ τριάδι· διὸ παροικεῖν εἰς τοὺς αἰῶνας, ἀλλ' οὐ κατοικεῖν ἐν τῷ σκηνώματι εἴρηται· ὁ ἐν τούτῳ τῷ οἴκῳ γεγονὼς, σκεπασθήσεται ἐν τῇ τῶν πτερύγων τοῦ θεοῦ σκέπῃ.

Πλούσιος γὰρ ὤν, φησὶ, καὶ μεγάλας δωρεὰς v. 6. B. f. 250.
παρέχεις, μᾶλλον δὲ χαριζόμενος τοῖς τελείοις ἀνθρώποις τὸ γενέσθαι σου υἱοὺς, κληρονομίαν αὐτοῖς δέδωκας. εἰ γὰρ καὶ προσδοκᾶται δοθησομένη μετὰ τὴν ἀνάστασιν ἐν τῷ μέλλοντι αἰῶνι 1), ἀλλά γε τῷ ἤδη εὐτρεπεῖσθαι δέδοται τοῖς εἰς αὐτὴν κατὰ καιρὸν τὸν δέοντα ἀχθησομένοις· τὸ ὄνομα αὐτοῦ πιστευόντων αὐτῷ καὶ τῷ ὀνόματι αὐτοῦ· ἐπεὶ πολλάκις εἴρηται, ὑπὸ δὲ ἑτέρους εἶναι τοὺς οἰκειωθέντας τῇ τοῦ θεοῦ προσηγορίᾳ τῶν ἑνωθέντων αὐτῷ τῷ θεῷ· ὅρα ὡς καὶ τοῖς φοβουμένοις τὸν θεὸν δέδοται ἡ κληρονομία· εἰ γὰρ τοῖς ὑποδεεστέραις ὑπῆρκται ἡ χάρις αὕτη πολλῷ πλέον τοῖς ὑπεραναβεβηκόσιν.

Ὁ τυχὼν τῶν ἑρμηνευομένων δωρεῶν βασι- v. 7. B. f. 250. b.
λεὺς τίς ἐστι· καθ' ὃ σημαινόμενον εἴρηται περὶ τῶν θεοσεβῶν ὡς εἴπασαν βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· τούτῳ τῷ σημαινομένῳ βασιλεῦσαι καὶ οἱ ἀπόστολοι προσδοκῶντες, λέγουσι Κορινθίοις· ἡμῶν ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. Τῷ οὕτω γενομένῳ βασιλεῖ ἔτη ὑπὸ τοῦ κυρίου προστίθεται, ἡμέρας ἐφ' ἡμέρας ἀγομένης· δεῖ γὰρ ἐκ προλαβούσης φωτεινῆς καταστάσεως εἰς ἑτέραν ὡσαύτως ἔχουσαν μετάβασιν γίνεσθαι, ὡς ἐκ τοῦ τῶν ἡμερῶν ὀνομαζομένων συμπληροῦσθαι τὰ ἔτη τὰ αἰώνια· περὶ ὧν εἴρηται, καὶ ἔτη αἰώνια ἐμνήσθην· παρατείνει δὲ ἡ ζωὴ τῶν ἡμερῶν ἐφ' ἡμέρᾳ προσλαμβανόντων ἕως ἡμέρας γενεᾶς γενεῶν
ἐνώπιον τοῦ θεοῦ. Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς v. 8.
ἐκζητήσει; πολλαχοῦ τῶν θείων παιδευμάτων, ἅμα τῇ ἀληθείᾳ τοῦ θεοῦ τὸ ἔλεος αὐτοῦ συνέζευκται· μήποτ' οὖν ἐπὶ τὸ γνῶναι ἀκραιφνῶς τὴν ἀλήθειαν τοῦ θεοῦ, οὐχ οἷόν τε περικείμενον τὴν ἀνθρωπίνην ἀσθένειαν· τούτου ἕνεκα ἐλέου θεοῦ χρεία πρὸς τὸ συνιέναι τὴν ἀλήθειαν· συντείνῃ πρὸς τὸ προκείμενον τὸ θέλειν πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· πρῶτον μὲν γὰρ σωθῆναι ἐλέῳ θεοῦ, δι' ἣν ἑπόμενος ἡ ἐπίγνωσις τῆς ἀληθείας ὑπάρχῃ· ἔργον γὰρ τῆς τοῦ θεοῦ ἐλεημοσύνης ἡ ἀνθρω-

1) De animarum corporibus solutarum praemiis, recolantur quae nos diximus in hac bibl. nov. T. VI. part. II. p. 533. seqq.

πων σωτηρία· ἐξαπέστειλεν γὰρ ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ τὰ ἑξῆς.

v. 9 B. f. 251. b Ἐπεὶ ὧν ἠξίωσα, παρὰ σοῦ τέτευχα, εὐχάριστος οὕτω γεγονὼς, ψαλῶ τῷ ὀνόματί σου, ὑμνῶν δι' ἔργων νοημάτων καὶ λόγων ἀγαθῶν τὴν ἐπ' ἐμοὶ κληθεῖσαν προσηγορίαν σου· καὶ πρὸς τούτῳ ἡμέραν ἐξ ἡμέρας ἃ ηὐξάμην ἀποδώσω, ὥσπερ ὁ Ἰακὼβ φησίν· ἐὰν δῷ μοι ὁ θεὸς ἄρτον φαγεῖν, καὶ τὰ ἑξῆς· πάντα μοι ὅσα ἐὰν δῷς, δεκάτην ἀποδεκατώσω σοι αὐτά· πρὸ γὰρ τούτων τῶν λόγων φέρεται τὸ, ηὔξατο ὁ Ἰακὼβ λέγων τὸ, ἐὰν ᾖ ὁ κύριος μετ' ἐμοῦ, ἕως τοῦ, δεκάτην ἀποδεκατώσω αὐτά· εὖ δὲ καὶ τὸ εἰπεῖν ἡμέραν ἐξ ἡμέρας τὰς εὐχὰς ἀποδοῦναι, ψάλλειν τε τῷ ὀνόματι τοῦ θεοῦ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τῷ τὸ μὲν ψάλλειν τῷ ὀνόματι τοῦ ὑμνουμένου, παρεκτείνειν ἕως τοῦ μέλλοντος αἰῶνος· τῷ δὲ τὰς εὐχὰς ἀποδοῦναι, πληροῦσθαι ἕως ἔτι ὁ ἐξ ἡμῶν συμπληρούμενος χρόνος ἐστίν. οὗτος δέ ἐστιν ὁ παραμετρούμενος τῇ ἑκάστου ζωῇ· ἕως οὖν ἐν βίῳ ἐσμὲν τὰς εὐχὰς ἀποδώσωμεν, ἵνα καὶ ψάλαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τῷ ὀνόματι τοῦ θεοῦ δυνηθῶμεν.

PSALMUS LXI.

v. 3. B. f. 253. Σαλεύεται πᾶς ὁ ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτων· ἀλλ' οὐκ ἀθρόως συμβαίνει τοῦτο, προτέρας γινομένης ταραχῆς ἐν λογισμοῖς διὰ παθῶν· μεθ' ἣν εἰ προσληφθείη κατάλληλος πρᾶξις τοῖς τεταραγμένοις λογισμοῖς κλόνος καὶ πτῶμα γίνεται· ἀρχομένης τοιγαροῦν αἰσχρᾶς ἐπιθυμίας, ἢ ἑτέρου τινὸς ἀλόγου κινήματος, ἐπισχεῖν δεῖ τῷ εὐσεβεῖ λογισμῷ, συλλαμβανομένου θεοῦ τὴν ἐπὶ τὴν πρᾶξιν ὁρμὴν, ἵνα μὴ ἐπὶ πλεῖον κλόνος γένηται 1)· ταῦτα ὁ σωτὴρ σαφῶς ἐν τῷ εὐαγγελίῳ διδάσκει, τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἀναιρῶν, ἵνα μὴ μενόντων αὐτῶν, τὸ ἐπὶ πλεῖον σαλευθῆναι πρακτικῶς γένηται.

v. 4. B. f. 253. Ὁ ἐν ἀγάπῃ τεθεμελιωμένος καὶ ἐῤῥιζωμένος, ἄσειστός ἐστι τοῖχος, καὶ φραγμὸν ἔχει ἠσφαλισμένον, ὅπως μὴ τρυγῶσιν αὐτὸν οἱ παραπορευόμενοι τὴν ὁδὸν φαῦλοι ἄνθρωποι καὶ πονηραὶ δυνάμεις· τὸν οὕτως ἀσφαλῶς ἔχοντα φραγμὸν ὁ θεὸς περιβάλλει φάσκων, καὶ ἐχαράκωσα καὶ φραγμὸν περιέθηκα· σύγκειται γὰρ οὗτος ὁ φραγμὸς, ἐξαγγέλλων φρουρούντων καὶ δογμάτων ἀληθείας καὶ πράξεων κατ' ἀρετὴν ἐλπιζομένων· τούτου μένοντος, οὐδεὶς βλάψαι τοὺς θείους καρποὺς τοῦ πνευματικοῦ φυτοῦ δυνήσεται· εἰ δὲ συμβαίη ποτὲ ἀντὶ σταφυλῶν ἀκάνθας ἐξενεγκεῖν τὸν φρουρούμενον ἀμπελῶνα, ἐγκαταλιπὼν αὐτὸν ὁ θεὸς λέγει· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· εἰ δὲ τοῦτο συμβαίνει διὰ τὸ φαῦλον καρπὸν γενέσθαι ἐξ ἡμῶν, κεκλιμένος ὁ τοῖχος, καὶ ὠσμένος, γίνεται ὁ φραγμός.

Ἀρετὴ καὶ εὐσέβεια, τιμὴ τοῦ σοφοῦ· κατὰ v. 5. B. f. 253. b.
τὸ, δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν· ἀτιμία τοίνυν ἐστὶν ἡ κακία, εἰς ἣν οἱ ἐκπεσόντες, ὃ πεπόνθασιν αἰσθανόμενοι λέγουσιν, ἐπεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν εἰς θλίψιν· καὶ τὸ, ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν· οὐκ ἔφη δὲ ἀπώσαντο τὴν τιμήν μου, ἀλλ' ἐβουλεύσαντο· βίαν γὰρ οὐκ ἐπάγουσιν ἀλλ' ἀπάτην οἱ δαίμονες· ὧν συγγενεῖς οἱ περὶ ὧν ἔγραψε Παῦλος· δι' εὐλογίας καὶ χρηστολογίας ἐξαπατῶντες τὰς τῶν ἀκάκων καρδίας· τοιοῦτον καὶ τὸ, ἐὰν δέηταί σου ὁ ἐχθρός σου μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ ἐγγινόμεναι, τάχα ἀπὸ τῶν ζ' πνευμάτων, ὧν παραλαμβάνει τὸ ἀκάθαρτον πνεῦμα πονηροτέρων αὐτοῦ ὑπαρχόντων· μὴ πεισθῇς οὖν αὐτῷ κολακεύοντι.

Λέγοι δ' ἂν καὶ ὅτι ἀντιλαμβανομένου θεοῦ, v. 7. B. f. 254. b.
μετανάστης οὐ γέγονα· αὐτὸς οὖν μοι σωτὴρ, ἀλλ' οὐκ ἐγώ φησιν ἐμαυτῷ· αὐτὸς γὰρ καὶ δόξαν δίδωσι τοῖς ἐκζητοῦσιν αὐτὸν, καὶ σωτηρίαν οὐ σαρκῶν ἀλλὰ ψυχῆς λογικῆς, ἣν ἔχει τις εἰς τὴν πατρίδα πιστεύσας κατὰ τὸ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως σωτηρίαν ψυχῶν· διὸ κἂν τι πάλιν εἰς σάλον μὴ βιάζηται, ἐπ' αὐτῷ τὴν ἐλπίδα ποιοῦμαι πολλάκις με σώσαντι.

Πᾶσαι αἱ τῶν λαῶν τῶν πιστευσάντων ἀπὸ v. 9. B. f. 254. b.

1) Videmus egregiam et apprime christianam Didymi doctrinam de vitando interiore peccato.

ἐθνῶν συναγωγαὶ, ὅπως μηκέτι ἄθεοι καὶ ἐλπίδα μὴ ἔχοντες· ἢ καὶ ἐλπίσατε ἐπ' αὐτὸν ἄνευ πάσης πανουργίας, ἐνώπιον αὐτοῦ φανερώσαντες τὰς καρδίας ὑμῶν· γενήσεται γὰρ ὑμῖν ὁ θεὸς βοηθός· ταυτὸν τὸ, ἐκχεῖν ἐνώπιον τὴν καρδίαν, τὸ ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψυχῆς ἀγαπᾶν αὐτόν.—Ὅμοιον ὡσεὶ λέγοι, μὴ προσέλθετε αὐτῷ ἐν καρδίᾳ δισσῇ· ἀλλ' ὡς γέγραπται, ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς διανοίας σου·—Ἢ καὶ τοὺς ἐξ ἐθνῶν προτρέπεται ὡς ἂν μηκέτι ὦσιν ἄθεοι καὶ ἐλπίδα μὴ ἔχοντες, χωρὶς πανουργίας φανεροῦντες τῷ θεῷ τὰς καρδίας, καὶ ἐξ ὅλης ψυχῆς ἀγαπῶντες αὐτόν· ἐπιδαψιλείας γὰρ πολλάκις ἡ ἔκχυσις· ὡς ἐν τῷ, ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ὑμῶν διὰ πνεύματος ἁγίου.

v. 10. Οὐ γὰρ δυνατὸν θεῷ δουλεύειν καὶ μαμωνᾷ· οὐδὲ μὴν ἐπ' ἀδικίαν ἠλπίσαι καὶ τὸν θεόν; καὶ γὰρ δοκεῖ ῥέειν καὶ μειοῦσθαι τοῦ μὴ ἀδικοῦντος ὁ πλοῦτος· οὐ δεῖ προστίθεσθαι καρδίαν τῇ μειώσει λειπούμενον· ἀδικίαν δὲ ἢ τὴν περὶ κοινωνίαν ἀνισότητα λέγει· καὶ τὸ, ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε· καὶ ταῦτα ἀδελφοὺς καὶ μάλιστα διὰ τὸ συνεζεῦχθαι ἁρπάγματα καὶ πλοῦτον ῥέοντα; ἢ τὴν πρακτικὴν κακίαν καθ' ὃ λέγεται, ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· καὶ τὸ, ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν· καθόλου γὰρ οὔσης κακίας εἶδος ἡ ἁρπαγή.

Πρὸς τοὺς τοιούτους ἐῤῥέθη· ἵνα τί ἀγαπᾶτε
v. 10. B. f. 255. b. ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; καί τοι παραγγέλλονται μὴ στάθμιον ἔχειν μικρὸν καὶ μέγα, ἀλλὰ ζυγὸν ἀληθινόν· ἐπείπερ βδέλυγμα κυρίῳ ἐστὶ δισσὸν στάθμιον· μετανοοῦνται δὲ καὶ οἱ περὶ ματαίαν συμφωνίαν σπουδάζοντες· υἱοὺς δὲ ἀνθρώπων ἢ περιφραστικῶς τοὺς ἀνθρώπους φησὶν, ἢ τοὺς ὡς ἀνθρώπους ἀποθνήσκοντας, τῷ μηκέτι θεοὺς ἢ υἱοὺς ὑψίστου τυγχάνειν· ὅπου γὰρ ἔρις καὶ ζῆλος, φησὶν, ἐν ὑμῖν, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;

Ἀγένητος ὢν ὁ θεὸς καὶ νοητὴν ἔχων οὐσίαν,
v. 12. B. f. 256. μονοειδῶς καὶ ἀσυνθέτως λαλεῖ· ὁ δὲ προφήτης ὡς γενητὸς, δύο κατὰ τὴν δεῖξιν ἤκουσε ταῦτα· τὸ γὰρ ταῦτα φωνὴ δεικτική· καθαρᾷ τοίνυν νοήσει καὶ ἀσυνθέτῳ φωνῇ λέγοντος αὐτό· οὐ γὰρ ἐπέστη μου τῇ φαντασίᾳ τὸ παρά τισι λεγόμενον λεκτὸν ἄῤῥητον ὑπάρχων, καὶ μήποτε ἄῤῥητα ῥήματα· καὶ ὁ Παῦλος ταῦτά φησιν· οὐ γὰρ διὰ συλλαβῶν ἐξεφωνήθη· διὸ ἄῤῥητα ῥήματα δὲ διὰ τὸ ἔχειν νόησιν ἀληθῆ· ἔνθα γὰρ τὸ ἀληθὲς, ἐκεῖ πρότασις ἤ τις ἐκ ῥήματός ἐστι ῥητή· ἀλλὰ καὶ θεοῦ τυχὸν αἰσθητῶς ἐντελλομένου περὶ θυσίας ἡμεῖς αἰσθητῶς ἀκούομεν καὶ πνευματικῶς· οὕτω καὶ τὴν περιτομήν· λέγοις δ' ἂν θεὸν μὲν εἶναι τὸν πατέρα, κύριον δὲ τὸν υἱὸν, ἢ καὶ τὸν αὐτὸν ἀμφότερα· ἀλλὰ πῶς ἀποδίδωσιν ἑκάστῳ καὶ τὰ ἔργα αὐτοῦ; εἰ μήτε ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι· μήτε πρὸς ἀξίαν τιμωρεῖται τοὺς ἁμαρτάνοντας· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ; κύριε κύριε τίς ὑποστήσεται; μήποτε τοίνυν οὐ κατὰ τὴν ποσότητα, ἀλλὰ κατὰ τὴν ποιότητα γίνεται· κἂν δηλοῦται δὲ ποσότης, ἐκ τῆς λέξεως, ἐπὶ μὲν τῶν ἀγαθῶν μείζων ἡ δόσις ἐπὶ δὲ τῶν κακῶν ἐλάττων ἡ τιμωρία· οὐ γὰρ κατὰ τὴν ἐπανορθωτικὴν δικαιοσύνην ἡ ἰσότης, ἀλλὰ κατὰ τὴν διανεμητικὴν τὸ ἴσον καὶ ἄνισον.

PSALMUS LXII.

Ταῦτα λέγει, τίς ἂν ἀγνοίας καὶ κακίας ἀπηλ- v. 2. B. f. 256. b.
λαγμένος, ὡς φάναι δύνασθαι· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· συνῳδὸν δὲ τούτῳ τὸ, ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρός σε ὁ θεός· τῷ δὲ πράττοντι τὰ τῆς νυκτὸς καὶ τοῦ σκότους, οὐκ ἐπέλαμψεν ὄρθρος· τὸ δὲ πρὸς σὲ, οὐ τοπικὸν, οὐ γὰρ ἐν τόπῳ θεὸς, ἀλλ' ἐν διαθέσει καὶ σχέσει πρὸς θεὸν γινομένου τοῦ τὰ αἰσθητὰ ὑπερπηδήσαντος· ἔφη δὲ, ὁ θεὸς ὁ θεός μου· ὁ γὰρ τῶν ἁγίων θεὸς λατρευόντων αὐτῷ, καὶ καθάπαξ θεός ἐστιν, οὐ πάντων τῶν ἐχόντων τὸ εἶναι τινῶν καὶ ἀπολελυμένως ὄντων.—Πρὸς σὲ δέ μου τὸν πόθον ἀπὸ πάντων μετέστησα, ὀρέξοντά μοι πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον· καὶ ἐπὶ τῆς ψυχῆς φωτιζομένης, καὶ ἡ σὰρξ ὡς οἷόν τε μεταλαμβάνει· καὶ αὕτη δι-

ψᾷ πρὸς θεόν· καὶ εἰ μὲν ὁ λόγος πρὸς τὸν πατέρα δύναμις, καὶ δόξα αὐτοῦ ὁ μονογενής· Χριςὸς γὰρ θεοῦ δύναμις· καὶ ὀφθήσεται ἡ δόξα κυρίου· εἰ δὲ πρὸς τὸν υἱόν, ἡ περὶ αὐτοῦ θεολογία, δύναμις αὐτοῦ καὶ δόξα καὶ ἡ ἐπιτελεστικὴ τεράτων ἐνέργεια· κατὰ τὸ ἐν τῷ εὐαγγελίῳ, δύναμις ἐξ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας· καὶ πάλιν, δύναμις ἦν θεοῦ εἰς τὸ ἰᾶσθαι αὐτόν· περὶ δὲ τῆς δόξης, ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς· καὶ πάλιν, δόξασόν με πάτερ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι· ἀκολούθως ἑκατέρᾳ νοήσεις ἐκλήψει καὶ τό, ἐν τῷ ἁγίῳ ὤφθην σοι· ὅρα δὲ μὴ διὰ τῆς ἐρήμου καὶ ἀβάτου καὶ ἀνύδρου, ὁ περὶ γῆν τόπος δηλονότι, ἔρημος ὢν τελειότητος· καὶ ἄνυδρος, τῷ μὴ ἔχειν δαψιλῶς τὰ χαρίσματα τοῦ πνεύματος· ποταμοὶ γὰρ ὕδατος ζῶντος εἴρηνται· διὸ καὶ ἄβατός ἐστιν, οὐδενὸς ἐπ' αὐτοῦ διατρίβοντος τῶν πάντη κατὰ τὸ δυνατὸν ὁμοιωμένων θεῷ· καὶ εἰκότως ἔρημος· ἐκ μέρους γὰρ ἡ γνῶσις ἐν αὐτῷ, καὶ ἀῤῥαβὼν μόνον τοῦ πνεύματος· τὸ σπάνιον γὰρ ἀλλ' οὐ παντελῆ στέρησιν αἱ λέξεις δηλοῦσιν.

v. 5. B. f. 257. b. Γέγραφεν ὁ ἀπόστολος, ὡς πρὸς πάντα ὠφέλιμος οὖσα ἡ εὐσέβεια, ἐπαγγελίαν ζωῆς ἔχει τῆς τε νῦν καὶ τῆς μελλούσης· τῆς δὲ νῦν εἰπών, οὐ τῆς κοινῆς λέγει τῶν ζώων, ἀλλὰ τῆς ἐν βίῳ δυνατῆς ὑπαρχθῆναι· περὶ ἧς φησὶν ὁ σωτήρ· ὁ πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον· καὶ αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσιν σὲ τὸν μόνον καὶ ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· ταύτης τῆς νῦν ζωῆς καὶ τῆς μελλούσης, ἥτις κατὰ τὴν τελειότητα γίνεται τοῖς προσβαλοῦσι τῇ ἀληθείᾳ πρόσωπον πρὸς πρόσωπον· κρεῖσσόν ἐςι τὸ ἔλεος τοῦ θεοῦ τῷ δι' αὐτὸ καὶ καθ' αὑτὸ γενέσθαι ἐν ταῖς ζωαῖς τὸν εἰς αὐτὰς ἀναγόμενον· οὐ γὰρ κατ' ἀξίαν πράξεως καὶ θεωρίας, ἀλλ' ἀγαθότητι καὶ ἐλέῳ θεοῦ ἔρχεταί τις ἐπὶ τὸ ζῆν κατ' ἀμφοτέρας τὰς ζωάς· κρεῖσσον οὖν ὡς αἴτιον αἰτιατοῦ, ὥσπερ τὸν θεὸν λόγον δηλοῖ, περὶ οὗ φησιν, ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ.

Ὅρα εἰ στέαρ ἐστὶ πληροῦν τὴν ψυχὴν ἃ v. 6. B. f. 258. ἔσφαξε θύματα ἡ σοφία, καὶ ἡ ἀληθινὴ βρῶσις σὰρξ τοῦ λόγου καὶ πιότης εὐφραίνουσα τὸν ἔσω ἄνθρωπον· ὁ τρυγώμενος οἶνος ἐκ τῆς ἀμπέλου τῆς ἀληθινῆς· καὶ ἀληθινὴ πόσις τῆς σοφίας τὸ αἷμα· κληθεὶς γὰρ ὁ ταῦτα λέγων εἰς τὸ μετασχεῖν τῆς ἑτοιμασθείσης τραπέζης ὑπὸ τῆς σοφίας σφαξάσης τὰ ἑαυτῆς θύματα, καὶ τὸν ἑαυτῆς κερασάσης οἶνον· ἐμφορηθεὶς ἤδη τῆς θείας ἑστιάσεως καὶ προσδοκῶν, οὕτως εἶπεν, ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ ἐπεὶ ὁ ταύτης τῆς εὐωχείας μεταλαμβάνων πίναι διὰ τὸ τῆς ὀρέξεως τοῦ νοῦ ἀκόρεστον ἐμπλησθείη φησίν, καὶ οὐκ ἐνεπλήσθη ἡ ψυχή μου, καίπερ ἤδη δαψιλῶς μετειληφὼς τῆς τροφῆς καὶ τοῦ πόματος, μάτην ἄρα τινὲς ἐλπίζουσιν μετὰ τὴν ἀνάστασιν βρώματά τε καὶ πόματα αἰσθητά· οὐ σῶμα γὰρ ἀλλὰ ψυχὴν εἶπεν ἐμπλησθήσεσθαι στέατος καὶ πιότητος, πληροῦντος τοῦ θεοῦ ἐν ἀγαθοῖς τὴν ψυχῆς ἐπιθυμίαν, ὡς εἶπεν ἐν ἑτέρῳ ψαλμῷ· πληρωθεὶς δὲ τῆς εὐφροσύνης, χάριν ὁμολογεῖ τῷ ταύτην ὀρέξαντι λέγων, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ ὄνομά σου· περὶ ὧν ἔλεγε· τὰ χείλη μου ἐπαινέσουσίν σε· δυνατὸν δὲ ἀγαλλιάσεως χείλη λέγειν ὡς ἀγαλλιάσεως ὠνομασμένης τῆς ἀρετῆς· ὡς λέγεται ἀφροσύνης, μελέτης γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ.

Δύναται δὲ ταῦτα λέγειν ὁ ἀνομίᾳ σχολάζων, v. 9. B. f. 258. b. ἵνα μεριμνῶν τὰ τοῦ κυρίου ἀρέσῃ αὐτῷ· καὶ ὁ κοίτην ἀμίαντον ἔχων, τῷ κατὰ τοὺς ἁγίους ἄνδρας τιμίως συνεῖναι τῇ γαμετῇ.—Ὥσπερ δέ ἐστιν τὸν τρέχοντα ἐπὶ τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν τέλος ἐπιθεῖναι κατὰ τὸ λεχθέν, τὸν δρόμον τετέλεκα· καὶ τό, ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα· τελέσαντος γάρ ἐςι τὸ ἔδραμον· οὕτως ὁ ἑπόμενος θεῷ κατὰ τὸν Ἱερεμίαν, ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου· καὶ κατὰ τὸν Ὠσεέ, ὀπίσω κυρίου πορεύσομαι· καὶ καθὰ φησὶν Μωϋσῆς, ὀπίσω κυρίου τοῦ θεοῦ σου πορεύσῃ· τελέσει ἄν ποτε τὴν ὀπίσω τοῦ θεοῦ πορείαν ἐπ' αὐτὸ φθάσας τὸ τῆς μακαριότητος τέλος, ὅτε ἀκούσεται πρὸς θεοῦ, σὺ δὲ στῆθι

μετ' ἐμοῦ· καὶ ὁ κολληθεὶς τοίνυν ἡνωμένος οὐκέτι πορεύεται· ὥσπερ οὖν ἥνωνται καὶ οἱ ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ· ὁποῖον καὶ τὸ, ὁ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμα ἐστὶν, ὅπερ τελειότερον τοῦ κολληθῆναι ὀπίσω αὐτοῦ· εἰ γὰρ καὶ τέλος πορείας τὸ κολληθῆναι ὀπίσω αὐτοῦ, ἀλλὰ κρεῖττον τὸ κολληθῆναι πρὸς τὸν κύριον, ἐπὶ τὸ ἓν πνεῦμα πρὸς αὐτὸν γενέσθαι· πλὴν ὡς ἂν ἔχῃ ὁμολογεῖ καὶ κολλᾶσθαι ὀπίσω τοῦ θεοῦ τὴν ψυχὴν αὐτοῦ, ἀντιλαμβανομένης τῆς θεοῦ δεξιᾶς, ἥτις ἐστὶν ὁ μονογενὴς, θεοῦ δύναμις· ἧς κρατούσης, οἱ ἐχθροὶ μεματαίωνται ὁρατοὶ καὶ ἀόρατοι, μὴ ἔχοντες ἁρπάσαι τὸν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ φρουρούμενον.

v. 11. B. f. 259. Τουτέστι πονηρῶν δυνάμεων, διὰ τὸ πανοῦργον καὶ κακοηθὲς ἀλώπεκες.—Ὅμοιον δὲ τῷ προκειμένῳ καὶ τὸ, ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην· τὴν ἐκεῖ δὲ τιμωρίαν ἡ ῥομφαία δηλοῖ· ταύτης δὲ χεῖρας ἢ τοὺς ὑπ' αὐτῆς πόνους, ἢ τοὺς ὑπηρετοῦντας αὐτῇ, σκεύη λεγομένους ὀργῆς· διὰ δὲ τὴν πανουργίαν αἱ πονηραὶ δυνάμεις, ἀλώπεκες λέγονται.

v. 12. B. f. 259. b. Μετὰ παῤῥησίας λοιπὸν ἅπαντες· καὶ ὀνομάσουσι βασιλέα, καὶ κατὰ τῆς τούτου σωτηρίας ὀμοῦνται, οὐκέτι δεδειότες τοὺς συκοφάντας, ὧν ἐνεφράγη τῷ θανάτῳ τὰ στόματα· ὃ δὴ ποιῆσαι ζῶντος ἐφοβοῦντο Σαοὺλ, τοσούτων ἀποσφαγέντων διὰ τὸν Δαυὶδ ἱερέων.

PSALMUS LXIII.

v. 3. B. f. 260. Συστροφὴν τὴν ὁμόνοιαν καλεῖ, καὶ τὴν ἐπὶ κακῷ συμφωνίαν, ἧς ἀντιβολὴ κρείττων ἀποφανθῆναι, οἷον τινὶ τοιχείῳ τῇ θείᾳ κηδεμονίᾳ περιφραττόμενος· συκοφαντίας γὰρ κατ' ἐμοῦ ῥάπτουσι, τὸν κατ' ἐμοῦ πυρσεύοντες πόλεμον.

v. 5. B. f. 260. b. Ἐξ ἐνέδρας ἐπιάσι, τὸν ἐφορῶντα μὴ σκοποῦντες θεόν·—Καὶ οἱ ἑτερόδοξοι φασὶ μηδένα εἶναι τὸν καταλαβεῖν δυνάμενον τὴν κεκομψευμένην αὐτῶν καὶ σεσοφισμένην διδασκαλίαν.

v. 7. B. f. 261. Ἐκλειπόντων ἔρευναν ἐξερευνήσεις, διὰ τὸ σφόδρα ἐξερευνηκέναι τὴν ἀνομίαν, ὡς καὶ λόγον ἑαυτοῖς κραταιῶσαι πονηρὸν, καὶ παγίδας κρύψαι ἐν τοῖς διηγήμασιν εαυτῶν, τῷ δοκεῖν μηδένα φράσαντα λῦσαι· προσελεύσεται ἄνθρωπος ἀληθινὸς, τὸ κατ' εἰκόνα διασώζων καὶ διαρθρώσας τὸ λόγιος εἶναι καὶ νόησιν ἔχων βαθεῖαν εἰς ἔλεγχον· ὡς ὑψωθῆναι τὸν θεὸν δραττόμενον τῶν σοφῶν ἐν τῇ πανουργίᾳ αὐτῶν· οὕτως ἐφανέρωσε Ἐλύμα τοῦ μάγου τὸν δόλον· ὑψοῦται γὰρ θεὸς δι' ἀνδρῶν ἁγίων τῆς ἀπάτης ἐλεγχομένης, ὡς ἤλεγξε Μωϋσῆς τοῦ Φαραὼ τοὺς ἐπαοιδοὺς καὶ φαρμακοὺς· καὶ πάντες τὸν θεὸν, τῆς βαθείας διδομένης καρδίας παρὰ τοῦ πάντα ἐρευνῶντος πνεύματος.

v. 8. B. f. 261. b. Οἱ θεασάμενοι αὐτοὺς τῶν ἐγχειρημάτων διαμαρτόντας, θορύβου καὶ δέους ἐπλήσθησαν, καὶ τὴν θείαν ἐθαύμασαν πρόνοιαν· τοῦτο γὰρ τὰ μετὰ ταῦτα δηλοῖ.—Ὡς ἀβλαβῆ τῶν νηπίων τὰ βέλη, οὕτω καὶ τῶν σοφιστῶν ἀδεῆ καὶ πρᾶγμα πικρὸν, ὡς ἀσθενῆσαι τοὺς λόγους αὐτῶν παρὰ τοῖς ἀναλαμβάνουσι τὸν τῆς πίστεως θυρεόν· διόπερ ἐφοβήθησαν οἱ πάλαι τούτους θαυμάζοντες, τῆς ἀπάτης παυσάμενοι, καθ' ἣν ἐπείσθησαν μήτε πρόνοιαν εἶναι, καὶ τὰ ὄντα ὑπάρχειν αὐτόματα, καὶ ἀνθρώπους εἶναι φύσει ἀγαθοὺς καὶ κακοὺς καὶ ὑφ' εἱμαρμένην τελεῖν· ὧν δὲ κλονηθέντων, ἐδόξασαν τἀναντία ἐκ τοῦ μεγέθους καὶ κάλλους τῶν κτισμάτων τὸν δημιουργὸν θεωρήσαντες.

PSALMUS LXIV.

v. 1. B. f. 262. Εἴρηται δὲ πρότερον, ὡς πρᾶξιν μὲν ὁ ψαλμὸς, θεωρίαν δὲ ἡ ᾠδὴ δηλοῖ 1)· ὁ θεωρητικὸς γὰρ ἅμα τῷ πρακτικῷ θεωρούμενος βίῳ, ἄνδρα τέλειον ἀποδείκνυσιν.

v. 5. B. f. 263. Ὁ ἐκλεγεὶς δι' ἁγιότητα, ἐὰν ἐπιμείνῃ τῇ ἐκλογῇ, προσλαμβάνεται ὑπὸ τοῦ θεοῦ, ὡς μετοικισθέντα τοῦ περὶ γῆν τόπου, κατασκηνῶσαι ἐν ταῖς αὐλαῖς τοῦ ἐκλεξαμένου· περὶ ὧν εἴρηται· εἰσέλθατε εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις· ὧν ἀπ' ἐντεῦθεν πόθον τίς ἔχων εἶπεν· ἐπιπο-

1) Dixerat hoc Didymus in titulo psalmi quarti, quem locum nos, speciminis instar, in tomo tertio p. 456. gr. edideramus ex alio codice; quemque idonee repetere in huius commentarii serie obliti sumus.

θεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου· καὶ ἐπεὶ οὐκ ἐν ταῖς αὐλαῖς τὸ τῆς μακαριότητος τέλος, κατασκηνοῖ ἐν αὐταῖς ὁ ἐκεῖ παραληφθεὶς, ἵνα προκόψας ἐπ' αὐτὸν τὸν οἶκον κατοικεῖ μακαριζόμενος· μακάριοι γὰρ οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσίν σε· ὅτι τελειότερον τοῦ ἐκλεγῆναι τὸ προσληφθῆναι ἐκ τοῦ ἐκλεξαμένου, δῆλον ἐκ τοῦ, ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με· ὅταν γὰρ ὁ ἐκλεγεὶς πάντα κατὰ βούλησιν Θεοῦ πράττῃ, τότε μετὰ δόξης εἰς τὰς ἐπαγγελίας προσλαμβάνεται· τὰς δὲ λέξεις ταύτας προφέρουσιν οἱ τοὺς ἀπαλλαγέντας τοῦ βίου δοξολογοῦντες.

v. 8. B. f. 264. Πῶς δὲ οὐκ ἐφοβοῦντο πάντες καὶ ἐταράσσοντο χρηστηρίων καταλυθέντων, καὶ τῶν ἰατρείαν καταγγελλομένων δαιμόνων μαγείας τε καὶ φαρμακείας καὶ αὐτοῦ τοῦ σατανᾶ, τοῦ τὸ κράτος ἔχοντος τοῦ θανάτου· ἀμέλει διὰ τῶν σημείων γνόντες αὐτοῦ τὴν θεότητα λοιπὸν ἔγνωσαν, ὡς καὶ τῶν κατ' οὐρανῶν αὐτὸς προνοεῖ· νόμοις αὐτοῦ ἀνατέλλει τὰ ἄστρα καὶ δύεται· ἔξοδοι γὰρ πρωΐας μὲν αἱ ἀνατολαί· ἑσπέρας δὲ αἱ δύσεις, ἐφ' αἷς οἱ πιστεύοντες τέρπονται ταῦτα ποιεῖν, ἐγνωκότες τὸν γενόμενον ἄνθρωπον καὶ τῆς ἀπάτης ἐλευθερώσαντα.

v. 10. B. f. 264. b. Ὑετὸν πνευματικὸν διδοὺς, πρώϊμον μὲν διὰ τῆς παλαιᾶς, ὄψιμον δὲ διὰ τῆς καινῆς διαθήκης· δι' ὃν μεθυσθεῖσα ἡ ἀλληγορουμένη γῆ· ψυχὴ δὲ ἀνθρώπου αὕτη ἐπλουτίσθη, παντὶ λόγῳ καὶ πάσῃ γνώσει καὶ ἔργοις ἀγαθοῖς πληθύνοντος αὐτοῦ τοῦ Θεοῦ.—Θεοῦ ποταμὸς καὶ ζωῆς πηγὴ ὁ λόγος αὐτοῦ· καὶ ὅτι τάχα πρὸς Θεὸν ὁ λόγος πηγή· ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ποταμὸς εὑρισκόμενος[1], ὅτε τὴν κτῆσιν ποτίζει τὴν λογικήν· οὗ δὴ τὰ ὁρμήματα, καὶ αἱ κατὰ μέρος διδασκαλίαι εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ τὴν ἐκκλησίαν· καὶ ἐπεὶ τὸ πλήρωμα τῆς θεότητος ἐν αὐτῷ κατοικεῖ, πεπληρωμένος ὑδάτων ἐστὶν, καθ' ὃ λέγεται περὶ αὐτοῦ· ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· ἐκ τούτων τῶν ὑδάτων, ὧν πλήρης ὁ ποταμός ἐστιν, ποτίζεται πᾶσα ἡ λογικὴ κτίσις· ἀλλὰ καὶ τροφὴν ἔχει θεόθεν ἑτοιμαζομένην, σπείροντος σίτου σπορὰν ἑκατονταπλασίονα καρποφοροῦσαν· ἐκ τούτου τοῦ ποταμοῦ οἱ αὔλακες τῆς γῆς, ἐφ' ἣν βέβληται τὸ πνευματικὸν ἄροτρον, μεθύσκονται πίνοντες ἐπ' εὐφροσύνῃ, ὡς καὶ τὰ γεννήματα τῆς δικαιοσύνης αὐξανόμενα ἐν αὐτῇ πληθύνεσθαι· περὶ ὧν εἴρηται, σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς· καὶ ἔτι, ἐκζητήσατε τὸν κύριον ἕως ἔλθῃ ὑμῖν γεννήματα δικαιοσύνης· καὶ ἐπεὶ μὴ ἐκ τοῦ ποταμοῦ μόνον μεθύουσιν οἱ τῆς γῆς αὔλακες, ἀλλὰ καὶ ἐκ τοῦ πνευματικοῦ ὑετοῦ ὃν ῥαίνουσιν αἱ νεφέλαι· κατὰ τὸ, καὶ αἱ νεφέλαι ῥαινέτωσαν δικαιοσύνην, εὐφραίνεται ἀνατέλλουσα ἡ γῆ ἐν τοῖς σταγόσιν ταῖς ἐπ' αὐτὴν ἐρχομέναις ταῖς τῶν θεοπνεύστων γραφῶν λέξεσιν καὶ νοήμασιν.

v. 14. B. f. 265. b. Τινὲς δὲ κοιλάδας τὰς τεταπεινωμένας εἶπον ψυχὰς, τῷ μηδὲν ἔχειν ἔπαρμα, αἵ τινες σῖτον ἐπλήθυναν ὃν ἀρτοποιῆσαι τις δύναται· καὶ τὸ, διάνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἐμπλήσθητι ἄρτων· ψυχῆς γὰρ ἀνοιχθέντες ὀφθαλμοὶ φωτὸς μεταλαμβάνουσι γνώσεως· οὗ δὴ γεγονότος οἱ ἄρτοι πληθύνονται, αἱ πρακτικαὶ ἀρεταὶ, τρέφοντες τὸν ἔσω ἄνθρωπον.—Ὁ νυμφίος ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων φησὶν, ὅς ἐστιν ὁ σωτὴρ, ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων· πεδίον τῶν περὶ γῆν τόπων εἰπὼν, οὗ γέγονεν ἄνθος· ὡς ἂν ἀρχὴν καρποφορίας οἱ ἄνθρωποι λάβωσιν· κοιλάδας δὲ τὰς ἐν ᾅδου ψυχὰς αἷς γέγονε κρίνον, νέκρωσιν ἀναλαβών· καὶ κόκκος δὲ γέγονεν σίτου, ὡς αὐτὸς εἶπεν· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ πεσὼν ἀποθάνῃ, πλείονα καρπὸν φέρει· διὰ τοῦ θανάτου τοίνυν πλείονα ποιήσας καρπὸν, καὶ ἐν ᾅδου γέγονεν αἴτιος ταῖς κοιλάσι πληθῦναι σῖτον.—

Ἰστέον δὲ ὥς τινες τῶν συγγραφέων μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον εὐετηρίαν ἔφασαν γεγονέναι, καὶ πλῆθος ὄμβρων καὶ πολὺν ῥεῦσαι τὸν Ἰορδάνην, ὃν ἔφασαν εἰρῆσθαι τοῦ Θεοῦ ποταμόν· καίτοι γεγονότες ἐν πλείστῃ πενίᾳ, καθάπερ Ἔσδρας ἐδίδαξεν, καὶ τῆς τῶν ἐθνῶν

κλήσεως ἀπαιτούσης ἀκόλουθα τὰ λοιπὰ τοῦ ψαλμοῦ· οἱ δὲ μυθικῶς φασὶν ἔσεσθαι ταῦτα μετὰ τὴν Ἰουδαίων ἐν ἐσχάτοις ἀνάκλησιν οἰκοδομηθησομένοις τὴν Ἱερουσαλήμ.

PSALMUS LXV.

v. 1. B. f. 266. Ἀλαλάζουσι δὲ κατὰ τῶν ἑαλωκότων οἱ νενικηκότες ἀσήμῳ καὶ μεγίστῃ φωνῇ· ἐπεὶ τοίνυν χάριτι θεοῦ τοῦ σωτῆρος ὑπὲρ παντὸς γευσαμένου θανάτου οἱ νεκροὶ ἐγείρονται, καταλυθέντος τοῦ διαβόλου τοῦτο κράτος ἔχοντος τοῦ θανάτου, προστάττει ἀλαλάξαι τῷ θεῷ πᾶσα ἡ γῆ, πάντων ἐγειρομένων δικαίων τε καὶ ἀδίκων.—Ἀλλὰ καὶ τῆς κατὰ μετάνοιαν ἀναστάσεως πᾶσι προκειμένης πάντες ἀλαλαζέτωσαν· πρὸς ἕκαστον γὰρ λέγεται, μή τι ὁ πεσὼν οὐκ ἀνίσταται; καὶ πρὸς ἅπασαν τὴν ἀπὸ τῶν ἐθνῶν ἐκκλησίαν ὁ κύριος λέγει· ἀνάστα, ἐλθὲ ἡ πλησίον μου· ὁ γὰρ ἀναστὰς διὰ τῆς μετανοίας, οὐκέτι πόῤῥω Χριστοῦ· γενομένης δὲ τῆς ἐν ἀλαλαγμῷ κατὰ τῶν ἡττημένων φωνῆς, οἱ ἐλευθερωθέντες προστάττονται τῷ τῆς νίκης αἰτίῳ ψάλαι θεῷ· δόξαν δὲ δίδωσιν αἰνέσει αὐτοῦ ὁ ἔχων τῇ αἰνέσει πρᾶξιν κατάλληλον· τοῖς γὰρ εὐθέσει πρέπει αἴνεσις· διὸ κωλύεται ὁ φαῦλος τοῦτο ποιεῖν, οὐκ ὄντος ὡραίου αἴνου ἐν στόματι ἁμαρτωλοῦ.

v. 6. B. f. 276. Διελέγχει δὲ ταῦτα τοὺς ἄλλον μὲν λέγοντας εἶναι τὸν ἐκεῖνα ποιήσαντα, ἄλλον δὲ τὸν ἐν εὐαγγελίοις θαυματουργήσαντα· Ἰησοῦς γὰρ ἐν Αἰγύπτῳ τὸν λαὸν ἔσωσεν, ὡς ἐν ἐπιστολῇ φησιν ἀποστολικῇ· πῶς δὲ οὐ θείας ὄντως βουλῆς, ἁγνείαν καὶ ἀκτημοσύνην καθὸ δὴ κατορθοῦσθαι τρόπον; κυματούμενα γὰρ τὰ πάθη μετέβαλεν βαλὼν πῦρ ἐπὶ γῆς λόγον ξηραίνοντα πᾶσαν ὑγρότητα, ὡς βαδίζειν εὐχερῶς τὴν ὁδόν· οὕτω συμβολικῶς ὁ Πέτρος ἐπὶ θαλάσσης ἐβάδισεν, τῷ σωτῆρι πιστεύσας· ὁ δὲ ποταμὸς, λόγος ἐστὶν ὠχυρωμένος ἑλληνικῇ σοφίᾳ καὶ τέχνῃ, κωλύων τὴν ὁδὸν τὴν ἐπὶ τὴν ἁγίαν ἀπάγουσαν γῆν· ἀλλὰ καὶ τοῦτον μετέστρεψεν δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· καὶ βάσιμον ἀπειργάσατο τοῖς πορευομένοις εἰς ἁγιότητα.

v. 7. B. f. 267. b Καὶ ἡ δύναμις δὲ πᾶσα ἡ ἐναντία παραπικραίνει· τοῖς γὰρ ἔθνεσι τοῖς ἐξ αὐτῶν ἀφισταμένοις ἠπείλουν, ἃς δὲ φοβῶν, παραθαῤῥύνων δὲ τοὺς ἀφισταμένους αὐτῶν· οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τὰ ἔθνη, φησὶν, ἐπιβλέπουσιν, τὴν ἐκ θεοῦ σημαίνων φρουράν.

v. 9. B. f. 268. b Οὐ δίδονται εἰς σάλον οἱ πόδες τοῦ ἔσω ἀνθρώπου, ὅταν τις ἱδρυνθῇ ἐπὶ τὸν ἀῤῥαγῆ καὶ ἰσχυρώτατον τοῦ θεοῦ λόγον· ὡς χαριστηρίως εἰπεῖν, ἔστησας ἐπὶ πέτραν τοὺς πόδας μου.—Τίθεται δὲ εἰς ζωὴν ἡ ψυχὴ τοῦ τέλος κομιζομένου τῆς πίστεως σωτηρίαν· ὡς εἰπεῖν πιστῇ προθέσει, καὶ ἡ ψυχή μου αὐτῷ ζῇ· ζῇ δὲ ψυχὴ ἀρετὴν ἔχουσα καὶ σοφίαν· ὡς, ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖται· ὡς εἰπεῖν τῷ θεῷ, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με· οὐ σαλεύεται δὲ τοὺς πόδας ὁ τῷ ὀχυρωτάτῳ τοῦ θεοῦ λόγῳ ἐνιδρυθείς.

v. 11. A. f. 268. b Διὰ γὰρ πολλῶν θλίψεων εἰσελθεῖν δεῖ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' εἰ καὶ ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, ἀλλ' οὖν θαῤῥοῦμεν διὰ ὑπομονῆς μετεωρίσαι αὐτὰς, κατασπωμένων ἀπ' αὐτῶν τῶν ἐπικειμένων πολεμίων ἀνθρώπων.

v. 17. B. f. 269. b Ἄνευ προφορᾶς ἐν διανοίᾳ κατὰ τὸ σιωπώμε-
v. 18. Ibid. νον ὕψωσα.—Καθαρεύοντα γάρ με τοιούτων λογισμῶν θεασάμενος, φιλοτίμως τῶν οἰκείων ἠξίωσε δωρεῶν.—Καὶ τὸ μὴ θεωρεῖν δὲ ἀδικίαν ἐν τῇ καρδίᾳ, σύμφωνον τῷ, οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· καθὰ Παῦλος ὁ μέγας φησὶ, τῷ δύνασθαι τὸν θεὸν ὁρᾶν, ἅπερ ἡμεῖς οὐχ ὁρῶμεν· ὅμοιον καὶ τὸ, παραπτώματι συνήσει, ἀπὸ τῶν κρυφίων μου καθάρισόν με.

PSALMUS LXVI.

v. 2. A. f. 270. Ἐπιφαίνεται δὲ τὸ πρόσωπον τοῦ πάντων δημιουργοῦ τῷ πληροῦν ἡμᾶς εὐλογίας καὶ οἰκτιρμῶν· ἐπιφανέντος ἡμῖν τοῦ χαρακτῆρος τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐμφανίσαντος τοῖς ἀξίοις· ἤ φησιν αὐτὸς περὶ τοῦ τηροῦντος τὰς ἐντολὰς αὐτοῦ· ἐπεὶ γὰρ εἰκών ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου, ὁ νῷ καθαρῷ προσβάλλων αὐτῷ, ὁρᾷ τὸν

πατέρα· ὁ ἐμὲ γὰρ, φησιν, ἑωρακὼς, ἑώρακε τὸν πατέρα· τότε τοὺς εὐεργετουμένους οἰκτίρει καὶ εὐλογεῖ πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ.

v. 3. B. f. 270. Γνωσθείσης δὲ τῆς ὁδοῦ ἐν τῇ γῇ, καὶ τοῦ σωτηρίου τοῦ θεοῦ ἐν πᾶσι τοῖς ἔθνεσιν, ἐλευθερωθέντα πάσης κακίας καὶ πολυθέου ἀπάτης, τὰ ἔθνη εὐφραίνεται κατορθοῦντα ἠθικὴν ἀρετὴν, καὶ ἀγαλλιᾶται λαβόντα θεοῦ γνῶσιν.—Λαοὶ δὲ καὶ ἔθνη ἐκ παραλλήλου οἱ αὐτοί· οἱ λαοὶ μὲν, οἱ ἐκ περιτομῆς, ἔθνη δὲ, οἱ ἀπὸ ἐθνῶν, τοὺς αὐτοὺς λέγει· δίκαιον αὐτοὺς φησὶν εὐφραίνεσθαι, ἐπείπερ μετὰ πάσης ὀρθότητος δικάσας αὐτοῖς ἀδικουμένοις, ἐπανάγεις τε αὐτοὺς καὶ ἄγεις εἰς τὴν οἰκείαν γῆν ὥσπερ ὁδηγὸς αὐτοῖς γιγνόμενος, διὰ τὸ ἐπανάγειν τῇ οἰκείᾳ δυνάμει.

v. 6. B. f. 270. b. Πῶς γὰρ οὐκ ἤμελλε πᾶσα ἡ γῆ, τουτέστιν οἱ ἐπ' αὐτῆς ἄνθρωποι αἰνέσεως πληροῦσθαι, καὶ καρπὸν εὐσεβείας φέρειν, ἐν παντὶ τόπῳ προσαγομένου θυμιάματος καὶ θυσίας καθαρᾶς ἐν τοῖς ἔθνεσιν;

PSALMUS LXVII.

v. 2. B. f. 272. Ἡ δὲ προσευχὴ ῥήμασι προστακτικοῖς ἀναπέμπεται· σύνηθες τοῦτο καὶ τῇ γραφῇ· λέγοις δ' ἂν ἐχθροὺς θεοῦ σκορπιουμένους τοὺς περὶ τὴν γνῶσιν ἀσεβοῦντας τῆς ἀληθείας· μισοῦντας δὲ φυγάδας ἐσομένους τοὺς περὶ πρακτικὰ ἁμαρτάνοντας· οἱ γὰρ ἀγαπῶντες τὸν θεὸν, τηροῦσι τὰς ἐντολὰς αὐτοῦ· εὔχοιτο δ' ἂν καὶ ἀναστῆναι τὸν κατελθόντα σκυλεῦσαι τὸν ᾅδην ἐπὶ τῷ σκορπίσαι τοὺς μετὰ δαιμόνων Ἰουδαίους συνεστηκότας· ἀναστάντι γὰρ ἀντιβλέπειν οὐκ ἔχοντες φεύξονται.—Μισοῦντας δὲ θεὸν φεύγοντας ἀπὸ προσώπου αὐτοῦ τοὺς περὶ πρακτικὴν κακίαν ἔχοντας· εἰ γὰρ ὁ ἀγαπῶν αὐτὸν τηρεῖ τὰς ἐντολὰς αὐτοῦ, ὁ μὴ τηρῶν αὐτὰς οὐκ ἀγαπᾷ τὸν θεόν.—Ἐχρησμῳδοῦντο κατὰ πάντα τόπον μαντείας καὶ θεραπείας ἐπαγγελλόμενοι, ὡς τοὺς δεισιδαίμονας θύειν αὐτοῖς δι' ὑπερβολὴν μανίας καὶ τὰ αὐτῶν φίλτατα· νῦν δὲ ἐκείνων πάντων ἀφανισμὸς καὶ ἐρημία ἀπωλείας γέγονεν, ὡς μηδὲ μνήμην αὐτῶν ἐπιλείπεσθαι.

Ὁποῖον δὲ ἐστὶν τὸ μὴ ἁπλῶς εὐφραίνεσθαι v. 4. B. f. 272.
καὶ ἀγαλλιᾶν, ἀλλ' ἐνώπιον τοῦ θεοῦ, καὶ παρὰ τῷ θεῷ τούτων ἀπολαβεῖν, ἡδονῇ τε θείᾳ καὶ ἐντρυφᾶν, οὐκ ἔστιν ἐπαξίως λόγῳ διηγήσασθαι.

Ἡ δικαιοσύνη γὰρ οὐκ ἀπόλλυται, καθάπερ v. 4. B. f. 272. b.
οὖν ἡ κακία· γέγραπται γὰρ, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα· συνῳδὸν δὲ τούτοις καὶ τὸ, ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν, καὶ καπνὸς ὄμμασιν, οὕτω παρανομία τοῖς χρωμένοις αὐτῇ· τροπικῶς γὰρ ὀδόντες ψυχῆς, αἱ δυνάμεις αἷς τέμνει καὶ λεαίνει τὰς τροφὰς τὰς πνευματικὰς, καὶ ὄμματα αἱ νοήσεις· ἀμφοτέραις ἡ κακία λυμαίνεται, τῆς οὐσίας τῆς ψυχικῆς ἀδιαφθόρου μενούσης· οὐδὲ γὰρ ὁ τηκόμενος κηρὸς, εἰς τὸ μὴ ὂν καταστρέφει, εἰς δὲ τὴν τοῦ πυρὸς ἀναδίδοται οὐσίαν, ἀπολλυμένης αὐτοῦ τῆς ποιότητος, ὥσπερ τῆς καθ' ἥν τίς ἐστιν ἁμαρτωλός· οὐ γὰρ ἁπλῶς εἶπεν ἀπόλλυσθαι τοὺς ἁμαρτωλοὺς, ἀλλὰ πρὸ προσώπου τοῦ θεοῦ· ἀγαλλίασις, χαρά τις οὖσα, καρπός ἐστι τοῦ πνεύματος· ἀγάπη, χαρὰ, εἰρήνη· εὐφροσύνη δὲ ἡ διαχέουσα τῆς ψυχῆς τὸ φρονοῦν εὐπάθεια.

Οὐκ ἂν δέ τις πράξει τὸ ἀγαθὸν, μὴ ἀπο- v. 6. B. f. 273.
στὰς τοῦ κακοῦ· ἀσυνύπαρκτα γάρ· οὐδ' ἂν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης φωτίζοιτο, μετέχων ἔτι τοῦ μετασχηματιζομένου εἰς ἄγγελον φωτὸς, καὶ τὸν ἥλιον ὑποκρινομένου τῆς δικαιοσύνης, καλουμένου δὲ φωτὸς ἀσεβείας· φῶς γὰρ ἀσεβῶν σβεσθήσεται· τούτου γὰρ καταδυομένου, ἐκεῖνος ἐν ταῖς ἡμῶν ἀνίσχει καρδίαις, ἐπιβαίνων ταῖς ἐκείνου δυσμαῖς· ὁδὸς γὰρ εὐτρεπὴς αὐτῷ τῆς φαύλης ἡμέρας ἡ δύσις· ἔνθα ἐκβέβληται τοῦ κατὰ ἀνατολὰς πεφυτευμένου παραδείσου Ἀδὰμ, ἐπὶ τῷ πάλιν εἰς ἀνατολὰς αὐτὸν εἰσαχθῆναι· ὅπερ καὶ πεποίηκεν ὁ Χριστὸς τῷ μετανοοῦντι φήσας λῃστῇ, σήμερον ἔσῃ μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ.

Εὐφραίνει γὰρ τοὺς κατακυριευομένους ὑπὸ v. 6. B. f. 273. b.
τοῦ σατανᾶ, δεικνὺς αὐτοῖς τὸ ἐπίκουρον· σπουδαστέον τοίνυν καταλιπεῖν τὸν πρότερον πατέρα γεννήσαντα κατὰ κακίαν, καὶ τὸν ἀνόμως ἀν-

θρα συνῳκηκότα, ὅπως ἔξομεν πατέρα τε Θεὸν
Ibid. καὶ τὰς θείας ἡμῖν ἐνιέντα γονάς.—Τόπος δὲ ἅγιος αὐτοῦ ἡ ὑπὸ Χριστοῦ ἐκκλησία ἡγιασμένη, τῶν πεπιστευκότων ἕκαστος· ἢ καὶ τὸ ἅγιον
v. 7. B. f. 274. b. αὐτοῦ σῶμα ἔμψυχόν τε καὶ λογικόν.—Ἀλλὰ καὶ ἐκ τάφων ἐξάγει τοὺς νεκρούς· κατὰ τὸ, ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστιν· ὁποῖον καὶ τὸ ἐν εὐαγγελίῳ, ἐλεύσεται ὥρα ὅτε πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, δηλονότι τοῦ υἱοῦ, καὶ ἐκπορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

v. 3. B. f. 275. Ἤγουν ἐν τῷ ἐκπορεύεσθαι τὸν Θεὸν ἐνώπιον τοῦ λαοῦ αὐτοῦ ἢ ἐκ μέσου αὐτοῦ ὅτε εἶπεν, ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν· κατὰ τὸ παρ' Ἱερεμίᾳ, ἐγκατέλειπον τὸν οἶκον μου· ἀφῆκα τὴν κληρονομίαν μου. Ἐν τῷ διαβαίνειν αὐτὸν ἐν τῇ ἐρήμῳ τῇ ἀπὸ τῶν ἐθνῶν ἐκκλησίᾳ· τότε γῆ μὲν ἐσείσθη, τὸ γράμμα καὶ ἡ τοῦ νόμου σκιὰ, τῶν οὐρανῶν σταξάντων τὸν θεῖον νοῦν, κατὰ τὸ ζωοποιὸν πνεῦμα τῶν θείων γραφῶν· οὐρανοὶ δὲ νῦν ἤτοι Μωϋσῆς καὶ οἱ προφῆται καὶ τὰ μυστικὰ θεωρήματα ἐγκεκρυμμένα ταῖς λέξεσιν αὐτῶν· τοιαύτας γὰρ στάζουσι σταγόνας νεφέλαι ῥηθέντες· ἐν τῷ, νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἐφ' ὧν ἐνυποκείμενον νεφέλαι καὶ οὐρανός· ἀλλὰ καὶ τῶν τῆς εἰδωλολατρείας μετατεθέντων ἐθνῶν ἐσείσθη ἡ γῆ, κρατούσης τῆς εὐαγγελικῆς διατάξεως, ἀποστόλων καὶ εὐαγγελιστῶν καὶ τῶν λοιπῶν διδασκάλων τὰς πνευματικὰς σταζόντων γονάς.

v. 14. B. f. 276. b. Ἕτερος σημαίνειν ἔφη τοὺς κλήρους καὶ τοὺς τῶν ὑδάτων ἀγωγούς· εἴρηται γὰρ ἐν γενέσει περὶ τοῦ Ἰσσάχαρ ὡς κληθεὶς ἀνὴρ γεωργὸς ἀνὰ μέσον τῶν κλήρων ἀνεπαύετο· ὃ δὴ τρεπτέον νῦν εἰς τὴν παλαιὰν καὶ καινὴν διαθήκην· αὗται γὰρ ἄγουσι τὸν νοητὸν ταῖς ψυχαῖς ποταμὸν ἐπὶ καρποφορίᾳ πνευματικῇ· ὧν ἐν μέσῳ τίς καθεύδει, δοκῶν ἀμφοτέρας ἑνὸς εἶναι Θεοῦ, ὡς διαστέλλειν τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος· οὕτω γὰρ καὶ πτεροῦται κατὰ τὸ ἅγιον πνεῦμα νοῶν· δεῖ δὲ τὰς πτέρυγας ταύτας οὔσας νοήσεις ἐπαιρούσας τὴν πτερωμένην ψυχὴν, καὶ ἐκ τῶν θείων μαρτυρεῖσθαι λογίων, ἃ εἴρηται ἀργύριον πεπυρωμένον· διὸ περιηργυρωμέναι τυγχάνουσιν· τὸ δὲ χρυσίον πολλαχοῦ τῆς γραφῆς ἐπὶ ἀκραιφνέστατον λαμβάνεται νοῦν· ὅπερ ὡς ἔχων ζωὴν τὴν τῶν ζώντων φυτῶν ἔχει χλωρότητα. Λέγοις δ' ἂν εἰς τὸ ἀναμέσον τῶν κλήρων· καὶ οὕτως ἐν τῷ λευιτικῷ τῇ τοῦ ἱλασμοῦ ἡμέρᾳ δύο προσηγάγοντο τράγω εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου εἶτα κλήρου βληθέντος, ὁ εἷς ἐπὶ τὸ θυσιαστήριον ἤγετο τυθησόμενος τῷ κυρίῳ· τοῦ ἑτέρου τῷ ἀποπομπαίῳ εἰς τὴν ἔρημον ἐκπεμπομένου· σύμβολα δὲ ταῦτα ἀγαθοῦ καὶ κακοῦ ὧν ἐν μέσῳ γενόμενον χρὴ διακρίναντα· τὸ μὲν ἀγαθὸν, ἱερουργεῖν τῷ κυρίῳ· τὸ δὲ κακὸν, ἐκπέμπειν τῷ ἀρεσκομένῳ· ἐπεὶ καὶ ἀπ' αὐτοῦ τὴν ἀρχὴν ἔλαβεν· οὕτω γὰρ τίς σχήσει τὰς περιηργυρωμένας πτέρυγας καὶ τὴν χλωρότητα τοῦ χρυσίου ἐν τοῖς μεταφρένοις.

Διασαλεῖσι τοῖς βασιλεῦσιν ἀκολουθήσει χιο- v. 15. B. f. 277.
νωθήσονται ἐν Σελμὼν, τουτέστι πληρωθήσονται χιόνων· αὗται δέ εἰσιν αἱ ἀρεταὶ, ποτίζουσαι νάμα τὸν νοῦν καὶ καταψύχουσαι τῶν παθῶν τὸν φλογμόν· οὐδὲ γὰρ ἐν τῷ πλυνιεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι, περὶ αἰσθητῆς χιόνος ὁ λόγος· ἀσύμβατος γὰρ αὕτη πρὸς λαμπρότητα κεκαθαρμένης ψυχῆς· τοιοῦτον καὶ τὸ, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ· καὶ τὸ, ἐκαθαριώθησαν οἱ ναζωραῖοι αὐτῆς ὑπὲρ χιόνα. Σαλμὼν δὲ σκιὰ μερίδος ἑρμηνεύεται· μήποτε τοίνυν ἐπεὶ οἱ βασιλεῖς οὗτοι ἀπόστολοι ἰουδάϊσαν ποτὲ τηροῦντες τὸν κατὰ σκιὰν νόμον, μερίδος εἰσὶν σκιᾶς, ἔχοντες μὲν πνευματικὴν μερίδα· πεπειραμένοι δὲ καὶ τῆς σκιᾶς· ὁποῖος ὁ λέγων, ἑβραῖος ἐξ ἑβραίων, κατὰ νόμον φαρισαῖος· ἢ ἐπειδὴ ἡ μερὶς μὲν ἦν τῶν Χριστοῦ μαθητῶν ἐν τοῖς οὐρανοῖς· κατὰ τὸ, ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τῶν ἁγίων ἐν φωτί· οὔπω δὲ ἔφθασαν ἐπ' αὐτήν, κἂν ἐν οὐρανοῖς ἔχωσι τὸ πολίτευμα, ἐπὶ γῆς ἔτι περιπατοῦντες, ἐκ μέρους γινώσκοντες, καὶ ἐκ μέρους προφητεύοντες, καὶ ἀῤῥάβωνα τοῦ πνεύμα-

τος ἔχοντες, ἐν σκιᾷ τῆς ἑαυτῶν μερίδος εἰσίν· διὸ καὶ μέγα τυγχάνει τὸ ἐν ταύτῃ τυγχάνοντα χιονωθῆναι, βίον ἀκηλίδωτον ἔχοντα.

v. 19. B. f. 279. Ταῦτα τῶν ἁγίων φησὶν ὁ χορὸς τῷ εἰς ὕψος ἀναβάντι τοῦ σταυροῦ, κἀκεῖθεν αἰχμαλωτίσαντι τοὺς ὑπὸ τῆς τυραννίδος τοῦ σατανᾶ, λύτρον δεδωκότι τὴν ψυχὴν αὐτοῦ ἀντὶ πολλῶν· οὕτω γὰρ κηρύξας αἰχμαλώτοις ἄφεσιν, ἐλυτρώσατο πάντας ἐκ τῆς ματαίας αὐτῶν ἀναστροφῆς· ἕλκει δὲ καὶ τοὺς ἀπειθοῦντας ἔσθ᾽ ὅτε διὰ νόσου καὶ περιστάσεων· πολλοὶ δὲ καὶ δι᾽ ὁραμάτων ἦλθον εἰς τὸ κατασκηνῶσαι παρὰ τῷ Ἰησοῦ.

v. 21. B. f. 280. Ὁ θεὸς ἡμῶν, θεὸς τοῦ σώζειν ἐστίν, σωτηρίαν διδοὺς αἰώνιον· λέγει γοῦν, σώζων οὐκ ἔστιν πάρεξ ἐμοῦ· διὸ παρέχει διεξόδους δι᾽ ὧν τις ἐξέρχεται διὰ μετανοίας, τοῦ τῇ ἁμαρτίᾳ παρεπομένου θανάτου· καὶ ὁ διάβολος γὰρ οὕτως ὠνόμασται ἐν τῷ, κατέπιεν ὁ θάνατος ἰσχύσας· παρέχει δὲ τὰς διεξόδους τοῦ θανάτου τῷ ὑψωθέντι ἐκ τῶν πυλῶν τοῦ θανάτου· κεφαλαὶ δὲ ἐχθρῶν, ἢ οἱ ἄρχοντες, ἢ τὰ ἡγεμονικά· ὡς ἐν τῷ, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν· τὸ δὲ ἡγεμονικὸν, ἐν τῷ, τὰς ὁδοὺς αὐτῶν ἔδωκα εἰς κεφαλὰς αὐτῶν· καὶ τῷ, αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου· ἀμφότερα δὲ ἴσως δηλοῖ τὸ, ἔβαλας εἰς κεφαλὰς ἀνόμων θάνατον· εὐεργετοῦντος θεοῦ ὅπως μείζωσιν ἔτι πονηρῶς περιγραφείσης τῆς κατ᾽ ἁμαρτίαν ζωῆς· ἐχθροὶ δὲ οὗτοι ὄντες ἐκ τοῦ πλημμελεῖν διαπορεύονται ἐν πλημμελείαις αὐτῶν.

v. 25. B. f. 280. b. Ἕτερος ἔφη· θεωρίας τὰς νοήσεις ἐκάλεσεν· θεοῦ γὰρ πορεῖαι δι᾽ ὄψεως οὐ καταλαμβάνονται.

v. 26. B. f. 281. Ψάλλοντας, τοὺς τὸν πρακτικὸν κατορθοῦντας βίον λεκτέον· νεανίδας δὲ τυμπανιστρίας, τὰς νεκρωσάσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι αὐτῶν περιφερούσας ψυχάς· τούτους τοὺς ψάλλοντας προέφθασαν οἱ κατὰ διδασκαλίαν ἄρχοντες, τῷ καὶ αὐτοὺς ἀπὸ πρακτικῆς ἀρετῆς ἦρχθαι· ἀλλὰ καὶ ἐν μέσῳ νεανίδων εἰσὶν οἱ ἀπόστολοι τῶν διὰ τὸ ἀρχὴν ἔχειν τοῦ τυμπανίζειν, τουτέστι νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νεανίδων εἰρημένων·

v. 29. B. f. 282. Ἔντειλαι τῇ δυνάμει σου, ὡς ἂν ἐπιδημήσασα λύσῃ τὴν τῶν ἀνθρώπων ἀσθένειαν ἀπὸ τοῦ ναοῦ σου παραγενομένη, δι᾽ ἧς ἐνδυναμοῦται τὸ ἡμῶν ἕνεκα τεχθῆναι τὸν Ἐμμανουήλ· ταύτῃ γὰρ καὶ εἶπεν ὁ θεὸς οὔσῃ λόγῳ θεοῦ γεννηθῆναι τὰ πάντα· καὶ ἐνετείλατο ἵνα κτισθῶσι διάφορα· λυθείσης δὲ τῆς ἀσθενείας οἱ βασιλεῖς οἴσουσι δῶρα ἐπὶ τὴν πνευματικὴν Ἱερουσαλὴμ, ἤτοι τὴν ἐκκλησίαν· καὶ βασιλεῖς, ἢ οὓς διέσειλεν ὁ ἐπουράνιος ἐν τῇ κληρονομίᾳ αὐτοῦ· οἱ τοὺς ἐξ αὐτῶν προσάγουσιν ὠφεληθέντας· ὡς ὁ Πέτρος τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀνδρέαν, καὶ Φίλιππος τὸν Ναθαναὴλ, καὶ πάντες τοὺς ἑαυτῶν μαθητάς· ἤγουν οἱ πιστοί, κατὰ τὸ, καὶ ὄφελόν γε καὶ ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν· ὧν τὰ δῶρα, νοήματα· καὶ λόγοι, καὶ ἔργα ἐπαινετά.

Ὁ δὲ Σύμμαχος ἔφη· διὰ τὸν ναόν σου τὸν v. 30. B. f. 282.
ἐπάνω τῆς Ἱερουσαλήμ· ὡς ἄλλην ὑπάρχειν ἀρχὴν, τὸ, σοὶ οἴσουσι δῶρα· διὰ τὸν ναόν δέ φησιν, ἐξ ἡμῶν ἀνείληφας, καὶ ἐκάθισας ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως· Ἱερουσαλὴμ γὰρ τὴν ἄνω πόλιν καλεῖ, ἥτις κατὰ Παῦλον ἐλευθέρα ἐστίν· αἰτοῦσιν οὖν διὰ τὴν συγγένειαν τὴν πρὸς τὸν ναὸν, τὴν δεδομένην βεβαιωθῆναι χάριν· καὶ διὰ τὴν ἀπαρχὴν τῆς δοθείσης δωρεᾶς ἀπολαῦσαι τὸ φύραμα.

Νοήσεις καὶ θηρία καλάμου τοὺς τὴν ψευδώ- v. 31. B. f. 283. b.
νυμον πρεσβεύοντας γνῶσιν· περὶ ὧν λέγοις ἂν τὴν προφητείαν τὴν, οὐαὶ τοῖς γράφουσι πονηρίαν.

Δηλωθείη δ᾽ ἂν διὰ μὲν τῆς Αἰγύπτου, ἡ πᾶ- v. 32. B. f. 283. b.
σα γῆ ἧς ἐξῆρχεν ὁ νοητὸς Φαραώ· διὰ δὲ τῆς Αἰθιοπίας, τὸ σκοτεινὸν τῶν ἐν ἁμαρτίαις ψυχῶν· καὶ ἑτέρωθι γάρ φησι· καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ, δῆλον ὡς ἐν τῇ πνευματικῇ Σιών· καὶ Σοφονίας δὲ λέγει· τότε μετατρέψει ἐπὶ λαοὺς γλῶσσαν, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσι θυσίας μοι· ὅτι γε μὴν Αἰθιοπία πάντα τὰ ἔθνη δηλοῖ, παρίστησιν ἡ διὰ μετανοίας λέγουσα νύμφη· μέλαινα εἰμὶ καὶ καλή· μέλαινα μὲν καὶ δυσειδὴς διὰ τὴν εἰδωλολατρείαν καὶ τὴν κακίαν τὴν πρακτικήν·

καλὴ δὲ διὰ τὴν ἐξ αὐτῶν ἀναχώρησιν· ὑπῆρξε δὲ αὐτῇ φωτεινῇ γενέσθαι προφθασάσῃ χεῖρα θεῷ· ὡς τοὺς ὁρῶντας αὐτὴν, σὺν τῷ εὐεργετήσαντι λέγειν· τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη;

v. 36. B. f. 294. b. Εὐχαρίστους γινομένους ἔργῳ καὶ λόγῳ, δοξάζειν δεῖ τὸν θεὸν ὕμνοις καὶ θεολογίαις, ἵνα τὴν μεγαλοπρέπειαν αὐτοῦ δυνηθῆτε χωρῆσαι ὁρῶντες θεὸν, τῷ καρδίαν ἔχειν καθαράν· τοῦτο γὰρ Ἰσραήλ· ἡ γὰρ ὑπερφυὴς θεοῦ γνῶσις ἐν μεγάλοις τὸ πρέπον ἔχουσα σύνεστι μόνῳ τῷ ἁγιασμὸν ἔχοντι καὶ εἰρήνην.

PSALMUS LXVIII.

v. 1. B. f. 284. b. Ὡς ἐξ ἑνὸς δὲ προσώπου λεγομένων μέχρι τέλους εἱρμῷ χρὴ λαβεῖν τὴν διάνοιαν τοῦ ἐξ ἁμαρτωλῶν καὶ ἀπίστων ἡμᾶς ἀλλοιώσαντος· ἀλλὰ καὶ οἱ πιστεύσαντες ἐκ περιτομῆς, ἠλλοιώθησαν κατὰ τὸ πνεῦμα ζῶντες τοῦ νόμου. ἠλλοίωνται δὲ καὶ ὅσοι πρὸς τὸ χεῖρον ἐτράπησαν· ἀλλὰ καὶ διὰ τὴν ἐκ νεκρῶν ἀλλοίωσιν· κατὰ τὸ, καὶ ἡμεῖς ἀλλαγησόμεθα, δηλουμένου τούτου διὰ τοῦ πάθους οὗ μέμνηται· ᾧ τοῦ θανάτου ἀκολουθήσαντος ἐπηκολούθησε καὶ τὸ πάντας ἐγείρεσθαι.

v. 2. B. f. 285. Ὡς ἐξ ἡμῶν δὲ τὰ πλεῖστα τοῦ ψαλμοῦ φησὶν ὁ σωτὴρ φέρων ἡμῶν τὰς ἀσθενείας, καὶ ὑπὲρ ἡμῶν ὀδυνώμενος· οὐδὲ γὰρ ἁμαρτίας ἐποίησεν ὑπὲρ ὧν ἐξομολογεῖται, ὥσπερ οἱ βασιλέως ὑπὲρ ἡμαρτηκότων δεόμενοι· συνηγοροῦντες γὰρ ἐκείνοις, εἰς ἑαυτοὺς ἀναλαμβάνουσι τὰ λεγόμενα· καὶ οἱ ἅγιοι δὲ περὶ ἑτέρων λέγοντες φασὶν ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν· πόθῳ μᾶλλον ὁ σωτὴρ ὑπερβαλλούσῃ κηδεμονίᾳ πρὸς τὸν παράκλητον ὑπὲρ ὅλου γέγονε τοῦ κόσμου τῶν αἰτουμένων ὡς θεὸς χορηγὸς ὑπάρχων· αἴρει γοῦν τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ἄφεσιν ἁμαρτιῶν ὀρέγει τοῖς προσερχομένοις· ἐπεὶ οὖν οὐ δι' ἑαυτὸν ἀλλ' ὑπὲρ ἡμῶν ἦλθεν εἰς θάνατον, καταιγίς με φησὶν εἰς τὰ βάθη τῆς θαλάσσης κατεπόντισεν, τὸν πειρασμὸν καταιγίδα καλῶν· ὡς ἐν τῷ, καταιγὶς δι' ἐρήμου διέλθοι· καὶ τὸ, προσεδεχόμην τὸν σώζοντα ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος· πῶς οὖν ὡς αὐθαιρέτως ἀναδεξάμενος τὸν θάνατον εἶπεν, οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ; ἐπειδὴ μὴ νόσῳ μηδὲ τινι τοιούτῳ, σταυρῷ δὲ τὸν θάνατον ὑπέμεινεν, καὶ τοῦτον ἑκουσίως ὑπέστη, καὶ καταιγίδα τοῦτον ἐκάλεσεν.

Παραστατικὸν δὲ τῆς τῶν Ἰουδαίων κωφώσεως, τὸ ἐν κραυγῇ κοπιᾶν αὐτόν· ἐμφαίνοι δ' ἂν καὶ τὸ μὴ δεῖν ἀπαγορεύειν νυκτὸς καὶ ἡμέρας εὐχόμενον· συμφώνως τῷ, μετὰ κραυγῆς ἰσχυρᾶς· καὶ ὁ πᾶσαν δὲ τὴν προσδοκίαν τείνας εἰς θεὸν εἴποι ἂν τὸ, ἐξέλιπον οἱ ὀφθαλμοί μου, δῆλον ὡς οἱ τῆς καρδίας· μάτην δὲ διώκεται καὶ μισεῖται ὁ τῶν ταῦτα ποιούντων συνεργετικός· ὡς ὁ σωτὴρ πᾶν εἶδος ἀσθενείας ἐν Ἰουδαίοις ἰώμενος, καὶ νεκροὺς ἐγείρων, δι' ἃ περίβλεπτος ἡ τούτων ἐγίνετο πόλις. Τῷ γε μὴν ὑπερβολικῷ τρόπῳ χρῆται συνήθως καὶ ἡ γραφὴ ὡς νῦν ὑπὲρ τὰς τρίχας εἰποῦσα τῆς κεφαλῆς μου· εἰ δὲ καὶ ἀπέδωκεν ἃ μὴ ἥρπασεν, ἀλλ' οὖν ἡμᾶς ἐλυτρώσατο, ἐξαλείφων τὸ καθ' ἡμῶν χειρόγραφον, ὅπερ ἀποτιννύειν ἠναγκαζόμεθα. v. 5. B. f. 286.

Οὕτως καὶ ὁ Παῦλος ἀνεγκλήτως τοῦ Χριστοῦ τὸ πάθος, καὶ ἀσθένειαν τὸν σταυρόν· ὅτι τὸ μωρὸν τοῦ θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστίν· καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων· εἰ δὲ καὶ ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ, ἐπείπερ ἐξαίρετοι τινὲς εἰσὶν οἱ τῆς θεοῦ γνώσεως ἠξιωμένοι· καὶ ἡ ἀφροσύνη αὐτοῦ λεγομένη, ἀξία τῆς γνώσεως τυγχάνουσα τοῦ θεοῦ, μέγαν τινὰ καὶ βαθὺν εἶχε λόγον· τὴν δοκοῦσαν γὰρ ἀφροσύνην, καθ' ἣν ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, καὶ μέχρι θανάτου παρελθὼν, οὐκ ἠγνόησεν ὁ θεός· αὐτοῦ γὰρ κρίσει γεγένηται· ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ κατὰ τὸν ἀπόστολον τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶν, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστιν· εὐδόκησε γὰρ ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας· εἰ γὰρ καὶ ἕλλησιν ἐδόκει μωρία, κατὰ λόγους γοῦν ἐτελεῖτο βαθεῖς. Ὁ δὲ Σύμμαχος τὴν ἀπειρίαν μου, ἐξέδωκεν· τῆς γὰρ ἐν ἀνθρώποις κακίας ἄπειρος ὢν, τὴν καλὴν ταύτην ἀπειρίαν ἀνατίθησι τῇ γνώσει τῇ τοῦ πατρός· εἰ δὲ καὶ B. f. 286.

ἦσαν πλημμέλειαι δι' ἃς ἐσταυρώθην, οὐκ ἄν σε τὸν ταῦτα εἰδότα διέλαθον· ἀλλ' οὐκ ἦσαν· δωρεὰς ἄρα με μισοῦντες ἐδίωκον, καὶ ψευδομαρτυρίας συστάντες κατ' ἐμοῦ ἐξέπραττον ἃ οὐκ ἥρπασα· καὶ ἄλλως δὲ ὡς κατὰ γνώμην τοῦ πατρὸς τὰς ἡμετέρας ἀναλαβὼν ἁμαρτίας ταῦτά φησιν· κατὰ τὸ, οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ τὰ ἐπὶ τούτοις· γέγραπται δὲ καὶ ὅτι κατάρα γέγονεν ὑπὲρ ἡμῶν.

Οὐδείς γε μὴν ἁμαρτωλὸς ἔχει γινωσκομένην ἀπὸ θεοῦ ἀφροσύνην ἢ πλημμέλειαν, ἐπεὶ πρόσθεν αὐτοῦ μενούσας οὐ διαμένων τῶν παρανόμων ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ· οὐ μακρὰν δὲ ἀφροσύνη τῆς ἀγνοίας, καθ' ἣν λέγει πρός τινας, οὐδέποτε ἔγνων ὑμᾶς· καὶ καθ' ἣν οὐκ εἰδέναι λέγει τὴν ἡμέραν ἢ τὴν ὥραν τῆς κρίσεως· εὐσεβῶς οὖν τούτων νοουμένων, καὶ τὴν ἀφροσύνην οὕτω νοήσωμεν· καὶ γὰρ διδάσκαλος τελείαν ἔχων ἐπιστήμην διὰ συγκαταβάσεων τοῖς εἰσαγομένοις ταῦτα φαίνεται γινώσκων, ὧν εἰσιν ἐκεῖνοι χωρητικοὶ, τρόπον τινα συνομοιούμενος αὐτοῖς τὴν τοιαύτην συγκατάβασιν ἀπεδέξατο πῶς ἄγνοιαν, πῶς καὶ ἀφροσύνην, ὑπάρχουσαν· ἐπεὶ τοίνυν καὶ Ἰησοῦς πλούσιος ὢν ἐν σοφίᾳ, ἐπτώχευσεν δι' ἡμᾶς· ὡς μὴ σοφία δοκεῖν ἔσχεν ἀφροσύνην δι' ἧς ἐπλουτίσθημεν ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει· καταλλήλως δεῖ καὶ τὰς πλημμελείας νοεῖν· εἰ δέ τις προσκόπτει, σκοπείτω τὰ χείρω δοκοῦντα τούτων εἰρημένα περὶ θεοῦ, λήθην, μεταμέλειαν, θυμὸν, ὀργὴν, καὶ τὰ
v. 10. B. f. 287. b. τοιαῦτα 1).—Ταύτην δὲ τὴν ῥῆσιν καὶ ὁ τοῦ Χριστοῦ ἔχων ἐν αὐτῷ Παῦλος ἐξέθετο λέγων· ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθόν· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, καθάπερ γέγραπται· οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων ἐπέπεσαν ἐπ' ἐμέ.

v. 11. B. f. 288. Εἴποι δ' ἄν τις μὴν φάγου καὶ οἰνοπότου δόξαν ἠνέγκατο παρὰ τοῖς κακοηθέσιν; πρὸς ὃ ῥητέον ὡς οὐκ ἀεὶ τοῦτο ἔπραττεν οὔτε αὐτὸς οὔτε οἱ μαθηταὶ, ἀλλ' ἡνίκα πρὸς ἑστίασιν ἐκαλοῦντο τοῦ ὠφελῆσαι χάριν καὶ ποιῆσαι σημεῖα· καὶ δηλοῦσιν οἱ εὐαγγελισταὶ τὰ ἐν τοῖς τοιούτοις γενόμενα θαύματα· σπανίως δὲ καλούμενος ἀπῄει πρὸς τὰ συμπόσια· τοίνυν ὁρῶντες οἱ διαβάλλοντες τούτοις ἐχρῶντο τοῖς λόγοις, τὸν λοιπὸν τῆς αὐτοῦ διαίτης ἀγνοοῦντες καιρόν· πλὴν ἀρκείτω πρὸς ἀπόδειξιν ἡ ἐν τεσσαράκοντα αὐτοῦ ἡμέραις συνεχὴς καὶ ἀδιάκοπος γενομένη νηστεία 2). Καὶ ἐπειδὴ τῆς ἐξ ἀλόγων παθῶν ἐπάρσεως κωλυτική ἐστιν ἡ νηστεία, συνέκαμψας φησὶν ἐν νηστείᾳ τὴν ψυχήν μου· σύνηθες δὲ τοῖς φαύλοις ὀνειδίζειν τοῖς ἀγαθοῖς δι' ἃς ἔχουσι καλοκαγαθίας· βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια· ὁ δὲ σάκκος αἰνίττεται τὴν σκληρὰν καὶ κακωτικὴν δίαιταν ἣν ἔσχε περὶ ἡμῶν ἐξομολογούμενος· τινὲς δὲ διὰ τούτου δηλοῦσθαι φασὶν ὃ ἀνείληφε σῶμα.

Ὑπάκουσόν, φησιν εἰς καιρὸν διὰ τὸ πολύ v. 15. B. f. 288. b.
σου ἔλεος τὴν ἀληθείᾳ σωτηρίαν παρέχων τοῖς ὑπὲρ ὧν ἀξιῶ· τοῦτο δὲ ποιήσεις ὑπὲρ αὐτῶν ἀποθανόντα σώσας διὰ τῆς ἀναστάσεως· ὑπὲρ αὐτῶν γὰρ ἀναδέχομαι ζωήν τε καὶ σωτηρίαν· ἡ δὲ κατὰ θεὸν σωτηρία ἐν ἀληθείᾳ τυπικῆς οὔσης τῆς ὑφ' ἰατρῶν καὶ στρατηγῶν σωτηρίας· εἰ καὶ ἄλλοτε τοίνυν ἔφης ὅτι ἐν ἐμοὶ εὐδόκησας, ἐν τῷ καιρῷ τοῦ πάθους δεῖξον τὴν εὐδοκίαν σου, ὑπὲρ αὐτῶν με ἀναστήσας· σὺν ἐμοὶ γὰρ ζωοποιηθήσονται οἱ δι' ἁμαρτίας νεκροί· ταῦτα μυσταγωγῶν ὁ ἀπόστολος εἶπεν· « ὁ θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν αὐτοῦ ἀγάπην ἣν ἠγάπησεν ἡμᾶς, νεκροὺς ὄντας διὰ παραπτώματα καὶ ἁμαρτίας τῷ Χριστῷ συνεζωοποίησεν. »

Ἀλλὰ καὶ τὸ μὴ ἐμπαγῆναι πηλῷ ὑπὲρ v. 16.
ἡμῶν εὔχεται, ἵνα μὴ διὰ παθῶν ἐμπαγῶμεν τῷ σώματι· πηλὸν δὲ ἴσως καὶ τὰς ἁμαρτίας ἀνέλαβεν ἐπὶ τὸ ἑαυτοῦ σῶμα, ὅπως ταύτας ἀνέλῃ· ῥυσθῆναι δὲ καὶ τῶν πειρασμῶν ὑπὲρ ἡμῶν ἀξιοῖ· σὺν αὐτῷ γὰρ νικῶμεν τῶν ὑδάτων τὰ βάθη· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς, πει-

1) Macte pulchram et curiosam explanationem dicti evangelii Matth. XXIV. 36! quam quidem expilare naviter videtur S. Cyrillus apud nos in bibl. nov. T. II. p. gr. 482. Sed et alibi interdum agnovimus Didymum a suo populari Cyrillo in sacris exegesibus expressum.

2) Habet haec ad litteram Cyrillus comm. ad hunc eundem Ps. apud nos T. III. p. gr. 391.

ῥαθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι· εἰς δὲ τὰ βάθη ταῦτα πίπτουσιν οἱ μὴ γενναίως τοὺς πειρασμοὺς ὑπομένοντες, θεοῦ μόνου ῥυομένου· πρὸς ὃν καὶ φησὶν, ἐκ βαθέων ἐκέκραξά σοι κύριε· καὶ τὰ ἐπὶ τούτοις δὲ ὑπὲρ ἡμῶν αἰτεῖ· οὐδὲν γὰρ αὐτὸν φοβεῖ τῶν ἄλλους βλαπτόντων· κἂν ἐκθλίβηται τοίνυν πρὸ θανάτου καὶ ἀδημονῇ, ἡμῶν μὲν ἕνεκα προηγουμένως· μάλιστα δὲ ἵνα καὶ ἄνθρωπος δειχθῇ γενόμενος ἀληθῶς, ἀναδέχεται ταῦτα τὰ πάθη.

v. 20. B. f. 289. Τὴν τοῦ θεοῦ δὲ χρηστότητα ἐπὶ τοὺς ὑπὲρ ὧν ἀξιοῖ γενέσθαι παρακαλεῖ· λύσει γὰρ αὐτῶν τὰς ἁμαρτίας· διὸ καὶ πλῆθος οἰκτειρμῶν ὡς ὑπὲρ πάντων αἰτεῖ· οὐ γὰρ ἐπὶ τὸ κρῖναι τὸν κόσμον ἀλλὰ σῶσαι ἐπέμφθη· τὸ δὲ χρηστὸν τῷ ἐλέῳ προσέθηκεν πρὸς ἀντιδιαστολὴν τοῦ κολαστικοῦ· τῷ γοῦν κολάζοντι φησὶν ὁ θεός· οὐ φείσεται ὁ ὀφθαλμός μου ἐπ' αὐτῷ, οὐδ' οὐ μὴ ἐλεήσεις αὐτόν· παῖδα δὲ διὰ τὴν ἐνανθρώπησιν ἐκάλεσεν ἑαυτόν· εἰ καὶ τὸν υἱὸν ἡ λέξις δηλοῖ· ὁμοιωθεὶς γὰρ ἡμῖν χωρὶς ἁμαρτίας, καὶ μορφὴν δούλου λαβὼν, καὶ τὰ φυσικὰ ἡμῶν καὶ ἀδιάβλητα οἰκειωσάμενος πάθη, ταῦτά φησιν· ἐλυτροῦτο δὲ αὐτοῦ ἡ ψυχὴ μὴ ἐν ᾅδου κατεχομένη, ἀλλὰ καὶ τοὺς ἐκεῖ λυτρουμένη· ὅπερ οὐκ ἂν εἴποι τις περὶ ἀλόγου ψυχῆς οὔσης ἀνυποστάτου καθ' ἑαυτὴν ἀλλὰ καὶ λυτροῦσθαι λογικῆς ἐστι ψυχῆς δυνατόν· λέγοις δὲ ψυχὴν αὐτοῦ καὶ πᾶσαν τὴν οἰκειωθεῖσαν αὐτῷ· ὡς ἄνθρωπος θεοῦ ὁ ἅγιος λέγεται. οὕτω γὰρ καὶ ἡ κολληθεῖσα ψυχὴ καὶ ἓν πνεῦμα μετ' αὐτοῦ γενομένη ἦν· καὶ λυτροῦται διδοὺς ὑπὲρ αὐτῆς ἣν ἀνείληφεν· ὡς καὶ τὸ σῶμα ὑπὲρ σώματος, ἵν', ὅλως ἄνθρωπος ὑπὲρ ἀνθρώπου δοθῇ· οὓς δι' ἑαυτοῦ ῥυσθῆναι ζητεῖ διὰ τῆς ἀναστάσεως, ὅπως οἱ ἐχθροὶ καταλυθῶσι, καὶ ὁ τὸ κράτος ἔχων τοῦ θανάτου διάβολος· οὓς οὐκ ἀγνοεῖς φησιν ἐνώπιόν σου τυγχάνοντας· εἰ μὴ δὲ θλίψεις τὸ καταπονεῖσθαι τοὺς ὑπὲρ ὧν ἀπεστάλην· διδάσκει δὲ διὰ τούτων τὴν ὑπὲρ ἡμῶν φειδῶ τοῦ θεοῦ, δι' ἣν οὐκ ἐφείσατο τοῦ ἰδίου υἱοῦ· διὰ δὲ τοῦ ὀνειδισμοῦ καὶ τῆς ταλαιπωρίας ἐδήλωσε τὸν σταυρόν.

v. 21. B. f. 289. b. Πρὸς δὲ ἀλληγορίαν, τοῦ Ἰησοῦ προσδοκῶντες ὀνειδισμὸν καὶ ταλαιπωρίαν, ἵνα ὑπὲρ τοῦ κόσμου παθὼν, ἄρῃ τὴν ἁμαρτίαν αὐτοῦ· οὐδεὶς τῶν κατὰ σάρκα Ἰσραηλιτῶν συναποθανεῖν ἠθέλησεν αὐτῷ· ἵνα συλλυπηθῇ περίλυπον ἔχων τὴν ψυχὴν ἕως θανάτου· οὐδὲ παρεκάλεσεν αὐτὸν, συγκαταθέμενος ταῖς περὶ τοῦ θανάτου αὐτοῦ προφητείαις· τὸ δὲ ἐναντίον, χολὴ καὶ ὄξος ὁ καρπὸς αὐτῶν ἐγεγόνει, μὴ τηρησάντων τὴν ἐξ ἀρχῆς φυτείαν ἣν ὁ θεὸς ἐφύτευσεν, τὴν ἰουδαϊκὴν πληθὺν ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· στραφεῖσα δὲ εἰς πικρίαν, ἐγένετο ἄμπελος ἀλλοτρία. Εἴρηται γοῦν περὶ αὐτῶν ἐχθρῶν καὶ ἀνοήτων γεγενημένων· ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν· καὶ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας· σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῆς· θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος· ταύτην τὴν τῆς σταφυλῆς χολὴν, καὶ τῆς πικρίας τὸν βότρυν προσήγαγον αὐτῷ πότον, καὶ τοι διψῶντι τὴν αὐτῶν σωτηρίαν· οἴνου γὰρ παράβασις, ὄξος· πλὴν ἐν τῇ κλήσει τῶν ἐθνῶν εὑρίσκεται συλλυπούμενος καὶ παρακαλῶν· φασὶ γοῦν· εἰ συναπεθάνομεν, καὶ συζήσομεν· καὶ σύμφυτοι τοῦ θανάτου αὐτοῦ γεγόναμεν, ἀλλὰ καὶ τῆς ἀναστάσεως αὐτοῦ ἐσόμεθα.

Τὰ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀναλαβὼν εἰς τὸ v. 27. B. f. 291.
σῶμα τραύματα, διὰ τὸ ταύτας ἰάσασθαι· ἃ δὴ πεπόνθαμεν ὑπὸ λῃστῶν ἐν τῷ καταβαίνειν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, κέκληκεν ἴδια τραύματα· ἀλγηδόνα δὲ ταῦτα, ἐφ' ὅσον ἡμεῖς ἁμαρτάνομεν, ἔχει· εἰ δὲ καὶ διωγμὸν κατ' αὐτοῦ προσθήσωμεν, προσθήκην ἀλγηδόνων ποιοῦμεν τῷ μηκέτι ὑπὲρ ἁμαρτωλῶν ἁπλῶς, ἀλλὰ καὶ διωκόντων αὐτὸν ἀλγεῖν.

Ὅτι γὰρ οἱ ἀρετὴν καὶ γνῶσιν ἔχοντες θεοῦ, v. 29. A. f. 291.
ζῶσιν, δηλοῖ τὸ, αὕτη ἡ ζωή σου, καὶ ἡ μακρότης τῶν ἡμερῶν σου, ἀγαπᾷν σε κύριον τὸν θεόν σου ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψυχῆς σου· καὶ τὸ, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον· βίβλος δὲ ἐν ᾗ οἱ οὕτω ζῶντες ἐγγράφονται, ἡ θεοῦ γνῶσίς ἐστιν γινώσκοντος τοὺς ὄντας αὐτοῦ· ᾧ ἕπεται τοὺς ἀναξίους ἐξαλείφεσθαι τῆς αὐτοῦ μνήμης.

v. 34. B. f. 292. Οὗτος γάρ ἐστιν ὁ λύων τοὺς πεπεδημένους, καὶ ἐξάγων ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου
v. 37. B. f. 292. b. φυλακῆς.—Οἵ τε πάλαι λεγόμενοι προφῆται καὶ θεοφιλεῖς ἄνδρες, καὶ οἱ μετὰ ταῦτα ὑπηρέται καὶ διάκονοι τοῦ εὐαγγελίου.

PSALMUS LXIX.

v. 1. B. f. 293. Σωτηρία δὲ παντὸς μετανοοῦντος ἡ ὧν ἐπελάθετο μνήμη· μνησθήσονται γὰρ καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς· ἀγαθοῦ γὰρ μνήμη τέλος ἐπιστροφῆς· πάντες γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ, γεγονότες ἐννοίας ἔχουσιν ἐσπαρμένας περὶ Θεοῦ· κἂν ἐξ ἀμελείας τὶς ἁμάρτῃ, μετανοῶν ἀναμιμνήσκεται τοῦ ἀγαθοῦ, οὗ κατὰ φύσιν ἔχει τὴν ἔννοιαν.

v. 3. B. f. 293. b. Ἡγεῖται δὲ τῆς ἁμαρτίας ἀναισθησία καλῶν· διὸ σὺν ἡδονῇ καὶ παῤῥησίᾳ πολλάκις πράττεται τὸ κακόν· κατὰ τὸ, ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν· πρὸς οὓς ἡ προφητεία φησὶν, αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν· φέρει γὰρ ψόγον τε καὶ ἀπώλειαν· αἰσχυνθέντες γὰρ πεπαύσονται τοῦ κακοῦ, καὶ τὸ ἀγαθὸν ἀκολούθως ποιήσουσιν· οὓς καὶ νῦν ἐχθροὺς ὄντας ἐντραπῆναι προσεύχεται, μνησθέντες ἃ διεπράξαντο· ἐζήτησαν γάρ μου τὴν ψυχὴν, ἢ πλημμελεῖν ὁμοίως ἢ ἀποκτεῖναι μὴ συντρέχουσαν αὐτοῖς εἰς ἀπόστασιν, καθ' ἣν ἐκτὸς εἰσὶ τοῦ θεοῦ· τοῦ δὲ κατὰ κακίαν δρόμου ἀποστραφῆναι, διὰ τὸ συμφέρον αὐτοῖς ἐξαιτεῖ, καὶ μὴν αἰσχυνθῆναι ἐφ' οἷς ἐβουλήθησαν καὶ αὐτὸν γινέσθαι κακὸν, λέγοντες· εὖ γε, τουτέστι κρατήσομεν σοῦ φεύγοντος ἀφ' ἡμῶν· ὅρα δὲ ὅτι μέχρι τοῦ βουληθῆναι κακῶσαι δύναμιν ἔχουσιν, τὴν βλάβην οὐ δρῶντες εἰ μὴ θεὸς αὐτοῖς παραδῷ.

v. 5. Ibid. Τοῦτο δὲ τὸ σωτήριόν ἐστιν ὁ Χριστὸς, ὁ αἴτιος αὐτοῖς αἰωνίου σωτηρίας, ὧν τοῦτο τὸ σωτήριον ὄψεται πᾶσα σάρξ.

PSALMUS LXX.

v. 1. B. f. 94. b. Ὁ ἔχων εἰς θεὸν ἐλπίδα μέχρι τοῦ παντὸς αἰῶνος οὐ καταισχύνεται, καθάπερ ὁ ἐπί τι πεποιθὼς ἕτερον ἡνίκα τῆς ἐλπίδος ἐκπέσῃ· ὁ πεποιθὼς γὰρ ἐπὶ πλούτῳ, φησὶν, οὗτος πεσεῖται· « καὶ μὴ ἐλπίζετε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία· καὶ ἐπικατάρατος ὃς ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον· εὐλογημένος δὲ ἄνθρωπος ὃς πέποιθεν ἐπὶ τῷ κυρίῳ, καὶ ἔσται κύριος ἐλπὶς αὐτοῦ· » περὶ ἧς γέγραπται, ἀναγεγεννημένοι εἰς ἐλπίδα ζῶσαν, ἣν ὁ ἔχων, φησὶν, οὐ καταισχυνθείη εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ δὲ ῥύεται τὶς, μηδὲν ἀδικῶν· ἔν τε σοφίᾳ πάλιν ὁ ταύτην ποθῶν, αἰτοῖτο δ' ἂν καὶ ἀπὸ τῶν ἀδικούντων ῥυσθῆναι· πρέπον γὰρ τοῦτο κατὰ τὴν ἐπιγραφὴν τοῖς ἑτέρων χάριν αἰχμαλώτοις γεγενημένοις· δικαίως γὰρ αἰτοῦσι ῥυσθῆναι· ἀλλὰ καὶ ἡ πρακτικὴ ἀρετὴ δικαιοσύνη ὠνόμασται, ὡς ἀδικία πᾶσα ἡ ἐν πράξει ἁμαρτία· ἀξιοῖ τοίνυν ἐκ τῆς ἀδικίας ἐν τῇ δικαιοσύνῃ ῥυσθῆναι· ἣν ὁ ἀγαπῶν μισεῖ τὴν ἑαυτοῦ ψυχήν· ὅτι δὲ ἡ καθόλου ἀρετὴ δικαιοσύνη, δηλοῖ τὸ, ὁ πορευόμενος ἐν δικαιοσύνῃ, ἄμωμος· καὶ τὸ, πᾶσαν κακίαν ἀδικίαν εἶναι, τὸ ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην. καὶ τὸ, αἷμα Ἰησοῦ Χριστοῦ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας· ἐρεῖ τὴν φωνὴν καὶ ὁ τὴν τοῦ νόμου σκιὰν ὑπερβῆναι βουλόμενος, ἵνα σχῇ θεοῦ δικαιοσύνην, πιστεύσας εἰς Ἰησοῦν Χριστὸν, καὶ μὴ δικαιοσύνην ἰδίαν τὴν ἐκ τοῦ νόμου.

Πῶς δ' ἂν οἱ ἄνθρωποι τοσοῦτον καὶ τῶν περὶ v. 2. B. f. 294. b.
σὲ κτισμάτων λειπόμενοι βοὴν ἀφεῖναι τῶν σῶν ἀκοῶν ἐφικνουμένην δυνάμεθα; ἀλλ' ὡς ἀγαθὸς τρόπῳ συγκαταβάσεως κλῖνον τὸ οὖς σου πρός με περὶ σωτηρίας δεόμενον.

Δύναται ἐπὶ πάντων ἁρμόζειν· εἰ μὴ γὰρ θεοῦ v. 6. B. f. 295. b.
δύναμις ἐφρούρει καὶ ἐφύλαττεν τὸ κατὰ γαστρὸς κυϊσκόμενον, οὐκ ἂν συνέστη, οὐκ ἂν μετέσχε ζωῆς.—Σωματικῶς οὐ νοητέον τὸ ἐκ γαστρός· οὐ γὰρ ἅμα τῷ τόπῳ τὸ λογικὸν ἐνεργεῖ· γέγραπται γὰρ καὶ τὸν Σαμουὴλ πρὶν γνῶναι τὸν θεὸν, καίτοι θεοσεβῶς ἐξ ἁπαλῶν ὀνύχων ἄνηκτο· λέγει δὲ καὶ Μωϋσῆς ἐν τῇ ἐρήμῳ, καὶ πάντα τὰ παιδία ὅσα μεθ' ἡμῶν σήμερον, ἃ οὐκ οἶδεν ἀγαθὸν ἢ κακὸν, εἰσελεύσεται εἰς τὴν γῆν τῆς ἐπαγγελίας· πῶς οὖν τηνικάδε θεὸν εἰδὼς ὁ λέγων, ἐπεστηρίζετο προαιρετικῶς ἐπ' αὐτῷ; λέγει τοίνυν, ὡς ἀνέθηκά σοι τὴν ἀρχὴν τοῦ νοεῖν τε

καὶ ἐνεργεῖν· ἀφ' οὗ νοῶ σε μόνον εἰδώς· τοῦτο δὲ οὐκ ἂν εἴποι τις ἀπὸ κακίας μετανοεῖν, ἀλλ' ὁ μείνας ἐξ ἀρχῆς ἐν θεῷ, λέγων καθάπερ Ἰώβ· εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ ὀρφανοῖς οὐ μεταδέδωκα, εἰ μὴ ἐκ κοιλίας μητρός μου ὡδήγουν αὐτοὺς καὶ ἐξέτρεφον, ὡς πατὴρ δῆλον, ἐξ οὗπερ ἤρξατο λογικῶς ἐνεργεῖν· ὥσπερ οἱ λέγοντες, εἰ ἐπελαθόμεθα τοῦ ὀνόματός σου· εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον, ἀφ' οὗ φρονεῖν ἤρξαντο δηλαδή· ἁρμόττει δ' ἂν καὶ τῷ ἐκ θείας διδασκαλίας καὶ ἐξ ὕδατος καὶ πνεύματος γεννωμένῳ, καταλλήλως τῇ γεννήσει ταύτῃ γαστρὸς καὶ κοιλίας νοουμένων ἀφ' ὧν γεννηθεὶς νοητῶς προελήλυθεν.

v. 7. B. f. 296. Βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια· καὶ φάσκουσιν οἱ τοιοῦτοι· δήσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστίν· διὸ τοῖς πολλοῖς ἔφη, τουτέστι φαύλοις τε καὶ χυδαίοις, ἐξ ὧν ἀβλαβῆ μὴ διατηρεῖς· διὸ συμφώνως ὁ ἀπόστολος εἶπεν· ὥσπερ περικαθάρματα τοῦ κόσμου καὶ πάντων γεγενῆσθαι περίψημα· τοιοῦτον καὶ τὸ, ἡμεῖς μωροὶ διὰ Χριστόν· καὶ τὸ, δοκῶ γὰρ ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους· καὶ τὸ, θέατρον τῷ κόσμῳ ἐγενήθημεν· τοιοῦτον καὶ τὸ τοῖς ἁμαρτωλοῖς εἰρημένον ὑπὸ θεοῦ· καὶ ἔσται ὑμῖν Ἰεζεκιὴλ εἰς τέρας· ὡσαύτως φησὶν ὁ προφήτης διὰ τὰ συμβολικῶς μάλιστα γινόμενα παρ' αὐτοῦ· οἷον τὸ, ἐπὶ τοσάσδε κατακαθῆναι τοῦτον ἡμέρας ἐπὶ πλευροῦ δεξιοῦ, καὶ τόσας πάλιν ἐπὶ εὐωνύμου· καὶ τῶν τριχῶν τοῦ σώματος ξύρησιν· εἰ δὲ καὶ τοῖς πολλοῖς ἐδόκουν τοιοῦτοι, ἀλλὰ θεῷ καὶ τῷ θείῳ λαῷ σοφοί τε ἦσαν καὶ δίκαιοι· πολλοῖς δὲ καὶ ὁ σωτὴρ διὰ τὸν σταυρὸν ἔδοξε τέρας.

v. 10. B. f. 297. Εἰ γὰρ Χριστὸς ὁ λέγων, ἕπεται τῶν, εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· τοῦτο γὰρ καὶ τὰ ἐπὶ τούτων περὶ τοῦ Ἰούδα φησίν.

v. 12. B. f. 297. b. Σὲ βοηθὸν κτώμενος, οἶδα ὅτι ὄψομαι καταισχυνομένους πάντας τοὺς ἐχθρούς μου.

v. 16. B. f. 298. Τῶν ἐμῶν αἰσχυνομένων ἐχθρῶν, τῷ κατ' ἐμοῦ μάτην ἐσπουδακέναι, προστίθημι καὶ νῦν ἐπινικίως αἰνῶν σε τῇ προλαβούσῃ αἰνέσει, περὶ ἧς ἔφην· ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός· ἐνδιέβαλλον δὲ τὴν ψυχὴν αὐτοῦ οἱ λέγοντες, ὁ θεὸς ἐγκατέλειπεν αὐτόν· μεγίστη γὰρ δηλοῦται κατὰ τοῦ ἐγκαταλειπομένου διαβολή· πρὸς ὃ τὸ, ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ, φησίν· δεικνὺς ὡς οὐδεμίαν ἐγκαταλείψει παρέσχετο χώραν· καὶ τῶν κατ' αὐτοῦ φόνων τῶν μηδεμίαν βλάβην προστριψαμένων ἐξαγγέλλει· παρ' ὅλον δὲ κατὰ τὸ γράμμα τὸν νόμον οὐκ ἐξωσμένων ἐπὶ τῆς λέξεως καὶ τῆς σκιᾶς εἰσελεύσομαι κατὰ τὸ ζωοποιοῦν πνεῦμα, δυναστεύων βασιλικῶς· τοῦτό μοι δεδωκότος θεοῦ τὸ μὴ φροντίζειν τῆς κατὰ σκιὰν τοῦ νόμου δικαιοσύνης· περὶ ἧς γράφει Παῦλος, κατὰ τὴν ἐν νόμῳ δικαιοσύνην γενόμενος ἄμεμπτος, πάντα τὰ σκιώδη· ὃ ἦν αὐτοῦ πρότερον κέρδη ἐζημιῶσθαι, σκύβαλά τε νομίζειν διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ θεοῦ· ἔν τισι δὲ γράφεται πραγματείας, δηλοῦν τὸ πάσης πόῤῥω γενέσθαι βιωτικῆς πραγματείας διὰ τὴν ἀδικίαν τὴν ὡς τὰ πολλὰ παρεπομένην αὐτῇ τὸν μνησθέντα θείας δικαιοσύνης.

Ταῦτα δὲ τὰ ὑψηλὰ καὶ μεγάλα γέγονεν ἐπι- B. f. 298. b.
δημήσαντος τοῦ Χριστοῦ· τεχθέντος γὰρ ἐκ τῆς παρθένου, πλῆθος οὐρανίου στρατιᾶς δόξα ἔλεγον ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, καὶ ἐν ἀνθρώποις εὐδοκία· τῆς γὰρ εὐδοκίας ταύτης γεγενημένης, τὰ ἐπὶ γῆς πάντα κατελύθη πολέμια, καὶ δόξα γέγονεν ἐν ὑψίστοις, εἰς τὰ ὕψιστα τῶν σωζομένων ἀναβαινόντων· διὰ γὰρ τὸ γεγονέναι τελείους ὡς ὁ πατὴρ ὁ οὐράνιος τέλειός ἐστιν, καὶ σχεῖν ἀνυπέρβλητον ἁγιότητα, τὸν θεὸν ἔσχον ἐν ἑαυτοῖς πάντα ἐν πᾶσι γινόμενον· ἔφη γοῦν ὁ σωτὴρ ἐν εὐαγγελίοις· θέλω, πάτερ, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν.

Προσκειμένου τοῦ ἐκ τῶν ἀβύσσων ἀνήγαγές v. 20. B. f. 299.
με τοῦ πάλιν, εἰ μὲν ἡ ἄβυσσος σημαίνοι τὸν ἐν τοῖς περιστατικοῖς βυθοῖς μόνος ἑρμηνεύεται ἀκόλουθον ἐκλαβεῖν· ὡς πολλάκις ἐστὶν ἐκεῖθεν ὑπὸ θεοῦ ἀναχθῆναι, ἀεὶ εὐεργετοῦντος μαρτύριον τοῦτο τὸ φερόμενον· οὕτω, πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς κύριος.—Ἀγαθότητι γὰρ ὁ θεὸς ἐπάγων μεταδίδωσιν ἀνειμησάμενος ἐκ βάθους κακῶν τὸν

κατενεχθέντα· ἐπεὶ γὰρ τὰ κακωτικὰ ἐκταθέντα κατάγειν εἰς ᾅδου δοκεῖ, ἀκολούθως καὶ τὸ τούτων τέλος ζωοποιεῖν τὴν κοινὴν ταύτην ζωήν· ἐκ προσώπου δὲ ταῦτα λέγει τῆς ἀνθρωπότητος, κακῶν ὅσων πειρα έντων καὶ θλίψεων πρὸ τῆς τοῦ σωτῆρος ἐπιδημίας, μεθ' ἣν ἡμᾶς ἐζωοποίησε, δοὺς λύτρον ἀνθ' ἡμῶν τὴν ἰδίαν ψυχήν· ὥστε τοὺς πιστοὺς ζωὴν ἔχειν αἰώνιον· καὶ καταβὰς εἰς ᾅδου, τοὺς ἐκεῖ γενομένους δι' ἁμαρτίας
B. f. 299. b. ἰδίας, ἀνήγαγεν.—Εἰ μὲν ἡ ἄβυσσος σημαίνει τὰ περιστατικὰ, τὸ πάλιν δηλοῖ τὸ πολλάκις εὐεργετηθέντα τὸν ἐκ τούτων ἀποφυγεῖν βυθισμόν· πολλαὶ γὰρ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος· εἰ δὲ τὸν ᾅδην δηλοῖ, πῶς πάλιν ἐκεῖθεν ἐσώθη; μία γὰρ εἰς τὸν βίον εἴσοδός τε καὶ ἔξοδος· ἔοικεν οὖν πρὸς τὸ ἐζωοποιῆσθαι τὸ ἐξ ᾅδου ἀνελθεῖν, εἰρῆσθαι πάλιν, ὡς ἂν δευτέρας οὔσης εὐεργεσίας.

v. 22. B. f. 300. Καὶ ἄλλως δέ φησι μετὰ ψαλτηρίου καὶ κιθάρας ὑμνήσω τὸν μετὰ τὰ κακὰ ζωοποιοῦντα θεὸν τὸν ἁγιάζοντα τὸν Ἰσραήλ· δηλοῖ γὰρ τὸν ἁγιαζόμενον ἐκ τοῦ ἁγίου θεοῦ· ὡς ἐν τῷ λέγειν τινὰς ἁγίου θεοῦ· λέγεται γὰρ καὶ περὶ Χριστοῦ ὡς ἐγενήθη ἡμῶν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· ταῦτα γὰρ γίνεται τοῖς κατ' αὐτὰ ποιωθεῖσιν· καὶ ἀλλαχοῦ δὲ λέγει, παρωξύνατε τὸν ἅγιον τοῦ Ἰσραήλ· Ψυχὴν δὲ λυτροῦται λογικὴν, τοιαύτην ὑπὲρ αὐτῆς παρασχὼν, ὡς καὶ ὑπὲρ σωμάτων ὁμοούσιον σῶμα.

PSALMUS LXXI.

v. 1. B. f. 300. b. Οὐ γὰρ ἁρμόττει τῷ αἰσθητῷ Σαλομῶνι ἀλλὰ τῷ πνευματικῷ καὶ οὕτως εἰρηνικῷ· τοὔνομα γὰρ τοῦτο δηλοῖ, ὡς καὶ φησὶν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· περὶ οὗ γέγραφεν ὁ θεολόγος· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν· καὶ τὸ, εὐηγγελίζετο εἰρήνην ὑμῖν τοῖς μακρὰν, εἰρήνην τοῖς ἐγγὺς, λύσας τὴν ἔχθραν τὴν διαιροῦσαν Ἕλληνας ἀπὸ τῶν Ἑβραίων· ὥστε μίαν ποίμνην συστῆναι τῷ ἐκ Δαυὶδ καὶ παρθένου κατὰ σάρκα· τοῦτο γὰρ τὸ, βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυίδ.

Καὶ τῆσδε τοῦ θανάτου κατακρίσεως ὑπὲρ αὐ- v. 2. B. f. 301.
τῶν χάριτι θανάτου γευσάμενος· λέγει δὲ λαὸν, μὲν τὸν ἐκ περιτομῆς, πτωχοὺς δὲ τοὺς ἐξ ἐθνῶν διὰ τὴν ἐξ ἀπιστίας καὶ κακίας πενίαν· λέγοι δ' ἂν καὶ περὶ ὧν τὸ, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

Ταυτὸν τὸ, σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ v. 5. B. f. 302.
τὴν τάξιν Μελχισεδέκ· τῷ δὲ πρὸ τῆς σελήνης, ταυτὸν τὸ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· συμπαραμενεῖ δὲ τῷ ἡλίῳ τῆς δικαιοσύνης, καὶ ἣν ἥνωσεν ἑαυτῷ σάρκα ἐμψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, τὴν ἕνωσιν ἀδιαίρετον ἔχουσα· ἔστι δὲ καὶ πρὸ τῆς ἀναλόγως λεγομένης σελήνης τῷ τὴν ἐκκλησίαν ἐν αὐτῷ καὶ δι' αὐτοῦ ἱδρύσθαι, συγκειμένην ἐκ πάντων τῶν γενεὰν ἐχόντων ἀνθρώπων· οὗτοι γὰρ ἔχουσιν ἐκ γενεᾶς καὶ γενεᾶς τὴν διαδοχήν· εἴρηται δὲ καὶ περὶ τῆς ὡς νύμφης ἐκκλησίας· τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη ἐκλεκτή;

Ἀλλὰ καὶ ὥσπερ ὑετὸς αἴτιος εὐκαρπίας τῇ v. 6. B. f. 302
γῇ, οὕτω τοῖς πιστοῖς ὁ σωτὴρ γεννημάτων· σημαίνοι δ' ἂν ὁ μὲν πόκος τὸν Ἰσραὴλ, ἡ δὲ γῆ τὰ ἔθνη· ἐπεὶ πρότερον ἐπὶ πόκον κατῆλθεν, εἶτ' ἐκεῖθεν ἐπὶ τὴν γῆν, ἐξ ἀπειθείας τοῦ Ἰσραὴλ, πάσης ἐκ τῶν σταγόνων ποτισθείσης τῆς γῆς ἐπὶ τῷ καρποὺς ἐνέγκαι πνευματικούς.

Ἐλέγομεν τὴν σελήνην τὴν ἐκκλησίαν δηλοῦν· v. 7. B. f. 302. b.
ἡ γὰρ σελήνη νόθον ἐξ ἡλίου δέχεται φῶς, καὶ (μὴ) οἴκοθεν ἔχει· ὡς ἡ ἐκκλησία ὅσον ἐστὶν ἐπὶ γῆς, ἐκ μέρους γινώσκει, καὶ οὐ γνησίως ὅλη πεφώτισται λήγουσα ποτὲ ἐσομένη κατὰ τὸν ἥλιον, ὅτε τὸ τέλειον καὶ πρόσωπον πρὸς πρόσωπον ἔλθῃ, ὅτι καὶ ἡ σεληνιακὴ κατάστασις τῆς ἐκκλησίας ἀναῤῥεθήσεται κατὰ τὸν ἥλιον τῆς δικαιοσύνης ἐσομένης· ἐκλαμψάντων ὡς ὁ ἥλιος τῶν συμπληρούντων τὴν ἐκκλησίαν δικαίων ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν· διὸ λέγεται πρὸς τὴν νύμφην, τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, ἀρχὴν φωτισμοῦ ἔχουσα; εἶτ' ὡς σελήνη πλησιφαὴς ἐσομένη, μεθ' ὃ ὡς ὁ ἥλιος θάμβος ἔσται.

Ὑμνήσουσι τὸν αὐτοῦ πατέρα, παρ' αὐτοῦ v. 15. B. f. 304. b.
τοῦτο μαθόντες, κατὰ Παῦλον εἰπόντα· εὐχα-

ριστῷ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ· καὶ πάλιν δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν πατέρα· καὶ ὁ σωτὴρ δέ φησιν· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ· τοῦτον τοίνυν ὑμνήσουσιν ἐφ' οἷς ἔτυχον ἐξ υἱοῦ συνυμνοῦντες καὶ τὸν δι' οὗ τούτων ἠξίωνται.

v. 16. B. f. 304. b. Ἄκρα δὲ τούτων τῶν ὀρέων, αἱ τῶν προαναφωνήσεων ἐμβάσεις εἰσίν· ἐφ' ἃ φθάσας ὁ προφητευόμενος, στήριγμα γέγονεν ἐν τῇ γῇ.

PSALMUS LXXII.

B. f. 306. b. Οἱ δὲ μελοποιὸν καὶ τῶν ᾀδόντων χοροδιδάσκα-
v. 1. B. f. 307. b. λον.—Ἰσραὴλ δὲ, ὁρῶν θεὸν ἑρμηνεύεται· διὸ καὶ νοοῦντες ὃν ὁρῶσιν, ἴσασιν ὅτι ἀγαθός ἐστιν, ἐπὶ συμφέροντι τοῖς ἀνθρώποις ἐπάγων τὰ δυσχερῆ.

v. 9. B. f. 308. b. Ἐνεχόμενοι πρακτικῇ κακίᾳ καὶ ἀσεβείᾳ, τὴν ἀδικίαν καθόλου πρακτικὴν οὖσαν κακίαν περιβέβληνται, καὶ σὺν αὐτῇ τὴν ἀσέβειαν περὶ Θεοῦ προνοίας ἁμαρτάνοντες μάλιστα· ἐξέρχεται δὲ ἀδικία ἐκ τῶν γεννώντων διατρυφὴν, στέαρ εἰρημένων λογισμῶν πρακτικῶς γενομένη· οὐ γὰρ μέχρι διαθέσεως ἐστήσαντο κακὸν, καὶ ἄλλους βλάπτειν ἐθέλοντες· διὸ μετὰ τὴν διάθεσιν ἀπατηλῶς ἐλάλησαν, ἀγαθὰ δῆθεν ἐπαγγελλόμενοι· βλασφημοῦντες δὲ κατὰ τῆς θείας προνοίας πᾶσιν ἐγνώσθησαν τοῖς ἐν τῇ γῇ, μὴ δικαίως αὐτὴν διαβάλλοντες· ὁποῖοι τινές εἰσιν οἱ τῇ φορᾷ τῶν ἀστέρων ἀνατιθέντες τὰ προαιρέσει γινόμενα· οἱ καὶ θεοποιοῦντες τὰ ἄστρα, καὶ τὴν κτίσιν παρὰ τὸν κτίσαντα, εἰς οὐρανὸν ἔθεντο τὸ στόμα αὐτῶν· ἀλλ' ὅμως ὑπὸ τῶν σοφῶν διελέγχονται ὡς θνητὰ καὶ ἀνθρώπινα λέγοντες.

v. 14. B. f. 309. b. Τῶν ἀσεβῶν ὑπερήφανα λελαληκότων, ὁ τοῦ Θεοῦ λαὸς ἀφορμὴν ἔσχεν ἐπιστροφῆς, φωτεινῶν ἐθέλων ἀπολαῦσαι θεωριῶν, ἃς ἡμέρας ὁ λόγος καλεῖ· τὸ δὲ ἐνθάδε, ἔνθα ὁ λέγων τοῦτο θεός· ὁποῖον τὸ λεχθὲν Μωϋσῇ· σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ.—Καὶ πάλιν τὸ πῶς γνώσεται, ὡς τοῦ θεοῦ διὰ τὸ μὴ ἔχειν αἰσθητικὴν ἤγουν ὀργανικὴν δύναμιν τῶν ἐπὶ γῆς προνοεῖν πραγμάτων ἀδυνατοῦντος, διὰ τὸ τὴν νόησιν αὐτοῦ τύπους τῶν λεγομένων ἢ γινομένων μὴ δέχεσθαι· καίτοι τὸ πῶς γνώσεται, ὁμολογίαν ἔχει τοῦ γινώσκειν τὸν Θεὸν, ἀγνοουμένου τοῦ τρόπου τῆς γνώσεως· μετὰ ταῦτα δὲ καὶ ἀγνοεῖν αὐτὸν λέγουσιν, εἰπόντες· εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ; πεπλάνηνται δὲ νομίζοντες αὐτὸν ἔχειν διάθεσιν τὴν κατὰ ποιότητα· πατὴρ γὰρ σοφίας καὶ ἀληθείας καὶ θείας ἐπιστήμης ἐστίν· εἴρηται γοῦν Θεὸς γνώσεων κύριος· καὶ ὁ διδάσκων ἄνθρωπον γνῶσιν· καὶ κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων.

Καὶ πῶς ὧν διδάσκει καὶ δίδωσι λείπεται; νεμεσητικοῦ δὲ πάθους τὸ θέλειν ἕκαστον τῶν πρὸς ἀξίαν τυγχάνειν· τοῦ ἀληθῶς σοφοῦ τὴν εὐπραγίαν ἢ δυσπραγίαν οὐκ ἐν ἡδονῇ ἢ λυπηρεῖς τιθεμένου· ἀλλὰ τὴν μὲν ἐν ἀρετῆς κτήσει καὶ εὐσεβείας, τὴν δὲ τῇ τούτων στερήσει· ἐπεὶ τοίνυν ἑκατέροις συμβαίνει ἀηδῆ τε καὶ λυπηρὰ, οὐκέτι ὡς εὐσεβέσιν ἢ ἁμαρτωλοῖς, τοῖς μὲν ταῦτα, τοῖς δὲ ἐκεῖνα συμβαίνει, ὅπερ διὰ τοῦ προκειμένου κατασκευάζεται· ὡς ἂν μὲν τὸ λεχθῆναι τὰ ταράττοντα, λύσις εὐσεβὴς ἐπενεχθῇ· τοιοῦτο ἐν τῷ Μαλαχίᾳ φησὶν ὁ Θεός· « ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν· καὶ εἴπατε, ἐν τίνι κατελαλήσαμέν σου; καὶ εἴπατε, μάταιος δουλεύων Θεῷ· καὶ ἰδοὺ μακαρίζομεν ἀλλοτρίους· καὶ ἀνοικοδομοῦνται πάντες ποιοῦντες ἄνομα· ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν· οὐδὲν ἡμῶν πλέον ἐχόντων τῶν δουλευόντων αὐτῷ· καίτοι ἱκῆται προπορευόμενοι τοῦ προσώπου αὐτοῦ. » Πρὸς δὲ τοὺς ταῦτα λέγοντας ἐπάγει μεθ' ἕτερα· εἴπατε πᾶς ποιῶν πονηρὰ, καλὸν ἐνώπιον αὐτοῦ, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησεν.

Οὐδεὶς διΐσταται τοπικῶς τοῦ μὴ ἐν τόπῳ v. 27. B. f. 313.
Θεοῦ· σχέσει δὲ τὸ ἄδικον καὶ πονηρὸν, μακρὰν νοεῖται τοῦ δικαίου καὶ ἀγαθοῦ, ὅπερ ἀπόλλυσιν· ὡς καὶ σώζει τὸ ἐγγίζειν ἀρετῆς ἀναλήψει Θεῷ· ταυτὸν γὰρ τὸ μακρύνεσθαι Θεοῦ, τὸ ἁμαρτάνειν· οὐκ εἶπεν δὲ οἱ μακρύναντες· δυνατὸν γὰρ μετανοοῦντας σωθῆναι, μηκέτι μακρύνοντας ταύτῃ καὶ ὁ ποιῶν· ἀλλ' οὐχ ὁ ποιήσας τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας; πολλῶν δὲ πολλὰ περὶ ἀγαθοῦ φιλοσοφησάντων, συντόμως ὁ

σοφὸς τὸ προσκολλᾶσθαι τῷ θεῷ· τοῦτο φησὶν ἐπ᾽ αὐτῷ τίθεσθαι τὴν ἐλπίδα· αἱ εἰσαγωγαὶ δὲ ἀρεταὶ πρὸς τελειότητα, πύλαι Σιὼν, ἧς θυγάτηρ, ἡ κατ᾽ αὐτὴν γινομένη ἢ καὶ συνηθεῖσα ψυχή.

v. 23. B. f. 312. Οὐχ ἁπλῶς δὲ κτηνώδης εἶπεν ἐγενήθην, ἀλλὰ παρὰ σοί· ὡς γὰρ πρὸς τὸν πατέρα τῆς σοφίας καὶ θεὸν τῆς γνώσεως πᾶν ἀγνοεῖ γεννητόν· καὶ Μωϋσῆς γὰρ ἰδὼν τὸν θεὸν ἔφη, ἐγὼ ἄλογός εἰμι ἱκανὸς πρὸ χθὲς καὶ τρίτης ἀφ᾽ οὗ ἤρξας λαλεῖν τῷ θεράποντί σου ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι· οὐ γὰρ ἁπλῶς εἶπεν ὁ λογιώτατος, ἀλλ᾽ ἀφ᾽ οὗ ἤρξατο λαλεῖν τῷ θεράποντί σου· πρὶν γὰρ ἀκοῦσαι θείας φωνῆς δοκεῖ τις λόγιος ὀξύς τε καὶ μεγαλόφωνος εἶναι· καὶ Ἀβραὰμ ἔλεγε πρὸς τὸν κτίστην· ἐπεὶ ἠρξάμην λαλεῖν πρὸς τὸν κύριον, ἐγὼ δέ εἰμι γῆ καὶ σποδὸς, ὅπερ ἠγνόει πρὶν λαλῆσαι θεῷ· τοιοῦτος καὶ ὁ κτηνώδης παρ᾽ αὐτῷ, μὴ γιγνώσκων ὁμοίως τὸ προνοοῦντι θεῷ· διαπαντὸς δὲ μετ᾽ αὐτοῦ, ὁ διαπαντὸς κατορθῶν ἀρετὴν καὶ πᾶσαν εὐσέβειαν ἄνευ τινὸς περὶ ταύτης ἀνωμαλίας ἐν διαλείμμασιν.

PSALMUS LXXIII.

v. 1. B. f. 314. Πυνθάνονται δὲ τῶν κακῶν τὴν αἰτίαν, ἵνα σὺν ἐκείνῃ καὶ ταῦτα κωλύσωσιν· ἀπωθεῖται δὲ θεὸς τὸν ἐξ αὐτοῦ μακρύνοντα ἑαυτόν· τὸν γὰρ ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω, εἶπεν ὁ Ἰησοῦς—Ὀργὴν τοῦ θεοῦ καὶ θυμὸν, μὴ καθ᾽ ἡμᾶς νόμιζε· ἄπαγε τῆς ἀτοπίας· περὶ γὰρ τὸν θεὸν οὐδὲν πάθος ἀνθρώπινον, ἀλλὰ τὴν ὑπερβάλλουσαν ἀποστροφὴν διὰ τῶν εἰρημένων αἰνίττεται λέξεων, ἣν ὑπομένειν φησὶ πρόβατα νομῆς αὐτοῦ· νομὴ δὲ τοῦ θεοῦ τὰ λόγια τοῦ πνεύματος, νόμος οἷον καὶ προφῆται, ἐν οἷς καθάπερ πρόβατα τοὺς δικαίους νέμει.

v. 19. B. f. 318. b. Ὁ ταῦτα, φησιν, ἅπαντα πεποιηκὼς ὁ τῶν τοσούτων καὶ τηλικούτων δημιουργὸς, μνήσθητι ταύτης.

v. 18. B. f. 319. Ἐχθρὸς ὀνειδίζων τὸν κύριον, ὁ διάβολος· ἄφρων δὲ λαὸς, ὁ τῶν δαιμόνων χορός·—Ἀλλὰ Καϊάφας ὢν ἀρχιερεὺς ὠνείδισε τὸν Χριστόν· ὁ δὲ τῶν Ἰουδαίων ἄφρων λαὸς παρώξυνεν αὐτοῦ τὸ ὄνομα κεκραγὼς, αἶρε αἶρε, σταύρωσον αὐτόν· θηρίοις δὲ λέγει, πρὸς ὧν εἴρηται, πρόβατον πλανώμενον Ἰσραήλ· λέοντες ἔξωσαν αὐτόν· ὧν δὴ τὰς μύλας συνέτριψε κύριος· ὧν ἐστιν ὁ σατανᾶς κατὰ Πέτρον εἰπόντα· ὁ ἀντίδικος ἡμῶν διάβολος περιπατεῖ ὡς λέων ὠρυόμενος ζητῶν τίνα καταπίῃ· ἄλλως γὰρ οὐδὲ πάντες οἱ μάρτυρες ὑπὸ θηρίων ἐβρώθησαν. Πένητες δὲ αὐτοῦ οἱ λέγοντες, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· καὶ πάλιν οἱ ἀποβαλόντες πλοῦτον τὸν ἐν ψευδοδοξίᾳ τε καὶ κακίᾳ, οἱ αὐτοὶ τάχα τοῖς πτωχοῖς τῷ πνεύματι ὄντες· εἶτα παρακαλεῖ μνησθέντα τῆς πρὸς Ἀβραὰμ διαθήκης, τοὺς ἀπὸ τοῦ σπέρματος αὐτοῦ μὴ τελέως καταλιπεῖν· οἱ δὲ τῇ γῇ προσπελάζοντες, διόπερ ἔχουσι σῶμα, τὸν πολυφροντίδα νοῦν σκοτισθέντες δι᾽ ἄγνοιαν πλήρεις οἴκων ἀνομιῶν γεγόνασιν.

PSALMUS LXXIV.

Τῆς δὲ φθορᾶς ἤτοι διαφθορᾶς πολλάκις ἐν τῇ v. 1. B. f. 319. b.
γραφῇ δηλούσης τὴν ἁμαρτίαν, τὴν ἀρετὴν ἡ ἀφθαρσία σημαίνει· ἡ χάρις γάρ φησι μετὰ τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ· καὶ ἐπεὶ τὸν ἀρξάμενον ἔργου ἀγαθοῦ, δεῖ τοῦτο πρὸς τέλος ἐνέγκαι, μὴ διαφθείρῃς μέχρι τούτου, φησὶ, μέχρι φυγὼν τὴν φθορὰν ἐν ἀφθαρσίᾳ γενήσει· μετὰ δὲ τοῦτο· διὸ συμπληρωθέντος αὐτοῦ ψαλμὸς ᾠδῆς ἀναπέμπεται· φθάσαντες οὖν ἐπ᾽ αὐτῷ ἐξομολογοῦνται τῷ τῶν κατορθωμάτων αἰτίῳ θεῷ· οἱ μὲν οὖν οὔπω τέλειοι, ἐξομολογοῦνται μὲν περὶ ὧν ἔσχον, ἐπικαλοῦνται δὲ τῶν λειπομένων τυχεῖν· οἱ δὲ τέλειοι περὶ πάντων ἐξομολογούμενοι, περὶ φυλακῆς αὐτῶν ἐπικαλοῦνται βεβαίας.

Ἔρημον δέ φησιν ἀρετῆς καὶ εὐσεβείας· ση- v. 7. B. f. 321. b.
μεῖον δὲ τῆς πονηρίας αὐτῶν, τὸ διὰ θυσιῶν αὐτοὺς ἀποτροπιάζεσθαι ὡς δὴ βλάπτοντας εἰ μὴ λοιβὴν, καὶ καπνὸν, καὶ κνίσσαν λάβοιεν· ἀλλ᾽ εἰ εὐσεβεῖς θεὸν εἰδότες τοῦ φρονεῖν εἱμαρμένην καὶ γοητείαν ἐλευθεροῖ·

PSALMUS LXXV.

v. 3. B. f. 323. b. Διωκτέον ἄρα πάσης κακίας πολέμου οὔσας· τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην ἔχοντες, τόπος γενώμεθα τοῦ θεοῦ καὶ κατοικητήριον, σκοπεύοντες πᾶσαν ἀλήθειάν τε καὶ ἀρετήν· σκοπητήριον γὰρ ἡ Σιών· τόπος δὲ θεοῦ καὶ ἡ ἁγία ἐκκλησία ἐν εἰρήνῃ καθιδρυμένη· ἀλλ' ἐπεὶ χάριτι θεοῦ, καὶ οὐχ ἡμῶν δυνάμει ταῦτα κατώρθωται, αἰτίαν τῆς εἰρήνης ἀναφέρων ὁ λόγος
v. 6. φησίν.—Διὰ δὲ τοῦ ἐνύσταξαν, τὴν τοῦ θανάτου ἐδήλωσε εὐκολίαν· καθάπερ γὰρ ὁ νυστάζων ῥάδιον ἐθελήσας καθεύδει, οὕτως ἐκεῖνοι σύντομον ἐδέξαντο τοῦ βίου τὸ πέρας.

PSALMUS LXXVI.

v. 2. B. f. 327. Ὅτε δὲ πόῤῥω διέστηκεν ὁ λέγων τοῦ πρὸς ὃν ὁ λόγος, ἐπιτεταμένης χρεία φωνῆς· ἐπεὶ τοίνυν τοῦ ποιήσαντος ἡ γενητὴ οὐσία κεχώρισται, κραυγῆς τῆς κατὰ διάνοιαν δεῖ· θεὸν δὲ καλεῖ, τῷ πάντα πεποιηκέναι· κύριον δὲ, τῷ δεσπόζειν τῶν ἐξ αὐτοῦ γεγονότων· λέγοι δ' ἂν καὶ θεὸν μὲν τὸν πατέρα, κύριον δὲ τὸν υἱόν· ἡμέρα δὲ τῷ λέγοντι θλίψεως πᾶς ὁ βίος αὐτοῦ, ἤγουν αἰὼν ὁ ἐνεστηκὼς, ἐν ᾧ πρὸς τὸ ῥυσθῆναι ζητεῖ τὸν θεόν· ὡς ἄν τις ἰατρὸν ἐπὶ νόσῳ διοχλούσῃ καλῶν· ζητεῖ δὲ πράξει καὶ διαθέσει μὴ ἀπατώμενος κατὰ τοὺς τῶν περιστατικῶν ἀγνοοῦντας τὸ τέλος, ὡς ὁ Σαοὺλ πρὸς ἐγγαστρίμυθον ἀπελθὼν ἠπατήθη· ὁ δὲ ἅγιος ὅσον ἐνοχλεῖται, ζητεῖ τὸν θεὸν ἐν τῇ τῶν περιστατικῶν ἀγνοίᾳ, καλουμένῃ νυκτὶ, κατὰ τὸ παρ' Ἡσαΐᾳ· « ἐν » θλίψει, τοῦ κυρίου ἐμνήσθην » ἀδολεσχῶν πρὸς αὐτὸν ἐπαινετῶς· οὕτω γὰρ κεῖται πολλάκις ἐν τῇ γραφῇ προσευχὴ συνεχής· ὑπὸ γοῦν τοῦ παιδὸς τοῦ ἱερέως ἡ Ἄννα προσκαρτερῆσαι κωλυομένη τῇ προσευχῇ, φησίν· ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ἕως τοῦ νῦν· ἀλλὰ καὶ Ἰσαὰκ ἐξῆλθεν ἀδολεσχῆσαι εἰς τὸ πεδίον· ἐπὶ ψεκτοῦ δὲ τὸ, διηγήσαντό μοι παράνομοι ἀδολεσχίας· τήνδ' οὖν λέξιν ἡ τοῦ προσώπου διαστέλλει ποιότης· 1) νῦν τοίνυν καὶ τὸ πρόσωπον καὶ ἡ λέξις ἐπαινετὰ, οὗ τὸ πνεῦμα ὠλιγοψύχησεν, δηλοῦν τὴν ψυχήν· οὕτω γὰρ καὶ Στέφανος ἔλεγε· κύριε Ἰησοῦ δέξαι τὸ πνεῦμά μου· ὀλιγωρήσας δὲ διὰ τοὺς ἐπικειμένους ἐχθροὺς, ἐπεδώκεν ἑαυτὸν τῷ θεῷ.—Προπαθείᾳ τινὶ γεγένημαι, ὡς τά- B. f. 327.
ραχον ὑπομεῖναι· ἀλλ' οὐκ ἐφθεγξάμην ταραχῶδες οὐδὲν, διαθέσει τινὶ τεθορυβημένη γεγένημαι.

Περιτρέχοντα γὰρ πανταχοῦ τὰ τοῦ θεοῦ βέ- v. 17. B. f. 329.
λη, διεπορεύοντο κηρύττοντα.—Διὰ τὸ ἀκατά- v. 20. B. f. 330.
λυπτον εἶναι τὸν τῆς πορείας αὐτοῦ λόγον.

PSALMUS LXXVII.

Νόμον νῦν ἔφη τὴν παλαιὰν πᾶσαν γραφὴν, v. 1. B. f. 331.
ἤγουν διδάσκει τὰ μὲν φεύγειν, τὰ δὲ κατορθοῦν, ὅπερ ἔργον νόμου, τὰ μὲν ἀπαγορεύοντος, τὰ δὲ καὶ προστάττοντος.

Οἱ Χριστοῦ νοῦν ἔχοντες ταῦτα συνῆσαν πνευ- B. f. 331.
ματικῶς· διηγήσαντο γὰρ αὐτοῖς οἱ κατὰ πνεῦμα πατέρες· καὶ αὐτοὶ δὲ ἐπιστήμης ἑτέρους ἐγέννησαν, ὅπως κἀκεῖνοι τοῖς μετ' αὐτοὺς διηγήσωνται.

Τὸ δυνάμενον καταφλέξαι ἐπ' εὐεργεσίᾳ αὐτῶν v. 21. B. f. 334.
τὴν ὑλικὴν προαίρεσιν.

Τάχα δὲ καὶ τεθνηκυίας αὐτὰς ἐν τοσούτῳ v. 63. B. f. 338.
κακῷ ἐμακάρισαν μᾶλλον ἢ ἔκλαυσαν.

Πάλιν δὲ τὰς ἄλλας καταλειπὼν φυλὰς, μό- v. 67. B. f. 339.
νης μέμνηται τῆς Ἐφραὶμ, τὴν ἐσομένην προορῶν τυραννίδα· ἐκ ταύτης γὰρ ὁ Ἱεροβοὰμ ὁρμώμενος τὰς δέκα φυλὰς ἐκ τῆς δαυιτικῆς ἀπήῤῥηξε βασιλείας.

Διὰ γὰρ τούτου δοκιμὴν δεδωκότα αὐτὸν ὁ v. 70. B. f. 340.
θεὸς πίστεως καὶ εὐσεβείας, τῆς τε τῶν ὑπ' αὐτῶν προνοίας ἐξελέξατο ἐπὶ τὴν τῶν λογικωτέρων θρεμμάτων ἀρχήν.

PSALMUS LXXVIII.

Οἱ δὲ τὴν ὑπὸ Ῥωμαίων αἰχμαλωσίαν με- v. 1. B. f. 341.
τὰ τὴν εἰς τὸν Χριστὸν παρουσίαν· ἄλλοι δὲ v. 2. B. f. 341. b.
τὴν ἐπὶ τοῦ ἐπιφανοῦς Ἀντιόχου. Οὐ μακρὰν οὐδὲ πόῤῥω τῆς Ἱερουσαλὴμ, ἀλλὰ κύκλῳ αὐτῆς (αὕτη δέ ἐστιν ἡ τῆς εἰρήνης ὅρασις·)

1) Non heic solum sed et alibi apud nostrum hunc Didymum invenient hellenistae vel nova vocabula vel novos illorum sensus.

ἐπεὶ οὖν ὁ σκανδαλιζόμενος ἔξω γίνεται τῆς Ἰερουσαλὴμ, τῆς τῶν δογμάτων ὀρθότητος, περὶ αὐτὴν καὶ κύκλῳ αὐτῆς ἐκχεῖται τὸ προειρημένον αἷμα, καὶ οὐκ ἦν θάπτων, οὐδὲ ταφῆς ἀξιῶσον, διὰ τὸ ὑπεραίρειν αὐτοῦ τὰ ἁμαρτήματα· τοιαῦτα δὲ τὰ μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας πταιόμενα· ἐπεὶ οὖν συνθάπτεται Χριστῷ ὁ βαπτιζόμενος, δεύτερον δὲ οὐκ εἴη λουτρὸν, εἰκότως οὐκ ἦν ὁ θάπτων τοὺς μετὰ τὸ λουτρὸν ἠσεβηκότας.

v. 4. Ibid. Ταῦτα δικαιολογίας· ἤρτηται δ' ἐκ τῆς παρὰ Θεῷ· εἰ γὰρ καὶ ἡμεῖς ἄξιοι, φησιν, ὧν πεπόνθαμεν, ἀλλὰ τὸ ὄνομα τὸ σὸν ἡμῖν συνονειδίζεται· ὥσπερ καὶ αὐτὸς ὁ Θεὸς διὰ τοῦ Ἠσαΐου λέγει· δι' ὑμᾶς πάντας τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν· γείτονας δὲ καλεῖ τοὺς Ἰδουμαίους, Ἀμμανίτας, καὶ Μωαβίτας, καὶ τὰ ἄλλα ἔθνη τὰ ὅμορα, ἅπερ αὐτοῖς ἀντίπαλα
v. 5. καὶ πολέμια καλεῖ.—Κύκλῳ δὲ ἡμῶν εἰσὶν Ἑλλήνων οἱ σοφοὶ μυκτηρίζοντες καὶ χλευάζοντες ἡμᾶς ὡς ἀνεξετάστως καὶ μωρῶς πιστεύοντας.—Πεπαίδευκας, φησὶ, τοὺς Ἰδουμαίους ἱκανῶς· ἤδη ποτὲ μετάγαγε τὴν ὀργήν σου ἐπὶ τα ἔθνη τὰ δυσσεβῆ καὶ ἐπὶ βασιλείας ἀλλοτρίας τοῦ σοῦ σεβάσματος.

v. 13. B. f. 343. Μυστικώτερον δὲ ἐρεῖς· ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι βίῳ· ἢ ἐν ἀμφοτέραις ταῖς γενεαῖς, τῇ τε ἐκ περιτομῆς, καὶ τῇ κλήσεως τῶν ἐθνῶν· ὅπως καὶ αὐταὶ μάθωσιν Θεὸν αἰνεῖν.

PSALMUS LXXIX.

v. 2. A. f. 343. b. Ὁδηγεῖ καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν προστιθεμένους ὡσεὶ πρόβατα, τουτέστιν ὡς τὰ ἑαυτοῦ πρόβατα τοὺς Ἰσραηλίτας· Ἰωσὴφ γὰρ ἑρμηνευόμενος κυρίου πρόσθεσις, σημαίνει τοὺς ἀπὸ τῶν ἐθνῶν τοῖς ἐκ περιτομῆς προστιθεμένοις.—Καθήμενος δὲ ἐπὶ τῶν χερουβὶμ ὁ κύριός ἐστιν, ὡς ἐν τῷ Ἰεζεκιὴλ πορίσαται· ἐφέψεται δὲ τοῖς ἐν τοῖς ζώοις οὖσιν, τετευχόσι ταύτης τῆς προσηγορίας ἀπὸ τῆς προσούσης αὐτοῖς σοφίας· πλῆθος γὰρ γνώσεως ἑρμηνεύεται τὰ χερουβίμ.

v. 12. A. f. 344. b. Ἠφίει τὰς παραφυάδας αὐτῆς ἕως καὶ αὐτῶν τῶν ποταμῶν τῶν ποτιζόντων αὐτὴν, ἐπὶ τὸ τὸν κατάλληλον καρπὸν ἀποδοῦναι.—Εἰσὶ δὲ οὗτοι v. 13.
ψευδοδιδάσκαλοι, καὶ τὰ τῆς πλάνης πνεύματα· τρυγῶσι δὲ αὐτὴν ἔχουσαν σταφυλὴν χολῆς καὶ βότρυν πικρίας αὐτοῖς· γέγονε γὰρ τοιούτων οἰοστική· καὶ ὅτε μὲν ἀντὶ τῶν ἠθικῶν ἀρετῶν πάθη καρποφορεῖ, ἀκάνθας ἀντὶ σταφυλῶν ἤγαγεν· ὅτε δὲ περὶ τὰ τῆς γνώσεως ἁμαρτάνει, σταφυλὴν χολῆς καὶ βότρυν πικρίας φέρει.

Τὸν υἱὸν τοῦ ἀνθρώπου, φησὶν, ἐκραταίωσας v. 18. B. f. 345. b.
ἑαυτῷ, μὴ συγχωρήσας αὐτὸν ἐκ σπέρματος ἀνδρὸς τὴν σύστασιν ἔχειν τοῦ σώματος· ἐπελθόντος γὰρ πνεύματος ἁγίου τῇ παρθένῳ, καὶ τῆς τοῦ ὑψίστου δυνάμεως, ὁ ἅγιος οὗτος τόκος ὑπέστη, ὅστις ἡτοιμάσατο τὴν ἄμπελον πρὸς καρποφορίαν.

PSALMUS LXXX.

Ἀλλότριον δὲ Θεὸν πρόσφατον, τὸν πεπλανη- v. 10. B. f. 347.
μένως παρὰ τοῖς ἔθνεσιν νενομισμένον ὠνόμασε τὴν πολύθεον εἰδωλολατρείαν οὕτω παραπεμπόμενος.—Ταῦτα τὴν Ἀρείου καὶ Εὐνομίου παραπληξίαν ἐλέγχει· εἰ γὰρ οὐχ ὁμοούσιος, ἀλλότριος ἄρα καλοῖτ' ἂν εἰκότως· καὶ εἰ ἦν ὅτε οὐκ ἦν, πρόσφατον προσεκύνουν τὸν Θεόν· μὴ συνιέντες τὸ εἰρημένον, ὁ δὲ Θεὸς ἐν μέσῳ βασιλεὺς ἡμῶν πρὸ αἰώνων.

PSALMUS LXXXI.

Ἐπικρύπτοντες τὰ ἴδια αὐτῶν πρόσωπα, καθὰ v. 2. A. f. 348. b.
κατ' εἰκόνα τοῦ Θεοῦ ἐστέ.—Καταπονουμένους ῥυόμενοι ἐκ τῶν πλεονεκτούντων ἁμαρτωλῶν· ἀλλὰ καὶ τοῖς κατ' ἀρετὴν θεοποιηθεῖσι λέγεται ὅπως τὸν ἀναβάλλοντα τὸν φαῦλον πατέρα, καὶ τὸν τῆς πονηρίας πλοῦτον κρινῶσιν ἀξίως τῆς πρὸς αὐτὸν διὰ παιδεύσεως προστασίας· δικαιούτωσαν δὲ καὶ τὸν δι' ἀτυφίαν ταπεινὸν, καὶ πένητα διὰ τὸ πονεῖν ὑπὲρ εὐσεβείας γεγενημένον.

Ἀποθνήσκουσι δὲ οὐχὶ οἱ ἄνθρωποι τὸν κοι- v. 7. B. f. 349.
νὸν θάνατον, ἀλλὰ τὸν ἑπόμενον τῇ ἁμαρτίᾳ θάνατον, πίπτοντες παραπλησίως τῷ πεσόντι ἑνὶ τῶν ἀρχόντων· οὗτος δέ ἐστιν ὁ διάβολος· τοῦτο δὲ γέγονε διὰ τὴν πρὸς τὸν ὄφιν συγκατάβασιν.

PSALMUS LXXXII.

v. 14. B. f. 350. Τροχοῦ φύσις στρεπτὴ καὶ οὐκ ἑστῶσα ἐν ταυτῷ· τοιοῦτος δὲ πᾶς ὁ τῶν ἀθέων βίος, καιρῷ μὲν εἰς ὕψος ἐπαιρόμενος, εἶτα στροφὴν ποιούμενος τὴν ἐπὶ τοὐναντίον, τροχῷ παραπλησίως.

v. 19. A. f. 350. b. Εἰ καὶ ἄλλοι ὑψηλοὶ καὶ ὑψίστου ἐκ θεοῦ γεγένηνται, ἀρετῇ μετεωριζόμενοι καὶ ὑψούμενοι, ἀλλ' οὐδεὶς ἐξ ἐκείνων ἐξ ἑαυτοῦ καὶ κατ' οὐσίαν ἐστὶν τοιοῦτος· μόνος γὰρ θεὸς ὕψιστος, ποιῶν ἀλλ' οὐ γινόμενος, ὡς μόνος σοφός ἐστιν καὶ μόνος ἀληθινὸς παρέχων σοφίαν καὶ ἀλήθειαν.

PSALMUS LXXXIII.

v. 12. A. f. 352. b. Δίδωσιν ὁ θεὸς χάριν τοῖς σωζομένοις χάριτι κατὰ τὸ, χάριτί ἐστε σεσωσμένοι.

PSALMUS LXXXIV.

v. 2. B. f. 352. b. Εὐδοκεῖ τὴν ἀγαθὴν καὶ σπουδαίαν καρδίαν γῆν ὑπάρχουσαν αὐτοῦ, κύριος· τὸν παρ' αὐτοῦ γὰρ δεχομένη σπόρον, ἀνὰ ἑκατὸν ἀποδίδωσιν· εἰς ἣν ἀποστρέφει καὶ τὸ πλῆθος τῶν αἰχμαλωτισθέντων ὑπὸ πονηρῶν δυνάμεων λογισμῶν ἰακωβόντας * (* ita cod.) διὰ τὸ τοῖς πάθεσι μάχεσθαι· τοῦτο δὲ δράσας, ἄφεσιν παρέχει πᾶσιν ἁμαρτιῶν· κἂν ἐφαμαρτῶσιν, ἐπικαλύπτει δι' ἀρετῆς οὐκ ἐγκρυπτούσης αὐτὰς, ἀλλὰ δι' ὅλον ἀφανιζούσης· ὡς, καὶ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν· ὡς γὰρ ἐπιστήμη καλύπτει τὴν ἄγνοιαν, οὕτως ἀγάπη θεία ἡ αὐτὴ οὖσα τῇ ἀρετῇ, καλύπτει τὰς ἁμαρτίας, ὧν ἂν εὐδοκήσει κρίνας εὐεργετεῖν· εὐδόκησε δὲ τὸν υἱὸν ἀποστείλας τὸν ἑαυτοῦ, ὀφθῆναί τε ποιήσας ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι· οὗ δὴ καὶ τεχθέντος ἐλέγετο· δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· ἐντεῦθεν δὲ δῆλον, ὡς οὐ πάθος ἡ ὀργὴ τοῦ θεοῦ, ὑποστῆναι δὲ οἰκονομεῖται δι' ἁμαρτίας· ὧν ἀναιρουμένων, καὶ αὕτη συναπέρχεται· ὀργὴ δὲ καὶ θυμὸς ὁμωνύμως, καὶ οἱ τούτοις ὑπηρετούμενοι, ὀργῆς λεγόμενοι σκεύη.

v. 4. Ibid. Ὡς δὲ θεὸν σωτηριῶν αἰτεῖ, μετανοίας πρόφασιν αὐτοῖς εἰς ἐπιστροφὴν παρασχεῖν, ὡς ἂν λύσωσι καὶ ὃν ἐξῆψαν αὐτοὶ δι' ἁμαρτίας θυμόν· οὐδὲ γὰρ πῦρ ἐστιν ἔτι τῆς καυστικῆς ὕλης ἀνηλωμένης· ὅτε καὶ θεὸς ζωοῖ τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας ἐκ τῆς προτέρας ἐπιστροφῆς, ἤγουν καὶ αὐτὸς ἐπιστρέφει πρὸς οὓς ἀπεστράφη δι' ἁμαρτίας.

v. 10. B. f. 353. Ἔτι καὶ τῶν σωτηρίων θαυμάτων, νεκρῶν μὲν ἀνισταμένων, τυφλῶν δὲ βλεπόντων, καὶ λεπρῶν καθαριζομένων, καὶ τῶν ὁμοίων γινομένων θαυμάτων· ὡς δὲ μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ἐνεργούντων τὰ τῆς ἀπωλείας, οὕτως ἐγγὺς τῶν διὰ φόβον θεοῦ τὰ τῆς σωτηρίας πραττόντων ὁ κύριος· καὶ τοῦτον ἔχουσιν αὐτοῖς ἀχωρίστως, οὐκ ἔστιν ὑστέρημα· ὧν μὴ κατασκηνοῖ δόξαν ἐν τῇ καρδίᾳ· ταύτην γὰρ αὐτῶν ἐκάλεσε γῆν καρποφοροῦσαν αὐτοῖς ἀνὰ ἑκατόν· κατὰ τὸ, ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ· οὕτω καὶ ἐν τῷ σώματι κατὰ τὸ, δοξάσατε τὸν θεὸν ἐν τῷ σώματι ἑαυτῶν, τῶν τελείαν σωφροσύνην ἐχόντων.

v. 11. Ibid. Δύναται καὶ ἐντεῦθεν ἡ τῶν ἀρετῶν ἀντακολούθησις δείκνυσθαι ἀντιστρεφόντων ἀλλήλοις τοῦ τε ἐλεητικοῦ καὶ τοῦ ἀληθοῦς, τοῦ τε δικαίου καὶ εἰρηνικοῦ· ἡ δὲ συζυγία καὶ ἐν τῷ, τὸ ἔλεός σου καὶ ἡ ἀλήθεια διαπαντὸς ἀντελάβετό μου· καὶ ἐν τῷ, ἐξαπόστειλον τὸ ἔλεος καὶ τὴν ἀλή-
v. 13. B. f. 354. θειάν σου.—Ὡς καρποφορεῖ γὰρ ὑετοῦ δοθέντος ἡ γῆ, οὕτω χρηστότητι θεοῦ καρπὸν ἡ νοητὴ δίδωσι γῆ, κατ' εἶδος πᾶσαν μετερχομένη τὴν ἀρετήν.

PSALMUS LXXXV.

v. 2. A. f. 354. Οἱ ἅγιοι πάντες αὐχοῦσιν ὡς ἐπ' ἀξιώματι μεγάλῳ τῷ δοῦλοι εἶναι θεοῦ· τοιγαροῦν Ἰωνᾶς ὅθεν ἐστὶν ἐρωτώμενος, δοῦλος εἶπεν εἰμὶ θεοῦ, καὶ τὸν θεὸν τοῦ οὐρανοῦ σέβομαι· καὶ μὴν οἱ ἀπόστολοι μαρτυροῦνται πρὸς τοῦ σωτῆρος καλῶς αὐτὸν κύριον δι' ἔργων ὁμολογοῦντες καὶ λόγων· ὑμεῖς γὰρ φωνεῖτέ με ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ· τοῦτο γοῦν καὶ ὡς ἀξίωμα μέγα τῶν ἰδίων συγγραμμάτων

προτάττουσιν· Ἰάκωβος γὰρ, θεοῦ καὶ κυρίου Ἰη-
σοῦ Χριστοῦ δοῦλος· καὶ Παῦλος, δοῦλος Ἰησοῦ
Χριστοῦ, καθάπερ οἱ ἐκ τῶν περὶ αὐτοὺς ἀξιω-
μάτων ἐν ταῖς βιωτικαῖς συγγραφαῖς χρηματί-
v. 5. B. f. 355. ζειν ἐθέλοντες.—Οὐ κυρίως δὲ τὴν ἐπιείκειαν,
εἶπεν ἐπὶ θεοῦ, ἀνθρωπίνην τυγχάνουσαν ἀρε-
τὴν, ἀλλ' ὡς τὸ χαίρειν καὶ εὐφραίνεσθαι καὶ
μνημονεύειν.

v. 8. Ibid. Θεοὺς πάλιν λέγει τοὺς ἁγίους, οὐ τοὺς δαί-
μονας ἢ τὰ ἀγάλματα· μόνος γὰρ ὁ κύριος ὡσαύ-
τως ἐστὶ θεὸς τῷ πατρί· πᾶς δὲ ἅγιος μετου-
σίᾳ τῇ τούτου, θεὸς τὸν θεὸν λόγον δεξάμενος·
κατὰ τὸ, ἐκείνους εἶπε θεοὺς πρὸς οὓς ὁ λόγος
τοῦ θεοῦ ἐγένετο· γεγέννηται μὲν γὰρ κατ' εἰκό-
να θεοῦ καὶ ὁμοίωσιν, οὐδεὶς δὲ κατ' οὐσίαν
θεὸς, ὁμοιωθησομένων ἀλλ' οὐκ ὄντων ὁμοίων
τῷ κυρίῳ αὐτῶν· ἔσεσθε γὰρ ἅγιοι, διότι ἐγὼ
ἅγιός εἰμι· αὐτοῦ μὲν ὄντος ἁγίου, αὐτῶν δὲ
ἐσομένων· περὶ ὧν ἀληθὲς εἰπεῖν· τίς ἅγιος ἐστὶν
ὡς σὺ κύριε; σοὶ γὰρ, ἔφη, τίς ὁμοιωθήσεται
ἐν θεοῖς κύριε; ἀλλὰ τίς ὅμοιός σοι; ὅμοιοι γὰρ
αὐτῷ ἔσονται κατὰ τὸ ῥηθὲν, ὅμοιοι αὐτῷ ἐσό-
μεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν· οὐδεὶς
οὖν ὅμοιος τῷ κυρίῳ τῶν προκειμένων θεῶν· ἀλλ'
οὐδὲ κατὰ τὰ ἔργα αὐτοῦ· διὸ φησὶν ἐν εὐαγγε-
λίοις· εἰ μὴ τὰ ἔργα ἐποίησα ἐν αὐτοῖς, ἃ οὐ-
δεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον· ἂν
τὰ αὐτὰ μὲν γὰρ ἔσθ' ὅτε δρῶσι κατὰ τὸ ὑπο-
κείμενον, ὁ δὲ τρόπος διάφορος· οἱ μὲν γὰρ εὐ-
χῇ καὶ πίστει, ὁ δὲ μετ' ἐξουσίας ἐποίει· ἱκα-
νὰ δὲ περὶ τούτων εἴρηται καὶ ἐν ἀρχῇ τοῦ πβ'
ψαλμοῦ 1).

v. 11. B. f. 355. b. Ὁ τὰ ἀγαθὰ αἱρούμενος, δι' αὐτὰ τῇ τού-
των ἐνευφραίνεται κτήσει· ὁποῖον καὶ τὸ, φοβεῖ-
σθαι τὸ ὄνομα τοῦ θεοῦ, διὸ μετ' εὐφροσύνης
αὐτοῦ τυχεῖν.

PSALMUS LXXXVI.

v. 6. B. f. 358. Ἐν ᾗ ἐγγράφονται οὐ μόνον ἄρχοντες ἀλλὰ καὶ
λαοὶ, ἥ τις ἐστὶν ἐκκλησία πρωτοτόκων ἀπογε-
γραμμένων ἐν οὐρανῷ· ὧν ἀναγραφὴ οὐ συλλα-
βῶν τε καὶ ὀνομάτων, ἀλλὰ τῶν ψυχῆς δηλοῦν-
των ποιότητα· ἣν ὁ μόνος ὁρῶν, μόνος δύναται
καὶ τὴν γραφὴν αὐτῶν διηγήσασθαι· ἐκ δὲ τοῦ
ἐναντίου, φησὶν Ἱερεμίας, ἀφεστηκότες ἐπὶ τῆς
γῆς γραφήσονται· δῆλον ὡς τινι τινὰ τοῦ χοϊκοῦ
περικείμενοι φρονοῦντες ἐπίγεια, ὥσπερ ἐκεῖνοι τὴν
εἰκόνα τοῦ ἐπ' οὐρανοῦ φρονοῦντες ἔχουσιν ἐν οὐ-
ρανῷ τὸ πολίτευμα ἐνταγέντες βίβλῳ θεοῦ.

PSALMUS LXXXVII.

Ὑπὲρ μαελὲθ, τουτέστιν ὑπὲρ χοροῦ χορείας v. 1. B. f. 358. b.
τῶν υἱῶν Κορὲ, ὑπὲρ συνετῶς ἀποκρίνασθαι
τῷ τὸν θεὸν φοβουμένῳ, καὶ διὰ τοῦτο τυγχά-
νοντι ἀληθῶς ἰσραηλίτῃ. Αἱμὰν γὰρ ἑρμηνεύεται
φόβος αὐτῶν, ὡς πάντα τὸν ἔχοντα τὸν θεῖον
φόβον, Αἱμὰν εἶναι· ᾧ προσήκει σύνεσιν ἀποκρί-
νασθαι, σύνεσιν ἔχοντι πρὸς ἀκρόασιν μετὰ χο-
ρείας θείας, τοῦ ψαλμοῦ τὴν ᾠδὴν ἀπαγγέλ-
λοντες.

Ἐν ἡμέρᾳ μὲν οὖν καὶ πραγμάτων εὐφορίᾳ v. 2. Ibid.
παραμεῖναί μοι τὴν τῶν ἀγαθῶν μετουσίαν αἰ-
τῶ· ἐν νυκτὶ δὲ καὶ δυσκολίᾳ, ὅπως τέλος λα-
βούσης τῆς νυκτὸς, τὸ πνεῦμά μου πρὸς σὲ
ὀρθρίσαι δυνήσεται· καὶ ἁπλούστερον δὲ λέγοιτο
κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ σωτῆρος· ὁ πατήρ μου
ποιήσει τὴν ἐκδίκησιν τῶν τέκνων αὐτοῦ τῶν βοών-
των πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός· ὁ γὰρ τὸν
νόμον κυρίου μελετῶν ἡμέρας καὶ νυκτὸς, αὐτῷ
τούτῳ κέκραγε πρὸς τὸν θεὸν τῆς σωτηρίας αὐ-
τοῦ ἡμέρας καὶ νυκτός· ἢ σωτηρίαν αἰτῶν, ἢ
φυλαχθῆναι παροῦσαν· πολλῆς δὲ παῤῥησίας,
τὸ εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, ὡς
ἂν τὰ ὄντως ἀγαθὰ βουλομένου, ἃ καὶ αὐτῷ
συμφέρει, καὶ θεῷ φίλον διδόναι, καὶ κλίνειν
πρὸς τὸν αἰτοῦντα συγκαταβάσει τὸ οὖς· κέκρα-
γα δὲ πρὸς σὲ, ἔφη.

Ὡς γὰρ οἱ νεκροί, φησι, ἐλπίζουσιν οὐκέτι v. 6. B. f. 359.
βοήθειαν ἀνθρωπίνην οὐδεμίαν, οὕτως κἀγὼ τοῦ
προσδοκᾷν τι χρηστὸν ἠλευθέρωμαι· τουτέστιν
ἀνέλπιστά μοι πανταχόθεν ἐστίν.—Οὐ γὰρ ἐκ
τῆς σῆς ἀπώσθην χειρός· τὸν ὑπὸ ταύτης γὰρ
φρουρούμενον οὐδεὶς ἁρπάσαι δυνήσεται· καθά φη-
σιν αὐτὸς ὁ σωτήρ· ὅσον γάρ τις περιέχεται τοῦ

1) Utique ad ps. 82. v. 19. Ceteroqui initium commentarii ad dictum psalmum non est inventum in catena nostra.

θεοῦ ἀήττητος τοῖς ἁρπάζειν ἐθέλουσιν, ἧς ἀπωθεῖται τίς ἁμαρτάνων, οὐκέτι ταύτης ἀξιῶν.
v. 6. B. f. 359. b. —Ὡς ἂν ἐκεῖθεν αὐτοὺς εἰς τὸν παράδεισον ἀνιμήσωμαι τοῦ θεοῦ· εἰ δὲ καὶ δι' αὐτοὺς ἐν θανάτῳ γεγένημαι, ἀλλ' οὐχ ἐν αὐτῷ τῷ κυρίως θανάτῳ, ἀλλ' ἐν τῇ τούτου σκιᾷ· ἔφθασα γὰρ τριήμερος ἀναστάς· ἀλλὰ καὶ ἐν σκοτεινοῖς ὑπ' αὐτῶν τεθειμένος κατηύγασα αὐτοὺς ὡς μηκέτι τούτους ἐν σκότει διάγειν ἀλλ' ἐν ἐμοὶ τῷ φωτί.

v. 15. B. f. 360. b. Ἁρμόττει τῇ Ἰησοῦ παῤῥησίᾳ τὸ, ἵνα τί ἀπωθεῖς; οὐ γάρ ἐστιν αἴτιον· διὸ τὴν ἐμὴν ἀπωθεῖς προσευχὴν ἡμαρτηκότος οὐδέν· δεξάμενος οὖν αὐτὴν, τοὺς ὑπὲρ ὧν πρεσβεύομαι σῶσον, τὸ πρόσωπον αὐτοῖς ἐπιλάμπων τὸ σόν.

v. 17. B. f. 361. Ἀνέλαβε γὰρ τὰς ὑπὲρ ἡμῶν ἡμαρτηκότων ὀργάς· οἱ δὲ τοῦ πατρὸς φοβερισμοὶ μόνον αὐτὸν ἐξετάραξαν, οὐδὲν ἐνεργῆσαι κατ' αὐτοῦ δυνηθέντες μὴ ποιήσαντος ἁμαρτίαν· ὀργαὶ δὲ καὶ φοβερισμοὶ θεοῦ, δυνάμεις ὑπηρετούμεναι ταῖς τιμωρίαις, ὀργῆς λεγομέναις σκεύη· δι' ἃς ἔλεγεν ὁ σωτὴρ, νῦν ἡ ψυχή μου τετάρακται· τελειοτάτην μὲν γὰρ ἔσχεν ψυχήν· ἀλλ' ἐν πλήθει τοσούτων ἐχθρῶν προσπάθειαν ἔσχεν, μάλιστα περιπνιγόντων αὐτὴν πανταχόθεν ὡς ὕδωρ, ἀλλὰ τὸν μὴ ἐπιστάμενον νήχεσθαι· αὐτὸς δὲ τούτοις ἄριστα διενήχετο· ὕδωρ γὰρ πολὺ οὐ σβέσει ἀγάπην· ἡ γὰρ τελεία καὶ πρὸς θεὸν τεθεῖσα δι' ἀγάπης, ἑξῆς ἄσβεστός ἐστιν, ἥ τις ἐνυπάρχει τῷ Ἰησοῦ κατὰ τὸ ἀνθρώπινον.

PSALMUS LXXXVIII.

v. 5. B. f. 362. Ἀλλὰ καὶ πολλάκις εἰρήκαμεν ὡς ἔνθα διττῶς ἡ γενεὰ φέρεται, σημαίνει τὸν ἐκ περιτομῆς λαὸν, καὶ τὸν ἐθνικόν· εἶτα λέγει τὴν αἰτίαν δι' ἣν ᾄδει τὰ ἐλέη κυρίου· ὅσον γὰρ ἐνέστηκεν ὁ παρὼν αἰὼν, προδήλως εὐεργετεῖ πολλῶν εὐεργετουμένων ἐλέῳ θεοῦ· ὡς εἴ τις ἐκ πολλῶν λίθων οἰκοδομὴ γινομένη, τάχα δὲ ἔλεος οἰκοδομεῖται, τῆς σοφίας οἰκοδομούσης ἑαυτῇ οἶκον· ἡ γὰρ ἐνανθρώπησις αὐτῆς, θεμέλιος καὶ πέρας τῆς οἰκοδομίας τοῦ ἐλέου ἐστὶν, πάντων ἀφαιρέσει τῆς προσλαμβανούσης ἁμαρτίας ἐλεουμένων· ἑτοιμάζεται δὲ ἐν οὐρανοῖς ἡ ἀλήθεια τοῖς ἀπεντεῦθεν προπαρασκευασαμένοις ὡς οἴονται προσβαλεῖν αὐτῇ δι' ἐσόπτρου καὶ δι' αἰνίγματος, δι' ὧν οἱ ἐπὶ γῆς αὐτὴν φανταζόμεθα· τὸ γὰρ πρόσωπον αὐτῆς κάλλος ἐκεῖ, καὶ τῆς ἀληθείας τὸ τέλος κατηργημένης τῆς μερικῆς διαλήψεως· ἑτοιμάζεται δὲ τοῖς ἔχουσιν ἐν οὐρανοῖς τὸ πολίτευμα τῷ φέρειν τὴν εἰκόνα τοῦ ἐπουρανίου, δι' ἣν καὶ χρηματίζουσιν οὐρανοί.

Διὸ μηδὲ πέρας ἕξειν αὐτοῦ τὴν βασιλείαν φησίν· ἀλλ' οὐ κατὰ προσωποληψίαν ὤμοσε τῷ Δαυὶδ, ἀλλὰ δούλῳ ὄντι θεοῦ· καὶ σημεῖον αὐτοῦ τῷ οἴκῳ παρέσχετο, παρθένον τε τεκεῖν τὸν μεθ' ἡμῶν τῶν ἀνθρώπων θεόν· τοῦτο γὰρ τὸ Ἐμμανουὴλ, ὅπερ ἐστὶ τὸ ἑτοιμαζόμενον σπέρμα τοῦ Δαυίδ· ἐφ' οἷς δὲ βεβαίως χαρίζεται θεὸς, ὀμνῦναι λέγεται, διὰ τὸ παρ' ἀνθρώποις ὅρκῳ πιστοῦσθαι τὸν λόγον· ἀτρέπτου τοίνυν ὄντος θεοῦ, ὅρκος αὐτοῦ τὸ ἀμετάτρεπτον τῆς βουλῆς.
—Τοῦτο δῆλον, ὅτι οὐκ εἰς αὐτὸν τὸν Δαυὶδ νο- B f. 362.
εῖται· πῶς γὰρ τόν γε ἀποθανόντα; ἀλλ' εἰς τὸν Χριστὸν τὸν ἐξ αὐτοῦ καταγόμενον, τὸν διηνεκῶς ζῶντα καὶ βασιλεύοντα.

Ἀλλ' οὐδὲ τῶν τὴν υἱοθεσίαν δεξαμένων, καὶ v. 7. B. f. 363.
κατὰ τοῦτο γεγεννημένων ἐκ θεοῦ, τῷ ἀληθινῷ τις γεννήματι ὁμοιωθήσεται· πῶς γὰρ ὁ μετέχων τῷ ἀμεθέκτῳ; τοιγαροῦν ὁ Παῦλος εἰπὼν, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, εὐλαβαθεὶς μὴ δόξῃ τισὶν ἰσοτιμίαν ἑαυτῷ νέμειν πρὸς τὸν υἱὸν τὸν μονογενῆ, προσέθηκε, καὶ κυρίου Ἰησοῦ Χριστοῦ· εἰ γὰρ καὶ χάριτι γέγονεν ἡμῶν πατὴρ, ἀλλ' ἔστιν ὁ κατὰ φύσιν υἱὸς, οὗ καὶ δοῦλοι πάντες κυρίου τυγχάνοντος· διὸ καὶ νῦν τίς ὁμοιωθήσεται τῷ κυρίῳ, φησί; οὐδεμία γὰρ κατ' οὐσίαν ὁμοίωσις, ἀλλὰ κατα ποιότητα· αὐτὸς γὰρ ὁμοούσιος ἐστὶν υἱὸς τῷ πατρί· κατὰ ποιότητα γὰρ καὶ οἰκτείρμονες γινόμεθα, ὡς ὁ πατὴρ ὁ οὐράνιος οἰκτείρμων ἐστί· καὶ τέλειος ὁ πατήρ· ἅγιοι γὰρ ἔσεσθε, ὅτι ἐγὼ ἅγιος εἰμί.

Οὗτος δὴ ὁ κύριος ἔρχεται μετὰ δυνάμεως καὶ δόξης πολλῆς, καὶ οἱ ἅγιοι ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα

ἐπὶ τῷ πάντοτε σὺν κυρίῳ εἶναι· τοῦ τοίνυν νῦν κυρίου καὶ τῶν ἁγίων ἐν νεφέλαις ὄντων, οὐδεὶς τῶν ἁρπαγέντων ἐν νεφέλαις ἰσωθήσεται τῷ ἐρχομένῳ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς· εἰ γὰρ καὶ ἕκαστος μετὰ δυνάμεως καὶ δόξης ἡρπάγη, ἀλλ' οὐ πολλῆς· ἐκείνην γὰρ τὴν δύναμιν καὶ τὴν δόξαν εἶχεν ἣν ἔλαβεν· ὁ δὲ σωτὴρ μετὰ πολλῆς ἧς παρέχει· καὶ οἱ μὲν ἐν νεφέλῃ· ὁ δὲ ἐπὶ τῶν νεφελῶν, ὅπερ αὐθεντικὸν καὶ βασιλικόν· ἔτι μὴν ἑκάστου τῶν ἁγίων νεφέλης ὄντος πνευματικῆς οὔσης τὸν νοητὸν ὑετόν· αἱ νεφέλαι γάρ, φησι, ῥανάτωσαν δικαιοσύνην· οὐδεὶς ἰσωθήσεται τῷ κυρίῳ, καὶ αὐτῷ νεφέλῃ τυγχάνοντι· ἑκάστη γὰρ ἐκείνων ὀλίγους ποτίζει, αὕτη δὲ οὐ πάντας ἀνθρώπους μόνον, ἀλλὰ καὶ πάντα τὰ λογικά.—

v. 8. A. f. 363. b. Καὶ τοῖς ἐναντίοις δὲ κολάσεις ἐπιφέρων ἐστι φοβερός· πελάζων γάρ τις αὐτῷ διὰ τοῦ τὴν θείαν δέδεκται διδασκαλίαν, τῷ ἁμαρτάνειν ἐγγὺς γίνεται τοῦ πυρός· διὸ φησὶν ὁ σωτήρ· ὁ ἐγγύς μου, ἐγγὺς τοῦ πυρός· ὁ δὲ μακρὰν ἀπ' ἐμοῦ, μακρὰν ἀπὸ τῆς βασιλείας 1)· καὶ νῦν οὖν φησὶ τοῖς περικύκλῳ τῶν ἐντολῶν αὐτοῦ παρακούουσι, φοβερὸς μέγας ὄντως τοῖς δι' ἀρετὴν ἀντεχομένοις αὐτοῦ.

v. 10. B. f. 364. Τοῦ δεσπόζειν σὺν τῇ λοιπῇ κτίσει καὶ τῆς θαλάττης, πίστις τὸ λέγεσθαι ἐν Ἰωνᾷ· ἐξήγειρε κύριος κλύδωνα ἐν τῇ θαλάσσῃ· καὶ πάλιν· θελήσει αὐτοῦ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς· ταύτῃ δὲ καὶ Ἰησοῦς ἐπετίμησεν, δεικνὺς ὡς ἔστιν υἱὸς τοῦ δεσπότου τοῦ κράτους αὐτοῦ· εἰ δὲ τὸν τῶν ἀνθρώπων βίον ἡ θάλασσα δηλοῖ, κράτος αὐτῆς ὁ πονηρὸς ἐν ᾧ ὁ κόσμος ὅλος κεῖται, τουτέστιν ἡ θνητὴ καὶ ἐπίκαιρος πολιτεία· ὃν ἐκνευρίσας ὁ κύριος, δέδωκε τοῖς μαθηταῖς αὐτοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν αὐτοῦ, καταπραΰνων τὰς ἀστάτους ὁρμάς, κύματα καλουμένας αὐτῆς· ὡς ἂν καὶ βάσιμος τοῖς ἐπιβαίνουσι γένηται· ὧν ὁ Πέτρος εἰκών· οὐδεὶς γὰρ χωρὶς Ἰησοῦ πατεῖν δύναται τοῦ βίου τὴν θάλατταν, τὰς τούτου νικῶν ἡδυπαθείας τε καὶ μερίμνας, ἀλλ' οὖν συμβαδίζοντος· αὐτὸς γάρ ἐστιν ὁ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης· πρὸς ὃν εἴρηται, ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς· τρίψαντος ἐν τῷ βίῳ τά τε πάθη καὶ τὰς μερίμνας, ὧν ἐπιβαίνειν ἔνεστι τοῖς ἴχνεσιν ἐπακολουθοῦντας αὐτοῦ.

Ἀνάγοις δ' ἂν οὕτως· οἱ ἑρμηνευόμενοι οὐρανοὶ ἐξομολογούμενοι τὰ θαυμάσια αὐτοῦ, καὶ ἡ v. 12 B. f. 364. b.
τὸν Ἰησοῦ δεχομένη σπόρον καὶ καρποφοροῦσα εἰς ρ' καὶ ξ' καὶ λ' γῆ αὐτοῦ τυγχάνουσα· κτῆμα δὲ αὐτοῦ καὶ ἣν ἐθεμελίωσεν ἅμα τῷ πληρώματι αὐτῆς οἰκουμένη δηλοῦσα τὴν ἐκκλησίαν· ἐν ταύτῃ γὰρ οἰκοῦσι ψυχαί, τὸν ἀληθῆ προσηκάμεναι λόγον· καὶ δυνάμεις ἱεραὶ παρεμβαλοῦσαι κύκλῳ τῶν φοβουμένων αὐτόν· ἐν ᾗ θεμέλιον, φησὶ Παῦλος, οὐδεὶς ἄλλον δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός, ἐφ' ᾧ τὸ πλήρωμα τῶν ἀρετῶν καὶ δογμάτων εὐσεβῶν, καὶ τῶν τοῦ θείου πνεύματος δωρεῶν· ἔκτισε δὲ τὸν βοῤῥᾶν ὁ κύριος καὶ τὰς θαλάσσας ἐπὶ τῷ μηκέτι εἶναι ὃ πρότερον ἦσαν· ὡς ὁ κτίσας τοὺς β' εἰς ἕνα καινὸν ἄνθρωπον· ἐκ δύο, τούτους ἕνα πεποίηκεν· καὶ κτιζομένη δὲ καρδία καθαρά, ἐξ οὗ καθαρᾶς γεγένηται καθαρά· κτίζει δὲ καὶ τοὺς ἐκτὸς τῆς πίστεως, ἵν' ἐν Χριστῷ καινὴ γένωνται κτίσις.

Ἔστι δὲ τὸ μὲν Θαβὼρ, ἐκλεκτός· τὸ δὲ v. 13.
Ἑρμωνιεὶμ φωτὸς μετεωρισμός· ὁ γὰρ τυγχάνων ἐκλογῆς θείας, καὶ ὑπὸ φωτὸς μετεωριζόμενος, ὅπερ ἐφώτισεν ἑαυτῷ φῶς γνώσεως, ἀγαλλιᾶται τῷ ὀνόματι τοῦ θεοῦ· ἑρμηνεύεται δὲ τὸ Θαβὼρ καὶ λάκκος· δίδωσι γὰρ θεὸς τισὶν ελούγίας τρόπῳ λάκκου λελατομημένους οὓς οὐκ ἐξελατόμησαν οἱ λαβόντες· κἂν ἐπὶ ψόγου δὲ τίθεται μεταβαλὼν ὁ οὕτως ὠνομασμένος, ὡς χρηματίσαι φρέαρ ἢ πηγή, ἀγαλλιάσεται ἐπὶ τῷ ὀνόματι κυρίου.

Χρηματίζει ὁ μονογενὴς καὶ βραχίων ἐν τῷ, v. 14. et 365. b.
καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; καὶ ἐν τῷ, ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδειμεν· καὶ

1) Haec recitari videntur a Didymo ex aliquo, praeter quatuor, evangelio, puto secundum Aegyptios. Id etiam alibi suspicatus sum.

χεὶρ ἐν τῷ, ἡ χείρ σου ἡ ὑψηλὴ ἐποίησε ταῦτα πάντα· καὶ δεξιὰ ἐν τῷ, δεξιὰ κυρίου ὕψωσέ με· λέγει δὲ ὑψωθήτω ἡ χείρ σου παραδοξοποιοῦσα· φησὶ γοῦν ὁ Πέτρος πρὸς τὸν θεόν· δὸς τοῖς δούλοις σου ἀφόβως μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου· ἐν τῷ ἐκτείνειν τὴν χεῖρά σου εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα· ὑψοῦται δὲ καὶ ἡ δεξιὰ αὐτοῦ μετεωρίζουσα πάντα τὸν μιμητήν· προπορεύεται δέ σου τῆς παρουσίας ἔλεος καὶ ἀλήθεια· τίς γὰρ προσβαλεῖ σου τῷ προσώπῳ μὴ προηλεημένος, καὶ ἐνωμιληκὼς τῇ ἀληθείᾳ; λέγοις δ' ἂν πάλιν ἔλεος καὶ ἀλήθειαν τὸν μονογενῆ· ὡς ἐν τῷ, ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ· ὡς προεπιδημῶν ταῖς διανοίαις ἐμφανίζει τὸν συνηρμοσμένον αὐτῷ πατέρα· ὁ γὰρ ἐμὲ δεχόμενος, δέχεται τὸν πατέρα· καὶ ἐλευσόμεθα ἐγώ τε καὶ ὁ πατήρ· εἰκὼν γὰρ ὑπάρχων τοῦ θεοῦ τοῦ ἀοράτου, τῷ καθαρῷ νῷ δείκνυσιν ἑαυτὸν, δι' ἑαυτοῦ δεικνὺς τὸν πατέρα· ἔστι δὲ καὶ πρόσωπον τοῦ πατρὸς, χαρακτὴρ ὢν τῆς ὑποστάσεως αὐτοῦ· καὶ δεῖ προεῖναι τῇ καρδίᾳ τῶν αὐτὸν ἐν καθαρότητι δυναμένων ὁρᾷν· ἔλεον μὲν δι' ἠθικῶν ἀρετῶν, ἀλήθειαν δὲ διὰ γνώσεως εὐσεβοῦς· κατὰ μὲν γὰρ τὴν ἠθικὴν ἐνέργειαν ἐλεούμεθα, κατὰ δὲ τὴν γνῶσιν τῇ ἀληθείᾳ προσβάλλομεν· διὸ πολλαχοῦ τῆς γραφῆς ἀλλήλοις ταῦτα συνονομάζεται.

v. 16. B. f. 365. b. Ὅρα δὲ ὡς ὁ γινώσκων εἶπεν, ἀλλ' οὐκ ἐγνωκώς· δεῖ γὰρ ἀεὶ τὸ νικᾷν ἐνεργεῖν τὸν ἀεὶ πρὸς ἀντιπάλους ἔχοντα τὸν ἀγῶνα· τοῦτο γὰρ αὐτὸν πρὸς τὴν τῆς ἀληθείας θεωρίαν προσάγεται· καὶ τῷ προσώπῳ τοῦ θεοῦ φωτιζόμενος ἔςαι λοιπὸν ἐν αἰωνίῳ ἡμέρᾳ, ἐν ᾗ μετὰ τῶν ὁμοίων ἀγαλλιάσεται, τὴν σωστικὴν τοῦ θεοῦ προσηγορίαν περικείμενος· αὕτη γὰρ τῆς ἀγαλλιάσεως πρόφασις· ὑψωθήσεται δὲ καὶ τῇ σῇ δικαιοσύνῃ τῷ γινομένῳ σοφίᾳ καὶ ἁγιωσύνῃ καὶ ἁγιασμός· ἥτις ἐςὶν ὑψηλὴ, καὶ διὰ μετουσίας ἕλκει πρὸς ἑαυτήν· ὑψοῦται δέ τις καὶ τῇ διὰ πίστεως Ἰησοῦ Χριστοῦ δικαιοσύνῃ εἰς πάντας τοὺς πιςεύοντας· εἰ γὰρ καὶ ἔχουσι δύναμιν, καθ' ἣν δυνατῶς πράττουσίν τε καὶ θεωροῦσιν, ἀλλὰ παρὰ σοῦ λαβόντες καυχῶνται· κατὰ τὸ, ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω· καὶ λέγοντες, αὐτὸς γὰρ δίδωσιν ἰσχὺν τοῦ ποιῆσαι δύναμιν· διὸ καὶ σὺν παῤῥησίᾳ φασὶν, ἐν τῷ θεῷ ποιήσωμεν δύναμιν· καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν· ὑψώθη γὰρ ἐν ἡμῖν ὁ Χριστὸς εὐδοκίᾳ πατρὸς εἰπόντος· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· ἐν αὐτῷ γὰρ ἡμᾶς εὐδόκησε σῶσαι· καὶ ἀντίληψις αὐτοῦ ἐστιν ὑπερμαχοῦντος ἡμῶν· ὅστις ἅγιος βασιλεὺς ὢν τοῦ ἀληθινοῦ Ἰσραὴλ, τὸν θεὸν ὁρῶντος, ὑπάρχων αὐτὸς ὁ Χριστός τε καὶ κύριος· δύναται δὲ ἡ ἀντίληψις καὶ τοῦ κυρίου εἶναι ὡς ἐνεργουμένη ὑπ' αὐτοῦ καὶ τοῦ ἁγίου Ἰσραὴλ ὡς ὑπομένοντος αὐτήν. ὡς ἅγιον εἶναι νῦν τὸν ἁγιαζόμενον ἐν τῷ νῷ καθορᾷν αὐτὸν, ἵνα ᾖ ὑπέρβατον· ὅτι τοῦ κυρίου βασιλέως ἡμῶν ἡ ἀντίληψις καὶ τοῦ ἁγίου Ἰσραήλ.

Ἀκούει μόνον τοῦ λαλοῦντος ὁ μὴ νοῶν· ὁ δὲ v. 20. B. f. 366.
καὶ συνιεὶς, ἀντιλαμβάνεται τῇ ὁράσει τοῦ νοῦ τῆς τοῦ λέγοντος προφορᾶς· ὁ δὲ θεὸς τοῖς τελείοις λεγομένοις υἱοῖς δείκνυσι μᾶλλον ἢ λέγει· διὸ τὸ ἐν ὁράσει κατὰ τὸ, καὶ ὁ λαὸς ἑώρα τὴν φωνὴν κυρίου, τουτέστιν ἐνόει· τοιαῦται τῶν προφητῶν αἱ ὁράσεις, οὐκ αἰσθητὰ βλεπόντων, ἀλλ' ὁρώντων τὰ νοητά· ἐπὶ δυνατὸν δὲ τὸν ἐκ ῥίζης Ἰεσσαὶ βοήθειαν ἔθετο πάσῃ βοηθοῦσαν τῇ κτίσει, τὸν ὑψωθέντα τοῦ λαοῦ κατὰ σάρκα, καθ' ἣν καὶ ἐκλεκτός ἐστι καὶ προσεδέχθη· καὶ γὰρ ἐστιν ἐκλελογισμένος ἀπὸ μυριάδων, ὡς ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων· καθ' ὃ καὶ ὕψωσεν αὐτὸν πατὴρ χαρισάμενος αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα λεγομένῳ δούλῳ τε καὶ Δαυὶδ, οὗπερ ἦν ἐκ τοῦ σπέρματος· δυνατὸς καὶ ἱκανὸς ὢν χειρὶ πρὸς τὸ διδάξαι τὴν λογικὴν κτίσιν δουλεῦσαι θεῷ, εἰς ὃ καὶ ἐχρίσθη πνεύματι ἁγίῳ ἀρχιερεύς τε καὶ βασιλεὺς κατὰ πάντων ἀποδειχθείς· περὶ οὗ χρίσματος τὸ, ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλεον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· χεὶρ δὲ καὶ βραχίων δι' ὧν ἀντελάβετο καὶ κατίσχυσεν αὐτὸν τοῦ μονογενοῦς ἡ θεότης, μεγάλα δι' αὐτοῦ κατεργασαμένη· καὶ κρείττων δὲ τοῦ διαβόλου γεγένηται, μὴ ποιήσας ἁμαρτίαν μήτε δό-

λον ἐσχηκὼς ἐν τῷ στόματι αὐτοῦ, δι' ὧν ὠφελεῖν ἐκεῖνος δοκεῖ· οὐ μὴν οὐδὲ κατ' ἀνομίαν τὶς γεννηθεὶς κακώσει δι' ἁμαρτίας αὐτόν· τὸ δὲ ὠφελεῖν ἐπ' ἐχθροῦ, τὸ ἀνύσαι δηλοῖ, ὡς ἐν εὐαγγελίοις ἱερεῖς καὶ φαρισαῖοι φασὶ πρὸς ἀλλήλους· θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν· ἴδε, ὁ κόσμος ὅλος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

v. 30. B. f. 367. b. Μὴ δοκεῖ δὲ μέχρι τούτου παρατείνειν τὸν Χριστοῦ θρόνον μέχρι πληρώσεως οὐρανοῦ· ὁ οὐρανὸς γάρ φησι, καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν· τῶν δὲ λόγων μὴ παρερχομένων, βασιλεύσει καὶ μετὰ πάροδον οὐρανοῦ τε καὶ γῆς· οὐ γὰρ ἕως τοῦ παρελθεῖν εἶπεν τὸν οὐρανὸν, ἀλλ' ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ· καὶ μετὰ τὴν πάροδον γὰρ οὐρανός ἐστιν· οὐ γὰρ ἴσον τῷ φθαρῆναι, τὸ παρελθεῖν αὐτόν· λέγοις δ' ἂν καὶ γῆς μὲν ἡμέρας τὰ λαμπρὰ τοῖς ἀνθρώποις δοκοῦντα περιμάχητα, οὐρανοῦ δὲ τὰ φωτεινὰ τῆς ἀληθείας μυστήρια· οἷς ὅμοιος ὁ θρόνος τοῦ σωτῆρος ἀσάλευτος.

v. 36. B. f. 368. Ἐπὶ τοῖς διηνεκέσι καὶ μένουσιν ὄμνυσιν ὁ θεός· τῷ τοίνυν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀπαράβατον ἱερωσύνην διδὼς, οὐ μεταμέλεται· καὶ τῷ Ἀβραὰμ μεθ' ὅρκων ἐπαγγέλλεται ἐν τῷ σπέρματι αὐτοῦ ἐνευλογηθήσεσθαι πάντα τὰ ἔθνη τῆς γῆς· πρόσκαιρον δέ τι διδοὺς, οὐκ ὄμνυσιν ἐπ αὐτῷ· καὶ μεταμέλεσθαι λέγεται, καθάπερ χρίσας εἰς βασιλέα Σαούλ· διὸ καὶ τῷ Δαυὶδ ὄμνυσι περὶ τοῦ ἐκ τοῦ σπέρματος αὐτοῦ τὸν σωτῆρα γενέσθαι Χριστὸν, συνδιαιωνίζοντος τοῦ θρόνου τῆς ἀρχῆς αὐτοῦ αὐτῷ τῆς δικαιοσύνης ἡλίῳ· καὶ ἡ σελήνη δέ φησι τῶν ὑπὸ Χριστοῦ φωτιζομένων τὸ ἄθροισμα τὸν αἰῶνα μένει πλησιφαὴς, πληρουμένου τοῦ ἡλίου· ἐκλαμψόντων τῶν δικαίων ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν· περὶ δὲ τοῦ ταῦτα οὕτως ἕξειν ὁ μάρτυς ἐν οὐρανῷ, περὶ οὗ φησι Ἰώβ· ἰδοὺ γὰρ ἐν οὐρανοῖς ὁ μάρτυς μου, καὶ ὁ συνίστωρ μου ἐν ὑψίστοις.

v. 37. B. f. 369. Εἰπὼν, ὦ δέσποτα, τοῦ Χριστοῦ τὸ σπέρμα εἰς τὸν αἰῶνα μένει· ἀπώσω τὸ σπέρμα αὐτοῦ· καὶ μὴ βεβηλῶσιν εἰπὼν τὴν πρὸς αὐτὸν διαθήκην ἐβεβήλωσας· τὸ ἁγιαστήριον αὐτοῦ εἰς τὴν γῆν ἤτοι εἰς θάνατον καὶ μνῆμα τὸ σῶμα παραδοὺς αὐτοῦ· ἢ τὴν ἐκκλησίαν οὖσαν οἶκον καὶ ἁγιαστήριον αὐτοῦ συγχωρήσας κατὰ καιροὺς καὶ παραδοθῆναι τοῖς ἐκ τῶν ἀθέων ἐπενεχθεῖσιν αὐτῇ διωγμοῖς· θεοῦ δὲ δοῦλος ὁ Χριστὸς, ὡς ἀναλαβὼν τὴν τοῦ δούλου μορφὴν, γενόμενος ἐκ τῆς εἰπούσης τῷ ἀγγέλῳ, ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· ἀλλὰ καὶ πᾶσαν τῶν υἱῶν αὐτοῦ καθεῖλες ὀχυρωτάτην βοήθειαν, ὡς προκεῖσθαι πρὸς πᾶσαν ἐπιβουλήν· φραγμοὶ γὰρ κατὰ τὴν γραφὴν αἱ θεόθεν φρουραί· λέγοιντο δὲ φραγμοὶ ἀμπελῶνος τοῦ Χριστοῦ, καὶ οἱ θεῖοι ἀπόστολοι, οὓς καθαιρεῖσθαι ὑπὸ θεοῦ φασὶν οἱ ὁρῶντες αὐτοὺς ἐσκορπισμένους καὶ σκανδαλισθέντας ἐν τῇ νυκτὶ τῆς παραδόσεως Ἰησοῦ· οἵπερ καὶ ὀχυρώματα λέγονται, κατὰ τὸν αὐτὸν καιρὸν περιπεσόντες δειλείᾳ· ᾧ ἠκολούθησε τὸ διηρπάσθαι Χριστὸν, ὅ ἐστιν αὐτοῦ τὸ σῶμα· ὑμεῖς γάρ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέλους· ὀχυρώματα δὲ αὐτοῦ καὶ πανταχοῦ ἐκκλησίαι· ἐγένοντο δὲ καὶ ὄνειδος τοῖς διὰ τὸ περὶ αὐτὸν εἶναι γείτοσιν καλουμένοις· οἵ τινες εἰσὶν οἱ δοκοῦντες τῆς γραφῆς αὐτοῦ περιέχεσθαι, καὶ τῆς ἐκκλησίας ὑπάρχειν ἐγγὺς, δι' οὓς ὀνειδίζεται κακῶς φρονοῦντας ἢ πράττοντας· ὥσπερ οὖν δοξάζουσιν αὐτὸν οἱ ὀρθῶς φρονοῦντες ἢ πράττοντες, οἱ ἐχθροὶ αὐτοῦ κατεπαίρονται ὡς ἰδίᾳ δυνάμει πράττοντες ἃ δὲ παθεῖν συνεχώρησας· ἐφ' οἷς καὶ οἱ μισοῦντες εὐφραίνονται, μηδεμίαν ὁρῶντες ἀντίληψιν ἐν τῷ συμβάλλειν εἰς πόλεμον αὐτῷ τοὺς ἐχθρούς· ὥστε δήσαντας αὐτὸν ἀπαγαγεῖν ἐπὶ τὸν σταυρὸν, καὶ ὅσα πρὸς ὕβριν ἐπενεγκεῖν.

Ταῦτα φασὶν οἱ Χριστὸν μὲν ποθοῦντες καὶ πρόνοιαν ἡγούμενοι, τὸν σκοπὸν δὲ μὴ καθορῶντες, καθ' ὃν οὐ φεισάμενος ὁ πατὴρ τοῦ ἰδίου υἱοῦ, ἔκδοτον αὐτὸν ἀφῆκε τοῖς ἐπαναστᾶσιν αὐτόν· παύσονται δὲ τῶν ῥημάτων μαθόντες τὴν κατορθωμένην σωτηρίαν διὰ τοῦ θανάτου αὐτοῦ· οὐ μόνον τοῦ πατρὸς ὑπὲρ ἡμῶν παραδόντος αὐτὸν, ἀλλὰ καὶ αὐτοῦ ἑαυτόν· δέδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· τέως γε μὲν ᾤοντο καὶ ἀπὸ τοῦ καθαρισμοῦ καταλελυ-

σθαι Χριστὸν, οὗ εἰργάσατο διὰ τοῦ αἵματος αὐτοῦ· κατεῤῥάχθαι δὲ εἰς γῆν τὸν θρόνον αὐτοῦ, καίτοι τοῦ θεοῦ τεθεικότος αὐτὸν ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ· ὁρῶντες γὰρ αὐτοῦ τὸ πάθος καὶ τὸν σταυρὸν, ἔδοξαν τέλος εἰληφέναι τὴν βασιλείαν αὐτοῦ σμικρυνθεῖσαν καὶ ἀνατραπεῖσαν ἐπὶ τῇ κατὰ τὸν σταυρὸν αἰσχύνῃ γεγενημένῃ· περὶ ἧς ὁ ἀπόστολος εἶπεν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἵν᾽ ἐκ νεκρῶν ἀναστὰς, μηκέτι ᾖ καταλελευμένος ἀπὸ καθαρισμοῦ· ἀλλ᾽ ἐνεργῶν αὐτὸν αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου· κατὰ τὸ, καθαρισμὸν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐκ δεξιῶν τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, ἀνωρθωμένον ἔχων καὶ βεβαίως ἱδρυμένον τὸν θρόνον τὸν μακροήμερον καὶ αἰώνιον διαμενόντα.

v. 48. B. f. 369. b. Μνήσθητι, φασὶν οἱ ταῦτα λέγοντες, ὅτι τρεπτοὶ τὴν φύσιν ὑπάρχομεν, ὄντες αὐτεξούσιοι, μήπως εἰς ἀσέβειαν ἐξοκείλωμεν· λέγοις δ᾽ ἂν ὑπόστασιν καὶ τὴν καθ᾽ ἣν ὑποστῆναι τίς δύναταί τι τῶν ἐπιπόνων.

v. 49. Ibid. Ἡ δὲ ΤΙΣ φωνὴ ποτὲ μὲν λέγεται πευστικῶς, ὡς ἐν τῷ· τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου; ποτὲ δὲ σημαίνει τὸ σπάνιον, ὡς ἐν τῷ· τίς ἄρα ἐστὶν ὁ δοῦλος πιστὸς καὶ φρόνιμος; καὶ τίς σοφὸς, καὶ συνήσεται ταῦτα; καὶ τὸ ἀδύνατον, ὡς ἐν τῷ· τίς ἔγνω νοῦν κυρίου; καὶ ἐν τῷ· τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; δηλοῖ δὲ καὶ τὸν εὐτελῆ, ὡς ἐν τῷ· εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν; καὶ ἰδοὺ κύριος βοηθήσει μοι, τίς κακώσει με; κεῖται καὶ ἐπὶ τοῦ καλουμένου παρά τισιν ἰδίως ποίου· παρὰ δὲ ἄλλοις, ἀτόμου, καὶ ἑνὸς ἀριθμῷ· ὡς ἐν τῷ, ἄνθρωπος δηλωτικὸν τοῦ οὐδείς· τίς γὰρ τὸν κοινὸν ὑπευφεύξεται θάνατον 1); ὁ γὰρ θάνατος, φησίν, εἰς πάντας ἀνθρώπους διῆλθεν· καὶ καθὼς ἁμαρτίᾳ τῷ ἀποπεπτωκέναι θεότητος· οἷον τὸ, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε· καὶ τὸ, ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, οὐχὶ ἄνθρωποι ἐστὲ, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; ὁ δὲ τοιοῦτον ὁμώνυμος οὐ διαφεύξεται θάνατον· τοῦτο γὰρ τῶν γενομένων θεῶν μετουσίᾳ θεότητος· ζῶσι γὰρ ἀεὶ μεταποιούμενοι τῆς αἰωνίου ζωῆς, ἥτις ὑπὲρ ᾅδην ἔστι ῥυομένου θεοῦ.

PSALMUS LXXXIX.

v. 3. B. f. 371. Ἀνάγων εἰς ὕψος ἐκ τῶν χαμαιζήλων πραγμάτων τὸν ἄνθρωπον, μὴ πρὸς ταῦτα πάλιν ἀποστρέψῃς αὐτόν.

v. 9. B. f. 373. Πᾶς οὖν ὁ χρόνος ὁ παρεκτείνων τῇ ἡμετέρᾳ μετὰ σώματος ζωῇ, φανερὸς καὶ πεφωτισμένος σοι τυγχάνει, ὡς ὁρᾶν πᾶν ἁμάρτημα πρακτικὸν καὶ ἐν λογισμοῖς.

v. 12. seq. A. f. 372. Ἡ δέησις ἐπισταμένων ἐστιν, ὅτι δεξιὰν ἔχει θεὸς, καὶ ποθούντων ταύτην ἰδεῖν, δι᾽ ἧς ἐδημιούργησε τὲ καὶ προνοεῖ τοῦ κόσμου· ὅπως μὴ δι᾽ ὧν ἐνεργεῖ καταλάβωσιν, ἀλλὰ τῷ προσβάλλειν αὐτήν· οἴοιτο δ᾽ ἂν καὶ αἴτησις εἶναι τῆς ἐπιδημίας Χριστοῦ· τότε γὰρ γνωρισμὸς ἡ τοῦ θεοῦ δεξιὰ γέγονεν, ὅτε ὁ λόγος σὰρξ γενόμενος ἐσκήνωσεν ἐν ἡμῖν· ἐθεασάμεθα γὰρ τὴν δόξαν αὐτοῦ ὡς μονογενοῦς παρὰ πατρός· τότε οὖν αὐτῇ φανερωθέντας ἔγνωμεν καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ, οἵ τινες εἰσὶν οἱ φάσκοντες· σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· ἅμα δὲ καὶ οἱ προφῆται οἱ τότε λέγοντες ἀληθῆ περὶ αὐτοῦ πεφανέρωνται, ἴσως ἂν ὑποπτευθέντες πρὸ τῆς ἐκβάσεως, ὡς μὴ τῇ τοῦ θεοῦ σοφίᾳ πεπαιδευμένοι τὴν καρδίαν· ὁποῖος ἐστὶν ὁ τὸν νοῦν σεσοφισμένος, κἂν διαμαρτάνῃ λόγῳ προφορικῷ· ἐρεῖ γὰρ ἀληθεύων, εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ γνώσει.

Γράφεται δὲ καὶ πεπεδημένους· αἱ γὰρ τῆς σοφίας οὐ συγχωροῦσι πόδας χωρὶς εὐσεβείας ὁδεύειν· ἐν ταύταις γὰρ ἐμβαλεῖν τοὺς πόδας τῆς ψυχῆς προστετάγμεθα· ἀπολιγοροῦσι δὲ λέγοντες· ἕως πότε; τουτέστι τὸ πρόσωπόν σου καὶ τὴν δεξιάν σου ἀποστρέφεις ἀφ᾽ ἡμῶν; καὶ βραχεῖα γὰρ ἀναβολὴ πρὸς τοῦτο, χρόνος ἐστὶ μακρότατος· ἀλλ᾽ ἐπίστρεψον πρὸς τοὺς ἀποστραφέντας τὰ σὰ προστάγματα· εἶτα φησίν· ὡς ἐπιλάμψασα ἡμῖν ἡ σὴ δεξιὰ, ἥλιος οὖσα δικαιοσύνης ἀρχὴν ἡμέρας νοητῆς κατεσκεύασεν, δι᾽ ἧς ἐπληρώθημεν τοῦ ἐλέους τοῦ σοῦ, ὡς

1) Animadvertent grammatici varium vocabuli τίς usum.

πάσας εὐφραίνεσθαι τὰς ἡμέρας, ἃς ἡμῖν τὸ φῶς σου ἐφώτισε τὸ ἀληθινὸν ἐμποιοῦν ἐν αἷς εἰσέρχεται καρδίαις ποικίλως· καὶ μὴν ἀνατέλλον ἐν ταῖς πράξεσι καὶ νοήσεσι, πολλὰς ἐν ἡμῖν ἡμέρας ποιεῖ· ὡς ἀγαλλιωμένους λῦσαι τὸ τῶν κακωτικῶν ἡμερῶν σκυθρωπὸν, ἐν αἷς ἐταπεινώθημεν, αἰχμαλωσίᾳ παραδοθέντες διὰ κακίαν καὶ ἄγνοιαν, ἐν κακοῖς γεγονότες ἢ τοῖς ἐναντίοις τῶν κυρίως ἀγαθῶν, περὶ ὧν εἴρηται· ἄφρων ἐν γέλωτι πράττει κακά· ἢ τοῖς ἐπιπόνοις, περὶ ὧν εἶπεν Ἰὼβ, εἰ τὰ ἀγαθὰ ἐκ χειρὸς κυρίου ἐδεξάμεθα, τὰ κακὰ οὐχ ὑποίσομεν; ἐπίβλεψον τοίνυν ἐπὶ τοὺς δούλους σου, καὶ τοὺς κατὰ διδασκαλίαν καὶ μίμησιν ἀρετῆς γεννηθέντας ἡμῖν εὐτόνους καὶ ἄῤῥενας ὁδήγησον ἐπὶ τὴν τῆς σωτηρίας ὁδόν· οὕτω γὰρ καὶ ἡ λαμπρότης σου ἔσται ἐφ' ἡμᾶς ἐκλάμψαντας ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ σου· θαῤῥοῦντες δὲ ἐφ' οἷς δεδράκασιν, ἀξιοῦσι κατευθυνθῆναι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν ἐπ' αὐτοὺς, ὅπερ ὁ φαῦλος οὐ βούλεται, λήθῃ δὲ μᾶλλον παραδοθῆναι.

PSALMUS XC.

v. 7. B. f. 375. Ἅμα γὰρ τῷ θέλειν πλησιάσαι τῷ σπουδαίῳ, πίπτει ἡ φάλαγξ τῶν ἐναντίων· ἐν τῷ ἐγγίζειν γὰρ ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

PSALMUS XCI.

v. 3. B. f. 377. b. Θεολογίας καὶ θεοπτείας ὑπόθεσις τυγχάνων, τέλος ἔχει τὴν ἀλήθειαν, ἣν ἀναγγέλλειν προσήκει, οὐκ ἐξ ἐπιπολῆς καὶ ἐκ τῶν φανερῶν πραγμάτων, ἀλλ' ἐκ βαθέων καὶ ἀποκρύφων, διαγνώσεως ὑπερβολήν· τὴν δὲ σοφίαν τὴν ἐν τοῖς τοιούτοις ὠνόμασεν νύκτα· φύσει γὰρ τὰ περὶ θεοῦ εὐσεβῶς καὶ ὀρθῶς λεγόμενα, τῆς τῶν πολλῶν γνώσεως, διὰ μέγεθος δυνάμεως, ἀποδημεῖ· νὺξ δέ ἐστι διὰ τὸ δυσκατάληπτον· αὕτη δὲ νὺξ ἀναφορὰν ἔχει πρὸς τὸ σκότος, ὃ ἔθετο ὁ θεὸς ἀποκρυφὴν αὐτοῦ.

v. 8. B. f. 378. Ὅτε οἱ ἁμαρτωλοὶ οἷα χόρτος ἀνατέλλουσιν, καὶ ἐνεργεῖται ἡ ἀνομία, καὶ ἡ πρὸς θεὸν ἔχθρα αὐτῶν ἐπιτείνεται· ἀγνοεῖται δὲ τοῦ θεοῦ ὕψος καὶ μέγεθος, τυφλούσης τῆς κακίας τὸ ὄμμα τοῦ νοῦ τὸ δυνάμενον προσβάλλειν τῷ κυρίῳ· ὅταν δὲ κατάλυσις τῆς ἁμαρτίας γένηται, ὡς ἀπολέσθαι διὰ τὸ ἁμαρτάνειν ἐχθροὺς γεγενημένους θεῷ, ἀπόλλυσθαι δέον, οἱ τοιοῦτοι εἰσὶ, τὸ τηνικάδε ὁ θεὸς ὁ ὕψιστος εἰς τὸν αἰῶνα εὑρεθήσεται τῷ καθαρθέντι νῷ.

Τῇ ἡμέρᾳ τῆς κρίσεως, ἁπάντων ἀνθρώπων v. 9. B. f. 378. b.
ταπεινουμένων ἀφ' ἧς εἶχον ὑψαυχενίας ἐπὶ τοῖς προσκαίροις, ὑψοῦται κύριος, μόνος βασιλεὺς ἁπάντων ἀποδεικνύμενος, ἀμέμπτως τε πάντων προνοησάμενος, καὶ διαταξάμενος τὰ ὅλα.

PSALMUS XCII.

Οἱ μιμούμενοι ποταμοὶ τὸν ποταμὸν τὸν εὐ- v. 3. B. f. 381.
φραίνοντα τὴν πόλιν τοῦ θεοῦ, ἐπαίρουσι πρότερον τὴν σφῶν νόησιν· εἶτα τὰς φωνὰς τὰς ἑρμηνευούσας τὰ νοηθέντα αὐτοῖς· ὡς ἀπὸ τῆς τῶν πολλῶν τούτων ποταμῶν ὑδάτων φωνῆς, θαυμαστοὺς καὶ ἀποδοχῆς ἀξίους γενέσθαι διὰ μετανοίας καὶ ἀναλήψεως ἀρετῆς, τοὺς πάλαι δι' ἀλαζονίας καὶ πλούτου καὶ αὐθαδείας καὶ δοξαρίων μετεωρισμοὺς ὄντας τῆς τοῦ βίου τῶν ἀνθρώπων θαλάττης· δυνατὸν δὲ καὶ τοὺς λόγους αὐτοὺς τῶν θεοπνεύστων γραφῶν καινῆς τε καὶ παλαιᾶς ποταμοὺς, διὰ τὸ τίμιον καὶ ζωτικὸν καὶ καρποφορίας αἴτιον.

Μετεωρισμὸν θαλάττης, κατὰ τὴν παροῦσαν v. 4. B. f. 381. b.
διάνοιαν ὄντων τῶν καλουμένων πειρασμῶν, οἳ καὶ θαυμαστοὶ γενήσονται, σωτηρίας αἴτιοι ἀναφαινόμενοι ἀπὸ τῶν φωνῶν τῶν τιμίων πολλῶν ὑδάτων· ἔστι γοῦν ἰδεῖν ἐπὶ τοῖς πειρασμοῖς καὶ ἀγῶσι τούτοις νικητάς τινας ἀποδεικνυμένους· μακάριος γὰρ ἀνὴρ, ὃς ὑπομένει πειρασμόν· καὶ τὰ ἑξῆς.—Ἐκ γὰρ τῶν πραγμάτων αὐτῆς, καὶ τῶν ἐν ἑαυτοῖς τῶν αὐτῶν ἐμβαινόντων, θαυμαστοὶ γίνονται οἱ μετεωρισμοὶ αὐτῆς λογικῶς καὶ φρονίμως ἐταζόμενοι.—Ἐν τοῖς ὑψηλοῖς καὶ ἐπηρμένοις λόγοις θαυμαστὸς ὁ κύριός ἐστιν· ὡς πιστοῦσθαι ἐπὶ τούτῳ τὰ μαρτύρια τὰ συγγενῆ τοῖς λεγομένοις δικαιώμασι καὶ νομίμοις.

Οἶκος θεοῦ πάντες οἱ προσηκάμενοι αὐτὸν εἰς v. 5. Ibid.

ἑαυτούς· οἷς καὶ πρέπει ἀληθῶς τὸ ἅγιος εἶναι, οὐκ ἐπὶ μίαν καὶ δευτέραν, ἀλλ' εἰς μακρότητα ἡμερῶν, ὅθεν ὁ μυσταγωγὸς βουλόμενος τὸν οἶκον τοῦ θεοῦ εἰς μακρότητα ἡμερῶν ἁγίασμα ἔχειν, φησίν· οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθείρει τοῦτον ὁ θεός· ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, οἵτινες ἐστὲ ὑμεῖς· πρέπει γὰρ ἀληθῶς ἡ ἁγιότης καὶ τὸ ἁγίασμα παντὶ τῷ γινομένῳ θεοῦ οἴκῳ· ἵν' ὥσπερ θεοῦ, ἅγιος· ἢ καὶ ὥσπερ ἅγιος, οὕτω καὶ θεοῦ.—Οἶκον αὐτοῦ εἴ τε τὴν αὐτοῦ σάρκα λέγοις, εἴ τε τὴν ἐκκλησίαν, εἴ τε τοὺς ἀφιερωθέντας αὐτῷ· τούτων τὸ ἁγίασμα εἰς μακρότητα ἡμερῶν, τουτέστιν εἰς αἰῶνα αἰώνων· διόπερ οἱ ἄλλοι ἑρμηνευταὶ μήκη χρόνων ἐκδεδώκασιν· οὐ τοίνυν περὶ τοῦ ναοῦ τῶν Ἰουδαίων ἡ προφητεία ἐκλαμβάνεσθαι δύναται· τούτου γὰρ πάλαι καὶ πρόπαλαι καθαιρεθέντος, ἁγίασμα πῶς ἔσται εἰς μακρότητα ἡμερῶν· ἀλλ' ἡμεῖς, εἴπερ ἡμῖν πόθος ναὸς θεοῦ προσαγορεύεσθαι, ἵνα ἐνοικοῦν τὸ πνεῦμα τὸ ἅγιον ἔχωμεν, φυλάξωμεν τὸν ἁγιασμὸν εἰς ἡμερῶν μακρότητα.

PSALMUS XCIII.

v. 1. B. f. 382. Τῷ γὰρ ἀκριβῶς ἐπίστασθαι τῶν κρινομένων τὰ πράγματα, καὶ αὐτὴν τὴν πρόθεσιν τῶν ἐνεργούντων αὐτὰ, μετὰ παῤῥησίας ἐπάγει· ἐκδικήσεις, τῶν ἄλλων κριτῶν ἔσθ' ὅτε σφαλομένων· ὡς μὴ κατὰ ἀναλογίαν τῆς ποσότητος, τῶν ἁμαρτανομένων ἐπάγειν τὴν τιμωρίαν· ἐφ' ᾧ καὶ αἰσχύνεσθαι συμβαίνει τὸν κρίνοντα, ὡς μὴ δεόντως ἐπιτιμήσαντα τοῖς ἑαλωκόσι τῇ κακίᾳ, μόνῳ παῤῥησιαζομένῳ, ἐν τῷ ἐκδικεῖν τοῦ λέγοντος, ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· ἀποδιδοὺς γὰρ ἐστὶν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

v. 8. B. f. 382. b. Δεῖξον ἅπασι τῆς σῆς δεσποτείας τὸ ὑψηλὸν, καὶ κατάλυσον τὴν τῶν ἀλαζόνων ὀφρῦν· διδάσκων διὰ τοῖς πείρας, ὅτι σὺ εἶ τῆς οἰκουμένης κριτὴς, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, καὶ τὴν ἁρμόζουσαν αὐτοῖς κόλασιν ἀποδιδούς· ἀναδειχθείη ταῦτα πάντα καὶ εἰς τὴν Χριστοῦ ἐπιδημίαν· τότε γὰρ ἐπαῤῥησιάσατο ἀναμάρτητος ἄνθρωπος γεγονώς· καί τοι θεὸς ἐκδικήσεως κύριος ὤν· ἀλλὰ καὶ τὴν γῆν ἔκρινεν, ἁμαρτίας πλήρη αὐτὴν ἀποδείξας, αὐτὸς ἁμαρτίαν οὐ ποιήσας, οὐδὲ γνοὺς ἁμαρτίαν· διὸ καὶ ἀνταπέδωκε τοῖς ὑπερηφανήσασιν αὐτὸν φαρισαίοις, καὶ τοῖς ἀοράτοις ἐχθροῖς ἐπαρθεῖσιν ἐν τῷ σταυρῶσαι αὐτόν.

Σὺ δημιουργὸς ἡμῶν ὑπάρχων· καὶ δὴ καὶ φροντίζεις ἡμῶν, ὦ δέσποτα· ὅθεν εἴ τι πάρεσ- v. 20. B. f. 384. b
τιν ἡμῖν ἀγαθὸν, ἴσμεν αὐτὸ ὅσον καὶ παρὰ σοῦ εἶναι· ἀλλ' ἐπεὶ ὁρῶμεν φαύλους τινὰς κατὰ τῶν δικαίων φονῶντας, καὶ ἀθώους καταδικάζοντας, ἀναφθεγγόμεθα πρὸς σὲ, μὴ ἕτερος θρόνος βασιλείας σύνεστί σοι, ἢ προσέσεσθαί σοι, ὅτι ταῦτα κατὰ τῶν θεραπόντων ἐπιτελεῖται; ἀλλ' οὐ πρόσεστί σοὶ ἀνομίας θρόνος· νόμον γὰρ τῶν πάντων βασιλέα ἀνέδειξας, καθ' ὃν τὸ πᾶν διοικεῖται. Καὶ μετ' ὀλίγα. Θρόνος ἀνομίας ἡ μετὰ τυραννίδος ἀρχή· διὸ καὶ ὠμώτατος καὶ ἐπαχθὴς ὤν, βαρέα καὶ ἐπίμοχθα προστάττει, συμπράττων τοῖς προςάγμασιν αὐτοῦ κόπον· ἀλλ' αἱ ἐντολαί σου θεοῦ βαρεῖαι οὐκ εἰσὶ, κατὰ τὸν Ἰωάννην· ὅθεν καὶ ἀνωφερεῖς εἰσιν, ἀνυψοῦσαι καὶ μετεωρίζουσαι τὸν μεταποιούμενον. Καὶ πάλιν. Διὸ κώλυσον αὐτοὺς τῆς ὠμοτάτης καθ' ἡμῶν ὁρμῆς.—Ἐπιμορφαζόμενοι δὲ καὶ τὸ κριταὶ καὶ δικασαὶ τυγχάνειν, καταδικάζουσιν ἀθῷον αἷμα.

PSALMUS XCIV.

Θεοὺς λέγει οὓς ἀγγέλους ἡ γραφὴ καλεῖ· βα- v. 3 B. f. 386.
σιλεύει δὲ κἀκείνων γενομένων θεῶν, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ γεγένηται.

Πάσης τῆς γῆς ἐπιδραττόμενος ὁ λόγος, κα- v. 4. Ibid.
τὰ τὸν τῆς προνοίας λόγον, ἐν τῇ χειρὶ ἑαυτοῦ ἔχει τὰ λεγόμενα τῆς γῆς πέρατα· ἡ κατάσχεσις γὰρ αὐτοῦ τὰ πέρατα τῆς γῆς ἐστιν.—Ὁρῶν ὄντων τῶν διῃρημένων, βίῳ γὰρ καὶ φρονήματι θεοσεβῶν ἀνδρῶν· κατ' ἐξαίρετον δὲ αὐτοῦ εἰσὶν ὑπερέχοντες, οὓς ὑψηλὰ τῶν ὀρέων προσηγόρευσεν.

Ταύτας τὰς λέξεις ἕως τοῦ τέλους τοῦ ψαλ- v. 8. A. f. 387.
μοῦ, ὑπὸ τοῦ ἁγίου πνεύματος εἰρῆσθαι φήσας

ὁ ἀπόστολος, ἔθηκεν αὐτὰς ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· ὅμως γε πῶς, καὶ ἑρμηνείαν αὐταῖς ἐπαγαγών· ἡρμήνευσε δὲ τὸ σήμερον εἰς τὸν πάντα τὸν ἐνεστηκότα αἰῶνα, ἀναφέρων αὐτῷ· ἑκάστῃ γὰρ ἡμέρᾳ τοῦ αἰῶνος σημαίνεται διὰ τοῦ σήμερον.

v. 10. B. f. 387. Προσώχθισα· προσκορὴς, φησὶν, ἐγενόμην, οὐ πάσῃ γενεᾷ, ἀλλ' ἐκείνῃ ἀεὶ πλάνῃ συμβιούσῃ, διὰ τὸ μὴ ἐθέλειν γνῶσιν ἔχειν θεοῦ· ἔφη τὸν θεὸν ὀργισθέντα ὀμῶσαι μὴ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ· ταῦτα δὲ ἐν ἑβδομηκοστῷ ἑβδόμῳ εἰπὼν, ἐξηγησαμένου δὲ καὶ Παύλου ταύτην τὴν λέξιν, οὐδὲ πλέον τῶν τότε ῥηθέντων ἐροῦμεν· ταῦτα δὲ καὶ ἡμᾶς διαδέξονται, εἰ τῆς τοῦ θεοῦ φωνῆς εἰσέτι καὶ νῦν κατὰ τὴν σημέρον ἡμέραν ἀνακαλουμένης ἡμᾶς ἀκούοντες, σκληρύνομεν τὰς ἑαυτῶν καρδίας· διαλήψεται γὰρ ἡμᾶς ὀργὴ θεοῦ, καὶ ἀποπεσούμεθα τῆς παρ' αὐτοῦ καὶ σὺν αὐτῷ ἀναπαύσεως.

PSALMUS XCV.

v. 1. B. f. 387. b. Λεκτέον οὖν περὶ τῆς τοιαύτης εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως τοῦ οἴκου προφητικωτέραν τὸν Δαυὶδ τεθεωρηκότα τὴν ὑπὲρ τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τὴν ᾠδὴν πεποιηκέναι· ᾄδουσι δὲ τὴν ᾠδὴν οἱ τὸν παλαιὸν ἄνθρωπον ἐκδυσάμενοι καὶ τὸν νέον ἐνδυσάμενοι τὸν ἀνανεούμενον εἰς τὸ γενέσθαι κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, τῷ μαθητεύεσθαι τῇ καινῇ διαθήκῃ, τὴν καινότητα τῆς Χριστοῦ διαθήκης καὶ διδασκαλίας προσηκάμενοι.

v. 2. B. f. 388. Οὗτοι οὖν πάντες οἱ ᾄδοντες τῷ θεῷ, πρὸς τὸ ᾄδειν αὐτῷ καὶ εὐλογεῖν τὸ ὄνομα αὐτοῦ προστάττονται· διὰ γὰρ ἔργων ἀγαθῶν καὶ γνώσεως τῆς ἀληθείας εὐλογεῖ τις καὶ δοξάζει τὸ ὄνομα τοῦ θεοῦ.

v. 3. Ibid. Περὶ ὧν ἐν λθ' ψαλμῷ πρὸς θεὸν εἴρηται· πολλὰ ἐποίησας σὺ κύριε ὁ θεός μου τὰ θαυμάσιά σου· τὸν τούτων τῶν θαυμάτων αἴτιον ὑμνῶν Ἡσαΐας ὁ προφήτης φησίν· κύριος ὁ θεὸς δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου· ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν· θεὸς γὰρ ὁ σωτὴρ θαυμαστὰ πεποίηκεν, ἐλευθερώσας πᾶσαν ψυχὴν ὑπὸ τοῦ διαβόλου καταπονουμένην. Καὶ μετ' ὀλίγα. Εἰ δὲ καὶ τὰς τεραστίους δυνάμεις εἶναι βούλεται, τὰ ἐπαγγελλόμενα τοῖς λαοῖς θαυμάσια, καθ' ἃ Ἰησοῦς νεκροὺς ἤγειρε, καὶ τυφλοὺς εἰς ὄψιν ἀποκαθιστᾷ, καὶ εἴ τι ἄλλο τοιοῦτο ἀναγέγραπται, οὐκ ἁμαρτάνεις.

PSALMUS XCVI.

Τοῦ ἱκανοῦ χειρί· οὗτος δέ ἐστιν ὁ πνευματικὸς Δαβὶδ, v. 1. B. f. 390. b.
ὁ ἐκ σπέρματος αὐτοῦ τὸ κατὰ σάρκα γεγονώς· ἡ γῆ τοίνυν αὐτοῦ καθίσατο, παντὸς θορύβου καὶ ταράχου πολεμικοῦ ὑπ' αὐτοῦ καταλυθέντος· ἣ καθίσταται γῆ, κατάστασιν ἀναλαμβάνουσα, καθ' ὃ καρποφορεῖ ὃν ἐδέξατο σπόρον εἰς ἑκατὸν καὶ ξ' καὶ λ' σπειράντων ἑαυτοῖς δικαιοσύνην, ἐπὶ τῷ γεννήματα δικαιοσύνης πληθῆναι τῶν ὑπὸ Ἰησοῦ σπαρέντων· διὸ καὶ βασιλεύει ὁ κύριος, οὐκ ἀπὸ τοῦ μὴ βασιλεύειν καθάπαξ ἐπὶ τὸ βασιλεύειν ἐληλυθὼς, ἀλλ' ἀπὸ τοῦ μὴ ἄρχειν τῶν ἁμαρτανόντων μετανοησάντων ἥκειν ἐπὶ τὴν βασιλείαν· ἀγαλλιᾶται οὖν πᾶσα ἡ γῆ τοῦτο ποιεῖν προσταττομένη, ἐπὶ τῷ τὸν κύριον πάσης αὐτῆς βαβασιλευκέναι.

Οὐ σωματικῶς· εἰ γὰρ τὰ κυκλοῦντα εἴη σώ- v. 2. B. f. 391.
ματα, καὶ ὁ κυκλούμενος εἴη σῶμα, ἢ σώματί γε χρώμενος· ἀλλ' ἀσώματος, μᾶλλον δὲ ὑπὲρ ἐκεῖνα σωμάτων, ὁ θεὸς καὶ ὁ μονογενὴς αὐτοῦ υἱὸς, καθ' ὃ θεὸς λόγος ἐστί· λέγεται δὲ νῦν πρὸς παράστασιν τῆς ἀκαταληψίας αὐτοῦ, περὶ αὐτὸν νεφέλη καὶ γνόφος εἶναι· καὶ τάχα μὲν ἡ νεφέλη τοὺς ἐξ αὐτοῦ ῥέοντας ποτίμους σημαίνει λόγους· ὁ δὲ γνόφος τὴν ἀσάφειαν τῆς ἀκαταλήψεως αὐτοῦ· εἴρηται γοῦν καὶ πρότερον, καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ· τὸ γὰρ δυσθεώρητον μᾶλλον δὲ ἀκατάληπτον τῷ νῷ τῶν αὐτοῦ γενητῶν τῆς ἱερείας αὐτοῦ, καθ' ἣν πορεύεται δημιουργικῶς καὶ προνοητικῶς παρίσταται διὰ τοῦ, γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

Ἐχθροὶ τοῦ λόγου τῆς δικαιοσύνης οἱ ἀλόγως v. 3. B. f. 391. b.
καὶ ἀδίκως πράττοντες, ὥσπερ αὖ διάφοροι τῆς ἀληθείας οἱ ψευδοδοξοῦντες καὶ ψευδόμενοι· καὶ ἡ φιλία δὲ τοῦ κόσμου ἐχθροποιεῖν εἴρηται θεῷ.—

Οὐκ ἀναλίσκων καὶ φθείρων αὐτῶν τὴν οὐσίαν, ἀθάνατος γὰρ ἡ τῆς ψυχῆς αὐτῶν ὑπόστασις, ἀλλ' ἀφανίζων τὰ περὶ αὐτοὺς ἀναφυέντα τῆς σαρκὸς ἔργα καὶ ὑλικὰ φρονήματα· ὅθεν ὁ σωτὴρ εὔχεται ἀναφθῆναι· τὸ πῦρ βαλεῖν ἦλθεν ἐπὶ τῆς γῆς, ὅπως ἀναφθῇ τὰ γήϊνα πάντα.

v. 4. Οἱ φωτινοὶ λόγοι τῆς θείας διδασκαλίας αὐτοῦ ἀστραπῶν τρόπῳ ἔφαναν πάσῃ τῇ οἰκουμένῃ, καταυγάζοντες καὶ φωτίζοντες αὐτὴν, ἐπὶ τῷ ἔχειν φῶς γνώσεως· ἀλλ' ἡ γῆ ταύτας τὰς ἀστραπὰς ἰδοῦσα, κλονηθεῖσα μετέβαλεν, ἀποβαλοῦσα τὴν γεώδη ποιότητα, ἐπὶ τοῦ ἀναλαβεῖν τὴν εἰκόνα τοῦ ἐπουρανίου.

v. 4. B. f. 392. Ἰδοῦσα τοὺς ἀνθρωπίνους νόμους, καὶ τὰ κατάλληλα τούτοις ἔθη, πάντες οἱ ἄνθρωποι τὰ σφέτερα πάτρια καταλιπόντες, τῇ εὐαγγελικῇ παιδεύσει προσεληλύθασιν· ἀλλὰ οἰκουμένη ἰδοῦσα τὰς ἀστραπὰς τοῦ κυρίου, ἐλλάμπεται· ἡ δε γῆ σαλεύεται διὰ τοῦ κλόνου, ἀρχὴν λαμβάνουσα πρὸς τὸ καὶ αὐτὴν οἰκουμένην χρηματίσαι, ἵνα φανῶσιν αὐτῇ τοιαύτῃ γεγενημένῃ αἱ θεῖαι τοῦ κυρίου ἀστραπαί.

v. 6. Ibid. Οἱ προαναφωνήσαντες τὴν ἐνταῦθα ἐπιδημίαν τοῦ σωτῆρος ὄντος δικαιοσύνης θεοῦ, οἱ οὐρανοί εἰσιν, τῷ φέρειν τὴν εἰκόνα τοῦ ἐπουρανίου, καὶ ἔχειν τὸ πολίτευμα ἐν οὐρανῷ, ἀναγγείλαντες τὴν τοῦ θεοῦ δικαιοσύνην οὐρανόθεν ἐλευσομένην. οὐκ ἄλλην τῆς δικαιοσύνης αὐτοῦ τυγχάνουσαν, ἀλλ' ἐπεὶ καὶ ἡ πρακτικὴ ἀρετὴ πολλαχοῦ δικαιοσύνη καλεῖται, ταύτην ἀναγγέλλειν πραγματικῶς μόνοι ἴσασιν οἱ οὐρανοὶ ὄντες ἄνδρες δίκαιοι· ἐπειδεικνυμένην γὰρ πίστιν ἀναγγέλλει δίκαιος, τῆς πίστεως αὐτῶν εἰς δικαιοσύνην λογιζομένης.

v. 10. A. f. 393. Ἐναντίον καὶ ἐχθρὸν τῷ θεῷ, οὐκ ἐν ἀντιστάσει φύσεως ὄν, οὐ γὰρ ἀντιδιαιρεῖται τῇ ἀγαθῇ φύσει πονηρὸν τὸ παρὰ φύσιν· οὐδὲ φύσιν τινὰ δεικνυμένην ὑπολαβεῖν ἐστὶν, ἣν καλεῖ πονηρόν· οὐδὲ γὰρ ἔχομεν τινὰ τοιαύτην ἐν γνώσει, ἵν' εἰδότες μισήσαιμεν, ἀλλὰ πονηρὸν ἅπαν τὸ κακίας ἔργον ἐπιστάμεθα· καὶ τὸ τοῦ μίσους, ἐάν περ εὖ φρονῶμεν.

Εἴ ποτε ἐπιβούλευσέ τις τῶν ὁσίων μέχρι τῆς σώματος κακώσεως ἢ θανάτου τὰ τῆς ἐπιθέσεως ἴσχυσε, τῆς ψυχῆς ἀζημιώτου καὶ ἀμειώτου διαμεινάσης· τίς γὰρ οὖν οὐκ ὁμολογήσειε τοὺς τῆς ἀληθείας μάρτυρας πεφρουρῆσθαι κατὰ τὰς ψυχὰς ὑπὸ τοῦ ὁμολογουμένου ὑπ αὐτῶν κυρίου;

Τῷ τὴν πρακτικὴν ἀρετὴν κατορθώσαντι, δι- v. 11. B. f. 393.
καιοσύνην καλουμένην, ἀνέτειλε φῶς τῆς γνώσεως, οὐκ ἄλλο τυγχάνον τοῦ φωτὸς τοῦ ἀληθινοῦ· περὶ οὗ ὁ πατὴρ εἶπεν· τοῖς δὲ φοβουμένοις τὸ ὄνομά μου ἀνατέλλει ἥλιος δικαιοσύνης.

PSALMUS XCVII.

Διαφέρει τοῦ Ἰακὼβ ὁ Ἰσραὴλ ἐπινοίᾳ ἀλλ' v. 3. B. f. 394.
οὐχ ὑποστάσει· ὁ γὰρ αὐτὸς ὅτε μὲν Ἰακὼβ, ὅτε δὲ Ἰσραὴλ ἐστίν· ὅτε γὰρ ἀσκητὴς τυγχάνων, τῆς πρακτικῆς ἀρετῆς καταπαλαιῶν τὰ ἄλογα πάθη καὶ κακίας καὶ τὰς ἐνεργούσας αὐτὰς πονηρὰς δυνάμεις, Ἰακὼβ ἐστὶ πτερνίζων τὸ εἰρημένον στῖφος· ὅτ' ἂν δὲ ἀνωτέρω πάσης μοχθηρίας γεγονὼς διὰ καθαρότητα νοῦ προσβάλλει τῷ θεῷ, Ἰσραὴλ προσαγορεύεται.

Κηρυχθέντος γὰρ τοῦ εὐαγγελίου ἐν πάσῃ τῇ v. 3. Ibid.
οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, κατὰ τὴν τοῦ Χριστοῦ χρησμῳδίαν, εἶδεν πάντα τὰ πέρατα τῆς γῆς Χριστὸν τὸ σωτήριον τοῦ θεοῦ.

Καὶ μετ' ὀλίγα οἱ περάσαντες τὴν γῆν καὶ B. f. 395.
ἀνωτέρω αὐτῆς γεγενημένοι, τῷ μὴ ὑλικὰ καὶ ἐπίγεια ἔτι φρονεῖν, ἀλλὰ ζητεῖν καὶ φρονεῖν τὰ ἄνω, πέρατα γῆς ὄντες, εἶδον σωτηρίαν καὶ τὸν αὐτῆς αἴτιον θεοῦ λόγον, ὄντα σωτήριον τοῦ θεοῦ.

Πᾶσαν τὴν γῆν, τουτέστι τοὺς ἐπὶ γῆς ἅπαν- v. 4. B. f. 395.
τας ἀνθρώπους, προστάττει ἐπινίκιον αἶνον ἀναπέμπειν τῷ κυρίῳ κατελθόντι τοὺς πολεμίους τοὺς ἀοράτους ἐχθροὺς τῶν ἀνθρώπων, διάβολον καὶ τοὺς ὑπασπιστὰς αὐτοῦ.

Τίς δὲ ἡ κιθάρα, πολλάκις εἴπομεν, τί τὸ v. 5. Ibid.
ψάλλειν ἐν αὐτῇ, τί τὸ πρακτικῶς ἐστι διὰ σώματος ἐνεργεῖν τὰ τῆς ἀρετῆς, ἢ διὰ πασῶν τῶν τῆς ψυχῆς δυνάμεων.—Ἀντὶ τοῦ πρὸς τὸν ψαλμὸν, τὸν διὰ τοῦ ὀργάνου πληττόμενον· καὶ φωνή τις ᾀδέσθω οὖσα ἡ περὶ τῶν πρακτέων θεω-
ρία.—Σαλπίζουσιν ἐν ἐλαταῖς οἱ τὸν λόγον τῆς v. 6.
ἀληθείας λαμπρῶς καὶ δικαίως προφέροντες· οὖ-

τοι γὰρ ἀληθῶς εἰς πνευματικὴν ἑορτὴν διεγείρειν ἱκανοί, λέγοντες· ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ, ὃς καὶ ἱκανοὺς διακόνους καινῆς διαθήκης τῶν πλουτούντων παντὶ λόγῳ καὶ πάσῃ γνώσει, μόνον τοῦτο δυναμένων προφέρειν.

v. 7. B. f. 395. b. Διαφερόντως ἐν ταῖς πολυανθρώποις πόλεσιν ἔστιν ἰδεῖν τῆς προφητείας τὸ τέλος· θάλατταν γὰρ κυμαίνουσαν τῶν εὐσεβῶν ἀνδρῶν ἐν ταῖς ἐκκλησίαις μιμεῖται τὸ πλῆθος· τοιαύτη δὲ καὶ ἡ τῶν ψαλλόντων ἠχή.

v. 8. Ibid. Πάλιν ποταμοὺς τοὺς τῆς διδασκαλικῆς μεταλαγχάνοντας ὠνόμασε, χάριτος καὶ ποταμῶν δίκην τὰ θεῖα προχέοντας νάματα, οὓς κροτεῖν ἔφη θεὸν ἀνυμνεῖν· νενικηκότων γὰρ πάλιν ὁ λόγος. Καὶ πάλιν. Ἴσως δὲ τὰ πλήθη τῶν σωζομένων ποταμηδὸν συνερχομένων, καὶ φωναῖς θεολογικαῖς ἀνυμνούντων τὴν τοῦ κυρίου βασιλείαν, διὰ τῶν ἐν χερσὶ δηλοῦται.

v. 9. B. f. 396. Κατ᾽ ἐξοχὴν τοὺς οἰκειωθέντας αὐτοῦ χρηματίσαι ἐν εὐθύτητι κρίνει· ἐπεὶ εὐθεῖαν καρδίαν καὶ εὐθείας πράξεις ἔχουσιν οἱ λαοί, ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

PSALMUS XCVIII.

v. 2. B. f. 396. b. Πρότερον ἐν Σιών, κατὰ τὴν δόσιν τοῦ νόμου καὶ τῶν προφητῶν μέγας ἐστὶν ὁ κύριος· εἶθ᾽ οὕτως ὑψηλὸς τυγχάνει ἐπὶ πάντας τοὺς ἀπὸ τῶν ἐθνῶν προσερχομένους τῇ πίστει λαούς· δόξα γὰρ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι· ὑψωθεὶς γὰρ ἐκ τῆς γῆς, πάντας εἵλκυσεν πρὸς ἑαυτόν.

v. 5. B. f. 397. Ὑψηλὸν ποιεῖτε, οὐκ ἐκ τοῦ κάτω εἰς τὸ ἄνω ἐπαίροντες αὐτόν, ἴδιον γὰρ σωμάτων τοῦτο, ἀλλ᾽ ὑψηλὰς καὶ ὑπερφυεῖς περὶ αὐτοῦ ἔχοντες νοήσεις.—Λέγεται δὲ ὑποπόδιον αὐτοῦ ἐπὶ τὸ πάλαι νεώ, ὡς ἐν Ἱερεμίᾳ γέγραπται· πῶς ἐγνόφωσε κύριος ἐν ὀργῇ αὐτοῦ τὴν θυγατέρα, κατέῤῥυψεν εἰς γῆν τὸ ἁγίασμα αὐτῆς, οὐκ ἐμνήσθη ὑποποδίου αὐτοῦ; Καὶ μετ᾽ ὀλίγα. Τὸ ὑποπόδιον φησὶν προσκυνεῖν τὴν παγκόσμιον ἐξουσίαν τὴν τότε φανησομένην, ἣ μὴ μόνη τῶν ἡγιασμένων, ἀλλὰ καὶ πάντων κρατεῖ.—Ἐπειδὴ ἅγιοι καὶ οἱ ἱερεῖς καὶ οἱ προφῆται ἐλέγοντο· ἅγιον δὲ τοῦτον οὗ δεῖ τῷ ὑποποδίῳ προσκυνεῖν προσηγόρευσεν· δεῖξαι βούλεται πόσην εἶχεν διαφορὰν πρὸς τοὺς λοιποὺς ἁγίους· αὐτὸς γὰρ ἦν ὁ τῶν ἁγίων ἅγιος· διὰ τοῦτο Μωϋσέως μὲν ὡς νομοθέτου, Ἀαρὼν δὲ ὡς ἀρχιερέως, Σαμουὴλ ὡς ἐξάρχου τῶν προφητῶν, ἐμνημόνευσεν.—Οὐ περὶ μόνων τῶν ἀνδρῶν τούτων ταῦτα λέγεται, ἀλλὰ περὶ πάντων τῶν ἐχόντων τὴν αὐτὴν αὐτοῖς ἀρετήν. Καὶ μετ᾽ ὀλίγα. Τί οὖν ἔχομεν περὶ τούτων εἰπεῖν; ἢ ὅτι τοὺς τὰς αὐτὰς ἀρετὰς ἔχοντας, ὁμωνύμως αὐτοῖς ὠνόμασεν· εἰ δὲ τοῦτο οὕτως ἔχει, δῆλον ὅτι καὶ οἱ πιστοὶ θεράποντες γινόμενοι, πάντες κατὰ Μωϋσέα τυγχάνουσιν· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Ἐπεὶ ὁ τοῦ θεοῦ λόγος βέβαιος καὶ ἀκλινής v. 7. B. f. 397. b.
ἐστί, στύλος εἰκότως καλεῖται, ὡς τὴν καταδεξαμένην αὐτὸν ἐκκλησίαν, στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας εἶναι· ἀλλ᾽ ἐπεὶ καὶ πότιμος καὶ καρπῶν αἴτιός ἐστιν, ὑετοῦ δίκην εἰς τὰς διανοίας τῶν ἀνθρώπων ἐρχόμενος, στύλος νεφέλης ἐστί· τάχα δὲ καὶ προεθεσπίζετο διὰ τούτου ἡ τοῦ σωτῆρος δεῦρο κάθοδος, καθ᾽ ἣν ἐπιβὰς κούφης νεφέλης, εἰς Αἴγυπτον ἧκε τὸν περὶ γῆν τόπον.— Τελείου δὲ ἀνδρὸς καὶ ἔχοντος πάσας τὰς ἀρετάς, τὸ πάντα τὰ μαρτύρια καὶ προστάγματα τοῦ θεοῦ φυλάττειν.

Σὺ ὁ ἡμέτερος καὶ κύριος καὶ θεός, λέγω δὴ v. 8. Ibid.
ὁ τῶν ἐθνῶν βασιλεύς, αὐτὸς ἦσθα ὁ καὶ τὸν ἀμφὶ Μωϋσέα καὶ Ἀαρὼν ἐπακούων.—Ἐν οἷς παιδείας ἐδέοντο, ὥσπερ τὸν Ἀαρὼν ἐπὶ τῇ μοσχοποιΐᾳ, καὶ τὸν Μωϋσῆν ἐπὶ τῇ ἀπιστείᾳ τοῦ ὕδατος τῆς ἀντιλογίας.

PSALMUS XCIX.

Πύλαι τοῦ κυρίου αἱ κατ᾽ εἶδος ἀρεταί, περὶ v. 4. B. f. 398. b.
ὧν καὶ ἐν ἄλλοις εἴρηται· ἀνοίξατέ μοι πύλας αὐτοῦ, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ, ἐν τοῖς κατὰ θεολογίαν ὕμνοις, εἰσεληλυθότες εὐχαρίστως ἐξομολογήσονται τῷ θεῷ.

PSALMUS C.

Ὁ νῦν ᾄδων πραΰνει καὶ καταστέλλει τὰ ἤθη v. 1. Ibid.
τῶν ἀκροατῶν διὰ τῆς ᾠδῆς, κριτὴν τὸν θεὸν

τῶν πραττομένων ἀνθρώποις ὑμνῶν· εἶτ' ἐπεὶ ἀκριβὴς αὐτοῦ ἐστιν ἡ κρίσις, οὐ τὰ φανερὰ μόνον ἀλλὰ καὶ τὰ κρυπτὰ τῆς καρδίας ἐξετάζουσα, σὺν χρηστῇ προθέσει ἐπάγει αὐτήν· εἰ γὰρ τῷ πρὸς ἀξίαν τῶν ἔργων καὶ λόγων καὶ ἐνθυμημάτων ἡμῶν σκοπήσῃ, ἄρδην ἀπολλύμεθα· ἵν' οὖν μὴ τοῦτο γένηται, πρὸ τῆς κρίσεως ἐλεεῖ· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, κύριε, τίς ὑποστήσεται; καὶ ἐπεὶ παρὰ σου ὁ ἱλασμὸς ἐστὶν, πηγὴ γὰρ τυγχάνεις ἀγαθότητος καὶ ἐλεημοσύνης, θαῤῥοῦμεν ὅτι ἐλέῳ καὶ κρίσει ἐξετάζοντός σου τὰ καθ' ἡμᾶς, σωτηρίας τευξόμεθα.

v. 2. B. f. 399. Τῶν διαπορευομένων κατὰ τὰς τοῦ νόμου ἐνεργείας ὅσοι σὺν κακίᾳ κινοῦνται, ἐκτὸς ἑαυτῶν γίνονται, ἐμπαθῶς τοῖς αἰσθητοῖς προσκεχηνότες· ἔθος γοῦν λέγειν τοὺς τοιούτους ἐκτὸς ἑαυτῶν καὶ ἐξεστηκόσας εἶναι· ὁ δὲ σὺν ἀκακίᾳ, τουτέστι σὺν ἀρετῇ, κινούμενος περὶ τὰ πρακτέα καὶ φρονητέα, πρὸς ἑαυτὸν κυκλικῶς τρέφεται ὅλως τοῦ νοῦ καὶ τῆς ἐπιμελείας τοῦ ἔσω ἀνθρώπου γινόμενος, διαπορεύεται μεθ' ἕξεως βελτίστης ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ· οἶκος δὲ ἑκάστου τῶν σπουδαίων ἣν κατορθοῦσιν τὴν ἀρετήν.

v. 3. B. f. 399. b. Οὐ σκοπὸν ἔχω καὶ προκείμενον τέλος παρανομῆσαι· καὶ ἐροῦσι γε τὸ ἐγκείμενον Ἰωσὴφ, Σουσάννα, οἱ ἐν τῇ καμίνῳ τρεῖς παῖδες, καὶ ὅσοι εἰς τὰ τάγματα τούτων συλλέγονται.

v. 3. Ibid. Γέγραπται ἐν τῷ ἐκκλησιαστῇ· ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ· εἰ οὖν εὐθὴς γεγένηται, τὸ κατ' ἀρετὴν ἀρχῆθεν πεποιῶσθαι πᾶσα κακία καὶ σκολιότης ἠθῶν μακρὰν αὐτοῦ ἐστίν· ὅστις οὖν διέμεινε τηρῶν τὴν εὐθύτητα καὶ τὴν πρὸς θεὸν ὁμοιότητα, ταύτην προφέρει τὴν φωνήν.

v. 8. B. f. 400. b. Νεκρουμένων γὰρ τῶν μελῶν τῶν ἐπὶ τῆς γῆς, ὑποπιεζομένου καὶ δουλαγωγουμένου τοῦ σώματος, αἱ ἐκ τῆς σαρκὸς τῶν ἁμαρτημάτων ἀφορμαὶ, οἷαί τε εἰσὶν ἐγεῖραι λογισμοὺς τῇ ψυχῇ τοὺς σπεύδοντας δι' ἡδονῆς ἀπόλαυσιν τὴν ἀνομίαν ποιεῖν.

PSALMUS CI.

v. 1. B. f. 401. Πᾶς ὁ αἰτούμενός τι, οὐκ ἔχων ὃ αἰτεῖται, ἐπὶ τὸ τυχεῖν τούτου ἐρχόμενος διὰ τῆς αἰτήσεως, πτωχός ἐστι· πᾶς οὖν προσευχόμενος θεῷ, ἀγαθῶν αἰτεῖται μετουσίαν, ταύτην ἐξ ἑαυτοῦ ἔχειν οὐ δυνάμενος· ὅθεν καὶ πάντες πρὸς θεὸν πτωχοί· εἰ καὶ μέγας οὖν καὶ βασιλεὺς ὁ Δαυὶδ, ἐν τοῖς ἐκ θεοῦ διδομένοις πτωχὸς ἦν· ὅθεν γνοὺς ἑαυτὸν πολλῶν ἢ πάντων τῶν ἐκ θεοῦ χορηγουμένων λειπόμενον, ἀκηδίας ἀναπίμπλαται, ὡς σφόδρα ἀθυμῆσαι· εἶτα μετὰ τὸ οὕτω διατεθῆναι, ἐκχέει ἐνώπιον κυρίου τὴν δέησιν αὐτοῦ, αἰτούμενος παρὰ τοῦ διδόντος τὰ ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν· ὁ γὰρ μὴ ταῦτα, ἀλλὰ τί τῶν προσκαίρων αἰτῶν, οὐκ ἔχει παῤῥησίαν ἐνώπιον κυρίου ἐκχέειν τὴν δέησιν αὐτοῦ, δι' ἐμπαθῆ προαίρεσιν.

Ἡ μὲν προσευχὴ τὴν ἱκετηρίαν δηλοῖ τὴν πρὸς v. 1. B. f. 401. b.
τὸν θεὸν, καὶ τὴν παράκλησιν· ἡ δὲ δέησις τὴν αἴτησιν, τὴν περὶ ὧν βούλεται αὐτῷ τῷ δεομένῳ παρασχεθῆναι· ταῦτα δέ ἐστι τὰ κυρίως ἀγαθὰ, καὶ τῷ θεῷ πρέπον διδόναι, καὶ τοῖς αἰτοῦσι συμφέρει λαβεῖν· εἴρηται δὲ ἤδη περὶ κραυγῆς τῶν ἁγίων ὑμνούντων θεὸν καὶ εὐχομένων αὐτὸν μεγαλοφώνως, ὅτι ἐστὶν οὐχὶ ἐν προφορᾷ, ἀλλ' ἡ τῆς νοήσεως ἐπίστασις.

Εἴρηται πολλάκις ὀστᾶ εἶναι τοῦ ἔσω ἀνθρώ- v. 4. B. f. 401.
που τὰ εὔτονα τῶν δογμάτων, καὶ αἱ στεῤῥόταται τῆς ψυχῆς δυνάμεις, ἃ καὶ συνφρύγεται ὑπὸ τῆς τῶν ψυχικῶν παθῶν πυρώσεως· ξηρανθῆναι δὲ αὐτοῦ τὴν καρδίαν φησὶν, οὐδὲν ἱλαρὸν ἐφ' ᾧ ἐστὶν ἔχειν θυμηδίαν κεκτημένην· γέγονα γὰρ ἐν τοῖς προκειμένοις περιστατικοῖς τοσούτον, ὡς μηκέτ' οἷόν τε εἶναι τὸν κατάλληλον καὶ ἁρμόδιον τῇ τιμιωτέρᾳ οὐσίᾳ αὐτοῦ ἄρτον τρέφεσθαι· τούτου γὰρ τοῦ ἄρτου μεταλαμβάνειν ἐστὶ, μὴ περιελκόμενον μηδὲ θολούμενον τῶν ἐκτός·

Προφητεύειν αὐτὸν οἶμαι ἐν τούτοις τοῦ θεοῦ v. 17. B. f. 403.
λόγου, αὐτοῦ δὴ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν εἰς ἀνθρώπους θεοφάνειαν, αἰτίαν ἐσομένην τῆς ἀνοικοδομῆς τῆς Σιών· ἔνθα δὴ γενόμενος, μή μοι τὴν ἐπὶ γῆς πόλιν ὑπολάμβανε, μηδὲ τὴν ἐπίγειον Ἱερουσαλὴμ νόμιζε δηλοῦσθαι, ἀλλὰ τοῦ τῆς εὐσεβείας πολιτεύματος τὴν ἀνανέωσιν.

Ἐπειδὴ γὰρ οἱ τὰς θείας οἰκονομίας ἀγνοοῦν- v. 17. B. f. 404.

τες, ἀσθένειαν ὑπελάμβανον τοῦ θεοῦ, τὴν Ἰουδαίων δουλείαν καὶ τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν, εἰκότως δόξαν ἐκάλεσε τοῦ θεοῦ τὴν τῆς πόλεως νεουργίαν.

v. 17. B. f. 405. Ἡ γὰρ σκοπευτικὴ ψυχὴ Σιὼν τυγχάνουσα, ἕξει τοὺς ἐπαγγέλλοντας αὐτῇ διδασκάλους τὸ ὄνομα κυρίου, ἀπαγγέλλοντας δὲ καὶ τὴν αἴνεσιν αὐτοῦ, ἐν τῇ διὰ τὸ ὁρᾷν τὴν εἰρήνην χρηματιζούσης Ἱερουσαλὴμ διανοίᾳ· ἡ δὲ Σιὼν καὶ Ἱερουσαλὴμ κατήγοροι τῷ τῆς ἐκκλησίας, διὰ τὸ σκοπεῖν τὰ κρείττονα, καὶ ὁρᾷν τὴν εἰρήνην τῷ εἱρμῷ καὶ τῇ συμφωνίᾳ τῶν δογμάτων· εἰκότως καὶ ἐν οὕτω καλουμένῃ Σιὼν ἀναγγελθείη τὸ ὄνομα κυρίου, καὶ ἡ αἴνεσις αὐτοῦ ἐν τῇ οὕτω προσαγορευθείσῃ Ἱερουσαλήμ· ἐν ταύτῃ γὰρ κηρύσσεται τὰ τῆς θεότητος αὐτοῦ μυστήρια, τά τε τῆς πρὸ τῶν αἰώνων, καὶ τὰ τῆς δευτέρας αὐτοῦ καὶ ἐνδόξου παρουσίας.

v. 24. B. f. 405. Τίς ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ, οὐ συμφαίνει ἡ λέξις, μήποτ' οὖν τὸν κτιζόμενον λαὸν ἐπὶ τῷ αἰνέσαι κύριον λέγειν· ὅπερ μᾶλλον τὸν ἐν τῇ προγραφῇ πτωχὸν ἀκηδιῶντα καὶ ἐνώπιον κυρίου ἐκχέοντα τὴν δέησιν αὐτοῦ ἡγητέον εἶναι τὸν ἀποκρινόμενον οὐ φωνῇ καὶ προφορᾷ, ἀλλ' ἐν ὁδῷ ἰσχύος αὐτοῦ· ἰσχυρῶς γὰρ καὶ μετ' εὐτονίας ὁδεύοντα τὴν κατ' ἀρετὴν ὁδὸν τῶν πράξεων.

v. 25. B. f. 405. b. Ἐν ἡμίσει δὲ ἡμερῶν ἀνάγεται ὁ μὴ τελείως μηδὲ ὡς δεῖ ἐνταῦθα καρποφορήσας κατὰ τὴν ἀρετήν· οὐκ ἐν χρονικῷ δὲ διαστήματι τοῦτο μεμέτρηται, ἐπεὶ τότε πλήρης ἡμερῶν κατὰ τὸν Ἀβραὰμ παραλαμβάνομαι, ὅταν τελειωθῶ μετὰ τῆς γνώσεως τῆς ἀληθείας καὶ τῶν ἀρετῶν.

v. 26. Ibid. Τουτέστιν ἅμα τῷ οὐσιωθῆναι αὐτὴν πεποίηκας· συμφώνως δὲ τὸ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, δύναται τὸ κατ' ἀρχὰς κείμενον ἀναιρεῖν δόξαν τῶν λεγόντων πάντων τὴν γῆν στοιχεῖον εἶναι, ὡς πάντα ἐξ αὐτῆς γεγονέναι, οὐδενὸς προτέρου αὐτῆς ὄντος· φαίνεται γὰρ οὐκ ἀρχὴ, ἀλλὰ κατά τινας προεπινοουμένας αὐτῆς ἀρχὰς θεμελίους αὐτῆς ὑπάρχειν· εἴρηται καὶ τῷ Ἰὼβ ὑπ' αὐτοῦ τοῦ κυρίου θεμελιώσαντος τὴν γῆν· ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; θεμελιοῦντος δὲ τοῦ κυρίου, δι' οὗ τὰ πάντα γεγένηται, τὴν γῆν· καὶ περὶ τοῦ πατρὸς λέγεται· ὁ θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· καὶ τὸ εἰρημένον δὲ περὶ θεοῦ, κρεμάζων γῆν ἐπ' οὐδενὸς, ἐμφαίνει τὴν ἐν τῷ μέσῳ τὰ τοῦ παντὸς χώραν αὐτὴν ἐσχηκέναι.—Τῶν ἐνεργητικῶν σου δυνάμεων, χειρῶν ὀνομαζομένων· ἐπεὶ γὰρ τῶν ἐν ἡμῖν τεχνιτῶν χερσὶν ἐργαζομένων τὰ ἔργα, παρίστησιν γνησίως αὐτοὺς ταῦτα πεποιηκέναι· τὸ κυρίως ἔργα τοῦ θεοῦ, τὰ κτίσματα εἶναι παρίσταται διὰ τὸ χειρῶν αὐτοῦ ἔργα λέγεσθαι.

Οὐ πεφυκὼς ἀλλοιοῦσθαι ἢ μεταβάλλεσθαι· v. 28. B. f. 405. b.
κτισμάτων γὰρ ἴδιον τοῦτο· καὶ τὴν οὐσίωσιν αὐτοῖς ἀπὸ τροπῆς ἦρχθαι.—Παλαιουμένων πάντων τῶν ὑπὸ χρόνων· τὰ γὰρ χρονικὴν ἀρχὴν ἐν τῷ γίνεσθαι λαχόντα, πολλοῦ χρόνου παρατρέχοντος παλαιοῦται. Καὶ μετ' ὀλίγα. Τὸ δὲ παλαιούμενον καὶ ἐλίσσεσθαι αὐτοὺς σημαίνει, παρεληλυθέναι τὴν χρείαν, καθ' ἣν συνεβάλλοντο τῇ παρούσῃ διακοσμήσει· ὡς γὰρ τὸ περιβόλαιον ἐλίσσεται μετὰ τὸ πληρῶσαι τὴν χρείαν, οὕτως ἐπεὶ καὶ τὸν οὐρανὸν ἅμα τῇ γῇ πάλιν ἀναστοιχείωσις ἔσται, μετὰ τὸ παρελθεῖν αὐτά· κατὰ τὸν λέγοντα σωτῆρα, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται· εἰκότως εἴρηται ὡσεὶ περιβόλαιον ἐλίσσεσθαι· τῇ ἑλίγῃ γοῦν αὐτῷ ἐπιφέρεται, τὸ καὶ
ἀλλαγήσονται.—Σοῦ, ὦ δέσποτα, ἀεὶ κατὰ τὰ v. 28. B. f. 406.
αὐτὰ καὶ ὡσαύτως ἔχοντος, οὔτε ἤρξατο, οὔτε χρονικῶς ἐκλαβεῖν τὰ ἔτη θελήσεις· ἄχρονος γὰρ
περὶ οὗ ταῦτα λέγεται. Καὶ πάλιν. Μὴ ἐκλεί- v. 1.
πειν δὲ αὐτοῦ εἶπεν τὰ ἔτη τῷ ἐπάπειρον τὴν ὕπαρξιν αὐτοῦ μένειν ἄφθαρτον, ὄντως καὶ μόνου ἀθανασίαν ἔχοντος.

Υἱοὺς δὲ δούλων τοῦ θεοῦ, οὐ πάντως κατὰ v. 29. Ibid.
σάρκα διαλαβεῖν, ἀλλὰ κατὰ παίδευσιν καὶ μίμησιν πολιτείας· ταύτῃ γὰρ καὶ οἱ υἱοὶ τῶν προφητῶν τινὲς ἐκαλοῦντο, τῷ κατὰ προφητικὴν ἕξιν ἴσως γεγενῆσθαι παρ' αὐτῶν.—Σπέρμα δὲ αὐτῶν οἱ πρὸς αὐτῶν ὠφελούμενοι ἐτύγχανον.

PSALMUS CII.

Εἰ καὶ μὴ ἄλλος ὁ συνθετὸς ἄνθρωπος παρὰ v. 1. B. f. 406. b.
τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐξ αὐτῶν γὰρ τούτων

συντέθειται, ἀλλά γε τοῦ ὅλου ἡ ψυχὴ λέγεται, ὡς ἄλλη αὐτοῦ· ὁ σύνθετος οὖν ἐστὶν ὁ παρορμῶν τὴν ἑαυτοῦ ψυχὴν ἐπὶ τὸ εὐλογεῖν τὸν κύριον· καὶ οἱ τὴν ψυχὴν δὲ λέγοντες εἶναι τοῦ πνεύματος, οὐχ ὡς ψύχουσαν αὐτῷ φασὶν, ἀλλ' ὡς ὑπ' αὐτῷ καὶ τὴν αὐτοῦ κηδεμονίαν τυγχάνουσαν· ἐντὸς δὲ αὐτοῦ καλεῖ πᾶσαν τὴν λογικὴν τοῦ ἀνθρώπου δύναμιν· οὕτω γὰρ ἀκουστέον καὶ τοῦ σωτῆρος λέγοντος τισὶν, ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστίν.

v. 3. B. f. 407. Ἴασαι φησὶν τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι· λυτροῦται δὲ ζωὴν ἐκ φθορᾶς, ἵνα μηκέτι κατὰ φθορὰν καὶ ἐμπαθῆ ζῇς ζωὴν, ἀλλ' ἐν ἀφθαρσίᾳ ἀγαπῶν τὸν κύριον Ἰησοῦν· καὶ ἄφθαρτον δὲ παρέχων σοι σῶμα ἐν τῇ ἀναστάσει, λυτροῦται ἐκ φθορᾶς τὴν ζωήν σου.

v. 4. Ibid. Τῆς ὕλης τοῦ στεφάνου τούτου ἐλεημοσύνης καὶ οἰκτειρμοῦ τυγχανούσης· ὡς γὰρ ἄλλοι τὸν τῆς δικαιοσύνης στέφανον, καὶ τὸν ἀμαράντινον τῆς δόξης στέφανον δέχονται ἐκ δικαιοσύνης καὶ δόξης ὀρθῆς πεπλεγμένον, οὕτω καὶ σὺ ἐξ ἐλέους καὶ οἰκτειρμοῦ ὧν εἰργάσω στεφανοῦσαι· κατὰ τὸ, μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· οὐ τοσοῦτον δι' ἃ ἠνδραγαθήσω ἐν τῷ ἀγωνίζεσθαι, ὅσον διὰ τὸ ἐλεῆσθαι καὶ οἰκτείρεσθαι ὑπὸ κυρίου.—Στεφανοῖ ἡμᾶς οὐ πρὸς τὴν ἡμετέραν σκοπῶν ἄθλησιν, ἀλλὰ πρὸς τὸν ἑαυτοῦ ἔλεον καὶ οἰκτειρμόν.

v. 5. Ibid. Διδοὺς γὰρ ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν· ἐπεὶ οὖν καὶ αὐτὸ τὸ ἐπιθυμεῖν τῶν ἀγαθῶν, αἰτεῖσθαι αὐτὰ τυγχάνειν, διδοὺς σοι πάντα τὰ ὧν ὀρέγῃ, ἐμπιμπλᾷ ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· τοῦ
B. f. 407. b. γὰρ δικαίου πᾶσα ἐπιθυμία ἀγαθή ἐστιν.—Ὡς γὰρ τὸ ὄρνεον τοῦτο γηρᾶσαν ἀποτιλλοῦται, ἵνα αὖθις νέα ἕτερα φύσει, οὕτω καὶ ὁ συγγηράσας τῇ κακίᾳ ἀνανεωθῇ τῆς ἀρχαιότητος καὶ τῆς νεότητός σου ἐν ἀπολήσει γινομένη· ἐν οἷς ποτὲ ἐχρῶ ἰσχυροῖς οὖσιν· καὶ νῦν χρωμένη μετέωρος εἰς οὐρανὸν ἀρθεὶς πρὸς πάντας ἅμα σοὶ τὸν θεὸν ὑπομεμενηκότας· οἱ γὰρ ὑπομένοντες τὸν κύριον ἀλλάξουσιν ἰσχὺν, πτεροφυεῖς εἰσὶν, ὡς ἀετοὶ δραμοῦνται καὶ οὐ κοπιάζουσιν.

v. 6. B. f. 407. b. Πατὴρ τῶν οἰκτειρμῶν καὶ μόνος ἀγαθὸς ὢν ὁ κύριος, ἐλεημοσύνας ποιεῖ, πάντας ἐλεῶν εὐεργετῶν· ὅθεν καὶ τοῖς ἀδικουμένοις ὑπὸ διαβόλου καὶ τῆς κακίας ποιῶν κρῖμα, τὸν ἴδιον υἱὸν ἔπεμψεν ἐπὶ τὸ ἰάσασθαι καὶ ἐλευθερῶσαι τοὺς καταδυναστευομένους ὑπὸ τοῦ σατανᾶ.—Ὅπως διὰ τοῦ αἵματος τοῦ κυρίου αὐτοῦ Ἰησοῦ Χριστοῦ καθαρισθῶμεν ἀπὸ πάσης ἀδικίας· οὐ μόνον γὰρ καθ' ἣν ἠδικούμεθα, ἀλλὰ καὶ ἧς ἐπράττομεν· ἐντεῦθεν μανθάνομεν κατὰ τὴν Παύλου προτροπὴν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν· τοῖς μὲν γὰρ ἀδικουμένοις ὁ θεὸς ποιεῖ κρίμα, εὐεργετῶν αὐτούς· τοῖς δὲ ἀδικοῦσιν κόλασιν ἐπιφέρων· ὡς μὴ κληρονομεῖν αὐτοὺς θείαν ἐπαγγελίαν· ἄδικοι γὰρ βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.

Ἐκ παραλλήλου ἀρεταὶ καλοῦνται· ὁ γὰρ λέ- v. 7. Ibid.
γων, τὰς ὁδούς σου κύριε γνώρισόν μοι, τὰς ἀρετὰς ἀξιοῖ φανερὰς αὐτῷ γενέσθαι.

Τούτων δὲ, φησὶν, αἴτια τῶν ἀγαθῶν, τῆς v. 8. Ibid.
θείας ἀγαθότητος ἄβυσσος, ὁ ἀμέτρητος ἔλεος, τῆς φιλανθρωπίας τὸ πέλαγος.

Ἔστι πάντα τὰ εἰρημένα ὁ κύριος, ἐπείπερ v. 9. B. f. 408.
ἀληθινὸς ἐστὶν θεός· ὢν δὲ θεὸς ἀληθινὸς, οὐκ ἐνέξει τῶν εἰρημένων ἀρετῶν, ἀλλὰ πηγὴ οὐκ οὐσία αὐτῶν ὑπάρχει, δι' ὃ καὶ θαῤῥοῦμεν ὅτι κἂν ποτε ἁμαρτήσασιν ἡμῖν ὀργισθείη, οὐκ ἐπὶ τὸ συντελέσαι καὶ ἀποτελέσαι τοῦτο ποιεῖ· τοῦτο γὰρ ἦν τὸ εἰς τέλος ὀργισθήσεται, τουτέστι παραμένειν τὸ, ὀργίζεσθαι ἕως τέλους καὶ φθορᾶς τῶν πρὸς οὓς ἡ ὀργή· μὴ εἰς τέλος οὖν ὀργιζόμενος, οὐδ' εἰς τὸν αἰῶνα μηνιεῖ.

Εἰ γὰρ καὶ μὴ πᾶσα ἡ κατασκευὴ ἡμῶν ἐκ v. 14. B. f. 408.
χοῦ ἐστὶν, ἔχομεν γὰρ καὶ νοερὰν φύσιν ἑαυτοῖς κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ τυχοῦσαν, ἀλλά γε ἐν ταῖς πρὸς θεὸν ἱκεσίαις συλλήπτορα καὶ εὐεργέτην ἔχειν αὐτὸν ἀξιοῦντες τὸ ὑποδεέστερον καὶ ἀσθενέστερον τῶν ἐν ἡμῖν προφέροντες φαμὲν, μνήσθητι κύριε ὅτι χοῦς ἐσμέν· διὸ βοήθησον τῇ ἀσθενείᾳ καὶ τῇ εὐτελείᾳ ἡμῶν.

Ἀκολούθως τῷ, μνήσθητι κύριε ὅτι χοῦς ἐσμὲν, v. 15. Ibid.
οὐ περὶ τοῦ ἔσω ἀνθρώπου, ἀλλὰ περὶ τοῦ ἔξω τὰ προκείμενα διαγορεύει· κατὰ γὰρ τὴν ἔνυλον καὶ μετὰ σαρκὸς ζωὴν, ἡμέρας τινὰς ἔχομεν τὰς συμπληρούσας ἡμῖν τὸν παρεκτείνοντα χρόνον τῆς

μετὰ σαρκὸς ζωῆς παραβαλλομένας χόρτῳ ξηραινομένῳ. Καὶ μετ' ὀλίγα. Παρίστησι δὲ ταύτας ἐν τῷ βίῳ ὑπαρχούσας τοῖς μετὰ σαρκὸς ζῶσι δοκούσας εὐημερίας, πλούτους, δόξας, ἀξιώματα, καὶ τὰς ἄλλας εὐπραγίας· ἅπερ δίκην ἄνθους καὶ χόρτου ἀποῤῥεῖ καὶ μαραίνεται, ὡς μηδὲ γεγονέναι δοκεῖν.

v. 16. B. f. 408. b. Πνεῦμα τὴν ψυχὴν λέγει, ἧς παρούσης καὶ ζῇ τὸ σῶμα καὶ ἐνεργεῖ· ἀποπτάσης δὲ, κατασβέννυται καὶ φθείρεται, ὡς μηδὲ τοὺς προτέρους ἐπιγινώσκεσθαι χαρακτῆρας.—Δηλαδὴ τῶν ἐν τῷ παρόντι θνητῷ βίῳ.

v. 17. Ibid. Ἡ μὲν οὖν φύσις οὕτως ἐπίκαιρος· ἡ δὲ θεία φιλανθρωπία τὸν μακραίωνα χαρίζεται βίον, καὶ μέχρις ἐγγόνων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομένην τοῖς δικαίοις ἀντίδοσιν· τοιαῦτα δ' ἂν μυρία εὕροις ἐν ταῖς ἱστορίαις· διὰ γὰρ τὴν τοῦ Ἀβραὰμ δικαιοσύνην, καὶ διὰ τὴν τοῦ Ἰσαάκ τε καὶ τοῦ Ἰακὼβ, τὸν ἐξ αὐτῶν φύντα μετὰ ταῦτα λαὸν τῆς κλήσεως καὶ τῆς οἰκείας ἐπισκοπῆς κατηξίωσεν.—Υἱοὺς τῶν δικαίων ἀνδρῶν τοὺς τῶν ἔργων αὐτῶν ζηλωτάς· οὕτω τὸ ἔλεος τὸ ἐπὶ τοὺς φοβουμένους αὐτὸν ἀπερίγραφον ἐστὶν, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος παρατείνων· οὐ γὰρ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ οὔ· φύσει γὰρ ἀγαθὸς ὢν, ἀεὶ ἐλεεῖ. Καὶ μετ' ὀλίγα. Ἀλλὰ καὶ ἡ σύζυγος τῷ ἐλέει τούτῳ δικαιοσύνη, οὐδὲ αὐτὴ περιοριζομένη χρόνῳ, εἰς πάσας ἐκτείνεται τὰς γενεὰς, ἐπὶ υἱοὺς υἱῶν, καὶ εἰς πᾶσαν διαδοχὴν παραμένουσαν, ὡς ἀεὶ τὴν δικαιοσύνην ταύτην ἔχει, μετὰ τοῦ ἐξ αἰῶνος εἰς αἰῶνα ἐλέου.—Οἳ καὶ ἐναπεγράφησαν διὰ τοῦ πράττειν τὰ ἀγαθὰ κληρονόμοι τῶν μελλουσῶν ἐπαγγελιῶν.

v. 18. B. f. 409. Δέδονται γὰρ αὗται οὐκ ἐπὶ τῷ μνήμην αὐτῶν ψιλὴν, ἀλλὰ μνήμην εἰς τὸ ποιῆσαι· ὅτι δὲ εἰς τὸ ποιεῖν δέδονται, καὶ ὁ σωτὴρ παρίστησιν εἰπών· ὁ ἔχων τὰς ἐντολάς μου καὶ ποιῶν αὐτὰς, ἐκεῖνος ἐστὶν ὁ ἀγαπῶν με· τῆς γὰρ ποιήσεως, ἀλλ' οὐ τῆς μνήμης αὐτῶν μόνης, μισθὸς καὶ κληρονομία αἱ ἐπαγγελίαι.

v. 19. Ibid. Καὶ ἐν ἄλλοις εἴρηται οὐκ ἐν τόπῳ εἶναι τὸν θεὸν, ἀκολουθίᾳ δέ τινι καὶ οἰκονομίᾳ λέγεσθαι αὐτὸν οἰκεῖν ἐν οὐρανῷ· ἀκολούθως οὖν ἐκείνοις καὶ ἐνταῦθα ἐν οὐρανῷ ἡτοιμακέναι, τουτέστιν ἱδρυκέναι, τὸν θρόνον τῆς βασιλείας εἴρηται, τῆς ἀρχῆς αὐτοῦ καὶ βασιλείας οὐ μόνον τῶν ἐν οὐρανῷ, ἀλλὰ καὶ πάντων ἁπαξαπλῶς κρατούσης καὶ δεσποζούσης.

Οὐ τὸν προφήτην ἄνθρωπον ὄντα, ἀλλὰ τὸ v. 20. B. f. 409.
ἐν αὐτῷ πνεῦμα ἅγιον ἡγητέον προστάττειν τοῖς ἀγγέλοις τὰ ἐγκείμενα· πάντες γάρ φησιν οἱ ἄγγελοι αὐτοῦ, δηλονότι τοῦ κυρίου, εὐλογεῖτε αὐτόν· προστάττων δὲ πᾶσι τοῖς ἀγγέλοις, τὸ πνεῦμα ἕτερον αὐτῶν κατ' οὐσίαν ἐστίν· εἰ δὲ τοῦτο, πῶς θρασέως ἐτόλμησαν τινὲς τῆς τάξεως τῶν ἀγγέλων αὐτὸ φᾶναι καὶ τὸ ἁπάντων ἕτερον ὄν;

PSALMUS CIII.

Τὸν ἀνωτέρω ἡμῶν ἀέρα, καὶ νεύοντα πρὸς v. 3. B. f. 411. b.
θεὸν αἰθέρα ὕδασι τοῖς κατὰ τὰς συστροφὰς τῶν νεφελῶν στεγάζει· πρὸς δὲ διάνοιαν, τὴν νοητὴν οὐσίαν τὸν οὐρανὸν ὀνομάζει, ἐκτεινομένην καὶ ἁπλουμένην ἐπὶ σκέπειαν τοῦ νοῦ· ὁ στεγάζων τοῖς νοητοῖς καὶ θείοις ὕδασι τὰ ὑπερῷα τῆς ψυχῆς, τουτέστι τὰς δυνάμεις αὐτῆς τὰς ὑπεράνω τῶν αἰσθητῶν τυγχανούσας.

Τὴν ἀμέτρητον τοῦ θεοῦ γνῶσιν λέγει ἄβυσ- v. 6. B. f. 412. b.
σον· ταύτην διὰ τὴν ἀκατάληπτον καλλονὴν, ἐνδέδυται καὶ περιβέβληται· διόπερ ἐστὶν ἄγνωστος ἐν τῷ μεγέθει τῆς γνώσεως.

Αἰσχύνεται οἶον τὴν ψάμμον ἡ θάλασσα· v. 9. B. f. 413.
καθάπερ χαλινῷ τῷ ὅρῳ τῷ θείῳ κωλυομένη ἀναχαιτίζεται πάλιν, καὶ εἰς τοὐπίσω χωρεῖ.

Τὸ γένος τῶν ἐλάφων πολεμίως ἔχει πρὸς τὸ v. 18. A. f. 315. b.
τῶν ὄφεων γένος· σπεύδουσι γοῦν ἀνελεῖν αὐτούς· τοιοῦτοι δὲ πάντως οἱ Χριστοῦ μαθηταὶ, ἑτοίμως ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν· ἔσχον δὲ καὶ τὴν κατὰ τῶν νοητῶν ὄφεων δύναμιν ἐκ τοῦ ὀρέξοντος ἐξουσίαν αὐτοῖς πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Εἰς εὔκαιρον δὲ προσδοκῶσιν ταύτης τυχεῖν, v. 27. B. f. 418.
ὅταν πάσης καχεξίας καὶ νόσου ὦσιν ἀπηλλαγμένοι· τότε γὰρ διδομένης ταύτης συλλέξουσιν, τοσοῦτον σπεύδοντες αὐτὴν λαβεῖν ὅσον εἰς κό-

B. f. 318. b. ρον τραφῆναι.—Περὶ τῶν λογικῶν μόνων εἴρη-
ται· τὸ γὰρ προσδοκᾷν καὶ πρὸς θεὸν ἔχειν τὴν
προσδοκίαν, τοῦτο αἰνίττεται.

v. 31. B. f. 419. b. Οὐχ ὡς δεόμενος τέρπεται προσκυνούμενος,
ἀλλ' ὡς σώζειν βουλόμενος τὴν ἀλήθειαν δείκνυ-
σι· καὶ κολάζειν δυνάμενος, οὐκ ἐπιφέρει τὴν κό-
λασιν.—Εἰ δὲ σοὶ βούλεται πνευματικῶς ἔχειν
ταῦτα, ὡς ἂν ἐπιβλέπῃ θεὸς, κατὰ τὸ, ἐπίβλε-
ψον ἐπ' ἐμέ· καὶ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους·
τοῦτο οὐκ ἔστι κατὰ γῆνα, ἀλλὰ σκοτοδινι-
ῶντα τρέμει, ὡς ἀποβληθῆναι καὶ παρελθεῖν τὴν
ὑλικὴν ἕξιν.

v. 32. B. f. 419. b. Ἐφαπτόμενος δὲ ὁ θεὸς καὶ τῶν πονηρῶν δυν-
άμεων διὰ τὴν ὑπερηφανίαν ὀρῶν καλουμένων,
καπνίζει αὐτὰς, ἐναύσματα ἤδη αὐταῖς ἐνιεὶς
τῆς διὰ πυρὸς κολάσεως.

v. 33. B. f. 419. b. Τοῦτο τῆς ζωῆς τὸ κέρδος, ἐπὶ τοῦτο καὶ ζῆν
ἄξιον· διὰ τοῦτο δεινὸς ὁ θάνατος, ὁ κατασιγά-
ζων τὸν ὑμνητήν· ἀπωλεία τε ὁ θάνατος· διότι
οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, καὶ
μόνον ἡ ὕπαρξις ἡ ζωή· ὅτι οἱ ζῶντες, σὲ φη-
σὶν αἰνέσουσιν· ἐν γὰρ τῇ πρὸς τὸν ὄντα συν-
αφείᾳ τὸ εἶναι ἔχομεν.—Τοῦ ᾄσματος οὐκ ἐν
φωνῇ ἀλλ' ἐν νοήσει τὴν ὕπαρξιν ἔχοντος· ψαλῶ
δὲ καὶ ἐν πράξεσι τελείαις τῷ θεῷ, ἕως ὕπαρ-
ξιν ἔχων, καθ' ἣν μετέχω τοῦ ὑπάρχοντος πρὸ
τῶν αἰώνων, καὶ εἰπόντος, ἐγώ εἰμι ὁ ὤν.

v. 34. B. f. 420. Οὕτω γὰρ καὶ αὐτὸς ὁ Χριστὸς τὴν ἐκκλη-
σίαν ἀποδεξάμενος φησὶν ἐν τῷ ᾄσματι τῶν ᾀσ-
B. f. 420. b. μάτων, ἡ φωνή σου ἡδεῖα.—Ἐπὰν ὁ δηλούμε-
νος ἐνστῇ καιρὸς, ὁ τῆς τοῦ θεοῦ δικαιοκρισίας,
ἐγὼ μὲν εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ· εἴ γε νῦν
κατὰ τὸν ἐνεστῶτα καιρὸν ἡδυνθείη αὐτῷ ἡ δια-
λογή μου.

PSALMUS CIV.

v. 4. B. f. 421. b. Ὥσπερ κατὰ τὴν ἱστορίαν διηνεκῶς Σαμουὴλ
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου λειτουργῶν ἑώρα τὸ
τοῦ θεοῦ πρόσωπον, οὕτως οἱ συνεχῶς καὶ ἀδια-
στάτως ἐξετάσει δογμάτων τῆς ἀληθείας καὶ
πράξει τῶν ἀρετῶν ἐπιδεδωκότας σφᾶς, διὰ παν-
τὸς ζητοῦσι τὸ πρόσωπον τοῦ θεοῦ, ἰδεῖν αὐτὸ
νῷ καθαρῷ βουλόμενοι· πρόσωπον δὲ θεοῦ ὁ χα-
ρακτὴρ τῆς ὑποστάσεώς ἐστι, τυγχάνων εἰκὼν
τοῦ θεοῦ τοῦ ἀοράτου· δι' ὃ καὶ ὁ ὁρῶν αὐτὸν,
εὐθὺς ὁρᾷ τὸν πατέρα.

Ἐπειδὴ γὰρ τῶν ἐν Αἰγύπτῳ γεγενημένων v. 5. A. f. 421.
ποιεῖται διήγησιν, προδιδάσκει τῆς Αἰγυπτίων
τιμωρίας τὸ δίκαιον· στόμα δὲ αὐτοῦ, τὸν λόγον
αὐτοῦ νοήσεις, ὃς καὶ νομοθέτου καὶ ἀκριβοῦς
παιδευτοῦ δίκην κεκριμένα παιδεύματα καὶ πα-
παραγγέλματα ὑμῖν δέδωκεν.

Ὁ τῶν χιλίων γενεῶν ἀριθμὸς οὐ κατὰ πλῆ- v. 8. B. f. 422.
θος εἴρηται, ἀλλὰ διὰ τὴν πρὸς μονάδα οἰκεί-
ωσιν· ὥσπερ καὶ ἐν τῷ, χιλιάδες εὐθηνούντων·
καὶ ἔτι· ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου
ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Τὸ βραχεῖς ἀντὶ ὀλίγων εἶπεν· τὸ γὰρ βρα- v. 12. B. f. 423.
χὺ ἐπὶ μεγέθους κεῖται· τὸ δὲ ὀλίγους, ἐπὶ ἀριθ-
μητῶν τάττεται.

Τοὺς πόδας αὐτοῦ μόνους ἐταπείνωσεν ἐν πέ- v. 18. B. f. 424.
δαις, τῆς ψυχῆς αὐτοῦ οὐ συνδεθείσης, καὶ ἔξω
τοῦ σιδήρου γεγενημένης· ὅσοι γὰρ δεσμοῖς περι-
βαλλόμενοι, ἀγεννῶς τὴν περίστασιν φέρουσιν,
καμφθεῖσαν ὑπὸ τοῦ σιδήρου τὴν ψυχὴν ἔχουσι·
τοῦτο δὲ ὑπέμεινεν οὐχ εἰς ἅπαντα· περιορίζει
γὰρ τῆς περιστάσεως τὸ τέλος, εἰπὼν αὐτὴν
κεκρατηκέναι, μέχρις οὗ διῆλθεν ὁ τοῦ θεοῦ λό-
γος, καθ' ὃν ἐκ τοῦ δεσμωτηρίου μεταςαλεὶς,
κηδεμὼν καὶ τροφεὺς πάντων κεχειροτόνητο.

Ἐπὶ τῷ ζέειν τῷ πνεύματι καὶ ἐξημμένον v. 19. B. f. 424.
αὐτῷ ἔχειν τῷ θείῳ φωτί· καθ' ὃ καὶ τηρεῖν
δυνατὸν παραίνεσιν λέγουσαν, τὸ πνεῦμα μὴ
σβέννυται.

Καὶ αὐτὸς δὲ Ἰωσὴφ οἶδεν τοῦτο τὸ δόγμα· v. 20. B. f. 425.
διὸ πρὸς τοὺς αἰτίους ἔφη· οὐχ ὑμεῖς ἀπεστάλ-
κατέ με ὧδε· ὑμεῖς μὲν γὰρ εἰς κακὸν ἐβουλεύ-
σασθε, ὁ δὲ θεὸς εἰς ἀγαθόν.

Ἐπεὶ μὴ πάντες οἷοί τε εἰσὶν ἐξ ἑαυτῶν v. 22. B. f. 425.
ἀναχωρεῖν τῶν βλαβερῶν, τοῖς οὕτως ἀσθενοῦ-
σιν ἀποστελεῖ θεὸς τοὺς δυναμένους ὁδηγοὺς καὶ
ἡγεμόνας τῆς ὁδοῦ τῆς ἐπὶ τὰ ἀγαθὰ φερούσης·
εἰσὶ δὲ οὗτοι ὁ θεοῦ νόμος, Μωϋσῆς, καὶ ὁ ἀρ-
χιερατικὸς λόγος, οὗ σύμβολον Ἀαρών.

Τούτων ὁ παρὼν λόγος ὡς ἐν ὑμνολογίᾳ μνη- v. 26. Ibid.
μονεύει, διδάξαι βουλομένος ὡς τοῦ λαοῦ κηδό-

μενος ὁ θεὸς, τοὺς ἀδικήσαντας αὐτὸν Αἰγυπτίους μετῄει καὶ ἐκόλαζεν, οὐ διά τι τῶν μεγάλων ἐπιφέρων, οὐ γὰρ ἠπόρει ἡ παντοδύναμος χεὶρ ἀθρόον αὐτοῖς ὀργὴν ἐπιπέμψαι, ἢ θρασεῖς λέοντας ἢ ἄρκους ἢ λιμὸν ἢ θάνατον· διὰ δὲ τῶν εἰρημένων αὐτοὺς ἐτιμωρεῖτο, ἠρέμα καὶ αὐτοὺς εἰς μετάνοιαν προκαλούμενος 1).

PSALMUS CVI.

v. 1. B. f. 434. Καὶ ὁ προκείμενος ψαλμὸς περιέχων θεοῦ εὐεργεσίας καὶ ἐλεημοσύνας πρὸς τοὺς ἀνθρώπους γεγενημένας, ἑνὸς αὐτοῦ τυγχάνων προτεταγμένον ἔχει τὸ ἀλληλούϊα.

v. 19. B. f. 437. Ἔτι βαδιζόντων τὴν τῆς ἀνομίας αὐτῶν ὁδὸν, ἀντελάβετο αὐτῶν ὁ θεὸς ἐλέῳ· ἐπείπερ διὰ πλῆθος ὧν εἶχον ἀσεβειῶν ταπεινωθέντες ἠνίσχοντο τοῖς ἀφ' ὧν αὐτοὺς ἐξήγαγεν· καὶ ὅρα εἰ δύναται ἐφαρμόσαι τούτοις τὸ περὶ τοῦ ἐν τῷ σταυρῷ μετανοήσαντος λῃστοῦ· ἔτι γὰρ ἐν ὁδῷ ἀνομίας ὄντος αὐτοῦ, διὰ λῃστείαν γὰρ κέκριτο, καὶ ταπεινωθέντος κολάσει διὰ τὰς ἀνομίας ἃς εἶχεν, ἀντελάβετο αὐτοῦ, εἰπὼν πρὸς αὐτόν· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

v. 20. B. f. 437. b. Τίνας αὐτοὺς ἰάσατο, ἢ τοὺς προκατειλεγμένους; τούτους γὰρ τοὺς τοσαῦτα πεπονθότας, καὶ ἐν τοσούτοις κακοῖς ἐξητασμένους, ἀποσταλεὶς ἄνωθεν παρὰ τοῦ πατρὸς ὁ μονογενὴς υἱὸς ἰάσατο, καὶ ἐῤῥύσατο ἐκ τῶν διαφθορῶν αὐτῶν· ὡς μηκέτι κατὰ τὸ παλαιὸν πλανᾶσθαι, μηδὲ τὴν ὁδὸν τῆς σωτηρίας, καὶ τὴν πόλιν τοῦ θεοῦ, ἐφ' ἣν σπεύδειν ὁ λόγος παρακελεύεται ἀγνοεῖν δὲ μηδὲ πεινεῖν καὶ διψεῖν * καὶ τὰς ψυχὰς λιμώττειν δι' ἔνδειαν καὶ σπάνιν λογικῶν τροφῶν· μηδὲ ἐν σκότει καὶ σκιᾷ θανάτου καθέζεσθαι, μηδὲ ἐν πτωχείᾳ καὶ σιδήρῳ πεπεδῆσθαι, μηδὲ εἱλεῖσθαι περὶ τὰς τοῦ θανάτου πύλας, ἀλλὰ τούτων μὲν ἁπάντων ἀπηλλάχθαι· γνωρίζειν δὲ μὴ μόνον ἀλλὰ καὶ ὁδεύειν τὴν ὁδὸν τὴν φέρουσαν ἐπὶ τὴν οὐράνιον πόλιν, καὶ σπεύδειν τυχεῖν τῆς τῶν οὐρανῶν βασιλείας.

* ita cod.

v. 22. B. f. 438. Οὐ τὰς διὰ Μωϋσέως παρηγγελμένας, ἀλλὰ θυσίας τὰς διὰ τῆς καινῆς διαθήκης παραδεδομένας· ὁ γοῦν Ἀκύλας ἀκριβέστατα ἡρμήνευσεν, εἰπών· καὶ θυσάτωσαν θυσίαν εὐχαριστίας· σαφῶς διὰ τῆς τοιαύτης ἑρμηνείας, τὰς τῆς καινῆς διαθήκης, ἃς καὶ εὐχαριστίας ὀνομάζειν ἡμῖν ἔθος, παραστήσας τὰς λογικὰς καὶ ἀναιμάκτους 2)· θύοντας δὲ ταύτας, ἐξαγγέλλειν παρακελεύεται εἰς πάντας ἀνθρώπους τὰ εἰς αὐτοὺς γεγενημένα τοῦ θεοῦ λόγου κατορθώματα, καὶ τοῦτο πράττειν ἐν ἀγαλλιάσει.

v. 21. B. f. 438. Ἐξαγγέλλει δὲ ἐν ἀγαλλιάσει τὰ ἔργα αὐτοῦ πᾶς ὁ τὰ εἰς ἑαυτὸν γινόμενα ἐξαγγέλλων, καὶ πεῖραν ἐσχηκὼς τῆς αὐτοῦ εὐεργεσίας, οὐχ ὁ ἁπλῶς εἰς ἑτέρους γενόμενα διηγούμενος.

v. 26. B. f. 438. b. Καθ' ὑπερβολὴν εἴρηται· καὶ γὰρ τοῦ τοιούτου τρόπου εὕροις ἂν μυρία παραδείγματα ἐν τῇ γραφῇ· περὶ γὰρ τῶν πόλεων τῶν τοῦ Ἰσραὴλ ἐχθρῶν ὅτι τετειχισμέναι ἦσαν ἕως τοῦ οὐρανοῦ, διὰ τὸ ἄγαν ὑψηλοῖς τετειχίσθαι τείχεσιν· καὶ τὸ, ὑπὲρ χιόνα δὲ λευκανθήσομαι.

v. 32. B. f. 439. Μετὰ τὰ εἰρημένα περὶ τῶν ἀποστόλων, καὶ τῆς ἐκκλησίας, σαφῶς μνημονεύει καὶ τοῦ τεθειμένου ἐν αὐτῇ πρεσβείου· ἔδει γὰρ ὡς ἐν ἀγαθῶν εὐαγγελίοις, καὶ τούτων τὴν μνήμην παρειληφθῆναι· προστάττονται δὲ οἱ δηλωθέντες ὑψοῦν τὸν ἑαυτῶν κύριον ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν αὐτόν.

v. 33. B. f. 439. b. Τίνες οὗτοι; οἱ ἐκ τοῦ προτέρου λαοῦ τοῦ ἐκ περιτομῆς· μεγάλων γὰρ οὗτοι προτέρων ἀγαθῶν ἠξιωμένοι, εἰς τοὐναντίον περιετράπησαν. Καὶ μετ' ὀλίγα. Ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ καὶ οὐκ ἐξ ἄλλου τινός· καὶ πᾶν δὲ τὸ ἔθνος αὐτῶν, πάντων ἐστέρηται τῶν πάλαι ὑπαρχόντων αὐτοῖς ἀγαθῶν· ὡς μηκέτι προφητῶν ἀξιοῦσθαι, μήτε ἀγγέλων ἐπιφανείας· καὶ πάντα δὲ αὐτῶν τὰ σεμνὰ καθῄρεται, ἡ μητρόπολις, τὸ ἱερὸν, τὰ ἅγια τῶν ἁγίων, τὸ βασίλειον, ἡ ἱερωσύνη· ἀλλὰ καὶ δοῦλοι ἀντ' ἐλευθέρων γεγόνασι, καὶ νόμοις ἐθνῶν ὑπήκοοι, οἱ πρὶν αὐτόνομοι κατέστησαν· καὶ ταῦτα πάντα ὑπομεμενήκασι διὰ τὰς αὐτῶν κακίας καὶ πονηρίας.

v. 35. Ibid. Ἡ ἐξ ἐθνῶν ἐκκλησία τὸ πρὶν οὖσα θεοῦ ἔρημος καὶ πάντων ἀγαθῶν ἄγονος τε καὶ ἄκαρ-

1) Nihil Didymi est ad ps. 105. sive in cod. vat. B, sive apud Corderium. — 2) Testimonium pro sacrificio ss. missae.

ποσ, μεταβέβληται εἰς λίμνας ὑδάτων· καὶ ἡ πάλαι πρότερον ἄνυδρος, γέγονεν εἰς διεξόδους ὑδάτων.

v. 36. B. f. 439. b. Καὶ κατῴκησαν ἐν αὐτῇ οἱ πάλαι πεινῶντες καὶ οἱ πρὶν ἀπολλύμενοι, καὶ πάσῃ πολυθέῳ πλάνῃ καλινδούμενοι, ἀπὸ τῆς μακρᾶς πλάνης πύργον καταφυγῆς εὑρίσκοντες, καὶ ἀγαθὸν λιμένα τὴν εὐαγγελικὴν διδασκαλίαν.—Τὴν ἔνθεον πολιτείαν τούτων δηλοῦντος τοῦ λόγου τὸν τρόπον· ἔνθα κατῳκίσθησαν οἱ πρὶν πεινῶντες· αὐτοὶ δὲ οὗτοι, μετὰ τὴν εἰς αὐτοὺς ἀποστολὴν, τοῦ Ἰησοῦ τοῦ θεοῦ, τυχόντες καὶ τῆς παρ' αὐτοῦ βοηθείας τε καὶ ὠφελείας, συνέστησαν πόλιν κατοικητηρίου, καὶ κατῴκησαν ἐκεῖ οἱ πάλαι πεινῶντες, παυσάμενοι μὲν τοῦ πάλαι πιέζοντος αὐτοῖς θείων καὶ λογικῶν τροφῶν λιμοῦ, τῆς δὲ οὐρανίου τροφῆς ἀπολαύειν κατηξιωμένοι.

v. 37. B. f. 440. Οἱ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω μεταβαλόντες, ὅπως εἰς ἔτι δεῦρο τὸν ἐπουράνιον σπόρον, ὡς παῖς παρὰ πατρὸς διαδεξάμενοι διὰ τῆς τῶν ἀποστόλων παραδόσεως, ἐν ταῖς τῶν ἀνθρώπων κατασπείρουσι ψυχαῖς, φυτεύουσί τε ἀμπελῶνας, τὰς ἁπανταχοῦ γῆς ἐκκλησίας, καὶ ὅμως εὐλογίας καὶ πληθυσμοῦ καταξιοῦνται· καὶ τοὺς ἐν αὐταῖς ἰδιωτεστέρους καὶ ἀλογωτέρους, κτήνη προσαγορευομένους, πληθύειν ἔξεστιν ὀφθαλμοὺς παραλαμβάνειν, τὴν καθ' ὅλης τῆς οἰκουμένης ἐκχυθεῖσαν χάριν τοῦ σωτῆρος ἡμῶν συνορῶντας.

v. 59. Ibid. Ἀδελφὸν ἂν εἴη τοῦτο τῆς σωτηρίου φωνῆς, ἣ φησὶν ἀρθήσεσθαι τὴν βασιλείαν τοῦ θεοῦ ἐκ τοῦ προτέρου λαοῦ, καὶ δοθήσεσθαι ἔθνει ποιοῦντι τὸν καρπὸν αὐτῆς.

v. 43. B. f. 441. Οὔτε τὸ συνιέναι καὶ διαγνῶναι τὰς φιλανθρώπους τοῦ σωτῆρος οἰκονομίας, οὔτε τὸ φυλάξαι τὰς θείας οἰκονομίας πάντως, ἀλλὰ τοῦ σοφίᾳ θείᾳ καὶ συνέσει χρωμένου, καὶ βοῶντος πρὸς τὸν δεσπότην· ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια τοῦ νόμου σου.

PSALMUS CVII.

v. 2. B. f. 441. b. Δόξα αὐτοῦ ἡ πρακτικὴ καὶ θεωρητικὴ ἕξις καθ' ἣν διάκειται πρὸς ἠθικὴν καὶ διανοητικὴν ἀρετήν.

Οἷς ἀνέτειλε τὸ φῶς τὸ ἀληθινόν· πρὸς κύ- v. 4. Ibid.
ριον ὀρθρίσαντες ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες, πλήττοντες τὸ ψαλτήριον καὶ κρούοντες τὴν κιθάραν μελῳδοῦσι τῷ πανσόφῳ θεῷ, εὐρύθμως καὶ ἐναρμονίως τοὺς ὕμνους ἀναπέμποντες.

Ἀπὸ τῆς πρώτης λέξεως, ἕως τοῦ ἐπὶ πᾶσαν v. 6. B. f. 442.
τὴν γῆν ἡ δόξα σου, ὁ αὐτός ἐστιν τῷ νϛ'· ἀπὸ δὲ τοῦ ἑξῆς στίχου μέχρι τελευτῆς, τῷ νθ'· ὅθεν ἕκαστα τῶν προκειμένων ἐκεῖ εἰρηκότες, νῦν ἐπιτεμνώμεθα.—Ὑψουμένου τοῦ θεοῦ ἐν τοῖς τὴν εἰκόνα τοῦ ἐπουρανίου φοροῦσι, καὶ διὰ τοῦτο οὐρανοῖς καλουμένοις, ἡ δόξα αὐτοῦ ἐπὶ πᾶσαν ἐκτείνεται τὴν γῆν τὴν δυναμένην καρποφορεῖν εἰς ρ' καὶ ξ' καὶ λ'· ἢ ὑψουμένου τοῦ θεοῦ ἐπὶ τὰς θεωρητικὰς τοῦ κόσμου φύσεις προσαγορευομένας οὐρανούς· ἡ δόξα αὐτοῦ ἐπὶ τὰς πρακτικὰς, γῆν ὀνομαζομένας, τυγχάνει.

Οὐχ ἄλλως οἱ ἄξιοι τοῦ ὑπὸ σοῦ ἀγαπᾶσθαι v. 7. Ibid.
ῥυσθεῖεν· ἀπὸ τῶν κατεχόντων πολεμίων, ἢ καὶ τῶν περιστάντων αὐτοὺς, ἢ σοῦ σώσαντος τῇ δεξιᾷ σου, καὶ ἐπακούσαντος ἐμοῦ τοῦ ὑπὲρ αὐ-
τῶν πρεσβευομένου.—Δεξιὰν καλεῖ τὴν ἀγαθὴν B. f. 442.
ἐνέργειαν.

Ὡμίασις ἑρμηνεύεται Σίκιμα, ἔργου σύμβο- v. 8. Ibid.
λον οὖσα· ὑψωθεὶς οὖν ὁ κύριος ἐπὶ τὸν σταυρὸν, ἀναβεβηκὼς διεμέρισε τῶν ἀνθρώπων τὰ ἔργα, ὡς τὰ μὲν δικαιῶσαι, τὰ δὲ ἀποδοκιμάσαι· κριτὴς γὰρ δίκαιός ἐστιν.

Γαλαὰδ μετοικισμὸς, Μανασσῆς δὲ Ἐφραὶμ v. 9. B. f. 442.
καρποφορία ἑρμηνεύονται· ἐρεῖ οὖν ὁ σωτήρ· ἐμός ἐστι Γαλαὰδ, καὶ ἐμός ἐστι Μανασσῆς, ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀλήθειαν, καὶ ἀπὸ κακίας εἰς ἀρετὴν, ἢ γῆς εἰς οὐρανὸν μετοικιζόμενος· ἐμὸς δ' ἐστι καὶ ὁ λήθην τῶν κακῶν πᾶσαν ὑπερβὰς, καὶ ἀπὸ ταύτης γεγενημένος· ὁ γὰρ μετὰ λήθην εἰς μνήμην ἐρχόμενος, Μανασσῆς ἐστὶ, τουτέστιν ἀπὸ λήθης ἀφεὶς καὶ καταλιπὼν τὴν λήθην, καθ' ἣν ἐπιλέληστο θεοῦ
τῶν ἀγαθῶν.—Ἀλλὰ καὶ ἡ πολλὴ καρποφορία B. f. 443.
τῶν πεπιστευκότων ἐθνῶν, σκέπη καὶ ἀντίληψις τοῦ σωτῆρος γέγονεν. Ὡς γὰρ Παῦλος τοῖς πρὸς αὐτοῦ ὠφεληθεῖσιν γράφει, ὡσεὶ αὐτοῦ χαρὰ καὶ

ςέφανος, οὕτω καὶ ὁ σωτὴρ ἀντίληψιν ἔχει ςέφανον αὐτοῦ πλεκομένους τοὺς δικαιοσύνην καὶ ἀλήθειαν καρποφοροῦντας.—Καὶ Ἰούδας δὲ ὁ βασιλεὺς αὐτοῦ ἐστιν, οὐ τῷ βασιλεύειν αὐτοῦ, ἀλλὰ τῷ βασιλέα ὄντα προσοικειώσασθαι αὐτῷ· τοιοῦτος δὲ ὁ Δαυίδ· ἢ τάχα πᾶς ὁ ἐξομολογούμενος, ἐφ' οἷς κατώρθωσεν. Ἰούδας ἐςὶν ἐξομολόγησις ἑρμηνευόμενος.

v. 10. B. f. 443. Ὁ μὲν Μωὰβ διὰ τὸ κολαστικὸς εἶναι τῶν αὐτῷ παραδεδομένων ὑπὸ κυρίου, τῆς ἐλπίδος τοῦ λέγοντος λέβης ἐστίν· ὁ δὲ λέβης πολλαχοῦ τῶν προφητῶν σημαίνει κόλασιν· ἐπεὶ οὖν χρηστῇ προθέσει αἱ κολάσεις ἐπάγονται, ἐλπίδα ἀγαθὴν διαδεχομένην ἔχουσαι· λέβης ἐλπίς καὶ
B. f. 443. b. προσδοκία ἀγαθῶν ἐστίν—Εἰ πρόσωπον εἴη τοῦ σωτῆρος τὸ ταῦτα λέγον, ἐπεὶ μεταλαμβάνεται Ἰδουμαία εἰς τὸ γήϊνη, ἐρεῖ ἐπὶ τὴν γῆν καὶ τὰ γήϊνα πορείαν ποιήσασθαι· σύμβολον γὰρ κεκαλυμμένης πορείας τὸ ὑπόδημα· πάλαι μὲν οὖν γυμνῇ τῇ πορείᾳ ἐχρῆτο κτίζων, προνοούμενος· νῦν δὲ μετὰ σαρκὸς ᾗ περίκειται, καὶ ὑπόδημα αὐτοῦ τυγχάνει.

v. 11. Ibid. Ἀκούσας ὁ προφήτης τὰ τοσαῦτα περὶ τῆς τῶν ἐθνῶν κλήσεως, ἀλλὰ καὶ μαθὼν τὰ διὰ τοῦ νθ' ψαλμοῦ περὶ τοῦ τῶν Ἰουδαίων ἔθνους εἰρημένα, γνούς τε ὅτι οἱ ἀλλόφυλοι καὶ ἀλλογενεῖς ὑποταγήσονται καὶ φιλιάσουσι τῷ Θεῷ, μακαρίζει μὲν τοὺς τῆς τούτων πείρας καταξιωθησομένους, εὔχεται δὲ εἶναι καὶ αὐτὸς αὐτῶν.—Αὐτῆς ἐκείνης τῆς παμμακαρίας γενησομένης, ἐπειδ' ἂν καταξιώσῃ ὁ Θεὸς ἐπιβῆναι αὐτοῦ τῷ ὑποδήματι τῆς αὐτῶν χώρας. Καὶ μετ' ὀλίγα. Τίς τοίνυν ὁδηγήσει με ἐπὶ τὴν χάριν τὴν δοθησομένην τοῖς ἔθνεσιν; εἰ μὴ σὺ ὁ θεός; οὕτω γὰρ ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών, εἰ μὴ σὺ ὁ Θεὸς ὁ ἀποβαλόμενος ἡμᾶς;

v. 12. Ibid. Οὐ γὰρ ὑπερασπίζεις καὶ ὑπερμαχεῖς ἡμῶν, ἀλλὰ δούλους καὶ ὑποχειρίους παραδέδωκας ἡμᾶς τοῖς ἐχθροῖς σου οὐκέτι ἐλευθέρους· οὐ γὰρ ἡττήθημέν ποτε, σοῦ στρατηγοῦντος καὶ τῆς φάλαγγος ἡγουμένου.

v. 13. B. f. 444. Οὐ γὰρ διὰ παρατάξεως ὁπλιτικῆς, οὐδὲ δι' ἀνθρωπίνης· Σύμμαχος δὲ, ἐλπὶς ἡμῶν στῆναι πρὸς τὰς μελλούσας ἐπανίστασθαι ἡμῖν θλίψεις.

Ἡμεῖς οἷς ἐπηγγείλω ἐπιβῆναι τῷ σαυτοῦ v. 14. Ibid.
ὑποδήματι, καὶ καταξιώσειν τῆς ἑαυτοῦ ὑποταγῆς τὲ καὶ φιλίας· οἱ μὲν γὰρ τούτων ἀπόβλητοι γενόμενοι ὡμολόγησαν ἀπεῶσθαι, διὰ τὸ μηκέτι ἐξιέναι τὸν Θεὸν ἐν ταῖς δυνάμεσιν αὐτῶν.—Καὶ αὐτὸς ἀοράτῳ καὶ κρυφαίᾳ χειρὶ ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

PSALMUS CVIII.

Οὐ πᾶσι τὰ αὐτὰ δεξιὰ, ἀλλὰ τῷ μὲν σπου- v. 6. B. f. 445.
δαίῳ τὰ νοητὰ καὶ τὰ τῆς ἀρετῆς· τῷ δὲ φαύλῳ, τὰ αἰσθητὰ καὶ τὰ τῆς κακίας· ἐν μὲν τοῖς δεξιοῖς τοῦ ἁγίου Θεὸς ἵσταται, ἐν δὲ τοῖς τοῦ ἁμαρτωλοῦ διάβολος.

Ὅταν μὴ ἃ δεῖ, ἀλλὰ μὴ συμφέρει αὐτῷ v. 7. Ibid.
ἀξιοῖ λαβεῖν παρὰ τοῦ Θεοῦ· καὶ διὰ τοῦτο κρίναντος αὐτόν· ἐπεὶ μηδὲ ἃ πρέπει Θεὸν διδόναι, μηδὲ αὐτῷ λυσιτελεῖ, ᾐτήσατο.—Παντὸς γὰρ τοῦ προδότου τῆς ἀληθείας γίνονται αἱ ἡμέραι ὀλίγαι, ἃς εἶχε φωτιζόμενος πρὶν προδῷ τὴν ἀλήθειαν, ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς φωτιζόμενος.—Λαμβάνει δὲ καὶ τούτου τὴν ἐπισκοπὴν, v. 8.
αὐτὸς αὐτοῦ διδάσκαλος γινόμενος, ὁ καὶ ἐμμείνας καὶ προκόψας ἐν τῇ ἀληθείᾳ.

Πατέρες δὲ Ἰούδα οἱ παρὰ προδοσίαν γεννή- v. 14. B. f. 445. b.
σαντες αὐτὸν εἶναι δύνανται· εἴτε διὰ τῆς δόσεως τῶν ἀργυρίων εἰς τοῦτο αὐτὸν παρορμήσαντες· καὶ ἔτι ὁ βαλὼν εἰς τὴν καρδίαν αὐτοῦ σατανᾶς προδοῦναι τὸν κύριον· καὶ οἱ ἔχοντες σοφίαν τούτου τοῦ αἰῶνος ἄρχοντες· περὶ ὧν ὁ Παῦλος· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν.

Εὐεργετικὸν ὂν καὶ μεςὸν ἀγαθότητος—Λέ- v. 21. v. 22. B. f. 447.
γοις δ' ἂν καρδίαν καὶ ἰσοψύχους αὐτοῦ τοὺς ἀποστόλους, τῶν ὑποδεεστέρων πεπιστευκότων τυγχανόντων αὐτοῦ σῶμα· ἐπεὶ οὖν ἐσκορπίσθησαν οἱ μαθηταὶ σκανδαλισθέντες ἐν τῇ νυκτὶ ἐκείνῃ, ὅτε ἐπέστησαν ἐπὶ τῷ κρατῆσαι αὐτὸν καὶ ὁ τῶν φαρισαίων ὄχλος, τεταράχθαι αὐτοὺς καρδίαν αὐτοῦ τυγχάνοντας συνέβη· πλὴν εἰ καὶ ἐταράχθη ἡ καρδία αὐτοῦ, ἀλλ' οὖν οὐκ ἀπέση

αὐτοῦ περιεχομένη αὐτοῦ καὶ ἔνδον οὖσα τῶν μαθητῶν αὐτοῦ.

v. 23. B. f. 447. Τοῦτο ἐρεῖ περὶ τῆς ἀνθρωπίνης ζωῆς ὁ κύριος, οὐ μονίμου οὐδ' ἑστηκυίας οὔσης.

v. 23. B. f. 447. b. Αἱ ἀκρίδες δι' ἀσθένειαν φύσεως θᾶττον ἐκτεινάσσονται σβούμεναι· οὕτω κἀγὼ ἀσθενῆ ζωὴν δι' ἀνθρώπους ἀναλαβὼν, ἐπὶ τὸ σταυρωθῆναι ἐξ ἀσθενείας ἐξεδιώχθην, μετανάστασιν ἀναληφθείς· δύναται καὶ περὶ πάντων τῶν μαθητῶν τὸ περὶ αὐτοῦ λέγειν τὸ ἐξετειναχθὲν ὡσεὶ ἀκρίδες· ἐπείπερ διωκόμενοι καὶ ἐκτεινασσόμενοι πρὸς τῶν κακοῦν ἐθελόντων, οὐ ταπεινοῦνται, ἀλλ' ἱπτάμενοι μετάρσιοι φέρονται· καὶ πάντες οὖν οἱ μάρτυρες ἐκτειναχθέντες ὡσεὶ ἀκρίδες, ἐάσαντες τὰ κάτω, διώκουσι τὰ βραβεῖα τῆς ἄνω κλήσεως.

v. 31. B. f. 448. b. Ἐμοῦ δηλονότι τοῦ ὑπὲρ πάντων πτωχεύσαντος, ὅπως τῇ ἐμῇ πτωχείᾳ πλουτήσωσιν· παρίσταται δὲ ἐκ δεξιῶν τοῦ πάντα δεξιῶς πράττοντός τε καὶ φρονοῦντος· πάλιν δὲ τοῦ ἐκ δεξιῶν αὐτοῦ παρεστᾶναι τὸν θεὸν, τὴν πρόφασιν τιθεὶς λέγει τοῦ σῶσαι τὴν ψυχήν μου.

PSALMUS CIX.

v. 1. B. f. 449. Πληρώσαντι τὴν οἰκονομίαν, καὶ ἐκ νεκρῶν ἀναστάντι, καὶ εἰς οὐρανὸν ἀναληφθέντι τῷ υἱῷ κυρίῳ ὄντι, εἶπεν ὁ κύριος, κάθου ἐκ δεξιῶν μου, καὶ τὰ ἑξῆς, τουτέστιν ὁ πατήρ. Παῦλος γοῦν οἶδεν μετὰ τὴν ἀνάληψιν ταύτην εἰρῆσθαι τὴν φωνὴν διὰ τοῦ φάναι, καθαρισμὸν τῶν ἁμαρτωλῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, καὶ τὰ ἑξῆς. Καὶ πάλιν. Τίνι γὰρ ἀγγέλων εἴρηκεν ποτὲ, κάθου ἐκ δεξιῶν μου; κύριος τοίνυν ὢν ὁ πατὴρ τῶν πρὸς αὐτοῦ γεγενημένων ἁπάντων, λέγει τῷ κυρίῳ τῆς κτίσεως· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· λέγει δὲ ὁ πατὴρ τῷ υἱῷ, ὡς ἂν εἴποι πατὴρ υἱῷ, καὶ υἱὸς πατρί· οὐ γὰρ προφορᾷ χρώμενος διαλέγεται τῷ υἱῷ· αὐτὸς γὰρ αὐτοῦ νόησις, ἀλήθειά τε καὶ σοφία καὶ λόγος· κάθηται δὲ ἐν τοῖς δεξιοῖς ὁ κύριος τοῦ κυρίου· εἰ γὰρ σῶμα ἦν, οὐ τοπικῶς, ἢ εἶχεν οὐ ταῦτα λέγων· καὶ ἐν τόπῳ τὸ δεξιὸν ἐζητοῦμεν· δεξιοὶ τοιγαροῦν τοῦ θεοῦ οἱ μετέχοντες αὐτοῦ, καθ' ὃ θεὸς καὶ ἅγιος καὶ ἀγαθός ἐστιν, ὃν οὐκ ἄλλως ἡγήσεται ἢ ὁ ἅμα τῷ πατρὶ βασιλεύων· τὸ γὰρ κάθου ἐκ δεξιῶν, συμβασίλευσιν τοῦ υἱοῦ δηλοῖ πρὸς τὸν πατέρα.

v. 3. B. f. 450. Τὸ τῆς ἀρχῆς ὄνομα βασιλείαν ἐνταῦθα σημαίνει οὖσαν μετὰ τοῦ σωτῆρος ἐν τῇ ἡμέρᾳ τῆς δυνάμεως αὐτοῦ, ἢ μετὰ ἀνάστασιν, ἣν ἀνέστη ἐκ νεκρῶν· εἰ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ· ἢ σημαίνων τὴν προσοῦσαν αὐτῷ σύμφυτον ἀρχὴν, καθ' ἣν κρατεῖ καὶ δυναστεύει.—Καθ' ἃς ἕξουσιν ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς φωτιζόμενοι καὶ λαμπρυνόμενοι· ὥστε ἂν εἰπεῖν· ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς·—Πάντες οἱ ἐκκλησιαστικοὶ οὐ νῦν πρότερον, ἀλλὰ καὶ ἀεὶ, πρὸς τοῦ πατρὸς τὴν προκειμένην λέγουσι φωνὴν εἰρῆσθαι συναπτομένην τῇ ἀρχῇ τοῦ ψαλμοῦ, οὕτως· εἶπεν κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· τῶν ἄλλων οἶμαι στιχίων διὰ μέσου εἰρημένων· καὶ ἔοικέ γε καὶ ὁ ἀπόστολος ταύτῃ τῇ διανοίᾳ ἠκολουθηκὼς εἰρηκέναι· τίνι γὰρ τῶν ἀγγέλων εἴρηκε ποτὲ, κάθου ἐκ δεξιῶν μου; μονονουχὶ λέγων, οὐδενὶ τῶν γεννητῶν, ἀλλὰ τῷ μονογενεῖ υἱῷ ἑαυτοῦ μόνῳ εἶπεν, κάθου ἐκ δεξιῶν μου· ἐπεὶ καὶ μόνος αὐτὸς μονογενής ἐστιν, ὢν ἐν κόλποις τοῦ πατρός.—Γνησίας γονῆς ὅταν λόγον ποιώμεθα, γαστέρα ὀνομάζομεν· ἐπεὶ γὰρ εἰσὶ κυρίως τινῶν υἱοί· ἄλλοι δὲ εἰσποιητοὶ καὶ θετοὶ, ὅταν μὴ τοὺς θετοὺς, ἀλλὰ τοὺς κυρίους σημαίνομεν, λέγομεν γεννήματα γαστρὸς αὐτοὺς τῶν τεκόντων· καὶ θεὸς οὖν γνήσιον υἱὸν καὶ ἐξ ἑαυτοῦ τὸν μονογενῆ παραστῆσαι θέλων, γαστρὸς μνημονεύει. Καὶ μετ' ὀλίγα. Ἀλλ' οὐκ ἀγνοοῦντι τῷ υἱῷ τοῦτ' ὁ πατὴρ λέγει, ἀλλ' ἵν' ἡμεῖς γνῶμεν τὴν οἰκειότητα τοῦ πατρὸς πρὸς τὸν υἱὸν, καὶ τοῦ υἱοῦ πρὸς τὸν πατέρα, ἀνεγράφη ταῦτα. Καὶ μετ' ὀλίγα. Ἑωσφόρου δὲ φωτὸς οὐκ αἰσθητοῦ μόνου, ἀλλὰ καὶ νοητοῦ· εἰ δὲ καὶ τῶν νοητῶν, πρόδηλον ὅτι καὶ πάσης κτίσεως· κατὰ τὰ εἰρημένον, καὶ αὐτὸς ἐστὶ πρὸ πάντων.

v. 4. B. f. 451. Ὥσπερ ἡμῖν ὁ σωτὴρ ὅρκον ὁρίζει εἶναι τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ, οὕτω μᾶλλον δὲ πολλῷ πλέον θεὸς ἀληθεύων ὀμνῦναι λέγεται, οὐκ ἀπομωτικῷ ἢ καταταμωτικῷ χρησάμενος· ὤμοσε τοίνυν κύριος, καὶ οὐ μεταμεληθήσεται· ἐπείπερ ἀμεταμέλητα τὰ χαρίσματα καὶ ἡ κλῆσις δὲ μεγίστη εἰς ἱερωσύνην, ἡ τοῦ σωτῆρος· καὶ ἀμεταμέλητον χάρισμα, ἡ ἱερωσύνη οὐ κατὰ τὴν τάξιν Ἀαρὼν ἀλλὰ τοῦ Μελχισεδὲκ εἰς τὸν αἰῶνα.

v. 5. B. f. 451. b. Τοῦ πατρὸς εἰπόντος, κάθου ἐκ δεξιῶν μου, τῷ υἱῷ νῦν λέγεται, κύριος ἐκ δεξιῶν σου, ὡς φανεροῦσθαι μὴ τοπικῶς ἐκ δεξιῶν τοῦ πατρὸς εἶναι τὸν υἱόν· ἰδοὺ γὰρ ἅμα καὶ αὐτὸς ἐκ δεξιῶν ἐστὶν, καὶ ὁ πατὴρ αὐτοῦ ἐκ δεξιῶν· ὅπερ ἀδύνατον, εἰ τοπικῶς τὸ ἐκ δεξιῶν νοοῖτο· ὡς οὖν ὁ πατὴρ ἐν υἱῷ, καὶ ὁ υἱὸς ἐν τῷ πατρὶ, οὕτως ὁ υἱὸς τοῦ πατρὸς δεξιὸς, καὶ ὁ πατὴρ τοῦ υἱοῦ ἐκ δεξιῶν αὐτοῦ.—Τοὺς νοητοὺς βασιλεῖς οὐκ ἄλλους τυγχάνοντας, ἀρχῶν καὶ ἐξουσιῶν καὶ κοσμοκρατόρων τοῦ σκότους· οἱ αὐτοὶ δὲ εἰσὶν οὗτοι, οἱ ὑπὸ πόδας τοῦ σωτῆρος τιθέμενοι ὄντες διὰ τὴν κακίαν καὶ πονηρίαν, ἣν εἵλαντο ἐχθροὶ αὐτοῦ· πλὴν συνθλασθέντες, παύσονται τοῦ εἶναι πολέμιοι, καταργουμένης ὑπὸ κυρίου πάσης ἀρχῆς καὶ πάσης ἐξουσίας τοιαύτης· ἡμέρα δὲ ὀργῆς, ὁ καιρὸς τῆς ἅμα πάντων κρίσεως, ἐν ταῖς γραφαῖς λέγεται.

v. 6. Ibid. Οὐδένα κενὸν ἐῶν καὶ ἀμέτοχον τῆς ἀπ' αὐτοῦ πληρώτητος, τῶν ἐπὶ σωτηρίᾳ πεσόντων, ἵν' ἀναστῶσιν εἰς αἰωνίαν ζωήν.—Τῶν κεχυδε-
* ita cod. ὦσθαι * διὰ τὴν κακίαν καλουμένων πολλῶν.

v. 7. Ibid. Ὁ χείμαῤῥος πανταχοῦ ὥσπερ καὶ ἐνταῦθα πειρασμὸν σημαίνει· πιεῖν δὲ ἐξ αὐτοῦ ἐστὶν τὸ ἀναδέξασθαι αὐτόν· πεπείραται δὲ Ἰησοῦς ὑπὲρ σωτηρίας, γενόμενος ἐν τῇ τῶν ἀνθρώπων ὁδῷ, ὡς φησὶν ὁ ἀπόστολος γράφων ὧδε· ἐν ᾧ γὰρ αὐτὸς πέπονθεν πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι· ὧν καὶ βασιλεὺς ἀναδειχθεὶς, δοθείσης αὐτῷ ἐξουσίας ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς ὕψωσεν κεφαλὴν, ἄρχων οὐ μόνον τῶν ἐπὶ γῆς ἀλλὰ καὶ τῶν ἐν οὐρανοῖς χειροτονηθεὶς ὑπὸ τοῦ πατρός· ἐπὶ τὸ πᾶν γόνυ κάμψαι ὑπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πάσης γλώσσης ἐξομολογουμένης, ὅτι κύριος Ἰησοῦς εἰς δόξαν θεοῦ πατρός· ταύτης τῆς ὑψώσεως σύμβολον ὁ σταυρὸς φέρει.

PSALMUS CX.

v. 5. B. f. 453. b. Τροφὴν ἐξαιρέτως δίδωσι τοῖς φοβουμένοις αὐτὸν, μετά τινος παραδοξοποιίας· ὡς τῷ Δανιὴλ τὸ ἄριστον τυγχάνοντι ἐν λάκκῳ τῶν λεόντων ἐν τῇ Βαβυλῶνι, ἐκ τῆς Ἱερουσαλὴμ τὸν Ἀμβακοὺμ μετάρσιον ἄρας ἤγαγεν εἰς Βαβυλῶνα, κομίζοντα τὴν τροφὴν αὐτῷ τῷ Δανιήλ· ἀλλὰ καὶ κόραξιν ἐντειλάμενος, ἄρτους τῷ πρωῒ καὶ κρέας τῇ δείλῃ φέρειν τῷ Ἠλίᾳ, λιμοῦ μεγάλης τυγχανούσης, ἔθρεψεν αὐτὸν φοβούμενον τὸν κύριον· τῆς δὲ παλαιᾶς διαθήκης αὐτοῦ, ἕως καιροῦ διορθώσεως δοθείσης τέλος ἀπολαβούσης, μνησθήσεται εἰς τὸν αἰῶνα τῆς κατὰ τὸ εὐαγγέλιον τῆς καινῆς διαθήκης ἀδιαδόχου διαμενούσης.—Ὅτε πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονε τὸ πλήρωμα τῶν ἐθνῶν εἰσελθεῖν εἰς τὴν ἀκήρατον καὶ δεδοξασμένην κληρονομίαν, μιμνήσκεται εἰς τὸν αἰῶνα τῆς πρὸς τοὺς υἱοὺς τοῦ Ἰσραὴλ διὰ τοὺς πατέρας αὐτῶν διαθήκης.

v. 6. B. f. 454. Φανερῶν αὐτοῖς οἵας δυνάμεως ἐστὶν ἕκαστον, ὧν προσέταξεν ἐργάζεσθαι τὸν λαὸν, καὶ τοὺς λόγους τῶν γεγονότων.—Τῷ ἰσραηλιτικῷ, ἵνα τῆς οἰκονομίας τὴν δύναμιν θεωρήσαντες σωθῶσι καὶ αὐτοὶ μετὰ τὸ εἰσελθεῖν τὸ πλήρωμα τῶν ἐθνῶν· λαμβάνοντες θεόθεν τὴν προσοικειωθεῖσαν τοῖς ἔθνεσι κληρονομίαν.

v. 7. Ibid. Καὶ ταῦτα τῆς καινῆς διαθήκης οἰκεῖα τυγχάνει, ἁρμόζοντα τῇ εἰσαγωγῇ καὶ τῇ στοιχειώσει τῆς εὐαγγελικῆς διδασκαλίας· τίνα δὲ ταῦτα; ἀλλ' ἢ τὸ γνῶναι ἡμᾶς καὶ μαθεῖν ὅτι τὰ καινῆς διαθήκης ἔργα οὐκ ἦσαν ἐν τύποις καὶ σκιαῖς καὶ συμβόλοις, οἷα τὰ παρὰ Μωϋσεῖ, ἀλλ' ἀλήθεια ἦν τὰ ἔργα αὐτοῦ· δι' ὃ καὶ λέλεκται· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· πρὸς δὲ τῇ ἀληθείᾳ, καὶ κρίσις ἦν τὰ ἔργα τοῦ σωτῆρος ἡμῶν· διὸ εἴρηται ἐν Ἡσαΐᾳ περὶ αὐτοῦ· καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν, καὶ ἀληθείᾳ εἰλειμμένος τὰς πλευράς.—Ἐπειδὴ οὐκ ἐξ ἔργων νόμου οἱ τοῦ

εὐαγγελίου μαθηταὶ, ἀλλ' ἐξ ἀκοῆς πίστεως τῆς σωτηρίας καταξιοῦνται, κατὰ τὸν ἱερὸν ἀπόστολον.—Αἱ γὰρ Μωϋσέως ἐντολαὶ, πρόσκαιροι γεγόνασιν· αἱ δὲ τοῦ εὐαγγελίου, διαρκεῖς οὐκ εἰς τὸν παρόντα μόνον αἰῶνα, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα διαμένουσαι.—Ὡς γὰρ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, ἀλήθεια ἦν καὶ κρίσις, οὕτω καὶ αἱ ἐντολαὶ αὐτοῦ ὑπὸ τῶν αὐτοῦ μαθητῶν ἐν ἀληθείᾳ καὶ εὐθύτητι ἐπιτελοῦνται.

v. 8. B. f. 454. b. Οὐχ ἕτερα ἐστὶν τοῦ εἰπόντος· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· τῷ αὐτῷ γοῦν τιμίῳ αἵματι, χάριτι θεοῦ ὑπὲρ παντὸς γευσαμένου θανάτου, ἐλυτρώθημεν ἐκ τῆς πατροπαραδότου ἀναστροφῆς ἡμῶν.—Ὅπως συντόνως καὶ τελείᾳ προθυμίᾳ ἐχόμεναι αὐτῆς, ἀθάνατον κληρονομίαν ἀπολάβωσιν κατὰ τὰς αἰωνίους καὶ ἀφθάρτους ἐπαγγελίας.

v. 9. Ibid. Τὸ ὄνομα αὐτοῦ, φησὶν, τοῖς μὲν ἁγίοις ἅγιον· τοῖς δὲ μὴ ἁγίοις φοβερόν.

v. 10. Ibid. Ὥσπερ τῆς ὁδοῦ τῆς ἀγαθῆς· αὕτη δέ ἐστιν ἡ θεωρία τῆς ἀληθείας ἀρχὴ τὸ ποιεῖν τὰ δίκαια ὑπάρχει, οὕτως ἀρχὴ εἰσαγωγὴ εἰς τὴν θεοῦ σοφίαν, οὐκ ἄλλην οὖσαν τῆς θεωρίας τῆς ἀληθείας, ὁ θεῖος ἐστὶ φόβος ὁ αὐτὸς ὢν τοῖς πρακτικοῖς δικαίοις ὀνομαζόμενος· ὅνπερ οὖν ἔχει λόγον τὸ ποιεῖν τὰ δίκαια πρὸς τὴν ἀγαθὴν ὁδὸν, τοῦτον ὁ τοῦ θεοῦ φόβος πρὸς τὴν σοφίαν.—Οὐ τοῖς ἄνευ τοῦ ποιεῖν νενοηκόσιν, ἀλλὰ τοῖς ποιοῦσιν αὐτὴν τυγχάνει· τοῖς γὰρ ποιοῦσι τὴν σύνεσιν, οὐχ ἑτέραν οὖσαν τῆς ἀρετῆς, ὠφελείας ἔσται· ἐξ ἧς ὠφελείας μανθά-
B. f. 455. νουσι τὸ ἀγαθὸν αὐτῆς.—Τοῦτο γὰρ κατάλληλον πέρας τοῖς θεολογοῦσι τὸ λέγειν, ἡ αἴνεσις αὐτοῦ, τοῦ θεολογηθέντος δηλονότι, μένει ἐπ' ἄπειρον· ἐπεὶ γὰρ ὑμνούμενος ἀθάνατος, ἀνάγκη καὶ τὴν αἴνεσιν αὐτοῦ ἀτελεύτητον εἶναι, ὡς διαρκεῖν εἰς πάντας τοὺς αἰῶνας.

PSALMUS CXI.

v. 1. B. f. 455. Ὁ μὴ ἄλλου του χάριν, ἢ αὐτῶν ἕνεκα ἐνεργῶν αὐτάς· οἷον διὰ δόξαν ἀνθρωπίνην, ἢ διὰ τὸ μὴ περιπεσεῖν τῇ τοῖς ἁμαρτάνουσιν ἐπαγομένῃ κολάσει, ἢ διὰ μισθόν· ἀλλ' αὐτὸ τὸ ἀγαθὸν αἱρούμενος καὶ ἐνεργῶν· οὕτω γὰρ ἔσται ἀληθῶς ὁ τοιοῦτος μακάριος.

Εἰ μὲν προχείρως τὶς καὶ ἰουδαϊκῶς ἐθέλοι v. 2. B. f. 455. b.
τὸ σπέρμα ἐκλαβεῖν τοῦ μακαριζομένου, ἀσύστατος γένοιτ' ἂν αὐτῷ ὁ λόγος· μυρίων γὰρ ἁγίων καὶ θεοφιλῶν ἀνδρῶν καὶ προφητῶν οὐκ ἐφάνη δυνατὸν ἐν τῇ γῇ τὸ σπέρμα· οὐ γάρ τις δύναται δεῖξαι, φέρε τοῦ Μελχισεδὲκ, ἢ τοῦ Ἰησοῦ τοῦ Ναυὶ, ἢ τοῦ Ἠλία, ἢ τοῦ Ἱερεμία, ἢ τῶν λοιπῶν προφητῶν σπέρμα, τουτέστιν υἱοὺς, καὶ διαδοχὰς υἱῶν, καὶ σπέρμα δυνατὸν ἐν τῇ γῇ γεγενημένον· κατὰ δὲ διάνοιαν νοήσεις τοῦ λόγου τὸ ἀποτέλεσμα, ἐπιστήσας ἑκάστῳ τῶν ἀποστόλων, ὧν τὸ λογικὸν σπέρμα ὅσης μετέσχε δυνάμεως, καταβληθὲν ὥσπερ εἰς χώρας εὐγείους καὶ καρποφόρους τὰς τῶν ἀνθρώπων ψυχὰς, οὐκ ἔστιν εἰπεῖν, οἷον Παῦλος ὁ ἀπόστολος ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ συστησάμενος τῷ θεῷ μυριάνδρους ἐκκλησίας, δυνατὸν ἐν τῇ γῇ ἐκτήσατο σπέρμα· ὁμοίως καὶ τῶν λοιπῶν μαθητῶν ἕκαστος.—Καὶ μετ' ὀλίγα. Τοῦτο δὲ τὸ σπέρμα τῶν ἁγίων, σὺν αὐτοῖς τοῖς τὰ τοιαῦτα κατασπείρουσιν, εὐλογεῖται, οὐκ ἐν τῇ τυχούσῃ γενεᾷ, ἀλλ' ἐν τῇ τῶν εὐθέων.

Τοῦτο νοήσεις ἀκούσας Παύλου λέγοντος· ὡς v. 3.
πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες· καὶ ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες· τίς δ' ἂν γένοιτο πλουσιώτερος τοῦ κληρονόμου θεοῦ, συγκληρονόμου δὲ Χριστοῦ ἀποφανθέντος;—Ὁ τοὺς Ἰησοῦ λόγους, οὓς ἤκουσεν, ἔργα μεταβαλὼν, οἰκοδομεῖ ἐπὶ τὴν πέτραν τὴν ἑαυτοῦ οἰκίαν, ἐπὶ τὸν ἀῤῥαγῆ τοῦ θεοῦ λόγον, τὰς κρηπῖδας τοῦ θεωρητικοῦ καὶ πρακτικοῦ βίου ἑαυτοῦ μεταβαλλόμενος· ταύτην οὖν ἣν ᾠκοδόμησεν οἰκίαν ἕκαστος τῶν φοβουμένων τὸν κύριον, ἐπὶ τὸ ἐν ταῖς ἐντολαῖς τοῦ κυρίου τεθεληκέναι, τουτέστι τοῖς Ἰησοῦ λόγοις σφόδρα τεθεληκέναι, πληροῖ δόξης νοημάτων τῆς ἀληθείας, καὶ πλούτου συγκειμένου, ἐκ παντὸς λόγου καὶ πάσης γνώσεως καὶ ἔργων ἀγαθῶν.—Νοήσεις δὲ καὶ τοῦτο· ἐπιστήσας ὅτι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ, κατὰ τὸν ἀπόστολον, ἀλλ' ὁ

ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς· ἐκ δὲ ἀκοῆς πίστεως, πρῶτος μὲν ἐπίστευσε τῷ θεῷ Ἀβραάμ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἔπειτα δὲ καὶ οἱ ὁμοίως αὐτῷ τὸ τοῦ Χριστοῦ εὐαγγέλιον διὰ πίστεως κατορθοῦντες.

v. 9. B. f. 457. Κέρας τὸν θεὸν φησίν· πάντες γὰρ οἱ δίκαιοι τούτῳ θαῤῥοῦντες φασίν· ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν· καὶ ὁ μακαριζόμενος τοίνυν τοὺς ἐχθροὺς ἑαυτοῦ ἐν κυρίῳ κερατίσας, τὸ κέρας ᾧ αὐτοὺς καθεῖλεν ἐν δόξῃ ὑψούμενον ἔχει.

v. 10. B. f. 457. b. Ἐν τῷ μετὰ ταῦτα βίῳ τυγχανόντων τῶν ἐπαγγελιῶν τῶν εὖ βεβιωκότων, τῶν ἁμαρτωλῶν ἕκαστος περιτυχὼν κολάσει ὄψεται ὃν ἐπόρθησε δίκαιον καὶ ὀργισθήσεται, καθ' ἑαυτοῦ ἐν μεταμελείᾳ σφοδροτάτῃ γινόμενος· ὅτε καὶ βρύξει τοὺς ὀδόντας αὐτοῦ, καὶ κατακήσεται ἀποβαλὼν τὸν ὄγκον καὶ τὸ οἴδημα τῆς ὑλικῆς καὶ σαρκικῆς ἕξεως τὲ καὶ προαιρέσεως, τῆς τῶν ἁμαρτωλῶν ἐπιθυμίας ἀπολλυμένης.

PSALMUS CXII.

v. 1. B. f. 458. Ἀπολύτως εἰρημένον τὸ παῖδες, οὐκ ἐπιτρέπει νομίσαι ἀντὶ δούλων εἰρῆσθαι τοὺς παῖδας· ἁπλῶς γὰρ καὶ χωρὶς προσθήκης οἱ νέοι παῖδες καλοῦνται· οἱ δὲ δοῦλοι, παῖδες τινῶν· ὡς γὰρ δοῦλος, οὕτω καὶ τὸ παῖς πρὸς δεσπότην ἔχει τὴν ἀναφοράν.

v. 3. B. f. 458. b. Καὶ τοῦ τάχα τῆς δικαιοσύνης ἡλίου εἶεν ἀνατολαί τινες, καθ' ἃς ἀνέτελλεν· αὗται δὲ συγγένειαν ἔχουσι, ἢ αὐταὶ αὐταῖς τυγχάνουσιν πρὸς τὰς ἀνατολὰς ἐν αἷς ὁ παράδεισος πεφύτευται· εἶεν δ' ἂν ταύταις ταῖς ἀνατολαῖς καταλλήλως ἔχουσαι· καὶ δύσεις καθ' ἃς ἀνατολὰς καὶ δυσμάς, αἰνεῖν τὸ ὄνομα κυρίου προσήκει· ἔδυνε γὰρ τῷ Ἰσραήλ, ἀνέτειλε δὲ τοῖς πιστεύσασιν ἔθνεσιν.

v. 5. B. f. 459. Καὶ διὰ τῶν προκειμένων λέξεων προνοοῦντα τὸν πάντων θεὸν μανθάνομεν· περὶ οὗ ἀσυγκρίτως πρὸς ταῦτα τὰ γενητὰ ἔχοντος ὁ ἅγιος φησί· τίς ὡς κύριος ὁ θεὸς ἡμῶν; οὐδεὶς γὰρ ἐστι κατ' αὐτόν, ἐπείπερ μόνος αὐτὸς καὶ ποιητὴς καὶ προνοητὴς ἁπάντων ἐστίν· ταῦτα δὲ φησὶν οὐκ ἀπομερίζων τοῦ πατρὸς τὸν υἱόν, ἢ τοῦ υἱοῦ τὸν πατέρα· μία γὰρ ἡ θεότης· καὶ οὐκ ἄλλος θεὸς υἱός, καὶ ἄλλος ὁ πατὴρ ἐστίν, ἢ καὶ υἱός· καὶ ὁ πατὴρ υἱοῦ πατὴρ ἐστίν 1).

v. 9. Ibid. Τὴν πρότερον διὰ στειρότητα ἀτεκνοῦσαν, ἐν οἴκῳ κατοικήσει, μητέρα γεγενημένην ἐπὶ πολυπαιδίᾳ, καὶ εὐφραινομένην.—Καὶ μετ' ὀλίγα. Στεῖραν δὲ τὴν ἀπὸ τῶν ἐθνῶν ἐκκλησίαν, ἄτεκνον οὖσαν τὸ πρῶτον εἰς εὐφροσύνην καλεῖ λέγων· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ καὶ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα· ἀληθῶς γὰρ πολύπαις καὶ καλλίπαις ἡ ἀπὸ τῶν ἐθνῶν ἐκκλησία γεγένηται, ὑπὲρ τὴν ἔχουσαν ἄνδρα νόμον Ἰουδαίων συναγωγήν· ἑκάστη δὲ ψυχὴ διὰ στειρότητα ἄπαις οὖσα, κατοικίζεται ὑπὸ τοῦ θεοῦ ἐν οἴκῳ, τῇ τοῦ ζῶντος θεοῦ ἐκκλησίᾳ· μήτηρ ἔργων, μαθημάτων, νοημάτων τὲ καὶ λόγων, ἐπὶ τῷ εὐφραίνεσθαι ἅμα οἷς ἔσχεν γεννήμασιν, ὑπὸ τοῦ συνοικοῦντος αὐτῇ θεοῦ λόγου· συνέβη δὲ ταῦτα καὶ κατὰ τὴν τῆς γραφῆς ἱστορίαν. Ἄννα γοῦν ἡ μήτηρ Σαμουὴλ κατῳκίσθη ἐν οἴκῳ, μήτηρ λέγεται τέκνων εὐφραινομένη, ὅλων ἓξ τέκνων γενομένη μήτηρ· καὶ περὶ τῆς Σάῤῥας, καὶ Ῥεβέκκας, Ἐλισαβὲτ τέ, καὶ πρὸ ταύτης τῆς μητρὸς γενομένης τοῦ Σαμψών· λέγοι τίς εὐλόγως περὶ ἑκάστης αὐτῶν ὅτι κατῴκισεν αὐτὴν μητέρα τέκνων εὐφραινομένην.

PSALMUS CXIII.

v. 1. B. f. 461. Σοῦ δέσποτα ἡμᾶς εὐεργετοῦντος οὐχ ἕξει χώραν τὰ ἔθνη λέγειν, ποῦ ἐστὶν ὁ θεὸς αὐτῶν; ἐπεὶ γὰρ αὐτοὶ τοπικοὺς θεοὺς ἔχουσιν καὶ ἱδρυμένους ποῦ, καὶ περὶ σοῦ τοῦτο τοπάζουσι λέγοντες, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν; ἢ τάχα χλευαστικῶς τοῦτο φασίν, οἰόμενοι μὴ ἔχειν ἡμᾶς θεόν· ἀλλ' εἰ κἀκεῖνοι πλανώμενοι τοῦτο λέγουσιν, ἀλλ' οὖν γε ἡμεῖς ἠκριβωμένῃ ὑπολήψει ἴσμεν ὅτι θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ ἄνω ἐστίν.
—Τὸ πᾶν διοριστικὸν γένος, διὰ τὸν νοῦν ἔχειν B. f. 462.

1) En praeclarum testimonium de filii divinitate a Didymo Arii cive. Et quidem passim ab eo id factitatum videmus.

ὁρῶντα Θεοῦ, οἶκος Ἰσραὴλ χρηματίζει διὰ τοῦ τυγχάνειν ἐκκλησία Θεοῦ ζῶντος.

v. 10. Ibid. Καὶ ὁ οἶκος δὲ τῶν θεραπευόντων τὸ θεῖον, τῷ τυγχάνειν ἱερεῖς, ἤλπισεν ἐπὶ κύριον, μείζονι καὶ τεθεωρημένη παρὰ τὸν Ἰσραὴλ ἐλπίδι· τῶν γὰρ ὑπεραναβεβηκότων θεωρίᾳ καὶ πράξει μείζων ἡ ἐλπὶς, μειζόνως αἰτούντων βοηθὸν καὶ ὑπερασπιστὴν αὐτοῦ ἔχειν.—Οὗτοι δέ εἰσιν οἱ προσήλυτοι, οἱ προστιθέντες τῷ νόμῳ ἀπὸ τῶν ἐθνῶν, ἐλπίσαντες καὶ αὐτοὶ ἐπὶ κύριον βοηθὸν ὑπερασπιστὴν αὐτὸν ἔχειν ἐπικαλοῦνται· καὶ ταῦτα λέγειν παιδεύονται οἱ κατὰ θεὸν παῖδες, ὡς ἂν εἴδειεν ὅτι καὶ αὐτοὶ συμπολῖται γεγόνασι τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· καὶ ὡς ἂν ᾔδειεν ὅτι ὥσπερ οἱ παλαιοὶ ἤλπισαν ἐπὶ κύριον, καὶ εἶχον αὐτὸν βοηθὸν ὅτε καλῶς ἔπραττον, οὕτω καὶ νῦν οἱ νέοι ἡμεῖς οἱ παῖδες οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ τὸν φόβον ἀνειληφότες τοῦ αὐτοῦ κυρίου.

B. f. 462. b. Ἐν μὲν τῇ πρὸς πολεμίους μάχῃ τὸν κύριον ἔχομεν ἡμεῖς οἱ φοβούμενοι τὸν κύριον ὑπερασπιστὴν καὶ βοηθόν· ἐν δὲ τοῖς οἰκείοις πράγμασιν τοῖς τε κατὰ ψυχὴν καὶ κατὰ σῶμα, πάλιν αὐτὸν ἔχομεν εὐλογοῦντα ἡμᾶς· ὡς ἀπαρκεῖν ἡμῖν ἀντὶ τοῦ παντὸς καλοῦ καὶ ἀγαθοῦ, καὶ ἀντὶ παντὸς θησαυροῦ καὶ μεγάλου κτήματος, μόνον αὐτὸν τὸν κύριον καὶ πρὸς τοὺς ἐκτὸς καὶ πρὸς τὰ ἔνδον· οὕτω δὴ ἡμᾶς εὐλογεῖ νῦν, ὡς πάλαι πρότερον ηὐλόγει τὸν πρότερον λαόν· μεταβέβηκε γὰρ ἐξ ἐκείνων εἰς ἡμᾶς ἡ χάρις· εἷς γὰρ ὢν καὶ ὁ αὐτὸς κύριος, καὶ τῶν παλαιῶν ὁμοίως προΐστατο, ὥσπερ οὖν καὶ τῶν νέων· καὶ πάλιν τοὺς νέους ὁμοίως εὐλογεῖ, ὥσπερ οὖν καὶ τοὺς παλαιούς· ὥστε εἶναι μίαν κλῆσιν, καὶ μίαν χάριν, καὶ ἕνα λαὸν τὸν ἐξ ἀμφοτέρων ταγμάτων τῷ Θεῷ συνιστάμενον.

v. 23. Ibid. Αὐτὸς γὰρ ἐστὶν οὗ τοὺς νόμους φυλάττομεν· ἵνα γὰρ μὴ νομίσῃ τίς ἄλλου τινὸς τοὺς χρησμοὺς εἶναι, οὓς Μωϋσῆς διηκονήσατο, ἀκολούθως ὁ ἱεροφάντης πρὸ τῆς τῶν νόμων δόσεως, τὰ περὶ τῆς κοσμοποιΐας παραδέδωκε, δι' ἧς διδάσκει ἕνα θεὸν εἶναι, πάντα δὲ τὰ τοῦ κόσμου μέρη.

PSALMUS CXIV.

Ἔκλινε δὲ, εἶπεν, τὸ οὖς αὐτοῦ ἐμοὶ, οὐχ ἵνά τινα σωμάτων λάβοις ἔννοιαν περὶ θεοῦ ὦτα ἔχοντος, καὶ αὐτὰ πρὸς τὸ εἰρημένον τῆς φωνῆς ὑποκλίναντος, ὅπερ ἡμεῖς ποιοῦμεν πρὸς τοὺς μικρὸν φθεγγομένους, ἵν' ἐκ τοῦ σύνεγγυς τὴν νόησιν παραδεξώμεθα τῶν λαλουμένων, ἀλλ' ἔκλινεν εἶπεν, ἵνα τὸ ἑαυτοῦ ἀσθενὲς ἐπιδέξηται· ὅτι χαμαὶ κειμένῳ μοι συγκατέβη διὰ φιλανθρωπίαν· ἡ γὰρ θεία ἀκοὴ οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν· οἶδεν γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπικείμενα. Καὶ μετ' ὀλίγα. v. 2. B. f. 463. b.
Τὴν ἀκουστικὴν αὐτοῦ δύναμιν.—Τουτέστι παντὶ τῷ χρόνῳ τῆς ζωῆς μου ἐπεκαλεσάμην, ἐν ταῖς ἡμέραις μου ταῖς ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης γενομέναις, ἀεὶ πεφωτισμένος ὢν ἐπεκαλεσάμην. B. f. 464.

Τοσοῦτον φησὶν ἀπέσχον τοῖς πειρασμοῖς τούτοις ὑποπεσεῖν ὡς ἀκουσίοις, ὅτι καὶ πολλῷ τούτων πλείοσι κατὰ τὸ ἑκούσιον πειρασμοῖς ἐμαυτὸν προσεθέμην.—Τὰ ἐν λογισμοῖς πταιόμενα.—Κίνδυνοι δὲ ᾅδου τὰ πρακτικὰ τῶν ἁμαρτημάτων εἶναι δύνανται· οὐκ ἀπογνωστέον δὲ καὶ περὶ πονηρῶν δυνάμεων ταῦτ' εἰρῆσθαι, τῆς μὲν ὠδινώσης ἐπὶ τῷ νεκρῶσαι δι' ἁμαρτίας τὴν ψυχὴν, τῆς δὲ ὑποδεχομένης εἰς τὴν τοῖς κινδύνοις ἤδη ὁμόσε χωρήσασαν. v. 3. Ibid.

Θαρσῶν ὅτι δυναμούμενος ὑπὸ τοῦ αὐτοῦ ὀνόματος, ὑποστήσομαι πάντα τὰ προειρημένα.— Θλίψιν καὶ ὀδύνην ἅσπερ ἑκὼν ἐμαυτῷ προσεξεῦρον· ἐν μὲν γὰρ τοῖς κατόπιν κίνδυνοι ᾅδου εὕροσάν με· ἐνταῦθα δὲ θλίψιν καὶ ὀδύνην εὗρον· ἐπειδὴ γὰρ ἐκεῖ ἀνενδότως ἔχων εὑρέθην πρὸς τὰ παρὰ τοῦ πειράζοντος ἐπαχθέντα, ἵνα δείξω τὴν περιουσίαν τῆς πρὸς θεὸν ἀγάπης, προσέθηκα θλίψεις ἐπὶ τῇ θλίψει, καὶ ὀδύνην ἐπὶ τῇ ὀδύνῃ, οὐ τῇ ἐμαυτοῦ δυνάμει τῶν ἀλγεινῶν κατεπανιστάμενος, ἀλλὰ διότι τὸ ὄνομα κυρίου ἐπικαλεσάμην. v. 5. Ibid.

Πανταχοῦ συνάπτει ἡ γραφὴ τοῖς οἰκτειρμοῖς v. 5. B. f. 464. b.

τοῦ θεοῦ τὴν δικαιοσύνην, διδάσκουσα ἡμᾶς ὅτι
οὔτε ὁ ἔλεος τοῦ Θεοῦ ἄκριτος, οὔτε ἡ κρίσις
B. f. 464. b. ἀνελεήμων.—Ἔλεος ἐστὶ πάθος ἐπὶ τοὺς παρ'
ἀξίαν τεταπεινωμένους, παρὰ τῶν συμπαθῶς
διατεθειμένων γινόμενον· ἐλεοῦμεν τὸν ἐκ μεγά-
λου πλούτου πρὸς τὴν ἐσχάτην πενίαν μεταπε-
σόντα, τὸν ἐκ τῆς ἄκρας εὐεξίας τοῦ σώματος
εἰς τὴν ἐσχάτην ἀσθένειαν καταβληθέντα· ἐπεὶ
οὖν καὶ ἡμεῖς ἦμεν ποτὲ ἔνδοξοι, ἐγενόμεθα δὲ
ἄδοξοι καὶ ταπεινοὶ, ἐκπεσόντες τῆς ἐν τῷ παρα-
δείσῳ διαγωγῆς διὰ τὴν ἔκπτωσιν, ὁ θεὸς ἐλεεῖ
ὁρῶν ἡμᾶς οἷοι ἀνθ' οἵων γεγόναμεν.

v. 6. Εἴ τε κατὰ τὸν φυσικὸν λόγον, οὐκ ἂν συν-
έστη ἡ ἀνθρωπίνη φύσις, μὴ τῶν κομιδῇ νη-
πίων καὶ ἔτι βρεφῶν ὑπὸ τοῦ κυρίου φυλασσο-
μένων· πῶς γὰρ τὰ ἐν τῇ μήτρᾳ κυοφορούμενα
ἠδύναντο τρέφεσθαι ἢ κινεῖσθαι, ἐν οὕτω στε-
νοῖς χωρίοις, καὶ μηδεμίαν ἔχουσιν ἀναστροφὴν,
ἀλλ' ἐν σκοτεινοῖς τόποις καὶ ἐνύγροις τὴν ζωὴν
ἔχοντα; καὶ οὔτε ἀναπνεῖν δυνάμενα, εἰ μὴ
παρὰ Θεοῦ φυλακὴ διεκρατεῖτο. Πῶς δ' ἂν εἰς
τὸν ἀηθῆ τοῦτον ἐκπεσόντα τόπον, καὶ ἀπὸ
τῆς ἐν τῇ μήτρᾳ θερμότητος τῷ ἀέρι περιψυχό-
μενα, κἂν πρὸς τὸ βραχύτατον διήρκεσεν, εἰ
μὴ παρὰ Θεοῦ διεσώζετο; φιλάσσων τὰ νήπια
κύριος.—Ἐπειδὴ ἐταπεινώθην καὶ γέγονα ὡς τὸ
νήπιον, καὶ ἐδεξάμην τὴν βασιλείαν τῶν οὐρα-
νῶν ὡς παιδίον, φυλάσσων τὰ νήπια ὁ κύριος
ἔσωσέν με ἐκ τῶν ὠδίνων τοῦ θανάτου καὶ ἐκ
τῶν κινδύνων τοῦ ᾅδου.

v. 7. B. f. 465. Ἑαυτῷ προσάγει τοὺς παρακλητικοὺς λόγους ὁ
καλὸς ἀγωνιστὴς, παρακλησίως τῷ Παύλῳ λέ-
γων· τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον
τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκει-
ταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, καὶ τὰ
ἑξῆς.—Καὶ μετ' ὀλίγα. Πρόκειται γὰρ ἀνάπαυ-
σις αἰωνία τοῖς νομίμως τὸν ἐνταῦθα διαθλή-
σασι βίον, οὐ κατὰ ὀφλημάτων ἔργων ἀποδιδο-
μένη, ἀλλὰ κατὰ χάριν τοῦ μεγαλοδώρου Θεοῦ
τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένην 1).

v. 8. Ibid. Συγκρίσει τῶν ὧδε τὴν μέλλουσαν ἀνάπαυσιν
διαγράφει· ἐνταῦθα γάρ, φησὶν περιέσχον με
ὠδίνες θανάτου, ἐκεῖ δὲ ἐξείλατο τὴν ψυχήν
μου ἐν θανάτου· ενταῦθα οἱ ὀφθαλμοὶ τὸ ἐκ
θλίψεως ἐπιχέουσι δάκρυον, ἐκεῖ δὲ οὐκ ἔστι δά-
κρυον ἐπισκοτοῦν ταῖς κόραις τῶν εὐφραινομένων
τῇ θεωρίᾳ τοῦ κάλλους τοῦ Θεοῦ· ἀφεῖλε γὰρ ὁ
θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου· ἐνταῦ-
θα πολὺς ὁ κίνδυνος τοῦ ὀλισθήματος, δι' ὃν
καὶ Παῦλος ἔλεγεν· ὁ δοκῶν ἑστάναι, βλεπέτω
μὴ πέσῃ· ἐκεῖ δὲ πάγιοι αἱ βάσεις, ἀπερίτρεπ-
τος ἡ ζωή.

PSALMUS CXV.

Ἐπιστεύσα. Ταύτης τῆς λέξεως τὴν διάνοιαν ὁ v. 1. B. f. 465. b.
ἀπόστολος Κορινθίοις, ἔχοντες ἔφη τὸ αὐτὸ πνεῦμα
τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, δι'
ὃ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, δι' ὃ λαλοῦμεν·
πνεῦμα πίστεως λέγων, ἤτοι τὴν ἀπ' αὐτῆς ἐγ-
γινομένην· ἢ τὸ ἐπιχορηγούμενον ἐκ θεοῦ τῷ πί-
στιν ἔχοντι πνεῦμα, τὸ ἐπίστευσα, δι' ὃ ἐλά-
λησα, συνᾴδων· καρδίᾳ γὰρ πιστεύεται εἰς δι-
καιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.
—Οὐ κατὰ ἀφαίρεσιν ὕψους τοῦτο πέπονθεν, B. f. 466.
ἀλλ' ἐκ τοῦ μείζονα καὶ ὑπὲρ ἑαυτὸν τεθεᾶσθαι.

Οὐχ ἑαυτῷ περιπίπτει κατὰ τὸν λόγον ὁ προ- v. 2. B. f. 466. b.
φήτης, ὥσπερ τινες τῶν σοφιστῶν ἐπιχειροῦσιν
αὐτὸν διελέγχειν τῷ κατ' ἐπιτροπὴν ἐλέγχῳ, ἐκ-
πεπτωκέναι λέγοντες τὸν προφήτην· εἰ γὰρ πᾶς
ἄνθρωπος ψεύστης, ἄνθρωπος δὲ καὶ ὁ Δαυὶδ,
ψεύστης ἦν, καὶ οὐ πιστευτέον αὐτῷ περὶ ὧν
ἀποφαίνεται· μὴ ὄντος δὲ ἀληθοῦς τοῦ λόγου
τούτου, μηδὲ ὄντος παντὸς ἀνθρώπου ψεύστου,
ἀφήσομεν καὶ τὸν Δαυὶδ τῆς τοῦ ψεύδους αἰ-
τίας· εἰ δὲ οὐ ψεύδεται, πιστεύσομεν αὐτῷ περὶ
ὧν ἀποφαίνεται· πιστεύοντες δὲ, πάλιν εἰς τὴν
τοῦ ἀπιστεῖν ἀνάγκην περιεκτισώμεθα· ὥστε εἰ
μὲν ἀληθεύει Δαβὶδ, λύει τὸν λόγον αὐτοῦ, καὶ
ἄνθρωπος ὢν καὶ μὴ ψευδόμενος· εἰ δὲ ψεύδεται,
αὐτόθεν ἔχει τὸ μὴ πιστεύεσθαι· τίς γὰρ προσ-
έξει ψευδολογοῦντι; ὥστε ἐπειδὴ ἅπαξ ἀπεφήνα-
το πάντα ἄνθρωπον εἶναι ψεύστην, ψευδέσθω
Δαβὶδ, ἵνα τὸν λόγον πιστώσεται· ἢ ἀληθεύων
αὐτὸς παρέλυσε τὴν ἀπόφασιν. Ἀλλὰ ταῦτα μὲν

1) Vides Didymi testimonium de gratia Dei remunerante.

παιζόντων ἐστὶν, καὶ ταῖς τῶν λόγων στροφαῖς ἐπαγγελλομένων πρὸς τοὺς ἀπείρους· τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἄνθρωποι γὰρ λέγονται οἱ τοῖς ἀνθρωπίνοις ἔτι κατεχόμενοι παθήμασιν· ὁ δὲ ὑψηλότερος ἤδη τῶν σαρκικῶν παθημάτων γινόμενος, καὶ διὰ τὴν τοῦ νοῦ τελείωσιν, πρὸς τὴν τῶν ἀγγέλων κατάστασιν μετελθὼν, οὗτος ὅταν περὶ τῶν ἀνθρωπίνων διαλέγεται, ἑαυτὸν ὑφεξαιρεῖται τῶν λοιπῶν δηλονότι· ἀψευδὴς γὰρ ὁ εἰπὼν, ἐγὼ εἶπα θεοί ἐστε· πάντως καὶ εἴ τινι ἄλλῳ καὶ τῷ Δαυὶδ ἡ τοιαύτη προσηγορία πρέπουσα· καὶ γὰρ καὶ ὁ υἱὸς ὑψίστου, ὁ διὰ τῆς ἀρετῆς οἰκειωμένος θεῷ, καὶ οὐκ ἀποθνήσκων ὡς ἄνθρωπος, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν θεόν.

v. 3. B. f. 466. b. Εἰς αἴσθησιν ἐλθὼν τῶν μυρίων παρὰ θεοῦ δωρεῶν, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη· ὅτι ἀπὸ γῆς διαπλασθεὶς λόγῳ τετίμηται, ἐν ᾧ καὶ τὴν εἰκόνα φορεῖν δύναται τοῦ ἐπουρανίου· ἔπειτα καὶ πρὸς τὴν ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων οἰκονομίαν ἀπειδὼν, ὅτι ἑαυτὸν ὁ κύριος ἔδωκεν λύτρον ἀντὶ πολλῶν ἡμῶν, ἐπαπορεῖ καὶ ζητεῖ ἐν πᾶσι τούτοις τοῖς ὑπάρχουσιν αὐτῷ, τί ἄξιον ἐξεύροι δῶρον τῷ δεσπότῃ, οὐ θυσίας οὐδὲ ὁλοκαυτώσεις, ἀλλ' αὐτὴν πᾶσαν τὴν ἐμαυτοῦ ζωήν.

v. 4. B. f. 467. Τὸ ἐν τοῖς ἀγῶσι τοῖς ὑπὲρ εὐσεβείας, τὸ μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστῆναι, τὸ ποτήριον λέγων· ὅπερ αὐτὸς ὁ σωτὴρ ἐδίδαξεν ἐν τοῖς εὐαγγελίοις· πάτερ, εἰ δυνατὸν, παρελθάτω τὸ ποτήριον τοῦτο· καὶ πάλιν τοῖς μαθηταῖς· δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω; ἐδήλου δὲ τὸν θάνατον ὃν κατεδέχετο ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας.—Μὴ ὀκνήσητέ, φησιν, πρὸς τὸν ἀγῶνα τὸν καλὸν, ὦ ἄνθρωποι, μὴ ἀποδειλιάσητε πρὸς τὸν θάνατον· οὐ γὰρ φθορά ἐστιν, ἀλλὰ ζωῆς ἀφορμή· οὐκ ἀφανισμός ἐστι παντελὴς, ἀλλὰ μετάβασις πρὸς τιμήν· ἐὰν δὲ καὶ θάνατον ὁσίων θεοῦ σημαίνεται, καθ' ὃν συναποθνήσκουσι Χριστῷ, καὶ τὴν νέκρωσιν αὐτοῦ ἐν τῇ σαρκὶ περιφέρουσιν, καὶ οὕτω καλῶς ἂν εὐχαριστεῖν διέγνω, ληψόμενος τοῦ τοιούτου θανάτου σωτηρίου ποτήριον, ὃ καὶ ἀμέμπτως πίεται ὁ ληψόμενος αὐτὸ, εἰ ἐπικαλοῖτο τὸ ὄνομα κυρίου ἐπὶ τῷ γενναίως αὐτὸ πιεῖν.

PSALMUS CXVII.

Ἐπεὶ ἀγαθὸς ὢν ὁ θεὸς βούλεται τὴν μετά- v. 1. B. f. 468.
νοιαν τοῦ ἁμαρτωλοῦ, ἢ τὸν θάνατον αὐτοῦ, ὅσοι ὑπεύθυνοι ἁμαρτίας ἐστὲ, τὴν ἐκ μετανοίας ἐξομολόγησιν ἐπ' αὐτῷ ποιούμενοι, ἕξετε αὐτὸν ἀφιέντα τὰ ὑπὲρ ὧν ἐξομολογεῖσθε· ὁ γὰρ ἔλεος αὐτοῦ ἀχώριστον αὐτοῦ τυγχάνων, εἰς τὸν αἰῶνα εἴη· ἐπείπερ καὶ ἀεὶ ἐλεῶντος αὐτοῦ, οὐ νῦν πρότερον, ἀλλὰ καὶ πάλαι ἄνωθεν ἐξομολογουμένων αὐτῷ πάντων τῶν πεῖραν ἐχόντων τῆς ἀγαθότητος αὐτοῦ.

Συναγαγὼν τὰ προδηλωθέντα τάγματα, καὶ v. 5. B. f. 468. b.
ἓν σῶμα ἀπεργασόμενος καὶ λαὸν ἕνα, διδάσκει τοῦτον παρασκευάζεσθαι εἰς θλίψεις, μετὰ τοῦ ἀκριβῶς εἰδέναι ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει· διόπερ λέγειν διδάσκεται ὁ Χριστοῦ λαὸς, ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον· εὐχαῖς αὐτὸν εὗρε τὸν κύριον, πλατυσμὸν αὐτῷ γενόμενον· ὡς ἐξ ἑτέρου μὲν μέρους, τοῦ κατὰ τὸ ἀνθρώπινον αὐτοῦ βίου τὴν στενὴν αὐτὸν ὁδεύειν καὶ τεθλιμμένην· καὶ διὰ τοῦτο λέγειν, ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον· ἐκ δὲ θατέρου μέρους πλατυσμὸν ἔχειν καὶ εὐρυχωρίαν αὐτὸν τὸν κύριον· διὸ φησίν ὁ Σύμμαχος, καὶ ἐπήκουσέ μου εἰς εὐρυ-
χωρίαν.—Ὁ ἐν θλίψει γενόμενος δίκαιος οὐ το- B. f. 469.
σοῦτον παρακαλεῖ περὶ τοῦ ἐκτὸς αὐτῆς γενέσθαι, ἀλλ' ὅπως γενναίως καὶ ἱλαρῶς αὐτὴν ἐνέγκῃ· καὶ γὰρ ὁ ἐν σταδίῳ πρὸς ἀντιπάλους ἀποδυόμενος, αὐτὸν ἀγῶνα εὔχεται αὐτῷ παρελθεῖν, ἵνα μὴ ἐξαγώνιος γένηται· ἀλλὰ παρακαλεῖ τὸν παιδοτρίβην συνεργεῖν αὐτῷ, ὅπως ἐγκαρτερῶν τοῖς ἐπιφερομένοις πρὸς τοῦ ἀντιπάλου, ἐλπίδι νίκης καὶ στεφάνου προσηνῆ δόξῃ εἶναι τὰ δι' ὧν ἀποδίδοται ὁ στέφανος· περὶ δὲ ἀοράτων πολεμίων οἵτινες ἐχθροὶ, καὶ τοὺς ἀνθρώπους ἐπεγείρουσι καθ' ἡμῶν ἐκπολεμοῦντες αὐτοὺς πρὸς ἡμᾶς, καὶ φονικῶς διατιθέντες καθ' ἡμῶν, εἰρήσεται καὶ τοῦτο.

Ἔτι διδάσκεται ὁ Χριστοῦ λαὸς προσδοκᾷν v. 6. Ibid.

μὲν ἐπιβουλὰς ἀνθρώπων, μὴ πτήσσειν δὲ αὐτὰς, μηδ' ἀγωνιᾷν, ἀλλὰ λέγειν· κύριος ἐμοὶ βοηθὸς, καὶ τὰ ἑξῆς.—Τοὺς δι' οὐδὲν ἕτερον ἐχθροὺς γενομένους τῷ λαῷ τοῦ θεοῦ, ἢ διὰ τὴν εὐσεβῆ γνῶσιν, καὶ τὴν κατὰ θεὸν πολιτείαν· ἐχθροὺς δὲ λεκτέον ἀνθρώπους αἰσθητούς τε καὶ νοητοὺς, ἀσεβεῖς τε καὶ δαίμονας πονηρούς.

v. 8. B. f. 468. Οὐ καθάπαξ τὸ πεποιθέναι καὶ ἐλπίζειν ἐπὶ κύριον, συγκρινομένου τῷ πεποιθέναι ἐπ' ἄνθρωπον· καὶ ἐλπίζειν ἐπ' ἄρχοντας, ἀγαθόν ἐστιν· ἁπλῶς γὰρ, καὶ κυρίως ἀγαθὸν τοῦτο· τὸ δ' ἐπ' ἄνθρωπον καὶ ἄρχοντα πεποιθέναι καὶ ἐλπίζειν, οὐκ ἀγαθόν· ἀλλὰ πρὸς τοὺς ἐπ' ἀνθρώπῳ πεποιθέναι, καὶ ἐν ἄρχοντι ἐλπίζειν σπουδάζοντας ἡ τοιαύτη προσάγεται παίδευσις, ὅπως μάθωσιν ἐπὶ τὸν ἀεὶ μένοντα καὶ ἰσχυρὸν ὄντα καὶ παντοδύναμον θεὸν πεποιθέναι, καὶ μὴ ἐπ' ἄνθρωπον θνητὸν καὶ ῥᾶστα φθειρόμενον.

v. 10. B. f. 469. b. Εἰ μὴ ὑπερβολικῶς εἴρηται, ἀδύνατον τὸ ἐπαγγελλόμενον· πῶς γὰρ ἕνα ἄνδρα ἐν τῇ Ἰουδαίᾳ διατρίβοντα, πάντα τὰ ἔθνη ἐκύκλωσάν με; καὶ κυκλοῦντες ἐκύκλωσαν αὐτὸν πολεμοῦντες, καὶ τῷ ὀνόματι κυρίου ἠμύνατο αὐτούς· αὐτὸ γὰρ ὅπλον καὶ ἀσπὶς καὶ φρούριον, τοῦ φεροῦντος αὐτὸ γίνεται· ἐπίστησον δὲ, εἰ μὴ παραπλησίως τὸ, εἰς τὰς πρωΐας ἀπέκταινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, δυνατὸν νοῆσαι τὰ προκείμενα, τῷ κυκλοῦσθαι τὸν σπουδαῖον ὑπὸ πνεῦμα τῶν πονηρῶν ὑποβαλλόντων τοὺς σαρκὸς γαργαλισμοὺς, καὶ τὰ ἄλλα πάθη μετὰ πάντων τῶν τῆς σαρκὸς ἔργων· ἔτι μὴν λόγους ἀθέους, ἀνασκευάζοντας σοφιστικῇ δυνάμει τὰ τῆς ἀληθείας δόγματα. ἀλλ' εὐτόνως καὶ ἰσχυρῶς, καὶ τῇ τοῦ θεοῦ καθοπλισμένος προσηγορίᾳ ἀνατρέψει τὰ ἔθνη πάντα, εἰς φυγὴν τρέπων, ἔσθ' ὅτε δὲ καὶ ἀναιρῶν αὐτά.

v. 12. B. f. 469. b. Προσδοκᾷν δὲ δὴ μὴ ἅπαξ πολεμηθέντας παύσασθαι, καὶ λοιπὸν ἀνάπαυσιν κτήσασθαι κατὰ τὸν παρόντα βίον· ἀλλὰ καὶ δεύτερον διωχθήσεσθαι· μὴ ἀποναρκᾷν δὲ, μηδὲ ἐξατονεῖν, ἀλλ' ἐπιμένειν τῇ πεποιθήσει τοῦ ὀνόματός σου ἕνεκεν οὗ τοὺς διωγμοὺς ὑπομένουσι.—Ὁμοιότητα φέρει πρὸς τὰς μελίσσας κηφήνων τὸ γένος· αὐταὶ γὰρ εἰ καὶ μείζους τῶν μελισσῶν τῷ ὄγκῳ τυγχάνουσιν, ἀλλ' οὖν γε ἀπατῶσιν ἀνιστορήτους ὡς οὖσαι μέλισσαι· οὐδὲ μελισσουργοῦσιν, ἢ πλάττουσι κηρίον, οὐδ' ἂν ἔχουσι τὸ ἀλέξουν τὰ βλάπτειν ἐπιχειροῦντα τὸν κηρόν· ἐκ τοῦ ἐναντίου δὲ ἐσθιόντες τὸ μέλι, ἐκπολεμοῦσι κατ' αὐτὸν τὰς μελίσσας, ὡς χρησαμένας κατ' αὐτῶν τῷ ἰδίῳ κέντρῳ, σωρηδὸν ἀναιρεῖν τοὺς κηφῆνας, ὡς λυμαινομένους τῷ καρπῷ αὐτῶν· ἔστι δ' οὖν πρὸς ἀλληγορίαν μελισσουργοῦσα καὶ κηροπλαστοῦσα μέλιττα, ἡ τιμήσασα τὴν θεοῦ σοφίαν ἐκκλησία· ἧς ἐργάτιδος οὔσης, ποθεινῆς τυγχανούσης καὶ ἐπιδόξου, τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, καίπερ οὔσης τῇ ῥώμῃ ἀσθενοῦς, τῷ τὸ κήρυγμα αὐτῆς μὴ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις εἶναι· ὅμως δὲ ἔχει τὸ κέντρον, ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως θεοῦ τῆς πίστεως τὸν λόγον ἔχουσα, ὡς καὶ ἀναιρεῖν κηφήνων δίκην τὰς αἱρέσεις, διχοτομοῦσα αὐτὰς ἐλέγχῳ τῆς ἀληθείας· καὶ μίαν μένει τιμήσασα τὴν σοφίαν τοῦ θεοῦ ἐκκλησία, ὡς εἴρηται, δυνάμει θεοῦ τῶν πολεμούντων περιγενομένη· αἱ δὲ ἀντικείμεναι, οὐ μέλισσαι, ἀλλ' ὡς μέλισσαι τυγχάνουσαι· ἃς εἶναι κηφῆνας λέγων, οὐχ ἁμαρτήσεις, κυκλούσας ὡς κηρίον ἐπὶ τὸ περὶ αὐτῷ μέλι· καὶ ἐκκαυθεῖσαι ὡσεὶ πῦρ ἐν ἀκάνθαις· ἐξάπτουσι γὰρ αἱ ἀπὸ τῶν αἱρέσεων καὶ τὸ τῶν αἰσχρῶν καὶ ἐπιθυμιῶν πῦρ, ἥ φησιν ὁ Παῦλος· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν· ἀκάνθας δὲ τὰς ἡδονὰς ἡρμένευσε τὸ εὐαγγέλιον.—Οὐ γὰρ B. f. 470.
ἀζήμιος μόνον ἔμεινεν, ἀλλὰ καὶ καθεῖλεν αὐτῶν πάντα σοφιστικὸν λογισμὸν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γῆς γνώσεως τοῦ θεοῦ· ἐπείπερ τὰ ὅπλα αὐτοῦ οὐ σαρκικὰ ἀλλὰ δυνατὰ τῷ θεῷ, οὐχ ἕτερα ὄντα τῆς τοῦ θεοῦ προσηγορίας, ἠμύνατο αὐτούς.

Ταῦτα καὶ Ἰουδαίοις ἁρμόττει, καὶ τοῖς ἐξ v. 13. Ibid.
ἐθνῶν πιστοῖς· κἀκεῖνοι γὰρ ὄλεθρον ὑπέμειναν παντελῆ, εἰ μὴ τῆς θείας ἀπήλαυσαν χάριτος. καὶ οὗτοι ἂν ἐξεπέτασαν εἰς ἀσέβειαν, μὴ τῆς θείας αὐτοὺς ὑπερεισάσης ῥοπῆς.

v. 14. B. f. 470. Αὐτὸν τοίνυν ἔχομεν καὶ δύναμιν καὶ νίκην καὶ πηγὴν ὑμνῳδίας· παρ' αὐτοῦ γὰρ τῶν ἀγαθῶν ἀπολαύσαντες μετ' εὐθυμίας τὸν ὕμνον προσφέρομεν.—Γινόμενος εἰς σωτηρίαν ὁ κύριος, οὐκ ἀρχὴν οὐσιώσεως δέχεται, ἀΐδιος γὰρ καὶ αἰώνιος ἐστί· γίνεται δὲ εἰς σωτηρίαν κατὰ τὸ ἀναλαμβάνειν σχέσιν τὴν πρὸς τοὺς σωζομένους, ὅθεν πάντα τὰ γεγονέναι εἰς Χριστὸν λεγόμενα, ταῦτα ὑποβάλλεται τῇ διανοίᾳ· οὐ γὰρ γέγονε Θεὸς λόγος, οὐκ ἀλήθεια, οὐ σοφία, οὐχ υἱὸς, ἀλλὰ γέγονεν ἡμῖν καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· ὧν γὰρ ἁπλοῦς καὶ ἀΐδιος, ταῦτα ἡμῖν γεγονέναι κατ' ἀναφορὰν τὴν πρὸς ἡμᾶς λέγεται· οὕτω καὶ Χριστὸν καὶ κύριον πεποίηκεν αὐτὸν ὁ Θεός· Χριστὸν μὲν, τουτέστιν βασιλέα καὶ ἱερέα τοῖς βασιλευομένοις καὶ τοῖς ὑπὲρ ὧν προσάγει τὰς θυσίας, ἀλλὰ καὶ τοῖς δουλεύειν ἐθέλουσιν αὐτῷ κύριον· καὶ καθόλου τὰ σχετικῶς περὶ αὐτοῦ λεγόμενα οὕτω διανοούμενος, οὐκ ἀσεβήσεις.

v. 15. B. f. 470. b. Σκηνὰς δὲ δικαίων νοήσεις τὰς παρὰ τῷ πατρὶ μονὰς, κατὰ τὴν ἀπόδοσιν τὸν ἐπαγγελιῶν· περὶ ὧν ὁ σωτὴρ φησίν· ὅταν ἐκλείπῃ δηλόνοτι ὁ μαμωνᾶς, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς· ἐν ταύταις σκηναῖς πάντες οἱ δίκαιοι εἰσὶν ἀγαλλιώμενοι· τετύχασι γὰρ τῶν προσδοκωμένων ἀγαθῶν· ὅθεν καλῶς εἴρηται· φωνὴ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἐν σκηναῖς δικαίων, ἀποδρασάσης λύπης καὶ στεναγμοῦ.—Ἀπολωλότων τῶν ἐχθρῶν, εἰρήνης τε λοιπὸν διαλαβούσης, καὶ τῶν σκηνῶν τοῦ Θεοῦ, τουτέστι τῶν ἐκκλησιῶν αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης ἐγηγερμένων, φωνὴ φησὶν ἔνδον ἀκούεται ἐν ταῖς ἐκκλησίαις τῶν σεσωσμένων ἀγαλλιωμένων.

v. 16. Καὶ μετ' ὀλίγα· Αὕτη γὰρ ἡ δεξιὰ, καὶ ἐνεδυνάμωσε τὸν ἑαυτῆς λαὸν, κατὰ τὸν τῶν διωγμῶν καιρόν· αὕτη καὶ τοὺς ἐχθροὺς τοῦ κυρίου ταπεινώσασα, αὐτὸν ὕψωσε τὸν λαόν· αὕτη καὶ δύναμιν περιεποιήσατο τοῖς πρότερον πολεμουμένοις, ὥστε μὴ ὑποπεσεῖν τῷ κατὰ ψυχὴν θανάτῳ, ἀλλὰ ζῆσαι τῷ Θεῷ.—Ὡς ἕκαστον φάναι, πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ· αὕτη τὸν μετέχοντα ὑψοῖ καὶ μετεωρίζει, ὡς φαιδρότερον καὶ μειζόνως ὑπὸ τῆς δεξιᾶς κυρίου δυναμωθέντα· καὶ δεύτερον εἰπεῖν, δεξιὰ κυρίου ἐποίησεν δύναμιν.—Ποιεῖ δὲ δύναμιν ἡ δεξιὰ αὐτοῦ ἐν παντὶ τῷ δεξιὰ φρονοῦντι καὶ πράττοντι· ἀλλὰ καὶ ὑψοῖ αὐτὸν, ὡς καὶ δεύτερον γενέσθαι ἐν αὐτῷ τῆς προτέρας δυνάμεως δύναμιν· ἐφ' ᾗ ἀθανασίαν νεκτημένος ἐρεῖ τὸ, οὐκ ἀποθανοῦμαι ἀλλὰ ζήσομαι.

Οὐκέτι τεθνήξομαι τὸν ἑπόμενον τῇ κακίᾳ θά- v. 17.
νατον, ἀλλὰ ζήσομαι μετασχὼν τῆς ἐναντίας τοῦ πονηροῦ θανάτου ζωῆς, ἐπὶ τῷ διηγήσασθαι τὰ Θεοῦ εἰς ἐμὲ γενόμενα θαυμαστὰ ἔργα.

Τοῦ δὲ ὀνόματος τῆς δικαιοσύνης κατηγορου- v. 19. B. f. 471.
μένου, καὶ πάσης τῆς ἠθικῆς ἀρετῆς, τὰς πύλας αὐτῆς τὰς ἰδικὰς ἀρετῆς λεκτέον, εἰς ἃς εἰσέρχονται οἱ δι' ἀσκήσεως καὶ ἐπιμελείας τῆς περὶ αὐτῶν κρούοντες αὐτάς· εἰσέρχονται δὲ ἐπὶ τῷ ἐξομολογήσασθαι ὑπὲρ ὧν ἔπραξαν, ἔξω τῶν πυλῶν τῆς δικαιοσύνης ὄντες· εἰσέρχεσθε δὲ οὐ δι' αὐτῶν ἀλλ' εἰς αὐτὰς φησίν· οὐδὲ γὰρ ὑπερβατέον τὰς ἐνεργείας τῶν ἀρετῶν, ἀλλὰ προσδια-
τριπτέον αὐταῖς.—Πύλαι πάλαι ὁ νόμος καὶ οἱ B. f. 471. b
προφῆται, δι' ὧν εἰσῄει πρὸς Θεὸν ὁ Ἰσραήλ· πύλαι δὲ νῦν ἡ πίστις, δι' ἧς οἰκειότερον νῦν προσαγόμεθα, μαρτυρούμενοι ὑπὸ νόμου καὶ προ-
φητῶν.—Ὑμνώσω τοιγαροῦν ἀνοίξαντά μοι τῆς v. 21. Ibid.
δικαιοσύνης τὰς πύλας, καὶ εὐχαριστῶ ὅτι εἰσήκουσάς μου, καὶ προσεδέξω τὴν δέησιν, καὶ παρέσχες τὴν σωτηρίαν.

Ὁ δι' ἡμᾶς γεγονὼς λίθος ἀποδεδοκιμασμένος, v. 22. Ibid.
ἀλλ' ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, μετὰ τὴν ἐκείνων ἀποβολὴν, ἑτέρας γωνίας κεφαλὴ γέγονεν. Καὶ μετ' ὀλίγα. Ἀκρογωνιαῖον αὐτὸν ὠνόμασεν Ἡσαΐας, καὶ ἐκλεκτὸν καὶ ἔντιμον λίθον, διὰ τὸ συνάπτειν ὑπὸ μίαν γωνίαν δύο οἰκοδομάς· ζῶν δ' ἂν εἴη ὡς ἀληθῶς καὶ ἐκλεκτὸς λίθος ὁ τοῦ Θεοῦ υἱός· ὅπως ἂν τὴν κατὰ Θεὸν οἰκοδομὴν συνδέων, καὶ τὰς δύο γωνίας τῆς τε παλαιᾶς οἰκοδομῆς τῶν ἐκ περιτομῆς, καὶ τῆς νέας τῆς ἐξ ἐθνῶν, ὑπὸ μίαν συνάπτων γωνίαν· τοῦτον μὲν οὖν τὸν λίθον οἱ ἐκ περιτομῆς πάλαι πρότερον οἰκοδομοῦντες καὶ νομοδιδάσκαλοι καὶ ἀρχιερεῖς ἐξ αὐτῶν ἀπέβαλαν καὶ ἀποδοκι-

μασαν· ὁ δὲ γέγονεν ἀρχὴ καὶ κεφαλὴ γωνίας
ἑτέρας τῆς ἐξ ἐθνῶν ἐκκλησίας· καὶ γέγονε πα-
ρὰ Χριστοῦ δῶρον αὕτη μέγιστον κεχαρισμένον.
v. 23. B. f. 472. Ὁ δὲ Σύμμαχος παρὰ κυρίου, φησὶν, ἐγένετο
τοῦτο, καὶ αὐτὸ παράδοξον ἡμῖν· παράδοξον γὰρ
ἀληθῶς καὶ ἐπέκεινα παντὸς θαύματος ἦν· οὐ-
δεὶς μηδέπω ποτὲ τὸν τοῦ Θεοῦ υἱὸν ἀποβληθῆ-
ναι μὲν ὑπὸ τῶν ἀρχόντων τοῦ προτέρου λαοῦ,
καὶ ὑπὸ τῶν παρ' αὐτοῖς οἰκοδόμων ἀποδοκιμα-
σθῆναι, ἀρχηγὸν δὲ γενέσθαι καὶ κεφαλὴν τῶν
ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν, τῶν πάλαι πλά-
ναις δαιμονικαῖς οἰκειωμένων. Καὶ μετ' ὀλίγα.
Καὶ αὕτη ἐστὶ θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν,
δηλαδὴ προλεχθεῖσα γωνία. Καὶ μετ' ὀλίγα.
Τοῦτον εἶδεν τὸν λίθον καὶ ὁ μακάριος Δανιὴλ
τμηθέντα ἄνευ χειρῶν, τὸν ἀκοινώνητον τῆς παρ-
θένου διδασκόμενος τόκον.

v. 24. B. f. 472. b. Καὶ ταύτην τὴν φωνὴν οἱ εὐαγγελισταὶ περὶ
Χριστοῦ προφητείαν εἶναι ἐξειλήφασιν· αὐτὸς γὰρ
ἀληθῶς ἐστὶν ὁ αὐθεντικῶς καὶ ἐν ὀνόματι κυ-
ρίου ἐρχόμενος· πάντων τῶν πρὸ αὐτοῦ ἀνδρῶν
ὁμοῦ καὶ ἀγγέλων ἐληλυθότων, ὡς κυρίου δού-
λων· ἀμέλει, τάδε λέγει κύριος, ἕκαστος ἔφη·
καὶ ἕκαστος τῶν ἀγγέλων φησὶν, πρὸς ὃν ἔρχε-
ται, ὁ κύριος ἀπέστειλέ με· ἀλλ' αὐτὸς ὁ ἐν
ὀνόματι κυρίου ἐρχόμενος, εὐλογημένος ἐστί. Καὶ
πάλιν. Εὖ δὲ καὶ τὸ εἰπεῖν ὁ ἐρχόμενος, ἀλλ'
οὐχ ὁ ἐλθών· ἀεὶ γὰρ ἔρχεται καὶ ἐπιδημεῖ τῷ
τῶν ἀνθρώπων γένει, εἰ καὶ μὴ διὰ σαρκός· οὐ
κινούμενος, οὐ μεταβαίνων αὐτὸς, ἄτρεπτος γὰρ
καὶ ἀναλλοίωτος καὶ πληρῶν τὸν οὐρανὸν καὶ τὴν
γῆν θεϊκῇ παρουσίᾳ· ἡμῶν δὲ σχέσει καὶ διαθέ-
σει ἐγγιζόντων αὐτῷ, ἢ μακρυνομένων αὐτοῦ.
v. 26. B. f. 473. Ἐξ οἴκου κυρίου, τῶν κόλπων τῶν πατρικῶν
v. 27. Ibid. ἐστὶν ὁ ἐρχόμενος.—Τὸ γὰρ ἐλθεῖν αὐτὸν, οὐ
τόπον ἐστὶν ἀμεῖψαι, ἀλλ' ἐπιφανῆναι, πρότερον
οὐχ ὁρώμενον· ὑπάρχων γὰρ ἀόρατος τὸ εἶναι, εἰ-
κὼν Θεοῦ ἀοράτου, μορφὴν δούλου λαβὼν καὶ γεν-
όμενος λόγος σὰρξ ὤφθη, ἵν' οὕτω φανεὶς χειρα-
γωγήσῃ διὰ ταύτης τῆς κατανοήσεως εἰς τὸ καὶ
τὴν δόξαν αὐτοῦ καταθεάσασθαι, δόξαν ὡς μο-
νογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀλη-
θείας.

Δοξολογῶν, θεολογῶν σε λέγω, ἃ εἰς ἐμὲ v. 28. B. f. 473. b.
πεποίηκας θαυμάσια· ὕψωσας γάρ με· καὶ πεποίη-
κας δύναμιν, ὡς μὴ ἀποθανεῖν, ἀλλὰ ζήσαντά
με διηγήσασθαι τὰ ἔργα σου.
Πέρα τοιγαροῦν μαθὼν σου τὸ πολὺ ἔλεος v. 29. B. f. 474.
καὶ τὴν ἀγαθότητα· καὶ ἄλλους προτρεπόμενος
λέγω, ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι εἰς τὸν αἰ-
ῶνα τὸ ἔλεος αὐτοῦ.

PSALMUS CXVIII.

Πάσης σπουδῆς ἀποστάντες, καὶ δι' ἔργων v. 1. B. f. 475.
ἀγαθῶν καὶ φρονήματος ὀρθοῦ ἐγγίζοντες αὐτῷ.
εὖ δὲ τὸ μακαρίζειν οὐ τοὺς πορευθέντας, ἀλλὰ
τοὺς πορευομένους.
Ἐμφαίνει τὸ μηδέπω ποτὲ αὐτοὺς πεπειρᾶσθαι v. 3.
τοῦ θείου νόμου, ὡς περὶ αὐτῶν εἶναι τὸ, ὅσοι
ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· οὗτοι
δέ εἰσιν οἱ μηδέποτε θείας διδασκαλίας ἀκη-
κοότες· οἱ γὰρ μετὰ τὸ ταύτης μνησθῆναι, πται-
σαντες ἐν νόμῳ ἡμαρτηκέναι, καὶ παραβάται
αὐτοῦ λέγονται.
Ὁ μετὰ πάσης εὐτονίας καὶ σφοδρότητος ἐρ- v. 4.
γαζόμενος τὰ προστεταγμένα ὑπὸ τοῦ κυρίου,
οὗτος νενόηκεν τὸν προκείμενον στίχον.—Οὐ γὰρ
ἄλλως τὰ δικαιώματά σου φυλάξω, ἐὰν μὴ κατ-
ευθυνθείησαν ὑπὸ σοῦ αἱ ὁδοί μου· τίνα οὖν
τὰ δικαιώματα ταῦτα, ἃ παραθήσεις ἐνώπιον
τῶν υἱῶν Ἰσραήλ; ἐὰν κτήσηται παῖδα ἑβραῖον,
ἓξ ἔτη δουλεύσει σοι, τῷ δὲ ἑβδόμῳ ἐξαποστε-
λεῖς αὐτὸν ἐλεύθερον· καὶ τὰ ἑξῆς. Καὶ μετ' v. 5.
ὀλίγα. Ὤφελον οὖν, φησὶν, κατευθυνθείησαν αἱ
ὁδοί μου, ἵνα ὅσα ἐδικαίωσας, ταῦτα ἑκάστῳ
κατὰ τὸ πρέπον ἀποδῶ.
Ὁ μὴ ἐξ ἐπιπολῆς τὰ λόγια τοῦ θεοῦ δε- v. 8. B. f. 476.
χόμενος, κρύπτει αὐτὰ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἵνα
τὴν γνώμην καὶ τὴν πρόθεσιν αὐτοῦ κατὰ ταῦτα
ποιωθεὶς, ἀναμάρτητος εἴη θεῷ τῷ τὸ κρυπτὸν
ὁρῶντι· μὴ μόνον μὴ μοιχεύων, ἀλλὰ μηδὲ αἰσ-
χρὰν ὄρεξιν ἔχων.—Ὁ αἰσθόμενος τῆς αὐτοῦ
προκοπῆς ἀπὸ τοῦ ἐν ὅλῃ καρδίᾳ ἐκζητήσω τὸν
θεὸν, εὐλογεῖ αὐτὸν εὐχαριστῶν ἤδη, ἐφ' οἷς
ἠξιώθη· ἔχων γὰρ λόγια ἀπόρρητα καὶ κρύψεως
ἄξια, εὐλογεῖ ἐπὶ τούτοις τὸν κύριον.

v. 13. B. f. 476. Ὅσα γὰρ ἔμελλε ποιεῖν τοὺς ἀκροατὰς μανθάνοντας περὶ τῶν κριμάτων τοῦ θεοῦ, ταύταις
v. 14. Ibid. εἰς φανερὸν ἔφερον.—Ὡς γὰρ τὸν αἰσθητὸν ἀποδεχόμενος πλοῦτον, τέρπεται ἐπ' αὐτῷ, οὐχ ὅτ' ἂν μερικὸν, ἀλλ' ὅτ' ἂν πάντα αὐτὸν ἔχει συμπληρούμενον, ἐξ ἀκινήτων καὶ κινητῶν ὑπαρχόντων, οὕτω καὶ ὁ τὸν πνευματικὸν πόθον πλουτῶν ἀπαρτιζόμενον, χαίρει ἐπ' αὐτῷ κτησάμενος αὐτὸν ἐν τῷ προκόπτειν ἐν τοῖς τοῦ θεοῦ μαρτυρίοις, καὶ ἐνεργεῖν τὰς ἀρετὰς λέγων· ἀντὶ πάντων ἐμοὶ τὰ μαρτύριά σου, εὐφροσύνη καὶ πλοῦτος εἴη.

B. f. 476. b. Ὅπως μὴ ἀμισθὶ δόξω πεπρακέναι τὰ δικαιώματά σου, ἀνταπόδος μοι τὴν θείαν καὶ μακαρίαν ζωὴν, ἵνα ζώσας κατ' αὐτὴν φυλάξω τοὺς λόγους σου· μετὰ γὰρ τὸ μνημονεῦσαι αὐτῶν, ἀκόλουθον φυλάξαι.

v. 18. Ibid. Ἔρχεται ὁ λόγος καὶ ἀποκαλύπτει τοὺς ὀφθαλμοὺς, περιαίρων τὸ κάλυμμα· ἡνίκα γὰρ ἐπιστρέψῃ τὶς πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα· ᾔδει ὁ προφήτης ὅτι σκιὰν ἔχει ὁ νόμος τῶν μελλόντων ἀγαθῶν· ἐζήτει νοῆσαι τὰ ἀγαθὰ, ὧν περιεῖχε σκιὰν ὁ νόμος· καὶ μὴ ἰουδαϊκῶς, ἀλλὰ μεγαλοφρόνως καὶ προφητικῶς εὐχόμενος, παρεκάλει λέγων· ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου, ἵνα ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτρίζηται, τὴν εἰκόνα μεταμορφούμενος, καὶ θεωρῶν τὰ θαυμάσια τοῦ θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ.

v. 20. B. f. 477. Οὐ τὰ κρίματα ἀλλὰ τὰ δικαιώματα εἰπὼν οὕτως ἐξηγήσατο τὰ θεοῦ κρίματα εἶναι, ἀεὶ ὠφέλημα, ἀγαθὰ κυρίως ὄντα· ἐπιθυμίαν οὖν αὐτῶν ἔχων ἐν παντὶ καιρῷ ἐπεπόθησεν, οὐ θέλων αὐτὰ ἐκ λύπης ἢ ἐξ ἀνάγκης ποιεῖν, ὡς ποιοῦσιν οἱ ἐνεργοῦντες αὐτὰ φόβῳ τοῦ περιπεσεῖν κολάσει, ἀλλὰ σὺν ὀρέξει καὶ ἐπιθυμίᾳ· συμβήσεται γὰρ ἐκ τούτου σωφρόνως καὶ γενναίως πάντα φέρειν οὐ μόνον τὰ ἡδέα, ἀλλὰ καὶ τὰ ἐπίπονα καὶ ἀηδῆ· καὶ πρὸς πᾶσαν πρᾶξιν σπουδαίαν σὺν πόθῳ ἰέναι.—Τί δήποτε οὐκ εἶπεν, ἐπεπόθησεν ἡ ψυχή μου τὰ κρίματά σου, ἀλλ' ἐπεπόθησε τοῦ ἐπιθυμῆσαι τὰ κρίματά θεοῦ; ὡς ἐπὶ τοῦ, ἀνταπόδος τῷ δούλῳ σου διηγησάμεθα, ὅτι οὐ πάντων ἐστὶν εὔξασθαι τὸ ἀνταπόδος τῷ δούλῳ σου, ἀλλὰ τῶν καθαρᾷ τῇ συνειδήσει λατρευόντων τῷ θεῷ· οὕτως οὐ πάντων ἐστὶ τὸ ἐπιθυμῆσαι τὰ κρίματα ἐν παντὶ καιρῷ, ἀλλὰ μόνων τῶν μὴ ἁμαρτανόντων· ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ ἐν ᾧ ἁμαρτάνω, ἐὰν ἐπιθυμήσω κρίματα, ἵνα κολασθῶ ἐπιθυμῶ· ἐπεὶ τοίνυν τελείου ἐστὶν τὸ ἐπιθυμῆσαι τὰ κρίματα τοῦ θεοῦ ἐν παντὶ καιρῷ, διὰ τοῦτο ταῦτα φησὶν ὁ προφήτης.

Ποτὲ γὰρ ἡμῖν ἡ ἀντικειμένη ἐνέργεια οὐ πα- v. 21. Ibid.
λαίει, οὐ μόνον ὅτ' ἂν ὁμολογουμένως ἀνταγωνίζεται ἡμῖν, ἀλλὰ κἂν γενώμεθα ἐν τοῖς καλοῖς καὶ διαφέρουσιν ἀγωνίζεται, πῶς ἡμᾶς φυσιῶσαι καὶ ὑψηλόφρονας ποιῆσαι· ὁ θεὸς δὲ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· διὰ τοῦτο ὅσῳ μέγας εἶ, ταπείνου σεαυτὸν, καὶ ἔναντι κυρίου εὑρήσεις χάριν· εἰρήκαμεν δὲ ἤδη ὡς δυνατόν ἐστιν ἐκκλίνειν, οὐ μόνον ἀπὸ τῆς ἐνικῶς λεγομένης, ἀλλὰ καὶ ἀπὸ τῶν ἐντολῶν· ὅπου γὰρ ἐντολὴ, δύναται ἔγκλησις γενέσθαι· ἡ ἐντολὴ θεοῦ εὐθεία ἐστίν.

Οὐκέτι οὖν ἀποπέπτωκε μόνον τῆς ἐντολῆς v. 22. Ibid.
ἐπικατάρατος, ἀλλὰ καὶ ὃς κἂν βραχὺ ἐξέκλινεν ἀπὸ τῆς ἐντολῆς τοῦ θεοῦ.—Ἐπεὶ ὀνειδίζουσιν καὶ ἐξουδενώσουσίν με τινὲς ἐπὶ τῷ ἐκζητεῖν τὰ μαρτύριά σου, περίελε τὸ ὄνειδος καὶ τὴν ἐξουδένωσιν μου· πῶς δ' ἂν περιαιρεθείη ταῦτα εἰς ἐπίγνωσιν ἐρχομένων ἀληθείας τῶν τέως ὀνειδιζόντων καὶ ἐξουτελιζόντων με· ὑπάρξαντος δὲ τούτου ἅμα ἐμοὶ, ἐκζητήσουσι καὶ αὐτοὶ τὰ μαρτύριά σου.

Λέγει ταῦτα ὁ ἅγιος προσωποποιῶν τὸν μετα- v. 25. B. f. 477. b.
νοοῦντα. Ἑτέρα γραφὴ τὰς ὁδούς μου φησὶν ἐξήγ- v. 26. Ibid.
γειλα, ἵνα εἴπῃ τὰς φερούσας περὶ σὲ, οὐχ ἑτέρας οὔσας τῶν ἀρετῶν ὁδοὺς, ὦ δέσποτα πραγματικῶς ἐξήγγειλα σπουδαίᾳ προθέσει, καὶ καταλλήλοις αὐτῇ ἔργοις, καὶ ἐπήκουσάς μου· διὸ πρὸς ὑπακούσαντα φησίν· δίδαξόν με τὰ δικαιώματά σου.—Ἐὰν γὰρ τὴν ὁδὸν τῶν ἐν τοῖς δι- B. f. 478.
καιώμασι μυστηρίων ὑπὸ σοῦ σύνεσιν λαβὼν νοήσω, ὡς καὶ ὁδεῦσαι αὐτὴν δυνήσομαι, τὰ δηλούμενα ἐν τοῖς δικαιώμασί σου θαυμάσια συνι-

εἰς ἀδολεσχεῖν ἐν αὐτοῖς, καὶ τὴν ὁμιλίαν ἐν τῷ περὶ τούτου ποιεῖσθαι λόγῳ.

v. 29. B. f. 478. b. Ὁ προαιρέσει ἀποστὰς τῆς ὁδοῦ τῆς ἀδικίας, καὶ τῷ νόμῳ τοῦ θεοῦ προσελθεῖν, τελειωθῆναι ταῦτα βούλεται πρὸς θεοῦ, τοῦ τὰ τέλη τῶν ἀγαθῶν ἐπιφέροντος· ὡς γὰρ μισήσας ἣν εἶχεν ἄγνοιαν, τῷ πόθον ἐσχηκέναι τῆς ἀντικειμένης ἐπιστήμης, οὐχ οἷός τε ὢν τῆς ἀγνοίας ἀποστῆσαι, καὶ τῇ πίστει πρὸς αἱρῆσαι τὸν διδάσκαλον παρακαλεῖ, τὴν ἄγνοιαν ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῇ ἐπιστήμῃ σου ἐλέησόν με.

v. 32. Ibid. Ὁδὸς μὲν στενὴ καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καρδία δὲ πλατεία καὶ εὐρύχωρος ὑπὸ τοῦ λόγου εὐρυνομένη, ἡ ἁγία καὶ θεὸν ὀψομένη, καὶ τὸν καλὸν δρόμον τρέχουσα τῆς ὁδοῦ τῶν ἐντολῶν τοῦ θεοῦ· οὕτω μὲν καὶ ἡ πλατεία καὶ εὐρύχωρος ὁδὸς ἀπάγει ἐπὶ τὴν ἀπώλειαν· ἡ δὲ στενὴ καρδία καὶ μὴ χωροῦσα ἐν ἑαυτῇ μονὴν πατρὸς καὶ υἱοῦ, χωρίζει ἀπὸ θεοῦ διὰ τὴν στενοχωρίαν τὸν τοιαύτην τῇ ἑαυτοῦ κακίᾳ περιπεποιηκότα.

v. 40. B. f. 479. b. Ἐπεὶ ἐπεθύμησα, φησὶν, τὰς ἐντολάς σου, διὰ τοῦτο ζωοποίησόν με, κατὰ τὴν σὴν δικαιοσύνην, καὶ ἄμειψαί με μὴ μόνον ποιήσαντά σου τὰς ἐντολὰς, ἀλλὰ καὶ αἱρετικῶς πρὸς αὐτὰς διατεθέντα· διὸ οὐκ ἄλλου χάριν, ἀλλ' αὐτῶν ἕνεκα ἐπιτελῶν αὐτὸς φημὶ, ἐν τῇ δικαιοσύνῃ σου ζῆσον με, ὅπερ ἐστὶ ζῆσαι κατὰ ἀρετήν· καὶ ἐπεὶ δικαιοσύνη τοῦ πατρὸς ὁ υἱὸς, ὁ ἐν υἱῷ ζῆσαι βουλόμενος, τοῦτο φησίν.

v. 43. B. f. 481. Εἰ καὶ ποτὲ πρὸς ἐμπιπτούσας ἀπορίας περὶ προνοίας, ὁμοιοτρόπων ζητημάτων μὴ ἔχοιμι λόγον ἀποδοῦναι, λύοντα τὰς ἀντιῤῥήσεις τῶν ἐπαπορούντων, ἀλλὰ σὺ τῇ αὐτοῦ ἀγαθότητι, ἀνοίξαντί μοι τὸ στόμα, τῷ σῷ λόγῳ δὸς ἑρμηνευτικὸν τῆς ἀληθείας, ἵνα μὴ παντελῶς περιαίρεσις τοῦ λόγου τῆς ἀληθείας ἐκ τοῦ στόματός μου γένηται, ἀλλὰ δυνηθῶ περὶ τῶν δυσαποδότων ἀμῶσγε πῶς λέγειν ὅτι ἤλπισα ἐπὶ τὰ κρίματά σου, τοῖς κεκριμένοις καὶ ἐξετασμένοις λόγοις καὶ τοῖς κρίμασι καθ' ἃ διοικεῖς καὶ προνοεῖς τῶν ἀνθρώπων.

B. f. 481. Τῶν ἑτεροδόξων ἀλαζονευομένων κατὰ τοῦ νόμου τῷ διαβάλλειν αὐτὸν, ἐγὼ σφόδρα τῆς φυλακῆς αὐτοῦ περιηχόμην· καὶ κατὰ πόσον κλονῆσαι τὴν πρὸς αὐτὸν συγκατάθεσιν μὴ ἀνεχόμενος.

v. 52. Ibid. Ἔτι τὴν διάθεσιν κατανοήσομεν τοῦ δικαίου· μεμνησκόμενος, φησὶ, τῶν κριμάτων τοῦ θεοῦ τῶν ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος ἀποθησομένων ἑκάστῳ, παρακαλεῖται καὶ ἄλυπος μένει καὶ ἀτάραχος· καὶ λέγει οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

v. 63. B. f. 482. Μέτοχον νοήσομεν τὸν φίλον καὶ κοινωνὸν, ὅ φησιν ὁ ἐκκλησιαστὸς, ἐὰν πέσῃ ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ· μήποτ' οὖν τοῦτο βούλεται λέγειν, ὅτι φίλος καὶ κοινωνὸς, εἰ μὴ πάντων τῶν φοβουμένων τὸν κύριον, καὶ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ;

v. 65. B. f. 482. b. Οὔσης περὶ τὸν θεὸν χρηστότητος καὶ ἀποτομίας κατὰ τὸν ἀπόστολον, ἡ μὲν χρηστότης γίνεται ἐπὶ τοὺς ἑστηκότας τῇ πίστει· ἡ δὲ ἀποτομία ἔστιν ἐπὶ τοὺς ἀφεστηκότας αὐτῆς· ἐπεὶ οὖν ὁ ἅγιος ἐβεβαίωτο ἐν τῇ πίστει, χρηστότητα εἶπεν ἐποίησας μετὰ τοῦ δούλου σου· σοῦ δὲ ἔφη, παραστῆσαι βουλόμενος μὴ κατὰ ἀποκλήρωσιν γινομένην μετά τινος τὴν χρηστότητα τοῦ θεοῦ, ἀλλὰ μετὰ τοῦ δουλεύοντος αὐτῷ, ὅστις ποτ' ἂν ᾖ οὗτος· τὸ δὲ κατὰ τὸ λόγιόν σου προσκείμενον, δηλοῖ σὺν λόγῳ καὶ αἰτίᾳ λογικῇ γίνεσθαι μετά τινος τὴν τοῦ κυρίου χρηστότητα 1).

v. 66. Ibid. Παιδείαν μὲν, τὴν ἠθικήν· γνῶσιν δὲ, τὴν διανοητικὴν ἀρετὴν καλῶν.—Ἐπεὶ ὀρθῶς καὶ φρονίμως ταῖς παρὰ σοῦ ἐντολαῖς προσελθὼν ἐπίστευσα αὐταῖς ὡς τηρῆσαι αὐτὰς, ὄρεξόν μοι σοφίαν, διδάξας με χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν· συνᾴδει τούτοις τὸ, ἐπεθύμησα σοφίαν, διδάξας με χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν· συνᾴδει τούτοις τὸ, ἐπεθύμησα σοφίαν· διατήρησον ἐντολὰς, καὶ κύριος χορηγήσει σοι αὐτήν.

v. 72. B. f. 483. Διττοῦ ὄντος τοῦ νόμου, τοῦ μὲν πνευματικοῦ καὶ πρὸς διάνοιαν, τοῦ δὲ κατὰ τὸ γράμμα καὶ τὴν σκιὰν διαταγέντος δι' ἀγγέλων ἐν χειρὶ

1) Rursus animadvertamus Didymi sententiam circa divinam gratiam, veluti etiam in subsequente pagina.

μεσίτου, ὁ προφήτης ἀγαθὸν αὐτῷ λέγει τὸν νόμον τοῦ θεϊκοῦ στόματος ὑπὲρ πάντα τοῦ κόσμου ἡδέα, ἃ διὰ χιλιάδων χρυσίου καὶ ἀργυρίου ἐδήλωσε· πρὸς θεωρίαν δὲ λεκτέον τὸ ἀργύριον ἀντὶ λόγου, τὸ δὲ χρυσίον ἀντὶ νοῦ.

Οἱ θεὸν φοβούμενοι τῷ μηδὲν αὐτοὺς ὑστε-
v. 74. B. f. 483. b. ρεῖν, τέλειοι εἰσίν· ὄντες δὲ τοιοῦτοι ἀγαθοὶ τυγχάνουσιν, κατὰ τὸν οὗ ἔχουσι φόβον· διὸ καὶ εὐφραίνονται ἐπὶ τοῖς εὐαρεστοῦσι θεῷ.

Πάντα κρίματα τοῦ θεοῦ γίνεται· καὶ ὅτι δικαιοσύνη ἐστὶ τὰ κρίματα τοῦ θεοῦ, ὁ πιστὸς πιστεύει, ἀλλ' οὐκ ἂν ἔγνω εἰ μὴ λάβοι λόγον γνώσεως· ὁ δὲ ἄπιστος οὐδὲ πεπίστευκεν, ἀλλ' ἐγκαλεῖ τῇ προνοίᾳ· περὶ τούτων οὖν τῶν κριμάτων, ὁ μὲν τίς πεπίστευκεν, ὁ δὲ ἀπιστεῖ· ὁ δὲ βελτίων οὐ πεπίστευκε μόνον, ἀλλὰ καὶ τίς ἡ ἐν τούτοις κρίσις τοῦ θεοῦ· καὶ κατὰ τὰ συμβαίνοντα ἀνθρώποις ταύτην τὴν γνῶσιν ἀνείληφεν ὁ προφήτης. Καὶ μετ' ὀλίγα. Πολλάκις δὲ ἐτήρησα ὅτι τὸ ἐταπείνωσάς με, λέγεται πολλαχοῦ, καὶ μάλιστα ἐν τοῖς ψαλμοῖς, ἀντὶ τοῦ πειρασμοῖς περιέβαλές με· χωρὶς γὰρ τῆς ἐν πολλοῖς ὀδυνηροῖς γυμνασίας καὶ τῆς παρ' ἐλπίδα γινομένης θεοῦ βοηθείας, οὐκ ἔστι βεβαίως ἄνθρωπον ἐν ἀρετῇ παγῆναι.

Ὁ προφήτης ὡς γενναῖος ἀθλητής, καὶ μεμαθηκὼς φέρειν τὰ συμβαίνοντα, εὔχεται οὐκ ἀποστῆναι τὰ λυποῦντα αὐτὸν, ἀλλὰ δοθῆναι αὐτῷ ἐν τῷ καιρῷ τῶν λυπηρῶν λόγον ἰσχυρὸν παρακλήσεων, τὸν δυνάμενον αὐτῷ χαρίσασθαι μετὰ πάσης εὐθυμίας καὶ ἀταραξίας φέρειν τὸ συμβεβηκός· ἐν τούτῳ γάρ με, φησὶν ἐλέησον, ἵνα γένηταί μοι παράκλησις καὶ παραμυθία.

Βούλεται ὡς προφήτης τοὺς φοβουμένους τὸν
v. 79. B. f. 484. θεὸν ἐπιστρέψαι πρὸς αὐτὸν καὶ οἰκεῖν, ἵν' αὐτοῖς μεταδῷ τοῦ χαρίσματος τοῦ ἐν αὐτῷ.

Ὁ τοῦ θεοῦ λόγος πνευματικὴ ὢν πάχνη· ἐπεὶ καὶ δρόσος καὶ υἱετὸς πολλαχοῦ λέγεται,
v. 83. B. f. 481. b. καταψύχει μου τὸν ἀπὸ παθῶν ἀκόλαστον φλεγμὸν, καὶ ἀσθενῆ μου τὴν σάρκα ποιεῖ, ὡς τὴν νέκρωσιν Ἰησοῦ φέρειν ἐν αὐτῇ.

Πᾶσαι αἱ ἀνθρώπιναι ἡμέραι ὀλίγαι εἰσίν· v. 84. B. f. 484. b.
ἐπεὶ οὖν ὀλίγον χρόνον ζῶ ἐπὶ γῆς, βούλομαι δὲ ἰδεῖν τοὺς καταδιώκοντάς με κρινομένους, παρακαλῶ σε μὴ ὑπερθέσθαι· τινὲς δὲ εἰσὶν οἱ περὶ ὧν εὔχεται ἵνα γένηται ἐπ' αὐτοὺς κρίσις; οἱ καταδιώκοντες ἡμᾶς, ὁ σατανᾶς ἐστὶ καὶ τὰ πνευματικὰ τῆς πονηρίας· ὅταν δὲ ἡμᾶς καὶ ἄνθρωπος δοκῇ καταδιώκειν, τῷ πρώτως καταδιώκων, οὐκ ἄνθρωπος ἐστὶν, ἀλλ' ὡς παρέχειν ἑαυτὸν τόπον ἐκεῖνος ἄνθρωπος.—Ποιήσεις δὲ B. f. 485.
τοῦτο, συντρίβων τὸν σατανᾶν ὑπὸ τοὺς πόδας μου ἐν τάχει, καὶ τὰς ἀντικειμένας σοι δυνάμεις ὑποτάσσων τῇ ψυχῇ μου, καὶ ποιῶν αὐτὰς καταπατεῖσθαι ὑπὸ τοῦ σοῦ λόγου γινομένου ἐν τῇ προαιρέσει μου.

Πολλοὶ γὰρ ἑρμηνεύειν ἐπιχειροῦσι τὰς θείας v. 85. Ibid.
γραφὰς, καὶ τῶν τῆς ἐκκλησίας, καὶ τῶν ἔξω ταύτης αἱρετικῶν τὲ καὶ ἰουδαίων ἢ σαμαρειτῶν· ἀλλ' οὐ πάντες λέγουσι καλῶς· σπάνιος γὰρ ὁ ἔχων ἀπὸ τοῦ θεοῦ εἰς τοῦτο χάριν· πολλῶν ἀδολεσχία καὶ φλυαρία· οὐ γὰρ δύναται λόγος εὔτονος καὶ ἐῤῥωμένος καὶ σωτήριος εἶναι ἐν ψυχῇ τοῦ παρανόμου 1).

Οὐ τύπος οὐδὲ σύμβολον αἱ ἐντολαί σου· ἀδί- v. 86. Ibid.
κως κατεδίωξάν με, βοήθησόν με· ἔστι δικαίως καταδιωχθῆναι, καὶ ἀδίκως· δικαίως καταδιώκεται ὁ παρανόμως βιοὺς· ἀδίκως δὲ ὁ δίκαιος, ὁ φιλαλήθης ἐχθρὸς ἀνθρώποις γινόμενος διὰ τὴν ἀλήθειαν.—Οἱ καταδιώκοντές με προσπεπολεμήκασιν, ἕως τε μικροῦ δεῖν συντετελεκέναι με αὐτοὺς, μικροῦ δεῖν ἐκ τοῦ διωγμοῦ αὐτῶν ἐτελεύτησα· συντετέλεσθαί μου ὁ χρόνος τῆς ζωῆς ἐπικειμένου μοι τοῦ δειλοῦ· καὶ ὅμως οὐκ ἐξέστην σου τῶν ἐντολῶν, οὐκ ἐξεκάκησα, οὐ παράνομόν τι ἐποίησα, ἀλλ' ἐπέμενον τῇ ἀγάπῃ τῶν ἐντολῶν σου. Καὶ μετ' ὀλίγα. Συντελεσθῆναι δέ ἐστιν v. 87. Ibid.
ἐν τῇ γῇ οὐ τὸ κοινῶς τεθνάναι, ἀλλὰ τὸ εἰς τὴν ὑλικὴν ἕξιν, ἣν ἐκάλεσε γῆν, ὡς εἰς τέλος ἐλθεῖν ἐπὶ τῷ κατ' αὐτὴν ποιωθῆναι.—Τὸ κατὰ τὸ λόγιον τοῦ θεοῦ ζῆν, τὸ σὺν εὐσεβείᾳ ζῆν ἐστιν, οὐχ ἁπλῶς τὴν αἰσθητὴν ταύτην

1) Notabile Didymi dictum de heterodoxis sacrae scripturae interpretibus. Consonat fere S. Athanasius in fragmentis apud nos T. II. p. 571. 577.

ζωήν· τούτου γὰρ τυχὼν, ἐν εὐζωΐᾳ ἔσται, ὃς ἐφύλασσεν τὰ μαρτύρια τοῦ στόματος τοῦ θεοῦ μαρτυρηθέντα καὶ ἀποδειχθέντα ὑπὸ λόγου τοῦ θεοῦ, οὗ εἶπεν αὐτοῦ στόματος εἶναι.

v. 88. B. f. 485. b. Ὁ μετὰ πάσης εὐτονίας καὶ σφοδρότητος ἐργαζόμενος τὰ προστεταγμένα ὑπὸ τοῦ κυρίου, οὗτος νενόηκε τὸν προειρημένον στίχον.

v. 92. B. f. 486. Ὡς τεταγμένως καὶ ὁμαλῶς περικυκλεῖν κατὰ τοὺς ἐτησίους κύκλους, οὐκ ἐξισαμένης τῆς ἡμέρας, οὐδὲ πώποτε ἧς ἔχει πρὸς νύκτα διατάξεως κατά τε ἰσότητα καὶ ἀνισότητα.

v. 98. B. f. 487. Οἱ ἐπικείμενοι ἐχθροὶ ἀόρατοι πειρῶνται διὰ πάσης σπουδῆς εἰς τὸ προτιμᾷν ἡδονὴν ἀγαγεῖν με, δι' ἧς ἡδονῆς συμβαίνει πρὸς πάντα τρόπον δυσχερῶς ἔχειν, ὡς καὶ τὴν θείαν ἐντολὴν σὺν ἱδρῶτι κατορθουμένην παραιτεῖσθαι· κρείττων δὲ γίνεται τῆς ἡδονῆς, καὶ τῶν πρεσβευόντων αὐτὴν ἐχθρῶν, ὁ τὴν θεοῦ ἐντολὴν σοφιζόμενος ὑπ' αὐτοῦ, ὥστε εἰς αἰῶνα αὐτὴν ἔχειν ὁμολογήσας τῆς πρὸς ὀλίγον οὔσης καὶ προσκαίρου ἡδονῆς· διὸ τῷ θεῷ εὐχαριστικῶς ὑμνῶν ἐρεῖ· ἐσόφισάς με τὴν ἐντολήν σου, ἐξ οὗ καὶ ὑπὲρ τοὺς ἐχθρούς μου γεγένημαι.

v. 105. B. f. 488. Λύχνος ὁ νόμος ἐστὶ τοῖς πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου τῆς δικαιοσύνης ἐν νυκτὶ βαδίζουσι, τοῦ ἀληθινοῦ φωτὸς οὐ λύχνου ὄντος, ἀλλ' ἡλίου φωτίζοντος ἐκείνους, οἷς προέκοψεν ἡ νὺξ, ἐγγισάσης τῆς ἡμέρας εὐσχημόνως περιπατεῖν ἐστίν.

v. 106. B. f. 488. b. Τί ποιεῖ ἐνθάδε τὸ ὤμωσα, ζητητέον· διέθετο διαθήκην πρὸς τοὺς ἐκλεκτοὺς αὐτοῦ· καὶ ταύτην τὴν διαθήκην διαθεμένου τοῦ θεοῦ ὁ πιστεύων παρεδέξατο, καὶ οἱονεὶ ὅρκος ἐστὶν μεταξὺ τοῦ θεοῦ καὶ τοῦ πιστεύοντος τῇ τῆς διαθήκης τοῦ θεοῦ παραδοχῇ· συνθήκας γὰρ πρὸς τὸν θεὸν ἐποιησάμεθα, παραδεξάμενοι αὐτοῦ τὴν διαθήκην, ὡς τηρῆσαι καὶ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης αὐτοῦ· ἵστημι δὲ αὐτὰ ἐν τῇ ἐμῇ ψυχῇ· ὅταν αὐτὰ στήσω, γίνεταί μοι ἐκεῖνο τὸ εἰρημένον παρὰ τῷ Σολομῶντι ἐν παροιμίαις, λογισμοὶ δικαίων, κρίματα· ἐκεῖνα τὰ κρίματα ἐςὶ τῆς δικαιοσύνης τοῦ θεοῦ πότε γενόμενα, ὅτε ὤμωσα καὶ ἔςησα αὐτὰ ἐν ἐμαυτῷ· τὸ δὲ στῆσαι ἐνταῦθα, τὸ βεβαίως ὁρίσαι δηλοῖ· καὶ τὸ ὀμῶσαι οὐ τὸ θεὸν ὀμῶσαι, ἀλλὰ τὸ ἀμεταθέτως τοῦτο προθέσθαι καὶ ἀπαράβατον φυλάττειν· τὸ ἔργον τοῦ ὅρκου δύναμαι ποιεῖν.

Οὐδεὶς δοῦλος τῆς ἁμαρτίας, δοῦλος ἐςὶ τοῦ θεοῦ· ὁ γὰρ δουλεύων, ἐν πάσῃ πράξει καὶ διανοήσει ποιῶν πάντα κατὰ τὸν λόγον αὐτοῦ, οὗ- v. 125. B. f. 491.
τος λεγέτω, δοῦλός σου εἰμὶ ἐγώ· τοιοῦτος ὢν ὁ προφήτης ἀξιοῖ μισθὸν λαβεῖν τῆς δουλείας τὸ, συνέτισόν με· ἔςι γὰρ σύνεσις διδομένη ἀπὸ θεοῦ, ἣ ἀπόκειται παρὰ τῷ θεῷ, ὡς ἐν θησαυροφυλακίῳ· πνεῦμα γάρ φησι σοφίας καὶ συνέσεως καὶ τὰ ἑξῆς, τῶν ἀγαθῶν τὰ χαρίσματα.

Ἀντὶ τοῦ καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ τοὺς v. 126. Ibid.
ἀπὸ τῶν ἐθνῶν· διεσκέδασε γὰρ τὸν νόμον ὁ Ἰσραὴλ ἐκεῖνος· οὔπω γὰρ ἦν καιρὸς αὐτοῦ τῆς ἐπιδημίας, ὅσον ἐκεῖνοι οὐκ ἦσαν διασκεδάσαντες τὸν νόμον τοῦ θεοῦ· ὡς προφήτης σὺν πνεύματι ᾄδων φησὶν περὶ τούτου τοῦ καιροῦ· καὶ Ἡσαΐας προφητεύει, καὶ ὁ ἀπόστολος διηγεῖται· Ἡσαΐας μὲν οὕτω λέγει· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· καὶ ὁ ἀπόστολος δὲ τὸ ῥητὸν ἐκθέμενος, ἐπιφέρει· ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· ὅτε καιρὸς γέγονε τοῦ ποιῆσαι τῷ κυρίῳ, διασκεδασθέντος τοῦ νόμου ὑπὸ τῶν παραλαβόντων αὐτόν.

Τελειωτέρου ἐστὶν τὸ ποιεῖν μετὰ τοῦ ἀγα- v. 127. B. f. 491. b.
πᾷν· ἀτελεστέρου δὲ ποιεῖν μὲν, οὐ μετὰ τοῦ ἀγαπᾷν δέ· τῶν δὲ ἐν τῷ κόσμῳ τιμιώτατον δοκεῖ εἶναι χρυσός· παρακειμένου γοῦν πλούτου παντὸς, καὶ ἐντολῆς σου, οὐχ οὕτως ἐνορῶ τῷ πλούτῳ, ὡς τῇ ἐντολῇ σου.—Ταῦτα συνᾴδει τῷ, ἀγαθόν μοι ὁ νόμος τοῦ ςόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου· καὶ τῷ, λάβετε παιδείαν, καὶ μὴ ἀργύριον· καὶ γνῶσιν, ὑπὲρ χρυσίου δεδοκιμασμένου· κρεῖσσον γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον ἐστίν.

Διὰ τοῦτο εὐθής ἐστιν ἡ κρίσις σου· ἐπεὶ v. 137. B. f. 492. b.
δίκαιος ὢν κατὰ τοὺς τῆς δικαιοσύνης κανόνας, εὐθυτάτους ὄντας, κρινεῖς πάντας τοὺς δεξαμένους τὰ κρίματά σου.—Αἱ γὰρ θεῖαι σου γραφαὶ, ἃς ἀνθρώποις ἐνετείλω, οὐχ αἱ καιναὶ μό-

ναι ἀλλὰ καὶ παλαιαὶ, δικαιοσύναι κατὰ τὰ ἠθικὰ τυγχάνουσαι, τουτέστιν ἠκριβωμέναι, ἣν ἂν ἐνετείλω ἡμῖν ποιεῖν κρίματα, ὅπως κρινῶμεν κατὰ τὸν νόμον, καὶ τὸν μικρὸν κρίμα δίκαιον κρίνειν ὑποτιθεῖσαι καὶ εἰς πᾶσαν εὐθύτητα ἐμβιβάζουσαι ἀλήθεια καὶ δικαιοσύνη εἰσίν.

v. 144. B. f. 493. b. Ἃ δέδωκάς μοι μαρτύρια, οὐ πρὸς ὀλίγον ὄντα ὠφέλιμα, δικαιοσύνη εἰς τὸν αἰῶνα τυγχάνουσιν, δικαιοῦντα τὸν διαθέσει συνεγγίζοντα αὐτοῖς.

v. 152. B. f. 494. b. Ἐθεμελιώθη τὰ μαρτύρια ἀπὸ τοῦ θεοῦ ὡς μηδένα δύνασθαι ζῆσαι, εἰ ἀνατρέψεται αὐτά· ὁ γὰρ σὸς λόγος σοφία· καὶ υἱός σου τυγχάνων, θεμέλιος αὐτῶν ὑπάρχων· διὸ καὶ παριστὰς τὸ ἀκαταμάχητον καὶ ἀκαθαίρετον αὐτῶν ἔφη· οἱ λόγοι μου οὐ μὴ παρελεύσονται, κἂν ὁ οὐρανὸς καὶ ἡ γῆ παρέρχονται.

v. 161. B. f. 495. b. Διττή ἐστιν ἡ δειλία· ἡ μὲν ἄλογος περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς καταγινόμενη, ἡ δὲ λογικὴ περὶ τὴν καρδίαν συνισταμένη καὶ τὴν νόησιν, οὐκ ἄνευ λόγου· καὶ τάχα ἡ αὐτὴ τῷ θείῳ φόβῳ τυγχάνει ἢ δύναται.

v. 163. Ibid. Σχεδὸν ὃ λέγει τοιοῦτον ἐστίν· ἐκεῖνοι μὲν βδελύσσονται νῦν νεκρὸν, καὶ σῶμα ἀνθρώπου νεκρὸν ὡς καλαβωτὴν καὶ γαλήν· ἐγὼ δὲ τὸ ἄξιον τοῦ βδελυγμοῦ· τίς ὄφελος ἐκ τοῦ ἐκεῖνα βδελύξασθαι, ἀδικίαν βδελυξάμην· μεγάλην ὠφέλειαν παρέχει τῷ βδελυξαμένῳ· ἐγὼ τὸν νόμον σου ἠγάπησα, οὐχ ὡς ἐκεῖνοι ἕλκοντες αὐτὸν ἐπὶ τὰ γήϊνα, καὶ κατασπῶντες αὐτὸν ἐπὶ τὰ κάτω πράγματα· ἡμεῖς γὰρ ὡς συναγερθέντες Χριστῷ, τὰ ἄνω ζητοῦμεν, οὐ τὰ ἐπὶ γῆς· καὶ πνευματικῶς τὸν νόμον νοοῦμεν.

v. 170. B f. 496. b. Παρακαλεῖ τοιαύτην εἶναι τὴν ἀξίωσιν, δόκιμον καὶ βέβαιον καὶ ἀκαταγώνιστον, ὥστε εἰσελθεῖν ἐνώπιον κυρίου· γνώσομαι δὲ εἰ εἰσέλθοι ἐνώπιόν σου τὸ ἀξίωμά μου· ῥυσθείην ὑπὸ σοῦ κατὰ τὸν λόγον καὶ τὸ ἀξίωμά μου καὶ τὴν σοφίαν· ὁ γὰρ ἀνώτερος πάντων παθῶν γεγονὼς, καὶ μακρὰν ὅτι μάλιστα λόγων καὶ τῶν ἀπ᾽ ἀλογίας ἐνεργουμένων κακιῶν χωρίσας, ἐῤῥύσθη ὑπὸ θεοῦ, κατὰ τὸ λόγιον αὐτοῦ. Ἀντὶ δὲ τοῦ, τὸ ἀξίωμά μου, ὁ μὲν Ἀκύλας, δέησίς μου· ὁ δὲ Σύμμαχος, ἱκεσία μου, εἰρήκασιν· δύο δὲ οὖν αἰτεῖ, τὴν σύνεσιν τῶν ἱερῶν λογίων, καὶ τὴν ἀπαλλαγὴν καὶ ἐλευθερίαν τῶν ἐν τῷ βίῳ κακῶν, ὃ δὴ καὶ ἡμῖν ἀναγκαῖον.

Ἡ ἐρυγὴ ὡς ἐπίπαν γίνεται τοῖς κεκορεσμένοις· πληρωθέντες γὰρ, οὕτως ἐρευγόμεθα τὴν ποιότητα τῆς τροφῆς ἣν εἰλήφαμεν· οἶδεν οὖν ὁ θεῖος λόγος πνευματικὴν τροφήν· αὐτὸς γοῦν ὁ λόγος φησὶν, ἄρτος εἶναι· ἐγὼ γὰρ εἰμὶ ὁ ἄρτος ὁ ζῶν ὁ ἐξ οὐρανοῦ καταβάς· ὁ φαγὼν τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα· καὶ φησὶν ὁ λόγος ἔχειν σάρκας, ἐν τῷ, ὁ τρώγων μου τὴν σάρκα, ἔχει ζωὴν ἐν ἑαυτῷ· ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις· ἐὰν οὖν κορεσθῶμεν τούτου τοῦ ἄρτου τοῦ λόγου, ἐρευγώμεθα ὕμνον· ποτὲ δὲ ἐξηρεύξαντο εὐχαί· τὸ γὰρ αὐτὸ γενέσθαι ἐπήγαγεν καὶ διὰ τῶν εὐχῶν· ὅταν διδάξῃς με τὰ δικαιώματά σου· ἐὰν μὴ διδαχθῶ τὰ δικαιώματά σου, τοιαύτην ἐρυγὴν ἐξερεύξασθαι οὐ δύναμαι.—Ἐκ τοῦ ἐνεργεῖσθαι καὶ τρανῶς ἐγγυῶσθαι μοι αὐτὰ, εὐχάριστον προσγινόμενον ὕμνον σοὶ προσενέγκωμαι ἐκ χειλέων μου τοῦ ἔσω ἀνθρώπου· ἡ δὲ ἐρυγὴ ὑμνῳδία θεοῦ δηλονότι ἡ γινομένη ψυχῆς τροφὴ, πληρεστάτη θεολογία τυγχάνει. v. 171. B. f. 497.

Αἱ διάφοροι ἐντολαί σου προστάξεις οὖσαι τῶν κατ᾽ εἶδος ἀρετῶν, ἓν πᾶσαι τυγχάνουσιν· ἢ καὶ καθόλου γενικὴ ἡ ἀρετὴ τῷ ἀντακολουθεῖν τὰς ἰδικὰς ἀρετὰς, ὡς τὸν μίαν τελείως ἔχοντα, πάσας ἔχειν φθέγγομαι· τοῖς τοῦ ἔσω ἀνθρώπου χείλεσί μου τὸ λόγιόν σου· φθέγγεται δὲ κυρίως τὸν περὶ τῆς δικαιοσύνης λόγον, οὐχ ὁ φωνῇ μόνῃ αὐτὸ προφέρων, ἀλλὰ καὶ ἔργοις καὶ προθέσει πρακτικῇ τῇ κατὰ τὸν ὀρθὸν λόγον εὐθυνομένῃ. v. 172. B. f. 497.

Ἐπείπερ τῶν κριμάτων μνημονεύων καὶ ἐξεχόμενος κλινῶ τὸν ἑπόμενον τῇ ἁμαρτίᾳ θάνατον· οὐδὲ ἄλλως ἁμαρτάνων, ἀλλ᾽ ἐνεργῶν ἐκεῖνα οἷς ἀκολουθεῖ τὸ ζήσεσθαι τὴν ψυχὴν, καὶ αἰνέσαι σε εὐχαριστοῦσαν, ἔφη παράσχες αὐτῇ ἀθανάτῳ ζωῇ 1). v. 175. B. f. 497.

1) Huc usque (post A. vat. 1789, qui desinebat in ps. 50. v. 6, apud nos p. 236.) codex B. vat. 1682, cuius pars posterior est cod. 1683. Exin sumimus ex codice C, id est vat. reg. 40; et ex cod. D. seu vat. 754; denique ex cod. E. vat. 1685, ut praediximus p. 237. Ex aliis quoque codicibus sperari poterant Didymi reliquiae; sed nos hactenus.

PSALMUS CXIX.

v. 1. C. f. 281. b. Ἰςέον δὲ ὡς ὁ ἐν τῇ Ἱερουσαλὴμ νεὼς ἀναβαθμοὺς εἶχεν δεκαπέντε, καὶ ἐφ' ἕκαστον αὐτῶν ἐν τῷ ἀναβαίνειν εἰς αὐτὸν ἑστηκότες οἱ εἰς τὸ ὑμνεῖν τεταγμένοι ᾠδὴν ἔλεγον· διὸ καὶ συνέβη εἰσαρίθμους ᾠδὰς τοῖς ἀναβαθμοῖς εἶναι· κεῖται δὲ ἡ περὶ τῶν ᾠδῶν καὶ τῶν λεγόντων αὐτὰς ἐφ' ἑκάςου τῶν ἀναβαθμῶν τοῦ ναοῦ διάταξις ἐν ταῖς παραλειπομένοις· νοήσεις δὲ ναὸν εἶναι θεοῦ ἅγιον νοητὸν ἅμα καὶ πνευματικὸν, τὴν θεοῦ οὐσίαν.

PSALMUS CXXI.

v. 4. C. f. 285. Ἑρμηνεύει δὲ τὸ δι' αὐτῶν τῶν οἰκητόρων εἶναι τὴν ἕνωσιν λέγων· ἐκεῖ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ κυρίου· οὐχ ὅτι τείχη περιεβάλλοντο, διὰ τοῦτο ἡνώθησαν, ἀλλ' ὅτι αὐτοὶ δι' ἑαυτῶν μαρτύριον μὲν τῷ Ἰσραὴλ, τὴν ἀλήθειαν δηλαδὴ τὴν θαυμασίαν ἐπαγγελίαν ἐξομολόγησις χαρίτων ὀφείλεται παρὰ τῶν ἐνεργουμένων· θρόνους τὲ τοῦ οἴκου Δαυὶδ ἱδρυνθῆναι ἐπ' αὐτῆς φησὶν, ἐπεὶ καὶ βασιλείαν τῶν πάντων ὁ Δανιὴλ προφητεύει· καὶ ἡ βασιλεία Δαυὶδ ἀνορθοῦται χάριτι τοῦ Χριστοῦ, ὃς τοῖς δώδεκα ἔδωκεν ἀποςόλοις τὸ ἐπὶ δώδεκα θρόνοις καθεζομένους κρίνειν τὸν Ἰσραήλ.

v. 7. D. f. 314. b. Τὸ δὲ ἐν τῇ δυναστείᾳ σου, διὰ τὸ δυνατῶς αὐτὴν βασιλεύειν καθελοῦσαν ἅπαντα δυσμενῆ· οἱ μεγάλοι δὲ πύργοι λέγονται πυργοβάρεις ἐν τοῖς τείχεσι κατασκοπῆς χάριν τῶν ἐπιόντων γινόμενοι· βάρεις ἐπιχωρίως λέγονται παρὰ Σύροις αἱ μεγάλαι οἰκίαι. δηλοῦνται δὲ διὰ τούτων, οἱ διὰ πολιτείας ὕψος καὶ θεωρίας μὴ μόνον σκοποῦντες τοὺς ἐπὶ πόλεμον ἐρχομένους ἐχθροὺς, ἀλλὰ καὶ βάλλειν ἐξ ὕψους τοῖς ἐλέγχοις δυνάμενοι.

PSALMUS CXXIV.

v. 1. D. f. 316. b. Ἀλλὰ καὶ τῶν τοῦ θεοῦ λόγων ἄσειστόν τε καὶ ἀμετακίνητον ὄρος· ἄσειστοι δὲ καὶ οἱ τούτου καθ' ὁμοιότητα μιμηταί· κατὰ τὸν αἰσθητὸν πᾶν ὄρος ἀκίνητον· περὶ ἐκείνου νῦν ὁ λόγος, περὶ οὗ τὸ πνεῦμα τῷ προφήτῃ φησίν· ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών· ἡ μὲν γὰρ σκοπευτικὴ τῶν ἀγαθῶν ἐκκλησία Σιών· ἑρμηνεύεται γὰρ σκοπευτήριον ὑψηλὸν τῆς οὐρανίου Σιών· περὶ οὗ τὸ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ· μακάριον τοίνυν ἐπὶ θεὸν πεποιθέναι, κατὰ τὸ, πεποιθὼς ἔσῃ ἐπὶ κύριον, καὶ ἀναβιβῆναι ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, δηλαδὴ τῆς τῶν ζώντων καὶ πραέων· ἀρχὴ γὰρ ἡ εἰς θεὸν πεποίθησις τῆς ἐπ' αὐτὴν ἀναβάσεως· λέγει δὲ τὴν ἐκκλησίαν Ἱερουσαλὴμ ἡ γραφή· ὡς τὸ, φωτίζου ἡ νέα Ἱερουσαλὴμ οἰκοδομουμένη· ἣν λέγεται κατοικεῖν ὁ τὰ τῆς ἐκκλησίας φρονῶν, εἰς τὸν αἰῶνα μὴ σαλευόμενος ἐκ τῆς τοιαύτης οἰκήσεως, ἃ δεῖ φρονῶν τε τε καὶ πράττων· ἀλλ' οὐδὲ τεθνήξῃ τὸν εἰς θεὸν ἔρωτα αὐτῶν, καὶ τὴν εἰς τὸ ἀγαθὸν πρόθυμον ἔχων, οὐ σαλευθήσεται, λαβὼν ἐν ταύτης τὸν ἀῤῥαβῶνα τῆς αἰωνίου ζωῆς· ὁ δὲ πρὸς τὸ ἀγαθὸν ἐνδεὴς πόθου καὶ τῆς προσοχῆς διὰ ῥαθυμίαν μετακινηθήσεται τῆς ἀσκήσεως· διό φησιν ἐν παροιμίαις, δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει.

Ὄρη τὰ ὑψηλὰ τῆς ἀληθείας δόγματα, θεσ- v. 2. D. f. 316. b.
μός τε καὶ κάνονες ἐκκλησιαστικοὶ, ἅγιοι τε πάντες οἱ πρὸ τῆς ἐπιδημίας καὶ μετὰ ταύτην· τούτοις γὰρ πᾶσιν ἡ ἐκκλησία περιστοιχίζεται· οἵ τε παρεμβάλλοντες ἅγιοι κύκλῳ τῶν φοβουμένων τὸν κύριον· μεῖζον δὲ πάντων ὁ κυκλῶν αὐτῆς τὸν οἶκον. . . ὁρᾷς κύριε οὐ τοπικὸς μετὰ . . . όμενος συνὼν τε τούτοις νῦν τε καὶ ἐν αἰῶνι μέλλοντι.

Ὁ κατὰ φύσιν ὢν ἀγαθὸς τοῖς ἐπιμελείᾳ γιν- v. 4. D. f. 317. E. f. 196.
ομένοις ἀγαθοῖς συντήρησον τὴν πρὸς τὴν σὴν ἀγαθότητα αὐτῶν συνδιάθεσιν ἀδιάπτωτον.— Ἀγαθοὶ μὲν οἱ κεκτημένοι τὴν ἀρετήν· εὐθεῖς δὲ τῇ καρδίᾳ, οἱ φρονοῦντες εὐσεβῶς· ἡ δὲ διαφορὰ, οὐ καθ' ὑπόστασιν, ἀλλὰ κατ' ἐπίνοιαν· ἄμφω γὰρ ἔχουσιν οἱ κατοικοῦντες εἰς τὸν αἰῶνα τὴν Ἱερουσαλήμ· οἷς ἀγαθύνει θεὸς, προσθήκην διδοὺς ἀρετῆς τε καὶ πίςεως, μετουσίαν τε χαρισμάτων· ὡς ἂν αὐτοὺς καὶ ἐπὶ τὴν βασιλείαν εἰσαγάγοι τῶν οὐρανῶν. Ἐπειδὴ τοίνυν καὶ ἐν τοῖς ἄλλοις πᾶσι τοῦτο παρὰ τῆς θείας φιλο-

σοφίας δόγματα μανθάνομεν, ὅτι τοιοῦτον ἀεὶ γίνεται τὸ θεῖον ἡμῖν, οἵους ἂν ἑαυτοὺς τῷ θεῷ διὰ τῆς προαιρέσεως δείξωμεν· ἀγαθὸν μὲν γὰρ αὐτὸν εἶναι τοῖς ἀγαθοῖς, ὁ Δαυὶδ μαρτύρεται· τοῖς δὲ θηριωθεῖσι διὰ τοῦ βίου ἕτερός τις τῶν προφητῶν ἄρκον αὐτὸν λέγει καὶ πάρδαλιν· δι' αἰνιγμάτων τὰ εὐαγγελικὰ προεκτιθέμενος δόγματα, ἐν οἷς ἄλλος τοῖς δεξιοῖς, καὶ ἕτερος τοῖς ἐξευνωνύμοις, ὁ τῶν λόγων τοῦ βασιλέως χαρακτὴρ καθορᾶται τοῖς μὲν ἀγαθός τε καὶ μείλιχος, τοῖς δὲ φοβερός τε καὶ ἀμείλικτος· μεγάλη τοῦ θεοῦ ἡ ἀγαθότης τε καὶ τοῦ δούλου τοῦ εἰς δεσμωτήριον καθείρξαντος τὸν σύνδουλον ἡ ὠμότης· πονηρίαν δὲ ἐκάλεσε τῇ θείᾳ χρηστότητι τὴν τῶν ἀνθρώπων ἀγαθότητα παραβάλλων ὁ εὐαγγελικὸς χρησμὸς λέγων· εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν· γέγραπται δὲ, ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς· καὶ εἰ ὁ ἀγαθὸς ἄνθρωπος ἐκφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ τὰ ἀγαθὰ, πόσῳ γὰρ μᾶλλον ὁ πατὴρ ὑμῶν δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

PSALMUS CXXVI.

v. 1. C. f. 290. b. Οὐχ ἧττον τῶν ἄλλων γραφῶν καὶ οἱ προκείμενοι στίχοι προνοητὴν ἁπάντων τὸν κύριον τέθεινται, τῶν ἀνθρωπίνων σπουδῶν ματαίων γινομένων, εἰ μὴ τύχοιεν τὸ κατάλληλον τέλος ἐκ τοῦ θεοῦ ἀπολαβοῦσαι· ὅθεν τί ποιοῦντες, μὴ τὸ ὅλον ἑαυτοῖς δῶμεν, ἀλλὰ τῷ τελειοῦντι θεῷ· μηδ' αὐτῷ τὸ πᾶν ἐάσαντες, ἄπρακτοι διατελῶμεν· ἑκάτεραι γὰρ αἱ προκείμεναι διατελοῦσι λέξεις τό τε ἐξ ἡμῶν καὶ τοῦ θεοῦ, ματαίως λέγουσαι τὸν οἰκοδομοῦντα ἄνευ θεοῦ, τοῦτον μηδ' ὅλως ἐνεργοῦντα.

v. 5. B. f. 198. b. Ἐξ αὐτῶν μακαρίζει τοὺς ἐκ τῆς διδασκαλίας ὠφεληθησομένους· σαφῶς τὴν παρουσίαν τοῦ κηρύγματος δηλοῖ.

PSALMUS CXXVII.

v. 2. D. f. 320. Καρποὺς δὲ φησὶ νῦν ὡς ἀπὸ μέρους τὰς χεῖρας, τουτέστι τῶν πρακτικῶν σου δυνάμεων φάγεσαι τοὺς πόνους· τῷ φοβουμένῳ τὸν κύριον δῶρον δίδοται οὐχ ἡ τυχοῦσα γυνὴ, ἀλλ' ἡ καρποῖς ἀγαθοῖς κεκοσμημένη· ὅπως ἂν ῥηθείη περὶ αὐτῆς γυνὴ ἀγαθὴ, μερὶς ἀγαθή.

PSALMUS CXXVIII.

v. 1. C. f. 293. Οἱ μιᾷ προσβολῇ πολεμίων ἁλισκόμενοι οὐ λέγοιεν τοῦτο, ἀλλὰ μόνος ὁ ἐκ νέου μέχρι γήρους εἰς φυγὴν τοὺς πολεμίους τρέπων, ἀεὶ νικητὴς καὶ τροπαιοῦχος αὐτῶν γινόμενος.

v. 6. C. f. 294. b. D. f. 321. E. f. 200. Τοιοῦτοι καὶ οἱ τοῦ κόσμου σοφοὶ δοκοῦντες δι' ὧν φρονοῦσι καὶ πράττουσι, τὴν τῆς ἀνθρωπίνης οἴκησιν ὑπερβεβηκέναι ζωῆς· διὰ καὶ θᾶττον ξηραίνονται, μήτε εἰς χέρσον τὰς αἰσθητὰς βάλλοντες ῥίζας· μήτε μὲν ἀντὶ χόρτου νοητὴ φυτεία σπεύσαντες εἶναι· ὅθεν καὶ πρὶν ἐκσπασθῆναι, ξηραίνονται δι' ἀπιστίαν· οὐκ ἀναστήσονται γὰρ οἱ ἀσεβεῖς ἐν κρίσει· καὶ, ὁ μὴ πιστεύων, ἤδη κέκριται· οὔτε δὲ χεῖρα οὔτε κόλπον πληροῦσι, τὸ μὴ παραλαμβάνεσθαι, πρῶτον μὲν εἰς κόλπον Ἀβραάμ, εἶτ' εἰς κόλπους τοῦ θερίζοντος ἀγγέλου· τοὺς γὰρ θεριστὰς, ἀγγέλους ἡρμήνευσεν ὁ σωτήρ· ἐν δὲ τῷ προφήτῃ φησίν· διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν· αὐτὸς γὰρ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, τῇ μὲν ἀποθήκῃ τὸν σῖτον διδοὺς, τῷ δὲ πυρὶ τῷ ἀσβέστῳ τὸ ἄχυρον· οἱ δὲ μισοῦντες Σιὼν καὶ οὐδὲ χόρτος ἀλλ' ὡσεὶ χόρτος ὄντες εἰσὶ, τὰ ὑπὸ τοῦ πονηροῦ ἐπισπαρέντα ζιζάνια τῷ καλῷ σπέρματι, ἅπερ ἐν καιρῷ θερισμοῦ πυρὶ παραδίδοται κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, σημαίνοντα τοὺς αἱρετικοὺς, πρὸς οὓς ὁ λόγος, τὴν ἀνθρωπίνην ὑπεραίρειν πολιτείαν δοκοῦντας, τὸ ἵνα τί ἀνέβητε πάντες εἰς δόματα μάταια; οἱ πολῖται δὲ τῆς Σιὼν ἐπὶ δόματος ὄντες, μὴ καταβήτωσαν ἆραι τὰ ἐκ τῆς οἰκίας· ἀλλὰ καὶ ὅπερ ἤκουσαν εἰς τὸ οὖς, κηρυξάτωσαν ἐπὶ τῶν δομάτων, ἵνα σπέρμα καλὸν διαμείναντες, καρποφορήσαντες συναχθῶσιν εἰς τὴν ἅλωνα τῆς σωτηρίας· οἱ δὲ αἱρετικοὶ ἐπεὶ μέχρι τῶν προσκαίρων τὴν ἐπαγγελίαν τοῦ τε βίου καὶ τοῦ φρονήματος ἔσχον, παράγοντες εἴρηνται, μόνους ἑαυτοὺς νομίζοντες εἶναι μεγάλους, καὶ μηδενὶ προσφωνοῦντες εὐλογίαν· ἀλλ' ἡμεῖς οἱ τὸ ὄνομα κυρίου εὐλο-

γοῦντες, πρὸς πάντας ἔχοντες ἀγάπην, εὐλογίαν προσφωνοῦμεν τοῖς πρὸς οὓς ὁ λόγος ἡμῖν· ἢ καὶ περὶ τῶν αὐτῶν ὁ λόγος· οὐ γὰρ εἶπαν οἱ παράγοντες, εὐλογία ἐφ' ὑμᾶς, ἀλλ' οὐδὲ εἶπαν εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυρίου.

PSALMUS CXXIX.

v. 4. C. f. 295. Ἐπεὶ παρὰ σοὶ ὁ ἱλασμός ἐστιν, ὁ ἱλασκόμενος καὶ ἀφεὶς τὰς ἁμαρτίας σωτὴρ, μὴ παρατηροῦ ἐξετάζων ἀνομίας· εἰ γὰρ τοῦτο ποιήσειας, οὐδεὶς ὑποστήσεται· πάντες γὰρ ἐξέκλιναν, πάντες ἥμαρτον· διὸ μηδενὸς ὑφισταμένου τὴν παρά σου κρίσιν, χρεία τοῦ παρά σου ἱλασμοῦ ἱλασσομένου τῆς πάντων ἕνεκα σωτηρίας· ὅτι δὲ ἱλασμὸς ὁ σωτὴρ, Ἰωάννης γράφει· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα κύριον Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνων ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου· καθὼς καὶ Παῦλος βοᾷ· πάντες ἡμάρτομεν, καὶ ὑστερούμεθα τῆς δόξης τοῦ θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αἵματι· καὶ τὰ ἑξῆς.

v. 5. D. f. 322. E. f. 201. Ἐν νόμῳ δὲ ὑπομένει, ὁ καθ' ἕξιν αὐτὸν νομίμην ἐπιτελῶν· ὡς καὶ ἐν ἐπιστήμῃ καὶ ἀρετῇ γίνεται κατ' αὐτὰς διακείμενος, πρὸς τὸ πράττειν ἔχων καὶ τὸ νοεῖν· διὸ καὶ διαλαβὼν περὶ τῶν ἀγαθῶν τοῦ θεοῦ, προσδοκᾷ ταῦτα λέγων ἠλπικέναι ἐπὶ τὸν κύριον.

v. 6. C. f. 295. b. Ἀεὶ καὶ κατὰ πάντα καιρὸν ἐλπίζειν ἐπὶ τὸν κύριον δεῖ, οὐ μόνον ὅταν προσηνῆ, ἀλλὰ καὶ ὅτε σκυθρωπὰ περιεστηκότα· ἀπὸ φυλακῆς γοῦν πρωϊνῆς ὅτε λαμπρὰ τὰ παρόντα, καὶ μέχρι νυκτὸς ὅτε ἀειδῆ καὶ ζοφώτερα τὰ περιεστηκότα, καὶ ἔτι ἀπὸ φυλακῆς πρωΐας ἀνατέλλοντος τοῦ ἀληθινοῦ φωτὸς, καὶ ἀρχὴν ἡμέρας νοητῆς ποιοῦντος, ὁ διορατικὸς νοῦς, Ἰσραὴλ καλούμενος Ἑβραίων φωνῇ, ἐλπισάτω ἐπὶ τὸν κύριον· προσθήκην τῶν φαιδρῶν καὶ ἀπαλλαγὴν τῶν σκυθρωπῶν προσδοκῶν παρ' αὐτοῦ, ὅτι παρ' αὐτῷ ὡς ἐν πηγῇ καὶ παρ' αὐτοῦ τὸ ἔλεος, οὗ χρήζουσιν οἱ ἐλπίζοντες ἐπ' αὐτόν· ἀλλὰ καὶ πολλὴ παρ' αὐτοῦ λύτρωσις, τοῦ παρὰ τοῦ ἱλασμοῦ οὐχ ἑτέρα οὔσα· ὅθεν αὐτὸς ἐκ πασῶν τῶν ἀνομιῶν λυτρώσεται αὐτὸν κύριος· εἰ γὰρ καὶ πολλαὶ αἱ τοῦ Ἰσραὴλ ἀνομίαι, ἀλλ' ἐκ πασῶν αὐτὸν λυτρώσεται.

PSALMUS CXXXI.

Τούτων αὐτῶν, φησὶ, μνήσθητι, κύριε, κατὰ v. 1. C. f. 296. b.
τὸν τῆς εἰς ἀνθρώπους σου παρουσίας καιρὸν, ἐν ᾧ λύτρον σαυτὸν ὑπὲρ πάντων τῶν ἁμαρτωλῶν παρέξεις, ἄφεσιν ἁμαρτιῶν προξενῶν ἅπασιν ἀνθρώποις· μεθ' ὧν ἁπάντων μνήσθητι, ὦ κύριε, καὶ τοῦ Δαυὶδ, καὶ τῆς κακώσεως αὐτοῦ, ἣν αὐτὸς ἑαυτὸν τιμωρούμενος, ἐφ' οἷς ἥμαρτεν ἐκάκωσε κατ' ἐκεῖνον καιροῦ, ὁπότε κατὰ πρόσωπον τοῦ σοῦ ἁγιάσματος χαμαὶ ῥίψας ἑαυτὸν, μεθ' ὅρκου ἐβεβαιώσατο οὐ πρότερον ἀναστήσεσθαι ἐκ τοῦ ἐδάφους, μηδὲ ἀναχωρήσειν τοῦ τόπου καθ' ὃν πεσὼν προσεκύνει, ἢ γνῶναι καὶ μαθεῖν τίς πότε ἄρα ἔσται ὁ τόπος τῆς τοῦ κυρίου εἰς ἀνθρώπους παρουσίας, προεγνωσμένος καὶ προητοιμασμένος αὐτῷ, ὁπόθεν ἔσται τὸ σκήνωμα τοῦ θεοῦ Ἰακώβ· μαθὼν γὰρ ἐξ ἁγίου πνεύματος καὶ τῆς προφητικῆς διδασκαλίας, ὡς ἄρα ἔσται ποτὲ αὐτοῦ τοῦ κυρίου εἰς ἀνθρώπους ἄφιξις, δι' ἧς ἄφεσις πᾶσιν ἀνθρώποις τῶν προτέρων ἁμαρτημάτων προξενηθήσεται, διὰ ταύτης καὶ αὐτὸς σωθήσεσθαι ἐλπίσας, σπεύδει γνῶναι καὶ μαθεῖν πότε ἔσται, ἢ ποῦ γενήσεται, καὶ τίνα τρόπον ἡ τοῦ κυρίου εἰς ἀνθρώπους παρουσία· ταῦτα δὲ γνῶναι ποθῶν, εἰς τοσαύτην ἑαυτὸν ὑπέβαλε κάκωσιν, ὡς πᾶσαν μὲν παραιτήσασθαι στρωμνὴν, ἀποτάξασθαι δὲ τῷ ἑαυτοῦ οἴκῳ, κεῖσθαι δὲ πρὸ τοῦ θεοῦ ἐπὶ τοῦ ἐδάφους ἐῤῥιμμένον, καὶ ποτνιώμενον γνῶναι τὸν τόπον τοῦ κυρίου καὶ τὸ σκήνωμα τοῦ θεοῦ Ἰακώβ· ἐπιμένοντι δὲ αὐτῷ τῇ προσευχῇ καὶ μὴ πρότερον ἀνισταμένῳ, εὐτόνως δὲ καὶ διαρκῶς ἐπὶ τοῦτο τὸ αἴτημα, καὶ μεθ' ὅρκου διαβεβαιώσεως αὐτὸν καταδήσαντι, ἐπινεύσει θεὸς οἶκτον λαβὼν αὐτοῦ, ὡς ἂν μὴ ψεύσαιτο, ἅπαξ ὀμώσας μὴ ἀναστήσεσθαι ἢ τυχεῖν ὧν ἐπεπόθει· διὸ τὴν γνῶσιν αὐτῷ δωρεῖται διὰ τοῦ προφητικοῦ πνεύ-

D. f. 323. E. f. 202. b. ματος τῶν αἰτηθέντων.—Ἢ καὶ ὡς πρᾶος ὁ Δαυὶδ, κληρονομίαν αἰτεῖ τὴν τῶν πραέων γῆν.

v. 7. E. f. 203. Τὸ ὄρος τῶν ἐλαιῶν φησὶν, ἔνθα πᾶς προσερχόμενος προσκυνεῖ· προσκυνοῦμεν τὴν σάρκα τοῦ σωτῆρος, οὐ διὰ τὴν φύσιν, ἀλλ' ἐπειδὴ ὁ Χριστὸς ἐστὶν ἐν αὐτῇ· καὶ ἡ μὲν σὰρξ προσκυνητὴ διὰ Χριστὸν, ὁ δὲ Χριστὸς διὰ τὸν θεὸν λόγον τὸν ἐν αὐτῷ 1) Χριςὸν δὲ ἐνταῦθα φημὶ τὴν λογικὴν καὶ ἁγίαν ψυχὴν τὴν μετὰ τοῦ θεοῦ λόγου ἐπιδημήσασαν τῷ βίῳ τῶν ἀνθρώπων· μόνη σὰρξ οὐ πέφυκεν δέχεσθαι θεόν· διότι ὁ θεὸς ἡμῶν σοφία ἐστί· ἐν καρδίᾳ ἀγαθῇ, φησὶ Σολομὼν ἀναπαύσεται σοφία· οὐδὲν δὲ τῶν συνεςώτων τεσσάρων στοιχείων γνώσεως ἐστὶ δεκτικόν· γνωστὸς δὲ ἡμῶν ὁ θεός.

v. 14. D. f. 325. Ἢ καὶ τὰ μάλιστα οὐχ ἁρμόττει ἐπὶ γῆς τῆς εἰς αἰῶνα αἰῶνος, ὅτ' ἂν παρέρχηται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὥστε περὶ τῆς ἐκκλησίας ὁ λόγος, περὶ ἧς εἴρηται· ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών.

v. 15. E. f. 204. Ὅρα πανταχόθεν εὐημερίαν, ἀπὸ τοῦ μηδὲν τῶν ἀναγκαίων ἐνδεῖν, ἀπὸ τοῦ τοὺς ἱερεῖς ἐν ἀσφαλείᾳ εἶναι, ἀπὸ τοῦ τὸν λαὸν ἐν εὐφροσύνῃ, ἀπὸ τοῦ τὸν βασιλέα ἐν ἰσχύϊ· τοῦτον γὰρ λύχνον φησὶν, ἢ τὴν ἀντίληψιν· τὸ μέγιςον, τὸ τοὺς ἐχθροὺς ἐγκαλύπτεσθαι.

v. 16. C f. 297. b. Τίς δὲ αἴτιος τοῦ ἐνδύσασθαι τοὺς ἱερεῖς δικαιοσύνην, καὶ ἀγαλλιάσει ἀγαλλιάσεσθαι τοὺς ὁσίους, ἢ ὁ τῇ χειρὶ ἱκανὸς Δαυὶδ ἅγιος ὑπάρχων; ὅθεν ἐπενήνεκται τὸ ἕνεκεν Δαυὶδ τοῦ δούλου μορφὴν ὅτε ἐκένωσεν ἑαυτόν.

v. 17. C. f. 298. b. Ἐκεῖ ἐν τῇ Σιὼν ἀνατέλλω κέρας τῷ Δαυίδ· τοῦτο τὸ κέρας τῆς βασιλείας ὑπὸ θεοῦ ἀνατέλλεται ἐν οἴκῳ Δαυίδ· κατὰ τὸ λεχθὲν ὑπὸ τοῦ δικαίου· ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαυίδ· ἡτοίμασε δὲ τούτῳ τῷ κέρατι, Χριςῷ τυγχάνοντι, λύχνον ὁ πατὴρ προτρέχοντα τῆς ἐπιδημίας αὐτοῦ θεῖον νόμον· περὶ οὗ γέγραπται· λύχνος τοῖς ποσίν μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου· ἢ καὶ ὁ Ἰωάννης μέχρις οὗ ὁ νόμος καὶ οἱ προφῆται, λύχνος ἐςιν ἑτοιμαζόμενος τῷ Χριςῷ αὐτοῦ· περὶ οὗ ὁ σωτὴρ, ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, οὗ ἠθελήσατε πρὸς ὥραν ἀγαλλιασθῆναι τῷ φωτὶ αὐτοῦ· τούτων θεολογουμένων περὶ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα, οἱ ἐχθροὶ αὐτοῦ αἰσχύνην ἐνδύσονται, θέλοντες εἰ ἐγένοντο πυρίκαυςοι, ὅτι παιδίον ἐγεννήθη, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, αἰσχύνην πλείονα ὀφλισκάνοντες, ὅτι τὰ αὐτὰ τοῖς ἄλλοις ἀνθρώποις ἀσπαζόμενος, οὐκ ἔχει τὸν ὑπεραναβεβηκότα βίον· διὸ καὶ ἐπ' αὐτὸν ἐξανθήσει τὸ ἁγίασμα αὐτοῦ· περὶ οὗ φησὶν ἐν Ἡσαΐᾳ· καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· ᾧ ἀκολούθως τὰ ἄνθη τῆς γῆς ὤφθη ἐν τῇ γῇ ἡμῶν· τὸ εἶναι ἄνθη τοιαῦτα εἰληφότα πρὸς τοῦ ἐξανθουμένου ὑπὸ κυρίου ἁγιάσματος· τοῦτο γὰρ τὸ ἐξανθοῦν ἁγιάζει τοὺς προσπελάζοντας αὐτῷ· αὐτὸ ὂν ἅγιον τοῦ θεοῦ, ἅμα καὶ ἄνθος καὶ τὸ κρίνον τοῦ πεδίου καὶ τῶν κοιλάδων· εἰκότως ὀφθήσεται τὰ ἄνθη ἐν τῇ γῇ ἡμῶν, ἐξανατείλαντος τοῦ θεοῦ τὸ ἁγίασμα αὐτοῦ ἐπὶ τῷ πεφωτισμένους καὶ νεάζοντας εἶναι ἐπὶ τὴν μακαρίαν καὶ πνευματικὴν ἑορτήν.

PSALMUS CXXXIII.

Εἰ καὶ εὐλογοῦσι τὸν κύριον οὐ μακρὰν αὐτοῦ v. I. D. f. 326.
βεβηκότες, ἀλλ' ἐν οἴκῳ αὐτοῦ, συνεγγίζοντες, E. f. 205.
κυρίῳ κατὰ τὸ φρόνημα τὸ ἐν γραφαῖς θείαις εἶναι καὶ δόγμασιν ἀληθείας· αὗται γὰρ αὐτοῦ αἱ αὐλαί· ἵστασι δὲ καὶ εἰκότως εὐλογοῦντες θεόν· ὕπνος γὰρ οὐ κατακρατήσει τότε τῆς τῶν ἁγίων συνόδου, δυνάμει τῶν ἀφθάρτων σωμάτων.

PSALMUS CXXXIV.

Μετὰ τὸ πληρωθῆναι τὰς τῶν ἀναβαθμῶν v. I. C. f. 301. b
ᾠδὰς, ἀκόλουθον ἦν τοὺς εἰς αὐτὸν τὸν ναὸν ἀναβάντας αἰνέσαι χαριςηρίως τὸν θεὸν οὗ ναός ἐςι· διὸ καὶ ἀλληλούϊα ὁ ψαλμὸς ἐπιγέγραπται, σημαινούσης τῆς προγραφῆς τὸ δεῖν ὑμνεῖσθαι τὸν ὄντα θεόν.

Καὶ ὁ παρὼν ψαλμὸς εἰς εὐχαριστίαν προκα- C. f. 304. b
λούμενος προστάττει ἐξομολογεῖσθαι τῷ κυρίῳ, χρηστότητι καὶ ἀγαθότητι πολλῇ πάντα ποιοῦντι· διὸ καὶ ἐφ' ἑκάστου στίχου τρόπῳ ἐφυμνίου ἐπιλέγεται, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

1) Observanda est theologica Didymi doctrina de unica Christi adoratione.

ἐπεὶ γὰρ οὐ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ ἐλεεῖ, εἰκότως οἱ ἐφυμνοῦντες λέγουσιν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

v. 13. E. f. 206. b. Τοῦτο τὸ μνημόσυνον ἀπὸ τῆς προτέρας γενεᾶς τῶν Ἑβραίων, ἕως γενεᾶς τῆς κλήσεως τῶν ἐθνῶν· περὶ ἧς τὸ ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη· διαμένει δὲ ταῦτα εἴξαντος τοῦ Θεοῦ τῇ τῶν δούλων αὐτοῦ περὶ τοῦ λαοῦ παρακλήσει, δι' ἣν ᾤκτειρε τοῦτον· τὸ συνεχὲς τοῦ λόγου τῇ δοξολογίᾳ διέκοψεν· ὡς καὶ γράφων τοῖς Γαλάταις ὁ Παῦλος ἔλεγεν· χάριν ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, τοῦ δόντος ἑαυτὸν, καὶ τὰ ἑξῆς· εἶτα ἐπήγαγεν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· καὶ ἀλλαχοῦ· ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ λατρεία καὶ ἡ ἐπαγγελία· ἐξ ὧν Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν· καὶ νῦν ὁ προφήτης ἐννοήσας τήν τε καθόλου πρόνοιαν καὶ τὰ συμβάντα τῷ Ἰσραὴλ, πυρωθεὶς ἀπὸ τῆς φιλανθρωπίας, δοξολογεῖ τὸν Θεὸν ὡς ἄλαστον ἔχουσα δόξαν· περὶ τοῦ λαοῦ δὲ φησὶ, ἢ ὅτι δίκην αὐτὸς ἀπαιτήσει, καὶ παύσεται μετὰ ταῦτα, ἢ ὅτι ἐκδικήσει μὲν τὸν λαὸν, ἐπ' αὐτῷ δὲ παρακληθήσεται, οὐ διὰ τὴν ἐκείνων ἀξίαν· ὅπου γὰρ παράκλησις, συγγνώμης χρεία, καὶ φιλανθρωπίας καιρός.

PSALMUS CXXXV.

v. 4. C. f. 304. Μόνος γὰρ ποιεῖν θαυμάσια ἀνεγράφη· μόνων γὰρ ὁ πατὴρ ἐν τῷ υἱῷ, ποιεῖ τὰ ἔργα· ἀλλὰ καὶ ποιοῦντι τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ στερεοῦντι τὴν γῆν ἐπὶ τὸ ὕδωρ, πάλιν ἀνθομολογητέον αὐτῷ· συνᾴδει δὲ τοῖς προκειμένοις τὸ, ὁ Θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει· σύνεσις δὲ καὶ φρόνησις δι' ἧς ἑτοιμάζονται καὶ στεροῦνται οἱ οὐρανοὶ, τίς ἄλλη εἴη ἢ ἡ σοφία τοῦ δι' ἧς τὰ πάντα γεγένηται; περὶ ἧς ὁ Θεολόγος φησί· Χριστὸν Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν· ἀλλὰ γὰρ καὶ οἱ φοροῦντες τὴν εἰκόνα τοῦ ἐπουρανίου, νοητῶς οὐρανοὶ ὄντες γίνονται· ἑτοιμάζονται τοιοῦτοι ἐν τῇ προδεδηλωμένῃ συνέσει τε καὶ φρονήσει Θεοῦ· καὶ ἡ γῆ στερεοῦται ἐπὶ τὸ ὕδωρ· ἡ τὸν ὑπὸ Ἰησοῦ βαλόμενον σπόρον πρὸς τὸ καρποφορῆσαι δεξαμένη· ἐν τοῖς ῥευστοῖς γὰρ καὶ προσκαίροις τοῦ βίου πράγμασιν, ὕδασιν ἀλληγορικῶς, ἔτι διατρίβουσα στερέωσιν καὶ εὐτονίαν ἔσχεν ἐπὶ τῷ πληρέστατα καρποφορῆσαι· εἰκότως δὲ τοῖς ῥητοῖς ἅπασιν τὸν αἰώνιον ἔλεον ὁ μεγαλόγραφος συνέζευξεν, ἐπειδὴ οὐ διὰ χρείαν οἰκείαν, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν ἐδημιούργησεν ὁ φιλάνθρωπος ἅπαντα· καλῶς δὲ τῷ ποιοῦντι φησὶ θαυμάσια, καὶ οὐ τῷ ποιήσαντι, δεικνὺς αὐτὸν διηνεκῶς ἐνεργοῦντα καὶ θαυματοποιοῦντα· ταῦτα δὲ οὐ πρὸς ἀθέτησιν τοῦ Χριστοῦ εἴρηται, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν δαιμόνων.

Τὸ μεγάλα μόνος ποιήσας, διὰ τοῦ εἰπεῖν, v. 7. C. f. 330.
γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς ἐξουσίαν τῆς ἡμέρας τὸν ἥλιον, καὶ εἰς ἐξουσίαν τῆς νυκτὸς τὴν σελήνην καὶ τοὺς ἀστέρας ἔταξεν, ὡς καὶ ἐν τῇ κοσμοποιΐᾳ εἴρηται, γεγονέναι τὸν ἥλιον εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας· οὐ μικρὸν δὲ ἡμῖν εἰς εὐταξίαν ζωῆς καὶ εἰς αὐτὴν ζωὴν ταῦτα συντελεῖ τὰ στοιχεῖα, τρέφοντα καρποὺς, πεπαίνοντα, ὧν ἄνευ ζῆσαι οὐκ ἔνι· καιροὺς ἡμῖν δεικνῦντα, ὥρας χαρακτηρίζοντα, δρόμους ἡμέρας καὶ νυκτὸς εἰκάζοντα, ὁδοιπόρους γῆς καὶ θαλάττης ὁδηγοῦντα, μυρίαν ἑτέραν χρείαν παρεχόμενα· ἴδε πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἀλλὰ πῶς ἐλέῳ τεκταίνεται θάνατος; διότι v. 10. Ibid.
περὶ τοὺς ἀδικουμένους ἔλεος, τοῖς ἀδικοῦσιν γίνεται κόλασις· καὶ τὸ δίκαιον ἀμφοτέροις ἁρμόττεται· καλεῖ δὲ χρείαν μὲν τὴν ἐνέργειαν, βραχίονα δὲ τὴν ἰσχὺν, ἔλεος δὲ καὶ τὸ δοῦναι δίκην ἁμαρτωλοῖς, καὶ τὴν κακίαν ἐκκόπτουσαν, καὶ μειοῦσαν τὴν μέλλουσαν κόλασιν.—Ὡς ἀγνώμοσι δὲ τὰ ἐν Αἰγύπτῳ συνεχῶς περιστρέφεται, τὴν τούτων λήθην ἐκκόπτοντα· Αἴγυπτος δὲ ἄλλως ὁ περὶ γῆν ὀνομάζεται τόπος· οὗ τινος πρὸς εὐεργεσίαν Ἰσραὴλ, τὰ πρωτότοκα πατάσσει Θεός· οὕτω γὰρ ὁ τὸν Θεὸν ἐρῶν νοῦς ἔξω τούτου γίνεται ὑπὸ Θεοῦ ποδηγούμενος· ἐξάγει δὲ τοῦτον ἐκ μέσου Αἰγυπτίων λόγος ἑαυτοῦ καὶ σοφία· τοῦτο γὰρ αὐτοῦ βραχίων καὶ χεὶρ κρα-

ταιά· ἐξήγαγεν δὲ καὶ ὁ Ἰησοῦς κατὰ τὴν ἐπιστολὴν Ἰούδα· οὗ κραταιὰ χεὶρ καὶ βραχίων ὑψηλὸν, ἡ παραδοξοποιὸς αὐτοῦ ἐνέργεια καὶ δύναμις.

v. 13. E. f. 207. b. Οὐκ εἰς μίαν διαίρεσιν ἀλλ' εἰς πλείονας καταδιεῖλεν ὁ θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἐπὶ τῷ τὸν Ἰσραὴλ ὡς ἐπὶ ξηρὰν βαδίζοντα ἐξαχθῆναι ἐκ μέσου αὐτῆς ὑπὸ θεοῦ· παραδέδοται δὲ ὅτι εἰς δώδεκα διαιρέσεις ἐπὶ τῷ δώδεκα διόδους εἶναι, ὅπως ἑκάστη τοῦ Ἰσραὴλ φυλὴ ἰδίαν διάβασιν ἔχουσα διέλθοι 1).

v. 24. D. f. 331. Κἂν ταπεινώσομεν δὲ δι' ἀτυφίας ἑαυτοὺς, ὁ θεὸς ἡμῶν καὶ μνημονεύει καὶ λύτρωσιν δίδωσιν.

PSALMUS CXXXVIII.

v. 2. E. f. 212. b. Καθέδρα ἐστὶ ἕξις ἀρίστη λογικῆς φύσεως, καθ' ἣν δυσκίνητος γίνεται πρὸς κακίαν· ἔγερσις δὲ ἀπὸ τῶν αἰσθητῶν πραγμάτων ἐπὶ τὰ νοητὰ διάβασις.

v. 7. C. f. 313. Θεολογήσας τὰ περὶ τοῦ προγνώστην εἶναι τὸν θεὸν, καὶ πάντων ἐπιστήμην ἔχειν καὶ σύνεσιν, μέτεισιν ἐπὶ τὸ πανταχοῦ εἶναι αὐτὸν τὸν θεολογούμενον· εἰ πνεῦμα σου πεπλήρωκε τὴν οἰκουμένην, ποῦ πορευθῆναι ἀπ' αὐτοῦ δυνήσομαι; ἀλλ' ἐπεὶ καὶ τὸ πρόσωπόν σου ἐπισκοπεῖ καὶ ἐφορᾷ τὰ ὅλα, ποῦ φυγεῖν ἀπ' αὐτοῦ δυνήσομαι; ἀνελθὼν γὰρ εἰς οὐρανὸν, παρόντος σου λαμβάνω φαντασίαν· ἂν εἰς τὸν ᾅδην γένωμαι, συνόντα σε βλέπω· εἰ δὲ ἐν οὐρανῷ καὶ ἐν ᾅδῃ ἡ παρουσία σου γνωρίζεται, καὶ ἐν τοῖς μεταξὺ χωρίοις δηλονότι τυγχάνεις· παρίστησιν δὲ πανταχοῦ, οὐ τοπικῶς διατρίβων, ἀλλὰ δημιουργικῶς καὶ προνοητικῶς τοῖς πᾶσιν ἐπιχωριάζων.

Ἐσκόπησα, φησὶ, μὴ ἄρα ταῖς πτέρυξι τῆς νοήσεως χρησάμενος, ὑπερβὰς τὴν θάλασσαν καὶ τὸν ὠκεανὸν αὐτὸν, ἐν τοῖς ἐσχάτοις γεγενημένος δυνήσομαι πορευθῆναι ἀπὸ τοῦ πνεύματός σου, καὶ φυγεῖν σου τὸ πρόσωπον, κἀκεῖ τὴν δραστήριον καὶ προνοητικήν σου χεῖρα, καὶ αὐτὴν τὴν ὑπερβάλλουσαν δεξιάν σου ἐνεργοῦσαν τεθέαμαι· ὡς αὐτὸ τοῦτο τὸ κατασκηνωκέναι τῇ προειρημένῃ ἀκολουθίᾳ ἐν τοῖς ἐσχάτοις τῆς θαλάσσης κατωρθῶσθαι με τῆς χειρός σου ὁδηγησάσης με, καὶ κατεχούσης τῆς δεξιᾶς σου· εἰ γὰρ καὶ ὠκεανὸς ἀπέραντος, ἀλλ' οὖν καὶ οἱ μετ' αὐτὸν κόσμοι ταῖς τοῦ δεσπότου διαταγαῖς διϊθύνονται· πάντα γὰρ τὰ πρὸς αὐτοῦ γεγενημένα ὅποι ποτ' ἐστὶν ταγαῖς τῆς ἑαυτοῦ προνοίας διοικούμενα ἰθύνεται.

* ita cod.

Ἐπεὶ φωτισθεὶς ὑπὸ τῆς γνώσεως τοῦ κυρίου v. 11. C. f. 313.
ἐν ὄρθρῳ, ἐν ἀρχῇ τῆς ἡμέρας γεγονέναι δόξας, διενοήθην ταῖς πτέρυξι ταῖς νοηταῖς, καθ' ἃς ἐπτέρωται πᾶσα οὐσικὴ φύσις, μετεωρισθῆναι ὡς μακρὰν γενέσθαι καὶ περαιτέρω τοῦ ὠκεανοῦ· ἔγνων δὲ καὶ αὐτὸ τοῦτο μὴ εἶναι πορευθῆναι ἀπὸ τοῦ πνεύματος τοῦ θεοῦ, καὶ τὰ ἑξῆς· μετῆλθον ἄλλην ὁδὸν ζητῆσαι, καθ' ἣν πορευθῆναι ἀπὸ τοῦ πνεύματος καὶ φυγεῖν ἀπὸ τοῦ προσώπου τοῦ θεοῦ· οἷόν τέ ἐστιν μὴ πῆ ἄρα ὑπὸ σκότος γεγονὼς διαλαθεῖν τοῦτο δυνήσωμαι· διό φημι, ἄρα σκότος καταπατήσει με, τουτέστιν ἐπικρύψει με; ὡς γὰρ τὸ ἔδαφος τὸ πατούμενον κρύπτεται, οὕτω κρυβείην κάτω εἰ καταπατήσῃ με τὸ σκότος πολὺ περὶ ἐμὲ καὶ ἐπ' ἐμὲ γεγονός· εἶτα ὅτε ἔδοξα τρυφᾷν ἐπὶ τῷ τετευχέναι τοῦ σπουδαζομένου, εὐθέως εἶδον, ὅτι καὶ αὕτη ἡ νὺξ καὶ τὸ κατακορὲς σκότος φωτισμός ἐστιν, οὐδὲν αὐτοῦ τοῦ σκότους σκοτιζομένου ὑπὸ τοῦ θεοῦ καταλάμποντος αὐτὸ ὥσπερ καὶ τὰ ἄλλα πάντα, παρ' ἡμῖν μὲν τοῖς ὄψει χρωμένοις, διαφορὰν νυκτὸς καὶ ἡμέρας ὁρῶσι καὶ ὁρωμένοις ἐν τῇ ἡμέρᾳ· ἐν δὲ τῇ νυκτὶ μηδὲ βλεπομένοις μηδὲ βλέπουσιν· παρὰ μέν τοι τῷ θεῷ ἡ νὺξ ὡς ἡμέρα φωτίζεται, καταληπτῶν αὐτῷ τυγχανόντων τῶν ἐν σκότῳ καὶ νυκτὶ, ὡς τῶν ἐν φωτὶ καὶ ἡμέρᾳ· ἐπείπερ ἡ νὺξ ὡς ἡμέρα ὑπ' αὐτοῦ τοῦ θεοῦ φωτίζεται· ταῦτα δὲ πάντα τῷ ἑαυτοῦ προσώπῳ ὁ δίκαιος προσάπτει, διδάξαι προελόμενος τοὺς μὴ ὀρθὴν περὶ θεοῦ διάληψιν ἔχοντας, ὅτι διαδρᾶναι θεὸν οὐκ ἔστιν· εἰ γὰρ τῶν κρυπτῶν μου γνώστης, ἅτε τοὺς νεφρούς μου κεκτημένος, εἶεν ὁποίῳ μέρει τοῦ κόσμου ἐὰν γένωμαι, ὡς παρόντος μου γνῶσιν ἔχεις· εἰ γὰρ καὶ ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου ἐν κοι-

1) Iudaica haec popularis vel rabbinica traditio erat, quam non Didymus tantum, sed etiam Theodoretus refert.

λίᾳ με, καὶ ἐπιθεὶς μοι τὴν χεῖρα σου· εἶτα ἐπεὶ διὰ πάντων τῶν προειρημένων φοβερὸς ἐθαυμαστώθης· μετὰ φόβου γὰρ ἐθαύμασα πάντα ἃ περὶ σοῦ διείληφα εἰς εὐχαριστίαν τρεπόμενος φημί· ἐξομολογήσομαί σοι ὅτι φοβερῶς ἐθαυμαστώθης.

v. 13. C. f. 314. Κέκτηται ὁ θεὸς τοὺς νεφροὺς τοῦ κατορθώσαντος τὴν ἐν σωφροσύνῃ καθαρότητα· ὁ τοίνυν ἀγαμίᾳ σχολάζων, τῷ θεῷ τοὺς ἑαυτοῦ νεφροὺς καταγράψας ἐρεῖ· σὺ ἐκτήσω τοὺς νεφρούς μου, κύριε· μεθ' ὃ κατόρθωμα, γνῶσιν ἔχων πάντων τῶν θαυμαστῶν ἔργων αὐτοῦ τῶν τῆς δημιουργίας καὶ προνοίας καὶ παραδοξοποιίας, θαυμάσια ἔφη τὰ ἔργα σου. Καὶ ἡ ψυχή μου γινώσκει σφόδρα· τὸ σφόδρα ἢ ἐπὶ τὴν γνῶσιν τῆς ψυχῆς, ἢ ἐπὶ τὰ θαυμάσια ἀναφέρεται. Καὶ τὸ ὀστοῦν μου, φησὶν, ὃ ἐν κρυφῇ πεποίηκας, ὡς οὐδένα τούτου τὴν σύμπηξιν εἰδέναι, ἀπὸ σοῦ κέκρυπται· πῶς γὰρ καὶ οἷόν τέ σου ποιητοῦ ὄντος ὥσπερ ὅλου τοῦ σώματος, οὕτω καὶ αὐτοῦ; εἴρηται δὲ καὶ τοῖς περὶ φύσεως τῶν ζῴων πραγματευσάμενοις, ἀόρατον εἶναι καὶ ἀκατάληπτον τὴν εἰς ὀστέον τοῦ αἵματος μεταβολήν· καί τοι τῶν ἄλλων σαρκῶν καὶ νεύρων λέγω ὅπως ποτὲ ὡς ἔχουσι γενέσεως θεωρούντων, οὐκ ἐκρύβη δὲ ἀπὸ σοῦ οὐδὲ ἡ ὑπόστασίς μήτε ἐν τοῖς κατωτάτοις τῆς γῆς φθάσασα· οὐδὲ γὰρ ἡ ψυχὴ ἐν ᾅδῃ γεγενημένη, οὐδ' αὐτὸ τὸ σῶμα κατωρυγμένον, καὶ εἰς γῆν διαλυθὲν διαφεύγει τὴν θεωρίαν σου.

v. 18. C. f. 315. Ἀφ' ἑαυτοῦ λέγει τὴν τοῖς δικαίοις ἀποκειμένην ἐλπίδα, ἥτις ἐστὶν ἐξ ἀναστάσεως αἰωνία ζωή· ἀλλὰ καὶ σὺν τοῖς ἁγίοις ἐστὶν ὁ κύριος ἀπεντεῦθεν· ἀκηκόασι γὰρ αὐτοῦ· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας· τότε δὲ δῆλον ὅτι ἔσται μετ' αὐτοῦ, ὅταν ἀποκτείνῃς φησὶν ἁμαρτωλοὺς, ὁ θεός· τὸν διάβολον δηλονότι καὶ τὰς σὺν αὐτῷ πονηρὰς δυνάμεις ἁμαρτωλοὺς ὄντας.

v. 21. Ibid. Τοῦ αὐτοῦ ἂν εἴη καὶ τὸ ἀποδέχεσθαι καὶ τιμᾶν τοὺς φίλους τοῦ θεοῦ, καὶ μισεῖν τοὺς μισοῦντας αὐτὸν, καὶ ἐχθροὺς λογίζεσθαι, τῷ ἀσεβῆ καὶ ἄθεα περὶ τοῦ θεοῦ φρονεῖν· πῶς γὰρ οὐκ ἐχθροὶ θεοῦ οἱ διαστρέφοντες ἀπὸ τῆς ἀληθείας τοὺς ἀπατωμένους, τοῦ θεοῦ θέλοντος πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; τέλειον δὲ μῖσος ἐστὶν κατὰ τῶν τοιούτων, ὅτ' ἂν μὴ ἄλλου χάριν, ἀλλ' ἢ τῷ ἐχθροὺς αὐτοὺς εἶναι τοῦ θεοῦ, μισεῖ τίς αὐτούς; καὶ ὥσπερ τελείαν ἀγάπην τίς ἔχει πρὸς τὸ ἀγαθὸν, μὴ ἀλλ' ὅτου χάριν, ἀλλ' αὐτοῦ ἕνεκα ποθῶν αὐτοῦ· οὕτως ὁ μισῶν τοὺς ἐχθροὺς, ὡς ἐχθροὺς θεοῦ μόνον, ἀλλ' οὐ διά τι πάθος μισῶν, ἀλλ' ἢ ὅτι ἐχθροὶ τοῦ θεοῦ εἰσὶν, ἐκτηκόμενος ἐπ' αὐτοῖς κατὰ τὸν λέγοντα προφήτην· ζηλῶν ἐζήλωσα τῷ κυρίῳ παντοκράτορι, ἀνθ' ὧν κατέλειπόν σε υἱοὶ Ἰσραήλ· εἰ ὁ τέλειος μισήσας τὸ πονηρὸν ἀπέχεται πάσης κακίας, ὁ μεταλαμβάνων εἴς τινος οὖν κακίας αὐτοῦ, τελείως οὐ μεμίσηκεν τὸν πονηρόν.

PSALMUS CXXXIX.

Ἄνθρωπος πονηρὸς, ὁ δολερὸς καὶ ἀπαταιῶν v. 2. C. f. 315. b. D. f. 337.
ἐστίν· ἀνὴρ δὲ ἄδικος ὁ τούτων ὑπεραναβεβηκὼς ἐν κακίᾳ, ὡς διὰ τοῦ πανουργεύεσθαι καὶ ῥᾳδιουργεῖν, ἀδικεῖν σπεύδειν, τὴν λογικὴν φύσιν ἐξ ἀρετῆς εἰς κακίαν πανουργίᾳ τινὶ πειρώμενος μεταβιβάζειν· ἀπ' ἀμφοτέρων σωθῆναι βουλόμενος ὁ τὰ προκείμενα φάσκων, θεὸν παρακαλεῖ· ἐπείπερ ἀντ' αὐτοῦ ἀδικίαν ἐλογίσαντο, κρύπτοντες αὐτὴν ἐν καρδίᾳ ἑαυτῶν, ὅπως διὰ τοῦ λανθάνειν ὅτι εἰσὶν τοιοῦτοι, παγιδεῦσαι αὐτὸν δυνηθῶσιν, πολεμίως καὶ ἀντικειμένως πρὸς αὐτὸν ἱστάμενοι δι' ὅλου τοῦ χρόνου τῆς ζωῆς αὐτοῦ· διὸ εἴρηται· ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους, οὐδένα καιρὸν εἰρήνης καὶ ἀναπαύσεως ἔχοντες· ἀντὶ δὲ ξίφους ἀκονήσαντες τὴν γλῶσσαν ἐπὶ τὸ ἀπατηλὸν καὶ τρῶσαι δυνάμενον, λόγον προφέρειν, μιμήσει τῇ πρὸς τὸν ὄφιν τὸν φθείραντα τὴν Εὔαν ἐν τῇ πανουργίᾳ ἑαυτοῦ· ὅθεν καὶ ὑπὸ τὰ χείλη ἑαυτῶν τουτέστι τὴν προφορὰν δηλητηρίῳ εἰκότα, ἔχουσιν νοήματα ὑποβληθέντα αὐτοῖς ὑπὸ δυνάμεων πονηρῶν διὰ τὸ βλαπτικὸν καὶ ἰώδες ἀσπίδων καλουμένων· δυνατὸν δὲ καὶ περὶ διαβόλου καὶ τῶν ἄλλων ἀοράτων ἐχθρῶν ἐκλαβεῖν ταῦτα· ἄνθρωπος γὰρ πονηρὸς καὶ ἐχθρὸς ὁ διάβολος πολλάκις εἴρηται· ἀλλὰ

καὶ ὁ τῷ βουλήματι αὐτοῦ ὑπηρετούμενος, ἀντίχριστος ἂν ῥηθείη.

v. 5. C. f. 316. D. f. 337. b. E. f. 216. Χεὶρ ἁμαρτωλοῦ ἡ ἁμαρτικὴ πρᾶξις, ἀφ' ἧς φυλαχθῆναι θεοῦ φρουροῦντος εὔχεται· καὶ πρὸς τούτοις ἀξιοῖ, ἵνα καὶ ἀπὸ τῶν ἀδικεῖν αὐτὸν τῇ προαιρέσει βουλομένων ἀνθρώπων ῥυσθῇ· ἐπείπερ διελογίσαντο διὰ λόγων καὶ ἐνθυμημάτων ἀπατηλῶν ὑποσκελίσαι τὰ διαβήματα τῶν ἐν τῷ προκόπτειν διαβαινόντων ἐπὶ κρείττω· δυνατὸν ἐν τούτοις ἐκλαμβάνειν ἁμαρτωλὸν τὸν διάβολον· ἀνθρώπους δὲ ἀδίκους ἤτοι τοὺς πονηροὺς ἀγγέλους αὐτοῦ· ἢ εἰς οὓς ἐνεργεῖ ἀνθρώπους, εἰς τὸ ψυχὰς ἀδικεῖν· οὗτοι δ' ἂν εἶεν καὶ ὑπερήφανοι σοφίαν ἔχοντες ἀπατηλήν, ἣν οὐ προφανῶς προφέρουσιν, ἀλλὰ κρύπτουσιν αὐτὴν ὡς παγίδα, ὑπὸ τοὺς σοφιστικοὺς αὐτῶν λόγους· ἀλλὰ καὶ σχοινία ἤτοι τὰς πολυπλόκους αὐτῶν πονηρίας, ἢ τοὺς συντιθεμένους καὶ περιπλεκομένους ὑπ' αὐτῶν σοφιστικοὺς λόγους διατείνουσιν ἐπὶ τῷ συλλαβεῖν τοὺς πόδας τῶν ὀρθῶς βαδιζόντων, λογιζόμενοι διὰ τούτων τῶν σχοινίων ὑποσκελίσαι τὰ διαβήματα τῶν ἀπροοράτως ἐχόντων, ἃ τιθέασιν καὶ ἐχόμενα ἧς τις ἔτριψεν ὁδοῦ προσκόμματα ἃ καὶ σκάνδαλα εἶπεν· λογισμοὶ δέ εἰσιν οὗτοι ὑποβαλλόμενοι τοῖς καλῶς καὶ κατ' ἀρετὴν ὁδεύειν προαιρουμένοις· ἀλλ' ὁ γνοὺς ἑαυτὸν ὅτι οὐκ αὐτάρκης ἐστὶν πρὸς τὸ ἀβλαβὴς ἀπὸ τῶν τοσούτων διαμεῖναι, πρὸς θεὸν καταφεύγων, δύναμιν ἀπαιτεῖ· διό καὶ ἀπαγγέλλει τὰ περιεστηκότα αὐτόν.

v. 9. C. f. 317. Ἵνα μὴ κατ' ἐμοῦ πολλὰ διαλογισάμενοι δυνηθῶσιν, μὴ ἐγκαταλείπῃς με, φύλαττον με ἐν σκέπῃ τῶν πτερύγων σου, καὶ ὑπὸ τὴν χεῖρα τὴν κραταιάν σου, ἀφ' ἧς οὐδεὶς δύναται ἁρπάσαι, ἢ ἐπαρθῆναι ἀλαζονικῶς κατ' ἐμοῦ ὡς ἁλῶντος ὑπ' αὐτοῦ.

v. 12. Ibid. D. f. 338. b. Γλωσσώδη τὴν μάχιμον καὶ λοίδορον ἔοικε λέγειν· οὐδεὶς γὰρ τῶν τοιούτων ὅσον ἐστὶν ἐν τῇ γεώδει προαιρέσει, κατευθῦναι δύναται ἀεὶ στρεβούμενος ἐκ τοῦ μάχιμος εἶναι· φιλαμαρτημένων γὰρ τὸ χαίρειν μάχαις καὶ ὕβρεσιν καὶ λοιδορίαις· διὸ καὶ τὸ κατευθύνεσθαι ὑπὸ ἀρετῆς οὐ δυνατὸν ἔχειν τὸν τοιοῦτον.

PSALMUS CXL.

Ἱκανὴ τυγχάνει αὐτῶν ἡ κακία, εἰ γενοίμην v. 5.
αὐτῶν κοινωνὸς διασκορπίσαι μου τὴν προσευχήν, καὶ εἴσω τῶν κακιῶν αὐτὴν ὑποβαλεῖν.

Ὁ δὲ Σύμμαχος, ἔτι γὰρ καὶ ἡ προσευχή v. 6. D. f. 340. b.
μου ἐντὸς τῶν κακῶν αὐτῶν· ἐκτιλήσονται ἐν χερσὶ πέτρας οἱ κριταὶ αὐτῶν· ἀκούσονται ῥήσεις μου ἡδίστας, ὥσπερ γεωργὸς ὅτ' ἂν ῥήσσῃ τὴν γῆν· ὡς ἐσκορπίσθη ἡμῶν τὰ ὀστᾶ παρὰ τὸν ᾅδην.

Πρὸς σέ, ὦ κύριε, ἦρα τοὺς ὀφθαλμούς μου, v. 8. C. f. 319.
ἐλπίσας ἐπὶ σέ· διὸ μὴ ἀντανέλῃς τὴν ψυχήν μου, ὡς τέλεον αὐτὴν ἐκπεσεῖν· εἰ γὰρ καὶ διεσπορπίσθη τὰ ὀστᾶ ἑκάστου ἡμῶν παρὰ τὸν ᾅδην, ἀλλ' οὖν ἐλπίζω ὅτι συνάξας ἀποκαταστήσεις αὐτὰ τῇ οἰκείᾳ συμφωνίᾳ καὶ ἁρμονίᾳ οὗ γενομένου τῇ σῇ ἀγαθότητι, οὐ μόνον οὐκ ἀναιρεθήσεται, σοῦ φυλάττοντός με, ἀφ' ἧς συνεστήσαντό μοι παγίδας· οὐκ ἐκ μόνης δὲ ταύτης, ἀλλὰ καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν φυλάξῃς με.

PSALMUS CXLI.

Εὐκαίρως οἷα δὴ ἀποκεκλεισμένος εἰς τὰ ἐσώ- v. 8. C. f. 320.
τατα τοῦ σπηλαίου, προσεύχεται λέγων κατὰ τὸν Σύμμαχον· ἔξω ποίησον ἀπὸ συγκλεισμοῦ τὴν ψυχήν μου· σαφῆ δὲ καὶ τὰ λοιπά· κατὰ ἀναγωγὴν δὲ ἡ κακία καὶ ἡ δυσσέβεια πᾶσα, ὥσπερ φρουρά τις ἔνδον τὰς ψυχὰς περιλαβοῦσα κατεῖχεν, ἀφ' ἧς φυλακῆς ἑκάστη ἀναπέμπει τὴν προκειμένην εὐχήν, ὡς ἐπινεύσαντα τὸν κύριον ἐληλυθῆναι ἐπὶ τὸ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους· καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει· οὐ πάντων δέ ἐστιν τοῦτο λέγειν· ἔκβαλε ἐκ φυλακῆς τὴν ψυχήν μου, ἀλλ' ἢ τῶν δυναμένων διὰ καθαρότητα καρδίας, καὶ χωρὶς τοῦ σώματος τούτου ἐπιβαλεῖν τῇ θεωρίᾳ τῶν γεγονότων. Ὁ δὲ Ἀκύλας, ἐξάγαγε ἐξ ἀποκλεισμοῦ τὴν ψυχήν μου· ὡς ἐν εἱρκτῇ γάρ τινι καὶ δεσμωτηρίῳ κατείχετο, τῶν πολεμίων τῇ θύρᾳ τοῦ σπηλαίου προσκαθημένων· ὑπισχνεῖται δὲ τῆς σωτηρίας τυχὼν ὕμνοις τὰς εὐεργεσίας ἀμείβεσθαι.

PSALMUS CXLII.

v. 1. C. f. 321. b. Ὁ μὲν τρίτος ψαλμὸς ἐπιγέγραπται ψαλμὸς τῷ Δαβὶδ ὅποτε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ· ἐνταῦθα δὲ ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκεν· οὐχ οὕτω δὲ δεινὸν τὸ φυγεῖν ἀπό τινος ὡς ἐκεῖνον διώκειν· ἐνδέχεται γὰρ καὶ ἐξ ὑπονοίας μόνης φεύγειν· τὸ μέν τοι τὸν διωκόμενον ἐλαύνεσθαι ἐμφαίνει τὴν ὠμότητα καὶ ἀγριότητα τοῦ διώκοντος· φησὶν οὖν, πολλῶν ἐπιδεὴς ὢν, κατέφυγον πρὸς σὲ, ἐπιστάμενος ἀκριβῶς ὅτι πληρώσῃς με πάντων ὧν ἐλλειπὴς εἰμι, ἐνωτισάμενος τὴν δέησίν μου, ἐν τῇ ἀληθείᾳ τῷ εἰπόντι ἐγώ εἰμι ἡ ἀλήθεια· ἢ ἐπὶ ἐν εἰκόνι καὶ σκιᾷ τέως λατρεύω, εὔχομαι καὶ τὸ λοιπόν μοι δοθῆναι· ἔστι δὲ τὸ ὑπερβῆναι τὴν τυπικὴν θεραπείαν ἐπὶ τῷ γυμνῇ τῇ ἀληθείᾳ σου προσβαλεῖν, ἵνα πνεύματι καὶ ἀληθείᾳ σοι προσκυνήσω· ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, δικαιώσας με ἐν αὐτῇ· ἡ γὰρ ἐμὴ δικαιοσύνη, ὡς οὐδὲν ἐναντίον σου λογισθήσεται· διὸ καὶ ἀξιῶ ὅπως μὴ εἰσέλθῃς εἰς κρίσιν μετ' ἐμοῦ· εἰμὶ γάρ σου δοῦλος, καὶ κριθῆναι πρὸς σὲ ἢ ἐπὶ σοῦ φοβοῦμαι· ἐξετάζεις γὰρ οὕτως λόγους, ἢ τὰ ἔργα μόνον, ἀλλὰ καὶ τὴν πρόθεσιν, ἀφ' ἧς ταῦτα· ὅθεν τῶν ζώντων οὐδεὶς, κἂν ἀκροτάτην ἀρετὴν ἔχῃ, δικαιωθῆναι ἐνώπιόν σου δυνήσεται· πάντες γοῦν οἱ δίκαιοι συγκρίνοντες τὴν σφῶν δικαιοσύνην τῇ σῇ, ἀπὸ διαθέσεως ἀληθευούσης φησὶν, ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν ἐναντίον σου· δικαιούμεθα δὲ δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ πίστεως Ἰησοῦ Χριστοῦ, ἔχοντες τὴν δικαιοσύνην τὴν χωρὶς . . . φανερωθεῖσαν μαρτυρουμένην ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν.

v. 3. C. f. 323. Ἔστι μὲν κατὰ ἀναγωγὴν καὶ τὸν διάβολον εἰπεῖν· οὐ παύεται γὰρ ἐκεῖνος διώκων· πῶς οὖν ἀπαλλαγείημεν τοῦ διώκεσθαι; εἰ τόπον εὕροιμεν ἔνθα εἰσελθεῖν οὐ δύναται· καὶ ποῖος οὗτος ἐστὶν ἀλλ' ἢ ὁ οὐρανός; καὶ πῶς δυνατὸν εἰς τὸν οὐρανὸν ἀναβῆναι; νῦν ἄκουσον Παύλου λέγοντος· τὰ ἄνω φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος· καὶ ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς. Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου· πολλὰ σημαίνει τῆς ταπεινώσεως τὸ ὄνομα· ἔστι γὰρ καὶ ἀρετῆς ταπείνωσις· ὡς ὅταν λέγει, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει· ἔστιν καὶ ἀπὸ συμφορῶν ταπείνωσις καὶ ἀπὸ ἁμαρτημάτων. ἐνταῦθα μέν τοι τὴν ἀπὸ τῶν συμφορῶν λέγει· διὸ καὶ ἐπήγαγεν· ἐταπείνωσεν εἰς τὴν γῆν τὴν ζωήν μου· ἐκάθισέν με ἐν σκοτεινοῖς· καὶ ὅτι ὡς νεκροὺς αἰῶνος· διπλῆν λέγει τὴν συμφορὰν, ὅτι καὶ ἐν σκοτεινοῖς, καὶ ὅτι ὡς νεκροὺς αἰῶνος, τὴν αἰχμαλωσίαν καὶ τὴν φυγὴν αἰνιττόμενος· ἐπειδὴ γάρ ἐστιν καὶ ἐν σκοτεινοῖς, οἶδα τί πράττειν λύχνον ἄψαντα· μετὰ ἐπιτάσεως δεῖξαι βουλόμενος τὴν ὑπερβολὴν τῶν κακῶν, καὶ τῷ ὀνόματι τῶν νεκρῶν, ὤγκωσε τὴν τραγῳδίαν· νεκροὶ δὲ αἰῶνες εἶεν ἂν καὶ οἱ τῆς ἐν θεῷ ζωῆς ἐστερημένοι· περὶ ὧν φησίν· ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς.

Ταύτην τὴν ἄνυδρον γῆν καὶ τὰς παραπλη- v. 6. D. f. 342. b.
σίους ψυχὰς ἀνύδρους τόπους οὔσας διέρχεται τὸ πνεῦμα τὸ ἀκάθαρτον οὐχ εὑρίσκον παρ' αὐταῖς μονὴν ἢ ἀνάπαυσιν· πλὴν εἰ καὶ ἐν ἀνύδρῳ τυγχάνουσιν ἐστερημέναι τῶν φαύλων ὑδάτων, διώκουσι τὸν κύριον. ἐπὶ τὸ ὡς ὄρθρον ἕτοιμον εὑρεῖν αὐτὸν, ὅτε καὶ ἥξει αὐταῖς ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος· διὸ καὶ ἔνυδροι γενήσονται, πηγὰς ἐν αὐταῖς ἔχουσαι ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

Ἀπὸ ἑνὸς ἐχθροῦ καταδιωχθείσης τῆς ψυχῆς v. 9. C. f. 324.
αὐτοῦ, ὡς ἀρτίως εἶπεν, ἀπὸ πλήθους ἐχθρῶν ἐξαιρεθῆναι νῦν παρακαλεῖ· ἀλλ' οὐ μάχονται αἱ οὕτω διάφοροι λέξεις· τὴν μὲν γὰρ ἀρχηγέτην τῆς κακίας ἐχθρὸν ἕνα εἶπεν· τὴν δὲ στρατιὰν αὐτοῦ, πληθυντικῶς ἐκάλεσεν ἐχθρούς· ἀπαιτεῖ δὲ τὸ ἐξαιρεθῆναι ὑπὸ τῶν ἐχθρῶν δικαιότατα· ἐπείπερ πρὸς οὐδένα ἢ πρὸς αὐτὸν μόνον κατέφυγεν.

Δίδαξόν με, φησὶ, μὴ εἰδέναι μόνον, ἀλλὰ v. 10. Ibid.
καὶ ποιεῖν τὸ θέλημά σου· οὐ γὰρ τὸ ἐπίστασθαι αὐτῷ, ἄνευ τοῦ ἐνεργεῖν, ἁγιαστικὸν καὶ μακαριοποιόν ἐστιν, ἀλλ' ἐνεργούμενον καὶ πραττόμενον· διὸ καὶ ὁ σωτὴρ φησίν· οὐ πᾶς ὁ λεγό-

μενος κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· φανερῶν δὲ ὅτι ὁ ποιῶν τὸ θέλημα τοῦ θεοῦ, καὶ ἐπίσταται αὐτό, οὐ πάντως τοῦ εἰδότος καὶ ποιοῦντος· τούτῳ συνᾴδει καὶ τὸ, μάθετε καλὸν ποιεῖν· τίς δὲ αὕτη ἡ μάθησις τοῦ θείου θελήματος, ἡ ἑξῆς σημαίνει λέξις, ὅτι ὁδήγησις τοῦ ἁγίου πνεύματος ἐστὶν εἰς τὴν εὐθείαν γῆν· ὁ γὰρ μαθὼν τὸ ἐν ἠθικαῖς ἀρεταῖς τοῦ θεοῦ τὸ θέλημα, ὁδηγηθήσεται δωρεᾷ θεοῦ ὑπὸ πνεύματος ἁγίου τοῦ ἐνεργοῦντος ἐπὶ τὴν ἀλήθειαν πᾶσιν· γῆ δὲ εὐθεία ἢ ἡ ἀγαθὴ καὶ καθαρὰ καρδία ἐστὶν, ἐν ᾗ ὁ Ἰησοῦ καρποφορήσει σπόρος, ἢ ἡ τῶν πραέων.

v. 11. C. f. 324. b. Ἕνεκα τοῦ ἐπικεκλημένου ὀνόματός σου, σὸς χρηματίζω· ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου, κατὰ ταύτην δικαιῶν με· οὕτω γὰρ συμβήσεται τὸ ζήσεσθαί με ἐν αὐτῇ· εἰκότως δὲ εἰς μέλλοντα χρόνον ἐνέκλεινέν τὸ ζήσεις με, ἐπείπερ ἐνταῦθα ὥσπερ τὰ ἄλλα ἀγαθὰ μερικῶς, οὕτω καὶ τὸ ζῆν ἔχομεν, ζησόμενοι τελείως τὸ τηνικαῦτα ὅταν φανερωθῇ ὁ Χριστὸς ἡ ζωὴ ἡμῶν· αὐτὸς γάρ ἐστιν ἡ δικαιοσύνη τοῦ θεοῦ, ἐν ᾗ ζήσεται ὁ προσβαλὼν αὐτῇ.

PSALMUS CXLIII.

v. 2. C. f. 325. b. Ἀπὸ τῶν πραγμάτων τὰς προσηγορίας ἐποιήσατο· σὺ γάρ, φησιν, ἔλεός μου· παρὰ σοῦ γὰρ ἐδεξάμην τὰς τοῦ ἐλέους πηγάς· σὺ καταφυγή μου· πρὸς σοῦ γὰρ πᾶσαν ἀνθρωπίνην βοήθειαν ὑπερβὰς καταφυγὼν διεσώθην· σὺ ἀντιλήπτωρ μου· τῆς γὰρ σῆς ἀπολαύσας ῥοπῆς κρείττων ἐγενόμην τῶν πολεμίων· σὺ ῥύστης μου καὶ ὑπερασπιστής μου· σὺ γάρ με καὶ περιέφραξας πολεμούμενον, καὶ ἐῤῥύσω πολιορκούμενον· τὴν εἰς σὲ τοίνυν ἐλπίδα σχήσω βεβαίαν.

PSALMUS CXLIV.

v. 4. C. f. 328. b. D. f. 346. Ἐπεὶ πάντα ἃ ἐποίησεν ὁ θεὸς, μένει εἰς τὸν αἰῶνα κατὰ τὸν ἐκκλησιαστὴν, ἑκάστη γενεὰ βλέπουσα αὐτοῦ τὰ ἔργα, ἐπαινεῖ αὐτὰ ὑπὲρ πάντα ἔπαινον τυγχάνοντα αὐτὰ ὁρῶσα· καὶ ἀπαγγέλλουσιν τὴν δύναμίν σου, καθ᾽ ἣν εἰς ὕπαρξιν ἤγαγες αὐτά· αὕτη δέ ἐστιν ἡ σοφία καθ᾽ ἣν πάντα πεποίηκας· δύναμις δὲ καὶ σοφία σου τὸ γέννημα τὸ μονογενές σου· Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ σοφία.

Ὅσαι μὲν εἰλήφασι τῆς ἁγιότητος τοῦ θεοῦ, v. 5. C. f. 325.
ἀλλὰ καὶ τῆς δόξης αὐτοῦ μεταποιοῦνται, καὶ μεγαλοπρεπῶς ὑμνοῦσι τὸν οὗ ἡ ἁγιότης καὶ ἡ μεγαλοπρεπὴς δόξα αὐτῆς· οὐ ψιλῇ δὲ προφορᾷ ἀλλὰ πρὸ ταύτης ἔργοις καὶ ὀρθῇ διαθέσει ἁγίως καὶ ἐπιδόξως, ἀλλὰ καὶ μεγαλοπρεπῶς νοοῦντες ἐνεργοῦντες καὶ λέγοντες.

Κρατεῖ θεὸς πάντων ἃ διὰ τῆς σοφίας αὐ- v. 13. D. f. 347.
τοῦ καὶ τοῦ λόγου πεποίηκεν, καὶ παντοκράτωρ E. f. 325.
ἐστίν· εἰ δὲ καὶ τῶν αἰώνων ἐστὶ ποιητής· εἴρηται γάρ· δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· καὶ αὐτῶν ἄρα βασιλεύει· λέγει δὲ καὶ Παῦλος· τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ ἀοράτῳ μόνῳ σοφῷ θεῷ.

Εἰ οὖν ὁ πατὴρ βασιλεὺς τῶν αἰώνων, καὶ C. f. 329.
τοῦ υἱοῦ ἡ βασιλεία, βασιλεία ἐστὶ πάντων τῶν αἰώνων· εἴη οὕτως δὲ καὶ ἄναρχος, καὶ ἀτελεύτητος ὑπάρχει ἡ βασιλεία αὐτοῦ, καὶ πρὸ τῶν αἰώνων καὶ μετ᾽ αὐτοὺς βασιλεύοντος αὐτοῦ· ἧς γὰρ βασιλεύων τὸν αἰῶνα καὶ ἐπ᾽ αἰῶνα· καὶ ἔτι, καὶ ὁ θεὸς ἡμῶν βασιλεὺς πρὸ αἰῶνός, τουτέστι πρὸ παντὸς αἰῶνος· ἀκολούθως δὲ τῇ βασιλείᾳ καὶ ἡ δεσποτεία αὐτοῦ παρατείνει εἰς πάσας τὰς γενεὰς, καὶ δεσπόζει μὲν τῶν ὑπὸ χρόνον καὶ γενεὰν ὄντων, βασιλεύει δὲ τῶν ὑπεραναβεβηκότων τὰ πρόσκαιρα διὰ τὸ σκοπεῖν τὰ μὴ βλεπόμενα καὶ αἰώνια.

Τάχα καταπίπτειν οἷοί τέ εἰσιν οἱ ἐν ἐπιθυ- v. 14. C. f. 330.
μίαις καὶ φαύλοις λογισμοῖς ἄνευ πράξεως ὄντες· κατεῤῥαγμένοι δὲ, οἱ ἐνεργητικῶς ἁμαρτάνοντες· πλὴν ἑκατέροιν βοηθῶν, τοὺς μὲν ὑποστηρίζει, ἐντελλόμενος ἑκάστῳ, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, καὶ τὰ ἑξῆς· καὶ τὸ, μή σε νικήσει κάλλους ἐπιθυμία, παραινῶν διὰ σοφοῦ ἀνδρός· καταπίπτοντες δὲ εἶεν ἂν οἱ ἁμαρτάνοντες μὲν ἐν ἠθικοῖς, περιεχόμενοι δὲ τοῦ χριστιανισμοῦ· καταῤῥαχθέντες δὲ, οἱ ἀποστάντες αὐτοῦ.

Ἐν πάσαις ταῖς ὁδοῖς αἷς ἐπιπορεύεται προ- v. 17. Ibid.

νοῶν, διοικῶν, κρίνων, εὐεργετῶν, χαριζόμενος, κολάζων, δίκαιος εὑρίσκεται· Θεὸς γὰρ πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία· εἰ δὲ καὶ ὁδοὺς αὐτοῦ λέγοι τις τὰς ἀρετὰς, φέρουσι γὰρ πρὸς αὐτὸν τὸν πρακτικῶς καὶ διανοητικῶς ὁδεύοντα· καὶ ἐν ταύταις δίκαιος ἀναφαίνεται· οὐδεὶς γοῦν σπουδαῖος καὶ κατ' ἀρετὴν βιῶν αἰτιᾶται τὴν πρόνοιαν, ἀλλ' εἴ τις φαῦλος καὶ ἔξω τῶν ὁδῶν αὐτοῦ βεβηκώς.

v. 18. E. f. 326. b. Εἰσαγωγικώτερον δὲ τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ· ὅθεν ἐγγὺς αὐτῶν εἴρηται, τελείων ὄντων τῶν ἐπικαλουμένων αὐτόν· ὡς Μωϋσῆς καὶ Ἀαρὼν καὶ Σαμουὴλ καὶ Σαμψὼν ἐπεκαλοῦντο τὸν κύριον· ὁ δὲ τὸν ἀνθρώπινον ἀρνησάμενος θέλημα, τῷ Θεῷ λέγει, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου· ὅτι ὁ Θεός μου εἶ σύ· ὅπερ εἰς ἔργον καταβάλλει Θεός· θελήματα μὲν οὖν αὐτῶν αἱ κατ' εἶδος ἀρεταί· θέλημα δὲ ἡ κοινῇ τε καὶ γενικῇ· φυλασσομένου δὲ τοῦ ἀγαπωμένου ὑπὸ Θεοῦ· ὁ δὲ πονηρὸς κατ' οὐδὲν ἅψεται αὐτοῦ· ἀπόκειται δὲ τὸ ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ ἰσχύος ἀγαπῶντι, ἃ ὁ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

PSALMUS CXLV.

v. 9. C. f. 332. b. Ἐπεὶ ἅμα τῶν δικαίων, μνημονεύει τῶν προσηλύτων ἡ προκειμένη λέξις, τοὺς μὲν ἀγαπωμένους ὑπὸ κυρίου, δικαίους λεκτέον τοὺς κατὰ παλαιὰν γραφὴν εὐαρεστήσαντας αὐτῷ· προσηλύτους δὲ, τοὺς ἀπὸ τῶν ἐθνῶν κληθέντας ἐπὶ τὴν τοῦ εὐαγγελίου διδασκαλίαν· πρὸς τούτοις ἐπίστησον, μή ποτε οἱ ἄρτι τῇ θεοσεβείᾳ προσερχόμενοι προσήλυτοι· οἱ δὲ διαβεβηκότες καὶ τελειωθέντες ἐν αὐτῇ, δίκαιοι εἴρηνται· ὅθεν τοὺς μὲν δικαίους ἀγαπᾷ, φυλάττει δὲ τοὺς προσηλύτους· οἱ γὰρ εὐθέως προσεληλυθότες τῷ λόγῳ τῆς ἀληθείας, ὡς μήπω ἰσχυροὶ καὶ βέβαιοι δέονται τοῦ φυλάττοντος κυρίου ἐπὶ τῷ ἀβλαβεῖς διαμεῖναι· τῶν δικαίων διὰ τελειότητος οἰκειουμένων αὐτῷ καὶ ἀγαπωμένων ὑπ' αὐτοῦ.

v. 10. C. f. 333. Ἡ Σιὼν ἡ σκοπευτικὴ καὶ ἐξεταστικὴ τῆς ἀληθείας· ἤτοι ψυχὴ τελεία, ἢ ἐκκλησία Θεοῦ ζῶντος. Βασιλεύσει σου ὁ Θεὸς εἰς τὸν αἰῶνα· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, παρατεινούσης τῆς ἀρχῆς αὐτοῦ εἰς γενεὰν καὶ γενεάν· εἴρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ περὶ τῆς ἀτελευτήτου βασιλείας αὐτοῦ διατεινούσης εἰς πάντας τοὺς αἰῶνας· καὶ ὡς δεσπόζει εἰς γενεὰν καὶ γενεάν· βασιλεύσει γὰρ κύριος εἰς τὸν αἰῶνα· ὁ θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν.

PSALMUS CXLVI.

Ψάλατέ, φησιν· ἀγαθὸν γάρ ἐστι καὶ ὠφέλι- v. 1. D. f. 349. b.
μον· ὡς κατὰ τοῦτο, ψαλμὸν αἴνου διαφέρειν οὐδέν· καὶ μᾶλλον ὅταν ψάλλει τὶς πνεύματι καὶ τῷ νῷ· εἰ δὲ ψάλλειν ἔτι τὸ πρακτικῶς ἐνεργεῖν, τοῖς τὸν ἀγαθὸν τοῦτον ψαλμὸν κατορθώσασι παραινεῖ καὶ διὰ θεολογίας αἰνεῖν τὸν θεὸν, ὡς ἂν πράξει καὶ νοήσει τελειωθέντες εὐφραίνωσι τὸν θεόν· θυσία γάρ, φησιν, αἰνέσεως δοξάσει με· καὶ τῷ δυναμένῳ προσάγειν αὐτὴν προσάττει τὸ πνεῦμα, θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως.

Τοιούτοις δὲ λογικοῖς δεσμοῖς ἰάσατο τὸν τραυ- v. 3. D. f. 350.
ματισθέντα καὶ συντριβέντα ἐν τῷ καταβαίνειν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ.

PSALMUS CXLVII.

Ὥσπερ ἡ ἐκ Θεοῦ σοφία οὐκ ἔστιν ἐπίγειος, v. 4. C. f. 336.
οὐ ψυχικὴ, οὐ δαιμονιώδης, ἀλλ' ἄνωθεν ἐξ αὐτοῦ κατερχομένη, οὕτω καὶ τὸ λόγιον αὐτοῦ οὐκ ἐκ γῆς ὑπάρχον ἀποστέλλεται ἐν τῇ γῇ γινόμενον πρὸς ἕκαστον τῶν διακονεῖν αὐτῷ δυναμένων, τυγχάνον τὸ αὐτὸ τῷ διδομένῳ ὑπὸ κυρίου ῥήματι τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ· εἶτα ὅθεν τοῦτο νεμόμενον πλείονας ψυχὰς, ἕως τάχους δραμεῖται λόγος ὢν Θεοῦ, πληρουμένου τοῦ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν· ἅμα οὖν γέγονεν ἡ ἀνάληψις αὐτοῦ, καὶ εὐθέως διέβη ὁ εὐαγγελικὸς λόγος ἐν πάσῃ τῇ γῇ, ἥτις ἐστὶν ὑπὸ τὸν οὐρανόν. Πρὸς τὰ εἰρημένα φαίνεται ἡμῖν οἱονεὶ ἐν παραβολῆς τρόπῳ ταῦτα ἐπῆχθαι· τῶν τῆς κοσμικῆς δημιουργίας ἔργων παρατιθεμένων καθ' ὁμοι-

ωσιν τῇ ϖερὶ τὴν ἐκκλησίαν οἰκονομίᾳ· ὥσπερ γὰρ χιὼν εἴς τινα καταῤῥυεῖσθαι τόπον, καὶ πάχνη μετὰ ταῦτα λύεται, καὶ ὕδατα προχεῖ, οὕτως ὁ θεῖος λόγος εἰς Ἰουδαίους κατασκήψας τὰ πρῶτα, μετὰ τοῦτο ἐπὶ πάντας διακέχυται· διὸ καὶ ἡ τοῦ λόγου ἀποςολὴ, καὶ ἡ τοῦ πνεύματος ϖνεῦσις καλῶς διὰ τῶν κοσμικῶν ἔργων ὑποδηλοῦται· ὅτι δὴ λόγου παραγενομένου εἰς κόσμον, καὶ τοῦ ϖνεύματος πνεύσαντος, ἐξῆλθεν ἐξ Ἱερουσαλὴμ ἐπὶ πᾶσαν τὴν οἰκουμένην ὁ λόγος τῆς ἱερᾶς καὶ σωτηρίου διδασκαλίας, κατ᾽ ἀλληγορίαν νοήσῃς τὴν χιόνα καὶ τὸν κρύςαλλον καὶ τὴν ὁμίχλην ϖειρασμοὺς ἐπαγομένους τοῖς ἁγίοις πρὸς δοκιμήν· οὗτοι γὰρ ἀπὸ τῶν ἀντικειμένων δυνάμεων ἐπαγόμενοι ψύχειν πειρῶνται τὴν ἐν αὐτοῖς ἀγάπην· ἐπείπερ ὡς ψύχει λάκκος, οὕτως ψύχει κακία αὐτῆς. Κατὰ πρόσωπον τοῦ ψύχους τούτου τίς ὑποστήσεται; εἰ μὴ ὁ κατὰ Πέτρον καὶ Παῦλον καὶ τὸν Ἰὼβ καὶ τὸν Ἰακὼβ τὸν εἰπόντα, ἐγενόμην συγκαιόμενος τῷ καυστικῷ τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτός· πρὸς ταῦτα λήψῃ καὶ τὰ ὑπὸ Μωϋσεως εἰρημένα· προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματα μου, ὡσεὶ ὄμβρος ἐπ᾽ ἄγρόστην, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον· ᾧ γὰρ λέγω τὰ ῥήματα Μωϋσέως, τούτοις ὁμοιοῦται, τούτῳ τῷ λόγῳ τὸ ἀποσταλὲν τῇ γῇ τοῦ θεοῦ λόγιον, διαιρεῖται εἰς πάντα τὰ εἰρημένα.

v. 5. C. f. 336. b. D. f. 356. b. Ὁ προνοητικὸς τοῦ θεοῦ λόγος ἀποστελλόμενος τήξει τὴν χιόνα καὶ τὰ συναριθμένα αὐτῇ· ἀλλὰ καὶ πνεύσαντος αὐτοῦ τὸ πνεῦμα, ὕδατα ῥυήσεται· πνεῦμα δὲ τὸν νότον φασὶν εἰς ταῦτα μεταβαλλόντων τῶν προωνομασμένων τῆς χιόνος καὶ τῶν παραπλησίων· εἰ δὲ καὶ πνευματικῶς καὶ τούτων ἀκοῦσαι δεῖ, ὁ σαφηνιςὴς τοῦ θεοῦ λόγος τῶν λελαλημένων μετ᾽ ἐπικρύψεως ἀποςαλεὶς, τήξει τὴν ὁμίχλην τὸν κρύσταλλον τὴν χιόνα, ἐπὶ τῷ πότιμα αὐτὰ ποιῆσαι ἅμα τοῦ πνεύματος αὐτοῦ τοῦ θεοῦ πνεύσαντος· ἀλλὰ καὶ ὁ λόγος τοῦ θεοῦ ἀποστελλόμενος εἰς τὴν καρδίαν τῶν αὐτὸν παραδεχομένων, τοὺς αὐτοὺς πειρασμοὺς καὶ ἀφανεῖς καταστήσει· οἵ τε τῷ πνεύματι ζέοντες, γενναίως τοὺς τοιούτους ὑπομένοντες, πειρασμοὺς διαλύσουσιν αὐτούς.

PSALMUS CXLVIII.

Ἄγγελοι μὲν ἂν εἶεν οἱ ἐν οὐρανοῖς, δυνάμεις v. 2. C. f. 337.
δὲ καὶ τούτων ὑπεράνω τοῖς ὑψίστοις προσήκουσαι, ὑπὲρ τὸ διαγγέλλειν ἀνθρώποις οὖσαι· ἐν δὲ μόνῃ τῇ παρὰ θεῷ βεβαιότητι διηνεκεῖ τὸ μακάριον ἔχουσαι, ὁποῖαι καὶ αἱ καλούμεναι παρὰ τῷ ἀποστόλῳ θρόνοι ἐνδεικνυμένου τοῦ ὀνόματος τὸ ἐφιδρύσθαι αὐταῖς τὸν θεόν· τὰς δὲ ὑποκεῖσθαι τῇ θείᾳ καὶ ὑπὲρ κτίσιν μεγαλειότητι· ἐν τούτῳ δὲ καθεστηκυΐας αἰεὶ, καὶ τὸ στάσιμον καὶ πεπηγὸς ἐχούσας ἐν τῇ τῆς θείας δόξης ὑποδοχῇ.

PSALMUS CLXIX.

Οἱ τὸν νέον ἄνθρωπον ἐνδυσάμενοι, ᾄδειν δύν- v. I. C. f. 340. D. f. 354.
ανται μόνοι τὸ καινὸν ᾆσμα, τὸ φρονεῖν καὶ πράττειν τὰ τῆς καινῆς διαθήκης, δουλεύοντες καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος· οἳ καὶ συμπληροῦσιν ἐκκλησίαν ὁσίων, κατορθοῦντες τὰ ὅσια Δαυὶδ τὰ πιστά· καὶ ὁσιωτάτην ἔχοντες δικαιοσύνην πρὸς τὸν θεόν· δι᾽ ὧν κατορθουμένων αἰνοῦσι τὸν κύριον 1).

PSALMUS CL.

Ὁ μὴ ἐπαισχυνόμενος Ἰησοῦν καὶ τοὺς λόγους v. 3 C. f. 342.
αὐτοῦ, μετὰ παῤῥησίας σαφῶς καὶ μεγαλοφώνως τὰ τῆς θεολογίας προφέρων, αἰνεῖ αὐτὸν καὶ

1) Ita adamussim S. Augustinus in sermone vaticano XXIV. 2. Iam vero ibi nos animadvertimus, Augustinum sequi presse Origenem, cuius verba nomenque ipsum nos ibi protulimus. Nunc autem videmus Didymum quoque ab Origenis verbis vix discedere. Obiiciet aliquis: quomodo Augustinus, graece prope ignarus, Origenem legebat? Nempe, inquam ego, in latina Rufini interpretatione quae iam extabat; sicut apud eumdem Rufinum legebatur ab eodem Gregorius nazianzenus, qui latine inter Rufini scripta adhuc superest (V. nostr. praef. ad T. I. cap. 20.) Adhuc unum addam. Didymum scripsisse etiam in Ecclesiasten commentarios, constabat ex Damasceni parallelis ubi laudantur p. 685. Nunc in codice vaticano pervetusto 750. f. 23. b. in catena ad Iobum perspicue legitur ΔΙΔΥΜΟΥ ΕΙΣ ΤΩ (dic τὸν) ΕΚΚ. Didymi autem verba ad Iob. II. 7. sunt: πονήρῳ παροξυτόνως ἀνάγνωθι, ἵνα σημαίνῃ τὸ ἀπεχθὲς καὶ ἐπίπονον; quae quidem extant in Iunii catena p. 77, sed perverse adiuncta Polychronio, erepta Didymo.

τὸν πατέρα αὐτοῦ ἐν ἤχῳ σάλπιγγος· ὅθεν καὶ οἱ τῆς ἀληθείας κήρυκες ἐπὶ τῷ παῤῥησιέςερον καὶ σαφῶς ἀπαγγέλλειν τὴν διδασκαλίαν, ἐντολὴν ἔχουσιν ὡς σάλπιγγι ἑαυτῶν ὑψοῦν τὴν φωνήν· εἴρηται γοῦν πρὸς αὐτούς· σαλπίσατε σάλπιγγι ἐν Σιὼν, κηρύξατε ἐν ὄρει ἁγίῳ μου· ἀλλὰ καὶ ἡ τῶν νεκρῶν ἀνάστασις, ὅπως πᾶσι τοῖς ἀνιςαμένοις φανερὰ καταστῇ, διὰ σάλπιγγος σημαίνεται· σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι· καὶ ἐν ἑτέρᾳ ἐπιςολῇ· ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπὸ οὐρανοῦ ἐπὶ τῷ τοὺς κεκοιμημένους ἐν Χριςῷ ἀναςῆναι· ὡς οὖν τὸ πρόσταγμα τῆς ἀναστάσεως φανερούμενον πᾶσιν ἐπὶ τῷ δικαίους καὶ ἀδίκους ἀναστῆναι τῷ μεγαλοφώνῳ τῶν ὀργάνων, γνωρίζεται ἀκόλουθον καὶ τοῦ Θεοῦ αἴνους ταυτῷ τῷ ὀργάνῳ προφέρεσθαι. Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Ὅτι τὸ ψαλτήριον καὶ ἡ ἡ κιθάρα, καὶ ποίαν ἔχουσι πρὸς ἄλληλα
[C]onfer p. 144. 218. διαφορὰν, ἐν τοῖς προάγουσιν εἴρηται *. Αἰνετέον οὖν Θεὸν ψάλλοντες ἐν πνεύματι καὶ νῷ· τοῦτο τὸ ψαλτήριον· τὸ γὰρ πνεῦμα καὶ ὁ νοῦς ἄνωθεν ἐκ Θεοῦ δι' ὑψηλότητα δογμάτων συνηχεῖ.

v. 5. C. f. 343. Δηλοῦσθαι νομίζω διὰ τὸ αἰνεῖσθαι αὐτὸν ἐν κυμβάλοις εὐήχοις, τὸ δεῖν καὶ φωνῇ τῇ κατὰ προφορὰν ὑμνεῖν διὰ Θεολογίας τὸν κύριον· παρίσταται δέ μοι τοῦτο νοεῖν ἐκ τῆς τοῦ ἀποςόλου λέξεως γράφοντος οὕτω· γέγονα χαλκὸς ἠχῶν καὶ κύμβαλον ἀλαλάζον· εἰ γὰρ, φησὶ, μὴ νῷ . . γλώσσῃ λαλήσω, μὴ δὲ ἑρμηνεύων ἕκαστα τῶν ὑπὸ τῆς γλώττης εἰρημένων, ἀντιλήψει τοῦ ἀκροατοῦ μόνης φωνῆς ἄνευ διανοίας ἔχοντος, ὡς δοκεῖν αὐτῷ βάρβαρον εἶναι τὸν λαλοῦντα· φωνῆς ἤχου μόνον αἴσθησιν ἔχοντος, γίνεται αὐτῷ χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον, κροῦον καὶ περιβομβοῦν μόνον τὴν ἀκοὴν αὐτοῦ· δοξολογῶμεν τοίνυν θεὸν, καὶ στη . . προφορᾷ μιμούμενοι τοὺς τελείους δικαίους ἄνδρας· εἴρηται γὰρ περὶ ἑκάστου τούτων τὸ, διήγησις εὐσεβοῦς διὰ παντὸς σοφία· ὁμοίως καὶ, στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν· ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, τουτέστιν νῷ καὶ γλώσσῃ καὶ στόματι ὑμνεῖ Θεόν· εὔηχον δὲ κύμβαλον εἶπεν τὴν ἐμμελῆ καὶ μεμουσωμένην φωνὴν, ἀριδήλως σημαίνουσαν τὰ πράγματα· τὴν δὲ αὐτὴν κύμβαλον ἀλαλαγμοῦ φησὶ προφερόμενον ἐπινίκια κατὰ ἁλώντων καὶ ὑπὸ (χεῖρα) γινομένων τῶν ἐχθρῶν.

Ὅτε πάντα ἐν πᾶσιν ὁ θεὸς γενήσεται, πλη- v. 6. C. f. 343. b.
ρωθήσεται ἡ προκειμένη λέξις· βοηθῶν γὰρ τῇ ἀσθενείᾳ ἡμῶν, νόησιν πνοῆς θείας ἡμῖν ἐνδίδωσιν, ὡς καὶ περὶ τοῦ πρώτου ἀνθρώπου ἀναγέγραπται τὸ, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν· ζωὴ γὰρ καὶ πηγὴ ζωῆς ὁ εἰπὼν, ἐγώ εἰμι ἡ ζωή· περὶ ἧς ζωῆς εἴρηται τῷ πατρὶ, παρὰ σοὶ πηγὴ ζωῆς· ταύτης τῆς μακαριοποιοῦ καὶ ἁγιαςικῆς ζωῆς πνοὴ εἰς τὸν ἄνθρωπον ἐρχομένη, ζῶσαν τὴν ψυχὴν αὐτοῦ παρασκευάσει, ὥστ' ἂν εἰπεῖν εἰσχαιρικῶς τὸν τούτου τυχόντα, ἡ ψυχή μου αὐτῷ ζῇ· ταύτης τῆς δωρεᾶς μόνος ἀπολαύει ὁ τὸν Ἰησοῦ λόγον δεξάμενος, καὶ πιστεύσας τῷ ἀποστείλαντί με, ἔχει ζωὴν αἰώνιον· ταύτην τὴν πνοὴν ἅ . . ατω . . ὀρεγει . . τοῖς ὑπεραναβεβηκόσιν τὰ αἰσθητὰ καὶ πατοῦσιν . . τὰ κα . . μένοις λαῷ αὐτοῦ, ὡς εἶπεν ὁ προφήτης περὶ αὐτοῦ· οὕτω λέγει κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ στερεώσας τὴν γῆν, ὁ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· φανερῶν δὲ ὅτι τὴν γῆν·
εἴρηται δὲ καὶ πρός τινος ἀρχαίου *· πνοὴ δὲ * Iob. XXXII. 9.
παντοκράτορός ἐστιν ἡ διδάσκουσά με.

FINIS DIDYMI.

APPENDIX.

Vacuam paginam occupabo, ut soleo, παρεργῳ *non importuno. Nota sunt S. Augustini de doctr. ch. lib. IV. cap. XII. verba: « qui Scripturas ex hebraea lingua in graecam verterunt, » numerari possunt, latini autem interpretes nullo modo. » Ergo ex innumerabilibus latinis unus incognitus est interpres (saltem psulterii) in prisco codice, quem vidi serenissimi Ludovici Borbonii Lucae Principis; ex quo, benigne ipso annuente Principe, habui psalmum XLIV., quem heic exhibere, et cum hebraico comparare placet, ut lectores cognoscant quantum vel ex unico interdum codice sacra crisis proficere queat.*

PSALMUS XLIV.

EX VETERE INCOGNITO INTERPRETE.

Frequentat 1) cor meum verbum bonum, dico ego opera mea regi. Pulcrior es filiis Adam 2), effusa est gratia in labiis tuis: propterea benedixit te Deus in saeculum 3). Accingere gladio tuo super femur, potentissime, dignitate et decoritate tua 4). Et decoritate tua prospere caballica 5) per verbum veritosum 6), et mansuetudine iustitiae 7), et docebit te terribiliter 8) dextera tua. Sagittae tuae acutae, populi sub te cadent, in corde inimicorum regis. Thronus tuus, Deus; in saeculum et in aeternum 9): sceptrum aequitatis, sceptrum regni tui. Dilexisti iustitiam, et odisti impietatem: propterea unxit te Deus, Deus tuus, oleo gaudii prae sociis 10) tuis. Smyrna et aloë 11) et casia in cunctis vestimentis tuis, de templis 12) eburneis, menni 13). Laetificaverunt te filiae regum in honore tuo: stetit coniunx in dextera tua, in petalo 14) ophyr. Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populum tuum, et domum patris tui. Et desideret rex pulcritudinem tuam: quoniam ipse est dominus 15) tuus, et adora 16) eum. Et filia 17) Tyri in muneribus: faciem tuam deprecabuntur divites populi. Omnis honorata 18) filia regis intrinsecus: de fimbriis aureis indumentum eius. In deomatis 19) adducentur ad regem virgines post eam, proximae eius adductae 20) sunt tibi. Ducentur in laetitia et exultatione, venient in templum 21) regis. Pro patribus tuis erant 22) filii tibi: pones eos principes in tota terra. Recordabor 23) nominis tui in omni generatione et generatione. Propterea populi consitebuntur te in saeculum et in aeternum.

1) Hebr. רחשׁ. Rabbi Parchon in lexico explicat *agitat*. Potest etiam dici *movet se;* ex quo *frequentat.*

2) Ex hebr. אדם. — 3) Ex hebr. לעולם.

4) Quatuor haec verba desunt in 70. et vulg. sed habet hebr.

5) Accurate ex hebr. רכב. Latini verbi *caballico* sunt exempla apud Cangium.

6) Presse ad hebr. דבר אמת. Latinum autem vocabulum *veritosus* addatur Cangio. Et quidem apud Mart. Capellam *verosus.*

7) Sic est constructio hebraica.

8) Presse ad hebr. Sic etiam Symmachus et Hieronymus, et chaldaeus.

9) Ex hebr. ועד. — 10) Ex hebr. חבר.

11) Ex hebr. ואהלות.

12) Sic etiam Hieronymus in variis lectionibus.

13) Conservat noster ipsum vocabulum hebr. in quo Chaldaeus intelligit *Armeniam,* id est *ebur armenium.* Confer Hieremiam LI. 27. Fortasse ponitur pro integro הרמני. Videsis Bochartium Phaleg. lib. I. 3, et Michaëlis Supplementa ad lex. hebr. n. 1422. Ceterum recte 70. ἐξ ὧν, et vulg. *ex quibus.*

14) Egregie noster ex hebr. כתם. *Petalum* vero explicat auream laminam Isidorus, intelligitque illam quae erat in fronte pontificis Hebraeorum.

15) Deest reapse *Deus* in hebr., nec non apud Hieronymum.

16) Sic in hebr.

17) Sic numero sing. hebr. et syr.

18) Ex Hebr. כבודה.

19) Quid est hoc? Certe ex hebr. רקמות, quod in polyglottis explicatur consonanter *recamatis.* Noster autem cum corruptis litteris *deomatis,* confusa certe ר cum ד.

20) Hoc quoque ex hebraico participio passivo.

21) Heic pariter vulg. *templum.* Noster vero etiam superius sic explicabat constanter idem vocabulum hebraicum היכל.

22) Num pro *erunt?* Hoc minime necessarium, quia et 70. et vulg. tempore praeterito.

23) Ex hebr. futuri temporis.

NOVAE PATRUM BIBLIOTHECAE

VOLUMINIS SEPTIMI

PARS TERTIA.

AD BONIZONEM PRAEFATIO.

I. De Bonizonis, sutrini primum deinde placentini episcopi, vita variisque scriptis, et de eius martyrica paulo ante saeculi undecimi finem nece, satis ea sunt quae dixit cum Pagio Baronius ad an. 1044. 1085. 1089., nec non Ughellius in sutrinis et in placentinis episcopis, tum Mansius in additamentis ad Fabricii bibliothecam latinam, Muratorius in antiq. medii aevi T. III. col. 599, Campius hist. eccl. placent. lib. XI, et plurimis verbis Oudinus, postremo prae ceteris accurate Ballerinii fratres opp. S. Leonis T. III. p. 307. seq. Quod si quid adhuc Bonizonis notitiae deest, hoc quod nos modo vulgamus opus tam graphice doctrinam virtutesque auctoris demonstrat, ut quamlibet de ipso historiam facile superet. Hactenus vero tres huius tractatus codices innotuerant. Primus priscus vindobonensis, de quo Lambecius Bib. Caes. T. II. ed. nov. col. 619. seq. cui tres priores libri desunt, ex quo contigit, ut epitome historiae rom. Pontificum quae est initium libri IV, dicatur mendose a Lambecio prooemium operis. Secundus est codex item priscus brixiensis, unde librorum decem (tot enim opus constat) initia Ballerinii sibi communicata habuerunt. Tertius romanus apud bibliothecam S. Petri in vinculis, qui nihil aliud est quam brixiensis apographum recens, quod brevi dictione illustravit rev. episcopus laodicensis Vinc. Garofalus. Etenim vaticanus codex 7143. vix in hoc ordine poni potest, quandoquidem solam habet rom. Pontificum epitomen, ex vindobonensi vel alio exscriptam, quam nos partim Spicilegii rom. sexto tomo inseruimus. Sed quartus denique nunc accedit romanus codex, quem pro sua benignitate communicavit mecum vir nobilis et eximie eruditus Franciscus de Rubeis, qui his annis insignem codicum et rariorum editionum copiam in suis quirinalibus aedibus cumulavit. Codex hic romanus brixiensi in multis similis est, namque et praefatio deest, amisso ut videtur primo folio, et scriptura utriusque (aeque ac vindobonensis) videtur paulo post ipsum auctorem exarata, cuius nos specimen in tabulis palaeographicis exposuimus; et nihilominus ab eodem brixiensi nonnullis dictionibus differt, ita ut exemplar eius dici non queat. Codex romanus incipit sic. *In epistola de parvulis. Cur peccatis parentum filii non tenentur obligati, quemadmodum per fidem illorum in baptismo sunt salvati. Augustinus ad Bonifacium episcopum. Quaeris a me utrum parentes baptizatis parvulis suis noceant* etc. Quis non videt acephalum esse codicem, qui et titulo generali et qualibet introductione vel exordio caret? Deinceps tamen ad finem usque est integerrimus, librosque decem habet, videlicet I. De baptismo. II. De episcopis. III. De ordinationibus. IV. De excellentia romanae eccleaiae. V. De secundi ordinis sacerdotibus. VI. De monachis. VII. De regibus et iudicibus et de his qui in laicali ordine in sublimitatibus 1) sunt constituti. VIII. Quomodo subditi vitam debeant instituere. IX. Medicinalis sive paenitentialis. X. De iudiciis criminum. Generalis, ut diximus, titulus operis deest; nam codex vindobonensis tres priores libros desiderat; brixiensis autem et hic romanus primum saltem folium. Ad operis titulum quod attinet, Anonymus quidem mellicensis cap. 112. dicit *excerpta de canonibus*. Lambecius coniecturaliter *decretale sive syntagma decretorum ecclesiasticorum*. In bri-

1) Verba *in sublimitatibus* desunt in specimine brixiensi apud Ballerinios loc. cit. Sed nonnisi mendose desunt, ut apparet ex initio libri octavi, ubi ait Bonizo se in superiore libro egisse *de praelatis in laicali ordine positis*.

xiensi codice aliena manus adnotavit in margine *de authenticis canonibus ad Gregorium presbyterum*. Verumtamen id nomen a calce operis ad titulum annotator brixiensis et alii transtulerunt. Nos simpliciter, Gratiani exemplo, *decretum* inscripsimus.

